
Αὐξ. Ἀρ.
ΒΙΒΛΙΟΘΗΚΗ
ΚΡΑΤΙΚΟΥ ΝΟΣΟΚΟΜ. ΒΕΡΟΙΑΣ
ΕΚ ΔΩΡΕΑΣ
ΙΑΤΡΟΥ ΑΝΤΩΝΙΟΥ ΤΣΟΥΠΕΛΗ
Ἐν Βεροίᾳ τῇ 19
Δημόσια Κεντρική Βιβλιοθήκη Βέροιας


ΔΗΜΟΣΙΑ ΒΙΒΛΙΟΘΗΚΗ
ΒΕΡΟΙΑΣ
Ἀριθ. εἰσ. 702
ΔΩΡΕΑ


ΚΡΑΤΙΚΗ


ΚΡΑΤΙΚΟΝ ΝΟΣΟΚΟΜΕΙΟΝ
ΒΕΡΡΟΙΑΣ

ΣΕΙΡΑ

ΕΝΟΣ ΚΑΙ ΠΕΝΤΗΚΟΝΤΑ ΥΠΟΜΝΗΜΑΤΙΣΤΩΝ

ΕΙΣ

ΤΗΝ ΟΚΤΑΤΕΥΧΟΝ ΚΑΙ ΤΑ ΤΩΝ ΒΑΣΙΛΕΙΩΝ

ΗΔΗ ΠΡΩΤΟΝ ΤΥΠΟΙΣ ΕΚΔΟΘΕΝΤΑ

ΑΞΙΩΣΕΙ ΜΕΝ

ΤΟΥ

ΕΥΣΕΒΕΣΤΑΤΟΥ ΚΑΙ ΓΑΛΗΝΟΤΑΤΟΥ

ΗΓΕΜΟΝΟΣ

ΠΑΣΗΣ ΟΥΓΚΡΟΒΛΑΧΙΑΣ

ΚΥΡΙΟΥ ΚΥΡΙΟΥ

ΓΡΗΓΟΡΙΟΥ ΑΛΕΞΑΝΔΡΟΥ ΓΚΙΚΑ

ΕΠΙΜΕΛΕΙΑ, ΔΕ

ΝΙΚΗΦΟΡΟΥ ΙΕΡΟΜΟΝΑΧΟΥ ΤΟΥ ΘΕΟΤΟΚΟΥ.

ΤΟΜΟΣ ΔΕΥΤΕΡΟΣ

ΤΟΝ ΙΗΣΟΥΝ ΤΟΥ ΝΑΥΗ ΤΟΥΣ ΚΡΙΤΑΣ ΤΗΝ ΡΟΥΘ
ΚΑΙ ΤΑΣ ΤΕΣΣΑΡΑΣ ΒΑΣΙΛΕΙΑΣ
ΠΕΡΙΕΧΩΝ.



Ἐν Λειψίᾳ τῆς Σαξονίας,
Ἐν τῇ τυπογραφίᾳ τοῦ Βρεϊτκόπφ.
Ἔτει αψογ.





Ο ΤΩΝ ΥΠΟΜΝΗΜΑΤΙΣΤΩΝ

ΕΙΣ ΤΟΝ ΙΗΣΟΥΝ ΤΟΥ ΝΑΥΗ ΕΙΣ ΤΟΥΣ ΚΡΙΤΑΣ

ΕΙΣ ΤΗΝ ΡΟΥΘ ΚΑΙ ΕΙΣ ΤΑΣ ΤΕΣΣΑΡΑΣ

ΒΑΣΙΛΕΙΑΣ

ΚΑΤΑΛΟΓΟΣ.



Α.

ΑΔΗΛΟΣ.

ΑΘΑΝΑΣΙΟΣ.

ΑΛΛΟΣ.

ΑΝΕΠΙΓΡΑΦΟΣ.

ΑΝΩΝΥΜΟΣ.

ΑΣΤΕΡΙΟΣ ΑΜΑΣΕΙΑΣ.

Β.

ΒΑΣΙΛΕΙΟΣ ΚΑΙΣΑΡΕΙΑΣ.

ΒΑΣΙΛΕΙΟΣ ΣΕΛΕΥΚΕΙΑΣ.

ΒΙΚΤΩΡ.

Γ.

ΓΡΗΓΟΡΙΟΣ ὁ ΘΕΟΛΟΓΟΣ.

ΓΡΗΓΟΡΙΟΣ ΝΥΣΣΗΣ.

Δ.

ΔΙΔΥΜΟΣ.

ΔΙΟΔΩΡΟΣ.

Ε.

ΕΙΡΗΝΑΙΟΣ ΛΟΥΓΔΟΥΝΩΝ.

ΕΠΙΦΑΝΙΟΣ.

ΕΥΣΕΒΙΟΣ.

ΕΥΣΕΒΙΟΣ ΚΑΙΣΑΡΙΑΣ.

ΕΥΣΤΑΘΙΟΣ ΑΝΤΙΟΧΕΙΑΣ.

ΕΦΡΑΙΜ.

Θ.

ΘΕΟΔΩΡΙΤΟΣ.

ΘΕΟΔΩΡΟΣ ΜΟΨΟΥΕΣΤΙΑΣ.

ΘΕΟΔΟΥΛΟΣ.

Ι.

ΙΠΠΟΛΥΤΟΣ.

ΙΣΙΔΩΡΟΣ ὁ ΠΗΛΟΥΣΙΩΤΗΣ.

ΙΟΥΣΤΙΝΟΣ.

ΙΩΑΝΝΗΣ ὁ ΔΑΜΑΣΚΗΝΟΣ.

ΙΩΣΗΠΟΣ.

Κ.

ΚΛΗΜΗΣ.

ΚΥΡΙΛΛΟΣ ΑΛΕΞΑΝΔΡΕΙΑΣ.

ΚΥΡΙΛΛΟΣ ΙΕΡΟΣΟΛΥΜΩΝ.

Μ.

ΜΑΞΙΜΟΣ.

Ο ΤΩΝ ΥΠΟΜΝΗΜΑΤΙΣΤΩΝ ΚΑΤΑΛΟΓΟΣ.

Ν.

ΝΕΙΛΟΣ.

Π.

ΠΡΟΚΟΠΙΟΣ ὁ ΓΑΖΑΙΟΣ.

Σ.

ΣΕΥΗΡΙΑΝΟΣ ΓΑΒΑΛΩΝ.

ΣΕΥΗΡΟΣ ΑΝΤΙΟΧΕΙΑΣ.

Φ.

ΦΙΛΩΝ ὁ ΕΒΡΑΙΟΣ.

ΦΩΤΙΟΣ ΚΩΝΣΤΑΝΤΙΝΟΥΠΟΛΕΩΣ.

Χ.

ΧΡΥΣΟΣΤΟΜΟΣ.

Ω.

ΩΡΙΓΕΝΗΣ.



ΤΑ ΠΕΡΙ

ΤΩΝ ΥΠΟΜΝΗΜΑΤΙΣΤΩΝ ΚΑΙ ΤΩΝ ΣΥΓΓΡΑΜΜΑΤΩΝ

ΑΥΤΩΝ ΠΕΡΙ ΩΝ ΔΗΛΑΔΗ ΕΝ ΤΩι ΠΡΩΤΩι

ΟΥ ΔΙΕΛΑΒΟΜΕΝ ΤΟΜΩι.

ἈΣΤΕΡΙΟΣ ὁ Ἀμασείας (α) ἐπίσκοπος (β), ἀνὴρ εὐσεβὴς καὶ φιλάρετος (γ), Σκύθῃ τῷ ἀργυρωνήτῳ ἐλευθερίοις περιδεξίῳ μαθήμασι, περιβοήτῳ τε παρ' Ἕλλησι καὶ Ῥωμαίοις, καὶ νόμων διδασκάλῳ, μαθητεύσας (δ), ἐν τοῖς τοῦ παραβάτου Ἰουλιανοῦ ἤκμασε χρόνοις (ε). περιῆν δὲ ἔτι τῷ βίῳ μετὰ τὴν Ῥουφίνου καὶ Τιμασίου (ζ), τῶν ἐπὶ Ἀρκαδίου τοῦ Αὐτοκράτορος Ὑπάτων, καταστροφήν, εἴτουν μετὰ τὸ 396. σωτήριον ἔτος (η)· ἐπεὶ δ' αὐτὸν εἰς λιπαρὸν κατιωτηκέναι γῆρας φασι (θ), καὶ ἄχρι τοῦ 400. τυχὸν τὸ ζῆν παρέτεινεν. ἀλλὰ τίς αὐτῷ πατρὶς, καὶ τίνες τοκεῖς, καὶ ὁποῖον τὸ πολίτευμα καὶ αἱ πράξεις; τούτων ἡμῖν οὐδὲν κατέλιπεν ὁ χρόνος.

Τῶν συγγραμάτων αὐτοῦ

Τὰ Ἐκδεδομένα.

Ὁμιλίαι πέντε (ι). 1. Εἰς τὸν πλούσιον καὶ εἰς τὸν Λάζαρον. 2. Εἰς τὸν οἰκονόμον τῆς ἀδικίας. 3. Κατὰ πλεονεξίας. 4. Κατὰ τῆς ἑορτῆς τῶν Καλανδῶν. 5. Εἰς τὸ, εἰ ἔξεστι ἀνθρώπῳ ἀπολῦσαι τὴν γυναῖκα αὐτοῦ κατὰ πᾶσαν αἰτίαν. Λόγοι ἕξ (κ). 1. Εἰς τὸν προφήτην Δανιὴλ καὶ εἰς τὴν Σωσάνναν. 2. Εἰς τὸν ἐκ κοιλίας τυφλόν. 3. Εἰς τοὺς ἁγίους κορυφαίους Ἀποστόλους, Πέτρον καὶ Παῦλον. 4. Ἐγκώμιον εἰς τὸν ἅγιον ἱερομάρτυρα Φωκᾶν. 5. Εἰς τοὺς ἁγίους Μάρτυρας. 6. Εἰς τὸ μαρτύριον τῆς πανευφήμου μάρτυρος Εὐφημίας ἔκφρασις (λ). Ἐγκώμιον εἰς τὸν ἅγιον πρωτομάρτυρα Στέφανον (μ).

(α) Πόλις αὕτη Ποντική. ὁ Στέφαν. ἐν τῷ περὶ Πόλ. Πόλις περιφανὴς Καππαδοκίας τῆς κατὰ τὸν Πόντον, ἀρχιεπισκοπική, μεταξὺ Βυζαντίου καὶ Τραπεζοῦντος, Ἀμασιὰν τὰ νῦν ὑπὸ τῶν Ὀθωμαν. καλουμένη. ὁ Βαυδράντ. ἐν τῷ Λεξ. (β) Μαρτυρεῖ τοῦτο ἡ μὲν ἁγία οἰκουμενικὴ ἑβδόμη Σύνοδος, (ἐν πράξ. 6. τῇ ἐν σελ. 780. τοῦ 5. Τόμ. τῆς τοῦ Βινίου ἐκδόσ.) λέγουσα· Ἀστέριον τὸν Ἀμασείας εἰς μέσον ἀγάγωμεν· ὁ δὲ Φώτιος, (ἐν τῷ 271. κώδ.) ἐπιγράφων· τοῦ Ἀστερίου ἐπισκόπου Ἀμασείας. (γ) Ὁ Φώτ. ἐν τῷ αὐτῷ κώδ. ἐν σελ. 1499. καὶ 1502. τῆς Μυριοβίβλ. (δ) Τὰ περὶ τοῦ Σκύθου οὕτω καθιστορεῖ ὁ Φώτιος· ὅτι Σκύθην, φησί, θᾶττόν τε ἑλληνίδα μαθόντα φωνὴν, εἰς μειρακίων ἡλικίαν ἄρτι προελθόντα· εἶτα τοῦ ὠνησαμένου δεσπότου μαθήμασιν ἐλευθερίοις αὐτὸν ἐκδεδωκότος, τοσοῦτον ἐπιδοῦναι τούτοις, καὶ γενέσθαι κατὰ πολλὰ τῶν μαθημάτων περιδέξιον, ὡς καὶ παρ' Ἕλλησι καὶ παρὰ Ῥωμαίοις λαμπρὸν γενέσθαι καὶ περιβόητον· ἐπειδὴ καὶ νόμων ὤφθη διδάσκαλος. ὁ δ' ὠνησάμενος Σύρος ἦν, Ἀντιοχέας πολίτης, καὶ Γραμματικῆς παίδων διδάσκαλος. γενέσθαι δὲ καὶ μαθητὴν ἑαυτοῦ, φησὶν ὁ φιλάρετος οὗτος Ἀστέριος, τοῦ ἀργυρωνήτου τούτου Σκύθου. Πάνυ πιθανὸν ἄρα ἔοικεν, ἐν Ἀντιοχείᾳ τὸν Ἀστέριον τραφῆναί τε καὶ παιδευθῆναι. ὁ γὰρ τὸν Σκύθην ὠνησάμενος, Ἀντιοχέας πολίτης. εἰ δὲ πρότερον αὐτὸν ὧδε μαθήμασιν ἐκδιδόμενον, εἶθ' οὕτως ὑπ' αὐτῷ ἐμαθήτευσε, παῖς ἄρα ἦν ὅτε τὸν Σκύθην ἑώρα διδασκόμενον. μή τί γε δὲ καὶ πατρὶς τῷ Ἀστερίῳ ἡ Ἀντιόχεια. (ε) Ἐστι δ' οὖν καὶ ὁ καθ' ἡμᾶς βίος τῇ πείρᾳ παρέδωκεν. ὅτε γὰρ ὁ βασιλεὺς ἐκεῖνος ὁ τὸ προσωπεῖον τοῦ Χριστιανοῦ ἀθρόως ἀποθέμενος, γυμνώσας δὲ τὸ δρᾶμα τὸ κωμικὸν, ὃ ἐν πολλῷ τῷ χρόνῳ καθυπεκρίνατο, αὐτός τε ἀναιδῶς ἔθυε Δαίμοσι, κτ. Αὐτ. ὁ Ἀστέρ. ἐν τῷ κατὰ Πλεονεξίας λόγῳ. (ἐν σελ. 43. τῆς κατὰ τὴν Ἀντβερπ. ἐκδόσ.) ἐκ τούτων δῆλον, ὡς οὐκ ἐγγὺς, ὥς φασιν ὅ, τε Φαβρίκιος, (ἐν τεύχ. 8. σελ. 607. τῆς ἑλλην. βιβλιοθ. testatur se vicinum aetatis Iuliani.) καὶ ὁ Κάβε (ἐν σελ. 372. τοῦ 1. Τόμ. περὶ ἐκκλησιας. συγγραφ. a Iuliani Imp. temporibus, ipsomet teste, non longe remotus.) ἀλλ' ἐν αὐτοῖς τοῖς τοῦ Ἰουλιανοῦ ἤκμασε χρόνοις. τοῦτο γὰρ ἐμφαίνει τὸ, καὶ ὁ καθ' ἡμᾶς βίος τῇ πείρᾳ παρέδωκεν, ὡς καὶ νηπίοις κατιδεῖν ῥᾴδιον. (ζ) Ποῦ οἱ ὕπατοι; τοὺς χθὲς καὶ πρώην ἀρίθμησον. οὐχ ὁ μὲν, (τὸν Ῥουφῖνον αἰνοῦ. ὅρα τὰς σημειώσ. τοῦ Οὐαλεσ. τὰς εἰς τὸ 7. κεφ. τοῦ 8. βιβλ. τοῦ Σωζομ.) ὡς οἱ κακοῦργοι τῆς κεφαλῆς ἀπετμήθη, πλήθους ὁπλιτεύοντος ἀθρόᾳ κινήσει περιπεσών· ἐπομπεύθη δὲ μετὰ θάνατον μᾶλλον ἢ ὅτε φερόμενος ἐπὶ τοῦ δίφρου ἐγαυρία τοῦ ἀξιώματος; ἄλλος δὲ, (τὸν Τιμάσιον αἰνίττεται, οὐχὶ δὲ τὸν Εὐτρόπιον, ὡς ἐπισφαλῶς εἴρηκεν ὁ Φαβρίκιος. περὶ οὗ ὅρα τὸν Σωζόμ. αὐτ.) μετὰ στρατηγίας, τῆς αὐτῆς ταύτης ἐπιτυχὼν τιμῆς, κακῶς ἐν ταῖς ἐσχατιαῖς Αἰγύπτου καὶ τῆς Λιβύης ἀπώλετο; ὁ Ἀστέρ. ἐν τῷ τῶν Καλανδ. κατηγορικ. λόγ. σελ. 51. τῆς εἰρημ. ἐκδόσ. (η) Ὅρα τὸν Οὐαλέσ. αὐτ. (θ) Ὁ Φώτ. ἐν τῷ 125. τῶν Ἀμφιλοχ. ζητήμ. κατὰ τὴν τοῦ Φαβρικ. μαρτυρ. αὐτ. (ι) Ἐτυπώθησαν ἐν Ἀντβερπ. κατὰ τὸ 1615. ἔτος. ἔτι δὲ καὶ ἐν Παρισ. ἐν τῷ 13. Τόμ. τῆς τῶν Πατέρ. βιβλιοθ. τῆς κατὰ τὸ 1644, καὶ 1654. ἔτ. ἐκδοθείσ. (κ) Συνεξεδόθησαν τῷ 1. Τόμ. τοῦ νέου Αὐκτάρ. τῆς τῶν Πατέρ. βιβλιοθ. τοῦ κατὰ τὸ 1648. ἔτος ὑπὸ τοῦ Κομβεφισ. ἐν Παρισ. ἐκδοθέντ. (λ) Ταύτης ἀπόσπασμα ἡ τῆς ἁγίας οἰκουμενικῆς 7. Συνόδ. ἔκτη πρᾶξ. περιέχει. ὃ δὴ καὶ ὧδε κεῖσθαι ἄξιον· ὑποτύπωσις ἀρίστη ὂν, καὶ εἰκόνος, ζῶσα, ὡς ἄν τις εἴποι, εἰκὼν, πᾶσιν ἐξωραϊσμένη τοῖς τῶν ῥητορικῶν λειμώνων ἄνθεσι. Γυνή τις, φησίν, ἱερὰ, παρθένος, ἀκήρατος, Θεῷ τὴν σωφροσύνην καθιερώσασα, Εὐφημίαν καλοῦσιν αὐτήν. τυράννου δέ ποτε τοὺς εὐσεβοῦντας ἐλαύνοντος, μάλα προθύμως τὸν ἐπὶ θανάτῳ εἵλετο κίνδυνον. οἱ δὲ δὴ πολῖται καὶ κοινωνοὶ τῆς θρησκείας, ὑπὲρ ἧς ἐτελεύτησεν, ὡς ἀνδρείαν ὁμοῦ καὶ ἱερὰν τὴν παρθένον θαυμάσαντες, πλησίον τοῦ ἱεροῦ τὴν θήκην δειμάμενοι, καταθέμενοί τε τὴν λάρνακα, τιμὰς τελοῦσιν αὐτῇ, καὶ τὴν ἐτήσιον ἑορτὴν, κοινὴν καὶ πάνδημον ποιοῦνται πανήγυριν. οἱ μὲν οὖν τῶν τοῦ Θεοῦ μυστηρίων ἱεροφάνται καὶ λόγῳ τιμῶσι τὴν μνήμην ἀεὶ, καὶ ὅπως ἐξετέλεσε τὸν τῆς καρτερίας ἀγῶνα, ἐπιμελῶς τοὺς συνιόντας λαοὺς ἐκδιδάσκουσιν. ὁ δὲ δὴ ζωγράφος, εὐσεβῶν καὶ αὐτὸς διὰ τῆς τέχνης τὰ κατὰ δύναμιν, πᾶσαν τὴν ἱστορίαν ἐν σινδόνι χαράξας, αὐτοῦ που περὶ τὴν θήκην ἱερὸν ἀνέθηκε θέαμα. ἔχει δὲ ὧδε τὸ φιλοτέχνημα· ὑψηλὸς ἐπὶ θρόνου καθίδρυται δικαστὴς, πικρὸν καὶ δυσμενὲς βλέπων εἰς τὴν παρθένον· ὀργίζεται γὰρ ὅταν ἐθέλῃ κἂν ταῖς ἀψύχοις ὕλαις ἡ τέχνη· δορυφόροι δὲ τῆς ἀρχῆς καὶ στρατιῶται πολλοί· οἱ μὲν τῶν ὑπομνημάτων ὑπογραφεῖς δέλτους φέροντες καὶ γραφίδας· ὧν θάτερος ἀναρτήσας ἀπὸ τοῦ κηροῦ τὴν χεῖρα, βλέπει πρὸς τὴν κρινομένην σφοδρῶς, ὅλον ἐκκλίνας τὸ πρόσωπον, ὥσπερ παρακελευόμενος, γεγωνότερον λαλεῖν· ἵνα μὴ κάμνων περὶ τὴν ἀκοὴν, ἐσφαλμένα γράφῃ καὶ ἐπιλήψιμα. ἕστηκε δὲ ἡ παρθένος ἐν φαιῷ χιτῶνι καὶ ἱματίῳ τὴν φιλοσοφίαν σημαίνουσα· ὡς μὲν ἔδοξε τῷ γραφεῖ, καὶ τὴν ὄψιν ἀστεία, ὡς δὲ ἐμοὶ δοκεῖ, τὴν ψυχὴν κεκαλλωπισμένη ταῖς ἀρεταῖς. ἄγουσι δὲ αὐτὴν πρὸς τὸν ἄρχοντα δύω στρατιῶται, ὁ μὲν ἕλκων ἐπὶ τὸ πρόσω, ὁ δὲ κατόπιν ἐπάγων κεκραμένον τῆς παρθένου τὸ ἦθος αἰδοῖ καὶ στερρότητι. νεύει μὲν γὰρ εἰς γῆν, ὥσπερ ἐρυθριῶσα τὰς ὄψεις τῶν ἀρρένων· ἕστηκε δὲ ἀκατάπληκτος, οὐδὲν πάσχουσα πρὸς τὸν ἀγῶνα δειλόν. ὡς ἔγωγε τοὺς ἄλλους τέως ἐπῄνουν ζωγράφους, ὅτ' ἐθεασάμην τῆς γυναικὸς ἐκείνης τῆς Κολχίδος τὸ δρᾶμα· ὅπως μέλλουσα τοῖς τέκνοις ἐπιφέρειν τὸ ξίφος, ἐλέῳ καὶ θυμῷ μερίζει τὸ πρόσωπον· καὶ θάτερος μὲν τῶν ὀφθαλμῶν τὴν ὀργὴν ἐμφανίζει, θάτερος δὲ τὴν μητέρα μιννύει φειδομένην καὶ φρίττουσαν. νῦν δὲ τὸ θαῦμα ἀπ' ἐκείνης τῆς εὐνοίας πρὸς ταύτην μετέθηκα τὴν γραφήν. καὶ σφόδρα γε ἄγαμαι τοῦ τεχνίτου, ὅτι μᾶλλον ἔμιξε τῶν χρωμάτων τὸ ἦθος, αἰδῶ τε ὁμοῦ καὶ ἀνδρείαν κεράσας, πάθη κατὰ φύσιν μαχόμενα. προβαινούσης δὲ εἰς τὸ πρόσω τῆς μιμήσεως, δήμιοί τινες ἐν χιτωνίσκοις γυμνοὶ ἤδη ἤρχοντο τοῦ ἔργου. καὶ ὁ μὲν δραξάμενος τῆς κεφαλῆς, καὶ

Τὰ Ἀμφίβολα.

Εἰς τὸν δʹ Ψαλμόν [α]. Πάντε ὁμιλίαι εἰς τὸν εʹ Ψαλμόν. Εἰς τὸν ϛʹ ἄλλη, ὁμοίως καὶ εἰς τὸν ζʹ [β]. Λόγος προτρεπτικὸς περὶ μετανοίας [γ]. Εἰς τὴν παρείσβασιν τῶν νηστειῶν [δ].

Τὰ Ἀνέκδοτα ἢ Ἐκλελοιπότα.

1. Εἰς τὸ, ἄνθρωπός τις κατέβαινεν ἀπὸ Ἱερουσαλὴμ εἰς Ἱεριχώ. 2. Εἰς τὸ, ἄνθρωποι δύο ἀνέβαινον εἰς τὸ ἱερὸν προσεύξασθαι. 3. Εἰς τὸν Ζακχαῖον. 4. Εἰς τοὺς δύο υἱοὺς τοὺς παρὰ τῷ Λουκᾷ. 5. Εἰς τὸν δοῦλον τοῦ Ἑκατοντάρχου, ὃν ὁ Κύριος ἐθεράπευσεν. 6. Εἰς τὸν Ἰάειρον καὶ τὴν Αἱμοῤῥοοῦσαν [ε]. Ἐγκώμιον τοῦ ἁγίου ἱερομάρτυρος Βασιλέως ἐπισκόπου Ἀμασείας [ζ].

ΒΑΣΙΛΕΙΟΣ ὁ Σελευκείας ἐπίσκοπος [η], ὁ τοῦ μακαρίου Ἰωάννου φίλος εἶναι ἔοικε καὶ ὁμορόφιος τοῦ Χρυσοστόμου [θ], τοῦ δι' αὐτὸν τοὺς περὶ ἱερωσύνης συντεταχότος λόγους. ἔτος οὖν ἐν μὲν τῇ κατὰ τὸ 448. ἔτος ἐν Κωνσταντινουπόλει συγκροτηθείσῃ τοπικῇ παραστὰς Συνόδῳ, τῇ κατὰ τοῦ δυστυχοῦς Εὐτυχοῦς [ι], αὐτῷ τε γενναίως ἀντέστη καὶ τῇ κατ' αὐτοῦ ἐξενεχθείσῃ προθύμως καθυπέγραψε ψήφῳ· ἐν δὲ τῷ κατὰ τὸ ἐφεξῆς ἔτος συστάντι λῃστρικῷ Συνεδρίῳ [κ], ἀνάγκῃ, ὡς αὐτός φησι [λ], καὶ αἰδοῖ καὶ φόβῳ, ὃ οὐκ εἰκὸς παθεῖν, ἀγεννῶς ἔπαθε, τὸν δυσσεβῆ στέρξας ὅρον, καὶ τῇ τοῦ ἁγιωτάτου καθυπογράψας Φλαβιανοῦ καθαιρέσει. ἀλλὰ γὰρ τὸ ἐξ ἀσθενείας καὶ κουφότητος αὐτοῦ ἐπιγινὲς παράπτωμα, παῤῥησίᾳ ἐνώπιον τῶν ἐν Χαλκηδόνι συνελθόντων ἁγίων ἐξήγγειλε πατέρων, συγγνώμην αἰτήσας, καὶ τὰς δύο Χριστοῦ τοῦ σωτῆρος φύσεις, ὀρθοδόξως ὁμολογήσας, καὶ ἀνακηρύξας τρανώτατα. ὅθεν ὑπ' αὐτῶν ὁμοφώνως τῷ τῶν εὐσεβέντων ἐπισκόπων χορῷ συγκατηρίθμηται [μ]. καὶ ἔτει δὲ 458. [ν] σὺν τῇ περὶ αὐτὸν ἐν Ἰσαυρίᾳ Συνόδῳ, δι' ἐπιστολῆς [ξ] τὴν ἐν Χαλκηδόνι προσεπικυρούσης ἁγίαν Σύνοδον, ὑπὲρ τῆς καθαιρέσεως τὸν αὐτοκράτορα ἠξίωσε Λέοντα Τιμοθέου τοῦ Αἰλούρου, τοῦ τῆς Ἀλεξανδρείας ἐπιβάντος τῷ θρόνῳ. πόσον δὲ μετὰ ταῦτα τὸν βίον παρέτεινε χρόνον, ἄδηλον.

Τῶν συγγραμμάτων * αὐτοῦ ἔκδοσις τῶν ἄλλων πληρεστέρα τε καὶ ἀκριβεστέρα ἡ κατὰ τὸ 1622. ἔτος ἐν Παρισίῳ γενομένη [ο]. λείπει δὲ αὐτῇ ἡ ὁμιλία περὶ τοῦ ἁγίου Στεφάνου [π], ἡ πρὸς Λέοντα τὸν αὐτοκράτορα ἐπιστολὴ [ρ], καὶ ἡ εἰς τὸν μακάριον Ἰὼβ ὁμιλία [σ].

ΕΥΣΕΒΙΟΣ ὁ διὰ τὴν πρὸς τὸν ἱερομάρτυρα Πάμφιλον διάπυρον εὔνοιάν τε καὶ φιλίαν ἐπικληθεὶς Παμφίλου [τ], περὶ που μὲν τὰ τοῦ τρίτου ἀπὸ Χριστοῦ τοῦ Σωτῆρος αἰῶνος τέλη (περὶ τὸ 270. ἔτος τυχὸν [υ].) γεννηθεὶς, ἐν τῇ

ἀνακλίνας εἰς τὸ κατόπιν, παρεῖχε τῷ ἑτέρῳ εὐτρεπὲς εἰς τιμωρίαν τῆς παρθένου τὸ πρόσωπον· ὁ δὲ παραστὰς, ἐξέκοπτε τῶν ὀδόντων. σφῦρα δὲ καὶ τέρετρον φαίνεται τῆς τιμωρίας τὰ ὄργανα. δακρύω δὲ τὸ ἐντεῦθεν· καὶ μοι τὸ πάθος ἐπικόπτει τὸν λόγον. τὰς γὰρ τοῦ αἵματος σταγόνας οὕτως ἐναργῶς ἐπέχρωσεν ὁ γραφεὺς, ὥστε εἴποις ἂν προχεῖσθαι τῶν χειλέων ἀληθῶς, καὶ θρηνήσας ἀπέλθοις. δεσμωτήριον μετὰ ταῦτα. καὶ πάλιν ἡ παρθένος σεμνὴ ἐν τοῖς φαιοῖς ἱματίοις κάθηται μόνη, ἐκτείνασα τὼ χεῖρε πρὸς οὐρανὸν, καὶ καλοῦσα Θεὸν ἐπίκουρον τῶν δεινῶν. εὐχομένῃ δὲ αὐτῇ φαίνεται ὑπὲρ κεφαλῆς τὸ σημεῖον, ὃ δὴ νόμος Χριστιανοῖς προσκυνεῖν τε καὶ ἐπιγράφεσθαι· σύμβολον οἶμαι τοῦ πάθους, ὅπερ αὐτὴν ἐξεδέχετο. εὐθὺς γοῦν καὶ μετ' ὀλίγον πῦρ ἀλλαχοῦ σφοδρὸν ὁ ζωγράφος ἀνῆψεν, ἐρυθρῷ χρώματι ἔνθεν καὶ ἔνθεν ἐπιλαμφθέντι σωματοποιήσας τὴν φλόγα. ἵστησι δὲ μέσην αὐτὴν, τὰς χεῖρας πρὸς οὐρανὸν διαπλώσασαν, ἀχθηδόνα δὲ οὐδεμίαν ἐπιφαίνουσαν τῷ προσώπῳ, ἀλλὰ τοὐναντίον γεγηθυῖαν, ὅτι πρὸς τὴν ἀσώματον καὶ μακαρίαν ἐξεδήμει ζωήν. μέχρι τούτου καὶ ὁ ζωγράφος ἔστησε τὴν χεῖρα, κἀγὼ τὸν λόγον. ὥρα δέ σοι καὶ αὐτὴν, εἰ βούλει, τελέσαι τὴν γραφήν· ἵνα κατίδῃς ἀκριβῶς, εἰ μὴ πολὺ κατόπιν τῆς ἐξηγήσεως ἤλθομεν. Παραλόγως δὲ περὶ τῆς τούτου γνησιότητος ἀμφιβάλλει ὁ Κάβε. (ἐν Τόμ. 1. σελ. 372. περὶ ἐκκλησιαστ. συγγραφ.) ἱκαναὶ γὰρ μαρτυρίαι ἥ τε τῆς 7. οἰκουμεν. Συνόδ. καὶ ἡ τοῦ Φωτίου, (ἐν κώδ. 271. σελ. 1502. τῆς Μυριοβίβλ.) καὶ ἡ τοῦ Πάπα Ἀδριανοῦ τοῦ 2. (ἐν τῷ περὶ εἰκόν. βιβλ. παρὰ Φαβρικ. αὐτ.) ὁ δ' αὐτός φησι, Stylus enim repugnat, ne de aliis dicam· ἢ ὅλως τὰ τοῦ Ἀστερίου ἀγνοοῦντα αὐτὸν ἐμφαίνει, ἢ τῶν τοιούτων κριτὴν ἀμαθῆ καὶ πάντη ἄκριτον, ἢ προφανῶς ἐθελοκακοῦντα κατὰ τῆς ἐκφράσεως ταύτης· ἅτε δὴ τὴν τῶν ἱερῶν εἰκόνων συνιστώσης προσκύνησιν. ἀκουέτω γὰρ τοῦ κριτικωτάτου κριτοῦ Φωτίου λέγοντος· (αὐτ.) Ἡ ἐνταῦθα τοῦ ὀφθαλμοῦ ἔκφρασις, καὶ ἡ τῆς εἰκόνος, ἣ τῆς ἁγίας Εὐφημίας εἰκονίζει τὴν μορφὴν, πολλὴν εἰς κάλλος τὴν συγγένειαν φέρει, ὡς μὴ ἕτερον καὶ ἕτερον, ἀλλ' αὐτὸν εἶναι δημιουργὸν ἑκατέρας ἐκφράσεως. (μ) Ἐξεδόθη σὺν τῷ εἰρημ. Ἀσκληρ. ὑπὸ Κομβεφισ.

(α) Τοῖς τοῦ Χρυσοστ. συνετυπώθη πονήμασιν ὑπὸ Σαβίλ. περιέχεται δὲ ὑπὸ τοῦ 5. Τόμ. τῆς τοῦ Μοντφαυκον. ἐκδόσ. καὶ βούλεται μὲν ὁ Κοτελὲρ, (ὅρα τὸν Φαβρίκ. αὐτ. σελ. 610.) τοῦ Ἀστερίου τὴν ἀνάπτυξιν εἶναι, ἀλλὰ γὰρ οὐ δοκεῖ. (β) Συνεξεδόθ. ὑπὸ Κοτελ. τοῖς ὑπομνήμ. εἰς τὴν τῶν Γραικ. Ἐκκλησ. ἐν Τόμ. 2. κατὰ τὸ Παρίσ. ἔτει. 1688. ἐπεὶ δὲ καὶ Ἀστέριος ὁ Καππάδοξ ὁ ἀρειανὸς, καὶ Ἀστέριος ὁ Σκυθοπολίτης ὑπομνημάτων εἰς τοὺς Ψαλμοὺς συγγραφεῖς, κατὰ τὴν τοῦ Ἱερωνύμου μαρτυρίαν, (ἐν ἐπισ. 89.) τίνος τούτων αἱ ὁμιλίαι οὐ πάνυ δῆλον. (γ) Τοῖς τοῦ Νύσσης συνεκδέδοται συγγράμμασιν, ἀρχόμενος, Ἀνὴρ Φαρισαῖος. Ἀστερίῳ δ' ἐπιγράφει ὁ Φώτιος ἐν τῷ αὐτῷ κώδ. (δ) Ὁμοίως καὶ οὗτος, ἀρχόμενος, Σύνθετον ζῶον ὁ ἄνθρωπος. (ε) Τούτων πάντων ἀποσπασμάτια κεῖται ἐν τῷ εἰρημένῳ τοῦ Φωτίου κώδικι. (ζ) Μνεία τούτου ἐν τῷ τοῦ ἁγίου Σάββα τυπικῷ κατὰ τὴν 26. Ἀπρίλ. καθ' ἣν ἡ αὐτοῦ τελεῖται μνήμη. (η) Ἡ δὲ Σελεύκεια μέρος ἐστὶν Ἰσαυρίας, πρὸς μὲν δυσμὰς ὁριζομένη ὑπὸ τοῦ Ταύρου, ἐν ᾧ κατοικοῦσιν Ἴσαυροι· πρὸς δὲ τὰς ἀνατολὰς ἀποκέκλεισαι παρὰ τῶν Κιλικίας ὀρέων, ἐν οἷς εἰσὶ πόλεις παραθαλάσσιοι, πρώτη μὲν αὐτὴ Σελεύκεια, κτ. Κωνσταντῖν. ὁ Πορφυρογεν. (ἐν θέμ. 13. τοῦ 1. μέρ. τοῦ 1. βιβλ.) Ἔστι δὲ ἡ Ἰσαυρία ἐν τῇ μικρᾷ Ἀσίᾳ. ὁ Αὐτ. (αὐτ. ἐν θέμ. 1.) Μεταξὺ Λυκαονίας καὶ Κιλικίας πρὸς τῷ Ταύρῳ. ὁ Στέφαν. (ἐν τῷ περὶ Πόλ.) πέντε δὲ πόλεις ἐν τῇ μικρᾷ Ἀσίᾳ τῷ Σελευκείας ὀνόματι καλουμένας ἐκλίθησιν ὁ Βαυδράντ. ἐν τῷ Λεξικ. (θ) Ὁ Φώτιος, (ἐν κώδ. 168.) ὁ δὲ Σουΐδας (ὁ χειρόγραφ. ὁ ἐν τῇ κατὰ τὴν Ἀντβερπ. βιβλιοθ. σωζόμενος, ὡς μαρτυρεῖ ὁ Δανσκαῖος ἐν ταῖς εἰς τὸν Βασίλ. Σελευκ. σημειώσ. σελ. 317.) φησί· Βασίλειος ἕτερος Σελευκείας, ἑταῖρος τοῦ Χρυσοστόμου, πρὸς ὃν ἐν τοῖς περὶ ἱερωσύνης λόγοις διαλέγεται. τοῦτο τῷ Κάβε (ἐν Τόμ. 1. περὶ Ἐκκλησιαστ. συγγραφ. σελ. 441.) πάνυ ἀπίθανον ἔοικεν, ὡσαύτως καὶ τῷ Μοντφαυκον. (ἐν Τόμ. 1. τῶν τοῦ Χρυσοστ. σελ. 361.) καθότι ἄχρι τοῦ 458. ἔτους ζῶν διετέλει ὁ Βασίλειος. ἀλλ' ἐπεὶ κατ' αὐτὸν τὸν Μοντφαυκ. (αὐτ. ἐν σελ. 363.) ὅτε ὁ θεῖος Χρυσόστομος τὸ ἐπισκοπικὸν αὐτὸν ἀναδέξασθαι προέτρεψεν ἀξίωμα, ὁ μεταξὺ ἦν τῶν 372, καὶ 375. ἐτῶν χρόνος· εἰ ὁ Βασίλειος εἰκοσαετὴς ἢ καὶ εἰκοσιπεντέτης ἦν τότε, οὐκ ἀπίθανον μέχρι τοῦ 458. ἔτους παρατεῖναι τὸν βίον. τηνικαῦτα γὰρ περίπου τὸ 106. τῆς ἡλικίας αὐτοῦ ἦγεν ἔτος. καὶ ὅτι μὲν πάνυ νέος τῆς ἀρχιερατικῆς ἔτυχε χειροτονίας, δηλοῖ ὁ Χρυσόστομος, (ἐν τῷ περὶ ἱερωσύν. 1. λόγ.) λέγων· καὶ τηλικούτους ἀφέντες ἄνδρας, μειράκια χθὲς καὶ πρώην ἔτι ταῖς τοῦ βίου μερίμναις ἐγκαλινδούμενα, ἵνα χρόνον βραχὺν τὰς ὀφρῦς συναγάγωσι, καὶ φαιὰ περιβάλλωνται, καὶ κατήφειαν ὑποκρίνωνται, ἐξαίφνης εἰς τοσαύτην ἤγαγον τιμὴν, ὅσην οὐδὲ ὄναρ λήψεσθαι προσεδόκησαν, κτ. ὅτι δὲ καὶ γεγήρακεν ὁ Βασίλειος, αὐτὸς οὗτος (ἐν τῷ εἰς τὰ ἀναιρεθέντ. νήπια λόγ.) ἐμφαίνει, βοῶν· Πάλιν ὁ γέρων ἐγὼ πρὸς τὸ τῶν λόγων ἄγομαι στάδιον. (ι) Ὅρα τὰ Πρακτικὰ αὐτῆς, τὰ ἐν τῇ 1. κείμενα πράξ. τῆς ἐν Χαλκηδ. οἰκουμεν. Συνόδ. ἐν Τόμ. 3. σελ. 80-127. τῆς τοῦ Βιν. ἐκδόσ. (κ) Τὰ τούτου πρακτικ. ἐν τῇ εἰρημ. 1. πράξ. κεῖται, ἐν σελ. 61. τοῦ αὐτ. Τόμ. (λ) Ὅρα τὴν αὐτὴν πράξ. αὐτ. ἐν σελ. 75. (μ) Ὅρα τὴν 4. πράξ. τῆς αὐτ. Συνόδ. τὴν ἐν σελ. 309. τοῦ αὐτ. Τόμ. (ν) Ὁ Κάβε. αὐτ. (ξ) Ῥωμαϊστὶ μόνον ἐκδέδοται ἐν σελ. 521. τοῦ αὐτοῦ Τόμ.

* Ἐν τούτοις οὖν αὐτοῦ τοῖς λόγοις, φησὶν ὁ Φώτιος, (αὐτ.) τὸ μὲν τροπικὸν καὶ γοργὸν, καὶ τὸ πάρισον, εἴπερ ποτέ τινι καὶ ἄλλῳ, ἐστὶν ἰδεῖν αὐτῷ δημιουργήμενον. καὶ τὸ σαφὲς δὲ καὶ ἡδὺ διατρέφει. τὸ δὲ λίαν προσκορὲς τῆς τροπῆς καὶ τῶν γοργιείων σχημάτων, μᾶλλον δὲ τὸ συνεχὲς καὶ ἄκρατον καὶ ἀδιάπαυστον, εἰς ἀηδίαν καὶ διαβολὴν τὸν ἀκροατὴν διεγείρει, καὶ ψόγον κινεῖ τοῦ συγγραφέως· οὐκ ἔχοντος, ὡς ἔοικε, τέχνῃ τὴν φύσιν ῥυθμίσαι, καὶ κανόνι τὸ ἄτακτον διατάξαι· πλεονάζων δ' ὅμως ταῖς τροπαῖς, καὶ αὐτὸ τῆς τροπολογίας πηγάζων τὸ εἶδος, ἅτε εἰς ψυχρολογίαν, εἰ μὴ εἰς ἐλάχιστον, ἐκφέρεται· οὔτε ἀσαφείᾳ σκοτίζει τὸ νόημα, ἀλλὰ τῇ τραχύτητι τῶν κώλων καὶ τῶν περιόδων, καὶ τῇ ἐμφάσει τῶν λέξεων, τῆς τροπολογίας περιαιρεῖται τὸ δύσληπτον. ἀλλ' οὖν, ὅπερ ἔφην, ὁ κόρος τὴν χάριν ἀμβλύνει· καὶ τὸ ἄκρατον τῆς τροπῆς, τοὺς νόμους τῆς τέχνης οὐκ ἐᾷ παῤῥησιάσασθαι. (ο) Τὸν βίον καὶ τὰ θαύματα τῆς ἁγίας παρθενομάρτυρος Θέκλης τὰ ἐν τῇ αὐτῇ ἐκδόσει, νόθα ἡγεῖται ὁ Κάβε, (αὐτ.) τὸν Φώτιον εἰς μέσον ἄγων, λέγοντα· ἔστι δὲ Βασίλειος οὗτος ὁ καὶ μέτροις ἐντείνας τὰ τῆς πρωτομάρτυρος Θέκλης ἔργα καὶ ἆθλα καὶ νικητήρια. ἀλλ' ἐπεὶ πολλὰ συνέθετο περὶ τῆς Θέκλης ὁ Βασίλειος, ὡς αὐτὸς ἐν τῷ περὶ τῶν θαυμάτων τῆς μάρτυρος πονήματι ἐπιβεβαιοῖ, λέγων· εἴρηται δὲ ἡμῖν περὶ τῆς Μάρτυρος πολλά τε καὶ μάλιστα κατὰ τὸ προλαβὸν περὶ αὐτῆς σύνταγμα· ἐνδέχεται ἄρα, ἐκλιπεῖν μὲν τὰ ἔμμετρα, περὶ ὧν διείληφεν ὁ Φώτιος, σωθῆναι δὲ τὰ λογογραφικὰ, καὶ αὐτὰ ταῦτα εἶναι τὰ ἐκδεδομένα. ἰστέον δὲ, ὅτι ἡ ἔκδοσις αὕτη καὶ τὰ τοῦ Γρηγορίου τοῦ θαυματουργοῦ, καὶ τὰ τοῦ Μακαρίου περιέχει συγγράμματα, ἔτι δὲ καὶ τὰς τοῦ Ζωναρᾶ, εἰς τὰς κανονικὰς τῶν Πατέρων ἐπιστολὰς, ἐξηγήσεις. (π) Ἐτυπώθη μετά καί τινων τοῦ Χρυσοστόμου ὁμιλιῶν κατὰ τὸ 1656. ἔτος ὑπὸ Κομβεφισ. ἐν Παρισ. (ρ) Συνεξεδόθη τοῖς Πρακτ. τῶν Συνόδ. ὅρα τὴν ξʹ σημείωσ. (σ) Ἀνέκδοτος ἔτι, ἀρχομένη οὕτως· Ὥσπερ οἱ κατὰ γῆν βασιλεύοντες τοὺς ὑπὲρ αὐτῶν ἐν παρατάξεσιν ἀριστεύσαντας. μέμνηται αὐτῆς ὁ Ἀλάτ. ἐν σελ. 115. τοῦ συντάγμ. περὶ τῶν συγγραμ. τῶν Συμεών. παρὰ Φαβρικ. ἐν σελ. 136. τοῦ 8. τεύχ. τῆς ἑλλην. βιβλιοθ. (τ) Ὁ Ἱερώνυμ. ἐν τῷ καταλόγ. τῶν ἐκκλησιαστ. συγγραφ. καὶ ὁ Φώτ. ἐν κώδ. 13. ὁ δὲ Νικηφόρος ὁ Κάλλιστος (ἐν κεφ. 37. τοῦ 6. βιβλ.) ἀδελφιδοῦν τοῦ Παμφίλου εἶναί φησι τὸν Εὐσέβιον. ὃ δὴ οὐ λίαν πιθανόν. καὶ γὰρ ἐν πολλοῖς (ἐν βιβλ. 6. κεφ. 32, καὶ βιβλ. 7. κεφ. ἐσχ. καὶ βιβλ. 8. κεφ. 13. τῆς ἱστορ. καὶ πάλιν ἐν τῷ περὶ τῶν Μαρτύρ. ἐν κεφ. 7, καὶ 11.) ὁ Εὐσέβιος περὶ τοῦ Παμφίλου διαλαμβάνων, οὐδέποτε ὡς συγγενοῦς μνημονεύει. (υ) Ὁ Κάβ. ἐν Τόμ. 1. σελ. 175. περὶ ἐκκλησιαστ. συγγραφ.

ἐν τῇ κατὰ τὴν Παλαιστίνην Καισαρείᾳ καὶ κατήχηται, καὶ πεπίστευκε, καὶ τοῦ θείου λουτροῦ, καὶ τοῦ πρεσβυτερίου κατηξίωται [α]· ὅθεν καὶ πατρίδα αὐτὴν ἐσχηκέναι τὴν Καισάρειαν πάνυ πιθανὸν ἔοικε· κατὰ δὲ τὸ 307. ἔτος [β] τὸν ἐν εἱρκτῇ Πάμφιλον συνεχῶς ἐπισκεπτόμενος, σὺν αὐτῷ ἐκεῖ τοὺς πέντε ὑπὲρ Ὠριγένους συνετάξατο τόμους, μόνος ἔπειτα [γ] τὸν ἕκτον ἀπαρτίσας [δ]. μετὰ διετίαν δὲ τῆς τοῦ Παμφίλου διὰ μαρτυρίου τελευτῆς, ἐπὶ τὴν Τύρον ἀφικόμενος, τούς τε ἐν αὐτῇ τῶν ἁγίων Μαρτύρων αὐτοψεὶ ἐθεάσατο ἀγῶνας, καὶ τὰ ἐν τοῖς σκάμμασιν αὐτῶν τερατουργήματα [ε]. εἶτα εἰς τὴν Αἴγυπτον ἐλθών, χαλεπωτέρους τοὺς κατὰ τῶν Χριστωνύμων εὗρε διωγμούς, καὶ ὠμότερα τὰ ὑπὸ τῶν τυράννων ἐπινοούμενα βασανιστήρια [ς]. ὅπου δὴ καὶ αὐτὸς σὺν Ποτάμωνι τῷ Ἡρακλείας ἐπισκόπῳ δεσμὰ ὑποστάς, καὶ ἀβλαβὴς ἐκ τοῦ δεσμωτηρίου ἐξελθών, ὑποψίας παρέσχεν ἀφορμήν, ἤτοι πρᾶξαι, ἢ ὑποσχεθῆναι τοῖς διώκουσι τὸ ἀθέμιτον [η]. τοῦ διωγμοῦ δὲ τέλος εἰληφότος, καὶ τοῦ Καισαρείας Ἀγαπίου [θ] τῶν τῇδε μεταστάντος, αὐτὸς τὴν ἐπισκοπὴν διαδέχεται. περὶ δὲ τὸ 316. ἔτος [ι], ἐγκαινίων τοῦ περικαλλεστάτου ναοῦ τελουμένων, ὃν ἐν Τύρῳ ὁ Τύρου ἐπίσκοπος Παυλῖνος ἀνεδήματο, καὶ πολλῶν ἐπισκόπων συνεληλυθότων καὶ ἀρχόντων, πανηγυρικὸν τῷ Παυλίνῳ προσπεφώνηκε λόγον [κ]. τῇ ἐν ἔτει δὲ 325. κατὰ τὴν Νίκαιαν συγκροτηθείσῃ οἰκουμενικῇ ἁγίᾳ πρώτῃ Συνόδῳ παραστάς [λ], ἐκ ἀπεριστέπτως, ὡς αὐτός φησιν [μ], τὴν τοῦ ὁμοουσίου φωνὴν παραδεξάμενος, τῷ συνοδικῷ καθυπέγραψεν ὅρῳ· ὃν δὴ καὶ ὡς ἀποστολικόν τε καὶ πατροπαράδοτον τοῖς Καισαρεῦσιν ἀποστείλας παρέδω. κατὰ δὲ τὸ 330. ἔτος [ν], τοῦ ὁμολογητοῦ Εὐσταθίου ὑπὸ τοῦ παρὰ τῶν Ἀρειανῶν ἐν Ἀντιοχείᾳ συστάντος Συνεδρίου, (τούτου προεξῆρχε μὲν ὁ Νικομηδείας, συμπαρῆν δὲ καὶ ὁ Καισαρείας Εὐσέβιος) συκοφαντηθέντος, καὶ διὰ τὴν συκοφαντίαν βασιλικῷ τοῦ θρόνου ἀπελαθέντος ἐπιτάγματι, διχῇ τῶν Ἀντιοχέων διαιρεθέντων, οἱ μὲν τὸν Εὐστάθιον δικαιοπραγοῦντες μένειν ἤθελον, οἱ δὲ σὺν τοῖς τὸν Εὐστάθιον καθελοῦσιν ἐπισκόποις τὸν βασιλέα ἠξίουν ἐπὶ τὸν Ἀντιοχείας θρόνον προβιβάσαι τὸν Εὐσέβιον. ὁ δὲ τὴν ἐκ ἔννομον ταύτην ἀποστραφεὶς ἀνάβασιν, πολλῶν παρ᾽ αὐτοῦ τοῦ τὴν βασιλείαν ἰθύνοντος ἠξίωται τῶν ἐπαίνων [ξ]. ἀλλὰ καὶ τῆς ἐν Τύρῳ κατὰ τὸ 335. ἔτος συστάσης Συνόδου προέστη [ο], ἐν ᾗ κριθῆναι ἔδει, τοῦ βασιλέως κελεύσαντος, τὸν πολύαθλον Ἀθανάσιον. ὅπου γε δὴ αὐτὸν μὲν καθεζόμενον, τὸν δ᾽ Ἀθανάσιον ἱστάμενον ἰδὼν ὁ Ποτάμων, δακρύσας, καὶ ζήλου „πλησθείς, παῤῥησίᾳ ἐξήλεγξεν, εἰπών· σὺ καθέζῃ Εὐ„σέβιε, καὶ Ἀθανάσιος ἀθῶος ὢν παρὰ σοῦ κρίνεται; τίς „ἐνέγκοι τὰ τοιαῦτα [π]; περὶ δὲ τὸ 340. ἔτος [ρ], πρὸ μικροῦ τῆς Κωνσταντίνου τοῦ νέου τοῦ υἱοῦ τοῦ μεγάλου Κωνσταντίνου τελευτῆς, πλήρης ἡμερῶν τὸ ζῆν ἐξεμέτρησεν [σ]. ἀνὴρ τῶν μὲν θείων Γραφῶν καὶ τῶν παρ᾽ Ἕλλησι ποιητῶν καὶ συγγραφέων πολυμαθέστατος ἴσως [τ]· πολλάς τε ἀτρύτῳ διελθὼν ἐπιμελείᾳ βίβλους, καὶ μάλιστα τὰς τῆς ἐν Αἰλίᾳ βιβλιοθήκης, τῆς ὑπὸ τοῦ αὐτῆς ἐπισκόπου συγκροτηθείσης Ἀλεξάνδρου [υ]· ὡσαύτως καὶ τὰς τῆς τοῦ Παμφίλου τῆς ἐν Καισαρείᾳ, ὧν καὶ τοὺς πίνακας παρέθηκεν [φ]· ἐν δὲ τοῖς περὶ τῆς Θεότητος δόγμασιν ἀστήρικτος, ἀκατάστατος, παλίμβολος, παλίγγλωσσος, ἀπερίσκεπτος, καὶ ὅτι ἂν ἐπ᾽ ἀκαιρίμαν αὐτῷ ἤρχετο γλῶτταν λέγων· ἐν ἐνίοις μὲν τῶν ἑαυτοῦ συγγραμμάτων δυσσεβῶν προδήλως, ἐν ἄλλοις δὲ οὐκ ἀνυπόπτως· πάλιν, ἔντισι μὲν ἀνυποστόλως ἀρειανίζων, ἐν ἄλλοις δὲ ὑποσυνεσταλμένως, καὶ οἱονεὶ δολίως. ἔνθεν τοι πολλοὶ μὲν [χ] αὐτὸν τοῖς ὁμόφροσιν Ἀρείῳ συγκαταλέγουσι, τινὲς δὲ καὶ προφασιολογεῖν διϊσχυρίζονται [ψ]. ἀλλὰ καὶ ἐν τῷ περὶ τοῦ παναγίου Πνεύματος δόγματι κακόφρων φαίνεται, πεποιημένον, δεδημιουργημένον, καὶ γεγενημένον διὰ τοῦ υἱοῦ φρονῶν τὸ Πνεῦμα [ω] ὁ δείλαιος.

Τῶν Συγγραμμάτων αὐτοῦ
Τὰ Ἐκδεδομένα.*

Χρονικὸν παντοδαπῆς ἱστορίας [2α]. Προπαρασκευῆς εὐαγγελικῆς βιβλία πεντεκαίδεκα [2β]. Εὐαγγελικῆς ἀποδείξεως

(α) Αὐτὸς ὁ Εὐσέβ. ἐν τῇ πρὸς τοὺς Καισαρεῖς ἐπιστολ. τῇ ἐν κεφ. 8. τοῦ 1. βιβλ. τοῦ Σωκράτ. (β) Ὁ Κάβε αὐτ. σελ. 176. (γ) Δωροθέῳ μαθητεῦσαι ἡγοῦνται ὅ, τε Φαβρίκιος, (ἐν τεύχ. 6. σελ. 31. τῆς ἑλλην. βιβλιοθ.) καὶ ὁ Οὐδῖνος, (ἐν Τόμ. 1. σελ. 312. περὶ ἐκκλησιας. συγγραφ.) τοῦτο συνάγοντες ἐξ ὧν περὶ τοῦ Δωροθέου αὐτὸς ὁ Εὐσέβιος (ἐν βιβλ. 7. κεφ. 32. τῆς ἱστορ.) διαλαμβάνει, λέγων· Δωρόθεον „πρεσβείου τοῦ κατὰ Ἀντιόχειαν ἠξιωμένον τῶν τηνικάδε λόγιον ἄνδρα ἔγνωμεν. φιλόκαλος δ᾽ οὗτος περὶ τὰ θεῖα γεγονώς, καὶ τῆς Ἑβραίων ἐπεμελήθη „γλώττης· ὥστε καὶ αὐταῖς ταῖς Ἑβραίων Γραφαῖς ἐπιστημόνως ἐντυγχάνειν. ἦν δ᾽ οὗτος τῶν μάλιστα ἐλευθερίων, προπαιδείας τε τῆς καθ᾽ Ἕλληνας οὐκ „ἄμοιρος· τὴν φύσιν δὲ ἄλλως εὐνοῦχος, οὕτω πεφυκὼς ἐξ αὐτῆς γενέσεως· ὡς καὶ βασιλέα διὰ τοῦτο, οἷόν τι παράδοξον, αὐτὸν οἰκειώσασθαι, καὶ τιμῆσαί „γε ἐπιτροπῇ τῆς κατὰ Τύρον ἁλουργοῦ βαφῆς. τούτου μετρίως τὰς Γραφὰς ἐπὶ τῆς Ἐκκλησίας διηγουμένου κατηκούσαμεν. ἀλλὰ τίς ἂν ῥᾳδίως ἀναπεισθείη, ὅτι τό, ἔγνωμεν, καὶ τό, κατηκούσαμεν ἐπὶ τῆς Ἐκκλησίας διηγουμένου, τὸ μαθητὴν αὐτοῦ γενέσθαι σημαίνει; (δ) Ὁ Φώτ. ἐν κώδ. 118. (ε) Αὐτὸς ὁ Εὐσέβ. ἐν τῷ 7. κεφ. τοῦ 8. βιβλ. τῆς ἱστορ. (ζ) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 8, καὶ 9. (η) Λέγε δή„μοι σύ, ἔλεγεν αὐτῷ ὁ Ποτάμων, (παρ᾽ Ἐπιφαν. ἐν αἱρέσ. 68. ἀριθ. 7.) οὐ σὺν ἐμοὶ ἦσθα ἐν τῇ φυλακῇ ἐπὶ τοῦ διωγμοῦ; κἀγὼ μὲν τὸν ὀφθαλ„μὸν ἀπεβαλλόμην ὑπὲρ ἀληθείας· σὺ δὲ οὔτε φαίνῃ λελωβημένον τι ἔχων ἐν τῷ σώματι, οὔτε ἐμαρτύρησας· ἀλλ᾽ ἕστηκας ζῶν, μηδὲν ἠκρωτηριασ„μένος. πῶς ἀνεχώρησας ἀπὸ τῆς φυλακῆς, εἰ μὴ ὅτι ὑπέσχου τοῖς τὴν ἀνάγκην τοῦ διωγμοῦ ἡμῖν ἐπενέγκασι τὸ ἀθέμιτον πρᾶξαι, ἢ ἔπραξας; Ἐπεὶ δὲ οὐκ ἀπιστητικῶς τοῖς αὐτῷ κατὰ πρόσωπον εἰρημένοις φαίνεται ὁ Εὐσέβιος· ταῦτα γάρ φησιν ὁ Ἐπιφάνιος (αὐτ.) ἀκούσας ὁ Εὐσέβιος αἴρεται „μὲν εἰς ἀγανάκτησιν, καὶ ἀναστὰς διέλυσε τὸ δικαστήριον· οὐκ ἀπίθανος ἡ κατ᾽ αὐτοῦ ὑποψία. ὁ δέ φασιν ὁ Κάβε, (αὐτ.) καὶ ὁ Οὐαλέσιος, (ἐν τῷ περὶ βίου καὶ συγγραμ. τοῦ Εὐσεβ. συντάγμ.) ὅτι δῆθεν εἰ τοῦτ᾽ ἐγεγόνει, οὐκ ἂν ὕστερον τῆς ἐπισκοπῆς ἠξίωτο, ῥᾳδίαν ἔχει τὴν ἀπάντησιν. ὑπέσχετο μὲν γὰρ τυχὸν μόνον θῦσαι, ἵνα τὰς τῶν διωκόντων ἐκφύγῃ χεῖρας· τοῦτο δ᾽ ἄδηλον τότε, ὅτε ἐπὶ τὴν ἐπισκοπὴν προεβιβάζετο. ἔμεινε δὲ καὶ ἐν τῷ ἐφεξῆς χρόνῳ ἀναπόδεικτον. καὶ τοὐναντίον γὰρ ἐνδεχόμενον, εἴτε τῷ ἢ διὰ χρημάτων, ἢ διὰ μεσιτείας, ἢ λάθρα, ἢ δι᾽ ἄλλου τινὸς τρόπου τῆς εἱρκτῆς αὐτὸν ἐξελθεῖν, μήτε θύσαντα, μήτε θῦσαι τοῖς εἰδώλοις ὑποσχεθέντα. (θ) Τοῦ Ἀγρικολάου φασὶν ὁ Βαρόνιος, (ἐν τοῖς Χρονικ. ἔτει ἀπὸ Χριστ. 314.) καὶ ὁ Βλονδέλος. (ἐν κεφ. 19. τῆς ἀπολογ. τῆς ὑπὲρ τῆς τοῦ Ἱερωνύμ. ἀποφάνσ. παρὰ Οὐαλεσ. αὐτ.) συνιστῶσι δὲ τοῦτο ἐκ τῆς ῥωμαϊκῆς ὑπογραφῆς τῆς ἐν τῇ κατὰ τὴν Ἄγκυραν ἐν ἔτει 315. γενομένῃ Συνόδῳ. ἀλλὰ τὸ ὑπὸ τοῦ Πάππου ἑλληνιστὶ ἐκδοθὲν συνοδικόν, τὸ περὶ τῆς αὐτῆς διαλαμβάνον Συνόδου, οὐ τῆς ἐν Παλαιστίνῃ Καισαρείας, ἀλλὰ τῆς ἐν Καππαδοκίᾳ τὸν Ἀγρικόλαον ἐπίσκοπον χρηματίσαι διδάσκει. (ι) Ὁ Κάβ. αὐτ. (κ) Τοῦτον γνήσιον τοῦ Εὐσεβίου γόνον, καὶ οἱ μικρὸν τῶν αὐτοῦ συγγραμμάτων γευσάμενοι εὐχερῶς ἂν κατίδοιεν. (λ) Ὁ μὲν Σωζόμενος (ἐν βιβλ. 1. κεφ. 19.) αὐτόν φησι τότε προσπεφωνηκέναι τῷ θειοτάτῳ βασιλεῖ Κωνσταντίνῳ τὸν προσφωνηματικὸν λόγον· ὁ δὲ Θεοδώριτος, (ὅρα τὰ περὶ τοῦ Εὐσταθ. τὰ ἐν τῷ 1. Τόμ. τῆσδε τῆς Σειρ.) τὸν Ἀντιοχείας Εὐστάθιον· ὁ δὲ Νικήτας ὁ Χωνιάτης (ἐν βιβλ. 5. κεφ. 7. τοῦ θησαυρ. τῆς ὀρθοδόξ. πίστ. παρὰ τῷ Κάβ. αὐτ.) τὸν Ἀλεξανδρείας Ἀλέξανδρον. (μ) Ἐν τῇ πρὸς τοὺς Καισαρεῖς ἐπιστολῇ αὐτοῦ, τῇ παρὰ Σωκρ. ἐν βιβλ. 1. κεφ. 8. (ν) Ὅ, τε Κάβ. καὶ ὁ Οὐαλέσ. αὐτ. (ξ) Ὅρα τὴν πρὸς αὐτὸν τὸν Εὐσέβ. τοῦ μεγάλ. Κωνσταντίν. ἐπιστ. τὴν ἐν κεφ. 61. τοῦ 3. βιβλ. εἰς τὸν βίον Κωνσταντίν. βασιλ. (ο) Ὁ Ἐπιφάνιος, (ἐν ἀριθ. 7. τῆς 68. αἱρέσ.) ὁ δὲ Οὐαλέσιος (αὐτ.) τὸν Νικομηδείας Εὐσέβιον προεστηκέναι φησί. (π) Παρ᾽ Ἐπιφαν. αὐτ. (ρ) Ὁ Κάβ. αὐτ. (σ) Ὁ Σωκρ. ἐν κεφ. 4. καὶ 5. τοῦ 2. βιβλ. (τ) Ὁ Σωζόμ. ἐν κεφ. 1. τοῦ 1. βιβλ. (υ) Αὐτὸς ὁ Εὐσέβ. ἐν κεφ. 20. τοῦ 6. βιβλ. τῆς ἱστορ. (φ) Ὁ Αὐτ. αὐτ. ἐν κεφ. 32. (χ) Ὁ Ἀθανάσιος, ὁ Θεοδώριτος, ὁ Ἱερώνυμος, ὁ Ἀντίπατρος Βόστρων, ἡ ἁγία οἰκουμενικὴ ἑβδόμη Σύνοδος ἐν τῇ ἕκτῃ συνελεύσει, ὁ Φώτιος, καὶ ἄλλοι. ὅρα τὰς ὑπὲρ καὶ κατὰ τοῦ Εὐσεβίου μαρτυρίας, τὰς ἐν τῇ ἀρχῇ τῆς ἱστορικῆς αὐτοῦ βίβλου. (ψ) Ὁ Κυζικηνὸς Γελάσιος. αὐτ. καὶ ὁ Κάβε δὲ μάτην κεκοπίακεν ὁλοκλήρῳ τε καὶ πολυστίχῳ διαλέξει (ἐν τῷ τέλει τοῦ 2. Τόμ. περὶ ἐκκλησιας. συγγραφ. κεῖται.) ἀθῶῶσαι, εἴτουν μὴ ἀρειανίζοντα ἐναποδεῖξαι τὸν ἄνδρα προθέμενος. „(ω) Ὁ δὲ υἱός φησι (ἐν κεφ. 6. τοῦ 3. βιβλ. περὶ ἐκκλησιας. Θεολογ.) μόνος πατρικῇ Θεότητι τετιμημένος, ποιητικὸς ἂν εἴη καὶ δημιουργικὸς „τῆς τῶν γενητῶν ἁπάντων ὁρατῶν καὶ ἀοράτων· καὶ δὴ καὶ αὐτῆς τῆς τοῦ παρακλήτου Πνεύματος ὑπάρξεως. Καὶ μετ᾽ ὀλίγα. Τὸ δὲ παράκλητον „Πνεῦμα οὔτε Θεός, οὔτε υἱός· ἐπεὶ μὴ ἐκ τοῦ πατρὸς ὁμοίως τῷ υἱῷ καὶ αὐτὸ τὴν γένεσιν εἴληφεν· ἓν δέ τι τῶν διὰ τοῦ υἱοῦ γενομένων τυγχάνει. Ταῦτα μὴ συνιεὶς ὁ Φαβρίκιος, ἀμαθῶς καὶ ἀπερισκέπτως ἔφη· (ἐν σελ. 33. τοῦ 6. τεύχ. τῆς ἑλληνικ. βιβλιοθ.) Neque adeo negaſſe Spiritus S. diuinitatem, ſed modo eum a Patre et Filio diſtinctum, et a filio proficiſcentem docuiſſe. Τί γὰρ ἂν ἄλλο εἴη τὸ τὴν Θεότητα ἀρνηθῆναι τοῦ παναγίου Πνεύματος, ἢ τὸ εἰπεῖν, τὸ δὲ παράκλητον Πνεῦμα οὔτε Θεός, οὔτε υἱός· ἐπεὶ μὴ ἐκ τοῦ πατρός; κτ. ποῦ δὲ καὶ τό, a filio proficiſcentem παρὰ τῷ Εὐσεβίῳ εὗρεν; ὁ γὰρ ἀνακαλεῖ lib. 2. de eccleſ. Theol. c. 5. ſq. οὐδὲ γρῦ περὶ τοῦ παναγίου Πνεύματος διαλαμβάνει. εἰ δέ, ἃ ἡμεῖς παρεθήκαμεν, ἤτοι τά, ἓν δέ τι τῶν διὰ τοῦ υἱοῦ γενομένων, a filio proficiſcentem διερμηνεύει, τοῦτο τοῦ καθ᾽ Ἕλληνας λόγου παντελῆ ἄγνοιαν αὐτοῦ κατηγορεῖ. * Τὴν δὲ φράσιν οὐκ ἔστιν οὐδαμοῦ, οὔτε ἡδύς, οὔτε λαμπρότητι χαίρων. πολυμαθὴς δέ ἐστιν ὁ ἀνήρ. εἰ καὶ τὴν ἀγχίνοιαν καὶ τὸ σταθερὸν τοῦ ἤθους, ὡς παρὰ τὴν ἀκρίβειαν τὴν ἐν τοῖς δόγμασιν ἐνδεέστερος. ὁ Φώτ. ἐν κώδ. 13. (2α) Ἐσχάτη ἐκδ. ἡ ἐν Ἀμστελοδ. κατὰ τὸ 1655. ἔτος γενομ. (2β) Ἐσχάτη ἐκδ. οὐκ ἐν Κολων. (ὡς ψευδῶς ἐπιγέγραπται, ἀλλ᾽ ἐν Λειψίᾳ) κατὰ τὸ 1688. ἔτ.

δείξεως τῶν εἴκοσι βιβλίων τὰ δέκα [α]. Πρὸς τὰ ὑπὸ Φιλοστράτου εἰς Ἀπολλώνιον τὸν Τυανέα διὰ τὴν ἱεροκλεῖ παραληφθεῖσαν αὐτοῦ τε καὶ τοῦ Χριστοῦ σύγκρισιν. Κατὰ Μαρκέλλου τοῦ τῆς Ἀγκύρας ἐπισκόπου. Περὶ τῆς ἐκκλησιαστικῆς θεολογίας [β]. Ἡ πρὸς τοὺς Καισαρεῖς ἐπιστολή [γ]. Περὶ τοπικῶν ὀνομάτων [δ]. Ἐκκλησιαστικὴ ἱστορία σὺν δ' λόγοις εἰς τὸν βίον τοῦ μακαρίου Κωνσταντίνου τοῦ βασιλέως, καὶ τῷ εἰς τὸν αὐτὸν τριακονταετηρικῷ [ε]. Ὑπομνήματα εἰς τοὺς ψαλμούς [ζ]. Ὑπομνήματα εἰς τὸν Ἡσαΐαν [η]. Ἀποσπασμάτια εἰς τὸ Ἆσμα τῶν Ἀσμάτων [θ]. Περὶ τῆς τοῦ βιβλίου τῶν Προφητῶν ὀνομασίας [ι]. Ἀπολογία ὑπὲρ Ὠριγένους βιβλίον πρῶτον [κ]. (τὰ λοιπὰ πέντε ἐξέλειπον.) Περὶ ἁρμονίας τῶν Εὐαγγελίων κανόνες δέκα, καὶ ἐπιστολὴ πρὸς Κυπριανόν [λ]. Σύμμικτά τινα. Κατὰ Σαβελλίου βιβλία β'. Περὶ Ἀναστάσεως. Περὶ τῆς ἀναστάσεως καὶ ἀναλήψεως τοῦ Κυρίου. Περὶ ἀσωμάτου καὶ ἀοράτου Θεοῦ. Περὶ ἀσωμάτου. Περὶ ἀσωμάτου ψυχῆς. Περὶ τῆς ἀνθρωπίνης πνευματικῆς σκέψεως. Ὅτι ὁ Θεὸς ὁ πατὴρ ἀσώματος. Περὶ τῆς αὐτῆς ὑποθέσεως. Περὶ τοῦ, οὐκ ἦλθον βαλεῖν εἰρήνην. Περὶ τοῦ, ὃ λέγω ὑμῖν ἐν τοῖς ὠσί. Περὶ τῶν ἀγαθῶν καὶ πονηρῶν πράξεων. Περὶ τῶν ἀγαθῶν πράξεων ἐκ τῆς β' πρὸς Κορινθίους ἐπιστολῆς [μ].

Τὰ Ἀνέκδοτα.

Προφητικαὶ ἐκλογαὶ περὶ τοῦ σωτῆρος ἡμῶν Ἰησοῦ Χριστοῦ [ν]. Ἀπόσπασμα περὶ μέτρων καὶ σταθμῶν [ξ]. Περὶ τῆς τελευτῆς Ἡρώδου [ο]. Πρόλογος εἰς τὴν ἐν τῇ Ἐξόδῳ τοῦ Μωυσέως ᾠδήν [π].

Τὰ Ἐκλελοιπότα.

Ἐκκλησιαστικὴ προπαρασκευή [ρ]. Ἐκκλησιαστικὴ ἀπόδειξις [σ]. Κατὰ Πορφυρίου λόγοι λ' [τ]. Ἐλέγχου καὶ Ἀπολογίας λόγοι δύω, καὶ ἕτεροι δύω, οἵτινες πρὸς τοὺς προτέρους δύω ἔν τισι ῥητοῖς παραλλάσσοντες, ἐν τοῖς ἄλλοις τῇ τε λέξει καὶ τῇ διανοίᾳ οἱ αὐτοί εἰσι [υ]. Λόγος περὶ τοῦ σωτηρίου μνήματος, οὗ ἔσω ἠκροᾶτο ὁ μακάριος βασιλεὺς Κωνσταντῖνος [φ]. Περὶ τῆς ἑορτῆς τοῦ Πάσχα [χ]. Περὶ τῆς τῶν παλαιῶν ἀνδρῶν πολυπαιδείας [ψ]. Ἐπιστολαὶ πολλαί [ω]. Περὶ ἀνομβρίας [2α]. Περὶ τῆς τῶν Εὐαγγελίων διαφωνίας [2β]. Ἀναγραφὴ τοῦ βίου Παμφίλου τοῦ ἱεροῦ μάρτυρος [2γ], ἐν τρισὶν ὑπομνήμασιν. Ἀναγραφὴ τῶν ἀρχαίων μαρτυρίων [2δ]. Θεοφανείας λόγοι ε' [2ε]. Ἀπολογίας ὑπὲρ Ὠριγένους λόγοι ε' [2ζ]. Ὑπόμνημα εἰς τὴν α' πρὸς Κορινθίους ἐπιστολήν [2η]. Ἐπιστολὴ πρὸς Ἀλέξανδρον Ἀλεξανδρείας [2θ].

Ψευδεπίγραφον ἐκλελοιπός.

Ἐπιστολὴ πρὸς Κωνσταντίαν Αὔγουσταν [2ι].

ΘΕΟΔΟΥΛΟΙ ἐκκλησιαστικῶν συγγραφεῖς ὑποθέσεων δ', τε ἐν Κοιλησυρίᾳ πρεσβύτερος [2κ], ὁ κατὰ μὲν τὸ 480. σωτήριον ἀκμάσας ἔτος [2λ], καὶ πολλὰ ἐκλελοιπότα συγγραψάμενος [2μ], ἐν οἷς καὶ βιβλίον περὶ τῆς τῶν θείων Γραφῶν συμφωνίας, δεικνύον, ὅτι εἷς καὶ ὁ αὐτὸς Θεὸς ἑκατέρας τῶν Γραφῶν ποιητής, κατὰ δὲ τὸ 492. τῶν τῇδε μεταστάς [2ν]· καὶ ὁ Ἰταλός, ὁ ἑλληνικῆς καὶ ῥωμαϊκῆς φωνῆς ἔμπειρος· (πότε ζῶν διετέλει ἄδηλον.) ὃς Ἀθήνησι παιδευθεὶς, καὶ Χριστιανῶν καὶ Ἑλλήνων προσδιαλεγομένων ἀκούσας, καὶ τοὺς ἑκατέρων συλλεξάμενος λόγους, σύνταγμα, Ἐκλογὴν καλούμενον, συνεσκεύασεν, εἰς τρία διελὼν μέρη· ὧν τὸ μὲν Ψεῦσιν, τὸ δὲ Ἀλήθειαν, τὸ δὲ Φρόνησιν προσηγόρευσε [2ξ]· καὶ ὁ Ἀββᾶς, ὁ ἐγκωμίου εἰς τὸν Πρόδρομον Ἰωάννην αὐτουργός, ἀρχομένου· ἀλλ' „ἔμοιγε τοῖς σοῖς ἐπιβαλεῖν ἐγκωμίοις [2ο]. ἔτι δὲ καὶ Ἀπαμείας Θεόδουλον τῷ Ναζιανζηνῷ Γρηγορίῳ εὑρίσκομεν σύγχρονον [2π]. τίς δὲ τούτων ὁ τῶν ἐν τῇδε τῇ βίβλῳ ὑπομνημάτων πατήρ, κατιδεῖν οὐ πάνυ ῥᾴδιον. ὁ τῆς Κοιλησυρίας δὲ πρεσβύτερος τυχὸν ἐστιν, ἅτε δὴ πολλῶν δημιουργὸς συγγραμμάτων [2ρ].

ΙΩΑΝΝΗΣ ὁ Δαμασκηνὸς ὁ Μανσοὺρ [2σ], ὁ διὰ τὴν ἐπανθοῦσαν αὐτῷ τοῦ πνεύματος ἔντε λόγῳ καὶ βίῳ χρυσαυγῆ χάριν ἐπικληθεὶς Χρυσοῤῥόας [2τ], πατρίδα μὲν ἔχε

(α) Ὁμοίως. (β) Συνεξεδόθη ταύτῃ τῇ εὐαγγελικ. Ἀποδείξ. (γ) Παρὰ Σωκρ. ἐν τῷ 8. κεφ. τοῦ 1. βιβλ. (δ) Τῶν πρὸ αὐτῆς κρείττων ἡ ἐν Ἀμστελ. ἔτ. 1707. (ε) Καλὴ ἡ ἐν Ἀμστελ. κατὰ τὸ 1695. ἔτ. γενομέν. καὶ ἡ μετ' αὐτὴν ἐν Ταυρίνῳ ἔτει 1746. (ζ) Μόνον τὰ εἰς τοὺς 118. ἐξεδόθ. κατὰ τὸ Παρίσ. ἔτ. 1706. ὑπὸ τοῦ Μοντφ. ἐν τῷ 1. Τόμ. τῆς νέας τῶν Γραικ. Πατέρ. συλλογ. (η) Ἐξεδόθ. αὐτ. ἐν τῷ 2. Τόμ. (θ) Ἐτυπώθ. ἐν Λουγδ. ἔτει 1617. σὺν ἄλλων ὑπομνήμ. εἴτουν Ἀθανασ. Διδύμ. Νύσ. Φίλωνος Καρπάθ. Θεοφίλ. ἢ Θεοφυλάκτ. (ι) Συνεξεδόθ. τοῖς τοῦ Προκοπ. τοῦ Γαζαίου ὑπομνήμ. ἐν Παρισ. ἔτ. 1580. (κ) Ῥωμαϊστὶ μόνον ὑπὸ Ῥουφίνου μεταφρασθὲν σὺν τοῖς τοῦ Ἱερωνύμ. τετύπωται. ὅρα Τόμ. 4. σελ. 114. τῆς ἐν Φραγγοφούρτ. ἐκδόσ. (λ) Συνεξεδόθ. τῇ νέᾳ Διαθήκῃ ὑπὸ Ἐράσμου καὶ Στεφάνου ἔτει 1550. (μ) Ὑπὸ Σιρμόνδ. ἐξεδόθ. ἐν Παρισ. ἔτει 1643. ἀλλὰ ῥωμαϊστὶ μόνον. μετὰ λόγου δ' ὁ Φαβρίκιος ἐξελέγχει τὸν Κάβε, (ὅρα σελ. 103. τοῦ εἰρημ. τεύχ.) ὡς παραλόγως τοῦ Ἐμέσης Εὐσεβίου καὶ οὐχὶ τοῦ Καισαρέως γόνους εἶναι λέγοντα. (ν) Τούτων μέμνηται μὲν αὐτὸς ὁ Εὐσέβιος, (ἐν τῷ τέλει τοῦ 2. κεφ. τοῦ 1. τῆς ἱστορ. βιβλ.) σώζεται δὲ ἐν τῇ κατὰ τὴν Οὐϊνδοβόν. Καισαρικ. βιβλιοθ. ὡς μαρτυρεῖ ὁ Λαμβέκ. ἐν τῷ 1. Τόμ. σελ. 139. τῶν εἰς τὴν αὐτὴν βιβλιοθ. ὑπομνημ. παρὰ Φαβρικ. αὐτ. ἐν σελ. 57. (ξ) Χειρόγραφόν ἐστι παρὰ Ἰσαὰκ Οὐοσ. σωζόμεν. ὥς φησιν ὁ Φαβρίκ. αὐτ. ἐν σελ. 104. (ο) Σώζεται ἐν τῇ τῆς Βασιλείας βιβλιοθ. κατὰ τὴν μαρτυρίαν τοῦ αὐτοῦ. αὐτ. (π) Μέμνηται ὁ Λαμβέκ. ἐν σελ. 35. τοῦ 3. Τόμ. τῶν ἐν τῇ ἀ-σημειώσ. εἰρημέν. ὑπομν. παρὰ τῷ Αὐτ. αὐτ. (ρ) Μνεία παρὰ Φωτ. ἐν κώδ. 11. (σ) Παρὰ τῷ Αὐτ. ἐν κώδ. 12. (τ) Μνημονεύει ὁ Σουΐδ. ἐν τῷ, „Εὐσέβιος, καὶ ὁ Ἱερώνυμ. ἐν τῷ τῶν συγγραφ. καταλ. λέγων· ἀφ' ὧν εἰς ἐμὲ λόγοι εἴκοσι μόνον περιῆλθον. (υ) Ὁ Φώτ. διαλαμβάνει ἐν κώδ. 13. (φ) Αὐτὸς ὁ Εὐσέβιος ἀναφέρει τοῦτον ἐν τῷ 33. κεφ. τοῦ 4. βιβλ. εἰς τὸν βίον Κωνσταντ. (χ) Ὁ Αὐτ. ἐν κεφ. 34, καὶ 35. τοῦ αὐτ. βιβλ. (ψ) Ὁ Αὐτ. ἐν βιβλ. 7. κεφ. 8. σελ. 310. τῆς Εὐαγγελικ. Προπαρασκ. καὶ ὁ μέγας Βασίλ. ἐν κεφ. 29. περὶ „τοῦ ἁγίου Πνεύμ. μέμνηται, λέγων· ἐπαπορήματα περὶ τῆς τῶν ἀρχαίων πολυγαμίας. (ω) Μνεία ἐν τῇ 6. πράξ. τῆς 7. οἰκουμεν. Συνόδ. ὅρα σελ. 99. τοῦ 6. Τόμ. τῆς τοῦ Βιν. ἐκδόσ. (2α) Ὁ Ἐβεδ Ἰησοῦς μέμνηται ἐν τῷ τῶν Χαλδαϊκ. βιβλ. καταλόγ. παρὰ Φαβρικ. αὐτ. ἐν σελ. 105. (2β) Ὁ Σουΐδας μνημονεύει, καὶ ὁ Ἱερώνυμ. ὅπου ἐν τῇ τ' σημειώσ. εἴρηται. τρία δὲ βιβλία περὶ τῆς τῶν Εὐαγγελίων διαφωνίας ἐν Σικελίᾳ εὑρεθῆναί φησιν ὁ Λατῖνος ὁ Λατίνιος. ἐν Τόμ. 2. τῶν ἐπιστολ. σελ. 116. ὧν οὐδὲν προέκυψεν. ὅρα τὸν Φαβρίκ. αὐτ. ἐν σελ. 99. (2γ) Μνεία παρ' αὐτῷ τῷ Εὐσεβ. ἐν κεφ. 32. τοῦ 6, καὶ 7. τῆς ἱστορ. βιβλ. καὶ ἐν τῇ ἀρχῇ τοῦ 11. κεφ. περὶ τῶν ἐν Παλαιστ. Μαρτύρ. ἀποσπασμάτιον δὲ ταύτης ἐξέδωκεν ὁ Παπεβρόχ. ἐν Τόμ. 1. τῶν πράξ. τῶν κατὰ τὸν Ἰουν. μῆνα Ἁγίων. ἐν σελ. 64-74. ὅρα τὸν Φαβρίκ. αὐτ. ἐν σελ. 101. (2δ) Παρὰ τῷ Αὐτῷ. ἐν κεφ. 15. τοῦ 4. βιβλ. καὶ ἐν τῷ τοῦ 5. βιβλ. τῆς ἱστορ. προοιμ. καὶ ἐν κεφ. 25. τοῦ αὐτ. βιβλ. Ἐκ ταύτης δέ φασι πολλὰ μὲν κεῖσθαι ἐν τοῖς τῶν Πατέρων βίοις τοῖς τῷ τοῦ Ἱερωνύμου ὀνόματι ἐκδεδομένοις· πολλὰ δὲ καὶ ἐν τοῖς τοῦ Συμεῶνος τοῦ Μεταφραστοῦ συγγράμμασιν· ἀποσπασμάτιόν τε τῆς αὐτῆς εἶναι τὴν περὶ τῶν δέκα ἐν Αἰγύπτῳ Μαρτύρων διήγησιν, τὴν ὑπὸ Παπεβροχ. ἐκδοθεῖσαν ὅπου ἐν τῇ 2γ' σημ. εἴρηται. ὅρα τὸν Φαβρίκ. αὐτ. (2ε) Παρ' Ἱερωνύμ. καὶ Σουΐδ. αὐτ. (2ζ) Παρὰ τοῖς Αὐτ. αὐτ. (2η) Μνεία παρ' Ἱερωνύμ. ἐν τῇ πρὸς Παμμάχ. ἐπιστολ. (2θ) Ἐν τῇ 6. πράξ. τῆς 7. οἰκουμεν. Συνόδ. ὅρα σελ. 785. τοῦ 5. Τόμ. τῶν Πρακτικ. τῶν Συνόδ. τῆς τοῦ Βιν. ἐκδόσ. (2ι) Ἀποσπασμάτιον ταύτης κεῖται ἐν τῇ αὐτῇ 6. πράξ. (αὐτ. ἐν σελ. 784.) πληρέστερον δὲ ἐν ταῖς εἰς τὸν Νικηφόρ. τὸν Γρηγορᾶν τοῦ Βοϊβιν. σημειώσ. ταῖς ἐν σελ. 795. κατὰ τὴν τοῦ Παρισ. ἔκδ. οὐχ ὡς ψευδεπίγραφον δὲ ταύτην ἡ ἁγία ἑβδόμη Σύνοδος ἐξήλεγξεν. ἠρκέσθη γὰρ ἅπασα τοῦ ἀρειανοῦ Εὐσεβίου πόνημα εἶναι. ἀλλὰ γὰρ καὶ ἡ φράσις αὐτὴ καὶ Νικηφόρ. ὁ Κωνσταντινουπόλ. Πατριάρχ. ψευδεπιγεγραμμένην εἶναι ἐμφανῶς παριστῶσιν. (2κ) Ὁ Γεννάδ. ἐν τῷ περὶ τῶν ἐκκλησιας. συγγραφ. καταλ. „Ἅπασα μὲν οὖν (φησὶν ὁ Στράβ. „ἐν σελ. 756.) ὑπὲρ τῆς Σελευκίδος, ὡς ἐπὶ τὴν Αἴγυπτον καὶ τὴν Ἀραβίαν ἀνίσχουσα χώρα, Κοιλησυρία καλεῖται· ἰδίως δὲ ἡ τῷ Λιβάνῳ καὶ τῷ Ἀντιλιβάνῳ ἀφωρισμένη. (2λ) Ὁ Κάβ. ἐν Τόμ 1. σελ. 456. περὶ ἐκκλησιας. συγγραφ. (2μ) Ὁ Γεννάδ. αὐτ. (2ν) Ὁ Κάβ. αὐτ. ὁ δὲ Γεννάδ. (αὐτ.) Ζήνωνος, φησί, διέποντος τῆς βασιλείας τὰ σκῆπτρα. (2ξ) Ὅρα τὸν Κάβ. αὐτ. (2ο) Μέμνηται αὐτοῦ ὁ Φαβρίκ. ἐν τεύχ. 6. σελ. 536. καὶ τεύχ. 9. σελ. 99. τῆς ἑλλην. βιβλιοθ. μήτιγε δὲ οὗτός ἐστιν ὁ τοῦ Ἀββᾶ Νείλου υἱός, περὶ οὗ ἐν τῷ 1. τῆς δε τῆς σειρᾶς Τόμ. διειλήφαμεν. (2π) Τὸ ὄνομα αὐτοῦ ἐν τῇ τοῦ Ναζιανζ. κεῖται διαθήκῃ. (2ρ) Ὁ Γεννάδ. ὡς εἴρηται. (2σ) Μανσοὺρ παππικὸν ὄνομα, ὃ ἑρμηνεύεται λελυτρωμένος. ὁ Θεοφάνης, (ἐν τῇ Χρονογραφ. σελ. 350. τῆς ἐν Παρισ. ἐκδόσ.) ὁ δὲ Γεώργιος ὁ Κεδρηνὸς (ἐν τῇ τῶν ἱστορ. συνόψ. σελ. 456. τῆς αὐτ. ἐκδόσ.) τοῦ Μανσοὺρ, φησίν, ὃ ἑρμηνεύεται Λέντραβος· τὸ δὲ Λέντραβος οὐδὲν σημαίνει. καὶ μήτιγε γραφικόν ἐστιν ἁμάρτημα, ἀντὶ τοῦ, λελυτρωμένος. ὑβριστικῶς δὲ τὸ Μανσοὺρ ῥηθῆναι ἐμφαίνει ἡ ἁγία οἰκουμενικὴ ζ' Σύνοδος, (ἐν „πράξ. 7.) λέγουσα· Ἰωάννης δέ, ὃς παρ' αὐτοῦ ὑβριστικῶς Μανσοὺρ προσηγόρευται· ὡσαύτως καὶ ὁ Μεταφραστής· μεθ' ὧν καὶ ὁ τὴν γλῶτταν „εὔχαρις Ἰωάννης ὁ Θεοφιλὴς πρεσβύτερος, ὃν ἡ λοίδορος ἐκείνη γλῶσσα, καὶ στενὴ μὲν τὴν παίδευσιν, περιττὴ δὲ καὶ εὔθικτος τὴν κατηγορίαν, Μανσοὺρ ἐκάλει. παρ' Ἀλλατ. ἐν σελ. VII. τῶν προλεγομ. τῶν ἐν τῷ 1. Τόμ. τῶν τοῦ Δαμασκ. τῆς ἐν Παρισ. κατὰ τὸ 1712. ἔτ. ἐκδόσ. (2τ) Ὁ Θεοφάν. αὐτ.

ἔχε τὴν κατὰ τὴν Συρίαν Δαμασκὸν, γεννήτορας δὲ [α] τῇ καλὰ Χριστὸν εὐσεβείᾳ, οὐ μὴν ἀλλὰ καὶ τῇ τῶν γηΐνων περιουσίᾳ κτημάτων περιφανεῖς καὶ ἐνδόξους [β]. ὑπὸ Κοσμᾶ δὲ ἱερωμένου ἀνδρὸς καὶ ἐλλογίμου, ἐξ Ἰταλίας μὲν ὁρμωμένου [γ], ἐν Δαμασκῷ δὲ αἰχμαλώτου ὑπὸ τῶν βαρβάρων ἀνεχθέντος, (τοῦτον ὁ τοῦ Ἰωάννου πατὴρ [δ] διοικητὴς τῶν ἀνὰ πᾶσαν τὴν χώραν δημοσίων τυγχάνων πραγμάτων, τῶν βαρβαρικῶν χειρῶν ἀπήλλαξε.) πολλὰ μὲν ἤδη σὺν Κοσμᾷ τῷ μελῳδῷ [ε] ἐκδιδάσκεται παιδείας, τῶν δὲ θεολόγων ὀρθῶν δογμάτων καὶ τῆς ἡδίστης καλλιεπείας ἄριστά τε καὶ ἀκριβέστατα ἀνασοβεῖται τὸ μάθημα. τοῦ δὲ πατρὸς αὐτοῦ τὸ ζῆν ἐκμετρήσαντος, βίᾳ πρωτοσύμβουλος ὑπὸ τοῦ τῶν Σαρακηνῶν προχειρίζεται ἄρχοντος. ἐπεὶ δὲ τηνικαῦτα, ἔτει κατὰ τὸ 728. [ζ] ἀπὸ Χριστοῦ τοῦ Σωτῆρος ἔτος, Λέων ὁ Ἴσαυρος τὴν τῶν ἁγίων ἀφρόνως ἀθετήσας εἰκόνων προσκύνησιν, θηριωδῶς κατὰ τῶν αὐτὰς προσκυνούντων ἐφέρετο, ἐπιστολιμαίους συντιθεὶς λόγους ὁ ἅγιος [η], τοῖς γνωστοῖς αὐτοῦ ἐξέπεμπε, τῇ τῶν εἰκόνων προσκυνήσει ἐμμένειν, δι' αὐτῶν ἅπαντας τοὺς τῆς εὐσεβείας ἀθλητὰς ὑποστηρίζων [θ]. ἔρωτι δὲ θείῳ κατασχεθεὶς, καὶ τῆς εὐαγγελικῆς Κυρίου τοῦ Θεοῦ φωνῆς οὐ μόνον ἀκροατὴς, ἀλλά γε δὴ καὶ ποιητὴς γενόμενος, κοσμικοῖς μὲν τὸ χαίρειν εἰπὼν ἀξιώμασι, πλοῦτον δὲ καὶ κτήματα ἅπαντα τοῖς πένησι διανείμας, καὶ τοῖς ἰδίοις παρασχὼν ἐλευθερίαν δούλοις, τὸν ἀπράγμονα καὶ ἀπέριττον καὶ ὄντως φιλόσοφον εἵλετο βίον, τὰ πάντα καταλιπὼν, καὶ Χριστῷ τῷ Σωτῆρι ἀκολουθήσας ὁ ἀείμνηστος. σὺν Κοσμᾷ οὖν τῷ κατὰ πνεῦμα ἀγαπητῷ αὐτοῦ ἀδελφῷ τὰ Ἱεροσόλυμα καταλαβὼν, τῷ κατὰ τὴν τῆς Παλαιστίνης ἔρημον τοῦ ἁγίου Σάββα μοναστηρίῳ [ι] φέρων ἑαυτὸν ἔδωκεν. ἔνθα δὴ ὅλον ἑαυτὸν, διὰ τῆς τελειοποιοῦ ὑπακοῆς καὶ ταπεινώσεως, καὶ τῶν τῆς ἀσκητικῆς διαγωγῆς κατορθωμάτων, τῷ Θεῷ ἀφοσιωσάμενος· καὶ πρᾶξιν μὲν ἀρετῆς, θεωρίας ἐπίβασιν· θεωρίαν δὲ, πράξεως τελεσιουργίαν θέμενος, σκεῦος τῶν τοῦ θείου πνεύματος οὐρανίων ἀναδέδεικται ἐπιλάμψεων. διὸ δὴ προτροπῇ τοῦ ἰδίου γέροντος, ὑπὸ τῆς Θεομήτορος κατ' ὄναρ χρηματισθέντος, τὰ μελίρρυτα καὶ πάντερπνα, ἃ ἡμῖν κατέλιπεν, ᾄδειν ἤρξατο μελῳδήματα, καὶ τοὺς λοιποὺς πανηγυρικούς τε καὶ δογματικοὺς συντιθέναι λόγους, ὑπαλείπτην ἔχων καὶ συναγωνιστὴν τὸν προδιαληφθέντα Κοσμᾶν τὸν μακαριώτατον. ἀλλὰ καὶ ἐν καθέδρᾳ Πρεσβυτέρων τὸν Κύριον αἰνεῖ, ὑπὸ Ἰωάννου τοῦ τὴν τῶν Ἱεροσολύμων τότε διϊθύνοντος Ἐκκλησίαν [κ], ἐκεῖ μετακληθεὶς, καὶ τοῦ τῆς ἱερωσύνης ἀξιωθεὶς χαρακτῆρος. αὖθις δὲ ἐφ' ὃ ἠρετήσατο μοναδικὸν ἐπανιὼν κατασκήνωμα, καὶ τὰ οἰκεῖα συναγηοχὼς πονήματα, ἐπανεσκέψατό τε πάλιν, καὶ ἐπὶ τὸ ἀκριβέστερον μετερρύθμισεν· ὅπου δὴ περὶ τὸ 756. ἔτος [λ] τῷ Θεῷ τὸ ἱερώτατον αὐτοῦ παρέθετο πνεῦμα.

Τῶν συγγραμμάτων αὐτοῦ ἔκδοσις τῶν ἄλλων ἁπασῶν πληρεστέρα ἡ κατὰ τὸ Παρίσιον ἔτει 1712. ὑπὸ Μιχαὴλ Λεκυΐνου γενομένη [μ].

Τὰ ἐν αὐτῇ Ἀμφίβολα ἢ Ὑποθετικά.

Τὸ περὶ τῶν ἐν πίστει κεκοιμημένων σύγγραμμα [ν]. Ἡ ἐπιστολὴ πρός τινα γράψαντα αὐτῷ περὶ ἐξομολογήσεως [ξ]. Ὁ λόγος ὁ ἀποδεικτικὸς περὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων πρὸς πάντας Χριστιανοὺς, καὶ πρὸς τὸν βασιλέα Κωνσταντῖνον

(α) Ἐξ ὧν ὁ Ἱεροσολύμων Ἰωάννης (εἰς τὸν βίον Ἰωάν. τοῦ Δαμασκ.) φησὶν οὐ πάνυ ἀπίθανον ἔοικε πρὸ τοῦ τέλους τοῦ ἑβδόμου αἰῶνος τὰς ἡλίου αὐγὰς τὸν Δαμασκηνὸν θεάσασθαι. ἐπὶ γὰρ Λέοντος τοῦ Ἰσαύρου, λέγει ὁ Ἱεροσολύμων, πρωτοσύμβουλος ὑπὸ τοῦ Σαρακηνῶν ἀρχηγοῦ προεχειρίσθη, καὶ ὑπὲρ τῶν ἁγίων εἰκόνων ἐπιστολὰς ἔγραφε· τῆς δὲ κατὰ τῶν ἁγίων εἰκόνων λυσσώδους μανίας ἔτει 726. ὁ Λέων ἤρξατο. (β) Ὁ Ἱεροσολ. Ἰωάν. (αὐτ.) ψεύδεται δὲ ὁ τοῦ βίου Κοσμᾶ τοῦ Μελῳδοῦ Ἀνώνυμος συγγραφεὺς, τῇ τῶν Σαρακηνῶν θρησκείᾳ συζῆσαι λέγων τὸν τοῦ Δαμασκηνοῦ πατέρα. αὐτὸς γὰρ ὁ Δαμασκηνὸς ἐν τῇ περὶ πίστεως ἀνεκδότῳ ὁμολογίᾳ τάδε γράφει· Αὕτη μου ἡ πᾶσα ὁμολογία, ἐν ᾗ ἐγεννήθην· αὕτη μου ἡ πίστις, ἐν ᾗ βεβάπτισμαι, καὶ αὕτη μου ἡ δόξα, ἐν ᾗ συνανετράφην, καὶ ᾗ συνέζησα. παρ' Ἀλατ. ὅπου ἐν τῇ 2ᾳ σημ. εἴρηται. (γ) Ἐκ τῆς Σικελίας ἴσως. τῷ μὲν γὰρ 22. ἔτει τῆς βασιλείας Κώνσταντος υἱοῦ Κωνσταντίνου καὶ ἐγγόνου Ἡρακλείου, ὅπερ τῷ ἀπὸ Χριστοῦ 666. (ὅρα τὸν Βανδὲρ. ἐν τῇ χρονολογ. σαφῶς.) ᾐχμαλωτίσθη, φησὶν ὁ Θεοφάνης (αὐτ.) μέρος τῆς Σικελίας, καὶ ᾠκίσθησαν ἐν Δαμασκῷ θελήσει αὐτῶν. Πολλοὶ δὲ τότε οἱ κατὰ τὴν Σικελίαν Μονάζοντες, ἐξ ὧν ὁ Κοσμᾶς. (δ) Μήτι γε ὁ Σέργιός ἐστιν ὁ ἐπὶ Ἀβιμέλεχ ἀρχηγοῦ τῶν Ἀράβων· περὶ οὗ ὁ Θεοφάνης (αὐτ. ἐν σελ. 305.) φησίν· ἀπέστειλεν Ἀβιμέλεχ οἰκοδομῆσαι τὸν τοῦ Μαχῶ ναόν· καὶ ἠθέλησεν ἆραι τοὺς κίονας τῆς ἁγίας Γεθσημανῆς· καὶ παρεκάλεσεν αὐτὸν Σέργιός τις ὁ τοῦ Μανσὴρ, γενικὸς Λογοθέτης, καὶ λίαν ᾠκειωμένος τῷ Ἀβιμέλεχ, καὶ Πατρίκιος ὁ τότε ἐφάμιλλος τῶν κατὰ τὴν Παλαιστίνην Χριστιανῶν πρῶχων, ὁ ἐπίκλην Κλαυσὸς, αἰτούμενοι μὴ γενέσθαι τοῦτο, ἀλλὰ δι' ἱκεσίας αὐτῶν πεῖσαι Ἰουστινιανὸν ἄλλους ἀποστεῖλαι ἀντ' αὐτῶν· ὃ καὶ γέγονεν. (ε) Ὁ Μαϊουμᾶ ἐπίσκοπός ἐστιν, ὁ ἐξ Ἱεροσολύμων ὁρμώμενος, καὶ ἐξ ἁπαλῶν ὀρφανισθεὶς, ὃν πνευματικὸν υἱὸν ὁ τοῦ Δαμασκηνοῦ πατὴρ πεποίηκεν. ὁ Ἱεροσολ. Ἰωάν. εἰς τὸν βίον τοῦ Δαμασκ. (ζ) Ὁ Κάβ. ἐν σελ. 624. τοῦ 1. Τόμ. περὶ ἐκκλησιας. συγγραφ. (η) Οὗτοι πάντως εἰσὶν οἱ ἐκδεδομένοι (ἐν Τόμ. 1. τῆς εἰρημ. ἐκδόσ.) ἀπολογητικοὶ πρὸς τοὺς ἐκβάλλοντας τὰς ἁγίας εἰκόνας. (θ) Ταῦτα μαθὼν ὁ Λέων, καὶ τὴν τῆς δυσσεβείας αὐτοῦ μὴ φέρων καταστηλίτευσιν, τὰ τοῦ Ἰωάννου ζητήσας χειρόγραφα, καὶ τὸν χαρακτῆρα μιμησάμενος, ἐπιστολὴν ἔπλασε, παρ' αὐτοῦ τάχα τοῦ Ἰωάννου αὐτῷ σταλεῖσαν· δι' ἧς αὐτὸν προέτρεπε κατὰ τῶν Ἀγαρηνῶν ἀναστάντα, τὴν Δαμασκὸν τῆς αὐτῶν ἀπαλλάξαι δυναστείας· ὑπισχνεῖτο δὲ καὶ χεῖρα ὀρέξειν, ἅτε δὴ πᾶσαν ἔχων ὑπὸ τὴν ἐξουσίαν αὐτοῦ τὴν πόλιν. ταῦτα οὖν ῥᾳδιουργήσας ὁ Λέων, καὶ τοῖς ἰδίοις συνεφοδιάσας γράμμασι, τῷ ἐν Δαμασκῷ ἔπεμψε τῶν Σαρακηνῶν ἄρχοντι. ὁ δὲ ταῦτα δεξάμενος, τῷ θυμῷ ὑπερζέσας, τὴν τοῦ ἁγίου ἀπέτεμε χεῖρα. ἥντινα δὴ σῶαν καὶ ὁλόκληρον ὁ Θεὸς, τῇ πρεσβείᾳ τῆς ἀπαρθένου αὐτοῦ μητρὸς, ᾗ διὰ δακρύων ὁ δίκαιος μεσίτῃ ἐχρήσατο, αὖθις ἀπεκατέστησεν. Ἐκ τῶν τοῦ Ἱεροσολ. Ἰωάν. εἰσί, τῶν εἰς τὸν βίον τοῦ Δαμασκηνοῦ. οὐδεὶς γὰρ ἄλλος ταῦτα καθιστόρηκεν, εἰ μὴ αὐτὸς, πολλῷ πλατύτερον ὧν ἡμεῖς παρεθήκαμεν. ἔτι δὲ καὶ τὸ Ῥωμαϊκὸν μαρτυρολόγιον (ὅρα τὰς μαρτυρ. περὶ Ἰωάν. τοῦ Δαμασκ. τὰς ἐν τῷ 1. Τόμ. τῶν αὐτοῦ συγγραμ. σελ. XXXIII. τῆς εἰρημ. ἐκδόσ.) περὶ τῆς αὐτῆς ὑποθέσεως τάδε διαλαμβάνει· Damasci natalis beati Ioannis Damasceni sanctitate et doctrina celebris, qui pro cultu sanctarum imaginum verbo et scriptis adversus Leonem Isauricum strenue decertavit: cujus jussu cum ei dextera manus amputata fuisset, imagini B. Mariae Virginis, quam defenderat, seipsum commendans, protinus dexteram integram sanamque recipit. (ι) Ἐν αὐτῷ καὶ ὁ τοῦ ἁγίου τάφος τοῖς ἐκεῖ ὑπάρχειν, ὡς φασιν, δείκνυται. καὶ γὰρ ἄχρι τῆς σήμερον τὸ Μοναστήριον σώζεται, ὑπὸ Φιλαρέτων Μοναστῶν οἰκούμενον. (κ) Ἔτη 30 ἔτος τὴν ἐν Ἱεροσολύμοις Ἐκκλησίαν διοικήσας, (εἴ γε δὴ ἀληθῆ τὰ τοῦ Θεοφάν. τὰ ἐν σελ. 314. τῆς Χρονογραφ.) ἐν ἔτει 735. τῶν τῇδε μετέστη. περὶ αὐτοῦ δὲ ὁ Δαμασκηνὸς ἐν τῇ πρὸς Ἰορδάνην τὸν Ἀρχιμανδρίτην ἐπιστολῇ (ὅρα σελ. 481. τοῦ 1. Τόμ. τῆς τοῦ Λεκυΐν. ἐκδόσ.) τάδε διαλαμβάνει· Καὶ τὸν τρισμακάριστον δὲ Πατριάρχην τῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, Ἰωάννην τὸν θειότατον καὶ τὸν τοῦ Θεοῦ ἄνθρωπον. καὶ περὶ τὸ τέλος τῆς αὐτῆς. καὶ μή τε ἡμῶν κατηγορεῖν, μή τε τοῦ τρισμάκαρος Ἰωάννου τοῦ Πατριάρχου, ὡς πεπεισμένων ἐπὶ μιᾶς τῶν θεαρχικῶν ὑποστάσεων λέγειν τὸν τρισάγιον ὕμνον. πῶς γὰρ ὅστις οὕτω φρονεῖ, ἢ λέγει, κοινωνός ἐστι τῆς τοῦ Κναφέως τοῦ βαναύσου σκαιότητος. τίς γὰρ οἶδε τοῦ μακαριωτάτου Ἰωάννου τοῦ Πατριάρχου νόημα ἐμοῦ πλέον; οὐδείς. ὃς, ἵνα τἀληθὲς εἴπω, οὐκ ἀνέπνευσε πνοὴν πνευματικὴν πώποτε, ἣν ἐμοὶ ὡς μαθητῇ οὐκ ἀνέθετο. τί μὴ ζῶντος καὶ φθεγγομένου τοῦ ἱεροῦ ἀνδρὸς, ταῦτα περὶ αὐτοῦ λέλεκται; Ἐκ τούτων οὖν δῆλον, ὅτι μετὰ τὸ 735. ἔτος τήνδε τὴν ἐπιστολὴν ὁ Δαμασκηνὸς ἔγραψεν. ἣν δὴ αὐτὸν ἔτει 749. ὁ Κάβ. (αὐτ.) γράψαι νομίζει. (λ) Ὁ Φαβρίκ. (αὐτ.) ὁ δὲ Κάβ. (αὐτ.) περὶ τὸ 750. φησίν. (μ) Ὁμοίᾳ αὐτῇ καὶ ἡ Ἐνετίῃσι κατὰ τὸ 1748. γενομένη ἔτος. (ν) Ὡς γνήσιον παραδέχονται ὅ, τε κατὰ τὸν 11. αἰῶνα ἀκμάσας Φίλιππος ὁ Σολιτάριος, (ἐν τῇ Διόπτρᾳ. ὅρα σελ. 566. τοῦ 6. τεύχ. τῆς ἑλλην. βιβλιοθ. τοῦ Φαβρικ.) καὶ Μιχαὴλ ὁ Γλύκας, (ἐν τῇ 50. ἐπιστολ. τῇ πρὸς Ἡσαΐαν τὸν Μοναχ. παρὰ Ἀλατ. ἐν σελ. XVI. τοῦ 1. Τόμ. τῆς εἰρημ. τοῦ Δαμασκ. ἐκδόσ.) καὶ ὁ Ζωναρᾶς, καὶ ὁ Βαλσαμὼν εἰς τὸν 4. κανόνα τῶν Ἀποστόλων φησὶν ὁ Λεκυΐνος. (ἐν τῷ 1. Τόμ. τοῦ Δαμασ. ἐν σελ. LXIII.) ἀλλ' οὐκ ἀληθές. ἐν γὰρ τῷ ὑπομνήμ. εἰς τὸν εἰρημ. κανόνα ὁ μὲν Ζωναρᾶς οὐδενὸς μέμνηται· ὁ δὲ Βαλσαμὼν, τοῦ Ἀθανασίου μόνον. καὶ ὁ Κουμβεφίσιος δὲ (παρὰ τῷ Λεκυΐν. αὐτ.) καὶ ὁ Φαβρίκιος (ἐν σελ. 800. τοῦ 8. τεύχ. τῆς ἑλλην. βιβλιοθ.) τοῦ Δαμασκηνοῦ ἡγοῦνται γόνον. πολλοὶ δὲ τῶν νεωτέρων, οἷον Ἰωάννης ὁ Λαυνόϊος, ὁ Σκαρέζας, ὁ Βελλαρμῖνος, ὁ Ἀρκάδιος, ὁ Ἀλάτιος, καὶ αὐτὸς ὁ Λεκυΐνος (ὅρα τὸν Φαβρίκ. αὐτ.) τοῖς ψευδεπιγράφοις συντάσσουσιν. ἀλλὰ γὰρ ἡ μὲν φράσις, ἡ λογογραφικὴ, οὐ πάντη ἀφεστηκυῖα τῆς τοῦ Δαμασκηνοῦ φαίνεται· οἱ δὲ ἐν τῷ λόγῳ ἰαμβικοὶ στίχοι, ἀφελεῖς τῷ ὄντι κατά τε λέξιν καὶ ἔννοιαν· καὶ οὐδὲ κατιδεῖν ἐστι τοῦ χάριν ἐνερρίφησαν τῷ λόγῳ· τινὰ δὲ τῶν προτεινομένων νοημάτων, ὅσα δῆθεν διὰ τοῦ κρανίου τοῦ τῷ Μακαρίῳ λαλήσαντος, καὶ τοῦ ὑποδείγματος τοῦ Τραϊανοῦ καὶ τῆς Φαλκονίλλης ὑποστηρίζονται, ἐμφαίνει μὲν τὴν φιλανθρωπίαν ἅμα καὶ τὴν δικαιοσύνην τοῦ Θεοῦ, νεοφανῆ δέ πως ἔοικε, καὶ ὑπ' οὐδενὸς, ὡς οἶμαι, τῶν ἀρχαίων εἰρημένα Πατέρων. (ξ) Οὐ μόνον ψευδεπίγραφός ἐστιν, ἀλλὰ καὶ κακόφρονος ἀνδρὸς ποίημα, φάσκοντός τε καὶ ἀντιφάσκοντος, καὶ ὃ λέγει μὴ συνιέντος. οὐδέποτε γὰρ ἡ ἀνατολικὴ ὀρθόδοξος τοῦ Χριστοῦ Ἐκκλησία τοὺς μὴ ἱερωμένους Μοναχοὺς ἐξουσίαν ἔχειν τοῦ λύειν τε καὶ δεσμεῖν ἁμαρτήματα ἐθέσπισεν. ἐξήλεγξε δ' ἀποτόμως τινὰς τοὺς ἀκανονίστως καὶ παραλόγως τοῦτό ποτε δρᾶσαι τετολμηκότας. ὅρα τὸ τοῦ Βαλσαμῶνος ὑπόμνημα, τὸ εἰς τὸν 6. κανόνα τῆς ἐν Καρθαγένῃ Συνόδου, καὶ Νικηφόρον τὸν Χαρτοφύλακα ἐν τῇ ἐπιστολῇ πρός τινα μοναχὸν Θεοδόσιον καὶ ἔγκλειστον· (ἐν σελ. 341. τοῦ Graeco-Romani juris κεῖται·) ἐν ᾗ καὶ τάδε· οἱ

σταντῖνον τὸν Καβαλῖνον, καὶ πρὸς πάντας αἱρετικούς [α]. Ἡ ἐπιστολὴ πρὸς τὸν βασιλέα Θεόφιλον περὶ τῶν ἁγίων καὶ σεπτῶν εἰκόνων [β]. Περὶ τῶν Ἀζύμων [γ]. Ἡ ἐπιστολὴ τοῦ ἁγιωτάτου Πέτρου τοῦ Μανσοὺρ πρὸς Ζαχαρίαν ἐπίσκοπον Δοάρων [δ]. Τοῦ αὐτοῦ Πέτρου περὶ τοῦ ἀχράντου σώματος οὗ μεταλαμβάνομεν [ε]. Ἀποσπασμάτια περὶ ὀρθοδόξου πίστεως [ϛ].

Τὰ ὑπὸ τῆς αὐτῆς μὴ περιεχόμενα.

Ὁ Βίος Βαρλαὰμ καὶ Ἰωσαφάτ [η]. Τὰ ἐν τῇ Ὀκτωήχῳ [θ] τροπάρια. Τὸ τυπικόν [ι]. Κανόνες [κ]· Εἰς τὸν Λάζαρον [λ], Εἰς τὸν ἅγιον Θεόδωρον τὸν Τήρωνα [μ], Εἰς τὴν κοίμησιν τῆς Θεοτόκου δύω [ν], Εἰς τὸ γενέθλιον τοῦ Προδρόμου [ξ], Εἰς τὴν Ἰνδίκτον [ο], Εἰς Θεοδόσιον τὸν Κοινοβιάρχην [π], Εἰς τοὺς Ἀσωμάτους δύω [ρ], εἰς τὸν Μάρτυρα Κόνωνα [σ], Εἰς Ἰωάννην τὸν Εὐαγγελιστήν, καὶ εἰς τὸν ἅγιον Ἀρσένιον [τ], Εἰς Ἐπιφάνιον Κύπρου [υ], Εἰς τὸν Ἰὼβ [φ], Εἰς τὸν προφήτην Ἡσαΐαν [χ], Εἰς Εὐφημίαν τὴν μάρτυρα [ψ], Εἰς Ἰωάννην τὸν Καλυβίτην [ω], Εἰς Ἰωάννην τὸν Πρόδρομον [2α].

Τὰ Ἀνέκδοτα.

Ὁμιλίαι τέσσαρες ἀσκητικαί [2β]. Περὶ πίστεως πονημάτιον [2γ]. Λεξικόν [2δ]. Εἰς τὴν ὑπαπαντὴν τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ [2ε]. Εἰς τὸ γενέθλιον Κυρίου λόγος ἱστορικός [2ϛ]. Λόγος περὶ τῆς ἁγίας συνάξεως τῆς ἀναστάσεως τοῦ Κυρίου, περὶ τοῦ μὴ κρίνειν, μηδὲ μνησικακεῖν [2η]. Διήγησις περὶ τοῦ μεγάλου Ἀρτεμίου ἐκ τῶν Φιλοσοργίου [2θ]. Παρακλητικὸν ὀκτώηχον εἰς τὴν ἁγίαν Παρθένον [2ι]. Κανόνες· εἰς Ἀρτέμωνα τὸν μάρτυρα κατὰ ἀλφάβητον· Εἰς τὸν μάρτυρα Θεόφιλον [2κ]. Τροπάρια πάμπολλα εἰς διαφόρους ἑορτάς [2λ].

ΦΩΤΙΟΣ ὁ σοφώτατος [2μ] ἐκ πατέρων γεννηθεὶς εὐγενεία τῇ κατὰ σάρκα [2ν] οὐχ ἧττον ἢ πίστει περιφανῶν τῇ ὀρθοδόξῳ· ὑπὲρ ἧς καὶ θείου κατακεκόσμηνται μαρτυρίου στεφάνῳ [2ξ]· τοῖς πρωτίστοις τῶν βασιλικῶν διαπρέψας ἀξιωμάτων πρότερον [2ο], βίᾳ [2π] ἐν ἔτει 858 [2ρ] τοὺς τῆς Ἐκκλησίας ποιμεναρχικοὺς παραλαμβάνει οἴακας, ἐπὶ τὸν Κωνσταντινουπόλεως προβιβασθεὶς πατριαρχικὸν θρόνον·

» δὲ μὴ ὄντες ἱερεῖς Μοναχοί, δεχόμενοι λογισμοὺς τινῶν, καὶ δεσμοῦντες καὶ λύοντες, γινωσκέτωσαν, ὅτι ἀκανονίστως τοῦτο ποιοῦσιν. οἱ γὰρ ἅγιοι
» πατέρες οὐδὲ τοὺς ἱερεῖς βούλονται ἄνευ προστάξεως τοῦ ἐντοπίου ἄρχοντος καταλλάττειν τοὺς μετανοοῦντας· ὡς ὁ ϛ' καὶ μβ' κανὼν τῆς ἐν Καρθαγένῃ
» Συνόδου διατρανοῦσι· νῦν δ' οὐκ οἶδ' ὅπως καταφρονεῖται ἡ τοιαύτη διάταξις· ἀλλ' ἡμεῖς τὰ γεγραμμένα λέγομεν.

(α) Ἀληθῶς ἀμφίβολος. ἥ τε γὰρ φράσις ἡ μεταγενέστερόν τι ὄζουσα, καὶ ἡ διάφορος ἐπιγραφή, ἱκανὰ ἀμφιβολίας παραίτια. ἐν τισὶ γὰρ
» τῶν κωδίκων ἐπιγέγραπται οὕτως· ἐπιστολὴ Ἰωάννου Ἱεροσολύμων ἀρχιεπισκόπου τῆς αὐτῆς ἁγίας Χριστοῦ τοῦ Θεοῦ ἡμῶν πόλεως, πεμφθεῖσα Κωνσταντίνῳ βασιλεῖ τῷ Καβαλίνῳ. ὅρα τὸ πρὸ τοῦ αὐτοῦ λόγου τοῦ Λεκκίεν. ὑπόμν. τοῦ οἰόμενοι ποίημα εἶναι Ἰωάννου Δαμασκηνοῦ ἐπισκόπου Εὐβοίας. (β) Αὕτη τυχὸν ἐστιν ἡ ὑπὸ τῶν τριῶν Πατριαρχῶν, Ἰὼβ Ἀλεξανδρείας, Χριστοφόρου Ἀντιοχείας, καὶ Βασιλείου Ἱεροσολύμων, συγγραφεῖσα, ὥς φησι Κωνσταντῖνος ὁ Πορφυρογέννητος ἐν τῷ περὶ τῆς κατὰ τὴν Ἔδεσαν τοῦ Χριστοῦ εἰκόνος λόγῳ. παρὰ Λεκκίεν. αὐτ. ἐν σελ. 628. (γ) Μελετίῳ ἐπιγράφει κῶδιξ τὶς τῶν ἐν Παρισ. βασιλικ. ὡς μαρτυρεῖ ὁ Λεκκίεν. αὐτ. ἐν σελ. 647. (δ) Ἐν ταῖς ἀρχαιοτέραις ἐκδόσεσιν ἄρχεται οὕτω· Περὶ τοῦ Κυριακοῦ σώματος. (ε) Ἡ ἐπιγραφή, ἣν εἷς καὶ μόνος ἔχει τῆς ἐν Παρισ. βασιλικ. βιβλιοθ. κῶδιξ, πολλῶν ἄλλων τῷ Δαμασκηνῷ ἐπιγραφόντων, τῆς ἀμφιβολίας γέγονε μήτηρ. ὅρα τὸν Λεκκίεν. αὐτ. ἐν σελ. 652. (ζ) Ὅρα τὸν Αὐτ. αὐτ. ἐν σελ. 659. (η) Ῥωμαϊστὶ μόνον ἐξεδόθη ἐν ταῖς παλαιοτέραις τοῦ Δαμασκ. ἐκδόσ. ἑλληνιστὶ δὲ ἔτι ἀνέκδοτος ἐν πολλαῖς κεῖται βιβλιοθήκαις, καὶ παρ' ἡμῖν δέ, νέᾳ χειρὶ μεταγεγραμμένος· πολλοὶ δὲ κώδικες τῷ Δαμασκηνῷ ἐπιγράφουσιν, ὡσαύτως καὶ τὸ Ῥωμαϊκὸν μαρτυρολόγιον κατὰ τὴν 27. τοῦ Νοεμβρ. (ὅρα σελ. 817. τοῦ 8. τεύχ. τῆς ἑλλην. βιβλιοθ. τοῦ Φαβρικ.) περιέχουσι δὲ αἱ ἀρχαιότεραι ἐκδόσεις (ἥ τε κατὰ τὸ Παρίσ. δῆθεν καὶ ἡ κατὰ τὴν Βασιλ.) καὶ ἕτερά τινα τῷ Δαμασκηνῷ ἐπιγεγραμμένα, ὡς ψευδεπίγραφα ὑπὸ τοῦ Λεκκίεν. ἐγκαταλειφθέντα, καὶ τῷ 3. Τόμ. ὃν ἐπηγγείλατο, ἀλλ' οὐκ ἐξέδωκε, διατυπωθησόμενα. (θ) Μυριάκις αὕτη Ἐνετίησιν ἐξεδόθη. (ι) Ἀνεκαινίσθη ὑπὸ τοῦ Δαμασκηνοῦ, ὥς φησιν ὁ Συμεὼν Θεσσαλονίκης. ἐσχάτη δὲ ταύτης ἐκδ. ἡ ἐν ταῖς Ἐνετ. κατὰ τὸ 1738. ἔτος γενομένη. (κ) Πάντας τοῦ Δαμασκηνοῦ εἶναι μαρτυρεῖ ὁ Φαβρίκ. (αὐτ. ἐν σελ. 820.) τοῖς ἀνεκδότοις κατατάσσων. οὐ γὰρ ἐνέτυχεν, ὡς ἔοικε, τῷ Τριῳδίῳ καὶ τοῖς Μηναίοις. (λ) Τὸ Τριῴδιον, τὸ πολλάκις Ἐνετίησιν ἐκδοθὲν τοῦτον περιέχει, ἀρχόμενον· Ὁ πρὶν ἐκ μὴ ὄντων. (μ) Ὡσαύτως καὶ τοῦτον. (ν) Τὸ βιβλίον τοῦ Αὐγούστου μηνὸς τούτους περιέχει κατὰ τὴν 15. (ξ) Τὸ τοῦ Ἰουν. κατὰ τὴν 24. (ο) Τὸ τοῦ Σεπτεμβρ. κατὰ τὴν 1. (π) Τὸ τοῦ Ἰαννουαρ. κατὰ τὴν 11. (ρ) Τὸ τοῦ Νοεμβρ. κατὰ τὴν 8. ἑνὸς δὲ μόνου μέμνηται ὁ Φαβρίκ. τοῦ ἀρχομένου, Πάντες ἀνυμνήσωμεν. (σ) Τὸ τοῦ Μαρτίου, κατὰ τὴν 5. ἀνωνύμως, τὴν αὐτὴν δὲ ἔχει ἀρχήν, ἣν καὶ ὁ Φαβρίκ. γράφει. τὸ αὐτὸ δὲ καὶ ἐν τοῖς ἑξῆς ἀνωνύμοις νόει. (τ) Τὸ τοῦ Μαΐου, κατὰ τὴν 8. ἀνωνύμως. (υ) Αὐτ. κατὰ τὴν 12. ἀνωνύμ. (φ) Αὐτ. κατὰ τὴν 6. ἀνωνύμ. (χ) Αὐτ. κατὰ τὴν 9. ἀνωνύμ. (ψ) Τὸ τοῦ Σεπτεμ. κατὰ τὴν 16. ἀνωνύμ. (ω) Τὸ τοῦ Ἰαννουαρ. κατὰ τὴν 15. (2α) Τὸ τοῦ Φεβρ. κατὰ τὴν 24. ἀνωνύμ. (2β) Ὁ Λεκκίεν. αὐτὰς ἐκδώσειν ἐπηγγείλατο, ἐν τῷ τῆς Κοϊσλινιαν. βιβλιοθ. κώδ. εὑρών. ὅρα τὴν ἐν σελ. XV. τοῦ βίου τοῦ Δαμασκ. σημείωσ. τοῦ αὐτ. Λεκ. (2γ) Ὁ Ἀλάτ. τοῦτο τῷ Λεβέρτ. ἔπεμψεν. ὅρα τὸν Φαβρίκ. αὐτ. ἐν σελ. 819. (2δ) Ἐπιγράφεται μὲν οὕτω· Λεξικὸν
» παρὰ τοῦ ἁγιωτάτου καὶ σοφωτάτου κυροῦ Ἰωάννου τοῦ Δαμασκηνοῦ διορθωθέν, καὶ ἀπὸ διαφόρων βίβλων τὰς λέξεις εἰς ἐτυμολογίαν ἑρμηνεύσαντος·
» ἄρχεται δέ· Ἆ, ἐπίρρημά ἐστιν ἐπιπληκτικόν. Ἄατος ὁ ἀβλαβής. ἄτη γὰρ ἡ βλάβη. Πόνημα μέγα, φησὶν ὁ Ἀλάτ. (παρὰ Φαβρικ. αὐτ.) πλούσιον, καὶ μοναδικόν. (2ε) Ἄρχεται· Εἶχε μὲν ἡ τῶν γενεθλίων πανήγυρις. ὁ Ἀλάτ. αὐτ. (2ζ) Ἡ ἀρχὴ αὐτοῦ· Ὁπόταν τὸ ἔαρ ἀπέλθῃ. ὁ Αὐτ. αὐτ. (2η) Ἀρχὴν ἔχει· Ἀεὶ μὲν ἡ τοῦ ἁγίου πνεύματος χάρις διὰ πάσης τῆς τοῦ Θεοῦ Γραφῆς. Ὁ αὐτὸς δὲ σχεδὸν πλατυτέρως ἐν τῷ 3. Τόμ. τῶν παλ. ἀναγν. ὑπὸ Κανισίου ἐκδέδοται, Ἀναστασίῳ τῷ Ἀντιοχείας ἐπιγραφείς. διὸ καὶ ὡς ἀμφίβολον αὐτὸν οἴεται ὁ Ἀλάτ. αὐτ. (2θ) Ἄρχεται οὕτω· Τὰ τοῦ μεγάλου καὶ ἐνδόξου μάρτυρος Ἀρτεμίου διηγεῖσθαι μέλλων ἀνδραγαθήματα. ὁ Αὐτ. αὐτ. (2ι) Ὁ Λεκκίεν. ἐκδοῦναι ἐπηγγείλατο. μήτι γε δὲ τοῦτό ἐστι τὸ καλούμενον Θεοτοκάριον τὸ Ἐνετίησιν ἐκδοθέν. (2κ) Τοῦ μὲν ἡ ἀρχή· Ἀνοίγω τῆς γνώσεως θησαυρούς· τοῦ δέ, Ἀρχὴ ἐχρημάτισας. (2λ) Τούτων πολλὰ ἐκδεδομένα τυχὸν εἰσὶν ἔν τε τοῖς Μηναίοις καὶ τῷ Τριῳδίῳ,
» καίτοι ἀνέκδοτα ἡγεῖται ὁ Φαβρίκ. αὐτ. Περὶ τούτων δ' ὁ Σουΐδας (εἰς τὸ Ἰωάν. ὁ Δαμασκ.) τάδε· οἱ γοῦν ᾀσματικοὶ κανόνες Ἰωάννου τε καὶ
» Κοσμᾶ σύγκρισιν οὐκ ἐδέξαντο, οὐδὲ δέξαιντο μέχρις ἂν ὁ καθ' ἡμᾶς βίος περαιωθήσεται. (2μ) Σοφίᾳ τε κοσμικῇ, καὶ συνέσει τῶν ἐν τῇ
» πολιτείᾳ στρεφομένων εὐδοκιμώτατος πάντων ἐνομίζετο. Γραμματικῆς μὲν γὰρ καὶ Ποιήσεως, Ῥητορικῆς τε καὶ Φιλοσοφίας, ναὶ δὴ καὶ Ἰατρικῆς,
» καὶ πάσης, ὀλίγου δεῖν, ἐπιστήμης τῶν θύραθεν τοσοῦτον αὐτῷ τὸ περιόν, ὡς μὴ μόνον σχεδὸν φῦναι τῶν κατὰ τὴν αὐτοῦ γενεὰν πάντων διενεγκεῖν,
» ἤδη δὲ καὶ πρὸς τοὺς παλαιοὺς αὐτὸν διαμιλλᾶσθαι. πάντα γὰρ συνέτρεχεν ἐπ' αὐτῷ, ἡ ἐπιτηδειότης τῆς φύσεως, ἡ σπουδή, ὁ πλοῦτος, δι' ὃν καὶ
» βίβλος ἐπ' αὐτὸν ἔρρει πᾶσα, πλέον δὲ πάντων ὁ τῆς δόξης ἔρως, δι' ὃν αὐτῷ καὶ νύκτες ἄυπνοι περὶ τὴν ἀνάγνωσιν ἐμμελῶς ἰσχολακότι. Νικήτ. ὁ Παφλαγ. ἐν τῷ βίῳ Ἰγνατ. Πατριάρχ. Κωνσταντ. (ἐν σελ. 877. τοῦ 6. Τόμ. τῶν πρακτικ. τῶν Συνόδ. τῆς τοῦ Βινίου ἐκδόσ.) ὅ τ' ἄλλα ἐχθρὸς τοῦ Φωτίου, καὶ πολλὰ αὐτοῦ καταπνῶν ἐμπαθέστατα. ἀλλὰ γὰρ ξένης οὐ χρήζει τ' ἀνδρὸς μαρτυρίας ἡ σοφία. καὶ γὰρ ἡ Μυριόβιβλος αὐτοῦ μόνη, ἣν καθ' ἕξιν παντοδαπὴν παιδείαν, καὶ κρίσιν καὶ μνήμην καὶ εὐφυΐαν εἶχεν ὁ ἄνθρωπος, ἐναργέστατος ἔλεγχος. πάνυ δὲ κατάλληλος ἥδε ἡ τοῦ Κάβε περὶ αὐτοῦ ἐπίκρισις. Vir, vt caetera taceam, infinitae lectionis, ftupendae eruditionis, omnium non fui modo, fed et omnium pene faeculorum doctiffimus, librorum helluo voraciffimus, cenfor κριτικώτατος. Nemo Bibliothecam ejus vel femel infpexerit, quin iftoricum fummum, philologum inftructiffimum, criticum perfpicaciffimum, ftatim deprehendet. Teftantur accuratam juris peritiam tot folertia ad interrogationes propofitas refponfa; prudentiam politicam liber de officio principis, vt de rebus geftis nil dicam. Legantur ejus epiftolae; videbis ipfum philofophica, medica, mathematica, theologica, adamuffim tenuiffe. Verum id apud omnes in confeffo eft; et forte folus eft Philippus Brietius, (Annal. ad ann. 858.) qui Photium literis fecularibus clarum, divinarum fuiffe ignarum affirmavit, reclamante tota Doctorum cavea, totque ejus fcriptis fumma facrarum literarum, et rei theologicae peritia refertiffimis. ἐν Τόμ. 2. σελ. 47. περὶ ἐκκλησιας. συγγραφ. (2ν) Ἦν δ' οὗτος ὁ Φώτιος, οὐ τῶν ἀγενῶν καὶ
» ἀνωνύμων, ἀλλὰ καὶ τῶν εὐγενῶν κατὰ σάρκα καὶ περιφανῶν. Ταῦτα ὁ Νικήτ. (αὐτ.) Ἦν δὲ πατρόθειος μὲν αὐτοῦ ὁ ἁγιώτατος Ταράσιος Κωνσταντινουπόλεως, (ὅρα τὴν ἐγκύκλ. ἐπιστολ. τοῦ Φωτ. τὴν ἐν σελ. 60. τῆς ἐν Λονδίν. ἐκδόσ.) αὐτάδελφος δὲ Ταράσιος ὁ Πατρίκιος, ὡς ἐκ τῆς ἐπιγραφῆς τῶν πρὸς αὐτὸν τοῦ Φωτίου ἐπιστολῶν κατιδεῖν ῥᾴδιον· ἐξόχως δὲ ἐκ τῆς 234. ἐν ᾗ νύμφην αὐτοῦ προσαγορεύει τὴν τοῦ Ταρασίου γαμετήν,
» λέγων· οὔτε οὐδὲ τὴν ἐμὴν αἰσχύνη κοσμιωτάτην νύμφην; (2ξ) Ποῦ μοι πατήρ; ποῦ δέ μοι μήτηρ; οὐχὶ μικρὰ τῷ βίῳ προσπαίξαντες·
» ἄλλην ὅσα μαρτυρικὸς αὐτοὺς καὶ τῆς ὑπομονῆς διεκόσμει στέφανος· θᾶττον λιπόντες τὸ θέατρον, ᾤχοντο; (Αὐτὸς ὁ Φωτ. ἐν τῇ 234. ἐπισ. τῆς
» αὐτ. ἐκδόσ.) ὑπὲρ τῆς τῶν ἁγίων εἰκόνων δὲ προσκυνήσεως τυχὸν οἱ οὐρανόφρονες ἤθλησαν καὶ καρτερόψυχοι. (2ο) Πρωτοσπαθάριος καὶ πρωτασηκρῆτις, (ὁ Νικήτ. αὐτ. ἐν σελ. 876. καὶ Λέων ὁ Γραμματ. ἐν τῇ Χρονογραφ. σελ. 463. τῆς κατὰ τὸ Παρίσ. ἐκδόσ. καὶ Γεώργ. ὁ Κεδρην. ἐν τῇ ἐπιτομ. τῆς ἱστορ. σελ. 551. τῆς αὐτ. ἐκδόσ.) καὶ τῆς συγκλήτου βουλῆς πρῶτος ἐχρημάτισε, (Ἰωάν. ὁ Διάκον. ἐν τῷ βίῳ Ἰωσὴφ τοῦ ὑμνογρ. παρὰ Ἀγκίῳ ἐν τῷ, de Byzantinarum rerum fcriptoribus Graecis, πονήματι. σελ. 273.) καὶ πρέσβυς ἐπ' Ἀσσυρίας (Αὐτὸς ὁ Φωτ. ἐν τῇ ἐπιστ. τῇ πρὸς τὸν ἀδελφὸν αὐτοῦ Ταράσιον, τῷ ἐν Προοιμ. τῆς Μυριοβίβλ.) ὑπὸ Μιχαὴλ διεπέμφθη τοῦ Βασιλέως. Εὐνοῦχον δ' εἶναι τὸν Φώτιον ἐμυθολόγησάν τινες (Ματθ. ὁ Ῥαδήρ. Νικόλ. ὁ Σεράρ. Σαμουὴλ ὁ Μαρέσ. Φίλιπ. ὁ Λαβ. ὅρα τὸν Ἄγκ. αὐτ. ἐν σελ. 271.) τῶν νεωτέρων, ὑπὸ τοῦ Βαρονίου ἅπαντες ἀκρίτως φενακισθέντες, ἅτε δὴ ἀνυποστόλως αὐτῷ τὰ ὦτα ἀναπετάσαντες, καὶ ὑποδουλώσαντες ἀπερισκέπτως τὴν διάνοιαν. ὁ Βαρόνιος δ' οὗτος, ὅπως ἂν πιθανὸν τόνδε κατασκευάσῃ τὸν μῦθον, θαυμάσιόν τι ἐρραδιουργήσατο ὁ γενναῖος. ἣν δῆθεν ὁ Φώτιος

Ἰωάννη

θρόνον [α]· διὰ γῆρας καὶ νόσον, ὥς τινές φασι [β], τοῦ πρὸ αὐτοῦ Ἰγνατίου τῆς Ἐκκλησίας ἑκουσίως ὑποχωρήσαντος· κατ᾽ ἄλλους δὲ [γ], ἀπελαθέντος, καὶ μηδέποτε, καίπερ ἀναγκασθέντος, παραιτήσαντος [δ]. ἐντεῦθεν ἡ τῶν δεινῶν ἀρχὴ, καὶ ἡ τῶν πολλῶν κακῶν ἐπεξεργασία [ε]. πάντων μὲν γὰρ διχῇ διαιρεθέντων, οἱ μὲν κατὰ τοῦ Φωτίου, οἱ δὲ κατὰ τοῦ Ἰγνατίου ἀκατασχέτως ἐφέροντο, καὶ ἀνηλεῶς ἐπολέμουν ἀλλήλοις. τοσαύτη δὲ ἡ τῶν περὶ τὸν Ἰγνάτιον ἐπισκόπων τόλμη τε καὶ ὁρμὴ, ὥστε ἐν τῷ τῆς ἁγίας Εἰρήνης ναῷ συνελθόντας, καθελεῖν καὶ ἀναθεματίσαι τὸν Φώτιον [ς]. ἐκ τούτου οὖν, ἔτι δὲ καὶ ἐκ τοῦ μὴ εἰς τέλος τοὺς εἰκονομάχους καθησυχάσαι ἐθέλειν, Σύνοδος κατὰ τὸ 861. ἔτος τῷ τοῦ αὐτοκράτορος Μιχαὴλ ἐπιτάγματι ἐν Κωνσταντινουπόλει [η], ἐν τῷ τῶν ἁγίων Ἀποστόλων ναῷ, τριακοσίων δέκα καὶ ὀκτὼ ἐπισκόπων συγκροτεῖται, οἷσπερ καὶ οἱ τοῦ Πάπα [θ] τοποτηρηταὶ ὅ, τε Πόρτου Ῥοδόαλδος καὶ ὁ Ἀναγνίας Ζαχαρίας σύνεδροι καὶ σύμψηφοι. αὐτίκα γοῦν ἐν τῇ πρώτῃ ταύτης συνελεύσει κατακρίνεται μὲν καὶ παῤῥησίᾳ καθαιρεῖται τῆς ἐξορίας μεταπεμφθεὶς ὁ Ἰγνάτιος, προσεπικυροῦται δὲ τῷ Φωτίῳ ὁ θρόνος [ι]. τῆς δὲ Συνόδου διαπερανθείσης, δύο τόμους, ὧν ὁ μὲν τὰ περὶ τῶν ἁγίων εἰκόνων πραχθέντα, ὁ δὲ τὴν

τοῦ

Ἰωάννῃ Πατρικίῳ Σακελλαρίῳ ἐπιστολὴν ἔγραψε, τὸν Ἰωάννην ἔπλασε τῷ Φωτίῳ γράψαι. (ἐν ἀριθ. 46. τῶν Χρονικ. ἔτει ἀπὸ Χριστοῦ 868.) αὕτη μὲν γὰρ, ἔν τε τῇ κατὰ τὸ 1601. ἐν τῇ Αὐγούσ. κἀν τῇ κατὰ τὸ 1651. ἔτος ἐν Λονδίν. γενομένῃ ἐκδόσει· ὧν ἡ μὲν πρωτότυπον ἔσχε τὸ τοῦ Μαργουνίου χειρόγραφον, ἡ δὲ ἕτερον ἀπὸ Ἀνατολῶν διακομισθέν· ταύτην ἔχει τὴν ἐπιγραφήν· Ἰωάννῃ Πατρικίῳ Σακελλαρίῳ κατὰ τοὺς Ἀγγουρίας. ἐκ ταύτης οὖν τῆς ἐπιστολῆς τοὐναντίον οὗ ὁ Βαρόνιός φησιν, ἀναμφιρρήστως συνάγεται. οὐ γὰρ ἂν ὡς σύγχυσιν τὸν Ἰωάννην ἐξήλεγχεν ὁ Φώτιος, εἴγε δὴ αὐτὸς ἦν σύνοχος. ἀλλὰ καὶ τοῦτο ἰστέον, ὡς οὐδεὶς τῶν παλαιοτέρων, εἴτουν τοῦ Μοναχοῦ Θεογνώστου, τοῦ Παφλαγόνος Νικήτα, τοῦ Μητροφάνους Σμύρνης, τοῦ Νεοκαισαρείας Στυλιανοῦ, καὶ ἄλλων, τῶν ἄχρι μυελῶν καὶ ὀστέων ποικίλαις ἐκπλυνόντων λοιδορίαις τὸν Φώτιον, σύνοχον αὐτὸν εἶπεν. εἰ δ᾽ ἄρ᾽ σύνοχος ἦν, οὐκ ἂν τοῦτ᾽ ἐσιώπησαν, χλεύης ὃν λαβὴ οὐ σμικρὰ καὶ σκώμματος. πρῶτος ἄρα καὶ γνήσιος τοῦδε τοῦ μύθου ποιητὴς ὁ Βαρόνιος.
„ (π) Ἤδειν ἐγὼ καὶ πρὸ πείρας ἀνάξιον ἐμαυτὸν καὶ τοῦ ἀρχιερατικοῦ βαθμοῦ καὶ τῆς ποιμαντικῆς ἐγχειρήσεως. διὰ τοῦτο γὰρ ἀγόμενος καὶ ἑλκόμενος, ἀπεδυσπέτουν πρὸς ταῦτα· ὡς εἴθε θάνατός μοι τῆς τότε προβολῆς, μᾶλλον δὲ τῆς ἀφορήτου βίας, προανήρπασεν. οὐ γὰρ ἂν τοσούτων καὶ τηλικούτων κακῶν κύματα τὴν ἐμὴν καθ᾽ ἑκάστην ἐβάπτιζον ἐπικλύζοντα τάλαιναν ψυχήν· ὧν ἡ ἐλπὶς καὶ ἡ προσδοκία (δεινὴ γὰρ ἡ τῶν ἀνθρώπων φύσις τὰ μέλλοντα συνιδεῖν δυσχερῆ, ἂν ἐπ᾽ αὐτὴν ἡ χαλεπότης μάλιστα φέρηται.) συνετάρασσέ με τότε καὶ συνεῖχεν. ὑφ᾽ ὧν βαλλόμενος καὶ πικρῶς ἀλγυνόμενος, ἔκλαιον, ἐδυσώπουν, πάντα μᾶλλον ἐποίουν, ἢ τοῖς ψηφιζομένοις καὶ βιαζομένοις συγκατανεύων, παρενεχθῆναι τὸ ποτήριον ἀπ᾽ ἐμοῦ τῶν πολλῶν καὶ πολυτρόπων φροντίδων καὶ πειρασμῶν ποτνιώμενος. Ταῦτα ὁ Φώτιος· (ἐν τῇ 6. ἐπισ. τῇ πρὸς τὸν Βάρδαν.) οὐκ ἂν ἐψεύσατό ποτε δὲ ἀνὴρ τοιοῦτος τὴν σοφίαν, καὶ τὴν ἀξίαν, καὶ τὸ γένος, καὶ τὴν ὑπόληψιν· τῶν λίαν γὰρ ἀγεννῶν καὶ ἀτιδανῶν τὰ τοιαῦτα ψευδῆ πλάσματα· καὶ πρὸς τοιοῦτον γράφων, ζῶντα ἔτι καὶ παρόντα, καὶ ἕνα τῶν βιασαμένων αὐτὸν ὄντα, καὶ τὰ πάντα εἰδότα. τὰ αὐτὰ δὲ καὶ ἔτι πλείονα αἱ τοῦ αὐτοῦ Φωτίου ἐπιστολαὶ περιέχουσιν, αἱ πρὸς τὸν 1. Νικόλ. τὸν Πάπ. ὅρα Τόμ. 10. τῶν Χρονικ. τοῦ Βαρον. ἔτ. 859. Ἀριθμ. 61. καὶ ἔτ. 861. Ἀριθ. 39. (ρ) Ὁ Ἀγκ. αὐτ. ἐν σελ. 289. καὶ ὁ Καβ. αὐτ.
„ (α) Καὶ ἦν ἀληθῶς ἐκεῖνον ὁρᾷν αὐθήμερον ἅγιον πλαττόμενον κατὰ τὴν παροιμίαν. πρώτῃ γὰρ ἡμέρᾳ Μοναχὸς ἀντὶ λαϊκοῦ, τῇ δευτέρᾳ δὲ Ἀναγνώστης, καὶ ὑποδιάκονος τῇ ἑξῆς, εἶτα Διάκονος, εἶτα Πρεσβύτερος, ἔπειτα τῇ ἕκτῃ, Χριστοῦ δὲ ἦν τὰ γενέθλια, καὶ αὐτὸς τῷ ἱερατικῷ προβὰς θρόνῳ, τὴν εἰρήνην τῷ λαῷ προσεφώνει, μηδὲν τῆς ἀληθινῆς εἰρήνης ἄξιον εἰσοίμενος. ἦν δὲ αὐτῷ καθηγητὴς καὶ ἱεροτελεστὴς τὰ πάντα Γρηγόριος ἐκεῖνος ὁ καλούμενος Ἀσβεστᾶς. ὁ Νικήτ. (αὐτ. ἐν σελ. 877, 878.) ὁ δὲ Στυλιανὸς ὁ Νεοκαισαρ. (ἐν τῇ πρὸς τὸν 4. Στέφαν. τὸν Πάπ. ἐπισ. τῇ ἐν σελ. 792. τοῦ 6. Τόμ. τῶν πρακτ. τῶν Συνόδ. τῆς εἰρημ. ἐκδόσ.) Φώτιον, φησὶν, ἀντὶ Ἰγνατίου εἰσήγαγε παρὰ τῶν σχισματικῶν ψηφισθέντα. καὶ ἐν σελ. 289. (αὐτ.) Ὑπὸ τοῦ καθαιρεθέντος Γρηγορίου χειροτονηθέντα αὐθήμερον. Ἐκ τούτων οὖν δῆλον, ὅτι τὸ αὐθήμερον παρ᾽ αὐτοῖς, ἐξ ἡμέρας σημαίνει. (β) Μιχαὴλ ὁ Αὐτοκράτ. ὡς ἐκ τῆς δευτέρας πρὸς αὐτὸν ἀπαντήσ. Νικολ. τοῦ 1. τοῦ Πάπ. δῆλον. Ignatius, γάρ φησιν ὁ Νικόλ. quem ſedis ſupradictae [CPolitianae] gubernacula propria ſpontaneaque voluntate deſeruiſſe, et totius plebis congregato Concilio depoſitum eſſe veſtris apicibus nobis intimare curaſtis, κτ. (ἐν σελ. 488. τοῦ 6. Τόμ. τῶν πρακτ. τῶν Συνόδ. τῆς εἰρημ. ἐκδόσ.) ὁ δὲ Νικήτας, τὸν Φώτιον ταῦτα γράψαι ἀποφαίνεται, λέγων· γράφει γὰρ, ὡς Ἰγνάτιος διὰ γῆρας καὶ νόσον καὶ σώματος ἀδυναμίαν παραιτησάμενος, ὑπεχώρησε τῆς Ἐκκλησίας. (αὐτ. ἐν σελ. 880.) ὡσαύτως καὶ ὁ Ἀνώνυμος, (ἐν τῷ περὶ Συνόδ. βιβλιδ. συνελ. 151. παρὰ Ἀγκ. αὐτ. ἐν σελ. 283.) ἑκουσίως παραιτησάμενον, φησὶ, διὰ γῆρας λιπαρὸν καὶ ἀσθένειαν σώματος, Φώτιος ἀνεδίδασκε τὸν Ἰγνάτιον.
„ (γ) Ἐκείνου τυραννικῶς ἐξωσθέντος, ἔτοι προβάλλονταί τινα, Φώτιον μὲν προσαγορευόμενον, πρωτασηκρῆτιν τότε ὑπάρχοντα, ἐπ᾽ εὐλαβείᾳ δὲ καὶ γνώσει πολλῇ φημιζόμενον. ὁ Μοναχὸς ὁ Στουδίτης ἐν τῷ βίῳ Νικολ. τοῦ Στουδίτ. παρὰ τῷ Ἀγκ. αὐτ. (δ) Ὁ Νικήτ. (αὐτ. ἐν σελ. 879.) Ἐμίσησαν δὲ τὸν Ἰγνάτιον ὅ, τε Μιχαὴλ ὁ βασιλεὺς καὶ ὁ θεῖος αὐτοῦ καὶ Καῖσαρ, ὁ Βάρδας· ὁ μὲν, ὡς μὴ θελήσαντα τὴν μητέρα καὶ τὴν ἀδελφὴν αὐτοῦ κεῖραι καὶ τῷ μοναδικῷ ἀμφιέσαι σχήματι· (ὁ Θεόγνωσ. ἐν Τόμ. 6. τῶν πρακτ. τῶν Συνόδ. σελ. 916. τῆς εἰρημ. ἐκδόσ.) ὁ δὲ, ὡς ἐλεγχθεὶς ὑπ᾽ αὐτοῦ, καὶ τῆς τῶν θείων κωλυθεὶς μυστηρίων μεταλήψεως, καὶ ἀφορισθείς. συνεφθείρετο γὰρ, ὥστινες ἔλεγον, (ὁ Ζωναρ. ἐν τοῖς Χρονικ. σελ. 161. τῆς ἐν Παρισ. ἐκδόσ. καὶ Λέων ὁ Γραμματ. ἐν τῇ Χρονογραφ. σελ. 463. τῆς αὐτ. ἐκδόσ.) τῇ ἰδίᾳ νύμφῃ. (ε) Δεσμὰ, καθείρξεις, κολαφισμοὺς, ἐξ ὧν ὀδόντων πτώσεις, εἶτα καὶ ἐξορίας τὸν Ἰγνάτιον ὑπομεῖναί φασιν ὅ, τε Θεόγνωστος (αὐτ. ἐν σελ. 915.) καὶ ὁ Νικήτας· (αὐτ. ἐν σελ. 879.) καὶ τοὺς αὐτῷ δὲ συνήθεις πολλὰ παθεῖν, ἐν οἷς καὶ Βλάσιον τὴν γλῶτταν ἀποτμηθῆναι τὸν Χαρτοφύλακα. τούτων δὲ καὶ τῶν τούτοις παραπλησίων, ὅσα ὁ βασιλεὺς Μιχαὴλ καὶ ὁ Βάρδας ἐποίουν, τὸν Φώτιον αὐτουργὸν καθυποφαίνουσιν οἱ διαληφθέντες αὐτοῦ ἀντίπαλοι. ὁ δὲ οὐ μόνον ἀθῶος ἦν, ἀλλὰ καὶ πάσαις ἀνελεῖν αὐτὰ καὶ ἄρδην ἐκριζῶσαι ἐπεχείρει τε καὶ ἠγωνίζετο ταῖς δυνάμεσιν, ὡς ἐκ τῆς 6. αὐτοῦ ἐπισολ. τῆς πρὸς τὸν Βάρδαν εὐπετὲς ἐπιγνῶναι. Οὐκ ἔτι, γάρ φησι, φόβος προσδοκίας, ἀλλ᾽ ὀδύνη στηριζομένη περὶ τὰ καίρια, καὶ στεναγμὸς, καὶ ἀμηχανία ἐπὶ τοῖς ἤδη καταλαβοῦσιν. ὅτε γὰρ ἱερεῖς, ὁποῖοι ἂν καὶ εἶεν, ὅμως πάντως ἐπὶ ἑνὶ πλάσματι πάσχοντας ὁρῶ, τυπτομένους, δημευομένους, φαυλιζομένους, τὴν γλῶσσαν ἐκτεμνομένους, (φεῖσαι Κύριε τῶν ἁμαρτιῶν ἡμῶν) πῶς οὐ μακαρίζω τοὺς τετελευτηκότας ὑπὲρ ἐμέ; πῶς οὐ τὸ φορτίον τὸ ἐπιτεθέν μοι, οὐκ εἰς ἔλεγχον τῶν ἐμῶν ἁμαρτημάτων λογίσομαι; ἄνθρωπος ἄπορος, ἀπροσπέλευτος, οὐδὲ τὸν νοῦν ἔχων ἀπαθῆ, (οἷς ἔλεος μᾶλλον οὐκ ἀγανάκτησις ἕπεται) ἔπαθον ἅμα τοσαῦτα κακά· ἐπράθη, ἐτύφθη, ἐφυλακίσθη· τὸ ἀπαραμύθητον, ἀπετμήθη τὴν γλῶσσαν, καὶ ταῦτα ἱερωσύνην φορῶν· ὑπὲρ οὗ πολλάκις ἐπρέσβευσα, ὑπὲρ οὗ πολλάκις ἐδυσώπησα, ὑπὲρ οὗ ὁ μάταιος ἐγὼ καὶ ῥήματα ἀπαθείας ἔλαβον, καὶ οἱ ἰδόντες ἐπίστανται, κτ. (ζ) Καὶ παρὼν ὁ σύλλογος ἅπας τῶν ἐπισκόπων τῆς ἐπαρχίας Κωνσταντινουπόλεως ἀναθεματίσατε αὐτὸν, καὶ καθῃρημένον εἶναι ἀπεφήνατο ἀπὸ Πατρὸς καὶ Υἱοῦ καὶ ἁγίου Πνεύματος. οὕτω τῶν ἐπισκόπων πάντων συμφωνησάντων, καὶ αὐτοὺς ἀναθεματισάντων, ὅστις ποτὲ Φώτιον ὁμολογήσει Πατριάρχην· καὶ τούτων ἐπὶ ἡμέρας τεσσαράκοντα συνειλεγμένων ἐν τῇ ἁγίᾳ Ἐκκλησίᾳ τῆς ἁγίας Εἰρήνης, κτ. ὁ Μητροφάν. ἐν τῇ ἐπισ. πρὸς Μανουὴλ Πατρίκ. (τῇ ἐν σελ. 986. τοῦ 6. Τόμ. τῶν Πρακτικ. τῶν Συνόδ. τῆς εἰρημ. ἐκδόσ.) Λάθρα δὲ ταῦτα ἀναμφιλέκτως ἐγίνετο, καὶ ἐν νυκτὶ καὶ σκότει, ἅτε δὴ παρὰ τὴν τοῦ βασιλέως γνώμην. (η) Ἡ Σύνοδος αὕτη ἐπιγέγραπται οὕτως· Ἡ ἁγία καὶ μεγάλη πρώτη καὶ δευτέρα Σύνοδος ἡ ἐν Κωνσταντινουπόλει συστᾶσα ἐν τῷ πανσέπτῳ ναῷ τῶν ἁγίων καὶ πανευφήμων Ἀποστόλων. (ἐν σελ. 331. τοῦ 1. Τόμ. τῶν Πανδεκτ.) μία δὲ καὶ ἡ αὐτή ἐστιν ἡ Σύνοδος, κἂν πρώτη καὶ δευτέρα λέγηται, διὰ τὴν γενομένην παρακοπὴν καὶ πάλιν ἔναρξιν, ὥς φασιν ὅ, τε Βαλσαμὼν καὶ ὁ Ζωναρᾶς. (αὐτ.) καὶ τὰ μὲν Πρακτικὰ αὐτῆς ἐξέλειπον, (φασί τινες ἐν Μουτίνῃ κατὰ τὸ 1708. ἔτος ταῦτα ἐκδοθῆναι ὑπὸ Benedicti Bachinii in append. ad Agnelli libr. Pontifical. ὅρα τὴν σημείωσ. τὴν ἐν σελ. 77. τοῦ 2. Τόμ. περὶ ἐκκλησιασ. συγγραφ. τοῦ Καβ.) ὑπὸ τῶν Ἰγνατιανῶν τυχὸν καταφθαρέντα, δέκα δὲ καὶ ἑπτὰ κανόνες αὐτῆς σώζονται. περὶ δὲ τῆς αὐτῆς Συνόδου ὅρα τόν τε Νικήτ. ἐν τῷ βίῳ Ἰγνατ. καὶ Γεώργ. τὸν Κεδρην. ἐν σελ. 551. τῆς ἐν Παρισ. ἐκδόσ. (θ) Ὁ μὲν Κεδρηνὸς, (αὐτ.) ἐπεὶ δὲ παρῆσαν καὶ τοποτηρηταὶ τοῦ Πάπα Ῥώμης, λέγων, παρασιωπεῖ τὸ τοῦ Πάπα ὄνομα· ὁ δὲ Καβ. (αὐτ.) τοῦ Ἀδριανοῦ τούτους ἀναφησιν. ὅπερ οὐκ ἀληθές. καὶ γὰρ τοῦ Νικολάου τοῦ 1. ἦσαν, ὡς ἐκ τῆς 2. αὐτοῦ ἐπισολ. τῆς πρὸς Μιχαὴλ τὸν Αὐτοκράτορα, (ὅρα σελ. 489. τοῦ 6. Τόμ. τῶν Πρακτικ. τῶν Συνόδ. τῆς εἰρημ. ἐκδόσ.) καὶ ἐκ τῆς 7. (ὅρα σελ. 495. τοῦ αὐτ. Τόμ.) δῆλον. πιστεύειν δὲ οὐ χρὴ Μητροφάνῃ, (ὅρα τὴν εἰρημ. πρὸς Μανουὴλ ἐπισολ. αὐτ.) οὐδὲ Στυλιανῷ, (ὅρα τὴν ἐπισολ. αὐτοῦ τὴν πρὸς τὸν Στέφαν. τὸν 6. τὸν Πάπ. τὴν ἐν σελ. 131. τοῦ 7. Τόμ. τῆς εἰρημ. ἐκδόσ.) οὐδὲ Νικήτᾳ, (ὅρα τὸν βίον Ἰγνατ. αὐτ. ἐν σελ. 880.) ἐν πολλοῖς προδήλως καταψευδομένοις, καὶ ἀκατασχέτῳ ὀργῇ τε καὶ πάθει κατὰ τοῦ Φωτίου συνεχομένοις, καὶ λέγουσι· τὸν Φώτιον πρέσβεις πρὸς τὸν Νικόλαον ἀποστείλαντα τοὺς αὐτοῦ ἐκζητῆσαι τοποτηρητάς· τοὺς δὲ παραγενομένους σκοπεῖν, κατάξαι μὲν τὸν Φώτιον, ἀποκαταστῆσαι δὲ τὸν Ἰγνάτιον. τοὐναντίον γὰρ τούτων οὔτε τοῦ βασιλέως Μιχαὴλ καὶ αἱ τοῦ Φωτίου πρὸς τὸν Νικόλαον ἐπισολαὶ δηλοῦσιν, ὡς καὶ ἐκ τῶν τοῦ Νικολάου πρὸς αὐτοὺς ἐπισολ. δῆλον. ὅρα τὸν Ἀγκ. αὐτ. ἐν σελ. 299, καὶ 303. (ι) Ὁ Κεδρηνὸς, (αὐτ.) καὶ ὁ Ζωναρᾶς, (ἐν σελ. 162. τοῦ 2. Τόμ. τῶν Χρονικ. κατὰ τὴν εἰρημ. ἐκδ.) καὶ Νικόλαος ὁ Πάπας· (ἐν τῇ 1. ἐπισ. τῇ πρὸς τοὺς τῆς Ἀνατολ. Πατριάρχ. ὅρα σελ. 486. τοῦ εἰρημ. 6. Τόμ. καὶ ἐν τῇ 5. κἀν τῇ 8. ὅρα σελ. 491, καὶ 499. αὐτ.) ὁ δὲ Νικήτας, (αὐτ. ἐν σελ. 882.) παρισάνουσι, φησὶν, ἑβδομήκοντα καὶ δύο ψευδομάρτυρας, (παπαὶ τοῦ ψευδομαρτύρων πλήθους· καὶ μίαν δύο ἢ τρεῖς ἐξήρκει.) οὓς ἐκ πολλοῦ προητοιμάσαντο, ἀνθρώπους ἀσεβεῖς πάντας. Καὶ μετ᾽ ὀλίγα. Ἕνα καθ᾽ ἕνα προσῆγον ὀμνύοντας, ὡς ὁ δωδεκαετῆ μικροῦ δεῖν χρόνον ἀρχιερατεύσας Ἰγνάτιος ἀψηφίστως χειροτονηθεὶς, ἐκράτησε τῆς Ἐκκλησίας. Καὶ μετ᾽ ὀλίγα. Τίς γὰρ οὐκ οἶδεν, ὡς Ἰγνάτιος μὲν ψήφῳ πάντων ὁμοῦ τῶν Ἀρχιερέων, καὶ τῆς Ἐκκλησίας συναινέσει κανονικῶς καὶ ἐνθέσμως προκεχείρισαι; ἀλλὰ γὰρ οὐ χρὴ ψεύδεσθαι. εἰ δέ τις ἐπὶ τὸ ἄθεσμον καὶ ἄτιμον τοῦτ᾽ ἐκτραπείη ἀτόπημα, ζῶσάν τε καὶ ἐγκρατῆ δεῖ αὐτὸν ἔχειν τὴν μνήμην. ἄλλως γὰρ αὐτὸς ἑαυτῷ ἀντιφάσκει, ψεύστην αὐτὸς ἑαυτὸν παριστῶν ἐμφανέστατα. ὃ δὴ πέπονθεν ὁ Νικήτας. καὶ γὰρ ὁ αὐτὸς ἀνωτέρω (αὐτ. ἐν σελ. 878.) περὶ τῆς τοῦ Ἰγνατίου προχειρίσεως διαληφθεὶς, ἔφη· ὅτι ὁ Συρακούσης Γρηγόριος, καὶ Πέτρος ὁ λεγόμενος Δάλλος, πρὸς δὲ καὶ ὁ Ἀπαμείας Εὐλάμπιος, καὶ ἄλλοι τινὲς τῶν

οὐσημ-

τοῦ Ἰγνατίου καθαίρεσιν περιεῖχε, ἔτι δὲ καὶ ἐπιστολὰς διὰ Λέοντος τοῦ Ἀσηκρίτου Μιχαὴλ ὁ Αὐτοκράτωρ ἔπεμψε Νικολάῳ τῷ Πάπᾳ [α]. ὁ δὲ αὐτῷ ἀντεπέστελλε, μήτε τῇ Ἰγνατίου καθαιρέσει, μήτε τῇ Φωτίου, λέγων, συγκατατίθεσθαι ἐπικυρώσει, παραινῶν τε ἅμα τῇ τῆς ἐν Ῥώμῃ Ἐκκλησίας ἐπικρίσει δεῖν τὰς τῆς ἐν Κωνσταντινουπόλει συμβιβασθῆναι διαφωνίας [β]. ὅπερ ἦν τὴν ἐκεῖ Ἐκκλησίαν αὐτῷ ὑποταγῆναι. καὶ πρὸς τὸν Φώτιον δὲ ἔγραφεν, οὐ μέντοι ἐπιεικῶς ὥσπερ τῷ βασιλεῖ, ἀλλ᾽ ἰταμῶς καὶ λίαν ἀποτόμως [γ]. ἔτι δὲ καὶ πᾶσι τοῖς ἐν τῇ Ἀνατολῇ ἐπισκόποις κελεύειν ἀπετόλμα, ἀποποιεῖσθαι μὲν τὸν Φώτιον, παραδέχεσθαι δὲ τὸν Ἰγνάτιον, καὶ τοῦτον ἡγεῖσθαι Πατριάρχην [δ]. ἐπεὶ δὲ ἑώρα καὶ φροῦδα ἑώρα πάντα τὰ αὐτοῦ κινήματα, καὶ τὸν σκοπὸν αὐτοῦ ἄπρακτον, ἐπινεανιευθεὶς ἐκτελεσιουργεῖ τι γενναιότερον. δυτικοὺς γάρ τινας ἐν Ῥώμῃ συναγαγὼν ἐπισκόπους, ἀποστερεῖ μὲν πάσης ἱερωσύνης τὸν Φώτιον, ἀναθέματι αὐτὸν καθυποβαλών, εἴγε δή τι πρᾶξαι τῶν τῆς ἱερωσύνης τολμήσειε· λαϊκοὺς δ᾽ ἀνακηρύττει τοὺς ὑπ᾽ αὐτοῦ χειροτονηθέντας· καὶ τῷ Ἰγνατίῳ, ὡς ᾤετο, τὸν θρόνον ἀποδίδωσι, καὶ τοὺς σὺν αὐτῷ ἐξοριθέντας ἐπισκόπους ἐν ταῖς αὐτῶν ἀνακαλεῖ Ἐκκλησίαις· καὶ τοὺς μὴ τοῖς αὐτοῦ πειθομένους ὅροις, κληρικοὺς μὲν παντὸς βαθμοῦ ἐκγυμνοῖ καὶ τάξεως, λαϊκοὺς δὲ αἰωνίῳ κολάσει καταδικάζει [ε]. ἀλλὰ ταῦτα μὲν παρὰ τοῖς Ἀνατολικοῖς τοσοῦτον ἴσχυσαν, ὅσον ἂν εἰ καὶ μὴ γεγενημένα ἦσαν ὅλως· ὁ δὲ πάνυ γε ἀντάξια τῆς προπετείας ἀντελάμβανε τἀπίχειρα. ἐπιστέλλων γὰρ αὐτῷ [ς] διὰ Μιχαὴλ τοῦ πρωτοσπαθαρίου ὁ Αὐτοκράτωρ Μιχαήλ, ἐξήλεγχε μὲν ὡς ματαίαν τὴν πασῶν τῶν Ἐκκλησιῶν ἀνεπόρπητο ἐξουσίαν· ἐδήλου δέ, ὡς οὐχ ὑπακοῆς, ἀλλὰ τιμῆς χάριν· ὃ τοῖς Αὐτοκράτορσιν οὐ πάνυ σύνηθες· τοὺς αὐτοῦ ἐζήτησε τοποτηρητάς. καὶ ταῦτα δὲ οὐχ ἵνα τῆς μεταξὺ Φωτίου καὶ Ἰγνατίου ἔριδος αὐτῷ μόνῳ καθυποτάξῃ τὴν ἐπίκρισιν· ἀλλ᾽ ὅπως ἂν ἢ τῶν αὐτοῦ τοποτηρητῶν παρόντων, ὁ μὲν ἤδη κατακριθεὶς Ἰγνάτιος ἐμφαντικώτερον κατακριθείη, εἰς δὲ τὸν προχειρισθέντα Φώτιον ἀφορῶσιν εὐνοϊκώτερον ἅπαντες [η]. προσετίθη δὲ καὶ τό, μηδὲν τὸ παράπαν τὴν αὐτοῦ κατεργάζεσθαι ἀσυμφωνίαν, τῶν τῆς Ἀνατολῆς Πατριαρχῶν τῇ Ἰγνατίου καθαιρέσει καὶ τῇ Φωτίου συναινέντων προχειρίσει [θ]. ταῦτα δὲ καίπερ βλασφημίας καὶ περιφρονήσεις ἡγέμενος ὁ Νικόλαος [ι], εἴχετο δ᾽ οὖν ὅμως οὗ ἑαυτῷ προέθετο μοναρχίας σκοποῦ, ὡς λεπὰς τῆς πέτρας. διὸ δὴ καὶ βλασφημούμενος, ὡς ἔλεγε, τὰ αὐτὰ πάλιν ἀναιδέστερόν πως προέτεινε. καὶ γάρ, οἷον ἐπιλαθόμενος ὧν ἐποίησεν, ἔγραφε [κ], τὸν Ἰγνάτιον καὶ τὸν Φώτιον καὶ τοὺς περὶ αὐτούς, ἢ τοὺς τοποτηρητὰς αὐτῶν, οὓς αὐτὸς κατ᾽ ὄνομα καλῶν ὥριζεν, οὐ μὴν ἀλλὰ καὶ τοὺς τοῦ Βασιλέως ἐς Ῥώμην ἀφικέσθαι, ἵνα αὐτὸς αὐτοὺς κριτὴς καθίσας κρίνῃ. ἐπεὶ δὲ καὶ ταῦτα ἐπίσης τοῖς προτέροις ἀτελεσφόρητα ἀπεφάνθη, πάντα κάλων, τὸ τοῦ λόγου, κινῶν, τρεῖς ἀποστέλλει πρέσβεις, Δονάτον ἐπίσκοπον, καὶ Λέοντα πρεσβύτερον, καὶ Μαρῖνον διάκονον, τὸν Βασιλέα δι᾽ ὧν ἔφερον γραμμάτων ἀξιώσοντας, πυρὶ τὰς ἐπιστολὰς παραδοῦναι, ἐν αἷς τὴν τῆς Ῥώμης Ἐκκλησίαν τῶν ἄλλων μὴ κυριαρχεῖν προέγραψεν· ἅμα δὲ καὶ ἀπειλήσοντας, ὡς εἴγε δὴ μὴ πείθοιτο, αὐτὸς σὺν τῇ περὶ αὐτὸν τῶν Δυτικῶν Συνόδῳ τοῦτ᾽ ἂν ποιήσειε τοῖς πεμφθεῖσιν αὐτῷ ἀντιγράφοις· πρὸς τούτοις δέ, καθικετεύσοντας, ἐν Ῥώμῃ τὸν Ἰγνάτιον σὺν τῷ Φωτίῳ, κριθησομένους σταλῆναι [λ]. πάνυ δ᾽ οὖν ὅμως πικροὺς τοὺς τῶν καμάτων αὐτοῦ καρποὺς ἀπεθέριζε. καὶ γὰρ ὁ αὐτοκράτωρ Μιχαὴλ καὶ Βασίλειος ὁ Καῖσαρ οὐ μόνον λόγῳ, ἀλλά γε δὴ καὶ ἔργῳ, φάσμα ἀναποδεῖξαι βουλόμενοι τὴν πασῶν ὀνειροπολεῖ τῶν Ἐκκλησιῶν δεσποτείαν, τοὺς διαληφθέντας αὐτοῦ πρέσβεις μὴ ἀπολῦσαι, μηδὲ τῶν Κωνσταντινουπόλεως ὁρίων ἐᾶσαι ἐξελθεῖν ἔγνωσαν, πρὶν ἢ κἀυτοὶ ἐγγράφως κατακρίνωσιν ὅσα οἱ ἐκεῖ κατέκριναν [μ].

Συνέβαινε δὲ κατ᾽ ἐκεῖνον τὸν καιρὸν τὸ τῶν Βουλγάρων γένος σὺν τῷ Ἄρχοντι αὐτῶν ὑπὸ Μιχαὴλ τοῦ Αὐτοκράτορος πολέμῳ κρατηθέν, αὐτῷ τε ὑποταγῆναι, καὶ πίστιν τὴν εἰς Χριστὸν ὑποδέξασθαι [ν]. ἔνθεν τοι διδασκάλους τὰ τῆς θεοσεβείας αὐτοῖς μυσταγωγήσοντας δόγματα ἀποστέλλει ὁ πατριάρχης ὁ Φώτιος· καὶ αὐτὸς δὲ γράφων τὸν Ἄρχοντα αὐτῶν κατήχει τε θεοπρεπῶς τὰ τῆς εὐσεβοῦς πίστεως, καὶ σοφῶς ἐδίδασκε τὰ θειότατα τῆς χρηστοηθείας μαθήματα [ξ]. ἀλλ᾽ ἐποφθαλμιᾷ τῷ ἔργῳ, καὶ σφετερίσασθαι τὸ νεοφανὲς Χριστοῦ ποίμνιον βουλεύεται ὁ Νικόλαος. οὔπω γὰρ δύω διεληλυθότων ἐτῶν, ἐξότου οἱ νεοφώτιστοι Βούλγαροι τῷ τῆς ὀρθοδοξίας φωτὶ κατηυγάσθησαν, κἀυτὸς ἐπισκόπους ἀπέστειλε τὰ τῆς Ἐκκλησίας αὐτοῦ συμπαραφυτεύσοντας καινοτομήματα, καὶ τὰ ἀρτιγέννητα πρόβατα τῆς γνησίας μητρὸς αὐτῶν ἀποσπασομένους Ἐκκλησίας [ο]. τοῦτο δὲ δὴ καὶ κατωρθωκὼς φαίνεται. καὶ γὰρ ἔγραφε πρὸς αὐτὸν ἐν ἔτει 866. ὁ τῶν Βουλγάρων ἄρχων ὁ Μιχαὴλ περὶ ἐκκλησιαστικῶν διὰ πρέσβεων ἐρωτῶν αὐτὸν ὑποθέσεων [π]. ἔδοξεν οὖν τοῖς ἐν Κωνσταντινουπόλει διὰ Συνόδου τά τε ὑπέρογκα τοῦ Νικολάου καθελεῖν φρονήματα, καὶ ἐκ τοῦ νεοσυστάτου τῶν Βουλγάρων ἀγροῦ τὰ ζιζάνια ἐκτῖλαι, καὶ σὺν αὐτοῖς σπορ-

εὐσημοτέρων κληρικῶν τῷ Ἰγνατίῳ ἀντεφέροντο, ἀλόγως τῆς Ἐκκλησίας ἀποῤῥηγνύμενοι.' Τὰ αὐτὰ δὲ ὀλίγου δεῖν ἀνεφύρησαν ἄλφιτα ὅ, τε Μητροφάνης, (αὐτ.) καὶ ὁ Στυλιανός, (αὐτ.) καὶ ὁ Ἀνώνυμος ὁ Ἰγνατιανὸς (ἐν τῷ περὶ Συνόδ. βιβλ.) καὶ ὁ Ἀναστάσιος ὁ βιβλιοθηκάριος. (ἐν τῷ βίῳ Νικολ. τοῦ 1. τοῦ Πάπ.) ὅρα τὸν Ἀγκ. αὐτ. ἐν σελ. 307.

(α) Αὐτὸς ὁ Νικόλ. μαρτυρ. ἐν τῇ 1. αὐτ. ἐπιστολ. τῇ ἐν σελ. 486. τοῦ διαληφθέντ. 6. Τόμ. (β) Ὁ Αὐτ. Νικόλ. ἐν τῇ 5. αὐτοῦ ἐπιστολ. τῇ πρὸς τὸν αὐτοκράτορ. Μιχαήλ. ὅρα σελ. 491. τοῦ αὐτ. Τόμ. (γ) Ὁ Αὐτ. ἐν τῇ 6. τῶν ἐπιστολ. αὐτοῦ τῇ πρὸς τὸν Φώτιον. ὅρα αὐτ. σελ. 493. (δ) Ὁ Αὐτ. ἐν τῇ 4. ἐπιστ. τῇ πρὸς τὴν ἀνατολικ. Ἐκκλησ. αὐτ. ἐν σελ. 490. (ε) Ταῦτα πάντα ὁ Αὐτὸς διαμαρτύρεται ἔν τε τῇ 7. αὐτοῦ ἐπιστολ. (αὐτ. κἀτ. ἐν σελ. 495.) κἀν τῇ 10. (αὐτ. ἐν σελ. 527.) τῆς αὐτῆς δ᾽ ἐννοίας ἐστὶ καὶ ἡ πρὸς τὸν Φώτιον 11, (αὐτ. ἐν σελ. 537.) καὶ ἡ πρὸς τὸν Βάρδαν 12, (αὐτ. ἐν σελ. 540.) καὶ ἡ πρὸς τὸν Ἰγνάτιον 13. (αὐτ ἐν σελ. 542.) πάσας δὲ ἐν ἔτει 866. ἔγραψεν. (ὅρα τὸν Ἀγκ. ἐν σελ. 315-318. αὐτ.) ὁ δὲ ψευδονικήτας, καὶ αὐτὸν τὸν βασιλέα, φησίν, (αὐτ. ἐν σελ. 886.) καὶ τὴν ὑπ᾽ αὐτὸν πολιτείαν πᾶσαν ὑπὸ τοῦ Νικολάου ἀφορισθῆναι. (ζ) Ἔτει 865. φησὶν ὁ Ἀγκ. αὐτ. ἐν σελ. 320. (η) Ὅρα τὴν εἰρημέν. 10. ἐπιστολ. αὐτοῦ τοῦ Νικολ. (θ) Ὅρα τὴν 7. ἐπιστολ. τοῦ αὐτ. τὴν ἐν σελ. 495. τοῦ εἰρημ. 6. Τόμ. (ι) Ὁ Αὐτ. ἐν τῇ αὐτῇ 10. ἐπιστολ. (κ) Ἐν τῇ 8. αὐτοῦ ἐπιστολ. τῇ ἐν σελ. 499. τοῦ αὐτοῦ Τόμ. (λ) Ἐν τῇ αὐτῇ ἐπιστολ. κἀν τῇ 9. ὅρα σελ. 514. τοῦ αὐτ. Τόμ. (μ) Ὁ Αὐτὸς Νικόλ. ἐν τῇ 70. αὐτ. ἐπιστολ. ὅρα σελ. 605. τοῦ αὐτ. Τόμ.) καὶ ὁ Ἀναστάτ. ἐν τῷ βίῳ Νικολ. παρὰ Ἀγκ. αὐτ. ἐν σελ. 326. (ν) Ἐκστρατεύσας δὲ Μιχαὴλ ἅμα Βάρδᾳ Καίσαρι, κίνησιν ποιεῖ κατὰ Μιχαὴλ ἄρχοντος Βουλγαρίας διά τε γῆς καὶ θαλάσσης, μαθὼν τὸ τῶν Βουλγάρων ἔθνος λιμῷ τήκεσθαι. οἱ δὲ Βούλγαροι τοῦτο μαθόντες, ὡς ἤχῳ βροντῆς ὑπεκλίθησαν, καὶ πρὸ τῶν ἀγώνων καὶ τῆς μάχης περὶ τῆς νίκης ἀπέγνωσαν, καὶ Χριστιανοὶ γενέσθαι, καὶ ὑποτάττεσθαι τῷ βασιλεῖ καὶ Ῥωμαίοις ᾐτήσαντο. ὁ δὲ βασιλεὺς τὸν ἄρχοντα αὐτῶν βαπτίσας καὶ δεξάμενος, ἐπιτέθηκεν αὐτῷ τὸ ὄνομα. τοὺς δὲ μεγιστᾶνας αὐτοῦ ἐν τῇ πόλει εἰσαγαγών, ἐβάπτισε πάντας. Λέων ὁ Γραμματ. ἐν σελ. 462. τῆς Χρονογραφ. κατὰ τὴν ἐν Παρισ. ἔκδ. (ξ) Αἱ μὲν ἄλλαι χάριτες, περιφανέστατε καὶ ἠγαπημένε ἡμῶν υἱέ. Καὶ μετ᾽ ὀλίγα. Νῦν δέ σοι τὸ ἱερὸν καὶ θεόχριστον τῆς ἱερᾶς ἡμῶν λατρείας ἀνατιθέμεθα μάθημα. Καὶ περὶ που τὸ τέλος. Ταῦτά σοι ἐκ πολλῶν ὀλίγα, ὦ τῶν ἐμῶν πνευματικῶν ὠδίνων εὐγενὲς καὶ γνήσιον γέννημα, τῆς περὶ σὲ φιλίας καὶ υἱοθεσίας, οἱονεί τινα θεῖα συμβόλαια, καὶ ἀρετῆς ἀρχετύπους ἀνατίθημι πίνακας. ὁ Φώτ. ἐν τῇ πρὸς τὸν Ἄρχοντ. Βουλγαρ. ἐπιστολ. ὅρα τὴν 1, 2, καὶ 43. σελ. τῆς ἐν Λονδ. ἐκδόσ. (ο) Ἀλλά γε δὴ καὶ Βουλγάρων ἔθνος βαρβαρικὸν καὶ μισόχριστον εἰς τοσαύτην μετέκλινεν ἡμερότητα καὶ θεογνωσίαν, ὥστε τῶν δαιμονίων καὶ πατρῴων ἐκστάντες ὀργίων, καὶ τῆς ἑλληνικῆς δεισιδαιμονίας ἀποσκευασάμενοι τὴν πλάνην, εἰς τὴν τῶν Χριστιανῶν παραδόξως μετενεκεντρίσθησαν πίστιν. ἀλλ᾽ ὢ πονηρᾶς καὶ βασκάνου καὶ ἀθέου βουλῆς τε καὶ πράξεως. ἡ γὰρ τοιαύτη διήγησις εὐαγγελίων οὖσα ὑπόθεσις, εἰς κατήφειαν μετατίθεται, τῆς εὐφροσύνης καὶ χαρᾶς εἰς πένθος τραπείσης καὶ δάκρυα. οὔπω γὰρ ἐκείνου τοῦ ἔθνους, οὐδ᾽ εἰς δύω ἐνιαυτούς, τὴν ὀρθὴν τῶν Χριστιανῶν τιμῶντος θρησκείαν· ἄνδρες δυσσεβεῖς καὶ ἀποτρόπαιοι (καὶ τί γὰρ ἄν τις εὐσεβῶν τούτους ἐξονομάσειεν;) ἄνδρες ἐκ σκότους ἀναδύντες, (τῆς γὰρ ἑσπερίου μοίρας ὑπῆρχον γεννήματα) οἴμοι, πῶς τὸ ὑπόλοιπον ἐκδιηγήσομαι; οὗτοι πρὸς τὸ νεοπαγὲς εἰς εὐσέβειαν καὶ νεοσύστατον ἔθνος, ὥσπερ κεραυνός, ἢ σεισμός, ἢ χαλάζης πλῆθος, μᾶλλον δὲ οἰκειότερον εἰπεῖν, ὥσπερ ἄγριος μονιὸς ἐμπηδήσαντες, τὸν ἀμπελῶνα Κυρίου τὸν ἠγαπημένον καὶ νεόφυτον καὶ ποσὶ καὶ ὀδοῦσιν, ἤτοι τρίβοις αἰσχρᾶς πολιτείας, καὶ διαφθορᾷ δογμάτων, τό γε εἰς τόλμαν ἧκον τὴν αὐτῶν, κατανεμησάμενοι ἐλυμήναντο. ἀπὸ γὰρ τῶν ὀρθῶν καὶ καθαρῶν δογμάτων, καὶ τῆς τῶν Χριστιανῶν ἀμωμήτου πίστεως παραφθείρειν τούτους, καὶ ὑποσπᾷν κατεπανουργήσαντο. ὁ Φώτ. ἐν τῇ ἐγκυκλ. ἐπιστ. τῇ πρὸς τοὺς τῆς Ἀνατολ. ἀρχιερατικ. θρόν. ὅρα σελ. 49. Ἀριθμ. γ΄, καὶ δ΄. τῆς εἰρημ. ἐκδόσ. (π) Ὅρα σελ. 484. τοῦ εἰρημ. 6. Τόμ. ἐν τῷ βίῳ Νικολ. τοῦ Πάπ.

ἀπορεῦσιν ἀνασπάσαι προθέλυμνα. ἔπω δὲ πάντων τῶν τῆς Συνόδου συνεληλυθότων, ὁ μὲν Φώτιος τοὺς ὑπὸ Νικολάου ἐν τῇ τῶν Βουλγάρων χώρᾳ ςαλέντας σὺν τοῖς περὶ αὐτὸν συνοδικῶς κατακρίνει [α]· οἱ δὲ τὴν τῶν Ἰταλῶν οἰκοῦντες συνοδικὰ τῷ Φωτίῳ ἔπεμπον γράμματα, τῆς τοῦ Νικολάου τυραννίδος καταβοῶντα, καὶ ὁρκίζοντα αὐτόν τε καὶ τοὺς ἄλλους Πατριάρχας τε καὶ Ἀρχιερεῖς, μὴ παριδεῖν αὐτοὺς οἰκτρῶς ὀλλυμένους [β]. ὅτε δὲ οἱ τῶν Πατριαρχῶν τοποτηρηταὶ, ὁ τοῦ Ἀλεξανδρείας δῆθεν καὶ Ἀντιοχείας καὶ Ἱεροσολύμων ἀφίκοντο, ἐπίσκοποι καὶ κληρικοὶ οὐ μὴν ἀλλὰ καὶ αὐτὸς ὁ αὐτοκράτωρ Μιχαὴλ, καὶ Βασίλειος ὁ Καῖσαρ, καὶ οἱ ἐκ τῆς Συγκλήτου, καὶ οἱ Πατρίκιοι συνελθόντες, καὶ τὰ ὑπὸ τοῦ Νικολάου πραχθέντα πολυπραγμονήσαντες, ἀνάξιον αὐτὸν τοῦ θρόνου καὶ τῆς Ἐκκλησίας ἀνεκήρυξαν, καὶ ἀναθέματι ὁμοθυμαδὸν καθυπέβαλον ἅπαντες· εἶθ' οὕτω διὰ Ζαχαρίου Χαλκηδόνος καὶ Θεοδώρου Λαοδικείας τὰ τῆς Συνόδου αὐτῷ διέπεμψαν θεσπίσματα [γ].

Τούτων οὕτως ἐχόντων, κατὰ τὸ 867. ἔτος [δ], Βασίλειος ὁ Καῖσαρ τὰ τῆς βασιλείας ἀνεδήσατο σκῆπτρα, τὸν Μιχαὴλ ἀποκτείνας τὸν Αὐτοκράτορα [ε]. ἐπεὶ δὲ ἐπ' Ἐκκλησίας ἐν ἑορτῇ τῆς ἀναιμάκτου θυσίας μεταχεῖν βουληθεὶς, ὑπὸ τοῦ Φωτίου, ὡς ἀνδροφόνος, κεκώλυται [ζ], ὀργισθεὶς, τῆς Ἐκκλησίας αὐτὸν ἐξωθεῖ, καὶ τὸν Ἰγνάτιον ἀνάγει πάλιν ἐπὶ τὸν θρόνον. κατὰ τὸ αὐτὸ δὲ ἔτος καὶ ἀποκρισαρίους πρὸς τὸν Νικόλαον πέμπει, Ἰωάννην μὲν τὸν Πέργης, ὡς ἐκ τοῦ μέρους τοῦ κατὰ τὸν Ἰγνάτιον, Πέτρον δὲ τῶν Σάρδεων, ὡς ἐκ τοῦ κατὰ τὸν Φώτιον, σὺν αὐτοῖς δὲ καὶ Βασίλειον σπαθάριον τὸν Πινακᾶν· καὶ γὰρ Σύνοδον συγκροτῆσαι ἐν Κωνσταντινουπόλει διέγνω· τούτων ὁ μὲν Πέτρος ἐν τῷ τῆς Δαλματίας κόλπῳ ναυαγήσας, ὤλετο· Ἰωάννης δὲ καὶ Βασίλειος ἐν Ῥώμῃ παραγενόμενοι, τὸν Ἀδριανὸν εὗρον Πάπαν. προετεθνήκει γὰρ ἤδη ὁ Νικόλαος [η]. τοὺς περὶ αὐτὸν οὖν συναγαγὼν ὁ Ἀδριανὸς, τὰ μὲν κατὰ τοῦ Φωτίου ὑπὸ τοῦ βασιλέως Βασιλείου γενόμενα ἐπεκύρου, καὶ ἀναθέματι καθυπέβαλλε τὸν Φώτιον, διὰ

(α) Τοὺς δὲ νέους τῆς ἀποστασίας προδρόμους, τοὺς θεραπευτὰς τοῦ ἀντικειμένου, τοὺς μυρίων ἐνόχους θανάτων, τοὺς κοινοὺς λυμεῶνας, τοὺς τὸ ἁπαλὸν ἐκεῖνο καὶ νεοσύςατον εἰς τὴν εὐσέβειαν ἔθνος, τοσούτοις καὶ τηλικούτοις σπαραγμοῖς διασπαράξαντας· τούτους τοὺς ἀπατεῶνας καὶ θεομάχους συνοδικῇ καὶ θείᾳ κατεκρίναμεν ψήφῳ· οὐ νῦν αὐτῶν τὴν ἀπόφασιν καθορίζοντες, ἀλλ' ἐκ τῶν ἤδη Συνόδων καὶ ἀποστολικῶν θεσμῶν, τὴν προωρισμένην αὐτοῖς καταδίκην ὑπεκφαίνοντες, καὶ πᾶσι ποιοῦντες ἐπίδηλον. ὁ Φώτ. αὐτ. ἐν σελ. 53. ἀριθμ. κζ'. τῆς ἀρημ. ἐκδόσ. (β) Καὶ γὰρ δὴ καὶ ἀπὸ τῶν τῆς Ἰταλίας μερῶν συνοδική τις ἐπιςολὴ πρὸς ἡμᾶς ἀναπεφοίτηκεν, ἀῤῥήτων ἐγκλημάτων γέμουσα· ἅτινα κατὰ τοῦ οἰκείου αὐτῶν ἐπισκόπου, οἱ τὴν Ἰταλίαν οἰκοῦντες μετὰ πολλῆς κατακρίσεως καὶ ὅρκων μυρίων διεπέμψαντο· μὴ παριδεῖν αὐτοὺς οὕτως οἰκτρῶς ὀλλυμένους, καὶ ὑπὸ τηλικαύτης βαρείας πιεζομένους τυραννίδος, καὶ τοὺς ἱερατικοὺς νόμους ὑβριζομένους, καὶ πάντας θεσμοὺς Ἐκκλησίας ἀνατρεπομένους. ἃ καὶ πάλαι μὲν διὰ Μοναχῶν καὶ Πρεσβυτέρων ἐκεῖθεν ἀναδραμόντων, εἰς πάντων ἀκοὰς διεφέροντο. Βασίλειος δ' ἄρα ἦν, καὶ Ζωσιμᾶς, καὶ Μητροφάνης τε καὶ σὺν αὐτοῖς ἕτεροι, οἳ τὴν τοιαύτην τυραννίδα ὠδύροντο, καὶ πρὸς ἐκδίκησιν τῶν Ἐκκλησιῶν ἐξεκαλοῦντο δακρύοντες. νῦν δὲ, ὡς ἔφθην εἰπὼν, καὶ γράμματα διάφορα, καὶ ἐκ διαφόρων ἐκεῖθεν ἀναπεφοίτηκε, τραγῳδίας ἁπάσης καὶ μυρίων θρήνων γέμοντα· ὧν τὰ ἴσα, κατὰ τὴν ἐκείνων ἀξίωσίν τε καὶ ἐξαίτησιν (καὶ γὰρ εἰς πάντας τοὺς ἀρχιερατικοὺς καὶ ἀποστολικοὺς θρόνους διαδοθῆναι ταῦτα μετὰ φρικτῶν ὅρκων καὶ παρακλήσεων ἐδυσώπησαν, ὡς αὐτὰ ἐκεῖνα παρασήσει ἀναγινωσκόμενα) τῷδε ἡμῶν τῷ γραμματίῳ ἐντάξαμεν, ἵνα καὶ περὶ τούτων, τῆς ἁγίας καὶ οἰκουμενικῆς ἐν Κυρίῳ Συνόδου ἀθροιζομένης, τὰ τῷ Θεῷ καὶ τοῖς συνοδικοῖς κανόσι δοκοῦντα, ψήφῳ βεβαιωθέντα κοινῇ, καὶ εἰρήνη βαθεῖα τὰς τοῦ Χριςοῦ Ἐκκλησίας καταλήψοιτο. ὁ Αὐτ. αὐτ. ἐν σελ. 59. Ἀριθμ. λζ'. (γ) Ἐξέλιπον μὲν τῆς Συνόδου ταύτης τὰ πρακτικά· (ὅρα τὸν Ἄγκ. αὐτ. ἐν σελ. 331. καὶ τὴν 371. σελ. τοῦ 9. τεύχ. τῆς ἑλλην. τοῦ Φαβρικ. Βιβλιοθ.) ἱςοροῦνται δὲ ὑπὸ τῶν τοῦ Φωτίου ἐχθρῶν οὕτως· Ὁ πολύφρων δὲ Φώτιος (ὁ Νικήτ. αὐτ. ἐν σελ. 892.) πάμπολλα κατὰ Νικολάου τοῦ Πάπα μηχανοῤῥαφῶν, ἐπειδὴ οὐδὲν εἶχεν ἄλλο δρᾷν κατ' αὐτοῦ, πείθει πολλαῖς παραινέσεσι τὸν Βασιλέα Σύνοδον συγκροτῆσαι, καὶ τοῦτον καθαιρῆσαι· καὶ τοῖς αὐτῷ κοινωνοῦσιν ἀφορισμὸν ἀντισηκοῦντα τῷ παρ' ἐκείνου πρώην πεμφθέντι διαπέμψασθαι. συναγαγὼν οὖν πάντας τοὺς ὑπ' αὐτὸν ἐπισκόπους ὁ γεννάδας, καί τινας μιαροὺς ἀνθρωπίσκους καὶ ἀσήμους ἐκ τῶν ἀνατολικῶν δῆθεν Πατριαρχείων τοποτηρητὰς ἐπαγόμενος, καὶ ψευδοσύλλογον ποιούμενος, καθαίρεσιν, ὡς ἐνόμιζε, καὶ ἀναθεματισμὸν ἐπ' οὐδενὶ λόγῳ ποιεῖται Νικολάου. Καὶ μετ' ὀλίγα. Ὁ μὲν οὖν ταῦτα κατασκευασάμενος, διὰ χειρὸς Ζαχαρίου τοῦ Κωφοῦ, ὃς ὑπ' αὐτοῦ τῆς Χαλκηδόνος κεχειροτόνητο Μητροπολίτης, καὶ Θεοδώρου τοῦ ἀπὸ Καρίας εἰς Λαοδίκειαν μεταθέντος, τὰς παραλόγους αὐτοῦ καὶ ἐναγεῖς πράξεις πρὸς Ἰταλίαν ἐξαπέςειλε. Τὰ αὐτὰ μικροῦ δεῖν καὶ ὁ Μητροφάνης (ἐν τῇ ἀρημ. πρὸς Μανουὴλ τὸν Πατρίκ. ἐπιςολ. ὅρα σελ. 986. τοῦ διαληφθ. 6. Τόμ.) συῤῥάπτει· ὡσαύτως καὶ ὁ Ἀναςάσιος ὁ Βιβλιοθηκάριος, (ἐν τῇ ἱςορ. τῆς 8. Συνόδ. τῆς ἐν Κωνσταντ. ὅρα τὴν 705. σελ. τοῦ αὐτ. Τόμ.) μηδένα ἀποφαινόμενος εἶναι κανόνα, τὸν ἀνώτερον ὑπὸ τοῦ κατωτέρου κατακρίνεσθαι ὁρίζοντα. ἀλλ' ἤτοι ἀμαθῶς, ἢ κολακευτικῶς περὶ τοῦ ἀνωτέρου καὶ κατωτέρου γνωμολογεῖ, τὸ ἴσον τῷ τε Ῥώμης καὶ τῷ Κωνσταντινουπόλεως τῆς ἁγίας οἰκουμενικῆς τετάρτης Συνόδου τῆς κατὰ τὴν Χαλκηδόνα ἐν κανόνι 28. ὁρισάσης, ὡσαύτως καὶ τῆς ἐν Τρούλ. ἐν κανόνι 36. (δ) Ὅρα τὸν Ἄγκ. αὐτ. ἐν σελ. 333. (ε) Λέων ὁ Γραμματικὸς, (ἐν τῇ Χρονογραφ. σελ. 469. τῆς ἐν Παρισ. ἐκδόσ.) καὶ Μιχαὴλ ὁ Γλύκας, (ἐν τῇ χρονικ. βίβλ. σελ. 294, καὶ 296. τῆς αὐτ. ἐκδόσ.) καὶ ὁ Ζωναρᾶς, (ἐν τοῖς Χρονικ. σελ. 167. τοῦ 2. Τόμ. τῆς αὐτ. ἐκδόσ.) καὶ ὁ Ἰωὴλ ἐν τῇ κατὰ συνόψ. Χρονογραφ. σελ. 179. τῆς αὐτ. ἐκδόσ. (ζ) Ταῦτα μὲν ὁ Ζωναρᾶς· (αὐτ.) ὁ δὲ Βαρόνιος (ἔτει 867. Ἀριθ. 101. τῶν Χρονικ. παρὰ Ἄγκ. αὐτ. ἐν σελ. 337.) καινὸν καὶ ἀνήκουςόν φησιν ὁ Ζωναρᾶς ὁρίζει τῆς τοῦ Φωτίου ἐξώσεως αἴτιον. οὐ γὰρ ὡς φόνου ἐλέγξας τὸν Αὐτοκράτορα ἐξώσθη ὁ Φώτιος, ἀλλ' ὡς τρὶς κατακριθεὶς ἤδη ὑπὸ Νικολάου τοῦ Πάπα. εἶτα τὰς γενναίας αὐτοῦ προτίθησιν ἀποδείξεις· οὕτω μαρτυρεῖ, λέγων, ὁ Νικήτας καὶ πάντες οἱ παλαιοὶ τῶν Γραικῶν ἱςορικοὶ, τὸ δὲ τίνες καὶ ποῦ εἰκότως παρασιωπᾷ· καίτοι τὰ τοῦ Ζωναρᾶ ἀνελεῖν διϊσχυρίζεται, τρόπον ἀμέλει τοι μετερχόμενος, ᾧ οἱ λόγων ἀμοιροῦντες χρῆσθαι εἰώθασιν· ὅπερ ἐςὶ ταῖς ὕβρεσι, σχισματικὸν αὐτὸν καλῶν, καὶ σχισματικοῦ βοηθὸν, ὁ λογικώτατος. ἀλλ' οἱ μὲν ὑπ' αὐτοῦ παραγόμενοι μάρτυρες, ἤτοι παχεῖαν αὐτοῦ κατηγοροῦσιν ἀμάθειαν, ἢ ψεῦδος ἀναιδὲς καὶ συκοφαντίαν ἐπίδηλον. ὁ γὰρ Νικήτας, καίπερ ἐμπαθέστατος ὢν τοῦ Φωτίου ἐχθρὸς, καὶ ψευδολόγος ἀναίσχυντος, τάδε φησὶ μόνα· Ὁ Βασίλειος πρὸς τὰ Βασίλεια κατευθυνόμενος, Αὐτοκράτωρ ἀνηγορεύετο. παρευθὺ δὲ πέμψας εἰς καταδρομὴν, τοὺς περὶ τὸν Ζαχαρίαν Χαλκηδόνος ἐκ μέσης ἀπέςρεψε τῆς ὁδοῦ. τῇ δὲ ἑξῆς μετὰ τὴν ἀναγόρευσιν, τοῦ πατριαρχικοῦ θρόνου τὸν Φώτιον καταβιβάζει, καὶ ἐν μοναςηρίῳ τινὶ καλουμένῳ Σκέπη τοῦτον εὐθὺς ὑπερορίζει· καὶ τῇ ἐπαύριον Ἠλίαν τὸν περιφανέςατον τοῦ βασιλικοῦ ςόλου Δρουγγάριον σὺν τῷ βασιλικῷ δρόμωνι πρὸς τὸν ἁγιώτατον ἀποςέλλει Πατριάρχην, ὅπως αὐτὸν ἐκ τῆς νήσου πρὸς τὴν βασιλεύουσαν μετὰ τῆς πρεπούσης ἀνενέγκῃ τιμῆς. καὶ τέως μὲν ἐν τοῖς γονικοῖς αὐτοῦ παλατίοις καλουμένοις Μαγκάνοις ἀποκαθίςησιν αὐτόν. ἵνα δὲ πᾶσα ἡ κατὰ τοῦ ἁγίου, κτ. Τῶν δὲ παλαιῶν Γραικῶν τῶν ἱςορικῶν τῶν περὶ Φωτίου καὶ Ἰγνατίου διαλαβόντων οὐδεὶς, κἂν ὁ Βαρόνιος πάντες λέγῃ, ὃ αὐτὸς εἴρηκεν αἴτιον, ἔφη. ὁ μὲν γὰρ Λέων ὁ Γραμματικὸς (αὐτ. ἐν σελ. 471.) συμφώνως τῷ Ζωναρᾷ, φησί· Φώτιος δὲ Πατριάρχης, ἐλθόντος τοῦ βασιλέως ἐν τῇ Ἐκκλησίᾳ καὶ μέλλοντος αὐτὸν κοινωνεῖν, τοῦτον λῃςὴν καὶ φονέα ἔλεγεν. ὁ δὲ θυμωθεὶς ἀπέςειλεν ἐν Ῥώμῃ, καὶ ἤγαγε τόμον μετὰ Ῥωμαίων ἐπισκόπων, καὶ τοῦτον τοῦ θρόνου αὐτοῦ ἐξέωσε, καὶ προεχειρίσατο Ἰγνάτιον τὸν ἐν ἁγίοις πατριάρχην τὸ δεύτερον. ὡσαύτως καὶ ὁ Ἰωήλ. (αὐτ.) Βασίλειος ὁ Μακεδὼν, ὁ λεγόμενος Κεφαλᾶς ἐβασίλευσε μετὰ Μιχαὴλ μὲν [illegible]ος α' καὶ μῆνας δ'· μόνος δὲ, ἔτη ιθ'. ὅςτος Φώτιον τοῦ θρόνου ἐξεώσας, ὡς ἐλεγχθεὶς ὑπ' αὐτοῦ διὰ τὸν τοῦ Μιχαὴλ φόνον, προεχειρίσατο τὸν ἐν ἁγίοις Ἰγνάτιον πατριάρχην τὸ δεύτερον. ὁ δὲ Κωνςαντῖνος ὁ Πορφυρογέννητος (ἐν κεφ. 32. τοῦ βίου Βασιλ. τοῦ πάππου αὐτοῦ, σελ. 163. τῆς ἀρημ. ἐκδόσ.) τάδε· Μὴ βουλόμενος δὲ μηδὲ τῶν Ἐκκλησιῶν τοῦ Θεοῦ δοκεῖν ἀμελεῖν· πάντες γὰρ ὡς ἐν κοσμικῷ περιεχόμενοι σκάφει, ὑπὸ τὴν πρόνοιαν τοῦ κρατοῦντος καὶ αὗται τυγχάνουσιν. ἑκάςου δὲ καὶ μᾶλλον ἅτε θεοφιλοῦς, καὶ πολλὴν περὶ τὰ θεῖα κεκτημένου εὐλάβειαν. ἐπεὶ γοῦν καὶ ταύτας οἷον εἶναι ἐν σάλῳ τινὶ καὶ ταράχῳ τυγχανούσας ἑώρα, διὰ τὸ τῆς κοινῆς λύμης ὑπὸ τοῦ προάρξαντος καὶ ταύτας μεταλαχεῖν· καὶ ἐξωθῆναι μὲν τῆς οἰκείας καθέδρας καὶ ποίμνης τὸν ἐννόμως τούτων κατάρχοντα, ἀντεισαχθῆναι δὲ ἕτερον· οὐδὲν τούτων ἠμέλησεν· ἀλλὰ διὰ κοινῆς Συνόδου καὶ συνελεύσεως τῶν ἁπανταχόθεν ἀρχιερέων Θεοῦ, ταῖς Ἐκκλησίαις τὸν σάλον κατὰ τὸ ἐνδεχόμενον ἔςησε· τήν τε πρὸ ταύτης ἑβδόμην ἁγίαν Σύνοδον ἐπικυρώσας, καὶ τοὺς περιλειποῦς τῶν εἰκονομάχων αἱρετικῶν τῷ ἀναθέματι δοὺς, καὶ τὸν γνήσιον νυμφίον τῇ Ἐκκλησίᾳ, καὶ τοῖς τέκνοις τὸν πατέρα κανονικῶς παρασχὼν, τόν τε ἀντεισαχθέντα σχολάζειν κελεύσας, ἕως τοῦτον πρὸς ἑαυτὸν μεταςήσῃ ὁ Κύριος. καὶ οὕτω μὲν εὖ καὶ καλῶς τὰ κατὰ τὴν Ἐκκλησίαν διέθετο, καὶ τὴν ἐνδεχομένην καὶ ταύτῃ γαλήνην τῇ οἰκείᾳ σπουδῇ καὶ προμηθείᾳ παρέσχετο. ὁ δὲ Κωνςαντῖνος ὁ Μανασσῆς, (ἐν τῇ ἱςορικ. συνόψ. σελ. 107. τῆς ἀρημ. ἐκδόσ.) Οὗτος εὐθὺς τὸν Φώτιον ὠθεῖ τῆς Ἐκκλησίας, Καὶ πάλιν ἀποδίδωσι τὸν θρόνον Ἰγνατίῳ. ὁ δὲ Γεώργιος ὁ Κεδρηνὸς, (ἐν Τόμ. 2. τῆς τῶν ἱςορ. συνόψ. σελ. 569. τῆς αὐτῆς ἐκδόσ.) Ἐπιςροφὴν δὲ ἐποιήσατο καὶ τῶν ἐκκλησιαςικῶν πραγμάτων, ἐκβαλὼν μὲν τῆς ἀρχιερωσύνης μετὰ Συνόδου συναθροισθείσης τὸν ἐπιπηδήσαντα τῇ ἀρχῇ Φώτιον· σχολάζειν κελεύσας, ἕως ἂν τὸν δικαίως ταχθέντα πρὸς αὐτὸν μεταςήσῃ Θεός· ἀντεισαγαγὼν δὲ τὸν κακῶς καὶ παρανόμως ἐκβληθέντα παρὰ τοῦ Βάρδα Ἰγνάτιον. καὶ οὕτω γαληνιῶσας τὰς Ἐκκλησίας τοῦ Θεοῦ παρεσκεύασεν. ὁ δὲ Μιχαὴλ ὁ Γλύκας, (αὐτ. ἐν σελ. 294.) Κατοῦ οὖν, ὡς εἴρηται, μετὰ τὸν Μιχαὴλ ὁ Βασίλειος, καὶ τῆς Ἐκκλησίας εὐθέως τὸν Φώτιον ἐξωθεῖ, καὶ πάλιν Ἰγνατίῳ τὸν θρόνον ἀποδίδωσι. Τίνες οὖν ἄρα οὗτοι οἱ παλαιοὶ τοῦ Βαρονίου Γραικοὶ ἱςορικοί; ὁ Ἀναςάσιος, ὡς ἔοικεν, ὁ τοῦ Πάπα βιβλιοθηκάριος. ὅςτος γὰρ ἐν τῇ ἱςορ. τῆς 8. Συνόδ. τῇ ἐν τῷ 6. Τόμ. τῆς ἀρημ. ἐκδόσ. σελ. 705. κειμένῃ, τὰ τοῦ Βαρονίου, καὶ ἄλλα ὅμοια καθιςορεῖ τοὺς Πάπας κολακεύων. τοῦτον δ' ἀναγνοὺς, τυχὸν δὲ καὶ τὴν τοῦ Βασιλείου τοῦ αὐτοκράτορος πρὸς Νικόλαον τὸν Πάπαν ἐπιςολὴν, (κεῖται ἐν σελ. 933. τοῦ αὐτ. Τόμ.) πάντας τοὺς παλαιοὺς Γραικοὺς ἱςορικοὺς διελθεῖν ὑπετόπασεν. εἶτα οὐδὲ τοῦτο συνιδεῖν οἷός τε ἐγεγόνει, ὅτι εἴ γε ὡς τρὶς ἤδη καταδικασθέντα τὸν Φώτιον ὁ Βασίλειος ἐξέωσε, νομίμους καὶ κανονικὰς καὶ τελείας τὰς τοιάσδε ἡγησάμενος κατακρίσεις, περιττὸν ἄρα ὅλως ἦν, τὸν τρὶς κατακριθέντα, καὶ διὰ τοῦτο ἐξωσθέντα ἐθέλειν πάλιν ἀνακρίνειν τε καὶ κατακρίνειν. ἐπεὶ δὲ διὰ Συνόδου τοῦτο γενέσθαι ἐθέσπισε, δῆλον ἄρα, ὡς ἀκύρους τὰς τρεῖς κατ' αὐτοῦ προγεγονυίας ἐνόμισε κατακρίσεις. (η) Ὁ Νικήτ. (αὐτ. ἐν σελ. 895.) καὶ ἡ ἀρημ. τοῦ Βασιλ. ἐπιςολ. καὶ ὁ Ἀναςάσ. αὐτ. ἐν σελ. 706.

τοῦτο μάλιστα, διὰ τὸ προαναθεματίσαι δῆθεν τὸν Νικόλαον· τὰ δὲ κατὰ τοῦ Νικολάου πραχθέντα πυρίκαυστα γενέσθαι ἐκέλευε· καὶ τῷ μὲν Βασιλείῳ καὶ πᾶσι τοῖς ταῦτα ἀθετοῦσι συγγνώμην παρεῖχε, τοῖς δὲ παραδεχομένοις ἢ διασώζουσιν ἀνάθεμα ἔλεγε· καὶ τὸν κώδικα δὲ τῶν ὑπὸ τῶν προδιαληφθέντων ἐκ Κωνσταντινουπόλεως πρέσβεων αὐτῷ προσενεχθέντα, τὸν τὰ εἰρημένα πρακτικὰ περιέχοντα, παῤῥησίᾳ πυρὶ παρεδίδου [α]. καὶ τοποτηρητὰς δὲ ἐπέστελλε, Στέφανον καὶ Δονάτον ἐπισκόπους καὶ Μαρῖνον διάκονον ἐπὶ τὴν ἐν Κωνσταντινουπόλει συναθροισθῆναι μέλλουσαν Σύνοδον, ἀμέλει τοι τὰ κατὰ τοῦ Νικολάου χειρόγραφα κατακαύσοντας, καὶ ἐπικυρώσοντας ἣν αὐτὸς κατὰ τοῦ Φωτίου ἐξενηνόχει ἀπόφασιν [β]. ἅπερ δὴ καὶ μετὰ πολλῆς διεπεραιώθησαν τῆς ἀκριβείας. ἀπὸ γὰρ τῶν ἐν Κωνσταντινουπόλει συνεληλυθότων, (κατὰ τὸ 869. ἔτος [γ]) τοῦτο πρῶτον οἱ τοῦ Ἀδριανοῦ τοποτηρηταὶ κερδίσαντες, μηδενὶ δῆθεν αὐτοῖς συνεδρεύειν ἐξεῖναι, εἰ μὴ τοῖς πρότερον, ὃν αὐτοὶ ἀπὸ Ῥώμης μετεκομίσαντο, καθυπογράψασι λίβελλον [δ], εἰσαχθῆναι ἔπειτα τὸν Φώτιον, ὡς τάχα ἀπολογησόμενον ἐπιτρέπουσι· τὸ δ' ἦν, ἵνα ταῖς τῶν Παπῶν κατ' αὐτοῦ συγκατανεύσῃ κατακρίσεσιν. ἔνθεν τοι οὐδ' ἠπήντα ὑπ' αὐτῶν ἐρωτώμενος, ἀλλὰ „τῆς φωνῆς, καὶ σιγῶντος ὁ Θεὸς ἀκούει, ἔλεγε· καὶ, οὐδὲ „Ἰησοῦς σιωπῶν ἐξέφυγε τὴν κατάκρισιν, προσετίθη. διὸ ὡς ἀνοηταίνων ἐξεπέμπετο, τὰ περὶ αὐτοῦ ἄμεινον σκεφθησόμενος [ε]. αὖθις δὲ εἰσαχθεὶς, διὰ τοῦ Βαάνους ἐρωτώμενος, εἰ ποιεῖ τὸν λίβελλον τῆς ἁγίας Συνόδου, εἶπεν· „ὁ Θεὸς φυλάξαι εἰς πολλὰ ἔτη τὸν Βασιλέα ἡμῶν τὸν ἅγιον. τοῦτο εἶπε καὶ Γρηγόριος. προσέθεντο δὲ οἱ σὺν τῷ „Φωτίῳ συνενεχθέντες καὶ τάδε· τοὺς δὲ τοποτηρητὰς „ἡμεῖς κριτὰς οὐ δεχόμεθα [ζ]. καὶ ταῦτα μὲν οὕτοι, οἱ δὲ θαυμάσιοι ἐκεῖνοι κριταὶ μετὰ τὴν ἀνάγνωσιν τῶν τοῦ Ἀδριανοῦ πρακτικῶν, κοσκινηδὸν ἐπεσώρευσαν, καὶ πετρηδὸν ἐπέῤῥιψαν τῷ Φωτίῳ τ' ἀναθέματα [η]. καὶ οὕτω τέλος ἔσχεν ἡ ἑβδόμη αὐτῶν συνέλευσις. ἐν δὲ τῇ ὀγδόῃ ἅπαντα τὰ περιέχοντα τὰ κατὰ τοῦ Νικολάου καὶ Ἰγνατίου πραχθέντα συναγαγόντες, πυρὶ παραδεδώκασι χειρόγραφα. πεπλασμένους δὲ καὶ τοὺς τῶν ἀνατολικῶν θρόνων τοποτηρητὰς ἐναποδεῖξαι ἱκανῶς διϊσχυρίσαντο, τοὺς ἐπὶ Φωτίου δηλαδὴ πρότερον συνοδικῶς καταδικάσαντας καὶ ἀναθέματι καθυποβαλόντας τὸν Πάπαν τὸν Νικόλαον [θ]. τούτων οὕτω κατὰ τὸ 870. ἔτος τέλος εἰληφότων [ι], αὐτίκα μάλα τινὰς [κ] τῶν τῷ διαληφθέντι λιβέλλῳ καθυπογραψάντων δεινὸς ἐμπεριλαμβάνει μεταμέλος. οἵγε δὴ τῷ Βασιλεῖ προσελθόντες καὶ Ἰγνατίῳ τῷ Πατριάρχῃ, τὰ πεπραγμένα ἐθρηνολόγουν· ἃ οἱ τοῦ Πάπα τοποτηρηταὶ

(α) Ὁ Ἀδριαν. ὁ Πάπ. ἐν τῇ πρὸς τὸν αὐτοκράτ. Βασίλει. ἐπιστολ. (ὅρα σελ. 715. τοῦ εἰρημ. 6. Τόμ.) καὶ τὰ Κεφάλαια 1, 2, 3, 4, κλ. τὰ ἐν σελ. 965. τοῦ αὐτ. Τόμ. (β) Ὁ Αὐτὸς Ἀδριαν. ἐν τῇ αὐτ. ἐπιστ. (γ) Ὁ Ἄγκ. αὐτ. ἐν σελ. 345. καὶ ὁ Κάβ. ἐν σελ. 47, καὶ 79. τοῦ 2. Τόμ. τοῦ περὶ ἐκκλησιας. συγγραφ. (δ) „Πρώτη σωτηρία ἐστὶ τῆς ὀρθῆς πίστεως κανόνας παραφυλάττειν, καὶ ἀπὸ τῶν διατάξεων τοῦ Θεοῦ μηδαμῶς ἐκκλίνειν. ταύταις οὖν ἑπόμενοι καὶ ἡμεῖς ἀναθεματίζομεν πάσας τὰς αἱρέσεις, καὶ αὐτὴν τὴν τῶν εἰκονομάχων. ἀναθεματίζομεν καὶ Φώτιον τὸν ἐναντίως τῶν ἱερῶν κανόνων ἄφνω ἀπὸ τῆς βουλευτικῆς ὑπηρεσίας καὶ κοσμικῆς στρατιᾶς προαχθέντα, ἐνυπάρχοντος Ἰγνατίου τοῦ ἁγιωτάτου πατριάρχου, εἰς τὴν Κωνσταντινουπολιτῶν Ἐκκλησίαν λῃστρικῶς παρά τινων σχισματικῶν. ἑπόμεθα δὲ καὶ τῇ ἁγίᾳ Συνόδῳ, ἣν ὁ τῆς μακαρίας μνήμης πάπας Νικόλαος ἐτέλεσεν· ἐν ᾗ καὶ αὐτὸς, δέσποτα ἰσάγγελε ἱεράρχα Ἀδριανὲ, ἔγραψας· ἀποδεχόμενοι οὓς ἐκείνη ἀποδέχεται, καὶ κατακρίνοντες τοὺς ἐν αὐτῇ κατακριθέντας· κατ' ἐξαίρετον Φώτιον καὶ Γρηγόριον τὸν Συρακούσης, τοὺς πατρολῴας δηλαδὴ, τοὺς κατὰ τοῦ πνευματικοῦ πατρὸς αὐτῶν τὰς γλώσσας κινήσαντας· καὶ τοὺς ἐμμένοντας ἐν τῷ σχίσματι ὀπαδοὺς αὐτῶν, καὶ οἵτινες εἰς τὴν τῆς κοινωνίας αὐτῶν μετοχὴν ἐμμένουσι. τὰς δὲ συναγωγὰς τῶν πονηρευομένων, καὶ τὴν ἐφεύρεσιν τῶν διεστραμμένων δογμάτων ὑπὸ Μιχαὴλ τοῦ βασιλέως δὶς κατὰ τοῦ μακαριωτάτου πατριάρχου Ἰγνατίου, καὶ ἅπαξ κατὰ τοῦ κορυφαιοτάτου ἀποστολικοῦ θρόνου, ἀλύτοις ἀναθέματος δεσμοῖς συνέχομεν, καὶ τοὺς διεκδικοῦντας αὐτὰς, ἢ τοὺς ἀσεβεῖς αὐτῶν πράξεις ἀποκρύπτοντας. περὶ δὲ τοῦ τιμιωτάτου Ἰγνατίου τοῦ πατριάρχου, καὶ περὶ τῶν ὑπὲρ αὐτοῦ φρονούντων, ὅπερ ἡ αὐθεντία τοῦ ἀποστολικοῦ θρόνου ἐξέθετο, ὅλῃ διανοίᾳ ἀκολουθοῦμεν. ταύτην οὖν τὴν ὁμολογίαν ἐγὼ ὁ δεῖνα ἐποίησα, ἐπίσκοπος τῆς ἁγίας ὁ δεῖνα Ἐκκλησίας· καὶ χειρὶ οἰκείᾳ ἔγραψα, καὶ σοὶ τῷ ἁγιωτάτῳ δεσπότῃ καὶ μεγάλῳ ἀρχιερεῖ καὶ οἰκουμενικῷ πάπᾳ Ἀδριανῷ διὰ τῶν Ἀποκρισιαρίων ἐπιδέδωκα· Οὗτος μὲν ἦν ὁ λίβελλος (ὅρα σελ. 928. τοῦ αὐτ. 6. Τόμ. καὶ σελ. 718, καὶ 719. ἐν αἷς καὶ ῥωμαϊστὶ πλατύτερον κεῖται) περὶ οὗ τάδε σημειοῖ Ἀναστάσιος ὁ Βιβλιοθηκάριος· (ἐν σελ. 718. τοῦ αὐτ. Τόμ.) Nullus Antiſtitum vel reliquorum Clericorum in ſynodalem fuerit conventum receptus, qui non ſecundum exemplar hujus codicilli chirographum ſcripſit, et miſſis ſedis apoſtolicae eccleſiae Romanae minime deferendum porrexit. ἐν δὲ σελ. 744. τοῦ αὐτ. Τόμ. Nota, quod per ſingulas actiones paulatim multiplicetur numerus epiſcoporum, quoniam cum in principio Synodi non omnes ſint in Vrbe reperti, tunc ſolum recipiebantur in ſynodali conventu, cum ſinguli a ſuis eccleſiis venientes romanum libellum manu propria ſcripſiſſe pateſceret. ὃ δέ φησιν ὁ Ἀναστάσιος καὶ ἐξ αὐτῶν τῶν τῆς Συνόδου πράξεων δῆλον. καὶ γὰρ ἐν τῇ δ' πράξει γέγραπται· „Βαάνης εἶπε· καὶ πολλοὶ ἐκ τῶν ἐνταῦθα καθημένων μέχρι τέλους ἐκοινώνουν Φωτίῳ. οἱ τοποτηρηταὶ εἶπον· ὡς οὗτοι διὰ τῆς τοῦ λιβέλλου πληροφορίας ἐδέχθησαν. ἐν δὲ τῷ τέλει τῆς αὐτῆς πράξεως· οἱ τοποτηρηταὶ τῆς Ῥώμης εἶπον· ἐρωτήσατε τοὺς παραβάτας, ἐὰν καὶ κατὰ τὸν ῥωμαϊκὸν λίβελλον ποιῶσιν· οἳ καὶ ἐρωτηθέντες, οὐδὲ ἀκοῦσαι θέλειν εἶπον τὸν λίβελλον. εἶπον οἱ τοποτηρηταί· ἐκβάλλετε αὐτοὺς ἔξω· καὶ ἐξεβλήθησαν. ἐπεὶ οὖν οὐδένα τῇ ἑαυτῶν Συνόδῳ συνεδρεύειν ἠνείχοντο, εἰ μὴ τοὺς τὸν λίβελλον καθυπογράψαντας, πάντα δὲ περιεῖχεν ὁ λίβελλος ὅσα ἔδει τὴν Σύνοδον ὁρίσαι, τί ἔτι κρίνειν εἶχον οἱ καθήμενοι κριταί; πρὸ γὰρ τῆς κρίσεως ἐγεγόνει ἡ ψῆφος, καὶ πρὸ τῆς ἐξετάσεως προτετελεσμένη ἦν ἤδη ἡ ἀπόφασις; ἢ βέλτιον φάναι, τί γε δὴ ὅλως ἐβούλετο ἡ Σύνοδος; ἢ μὴ ἄρα τὸν 11, 12, καὶ 13. κανόνα συντάξαι ἐσκόπει, ὅπως ἂν τὰς τῶν ἐπισκόπων διανοίας κόμπου πληρώσῃ καὶ ἐπάρσεως· ὡσαύτως καὶ τὸν 14. τὸν τὰ περὶ τοῦ ὠμοφορίου παιδαριώδη περιέχοντα θεσμοθετήματα. (ε) Ὅρα τὴν 5. πρᾶξ. τῆς αὐτ. Συνόδ. τὴν ἐν σελ. 943. τοῦ εἰρημ. 6. Τόμ. κειμένην. (ζ) Ὅρα τὴν 7. πρᾶξ. αὐτ. ἐν σελ. 954. (η) „Ἄξιον αὐτοῦ τοῦ Φωτίου ἀκοῦσαι τῆς περὶ τῶν τοιούτων ἀναθεμάτων ἐπικρίσεως. Ἦν ποτε, φησίν, Ἰγνατίῳ Κλαυδιουπόλεως Μητροπολίτῃ γράφων, φρικτὸν καὶ φοβερὸν τὸ ἀνάθεμα· ὅτε κατὰ τῶν ἐνόχων τῆς ἀσεβείας ὑπὸ τῶν τῆς εὐσεβείας κηρύκων ἐφέρετο, ἀφ' οὗ δὲ ἡ τολμηρὰ καὶ ἀναίσχυντος τῶν ἀλαστόρων ἀπόνοια, παρὰ πάντα θεσμὸν θεῖόν τε καὶ ἀνθρώπινον, καὶ παρὰ πάντα λόγον ἑλληνικόν τε καὶ βάρβαρον, τὸ οἰκεῖον ἀνάθεμα κατὰ τῶν προμάχων τῆς ὀρθοδοξίας ἀναστρέφειν ἐφρυάξατο, καὶ τὴν βαρβαρικὴν μανίαν, ἐκκλησιαστικὴν παρανομίαν ἐφιλονείκησεν ἀπεργάσασθαι, αὐτίκα καὶ τὸ φρικτὸν ἐκεῖνο καὶ ποινῆς ἁπάσης πέρας ἔσχατον εἰς μύθους καὶ παίγνια μεταπέπτωκε· μᾶλλον δὲ τοῖς εὐσεβέσι καὶ αἱρετὸν παρεσκεύασται. οὐδὲ γὰρ οὐδ' ἡ πάντολμος τῶν ἐχθρῶν τῆς ἀληθείας γνώμη, τὰς ποινὰς, καὶ μάλιστα τὰς ἐκκλησιαστικὰς ποιεῖ φοβερὰς, ἀλλὰ τῶν πασχόντων τὸ ὑπεύθυνον· ὡς τό γε ἀνεύθυνον καὶ εἰς χλεύην τὰς ἐκείνων τιμωρίας τρέπει, καὶ κατ' ἐκείνων τὸ δικαίωμα τῆς τιμωρίας ἀναστρέφει· καὶ τῷ ὑπ' αὐτῶν τιμωρουμένῳ στεφάνους ἀκηράτους καὶ ἀθάνατον δόξαν ἀντὶ ποινῆς ἀπεργάζεται. διὸ καὶ ἕκαστος τῶν εὐσεβῶν καὶ ἁγίων, ὑπὸ τῶν ἠλλοτριωμένων Χριστοῦ μυριάκις αἱρεῖται προπηλακίζεσθαι καὶ ἀναθεματίζεσθαι, ἢ τοῖς αὐτῶν μισοχρίστοις καὶ θεοστυγέσι μετὰ λαμπρᾶς τῆς εὐφημίας κοινωνῆσαι πονηρεύμασι. (θ) Εἴγε δὴ ἀληθῆ τὰ τῆς Συνόδου ταύτης σωζόμενα, θαυμάζειν ἔπεισι, πῶς οἱ ἐν αὐτῇ, παρόντος τοῦ Βασιλέως, τοὺς τὸν Νικόλαον κατακρίναντας τοποτηρητὰς πεπλασμένους ἐναποδεῖξαι ἐτόλμησαν. ὁ αὐτὸς γὰρ βασιλεὺς Βασίλειος παρῆν καὶ συνήδρευε Μιχαὴλ τῷ αὐτοκράτορι ἐν τῇ τὸν Νικόλαον ἀναθεματισάσῃ Συνόδῳ, ὡς ὁ τοῦ Φωτίου ἐχθρὸς διαμαρτύρεται, ὁ Μητροφάνης, ἐν τῇ πρὸς Μανουὴλ τὸν Πατρίκιον ἐπιστολῇ αὐτοῦ, λέγων· „Οἰκουμενικὴν ἀνέπλασε Σύνοδον, (ὁ Φώτιος) καὶ τοὺς τηνικάδε κρατοῦντας δύω βασιλεῖς, Μιχαὴλ δηλαδὴ, καὶ Βασίλειον τὸν ἡμέτερον, προκαθεσθέντας τῆς πεπλανημένης Συνόδου, καὶ τοποτηρητὰς τῶν τριῶν ἀποστολικῶν θρόνων, καὶ πᾶσαν τῶν συγκλητικῶν τὴν πληθὺν, καὶ τοὺς τῆς ἐπαρχίας ἐπισκόπους, κτ. (ὅρα σελ. 987. τοῦ εἰρημ. 6. Τόμ.) πῶς οὖν οὐκ ἠρυθρίαι ὁ βασιλεὺς Βασίλειος κατὰ πρόσωπον αὐτοῦ ἐξελεγχομένης τῆς ἀναισθήτου καὶ αἰσχρᾶς ἀπάτης, ἣν ἐπὶ τῆς κατὰ τοῦ Νικολάου Συνόδου πέπονθεν; ἀλλὰ γὰρ ἐπ' ἐκείνης μὲν οὐκ ἠπάτηται, ἐπὶ ταύτης δὲ ἤτοι ἑκὼν ἢ ἄκων ὑπεσκελίσθη ἀθλίως. καὶ γὰρ οἱ τῆς Συνόδου ταύτης τοὺς τῶν Ἰσμαηλιτῶν πρέσβεις εἰς τοποτηρητὰς τῶν πατριαρχικῶν θρόνων μεταπλάσαντες, συνέδρους αὐτῶν πεποιήκασιν. ἐπιβεβαιοῖ δὲ τοῦτο οὐ μόνον ὁ Φώτιος (ἐν ἐπιστ. 118. „τῇ πρὸς Θεοδόσ. μονάζ.) τάδε γράφων· Ἀλλὰ γὰρ εἰ καὶ μέχρι νῦν οὐ τετόλμηται, οὐδὲ ἔστιν ἔχον παράδειγμα, Ἰσμαηλιτῶν ἀθέων πρέσβεις καὶ „ὑπηρέτας, εἰς ἀρχιερατικοὺς ἄνδρας μεταπλάσαι, καὶ πατριαρχικὰ τούτοις προνόμια περιθεῖναι, καὶ τοῦ θαυμασίου αὐτῶν συνεδρίου κορυφαίους ἀποφῆναι, κλ. Ἀλλὰ καὶ Ἠλίας ὁ Ἱεροσολύμων πατριάρχης ἐν τῇ διὰ τοῦ Μαρτυρουπόλεως μητροπολίτου ἐν τῇ ὀγδόῃ Συνόδῳ τῇ κατὰ τὴν Κωνσταντινούπολιν ἀποσταλείσῃ ἐπιστολῇ αὐτοῦ. καὶ μνεία μὲν μόνον ταύτης ἐν τῇ πρώτῃ πράξει τῆς αὐτῆς Συνόδου· (ὅρα σελ. 295. τοῦ 2. Τόμ. τῶν Πανδεκτ.) τὰ δὲ ὑπὸ τῆς ἐπιστολῆς περιεχόμενα ἐκτίθησιν ὁ Βαρόνιος (ἐν ἔτει 879. Ἀριθ. 68. τῶν Χρονικ. παρὰ Ἄγκ. αὐτ. ἐν σελ. 371.) οὕτω· Lectae ſunt ipſae, multa in laudem Photii, et de communicatione mutua conſervata cum ipſo continentes, nec non aſſertionem illam, Legatos nimirum Patriarchalium Sedium, miſſos antea ad octavam Synodum, fuiſſe non Patriarcharum, ſed Legatos Saracenorum. (ι) Ὁ Ἄγκ. αὐτ. ἐν σελ. 348. (κ) Πάνυ δ' ὀλίγοι οἱ τὰ τῆς Συνόδου ταῖς ἰδίαις ἐπικυρώσαντες ὑπογραφαῖς, ὡς ὁ Ἀναστάσιος ὁ Βιβλιοθηκάριος (ἐν τῷ σημειώμ. εἰς τὴν 10. πρᾶξ. τῆς αὐτ. Συνόδ. τῷ ἐν σελ. 853. τοῦ διαληφθέντ. 6. Τόμ.) σημειοῖ, λέγων· Non te ſcandalizet ſubſcribentium paucitas, quia dum Photius diu tyrannidem exercuiſſet, et penes omnes a piis deceſſoribus ſuis ſacratos depoſuiſſet, et in loca eorum fautores ſuos tantumodo provexiſſet, quorum nullus in hac Synodo eſt receptus, iſti ſoli ex priorum Patriarcharum conſecratione ſuperſtites ſunt inventi.

ρητοὶ τῆς Συνόδου ταύτης κατεῖχον ἔγγραφα, ἀπὸ τῶν χειρῶν αὐτῶν ἀφαιρεθῆναι ἀξιοῦντες. ὃ καὶ παραχρῆμα ὁ Βασιλεὺς πεποίηκεν· εἶθ' οὕτως ὑπὸ τῶν τοποτηρητῶν δυσωπηθεὶς, αὖθις παρέσχε [α]· καὶ πάλιν ἐπὶ τὴν Ῥώμην αὐτῶν ἐπανιόντων ἐν τῇ ὁδῷ διὰ τῶν Σκλάβων ἀφείλετο [β]. οὕτοι μὲν οὖν οὕτω κενοὶ ἐπανῆλθον.

Ὁ δὲ Φώτιος βαρυτάτῃ ὑπερορίᾳ καταδικασθεὶς, χαλεπωτέραν τῶν ἄλλων ἁπασῶν ἡγεῖτο τιμωριῶν τὴν τῶν βιβλίων ἀφαίρεσιν [γ]. ἀλλ' ἔτι ζῶντος τοῦ Ἰγνατίου [δ], οὐ μόνον τῆς ἐξορίας ἀνακαλεῖται, ἀλλὰ καὶ τῆς βασιλικῆς τυγχάνει εὐνοίας [ε], ἐν αὐτοῖς αὐλιζόμενος τοῖς Βασιλείοις, καὶ τῶν τοῦ Βασιλέως υἱῶν παιδευτὴς γενόμενος καὶ διδάσκαλος. καὶ ἐν ἔτει μὲν 878 [ϛ]. τοῦ Ἰγνατίου τῶν τῇδε μεταστάντος [η], παραχρῆμα ἐπὶ τὸν θρόνον προβιβάζει ὁ Βασιλεὺς τὸν Φώτιον [θ]· κατὰ δὲ τὸ 879. ἔτος καὶ τὰς Ἐκκλησίας, τὴν ἀνατολικὴν δῆθεν καὶ δυτικὴν, ἑνῶν ἀλλὰ καὶ τὸν Φώτιον τῷ Ῥώμης ἐπισκόπῳ καταλλάξαι προθέμενος, διὰ πρέσβεων Ἰωάννῃ τῷ Πάπᾳ ἐπέστελλεν [ι]· ὁ δὲ, τὸν Φώτιον πατριάρχην γνωρίζων νόμιμον, τῇ τῆς ῥωμαϊκῆς Ἐκκλησίας παρεδέχετο κοινωνίᾳ, αὐτῷ μὲν καὶ τοῖς περὶ αὐτὸν κληρικοῖς καὶ λαϊκοῖς τ' ἀνάθεμα λύων, τοῖς δὲ κοινωνεῖν αὐτοῖς ἀπαναινομένοις τοῦτο προσεπαπειλῶν [κ], ἀκύρους τε ποιούμενος καὶ ἀναιρῶν καὶ τὰς κατ' αὐτοῦ τοῦ Φωτίου Συνόδους τε καὶ ἀποφάνσεις ἁπάσας [λ]. καὶ Παῦλον δὲ τὸν Ἀγκῶνος, καὶ Εὐγένιον τὸν τῶν Ὠστίων ἐπίσκοπον, τοὺς ἐν Κωνσταντινουπόλει προσαλεύτας καθαίρεσιν ἀπειλῆσαι κατὰ τοῦ Ἰγνατίου [μ], κἀκεῖ διατρίβοντας, ἔτι δὲ καὶ Πέτρον πρεσβύτερον Καρδινάλιον τοποτηρητὰς αὐτοῦ ἐν τῇ κατὰ τὴν Κωνσταντινούπολιν συγκροτηθησομένῃ ὥριζε Συνόδῳ [ν]. κατὰ γοῦν τὸ 879. ἔτος τῇ τοῦ αὐτοκράτορος Βασιλείου ἀξιώσει τῶν τοποτηρητῶν τῶν τῆς Ἀνατολῆς τριῶν πατριαρχικῶν θρόνων, καὶ 380. ἐπισκόπων συνελθόντων [ξ], αὐτοῦ τε τοῦ βασιλέως Βασιλείου καὶ τῶν δύω υἱῶν αὐτοῦ Λέοντος καὶ Ἀλεξάνδρου, καὶ Φωτίου τοῦ πατριάρχου, καὶ τῶν Ῥώμης τοποτηρητῶν συμπαρισταμένων, ἀποκεκηρυγμένας ὁρίζει ἡ Σύνοδος, καὶ μὴ ταῖς ἁγίαις συγκατηλεγμένας Συνόδοις, μηδὲ ὅλως Συνόδους τὰς ἐπὶ Ἀδριανοῦ ἐν Ῥώμῃ τε καὶ Κωνσταντινουπόλει κατὰ Φωτίου γενομένας [ο]· ἀναθεματίζει τε αὐτὰς καθυποβάλλουσα, οἰκουμενικὸν ἀναγορεύει τὸν Φώτιον

(α) Ὁ Αὐτὸς Ἀναστάσ. ἐν ταῖς σημειώσ. ταῖς ἐν τῇ ἐν 1. πράξ. τῆς αὐτ. Συνόδ. ταῖς ἐν σελ. 718. τοῦ ἀρημ. 6. Τόμ. (β) Sed Imperialis commotio, licet ſpem fronte ſimularet, augmentum ſuſcepit. Legatos tamen ſanctae romanae eccleſiae ad prandium convocans donis optimis decoravit. eosque Theodoſio Spathario non ea, quae congruebat, ſollicitudine deducendi gratia commendavit, Acodyrcharium uſque perducti, negligenterque ſine ulla proviſione dimiſſi. Poſt dies aliquos navigantes, in Sclavorum deducti manus próh dolor inciderunt, bonisque omnibus ac authentico, in quo ſubſcriptiones omnium fuerant, exemplari denudati ſunt. ὁ Ἀνώνυμ. ἐν τῷ βίῳ Ἀδριανοῦ τοῦ 2. τοῦ Πάπ. ὅρα σελ. 673. τοῦ αὐτοῦ 6. Τομ. Τοῦ τῆς ὀργῆς πάθους, ὡς ἔοικε, μικρὸν κατευνάσαντες, ἐπέγνωσαν οἷα τετολμήκασιν ἀνομήματα· τοποτηρητὰς μὲν τῶν τριῶν Πατριαρχῶν τοὺς Σαρακηνῶν πρέσβεις καθίσαντες, κριτὰς δὲ μόνους τοὺς τοῦ Ῥώμης, κατά τε τὸ πάλαι ἐπικρατήσαντος ἐν ταῖς Συνόδοις ἔθους, καὶ τῶν ἱερῶν κανόνων, τοῦ 6. τῆς πρώτης ἐν Νικαίᾳ Συνόδ. καὶ τοῦ 28. τῆς ἐν Χαλκηδόνι, καὶ μηδένα τῷ συνεδρίῳ αὐτῶν συνεῖναι ἀνεχόμενοι τῶν μὴ τὰ ἴσα αὐτοῖς φρονούντων, (καὶ ταῦτα μὴ περὶ δογμάτων τῆς λογοτριβῆς οὔσης, ἀλλὰ περὶ Πατριάρχου καὶ θρόνου) καὶ πρὸ τῆς κρίσεως ἤδη κρίναντες τῇ τοῦ λιβέλλου ἐπικυρώσει. τὸ δὲ παραλογώτατον, ὧν τετελέκασι, καὶ ἀνοσιώτατον καὶ θεοστυγέστατον ἐκεῖνό ἐστιν ὅπερ ὁ Νικήτας καθιστορεῖ, (αὐτ. ἐν σελ. 896.) λέγων· Ὑπογράφουσι δὲ τῇ καθαιρέσει οὐ ψιλῷ τῷ μέλανι τὰ χειρόγραφα ποιούμενοι· ἀλλὰ, τὸ φρικωδέστατον, ὡς τῶν εἰδότων ἀκήκοα διαβεβαιουμένων, καὶ ἐν αὐτῷ τοῦ Σωτῆρος τῷ αἵματι βάπτοντες τὸν κάλαμον, οὕτως ἐξεκήρυξαν Φώτιον, κτ. τί δ' ἂν εἴη ἄλλο ἀσεβέστερον, τοῦ ἀντὶ μέλανος τῷ ζωοποιῷ τοῦ Κυρίου Ἰησοῦ χρῆσθαι αἵματι; διὰ τοῦτο ἂν τὰ χειρόγραφα τὰ ἐμπεριέχοντα τὰ φρικτὰ ταῦτα ἀνομήματα ἀφελεῖν παντὶ τρόπῳ ἐπεσπούδασαν. (γ) Περιγράφει περιπαθέστατα αὐτὸς ὁ Φώτιος ἐν τῇ 97. αὐτοῦ ἐπιστολῇ τῇ πρὸς τὸν βασιλέα Βασίλειον τὰ δεινὰ τῆς ἐξορίας αὐτοῦ παθήματα. (δ) Μετὰ δεκαετῆ χρόνον τῆς ὑπερορίας φησὶν ὁ Νικήτ. αὐτ. ἐν σελ. 907. (ε) Τίνι μὲν τρόπῳ οὐ πάνυ δυσχερὲς κατιδεῖν. ἔγραφε γὰρ πρὸς τὸν Βασιλέα ὁ Φώτιος, τὴν παλαιὰν αὐτὸν ἐπαναμιμνήσκων φιλίαν, καὶ τὰς συνθήκας, καὶ τοὺς ὅρκους, καὶ ὃ παρ' αὐτοῦ εἴληφε χρίσμα, ἔτι δὲ καὶ τὸ σύντεκνον· (ὅρα τὴν 97, καὶ 98. αὐτοῦ τοῦ Φωτ. ἐπιστολ.) ἐπεγνώκει δὲ καὶ ὁ Βασιλεὺς τὴν εὐγένειαν καὶ ἀρετὴν τοῦ ἀνδρὸς καὶ τὴν σοφίαν· καὶ ὅτι παιδευτὴν τῶν τέκνων αὐτοῦ ἄλλον ἐκείνῳ ἴσον εὑρεῖν ἀμήχανον. ταύτῃτοι καὶ εἰς τὴν βασίλειον αὐτὸν μετεκόμισεν αὐλὴν, ὡς ὁ ἔγγονος αὐτοῦ Κωνσταντῖνος ὁ Πορφυρογέννητος διαβεβαιοῖ, τάδε καθιστορῶν ἐπὶ λέξεως· (ἐν τῇ ἱστορικ. διηγήσ. τοῦ βίου καὶ τῶν πράξ. Βασιλείου. κεφ. 44. σελ. 171. τῆς ἐν Παρισ. ἐκδόσ.) Ἀλλὰ κἂν εἰ τῆς καθέδρας μετέστησεν, οὐδὲν τοῦ δικαίου θέλων ἄγειν ἐπίπροσθεν· ὅμως τῶν εἰς παραμυθίαν οὐδὲν ἐνέλιπε παρεχόμενος. ὅθεν κἂν τοῖς Βασιλείοις διατριβὴν αὐτῷ δοὺς, τῶν οἰκείων παίδων ἀπέδειξε παιδευτὴν καὶ διδάσκαλον. Καὶ ταῦτα μὲν οὕτως ἔχειν ὅ, τε λόγος καὶ ἡ ἱστορία πείθει· οἱ δὲ μυθοπλάσται τοῦ Φωτίου ἐχθροὶ τόνδε ἀνέπλασαν τὸν μῦθον· Καὶ πᾶσαν μὲν βουλὴν, φησὶν ὁ Νικήτας, (αὐτ.) πᾶσαν δὲ τριβὴν λογισμῶν πρὸς τοῦτο κινῶν, εὗρεν ὁδὸν λοιπὸν, δι' ἧς τῆς ἁπλότητος ἤτοι κουφότητος κατωρχήσατο τῆς βασιλικῆς· καὶ σκόπει τε ὡς πιθανὴν, καὶ τῆς ἐκείνου ψυχῆς ἀξίαν. τῶν ὀνομάτων γὰρ ἕκαστον περισκεψάμενος, αὐτοῦ τε φημὶ Βασιλείου τοῦ βασιλέως, Εὐδοκίας τε τῆς αὐτοῦ γαμετῆς, καὶ τῶν παίδων, Κωνσταντίνου, Λέοντος, Ἀλεξάνδρου, καὶ Στεφάνου· ἐξ ἑκάστου δὲ τὸ πρῶτον γράμμα λαβὼν καὶ συντιθεὶς, ἐντεῦθεν λαμβάνει τῆς ἀπάτης τὴν ἀφορμήν. ἱστορίαν γὰρ ἤτοι γενεαλογίαν, τὴν μήτ' οὖσαν, μήτ' ἄν ποτε γενομένην ἀναπλάσας, Τηριδάτην μὲν ἐκεῖνον τὸν μέγαν Ἀρμενίων βασιλέα, τὸν ἐπὶ τοῦ ἱερομάρτυρος λέγω Γρηγορίου, προπάτορα τίθεται τῷ λόγῳ· ἐξ ἐκείνου δὲ τὴν γενεαλογίαν ὀνόμασιν, οἷς ἠθέλησεν, ἐπισυνείρων, καὶ ἄλλους ἐξ ἄλλων τῇ πλασματώδει κατάγων ἱστορίᾳ, ἡνίκα δὴ πρὸς τὸν πατέρα κατῆλθε Βασιλείου, τοῦτον ἔγραψεν, ὡς ἄνδρα γεννήσει τοιοῦτον, οἷος αὐτὸς Βασίλειος ἦν, τὸ δὲ ὄνομα εἶναι Βεκλᾶς, ὃν εὐτυχέστατα καὶ πολυχρονιώτατα τῶν ἐξ αἰῶνος βεβασιλευκότων βασιλεύσοντα προφητεύει. μυρίοις δὲ ψεύδεσιν, οἷς ἤδει γάννυσθαι τοῦτον ἀκούοντα, τὸ σύγγραμμα καταρτισάμενος, ἐπὶ παλαιότατον μὲν τοῦτο χαρτίον γράμμασιν ἀλεξανδρίνοις, τὴν ἀρχαϊκὴν ὅτι μάλιστα χειροθεσίαν μιμησάμενος γράφει, ἀμφιέννυσι δὲ καὶ πτύχαις παλαιοτάταις ἐκ παλαιοτάτου βιβλίου ἀφαιρούμενος. κἀντεῦθεν τῇ μεγάλῃ τοῦτο τοῦ παλατίου ἀποτίθεται βιβλιοθήκῃ. ὁ κατὰ ταῦτα δὲ πιστῶς ὑπηρετούμενος, καὶ τὴν ἀπάτην αὐτῷ τοῦ δράματος συγκατασκευαζόμενος, Θεοφάνης ἐκεῖνος ἦν, κληρικὸς μὲν τότε βασιλικὸς, καὶ δόξαν σοφίας ἱκανῶς ἔχειν παρὰ τῷ Βασιλεῖ νομιζόμενος· ὕστερον δὲ Καισαρείας Καππαδοκίας ἐπίσκοπος γεγονὼς, ἆθλον δηλαδὴ τοῦτο τῆς κακοτεχνίας ταύτης λαβών. λαβὼν γὰρ τὸ πλασματῶδες ἐκεῖνο βιβλίον, καὶ τῇ Βιβλιοθήκῃ, καθὼς εἴπον, ἀποθέμενος· εἶτα ὥρας εὐθέτου δραξάμενος, ἐπιδείκνυσι τῷ Βασιλεῖ, ὡς πάντων βιβλίων θαυμασιώτατον ὄν· σκήπτεται ἀπορεῖν· οὐκ αὐτὸς μόνος, ἀλλ' οὐδ' ἄλλος τις, φησὶν, ἀνθρώπων, ἢ Φώτιος τοῦτο διαγνῶναι δύναιτ' ἄν. τοίνυν εὐθὺς ἀποστέλλεται πρὸς αὐτόν. σχηματίζεται ἐκεῖνος, μὴ δύνασθαι πρὸς ἄλλον εἰπεῖν τὸ μυστήριον, ἢ πρὸς αὐτὸν, ὑπὲρ οὗ γέγραπται τοῦ Βασιλέως. τί οὖν; ἡττᾶται λοιπὸν τῆς ῥᾳδιουργίας ταύτης ὁ Βασίλειος, ἀποτίθεται τὴν δυσμένειαν, καὶ εἰς καταλλαγὰς ἐντεῦθεν χωρεῖ. οἶδε γὰρ ἡ ἀγαθὴ πρόῤῥησις, κἂν ὅτι μάλιστα ψευδὴς ᾖ, καταχαυνοῦν καὶ ἐκλύειν καὶ ὅλην ἑαυτῆς ποιεῖσθαι τὴν μεγαλόφρονα καὶ φιλοδοξοτάτην ψυχήν. τοῦτο πρὸς Βασίλειον τῆς τοῦ Φωτίου φιλίας ἀρχή. κτ. (ϛ) Ὁ Καβ. αὐτ. ἐν σελ. 47. καὶ ὁ Ἀγκ. αὐτ. ἐν σελ. 359. (η) Εἰ μὴ φθὰς προετεθνήκει ὁ Ἰγνάτιος, ἐπεπόνθει ἂν ὑπὸ τῶν Παπῶν ὅσα καὶ ὁ Φώτιος. Ἰωάννης γὰρ ὁ 8. (κατά τινας 9) ὁ Πάπας ὁ τοῦ Ἀδριανοῦ διάδοχος, ἐπειδὴ τῷ Ἰγνατίῳ γράψας τῆς τῶν Βουλγάρων ἀποστῆναι διοικήσεως, οὐκ ἔπαθε, διὰ Παύλου καὶ Εὐγενίου τῶν ἐπισκόπων καὶ πρέσβεων αὐτοῦ ἐπέστελλεν αὐτῷ, δηλοποιῶν· ὡς εἰ μὴ ἐντὸς τριάκοντα ἡμερῶν τοὺς ἐπισκόπους καὶ κληρικοὺς αὐτοῦ ἀπὸ τῆς Βουλγαρίας μετακαλέσοι, καὶ αὐτὸς δὲ τῆς ἐκεῖ διοικήσεως παύσαιτο, πάσης πατριαρχικῆς ἀξίας ἀλλότριος ἔσται καὶ γεγυμνωμένος, οὐ μὴν ἀλλὰ καὶ τῆς τοῦ δεσποτικοῦ σώματος μεταλήψεως ἀμέτοχος. (ὅρα τὴν 78. ἐπιστολ. Ἰωάν. τοῦ 8. τοῦ Πάπ. τὴν πρὸς Ἰγνάτ. τὴν ἐν σελ. 53. τοῦ ἀρημ. 6. Τόμ.) ἀλλὰ γὰρ ἐλθόντες οἱ τὰ τοιαῦτα τῷ Ἰγνατίῳ διακομίζοντες γράμματα, εὗρον αὐτὸν ἤδη τεθνηκότα. διὰ τούτων τοιγαροῦν ὁ πάπας Ἰωάννης σαφῶς δεδήλωκε, τίς ἄρα ἦν ὁ τῶν προκατόχων αὐτοῦ ὑπὲρ τοῦ Ἰγνατίου ζῆλος, ἢ τῆς τῶν Βουλγάρων ἐπαρχίας δῆθεν κήδεσις. (θ) Λέων ὁ Γραμματ. ἐν σελ. 373. τῆς Χρονογραφ. καὶ ὁ Ζωναρ. ἐν σελ. 132. τοῦ 2. Τόμ. τῶν Χρονικ. (ι) Αὐτὸς ὁ Ἰωάννης ὁ τοῦ Ἀδριανοῦ διάδοχος, ὁ κατὰ μέν τινας 8. κατ' ἄλλους δὲ 9. (ὅρα τὸν Ἀγκ. αὐτ. σελ. 360.) ταῦτα μαρτυρεῖ ἐν τῇ 169. ῥωμαϊκῇ αὐτοῦ ἐπιστολ. τῇ πρὸς Γρηγόρ. τὸν Πριμικήρ. κἂν τῇ 199. τῇ πρὸς τὸν Αὐτοκράτ. Βασιλ. καὶ τοὺς υἱοὺς αὐτοῦ. Ἰστέον δὲ ὅτι αἱ ἐπιστολαὶ αὗται, καὶ αἱ ἑξῆς τοῦ αὐτοῦ Ἰωάννου μνημονευόμεναι αἱ ῥωμαϊστὶ ἐκδεδομέναι ἄλλως ἔχουσιν ἢ αἱ ἑλληνιστί. (ὅρα τὸν ἀρημέν. 6. Τόμ.) τίνες δὲ αἱ γνήσιαι, κατιδεῖν οὐ πάνυ ῥᾴδιον. ἑκάτεραι τυχόν. αἱ μὲν δῆθεν οὕτως ἔχουσιν, ὡς ὑπὸ τοῦ Ἰωάννου ἐγράφοντο· αἱ δὲ, ὡς ὑπὸ τῶν Ἀνατολικῶν μεθερμηνευθεῖσαι ἀνεγινώσκοντο, μὴ ἀνεχομένων μήδ' ἀναγνῶναι μήθ' ἀκούειν ὅσα αὐτὸς ὑψηλοφρονῶν ἔγραφεν· ἀλλ' οἰκονομικῶς πῇ μὲν ἀποῤῥιπτόντων τῆς μεταφράσεως, πῇ δὲ προστιθεμένων τὰ δοκοῦντα, ἵνα μὴ τὰ τῆς ὑπερηφανείας ῥήματα πρόσκομμα γένοιντο τῷ τῆς εἰρήνης συνδέσμῳ. παράθες δὲ τὰς ἐπιστολὰς ταύτας καὶ τὰς τοῦ Νικολάου κατὰ τοῦ Φωτίου ταῖς τοῦ Γρηγορίου τοῦ 1. τοῦ Πάπα, τοῦ καλουμένου Διαλόγου, μάλιστα δὲ τῇ πρὸς Εὐλόγιον τὸν τῆς Ἀλεξανδρείας πατριάρχην, καὶ εὑρήσεις ἐν μὲν ταῖς τοῦ Νικολάου καὶ Ἰωάννου τὸν νοῦν τῶν ῥημάτων· ἐπάνω τῶν ἀστέρων τοῦ οὐρανοῦ θήσω τὸν θρόνον μου· ἐν δὲ ταῖς τοῦ Γρηγορίου, τὸ πνεῦμα τῶν λόγων· μάθετε ἀπ' ἐμοῦ ὅτι πρᾷός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ, ὃς ἐὰν θέλῃ ἐν ὑμῖν εἶναι πρῶτος ἔστω ὑμῶν δοῦλος. (κ) Αὐτὸς ὁ Ἰωάν. ἐν τῇ αὐτῇ 199. ῥωμαϊκ. ἐπιστολ. Πόθεν δὲ τοιαύτην ὁ Ἰωάννης ἐπεπόνθει τὴν ἀλλοίωσιν; παρὰ τοῦ εἰρηνοποιοῦ ἆρά γε πνεύματος; ἢ δεδιττόμενος μήτι γε κἀυτῷ συμβῇ ὅσα καὶ τῷ Νικολάῳ; ἢ τὸν δεύτερον πλὴν, τὸν τῆς πρωτότητος, διαπεπλευκέναι ἐγνώκει, τὸν τῆς αὐστηρότητος ἄπρακτον συνειδὼς, μάλιστα τὸν ὑπὲρ τῶν Βουλγάρων; (λ) Ἐν τῇ αὐτῇ ἐπιστολ. τῇ ἑλλην. (μ) Ὅρα τὴν η'. σημείωσ. (ν) Ὁ Αὐτ. Ἰωάν. ἐν τῇ 203. ῥωμαϊκ. ἐπιστ. τῇ πρὸς Παῦλ. καὶ Εὐγέν. (ξ) Ἐν τοῖς πρακτ. τῆς αὐτ. Συνόδ. τοῖς ἐν σελ. 301. τοῦ 2. Τόμ. τῶν Πανδεκτ. τῆς τοῦ Βεβερηγ. ἐκδόσ. τινὲς δὲ (ὅρα τὸν Ἀγκ. αὐτ. ἐν σελ. 368.) 383 εἶναί φασι τοὺς συνελθόντας ἐπισκόπους. (ο) Αὐτ. ἐν κεφ. 4. τῆς 4. πράξ. σελ. 283.

Φώτιον Πατριάρχην, ἀκοινωνήτους τῆς Χριστοῦ Ἐκκλησίας
τοὺς ἄλλως πως φρονοῦντας ἀποφηναμένη [α]. περὶ δὲ τῆς
Βουλγάρων ἐπαρχίας, ἣν διὰ τῶν αὐτοῦ ἐπιστολῶν ἰδιο-
ποιήσασθαι ἐπεζήτει ὁ Ἰωάννης [β], οὐδὲν διειληφῦια φαίνε-
ται [γ] ἡ Σύνοδος [δ]. οὕτω μὲν οὖν τότε τῇ ἀνατολικῇ ἔδοξεν
ἡ δυτικὴ καταλλαγῆναι Ἐκκλησία. ἐπεὶ δὲ οὐ κατὰ τὸν
ἑαυτοῦ σκοπὸν τὰ περὶ τῆς Βουλγαρίας προβῆναι μεμά-
θηκεν ὁ Ἰωάννης, τὴν μὲν Σύνοδον καὶ τὸν Φώτιον κατέ-
κρινε, Μαρῖνον δὲ τὸν καὶ ἐπὶ τῆς κατὰ τοῦ Φωτίου Συ-
νόδου τοῦ Νικολάου τοποτηρητὴν, πρέσβυν πρὸς τὸν Βασί-
λειον ἔπεμπεν. ὃν δὴ τὰ μὲν ἤδη συνοδικῶς γεγονότα
ἀκυρῶσαι διϊσχυριζόμενον, τὰ δὲ τῷ Ἰωάννῃ δόξαντα προ-
σεπικυρῶσαι θέλοντα, ἀποχρόντως οἱ ἐν Κωνσταντινουπόλει
καταμυκτηρίσαντες πρότερον, εἱρκτῇ τριακονθημέρῳ ἐγκα-
τέκλεισαν ὕστερον [ε]. ὁ δὲ, ἔτει 882 [ς] τὸν Ἰωάννου θρόνον
διαδεξάμενος, εἴτε τῷ τοῦ προκατόχου αὐτοῦ σκοπῷ ἑπό-
μενος καὶ ὑποδείγματι, εἴτε ὢν ἐν Κωνσταντινουπόλει πέ-
πονθεν ἄναυλον τὴν μνήμην ἔχων, κατακρίνει τὸν Φώ-
τιον [η]· ὡσαύτως καὶ ὁ τούτου διάδοχος ὁ Ἀδριανός [θ]· πρὸς
ὃν ὁ αὐτοκράτωρ γράφων Βασίλειος πολλοῖς περιέπλυνεν
ἐλέγχοις· ὁμοίως καὶ ὁ τὸν Ἀδριανὸν διαδεξάμενος Στέ-
φανος [ι]. ἀλλὰ καθ' ὃν μὲν ὁ Βασίλειος ἔζη χρόνον ἐν εἰρή-
νῃ διῆγεν ὁ Φώτιος, ἐπὶ τὸν πατριαρχικὸν ἐνδόξως κα-
θήμενος θρόνον, καὶ τὸ τῆς Ἐκκλησίας ἀπημάντως διο-
θύνων πνευματικὸν πηδάλιον, τῶν ἀναθεμάτων τῶν
τῆς Ῥώμης ἐπισκόπων, ψιλῶν ὄντων πατάγων, καὶ ψό-
φων ἀέρος ὀλίγων· τοῦ δὲ Βασιλείου ἔτει 886. τὸν βίον με-
ταμειψαμένου, Λέων ὁ υἱὸς αὐτοῦ τῶν τῆς Βασιλείας ἐπι-
λαβόμενος σκήπτρων, τὸν Φώτιον τοῦ θρόνου καταγαγὼν,
κἀν τῇ τῶν Ἀρμονιανῶν περιορίσας Μονῇ, τὸν ἴδιον αὐ-
τάδελφον, Στέφανον τὸν Σύγκελλον προβάλλει πατριάρ-
χην [κ]. εἶτα ἐν τῷ τῶν Πηγῶν παλατίῳ τὸν Φώτιον μετα-
καλεσάμενος, καὶ τοῦ Σανταβαρηνοῦ Θεοδώρου συμπαρόν-
τος, ἐξετάσας τε, καίπερ μηδὲν ὧν ἐσυκοφαντεῖτο ἀληθὲς
εὑρὼν, ὑπερορίᾳ δ' οὖν ὅμως πάλιν κατεδίκασεν [λ]. ὅπου
μετ' οὐ πολὺ τῶν τῇδε μετέστη ὁ εὐσεβέστατος καὶ ἀείμνη-
στος [μ]. τὸ δὲ σῶμα αὐτοῦ ἐν τῇ Μονῇ ἀναπετέθη τῇ λε-
γομένῃ τῆς Ἐρημίας [ν], ἐν τῷ Μερδοσαγάρῃ [ξ].

Τῶν Συγγραμμάτων αὐτοῦ
Τὰ Ἐκδεδομένα.

Ἡ Μυριόβιβλος [ο]. Αἱ ἐπιστολαί [π]. Ἡ πρὸς τὸν ἀρ-
χιεπίσκοπον Ἀκυληΐας ἐπιστολὴ [ρ], Ἡ πρὸς Θεοφάνην
τὸν μονάζοντα [σ], καὶ Αἱ δύω πρὸς Νικόλαον τὸν Πάπαν [τ].
Ὁ Νομοκάνων [υ]. Ὁμιλία εἰς τὸ γενέσιον τῆς ὑπεραγίας
Θεοτόκου [φ]. Ὁμιλία ῥηθεῖσα ὡς ἐν ἐκφράσει τοῦ ἐν τοῖς
βασιλείοις περιωνύμου ναοῦ τῆς ὑπεραγίας Θεοτόκου ὑπὸ
Βασιλείου τοῦ Μακεδόνος οἰκοδομηθέντος [χ]. Περὶ γνωμι-
κῶν θελημάτων ἐπὶ Χριστοῦ [ψ]. Διαλέξεις θεολογικαὶ ἐπί-
τομοι

(α) Αὐτ. ἐν σελ. 287, καὶ 299. (β) Αὐτ. ἐν σελ. 278. (γ) Ὁ Βαρόνιος (ἐν ἔτει 879. Ἀριθ. 67. τῶν Χρονικ. παρὰ Ἀγκ. αὐτ. ἐν σελ. 370.) τὰ περὶ τῆς Βουλγαρίας, φησὶ, τῷ Αὐτοκράτορι ἀνῆκεν, ὡς περὶ Βασιλείας ὄντα ὁρίων, τὴν Σύνοδον τηνικάδε ἐκβοῆσαι. ἀλλ' ἰστέον, ὅτι πολλὰ περὶ τῶν πρακτικῶν τῆς Συνόδου ταύτης διαλαμβάνει ὁ Βαρόνιος, ἅπερ οὐδ' ὁ Βίνιος, οὐδ' ὁ Λαββαῖος, οὐδὲ Γαβριὴλ ὁ Κοσάρτιος ἐν τοῖς τῶν Συνόδων πρακτικοῖς ἐκδεδώκασι. διὸ δὴ εἰκότως ὁ Ἄγκιος (αὐτ. ἐν σελ. 368.) ἔφη, τὸν Βαρόνιον τὰ ὑπὸ τοῦ Βευεργίου ἐκδοθέντα περισκεψάμενον καὶ ἐπικρίναντα, ὅσα αὐτῷ ἔδοξέ τε καὶ συνέφερε, προσθεῖναι. (δ) Ὑπὸ Φωτίου τὴν Σύνοδον ταύτην πεπλάσθαι ἀπαῦν κατεθάρρησεν ὁ Βαρόνιος, (αὐτ. Ἀριθ. 78.) ἅτε δὴ παρὰ μηδενὸς τῶν συγχρόνων διαμνημονευομένην ἱστορικῶν. μέμνηνται δὲ ταύτης Ἕλληνες μὲν, ὁ Ἀνώνυμος ἐν τῷ κατ' ἐπιτομὴν Συνοδικῷ, (ὅρα σελ. 1215. τῆς τῶν κανόν. Βιβλιοθ. τῆς ὑπὸ Ἰουστέλλου ἔτει 1661. ἐν Παρισ. ἐκδοθείσ.) καὶ Νεῖλος ὁ Ῥόδου μητροπολίτης ἐν τῇ συνοπτικῇ διηγήσει περὶ τῶν ἁγίων καὶ οἰκουμενικῶν Συνόδων, (αὐτ. ἐν σελ. 1158.) καὶ Ἰωάννης ὁ Ζωναρᾶς, καὶ Ἀλέξιος ὁ Ἀριστηνὸς, καὶ Θεόδωρος ὁ Βαλσαμὼν ἐν τοῖς εἰς τοὺς κανόνας ὑπομνήμασι, (ὅρα σελ. 360, καὶ 361. τοῦ 1. Τόμ. τῶν τοῦ Βευεργ. Πανδεκτ.) καὶ Ἰωσὴφ ὁ Βρυέννιος ἐν τῷ η' περὶ τῆς ἁγίας Τριάδος λόγῳ, (ὅρα σελ. 139. τοῦ 1. Τόμ. τῆς ὑπὸ τοῦ περικλεοῦς Εὐγενίου ἐν Λειψ. ἔτει 1768. γενομέν. ἐκδόσ.) καὶ Ἰωάννης ὁ Βέκκος ἐν τῷ λόγῳ, οὗ ἡ ἀρχή· Ἦν ἂν μακάριον (ἐν σελ. 273. τοῦ 2. Τόμ. τῶν εἰρημέν. Πανδεκτ.) καὶ Μάρκος ὁ Ἐφέσου ἐν τῇ 6. πράξει τοῦ κατὰ τὴν Φλωρεντίαν συνεδρίου· (ὅρα σελ. 598. τοῦ 9. Τόμ. τῶν πρακτικ. τῶν Συνόδ. τῶν ὑπὸ Βιν. ἐκδοθέντ.) Ἐκ δὲ τῶν Ῥωμαίων, Ivo Carnotensis episcopus in Decretis, parte VII. Cap. CXLIX. Gratianus Cluniacensis monachus in Decretis parte II, causa VII, quaestione I, Cap XLV. Anonymus in tractatu, quem A. C. 1252. scriptum Petrus Sterartius edidit. (παρὰ Ἀγκ. αὐτ. σελ. 381.) Τί δὲ, οὐδ' αὐταὶ αἱ τοῦ πάπα Ἰωάννου ἐπιστολαὶ, αἱ μετὰ τὴν Σύνοδον τῆς Συνόδου μεμνημέναι οὐκ ἐξαρκοῦσι τῷ Βαρονίῳ πρὸς τὸ μὴ πλάσμα ταύτην ἡγεῖσθαι τὴν Σύνοδον; καὶ γὰρ αὐτὸς ὁ Ἰωάννης ἐν μὲν τῇ 250. ἐπιστολῇ αὐτοῦ τῇ πρὸς τὸν Φώτιον (ἐν σελ. 93. τοῦ 7. Τόμ. τῆς εἰρημ. τοῦ Βιν. ἐκδόσ. κάτω) τάδε φησὶν ἐπὶ λέξεως· Nam et ea quae pro caussae tuae restitutionis Synodali Decreto Constantinopoli misericorditer acta sunt, recipimus. ἐν δὲ τῇ 251. ἐπιστολῇ τῇ πρὸς τοὺς Αὐγούστους, (αὐτ. κάτω) τάδε· Nam et ea quae pro caussa restitutionis Reverendissimi Photii Patriarchae Synodali Decreto Constantinopoli misericorditer acta sunt, recipimus. (ε) Στέφανος ὁ 6. ὁ Πάπας ἐν τῇ πρὸς Βασίλ. τὸν Αὐτοκράτ. ἐπιστολ. τῇ ἐν σελ. 129. τοῦ εἰρημ. 7. Τόμ. (ζ) Ὁ Ἀγκ. αὐτ. ἐν σελ. 382. (η) Ὅρα τὸν Τόμον τὸν ἐν συντόμῳ περιέχοντα τὰ τῆς ὀγδόης Συνόδου, κείμενον ἐν σελ. 1052-1057. τοῦ εἰρημ. 6. Τόμ. (θ) Αὐτ. (ι) Αὐτὸς ὁ Στέφαν. ἐν τῇ εἰρημ. ἐπιστολῇ αὐτ. (κ) Τινὲς μὲν τῆς ἐξορίας ταύτης παραίτιον γεγονέναι φασὶ τὴν διαληφθεῖσαν τοῦ Στεφάνου τοῦ 6. τοῦ Πάπα ἐπιστολὴν, (τεθνηκότος ἤδη τοῦ βασιλέως Βασιλείου πρὶν ἢ τὴν ἐπιστολὴν ἀφικέσθαι, ὁ Λέων ὁ υἱὸς αὐτοῦ παρέλαβεν αὐτήν.) ἐκ τῆς σημειώσεως εἰς τὴν αὐτὴν ἐπιστολὴν Ἀνωνύμου τινὸς τοῦτο συνάγοντες. (ὅρα τὴν 131. σελ. τοῦ εἰρημ. 7. Τόμ.) ὁ δὲ Κεδρηνὸς (ἐν σελ. 543. τῆς τῶν ἱστορικ. συνόψ.) καὶ ὁ Ζωναρᾶς (ἐν σελ. 176. τοῦ 2. Τόμ. τῶν Χρονικ.) ταῦτα πεποιηκέναι τὸν Λέοντα καθιστοροῦσι, τὸν Σανταβαρηνὸν τὸν τῶν Εὐχαΐτων ἐπίσκοπον διεκδικηθῆναι βαλόμενον, καὶ οὐ πάνυ εὐχερὲς τὸ ἔργον ὁρῶντα, τοῦ Φωτίου τὸν θρόνον ἰθύνοντος. ὁ Σανταβαρηνὸς γὰρ ἔτος, τοῦ Βασιλείου ἔτι ζῶντος, δεινὴν κατὰ τοῦ Λέοντος, ὥς φησι Κωνσταντῖνος ὁ Πορφυρογέννητος, (ἐν τῷ βίῳ Βασιλ. κεφ. 99.) συνεσκεύασε σκευωρίαν. καὶ τὸν Φώτιον δὲ ταύτῃ συνηγορηκέναι τινὲς ὑπετόπασαν. τοῦτο δὲ πάντη ψευδὲς καὶ ἀπίθανον. τῷ γὰρ τοῦ Σανταβαρηνοῦ δράματι, (ὃ ἦν φόνον κατὰ τοῦ ἰδίου πατρὸς μελετῆσαι τὸν Λέοντα,) πεισθεὶς ὁ Βασίλειος, τοὺς ὀφθαλμοὺς τοῦ υἱοῦ αὐτοῦ Λέοντος ἐξορύξαι ἤθελε. τοῦτο δὲ ὅ, τε Φώτιος διεκώλυσεν, ὡς ὁ αὐτὸς Κωνσταντῖν. ὁ Πορφυρογέν. μαρτυρεῖ, (αὐτ.) καὶ ἡ Σύγκλητος. ἀλλὰ γὰρ πάνυ πιθανὸν ἔοικε, πεπραχέναι ταῦτα τὸν Λέοντα, τὸν ἴδιον αὐτάδελφον ἐπὶ τὸν πατριαρχικὸν βαλόμενον προαγαγεῖν θρόνον. οὗ δὴ τὸ μετὰ τὴν τοῦ Φωτίου ἐξορίαν εὐθὺς κατὰ πόδας τοῦ Στεφάνου πρόβημα ἐναργὲς τεκμήριον. (λ) Ὁ Κεδρην. αὐτ. (μ) Ὁ Κάβ. αὐτ. ὁ δὲ Φαβρίκιος (ἐν σελ. 370. τοῦ 9. τεύχ. τῆς Ἑλλην. βιβλιοθ.) περὶ τὸ 891. ἔτος φησὶ τὰ τοῦ βίου τελευτὰ καταλαβεῖν τὸν Φώτιον. (ν) Λέων ὁ Γραμματ. ἐν σελ. 472. τῆς Χρονογραφ. Οἱ δὲ Πάπαι οὐδὲ μετὰ πότμον τὸν ἄνδρα ᾤκτειρον. καὶ γὰρ εἰ ἀληθῆ ὅσα ὁ εἰρημένος συνοδικὸς περιέχει Τόμος, (ὅρα τὴν η' σημ.) καὶ ὁ μετὰ τὸν Στέφανον Φορμῶσος, καὶ οἱ μετὰ τοῦτον, ὁ Βονιφάτιος δηλαδὴ, ὁ Στέφανος, ὁ Ῥωμανὸς, καὶ ὁ Θεόδωρος ἀναθέμασιν αὐτὸν καθυποβαλεῖν οὐκ ἐνορρώδησαν. (ξ) Πολλὴ ἡ περὶ τὴν γνῶσιν τῶν κατὰ τὸν Φώτιον ἀχλὺς καὶ δυσχέρεια. τῶν γὰρ τὰ κατ' αὐτὸν ἱστορησάντων, ἄλλοι μὲν δυσμενείᾳ καὶ φθόνῳ τῷ πρὸς αὐτὸν, ἄλλοι δὲ εὐνοίᾳ τε καὶ φιλίᾳ τῇ πρὸς τὸν Ἰγνάτιον, καὶ ἄλλοι πάλιν κολακείᾳ καὶ δουλείᾳ τῆς Ῥωμαίων ἄξαντες αὐλῆς, ὡς μύθους κατηνέχθησαν προφανεῖς, καὶ παραλογήματα πολλὰ, καὶ ψεῦδος ἀνυπόκριτον. ὀλίγοι δ' ἡμῖν οἱ τὴν ἀλήθειαν ἀπαθῶς γεγραμμένην καὶ ἀπροσωπολήπτως καταλιπόντες. ὅστις δ' ἂν ὅμως, καὶ τούτων καμμύων, κατίδοι, τίς μὲν ὁ Ἰγνάτιος, τίς δ' ὁ Φώτιος, τίνες δὲ καὶ τί σκοποῦντες οἱ κατ' αὐτοῦ φερόμενοι Πάπαι. ὁ μὲν γὰρ, ἀθῶος· ὁ δὲ, συγγνωστός. εἰ γὰρ καὶ ζῶντος τοῦ Ἰγνατίου ἐπὶ τὸν πατριαρχικὸν ἔστερξε προβῆναι θρόνον, βίᾳ ὑπήχθη καὶ βασιλικῇ δυναστείᾳ. τὸ δὲ ἀπὸ λαϊκοῦ ἐπὶ τὸν τῆς ἀρχιερωσύνης ἀνενεχθῆναι βαθμὸν, ἀξιώτατον κατὰ τ' ἄλλα ὄντα, ἀνέγκλητον ἐποίει τὰ τῶν μεγάλων καὶ ἁγίων ἀνδρῶν ὑποδείγματα. καὶ γὰρ καὶ Νικηφόρος καὶ Ταράσιος οἱ ἁγιώτατοι, ἀπὸ λαϊκῶν Κωνσταντινουπόλεως γεγόνασι Πατριάρχαι· καὶ Νεκτάριος δὲ ὑπὸ τῆς ἁγίας οἰκουμενικῆς δευτέρας Συνόδου, καὶ ὁ Ἀμβρόσιος ὑπὸ τοῦ ἐν Μεδιολάνοις κλήρου καὶ τοῦ λαοῦ, οὐ μόνον ἀπὸ λαϊκῶν, ἀλλ' ἀπὸ τῶν κατηχουμένων προεβιβάσθησαν· καὶ ἅμα μετὰ τὸ θεῖον τῆς παλιγγενεσίας λουτρὸν καὶ τοὺς κατὰ τάξιν τῆς ἱερωσύνης βαθμοὺς λαβόντες, ὁ μὲν Κωνσταντινουπόλεως, ὁ δὲ Μεδιολάνων ἀρχιερεὺς ἀνεδείχθη. τίνες δὲ οἱ κατὰ τοῦ Φωτίου φερόμενοι Πάπαι, καὶ ὁποῖος ὁ σκοπὸς αὐτῶν, περιττὸν ὅλως λέγειν. καὶ γὰρ καὶ κωφῷ, φησὶ, δῆλα. (ο) Ἐσχάτη ἔκδοσις ἡ ἐν Ῥθομάγ. ἔτει 1658. γενομένη. ἐξ ὧν δὲ φησιν αὐτὸς ὁ Φώτιος ἐν τῇ πρὸς Ταράσιον τὸν ἑαυτοῦ ἀδελφὸν ἐπιστολῇ, τῇ ἐν τῇ ἀρχῇ τῆς αὐτῆς βίβλου, δῆλον ὡς μέρος μόνον τοῦ ὅλου πονήματος σέσωσται, ἀμέλει τοι ὅπερ τοῦ ἰδίου αὐταδέλφου χάριν ἔγραψεν. ὧνπερ τοι οὐδὲ θαυμάζειν ἔπεισιν, εἰ περὶ Ἰγνατίου, Παπίου, Ἀριστείδου, Θεοφίλου, Ἡγησίππου, Ἀθηναγόρου, Ἰουλίου Ἀφρικανοῦ, Γρηγορίου τοῦ θαυματουργοῦ, Διονυσίου Ἀλεξανδρείας, Γρηγορίου τοῦ Ναζιανζηνοῦ, καὶ ἄλλων ἀξιολόγων ἐκκλησιαστικῶν τε καὶ πολιτικῶν οὐ διαλαμβάνει συγγραφέων. ἐν ἄλλοις γὰρ περὶ αὐτῶν συγγράψας διέλαβεν. ὧν ἀποσπασμάτιον ἴσως αἱ τοῦ Φιλοσοργίου ἐκλογαί. (π) Ἐσχάτη ἐκδ. ἡ ἐν Λονδίν. ἔτει 1651. γενομένη, τυπογραφικῶν πλήρης σφαλμάτων. (ρ) Ἑλληνιστὶ μὲν καὶ ῥωμαϊστὶ ἐκδέδοται ἐν τῷ τοῦ Κομβεφισίου νεωτάτῳ Αὐκτάρ. κατὰ τὸ Παρισ. ἔτει 1672. ῥωμαϊστὶ δὲ μόνον ὑπὸ Βαρονίου ἐν τοῖς Χρονικ. ἔτει αὐτῶν 883. (σ) Συνεξεδόθη ταῖς τοῦ Θεοφάνους τοῦ Κεραμέως ὁμιλίαις ἐν Παρισ. ἔτει 1644. ἐν τῇ τῆς βίβλου ἀρχῇ, ἐν ᾗ περὶ τοῦ βίου τοῦ Θεοφάνους διείληπται. (τ) Ῥωμαϊστὶ μόνον ὑπὸ Βαρον. ἐξεδόθ. αὐτ. (υ) Ἐξεδόθη ὑπὸ Ἰουστέλλου τοῦ νεωτέρου ἐν Παρισ. ἔτει 1661. ἐν τῇ τῶν κανόνων Βιβλιοθήκῃ. αὕτη δὲ ἐσχάτη τε καὶ κρατίστη τῶν ἄλλων ἐκδόσεων. (φ) Συνεξεδόθη ἑλληνιστί τε καὶ ῥωμαϊστὶ ἐν Παρισ. κατὰ τὸ 1648. ἔτος τῷ 1. Τόμ. τοῦ Αὐκτάρ. τοῦ Κομβεφισ. (χ) Ἑλληνιστὶ ἐξεδόθη ὑπὸ Λαμβεκίου σὺν ταῖς εἰς τὸν Κοδῖν. σημειώσ. ἔτει 1616. ἐν Παρισ. (ψ) Ῥωμαϊστὶ μόνον ἐξεδόθη ἔτει 1616. ἐν Ἰγγολστάδ. ἐν τῷ τοῦ Πέτρου Στεναρτ. Αὐκτάρ. ἑλληνιστὶ δὲ σώζεται ἐν τῇ Καισαρικ. βιβλιοθ. ἐν τῷ 21. θεολογικ. κώδ. ἀριθ. 1. σελ. 1. ὡς μαρτυρεῖ ὁ Κάβ. ἐν σελ. 49. τοῦ 2. Τόμ. περὶ ἐκκλησιαστ. συγγραφ.

τόμοι ἓξ [α]. Περὶ τοῦ μὴ δεῖν πρὸς τὰ ἐν τῷ βίῳ λυπηρὰ ἐπιστρέφεσθαι [β]. Κατὰ τῶν τῆς παλαιᾶς Ῥώμης, ὅτι ἐκ πατρὸς μόνου ἐκπορεύεται τὸ Πνεῦμα τὸ ἅγιον, ἀλλ᾿ οὐχὶ καὶ ἐκ τοῦ υἱοῦ [γ].

Τὰ Ψευδεπίγραφα.

Ἐρωτήσεις Μοναχῶν τινῶν ἔξω τῆς πόλεως ἀσκουμένων [δ]. Ἐξήγησις εἰς Ἰωάννην τὸν τῆς Κλίμακος [ε].

Τὰ Ἀνέκδοτα.

Ὁμιλίαι δεκατέσσαρες. α´. Ἡ μετὰ τὴν συμπλήρωσιν τῶν κατηχήσεων, ἀρχομένη· Ἀλλὰ ταῦτα μὲν προηγουμένῳ λόγῳ τοῖς ἤδη παρεσκευασμένοις πρὸς τὸ βάπτισμα, οὔπω δὲ κατηρτισμένοις τὴν τελειότητα, ἀλλ᾿ ἔτι καὶ τῆς καθάρσεως ἐπιδεομένοις, καὶ τῆς μυστικῆς τραπέζης ἀπειργομένοις. β´. Ἄλλη τῆς αὐτῆς ὑποθέσεως ἀρχὴν ἔχουσα· Μετὰ τὴν τῶν κατηχητικῶν λόγων ἀνάγνωσιν, ὧν ὑμεῖς ἐν προσοχῇ καὶ τὴν τῆς ψυχῆς ἐπιδεικνῦντες κατάνυξιν ἐποιεῖσθε τὴν ἀκρόασιν, καὶ ἡμᾶς τὸν παρόντα καιρὸν προσομιλεῖν ὑμῖν ἔγνωμεν ἀποδεῖν. γ´. Τρίτη μετὰ τὴν ἀνάγνωσιν τῆς κατὰ συνήθειαν κατηχήσεως, ἄρχεται· Ὅτε τοῦ Διαβόλου τὸ κράτος σκυλεύεται, ὅτε τοῦ θανάτου τὸ κέντρον ἀμβλύνεται, ὅτε τὸ κατὰ τοῦ ᾅδου τρόπαιον ἵσταται, τῶν συνθηκῶν ἡμῶν ὁ πίναξ ὑπαναγινώσκεται, τότε τῆς ὁμολογίας τὸ χειρόγραφον προκομίζεται, τότε τῶν ὑποχέσεων ἡ στηλογραφία θριαμβεύεται. διὰ τί; δ´. Εἰς τὴν ἔφοδον τῶν Ῥὼς δύω, Πρώτη· Τί τοῦτο; τίς ἡ χαλεπὴ αὕτη καὶ βαθεῖα πληγὴ καὶ ὀργή; πόθεν ἡμῖν ὁ ὑπερβόρειος οὗτος καὶ φοβερὸς ἐπέσκηψε κεραυνός; ε´. Δευτέρα· Οἶδα μὲν, ἅπαντες συνεπίστασθε, ὅσοιτε δεινοὶ συνιδεῖν ἀποστροφὴν πρὸς ἀνθρώπους Θεοῦ, ὅσοιτε ἀμαθέστερόν πως περὶ τὰ τοῦ Κυρίου διάκεισθε κρίματα. ς´. Εἰς τὸν Εὐαγγελισμὸν, ἧς ἡ ἀρχή· Φαιδρὰ τῆς παρούσης ἡμέρας καθέστηκεν ἡ πανήγυρις, καὶ λαμπρὰν τὴν χαρὰν τοῖς πέρασιν ἀποφέρεται. Χαρὰν χορηγεῖ, λύπην παλαιὰν διαλύουσαν. Χαρὰν χορηγεῖ, κοσμικὴν ἀρὰν ἐξορίζουσαν, καὶ τοῦ πεπτωκότος πάλαι τὴν ἔγερσιν ἐγκαινίζουσαν καὶ τὴν σωτηρίαν πᾶσιν ἡμῖν ὑπογράφουσαν. ζ´. Ἄλλη τῆς αὐτῆς ὑποθέσεως, ἀρχομένη οὕτως· Ὡς ἀγαπητὰ τὰ σκηνώματά σου, Κύριε τῶν δυνάμεων, καιροῦ καλοῦντος μετὰ τοῦ προφήτου βοήσομαι Δαβὶδ, τῶν λογικῶν προβάτων τὰς τῆς Ἐκκλησίας αὐλὰς ὁρῶν τῷ πλήθει στενοχωρουμένας πολυανθεῖ τῇ τερπνότητι καὶ ποικιλίᾳ τῶν συνεληλυθότων. η´. Εἰς τὰ βαΐα καὶ εἰς τὸν Λάζαρον, ἄρχεται· ὅτε τῶν παίδων ὡσαννὰ ἐν τοῖς ὑψίστοις ἀναβοώντων ἡ Ἐκκλησία σαλπίζει, καὶ τῆς λαμπρᾶς ἐκείνης καὶ θεοπρεπεστάτης φωνῆς ταῖς ἀκοαῖς τὸν ἦχον ἑλκύσω, μετάρσιος ὅλος γίνομαι τῇ προθυμίᾳ. θ´. Εἰς τὴν θεόσωμον ταφὴν, ἧς ἡ ἀρχή. Ἀφ᾿ ἑκάστου μὲν τῶν τοῦ Χριστοῦ καὶ Σωτῆρος ἡμῶν ἔργων καὶ πράξεων, τῆς περὶ ἡμᾶς φιλανθρωπίας τὸ μέγεθος ἐμφανίζεται, καὶ τῆς σωτηρίας ἡμῶν λαμπρῶς αἱ χάριτες ἀναπτύσσονται. καὶ πολὺς ὁ τῆς εὐφροσύνης γλυκασμὸς ταῖς τῶν ἀνθρώπων ἐπιστάζόμενος ψυχαῖς. ι´. Τῇ παρασκευῇ τῆς πρώτης ἑβδομάδος τῶν νηστειῶν, ἄρχεται· Ἥκομεν ὑμῖν τὴν προθεσμίαν προφθάσαντες, καὶ τῆς ὀφειλῆς τὴν καταβολὴν προκαταθέσθαι σπουδάσαντες. ια´. Ἄλλη ἐκ τοῦ αὐτοῦ ῥηθεῖσα Ἄμβωνος, ἧς ἡ ἀρχή· Τῆς προλαβούσης ὁμιλίας τὸ τέλος εἴ τι μέμνησθε, τὸν Ἄρειον παρεδίδου καθαιρούμενον, τῆς Ἐκκλησίας ἐξωθούμενον, ἀναχωροῦντα, πλαττόμενον, ὑποκρινόμενον τὴν εὐσέβειαν. ιβ´. Τρίτη, ἥτις ἄρχεται· Τῶν προμάχων τῆς Ἐκκλησίας, ὡς καὶ πρόσθεν ἔφημεν, ὑπὸ τῶν ἐχθρῶν τῆς ἀληθείας συσκευασθέντων, καὶ τῶν ἰδίων μὲν νομέων τῶν ποιμνίων ἐρημωθέντων. ιγ´. Ὅτε τῆς Θεοτόκου ἐξεικονίσθη καὶ ἀνεκαλύφθη μορφὴ, ἄρχεται· Σιγᾶν εἴ τις διὰ παντὸς μελετήσειε τοῦ βίου, νῦν λάλος τις εἶναι, καὶ πρὸς ῥητόρων τέχναις παρεσκευάσθαι τὴν γλῶσσαν, εἴπερ ἄλλο τὶ διὰ σπουδῆς ἂν ὅτι μάλιστα ποιήσαιτο. ιδ´. Ἡνίκα τοῖς ὀρθοδόξοις καὶ μεγάλοις ἡμῶν Μιχαὴλ - - - - ὁ κατὰ πάσης αἱρέσεως ἐστηλογραφήθη θρίαμβος, ἄρχεται οὕτως· Ἦν ἄρα ἐκ πολλοῦ γεγηρακὼς ὁ χρόνος, νέαν οὐκ ἔχων ὠδῖνα, καθ᾿ ἣν ἀκμάζων ἐθάῤῥει σεμνύνεσθαι [ς]. Τὰ Ἀμφιλόχια, εἴτουν λύσεις τριακοσίων καὶ ἐκτὼ ζητημάτων ὑπὸ Ἀμφιλοχίου μητροπολίτου Κυζίκου προτεθέντων [η]. Περὶ τοῦ πόσων ἐκβληθέντων Πατριαρχῶν τῇ τῶν κρατούντων πρὸς αὐτοὺς Βασιλέων ἀπεχθείᾳ, οἱ μετ᾿ αὐτοὺς ὀρθόδοξοι ἀποδέχονται [θ]. Συναγωγαὶ καὶ ἀποδείξεις ἀκριβεῖς περὶ ἐπισκόπων καὶ μητροπολιτῶν, καὶ ἄλλων ἐκκλησιαστικῶν ὑποθέσεων. ζητήματα δέκα κατὰ Λατίνων [ι]. Περὶ τῆς τοῦ ἁγίου Πνεύματος μυσταγωγίας, καὶ ὅτι ὥσπερ ὁ υἱὸς ἐκ μόνου τοῦ πατρὸς ἱερολογεῖται γεννᾶσθαι, οὕτω καὶ τὸ Πνεῦμα τὸ ἅγιον ἐκ μόνου καὶ τοῦ αὐτοῦ αἰτίου θεολογεῖται ἐκπορεύεσθαι· λέγεται δὲ τοῦ υἱοῦ εἶναι, ὡς ὁμοούσιον καὶ ἀποστελλόμενον δι᾿ αὐτοῦ [κ]. Κατὰ Λατίνων περὶ τοῦ ἁγίου Πνεύματος [λ]. Τὰ παρὰ τῆς Ἐκκλησίας τῶν Λατίνων αἰτιώματα μερικά [μ]. Σύμβολον

(α) Ῥωμαϊστὶ μόνον ἐξεδόθησαν ὑπὸ τοῦ Κανισίου ἐν τῷ 5. Τόμ. Antiquae Lectionis ἐν Ἰγγολστάδ. ἔτει 1604. ὑπὸ Φραγγίσκου τοῦ Τυριανοῦ μεθερμηνευθεῖσαι, τῷ τῆς Βαυαρ. ἑλληνικῷ χρησαμένου κώδ. ἐκλογαὶ δὲ τυγχάνουσιν τῶν ἔτι ἀνεκδότων Ἀμφιλοχίων. (β) Ὑπὸ Κοτελερίου ἐξεδόθη ἐν τῷ 2. τῶν ὑπομνημ. Τόμ. ἐν Παρισ. ἔτει 1681. (γ) Ἑλληνιστὶ συνεξεδόθη τῇ τοῦ Εὐθυμίου Πανοπλίᾳ ἔτει 1710. ἐν Τεργοβίστῳ τῷ κατὰ τὴν Βλαχ. ὁ δὲ εἰς τὴν Ῥωμαίων φωνὴν τὴν Πανοπλίαν μεθερμηνεύσας τὸ περὶ τοῦ ἁγίου Πνεύματος παρέλειπεν, ὡς βαττολογήματα, φησὶν ὁ βαττολόγος καὶ λιποτάκτης Ἀλλάτιος, (ἐν τῷ contra Cregythonum et Hottingerum πονήμ. παρὰ Φαβρικ. ἐν τεύχ. 9. σελ. 561.) τῶν νεωτέρων σχισματικῶν. ἀλλὰ τὸ γνήσιον τοῦ πονήματος, ἐναργῶς ἀποδεικνύουσι τά τε ἐν διαφόροις βιβλιοθήκαις σωζόμενα χειρόγραφα, (ὡς μαρτυρεῖ ὁ Φαβρίκ. αὐτ.) καὶ αἱ τοῦ Φωτίου ἐπιστολαὶ, αἱ πρὸς Νικόλαον τὸν Πάπαν, καὶ τὸν Ἀκυληΐας ἀρχιεπίσκοπον, καὶ ἡ πρὸς τοὺς τῆς Ἀνατολῆς ἀρχιερατικοὺς θρόνους ἐγκύκλιος, τὸ ἐμπαθὲς τοῦ τῆς ῥωμαϊκῆς αὐλῆς ἀνδραπόδου ἀποχρώντως ἐξελέγχουσαι. (δ) Φωτίῳ παραλόγως ἐπέγραψεν ὁ Βεβερίγ. ἐν τῷ 2. τῶν Πανδεκτ. Τόμ. πρὸ τοῦ συντάγματος Ματθ. τοῦ Βλασταρ. τάξας. ἐν ταύταις γὰρ ταῖς Ἐρωτήσ. οὐδὲν τῶν τοῦ Φωτίου. (ε) Ἀποσπασμάτια ταύτης ἐξέδωκεν ὁ Ῥαδέριος σὺν τῷ ὑπ᾿ αὐτοῦ ἐκδοθέντι τοῦ Ἰωάν. τῆς Κλίμακ. πονήμ. ἔστι δὲ ἡ ἐξήγησις Ἠλιοῦ τοῦ Κρήτης, οὐχὶ δὲ τοῦ Φωτίου. ὅρα σελ. 617. τοῦ 8. τεύχ. τῆς ἑλληνικ. τοῦ Φαβρικ. Βιβλιοθήκ. (ζ) Τὰ περὶ τούτων Παΐσιος ὁ Λιγαρίδης ὁ Γάζης μητροπολίτης Νικ. τῷ Ἑινσίῳ ἐδήλωσεν· ὁ δὲ, Ἐμερίκῳ τῷ Βιγοτίῳ· ὁ δὲ τῷ Κομβεφισίῳ· ὅστις ἐν τῷ τέλει τοῦ 1. Τόμ. τοῦ νεωτάτου τῶν Πατέρ. Αὐκτάρ. ταῦτα ἐξέδωκεν. (η) Ἀνεπίγραφα μὲν καὶ ἀκέφαλα καὶ κολοβοῦρα ὁ 444. Κολβερτῖνος περιέχει κώδιξ μετὰ καὶ τῶν κατὰ Μανιχαίων τοῦ Φωτίου βιβλίων· ὁλομελῆ δὲ καὶ ἄρτια τό, τε ἐν τῇ Βαρβερινῇ Βιβλιοθ. χειρόγρ. καὶ τὸ ἐν τῇ Κοισλινιανῇ. ἐκ τούτου δὲ τοὺς τῶν 308. κεφαλαίων τίτλους σὺν ταῖς ἀρχαῖς λαβὼν ὁ Μοντφαυκόνιος συνεξέδωκε τῷ τῶν χειρογράφων τῆς αὐτῆς Βιβλιοθήκης Καταλόγῳ· ἔτι δὲ καὶ τέσσαρα τῶν ζητημάτων, τουτέστι, Τὸ 125. Πόσοι Ἀστέριοι γεγόνασι, καὶ τίς ἡ δόξα αὐτῶν; Τὸ 129. Διὰ τί τῷ τληπαθεῖ Ἡρακλεῖ τὸ τῆς Ἀμαλθείας κέρας οἱ Ποιηταὶ ἐγχειρίζουσι; Τὸ 160. Πόσαι Σιβύλλαι γεγόνασι; καὶ Τὸ 166. Ποίας αἱρέσεως ἦν Εὐσέβιος ὁ Παμφίλου; Τὸ δὲ 21. Εἰ ἀπερίγραπτος ἡ ἐν τῷ υἱῷ Θεότης, ἡ σὰρξ ἣν ἀνέλαβεν ἢ πανταχοῦ ἢ περιγραφομένη τόπῳ; ὁ Κομβεφίσ. πρότερον ἐξέδωκεν ἐν Παρισ. ἔτει 1644. ἐν τῷ τοῦ πονήματ. τέλει, ὃ Ἀμφιλόχ. ἐκάλεσεν. Ἔστι δὲ τὸ τῶν Ἀμφιλοχίων τοῦ Φωτίου πόνημα παντοδαπὸν, καὶ ποικίλου γέμον πολυμαθείας, τοῖς τε θεολογοῦσι, καὶ τοῖς τὰς θείας ὑπομνηματίζουσι Γραφὰς ἀναγκαιότατον, ὡς ὁ προῤῥηθεὶς διαμαρτύρεται Ἀλλάτιος, παρὰ Φαβρικ. ἐν σελ. 561. τοῦ 9. τεύχ. τῆς ἑλληνικ. Βιβλιοθ. (θ) Σώζεται ἐν τῇ Καισαρικ. Βιβλιοθήκῃ, ὡς ὁ Λαμβέκ. παρὰ Φαβρικ. (αὐτ.) μαρτυρεῖ. ἄρχεται δ᾿ οὕτω· Ἀναστασίου ἐκβληθέντος τοῦ θαυμαστοῦ. ὅμοιον δέ τι πόνημα Ἀνωνύμου τινὸς, περὶ τὸ 1267. ἔτος ἀκμάσαντος, ἐπιγραφὴν ἔχον. Σύναξις ἐκ τῶν ἐκκλησιαστικῶν Ἱστοριῶν· ἐκδέδωκεν ἐν Ὀξον. ἔτει 1691. ὁ Οὐμφρέδος. (ι) Σώζεται ἔν τε τῇ Βοδλεϊανῇ κἀν τῇ Καισαρικ. Βιβλιοθ. (ὅρα τὴν 563. σελ. τοῦ αὐτ. τεύχ. τοῦ Φαβρικ.) ἄρχεται δὲ, κατὰ μὲν τὸν Φαβρίκιον (αὐτ.) Ἐπὶ Κωνσταντίου· κατὰ δὲ τὸν Κάβε (αὐτ. ἐν σελ. 49.) Ἐρωτήσεις· Ἐν ποίοις φαίνονται πεπραχότες οἱ Ῥωμαῖοι παραλόγως, κτ. Ἰστέον δὲ, ὅτι καὶ ἄλλα πολλὰ κατὰ Λατίνων συνέγραψεν ὁ Φώτιος, ὡς μαρτυρεῖ Φριδερῖκος ὁ Σπανέμιος ἐν κεφ. 7. τοῦ 2. Τόμ. τοῦ περὶ τοῦ θήλεως Πάπα. (ὅρα τὸν Φαβρίκ. αὐτ.) ἃ δὴ ὥσπερ πάλαι πυρὶ παραδεδώκασιν, οὕτω καὶ νῦν προσεπικατακρύπτουσιν οἱ τῆς Ῥωμαίων Ἐκκλησίας παῖδες. ὁ δὲ λόγος δῆλος. (κ) Ὁ παλατῖνος κώδιξ περιέχει τὸ σύγγραμμα, Μητροφάνει τῷ Σμύρνης τῷ ἐν ἔτει 858. ἀκμάσαντι ἐπιφερόμενον· ἄρχεται δ᾿ οὕτως· Ἐν πολλοῖς μὲν εἰσιν οἱ ἔλεγχοι πολυστίχοις ἐσπασμένοι λόγοις, δι᾿ ὧν ἡ ὀφρὺς κατασπᾶται. μαρτυρεῖ τοῦτο ὁ Ἀλάτ. παρὰ Φαβρικ. αὐτ. (λ) Σώζεται μὲν ἐν τῇ Καισαρικ. Βιβλιοθ. ἄρχεται δέ· Τίς ὅλως ἀνάσχοιτο τῶν ἐν Χριστιανοῖς τελούντων ἐπὶ τῆς ἁγίας Τριάδος δύω εἰσάγειν αἴτια. ὅρα τὸν Φαβρικ. αὐτ. (μ) Ἄρχεται· Ὅτι τὰ ἄζυμα προσφέρουσιν. ὅρα τὸν Αὐτ. αὐτ.

βολον πίστεως πρὸς τοὺς μέλλοντας χειροτονεῖσθαι ἐπισκόπους [α]. Ἐπιτομὴ τῶν πρακτικῶν τῶν ἑπτὰ οἰκουμενικῶν Συνόδων [β]. Ὠδαὶ ἐννέα [γ]. Ἐπιγράμματά τινα [δ]. Σειραὶ, Εἰς τοὺς ψαλμοὺς [ε], Εἰς τοὺς Προφήτας [ς], καὶ Εἰς τὰς ἐπιστολὰς τοῦ Παύλου [η]. Λεξικόν [θ]. Εἰς τὰς Κατηγορίας τοῦ Ἀριστοτέλους [ι].

Τὰ Ἐκλελοιπότα.

Κατὰ Λεοντίου [κ]. Περὶ τῆς τῶν Εἰκόνων προσκυνήσεως [λ]. Κατὰ Ἰουλιανοῦ τοῦ παραβάτου [μ]. Εἰς τὸ κατὰ Ματθαῖον Εὐαγγέλιον [ν].

(α) Ἐν τῇ αὐτῇ Καισαρικ. σώζεται Βιβλιοθ. ἀρχόμενον· Πιστεύω εἰς ἕνα Θεὸν πατέρα παντοκράτορα. ὅρα τὸν Αὐτ. αὐτ. μήτιγε δὲ τὸ αὐτό ἐστι τῷ ἐν τῷ Εὐχολογίῳ ἐκδεδομένῳ, καὶ τρίτῳ τὴν τάξιν ἐν τῇ τῶν Ἐπισκόπων χειροτονίᾳ. (β) Ἐν τῇ αὐτῇ κεῖται Βιβλιοθ. ἀρχὴν ἔχον· Ἀναγκαῖόν ἐστι μέλλοντας ἡμᾶς Χριστιανῶν αἱρέσεως ἐπιμεμνῆσθαι. διαφέρει δὲ τῶν ἐκδοθέντων ὁ Αὐτ. αὐτ. (γ) Ἐν τῇ τῆς Κλαρομοντανῆς Βιβλιοθ. σχολῇ τῆς ἐν Παρισ. σώζονται. Ὁ Αὐτ. αὐτ. (δ) Ἡ τοῦ Λεονάρδου Φιλάρου χειρόγραφ. Ἀνθολογία ἡ ἐν τῇ Κοϊσλιν. Βιβλιοθ. αὐτὰ περιέχει. ὁ Αὐτ. αὐτ. (ε) Ἐν τῇ αὐτῇ κεῖται Βιβλιοθ. ὁ Αὐτ. αὐτ. (ς) Ἡ Οὐατικανῆ ἐν Ῥώμῃ σώζει Βιβλιοθ. ὁ Αὐτ. αὐτ. (η) Ἡ ἐν Κανταβριγίᾳ ἔχει Βιβλιοθ. ὁ Αὐτ. αὐτ. (θ) Ἐν Ἀγγλίᾳ σώζεται ἐπιγραφόμενον οὕτω· Φωτίου τοῦ ἁγιωτάτου Κωνσταντινουπόλεως
„ λέξεων συναγωγὴ, αἳ μᾶλλον τῶν ἄλλων ῥήτορσι καὶ λογογράφοις ἀνήκουσιν ἐπὶ χρείαν. προσπεφώνηται δὲ Θωμᾷ τῷ πρωτοσπαθαρίῳ καὶ ἄρχοντι
„ τοῦ Λυκοταμίου, οἰκείῳ μαθητῇ. Πρόλογος τοῦ Λεξικοῦ, δι' ὧν ῥητόρων τε πόνοι καὶ συγγραφέων ἐξωραΐζονται μάλιστα. Αἱ τῶν λέξεων πλείους
„ περὶ ἃς τὸ πολιτικὸν νέμεται ἔθνος εἰς τὸ ὠφελέστατον τοῖς βουλομένοις προσέχειν Διογενιανῷ, κτ. οὕτω ἄρχεται. Ἆ. Τὸ ἄλφα περισπασθὲν,
„ δηλοῖ τὸ ἆθε. οὕτω γὰρ Καλλίμαχος κέχρηται, κτ. Τοῦτο δὲ γνήσιον εἶναι τοῦ Φωτίου γόνον πολλοὶ ἐπικεκρίκασιν, (ὅρα τὸν Φαβρίκ. αὐτ.) οὗ μίαν
„ ὃ ἡ Γουλφερβυτανῆ σώζει Βιβλιοθ. ἀρχόμενον οὕτω· Σὺν Θεῷ ἀρχὴ τῆς κατὰ στοιχεῖον ἐτυμολογίας. Ἀρχὴ τοῦ α στοιχείου, Ἀάθου, κτ.
καὶ ἐν δυσὶ συντεταγμένον τεύχεσι, καὶ Ἀνώνυμον. (ι) Ὁ 547. βασιλικ. τοῦ Παρισ. κώδ. τοῦτο περιέχει. ὁ Αὐτ. αὐτ. (κ) Λεόντιος·
„ καὶ οὗτος ἐν Ἀντιοχείᾳ ἐγένετο αἱρετικός. ἔγραψε καὶ κατ' αὐτοῦ Φώτιος ὁ Πατριάρχης. ὁ Σουΐδ. ἐν τῷ Λεξικ. (λ) Ὁ Εὐθύμιος ἀναφέρει τι ἐκ τῶν τοῦ Φωτίου κατὰ τῶν Εἰκονομάχων. ὅρα τὸν Φαβρίκ. αὐτ. ἐν σελ. 569. (μ) Αὐτὸς ὁ Φώτιος μέμνηται ἐν τῇ 187. ἐπιστολῇ αὐτοῦ τῇ πρὸς Χριστόφορ. σπαθάριον καὶ Ἀσηκρῆτ. (ν) Δῆλον ἐκ τῶν ἐν τῇ ἐκδεδομ. σειρᾷ εἰς τὸ κατὰ Ματθ. Εὐαγγέλ. ὑπομνημάτων.



Ο ΤΩΝ



Ο ΤΩΝ ΚΕΦΑΛΑΙΩΝ ΠΙΝΑΞ
ΤΗΝ ΣΕΛΙΔΑ ΔΗΛΩΝ ΕΝ Ηι ΤΟ ΚΕΦΑΛΑΙΟΝ ΕΚΑΣΤΟΥ ΤΕΥΧΟΥΣ.

ΙΗΣΟΥ ΤΟΥ ΝΑΥΗ.

Κεφ.	Α.	σελ. 1	Κεφ.	Ζ.	σελ. 43	Κεφ.	ΙΓ.	σελ. 70	Κεφ.	ΙΘ.	σελ. 94
	Β.	10		Η.	50		ΙΔ.	75		Κ.	98
	Γ.	18		Θ.	54		ΙΕ.	78		ΚΑ.	αὐτ.
	Δ.	22		Ι.	58		Ιϛ.	86		ΚΒ.	103
	Ε.	26		ΙΑ.	66		ΙΖ.	87		ΚΓ.	107
	ϛ.	35		ΙΒ.	70		ΙΗ.	90		ΚΔ.	111

ΚΡΙΤΩΝ.

Κεφ.	Α.	σελ. 119	Κεφ.	Ζ.	σελ. 167	Κεφ.	ΙΓ.	σελ. 206	Κεφ.	ΙΘ.	σελ. 239
	Β.	130		Η.	175		ΙΔ.	211		Κ.	246
	Γ.	134		Θ.	182		ΙΕ.	215		ΚΑ.	254
	Δ.	139		Ι.	190		Ιϛ.	223			
	Ε.	146		ΙΑ.	αὐτ.		ΙΖ.	231			
	ϛ.	160		ΙΒ.	204		ΙΗ.	234			

ΡΟΥΘ.

Κεφ.	Α.	σελ. 259	Κεφ.	Β.	σελ. 263	Κεφ.	Γ.	σελ. 267	Κεφ.	Δ.	σελ. 271

ΒΑΣΙΛΕΙΩΝ Α.

Κεφ.	Α.	σελ. 279	Κεφ.	Θ.	σελ. 331	Κεφ.	ΙΖ.	σελ. 387	Κεφ.	ΚΕ.	σελ. 450
	Β.	291		Ι.	339		ΙΗ.	402		Κϛ.	458
	Γ.	306		ΙΑ.	346		ΙΘ.	410		ΚΖ.	463
	Δ.	310		ΙΒ.	347		Κ.	415		ΚΗ.	466
	Ε.	314		ΙΓ.	353		ΚΑ.	423		ΚΘ.	482
	ϛ.	318		ΙΔ.	359		ΚΒ.	427		Λ.	481
	Ζ.	323		ΙΕ.	370		ΚΓ.	434		ΛΑ.	487
	Η.	327		Ιϛ.	379		ΚΔ.	438			

ΒΑΣΙΛΕΙΩΝ Β.

Κεφ. Α.	σελ. 494	Κεφ. Ζ.	σελ. 527	Κεφ. ΙΓ.	σελ. 562	Κεφ. ΙΘ.	σελ. 595
Β.	499	Η.	535	ΙΔ.	567	Κ.	599
Γ.	506	Θ.	539	ΙΕ.	574	ΚΑ.	606
Δ.	511	Ι.	542	Ιϛ.	579	ΚΒ.	610
Ε.	515	ΙΑ.	546	ΙΖ.	583	ΚΓ.	627
ϛ.	522	ΙΒ.	550	ΙΗ.	587	ΚΔ.	634

ΒΑΣΙΛΕΙΩΝ Γ.


Κεφ. Α.	σελ. 647	Κεφ. Ζ.	σελ. 687	Κεφ. ΙΓ.	σελ. 730	Κεφ. ΙΘ.	σελ. 778
Β.	655	Η.	694	ΙΔ.	735	Κ.	787
Γ.	663	Θ.	703	ΙΕ.	742	ΚΑ.	791
Δ.	671	Ι.	707	Ιϛ.	747	ΚΒ.	803
Ε.	675	ΙΑ.	714	ΙΖ.	754		
ϛ.	678	ΙΒ.	722	ΙΗ.	770		

ΒΑΣΙΛΕΙΩΝ Δ.

Κεφ. Α.	σελ. 811	Κεφ. Η.	σελ. 862	Κεφ. ΙΕ.	σελ. 895	Κεφ. ΚΒ.	σελ. 934
Β.	818	Θ.	867	Ιϛ.	902	ΚΓ.	938
Γ.	827	Ι.	874	ΙΖ.	906	ΚΔ.	946
Δ.	834	ΙΑ.	879	ΙΗ.	911	ΚΕ.	950
Ε.	843	ΙΒ.	886	ΙΘ.	919		
ϛ.	850	ΙΓ.	887	Κ.	926		
Ζ.	858	ΙΔ.	891	ΚΑ.	930		



ΒΙΒΛΟΣ



ΒΙΒΛΟΣ ΙΗΣΟΥ
ΤΟΥ ΥΙΟΥ ΝΑΥΗ.

ΑΔΗΛΟΥ. Ἰστέον, ὅτι ὁ Μωϋσῆς τὴν Πεντάβιβλον ἔγραψε, ταύτην δὲ Ἰησοῦς.

✱✱ ΑΘΑΝΑΣΙΟΥ. Βιβλίον ϛʹ Ἰησοῦς ὁ τοῦ Ναυῆ. τὰ δὲ ἐντεῦθεν βιβλία μέχρι τοῦ Ἔσδρα, οὐ πάντα ἐκείνων εἰσὶ συγγραφαί, ὧν καὶ τὰς ἐπιγραφὰς φέρουσι, καὶ περὶ ὧν διαλαμβάνουσι. λόγος δὲ φέρεται, παρὰ τῶν κατὰ τοὺς ἑκάστους καιροὺς Προφητῶν συγγεγράφθαι αὐτά. περὶ γʹ οὖν τῶν ἐπιγραφῶν αὐτῶν τέως διαληπτέον. τὸ παρὸν τοίνυν βιβλίον ἐπιγέγραπται, Ἰησοῦς ὁ τοῦ Ναυῆ· ἐπειδὴ αὐτὸς Ἰησοῦς ὁ τοῦ Ναυῆ διαδεξάμενος Μωϋσῆν, ἐστρατήγησε τοῦ λαοῦ· καὶ τὴν κατ᾽ αὐτὸν ἱστορίαν, καὶ τὰς πράξεις αὐτοῦ περιέχει. ἔστι δὲ ἐν τούτῳ τῷ βιβλίῳ, πῶς τοῦ Ἰορδάνου ποταμοῦ, τὸ μὲν ἄνωθεν ἐκ τῆς πηγῆς ἔστη ῥεῦμα· τὸ δὲ φθάσαν ἐξεκενώθη, καὶ ξηρῷ τῷ ποδὶ διέβησαν αὐτόν· καὶ ὅτι ἐν Γαλγάλοις περιέτεμε τοὺς ἐν τῇ ἐρήμῳ γεννηθέντας πάντας ἐν πετρίναις μαχαίραις, καὶ ἐκάλεσε τὸν τόπον Γαλγάλ· καὶ ὅτι περάσαντος τοῦ λαοῦ, καὶ φαγόντος ἀπὸ τῶν καρπῶν τῆς γῆς, ἐξέλιπε λοιπὸν τὸ μάννα· καὶ τῆς μὲν Ἱεριχοῦς, αὐτόματα τὰ τείχη πέπτωκεν· ἡ δὲ Ῥαὰβ ἡ πόρνη ἐσώθη, φυλάξασα τοὺς κατασκόπους· καὶ ὅτι ὁ ἥλιος ἐν τῷ μεσουρανήματι ὤν, εὐξαμένου Ἰησοῦ υἱοῦ τοῦ Ναυῆ, ἔστη κατὰ Γαβαών, ἡμέρας ὁλοκλήρου διάστημα, ἕως τροπώσηται τοὺς ἐχθρούς. καταπολεμήσας δὲ τοὺς Ἀμορραίους, καὶ πάντας τοὺς βασιλεῖς αὐτῶν, καὶ μερίσας ταῖς ἐννέα φυλαῖς, καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ τὴν γῆν πᾶσαν, ἦρξε μὲν τοῦ λαοῦ, ἔτη κϛʹ, ἐτελεύτησε δέ, ἐτῶν ριʹ.

ΚΕΦ. Α.



α. Καὶ ἐγένετο μετὰ τὴν
τελευτὴν Μωϋσῆ,
καὶ εἶπε Κύριος τῷ
Ἰησοῦ υἱῷ Ναυῆ τῷ
λειτουργῷ Μωϋσῆ, λέγων,

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ἐγένετο μετὰ τὴν
" τελευτὴν Μωϋσῆ δούλου Κυρίου, εἶπε Κύριος
" Ἰησοῦ υἱῷ Ναυῆ, τῷ ὑπουργῷ Μωϋσῆ, λέ-
" γων, Μωσῆς ὁ θεράπων μου τετελεύτηκε.
" νῦν οὖν ἀναστάς, διάβηθι τὸν Ἰορδάνην [σὺ]
" καὶ πᾶς ὁ λαὸς οὗτος εἰς τὴν γῆν, ἣν ἐγὼ
" δίδωμι αὐτοῖς. Ὁ πάνσοφος ἡμᾶς ἐδίδαξε
Παῦλος, ὡς τύπος ἦν ἡ παλαιὰ τῆς και-
1. Κορ. 10. 11. νῆς. ταῦτα γὰρ πάντα, φησί, τύποι συ-
" νέβαινον ἐκείνοις, ἐγράφη δὲ πρὸς νουθε-
" σίαν ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κα-
τήντησε. καὶ Γαλάταις δὲ ἐπιστέλλων οὕτως
Γαλ. 4. 22, ἔφη· γέγραπται ὅτι Ἀβραὰμ δύω υἱοὺς
23, 24. " ἔσχεν, ἕνα ἐκ τῆς παιδίσκης, καὶ ἕνα ἐκ
" τῆς ἐλευθέρας· ἀλλ᾽ ὁ μὲν ἐκ τῆς παι-
" δίσκης κατὰ σάρκα γεγέννηται, ὁ δὲ ἐκ
" τῆς ἐλευθέρας δι᾽ ἐπαγγελίας. ἅτινά ἐστιν
" ἀλληγορούμενα. αὗται γάρ εἰσι δύω διαθῆ-
και, καὶ τὰ ἑξῆς. ταῦτα γέγραφεν, οὐ
τὴν ἱστορίαν ἐκβάλλων, ἀλλὰ τῇ ἀληθείᾳ

A. παραβάλλων τὸν τύπον, τὸν Ἀβραὰμ τῷ
Θεῷ, τὰς γυναῖκας ταῖς διαθήκαις, τοὺς
υἱοὺς τοῖς λαοῖς. οὕτω τοίνυν κἀνταῦθα,
Μωϋσέα νοητέον τὸν νόμον· Ἰησοῦν, τὸν
ὁμώνυμον ἐκείνῳ Σωτῆρα. ὅτι δὲ καὶ ὁ νό-
μος Μωϋσῆς ὠνόμασται, ἀπεδείξαμεν ἤδη
ταῖς τῆς θείας Γραφῆς μαρτυρίαις χρη-
" σάμενοι. ἔχουσι γάρ φησι Μωϋσῆν, καὶ τοὺς Λουκ. 16. 29.
" Προφήτας. καί, μέχρι σήμερον, ἡνίκα 2. Κορ. 3. 15.
" ἀναγινώσκεται Μωϋσῆς, κάλυμμα ἐπὶ τὴν
B. " καρδίαν αὐτῶν κεῖται. ὥσπερ τοίνυν κατὰ
τὴν ἱστορίαν, Μωϋσοῦ τετελευτηκότος, Ἰησοῦς
τὸν λαὸν εἰς τὴν ἐπηγγελμένην εἰσήγαγε
γῆν, οὕτω μετὰ τὸ τοῦ νόμου τέλος ὁ ἡμέ-
τερος ἐπιφανεὶς Ἰησοῦς ἀνέῳξε τῷ εὐσεβεῖ
" λαῷ τὴν βασιλείαν τῶν οὐρανῶν. τέλος Ῥώμ. 10. 4.
" γάρ φησι νόμου Χριστὸς εἰς δικαιοσύνην παν-
" τὶ τῷ πιστεύοντι. καί, ὁ νόμος καὶ οἱ Προ- Ματθ. 11. 13, 12.
" φῆται ἕως Ἰωάννου προεφήτευσαν· ἀπὸ δὲ
" τῶν ἡμερῶν Ἰωάννου, ἡ βασιλεία τῶν οὐρανῶν
Γ. " βιάζεται, καὶ βιασταὶ ἁρπάζουσιν αὐτήν.

ΤΟΥ ΑΥΤΟΥ. Καὶ πῶς ἁρμόττει τῷ
Κυρίῳ ἡμῶν Ἰησοῦ Χριστῷ τὸ τῆς ὑπουργίας
" ὄνομα; περὶ γὰρ Ἰησοῦ τοῦ Ναυῆ ἔφη, εἶπε
" Κύριος Ἰησοῦ υἱῷ Ναυῆ, τῷ ὑπουργῷ Μωϋσῆ.
" Ἀκούομεν καὶ τοῦ Ἀποστόλου λέγοντος· λέγω Ῥωμ. 15. 8.

„ δὲ Ἰησοῦν Χριστὸν διάκονον γεγενῆσθαι περι- A
„ τομῆς ὑπὲρ ἀληθείας Θεοῦ, εἰς τὸ βεβαιῶ-
„ σαι τὰς ἐπαγγελίας τῶν πατέρων. καὶ
Γαλ. 4. 4, 5. πάλιν· ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρό-
νου, ἐξαπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ, γε-
„ νόμενον (1) ἐκ γυναικὸς, γενόμενον ὑπὸ
„ νόμον, ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ, ἵνα
„ τὴν υἱοθεσίαν ἀπολάβωμεν. ὡς ὑπὸ νόμον
τοίνυν γενόμενος, οὕτω καὶ διάκονος ἐκλή-
θη (2) περιτομῆς. οὕτω καὶ τοῖς Ἰουδαίοις
Ἰωάν. 5. 46. ἔφη· εἰ ἐπιστεύετε Μωσῇ, ἐπιστεύετε ἂν
„ ἐμοί. περὶ γὰρ ἐμοῦ κἀκεῖνος (3) ἐλάλησε.
καὶ γὰρ ἐκεῖνοι πρὸς Ἰησοῦν εἰρήκεισαν τὸν
„ Ναυῆ, κατὰ πάντα ὅσα ἠκούσαμεν Μωϋσῆ,
„ ἀκουσόμεθα καὶ σοῦ.

β. Μωϋσῆς ὁ θεράπων μου τετελεύτηκε. νῦν οὖν ἀναστὰς, διάβηθι τὸν Ἰορδάνην σὺ καὶ πᾶς ὁ λαὸς οὗτος εἰς τὴν γῆν, ἣν ἐγὼ δίδωμι αὐτοῖς.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Τετελεύτηκε Μωϋ-
σῆς διὰ τὴν ἐπὶ τοῦ ὕδατος ἀντιλογίαν, καὶ
διεδέξατο αὐτὸν Ἰησοῦς. τύπος γὰρ ὁ μὲν
Μωϋσῆς, τοῦ νόμου· ὁ δὲ Ἰησοῦς, τῆς ἀλη-
θείας. ἀλλὰ καὶ αὐτὸς ὁ Μωϋσῆς νόμος λέ-
Λουκ. 16. 29. γεται. ἔχουσι γάρ φησιν ἐν τοῖς Εὐαγγε-
„ λίοις Μωϋσέα, τουτέστι τὸν νόμον, καὶ τοὺς
„ Προφήτας.

ΑΔΗΛΟΥ. Ἰστέον δὲ, ὅτι ὁ μὲν Μωϋ-
σῆς, ἦγεν ὁ νόμος, ἄχρι προθύρων ἤγαγε·
Χριστὸς δὲ ἡμᾶς ἀποκαθίστησιν εἰς τὴν ἀλη-
θεστέραν κατάπαυσιν· οὗ τύπος ἐστὶν Ἰησοῦς
ὁ τοῦ Ναυῆ, εἰς τὴν τῆς ἐπαγγελίας γῆν
εἰσαγαγὼν τοὺς μὴ ἀπειθήσαντας.

** ΠΡΟΚΟΠΙΟΥ. Δεινὸν ὀργὴ καὶ
ἀπιστία. μὴ συγχωροῦντα τέλους τυχεῖν ἀγα-
θοῦ. ὃ δὴ καὶ πέπονθε Μωϋσῆς τύπος ὢν
τοῦ νόμου· ὃς ὀργὴν κατεργαζόμενος, καὶ
πρὸς τὴν πίστιν ἀντίκειται, καὶ πρὸς τὰς
ἄνω μονὰς καὶ τὴν γῆν τῶν πραέων ἀνά-
γειν οὐ δύναται. περὶ ἧς φησὶ καὶ Δαβίδ·
Ψαλ. 26. 13. πιστεύω τοῦ ἰδεῖν τὰ ἀγαθὰ Κυρίου ἐν γῇ
ζώντων. πρὸς ἃ μόνος ὁδηγὸς ὁ ἀληθινὸς
Ἰησοῦς, ἔνδον εἶναι ποιῶν, καὶ διδοὺς τὴν κα-
τάπαυσιν, τοῦ νόμου μέχρι μόνον προθύρων
ἄγειν ἰσχύοντος.

** ΤΟΥ ΑΥΤΟΥ. Τετελεύτηκε Μωϋ-
σῆς, ἀπέθανεν ὁ νόμος, Μωϋσῆς χρημα-
Λουκ. 16. 29. τίζων, κατὰ τὸ, ἔχουσι Μωσέα, καὶ τοὺς
Προφήτας. μεθ' ὃν ὁ τὸν νόμον τῶν ἐντο-
λῶν ἐν δόγμασι καταργήσας διαβιβάζει
τὸν Ἰορδάνην, καθά φησι πρὸς Νικόδη-
Ἰωάν. 3. 5. μον· ἐὰν μή τις ἀναγεννηθῇ ἐξ ὕδατος καὶ
„ πνεύματος, οὐ μὴ εἰσέλθῃ εἰς τὴν βασι-
„ λείαν τῶν οὐρανῶν. ἧς αὐτὸς προκατήρξα-
το, οὐ δεόμενος, ἀλλ' ἁγιάζων τὰ ὕδατα.

ΩΡΙΓΕΝΟΥΣ. [Σὺ, καὶ πᾶς ὁ λαὸς
οὗτος.] Τοῖς φυλάσσουσι τὸν νόμον ὑπέσχε-
το διδόναι ἃ προείρηκεν· οὐ γὰρ Ἰησοῦ τῷ
Ναυῆ. μὴ φυλάξαντες γὰρ οἱ Ἰσραηλῖ-
ται, οὐκ ἔλαβον, ὡς δηλοῖ τὰ ἑξῆς.

γ. Πᾶς ὁ τόπος, ἐφ' ὃν ἂν ἐπιβῆτε τῷ ἴχνει τῶν ποδῶν ὑμῶν, ὑμῖν δώσω αὐτὸν, ὃν τρόπον εἴρηκα τῷ Μωϋσῇ·

ΩΡΙΓΕΝΟΥΣ. [Πᾶς ὁ τόπος ἐφ' ὃν ἂν
ἐπιβῆτε.] Ἀντέστησαν οἱ ἐπὶ τῆς Γαῒ διὰ
τὴν τοῦ Ἄχαρ παρανομίαν. καὶ ἄλλως, ὅτι
τοῦ Θεοῦ παραδόντος εἰς χεῖρας αὐτῶν τὰ
ἔθνη, οὐκ ἐξωλόθρευσαν, καὶ ἐγενήθησαν
B εἰς σκόλοπα αὐτοῖς.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Πᾶς ὁ τόπος σημαί-
νει τὸν οὐρανὸν, τὸν πάλαι ἄβατον ἀνθρώ-
ποις, εἰς ὃν εἰσῆλθε πρόδρομος ἡμῶν ὁ
ἀληθινὸς Ἰησοῦς.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε ὑποσχόμε-
νος ὁ Θεὸς πάντα τόπον δώσειν αὐτοῖς, οὗ
ἂν ἐπιβῶσι τῷ ἴχνει τῶν ποδῶν αὐτῶν, καὶ
τὴν ἔρημον καὶ τὸν Ἀντιλίβανον ἕως τοῦ
ποταμοῦ τοῦ μεγάλου Εὐφράτ, οὐκ ἐπλήρωσε
Γ τὴν ὑπόσχεσιν; Σαφὴς ὁ λόγος, καὶ οὐ πολ-
λῆς ἑρμηνείας δεόμενος. πρῶτον μὲν γὰρ
„ εἴρηται, ὅτι πᾶς τόπος, οὗ ἐὰν ἐπιβῆτε
„ τῷ ἴχνει τῶν ποδῶν ὑμῶν, ὑμῖν δώσω αὐ-
τόν. εἰκὸς οὖν αὐτοὺς μὴ ἐπιβῆναι τῆς ἄλ-
λης γῆς, Ἰησοῦ τοῦ Ναυῆ στρατηγοῦντος. ἡ
ἐπαγωγὴ δὲ τέλεον τὸ ζήτημα λύει. ἐπή-
„ γαγε γὰρ, ὃν τρόπον εἴρηκα τῷ Μωϋσῇ.
οὐκ ἀορίστως δὲ πρὸς ἐκεῖνον ἐποιήσατο τὴν
„ ὑπόσχεσιν, ἀλλ' ἐὰν φυλάξητε τὰς ἐντο- Δευτ. 11. 22.
Δ „ λάς μου, καὶ τὰ δικαιώματά μου. ἐκεῖνοι μὲν
οὖν ὡς εὐθὺς παραβεβηκότες τὸν νόμον,
τῆς ἐπαγγελίας τελείας οὐκ ἔτυχον. οἱ δὲ
θεῖοι Ἀπόστολοι, οὐ μόνον ἐκείνων τῶν τό-
πων ἐκράτησαν, ὧν ἐπέβησαν, ἀλλὰ κἀ-
κείνων ἐν οἷς αὐτῶν ἀνεγνώσθη τὰ πάνσο-
φα γράμματα. καὶ τὴν πάλαι ἔρημον
παράδεισον ἀπέφηναν θεῖον. περὶ ταύτης
τῆς ἐρήμου καὶ ὁ προφήτης ἔλεγεν Ἡσαΐας·
„ εὐφράνθητι ἔρημος ἡ διψῶσα. καὶ, εὐ- Ἡσ. 35. 1.
E „ φράνθητι ἔρημος, καὶ αἱ κῶμαι αὐτῆς. 42. 11.
καὶ ὁ δεσπότης Θεὸς διὰ τῆς ἐκείνου γλώτ-
„ της ὑπέσχετο ποιήσειν τὴν ἔρημον εἰς ἕλη, Ἡσ. 41. 18.
„ καὶ τὴν διψῶσαν γῆν ἐν ὑδραγωγοῖς. ταύ-
την πάλιν γενέσθαι τὴν ἔρημον, ὡς τὸν Ἡσ. 32. 16.
„ κάρμηλον ἔφη.

** ΠΡΟΚΟΠΙΟΥ. Ἡ μὲν ἐπαγγελία
αὕτη, ὁ δὲ ἀγὼν μέγας, ἔθνη νικῆσαι τὰ
νοητά. καὶ δεῖ ἐνταῦθα τὸ τοσοῦτον διανύ-
σαντας στάδιον ἐπιβῆναι τῶν ἄνω μονῶν·
Z μᾶλλον δὲ πρὸ τούτων ἀρετῆς τε καὶ ἀλη-
θείας, ὁδηγοῦντος ἡμᾶς Ἰησοῦ εἰς ὁδὸν εἰρή-
νης, τοῦ καὶ δόντος πατεῖν ἐπάνω ὄφεων
καὶ σκορπίων, καὶ χαρισαμένου κληρονο-
μίαν ἐθνῶν. ἐπιβῶμεν δὲ καὶ ῥητῶν, ὡς
δεῖ γραφικῶν, καὶ τὸ νοηθὲν ἔστιν ἡμέτε-
ρον. ὁ μὲν οὖν Θεὸς ἕως Εὐφράτου δώσειν
αὐτοῖς ἐπηγγείλατο, ἀναξίοις δὲ φανεῖσιν
οὐκ ἐπλήρωσε τὴν ὑπόσχεσιν, ἀλλὰ Δαβὶδ
καὶ Σολομῶντι γενομένοις ἀξίοις.

H δ. Τὴν ἔρημον καὶ τὸν Ἀντιλίβανον, ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου πο-

ταμοῦ

(1) Γεννώμενον, ἡ ἐν Χάλ. ἔκδοσ. ὀρθ.

(2) Ἐδείχθη. ἡ αὐτ.

(3) Ἐκεῖνος. ἡ αὐτ.

A ταμοῦ Εὐφράτου, καὶ ἕως τῆς θαλάσσης τῆς ἐσχάτης· ἀφ' ἡλίου δυσμῶν ἔσαι τὰ ὅρια ὑμῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Τὴν ἔρημον ὑπέταξεν ὁ πατὴρ τῷ Χριστῷ. περὶ ἧς εἴρηται,
Ἡσ. 35. 1. » εὐφράνθητι ἔρημος ἡ διψῶσα· καὶ, πολλὰ
Ἡσ. 54. 1. » τὰ τέκνα τῆς ἐρήμου, μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα. καὶ οὐ τὸν Λίβανον ὑπέταξεν Ἰησοῦ, τὸν Ἰσραὴλ, οὕτως ἐν Προφήταις καλούμενον, ὃς καὶ καλλιέλαιος εἴρηται· ἀλλὰ
B τὰ ἔθνη, τὸν Ἀντιλίβανον, ἐγκεντρισθέντα μὲν ἐν Ἰσραὴλ, ἀντ' αὐτοῦ δὲ γενόμενα.

ΑΔΗΛΟΥ. Ὁ Λίβανος ἡ κάτω Ἱερουσαλὴμ προσηγόρευται· ἀντὶ τοῦ λίβανος (1) δὲ ἡ ἄνω δικαίως κληθείη.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐκληρονόμησαν δὲ καὶ τὸν Ἀντιλίβανον τῆς ἀληθείας οἱ κήρυκες. αἰνίττεται δὲ καὶ οὗτος τὴν τῶν ἐθνῶν σωτηρίαν· ἐπειδὴ καὶ Λίβανος ἡ Ἱερου-
Ἰεζ. 17. 3, 4. σαλὴμ ὠνομάσθη. ὁ ἀετὸς γάρ φησιν ὁ με- Γ
» γαλοπτέρυγος, ὃς ἔχει τὸ ἥγημα εἰσελθεῖν
» εἰς τὸν Λίβανον, καὶ ἀπέκνισε τὰ ἁπαλὰ
» τῆς κέδρου, καὶ τῆς κυπαρίττου. ἀετὸν γὰρ τὸν Βαβυλώνιον κέκληκε, Λίβανον δὲ τὴν Ἱερουσαλήμ· τὰ ἁπαλὰ δὲ τῆς κέδρου καὶ τῆς κυπαρίττου, τὸν βασιλέα καὶ τοὺς ἄρχοντας. τούτους οὐ μόνον κατασκόπους, ἀλλὰ καὶ στρατηγοὺς ἀπέστειλεν ὁ ἡμέτερος Ἰησοῦς.

ΑΔΗΛΟΥ. Ἀεὶ θαλάσσας ἡ θεία Γραφὴ τὰ συστήματα τῶν ἐθνῶν καλεῖ.

ε. Οὐκ ἀντιστήσεται ἄνθρωπος οὐθεὶς κατενώπιον ὑμῶν πάσας τὰς ἡμέρας τῆς ζωῆς σου. καὶ ὥσπερ ἤμην μετὰ Μωϋσῆ, οὕτως ἔσομαι καὶ μετὰ σοῦ, καὶ οὐκ ἐγκαταλείψω σε, οὐδὲ ὑπερόψομαί σε.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐδὲ γὰρ Μωϋσῆς ἰδίᾳ δυνάμει τοὺς ἐχθροὺς ἐτροπώσατο. τοιοῦ-
Ματθ. 28. 20. τον καὶ τὸ, ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμὶ ἕως τῆς
» συντελείας τοῦ αἰῶνος.

** ΒΑΣΙΛΕΙΟΥ. Ἡ ἄνεσις τῶν ἁμαρτωλῶν κατὰ ἐγκατάλειψιν γίνεται. ὧν
» μὲν γὰρ προνοεῖται ὁ λόγος, φησὶν, οὐ μή
» σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλείπω· ὧν δ' ἂν παντελῶς ἀπογνῷ, τούτους ἀνέτους ἀφίησι ποιεῖν τὰ θελήματα τῆς σαρκὸς καὶ τῶν διανοιῶν αὐτῶν, ὡς τῆς παιδευτικῆς ἀνωφελοῦς αὐτοῖς ἐσομένης.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Παγχάλεπον ἀχαλίνωτον ἐαθῆναι ψυχὴν, ἀτίθασον οὖσαν ἐξ ἑαυτῆς, ἣν μόλις ἡνίαις μετ' ἐπανατάσεως μαστίγων ἐστὶ κατασχόντα πραΰναι. διόπερ λόγιον τοῦ ἵλεω Θεοῦ μεστὸν ἡμερότητος, ἐλπίδας χρηστὰς ὑπογράφον τοῖς παιδείας ἐρασταῖς, ἀνῄρηται
» τοιόνδε· οὐ μή σε ἀνῶ, οὐδ' οὐ μή σε ἐγκαταλίπω. τῶν γὰρ τῆς ψυχῆς δεσμῶν χαλασθέντων οἷς διεκρατεῖτο, ἡ μεγίστη παρέπεται συμφορὰ, καταλειφθῆναι ὑπὸ Θεοῦ, ὃς τοῖς ὅλοις δεσμοὺς τὰς ἑαυτοῦ δυνάμεις

A περιῆψεν ἀρρήκτους· αἷς τὰ πάντα σφίγξας, ἄλυτα εἶναι βούλεται.

ς. Ἴσχυε καὶ ἀνδρίζου, σὺ γὰρ ἀποδιαστελεῖς τῷ λαῷ τούτῳ τὴν γῆν, ἣν ὤμοσα τοῖς πατράσιν ὑμῶν δοῦναι αὐτοῖς.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἴσχυε, φησὶ, καὶ ἀνδρίζου. ἐγὼ γάρ σε ἐνισχύσω ὑπομονὴν καὶ δύναμιν χαριζόμενος, ὡς ἂν καὶ διέ-
B λοις τοῖς ἐσομένοις τὴν γῆν.

ΑΔΗΛΟΥ. Χριστὸς γὰρ ἡμῖν δίδωσι τὰ οὐράνια ἀγαθά.

ζ. Ἴσχυε οὖν καὶ ἀνδρίζου, φυλάσσεσθαι καὶ ποιεῖν καθότι ἐνετείλατό σοι Μωϋσῆς ὁ παῖς μου· καὶ οὐκ ἐκκλινεῖς ἀπ' αὐτῶν εἰς δεξιὰ οὐδὲ εἰς ἀριστερὰ, ἵνα συνῇς ἐν πᾶσιν οἷς ἂν πράσσῃς.

Γ ** ΠΡΟΚΟΠΙΟΥ. Ἀλλὰ φύλαττε, καὶ ποίει κατὰ πάντα τὸν νόμον. αὐτῷ δὲ προστάττει ἅπερ καὶ τὸν λαὸν διδάσκειν ἐχρῆν.
» πᾶς γάρ φησιν ὅστις ποιήσει κατὰ μίαν τῶν Ματθ. 5. 19.
» ἐντολῶν τούτων τῶν ἐλαχίστων, καὶ διδάξει
» τοὺς ἀνθρώπους ὁμοίως ποιεῖν, μέγας κλη-
» θήσεται ἐν τῇ βασιλείᾳ τῶν οὐρανῶν. καὶ Λουκᾶς δὲ περὶ τοῦ ἀληθινοῦ φησὶν Ἰησοῦ·
» ὧν ἤρξατο ποιεῖν τε καὶ διδάσκειν. πᾶσαν Πράξ. 1. 1.
Δ γὰρ ἐπλήρωσε δικαιοσύνην ὑπὸ νόμον γενόμενος ὡς ἄνθρωπος. καὶ ὅσα ἐνετείλατο
» αὐτῷ Μωϋσῆς πεποίηκεν, ἵνα τοὺς ὑπὸ νό- Γαλ. 4. 5.
» μον ἐξαγοράσῃ, καὶ τὴν υἱοθεσίαν ἀπολάβωμεν. οὐκ ἐξέκλινεν ἀπ' αὐτῶν δεξιὰ ἢ
» ἀριστερὰ, φάσκων· ἰῶτα ἓν, ἢ μία κεραία Ματθ. 5. 18.
» οὐ μὴ παρέλθῃ ἐκ τοῦ νόμου, ἕως ἂν γένηται.
» διὸ καὶ Ἡσαΐας λέγει περὶ αὐτοῦ· ἰδοὺ συνή- Ἡσ. 52. 13.
» σει ὁ παῖς μου, καὶ ὑψωθήσεται, καὶ δοξα-
» σθήσεται, καὶ μετεωρισθήσεται σφόδρα,
E θεοπρεπεῖ σοφίᾳ πάντα ποιῶν, καὶ φθεγγόμενος.

η. Καὶ οὐκ ἀποστήσεται ἡ βίβλος τοῦ νόμου τούτου ἐκ τοῦ στόματός σου, καὶ μελετήσεις ἐν αὐτῷ ἡμέρας καὶ νυκτὸς, ἵνα συνῇς ἐν πᾶσιν οἷς ἐὰν ποιῇς, ὅπως φυλάσσῃς ποιεῖν πάντα τὰ γεγραμμένα ἐν αὐτῷ. τότε εὐοδωθήσῃ, καὶ εὐοδώσεις τὰς ὁδούς σου, καὶ τότε
Z συνήσεις.

** ΠΡΟΚΟΠΙΟΥ. Συνέσεως χρεία τῷ τὸν νόμον ἀναγινώσκοντι, καὶ πρὸ ταύτης,
» πίστεως. ἐὰν γάρ φησι μὴ πιστεύσητε, οὐδ' Ἡσ. 7. 9.
» οὐ μὴ συνῆτε. δεῖ δὲ καὶ μελέτης συνεχεστέρας. ὃν καὶ μακαρίζων φησὶν ὁ Δαβὶδ,
» καὶ πάντα ὅσα ἂν ποιῇ κατευοδωθήσεται. Ψαλ. 1. 3.
» λύχνος γάρ φησι τοῖς ποσί μου ὁ νόμος σου, Ψαλ. 118. 105.
» καὶ φῶς ταῖς τρίβοις μου. δι' οὗ ῥωσθεὶς, ἐκβαλεῖ πᾶσαν δειλίαν καὶ φόβον.

H ΑΔΗΛΟΥ. Ὅτι γέγονεν ὑπὸ νόμον ὁ νομοθέτης, καὶ οὗτος μόνος τῶν ἐπὶ γῆς ἐπλήρωσε τὸν νόμον. ἔφασκε γὰρ ὁ Ἰησοῦς·

(1) Ἀντιλίβανος ἐστι

Ματθ. 5. 18. σοῦς· ἰῶτα ἐν, ἢ μία κεραία οὐ μὴ παρέλθῃ
» ἀπὸ τοῦ νόμου.

θ. Ἰδοὺ ἐντέταλμαί σοι. ἴσχυε καὶ
ἀνδρίζου, μὴ δειλιάσῃς, μηδὲ φοβη-
θῇς, ὅτι μετὰ σοῦ Κύριος ὁ Θεός σου
εἰς πάντα τόπον οὗ ἐὰν πορεύσῃ.

ι. Καὶ ἐνετείλατο Ἰησοῦς τοῖς γραμ-
ματεῦσι τοῦ λαοῦ, λέγων,

** ΠΡΟΚΟΠΙΟΥ. Ταῦτα διὰ τῶν
Γραμματέων Ἰησοῦς δεδήλωκε τῷ λαῷ· οὓς
ὁ μὲν Ἀκύλας, ἐκβιβαστάς φησιν· ὁ δὲ
Σύμμαχος, ἐπιστάτας. ἐοίκασι δὲ κατὰ
τοὺς παρὰ Ῥωμαίοις Ἐκσκέπτορας εἶναι. δι'
ὧν δηλοῦσι τοῖς δήμοις οἱ ἄρχοντες τὸ δοκοῦν.

ια. Εἰσέλθετε κατὰ μέσον τῆς
παρεμβολῆς τοῦ λαοῦ, καὶ ἐντείλασθε
τῷ λαῷ, λέγοντες, ἑτοιμάζεσθε ἐπι-
σιτισμὸν, ὅτι ἔτι τρεῖς ἡμέραι, καὶ δια-
βήσεσθε τὸν Ἰορδάνην τοῦτον, εἰσελ-
θόντες κατασχεῖν τὴν γῆν, ἣν Κύ-
ριος ὁ Θεὸς τῶν πατέρων ὑμῶν δίδω-
σιν ὑμῖν.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπισιτισμὸν δὲ συλ-
λέγειν ἀπὸ τοῦ μάννα προστάττονται πρὸς
τῷ πρὸς ἡμέραν ἀρκοῦντι ἐπὶ τρεῖς ἡμέρας
καὶ τὸν ἀρκέσοντα πρὸς τὸν τῆς διαβά-
σεως χρόνον. οὐ γὰρ ἠδύναντο τότε συλ-
λέγειν, πρὸς τὴν διάβασιν ἀσχολούμενοι.
διὰ τῶν τριῶν οὖν ἡμερῶν ἐκ προσθήκης συ-
νέλεγον καὶ τὸν τῆς ἡμέρας τῆς διαβά-
σεως. Καὶ μετ' ὀλίγα. Καὶ ἄλλως δέ. τῷ μέλ-
λοντι διαβῆναι τὸν Ἰορδάνην ἐπισιτισμοῦ
χρεία, καὶ τῶν ἐκ μετανοίας ἔργων, ὡς
Ἰωάν. 4. 34. ἂν εἴποι μετὰ Χριστοῦ· ἐμόν ἐστι βρῶμα τὸ
» ποιῆσαι τὸ θέλημα τοῦ πέμψαντός με. καὶ
3. Βασ. 19. 5. τῷ Ἡλίᾳ δὲ λέγει· ἀναστὰς φάγε, ὅτι μα-
» κρὰν ἡ ὁδὸς ἀπὸ σοῦ. Θεοῦ γὰρ ὁδὸς ἐργα-
σίαν ἀρετῆς ἀπαιτεῖ· καὶ δεῖ μὴ αὐτοσχε-
διάζειν, ἀλλὰ τοῦ θείου λουτροῦ προκαθαίρε-
σθαι. τάχα διὰ τοῦτο κεκράτηκεν ἐν πολ-
λαῖς Ἐκκλησίαις τῇ τετράδι τῆς ἁγίας ἑβ-
δομάδος προκατηχεῖσθαι τὰ νῦν, ὡς εἰπεῖν
» ἀκούοντας· ἑτοιμάζεσθε ἑαυτοῖς ἐπισιτισ-
» μόν. ἔτι γὰρ γ' ἡμέρας ὑμεῖς διαβήσεσθε
Ῥωμ. 13. 13. τὸν Ἰορδάνην. μὴ κώμοις καὶ μέθαις, μὴ
1. Κορ. 14. 40. κοίταις καὶ ἀσελγείαις, πάντα εὐσχημό-
» νως, καὶ κατὰ τάξιν γινέσθω. εἰς βασι-
λείαν οὐρανῶν διαβαίνεις, οὐκ αἰσθητῶν δεῖ-
σοι βρωμάτων· ὡς ἂν καὶ ᾧ συναπτέσθαι
μέλλεις νυμφίῳ ἀπολαύσῃ τοῦ σοῦ σιτισμοῦ,
καὶ ὧν ἐπιφέρῃ καρπῶν. ἀλλὰ πῶς τὸ
μάννα τοὺς διαβεβηκότας τὸν Ἰορδάνην ἐκ-
λέλοιπεν; ὅτι οἱ μὲν ἐν Χριστῷ νήπιοι τὸ
πᾶν ἐξ οὐρανοῦ συνεργοῦνται, οἱ δὲ προβεβη-
κότες καὶ ἐξ ἰδίων ἔργων ἐπισιτίζονται.

ΑΔΗΛΟΥ. Τοὺς γὰρ διαβαίνειν μέλλον-
τας τὸν Ἰορδάνην ἐπιφέρεσθαι δεῖ ἐπισι-
τισμὸν, καὶ πᾶσαν ἀγαθὴν εὐτρεπίζεσθαι
Ῥωμ. 14. 17. πρᾶξιν μετὰ τοῦ σωτῆρος Χριστοῦ. οὐ γάρ-
A » ἐστι, φησὶν, ἡ βασιλεία τῶν οὐρανῶν βρῶ-
» σις καὶ πόσις, ἀλλὰ δικαιοσύνη καὶ ἁγιασ-
μὸς, καὶ τὰ ἑξῆς.

ιβ. Καὶ τῷ Ῥουβὶμ, καὶ τῷ Γὰδ,
καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ εἶπεν
ιγ. Ἰησοῦς, Μνήσθητε τὸ ῥῆμα ὃ ἐνετεί-
λατο ὑμῖν Μωϋσῆς ὁ παῖς Κυρίου, λέ-
γων, Κύριος ὁ Θεὸς ὑμῶν κατέπαυ-
B σεν ὑμᾶς, καὶ ἔδωκεν ὑμῖν τὴν γῆν
ιδ. ταύτην. Αἱ γυναῖκες ὑμῶν καὶ τὰ
παιδία ὑμῶν καὶ τὰ κτήνη ὑμῶν κα-
τοικείτωσαν ἐν τῇ γῇ, ᾗ ἔδωκεν ὑμῖν
Μωϋσῆς πέραν τοῦ Ἰορδάνου· ὑμεῖς δὲ
διαβήσεσθε εὔζωνοι πρότεροι τῶν ἀ-
δελφῶν ὑμῶν πᾶς ἰσχύων (1)· καὶ συμ-
ιε. μαχήσετε αὐτοῖς, Ἕως ἂν κατα-
παύσῃ Κύριος ὁ Θεὸς ὑμῶν τοὺς ἀδελ-
Γ φοὺς ὑμῶν, ὥσπερ καὶ ὑμᾶς, καὶ κλη-
ρονομήσουσι καὶ οὗτοι τὴν γῆν, ἣν Κύ-
ριος ὁ Θεὸς ἡμῶν δίδωσιν αὐτοῖς. καὶ
ἀπελεύσεσθε ἕκαστος εἰς τὴν κληρο-
νομίαν αὐτοῦ, ἣν ἔδωκεν ὑμῖν Μωϋσῆς
ὁ δοῦλος Κυρίου εἰς τὸ πέραν τοῦ Ἰορ-
δάνου ἀπὸ ἀνατολῶν Κυρίου.

* ΠΡΟΚΟΠΙΟΥ. [Οὗτοι διὰ Μωϋσέως
ἐκληρώθησαν τὴν γῆν, ἐπειδὴ πολλοὶ διὰ
Δ τοῦ νόμου πρὸ τῆς χάριτος ἐτελειώθησαν.
καὶ ἐπεὶ πρωτότοκος Ἰσραὴλ ὀνομάζεται,
διὰ Μωϋσέως οἱ πρωτότοκοι τοὺς κλήρους
ἐδέξαντο, Ῥουβὴν, καὶ Γὰδ, καὶ Μανασσῆς.]
διαβαίνουσι μέντοι καὶ οὗτοι εὔζωνοι πρὸ τῶν
ἄλλων. οἱ γὰρ ἐξ Ἰουδαίων πεπιστευκότες,
ἡγήσαντο τῆς τῶν ἐθνῶν σωτηρίας.

** ΤΟΥ ΑΥΤΟΥ. Διατὶ μὴ γ' καὶ θ'
φυλαὶ, ἀλλὰ δύω ἥμισυ φυλαὶ ὑπὸ Μωϋ-
σέως, καὶ ἐννέα ἥμισυ κληροδοτοῦνται ὑπὸ
E Ἰησοῦ; Ὡς ἂν ἁρμονία γένηται τῶν δύω
λαῶν σημαινομένων διὰ φυλῆς, ἢ τὸ μη-
τρῷον γένος εἰς Αἰγυπτίους, εἰς Ἰσραὴλ δὲ
τὸ πατρῷον ἀνέπεμπε. τάχα δέ φασι καὶ
οἱ πρότεροι ἥψαντο μὲν τῆς Τριάδος, οὐ μὴν
καθαρῶς. οὔπω γὰρ τὸ τῆς οἰκονομίας προ-
σέκειτο, εἰ καὶ Χριστὸν προεκήρυττον· ἀλλ'
ἡρμόσθησαν διὰ τοῦ λείποντος, δηλουμένου
διὰ τοῦ ἡμίσεως τοῦ τελοῦντος ὑπὸ τὸν Ἰη-
σοῦν. ἔλειπε (2) δὲ καὶ ταῖς ἐννέα καὶ ἡμί-
Z σει φυλαῖς εἰς τὸ τῆς δεκάδος τέλειον οἱ ἐξ
Ἰσραὴλ τοῖς ἀπὸ τῶν ἐθνῶν. ἁρμοζομένων
δὲ ἀμφοτέρων, σύμφωνοι αἱ ιβ' φυλαὶ αἱ
ὑπὸ Μωϋσῆ τε καὶ Ἰησοῦ.

** ΤΟΥ ΑΥΤΟΥ. Διαβιβασθέντες δὲ
τὸν Ἰορδάνην οὗτοι, παλινδρομοῦσι. καὶ εἴποις
ἂν κατ' ἰδιάζουσαν θεωρίαν ἐοικέναι τούτοις
τοὺς μετὰ τὴν χάριν εἰσηγουμένους τὸν νό-
μον. κατὰ δὲ τὴν προῤῥηθεῖσαν ἀλληγο-
ρίαν, χωρὶς ἡμῶν οὐ τυγχάνουσι τῶν ἐπαγ-
H » γελιῶν οἱ τοῦ προτέρου λαοῦ, τοῦ Θεοῦ κρεῖτ- Ἑβρ. 11.
» τόν τι περὶ ἡμῶν προβλεψαμένου, ἵνα μὴ
» χωρὶς ἡμῶν τελειωθῶσι. γυναῖκες γὰρ αὐ-
τῶν

(1) Ὁ ἰσχύων. ἡ ἐν Φρανεκ. ἔκδ. καὶ ἡ ἐν Κανταβρ.

(2) Ἔλειπον. ἀνάγν.

τῶν καὶ παῖδες ἀνεπαύσαντο μόνοι πρὸ τοῦ A
Ἰορδάνου· αὐτοὶ δὲ τὸν λαὸν ὁδηγοῦσι περι-
ζωσάμενοι τὴν ὀσφὺν αὐτῶν ἐν ἀληθείᾳ.
καὶ μετὰ βίον γὰρ συναγωνίζονται τοῖς
πιστοῖς ὅσοι ἄνδρες γεγόνασι τὰ τοῦ νηπίου
Ἐφεσ. 4. 14. καταργήσαντες, οἵους ὁ Παῦλος τοὺς Ἐφε-
2. Κορ. 11. 2. σίους φησὶ, Κορινθίων χρηματιζόντων παρ-
θένων. διαφορὰ γὰρ ἐν τοῖς σωζομένοις.

ις. Καὶ ἀποκριθέντες τῷ Ἰησοῦ εἶπαν, πάντα ὅσα ἂν ἐντείλῃ (1) ἡμῖν, ποιήσομεν, καὶ εἰς πάντα τόπον οὗ ἐὰν ἀποστείλῃς ἡμᾶς, πορευσόμεθα. B

ιζ. Κατὰ πάντα ὅσα ἠκούσαμεν Μωϋσῆ, ἀκουσόμεθά σου· πλὴν ἔστω Κύριος ὁ Θεὸς ἡμῶν μετὰ σοῦ, ὃν τρόπον ἦν μετὰ Μωϋσῆ.

** ΝΕΙΛΟΥ. Φασὶν οἱ Ἰσραηλῖται Ἰησοῦ τῷ υἱῷ τοῦ Ναυῆ μέλλοντι διαβαίνειν τὸν Ἰορδάνην πανστρατιᾷ, ὅτι καθὼς ἠκούσαμεν Μωϋσέως, οὕτως ἀκουσόμεθα καὶ σοῦ.

A Ἰησοῦς δὲ ὁ τοῦ Ναυῆ τύπον ἐφέρετο Ἰησοῦ Χριστοῦ τοῦ δεσπότου τῶν ὅλων. ὅθεν αὐτὸν Αὐσὴν τὸ πρῶτον καλούμενον, ὁ πάνσοφος Μωϋσῆς προβλέπων τὰ μέλλοντα τοῖς ὀφθαλμοῖς τῆς ψυχῆς, Ἰησοῦν ἐπωνόμασεν, ὅπως σημαίνῃ τὸν ἀληθινὸν Ἰησοῦν τὸν υἱὸν τοῦ Θεοῦ, ἀρχόμενον ἀπὸ τοῦ βαπτίσματος κηρύσσειν τὴν βασιλείαν τῶν οὐρανῶν, καὶ δωρούμενον ἡμῖν τὴν ἄνω κληρονομίαν ἀπένθητον καὶ αἰώνιον.

ιη. Ὁ δὲ ἄνθρωπος ὃς ἂν ἀπειθήσῃ σοι, καὶ ὅστις μὴ ἀκούσῃ τῶν ῥημάτων σου, καθότι ἂν ἐντείλῃ αὐτῷ, ἀποθανέτω. ἀλλὰ ἴσχυε καὶ ἀνδρίζου.

** ΠΡΟΚΟΠΙΟΥ. Τοιαῦτα καὶ οἱ τοῦ
„ Χριστοῦ μαθηταί· τοὺς μὲν οὖν χρόνους τῆς Πράξ. 17. 30.
„ ἀγνοίας ὑπεριδὼν ὁ Θεὸς, καὶ τὰ ἑξῆς.
„ καὶ ὁ Χριστὸς δέ φησιν· ἀμὴν λέγω ὑμῖν Ἰωάν. 8. 24.
Γ „ ἐὰν μὴ πιστεύσητε, ἐν ταῖς ἁμαρτίαις ὑμῶν
„ ἀποθανεῖσθε.

ΚΕΦ. Β.

α. Καὶ ἀπέστειλεν Ἰησοῦς υἱὸς τοῦ Ναυῆ ἐκ Σαττὶν (2) δύω ἄνδρας κατασκοπεῦσαι τὴν γῆν, λέγων, ἀνάβητε καὶ ἴδετε τὴν γῆν καὶ τὴν Ἱεριχώ· καὶ πορευθέντες εἰσῆλθον οἱ δύω νεανίσκοι εἰς Ἱεριχώ· καὶ εἰσήλθοσαν εἰς οἰκίαν γυναικὸς πόρνης, ᾗ ὄνομα Ῥαάβ. καὶ κατέλυσαν ἐκεῖ.

** ΠΡΟΚΟΠΙΟΥ. Προλέγει τὸν πρῶτον βίον τῆς πόρνης, ἵνα θαυμάσῃς τὴν ἐκ τούτου μετάστασιν. τὸ μὲν οὖν δέξασθαι τοὺς ἄνδρας, θαυμαστὸν οὐδέν· πανδοκευτρίας γὰρ τὸ ἔργον· τὸ δὲ τῆς πίστεως ὑπερβάλλει.

** ΝΕΙΛΟΥ. Ῥαὰβ, πλατυσμὸς ἑρμηνεύεται. ἡ γὰρ τὸ πρῶτον πόρνη, νῦν δὲ σώφρων Ἐκκλησία διὰ τῆς πίστεως πλατύνεται ταῖς θεωρίαις, καὶ τοῖς θείοις νοήμασι. διὰ τοῦτο Κορινθίοις γράφει ὁ μέγας
2. Κορ. 6. 12, 11. Ἀπόστολος, μὴ στενοχωρεῖσθε, μᾶλλον δὲ
„ πλατύνθητε· καθάπερ οὖν ἡ ἐμὴ καρδία
„ πεπλάτυνται.

ΣΕΥΗΡΟΥ. Εἰκὼν τῆς Ἐκκλησίας Ῥαὰβ ποτὲ πεφυρμένη τῇ πορνείᾳ τῶν Δαιμόνων, νῦν δὲ δεχομένη τοὺς τοῦ Ἰησοῦ κατασκόπους, ἤγουν τοὺς Ἀποστόλους.

ΩΡΙΓΕΝΟΥΣ. Πόρνῃ πιστεύουσιν οἱ κατάσκοποι τὴν ἑαυτῶν σωτηρίαν· καὶ μάλα εἰκότως. δείκνυται γὰρ, ἐξ ὧν ἡ πόρνη διαλέγεται, μόνη πιστὴ, καὶ τὸν Θεὸν φοβουμένη. διὸ καὶ δι' αὐτῆς ἡ συγγένεια σώζεται.

* ΤΟΥ ΑΥΤΟΥ. Ῥαὰβ ἑρμηνεύεται πλατυσμὸς, σύμβολον οὖσα τῆς ἀπὸ τῶν
„ ἐθνῶν Ἐκκλησίας, λεγούσης· στενός μοι ὁ Ἡσ. 49. 20.
„ τόπος, ποίησόν μοι τόπον ἵνα οἰκήσω.

* ΤΟΥ ΑΥΤΟΥ. Οὐκ ἐκ τῆς δεξιώσεως μόνης σώζεται, ἀλλὰ προηγουμένως ἀπὸ τῆς πίστεως, καὶ τῆς πρὸς Θεὸν διαθέσεως. Δ

β. Καὶ ἀπηγγέλη τῷ βασιλεῖ Ἱεριχὼ, λέγοντες, εἰσπεπόρευνται ὧδε ἄνδρες τῶν υἱῶν Ἰσραὴλ κατασκοπεῦσαι τὴν γῆν.
γ. Καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ἱεριχὼ, καὶ εἶπε πρὸς Ῥαὰβ, λέγων, ἐξάγαγε τοὺς ἄνδρας τοὺς εἰσπεπορευμένους πρὸς σὲ εἰς τὴν οἰκίαν σου τὴν νύκτα, κατασκοπεῦσαι γὰρ τὴν γῆν ἥκασι. E

δ. Καὶ λαβοῦσα ἡ γυνὴ τοὺς δύω ἄνδρας, ἔκρυψεν αὐτοὺς ἐν τῇ λινοκαλάμῃ τῇ ἐστιβασμένῃ αὐτῇ ἐπὶ τοῦ δώματος· καὶ εἶπεν αὐτοῖς, λέγουσα,
ε. εἰσεληλύθασι πρός με οἱ ἄνδρες, Ὡς δὲ ἡ πύλη ἐκλείετο ἐν τῷ σκότει, καὶ
Z οἱ ἄνδρες ἐξῆλθον, καὶ (3) οὐκ ἐπίσταμαι ποῦ πεπόρευνται. καταδιώξατε ὀπίσω αὐτῶν, εἰ καταλήψεσθε αὐτούς.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἡ σοφία δὲ ὅση. ἐρωτωμένη γὰρ ὑπὸ τῶν ἐπιζητούντων, οὐκ ἀρνεῖται τῶν κατασκόπων τὴν εἴσοδον. ἄκρατον γὰρ ψεῦδος ἀπίθανον. ἀλλ' εἰποῦσα ναὶ, τὸ ψεῦδος πεποίηκεν ἀξιόπιστον. ἐπήνεγκε γὰρ, ὡς τήνδε τὴν ὁδὸν ἀνε-
H χώρησαν. ἡ γὰρ ἐξ ἀρχῆς ἄρνησις ἐκίνει πρὸς ἔρευναν.

(1) Ἐντείλῃ. αἱ εἰρημ. ἐκδόσ.
(2) Υἱὸς Ναυῆ ἐκ Σαττίν. αἱ αὐτ.
(3) Τὸ, καὶ, οὐ κεῖται ἐν ταῖς εἰρημ. ἐκδόσ.

ϛ. Αὕτη δὲ ἀνεβίβασεν αὐτοὺς ἐπὶ
τὸ δῶμα, καὶ ἔκρυψεν αὐτοὺς ἐν τοῖς
ξύλοις τῆς λινοκαλάμης τῆς ἐστοι-
βασμένης αὐτῇ ἐπὶ τοῦ δώματος.

* ΩΡΙΓΕΝΟΥΣ. Τοῖς ξύλοις αὐτοὺς
ἔκρυψε τῆς λινοκαλάμης, οἷς εἶχεν ἐπὶ τοῦ
δώματος, ἑτοιμάζουσα ἐργάζεσθαι τὴν βύσ-
σον αὐτοῖς, ὡς ἀξίοις οὖσιν ἐνδύματος ἀρ-
χιερατικοῦ. ἡ γὰρ λινοκαλάμη ποιεῖ τὴν
βύσσον, ἐξ ἧς τὸ ἱερατικὸν ἔνδυμα γίνεται.

** ΠΡΟΚΟΠΙΟΥ. Τύπος ὄντως τῆς
Ἐκκλησίας, ἣ πρότερον πορνείᾳ τῇ τῶν
Τίτ. 3. 3. " Δαιμόνων ἐφέρετο, κατὰ τὸ, ἦμεν γάρ
" ποτε καὶ ἡμεῖς ἀπειθεῖς, καὶ τοὺς Χριστοῦ τοὺς
κατασκόπους Ἀποστόλους ἐδέξατο, ἑτοιμά-
ζοντας Κυρίῳ λαὸν κατεσκευασμένον, καὶ
ἐπὶ τὸ δῶμα τούτους ἀνήγαγεν. οὐδεὶς γὰρ
κατάσκοπος Ἰησοῦ δύναται εἶναι χαμαὶ,
οὐδὲ μεῖναι κάτω. καὶ εἰ μέλλοιμεν αὐτοὺς
ὑποδέξασθαι, τελείαν οἰκοδομητέον οἰκίαν,
ἔχουσαν δῶμα καὶ στέφανον, ἵνα ὑποδέξασθαι
τούτους δυνώμεθα, καὶ ἀναβιβάσαι ἄνω.

** ΝΕΙΛΟΥ. Ἐὰν τὸν στέφανον ἐπι-
θῶμεν τῷ δώματι τῆς καλῆς πολιτείας,
δυνησόμεθα πάντως καθ᾽ ὁμοίωσιν τῆς πι-
στοτάτης Ῥαὰβ οὐχὶ κάτω που, ἀλλὰ ἄνω
μᾶλλον ὑποδέξασθαι καὶ ξενίσαι τοὺς Ἀγ-
γέλους τοῦ Ἰησοῦ· ἀληθέστερον δὲ λέξω, αὐ-
τὸν ξενοδοχῆσαι Ἰησοῦν Χριστὸν, τὸν τῶν
Ἀγγέλων δεσπότην.

ζ. Καὶ οἱ ἄνδρες κατεδίωξαν αὐ-
τῶν ὀπίσω ὁδὸν τὴν ἐπὶ τοῦ Ἰορδάνου
ἐπὶ τὰς διαβάσεις, καὶ ἡ πύλη ἐκ-
η. λείσθη. Καὶ ἐγένετο ὡς ἐξῆλθον οἱ
καταδιώκοντες ὀπίσω αὐτῶν, καὶ αὐτοὶ
δὲ πρὶν ἢ κοιμηθῆναι αὐτοὺς, καὶ αὐτὴ
ἀνέβη ἐπὶ τὸ δῶμα πρὸς αὐτοὺς,

θ. Καὶ εἶπε τοῖς ἀνδράσιν, ἐπίστα-
μαι, ὅτι παρέδωκεν ὁ Θεὸς ὑμῖν τὴν
γῆν· ἐπιπέπτωκε γὰρ ὁ φόβος ὑμῶν
ἐφ᾽ ἡμᾶς.

** ΠΡΟΚΟΠΙΟΥ. Προφῆτις ἀντὶ
" πόρνης ἐγένετο, ἐπίσταμαι λέγουσα, ὅτι Κύ-
" ριος ὁ Θεὸς ὑμῶν παρέδωκε τὴν γῆν ταύ-
" την ὑμῖν.

ι. Ἀκηκόαμεν γὰρ ὅτι κατεξήρα-
νε Κύριος ὁ Θεὸς τὴν ἐρυθρὰν θά-
λασσαν ἀπὸ προσώπου ὑμῶν, ὅτε ἐξε-
πορεύεσθε ἐκ γῆς Αἰγύπτου· καὶ ὅσα
ἐποίησε τοῖς δυσὶ βασιλεῦσι τῶν Ἀ-
μοῤῥαίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου,
τῷ Σηὼν καὶ τῷ Ὢγ, οὓς ἐξωλοθρεύ-
ια. σατε αὐτούς. Καὶ ἀκούσαντες ἡμεῖς
ἐξέστημεν τῇ καρδίᾳ ἡμῶν, καὶ οὐκ ἔστιν
ἔτι πνεῦμα ἐν οὐδενὶ ἀπὸ προσώπου
ὑμῶν· ὅτι Κύριος ὁ Θεὸς ὑμῶν, Θεὸς
ἐν οὐρανῷ ἄνω καὶ ἐπὶ γῆς κάτω.

** ΠΡΟΚΟΠΙΟΥ. Κύριον ὁμολογεῖ
Δευτ. 6. 4. τὸν Θεὸν, κατὰ τὸ, Κύριος ὁ Θεός σου, Κύ-
A " ριος εἷς ἐστίν. ὅπερ ὁ Ἰσραὴλ ἐκ τοῦ ἐν τῷ
Σινᾷ φανέντος ἀκούσαντες ἐκ μέσου φθεγ-
γομένου πυρὸς, αὐτίκα παρέβησαν μοσχο-
" ποιήσαντες, καὶ οὗτοι φήσαντες οἱ Θεοί σου Ἐξόδ. 32. 4
Ἰσραήλ· αὕτη δὲ οἷά τις μαργαρίτης ἐν
βορβόρῳ κρυπτόμενος, οὐ Θεοῖς ἐπιγράφει
" τὴν ἔξοδον Ἰσραὴλ, ἀλλ᾽ ἠκούσαμεν οἷα Κύ-
" ριος ὁ Θεὸς ὑμῶν ἐποίησε τοῖς Αἰγυπτίοις.
καὶ ὃ μὴ παρέλαβε δι᾽ ἀκοῆς, ἐκ Θεοῦ διὰ
πίστεως ἥρπασε.

B ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἔγνωμεν ὅσα
ἐποίησεν ὁ Θεὸς ὑμῶν τοῖς Αἰγυπτίοις· ὁ
" Ἰουδαῖος λέγει· οὗτοι οἱ Θεοί σου οἱ ἐξαγα- Ἐξόδ. 32.
" γόντες σε ἐκ γῆς Αἰγύπτου, καὶ ἡ πόρνη, οὐ
Θεοῖς ἀλλὰ Θεῷ ἐπιγράφει τὴν σωτηρίαν.
ἔγνωμεν ὅσα ὁ Θεὸς ἐποίησε τοῖς Αἰγυ-
πτίοις ἐν τῇ ἐρήμῳ, καὶ ἠκούσαμεν, καὶ ἐτά-
κη ἡμῶν ἡ καρδία, καὶ ἰσχὺς ἐν ἡμῖν οὐκ ἔστιν.
ἔγνωμεν ὅσα ὁ Θεὸς ὑμῶν ἐποίησε. βλέ-
πεις πῶς ἀναλαμβάνει τοῦ νομοθέτου τὸ ῥῆ-
Γ " μα διὰ πίστεως; καὶ οἶδα, ὅτι ὁ Θεὸς ὑμῶν
" ἐν τῷ οὐρανῷ ἄνω, καὶ ἐν τῇ γῇ κάτω, καὶ
" πλὴν αὐτοῦ Θεὸς οὐκ ἔστιν. εἰκὼν τῆς Ἐκ-
κλησίας ἡ Ῥαὰβ τῆς ποτὲ πεφυρμένης τῇ
πορνείᾳ τῶν Δαιμόνων, δεχομένης δὲ νῦν
τοὺς τοῦ Χριστοῦ κατασκόπους, οὐ τοὺς παρὰ
Ἰησοῦ τοῦ Ναυῆ, ἀλλὰ τοὺς Ἀποστόλους τοὺς
παρὰ Ἰησοῦ τοῦ ἀληθινοῦ σωτῆρος ἀπεσταλ-
" μένους. ἔγνων φησὶν, ὅτι ὁ Θεὸς ὑμῶν ἐν
" τῷ οὐρανῷ ἄνω καὶ ἐν τῇ γῇ κάτω, καὶ
Δ " πλὴν αὐτοῦ Θεὸς οὐκ ἔστι. ταῦτα παρέλα-
βον οἱ Ἰουδαῖοι, καὶ οὐκ ἐφύλαξαν· ταῦτα
ἤκουσεν ἡ Ἐκκλησία, καὶ διετήρησεν. ἀξία
τοίνυν ἐπαίνου παντὸς Ῥαὰβ ἡ εἰκὼν τῆς
Ἐκκλησίας. διὰ τοῦτο καὶ ὁ γενναῖος Παῦ-
λος καταμαθὼν αὐτῆς τὸ ἀξίωμα τῆς πί-
στεως, καὶ οὐκ ἀδόκιμον ἡγησάμενος διὰ τὴν
προτέραν κατάστασιν, ἀλλὰ δόκιμον διὰ τὴν
ἔνθεον μεταβολὴν, συναριθμεῖ αὐτὴν τοῖς
ἁγίοις πᾶσι.

E ιβ. Καὶ νῦν ὀμόσατέ μοι Κύριον
τὸν Θεὸν ὑμῶν, ὅτι ποιῶ ὑμῖν ἔλεος,
καὶ ποιήσετε καὶ ὑμεῖς ἔλεος ἐν τῷ
ιγ. οἴκῳ τοῦ πατρός μου. Καὶ ζωγρήσα-
τε τὸν οἶκον τοῦ πατρός μου, καὶ τὴν
μητέρα μου, καὶ τοὺς ἀδελφούς μου, καὶ
τὰς ἀδελφάς μου, καὶ πάντα τὸν οἶ-
κον τοῦ πατρός μου, καὶ πάντα ὅσα
Z ἐστὶν αὐτοῖς, καὶ ἐξελεῖσθε τὴν ψυχήν
ιδ. μου ἐκ θανάτου. Καὶ εἶπαν αὐτῇ οἱ
ἄνδρες, ἡ ψυχὴ ἡμῶν ἀνθ᾽ ὑμῶν εἰς
θάνατον. καὶ αὐτὴ εἶπεν, ὡς ἂν πα-
ραδῷ Κύριος ὑμῖν τὴν πόλιν, ποιή-
σατε ἐπ᾽ ἐμὲ ἔλεος καὶ ἀλήθειαν.

ιε. Καὶ κατεχάλασεν αὐτοὺς διὰ
τῆς θυρίδος.

H ΩΡΙΓΕΝΟΥΣ. Ἰστέον, ὅτι ὁ οἶκος αὐ-
τῆς ἐν τῷ τείχει ἦν. ἀδελφὰ τῆς πα-
λαιᾶς τὰ νέα. ὅμοιον γάρ ἐστι τὸ ἐπὶ τοῦ
Παύλου, ὅτε ἐχάλασαν αὐτὸν ἐν σαργάνῃ
διὰ τοῦ τείχους.

ΤΟΥ

ΤΟΥ ΑΥΤΟΥ. (1) Ὁ Ἀπόστολος δεύτερον ἐσώθη ἀπὸ τῶν ἐχθρῶν ὁμοιοτρόπως, ὥς φησιν ἐν τῇ δευτέρᾳ πρὸς Κορινθίους [αὐτοῦ ἐπιστολῇ·] (2. Κορ. 11. 33.) » καὶ διὰ θυρίδος ἐν σαργάνῃ ἐχαλάσθην, καὶ ἐξέφυγον. » πάλιν ἐν ταῖς Πράξεσι· (Πράξ. 9. 24. 25.) » παρετηροῦντο δὲ καὶ τὰς πύλας ἡμέρας καὶ νυκτὸς, ὅπως αὐτὸν ἀνέλωσι. λαβόντες δὲ αὐτὸν οἱ μαθηταὶ νυκτὸς, τοῦ τείχους καθῆκαν, χαλάσαντες ἐν σπυρίδι. »

A

B

ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐχάλασεν αὐτοὺς ἐν σχοινίῳ διὰ τῆς θυρίδος· ὅτι ὁ οἶκος αὐτῆς ἐν τῷ τείχει, καὶ ἐν τῷ τείχει αὐτὴ ἐκάθητο. τεῖχος Ἱεριχοῦς τῆς ἀσεβείας αὐτῆς τὸ ὀχύρωμα, ἐφ᾽ ᾧ Ῥαὰβ ἐκαθέζετο· ἀλλὰ πιστεύσασα, εὐάλωτον αὐτῆς ἀπέδειξε τὸ ὀχύρωμα.

ις. Καὶ εἶπεν αὐτοῖς, εἰς τὴν ὀρεινὴν ἀπέλθετε, μὴ συναντήσωσιν ὑμῖν οἱ καταδιώκοντες, καὶ κρυβήσεσθε ἐκεῖ τρεῖς ἡμέρας, ἕως ἂν ἐπιστρέψωσιν οἱ καταδιώκοντες ὀπίσω ὑμῶν, καὶ μετὰ ταῦτα ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν.

Γ

ΠΡΟΚΟΠΙΟΥ. Ἄξια τοῦ θείου συνεβούλευε πνεύματος· » πορεύεσθε εἰς τὴν ὀρεινήν. διὸ θαυμάζων αὐτὴν ὁ Παῦλός φησι, (Ἑβρ. 11. 31.) πίστει Ῥαὰβ ἡ πόρνη οὐ συναπώλετο τοῖς » ἀπειθήσασι, δεξαμένη τοὺς κατασκόπους, πᾶσιν αὐτὴν τοῖς ἁγίοις συναριθμήσας.

Δ

ΤΟΥ ΑΥΤΟΥ. Ὠφεληθεῖσα γὰρ, τὰ ὑψηλὰ μεταδιώκειν ὑπέθετο καταλιποῦσι τῆς ἀσεβείας τὰ χαμαίζηλα δόγματα. καὶ ὁ Δαβὶδ δέ φησιν, (Ψαλ. 120. 1.) ἦρα τοὺς ὀφθαλμούς μου εἰς τὰ ὄρη, πόθεν ἥξει ἡ βοή» θειά μου· καὶ Ἡσαΐας, (Ἡσ. 40. 9.) ἐπ᾽ ὄρος ὑψηλὸν » ἀνάβηθι ὁ εὐαγγελιζόμενος τὴν Σιὼν, ὑψώ» σατε, μὴ φοβεῖσθε. οὐκ ἐφ᾽ ἓν δὲ ὄρος φεύγειν, ἀλλ᾽ ἐπὶ πάντα, τοὺς ἁγίους Προφήτας καὶ Ἀποστόλους, μὴ καὶ συναντήσωσιν ἡμῖν οἱ τοῦ βασιλέως Ἱεριχοῦς τοῦ κόσμου τούτου ἄρχοντες. διὸ φευκτέον ἐπὶ τὴν ὀρεινὴν, πάντα ἔχοντας ἄνω. ταύτην οὐκ ἴσασι τὴν ὁδὸν οἱ διώκοντες ἡμᾶς. (3. Βασ. 20. 28.) ὀρῶν γάρ ἐστιν » ὁ Θεὸς τοῦ Ἰσραὴλ, καὶ οὐ κοιλάδων. ὅθεν οὐκ ἀναβήσονται εἰς τὰ ὄρη· ἐπὶ δὲ τὴν προτέραν ἀναστρέψουσι πλάνην. καὶ οὕτω φησὶν ὑμεῖς ἀπελεύσεσθε τὴν ὁδὸν ὑμῶν, (Ἰωάν. 14. 6.) τὸν εἰπόντα· ἐγώ εἰμι ἡ ὁδὸς, δι᾽ ἧς ὁδεύων τὶς, τὴν ἁγίαν Τριάδα θεάσεται.

E

» ΑΔΗΛΟΥ. Ἀπελεύσεσθε εἰς τὴν ὁδὸν ὑμῶν. Τὴν εἰς Χριστὸν ἄγουσαν ὁδὸν λέγει.

ιζ. Καὶ εἶπαν οἱ ἄνδρες πρὸς αὐτὴν, ἀθῶοι ἐσμὲν τῷ ὅρκῳ σου τούτῳ.

Z

ιη. Ἰδοὺ ἡμεῖς εἰσπορευόμεθα εἰς μέρος τῆς πόλεως, καὶ θήσεις τὸ σημεῖον, τὸ σπαρτίον τὸ κόκκινον τοῦτο ἐκδήσεις εἰς τὴν θυρίδα δι᾽ ἧς κατεβίβασας ἡμᾶς δι᾽ αὐτῆς. καὶ τὸν πατέρα σου, καὶ τὴν μητέρα σου, καὶ τοὺς ἀδελφούς σου, καὶ πάντα τὸν οἶκον τοῦ πατρός σου συνάξεις πρὸς ἑαυτὴν (2) εἰς τὴν οἰκίαν σου.

H

ΑΔΗΛΟΥ. Ἰδοὺ σὺ ἐκ πάσης τῆς πόλεως ἐμερίσθης πρὸς σωτηρίαν, τὴν εἴσοδον ἡμῶν ὑποδεξαμένη. λοιπὸν οὖν τὸ τέλειον, ὅ ἐστι τὸ πάθος, παρατιθέμεθά σοι.

ΙΟΥΣΤΙΝΟΥ. Τὸ σύμβολον τοῦ κοκκίνου σπαρτίου, ὃ ἔδωκαν ἐν Ἱεριχῷ οἱ ἀπὸ Ἰησοῦ τοῦ Ναυῆ πεμφθέντες κατάσκοποι Ῥαὰβ τῇ πόρνῃ, εἰπόντες προσδῆσαι αὐτὸ τῇ θυρίδι ἧς αὐτοὺς ἐχάλασεν, ὅπως λάθωσι τοὺς πολεμίους, ὁμοίως τὸ σύμβολον τοῦ αἵματος τοῦ Χριστοῦ ἐδήλου· δι᾽ οὗ οἱ πάλαι πόρνοι καὶ ἄδικοι ἐκ πάντων τῶν ἐθνῶν σώζονται, ἄφεσιν ἁμαρτιῶν λαβόντες, καὶ μηκέτι ἁμαρτάνοντες.

ΠΡΟΚΟΠΙΟΥ. Μισθὸν πανοικὶ τὴν σωτηρίαν ἐδέξατο τῷ σημείῳ τοῦ κοκκίνου πιστεύσασα, τοῦ Χριστοῦ τὸ αἷμα σημαίνοντι. » ὃ μὴ δεξαμένοις Φαρισαίοις, φησίν· οἱ τε» λῶναι καὶ πόρναι προάγουσιν ὑμᾶς εἰς τὴν » βασιλείαν τῶν οὐρανῶν. (Ματθ. 21. 31.) ἔοικε δὲ τοῦτο τὸ κόκκινον τῷ ἐπιδεθέντι τῇ χειρὶ τοῦ .. (3)

ΤΟΥ ΑΥΤΟΥ. Τὸ δὲ σπαρτίον τὸ ἔντριτον οὐ διαῤῥαγήσεται, δι᾽ οὗ καὶ διέδρασαν οἱ κατάσκοποι. δι᾽ οὗ σχοινίου καὶ τὸν Ἰωσὴφ ἐκ τοῦ λάκκου ἀνήγαγον, Ἱερεμίαν τε καὶ τὸν Δανιήλ· δι᾽ οὗ καὶ Δαβὶδ διὰ θυρίδος ἔφυγε χαλασθεὶς, καὶ Παῦλος διὰ σαργάνης ἐν Δαμασκῷ· οἵ τε Πατριάρχαι πάντες διὰ τούτου τὸ ζῶν ὕδωρ ἐκ τῶν φρεάτων ἀνέφερον.

ΤΟΥ ΑΥΤΟΥ. Τούτοις ὅμοια καὶ Μωϋσῆς ἐνετείλατο χρῖσαι τῷ αἵματι σταθμοὺς καὶ φλιὰς, καὶ μὴ ἐξιέναι μηδένα τῆς θύρας, ὅπως φύγωσι τὸν ὀλοθρεύοντα. κἀκεῖ γὰρ τὴν Ἐκκλησίαν ἐτύπου, ὡς κἀνταῦθα διὰ τῆς οἰκίας Ῥαὰβ, ἐν ᾗ ὡς ἐν τύπῳ καὶ τὸ ἐν Αἰγύπτῳ ἐθύετο πρόβατον. καὶ νῦν τῆς πίστεως ἡ ὁμολογία διὰ τοῦ σπαρτίου σημαίνεται.

ΘΕΟΔΩΡΙΤΟΥ. Καθάπερ δὲ οἱ παρὰ τοῦ Ἰησοῦ τοῦ Ναυῆ πεμφθέντες κατάσκοποι τὴν πεπιστευκυῖαν διέσωσαν πόρνην, σύμβολον αὐτῇ δεδωκότες σωτηρίας τὸ σπαρτίον τὸ κόκκινον· οὕτως οἱ τοῦ Σωτῆρος ἡμῶν Ἀπόστολοι τὴν πάλαι πόρνην, τὴν διαφόροις εἰδώλοις ἀνακειμένην Ἐκκλησίαν, καὶ τῆς προτέρας ἀκολασίας ἀπέστησαν, καὶ τῶν αἰωνίων ἠξίωσαν ἀγαθῶν, οὐ σπαρτίῳ κοκκίνῳ συμβόλῳ χρησάμενοι, ἀλλὰ τῷ παναγίῳ αἵματι τὴν σωτηρίαν πραγματευσάμενοι. ἀλλὰ μηδεὶς νομιζέτω ἀνάξιον εἶναι τῆς Ἐκκλησίας τῆς Ῥαὰβ τὸν » τύπον· ἀκουσάτω δὲ τοῦ Ἀποστόλου, λέγον» τος· ἦμεν γάρ ποτε καὶ ἡμεῖς ἀνόητοι, (Τίτ. 3. 3.) » ἀπειθεῖς, πλανώμενοι, δουλεύοντες ἐπιθυμίαις

(1) Ἄλλος γράφει ἑκάτερ. τῶν κωδίκ. τοῦ αὐτοῦ δὲ ὁ 2. τοῦ Ὠριγ. Τόμ. ἐν σελ. 394. τῆς τοῦ Ῥου. ἐκδόσ.

(2) Σεαυτήν. αἱ εἰρημ. ἐκδόσ.

(3) Λείπει. ἐννοητέον δὲ πάντως, τοῦ Κυρίου Ἰησοῦ Χριστοῦ.

» μίαις καὶ ἡδοναῖς ποικίλαις, ἐν κακίᾳ καὶ
» φθόνῳ διάγοντες, στυγητοὶ, μισοῦντες ἀλ-
Γαλ. 4. 8. » λήλους. καὶ πάλιν, ἀλλὰ τότε μὲν οὐκ εἰδό-
» τες Θεὸν, ἐδουλεύετε τοῖς μὴ οὖσι φύσει
Ἐφεσ. 5. 8. Θεοῖς. καὶ ἀλλαχοῦ, ἦτε γάρ φησί ποτε
σκότος, νῦν δὲ φῶς ἐν Κυρίῳ. καὶ ἑτέρω-
1. Κορ. 6. 9, θι, μὴ πλανᾶσθε· οὔτε πόρνοι, οὔτε μοιχοὶ,
10, 11. » οὔτε μαλακοὶ, οὔτε ἀρσενοκοῖται, οὔτε εἰδω-
» λολάτραι, οὔτε πλεονέκται, οὔτε κλέπται,
» οὔτε λοίδοροι, οὐ μέθυσοι, οὐχ ἅρπαγες βα-
» σιλείαν Θεοῦ κληρονομήσουσιν. εἶτα ἐπήγα-
» γε, καὶ ταῦτα τινὲς ἦτε· ἀλλ' ἀπελούσα-
» σθε, ἀλλ' ἡγιάσθητε, ἀλλ' ἐδικαιώθητε ἐν
» τῷ ὀνόματι τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ,
» καὶ ἐν τῷ πνεύματι τοῦ Θεοῦ ἡμῶν. οὕτω καὶ
Ῥαὰβ πόρνη τὸ πρότερον οὖσα, ὑπεδέξατο
δὲ τοὺς κατασκόπους πιστῶς, καὶ βασιλέως
τούτους παραδοθῆναι προσεταχότος, οὐκ
εἶξεν, ἀλλὰ κατέκρυψεν. ἐπίστευσε γὰρ τῷ
τῶν Ἑβραίων Θεῷ. καὶ δηλοῖ τὴν πίστιν τὰ
» ῥήματα· ἐπίσταμαι γὰρ ἔφη, ὅτι παρέδω-
» κεν ὁ Θεὸς ὑμῶν τὴν γῆν. ἐπιπέπτωκε
» γὰρ ὁ φόβος ὑμῶν ἐφ' ἡμᾶς. ἀκηκόαμεν
» γὰρ ὅτι κατεξήρανε Κύριος ὁ Θεὸς τὴν θά-
» λασσαν τὴν ἐρυθρὰν πρὸ προσώπου ὑμῶν,
» ὅτε ἐξεπορεύεσθε ἐξ Αἰγύπτου· καὶ ὅσα ἐποίη-
» σε τοῖς δυσὶ βασιλεῦσι τῶν Ἀμοῤῥαίων, οἳ
» ἦσαν πέραν τοῦ Ἰορδάνου, Σηὼν καὶ Ὢγ,
» οὓς ἐξωλοθρεύσατε. καὶ ἀκούσαντες ἡμεῖς
» ἐξέστημεν τῇ καρδίᾳ ἡμῶν, καὶ οὐκ ἔστι πνεῦ-
» μα ἐν οὐδενὶ ἀπὸ προσώπου ὑμῶν· ὅτι Κύ-
» ριος ὁ Θεὸς ὑμῶν, Θεὸς ἐν οὐρανῷ ἄνω, καὶ
» Θεὸς ἐπὶ τῆς γῆς κάτω. ἀληθὴς ἄρα ὁ
λόγος ἐκεῖνος, ὃν ὁ δεσπότης Θεὸς περὶ τοῦ
Ἐξόδ. 9. 16. Φαραὼ ἔφη· εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε,
» ὅπως ἐνδείξωμαι ἐν σοὶ τὴν δύναμίν μου,
» καὶ ὅπως διαγγελῇ τὸ ὄνομά μου ἐν πάσῃ
τῇ γῇ. διὰ γὰρ τῶν εἰς ἐκεῖνον γεγενημένων, δῆλος ἅπασι γέγονεν ὁ τῶν Ἑβραίων Θεός.

ιθ. Καὶ ἔσται πᾶς ὃς ἂν ἐξέλθῃ τὴν θύραν τῆς οἰκίας σου ἔξω, ἔνοχος ἑαυτῷ ἔσται, ἡμεῖς δὲ ἀθῷοι τῷ ὅρκῳ σου τούτῳ· καὶ ὅσοι ἂν γένωνται μετὰ σοῦ ἐν τῇ οἰκίᾳ σου, ἡμεῖς ἔνοχοι ἐσόμεθα.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ αἱ συνθῆκαι δὲ τῶν κατασκόπων σφόδρα τῇ ἀληθείᾳ συμβαίνουσι. πᾶς γὰρ, ἔφασαν, ὃς ἂν ἐξέλθῃ
» τὴν θύραν τῆς οἰκίας σου ἔξω, ἔνοχος ἑαυ-
» τῷ ἔσται, ἡμεῖς δὲ ἀθῷοι τῷ λόγῳ σου τούτῳ.
καὶ ἡμῖν δὲ ἡ σωτηρία διὰ τῆς Ἐκκλησίας προσγίνεται. οἱ δὲ ταύτης ἐκτὸς οὐκ ἀπολαύουσι τῆς αἰωνίου ζωῆς.

A ** ΠΡΟΚΟΠΙΟΥ. Πᾶς οὖν πιστὸς ἐν τῇ μάνδρᾳ τῶν προβάτων μενέτω, τῷ σημείῳ τῷ τοῦ Χριστοῦ σφραγιζόμενος. ἐξιὼν γάρ τις, ἔνοχος ἑαυτῷ γίνεται. τοιαῦτα καὶ Παῦλος ἐν Μιλήτῳ τοῖς πρεσβυτέροις Ἐφέ-
» σου φησί· διὸ μαρτύρομαι ὑμῖν ἐν τῇ σήμε- Πράξ. 20. 26.
» ρον ἡμέρᾳ, ὅτι καθαρός εἰμι ἀπὸ τοῦ πάν-
» των αἵματος, καὶ τὰ ἑξῆς.

B κ. Ἐὰν δέ τις ἡμᾶς ἀδικήσῃ ἢ καὶ ἀποκαλύψῃ τοὺς λόγους ἡμῶν τούτους, ἐσόμεθα ἀθῷοι τῷ ὅρκῳ τούτῳ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀδικοῦνται γὰρ οἱ τῆς Ἐκκλησίας διδάσκαλοι, τῶν μαθητῶν ἐκλαλούντων τὰ τῶν δογμάτων ἀπόῤῥητα. ῥίπτουσι γὰρ τοὺς μαργαρίτας ἔμπροσθεν τῶν χοίρων. διὸ καὶ πρὸς Τιμόθεον ἐπιστέλ-
» λων ὁ Παῦλος τὸ δεύτερον, ἔλεγεν· ἃ ἤκου- 2. Τιμ. 2. 2.
» σας παρ' ἐμοῦ μετὰ πολλῶν μαρτύρων, ταῦ-
» τα παράθου πιστοῖς ἀνθρώποις, δηλαδὴ τοῖς
Γ διὰ τὴν ἕξιν τὰ αἰσθητήρια γεγυμνασμένα ἔχουσι πρὸς διάκρισιν καλοῦ τε καὶ κακοῦ.

κα. Καὶ εἶπεν αὐτοῖς, κατὰ τὸ ῥῆμα ὑμῶν οὕτως ἔσω. καὶ ἐξαπέστειλεν αὐτοὺς, καὶ ἐπορεύθησαν.

κβ. Καὶ ἤλθοσαν εἰς τὴν ὀρεινὴν, καὶ κατέμειναν ἐκεῖ τρεῖς ἡμέρας. καὶ ἐξεζήτησαν οἱ καταδιώκοντες πάσας
Δ τὰς ὁδοὺς, καὶ οὐχ εὗρον.

ΩΡΙΓΕΝΟΥΣ. Οὐχ ὅτι τριῶν ἡμερῶν ἦν ἡ ὁδός· πάνυ γὰρ πλησίον ὁ Ἰορδάνης τῆς Ἱεριχώ· ἀλλὰ διὰ τὴν τῶν κατασκό-
» πων ἀκριβῆ ἐξέτασιν. ἐζήτησαν γάρ φη-
» σιν οἱ καταδιώκοντες πάσας τὰς ὁδοὺς, καὶ
» οὐχ εὗρον.

κγ. Καὶ ὑπέστρεψαν οἱ δύο νεανίσκοι, καὶ κατέβησαν ἐκ τοῦ ὄρους·
E καὶ διέβησαν πρὸς Ἰησοῦν υἱὸν Ναυῆ, καὶ διηγήσαντο αὐτῷ πάντα τὰ συμβεβηκότα αὐτοῖς.

** ΠΡΟΚΟΠΙΟΥ. Ταῦτα βεβαιωσάμενοι παρὰ τῆς Ῥαὰβ οἱ κατάσκοποι, ὑποστρέψαντες ἀπήγγειλαν τὰ συμβεβηκότα τῷ Ἰησοῦ. ὡς καὶ Παῦλος καὶ Βαρνάβας ἐλ-
» θόντες εἰς Ἀντιόχειαν πάντα ἔλεγον, καὶ ὡς Πράξ. 14. 27.
» ἤνοιξε τοῖς ἔθνεσιν ὁ Θεὸς θύραν πίστεως.

Z κδ. Καὶ εἶπαν πρὸς Ἰησοῦν, ὅτι παρέδωκε Κύριος ὁ Θεὸς ἡμῶν πᾶσαν τὴν γῆν ἐν χειρὶ ἡμῶν, καὶ κατέπληξε πᾶς ὁ κατοικῶν τὴν γῆν ἐκείνην ἀφ' ἡμῶν.



ΚΕΦ.

ΚΕΦ. Γ.

α. Καὶ ὤρθρισεν Ἰησοῦς τὸ πρωΐ,
καὶ ἀπῆρεν ἐκ Σάττειν, καὶ
ἦλθοσαν ἕως τοῦ Ἰορδάνου,
καὶ κατέλυσαν ἐκεῖ πρὸ τοῦ διαβῆναι.
β. Καὶ ἐγένετο μετὰ τρεῖς ἡμέρας διῆλ-
θον οἱ γραμματεῖς διὰ τῆς παρεμ-
γ. βολῆς, Καὶ ἐνετείλαντο τῷ λαῷ,
λέγοντες, ὅταν ἴδητε τὴν κιβωτὸν
τῆς διαθήκης Κυρίου τοῦ Θεοῦ ἡμῶν καὶ
τοὺς ἱερεῖς ἡμῶν καὶ τοὺς Λευΐτας τοὺς
αἴροντας αὐτήν, ἀπαρεῖτε ἀπὸ τῶν
τόπων ὑμῶν, καὶ πορεύσεσθε ὀπίσω
αὐτῆς.

δ. Ἀλλὰ μακρὰν ἔσω ἀναμέσον
ὑμῶν καὶ ἐκείνης, ὅσον δισχιλίους πή-
χεις στήσεσθε· μὴ προσεγγίσητε αὐτῇ,
ἵνα ἐπιστήσησθε (1) τὴν ὁδόν, ἣν πο-
ρεύεσθε αὐτήν· οὐ γὰρ πεπόρευσθε τὴν
ὁδὸν ἀπ' ἐχθὲς καὶ τρίτης ἡμέρας.

ΑΔΗΛΟΥ. Σημαίνει ὁ τύπος, ὅτι οὐκ
εὐθὺς καὶ παρὰ πόδας μέλλει τελεῖσθαι τὸ
τῆς οἰκονομίας μυστήριον. δισχιλίους δὲ πή-
χεις νοητέον δύω τελείας περιόδους. μὴ
προσεγγίσητε δέ, ἕως οὗ βουληθῶσιν οἱ ἱε-
ρεῖς καὶ οἱ Λευΐται παριστᾶν ὑμᾶς πρὸς τὰ
θεῖα μυσταγωγοῦντες. οὐ γὰρ δυνατοὶ οἱ κατ'
ἐκεῖνο καιροῦ τὴν εὐαγγελικὴν πολιτείαν
πληροῦν, μὴ πρότερον χρόνῳ πολλῷ παι-
δαγωγηθέντες ὑπὸ τοῦ νόμου.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἵνα ἐπίστησθε τὴν
» ὁδόν, ἣν πορεύσησθε ἐν αὐτῇ. Αἰτίαν ἀπο-
δίδωσιν οὐ πρὸς τὸ προσεχὲς τὸ μὴ δεῖν
πλησιάζειν, ἀλλὰ πρὸς τὸ περιμεῖναι μέ-
χρι διελθοῦσα τούτοις ὁδοποιήσειεν ἡ κιβω-
τός, διαιρουμένου τοῦ ὕδατος. ἐπὶ μὲν οὖν
Μωϋσέως ἄγοντος διὰ θαλάττης, ὕδατος
ἁλμυροῦ, οὐδεμία τάξις ἐγίνετο, ἣν νῦν ὁρῶ-
μεν, Ἰησοῦ στρατηγήσαντος, καὶ τοῦ Κυρίου
πληροῦντος τὸ σύμβολον. Καὶ μεθ' ἕτερα. Δι-
σχίλιοι δὲ πήχεις, φασί, δύω περιόδους ση-
μαίνουσι, τὴν μὲν κατηχήσεως, τὴν δὲ τῆς
χρίσεως, καθ' ἣν ἀλείφονται κατὰ πά-
σης ἀντικειμένης δυνάμεως, βατὸν αὐτοῖς
τὸ ὕδωρ ποιούμενοι. δύνανται δὲ σημαίνειν
καὶ τὸν τῶν ἐτῶν ἀριθμόν, περί που δισχι-
λίων ὄντων μέχρι τὸ Χριστοῦ δειχθείη μυ-
στήριον, φανέντος ἡμῖν ἐν σαρκί. ὃν καὶ τῷ
τῆς δυάδος ὑλικωτέρῳ καὶ ἀκαθάρτῳ πα-
ρέστησεν ἀριθμῷ.

ε. Καὶ εἶπεν Ἰησοῦς τῷ λαῷ, ἁγνί-
σασθε εἰς τὴν αὔριον, ὅτι αὔριον ποιή-
σει Κύριος ἐν ὑμῖν θαυμάσια.

** ΠΡΟΚΟΠΙΟΥ. Προτελεῖσθαι γὰρ
δεῖ καὶ προκαθαίρεσθαι τοὺς μέλλοντας θεω-
ρεῖν τὰ θαυμάσια τοῦ Θεοῦ. πῶς γὰρ οὐ
θαυμαστόν, ἀποδύσασθαι μὲν τὸν παλαιὸν
ἄνθρωπον σὺν ταῖς πράξεσιν αὐτοῦ καὶ ἐπι-
θυμίαις, ἐνδύσασθαι δὲ τὸν καινὸν ἄνθρω-
πον τὸν κατὰ Θεὸν κτισθέντα, καὶ τοὺς ἀο-
ράτους ἐχθροὺς νοητῶς ὁρᾷν ἐναποπνιγέν-
τας τῷ ὕδατι; ἀντ' αἴσχους δέ, κάλλος ἀνει-
ληφότας, καὶ πᾶν φρόνημα καταλιπόν-
B τας γεῶδες, πτεροφυεῖν ὡς ἀετούς, καὶ ταῖς
ἁμαρτίαις γηράσαντας ἀνακαινίζεσθαι. καὶ
πεσόντας εἰς γῆν, οὐρανοῦ πολίτας ἐγκα-
ταγράφεσθαι, καὶ ὄντας ἐχθρούς, υἱοθε-
σίας ἀξιωθῆναι; τοιαῦτα κατέδειξεν ὁ τῶν
ψυχῶν ἰατρὸς τὰ θαυμάσια, συνθλάσας
τὰς κεφαλὰς τοῦ δράκοντος ἐπὶ τοῦ ὕδατος,
ἀναγεννήσας ἡμᾶς ὕδατι καὶ πυρί.

ϛ. Καὶ εἶπεν Ἰησοῦς τοῖς ἱερεῦσιν,
Γ ἄρατε τὴν κιβωτὸν τῆς διαθήκης Κυ-
ρίου, καὶ προπορεύεσθε τοῦ λαοῦ. καὶ
ἦραν οἱ ἱερεῖς τὴν κιβωτὸν τῆς δια-
θήκης Κυρίου, καὶ ἐπορεύοντο ἔμπρο-
σθεν τοῦ λαοῦ.

ζ. Καὶ εἶπε Κύριος πρὸς τὸν Ἰη-
σοῦν, ἐν τῇ ἡμέρᾳ ταύτῃ ἄρχομαι
ὑψῶσαί σε κατ' ἐνώπιον πάντων υἱῶν
Ἰσραήλ, ἵνα γνῶσιν ὅτι καθότι ἤμην
Δ μετὰ Μωϋσῆ, οὕτως ἔσομαι καὶ με-
τὰ σοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ τὰ λοιπὰ δὲ τῆς
ἱστορίας προδιέγραψε τὴν ἀλήθειαν. ἡνίκα
γὰρ ἤμελλον διαβαίνειν τὸν Ἰορδάνην, εἶπε
» Κύριος πρὸς Ἰησοῦν· ἐν τῇ ἡμέρᾳ ταύτῃ
» ἄρχομαι ὑψῶσαί σε ἐνώπιον τῶν υἱῶν Ἰσ-
ραήλ. τοῦτο καὶ ἐπὶ τῆς ἀληθείας ἐγένετο.
ὥσπερ γὰρ ὁ τοῦ Ναυῆ Ἰησοῦς ἐκ τοῦ κατὰ
E τὸν Ἰορδάνην θαύματος δῆλος γέγονε θεο-
φιλὴς ὢν ἀνήρ· οὕτως ὁ ἡμέτερος Ἰησοῦς
μετὰ τὸν Ἰορδάνην, καὶ τὸ Ἰωάννου βάπτισ-
μα, τῆς διδασκαλίας καὶ τῶν θαυμάτων
τὴν ἀρχὴν ἐποιήσατο. ἀλλ' ἴσως τισὶν ἀνάρ-
» μοστον εἶναι δοκεῖ τό, ἐν τῇ ἡμέρᾳ ταύτῃ
» ἄρχομαι ὑψῶσαί σε, ἐπὶ τοῦ Κυρίου καὶ σω-
τῆρος ἡμῶν τιθέμενον. ἀλλ' ἀκουσάτωσαν
» αὐτοῦ πρὸς τὸν πατέρα λέγοντος· πάτερ Ἰωάν. 17. 5.
» δόξασόν με τῇ δόξῃ ἣν εἶχον παρὰ σοὶ πρὸ
Z » τοῦ τὸν κόσμον εἶναι· καὶ ὁ Ἀπόστολος δέ
» φησι· διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσε, Φιλιπ. 2. 9.
» καὶ ἐχαρίσατο αὐτῷ ὄνομα τὸ ὑπὲρ πᾶν
ὄνομα. ὑψωθεὶς δὲ οὐκ ἔλαβεν ὃ μὴ εἶχεν,
ἀλλ' ἔδειξεν ὅπερ εἶχεν. ἀγνοούμενος γὰρ
ὅτι υἱός ἐστι τοῦ Θεοῦ τῶν ὅλων, ἐδείχθη τοῦτο
ὤν, τοῦ πατρὸς παρὰ τὸν Ἰορδάνην εἰρη-
» κότος· οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός, ἐν Ματθ. 3. 17.
» ᾧ ηὐδόκησα.

** ΩΡΙΓΕΝΟΥΣ. Τὸ μυστήριον τῆς τοῦ
H πατρὸς πρὸς τὸν υἱὸν οἰκονομίας ἐμφαίνε-
ται ὑπερυψούμενον ὑπ' αὐτοῦ διδόντος χά-
» ρισμα, ἵν' ἐν τῷ ὀνόματι Ἰησοῦ πᾶν γόνυ Φιλιπ. 2. 10,
κάμψῃ 11.

(1) Ἐπίστησθε. οὕτω εἰρημ. ἐκδόσ. καὶ ὁ Προκόπ. ἐν τῷ ἐφεξῆς ὑπομνήμ.

» κάμψῃ ἐπουρανίων, καὶ ἐπιγείων, καὶ κα-
» ταχθονίων· καὶ πᾶσα γλῶσσα ἐξομολο-
» γήσηται ὅτι Κύριος Ἰησοῦς Χριστός, εἰς δό-
» ξαν Θεοῦ πατρός. διὰ γὰρ τούτων δηλοῦται
ἐν τῷ Ἰησοῦ ἀναγεγραμμένῳ ταῦτα· καὶ
» εἶπε Κύριος πρὸς Ἰησοῦν, ἐν τῇ ἡμέρᾳ ταύ-
» τῃ ἄρξομαι ὑψῶσαί σε κατενώπιον τῶν υἱῶν
» Ἰσραήλ.

ΑΔΗΛΟΥ. Πρέποι ἂν τῇ ἀσθενείᾳ τού-
το τῶν ἀκουόντων, τὸ μὴ δοκεῖν ἄλλον εἶναι
τὸν τῆς παλαιᾶς διαθήκης Θεόν, καὶ ἄλ-
λον τῆς καινῆς.

η. Καὶ νῦν ἔντειλε τοῖς ἱερεῦσι
τοῖς αἴρουσι τὴν κιβωτὸν τῆς διαθή-
κης, λέγων, ὡς ἂν εἰσέλθητε ἐπὶ
μέρος τοῦ ὕδατος τοῦ Ἰορδάνου, καὶ ἐν
τῷ Ἰορδάνῃ στήσεσθε.

ΑΔΗΛΟΥ. Βαβαὶ τῶν τούτων τὴν ἀλή-
θειαν. τὸ βάπτισμα τοῦ Κυρίου Ἰησοῦ διὰ τού-
των δηλοῖ ἡμῖν. μέσος γὰρ ἔστη τοῦ Ἰορδά-
νου, καὶ ἐβαπτίζετο ὑπὸ Ἰωάννου.

ΘΕΟΔΩΡΙΤΟΥ. Προτυποῦσι δὲ καὶ οἱ
ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθή-
κης Κυρίου τὸν βαπτιστὴν Ἰωάννην. ἱερεὺς
γὰρ κἀκεῖνος καὶ ἀρχιερέως υἱός. ὥσπερ
τοίνυν τῶν ἱερέων τὴν κιβωτὸν φερόντων,
καὶ πρῶτον εἰς τὸν Ἰορδάνην εἰσεληλυθό-
των, καὶ μετὰ τοῦτο μετὰ Ἰησοῦ τοῦ προ-
φήτου καὶ στρατηγοῦ ἅπας ὁ λαὸς διελήλυ-
θεν, οὕτως Ἰωάννου τοῦ πάνυ βαπτίζειν ἀρ-
ξαμένου, καὶ Ἰησοῦ τοῦ σωτῆρος ἁγιάσαντος
τῶν ὑδάτων τὴν φύσιν, ὁ εὐσεβὴς λαὸς διὰ
τοῦ παναγίου βαπτίσματος εἰς τὴν τῶν οὐρα-
νῶν εἴσεισι βασιλείαν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ὡς ἂν εἰσέλθητε
» ἐπὶ μέρους τοῦ ὕδατος τοῦ Ἰορδάνου, καὶ ἐν
» Ἰορδάνῃ στήσεσθε. Ὁράτωσαν οἱ μεμυημέ-
νοι τοὺς τύπους ὠδίνοντας τὴν ἀλήθειαν.

θ. Καὶ εἶπεν Ἰησοῦς τοῖς υἱοῖς Ἰσ-
ραήλ, προσαγάγετε ὧδε, καὶ ἀκού-
σατε τὸ ῥῆμα τοῦ Θεοῦ ἡμῶν.

ι. Ἐν τούτῳ νῦν γνώσεσθε, ὅτι Κύ-
ριος ζῶν ἐν ὑμῖν, καὶ ὀλοθρεύων ὀλο-
θρεύσει ἀπὸ προσώπου ὑμῶν τὸν Χα-
ναναῖον, καὶ τὸν Ἀμορραῖον, καὶ τὸν
Χετταῖον, καὶ τὸν Γεργεσαῖον, καὶ
Φερεζαῖον, καὶ τὸν Ἐβουσαῖον, καὶ
τὸν Ἐβαῖον. (1)

» ** ΩΡΙΓΕΝΟΥΣ. Ἐν τούτῳ γνώσε-
» σθε, ὅτι Θεὸς ζῶν ἐν ὑμῖν ἐστίν. ἐν γὰρ τῷ
βαπτίσασθαι εἰς Ἰησοῦν γνωσόμεθα ὅτι Θεὸς
ζῶν ἐν ὑμῖν ἐστί.

** ΠΡΟΚΟΠΙΟΥ. Ἡ διάβασις τῆς κι-
βωτοῦ, φησί, σημεῖον ὑμῖν ἔστω τῆς τῶν ἐθ-
νῶν ἀπωλείας· ὡς ἐφ' ἡμῶν τῶν ἀντικει-
μένων δυνάμεων, εἴ τις ἐν Ἰορδάνῃ γένηται
κιβωτὸς τοῦ Θεοῦ, τὰ τῆς πίστεως ἐν ἑαυτῷ
περιέχων μυστήρια, τῆς γεώδους ἀπάρας
κατὰ τοὺς Ἰσραηλίτας σκηνῆς, γεγονὼς τῇ

(1) Ἰεβουσαῖον, καὶ τὸν Εὐαῖον. αἱ εἰρημ. ἐκδόσ.

A διανοίᾳ μετέωρος, ἀνεχόντων ἱερέων, καὶ
προβαδιζόντων τῷ τύπῳ τῶν πράξεων, καὶ
» τῷ ὕδατι βαπτόντων τοὺς πόδας. ὁ γὰρ Ἰωάν. 13. 10.
» λελουμένος οὐ χρείαν ἔχει τοῦ λούσασθαι. ἔστι
» γὰρ ὅλος καθαρός· ἀλλ' ἵνα νίψῃ μόνον
» τοὺς πόδας. καὶ ἡ νύμφη δέ φησιν· ἐνιψά- Ἆσ. 5. 3.
» μην τοὺς πόδας, πῶς μολυνῶ αὐτούς; ὥσπερ
δὲ τῷ ἁμαρτωλῷ πᾶσα ἡ κτίσις πολεμεῖ,
ὡς ἐπὶ τῶν Αἰγυπτίων, οὕτω γίνεται πάντα
τῷ δικαίῳ βατά, ἐρυθρὰν διοδεύοντι θά-
B λατταν, καὶ τὴν ἔρημον τὴν πολλήν, τὴν
ἐξ οὐρανοῦ χορηγουμένῳ τροφήν. καὶ ὁ ἀὴρ
» δὲ τούτῳ βατός, κατὰ τό, ἁρπαγησόμεθα 1. Θεσ. 4. 17.
» ἐν νεφέλαις εἰς ἀέρα. καθόλου γὰρ ἤκουσε,
» μὴ φοβεῖσθαι. ἐὰν γὰρ διέλθῃς διὰ πυ- Ἡσ. 43. 2.
» ρός, φλὸξ οὐ κατακαύσει σε.

ια. Ἰδοὺ ἡ κιβωτὸς τῆς διαθήκης
Κυρίου πάσης τῆς γῆς διαβαίνει τὸν
Ἰορδάνην.

Γ ιβ. Προχειρίσασθε ὑμῖν δώδεκα ἄν-
δρας ἀπὸ τῶν υἱῶν Ἰσραήλ, ἕνα ἀφ'
ἑκάστης φυλῆς.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Τοῦτο δηλονότι ση-
μεῖον τοῦ τύπου, ὅτι οἱ Ἀπόστολοι ὥσπερ θε-
μέλιοι πάντων γενήσονται τῶν ἱερέων, καὶ
τῶν ἀρχόντων.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ μέντοι καὶ οἱ δώ-
δεκα ἄνδρες, καὶ οἱ ἰσάριθμοι λίθοι, τὸν
Δ θεῖον προετύπωσαν τῶν Ἀποστόλων χορόν.
οἱ γὰρ αὐτοὶ καὶ οἰκοδόμοι, καὶ θεμέλιοι.
» οἰκοδομηθέντες [γάρ] φησιν ἐπὶ τῷ θεμε- Ἐφεσ. 2. 20.
» λίῳ τῶν Ἀποστόλων καὶ Προφητῶν. καὶ
» πάλιν ὁ αὐτὸς Ἀπόστολος ἔφη· ἐγὼ ὡς σο- 1. Κορ. 3. 10.
» φὸς ἀρχιτέκτων θεμέλιον τέθεικα.

ιγ. Καὶ ἔσται ὡς ἂν καταπαύσω-
σιν οἱ πόδες τῶν ἱερέων τῶν αἰρόντων
τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου πά-
E σης τῆς γῆς ἐν τῷ ὕδατι τοῦ Ἰορδάνου,
τὸ ὕδωρ τοῦ Ἰορδάνου ἐκλείψει, τὸ δὲ
ιδ. ὕδωρ τὸ καταβαῖνον στήσεται. Καὶ
ἀπῆρεν ὁ λαὸς ἐκ τῶν σκηνωμάτων
αὐτῶν διαβῆναι τὸν Ἰορδάνην, οἱ δὲ
ἱερεῖς ἦραν τὴν κιβωτὸν τῆς διαθή-
κης Κυρίου πρότεροι τοῦ λαοῦ.

ιε. Ὡς δὲ εἰσεπορεύοντο οἱ ἱερεῖς
Z οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθή-
κης Κυρίου ἐπὶ τὸν Ἰορδάνην, καὶ οἱ
πόδες τῶν ἱερέων τῶν αἰρόντων τὴν
κιβωτὸν τῆς διαθήκης Κυρίου ἐβάφη-
σαν εἰς τὸ μέρος τοῦ ὕδατος τοῦ Ἰορ-
δάνου· ὁ δὲ Ἰορδάνης ἐπληροῦτο καθ'
ὅλην τὴν κρηπῖδα αὐτοῦ, ὡσεὶ ἡμέραι
θερισμοῦ πυρῶν.

ΩΡΙΓΕΝΟΥΣ. Τουτέστιν ὡς ἅλω πλή-
H ρες σίτου. οὐ γὰρ μόνον ἐπήγνυτο ὡς ἐν τῇ
ἐρυθρᾷ, ἀλλ' ὡς θημὼν πυροῦ ἐπορεύετο·
εἰς τύπον τῶν Ἀποστόλων δηλονότι. (2)

ις. Καὶ

(2) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται. καὶ ἀτελὲς δὲ ἔοικε.

ις. Καὶ ἔστη τὰ ὕδατα τὰ κατα-
βαίνοντα ἄνωθεν, ἔστη πῆγμα ἓν ἀφε-
στηκὸς μακρὰν σφόδρα ἀπὸ Δαμμὶν
τῆς πόλεως ἕως μέρους Καριαθιαρίμ·
τὸ δὲ καταβαῖνον κατέβη εἰς τὴν θά-
λασσαν Ἄραβα, θάλασσαν τῶν ἁλῶν,
ἕως εἰς τὸ τέλος ἐξέλιπε. καὶ ὁ λαὸς
εἱστήκει ἀπέναντι Ἱεριχώ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ μέντοι πῆγμα,
ἄσκωμα ὁ Σύμμαχος ἡρμήνευσεν. ἐπεχο-
μένη γὰρ τῶν ὑδάτων ἡ ῥύμη οἷον ἠσκοῦτο,
καὶ ἐκορυφοῦτο. παντὸς γὰρ ἀδαμαντίνου
τείχους πλέον ἐπεῖχεν αὐτὴν ὁ τοῦ δημιουρ-
γήσαντος ὅρος. καὶ πρὸ τοῦ Πάσχα δὲ γέ-
γονεν ἡ διάβασις. τῇ δεκάτῃ γὰρ διαβάν-
τες, ἐπετέλεσαν τῇ τεσσαρεσκαιδεκάτῃ τοῦ
Πάσχα τὴν ἑορτήν. ἐπειδὴ καὶ (1) τῇ ἀλη-
θείᾳ μετὰ τὸ σωτήριον βάπτισμα ἡ τοῦ
ἀμώμου ἀμνοῦ μετάληψις γίνεται.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ τάχα ὅσον μὲν
ἐγγὺς εἶ Αἰγύπτου, θάλασσαν διοδεύῃ, οὐδέ-
πω οὔσης κιβωτοῦ, οὐδὲ ἱερέων χειραγωγούν-
των σε, οὐδὲ Λευϊτῶν· ἐπὰν δὲ ἔλθῃς εἰς
τὰ ὅρια τῆς ἁγίας γῆς, καὶ παραδέξηταί
σε Ἰησοῦς, καὶ αὐτὸς γένηταί σοι ὁδηγὸς,
τότε ἵσταταί σοι ὁ Ἰορδάνης. ἂν γὰρ ἀλη-
θῶς ᾖς Ἰησοῦς, τὸ ὕδωρ τοῦ Ἰορδάνου ἐντρα-
πήσεται, καὶ ἀναχωρήσει εἰς τὰ ὀπίσω·
τὸ δὲ ἄλλο ὕδωρ ἀπελεύσεται εἰς τὴν θά-
λασσαν τῶν ἁλῶν. τῶν γὰρ μετὰ τὸ βά-
πτισμα ἀπολομένων, τὸ ὕδωρ τοῦ Ἰορδάνου
εἰς τὴν θάλασσαν ἄπεισι τῶν ἁλῶν· τὸ δὲ
ἄλλο, τὸ ὕδωρ ἐστὶ τῶν δικαίων, πῆγμα ἐνυ-
πάρχον· ἀνάλογον τῷ πεπηγέναι τὸν ἄρ-
τον τὸν ἐξ οὐρανοῦ καταβεβηκότα, ἐπειδὴ

A καὶ σὺ σέβεις τὸν ἕνα Θεόν. ἑνωθεὶς γὰρ
τῷ Θεῷ, παρὰ τῷ πήγματι στήσῃ. καὶ μα-
κάριοι οἱ δυνηθέντες μὴ μακρὰν εἶναι τῆς
κιβωτοῦ. ὁ γὰρ λοιπὸς Ἰσραὴλ εἰ καὶ σώ-
ζεται, ἀλλὰ μακράν ἐστι τῆς κιβωτοῦ ἀπὸ
δισχιλίων πήχεων.

ιζ. Καὶ ἔστησαν οἱ ἱερεῖς οἱ αἴρον-
τες τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου
ἐπὶ ξηρᾶς ἐν μέσῳ τοῦ Ἰορδάνου. καὶ
B πάντες οἱ υἱοὶ Ἰσραὴλ διέβαινον διὰ
ξηρᾶς, ἕως συνετέλεσε πᾶς ὁ λαὸς
διαβαῖνον τὸν Ἰορδάνην.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ δὲ ὕδωρ ὁμοίως
διαιρεθὲν, ἑκατέρωθεν πῆξιν ὑπέμενεν,
ἔνθα γέγονε τοῦ Κυρίου τὰ γράμματα. ὁ
γὰρ ποιήσας τὰ ἀμφότερα ἓν, καὶ τὸ με-
σότειχον τοῦ φραγμοῦ λύσας, ἐκεῖνος δύω
οἶδεν, εἰ καὶ πρὸς ἕν τι συνέλθοιεν. ὅρα δὲ
Γ τὸ ὕδωρ εἶκον, ὥσπερ αἰδούμενον τὴν κιβω-
τὸν, μεθ' ὧν μυστηρίων ἐπήγετο καὶ τοὺς δια-
κομίζοντας ἱερεῖς. περιεῖχε δὲ τὰς πλά-
κας, καὶ τοῦ μάννα τὴν στάμνον, καὶ τὸ κέ-
ρας τοῦ μύρου, καὶ τὴν ῥάβδον Ἀαρὼν τὴν
βλαστήσασαν. ἃ δὴ περιέχει καὶ ἡ τοῦ ἀρ-
χιερέως ψυχὴ, δύναμιν λαβοῦσα παρὰ Θεοῦ
τοιαῦτα ποιεῖν, δι' ἐπικλήσεως ἁγιάζουσα,
ὡς ἐν πλαξὶ λιθίναις φέρουσα τὰ θεόπνευ-
στα λόγια. μέλλων οὖν τις διαβῆναι τὸν Ἰορ-
Δ δάνην, μὴ τολμηρῶς χωρείτω, περιμένων
τὴν ἐκ τῶν ἱερέων παρασκευὴν, τῇ στάσει
τῆς κιβωτοῦ ἁγιαζόντων τὰ ὕδατα, καὶ
τῇ διαβάσει παρεχομένων τὴν ἄδειαν· ἣν
ἠγνόουν οἱ ταύτην ὁδεύοντες, τῆς Ἐκκλη-
σίας ἀγνοοῦντες τὰ νόμιμα, καὶ ταῦτα προ-
μανθάνειν ὀφείλοντες.

ΚΕΦ. Δ.

α. Καὶ εἶπε Κύριος τῷ Ἰησοῦ,
β. λέγων, Παραλαβὼν δώ-
δεκα ἄνδρας ἀπὸ τοῦ λαοῦ,
γ. ἕνα ἐφ' ἑκάστης φυλῆς, Σύνταξον
αὐτοῖς, λέγων, ἀνέλεσθε ἐντεῦθεν ἐκ
μέσου τοῦ Ἰορδάνου ἑτοίμους δώδεκα λί-
θους, καὶ τούτους διακομίσαντες ἅμα
ὑμῖν αὐτοῖς, θέτε αὐτοὺς ἐν τῇ στρα-
τοπεδίᾳ ὑμῶν, οὗ ἐὰν παρεμβάλητε
ἐκεῖ τὴν νύκτα.

» ** ΠΡΟΚΟΠΙΟΥ. Παραλαβὼν ἀπὸ
» τοῦ λαοῦ δώδεκα ἄνδρας. Εἰς τύπον τῶν
ιβ' μαθητῶν· οἱ δὲ ιβ' λίθοι, τοῦ ἑνὸς ἀκρο-
γωνιαίου καὶ ἐκλεκτοῦ καὶ ἐντίμου τοῦ τεθέν-
τος ἐν τῷ θεμελίῳ τῆς Σιών. τὸν αὐτὸν
γὰρ πάντες ἐκήρυττον Χριστὸν, καὶ αὐτὸν
ἐβάσταζον ἐπ' ὤμων. λαμβάνονται δὲ ἀπὸ
τῆς στάσεως τῶν ποδῶν τῶν ἱερέων. ἐπ' αὐ-
Ψαλ. 39. 2. τῶν γὰρ ἦσαν ἑστῶτες, κατὰ τὸ, ἔστησας
» ἐπὶ πέτραν τοὺς πόδας μου. τοῦτον βούλεται

τίθεσθαι εἰς τὰς στρατοπεδαρχίας αὐτῶν,
ὅπου ἂν παρέβαλλον ἐν νυκτί· ἵνα ὑπ' αὐτοῦ
» φωτιζόμενοι μὲν, λέγοιεν· ὅτι σὺ φωτιεῖς Ψαλ. 17. 28.
» λύχνον μου Κύριε· φυλαττόμενοι δὲ, σύ μου εἶ Ψαλ. 31. 7.
» καταφυγὴ ἀπὸ θλίψεως τῆς περιεχούσης
με. δεῖ δέ φασι καὶ τῆς παραδόξου διαβάσεως
ὑπόμνημα καταλιπεῖν αὐτοὺς τοῖς υἱοῖς.

** ΝΕΙΛΟΥ. Δεῖ πρότερον μαχέσα-
Z σθαι τοῖς πάθεσι, καὶ μετὰ πολλῆς νήψεως
τὰ ἐν τῷ πολέμῳ τῇ μνήμῃ παραδοῦναι,
καὶ οὕτως ἐκ τῶν καθ' αὐτοὺς ἑτέροις ὑπο-
θέσθαι τὰ τῆς μάχης, καὶ τὴν νίκην αὐ-
τοῖς εὐχερεστέραν ποιῆσαι διὰ τὸ προλέ-
γειν τὰς ἐν τῷ πολέμῳ μεθόδους. εἰσὶ γάρ
τινες οἱ κεκρατηκότες τῶν παθῶν, διὰ πολ-
λὴν ἴσως σκληραγωγίαν, καὶ τὸν τρόπον
ἀγνοοῦντες τῆς νίκης, διὰ τὸ ὡς ἐν νυκτο-
μαχίᾳ μὴ παρηκολουθηκέναι ταῖς συμβο-
H λαῖς, μηδὲ ταῖς τῶν ἐχθρῶν ἐπιβουλαῖς
ἀκριβῶς ἐπιστῆσαι τὸν νοῦν. τοῦτο συμβο-
λικῶς καὶ ὁ Ἰησοῦς ὁ τοῦ Ναυῆ ἐποίει, ἐν
νυκτὶ

(1) Κἀν. ἡ ἐν Χάλ. ἔκδ. ἐμφαντικώτερον.

νυκτὶ τὸν Ἰορδάνην διαβαινούσης τῆς στρα- A
τιᾶς, προστάξας ἐκ μέσου τοῦ ποταμοῦ λί-
θους ἀνιμήσασθαι· καὶ ἔξω τοῦ ποταμοῦ στη-
λώσαντας κονιάσαι, καὶ ἐπιγράψαι τὸ ὅπως
παρῆλθον τὸν Ἰορδάνην· σημαίνων ὅτι δεῖ
τὰ βύθια τῆς ἐμπαθοῦς διαγωγῆς νοήματα
εἰς φανερὸν ἄγειν, καὶ σαφῶς στηλιτεύειν,
καὶ μὴ φθονεῖν ἑτέροις τῆς γνώσεως. ἵνα
μὴ μόνος ὁ παρελθὼν γινώσκει τὸν τρό-
πον τῆς διαβάσεως, ἀλλὰ καὶ οἱ τὸ αὐτὸ
ποιεῖν προαιρούμενοι, εὐχερῆ τὴν διάβασιν B
ἐκ τῆς μαθήσεως ποιήσωνται. καὶ ἡ ἑτέ-
ρων πεῖρα γένηται ἑτέροις διδασκαλία.

δ. Καὶ ἀνακαλεσάμενος Ἰησοῦς
δώδεκα ἄνδρας τῶν ἐνδόξων ἀπὸ τῶν
υἱῶν Ἰσραὴλ, ἕνα ἐφ᾽ ἑκάστης φυλῆς,
ε. Εἶπεν αὐτοῖς ὁ Ἰησοῦς, προσαγάγετε
ἔμπροσθέν μου πρὸ προσώπου Κυρίου
τοῦ Θεοῦ ἡμῶν ἐκ μέσου τοῦ Ἰορδάνου·
καὶ ἀνελόμενος ἐκεῖθεν ἕκαστος λίθον Γ
ἕνα, αἰρέτω ἐπὶ τῶν ὤμων αὐτοῦ κα-
τὰ ἀριθμὸν τῶν δώδεκα φυλῶν τοῦ
Ἰσραὴλ,

ς. Ἵνα ὑπάρχωσιν ὑμῖν οὗτοι εἰς
σημεῖον κείμενοι διαπαντός· ἵνα ὅταν
ἐρωτᾷ σε ὁ υἱός σου αὔριον λέγων, τί
ζ. εἰσιν οἱ λίθοι οὗτοι ἡμῖν; Καὶ σὺ δη-
λώσεις τῷ υἱῷ σου, λέγων, ὅτι ἐξέλει- Δ
πεν ὁ Ἰορδάνης ποταμὸς ἀπὸ προσώ-
που τῆς κιβωτοῦ τῆς διαθήκης Κυρίου
πάσης τῆς γῆς, ὡς διέβαινεν αὐτόν.
καὶ ἔσονται οἱ λίθοι οὗτοι μνημόσυνον
τοῖς υἱοῖς Ἰσραὴλ ἕως τοῦ αἰῶνος.

** ΙΩΑΝΝΟΥ ΤΟΥ ΔΑΜΑΣΚΗ-
ΝΟΥ. Δώδεκα λίθους προσέταξεν ὁ Θεὸς
ληφθῆναι ἐκ τοῦ Ἰορδάνου, καὶ τὴν αἰτίαν
„ προστίθησι. φησὶ γάρ· ὅταν ἐρωτᾷ σε ὁ E
„ υἱός σου, τί εἰσιν οἱ λίθοι οὗτοι; διηγοῦ πῶς
ἐξέλιπε τὸ ὕδωρ τοῦ Ἰορδάνου θείᾳ προστά-
ξει, καὶ διέβη ἡ κιβωτὸς Κυρίου, καὶ πᾶς
ὁ λαός. πῶς οὖν ἡμεῖς οὐκ εἰκονογραφήσο-
μεν τὰ σωτήρια πάθη καὶ θαύματα Χριστοῦ
τοῦ Θεοῦ; ἵνα ὅταν ἐρωτᾷ με ὁ υἱός μου, τί
τοῦτό ἐστιν; ἐρῶ, ὅτι ὁ Θεὸς λόγος, ἄνθρω-
πος γέγονε, καὶ δι᾽ αὐτοῦ, οὐχὶ Ἰσραὴλ μό-
νος τὸν Ἰορδάνην διῆλθεν, ἀλλ᾽ ἡ φύσις
ἅπασα πρὸς τὴν ἀρχαίαν ἐπανῆλθε μα- Z
καριότητα. δι᾽ οὗ ἡ φύσις ἐκ τῶν κατωτάτω
τῆς γῆς ἀνῆλθεν ὑπεράνω πάσης ἀρχῆς,
καὶ ἐν αὐτῷ τῷ πατρικῷ κεκάθικε θρόνῳ.

η. Καὶ ἐποίησαν οὕτως οἱ υἱοὶ Ἰσ-
ραὴλ, καθότι ἐνετείλατο Κύριος τῷ
Ἰησοῦ. καὶ λαβόντες δώδεκα λίθους
ἐκ μέσου τοῦ Ἰορδάνου, καθάπερ συ-
νέταξε Κύριος τῷ Ἰησοῦ ἐν τῇ συν-
τελείᾳ τῆς διαβάσεως τῶν υἱῶν Ἰσ- H
ραὴλ, καὶ διεκομίσαντο ἅμα αὐτοῖς
εἰς τὴν παρεμβολὴν, καὶ ἀπέθηκαν
αὐτοὺς ἐκεῖ.

θ. Ἔστησε δὲ Ἰησοῦς καὶ ἄλλους δώ-
δεκα λίθους ἐν αὐτῷ τῷ Ἰορδάνῃ, ἐν
τῷ γενομένῳ τόπῳ ὑπὸ τοὺς πόδας
τῶν ἱερέων τῶν αἰρόντων τὴν κιβω-
τὸν τῆς διαθήκης Κυρίου· καὶ εἰσὶν
ἐκεῖ ἕως τῆς σήμερον ἡμέρας.

** ΠΡΟΚΟΠΙΟΥ. Ἄλλοι δὲ τίθενται
ιβ´ παρὰ τὴν διάβασιν, τὴν στεῤῥὰν πίστιν
τῶν διαβεβηκότων σημαίνοντες, κατὰ τὸν
B „ Ἀπόστολον, λέγοντα· πάντα ἰσχύω ἐν τῷ Φιλιπ. 4. 13.
„ ἐνδυναμοῦντί με Χριστῷ.

„ ΑΔΗΛΟΥ. Ἕως τῆς σήμερον ἡμέρας.
Αὐτὸς γὰρ ὁ Κύριος μεθ᾽ ἡμῶν πάσας τὰς
ἡμέρας, καὶ εἰσάγει ἡμᾶς εἰς τὴν γῆν τῆς
ἐπαγγελίας, τουτέστι τὸν οὐρανόν.

ι. Εἱστήκεισαν δὲ οἱ ἱερεῖς οἱ αἴροντες
τὴν κιβωτὸν τῆς διαθήκης ἐν τῷ Ἰορ-
δάνῃ ἕως οὗ συνετέλεσεν Ἰησοῦς πάντα
Γ ὅσα ἐνετείλατο Κύριος ἀναγγεῖλαι.
καὶ ἔσπευσεν ὁ λαὸς, καὶ διέβησαν.

** ΠΡΟΚΟΠΙΟΥ. Δείκνυσιν, ὡς διὰ
τῶν ἱερέων διαβαίνουσιν οἱ βουλόμενοι, καὶ
„ ὡς μυσταγωγίας τηνικαῦτα καιρός· ἀνήγ-
„ γειλαν γάρ φησι τῷ λαῷ· καὶ ὡς δεῖ προ-
θυμίας τῷ διαβαίνοντι· φησὶ γὰρ, καὶ
„ ἔσπευσεν ὁ λαός· ὡς καὶ τὸ, μετὰ σπουδῆς Ἐξόδ. 12. 11.
„ ἔδεσθε τὸ Πάσχα. ἐπικατάρατος γὰρ ὁ Ἱερ. 48. 10.
Δ „ ποιῶν τὸ ἔργον Κυρίου ἀμελῶς.

ια. Καὶ ἐγένετο ὡς συνετέλεσε
πᾶς ὁ λαὸς διαβῆναι, καὶ διέβη ἡ
κιβωτὸς τῆς διαθήκης Κυρίου, καὶ οἱ
λίθοι πρότερον ἔμπροσθεν αὐτῶν.

„ ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ οἱ λίθοι ἔμ-
„ προσθεν αὐτῶν. Ἱερεῖς οἱ λοιποὶ τῶν ἑρ-
μηνευσάντων ἐξέδωκαν. λίθοι γὰρ καὶ οἱ
„ ἅγιοι λέγονται. λίθοι γάρ φησιν ἅγιοι κυ- Ζαχ. 9. 16.
E „ λίονται ἐπὶ τῆς γῆς. καὶ ὁ Πέτρος φη-
„ σὶν, ὡς λίθοι ζῶντες ἐποικοδομεῖσθε εἰς οἶκον 1. Πέτρ. 2. 5.
„ πνευματικὸν, εἰς ἱεράτευμα, τοῦ ἐνέγκαι
„ πνευματικὰς θυσίας. καὶ ὁ εἷς δὲ λίθος
δύναται διὰ τούτων σημαίνεσθαι ὁ ἀποδοκι-
μασθεὶς μὲν ἐξ ἀνθρώπων, παρὰ δὲ Θεῷ
ἐκλεκτὸς ἔντιμος. οὗ καθ᾽ ὁμοιότητα καὶ οἱ
ἅγιοι, λίθοι λέγονται.

ιβ. Καὶ διέβησαν οἱ υἱοὶ Ῥουβὶμ,
Z καὶ οἱ υἱοὶ Γὰδ, καὶ τὸ ἥμισυ φυλῆς
Μανασσῆ διεσκευασμένοι ἔμπροσθεν
τῶν υἱῶν Ἰσραὴλ, καθάπερ ἐνετεί-
λατο αὐτῷ Μωϋσῆς.

ιγ. Τετρακισμύριοι εὔζωνοι εἰς μά-
χην διέβησαν ἔναντι Κυρίου εἰς πόλε-
μον εἰς τὴν Ἱεριχὼ πόλιν.

* ΩΡΙΓΕΝΟΥΣ. Σημειωτέον ὅτι ἡ τε-
H τρὰς, εἴτε μονάδων, εἴτε ἑκατοντάδων,
εἴτε ἑτέρου πλείονος ἀριθμοῦ, ἐπὶ κακώ-
σεως κεῖται.

ιδ. Ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ηὔξησε
Κύριος τὸν Ἰησοῦν ἐναντίον παντὸς τοῦ
γένους

γένες Ἰσραὴλ, καὶ ἐφοβῦντο αὐτὸν, ὃν τρόπον ἐφοβῦντο Μωϋσῆν, ὅσον χρόνον ἔζη.

» ΑΔΗΛΟΥ. Τὸ, ηὔξησεν, ὁ σωματικῶς ληπτέον, ἀλλὰ κατὰ τὴν τῆς ἀρετῆς πνευματικὴν ἡλικίαν καὶ ἐπίδοσιν. Τὸ δὲ, ὅσον χρόνον ἔζη, ἐγὼ νομίζω ὁ πρὸς τὸν Ἰησῦν εἰρῆσθαι, ἀλλ᾽ ὡς πρὸς τὸν Μωϋσέα. νῦν γὰρ παρελθέσης τῆς σκιᾶς, καὶ τῆς καινῆς ὡς (1) Ἰησῦ διαλαμπέσης, ἐκ ἔτι ὑπὸ νόμον φρερέμεθα καὶ τὸν τῆς δελείας φόβον, ἀλλ᾽ ὑπὸ τὸν φόβον Κυρίε τὸν ἁγνὸν, καὶ διαμένοντα εἰς αἰῶνα αἰῶνος.

» ∗∗ ΠΡΟΚΟΠΙΟΥ. Ἠΰξησε Κύριος τὸν » Ἰησῦν τὴν κατ᾽ ἀρετὴν αὔξησιν τὴν ἡλικίᾳ πρέπεσαν νοητῇ. ἐφοβῦντο δὲ τὸν μὲν τῦ Ναυῆ, κατὰ τὸν φόβον τὸν νομικὸν καὶ δέλοις προσήκοντα· τὸν δὲ ἡμέτερον ἡμεῖς Ἰησῦν, τὸν ἁγνὸν φοβέμεθα φόβον, καὶ διαμένοντα εἰς αἰῶνα αἰῶνος.

ιε. Καὶ εἶπε Κύριος τῷ Ἰησῦ, λέ-
ιϛ. γων, Ἔντειλε τοῖς ἱερεῦσι τοῖς αἴρε-
σι τὴν κιβωτὸν τῆς διαθήκης τῦ μαρ-
ιζ. τυρίε ἐκβῆναι ἐκ τῦ Ἰορδάνε. Καὶ
ἐνετείλατο Ἰησῦς τοῖς ἱερεῦσι, λέ-
γων, Ἔκβητε ἐκ τῦ Ἰορδάνε.

ιη. Καὶ ἐγένετο ὡς ἐξέβησαν οἱ ἱερεῖς οἱ αἴροντες τὴν κιβωτὸν τῆς διαθήκης Κυρίε ἐκ τῦ Ἰορδάνε, καὶ ἔθηκαν τὲς πόδας ἐπὶ τῆς γῆς, καὶ ὥρμησε τὸ ὕδωρ τῦ Ἰορδάνε κατὰ χώραν, καὶ ἐπορεύετο καθὰ καὶ χθὲς καὶ τρίτην ἡμέραν δι᾽ ὅλης τῆς κρηπίδος.

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Διαβάντων, τὸ ὕδωρ αὖθις τὴν ὁδὸν τὴν ἀρχαίαν ἐφέρετο, ὅλην πληρῶν τὴν κρηπίδα, ὡς ὁ τότε ἀπῄτει καιρός. αὔξει γὰρ καὶ ὁ μυστικὸς Ἰορδάνης, ὅτε πολὺς ἐστι τῶν πιστευόντων ὁ Ἰωάν. 4. 35. ἀριθμὸς, κατὰ τὸ, ἐπάρατε τὲς ὀφθαλ- A » μὲς ὑμῶν, καὶ ἴδετε, ὅτι λευκαὶ λοιπόν » εἰσιν αἱ χῶραι πρὸς θερισμόν. καὶ πάλιν, » ὁ μὲν θερισμὸς πολὺς, οἱ δὲ ἐργάται ὀλίγοι. Ματθ. 9. 35. ἐχ ἁπλῶς δέ φησι θερισμὸν, ἀλλὰ Ἰησ. 3. 15. » πυρῶν κατὰ τὲς ο΄. ὅπερ σύμβολον τροφῆς λογικῆς.

ιθ. Καὶ ὁ λαὸς ἀνέβη ἐκ τῦ Ἰορδάνε δεκάτῃ τῦ μηνὸς τῦ πρώτε. καὶ κατεστρατοπέδευσαν οἱ υἱοὶ Ἰσραὴλ ἐν B Γαλγάλοις κατὰ μέρος τὸ πρὸς ἀνατολὰς ἡλίε ἀπὸ τῆς Ἱεριχῶ.

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Διαπερῶσι τὸν Ἰορδάνην τῇ δεκάτῃ τῦ μηνὸς τῦ πρώτε, ἐν ᾧ καὶ τὸ Πάσχα, καὶ ἡ μεγάλη τῶν Αἰγυπτίων πληγή.

κ. Καὶ τὲς δώδεκα λίθες τέτες,
ἒς ἔλαβεν ἐκ τῦ Ἰορδάνε, ἔστησεν Ἰη-
κα. σῦς ἐν Γαλγάλοις, λέγων, Ὅταν
Γ ἐρωτῶσιν [οἱ] υἱοὶ ὑμῶν ὑμᾶς, λέγον-
κβ. τες, τί εἰσιν οἱ λίθοι ἕτοι; Ἀναγγεί-
λατε τοῖς υἱοῖς ὑμῶν, ὅτι ἐπὶ ξηρᾶς
διέβη Ἰσραὴλ τὸν Ἰορδάνην τῦτον,
κγ. Ἀποξηράναντος Κυρίε τῦ Θεῦ ἡμῶν
τὸ ὕδωρ τῦ Ἰορδάνε ἐκ τῦ ἔμπροσθεν
αὐτῶν μέχρις ὁ διέβησαν· καθάπερ
ἐποίησε Κύριος ὁ Θεὸς ἡμῶν τὴν ἐρυ-
θρὰν θάλασσαν, ἣν ἀπεξήρανε Κύ-
Δ ριος ὁ Θεὸς ἡμῶν ἔμπροσθεν ἡμῶν, ἕως
κδ. παρήλθομεν. Ὅπως γνῶσι πάντα
τὰ ἔθνη τῆς γῆς, ὅτι ἡ δύναμις τῦ
Κυρίε ἰσχυρά ἐστι, καὶ ἵνα ἡμεῖς σέ-
βησθε Κύριον τὸν Θεὸν ἡμῶν ἐν παν-
τὶ χρόνῳ.

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Ἵστησι τὲς ιβ΄ λίθες καὶ εἰς ὑπόμνησιν τοῖς υἱοῖς, καὶ εἰς E ἔκπληξιν τοῖς ἔθνεσι, καὶ τὴν ὡς ἑνὸς ὄντος τῦ Θεῦ διδασκαλίαν· ὁ γὰρ πρὸς ἐπίδειξιν τῦ Θεῦ, πρὸς δὲ τὴν τῶν ὁρώντων καὶ ἀκεόντων σωτηρίαν.

ΚΕΦ. Ε.

α. Καὶ ἐγένετο ὡς ἤκεσαν οἱ βασιλεῖς τῶν Ἀμορραίων οἱ ἦσαν πέραν τῦ Ἰορδάνε, καὶ οἱ βασιλεῖς τῆς Φοινίκης οἱ παρὰ τὴν θάλασσαν, ὅτι ἀπεξήρανε Κύριος ὁ Θεὸς τὸν Ἰορδάνην ποταμὸν ἐκ τῶν ἔμπροσθεν τῶν υἱῶν Ἰσραὴλ ἐν τῷ διαβαίνειν αὐτὲς, καὶ κατετάκησαν αὐτῶν αἱ διάνοιαι, καὶ κατεπλάγησαν, καὶ ἐκ ἦν ἐν αὐτοῖς φρόνησις ὀδεμία ἀπὸ προσώπε τῶν υἱῶν Ἰσραήλ.

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Θρυλληθέντος τῦ θαύματος, ἐτάκησαν πάντες οἱ τῇ παλαιᾷ δυσσεβείᾳ πεποιωμένοι. καὶ δέον αὐτὲς ἀποθεμένες τὰ ὅπλα, τὸν Θεὸν ἐπιγνῶναι, καὶ πρὸς εἰρήνην ἰδεῖν· οἱ δὲ πάλιν ἦσαν Z θρασεῖς. πλὴν τὸ παρὰ Μωϋσέως προφη- » τευθὲν πέφηνεν ἀληθὲς, ἐτάκησαν, λέ- Ἐξόδ. 15. 15. » γοντος, πάντες οἱ κατοικεντες Χαναάν.

ΣΕΥΗΡΟΥ. Ἅμα γὰρ ὁρῶσιν ἡμᾶς αἱ ἀντικείμεναι δυνάμεις τὸν νοητὸν Ἰορδάνην παρερχομένες, καταπλήσσεσι (2) τῇ διανοίᾳ.

β. Ὑπὸ δὲ τῦτον τὸν καιρὸν εἶπε Κύριος τῷ Ἰησῦ, ποίησον σεαυτῷ μαH χαίρας πετρίνας ἐκ πέτρας ἀκροτόμε, καὶ καθίσας περίτεμε τὲς υἱὲς Ἰσραὴλ ἐκ δευτέρε.

(1) Ἴσ. ἐν Ἰησῦ.

(2) Καὶ καταπλήσσεσι. ὀρθότερ.

A ΣΕΥΗΡΟΥ. (1) Διὰ τοῦτο μαχαίραις πετρίναις κελεύει περιτέμνεσθαι αὐτοὺς, διὰ τὸ μὴ βραδῦναι τὸ πρᾶγμα. πολλοὶ γὰρ ἤμελλον σπανίζειν τῶν τῆς περιτομῆς ὀργάνων. ἀπὸ δὲ τῶν πετρῶν τῆς περιτομῆς γενομένης, πάντες ἤμελλον ἐν τάχει ὑγιαίνειν. ἔπειτα φασὶ καὶ ἀνώδυνον εἶναι τὴν διὰ τοῦ λίθου περιτομήν. γινώσκομεν γὰρ, ὡς ἡ ἐν σαρκὶ περιτομὴ τυπικῶς γινομένη τὸ παλαιὸν, εἰκόνα ἐπέχει τοῦ σω-
B τηρίου βαπτίσματος, διὰ τῆς ἀποβολῆς τῆς ἀκροβυστίας τὴν ἄρνησιν δηλοῦσα τῆς κατὰ σάρκα γεννήσεως, καὶ υἱοὺς ποιοῦσα τοὺς περιτεμνομένους Θεοῦ.

ΑΔΗΛΟΥ. Μάχαιραι δὲ πέτριναι. ἡ πέτρα γὰρ ἦν ὁ Χριστός. θρηνῆσαι δὲ ἄξιον, συνιδεῖν Ἰουδαίους περιτετμημένους, καὶ ἀπολωλότας· τὰ δὲ ἔθνη καὶ ἄνευ περιτομῆς πιστεύσαντα, καὶ σωθέντα.

Γ ** ΚΥΡΙΛΛΟΥ. Τὸ μὲν τῆς πέτρας ὄνομα, τὸ οἱονεὶ πεπηγός τε καὶ ἄθραυστον τοῦ Θεοῦ λόγου· τὸ δὲ λεγόμενον ἀκρότομον, τὴν ἐν τῷ καθικνεῖσθαι λεπτῶς εἰς ἅπαντα δύναμιν, καὶ τὴν ὀξυτάτην ἐνέργειαν αὐτοῦ δηλοῖ. ἐπεὶ καὶ Παῦλος ἡμῖν, ὁ τοῖς ἱεροῖς τε καὶ θείοις ἐντεθραμμένος γράμμασι, (Ἑβρ. 4. 12.) „ζῶντα, καὶ ἐνεργὸν, καὶ τομώτερον ὑπὲρ „πᾶσαν μάχαιραν δίστομον τὸν θεῖον ἀπο„καλεῖ λόγον, διϊκνεῖσθαί τε φησὶν αὐτὸν „ἄχρι μερισμοῦ ψυχῆς καὶ πνεύματος. ὁ δὲ
Δ οὕτω λεπτὸς καὶ τομὸς ἐν καρδίαις ταῖς ἡμετέραις διὰ τοῦ ἰδίου καθικνούμενος πνεύματος, ἀπαλλάττει μὲν ἁπάσης ἀκαθαρσίας· περιτεμὼν δὲ, ὡς οὐκ ἔστιν εἰπεῖν, τὰ ἐφ᾽ οἷς ἐσμὲν ἐσχάτης βδελυρίας ἀνάπλεω, καὶ ἀμώμους, καὶ ἁγίους ἐργάζεται.

ΘΕΟΔΩΡΙΤΟΥ. „Πῶς νοητέον τὸ, πε„ρίτεμε τοὺς υἱοὺς Ἰσραὴλ ἐκ δευτέρου; Τὴν ἀλήθειαν μάλιστα οὗτος ὁ λόγος διαγράφει.
E τοῖς γὰρ τὴν μωσαϊκὴν δεξαμένοις περιτομὴν, τὴν πνευματικὴν προσήνεγκαν περιτομὴν τῶν Εὐαγγελίων οἱ κήρυκες. πι- (Πράξ. 2. 22.) στεύσατε γὰρ ἔλεγον, καὶ βαπτίσθητε ἕκα„στος ὑμῶν εἰς τὸ ὄνομα τοῦ Κυρίου ἡμῶν Ἰησοῦ „Χριστοῦ, καὶ λήψεσθε τὴν ἐπαγγελίαν τοῦ „ἁγίου πνεύματος. ταύτην ὁ θεῖος Από- (Κολ. 2. 11.) „στολος ἀχειροποίητον περιτομὴν προσηγό- (Ῥωμ. 2. 29.) ρευσε. καὶ ἀλλαχοῦ, περιτομὴ, φησὶ, καρ„δίας ἐν πνεύματι, οὐ γράμματι. οἱ τοίνυν
Z ἐξ Ἰουδαίων τῷ Σωτῆρι πεπιστευκότες, [τὴν μωσαϊκὴν περιτομὴν ἔχοντες,] προσέλα- 15 βον τὴν πνευματικήν. τὸ τοίνυν, ἐκ δευτέρου, τὴν ἀλήθειαν προτυποῖ. τὴν γὰρ σάρκα δὶς περιτμηθῆναι τῶν ἀδυνάτων. ἡ δὲ ἐξ ἐπιπολῆς τοῦ γράμματος διάνοια τοῦτο δηλοῖ· ὅτι καθάπερ τῷ Ἀβραὰμ τοῦτον ἐξ ἀρχῆς ὁ Θεὸς δέδωκε τὸν νόμον, οὕτως ἐκ δευτέρου προσέταξε τῷ Ἰησοῦ τοὺς ἀπεριτμήτους περιτεμεῖν. θρηνῆσαι δὲ ἄξιον
H τοὺς Ἰουδαίους, συνιδεῖν οὐ δυναμένους, ὡς οἱ περιτετμημένοι μὲν ἀνῃρέθησαν διαφόροις τιμωρίαις περιπεσόντες, οἱ δὲ ἀπερίτμητοι διεσώθησαν. καὶ οἱ μὲν πατέρες διώλοντο, οἱ δὲ παῖδες τὴν ἐπαγγελίαν ἐδέξαντο. οὕτω καὶ ἡμεῖς παῖδες ὄντες, τὴν τῶν οὐρανῶν βασιλείαν προσδεχόμεθα· Ἰουδαῖοι δὲ τάξιν ἔχοντες πατέρων, τῶν αἰωνίων ἐξέπεσον ἀγαθῶν, καὶ τῆς τῶν πατριαρχῶν ἐξεβλήθησαν συγγενείας. ἐχρῆν τοίνυν αὐτοὺς διὰ τούτων μαθεῖν, ὡς οὐκ ἀεὶ τῆς περιτομῆς ἀναγκαῖον τὸ χρῆμα. προμηνύσας γὰρ τῷ Ἀβραὰμ τῆς παροικίας
B τὸν χρόνον ὁ δεσπότης Θεὸς, περιτμηθῆναι προσέταξε· τῆς Αἰγυπτίων δὲ δουλείας ἀπαλλαγέντας, καὶ ἐν ἐρήμῳ διάγοντας, οὐκ ἀπῄτησε τοῦδε τοῦ νόμου τὴν φυλακὴν, [οὐδὲ τῆς παραβάσεως εἰσέπραξε δίκας.] καθ᾽ ἑαυτοὺς γὰρ ζῶντες, καὶ τῆς τῶν ἀλλοφύλων ἐθνῶν ἐπιμιξίας ἀπηλλαγμένοι, τοῦ σημείου τῆς περιτομῆς οὐκ ἐδέοντο. ὅτε δὲ λοιπὸν αὐτοὺς εἰς τὴν ἐπηγγελμένην εἰσήγαγε γῆν, περιτμηθῆναι προσέταξεν,
Γ ἵνα μὴ ἡ ἐπιμιξία τὴν εὐσέβειαν λυμήνηται. εἰ γὰρ καὶ συνέβαινε περιπεσεῖν ἀπάτῃ τινὰ, ῥᾴδιον ἦν τὸ σημεῖον ἰδεῖν, καὶ τὴν ἀγέλην καταλαβεῖν. τὰ γὰρ ἐσφραγισμένα πρόβατα κἂν ἀπόληται, ῥᾳδίως εὑρίσκονται.

ΤΟΥ ΑΥΤΟΥ. Διατί μαχαίραις πετρίναις αὐτοὺς περιτμηθῆναι προσέταξε; Πάμπολυ πλῆθος ἦν τὸ περιτεμνόμενον, καὶ συντόμως ἔδει περιτμηθῆναι, καὶ ἐπι-
Δ τελέσαι τοῦ Πάσχα τὴν ἑορτήν. εἰκὸς οὖν ἦν, τοὺς ἐν ἐρήμῳ τοσοῦτον διάγοντας χρόνον μὴ ἔχειν πολλὰς ἐκ σιδήρου κατεσκευασμένας μαχαίρας. ἄλλως τε καὶ προτυποῦσιν αἱ πέτριναι μάχαιραι τὴν ἡμετέραν περιτομήν. πέτρα γὰρ ὁ δεσπότης Χριστός· ἔπι„νον γάρ φησιν ἐκ πνευματικῆς ἀκολουθού- (1. Κορ. 10. 4.) „σης πέτρας· ἡ δὲ πέτρα ἦν ὁ Χριστός. ὁ „δὲ αὐτὸς καὶ μάχαιρα κέκληται. ζῶν γάρ- (Ἑβρ. 4. 12.) „φησιν ὁ λόγος τοῦ Θεοῦ, καὶ ἐνεργὴς, καὶ
E „τομώτερος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον. ἡ δὲ σωτήριος αὐτοῦ διδασκαλία τὴν πνευματικὴν ἡμῖν προσφέρει περιτομήν. ἡ μέντοι ἱστορία ἐδίδαξεν, ὅτι πολλοὶ καὶ τῶν ἐν Αἰγύπτῳ τεχθέντων τὴν περιτομὴν οὐκ ἐδέξαντο. δεισάντων ὡς εἰκὸς τῶν ἐκείνους γεγεννηκότων διὰ τὴν τῶν βρεφῶν ἀναίρεσιν προσενεγκεῖν αὐτοῖς τὴν περιτομήν. ἅπαντες δὲ, ὡς ἔπος εἰπεῖν, πλὴν ὀλίγων, οἱ ἐν τῇ ἐρήμῳ φύντες ἀπερίτμητοι
Z μεμενήκασιν.

ΩΡΙΓΕΝΟΥΣ. Ζητητέον διατὶ οὐ περιετμήθησαν οἱ ἐν τῇ ἐρήμῳ τεχθέντες· ἢ διατὶ [τῷ] σαββάτῳ τὶς ξύλα συλλέξας ἐπὶ Μωϋσέως ἐκ προστάγματος Θεοῦ λιθόλευστος γέγονε· τοσοῦτον δὲ πλῆθος ἀπερίτμητον μεμενηκὸς ἐν τῇ ἐρήμῳ, οὐδὲν ἐμέμφθη· καίτοι τοῦ Θεοῦ μὲν ἀποφηναμένου ἐξολοθρεύεσθαι τὴν ψυχὴν τὴν μὴ περιτεμνομένην τῇ ἡμέρᾳ τῇ ὀγδόῃ, οὐκ
H ἔτι δὲ ἐπὶ τῶν παραβαινόντων τὸ σάββατον τοῦτο ὁρίσαντος. Ἤδη μὲν οὖν καὶ αὐτόθεν εὔδηλον, ὅτι περιτομὴ καὶ σάββατον

(1) Κυρίλλου. ὁ Ἀλεξάν. κώδ. ἀλλ᾽ οὐδαμῶς ἔοικε.

τον οὐκ αὐτὰ καθ' ἑαυτὰ καλὰ, ἀλλ' ἐπειδὴ
πρὸς καιρὸν ἐχρησίμευσεν. Ἰστέον δὲ, ὅτι
σημείου χάριν διὰ τῆς περιτομῆς ἐβουλήθη
γνωρίζεσθαι, καὶ οὐκ ἀναχομένους ἀπὸ πί-
στεως φαίνεσθαι, ὡς πρόβατα ἄλογα τῷ
καυτῆρι κἂν πλανηθῇ, ῥαδίαν ἔχει τὴν
ἑαυτῶν εὕρεσιν· οὕτω τοὺς Ἰουδαίους ἐπιμιγ-
νυμένους τοῖς ἔθνεσιν ἀπὸ τῆς περιτομῆς
φανεροὺς εἶναι βουληθείς. καὶ τούτου ἀπόδειξις
τὸ ἐν μὲν τῇ Αἰγύπτῳ περιτέμνεσθαι αὐτοὺς,
ἐν δὲ τῇ ἐρήμῳ, ἐπειδὴ μόνοι ἦσαν, καὶ Αἰ-
γυπτίων κεχωρισμένοι, καὶ τῶν ἄλλων ἐθ-
νῶν τῶν κατὰ τὴν Παλαιστίνην, ἀπεριτμή-
τους μεμενηκέναι. ὅτε δὲ παρελθόντες τὸν
Ἰορδάνην, ἔμελλον ἐν μέσῳ εἶναι τῶν ἐθνῶν,
αὖθις προσετάχθησαν περιτμηθῆναι. διό-
περ ἐκ δευτέρου εἶπεν, ὅτι οὐκ ὀκλαήμεροι
περιετέμνοντο, ἀλλ' ἀνδρωθέντες ἤδη, καὶ
πρὸς γῆράς τινες νενευκότες. ἡ δὲ πετρίνη
μάχαιρα, τὸν Κύριον ἡμῖν δηλοῖ, τὸν τὴν
νοητὴν δόντα ἡμῖν περιτομὴν, τὴν εἰς νοῦν
καὶ καρδίαν. διὰ τοῦτο γὰρ καὶ ὁ Ἀπόστο-
Κολ. 2. 11. » λος ἡμῖν ἔλεγε· περιτομὴν τοῦ Χριστοῦ ἐν
» τῇ ἀπεκδύσει τῆς σαρκὸς ἡμῶν.

γ. Καὶ ἐποίησεν ὁ Ἰησοῦς μαχαί-
ρας πετρίνας ἀκροτόμους, καὶ περιέ-
τεμε τοὺς υἱοὺς Ἰσραὴλ ἐπὶ τοῦ καλου-
μένου τόπου, Βουνὸς τῶν ἀκροβυστιῶν.

✱✱ ΚΥΡΙΛΛΟΥ. Μαχαίραις αὐτοὺς
περιέτεμε πετρίναις, τὴν ἐν Χριστῷ διὰ
πνεύματος περιτομὴν προανατυπῶν. πέ-
τρα γὰρ ὁ Χριστὸς, ὃν ὡς ἐν τύπῳ προδηλοῖ.

✱✱ ΙΟΥΣΤΙΝΟΥ. Τὰς μαχαίρας τὰς
πετρίνας, τοὺς λόγους αὐτοῦ ἀκουσόμεθα, δι'
ὧν ἀπὸ τῆς ἀκροβυστίας οἱ πλανώμενοι το-
σοῦτοι, καρδίας περιτομὴν περιετμήθησαν,
ἣν περιτμηθῆναι καὶ τοὺς ἔχοντας τὴν ἀπὸ
τοῦ Ἀβραὰμ ἀρχὴν λαβοῦσαν περιτομὴν ὁ
Θεὸς διὰ τοῦ Ἰησοῦ προὔτρεπεν ἔκτοτε. καὶ
τοὺς εἰσελθόντας εἰς τὴν γῆν ἐκείνην τὴν
ἁγίαν, δευτέραν περιτομὴν πετρίναις μα-
χαίραις, εἶπον τὸν Ἰησοῦν περιτετμηκέναι
αὐτούς. ἐσθ' ὅτε γὰρ τὸ ἅγιον πνεῦμα, καὶ
ἐναργῶς πράττεσθαί τι, ὃ τύπος τοῦ μέλλον-
τος γίνεσθαι ἦν, ἐποίει· ἐσθ' ὅτε δὲ καὶ λό-
γους ἐφθέγξατο περὶ τῶν ἀποβαίνειν μελ-
λόντων, φθεγγόμενον αὐτοὺς, ὡς τότε γινο-
μένων, ἢ καὶ γεγενημένων. ἣν τέχνην ἐὰν
μὴ εἰδῶσιν οἱ ἐντυγχάνοντες, οὐδὲ παρα-
κολουθῆσαι τοῖς τῶν Προφητῶν λόγοις, ὡς
δεῖ, δυνήσονται.

δ. * Ὃν δὲ τρόπον περιεκάθαρεν
Ἰησοῦς τοὺς υἱοὺς Ἰσραὴλ, ὅσοι ποτὲ
ἐγένοντο ἐν τῇ ὁδῷ, καὶ ὅσοι ποτὲ
ἀπερίτμητοι ἦσαν τῶν ἐξεληλυθό-
ε. των ἐξ Αἰγύπτου, Πάντας τούτους
περιέτεμεν Ἰησοῦς· τεσσαράκοντα δὲ
καὶ δύω ἔτη ἀνέστραπται Ἰσραὴλ ἐν
τῇ ἐρήμῳ τῇ Μανδαρίτιδι.

A Ἐν ἄλλῃ ἐκδόσει ἀπὸ τοῦ ἀστερίσκου ἕως
τοῦ, τεσσαράκοντα γὰρ καὶ δύω ἔτη, οὐχ οὕτω
περιέχει, ἀλλὰ μᾶλλον οὕτω τὸ κείμενον.

Κείμενον ἐν ἑτέρᾳ ἐκδόσει οὕτως ἔχον.

Καὶ οὗτος ὁ λόγος, (1) ὃν περιέτε-
μεν Ἰησοῦς. πᾶς ὁ λαὸς ὁ πορευόμε-
νος ἐξ Αἰγύπτου· τὸ ἀρσενικὸν πάν-
τες ἄνδρες πολέμου, οἳ ἀπέθανον ἐν
B τῇ ὁδῷ ἐξελθόντων αὐτῶν ἐκ γῆς Αἰ-
γύπτου, ὅτι περιτετμημένοι ἦσαν, καὶ
πᾶς ὁ λαὸς οἱ γεννηθέντες ἐν τῇ ἐρή-
μῳ ἐν τῇ ὁδῷ ἐξελθόντων αὐτῶν ἐκ
γῆς Αἰγύπτου, οὐ (2) περιετμήθησαν.
εἶτα, τεσσαράκοντα ἔτη· καὶ τὰ ἑξῆς.

ϛ. Διὸ ἀπερίτμητοι ἦσαν οἱ πλεῖ-
στοι αὐτῶν τῶν μαχίμων τῶν ἐξεληλυ-
λυθότων ἐκ γῆς Αἰγύπτου, οἱ ἀπει-
Γ θήσαντες τῶν ἐντολῶν τοῦ Θεοῦ, οἷς
καὶ διώρισε Κύριος αὐτοῖς μὴ ἰδεῖν αὐ-
τοὺς τὴν γῆν, ἣν ὤμοσε Κύριος τοῖς
πατράσιν αὐτῶν δοῦναι αὐτοῖς γῆν
ῥέουσαν γάλα καὶ μέλι.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἐὰν γὰρ μὴ πιστεύ-
σωσι, φησὶν, οὐ δυνατὸν αὐτοῖς τὴν ἐπαγ-
γελίαν λαβεῖν.

Δ ζ. Ἀντὶ δὲ τούτων ἀντεκατέστησε
τοὺς υἱοὺς αὐτῶν, οὓς περιέτεμεν Ἰησοῦς,
διὰ τὸ αὐτοὺς γενέσθαι κατὰ τὴν ὁδὸν
η. ἀπεριτμήτους. Περιτμηθέντες δὲ ἡσυ-
χίαν εἶχον αὐτοὶ καθήμενοι ἐν τῇ πα-
ρεμβολῇ ἕως οὗ ὑγιάσθησαν.

θ. Καὶ εἶπε Κύριος τῷ Ἰησοῦ υἱῷ
Ναυῆ, ἐν τῇ σήμερον ἡμέρᾳ ἀφεῖλον
τὸν ὀνειδισμὸν Αἰγύπτου ἀφ' ὑμῶν. καὶ
E ἐκάλεσε τὸ ὄνομα τοῦ τόπου ἐκείνου,
Γάλγαλα ἕως τῆς ἡμέρας ταύτης.

» ΑΔΗΛΟΥ. Τὸ, ἀφεῖλον, περὶ τῆς πε-
ριτομῆς λέγει· τὸν δὲ ὀνειδισμὸν, τὴν δου-
λείαν. συναγομένη οὖν ἡ ἔννοια ἀπὸ τῶν
δύω λέξεων, τοῦτο δηλοῖ· ὅτι μετὰ ἐλευ-
θερίας περιετμήθητε, οὐχ ὡς ἐν Αἰγύπτῳ
μετὰ δουλείας. ἔστι δὲ ὁ τόπος τοῦ Γαλγὰλ,
ὥς φησιν Εὐσέβιος ὁ Καισαρείας, (3) ἀπὸ
Z δύω σημείων Ἰεριχώ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἐξήγαγε Μωϋσῆς
τὸν λαὸν ἐξ Αἰγύπτου, ἀλλ' οὐκ ἤκουσεν, ὅτι
» σήμερον ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰγύπτου
ἀφ' ὑμῶν. Ἰησοῦς γὰρ ὁ περικαθαίρων, τῆς
ἁγίας γῆς ἀξίους ποιῶν. παράδοξον δὲ,
εἴτε Ἰησοῦς τὰς τοσαύτας χιλιάδας ἐν τρι-
σὶν ἡμέραις περιέτεμεν, εἴτε πολλῶν πε-
ριτεμνόντων ὡς εἰκὸς, διὰ τὸ καὶ πληθυν-
τικῶς μαχαίρας εἰρῆσθαι πετρίνας, δυνη-
H θῆναι τῇ τρίτῃ ἡμέρᾳ, ἢ γοῦν τῇ μετ' αὐ-
τὴν ἐπιτελέσαι τὸ Πάσχα· τότε μάλιστα
τῆς

(1) Ὁ λαός. ἐν ταῖς σημειώσ. τῆς ἐν Φρανεκ. τῆς Γραφ. ἐκδόσ. (2) Οὐ. αὐτ.
(3) Ἐν τῷ περὶ τοπικῶν ὀνομάτων τοῦτο οὐχ εὕρηται.

τῆς ὀδύνης ἐπιτεινομένης, ὡς ἐπὶ τῶν Σικιμιτῶν ἔφησεν ἡ Γραφή. ἑκάτερον ἄρα τῆς συνεργίας τῆς κρείττονος, τοῦ ἐγγὺς ἀδυνάτου πρὸς τὸ τοῦ βαπτίσματος μυστήριον ἡμᾶς ἐπανάγοντος.

** ΚΥΡΙΛΛΟΥ. Ἐπὶ τίσιν οὖν ἄρα τὸν Ἰσραὴλ ὠφελεῖσθαι δώσομεν, ἢ ποῖον αὐτῶν ὀνειδισμὸν ἀφαιρεθῆναί φαμεν; Τὴν δουλείαν δηλονότι, καὶ τὸ ἐξ ἀσθενείας ἕτοιμον εἰς πλεονεξίαν, καὶ προσέτι πόνους τοὺς ἐπὶ πηλῷ καὶ πλινθείᾳ. ὁρᾷς ὅσων ἀπαλλάττει κακῶν τῆς ἐν πνεύματι νοουμένης περιτομῆς ἡ δύναμις; ἐξέλκει μὲν γὰρ τῆς τοῦ Διαβόλου χειρὸς τὴν τοῦ ἀνθρώπου ψυχήν, ἐλευθέραν καὶ ἀνειμένην τῆς τυραννούσης ἐν ἡμῖν ἁμαρτίας ἀποτελεῖ, καὶ πλεονεξίας ἁπάσης τῆς ἐκ πονηρῶν Δαιμόνων ἀμείνω δεικνύει. ἀλλὰ καὶ πηλοῦ καὶ πλινθείας ἀνίησιν· οὐ γὰρ ἔτι μολύνεσθαι ταῖς τῆς σαρκὸς ἡδοναῖς, ἢ τοῖς περὶ γῆν ἐγκαταφύρεσθαι πόνοις ἐᾷ· ἐλεύθεροι δὲ καὶ θανάτου καὶ φθορᾶς.

** ΙΩΣΗΠΟΥ. Ἐκλήθη ὁ τόπος, ἐν ᾧ στρατόπεδον ἔβαλεν Ἰησοῦς, Γάλγαλα· σημαίνει δὲ τοῦτο ἐλευθέριον ὄνομα. διαβάντες γὰρ τὸν ποταμόν, ἐλευθέρους αὐτοὺς ἤδη ἀπό τε τῶν Αἰγυπτίων καὶ τῆς ἐν τῇ ἐρήμῳ ταλαιπωρίας ἐγίνωσκον.

ΘΕΟΔΩΡΙΤΟΥ. Γάλγαλα δὲ ὁ τόπος ὠνομάσθη· τοὔνομα δὲ τὴν ἐλευθερίαν μηνύει. τότε ὁ τῶν ὅλων ἔφη Θεός· » ἐν τῇ » σήμερον ἡμέρᾳ ἀφεῖλον τὸν ὀνειδισμὸν Αἰ» γύπτου ἀφ' ὑμῶν. δηλοῖ δὲ ὁ λόγος τὴν τῆς αἰγυπτιακῆς δουλείας καὶ δυσσεβείας ἀπαλλαγήν, καὶ τῆς ἐπηγγελμένης γῆς τὴν ἀπόληψιν. καὶ ἡμεῖς δὲ μανθάνομεν, ὡς πᾶς τοῦ ἁγίου πνεύματος (1) ἀξιούμενος, καὶ τὴν πνευματικὴν περιτομὴν δεχόμενος, τὸ τῆς ἁμαρτίας ὄνειδος ἀποτίθεται.

ΔΙΟΔΩΡΟΥ. Γαλγάλ, τροχὸς ἑρμηνεύεται τῇ τε Σύρων καὶ τῇ Ἑβραίων φωνῇ. ἐπειδὴ τοίνυν ἡ περιαίρεσις τῆς ἀκροβυστίας τροχοειδὴς ἐγίνετο, Γαλγὰλ ὁ τόπος ἐκλήθη ἀπὸ τοῦ γεγονότος. βουνὸς γὰρ ἐσωρεύθη ἀκροβυστιῶν, ἅτε τοσούτου πλήθους περιτμηθέντος.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Τὸ Γάλγαλα παρ' ὀλίγον ἐστὶ τοῦ τροχοῦ ἡ περιφέρεια· γίλγιλα αὐτὸ τὸ στρογγύλον. ἀπὸ οὖν τοῦ τροχοειδοῦς, καὶ ὡς ἐκ περιφερείας εἶναι τὴν περιτομήν, Γάλγαλα· ἀπὸ δὲ τῆς περιτομῆς, καὶ τὸν τόπον.

ι. Καὶ παρενέβαλον οἱ υἱοὶ Ἰσραὴλ ἐν Γαλγάλοις, καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ Πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς ἀπὸ ἑσπέρας ἀπὸ δυσμῶν Ἱεριχὼ ἐν τῷ πέραν τοῦ
ια. Ἰορδάνου ἐν τῷ πεδίῳ. Καὶ ἔφαγον ἀπὸ τοῦ σίτου τῆς γῆς ἄζυμα καὶ νέα.

A » ** ΩΡΙΓΕΝΟΥΣ. Ἐποίησαν οἱ υἱοὶ » Ἰσραὴλ τὸ Πάσχα τῇ τεσσαρεσκαιδεκάτῃ » ἡμέρᾳ τοῦ μηνός, πολλῷ τοῦ ἐν Αἰγύπτῳ ἱλαρώτερον, ὅτε καὶ ἔφαγον ἀπὸ τοῦ σίτου τῆς ἁγίας γῆς ἄζυμα, καὶ νέα τροφῇ (2) τοῦ μάννα κρείττονα. οὐ γὰρ ὅτε τὴν κατ' ἐπαγγελίαν γῆν ἀπειλήφασι, τοῖς ἐλάττοσιν αὐτοὺς ἐστίᾳ Θεός· οὐδὲ διὰ τηλικούτου Ἰησοῦ ὑποδεεστέρου ἄρτου τυγχάνουσιν.

ΑΔΗΛΟΥ. Καλῶς γε ὁ τύπος, μετὰ

B τὴν ἐν Χριστῷ περιτομήν, καὶ τὴν διὰ τοῦ ἁγίου βαπτίσματος λύτρωσιν, τὴν τοῦ Πάσχα ἡμῖν εἰσηγεῖται τροφήν, τὴν μυστικὴν » αἰνιττόμενος εὐλογίαν. τὸ γὰρ Πάσχα ἡμῶν 1. Κορ. 5. 7 » ὑπὲρ ἡμῶν ἐθύθη Χριστός.

** ΚΥΡΙΛΛΟΥ. Ἐπισυνάπτει τοῖς εἰρημένοις ὁ τοῦ βιβλίου συγγραφεύς, ὅτι » καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ Πάσχα τῇ » τεσσαρεσκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνός. καὶ » ἐφάγοσαν ἀπὸ τοῦ σίτου τῆς γῆς ἄζυμα καὶ

Γ νέα. οὐ γάρ ἐστιν ἑτέρως δύνασθαι μετασχεῖν τοῦ ἀμνοῦ τοῦ ἀληθινοῦ, τοῦ αἴροντος τὴν ἁμαρτίαν τοῦ κόσμου, ἀλλ' οὐδὲ τὴν ἄζυμόν τε καὶ νέαν τῶν εὐαγγελικῶν κηρυγμάτων εὑρέσθαι τροφήν, μὴ παρελθόντας μὲν τὸν μυστικὸν Ἰορδάνην, τὴν δὲ ἐκ τοῦ ζῶντος λόγου λαβόντας περιτομήν, καὶ προαποτριψαμένους τρόπον τινά, καθάπερ κηλῖδα ψυχικήν, τὸν ὀνειδισμὸν Αἰγύπτου.

Δ **ιβ.** Ἐν ταύτῃ τῇ ἡμέρᾳ ἐξέλιπε τὸ μάννα μετὰ τὸ βεβρωκέναι αὐτοὺς ἐκ τοῦ σίτου τῆς γῆς, καὶ οὐκ ἔτι ὑπῆρχε τοῖς υἱοῖς Ἰσραὴλ μάννα. ἐκαρπώσαντο δὲ τὴν χώραν τῶν Φοινίκων ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ.

ΑΔΗΛΟΥ. Πάντων γὰρ ἀθρόως ἀναιρεθέντων τῶν ἐχθρῶν, λέγω συντόμως, ἐπεδόθη τοῖς Ἑβραίοις ἡ γῆ τῆς ἐπαγγελίας.

E ΑΔΗΛΟΥ. Ὥσπερ ὁ Χριστὸς ἐσθίων τὸ Πάσχα τὸ νομικὸν μετὰ τῶν μαθητῶν, καὶ μεταξὺ (3) τοῦ ἄρτου τῆς εὐχαριστίας καὶ τὸ ποτήριον εὐλογήσας, τὸ νομικὸν Πάσχα κατέπαυσεν, ἀρχὴν καὶ πάροδον τῆς καινῆς καὶ νοερᾶς θυσίας λαβούσης· οὕτω καὶ ὁ τοῦ Ναυῆ παῖς ὡς ἐν τύπῳ ἡνίκα τοῖς ἐκ τοῦ νέου σίτου φυραθεῖσιν ἀζύμοις πεποίηκε τὸ Πάσχα, ἡ παλαιὰ βρῶσις, τὸ μάννα, ὑπεχώρησε, καὶ ἐν ἐκείνῃ τῇ ἡμέρᾳ ἐξέλιπεν.

Z ** ΕΠΙΦΑΝΙΟΥ. Ἐν τῷ πεποιηκέναι τὸ Πάσχα ἐν τῇ Ἱεριχῷ, εὐθὺς ἐπιφέρει ἡ θεία Γραφή, λέγουσα· » καὶ ἔφαγον ἐν » Γαλγάλοις, καὶ ἐξέλιπε τὸ μάννα· » προμαρτυροῦσα αὐτοῖς ἡ θεία Γραφή, καὶ προφητεύουσα, ὅτι τῷ πάθει Κυρίου διὰ τὴν αὐτῶν ἀπαρνησιθεῖαν λήξει παρ' αὐτοῖς ἡ βρῶσις ἡ εὐαγγελικὴ καὶ ἐπουράνιος, ὅπερ μάννα παρ' αὐτοῖς κέκληται.

H **ιγ.** Καὶ ἐγένετο ὡς ἦν Ἰησοῦς ἐν Ἱεριχῷ, καὶ ἀναβλέψας τοῖς ὀφθαλμοῖς

(1) Ὁ τοῦ παναγίου βαπτίσματος. ἡ ἐν Χάλ. ἐκδ.

(2) Ἴσ. νέαν τροφήν. τὸ γὰρ νέᾳ τροφῇ, ἀσυντακτον.

(3) Ἴσ. ἀναγνωστ. οὕτω, μεταξὺ τὸν ἄρτον.

μοῖς αὐτȣ̃ εἶδεν ἄνθρωπον ἑστηκότα ἐναντίον αὐτȣ̃, καὶ ἡ ῥομφαία ἐσπασμένη ἐν τῇ χειρὶ αὐτȣ̃. καὶ προσελθὼν Ἰησȣ̃ς, εἶπεν αὐτῷ, ἡμέτερος εἶ, ἢ τῶν ὑπεναντίων;

ιδ. Ὁ δὲ εἶπεν αὐτῷ, ἐγὼ ἀρχιστράτηγος δυνάμεως Κυρίȣ, νυνὶ παραγέγονα.

ΩΡΙΓΕΝΟΥΣ. Μεμνῆσθαι δεῖ, ὅτι ἡνί-
κα ἐμοσχοποίησαν, ὁ Θεὸς τῷ Μωϋσῇ φη-
Ἐξόδ. 33. 12, σὶν, ὅτι ἀνάγαγε τὸν λαὸν τȣ̃τον· ȣ̓ γὰρ
3. „ μὴ συναναβῶ διὰ τὸ τὸν λαὸν σκληροτρά-
Ἐξόδ. 23. 20, χηλον εἶναι. καὶ, ἰδȣ̀ ἀποστέλλω τὸν Ἄγ-
21. „ γελόν μȣ πρὸ προσώπȣ σȣ. πρόσεχε ȣ̓̃ν
„ σεαυτῷ, καὶ μὴ ἀπείθει. ὁ δὲ Μωϋσῆς
Ἐξόδ. 33. 15. πρὸς αὐτόν φησιν· εἰ μὴ συνανέρχῃ ἡμῖν,
„ μή με ἀναγάγῃς ἐνθένδε. καὶ τȣ̃το εἰπὼν,
ἔπεισε. καὶ ἦν μετὰ τȣ̃ λαȣ̃ ἕως τῆς τελευ-
τῆς Μωϋσῆ. μετὰ δὲ τὴν τȣ́τȣ ἀποβίωσιν,
φαίνεται μὲν καὶ διαλέγεται τῷ τȣ̃ Ναυῆ
Ἰησȣ̃. μετὰ γȣ̃ν τὴν ἐπιστασίαν τȣ̃ λαȣ̃ εἰς
τὸν μαθητὴν Μωϋσέως· λοιπὸν δὲ (1) πα-
ραδίδωσι τῷ αὐτῷ ἀρχιστρατήγῳ τῷ Μι-
Δαν. 10. 21. χαήλ. ȣ̓̃τος ἦν ἄρχων τȣ̃ λαȣ̃, ὡς ἐν τῷ
Δανιὴλ φαίνεται λέγων ἕτερος Ἄγγελος.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἄγγελος μὲν ὁ φανεὶς, ἀρχιστράτηγος δὲ τῶν Δυνάμεων, ἀνθρώπȣ δὲ τὸ σχῆμα· ἵνα δείξῃ τὸν ἐπ' ἐσχάτων τῶν ἡμερῶν γενόμενον ἄνθρωπον τῇ μετοχῇ τῆς σαρκὸς καὶ τȣ̃ αἵματος, πολεμȣ̃ντα δὲ τȣ̀ς ὑπεναντίȣς, καὶ σώζοντα τὸν Ἰσραήλ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνα νοητέον τὸν ἀρ-
χιστράτηγον τῆς δυνάμεως Κυρίȣ; Τινές
φασι τὸν Θεὸν λόγον ὀφθῆναι· ἐγὼ δὲ
οἶμαι Μιχαὴλ τὸν ἀρχάγγελον εἶναι. ἡνί-
κα γὰρ ἐπλημμέλησαν, ὁ τῶν ὅλων ἔφη
Ἐξόδ. 33. 3, Θεός· ȣ̓ μὴ συναναβῶ μετὰ σȣ̃ διὰ τὸ τὸν
2. „ λαὸν σκληροτράχηλον εἶναι· ἀλλ' ἀποστε-
„ λῶ τὸν Ἄγγελόν μȣ πρὸ προσώπȣ σȣ πρό-
τερόν σȣ. τȣ̃τον οἶμαι νῦν ὀφθῆναι τῷ Ἰη-
σȣ̃ παραθαῤῥύνοντα, καὶ τὴν θείαν βοή-
θειαν προσημαίνοντα.

** ΠΡΟΚΟΠΙΟΥ. Μετὰ τὴν εἰς Χριστὸν πίστιν λοιπὸν ὁ πρὸς τȣ̀ς πολεμίȣς ἐστὶν ἀγὼν τοῖς καθωπλισμένοις ὅπλοις πνευματικοῖς, καὶ ταῖς τȣ̃ Θεȣ̃ τεθαῤῥηκόσιν ἐπαγγελίαις. ἀλλ' εἰκὸς ἦν ἄνθρωπον ὄντα τὸν Ἰησȣ̃ν, καὶ πανταχόθεν πολεμίοις κεκυκλωμένον πρὸς δειλίαν ὀκλάσαι. τοιγαρȣ̃ν δείκνυσιν αὐτῷ Θεὸς, ὡς ἀόρατος αὐτῶν ὑπερμαχήσειε δύναμις. ὁπλίτȣ γὰρ καὶ τȣ̃ φανέντος τὸ σχῆμα.

ιε. Καὶ Ἰησȣ̃ς ἔπεσεν ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, καὶ εἶπεν αὐτῷ, δέσποτα, τί προστάσσεις τῷ σῷ οἰκέτῃ;

** ΠΡΟΚΟΠΙΟΥ. Οὕτω καὶ Μωϋσεῖ πρὸς Φαραὼ καταβαίνοντι ὁπλασία πρὸς θάρσος ἐφαίνετο· ȣ̓̃τω καὶ Ἰακὼβ ἐπὶ τȣ̃
A Ἡσαῦ· ȣ̓̃τω καὶ τῷ παιδαρίῳ τȣ̃ Ἐλισσαιȣ̀ πλῆθος ἁρμάτων· πρὸς ἣν Ἰησȣ̃ς ἀμφιβάλλων, πυνθάνεται, μὴ τῶν δι' ἐναντίας φενακιζόντων ἡ θέα. ἐθάῤῥησε δὲ, ὡς ἴδιος ὁ φανείς. ȣ̓ γὰρ ἂν τȣ̃νομα Κυρίȣ φέρειν ἐτόλμησεν ἐπὶ στόματος. ὃ καὶ ἄλλȣ λέγοντος, οἱ Δαίμονες ὡσεὶ καπνὸς διαλύονται. διὸ καὶ τῷ ὀνόματι τȣ̃ Θεȣ̃ προσήγαγε τὴν προσκύνησιν. ȣ̓ γὰρ τῇ κτίσει λατρεύȣσιν οἱ ἅγιοι. ȣ̓ πρὸς τὸ φα-
B „ νὲν ȣ̓̃ν, ȣ̓δὲ τὸ, δέσποτα, ȣ̓δὲ τὸ, τί προ-
„ στάσσεις τῷ οἰκέτῃ σȣ;

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἕτοιμός εἰμι πει-
θαρχεῖν τῷ ὑμετέρῳ προστάγματι. ȣ̓̃τω πα-
ρασκευάζεσθαι δεῖ τȣ̀ς λειτȣργȣ̃ντας Θεῷ,
„ καὶ λέγειν μετὰ τȣ̃ θεσπεσίȣ Δαβίδ. ἑτοίμη Ψαλ. 107. 1.
„ ἡ καρδία μȣ ὁ Θεὸς, ἑτοίμη ἡ καρδία μȣ.

ις. Καὶ λέγει ὁ ἀρχιστράτηγος Κυρίȣ πρὸς Ἰησȣ̃ν, λῦσον τὸ ὑπόδη-
Γ μα τῶν ποδῶν σȣ, ὁ γὰρ τόπος ἐφ' ᾧ νῦν ἕστηκας ἐπ' αὐτȣ̃, ἅγιός ἐστι.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς τοίνυν τοῖς θείοις
„ ἐχρήσατο ῥήμασι; λῦσον γάρ ἔφη τὸ ὑπό-
„ δημα ἐκ τῶν ποδῶν σȣ. ὁ γὰρ τόπος ἐφ' ᾧ
„ νῦν ἕστηκας, τόπος ἅγιός ἐστιν. Ἐπειδὴ ἔφη
„ πρὸς αὐτὸν ὁ τῶν ὅλων Θεὸς. ὡς ἐγενόμην Ἰησ. 1. 5.
„ μετὰ Μωϋσῆ, ἔσομαι καὶ μετὰ σȣ̃· τȣ́τȣ
χάριν ὧν ἤκȣσεν ἐκεῖνος, ἀκȣ́ει καὶ ȣ̓̃τος·
ἵνα θαῤῥαλεώτερος γένηται, ὡς τῆς αὐ-
Δ τῆς ἀξίας τετυχηκώς.

ΑΛΛΟΣ. Θάρσος δίδωσι τῷ Ἰησȣ̃. ὥσπερ
καὶ τῷ Μωϋσῇ· καὶ τοῖς μαθηταῖς δ' ὁ Κύ-
„ ριος, λέγων, μὴ αἴρειν ῥάβδον, μηδὲ πή- Ματθ. 10. 10.
„ ραν, μηδὲ ὑποδήματα, δȣ̀ς αὐτοῖς ἐξȣσίαν Λȣκ. 10. 19.
„ πατεῖν ἐπάνω ὄφεων καὶ σκορπίων. ȣ̓δὲν
„ γὰρ ὑμᾶς, φησὶν, ἀδικήσȣσιν.

ΑΛΛΟΣ. Ὅταν ὑποδήματα εἴπῃ, τὸν
πόδα λέγει. λῦσον, ἀντὶ τȣ̃. κίνησον κατ'
E „ ἐχθρῶν. ȣ̓̃τω γὰρ γέγραπται, ἐπὶ τὴν Ψαλ. 59. 8.
„ Ἰδȣμαίαν ἐκτενῶ τὸ ὑπόδημά μȣ, θέλων
παραστῆσαι, ὅτι καταπατῶ.

„ ** ΠΡΟΚΟΠΙΟΥ. Τινὲς τὸ λῦσαι τὸ
ὑπόδημα, τὸ, κίνησον τὸν πόδα σȣ κατὰ
τῶν ἐχθρῶν δηλῶσαί φασιν. ὁποῖόν ἐστι τὸ,
„ ἐπὶ τὴν Ἰδȣμαίαν ἐκτενῶ τὸ ὑπόδημά μȣ, Ψαλ. 59. 8.
ἐπὶ (2) τȣ̃ καταπατῶ. ἀλλ' ἡ αἰτία κωλύει,
„ λέγȣσα· ὁ γὰρ τόπος, ἐν ᾧ σὺ ἕστηκας,
ἅγιός ἐστι. Θεȣ̃ τοίνυν ἐνεργȣ̃ντος, ὑπολε-
Z λύσθαι προσήκει τὸν ὄφιν τὸν δάκνοντα
μηδαμῶς, λογιζομένȣς ὅτε καὶ τὴν ἐξ ἁμαρ-
τιῶν ἀποβαλλώμεθα νέκρωσιν.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ὡς δὲ ὅπȣ Θεὸς παρέστη ἐνεργῶν, ὑπολελύσθαι, καὶ μὴ βλαβῆναί τι τῶν βλαπτόντων, διὰ τῶν αἰσθητῶν θηρίων, πάντα ἐχθρὸν αἰνιττόμενος. ὑποδήματα γὰρ γίνονται διὰ τριβόλȣς καὶ ἀκάνθας, ἢ διὰ τὰ πονηρὰ ἑρπετὰ, ὧν ȣ̓δὲν βλαβῆναι προσήκει, παρόντος Θεȣ̃.
H εἰ δὲ καὶ τὴν ἐξ ἁμαρτιῶν ὑπαινίττεται νέκρωσιν τὸ ὑπόδημα, λῦσον καὶ βάλε ἀπὸ σȣ̃.

ΚΕΦ.

(1) Μωϋσέως λοιπὸν παραδίδωσιν αὐτὸν τῷ ἀρχιστρατήγῳ τῷ Μιχαήλ. ἐν σελ. 395. τȣ̃ εἰρημ. 2. Τόμ. ἑκάτερ. δὲ ἐλλιπὲς, ἢ λίαν βεβιασμένον.

(2) Ἀντὶ, ὀρθότερ.

ΚΕΦ. Ϛ.

α. Καὶ Ἱεριχὼ συγκεκλεισμένη
καὶ ὠχυρωμένη, καὶ οὐδεὶς
ἐξεπορεύετο ἐξ αὐτῆς, οὐδὲ
β. εἰσεπορεύετο. Καὶ εἶπε Κύριος πρὸς
Ἰησοῦν, ἰδοὺ ἐγὼ παραδίδωμι τὴν Ἱε-
ριχὼ ὑποχείριον, καὶ τὸν βασιλέα
αὐτῆς τὸν ἐν αὐτῇ, δυνατοὺς ὄντας
γ. ἐν ἰσχύϊ. (1) Σὺ δὲ περίστησον αὐτῇ
πάντας τοὺς μαχίμους κύκλῳ.

δ. Καὶ ἔσται ὡς ἂν σαλπίσητε
σάλπιγγι, ἀνακραγέτωσαν πᾶς ὁ
ε. λαὸς ἅμα, Καὶ ἀνακραγόντων αὐ-
τῶν πεσεῖται αὐτόματα τὰ τείχη τῆς
πόλεως, καὶ εἰσελεύσεται πᾶς ὁ λαὸς
ὁρμήσας ἕκαστος κατὰ πρόσωπον εἰς Γ
τὴν πόλιν.

** ΠΡΟΚΟΠΙΟΥ. Διατὶ σάλπιγξι
κερατίναις, καὶ ταῖς τοῦ Ἰωβὴλ σαλπίζειν
ἐκέλευσε; Πᾶν ζῶον κερασφόρον ὅπλα
ἔχει καὶ τεῖχος τὸ κέρας, ὡς καὶ ἡμῖν κέ-
Ψαλ. 17. 2. ρας ὁ Κύριος, κατὰ τὸ, ὑπερασπιστής μου
Ψαλ. 43. 5. καὶ κέρας σωτηρίας μου. ἐν σοὶ γὰρ φησὶ
» τοὺς ἐχθροὺς ἡμῶν κερατιοῦμεν. τῶν δὲ μα-
χίμων, οὐ τῶν ἀποδεδειλιακότων ἐστὶν ἑλεῖν
τὴν Ἱεριχώ. τοὺς μὲν γὰρ ἐρεθίζουσι, τοὺς Δ
δὲ καταπλήττουσιν αἱ σάλπιγγες, ὅπλα ἔχον-
τας σαρκικά. τοιαῦτα τῆς Ἱεριχοῦς τὰ τεί-
χη, καὶ πίπτουσιν ὑπὸ σάλπιγγι. καὶ ἡ πα-
ρεμβολὴ δὲ τοῦ Μαδιὰμ τῶν τ' σαλπιζόντων
νενίκηται. Καὶ μετ' ὀλίγα. Ἐν ἓξ δὲ ἡμέραις
σαλπίζουσιν οἱ ἱερεῖς. διόλου γὰρ τοῦ ἐν ἓξ
ἡμέραις αἰῶνος οἱ ἅγιοι πάντες ἄφεσιν
ἁμαρτημάτων κηρύττουσι· τοῦτο γὰρ αἱ τοῦ
Ἰωβὴλ ἐδήλουν σάλπιγγες· ἐν ᾧ πάντων
ἄφεσις γίνεται, καὶ ἐπὶ τοὺς οἰκείους τό- Ε
πους ἀποκατάστασις. προδιαμαρτύρονται
Ματθ. 3. 2. τοίνυν αἱ σάλπιγγες· μετανοήσατε, ἤγγι-
» κε γὰρ ἡ βασιλεία τῶν οὐρανῶν. περὶ ἧς
Ἱερ. 6. 17. » φησὶ τῷ λαῷ, ἀκούσατε τῆς φωνῆς τῆς
» σάλπιγγος· καὶ εἶπαν, οὐκ ἀκουσόμεθα.
Ἡσ. 58. 1. » καὶ Ἡσαΐᾳ δὲ λέγεται, ὡς σάλπιγγι ὕψω-
» σον τὴν φωνήν σου, καὶ ἀνάγγειλον τῷ λαῷ
» τὰ ἁμαρτήματα αὐτῶν. καὶ πρώτην μὲν
ἅπαξ που τῆς ἡμέρας ἐκύκλουν οἱ ἅγιοι κη-
ρύττοντες ἅπασι τῆς εὐσεβείας τὴν γνῶ- Ζ
σιν· τῇ δὲ ἑβδόμῃ ἡμέρᾳ, τουτέστι τῇ συν-
τελείᾳ τοῦ αἰῶνος, ἑπτάκις ἐκύκλωσαν, του-
τέστι πολλάκις, Ἀπόστολοί τε καὶ μαθηταὶ
τοῦ Κυρίου, καὶ πάντες οἱ ἐφεξῆς τῆς Ἐκ-
κλησίας διδάσκαλοι μετάνοιαν καὶ ἄφεσιν
κηρύττοντες τῷ λαῷ, οἷς οἱ μὴ πεισθέντες
ἀπώλοντο κατὰ τὴν πόλιν Ἱεριχὼ, τύ-
πον τῆς συντελείας ὑπάρχουσαν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Θέλει καθε-
λεῖν τὴν Ἱεριχὼ, καὶ φησὶ πρὸς τὸν Ἰσ- Η
» ραὴλ· κυκλώσατε αὐτὴν ἐπὶ ἑπτὰ ἡμέρας,
» καὶ τῇ ἑβδόμῃ ἡμέρᾳ πεσεῖται τὸ τεῖχος.
τὸν κόσμον ὅλον ἐν ἓξ ἡμέραις κατασκευά-
ζεις, καὶ μίαν πόλιν ἐν ἑπτὰ ἡμέραις λύεις;
τί γὰρ ἐμποδίζει σου τῇ δυναστείᾳ; διατὶ μὴ
ἀθρόον καθαιρεῖς; οὐ περὶ σοῦ ὁ Προφήτης
» βοᾷ λέγων· ἐὰν ἀνοίξῃς τὸν οὐρανὸν, τρό- Ἡσ. 64. 1.
Β » μος λήψεται ἀπὸ σοῦ ὄρη, καὶ τακήσονται
» ὡς κηρὸς ἀπὸ προσώπου πυρός; οὐ τὰ ἔργα
τῆς δυνάμεώς σου διηγούμενος φησὶν ὁ Δα-
» βίδ, οὐ φοβηθησόμεθα ἐν τῷ ταράσσεσθαι Ψαλ. 45. 3.
» τὴν γῆν, καὶ μετατίθεσθαι ὄρη ἐν καρδίαις
θαλασσῶν; ὄρη δύνῃ μεθιστᾶν, καὶ εἰς θά-
λασσαν ἐμβάλλειν, καὶ μίαν πόλιν οὐ θέ-
λεις καθελεῖν ἀντιλέγουσαν, ἀλλ' ἑπτὰ ἡμέ-
ρας δίδως τῇ καθαιρέσει; διατί; οὐχ ἡ δύ-
ναμις, φησὶν, ἀτονεῖ, ἀλλ' ἡ φιλανθρω-
Γ πία μακροθυμεῖ. δίδωμι ἑπτὰ ἡμέρας, ὡς
τῇ Νινευῒ τρεῖς ἡμέρας, ἴσως δέξεται κή-
ρυγμα μετανοίας, καὶ σωθῇ. καὶ τίς ὁ
κηρύττων αὐτοῖς τὴν μετάνοιαν; πολέμιοι
τὴν πόλιν περιετειχίσαντο, ὁ στρατηγὸς
ἐκύκλου τὰ τείχη, πολὺς ὁ φόβος, πολὺς
ὁ θόρυβος. ποίαν οὖν αὐτοῖς ὁδὸν τῆς με-
τανοίας ἀνέῳξας; μὴ γὰρ Προφήτην ἀπέ-
στειλας; μὴ γὰρ Εὐαγγελιστὴν διεπέμψω;
μὴ γὰρ ἦν τὶς αὐτοῖς ὑποτιθέμενος τὸ συμ-
Δ φέρον; ναί φησιν, εἶχον ἔνδον διδάσκαλον
τῆς μετανοίας τὴν θαυμαστὴν ἐκείνην Ῥαὰβ,
ἣν ἔσωσα διὰ μετανοίας.

ϛ. Καὶ εἰσῆλθεν Ἰησοῦς ὁ τοῦ Ναυῆ
πρὸς τοὺς ἱερεῖς, καὶ εἶπεν αὐτοῖς, λέ-
γων, παραγγείλατε τῷ λαῷ περιελ-
θεῖν, καὶ κυκλῶσαι τὴν πόλιν· καὶ οἱ
μάχιμοι προπορευέσθωσαν ἐνωπλισ-
Ε μένοι ἐναντίον Κυρίου.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Δηλοῖ, ὡς οὐδένα
βούλεται ἀπολιμπάνεσθαι τῆς παρατάξεως
Κυρίου, ἀλλὰ κατὰ δύναμιν πρὸς τὰς ἀν-
τικειμένας ἀνθίστασθαι δυνάμεις, ἢ παρα-
ταττομένους, ἢ καὶ τοῖς ἀγωνιζομένοις ἐπα-
κολουθοῦντας.

** ΚΥΡΙΛΛΟΥ. Προστάττοντος τοῦ Χρι-
στοῦ διὰ τῆς τῶν ἡγουμένων φωνῆς, κατα-
» στρατευόμεθα τῶν ἐχθρῶν, οὐ πρὸς αἷμα Ἐφεσ. 6. 12.
Ζ » καὶ σάρκα τὴν μάχην αἰρούμενοι, πρὸς ἀρ-
» χὰς δὲ μᾶλλον καὶ ἐξουσίας, καὶ τὸν ἐν τοῖς
μέλεσι τῆς σαρκὸς τυραννήσαντα νόμον.
ἐσόμεθα δὲ τότε καὶ ἐν ὄψει Θεοῦ, παν-
τευχίᾳ μὲν ὥσπερ ἐνηρμοσμένοι τῇ θείᾳ τε
» καὶ νοητῇ. τὰ γὰρ ὅπλα ἡμῶν οὐ σαρκικὰ, 2. Κορ. 10. 4.
κατὰ τὴν τοῦ Παύλου φωνὴν, τοῖς δὲ τῆς
δικαιοσύνης αὐχήμασιν ἐκπρεπεῖς. ἐφορᾷ
δὴ οὖν τοὺς μαχιμωτάτους ὁ πάντων δεσπό-
της Θεὸς, τὰ λαμπρὰ τῆς δικαιοσύνης
Η σκεύη περικειμένους. τοῦτ' ἐστὶ τὸ, ὡς ἐνώ-
πιον

(1) Ἀντὶ τοῦ 3. καὶ 4. ἐδ. ταῦτα κεῖται ἐν ταῖς σημειώσ. τῆς Γραφ. τῆς ἐν Φρανεκ. ἐκδοθ. 3. Καὶ κυκλώσατε τὴν πόλιν πάντες ἄνδρες πολέμου κύκλῳ τῆς πόλεως ἅπαξ. οὕτω ποιήσετε ἓξ ἡμέρας. 4. Καὶ ἑπτὰ ἱερεῖς λήψονται ἑπτὰ κερατίνας τοῦ Ἰωβὴλ ἐνώπιον τῆς κιβωτοῦ· καὶ τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ κυκλώσατε τὴν πόλιν ἑπτάκις, καὶ οἱ ἱερεῖς σαλπιοῦσι ταῖς κερατίναις. τούτοις δὲ ἁρμόδια καὶ τὰ ὑπομνήματα.

πιον Χριστοῦ, παραπορεύεσθαι τοὺς μαχίμους A
ἐνωπλισμένους.

ζ. Καὶ ἑπτὰ ἱερεῖς ἔχοντες ἑπτὰ
σάλπιγγας ἱερὰς παρελθέτωσαν
ὡσαύτως ἐναντίον Κυρίου, καὶ σημαι-
νέτωσαν εὐτόνως· καὶ ἡ κιβωτὸς τῆς
διαθήκης Κυρίου ἐπακολουθείτω.

ΩΡΙΓΕΝΟΥΣ. Αὗται αἱ σάλπιγγες
σύμβολόν εἰσι τῶν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ. αὐ-
1. Θεσ. 4. 16. τὸς γάρ φησιν ὁ Κύριος ἐν κελεύσματι, ἐν B
» φωνῇ Ἀρχαγγέλου, καὶ ἐν σάλπιγγι Θεοῦ
» καταβήσεται ἀπ' οὐρανοῦ. τὸ δὲ ἐπὶ ἓξ ἡμέ-
ρας κυκλοῦν τὴν πόλιν τοὺς ἱερεῖς, σημεῖον
ἂν εἴη τοῦ διὰ τῶν ἓξ ἡμερῶν τοῦ παρόντος
αἰῶνος τοὺς ἁγίους ἅπαντας σαλπίζειν καὶ
κηρύττειν ἄφεσιν ἁμαρτιῶν τοῖς μετανοεῖν
βουλομένοις.

θ. (1) Οἱ δὲ μάχιμοι παραπο-
ρευέσθωσαν ἔμπροσθεν, καὶ οἱ ἱερεῖς Γ
οἱ ἱερουργοῦντες ὀπίσω τῆς κιβωτοῦ τῆς
διαθήκης Κυρίου, πορευόμενοι καὶ σαλ-
πίζοντες.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ προβαδίζειν τῆς
κιβωτοῦ τοὺς μαχίμους, τὸ ἕτοιμον δείκνυσι
καὶ τῶν ἁγίων τὸ πρόθυμον· τὸ δὲ τὴν
οὐραγίαν ἀκολουθεῖν, τὸ μηδένα δεῖν τῆς
τοῦ Θεοῦ παρατάξεως ἀπολείπεσθαι. κατὰ
δύναμιν δὲ πάντας ἀνθίστασθαι ταῖς ἀντι-
κειμέναις δυνάμεσιν, ἢ παραταττομένους, ἢ Δ
τοῖς ἀγωνιζομένοις ἀκολουθοῦντας.

ι. Καὶ τῷ λαῷ ἐνετείλατο Ἰησοῦς,
λέγων, μὴ βοᾶτε, μηδὲ ἀκουσάτω
μηδεὶς τὴν φωνὴν ὑμῶν, ἕως ἂν ἡμέ-
ραν αὐτὸς διαγγείλῃ ἀναβοῆσαι, καὶ
ια. τότε ἀναβοήσατε. Καὶ περιελθοῦσα
ἡ κιβωτὸς τῆς διαθήκης Κυρίου τοῦ
Θεοῦ τὴν πόλιν κύκλῳ, εὐθέως ἀπῆλ- E
θεν εἰς τὴν παρεμβολήν, καὶ ἐκοιμή-
ιβ. θη ἐκεῖ. Καὶ τῇ ἡμέρᾳ τῇ δευτέρᾳ
ἀνέστη Ἰησοῦς τὸ πρωΐ, καὶ ἦραν οἱ ἱερεῖς
τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου.

ιγ. Καὶ οἱ ἑπτὰ ἱερεῖς οἱ αἴροντες
τὰς σάλπιγγας τὰς ἑπτὰ προεπο-
ρεύοντο ἔναντι Κυρίου· καὶ μετὰ τού-
τους εἰσεπορεύοντο οἱ μάχιμοι, καὶ ὁ
λοιπὸς ὄχλος ὄπισθεν τῆς κιβωτοῦ τῆς Z
διαθήκης Κυρίου, καὶ οἱ ἱερεῖς ἐσάλ-
ιδ. πισαν ταῖς σάλπιγξι, Καὶ ὁ λοιπὸς
ὄχλος ἅπας περιεκύκλωσαν τὴν πό-
λιν ἐγγύθεν, καὶ ἀπῆλθον πάλιν εἰς
τὴν παρεμβολήν. οὕτως ἐποίει ἐπὶ
ιε. ἓξ ἡμέρας. Καὶ τῇ ἡμέρᾳ τῇ ἑβδό-
μῃ ἀνέστησαν ὄρθρου, καὶ περιῆλθον
τὴν πόλιν ἑπτάκις. H

ΣΕΥΗΡΟΥ. Καὶ ὁ τῶν ἑπτὰ ἱερέων
ἀριθμὸς, καὶ παραπλησίως αἱ ἰσάριθμοι
σάλπιγγες, καὶ ἡ ἑβδόμη περίοδος, καὶ ἡ
εὔτονος ἠχὴ τῶν σαλπίγγων τῶν ἱερατι-
κῶν. οὐδὲν ἕτερον ἢ τὸ πανταχόθεν τέλειον
δηλοῖ. τελειότητος γὰρ σύμβολον ὁ ἕβδο-
μος ἀριθμός· ᾧ καὶ κατακολουθεῖ πάντως
ἡ κιβωτὸς τῆς διαθήκης Κυρίου, τὸν σαρκω-
θέντα τοῦ Θεοῦ λόγον προτυποῦσα, τὸν τὴν
νίκην βραβεύοντα τοῖς οὕτω σαλπίζουσι.

ις. Καὶ τῇ περιόδῳ τῇ ἑβδόμῃ
ἐσάλπισαν οἱ ἱερεῖς ταῖς σάλπιγξι.
καὶ εἶπεν Ἰησοῦς τοῖς υἱοῖς Ἰσραὴλ,
κεκράξατε, παρέδωκε γὰρ Κύριος
ἡμῖν τὴν πόλιν.

ΩΡΙΓΕΝΟΥΣ. Τὴν μέντοι κραυγὴν
τῶν ῥημάτων εἰκὸς δοξολογίαν εἶναι καὶ
φωνὴν αἰνέσεως τὴν εἰς τὸν Θεὸν, μαχο-
μένην τῇ πλάνῃ τῶν Ἱεριχουντίων, νικῶ-
σαν δὲ τὴν παράδοξον νίκην καὶ θαύμα-
τος γέμουσαν.

ιζ. Καὶ ἔσται ἡ πόλις ἀνάθεμα,
αὐτὴ καὶ πάντα ὅσα ἐστὶν ἐν αὐτῇ τῷ
Κυρίῳ Σαβαώθ. πλὴν Ῥαὰβ τὴν
πόρνην περιποιήσασθε αὐτὴν, καὶ πάν-
τα ὅσα ἐστὶν ἐν τῷ οἴκῳ αὐτῆς, ὅτι
ἔκρυψε τοὺς κατασκόπους, οὓς ἀπε-
στείλαμεν.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τὴν Ἱεριχὼ πό-
λιν ἀναθεματισθῆναι προσέταξε; Πρώτην
ταύτην εἷλον πόλιν μετὰ τὸ διαβῆναι τὸν
Ἰορδάνην ποταμόν. ὥσπερ τοίνυν προσέ-
ταξεν αὐτοὺς τῶν καρπῶν προσφέρειν τὰς
ἀπαρχάς· οὕτως ἐκέλευσε καὶ τὰ τῶν σκύ-
λων προσενεγκεῖν ἀκροθίνια. πρὸς δὲ τού-
τοις καὶ γυμνάζει αὐτοὺς διὰ τούτων τῶν νό-
μων, ὥστε τοὺς ἀναγκαίους νόμους διατηρεῖν.
τὴν οἰκείαν δὲ αὐτοῖς ἐπιδεικνὺς δύναμιν,
τὴν πρώτην πόλιν δίχα ὅπλων καὶ μηχα-
νημάτων ἑλεῖν παρεσκεύασε, καὶ μόνῃ κα-
τέλυσε τῇ τῶν σαλπίγγων ἠχῇ· ἵν' ὅταν
ἡττηθῶσι παραταττόμενοι, γνῶσιν ὡς αὐ-
τοὶ παρέσχον τῆς ἥττης τὰς ἀφορμὰς, τῶν
θείων νόμων καταφρονήσαντες.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα μοι τὸ
ξένον τῆς φιλανθρωπίας κήρυγμα· ὁ λέ-
» γων ἐν τῷ νόμῳ, οὐ μοιχεύσεις· οὐ πορνεύ- Ἐξόδ. 20. 13.
σεις, μεταβαλὼν τὸ ῥῆμα διὰ φιλανθρω-
πίαν, βοᾷ διὰ τοῦ μακαρίου Ἰησοῦ· Ῥαὰβ
ἡ πόρνη ζήτω. Ἰησοῦς ἐκεῖνος ὁ Ναυῆ υἱὸς
ὁ λέγων, ἡ πόρνη ζήτω, εἰκὼν ἦν τοῦ Κυρίου
» Ἰησοῦ τοῦ λέγοντος, πόρναι καὶ τελῶναι Ματθ. 21. 31.
» προάξουσιν ὑμᾶς εἰς τὴν βασιλείαν τῶν
οὐρανῶν. εἰ ζῆν ὀφείλει, διατὶ πόρνη; εἰ
πόρνη, διατὶ ζήτω; λέγω, φησὶ, τὴν προ-
τέραν κατάστασιν, ἵνα θαυμάσῃς τὴν δευ-
τέραν μετάστασιν. καὶ τί ἐποίησε, φησὶν,
ἡ Ῥαὰβ σωτηρίας πρόξενον; ὅτι ἐδέξατο
τοὺς κατασκόπους μετὰ εἰρήνης; τοῦτο καὶ
πανδοχεύτρια ποιεῖ. ἀλλ' οὐκ ἀπὸ τῆς λέ-
ξεως μόνης καρποῦται τὴν σωτηρίαν, ἀλ-
λὰ προηγουμένως ἀπὸ τῆς πίστεως, καὶ τῆς

(1) Παρὰ τῇ ἐν Φανεκ. ἐκδόσ. καθ' ἣν ἡ διαίρεσ. γέγονε, τὸ ή. ἐδ. οὐ κεῖται.

A πρὸς Θεὸν διαθέσεως. καὶ ἵνα μάθῃς τὴν ὑπερβολὴν τῆς ἐν αὐτῇ πίστεως, ἄκουε τῆς αὐτῆς Γραφῆς διηγουμένης τὰ μεμαρτυρημένα αὐτῇ κατορθώματα. ἦν ἐν πορνείῳ ὥσπερ μαργαρίτης ἐν βορβόρῳ συμπεφυρμένος, χρυσὸς ἐν πηλῷ διερρημμένος, ἄνθος εὐσεβείας ἀκάνθαις κεχωσμένον, εὐσεβὴς ψυχὴ ἐν ἀσεβείας χώρῳ κατεκέκλειστο. καί μοι πρόσεχε τὸν νοῦν ἀκριβῶς. ἐδέξατο τοὺς κατασκόπους, καὶ ὃν παρέδωκεν Ἰσραὴλ ἐν τῇ ἐρήμῳ, τοῦτον ἐκήρυξεν ἡ Ῥαὰβ ἐν τῷ πορνείῳ.

ιη. Πλὴν ὑμεῖς φυλάξεσθε σφό-
δρα ἀπὸ τοῦ ἀναθέματος, μήποτε ἐν-
θυμηθέντες ὑμεῖς λάβητε ἀπὸ τοῦ
ἀναθέματος, καὶ ποιήσητε τὴν πα-
ρεμβολὴν τῶν υἱῶν Ἰσραὴλ ἀνάθεμα,
ιθ. καὶ ἐκτρίψητε ἡμᾶς. Καὶ πᾶν ἀρ-
γύριον ἢ χρυσίον, ἢ χαλκὸς ἢ σίδη-
ρος, ἅγιον ἔσται τῷ Κυρίῳ· εἰς θη-
σαυρὸν Κυρίου εἰσαχθήσεται.

** ΚΥΡΙΛΛΟΥ. Ἠφίει μὲν γὰρ ταῖς ἄλλαις λαφυραγωγίαις ἐντρυφᾶν τοὺς ἀνδριζομένους, εἰσκομίζεσθαι δὲ δεῖν εἰς θησαυρὸν Κυρίου, φησὶ, πᾶν ἀργύριον καὶ χρυσίον, χαλκόν τε καὶ σίδηρον. τοῦτο γὰρ ἦν τὸ ἐπίκλην ἀνάθεμα, τουτέστι τὸ ἀπονεμηθὲν ἑκάστῳ, καὶ ἀφορισθὲν τῷ Θεῷ. χρῆναι γὰρ οἶμαι τοὺς ταῖς κοσμικαῖς ἡδοναῖς καὶ τοῖς ἐν τῷδε τῷ βίῳ περισπασμοῖς τὸ εὐθενὲς ἐν Χριστῷ παρεξάγοντας φρόνημα, καὶ διὰ τῶν τῆς δικαιοσύνης ὅπλων εὐδοκιμεῖν ᾑρημένους, ἐν ἐπισκέψει τε ἤδη γεγονότας Χριστοῦ, μηδενὸς ἐφίεσθαι τῶν ἐν κόσμῳ τεθαυμασμένων, μὴ πλούτου, μὴ δόξης, μὴ δυναστείας ἢ ὑπεροχῆς, μὴ τῶν ἐκ τῆς σοφίας ἑλληνικῆς ἀνοσίων δογμάτων. εἶεν δὲ ἂν εἰς τύπον λαμπρότητος μὲν τῆς ἐν ἀξιώμασι καὶ ὑπεροχαῖς, τὸ ἀργύριον· λαμπρὰ γὰρ ἡ ὕλη· πλούτου δὲ, ὁ χρυσός· τὸ δὲ τῆς γλώττης εὔηχες τῶν ἐν κόσμῳ σοφῶν κατασημήνειεν ὁ χαλκός· ἰσχὺν δὲ καὶ δυναστείαν, σκληρὸς ὢν ἄγαν, ὁ σίδηρος, καὶ τῇ ὕλῃ πάσῃ μαχόμενος. ὧν εἴπερ τὶς ἕλοιτο μεταλαχεῖν, καίτοι τὴν ἀρίστην τάξιν ἔχων παρὰ Θεῷ, καὶ ἀναμετρούμενος ἐν πολεμισταῖς, καὶ μὴν καὶ πνευματικαῖς εὐψυχίαις γεγονὼς ἐκπρεπὴς, προσκρούσει Θεῷ, καὶ κιβδήλοις παρατροπαῖς καταλιπεῖν ᾑρημένος τὸν σύνοπλόν τε καὶ ἀρωγὸν, ταῖς ἐντεῦθεν ὀργαῖς ὑποκείσεται.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀφιερώθη, φησὶν, ἅπαντα τὰ ἐν τῇ πόλει. τοῦτο γὰρ τὸ ἀνάθημα δηλοῖ. μηδεὶς οὖν νοσφίσηται τῶν ἀνατεθέντων Κυρίῳ τῷ Θεῷ, καὶ ἐξολοθρεύσει ἡμᾶς ἐκ τῆς γῆς. ἐπικίνδυνος ἡ ἐντολὴ, πολὺ τὸ τῆς ἀκριβείας τοῦ τε προστάσσοντος Θεοῦ, καὶ τοῦ νομοθετοῦντος Ἰησοῦ.

κ. Καὶ ἐσάλπισαν ταῖς σάλπιγξιν οἱ ἱερεῖς. ὡς δὲ ἤκουσεν ὁ λαὸς τὴν φωνὴν τῶν σαλπίγγων, ἠλάλαξε πᾶς ὁ λαὸς ἅμα ἀλαλαγμῷ μεγάλῳ καὶ ἰσχυρῷ. καὶ ἔπεσεν ἅπαν τὸ τεῖχος κύκλῳ. καὶ ἀνέβη πᾶς ὁ λαὸς εἰς τὴν πόλιν.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ ἀλαλάξειν τὸν λαὸν, σημεῖον τοῦ τοὺς ἁγίους ἀναγγέλλοντας ἐπευφραίνεσθαι, καὶ διηγουμένους τὰ μεγαλεῖα τοῦ Θεοῦ, καὶ νίκην τὴν κατὰ τῶν ἐχθρῶν.

B κα. Καὶ ἀνεθεμάτισεν αὐτὴν, καὶ ὅσα ἦν ἐν τῇ πόλει ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, ἀπὸ νεανίσκου καὶ ἕως πρεσβυτέρου, καὶ ἕως μόσχου, καὶ ἕως προβάτου καὶ ὑποζυγίου, ἐν στόματι ῥομφαίας.

ΑΔΗΛΟΥ. Οἱ μὴ βουλόμενοι ἐπιγνῶναι τὸ δέον, τελευταῖον εἰς ἀπώλειαν παραδίδονται, ὥσπερ καὶ Ἱεριχὼ, τύπος ὑπάρχουσα τῆς συντελείας τοῦ κόσμου.

Γ ** ΠΡΟΚΟΠΙΟΥ. Τὸ μηδὲν ζωγρηθῆναι, τὴν παντελῆ τῶν ἀσεβῶν ἀπώλειαν δείκνυσι.

κβ. Καὶ τοῖς δυσὶ νεανίσκοις τοῖς κατασκοπεύσασιν εἶπεν Ἰησοῦς, εἰσέλθετε εἰς τὴν οἰκίαν τῆς γυναικὸς, καὶ ἐξαγάγετε αὐτὴν ἐκεῖθεν, καὶ πάντα ὅσα ἐστὶν αὐτῇ.

Δ κγ. Καὶ εἰσῆλθον οἱ δύο νεανίσκοι οἱ κατασκοπήσαντες τὴν πόλιν εἰς τὴν οἰκίαν τῆς γυναικὸς, καὶ ἐξήγαγον Ῥαὰβ τὴν πόρνην, καὶ τὸν πατέρα αὐτῆς, καὶ τὴν μητέρα αὐτῆς, καὶ τοὺς ἀδελφοὺς αὐτῆς, καὶ πάντα ὅσα ἦν αὐτοῖς, καὶ πᾶσαν τὴν συγγένειαν αὐτῆς· καὶ κατέστησαν αὐτὴν ἔξω τῆς παρεμβολῆς τῶν
E υἱῶν Ἰσραήλ.

ΑΔΗΛΟΥ. Οὐ γάρ ἐστι τοῖς ἁγίοις μίγνυσθαι τὸν μήπω κεκαθαρμένον διὰ τῆς τῶν μυστηρίων τελειώσεως.

κδ. Καὶ ἡ πόλις ἐνεπρήσθη ἐμπρησμῷ σὺν πᾶσι τοῖς ἐν αὐτῇ. πλὴν ἀργυρίου καὶ χρυσίου καὶ χαλκοῦ καὶ σιδήρου ἔδωκαν εἰς θησαυρὸν Κυρίου ἐνεχθῆναι.

Z κε. Καὶ Ῥαὰβ τὴν πόρνην, καὶ πάντα τὸν οἶκον αὐτῆς τὸν πατρικὸν ἐζώγρησεν Ἰησοῦς. καὶ κατῴκισεν ἐν τῷ Ἰσραὴλ ἕως τῆς ἡμέρας ταύτης, διότι ἔκρυψε τοὺς κατασκοπεύσαντας, οὓς ἀπέστειλεν Ἰησοῦς κατασκοπῆσαι τὴν Ἱεριχώ.

ΑΔΗΛΟΥ. Εὗρον γὰρ αὐτὴν, φησὶ,
H τῆς αὐτῶν εἰρήνης ἀξίαν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε ἀλλόφυλος οὖσα ἡ Ῥαὰβ, κατῴκησεν [ἐν] τοῖς υἱοῖς Ἰσραὴλ, ὡς ἡ ἱστορία διδάσκει; Καὶ τοῦτο προτυποῖ τὰ ἡμέτερα. ἔφη γὰρ ὁ δεσπότης·

Ἰωάν. 10. 16. της· καὶ ἄλλα πρόβατα ἔχω, ἃ οὐκ ἔστιν
» ἐκ τῆς αὐλῆς ταύτης, κἀκεῖνά με δεῖ ἀγα-
» γεῖν, καὶ γενήσεται μία ποίμνη, εἷς ποι-
μήν. τούτου χάριν καὶ νομοθετῶν ἔφη· εἷς
Ἀριθ. 9. 14. νόμος ἔσω τῷ προσηλύτῳ καὶ τῷ αὐτόχ-
θονι. διὰ τοῦτο οὐδὲ Μωϋσῆς ὁ νομοθέτης
ἐκώλυσε τῶν Αἰγυπτίων τοὺς συναπάραι
Ῥωμ. 11. 24. αὐτοῖς ἐθελήσαντας. δεῖ δὲ καὶ ὡς ἀγριέ-
» λαιον ἐγκεντρισθῆναι εἰς καλλιέλαιον, ἥ
φησιν ὁ μακάριος Παῦλος.

κϛ. Καὶ κατηράσατο Ἰησοῦς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐναντίον Κυρίου, λέγων, ἐπικατάρατος ὁ ἄνθρωπος, ὃς ἀναστήσει καὶ οἰκοδομήσει τὴν πόλιν ἐκείνην. ἐν τῷ πρωτοτόκῳ αὐτοῦ θεμελιώσει αὐτὴν, καὶ ἐν τῷ ἐλαχίστῳ αὐτοῦ ἐπιστήσει τὰς πύλας αὐτῆς. καὶ οὕτως ἐποίησεν ὁ Ζὰν ὁ ἐκ Βαιθήλ· ἐν τῷ Ἀβειρὼν τῷ πρωτοτόκῳ ἐθεμελίωσεν αὐτὴν, καὶ ἐν τῷ ἐλαχίστῳ διασωθέντι ἐπέστησε τὰς πύλας αὐτῆς.

ΕΥΣΕΒΙΟΥ. Τοῦτο λέγει, ὅτι ὁ κτίζων τὴν Ἰεριχὼ, θεμελιῶν αὐτὴν, θάψει τὰ τέκνα αὐτοῦ, καὶ τὸν ἔσχατον ἐπιστῶν τὰς πύλας· ἵνα ἀρχόμενος μὲν θεμελίου, ἄρξηται θάπτειν ἀπὸ τοῦ πρωτοτόκου· συμπληρῶν δὲ τὸ ἔργον, λήξει εἰς τὸν ἔσχα-
» τον υἱόν. οὕτως ἐποίησεν ὁ Ζὰν ὁ ἐκ Βαι-
» θήλ· ἐν τῷ Ἀβειρὼν τῷ πρωτοτόκῳ ἐθε-
» μελίωσεν αὐτὴν, καὶ ἐν τῷ διασωθέντι ἐλα-
» χίστῳ ἐπέστησε τὰς πύλας αὐτῆς.

ΩΡΙΓΕΝΟΥΣ. Ἐκ τούτου δείκνυται, ὡς οὐχὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ, ἀλλ' ἕτερός τις μετὰ πολλὰς γενεὰς ταῦτα συνέγραψε. καὶ ἀληθὲς μὲν νοηθὲν, οὐκ ἐναντίον δὲ οἷς πρότερον εἰρήκαμεν. ἔγραψε μὲν γὰρ Ἰησοῦς τὰ ἐπ' αὐτοῦ γεγονότα, ἢ ἀποκαλυφθέντα, ὥσπερ καὶ Μωϋσῆς τὰ κατὰ τοὺς ἐπ' αὐτοῦ χρόνους. μετὰ δὲ ταῦτα τοῦ ναοῦ οἰκοδομηθέντος ἤδη ὑπὸ τοῦ σοφοῦ Σολομῶντος, καὶ τοῦ λαοῦ ἀποκλίναντος εἰς πολλὴν ἀσέβειαν, καὶ τοῦ Θεοῦ τὸν ναὸν ἔρημον καταλιπόντος, ὡς καὶ μόλις εὑρεθῆναι τὸ Δευτερονόμιον ἐῤῥιμμένον ὡς ἔτυχε· διά τοι τοῦτο τοῦ λαοῦ τὴν βαβυλωνικὴν αἰχμαλωσίαν ὑποστάντος, ὁ Ἔσδρας νομικώτατος ὢν, καὶ ἀποστοματίζων πᾶσαν τὴν παλαιὰν διαθήκην, ἔγραψε τὸν νόμον, καὶ ἕτερά τινα τὰ γεγονότα καὶ ἀποκαλυφθέντα. ταῦτα πάλαι μὲν προεῤῥέθη, μετὰ δὲ ταῦτα γέγονε. τοιοῦτόν ἐστι δήπου καὶ ὃ νῦν ἐμνημονεύσαμεν.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἐν τῷ πρω-
» τοτόκῳ αὐτοῦ θεμελιώσει αὐτὴν, καὶ ἐν
» τῷ ἐλαχίστῳ ἐπιστήσει τὰς πύλας αὐτῆς;
Ἐπειδὴ τὴν πόλιν ἀνέθηκε τῷ Θεῷ, εἰκότως αὐτὴν κατέσκαψεν· ἄτοπον ἡγησάμενος οἰκητήριον γενέσθαι κοινὸν τὸ τῷ Θεῷ

(1) Ἐν κεφ. 16. ἐδ. 34. τῆς 3. τῶν Βασ.

A ἀπονεμηθέν. ἐπηράσατο δὲ τοῖς ταύτην οἰκοδομοῦσιν· ὥστε τὸν ἐπιχειροῦντα παραβῆναι τὸν ὅρον, τὰ θεμέλια μὲν πηγνύντα, τῶν υἱέων ἀποβαλεῖν τὸν πρωτότοκον· τὰς δὲ πύλας ἐπιτεθέντα, τὸν ἔσχατον. μέμνηται δὲ τῆς ἀρᾶς καὶ ἡ τῶν Βασιλειῶν ἱστορία. (1)

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἐν τῷ πρωτοτόκῳ
» αὐτοῦ θεμελιώσει αὐτὴν, καὶ ἐν τῷ ἐλα-
» χίστῳ αὐτοῦ ἐπιστήσει τὰς πύλας αὐτῆς,
B τουτέστιν ἀρξάμενος τοῦ θάπτειν τοὺς παῖδας ἅμα τῷ καταβαλέσθαι θεμέλιον, πρὸς τῷ τέλει τὸν ἔσχατον αὐτῶν θάψει. ἀντὶ δὲ τῆς κατασκαφείσης, ἑτέραν ἤγειρε ῥίζαν ὁ ἐκ Βαιθὴλ φυλῆς Ἐφραίμ. καὶ ὁ Κύριος Ἰησοῦς Χριστὸς τῆς ἰδίας παρουσίας ἠξίωσε. καταβληθείσης δὲ καὶ ταύτης, ὑπὸ Ῥωμαίων διὰ τὴν ἀπιστίαν ἐκ τρίτου συνέστη. ἀνάξεις δὲ οὕτω τῶν λεγομένων τὸν νοῦν· τὴν Ἰεριχὼ, σελήνην φασὶν ἑρμηνεύεσθαι·
Γ δηλοῖ δὲ τοῦ σκότους τὸν ἄρχοντα, τὸν Διάβολον. οὗτος οἰκοδομῶν τὴν ἀσέβειαν, τοὺς πρωτοτόκους ἑαυτοῦ λογισμοὺς ὑπὸ τῶν εἰσόδων τῶν ἐκείνου διόλλυσι, καὶ αὐτῶν ἐν αὐτῷ πρωτοτόκων νοουμένων. ὡς γὰρ ὄφις ἀρχὴν ζητεῖ τῇ κεφαλῇ παρεισδύσεως, τοῦ λοιποῦ σώματος ἀκολουθοῦντος εὐκόλως μέχρι καὶ τῆς λεπτοτάτης οὐρᾶς. ἣν ὁ δεξάμενος συμπληρώσας τὴν κακίαν, ἐπέθηκε πύλας. διὸ τηρεῖν αὐτοῦ τὴν κεφαλὴν
Δ Ἀδὰμ προσετάττετο, ὡς ἐκείνου τὴν πτέρναν τηρήσαντος. ἀρχὴν γὰρ μόνον θέλει καὶ σπέρματα, ἐξ ὧν ὁ δεξάμενος ὠδίνει ἀδικίαν, καὶ πόνον συλλαβὼν τίκτει ἀνομίαν, μέχρι τῶν ἐσχάτων γενόμενος θή-
» ραμα. ἄφρων γάρ φησιν ἀλλοιοῦται ὡς ἡ Σειρ. 27. 11.
σελήνη. περὶ ἧς καὶ Δαβὶδ περὶ Χριστοῦ
» προφητεύων φησίν· ἀνατελεῖ ἐν ταῖς ἡμέ- Ψαλ. 71. 7.
» ραις αὐτοῦ δικαιοσύνη, καὶ πλῆθος εἰρήνης,
» ἕως οὗ ἀνταναιρεθῇ ἡ σελήνη· ἧς οἱ πρω-
E τότοκοι καὶ κεφαλαὶ χρηματίζουσι. περὶ ὧν
» φησὶ, συνθλάσει κεφαλὰς ἐχθρῶν αὐτοῦ, Ψαλ. 67. 21.
» κορυφὴν τριχὸς διαπορευομένων ἐν πλημ-
» μελείαις. καὶ πάλιν, σὺ συνέθλασας τὰς Ψαλ. 73. 14.
» κεφαλὰς τοῦ δράκοντος ἐπὶ τοῦ ὕδατος. τὰς
ἐκ τούτων καὶ ἐπ' αὐταῖς οἰκοδομίας καθαιρεῖν Ἱερεμίας ἐτάττετο. περὶ ὧν φησὶ καὶ
» Δαβὶδ, καθελεῖς αὐτοὺς, καὶ οὐ μὴ οἰκοδο- Ψαλ. 27. 5.
» μήσῃς αὐτούς. καὶ, τοῦ ἐχθροῦ ἐξέλιπον αἱ Ψαλ. 9. 6.
» ῥομφαῖαι. καὶ, πόλεις καθεῖλες. πολλαὶ
Z δὲ αἱ πόλεις, ὅσοι βίοι, καὶ τρόποι, καὶ πολιτεῖαι, κατὰ τὰς διαφορὰς τῶν τῆς κακίας εἰδῶν· ἃς καθεῖλεν ὁ Κύριος. τοιοῦτοί τινες ἦσαν καὶ οἱ τῶν Αἰγυπτίων πρωτότοκοι, οὓς ὁ Θεὸς ἐξηφάνισεν. ἐφ' οἷς Αἴγυπτος ἅπασα τῆς ἀσεβείας ᾠκοδόμει τὰ δόγματα. διὸ καὶ λίαν τούτους ἐθρήνησαν.

κζ. Καὶ ἦν Κύριος μετὰ Ἰησοῦ, καὶ ἦν τὸ ὄνομα αὐτοῦ κατὰ πᾶσαν
H τὴν γῆν.

Κ Ε Φ. Ζ.

α. Καὶ ἐπλημμέλησαν οἱ υἱοὶ
Ἰσραὴλ πλημμέλειαν με-
γάλην, καὶ ἐνοσφίσαντο
ἀπὸ τοῦ ἀναθέματος· καὶ ἔλαβεν
Ἄχαρ υἱὸς Χαρμὶ υἱοῦ Ζαμβρὶ υἱοῦ Ζα-
ρὰ ἐκ τῆς φυλῆς Ἰούδα. καὶ ἐθυμώ-
θη Κύριος ὀργῇ τοῖς υἱοῖς Ἰσραήλ.

** ΚΥΡΙΛΛΟΥ. Διατὶ Κυρίῳ τὸ ἀργύριον καὶ τὸ χρυσίον, καὶ ὁ χαλκὸς καὶ ὁ σίδηρος, καὶ οὐχὶ δὴ μᾶλλον, ἢ ὡς ἄχρησα τυχὸν, ἢ ὡς καταμολύνειν εἰδότα, τῆς παρεμβολῆς ἐξεπέμπετο; μυσαρὰ γὰρ δέδειχεν αὐτὰ τῆς πνευματικῆς θεωρίας ἡ δύναμις. Λαμπρότης μὲν ἅπασα, σοφία τε καὶ πλοῦτος, καὶ μὴν καὶ ἰσχὺς, πρεπόντως τε καὶ ὁσίως ἀνακείσεται τῷ Θεῷ. αὐτοῦ γὰρ ἡ δόξα, καὶ ἡ πᾶσα λαμπρότης, πλοῦτός τε καὶ σοφία, καὶ δύναμις. ἀλλ' εἰ μέν τις ἕλοιτο παρ' αὐτοῦ, καὶ ἀπὸ θησαυροῦ Κυρίου πλουτίζοιτο, πλοῦτον δηλονότι τὸν νοητὸν, δόξαν τε καὶ σύνεσιν, καὶ ἰσχὺν ἔχει πνευματικὴν, περίοπτος ἔσται καὶ ζηλωτός· εἰ δὲ δὴ βούλοιτο ταυτὶ παρὰ τοῦ κόσμου λαβεῖν, βδελυρὸς ἔσται, καὶ ἀπηχθημένος παρά γε τῷ φιλαρέτῳ Θεῷ, καὶ ὑπὸ κρίσιν ἔσται καὶ δίκην. ἕψεται γὰρ πάντως τῷ μὲν πλούτῳ τὸ φιλήδονον. λαμπρότητι δὲ καὶ ὑπεροχαῖς γείτων εὐθὺς ἡ ὑπεροψία· δυναστείαις γε μὴν παραπέπηγεν ἡ πλεονεξία· σοφίᾳ δὲ τῇ ἐν κόσμῳ, τὸ ἐν δόγμασιν ἀκαλλὲς, κᾂν εἰ τὸ εὔηχες ἔχει τῶν ἐκεῖνα γεγραφότων ἡ γλῶττα.
1. Κορ. 3. 18, τοιοῦτόν τι καὶ ὁ Παῦλός φησιν· εἴ τις ἐστὶν
19. „ ἐν ὑμῖν σοφὸς, μωρὸς γενέσθω, ἵνα γένη-
„ ται σοφός. ἡ γὰρ σοφία τοῦ κόσμου τούτου,
„ μωρία παρὰ Θεῷ ἐστίν. Ἄχαρ δὴ οὖν, οὐκ ἐκ θησαυροῦ Χριστοῦ λαβὼν, ἀλλ' ὥσπερ ἀπὸ κόσμου τῆς Ἱεριχοῦς, προσκρούει Θεῷ. τὰ δὲ ἐντεῦθεν, βλάβη. καὶ τὰ ἐκ θείας ὀργῆς συμβαίνοντα, οὐκ ἐπὶ μόνον ἐχώρει τὸν ἐπὶ τοῖσδε κατεγνωσμένον, ἀλλ' ὅλην ἐκάκου τὴν συναγωγήν. ἀμέτοχος γὰρ γεγονὼς ἐπικουρίας τῆς ἄνωθεν, ἀδρανής τε καὶ ἄναλκις ἦν ὁ πάλαι δυσαλωτότατος Ἰσραήλ.

β. Καὶ ἀπέστειλεν Ἰησοῦς ἄνδρας
ἀπὸ Ἱεριχὼ εἰς Γαΐ, ἥ ἐστι κατὰ Βαι-
θὴλ, λέγων, ἀναβάντες κατασκέψα-
σθε τὴν γῆν Γαΐ. καὶ ἀνέβησαν οἱ ἄν-
δρες καὶ κατεσκέψαντο τὴν γῆν Γαΐ.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ προσέταξεν ὁ Θεὸς προλοχῆσαι τὴν Γαΐ; Διδάσκει καὶ ταῖς ἀνθρωπίναις ἐπινοίαις κεχρῆσθαι, πιστεύοντας δηλονότι τῇ θείᾳ ῥοπῇ. ἐπειδὴ γὰρ διὰ μόνης τῆς τῶν σαλπίγγων φωνῆς εἷλον τὴν πρώτην πόλιν, μάλιστα (1) εἰκότως μανθάνουσιν ἀγωνίζεσθαι καὶ πονεῖν, καὶ τὴν θείαν προσμένειν ἐπικουρίαν. αὐτίκα γοῦν πολεμοῦσιν αὐτοῖς ἐπεκούρησε, καὶ τοὺς πεφευγότας σκηπτοῖς καὶ χαλάζῃ κατηνάλωσεν ἅπαντας.

γ. Καὶ ἀνέστρεψαν πρὸς Ἰησοῦν,
B καὶ εἶπαν πρὸς αὐτὸν, μὴ ἀναβῇ πᾶς
ὁ λαὸς, ἀλλ' ἢ ὡσεὶ δισχίλιοι ἢ τρισχί-
λιοι ἄνδρες ἀναβήτωσαν, καὶ πολιορ-
κησάτωσαν τὴν πόλιν. μὴ ἀναγά-
γῃς ἐκεῖ τὸν λαὸν ἅπαντα, ὀλίγοι
γάρ εἰσι.

δ. Καὶ ἀνέβησαν ὡς τρισχίλιοι ἄν-
δρες, καὶ ἔφυγον ἀπὸ προσώπου τῶν
ε. ἀνδρῶν Γαΐ. Καὶ ἀπέκτειναν ἀπ' αὐ-
Γ τῶν οἱ ἄνδρες Γαΐ τριακονταὲξ ἄν-
δρας, καὶ κατεδίωξαν αὐτοὺς ἀπὸ τῆς
πύλης, καὶ συνέτριψαν αὐτοὺς ἀπὸ
τοῦ κατωφεροῦς. καὶ ἐπτοήθη ἡ καρδία
τοῦ λαοῦ, καὶ ἐγένετο ὡσεὶ ὕδωρ.

** ΚΥΡΙΛΛΟΥ. Οἱ πόλεις ἑλόντες, καὶ χώρας καταδῃώσαντες, καὶ τὰ ὠμότατα τῶν ἐθνῶν ἀμογητὶ νικήσαντες, ἀκαταμαχήτοις περιτυγχάνουσι τοῖς ἀπὸ τῆς
Δ Γαΐ, καὶ μόλις ἐσώζοντο. καὶ ἀπεχώρουν οὐκ ἀζήμιοι, μηδὲ ὅλην ἐν ἀρχαῖς τὴν τῶν μαχίμων πληθὺν ἐν ὅπλοις εἶναι θελήσαντες. εὐκαταγώνιστον δὲ κομιδῇ καὶ ὀλίγοις ἔσεσθαι τὴν πόλιν διαῤῥήδην ὁμολογήσαντες.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τοῦ Ἄχαρ κεκλοφότος, ἅπας ὁ λαὸς ἐπαιδεύθη; Ὑπέλαβεν ὁ κεκλοφὼς, ὥσπερ τοὺς ἀνθρώπους, οὕτω δὴ λήσειν καὶ τὸν Θεόν. ἠβουλήθη τοίνυν κἀκεῖνον διελέγξαι, καὶ πᾶσιν ἐνθεῖναι
E δέος· ὅπως οἱ τοὺς θείους νόμους φυλάττοντες, τοὺς παραβαίνοντας διελέγχωσιν, ὡς τῆς ἐπαχθησομένης μεθέξοντες τιμωρίας.

ΘΕΟΔΩΡΟΥ ΜΟΜΨΟΥΕΣΤΙΑΣ. (2) Ἡ τῶν ὀλίγων Ἰσραηλιτῶν φυγὴ, τὸν μὲν ἱερόσυλον καὶ τοὺς συνειδότας ἐκόλασε, τοὺς δὲ τριακονταὲξ κάκιστα βιοῦντας ἀνεῖλε καλῶς. καὶ τὸ μὲν πλῆθος τῶν Ἰουδαίων ἐφόβισεν, ὅλῳ δὲ τῷ πολέμῳ ταχύτερον τὸ
Z τέλος ἐπέθηκε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα μιᾶς ἁμαρτίας εἴσπραξιν. ὅρα πληγὴν ἀπαραμύθητον. εἷς ἐπλημμέλησε, καὶ εἰς ἅπαντα τὸν δῆμον ὁ θάνατος καὶ ἡ δειλία ἐπέπεσε. τί τοῦτο, ὦ φιλάγαθε Δέσποτα; σὺ
„ εἶ μόνος δίκαιος, καὶ εὐθεῖς αἱ κρίσεις σου· Ψαλ. 118. 137.
σὺ ἑκάστῳ κατὰ τὰ οἰκεῖα ἔργα ἀπονέμεις
τὴν κρίσιν· σὺ ἔφης, Φιλάνθρωπε, ἐν τῇ Ἰεζ. 18. 4.
„ ἰδίᾳ ἕκαστον ἀποθανεῖσθαι ἁμαρτίᾳ, καὶ
H μὴ ἄλλον ἀντὶ ἄλλου τιμωρηθήσεσθαι. τίς οὖν αὕτη ἡ δικαία σου ψῆφος; καλὰ σου τὰ πάντα,

(1) Μάλα. ἡ ἐν Χάλ. ἔκδ.

(2) Μοψουεστίας. ὅρα τὴν η. σελ. τοῦ 1. Τόμ. τῆς δε τῆς σειρ.

πάντα, Κύριε, καὶ λίαν καλὰ, καὶ πρὸς τὸ συμφέρον ἡμῖν οἰκονομούμενα. λύμη τίς ἐστί φησιν ἡ ἁμαρτία. οὐκοῦν ἐκπομπευέσθω διὰ τῆς τιμωρίας εἰς πάντας, ἵνα μὴ τοὺς πάντας καταλυμήνηται, ἵνα γνόντες πόσην ἀπειλὴν μία παράβασις ἔτεκε, φύγωσι τὴν ἐκ πλειόνων ἀτελεύτητον κόλασιν.

ϛ. Καὶ διέῤῥηξεν Ἰησοῦς τὰ ἱμά-
τια αὐτοῦ· καὶ ἔπεσεν Ἰησοῦς ἐπὶ πρό-
σωπον ἔναντι Κυρίου ἕως ἑσπέρας, αὐ-
τὸς καὶ οἱ πρεσβύτεροι Ἰσραήλ· καὶ
ἐπέβαλον τὸν χοῦν ἐπὶ τὰς κεφαλὰς
ζ. αὐτῶν. Καὶ εἶπεν Ἰησοῦς, δέομαι Κύ-
ριε, Κύριε· ἵνα τί διεβίβασεν ὁ παῖς
σου τὸν λαὸν τοῦτον τὸν Ἰορδάνην πα-
ραδοῦναι αὐτὸν τῷ Ἀμοῤῥαίῳ, ἀπο-
λέσαι ἡμᾶς; καὶ εἰ κατεμείναμεν καὶ
η. παρῳκήσαμεν (1) τὸν Ἰορδάνην. Καὶ
τί ἐρῶ ἐπεὶ μετέβαλεν Ἰσραὴλ αὐ-
χένα ἀπέναντι τοῦ ἐχθροῦ αὐτοῦ;

ϑ. Καὶ ἀκούσας ὁ Χαναναῖος καὶ
πάντες οἱ κατοικοῦντες τὴν γῆν, πε-
ρικυκλώσουσιν ἡμᾶς, καὶ ἐκτρίψουσιν
ἡμᾶς ἀπὸ τῆς γῆς. καὶ τί ποιήσεις
τὸ ὄνομά σου τὸ μέγα;

ΑΔΗΛΟΥ. Οὐκ ἔχων ἀπὸ τῶν ἀγαθῶν τοῦ λαοῦ αἰτῆσαι τὸν ἔλεον, ἀπὸ τοῦ ὀνόματος αὐτοῦ ἐκκαλεῖται τοῦ Θεοῦ. ὅμοιον
Ψαλ. ΙΙΙ. 9. δὲ τούτῳ καὶ ὁ Δαβὶδ ποιεῖ, μὴ ἡμῖν, ἀλλ'
» ἢ τῷ ὀνόματί σου δὸς δόξαν.

ι. Καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν,
ἀνάστηθι, ἵνα τί σὺ τοῦτο συμπέπτω-
κας ἐπὶ πρόσωπόν σου;

» ΑΔΗΛΟΥ. Τί σὺ τοῦτο συμπέπτωκας; Τοῦτο ἔδει, φησὶ, τοὺς ἁμαρτάνοντας ποιεῖν, ἀλλ' οὐ τὸν ἀνεύθυνον.

ια. Ἡμάρτηκεν ὁ λαὸς καὶ παρέ-
βη τὴν διαθήκην, ἣν διεθέμην αὐ-
τοῖς, καὶ κλέψαντες ἀπὸ τοῦ ἀναθέ-
ματος ἐνέβαλον εἰς τὰ σκεύη αὐτῶν.
ιβ. Οὐ μὴ δύνωνται οἱ υἱοὶ Ἰσραὴλ κατὰ
πρόσωπον ὑποστῆναι τῶν ἐχθρῶν αὐ-
τῶν· αὐχένα ἐπιστρέψουσιν ἐναντίον
τῶν ἐχθρῶν αὐτῶν, ὅτι ἐγενήθησαν
ἀνάθεμα. οὐ προσθήσω ἔτι εἶναι μεθ'
ὑμῶν, ἐὰν μὴ ἐξάρητε τὸ ἀνάθεμα
ιγ. ἐξ ὑμῶν αὐτῶν. Ἀναστὰς ἁγίασον
τὸν λαὸν, καὶ εἶπον ἁγιασθῆναι εἰς
αὔριον. τάδε λέγει Κύριος ὁ Θεὸς
Ἰσραὴλ, τὸ ἀνάθεμα ἐν ὑμῖν ἐστίν.
οὐ δυνήσεσθε ἀντιστῆναι ἀπέναντι τῶν
ἐχθρῶν ὑμῶν, ἕως ἂν ἐξάρητε τὸ
ιδ. ἀνάθεμα ἐξ ὑμῶν αὐτῶν. Καὶ συ-
A ναχθήσεσθε πάντες τὸ πρωῒ κατὰ
φυλὰς, καὶ ἔσται ἡ φυλὴ ἣν ἂν ἐν-
δείξῃ Κύριος, προσάξετε κατὰ δή-
μους· καὶ τὸν δῆμον ὃν ἂν δείξῃ Κύ-
ριος, προσάξετε κατ' οἴκους· καὶ τὸν
οἶκον ὃν ἂν δείξῃ Κύριος, προσάξετε
ιε. κατ' ἄνδρας. (2) Καὶ ὃς ἂν ἐνδειχθῇ
διὰ Κυρίου, κατακαυθήσεται ἐν πυ-
ρὶ, καὶ πάντα ὅσα ἐστὶν αὐτῷ· ὅτι
B παρέβη τὴν διαθήκην Κυρίου, καὶ
ιϛ. ἐποίησεν ἀνόμημα ἐν Ἰσραήλ. Καὶ
ὤρθρισεν Ἰησοῦς τὸ πρωῒ, καὶ προσή-
γαγε τὸν λαὸν κατὰ φυλάς· καὶ
ιζ. ἐνεδείχθη ἡ φυλὴ Ἰούδα. Καὶ προ-
σήχθη κατὰ δήμους, καὶ ἐνεδείχθη
ιη. δῆμος ὁ Ζαραΐ. Καὶ προσήχθη δῆ-
μος ὁ Ζαραῒ κατ' ἄνδρας, καὶ ἐνε-
Γ δείχθη Ἄχαρ υἱὸς Ζαμβρὶ υἱοῦ Ζα-
ιθ. ρὰ (3) ὁ τοῦ Χαρμὶ υἱοῦ αὐτοῦ. Καὶ
εἶπεν Ἰησοῦς τῷ Ἄχαρ, δὸς δόξαν σή-
μερον τῷ Κυρίῳ Θεῷ Ἰσραὴλ, καὶ
δὸς τὴν ἐξομολόγησιν, καὶ ἀνάγγει-
λόν μοι τί ἐποίησας, καὶ μὴ κρύψῃς
κ. ἀπ' ἐμοῦ. Καὶ ἀπεκρίθη Ἄχαρ τῷ
Ἰησοῦ, καὶ εἶπεν, ἀληθῶς ἥμαρτον ἐναν-
τίον Κυρίου τοῦ Θεοῦ Ἰσραήλ· οὕτω καὶ
Δ οὕτως ἐποίησα.

κα. Εἶδον ἐν τῇ προνομῇ ψιλὴν
ποικίλην, καὶ διακόσια δίδραχμα ἀρ-
γυρίου, καὶ γλῶσσαν μίαν χρυσῆν πεν-
τήκοντα διδράχμων. καὶ ἐνθυμηθεὶς
αὐτῶν ἔλαβον· καὶ ἰδοὺ αὐτὰ ἐγκέ-
κρυπται ἐν τῇ γῇ ἐν τῇ σκηνῇ μου, καὶ τὸ
ἀργύριον κέκρυπται ὑποκάτω αὐτῶν.

E ΚΥΡΙΛΛΟΥ. [Συνίης, ὅτι καὶ αὐτὸς
» ὁ κεκλοφὼς ἑωρακέναι φησὶν ἐν τῇ προνο-
» μῇ ψιλὴν ποικίλην, καὶ διακόσια δίδραχ-
» μα ἀργυρίου, καὶ γλῶσσαν χρυσῆν πεντή-
» κοντα διδράχμων, ἐνθυμηθῆναί τε αὐτῶν,
τουτέστιν εἰς ἄθεσμον αὐτῶν ἐπιθυμίαν ἐλθεῖν. τὴν μὲν οὖν] ψιλὴν ποικίλην οἰόντε (4) εἶναι στρατιωτικὴν στολὴν, [χλαμύδα τε εἶναί φασι ποικίλως ἐξυφασμένην, στρατιωτικὸν δὲ τὸ ἔσθημα.] καὶ πλεονε-
Z ξίας σύμβολον. [παραπέφυκε γὰρ ἀείπως τῷ στρατευσίμῳ γένει τὸ ὡς ἥδιστα πλεονεκτεῖν.] τύπος δὲ [αὖ] λαμπρότητος κοσμικῆς τὸ ἀργύριον, καὶ σοφίας ἑλληνικῆς τῆς ἡδυεποῦς ἡ γλῶσσα. τοιαύτη [τίς] ἐστι καὶ ἡ τῶν παρ' Ἕλλησι σοφῶν γλῶσσά τε καὶ παίδευσις, οἱονεὶ χρυσῆ καὶ ἐντιμοτάτη, διὰ τὸ ἐν λέξει περιφανές.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὴν δὲ ψιλὴν ὁ Ἀκύλας στολὴν ἡρμήνευσεν· ὁ δὲ Ἰώσηπος (5)
H χλανίδα· τὴν δὲ γλῶσσαν, μάζαν χρυσῆν.

ΣΕΥΗ-

(1) Κατῳκίσθημεν. αἱ εἰρημ. ἐκδόσ.

(2) Ἄνδρα. αἱ αὐτ.

(3) Υἱοῦ Ζαρὰ μόνον. αἱ εἰρημ. ἐκδόσ. αἱ δὲ ἐν αὐταῖς σημ. καὶ ἀνεδείχθη Ἄχαρ υἱὸς Χαρμὶ υἱοῦ Ζαμβρὶ, υἱοῦ Σαρὰ τῆς φυλῆς Ἰούδα

(4) Στρατιωτικὴν οἴονται στολήν. ἐν Τόμ. 1. μέρ. 2. σελ. 146.

(5) Ἐν βιβλ. 5. κεφ. 1. περὶ Ἰουδαϊκ. ἀρχαιολογ.

A ΣΕΥΗΡΟΥ. Τοιοῦτοί εἰσί φησι καὶ οἱ
ἀσεβεστάτων ἄρξαντες αἱρέσεων.

κβ. Καὶ ἀπέστειλεν Ἰησοῦς ἀγγέ-
λους, καὶ ἔδραμον εἰς τὴν σκηνὴν εἰς
τὴν παρεμβολήν· καὶ ταῦτα ἦν κε-
κρυμμένα εἰς τὴν σκηνήν, (1) καὶ τὸ
κγ. ἀργύριον ὑποκάτω αὐτῶν. Καὶ ἐξή-
νεγκαν αὐτὰ ἐκ τῆς σκηνῆς, καὶ ἤνεγ-
B καν αὐτὰ πρὸς Ἰησοῦν καὶ τοὺς πρεσ-
βυτέρους Ἰσραήλ, καὶ ἔθηκαν αὐτὰ
ἔναντι Κυρίου.

κδ. Καὶ ἔλαβεν Ἰησοῦς τὸν Ἄχαρ
υἱὸν Ζαρὰ, καὶ ἀνήγαγεν αὐτὸν εἰς
τὴν Φάραγγα Ἀχὼρ, καὶ τοὺς υἱοὺς
αὐτοῦ, καὶ τὰς θυγατέρας αὐτοῦ, καὶ
τοὺς μόσχους αὐτοῦ, καὶ τὰ ὑποζύγια
αὐτοῦ, καὶ πάντα τὰ πρόβατα αὐ-
Γ τοῦ, καὶ πᾶς Ἰσραὴλ μετ' αὐτοῦ· καὶ
ἀνήγαγεν αὐτοὺς εἰς Ἐμεκαχώρ.

ΘΕΟΔΩΡΙΤΟΥ. Δῆλον δὲ καὶ ἐντεῦ-
θεν, ὡς ἡ ὑπὸ τῶν Προφητῶν καλουμένη
κοιλὰς Ἀχὼρ, αὕτη ἐστὶν, ἐν ᾗ ὁ Ἄχαρ
κατελεύσθη. καὶ γὰρ ἡ Μεναχὼρ, (2) Φά-
ραγξ Ἀχὼρ ἑρμηνεύεται.

ΑΔΗΛΟΥ. Ἐνταῦθα διὰ τῆς ἐπενη-
νεγμένης τῷ Ἄχαρ δίκης. τῶν ἄλλων ἀνέ-
Δ κοψε τὰς ὁρμὰς, καὶ σωφρονεστέρους αὐ-
τοὺς ἐποίησεν. εἰκὸς γὰρ συνειδέναι τὴν τοῦ
Ἄχαρ γαμετὴν, καὶ τοὺς προσήκοντας αὐ-
τῷ τὴν κλοπήν. οὐ γὰρ ἂν πάντως αὐτοὺς
διέλαθεν ἐν τῇ σκηνῇ κεκρυμμένα. διὰ τοι
τοῦτο καὶ πανοικεὶ τὴν τιμωρίαν ὑπέστη.

κε. Καὶ εἶπεν Ἰησοῦς τῷ Ἄχαρ,
τί ὠλόθρευσας ἡμᾶς; ἐξολοθρεύ-
σαι σε Κύριος, καθὰ καὶ σήμερον,
E καὶ ἐλιθοβόλησεν αὐτὸν ἐν λίθοις
κς. πᾶς Ἰσραὴλ, Καὶ ἐπέστησαν (3) αὐ-
τὸν (4) σωρὸν λίθων μέγαν. καὶ ἐπαύ-
σατο Κύριος τοῦ θυμοῦ τῆς ὀργῆς. διὰ
τοῦτο ἐπωνόμασεν αὐτὸ Ἐμεκαχὼρ
ἕως τῆς ἡμέρας ταύτης.

ΑΔΗΛΟΥ. Ἀκύλας καὶ Σύμμαχος,
κοιλὰς Ἀχώρ. κεῖται δὲ ἐν τοῖς βορείοις
Ἱεριχώ.

Z ΑΝΕΠΙΓΡΑΦΟΥ. Δεῖ μεμνῆσθαι, ὅτι
κοιλὰς Ἀχὼρ καὶ Ἐμακαχὼρ ὁ τόπος ὠνο-
μάσθη, ἐν ᾧ ὁ Ἄχαρ κατελεύσθη, δίκην
τῆς ἱεροσυλίας δεδωκώς.

** ΠΡΟΚΟΠΙΟΥ. Σὺν πάσῃ συγγε-
νείᾳ καὶ κλήσει τοῦτον ἠφάνισαν, ἀναγα-
γόντες, φησὶν εἰς Ἐμεκαχώρ· ὅπερ ἐξέ-
δωκαν Θεοδοτίων καὶ Σύμμαχος, κοιλὰς

A Ἀχώρ. κεῖται δὲ ἐν βορείοις Ἱεριχοῦς, εἰς
ἔτι νῦν οὕτω πρὸς τῶν ἐπιχωρίων λεγόμε-
νον. Ἀχὼρ δὲ, διαστροφὴ ἑρμηνεύεται. τοὺς
δὲ διεστραμμένους, καὶ ταῖς θείαις ἐντολαῖς
ἀπειθήσαντας ὁ ἀποδιδοὺς ἑκάστῳ κατὰ τὰ
ἔργα αὐτοῦ, καὶ τούτου χάριν ἐρχόμενος. εἰς
Φάραγγα, τὸν ᾅδην, ἐμβαλὼν ἀπολέσει
κακῶς. Θεὸς δὲ καὶ τιμῶν ἀγαθοὺς, καὶ
πονηροὺς τιμωρούμενος, δι' ἀμφοῖν τοὺς ἀν-
θρώπους προτρέπεται. τοὺς δὲ προσήκον-
B τας Ἄχαρ ὡς συνειδότας ἀπώλεσε. τοῦ δὲ
Θεοῦ κατακαυθῆναι προσάξαντος, λιθό-
λευστος γίνεται διὰ σφοδρὰν ὁρμὴν τοῦ λαοῦ,
μὴ ἀναμείναντος τοῦ θανάτου τὸν τρόπον
μαθεῖν, δεικνύντος ἀλλότριον ἑαυτὸν τοῦ
πλημμελήματος. ἀλλ' ὁ μὲν δίδωσι δίκην,
ἡ δὲ συναγωγὴ πρὸς εὐσέβειαν ἀσφαλε-
στέρα καθίσταται, φοβουμένη τὴν ἱεροσυ-
λίαν, ὡς τὴν ἧτταν γεννήσασαν. αὕτη δὲ
τοῖς μὲν πολεμίοις οὐδὲν μέγα παρέσχηκεν,
Γ ἄνδρας λ' καὶ ἕξ. καὶ ἀποκτείνασι πάντως
τοὺς ἐν ἁμαρτίαις χείρονας, ἰδίων πταισ-
μάτων ὑπέχοντας ἐν καιρῷ τιμωρίαν, οὐ
παραδεδωκότος αὐτοὺς τοῦ Θεοῦ, μὴ συνή-
θως δὲ βοηθήσαντος δι' οἰκονομίαν. ἀλλ'
οὐδὲ παρεῖδε παντελῶς. ἢ (5) γὰρ ἂν, οὐ
τοσοῦτοι μόνον ἀπώλοντο. καὶ ἄλογα δὲ
σὺν ἀψύχοις ἠφάνιστο, ὡς μολυνθέντα τῷ
κλέμματι, καὶ μηδενὸς αὐτῶν μετέχειν
ὀφείλοντος, τοῦ τῆς ἀσεβείας μεγέθους οὕτω
Δ μᾶλλον ἐμφανισθέντος. καὶ μᾶλλον αὖ ἐφο-
βήθησαν ὁρῶντες τοῦ Θεοῦ τὴν ὀργὴν καὶ
μέχρι τούτων χωρήσασαν. ἀλλὰ καὶ τῶν
Ἱεριχὼ πάντων ἀνατεθέντων Θεῷ, πῶς
αὐτῷ τὰ κλοπῇ μολυνθέντα παρέσχοντο;
καὶ ἕτερον δὲ πάλιν ᾠκονόμει διὰ τούτων
Θεός. πεπτωκότων γὰρ τῶν Ἱεριχοῦς αὐ-
τομάτως τειχῶν, ἢ πάντες οἱ Παλαιστίνην
οἰκοῦντες τειχῶν εἴσω παρέμενον ταῦτα πα-
θεῖν προσδοκήσαντες, καὶ ἦν λοιπὸν ὀχλη-
E ρόν τε καὶ πολυχρόνιον ἑκάστῃ πόλει τὸν
αὐτὸν εἰσάγεσθαι τρόπον· ἢ πρὸς ἱκετείαν
χωρούντων ἐπὶ τῷ σωθῆναι· δουλεύοντας
ὡς οἱ Γαβαωνῖται, δέος ἦν ἐκ τοῦ συνοικεῖν
μεταδοθῆναι τῆς αὐτῶν ἀσεβείας τῷ λαῷ
τοῦ Θεοῦ. εἰς ἣν καὶ μηδενὸς ἀπατῶντος,
ὤλισθαινον. νῦν δὲ διὰ τὴν ἧτταν θαῤῥή-
σαντες οἱ ἀλλόφυλοι, τύχῃ τινὶ καὶ ψεύδει
τὰ γεγονότα παρέχοντες, καὶ πανδημεὶ
λοιπὸν πανταχόθεν ἐξιόντες ἀπόλοντο,
Z μακροῦ πολέμου καὶ τριβῆς τὸν Ἰησοῦν ἀπαλ-
λάξαντες. ἔστησε γὰρ αὐτῷ καὶ τὸν ἥλιον
ὁ τούτου ποιητὴς, τῇ νίκῃ τέλος δωρούμενος.
εἰ τοίνυν (6) ἡ τῶν ὀλίγων Ἰσραηλιτῶν
φυγὴ τὸν μὲν ἱερόσυλον καὶ τοὺς συνειδό-
τας ἐκόλασε, τοὺς δὲ κάκιστα βιοῦντας ἀνεῖ-
λε καλῶς, καὶ τὸ μὲν πλῆθος τῶν Ἰουδαίων
ἐφόβισεν, ὅλῳ δὲ τῷ πολέμῳ ταχύτερον
τὸ

(1) Εἰς τὴν σκηνὴν αὐτοῦ. αἱ εἰρημ. ἐκδόσ.

(2) Ἐμεκαχώρ. ἡ ἐν Χαλ. ἐκδ.

(3) Καὶ κατέκαυσαν αὐτὸν, καὶ ἐπέστησαν. τὸ ἐν Ὀξον. χειρόγρ. Καὶ κατέκαυσαν αὐτὸν ἐν πυρὶ, καὶ ἐλιθοβόλησαν αὐτοὺς ἐν λίθοις, καὶ ἐπέστησαν. ἡ ἐν Κομπλουτ. ἔκδοσ. ἐν ταῖς σημ. τῆς Γραφ. τῆς ἐν Φρανεκ. ἐκδοθ. ἃ δὴ πάντως προσθετέον. καὶ γὰρ κατακαυθῆναι ἔδει τὸν Ἄχαρ κατὰ τὴν τοῦ Θεοῦ ἐπιταγὴν, ὡς ἐκ τοῦ ιε. ἐδ. τοῦδε τοῦ κεφ. δῆλον.

(4) Αὐτῷ. αἱ εἰρημ. ἐκδόσ.

(5) Ἢ. ὀρθότερ.

(6) Τὰ ἑξῆς ἄχρι τοῦ, ἐπέθηκε, τὰ αὐτὰ τοῖς τοῦ Μοψουεστίας τὰ ἐν σελ. 44.

τὸ τέλος ἐπέθηκε· θαυμασταὶ μὲν αἱ τοῦ A
Θεοῦ οἰκονομίαι, θαυμαστὴ δὲ ἡ ἀγαθότης ἡ
τῶν βλασφημούντων ἀνεχομένη. διὰ ταῦ-
τα δὲ καὶ ὁ θεῖος Ἀπόστολος λέγειν ἔοικεν·
1. Κορ. 5. 13. ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν.

ΚΥΡΙΛΛΟΥ. Ἐκκεκαλυμμένης δὲ ἤδη
τῆς ἁμαρτίας, ποινὰς ὑπετίθη τὸν Ἄχαρ
ὁ Ἰησοῦς, οὐχ ἑαυτὸν ἠδικηκότα μόνον, ἀλλὰ
εἰς ὅλην τὴν συναγωγὴν τὴν ἐκ τῆς ἰδίας
ἀκρατοῦς ἐπιθυμίας ἐκτείναντα βλάβην.

ΚΕΦ. Η.

α. Καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν,
μὴ φοβηθῇς, μηδὲ δειλιά-
σῃς. λάβε μετὰ σεαυτοῦ
πάντας τοὺς ἄνδρας τοὺς πολεμιστὰς,
καὶ ἀναστὰς ἀνάβηθι εἰς Γαΐ. ἰδοὺ δέ-
δωκα εἰς τὰς χεῖράς σου τὸν βασιλέα
Γαΐ, καὶ τὴν γῆν αὐτοῦ.

β. Καὶ ποιήσεις τῇ Γαῒ, ὃν τρό-
πον ἐποίησας τῇ Ἱεριχὼ, καὶ τῷ βα-
σιλεῖ αὐτῆς· καὶ τὴν προνομὴν τῶν
κτηνῶν προνομεύσεις σεαυτῷ. κατά-
στησον δὲ σεαυτῷ ἔνεδρα τῇ πόλει εἰς
τὰ ὀπίσω.

» ΩΡΙΓΕΝΟΥΣ. Προνομεύσεις σεαυτῷ,
ἐπειδὴ οὐκ ἔδει ὡς ἐν τῇ Ἱεριχὼ τὰ πάντα
ἀνατεθῆναι. (1)

γ. Καὶ ἀνέστη Ἰησοῦς καὶ πᾶς ὁ
λαὸς ὁ πολεμιστὴς ὥστε ἀναβῆναι εἰς
Γαΐ. καὶ ἐπέλεξεν Ἰησοῦς τριάκοντα
χιλιάδας ἀνδρῶν δυνατοὺς ἐν ἰσχύϊ,
δ. καὶ ἀπέστειλεν αὐτοὺς νυκτός· Καὶ ἐνε-
τείλατο αὐτοῖς, λέγων, ὑμεῖς ἐνε-
δρεύσατε ὀπίσω τῆς πόλεως· μὴ μα-
κρὰν γίνεσθε ἀπὸ τῆς πόλεως, καὶ
ε. ἔσεσθε πάντες ἕτοιμοι. Καὶ ἐγὼ καὶ
πάντες οἱ μετ' ἐμοῦ προσάξομεν εἰς
τὴν πόλιν. καὶ ἔσται ὡς ἂν ἐξέλθω-
σιν οἱ κατοικοῦντες Γαῒ εἰς συνάντησιν
ἡμῖν, καθάπερ καὶ πρώην, καὶ φευ-
ϛ. ξόμεθα ἀπὸ προσώπου αὐτῶν. Καὶ
ὡς ἂν ἐξέλθωσιν ὀπίσω ἡμῶν, ἀπο-
σπάσομεν αὐτοὺς ἀπὸ τῆς πόλεως·
καὶ ἐροῦσι, φεύγουσιν οὗτοι ἀπὸ προ-
σώπου ἡμῶν, ὃν τρόπον καὶ ἔμπροσθεν.
ζ. Ὑμεῖς δὲ ἐξαναστήσεσθε ἐκ τῆς ἐνέ-
δρας, καὶ πορεύσεσθε εἰς τὴν πόλιν,
η. καὶ ἐμπυρίσατε αὐτὴν πυρί. Κατὰ
τὸ ῥῆμα τοῦτο ποιήσατε· ἰδοὺ ἐντέλ-
λομαι ὑμῖν.

θ. Καὶ ἀπέστειλεν αὐτοὺς Ἰησοῦς,
καὶ ἐπορεύθησαν εἰς τὴν ἔνεδραν· καὶ
ἐνεκάθισαν ἀναμέσον Βαιθὴλ καὶ ἀνα-
μέσον τῆς Γαῒ, ἀπὸ θαλάσσης τῆς
Γαΐ. καὶ ηὐλίσθη Ἰησοῦς τὴν νύκτα
ἐκείνην ἐν μέσῳ τοῦ λαοῦ.

B ✻✻ ΠΡΟΚΟΠΙΟΥ. Κεῖται ἡ Βαιθὴλ
ἀπιόντων εἰς Αἰλίαν ἀπὸ νέας πόλεως ἐν
ἀριστερᾷ τῆς ὁδοῦ ἀμφὶ τὸ δωδέκατον Αἰ-
λίας σημεῖον.

ι. Καὶ ὀρθρίσας Ἰησοῦς τὸ πρωῒ,
ἐπεσκέψατο τὸν λαόν. καὶ ἀνέβησαν
αὐτὸς καὶ οἱ πρεσβύτεροι Ἰσραὴλ κα-
ια. τὰ πρόσωπον τοῦ λαοῦ ἐπὶ Γαΐ. Καὶ
πᾶς ὁ λαὸς ὁ πολεμιστὴς μετ' αὐτοῦ
ἀνέβησαν. καὶ πορευόμενοι ἦλθον
Γ ἐξ ἐναντίας τῆς πόλεως ἀπὸ ἀνατο-
ιβ. λῶν. (2) Καὶ τὰ ἔνεδρα τῆς πόλεως
ιγ. ἀπὸ ἀνατολῶν. Καὶ τὰ ἔνεδρα τῆς
ιδ. πόλεως ἀπὸ θαλάσσης. Καὶ ἐγένετο
ὡς εἶδεν ὁ βασιλεὺς τῆς Γαῒ, ἔσπευ-
σε καὶ ἐξῆλθεν εἰς συνάντησιν αὐτοῖς
ἐπ' εὐθείας εἰς τὸν πόλεμον, αὐτὸς,
καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτοῦ. καὶ αὐ-
Δ τὸς οὐκ ᾔδει, ὅτι ἔνεδρα αὐτῷ ἐστὶν
ιε. ὀπίσω τῆς πόλεως. Καὶ εἶδε, καὶ
ἀνεχώρησεν Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ
ιϛ. ἀπὸ προσώπου αὐτῶν. Καὶ κατεδίω-
ξαν ὀπίσω τῶν υἱῶν Ἰσραήλ· καὶ αὐ-
ιζ. τοὶ ἀπέστησαν ἀπὸ τῆς πόλεως. Οὐ
κατελείφθη οὐδεὶς ἐν τῇ Γαῒ, ὃς οὐ
κατεδίωξεν ὀπίσω Ἰσραήλ· καὶ κα-
τέλιπον τὴν πόλιν ἀνεῳγμένην, καὶ
E κατεδίωξαν ὀπίσω Ἰσραήλ.

ιη. Καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν,
ἔκτεινον τὴν χεῖρά σου ἐν τῷ γαισῷ
τῷ ἐν τῇ χειρί σου ἐπὶ τὴν πόλιν, εἰς
γὰρ τὰς χεῖράς σου παραδέδωκα αὐ-
τήν· καὶ τὰ ἔνεδρα ἐξαναστήσονται ἐν
τάχει ἐκ τοῦ τόπου αὐτῶν.

» ✻✻ ΠΡΟΚΟΠΙΟΥ. Ἔκτεινον τὴν χεῖ-
Z » ρά σου τῷ γαισῷ. ὁ Σύμμαχος, σὺν τῇ
ἀσπίδι, φησίν· Ἄλλος, τῷ δόρατι· Ἄλλος,
σημεῖον ἐφόδου καὶ παρατάξεως· οἱ δὲ, ἐμ-
βόλιον ὁλοσίδηρον. τῇ δὲ τῶν Ἰβήρων φω-
νῇ, ἀκόντιον, ὃ Ῥωμαῖοι καλοῦσι νύσσον.

ΑΔΗΛΟΥ. Ἀκύλας, σὺν τῷ κεστῷ. (3)
Σύμμαχος, σὺν τῇ ἀσπίδι. Εὐσέβιος δὲ ὁ
Ἐμέσης, δόρυ αὐτὸ λέγει, ἐν ᾧ τὸν βασι-
λέα τῆς Γαῒ ἐκρέμασεν ἐπὶ ξύλου διδύμου·
ὁ δὲ λεξιγράφος Διογενιανὸς, ἐμβόλιον
H εἶναι ὁλοσίδηρον· Ἄλλοι δὲ, ἀκόντιον· οἱ
δὲ Ῥωμαῖοι, ὑσσόν.

ΘΕΟΔΩ

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.
(2) Ἐν ταῖς εἰρημ. ἐκδόσ. τὸ ιγ. ἐστὶ ιβ. τὸ δὲ ιγ. λείπει.
(3) Συν τοκετῷ. ὁ Ἀλεξάνδ. κώδ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν μέντοι γαισὸν, ᾧ τοὺς λοχῶντας διήγειρεν Ἰησοῦς, ἀσπίδα ἡρμήνευσεν ὁ Ἰώσηπος, (1) ὡσαύτως δὲ καὶ ὁ Σύμμαχος.

ιθ. Καὶ ἐξέτεινεν Ἰησοῦς τὸν γαισὸν καὶ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν πόλιν. καὶ τὰ ἔνεδρα ἐξανέστησαν ἐν τάχει ὀπίσω αὐτῶν· (2) καὶ ἐξήλθοσαν ὅτε ἐξέτεινε τὴν χεῖρα, καὶ ἤλθοσαν εἰς τὴν πόλιν ἐν πυρί.

ΩΡΙΓΕΝΟΥΣ. Ἔμενε γὰρ Ἰησοῦς ἐκτεταμένην ἔχων τὴν χεῖρα, ἵνα θεασάμενοι οἱ τῆς ἐνέδρας προκαταλάβωνται τὴν πόλιν.

κ. Καὶ περιβλέψαντες οἱ κάτοικοι Γαῒ εἰς τὰ ὀπίσω αὐτῶν, ἑώρων καπνὸν ἀναβαίνοντα ἐκ τῆς πόλεως εἰς τὸν οὐρανόν· καὶ οὐκ ἔτι εἶχον ποῦ
κα. φύγωσιν ὧδε ἢ ὧδε. Ἰησοῦς (3) καὶ πᾶς ὁ λαὸς εἶδον, ὅτι ἔλαβον τὰ ἔνεδρα τὴν πόλιν, καὶ ὅτι ἀνέβη ὁ καπνὸς τῆς πόλεως εἰς τὸν οὐρανόν· καὶ μεταβαλλόμενοι ἐπάταξαν τοὺς ἄνδρας
κβ. τῆς Γαΐ. Καὶ οὗτοι ἐξήλθοσαν ἐκ τῆς πόλεως εἰς συνάντησιν. καὶ ἐγενήθησαν ἀναμέσον τῆς παρεμβολῆς, οὗτοι ἐντεῦθεν καὶ οὗτοι ἐντεῦθεν. καὶ ἐπάταξεν αὐτοὺς Ἰσραὴλ ἕως τοῦ μὴ καταλειφθῆναι αὐτῶν σεσωσμένον
κγ. καὶ διαπεφευγότα. Καὶ τὸν βασιλέα τῆς Γαῒ συνέλαβον ζῶντα, καὶ
κδ. προσήγαγον αὐτὸν πρὸς Ἰησοῦν. Καὶ ὡς ἐπαύσαντο οἱ υἱοὶ Ἰσραὴλ ἀποκτείνοντες πάντας τοὺς ἐν τῇ Γαΐ, τοὺς ἐν τοῖς πεδίοις, καὶ ἐν τῇ ἐρήμῳ (4) ἐπὶ τῆς καταβάσεως, οὗ (5) κατεδίωξαν αὐτοὺς ἐπ' αὐτῆς εἰς τέλος, καὶ ἐπέστρεψεν Ἰησοῦς ἐν Γαΐ, καὶ ἐπάταξεν
κε. αὐτοὺς (6) ἐν στόματι μαχαίρας. Καὶ ἐγενήθησαν οἱ πεσόντες ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, δώδεκα χιλιάδες, πάντας τοὺς κατοι-
κζ. κοῦντας ἐν Γαΐ. (7) Πλὴν τῶν κτηνῶν καὶ τῶν σκύλων τῶν ἐν τῇ πόλει, πάντα ἐπρονόμευσαν ἑαυτοῖς οἱ υἱοὶ Ἰσραὴλ κατὰ πρόσαγμα Κυρίου, ὃν τρόπον συνέταξε Κύριος τῷ Ἰησοῦ.

κη. Καὶ ἐνεπύρισεν Ἰησοῦς τὴν πόλιν ἐν πυρί· χῶμα ἀοίκητον εἰς τὸν αἰῶνα ἔθηκεν αὐτὴν ἕως τῆς ἡμέρας ταύτης.

κθ. Καὶ τὸν βασιλέα τῆς Γαῒ ἐκρέμασεν ἐπὶ ξύλου διδύμου· καὶ ἦν ἐπὶ ξύλου (8) ἕως ἑσπέρας. καὶ ἐπιδύνοντος τοῦ ἡλίου συνέταξεν Ἰησοῦς, καὶ καθεῖλον αὐτοῦ τὸ σῶμα ἀπὸ τοῦ
B ξύλου, καὶ ἔρριψαν αὐτὸ εἰς τὸν βόθρον. καὶ ἐπέστησαν αὐτῷ σωρὸν λίθων ἕως τῆς ἡμέρας ταύτης.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἐπὶ ξύλου διδύμου, τουτέστιν ἐπὶ σταυροῦ. ἴσως καὶ μονόβολον ἦν.

ΑΔΗΛΟΥ. Ξύλον ἐστὶ δίδυμον, εἰς δύο σχιζόμενόν τε καὶ ἁπλούμενον, ὡς ἁρμοσθῆναι τῇ ἐκτάσει τῶν χειρῶν ἐσταυρωμένῳ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τινὲς ὠμότητα κα-
Γ τηγοροῦσι τοῦ Προφήτου, ὅτι πάντας ἄρδην ἀνῄρει, καὶ τοὺς βασιλέας ἐσταύρου. Ὁ τοῦ Προφήτου κατηγορῶν, τοῦ ταῦτα προστεταχότος κατηγορεῖ. αὐτὸς γὰρ (9) διὰ Μωϋσοῦ τοῦ νομοθέτου προσέταξε, πάντας ἄρδην ἀναιρεθῆναι τοὺς τὴν γῆν ἐκείνην οἰκήσαντας· ἅτε δὴ πανωλεθρίας ἄξια πεπραχότας, καὶ εἰς ἔσχατον παρανομίας ἐλάσαντας. τούτου χάριν καὶ τὸν κατακλυσμὸν ἐπενήνοχε πάλαι, καὶ τὰ Σόδομα καὶ τὰ Γό-
Δ μορρα πυρὶ κατηνάλωσε. καὶ τοὺς ἄρχοντας δὲ προσέταξεν ὁ Προφήτης ἐπιθεῖναι τοὺς πόδας τοῖς τῶν βασιλέων τραχήλοις· ἵνα θαρρήσαντες προθυμότερον παρατάξωνται. τοῦτο καὶ ὁ Κύριος ἡμῶν προσέταξεν
» Ἰησοῦς· ἰδοὺ, ἔφη, δέδωκα ὑμῖν ἐξουσίαν πα- Λουκ. 10
» τεῖν ἐπάνω ὄφεων καὶ σκορπίων, καὶ ἐπὶ
» πᾶσαν τὴν δύναμιν τοῦ ἐχθροῦ. εἴη τοίνυν καὶ ἡμᾶς ἐπιθεῖναι τοὺς πόδας ἡμῶν ἐπὶ τοὺς τραχήλους τῶν ἀντικειμένων πνευμάτων.

Ε ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἐπιδύνοντος τοῦ ἡλίου προσέταξεν ὁ Θεὸς διὰ Μωϋσέως θάπτεσθαι τὸν ἐσταυρωμένον. τοῦτο δὴ νῦν παρέχει καὶ τῷ βασιλεῖ Γαῒ Ἰησοῦς ὁ τοῦ Ναυῆ τιμῶν τὴν ἐντολήν. εἰδὼς δὲ, ὅτι εἰ καὶ ἡ προαίρεσις μοχθηρὰ τῶν ἐσταυρωμένων ἀνθρώπων ἐστίν, ἀλλά τοι φύσει αἰδοῦς τυγχάνει εἰκότως διὰ ταφῆς. ὡς δὲ λέγει τις, (10) προστεταχέναι τὸν Θεὸν θάπτεσθαι τοὺς ἐσταυρωμένους εἰς τιμὴν τοῦ μέλλοντος σταυ-
Ζ ροῦσθαί τε καὶ θάπτεσθαι ὑπὲρ τῆς τοῦ κόσμου σωτηρίας, πιστῶς ἂν ποιῇ καὶ τῆς ἀληθείας ἀξίως.

ΚΕΦ.

(1) Ἰησοῦς δὲ ἀγνίσας τὸν στρατὸν, ἐξῆγεν ἐπὶ τὴν Αἴναν αὐτοὺς, καὶ νυκτὸς τὰ περὶ τὴν πόλιν ἐνέδραις προλοχίσας, ὑπὸ τὸν ὄρθρον συμβάλλει τοῖς πολεμίοις. τῶν δὲ μετὰ θράσους αὐτοῖς διὰ τὴν προτέραν νίκην ἐπιόντων, ὑποχωρεῖν προσποιησάμενος, ἕλκει τῷ τρόπῳ τούτῳ μακρὰν αὐτοὺς τῆς πόλεως διώκειν οἰομένους, καὶ ὡς ἐπὶ νίκῃ καταφρονοῦντας. ἔπειτα ἀναστρέψας, τὴν δύναμιν κατὰ πρόσωπον αὐτοῖς ποιεῖ· σημεῖά τε δοὺς, ἃ πρὸς τοὺς ἐν ταῖς ἐνέδραις συνετέτακτο, κἀκείνους ἐπὶ τὴν μάχην ἐξανίστησι. ταῦτα μόνα ὁ Ἰώσηπ. ἐν κεφ. 1. τοῦ 5. περὶ Ἰουδ. ἀρχ. βιβλ. ἀντιγράφῳ ἄρα ὁ Θεοδώριτ. τυχὸν ἐνέτυχε, τὸ, ἀσπίδα, περιέχοντι· εἰ μὴ ἀπὸ μνήμης ταῦτα γράψας, τὸ, ἀσπίδα, λαθὼν προσέθηκε.

(2) Ἐκ τοῦ τόπου αὐτῶν. αἱ εἰρημ. ἐκδόσ. (3) Καὶ Ἰησοῦς καὶ πᾶς Ἰσραήλ. αἱ αὐτ.

(4) Ἐν τῷ ὄρει. αἱ αὐτ. (5) Οὗ. αἱ αὐτ. οὐς. ἢ τοῦ Ἀλδ. (6) Αὐτὴν ἐν στόματι ῥομφαίας. αἱ αὐτ.

(7) Καὶ οὐκ ἐπέστρεψε χεῖρα αὐτοῦ Ἰησοῦς ἐν τῷ γαισῷ ἕως ἀνεθεμάτισε τοὺς κατοικοῦντας Γαΐ. ταῦτα ἀντὶ τοῦ κϛ. ἐδ. κεῖται ἐν ταῖς σημειώσ. τῆς ἐν Φρανεκ. ἐκδόσ. καὶ ταῦτα μᾶλλον λευκαίνειν ἔοικε τὸ ἀνωτέρω κείμενον τοῦ Ὠριγεν. ὑπόμν. ὃ ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται. (8) Ἐπὶ τοῦ ξύλου. αἱ εἰρημ. ἐκδόσ.

(9) Γὰρ ὁ τῶν ὅλων Θεὸς διά. ἡ ἐν Χαλ. ἐκδ. (10) Ἴσ. εἰ δὲ λέγει τις.

ΚΕΦ. Θ.

α. Ὡς δὲ ἤκουσαν πάντες οἱ βασιλεῖς τῶν Ἀμοῤῥαίων οἱ ἐν τῷ πέραν τοῦ Ἰορδάνου, οἱ ἐν τῇ ὀρεινῇ, καὶ οἱ ἐν τῇ πεδινῇ, καὶ οἱ ἐν πάσῃ τῇ παραλίῳ τῆς θαλάσσης τῆς μεγάλης, καὶ οἱ πρὸς τῷ Ἀντιλιβάνῳ, καὶ οἱ Χετταῖοι, καὶ οἱ Χαναναῖοι, καὶ οἱ Φερεζαῖοι, καὶ οἱ Εὐαῖοι, καὶ οἱ Ἀμοῤῥαῖοι, καὶ οἱ Γερ-
β. γεσαῖοι, καὶ οἱ Ἐβουσαῖοι, (1) Συνήλθοσαν ἐπὶ τὸ αὐτὸ ἐκπολεμῆσαι Ἰησοῦν καὶ Ἰσραὴλ ἅμα πάντες.

λ. (2) Τότε ᾠκοδόμησεν Ἰησοῦς θυσιαστήριον Κυρίῳ τῷ Θεῷ Ἰσραὴλ
λα. ἐν τῷ ὄρει Γαιβάλ· Καθότι ἐνετείλατο Μωϋσῆς ὁ θεράπων Κυρίου τοῖς υἱοῖς Ἰσραὴλ, καθὰ γέγραπται ἐν τῷ νόμῳ Μωϋσῆ, θυσιαστήριον ἐκ λίθων ὁλοκλήρων, ἐφ᾽ οὓς οὐκ ἐβλήθη σίδηρος. καὶ ἀνεβίβασαν ἐκεῖ ὁλοκαυτώματα Κυρίῳ, καὶ θυσίαν σωτηρίου.

ΑΝΕΠΙΓΡΑΦΟΥ. *Διὰ τούτου τοῦ θυσιαστηρίου τὸ ἀληθινὸν θυσιαστήριον δείκνυται, ἔνθα τὸ πάθος τοῦ Κυρίου γέγονε τῆς οἰκουμένης σωτήριον. ἐπ᾽ αὐτοῦ γὰρ οὐκ ἐπεβλήθη σίδηρος εἰς κατασκευήν.*

** ΠΡΟΚΟΠΙΟΥ. *Ἔνθα αἱ κατάραι τὸ θυσιαστήριον, εἰς τύπον τοῦ μέλλοντος λύσαι τὰς κατάρας Χριστοῦ· δι᾽ ὧν κατάρα γέγονεν ἀνθ᾽ ἡμῶν.*

λβ. Καὶ ἔγραψεν Ἰησοῦς ἐπὶ τῶν λίθων τὸ Δευτερονόμιον νόμον Μωϋσέως, ὃν ἔγραψεν ἐνώπιον Ἰσραήλ.

λγ. Καὶ πᾶς Ἰσραὴλ, καὶ οἱ πρεσβύτεροι αὐτοῦ, (3) καὶ οἱ δικασταὶ αὐτῶν, καὶ οἱ γραμματεῖς αὐτῶν παρεπορεύοντο ἔνθεν καὶ ἔνθεν τῆς κιβωτοῦ ἀπέναντι· καὶ οἱ ἱερεῖς καὶ Λευῖται ἦραν τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου. καὶ ὁ προσήλυτος καὶ ὁ αὐτόχθων ἦσαν οἱ ἡμίσεις πλησίον ὄρους Γαριζεὶν, καὶ ἦσαν οἱ ἥμισυ πλησίον ὄρους Γαιβὰλ, καθότι ἐνετείλατο Μωϋσῆς ὁ θεράπων Κυρίου εὐλογῆσαι τὸν λαὸν ἐν πρώτοις.

** ΝΕΙΛΟΥ. *Ὅσοι ἀγάπῃ Θεοῦ καὶ προθέσει εὐλογιῶν πολιτεύονται, οὗτοι λέγονται ἵστασθαι πλησίον τοῦ ὄρους, τοῦ Γαριζεὶν προσαγορευομένου. ὅσοι δὲ οὐχὶ δι᾽ εὐλογίαν καὶ φιλίαν καὶ ἔπαινον τοῦ Θεοῦ, ἀλλὰ διὰ τὸν φόβον τῶν ἀπειληθεισῶν κολάσεων τὰ καλὰ ἐπιτελοῦσιν ἔργα, οὗτοι λέγονται εἶναι ἐγγὺς τοῦ ὄρους Γαιβὰλ, ὅπου αἱ κατάραι ἐδόθησαν· οὐχ ἵνα ἐν κατάρᾳ γένηται ὁ παρὰ τῷ Γαιβὰλ σταθεὶς, ἀλλ᾽*
B *ἵνα θεασάμενος τὰς φοβερὰς κατάρας, παντὶ σθένει φυλάξηται τοῦ μὴ περιπεσεῖν αὐταῖς.*

λδ. Καὶ μετὰ ταῦτα οὕτως ἀνέγνω Ἰησοῦς πάντα τὰ ῥήματα τοῦ νόμου τούτου, τὰς εὐλογίας καὶ τὰς κατάρας, κατὰ πάντα τὰ γεγραμμένα ἐν τῷ
λε. νόμῳ Μωϋσέως. Οὐκ ἦν ῥῆμα ἀπὸ πάντων ὧν ἐνετείλατο Μωϋσῆς τῷ
Γ Ἰησοῦ, ὃ οὐκ ἀνέγνω Ἰησοῦς εἰς τὰ ὦτα πάσης ἐκκλησίας υἱῶν Ἰσραὴλ, τοῖς ἀνδράσι καὶ ταῖς γυναιξὶ καὶ τοῖς παιδίοις καὶ τοῖς προσηλύτοις τοῖς προσπορευομένοις τῷ Ἰσραήλ.

ΑΔΗΛΟΥ. *Στήσας τὸν λαὸν ἀναμέσον τῶν δύο ὀρέων, ἐποίησε τὰς εὐλογίας ῥηθῆναι καὶ τὰς κατάρας. καὶ μήπου γε διὰ τοῦτο γέγονεν ἐν ὄρει Γεβὰλ τὸ θυσια-*
Δ *στήριον· ἐπειδὴ καὶ τὸ θυσιαστήριον καὶ τὰ θυόμενα τύπον ἐπεῖχε τοῦ μέλλοντος λύειν τὰς κατάρας Χριστοῦ, καὶ ὑπὲρ ἡμῶν γενομένου κατάρα, καὶ εἰς ὀσμὴν εὐωδίας προσενέγκαντος ἑαυτὸν τῷ Θεῷ καὶ πατρὶ, ἵνα ἡμᾶς τῆς κατάρας ἐλευθερώσῃ.*

γ. Καὶ οἱ κατοικοῦντες Γαβαὼν ἤκουσαν πάντα ὅσα ἐποίησε Κύριος
E τῇ Ἱεριχὼ καὶ τῇ Γαΐ.

δ. Καὶ ἐποίησαν καί γε αὐτοὶ μετὰ πανουργίας· καὶ ἐλθόντες ἐπεσιτίσαντο καὶ ἡτοιμάσαντο· καὶ λαβόντες σάκκους παλαιοὺς ἐπὶ τῶν ὤμων αὐτῶν, καὶ ἀσκοὺς οἴνου παλαιοὺς καὶ
ε. κατεῤῥωγότας ἀποδεδεμένους, Καὶ τὰ κοῖλα τῶν ὑποδημάτων αὐτῶν, καὶ τὰ σανδάλια αὐτῶν παλαιὰ καὶ
Z καταπεπαλτωμένα (4) ἐν τοῖς ποσὶν αὐτῶν, καὶ τὰ ἱμάτια αὐτῶν πεπαλαιωμένα ἐπ᾽ αὐτῶν, καὶ ὁ ἄρτος αὐτῶν τοῦ ἐπισιτισμοῦ ξηρὸς καὶ εὐρωτιῶν καὶ βεβρωμένος.

ΑΔΗΛΟΥ. *Ἔστι πανουργία καλή. περὶ ἧς γέγραπται· (5) υἱὸς σοφὸς πανοῦργος ἔσται. ταύτῃ χρησάμενος Ἰακὼβ ἔλαβε τὰ*

(1) Ἰεβουσαῖοι. αἱ εἰρημ. ἐκδόσ.
(2) Τοῦτό τε καὶ τὰ ἑξῆς 5. ἐδ. τῷ προλαβόντι κεφ. σεσημειωμένα εἰσὶν ἐν τῇ τοῦ Ἀλδ. ἐκδόσ.
(3) Αὐτῶν. αἱ εἰρημ. ἐκδόσ.
(4) Καταπεπελματωμένα. αἱ αὐτ. Καταπεπελτωμένα. αὐτ. ἐν ταῖς σημ.
(5) Ἴσ. ἐλήφθη ἐκ τοῦ 16. ἐδ. τοῦ 13. κεφ. τῶν Παροιμ.

τοῦ ἀδελφοῦ αὐτοῦ. ταύτῃ καὶ οἱ Γαβαωνῖται χρησάμενοι, ἐκφεύγουσι τὸν θάνατον.

ς. Καὶ ἦλθον πρὸς Ἰησοῦν εἰς τὴν
παρεμβολὴν Ἰσραὴλ εἰς Γάλγαλα,
καὶ εἶπον πρὸς Ἰησοῦν καὶ πρὸς πάντα
Ἰσραὴλ, ἐκ γῆς μακρόθεν ἥκαμεν·
ζ. καὶ νῦν διάθεσθε ἡμῖν διαθήκην. Καὶ
εἶπαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς τὸν Χορ-
ῥαῖον, ὅρα μὴ ἐν ἐμοὶ κατοικεῖς· καὶ
η. πῶς σοι διαθῶμαι διαθήκην; Καὶ
εἶπαν πρὸς Ἰησοῦν, οἰκέται σου ἐσμέν.
καὶ εἶπε πρὸς αὐτοὺς Ἰησοῦς, πόθεν
θ. ἐστὲ, καὶ πόθεν παραγεγόνατε; Καὶ
εἶπαν πρὸς Ἰησοῦν, ἐκ γῆς μακρόθεν
σφόδρα ἥκασιν οἱ παῖδές σου ἐν ὀνό-
ματι Κυρίου τοῦ Θεοῦ σου· ἀκηκόαμεν
ι. γὰρ τὸ ὄνομα αὐτοῦ, (1) Καὶ ὅσα
ἐποίησε τοῖς δυσὶ βασιλεῦσι τῶν Ἀ-
μοῤῥαίων, οἳ ἦσαν πέραν τοῦ Ἰορδάνου,
τῷ Σηὼν βασιλεῖ Ἐσεβὼν, καὶ τῷ
Ὢγ βασιλεῖ τῆς Βασὰν, ὃς κατῴκει
ια. ἐν Ἀσαρὼθ καὶ ἐν Ἐδραΐν. Καὶ ἀκού-
σαντες εἶπαν πρὸς ἡμᾶς οἱ πρεσβύ-
τεροι ἡμῶν καὶ πάντες οἱ κατοικοῦν-
τες τὴν γῆν ἡμῶν, λέγοντες, λά-
βετε αὐτοῖς ἐπισιτισμὸν εἰς τὴν ὁδὸν,
καὶ πορεύθητε εἰς συνάντησιν αὐτῶν,
καὶ ἐρεῖτε πρὸς αὐτοὺς, οἰκέται σου
ἐσμὲν, καὶ νῦν διάθεσθε ἡμῖν διαθή-
ιβ. κην. Οὗτοι οἱ ἄρτοι, θερμοὺς ἐφω-
διάσθημεν αὐτοὺς ἐν τῇ ἡμέρᾳ ᾗ ἐξήλ-
θομεν παραγενέσθαι πρὸς ὑμᾶς· νῦν
δὲ ἐξηράνθησαν, καὶ γεγόνασι βεβρω-
ιγ. μένοι. Καὶ οὗτοι οἱ ἀσκοὶ τοῦ οἴνου οὓς
ἐπλήσαμεν καινοὺς, καὶ οὗτοι ἐῤῥώ-
γασι. καὶ τὰ ἱμάτια ἡμῶν, καὶ τὰ
ὑποδήματα ἡμῶν πεπαλαίωνται ἀπὸ
τῆς πολλῆς ὁδοῦ σφόδρα.

ιδ. Καὶ ἔλαβον οἱ ἄρχοντες ἀπὸ
τοῦ ἐπισιτισμοῦ αὐτῶν, καὶ Κύριον οὐκ
ιε. ἐπερώτησαν. Καὶ ἐποίησεν Ἰησοῦς
πρὸς αὐτοὺς εἰρήνην, καὶ διέθετο πρὸς
αὐτοὺς διαθήκην τοῦ διασῶσαι αὐτούς.
καὶ ὤμοσαν αὐτοῖς οἱ ἄρχοντες τῆς
συναγωγῆς.

ΑΔΗΛΟΥ. Ἡ ἀπάτη εἰς πέρας ἤχθη. οὐ γὰρ ἐπερώτησεν Ἰησοῦς καὶ οἱ υἱοὶ Ἰσραὴλ περὶ αὐτῶν τὸν Θεόν. καὶ ἡ δουλεία δὲ αὐτῶ (2) ἡ περὶ τὸ ἱερὸν εἰς πέρας ἤγαγε τοῦ Νῶε τὴν προφητείαν, εἰπόντος· ἐπι- A „κατάρατος Χὰμ παῖς, οἰκέτης ἔσται τοῖς „ἀδελφοῖς αὐτοῦ. Γεν. 9. 25

** ΠΡΟΚΟΠΙΟΥ. Προυχώρησεν αὐτοῖς τὰ τῆς μηχανῆς, διὰ τὸ τὸν Ἰησοῦν μὴ ἐρωτῆσαι περὶ αὐτῶν τὸν Θεόν.

ις. Καὶ μετὰ (3) τὸ διαθέσθαι
πρὸς αὐτοὺς διαθήκην, ἤκουσαν ὅτι
ἐγγύθεν αὐτῶν εἰσὶ, καὶ ὅτι ἐν αὐ-
τοῖς κατοικοῦσι.

B ιζ. Καὶ ἀπῆραν οἱ υἱοὶ Ἰσραὴλ, καὶ
ἐξῆλθον εἰς τὰς πόλεις αὐτῶν· αἱ δὲ
πόλεις αὐτῶν Γαβαὼν καὶ Χεφειρὰ
καὶ Βηρωὼθ, καὶ πόλεις Ἰαρείμ.

** ΠΡΟΚΟΠΙΟΥ. Γαβαὼν μητρόπολις καὶ βασιλικὴ τῶν Εὐαίων· ἣ καὶ γέγονε κλήρου Βενιαμίν. νῦν δὲ κώμη ἐστὶν οὕτω καλουμένη πλησίον τῆς Βαιθὴλ πρὸς δυσμαῖς, ὡς ἀπὸ σημείων τεσσάρων· Γ παράκειται δὲ τῇ Ῥαμᾶ. ἣ καὶ ἀφώριστο Λευίταις πλησίον Ῥεμμών. ἐνταῦθα Σολομὼν θύσας, χρησμοῦ καταξιοῦται. (4) ἡ δὲ Βηθὼρ κώμη νῦν ἐστὶ πλησίον Αἰλίας, κατιόντων ἐπὶ Νικόπολιν ἀπὸ ἑβδόμου σημείου.

ιη. Καὶ οὐκ ἐμαχέσαντο αὐτοῖς οἱ
υἱοὶ Ἰσραὴλ, ὅτι ὤμοσαν αὐτοῖς πάν-
τες οἱ ἄρχοντες τῆς συναγωγῆς ἐν
Δ Κυρίῳ Θεῷ Ἰσραήλ. καὶ διεγόγγυ-
σαν πᾶσα ἡ συναγωγὴ ἐπὶ τοῖς ἄρ-
ιθ. χουσι. Καὶ εἶπαν πάντες οἱ ἄρχοντες
πάσῃ τῇ συναγωγῇ, ἡμεῖς ὠμόσα-
μεν αὐτοῖς Κύριον τὸν Θεὸν Ἰσραὴλ,
καὶ νῦν οὐ δυνησόμεθα ἅψασθε αὐ-
κ. τῶν. Τοῦτο ποιήσομεν, ζωγρῆσαι αὐ-
τοὺς, καὶ περιποιησόμεθα αὐτούς. καὶ
οὐκ ἔσται καθ' ἡμῶν ὀργὴ διὰ τὸν ὅρ-
E κον, ὃν ὠμόσαμεν αὐτοῖς.

κα. Ζήσονται, καὶ ἔσονται ξυλοκό-
ποι καὶ ὑδροφόροι πάσῃ τῇ συναγω-
γῇ. καὶ ἐποίησαν πᾶσα ἡ συναγωγὴ,
καθάπερ εἶπαν αὐτοῖς οἱ ἄρχοντες.

** ΚΥΡΙΛΛΟΥ. Οἱ ἀπὸ Γαβαὼν προσκεχωρήκασι μὲν τῷ Ἰησοῦ ποτὲ, καὶ τῷ λαῷ τοῦ Θεοῦ προσοικειοῦσθαι λίαν ἐξελιπάρουν· πλὴν οὐκ ἀκάκουργον ἐποιοῦντο τὴν Z προσδρομὴν, οὔτε μὴν ἁπλῆν τε καὶ ἀκαπήλευτον καὶ ὡς ἐξ ἀγάπης τῆς πρὸς Θεὸν, ἀλλ' ἐν ὑποκρίσει καὶ δόλῳ. καὶ διέλαθον μὲν ἐν ἀρχαῖς· ἔπειτα δὲ πικρὰ δρῶντες ἡλίσκοντο, καὶ κατεφωράθησαν κακόνοοί τε καὶ πολυγνώμονες, ἐν τοῖς ἐσχάτοις ἐτάττοντο. γεγόνασι γὰρ ξυλοκόποι τε καὶ ὑδροφόροι πάσῃ τῇ συναγωγῇ. ὁρᾷς οὖν ὅποι

(1) Αὐτοῦ, καὶ ὅσα ἐποίησεν ἐν Αἰγύπτῳ, Καί. αἱ εἰρημ. ἐκδόσ. (2) Ἴσ. αὐτῶν.

(3) Καὶ ἐγένετο μετὰ τρεῖς ἡμέρας, μετὰ τό. αἱ αὐτ.

(4) Τὰ αὐτὰ ὁ Εὐσέβ. Καισαρ. ἐν τῷ περὶ τοπικ. ὀνομάτ. σελ. 77. τῆς ἐν Αμστελοδ. ἐκδόσ. ἀντὶ δὲ τῶν ἑξῆς, ταῦτα· Βηθθορὼν ἔνθα κατεδίωξεν Ἰησοῦς τοὺς βασιλεῖς, ἣ γέγονεν υἱῶν Ἰωσὴφ, τοῦ Ἐφραίμ. καὶ εἰσὶ κῶμαι δύο, ὡς ἀπὸ σημείων Αἰλίας ιβ', ἐπὶ τὴν εἰς Νικόπολιν ὁδὸν, ὧν ἡ μὲν καλεῖται Βηθθορὼν ἡ ἀνωτέρα, ἣν ᾠκοδόμησε Σολομών· ἡ δὲ κατωτέρα Λευΐταις ἀφωρισμένη. ἐν σελ. 42.

ὅποι κατακομιεῖ τὸ μὴ γνήσιον, καὶ τὸ μὴ
ἐλέσθαι τιμᾶν ἐξ ὑγιοῦς διανοίας τὴν πρὸς
ἁγίους οἰκειότητα πνευματικήν; ἀπατῶσι
μὲν γὰρ ἔσθ' ὅτε τινὲς, καὶ οὐ δήπου φημὶ
τὸν πάντα εἰδότα Χριστὸν, τοὺς ἐν τύπῳ δὲ
μᾶλλον αὐτοῦ, τουτέστι τοὺς λαῶν ἡγουμένους·
καθάπερ ἀμέλει κἀκεῖνοι τότε τὸν Ἰησοῦν,
εἰς εἰκόνα καὶ ὑποτύπωσιν παρενεχθέντα
Χριστοῦ, καὶ εἰσελαύνουσι μετὰ δόλου κατα-
σκιασμάτων ἐν βάθει διαλογισμῶν, καὶ
τῆς εἰς νοῦν πονηρίας προϊσχόμενοι τὴν ὑπό-
κρισιν. καταγινωσκόμενοι δέ· λαθεῖν γὰρ
οὐκ ἔνι· σωθήσονται μόλις, μοῖραν ἔχον-
τες τὴν δουλοπρεπῆ καὶ ἐσχάτην. ἀνελευ-
θέρου γὰρ γνώμης ἀπάτη καρπός.

κβ. Καὶ συνεκάλεσεν αὐτοὺς Ἰη-
σοῦς, καὶ εἶπεν αὐτοῖς, διατὶ παρελο-
γίσασθέ με, λέγοντες, ὅτι μακρὰν
ἀπὸ σοῦ ἐσμὲν σφόδρα· ὑμεῖς δὲ ἐγ-
χώριοί ἐστε τῶν κατοικούντων ἐν ἡμῖν;

κγ. Καὶ νῦν ἐπικατάρατοί ἐστε·
οὐ μὴ ἐκλείπῃ ἐξ ὑμῶν δοῦλος ξυλο-
κόπος, οὐδὲ ὑδροφόρος ἐμοὶ καὶ τῷ
Θεῷ μου.

ΑΔΗΛΟΥ. Θεῷ δὲ ἐξυπηρετούμενος πῶς
ἂν εἴη ἐπικατάρατος; Ἀλλὰ τοῦ Θεοῦ τὴν
οἰκονομίαν θαυμάζων.

κδ. Καὶ ἀπεκρίθησαν τῷ Ἰησοῦ,
λέγοντες, ὅτι ἀγγελίᾳ ἀνηγγέλη
ἡμῖν ὅσα συνέταξε Κύριος ὁ Θεός σου
Μωϋσῇ παιδὶ αὐτοῦ, δοῦναι ὑμῖν τὴν
γῆν ταύτην, καὶ ἐξολοθρεῦσαι ἡμᾶς
καὶ πάντας τοὺς κατοικοῦντας ἐπ' αὐ-

A τῆς ἀπὸ προσώπου ὑμῶν. καὶ ἐφοβή-
θημεν σφόδρα περὶ τῶν ψυχῶν ἡμῶν
ἀπὸ προσώπου ὑμῶν, καὶ ἐποιήσαμεν
κε. τὸ πρᾶγμα τοῦτο. Καὶ νῦν ἰδοὺ ἡμεῖς
ὑποχείριοι ὑμῖν, ὡς ἀρέσκει ὑμῖν καὶ
κς. ὡς δοκεῖ ὑμῖν, ποιήσατε ἡμῖν. Καὶ
ἐποίησαν αὐτοῖς οὕτω. καὶ ἐξείλατο
αὐτοὺς Ἰησοῦς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ
χειρὸς υἱῶν Ἰσραὴλ, καὶ οὐκ ἀνεῖλον
B αὐτούς.

κζ. Καὶ κατέστησεν αὐτοὺς Ἰησοῦς
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ξυλοκόπους καὶ ὑδρο-
φόρους πάσῃ [τῇ] συναγωγῇ, καὶ
τῷ θυσιαστηρίῳ τοῦ Θεοῦ ἕως τῆς σή-
μερον ἡμέρας, καὶ εἰς τὸν τόπον ὃν ἂν
ἐκλέξηται Κύριος.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ ξυλοφόρους (1)
Γ καὶ ὑδροφόρους τοὺς Γαβαωνίτας ἀπέφηνεν;
Ἐξηπάτησαν καὶ τῷ σχήματι καὶ τῷ ψεύδει
τῶν λόγων. καὶ δέον ἔρεσθαι τὸν δεσπότην
Θεὸν, εἶθ' οὕτω τὰς πρὸς αὐτοὺς συνθήκας
ποιήσασθαι· τοῖς ψευδέσι λόγοις αὐτῶν πε-
πιστευκότες ἐπείσαντο, καὶ τὰς συνθήκας
ἐκράτυναν ὅρκῳ. προσετετάχει δὲ ὁ τῶν
ὅλων Θεὸς πάντας ἐκείνους παραδοθῆναι
θανάτῳ. τῆς θείας τοίνυν ἐντολῆς, καὶ
τῶν ὅρκων μέσος ἀποληφθεὶς, ὑπηρέτας
Δ αὐτοὺς τῆς ἱερᾶς λειτουργίας ἀπέφηνεν. οὐκ
ἀτιμία δὲ τὸ διακονεῖν τῷ Θεῷ, ἀλλὰ καὶ
μεγίστη τιμή. ἔδει δὲ καὶ τοῦ Νῶε τὴν πρόῤ-
» ῥησιν πέρας λαβεῖν. ἔφη γὰρ, ἐπικα- Γεν. 9. 25.
» τάρατος Χαναὰν παῖς, οἰκέτης ἔσται τοῖς
» ἀδελφοῖς αὐτοῦ. ἐν δὲ τοῖς Γαβαωνίταις ἡ
πρόῤῥησις τὸ πέρας ἐδέξατο.

ΚΕΦ. Ι.

α. Ὡς δὲ ἤκουσεν Ἀδωνιβεζὲκ
βασιλεὺς Ἱερουσαλὴμ ὅτι
ἔλαβεν Ἰησοῦς τὴν Γαΐ,
καὶ ἐξωλόθρευσεν αὐτὴν, ὃν τρόπον
ἐποίησε τὴν Ἱεριχὼ καὶ τὸν βασιλέα
αὐτῆς, οὕτως ἐποίησε καὶ τὴν Γαΐ καὶ
τὸν βασιλέα αὐτῆς, καὶ ὅτι ηὐτομό-
λησαν οἱ κατοικοῦντες Γαβαὼν πρὸς
Ἰησοῦν καὶ πρὸς τοὺς υἱοὺς Ἰσραὴλ, καὶ
β. ἐγένοντο ἐν τῷ μέσῳ αὐτῶν. Καὶ
ἐφοβήθησαν ἐν ἑαυτοῖς σφόδρα· ᾔδει-
σαν γὰρ ὅτι ἡ πόλις Γαβαὼν μεγά-
λη, ὡσεὶ καὶ μία τῶν μητροπόλεων
τῶν βασιλέων. ὅτι αὕτη μεγάλη
ὑπὲρ τὴν Γαΐ, καὶ πάντες οἱ ἄνδρες
αὐτῆς ἰσχυροί.

γ. Καὶ ἀπέστειλεν Ἀδωνιβεζὲκ βα-
σιλεὺς Ἱερουσαλὴμ πρὸς Ἐλὰμ βα-
σιλέα Χεβρὼν, καὶ πρὸς Φειδὼν βα-

E σιλέα Ἱεριμοὺθ, καὶ πρὸς Ἰεφθὰ βα-
σιλέα Λάχεις, καὶ πρὸς Δάμειν βα-
σιλέα Ὀδολλὰμ, λέγων,

** ΠΡΟΚΟΠΙΟΥ. Ἡ Χεβρὼν πλη-
σίον Χερμὲλ ἀπὸ βοῤῥᾶ, ἔνθα φρούρια
στρατιωτῶν ᾠκοδόμηται. Ἱεριμοὺθ δὲ ὡς
ἀπὸ σημείων ιδ' Ἐλευθερουπόλεως περὶ
τὴν Ἐσθαὼλ, κώμην Ὀδολλάμ. Λάχεις
δὲ κώμη νῦν ἐστὶν Ἐλευθερουπόλεως, ἀπέ-
Z χουσα σημείοις ζ' πρὸς νότον ἀπιόντων εἰς
Δαρωνάν.

δ. Δεῦτε, ἀνάβητε πρός με, καὶ
βοηθήσατέ μοι, καὶ ἐκπολεμήσωμεν
Γαβαών· ηὐτομόλησαν γὰρ πρὸς Ἰη-
ε. σοῦν καὶ πρὸς τοὺς υἱοὺς Ἰσραήλ. Καὶ
συνήχθησαν, καὶ ἀνέβησαν οἱ πέντε
βασιλεῖς τῶν Ἰεβουσαίων, βασιλεὺς
H Ἱερουσαλὴμ, καὶ βασιλεὺς Χεβρὼν,
καὶ βασιλεὺς Ἱεριμοὺθ, καὶ βασιλεὺς
Λάχεις, καὶ βασιλεὺς Ὀδολλὰμ, αὐ-

(1) Ξυλοκόπους. ἡ ἐν Χάλ. ἔκδ.

τοὶ καὶ πᾶς ὁ λαὸς αὐτῶν· καὶ πα-
ρεκάθησαν (1) τὴν Γαβαὼν, καὶ ἐξε-
ϛ. πολιόρκουν αὐτήν. Καὶ ἀπέστειλαν οἱ
κατοικοῦντες Γαβαὼν πρὸς Ἰησοῦν εἰς
τὴν παρεμβολὴν Ἰσραὴλ εἰς Γάλ-
γαλα, λέγοντες, μὴ ἐκλύσῃς τὰς
χεῖράς σου ἀπὸ τῶν παίδων σου· καὶ
ἀνάβηθι πρὸς ἡμᾶς τὸ τάχος, καὶ
ἐξελοῦ ἡμᾶς, καὶ βοήθησον ἡμῖν· ὅτι
συνηγμένοι εἰσὶν ἐφ᾽ ἡμᾶς πάντες οἱ
βασιλεῖς τῶν Ἀμοῤῥαίων, οἳ ἦσαν
ζ. κατοικοῦντες τὴν ὀρεινήν. Καὶ ἀνέβη
Ἰησοῦς ἐκ Γαλγάλων, αὐτὸς καὶ πᾶς
ὁ λαὸς ὁ πολεμιστὴς μετ᾽ αὐτοῦ, πᾶς
η. δυνατὸς ἐν ἰσχύϊ. Καὶ εἶπε Κύριος
πρὸς Ἰησοῦν, μὴ φοβηθῇς αὐτοὺς, εἰς
γὰρ τὰς χεῖράς σου παραδέδωκα αὐ-
τούς· οὐχ ὑπολειφθήσεται ἐξ αὐτῶν
θ. οὐδὲ εἷς ἐνώπιον ὑμῶν. Καὶ ἐπεὶ παρε-
γένετο ἐπ᾽ αὐτοὺς Ἰησοῦς ἄφνω, ὅλην
τὴν νύκτα ἐπορεύθη ἐκ Γαλγάλων.
ι. Καὶ ἐξέστησεν αὐτοὺς Κύριος ἀπὸ προ-
σώπου τῶν υἱῶν Ἰσραήλ· καὶ συνέτρι-
ψεν αὐτοὺς Κύριος σύντριψιν μεγά-
λην ἐν Γαβαών. καὶ κατεδίωξεν (2)
αὐτοὺς ὁδὸν ἀναβάσεως Ὡρωνεὶμ, καὶ
κατέκοπτεν αὐτοὺς ἕως Ἀζηκὰ καὶ ἕως
ια. Μαδηκά. Ἐν δὲ τῷ φυγεῖν αὐτοὺς
ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραὴλ ἐπὶ
τῆς καταβάσεως Ὡρωνεὶμ, καὶ Κύ-
ριος ἐπέῤῥιψεν αὐτοῖς λίθους χαλά-
ζης ἐκ τοῦ οὐρανοῦ ἕως Ἀζηκὰ, καὶ
ἀπεθάνοσαν. καὶ ἐγένοντο πλείους οἱ
ἀποθνήσκοντες διὰ τοὺς λίθους τῆς
χαλάζης, ἢ οὓς ἀπέκτειναν οἱ υἱοὶ Ἰσ-
ραὴλ ἐν μαχαίρᾳ ἐν τῷ πολέμῳ.

ιβ. Τότε ἐλάλησεν Ἰησοῦς πρὸς
Κύριον, ᾗ ἡμέρᾳ παρέδωκεν ὁ Θεὸς
τὸν Ἀμοῤῥαῖον ὑποχείριον Ἰσραὴλ,
ἡνίκα συνέτριψεν αὐτοὺς ἐν Γαβαὼν,
καὶ συνετρίβησαν ἀπὸ προσώπου υἱῶν
Ἰσραήλ· καὶ εἶπεν Ἰησοῦς, στήτω ὁ ἥλιος
κατὰ Γαβαὼν, καὶ ἡ σελήνη κατὰ
φάραγγα Αἰλὼμ (3) ἕως ἂν ἐκπο-
λεμήσω τὸν λαὸν τοῦτον.

ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐνταῦθα οἱ λέγοντες τὸν οὐρανὸν σφαῖραν εἶναι, τί ἂν εἴποιεν; διατί γὰρ μὴ εἶπε, στήτω ὁ ἥλιος, ἀλλ᾽ ἐπήγαγε, κατὰ Γαβαῶν, καὶ ἡ σελήνη κατὰ φάραγγα Αἰλώμ; τουτέστι μείζονα τὴν ἡμέραν ἐργασάσθω. τοῦτο καὶ ἐπὶ Ἐζεκίου γέγονεν. ἀνεπόδισε γὰρ ὁ ἥλιος. ἀλλὰ τοῦτο ἐκείνου θαυμασιώτερον πάλιν τὸ τὴν ἐναντίαν ἐλθεῖν ὁδὸν, μήπω περιελθόντα τὸν δρόμον. (4)

** ΤΟΥ ΑΥΤΟΥ. Οὐ μόνον τῇ φύσει τῶν στοιχείων δεῖγμα τῆς ἀσθενείας αὐτῶν ἐγκατέθετο ὁ Θεὸς, ἀλλὰ καὶ τοῖς αὐτοῦ δούλοις, ἀνθρώποις οὖσιν, ἐπιτάξαι αὐτοῖς ἐκέλευσεν. ἵνα κἂν ἀπὸ τῆς ὄψεως μὴ γνωρίσῃς αὐτῶν τὴν δουλείαν, ἀπὸ τῶν ἐπιταττόντων μάθῃς ὅτι σύνδουλά σοι ἐστὶ ταῦτα ἅπαντα. ὁ γοῦν Ἰησοῦς ὁ τοῦ Ναυῆ
» φησί· στήτω ὁ ἥλιος κατὰ Γαβαῶν, καὶ ἡ
» σελήνη κατὰ φάραγγα Αἰλώμ.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Εἰκόνα ἔφερε τοῦ τῆς κτίσεως ποιητοῦ, τοῦ καὶ τὴν κτίσιν ἐκ μὴ ὄντος εἰς τὸ εἶναι παραγαγόντος, καὶ ἡμᾶς ἐκ δουλείας ἐλευθερώσαντος, καὶ εἰς τὴν ἀληθῆ ἐπαγγελίαν εἰσαγαγόντος.

** ΩΡΙΓΕΝΟΥΣ. Ἔντευξις δέ μοι εἶναι δοκεῖ καὶ τὸ ὑπὸ Ἰησοῦ εἰρημένον περὶ τοῦ στῆναι τὸν ἥλιον κατὰ Γαβαώθ.

** ΜΑΞΙΜΟΥ. Δι᾽ εὐχῆς αἰτεῖ ὁ τοῦ Ναυῆ Ἰησοῦς στῆναι τὸν ἥλιον κατὰ Γαβαώ· τουτέστιν ἄδυτον αὐτῷ τὸ φῶς τῆς γνώσεως τοῦ Θεοῦ κατὰ τὸ ὄρος τῆς κατὰ νοῦν θεωρίας φυλαχθῆναι· καὶ τὴν σελήνην κατὰ φάραγγα· τουτέστι τὴν φυσικὴν διάκρισιν ἐπὶ τῆς σαρκικῆς ἀσθενείας κειμένην ἀπὸ τῆς ἀρετῆς ἀναλλοίωτον διαμεῖναι. ἡ Γαβαὼ ἐστὶν ὁ ὑψηλὸς νοῦς· ἡ δὲ φάραγξ ἐστὶν ἡ τῷ θανάτῳ ταπεινωθεῖσα σάρξ. καὶ ὁ μὲν ἥλιός ἐστιν ὁ φωτίζων τὸν νοῦν λόγος, καὶ χορηγῶν αὐτῷ θεωρημάτων δύναμιν, καὶ πάσης ἀγνοίας αὐτὸν ἀπαλλάσσων· ἡ δὲ σελήνη, ὁ κατὰ φύσιν νόμος ἐστὶν, ὁ πείθων τὴν σάρκα νομίμως ὑποταγῆναι τῷ πνεύματι, πρὸς τὸ δέξασθαι τῶν ἐντολῶν τὸν ζυγόν. Φύσεως δὲ σύμβολον ἡ σελήνη διὰ τὸ τρεπτόν· ἀλλ᾽ ἐν τοῖς ἁγίοις ἄτρεπτος διαμένει διὰ τὴν ἀναλλοίωτον ἕξιν τῆς ἀρετῆς.

ιγ. Καὶ ἔστη ὁ ἥλιος καὶ ἡ σελήνη ἐν στάσει, ἕως ἠμύνατο ὁ Θεὸς τοὺς ἐχθροὺς αὐτοῦ, οὐχὶ τοῦτο γεγραμμένον ἐπὶ βιβλίου τοῦ εὐθοῦς. καὶ ἔστη ὁ ἥλιος κατὰ μέσον τοῦ οὐρανοῦ· οὐ προεπορεύετο εἰς δυσμὰς ἕως εἰς τέλος ἡμέρας μιᾶς.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, οὐχὶ τοῦτο γέ-
» γραπται ἐπὶ τὸ βιβλίον τοῦ εὐθοῦς; (5) Διδάξας ἡμᾶς ὁ συγγραφεὺς τοῦ Προφήτου τὴν δύναμιν, ὅτι λόγῳ μόνῳ χρησάμενος προβῆναι τοὺς μεγάλους φωστῆρας κεκώλυκεν, ἕως κατὰ κράτος ἐνίκησεν, ὑπειδόμενος μή τις ἀπιστήσῃ τῷ λόγῳ, ἔφη, τοῦτο ἐν τῷ παλαιῷ εὑρηκέναι (6) συγγράμματι. δῆλον τοίνυν κἀντεῦθεν, ὡς ἄλλος

τὶς

(1) Περιεκάθισαν. αἱ εἰρημ. ἐκδόσ.
(2) Καὶ κατεδίωξαν . . . Ὡρωνὶν, καὶ κατέκοπτον . . . Ἀζηκὰ καὶ ἕως Μακηδά. αἱ αὐτ.
(3) Τὰ ἑπόμ. οὐ κεῖται ἐν ταῖς εἰρημ. ἐκδόσ.
(4) Ἐν τοῖς ἐκδεδομέν. οὐχ εὕρηται.
(5) Βιβλίον τὸ εὑρεθέν; ἡ ἐν Χάλ. ἔκδ.
(6) Εὑρεθῆναι. ἡ αὐτ.

τὶς τῶν μεταγενεςέρων τὴν βίβλον ταύτην συνέγραψε, λαβὼν τὰς ἐξ ἑτέρας βίβλου ἀφορμάς. καὶ τοῦτο δὲ προτυποῖ τὴν τοῦ Σωτῆρος θαυματουργίαν. ὥσπερ γὰρ τοῦ Προφήτου πολεμοῦντος, ὁ ἥλιος ἔςη· οὕτω τοῦ Σωτῆρος ἡμῶν θανάτῳ τὸν θάνατον καταλύοντος, ἐπέσχε τὰς ἀκτῖνας ὁ ἥλιος, καὶ σκότους ἐν μεσημβρίᾳ τὴν οἰκουμένην ἐπλήρωσε.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ γέγραπται ἐπὶ
» βιβλίου τοῦ εὐθοῦς. Ὁ συγγραφεύς φησιν, οὐ
πρῶτος διηγοῦμαι τὸ θαῦμα. εὕρηται γὰρ
βιβλίον τὸ παράδοξον τοῦ πράγματος ἀφη-
» γούμενον. Μωϋσῆς δὲ οὐκ εἶπε, ςήτω ὁ ἥλιος,
οὐκ ἀνέβλεψεν εἰς τὸν οὐρανὸν, οὐκ ἔδειξε
» σημεῖον οὐράνιον. ὁ δὲ Ἰησοῦς φησὶ, ςήτω ὁ
ἥλιος. καὶ ἡ Γραφὴ μαρτυρεῖ, ὡς οὐδέποτε
Θεὸς οὕτως ἀνθρώπων ὑπήκουσεν. ἔςησεν
οὖν τὸν ἥλιον καὶ Ἰησοῦς ὁ ἐμὸς, καὶ ἐπὶ
τῆς παρουσίας αὐτοῦ μείζονά μοι τὴν ἡμέ-
ραν κατὰ τῶν πολεμίων πεποίηκεν· ἵνα
ςρατηγούμενος ὑπὸ τοῦ Ἰησοῦ, τοὺς ἀντιπά-
λους τροπώσωμαι.

ιδ. Καὶ οὐκ ἐγένετο ἡμέρα τοιαύτη
οὐδὲ τὸ πρότερον οὐδὲ τὸ ἔσχατον, ὥςε
ιε. ἐπακοῦσαι Θεὸν φωνῆς ἀνθρώπου. Καὶ
ἐπέςρεψε, (1) καὶ πᾶς Ἰσραὴλ μετ'
αὐτοῦ εἰς τὴν παρεμβολὴν εἰς Γάλ-
γαλα, ὅτι Κύριος συνεπολέμησε τῷ
ις. Ἰσραήλ. Καὶ ἔφυγον οἱ πέντε βα-
σιλεῖς οὗτοι, καὶ κατεκρύβησαν εἰς τὸ
ιζ. σπήλαιον τὸ ἐν Μακηδά. Καὶ ἀπηγ-
γέλη τῷ Ἰησοῦ, λέγοντες, εὕρηνται
οἱ πέντε βασιλεῖς κεκρυμμένοι ἐν τῷ
ιη. σπηλαίῳ τῷ ἐν Μακηδά. Καὶ εἶπεν
Ἰησοῦς, κυλίσατε λίθους ἐπὶ τὸ ςόμα
τοῦ σπηλαίου, καὶ καταςήσατε ἐπ' αὐτοῦ
ιθ. ἄνδρας φυλάσσειν ἐπ' αὐτούς. Ὑμεῖς
δὲ ἑςήκατε ὧδε, ἀλλὰ καταδιώκετε
ὀπίσω τῶν ἐχθρῶν ὑμῶν, καὶ κατα-
λάβετε τὴν οὐραγίαν αὐτῶν, καὶ μὴ
ἀφῆτε αὐτοὺς εἰσελθεῖν εἰς τὰς πό-
λεις αὐτῶν· παρέδωκε γὰρ αὐτοὺς
Κύριος ὁ Θεὸς ἡμῶν εἰς τὰς χεῖρας
κ. ἡμῶν. Καὶ ἐγένετο ὡς κατέπαυσεν
Ἰησοῦς καὶ πᾶς Ἰσραὴλ κόπτοντες αὐ-
τοὺς κοπὴν μεγάλην σφόδρα εἰς τέ-
λος, (2) καὶ οἱ διασώζοντες (3) διεσώ-
θησαν εἰς τὰς πόλεις τὰς ὀχυράς.

κα. Καὶ ἐπεςράφη πᾶς ὁ λαὸς πρὸς Ἰησοῦν εἰς Μακηδὰ ὑγιής. καὶ οὐκ ἔγρυξεν οὐδὲ εἷς τὸν υἱῶν Ἰσραὴλ τῇ γλώσσῃ αὐτῶν.

** ΠΡΟΚΟΠΙΟΥ. Μακεδά. Ἔςιν αὕτη πρὸς ἀνατολὰς Ἐλευθερουπόλεως ἀπὸ

A σημείων ή. ἔνθα κατέκλεισε τοὺς έ βασι-
λεῖς Ἰησοῦς, τύπον ἔχοντας τῶν Δαιμόνων·
οἵπερ ἡμᾶς διὰ τῶν έ πολεμοῦσιν αἰσθή-
» σεων. περὶ ὧν ὁ Πέτρος φησὶν, εἰ γὰρ ὁ 2. Πέτρ. 2. 4.
» Θεὸς Ἀγγέλων ἁμαρτησάντων οὐκ ἐφείσα-
» το, ἀλλὰ σειραῖς ζόφου ταρταρώσας, πα-
» ρέδωκεν εἰς κρίσιν τηρουμένους. παρεκάλουν
δὲ τὸν Ἰησοῦν ἐν Εὐαγγελίοις μὴ ἀποςεῖλαι
αὐτοὺς εἰς τὴν ἄβυσσον. ὧν καὶ τοῖς τραχή-
» λοις ἐπιβαίνειν ἐποίησεν, ὑποτάξας ἡμῖν Ψαλ. 46. 3.
B » λαοὺς, καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν· ἐπὶ Ψαλ. 90. 13.
» ἀσπίδα καὶ βασιλίσκον ἐπιβήσῃ, παρεγ-
» γυῶν. τὸ δὲ μηδένα γρύξαι τῇ γλώττῃ
τῶν υἱῶν Ἰσραὴλ, τὸ μὴ διαγογγύσαι παν-
» τελῶς ὡς ἐπὶ βλάβῃ τινὶ, κατὰ τὸ, πάντα Φιλιπ. 2. 14.
» ποιεῖτε χωρὶς γογγυσμοῦ καὶ διαλογισμῶν.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Οὐ γὰρ ἔςι τὶς τῶν ςρατηγουμένων ὑπὸ τοῦ ἀληθινοῦ Ἰησοῦ, ὅςις οὐ νικᾷ τοὺς ἐχθροὺς, καὶ ἀβλαβὴς πρὸς αὐτὸν ἐπανέρχεται, οὐδὲν τὸ παράπαν ἐκ τοῦ
Γ πολέμου τῶν ἐναντίων πεπονθώς.

κβ. Καὶ εἶπεν Ἰησοῦς, ἀνοίξατε
τὸ σπήλαιον, καὶ ἐξαγάγετε τοὺς βα-
σιλεῖς τοὺς πέντε (4) ἐκ τοῦ σπηλαίου.
κγ. Καὶ ἐξηγάγοσαν τοὺς πέντε βασιλεῖς
ἐκ τοῦ σπηλαίου, τὸν βασιλέα Ἱερου-
σαλὴμ, καὶ τὸν βασιλέα Χεβρὼν,
καὶ τὸν βασιλέα Ἱερειμοὺθ, καὶ τὸν
Δ βασιλέα Λάχεις, καὶ τὸν βασιλέα
Ὀδολλάμ.

κδ. Καὶ ἐπεὶ ἐξήγαγον αὐτοὺς πρὸς Ἰησοῦν, καὶ συνεκάλεσεν Ἰησοῦς πάντα Ἰσραὴλ, καὶ τοὺς ἐναρχομένους τοῦ πολέμου τοὺς συμπορευομένους αὐτῷ, λέγων αὐτοῖς, προπορεύεσθε καὶ ἐπίθετε τοὺς πόδας ὑμῶν ἐπὶ τοὺς τραχή-
E λους αὐτῶν. προσελθόντες δὲ ἐπέθηκαν τοὺς πόδας αὐτῶν ἐπὶ τοὺς τραχήλους αὐτῶν.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἐπειδήπερ ἀντέςησαν αὐτοῖς, κελεύει τοῖς μαχίμοις καταπατεῖν τοὺς αὐχένας αὐτῶν, ὅπως θαρσαλεώτεροι γένοιντο κατὰ τῶν ἄλλων. τύπος δ' ἂν καὶ τοῦτο τοῦ ἀληθινοῦ Θεοῦ, τοῦ ὑποτάξαντος τοῖς πνευματικοῖς ὁπλίταις τὸν Διάβολον, καὶ δόντος ἐξουσίαν πατεῖν
Z ἐπάνω ὄφεων καὶ σκορπίων.

κε. Καὶ εἶπε πρὸς αὐτοὺς Ἰησοῦς, μὴ φοβῆσθε (5) αὐτοὺς, μηδὲ δειλιάσητε, ἀνδρίζεσθε καὶ ἰσχύετε, ὅτι οὕτω ποιήσει Κύριος πᾶσι τοῖς ἐχθροῖς ὑμῶν, οὓς ὑμεῖς καταπολεμεῖτε αὐτούς.

** ΠΡΟΚΟΠΙΟΥ. Οὕτω καὶ ὁ τοῦ πνευματικοῦ πολέμου ταξίαρχος Παῦλος,
H » τοῦ λοιποῦ, φησὶν, ἐνδυναμοῦσθε ἐν Κυρίῳ Ἐφεσ. 6. 10, 11, 12.
καὶ

(1) Ἰησοῦς. ἐν ταῖς σημειώσ. τῆς ἐν Φραν. ἐκδόσ. ἐν ᾗ μόνον τάδε κεῖται· ὅτι Κύριος συνεξεπολέμησε τῷ Ἰσραήλ· συνηνωμένα τῷ ιδ. ἐδ. οὐ γὰρ ἔχει ιε. (2) Ἕως εἰς τέλος. αἱ εἰρημ. ἐκδόσ.
(3) Οἱ διασωζόμενοι. αἱ αὐτ. (4) Τοὺς πέντε βασιλεῖς τούτους. αἱ αὐτ. (5) Μὴ φοβηθῆτε. αἱ αὐτ.

» καὶ ἐν τῷ κράτει τῆς ἰσχύος αὐτῦ· ἐνδύ-
» σαϑε τὴν πανοπλίαν τῦ Θεῦ, πρὸς τὸ δύ-
» ναϑαι ὑμᾶς στῆναι πρὸς τὰς μεϑοδίας τῦ
» Διαβόλυ· ὅτι ὐκ ἔστιν ἡμῖν ἡ πάλη πρὸς
» αἷμα καὶ σάρκα, καὶ τὰ ἑξῆς.

κς. Καὶ ἀπέκτεινεν αὐτὺς Ἰησῦς, καὶ ἐκρέμασεν αὐτὺς ἐπὶ πέντε ξύλων. καὶ ἦσαν κρεμάμενοι ἐπὶ τῶν ξύλων ἕως ἑσπέρας.

» ✻ ΠΡΟΚΟΠΙΟΥ. Ἕως ἑσπέρας, τυτέστιν ἕως τῆς συντελείας τῦ αἰῶνος. τοῖς γὰρ ἁμαρτωλοῖς νὺξ ἐστιν ὁ μέλλων αἰών.
Ζαχ. 14. 7. περὶ ὧν ὁ Προφήτης· (1) ἵνα τὶ ὑμῖν τὴν
» ἡμέραν Κυρίυ ζητεῖν; καὶ αὕτη ἐστὶν ὑμῖν
» νὺξ, καὶ ὐχ ἡμέρα. [ἔφη δὲ πρὸς Ἰυδαίυς
Ἰωάν. 12. 35. ὁ Κύριος· ἐν ὅσῳ τὸ Φῶς ἔχετε, περιπα-
» τεῖτε ἐν τῷ Φωτὶ, ἵνα μὴ σκοτία ὑμᾶς καταλάβῃ· μετὰ δὲ τὴν συντέλειαν τῷ ἐξωτέρῳ σκότῳ κατακριϑήσονται.]

κζ. Καὶ ἐγενήϑη πρὸς ἡλίυ δυσμὰς, καὶ ἐνετείλατο Ἰησῦς, καὶ καϑεῖλον αὐτὺς ἀπὸ τῶν ξύλων, καὶ ἔῤῥιψαν αὐτὺς εἰς τὸ σπήλαιον, εἰς ὃ κατέφυγον ἐκεῖ, καὶ ἐπεκύλισαν λίϑον ἐπὶ τὸ σπήλαιον ἕως τῆς σήμερον ἡμέρας.

ΑΔΗΛΟΥ. Εἰς τὸ σπήλαιον, τυτέστιν εἰς τὸ σκότος τὸ ἐξώτερον.

κη. Καὶ τὴν Μακηδὰ ἔλαβον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἐφόνευσαν αὐτὴν ἐν στόματι μαχαίρας, καὶ ἐξωλόϑρευσαν αὐτὴν καὶ πᾶν ἐμπνέον ὃ ἦν ἐν αὐτῇ· καὶ ὐ κατελείφϑη ὐδεὶς ἐν αὐτῇ διασεσωσμένος καὶ διαπεφευγώς. καὶ ἐποίησαν τῷ βασιλεῖ Μακηδὰ, ὃν τρόπον ἐποίησαν τῷ βασι-
κϑ. λεῖ Ἰεριχώ. Καὶ ἀπῆλϑεν Ἰησῦς καὶ πᾶς Ἰσραὴλ μετ' αὐτῦ ἐκ Μακηδὰ εἰς Λεμνὰ, καὶ ἐπολιόρκει Λεμνά.
λ. Καὶ παρέδωκεν αὐτὴν Κύριος εἰς χεῖρας Ἰσραήλ. καὶ ἔλαβεν αὐτὴν, καὶ τὸν βασιλέα αὐτῆς, καὶ ἐφόνευσαν αὐτὴν ἐν στόματι ξίφυς, καὶ πᾶν ἐμπνέον ἐν αὐτῇ· καὶ ὐ κατελείφϑη ἐξ αὐτῶν ὐδὲ εἷς διασεσωσμένος καὶ διαπεφευγώς. καὶ ἐποίησε τῷ βασιλεῖ αὐτῆς, ὃν τρόπον ἐποίησε τῷ βασιλεῖ Ἰεριχώ.

λα. Καὶ ἀπῆλϑεν Ἰησῦς καὶ πᾶς Ἰσραὴλ μετ' αὐτῦ ἐκ Λεμνὰ εἰς Λάχεις, καὶ περιεκάϑισεν αὐτὴν, καὶ ἐπολιόρκει αὐτήν.

✻✻ ΠΡΟΚΟΠΙΟΥ. Λοβδὰ κώμη νῦν ἐστὶν Ἐλευϑερυπόλεως μετὰ τὴν ἅλωσιν ἱερατικὴ γενομένη. καὶ Λάχεις δὲ κώμη
A τῆς αὐτῆς πόλεως. καὶ πάντα δὲ κατεστρέψατο. ἦσαν γὰρ ἤδη πεπληρωμέναι τῶν Ἀμοῤῥαίων αἱ ἁμαρτίαι.

λβ. Καὶ παρέδωκε Κύριος τὴν Λάχεις εἰς χεῖρας Ἰσραήλ. καὶ ἔλαβεν αὐτὴν ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, καὶ ἐφόνευσαν αὐτὴν ἐν στόματι ξίφυς, καὶ ἐξωλόϑρευσαν αὐτὴν, ὃν τρόπον
λγ. ἐποίησαν τῇ Λεμνᾷ. Τότε ἐξῆλ-
B ϑεν (2) Ἐλὰμ βασιλεὺς Γάζης βοηϑήσων τῇ Λάχεις. καὶ ἐπάταξεν αὐτὸν Ἰησῦς ἐν στόματι ξίφυς, καὶ τὸν λαὸν αὐτῦ, ἕως τῦ μὴ καταλειφϑῆναι ἐν αὐτῷ σεσωσμένον καὶ διαπε-
λδ. φευγότα. Καὶ ἀπῆλϑεν Ἰησῦς καὶ πᾶς Ἰσραὴλ μετ' αὐτῦ ἐκ Λάχεις εἰς Ὀδολλὰμ, καὶ περιεκάϑισεν αὐτὴν,
λε. καὶ ἐπολιόρκησεν αὐτήν. Καὶ πα-
Γ ρέδωκεν αὐτὴν Κύριος εἰς χεῖρας Ἰσραήλ. καὶ ἔλαβεν αὐτὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἐφόνευσαν αὐτὴν ἐν στόματι ξίφυς, καὶ πᾶν ἐμπνέον ἐν αὐτῇ ἐφόνευσαν, ὃν τρόπον ἐποίησαν τῇ
λς. Λάχεις. Καὶ ἀπῆλϑεν Ἰησῦς καὶ πᾶς Ἰσραὴλ μετ' αὐτῦ εἰς Χεβρὼν, καὶ περιεκάϑισεν αὐτὴν, καὶ ἔλαβεν αὐ-
λζ. τήν. Καὶ ἐπάταξεν αὐτὴν ἐν στόμα-
Δ τι ξίφυς, καὶ πάντα ἐμπνέοντα ὅσα ἦν ἐν αὐτῇ· ὐ κατέλιπε σεσωσμένον. (3) ὃν τρόπον ἐποίησαν τῇ Ὀδολλὰμ, ἐξωλόϑρευσαν αὐτὴν, καὶ ὅσα ἦν ἐν αὐτῇ, ὃν τρόπον ἐποίησαν ταῖς
λη. πόλεσι. Καὶ ἀπέστρεψεν Ἰησῦς καὶ πᾶς Ἰσραὴλ εἰς Δαβεὶρ, καὶ περιεκά-
λϑ. ϑισαν αὐτὴν, Καὶ ἔλαβον αὐτὴν,
E καὶ τὸν βασιλέα αὐτῆς, καὶ τὰς κώμας αὐτῆς. καὶ ἐπάταξεν αὐτὴν ἐν στόματι ξίφυς, καὶ ἐξωλόϑρευσαν αὐτὴν, καὶ πᾶν ἐμπνέον ἐν αὐτῇ· ὐ κατέλιπον ὐδένα διασεσωσμένον. ὃν τρόπον ἐποίησαν τῇ Χεβρὼν καὶ τῷ βασιλεῖ αὐτῆς, ὕτως ἐποίησαν τῇ Δαβεὶρ καὶ τῷ βασιλεῖ αὐτῆς, καϑάπερ ἐποίησαν τῇ Λεμνᾷ καὶ τῷ βα-
Z
μ. σιλεῖ αὐτῆς. Καὶ ἐπάταξεν Ἰησῦς πᾶσαν τὴν γῆν τῆς ὀρεινῆς, καὶ τὴν Ναβαῒ, (4) καὶ τὴν πεδινὴν, καὶ τὴν Ἀσηδὼϑ, καὶ τὺς βασιλεῖς αὐτῆς. ὐ κατέλιπον αὐτῶν σεσωσμένον· καὶ πᾶν ἐμπνέον ἐξ αὐτῆς ἐξωλόϑρευσαν, ὃν τρόπον ἐνετείλατο Κύ-
H ριος ὁ Θεὸς Ἰσραὴλ, καὶ ἀπέκτεινεν αὐτὺς Ἰησῦς,

μα. Ἀπὸ

(1) Κατὰ τὸν λέγοντα Προφήτην. ὁ τῆς Αὐγ. κώδ.
(3) Οὐκ ἦν διασεσωσμένος. αἱ αὐτ.
(2) Ἀνέβη. αἱ εἰρημ. ἐκδόσ.
(4) Ναγέβ. αὐτ.

μα. Ἀπὸ Κάδης Βαρνὴ ἕως Γάζης πᾶσαν τὴν γῆν Γοζὼμ (1) ἕως τῆς Γαβαών.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἀπὸ Κάδης Βαρνή. Ἔρημός ἐστι τῇ Πέτρᾳ πόλει τῆς Ἀραβίας παρακειμένη. ἔνθα καὶ Μαριὰμ ἐτελεύτησε, καὶ Μωϋσῆς διστάσας παίει τὴν πέτραν.

A

μβ. Καὶ πάντας τοὺς βασιλεῖς αὐτῶν, καὶ τὴν γῆν αὐτῶν ἐπάταξεν Ἰησοῦς εἰς ἅπαξ· ὅτι Κύριος ὁ Θεὸς Ἰσραὴλ συνεπολέμει τῷ Ἰσραήλ.

ΑΔΗΛΟΥ. Ἦσαν γὰρ λοιπὸν πεπληρωμέναι τῶν Ἀμορραίων αἱ ἁμαρτίαι, καὶ καιρὸς ἦν αὐτοὺς δίκας εἰσπραχθῆναι τῆς ἀσεβείας.

ΚΕΦ. ΙΑ.

α. Ὡς δὲ ἤκουσεν Ἰαβὶν βασιλεὺς Ἀσὼρ, ἀπέστειλε πρὸς Ἰωβὰβ βασιλέα Μαρρὼν, καὶ πρὸς βασιλέα Συμεὼν, (2) καὶ πρὸς βασιλέα Ἀζίφ,

β. Καὶ πρὸς τοὺς βασιλεῖς τοὺς κατὰ Σιδῶνα τὴν μεγάλην, εἰς τὴν ὀρεινὴν, καὶ εἰς τὴν Ἀῤῥαβαὼθ, καὶ ἀπέναντι τῆς Κενερὲθ, καὶ εἰς τὸ πεδίον, καὶ εἰς Φενεδδὼρ,

Γ

ΑΔΗΛΟΥ. Ἰαβεὶμ, ἔχθρα· Ἰωβὰβ, ἐχθραίνων· Ἀσὼρ, αὐλή· Μάῤῥωμ, τὸ πικρόν· Σιδῶνα, θηρευτήριον· Ὁμόῤῥων, τῶν ψεκτῶν ὑπακουσμῶν· Ἀχὴφ, πῶς ῥεῖ. τούτων καὶ τῶν τοιούτων ἐνευροκόπησεν Ἰησοῦς τοὺς ἵππους. διὰ τούτων τῶν συνελθόντων βασιλέων οἱ κατὰ καιρὸν σημαίνονται διωγμοὶ τῆς Ἐκκλησίας. πάντας δὲ καταπολεμῶν ὁ ἀληθινὸς Ἰησοῦς σώζει τὴν ἑαυτοῦ Ἐκκλησίαν.

γ. Καὶ εἰς τοὺς παραλίους Χαναναίους ἀπὸ ἀνατολῶν, καὶ εἰς τοὺς παραλίους Χοῤῥαίους, καὶ Ἀμοῤῥαίους, καὶ τοὺς Χετταίους, καὶ Φερεζαίους, καὶ Ἰεβουσαίους, καὶ (3) τοὺς ἐν τῷ ὄρει, καὶ
τοὺς Εὐαίους τοὺς ὑπὸ τὴν ἔρημον εἰς
δ. τὴν Μασεμάθ. Καὶ ἐξῆλθον αὐτοὶ
καὶ οἱ βασιλεῖς αὐτῶν μετ' αὐτῶν, ὥσπερ ἡ ἄμμος ἡ ἐπὶ τὸ χεῖλος τῆς θαλάσσης τῷ πλήθει, καὶ ἵπποι καὶ ἅρματα πολλὰ σφόδρα.

ε. Καὶ συνῆλθον πάντες οἱ βασιλεῖς οὗτοι καὶ παρεγένοντο ἐπὶ τὸ αὐτὸ, καὶ παρενέβαλον ἐπὶ τοῦ ὕδατος Μαρὼμ πολεμῆσαι τὸν Ἰσραήλ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Μερὼμ δὲ κώμη Σεβάστης ἀπέχουσα σημείοις ιβ'.

ϛ. Καὶ εἶπε Κύριος πρὸς Ἰησοῦν, μὴ φοβηθῇς ἀπὸ προσώπου αὐτῶν, ὅτι αὔριον ταύτην τὴν ὥραν ἐγὼ παραδίδωμι αὐτοὺς τετροπωμένους ἐναντίον τοῦ Ἰσραήλ. τοὺς ἵππους αὐτῶν νευροκοπήσεις, καὶ τὰ ἅρματα αὐτῶν κατακαύσεις ἐν πυρί.

✱✱ ΠΡΟΚΟΠΙΟΥ Παραγγέλλεται τῶν ἐπισυστάντων ἐκ βοῤῥᾶ νευροκοπῆσαι τοὺς
» ἵππους. οὐ γὰρ πληθυνεῖς σεαυτῷ ἵππον, Δευτ. 17. 16.
ὁ νόμος φησί. καὶ τὰ ἅρματα κατακαῦσαι, ὡς καὶ τὰ τῶν Αἰγυπτίων γέγονεν ὑποβρύχια.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἵππους καὶ ἅρματα τῶν κατὰ καιρὸν διωξάντων τὴν Ἐκκλησίαν νοήσεις ἡγεμόνας τε καὶ ἄρχοντας. οἷς παρεδίδοντο οἱ ἅγιοι διὰ Χριστόν. ἀλλὰ καὶ τούτων τὰ νεῦρα ἐξεκόπη, Χριστοῦ τὴν Ἐκκλησίαν διασώζοντος.

ζ. Καὶ ἦλθεν Ἰησοῦς καὶ πᾶς ὁ

Δ

λαὸς ὁ πολεμιστὴς ἐπ' αὐτοὺς ἐπὶ τὸ ὕδωρ Μαῤῥὼμ ἐξάπινα· καὶ ἐπέπεσεν ἐπ' αὐτοὺς ἐν τῇ ὀρεινῇ.

η. Καὶ παρέδωκεν αὐτοὺς Κύριος ὑποχειρίους Ἰσραήλ. καὶ κόπτοντες αὐτοὺς κατεδίωκον ἕως Σιδῶνος τῆς μεγάλης, καὶ ἕως Μασερὼμ, καὶ ἕως τῶν πεδίων Μασὼκ (4) κατὰ ἀνατολάς· καὶ κατέκοψαν αὐτοὺς ἕως τοῦ

E

μὴ καταλειφθῆναι ἐξ αὐτῶν διασεσωσμένον καὶ διαπεφευγότα.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Νικήσας ἐδίωξεν ἕως Μαστρεφωθμαΐν· ὅπερ ἐξέδωκαν οἱ λοιποὶ, ἕως τοῦ ὕδατος τῆς θαλάσσης, καὶ ἕως Μασσηφά. ταύτην δὲ Ἰεφθάε κατῴκει πλησίον τῆς Καριαθιαρείμ· ἐν ᾗ καὶ ἡ κιβωτὸς ἦν ποτὲ, καὶ Σαμουὴλ ἐδίδαξεν. ἔστι δὲ μεταξὺ Αἰλίας καὶ Διοπόλεως ἐπὶ

Z

τῆς ὁδοῦ κειμένη, ὡς ἀπὸ σημείων θ' ἡ Καριαθιαρεὶμ, ἧς γείτων ἡ Μασσηφά.

θ. Καὶ ἐποίησεν αὐτοῖς Ἰησοῦς, καθότι ἐνετείλατο αὐτῷ Κύριος· τοὺς ἵππους αὐτῶν ἐνευροκόπησε, καὶ τὰ ἅρματα αὐτῶν ἐνέπρησεν ἐν πυρί.
ι. Καὶ ἀπεστράφη Ἰησοῦς ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ κατελάβετο Ἀσὼρ, καὶ τὸν

(1) Γοσόμ. αἱ εἰρημ. ἐκδόσ.

(2) Συμοών. αἱ αὐτ. Σομερών. ἡ ἐν Κομπλ. Σωμόρων. ἡ ἐν Ὀξον. Σεμερὼν ἡ τοῦ Ἀλδ. καὶ τὰ ἑπόμενα δὲ κύρια ὀνόμ. πάντα σχεδὸν διάφορα τῶν ἐν ταῖς εἰρημ. ἐκδόσ. καὶ ταῖς ἐν αὐτ. σημ. καὶ τὰ αὐτὰ ἐνίοτε διαφόρως ἐν αὐτῷ τῷ κώδ. γεγραμμένα.

(3) Τὸ, καὶ, λείπει ἐν ταῖς εἰρημ. ἐκδόσ.

(4) Μασσηφά. Ἡ τοῦ Ἀλδ. ἐκδ. καὶ ὁ Προκ. ἐν τῷ ὑπομν.

τὸν βασιλέα αὐτῆς. ἦν δὲ Ἀσὼρ τὸ A
πρότερον ἄρχουσα πασῶν τῶν βασι-
ια. λειῶν τούτων. Καὶ ἀπέκτεινε πᾶν ἐμπνέον ἐν αὐτῇ ἐν στόματι ξίφους, καὶ ἐξωλόθρευσε πάντας, καὶ οὐ κατελείφθη ἐν αὐτῇ ἐμπνέον. καὶ τὴν
ιβ. Ἀσὼρ ἐνέπρησεν ἐν πυρί. Καὶ πάσας τὰς πόλεις τῶν βασιλέων, καὶ τοὺς βασιλεῖς αὐτῶν ἔλαβεν Ἰησοῦς, καὶ ἀνεῖλεν αὐτοὺς ἐν στόματι ξίφους· καὶ ἐξωλόθρευσεν αὐτούς, ὃν τρόπον συνέταξε Μωϋσῆς ὁ παῖς Κυρίου.

ιγ. Ἀλλὰ πάσας τὰς πόλεις τὰς κεχωματισμένας οὐκ ἐνέπρησεν Ἰσραήλ· πλὴν Ἀσὼρ μόνην αὐτὴν ἐνέπρησεν Ἰησοῦς,

ΑΝΕΠΙΓΡΑΦΟΥ. Τὰς ἀλούσας δηλονότι, ὧν τὰ τείχη ἐγένοντο ὡς τὸ χῶμα, πόλεις ὀχυρὰς τοῦ πεσεῖν αὐτῶν τὰ θεμέλια. Γ

ιδ. Καὶ πάντα τὰ σκῦλα αὐτῆς ἐπρονόμευσαν ἑαυτοῖς οἱ υἱοὶ Ἰσραήλ. αὐτοὺς δὲ πάντας ἐξωλόθρευσαν ἐν στόματι ξίφους, ἕως ἀπώλεσαν αὐτούς, οὐ κατέλιπον ἐξ αὐτῶν οὐδὲ ἓν ἐμπνέον.

ΑΔΗΛΟΥ. Τῶν γὰρ πολεμούντων ταῦτα γίνεται· οἱ δὲ κύριοι αὐτῶν πάλαι πατάσσονται ἐν στόματι ξίφους. Δ

ιε. Ὃν τρόπον συνέταξε Κύριος τῷ Μωϋσῇ τῷ παιδὶ αὐτοῦ, καὶ Μωϋσῆς ὡσαύτως ἐνετείλατο τῷ Ἰησοῦ· καὶ οὕτως ἐποίησεν Ἰησοῦς, οὐ παρέβη οὐδὲν ἀπὸ πάντων ὧν συνέταξεν αὐτῷ
ις. Μωϋσῆς. Καὶ ἔλαβεν Ἰησοῦς πᾶσαν τὴν γῆν τὴν ὀρεινήν, καὶ πᾶσαν τὴν γῆν Ναγέβ, καὶ πᾶσαν τὴν γῆν Γοσὼμ, καὶ τὴν πεδινήν, καὶ τὴν πρὸς δυσμαῖς, καὶ τὸ ὄρος Ἰσραήλ, καὶ τὰ πεδινὰ τὰ πρὸς τῷ ὄρει. E

ιζ. Ἀπὸ τοῦ ὄρους Ἀδὲλ, (1) καὶ ὃ προσαναβαίνει εἰς Σηεὶρ, ἕως Βαλαγὰδ, καὶ τὰ πεδία τοῦ Λιβάνου ὑπὸ τὸ ὄρος τὸ Ἀερμών. καὶ πάντας τοὺς βασιλεῖς αὐτῶν ἔλαβε, καὶ ἀνεῖλε, καὶ ἀπέκτεινε. Z

** ΠΡΟΚΟΠΙΟΥ. Ἔστι Σηεὶρ ἔνθα κατῴκει Ἡσαῦ. Βαλαγὰδ δὲ ἐν τῷ πεδίῳ τοῦ Λιβάνου κεῖται ὑπὸ τὸ ὄρος τὸ Ἀερμών.

ιη. Καὶ πλείους ἡμέρας ἐποίησεν Ἰησοῦς πρὸς τοὺς βασιλεῖς τούτους τὸν
ιθ. πόλεμον. Καὶ οὐκ ἦν πόλις, ἣν οὐκ ἔλαβεν Ἰσραήλ· πάντας ἔλαβεν ἐν πολέμῳ. H

κ. Ὅτι διὰ Κυρίου ἐγένετο κατισχῦσαι αὐτῶν τὴν καρδίαν συναντᾷν ἐν πολέμῳ πρὸς Ἰσραήλ, ἵνα ἐξολοθρευθῶσιν, ὅπως μὴ δοθῇ αὐτοῖς ἔλεος, ἀλλ' ἵνα ἐξολοθρευθῶσιν, ὃν τρόπον εἶπε Κύριος πρὸς Μωϋσῆν.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, ὅτι (2) » παρὰ Κυρίου ἐγένετο κατισχῦσαι τὴν καρδίαν αὐτῶν, ὥστε συναντᾷν αὐτοὺς εἰς πόλε- B » μον ἐπὶ Ἰσραήλ, ἵνα ἐξολοθρευθῶσι, καὶ » ὅπως μὴ δοθῇ αὐτοῖς ἔλεος τοῦ ἀφανισθῆ- » ναι αὐτούς, ὃν τρόπον εἶπε Κύριος πρὸς Μωϋσῆν; Περὶ τῶν ἄλλων ἐθνῶν ἐνομοθέτησε τῷ Ἰσραὴλ ὁ Θεός· ὥστε εἰ πολιορκούντων αὐτῶν τὴν πόλιν πρεσβεύσαιντο ἐκεῖνοι, καὶ φιλίαν ἀσπάσαιντο, δέξασθαι τὴν πρεσβείαν. καὶ λῦσαι τὴν πολιορκίαν, καὶ ἐπισπάσασθαι τὴν εἰρήνην. διδάσκει τοίνυν ἡμᾶς ὁ λόγος, ὡς σταθμῷ καὶ μέτρῳ πάντα πρυτανεύων Θεός, συνεχώρει τούτοις ἀντιπαρατάσσεσθαι τῷ λαῷ, ἵνα μηδεμιᾶς ἀξιωθῶσι φειδοῦς, ἀλλὰ κατὰ τὸν θεῖον ὅρον ἀναιρεθῶσι.

κα. Καὶ ἦλθεν Ἰησοῦς ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ ἐξωλόθρευσε τοὺς Ἐνακεὶμ ἐκ τῆς ὀρεινῆς, ἐκ Χεβρὼν, καὶ ἐκ Δαβὲρ, καὶ ἐξ Ἀναβὼθ, καὶ ἐκ παντὸς ὄρους Ἰσραήλ, καὶ ἐκ παντὸς ὄρους Ἰούδα σὺν ταῖς πόλεσιν αὐτῶν· καὶ ἐξωλόθρευσεν αὐτοὺς Κύριος.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐνακεὶμ πόλις ὀρεινὴ τελοῦσα ὑπὸ Χεβρών. ἐκ παντὸς δὲ τοὺς Ἰούδα φησὶ τῆς ἐνορίας ἐκ τῶν ὕστερον καλῶν. οὔπω γὰρ νῦν εἶχεν αὐτήν. διαστέλλει δὲ τὸν Ἰούδαν καὶ τὸν Ἰσραὴλ ὁ συγγραφεὺς ὡς νεώτερος. ὕστερον γὰρ Ἰούδας μὲν, αἱ δύο φυλαί· Ἰσραὴλ δὲ, αἱ δέκα ἐκλήθησαν ἐπὶ Ῥοβοὰμ τοῦ υἱοῦ Σολομῶντος.

κβ. Καὶ οὐ κατελείφθη τῶν Ἐνακεὶμ ἀπὸ τῶν υἱῶν Ἰσραήλ, ἀλλὰ πλὴν ἐν Γάζῃ, καὶ ἐν Γὲθ, καὶ ἐν Ἀσεδὼθ κατελείφθησαν.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Τοῦτο σημεῖον τῶν ἐθνῶν καὶ αἱρέσεων τῶν μεταξὺ τῶν πιστῶν· καὶ ἵνα δι' αὐτῶν παιδευόμενοι ἐπιστρέφωσι πρὸς Θεὸν ἁμαρτάνοντες. (3)

** ΠΡΟΚΟΠΙΟΥ. Ἀσδὼδ δὲ Ἄζωτος.

κγ. Καὶ ἔλαβεν Ἰησοῦς πᾶσαν τὴν γῆν, καθότι ἐνετείλατο Κύριος τῷ Μωϋσῇ· καὶ ἔδωκεν αὐτὴν Ἰησοῦς ἐν κληρονομίᾳ Ἰσραὴλ ἐν μερισμῷ κατὰ φυλὰς αὐτοῦ. (4) καὶ ἡ γῆ κατέπαυσε πολεμουμένη.

ΑΔΗΛΟΥ. Οὐ γάρ ἐστιν ἔθνος, ὃ οὐ κάμπτει γόνυ τῷ ἀληθινῷ Ἰησοῦ, οὗ καὶ τύπον εἶχεν ὁ τοῦ Ναυῆ.

ΚΕΦ.

(1) Χελχά. αἱ ἐρημ. ἐκδόσ.
(2) Τό. ἡ ἐν Χάλ. ἐκδ.
(3) Τὰ αὐτὰ καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.
(4) Αὐτῶν. αἱ αὐτ.

ΚΕΦ. ΙΒ.

α. Καὶ οὗτοι οἱ βασιλεῖς τῆς γῆς,
οὓς ἀνεῖλε Μωϋσῆς καὶ οἱ
υἱοὶ Ἰσραὴλ, καὶ κατεκλη-
ρονόμησαν τὴν γῆν αὐτῶν πέραν τοῦ
Ἰορδάνου ἀφ᾽ ἡλίου ἀνατολῶν ἀπὸ Φά-
ραγγος Ἀρνῶν ἕως τοῦ ὄρους Ἀερμὼν,
καὶ πᾶσαν τὴν γῆν τὴν Ἄραβα ἀπὸ
β. ἀνατολῶν. Σηὼν τὸν βασιλέα τὸν
Ἀμοῤῥαῖον, (1) ὃς κατῴκει ἐν Ἐσε-
βὼν, κυριεύων ἀπὸ Ἀρνῶν, ἥ ἐστιν ἐν
τῇ Φάραγγι κατὰ μέσον τῆς Φά-
ραγγος, καὶ τὸ ἥμισυ τῆς Γαλαὰδ
γ. ἕως Ἰαβὼκ, ὅριον υἱῶν Ἀμμών. Καὶ
Ἄραβα ἕως τῆς θαλάσσης Χενερὲθ
κατὰ ἀνατολὰς, καὶ ἕως τῆς θαλάσ-
σης Ἄραβα, θαλάσσης τῶν ἁλῶν
ἀπὸ ἀνατολῶν ὁδὸν τὴν κατὰ Ἰσει-
μὼθ, ἀπὸ Θαιμὰν ἀπὸ (2) Ἀσηδὼθ
δ. Φασγά. Καὶ Ὢγ βασιλεὺς Βασὰν
ὑπελείφθη ἐκ τῶν γιγάντων, ὁ κα-
τοικῶν Ἀσαρὼθ καὶ ἐν Ἐδραεὶν ἐκ τῶν
ε. Ῥαφαεὶν, Ἄρχων ἀπὸ ὄρους Ἀερμὼν
ἀπὸ Ἐχθὰ, (3) καὶ πᾶσαν τὴν Βα-
σὰν ἕως ὁρίων Γεργεσεὶ, καὶ τὴν Μα-
χατὶ, καὶ τὸ ἥμισυ Γαλαὰδ ὁρίων
ϛ. Σηὼν βασιλέως Ἐσεβών. Μωϋσῆς
ὁ παῖς Κυρίου καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπά-
ταξαν αὐτούς. καὶ ἔδωκεν αὐτὴν Μωϋ-
σῆς ἐν κληρονομίᾳ τῷ Ῥουβὶμ, καὶ
τῷ Γὰδ, καὶ τῷ ἡμίσει φυλῆς Μα-
ζ. νασσῆ. Καὶ οὗτοι οἱ βασιλεῖς τῶν Ἀ-
μοῤῥαίων, οὓς ἀνεῖλεν Ἰησοῦς καὶ οἱ υἱοὶ
Ἰσραὴλ ἐν τῷ πέραν τοῦ Ἰορδάνου πα-
ρὰ θάλασσαν Βαλγὰθ ἐν τῷ πεδίῳ
τοῦ Λιβάνου, καὶ ἕως τοῦ ὄρους τοῦ Κολ-
χᾶ (4) ἀναβαινόντων εἰς Σηείρ. καὶ
ἔδωκεν αὐτὴν Ἰησοῦς ταῖς φυλαῖς Ἰσ-
B ραὴλ κληρονομίαν κατὰ κλῆρον αὐ-
η. τῶν. Ἐν τῷ ὄρει, καὶ ἐν τῷ πεδίῳ,
καὶ ἐν Ἄραβα, καὶ ἐν Ἀσηδὼθ, καὶ
ἐν τῇ ἐρήμῳ, καὶ Ναγὲβ, τὸν Χετ-
ταῖον, καὶ τὸν Γεργεσαῖον, καὶ τὸν
Ἀμοῤῥαῖον, καὶ τὸν Χαναναῖον, καὶ
τὸν Φερεζαῖον, καὶ τὸν Εὐαῖον, καὶ
θ. τὸν Ἰεβουσαῖον. Τὸν βασιλέα Ἱερι-
χὼ, καὶ τὸν βασιλέα τῆς Γαὶ, ἥ ἐστι
ι. πλησίον Βαιθὴλ, Βασιλέα Ἱερουσα-
ια. λὴμ, βασιλέα Χεβρὼν, Βασιλέα
ιβ. Ἱεριμοὺθ, βασιλέα Λάχεις, Βασι-
ιγ. λέα Ἐλὰμ, βασιλέα Γάζερ, Βα-
ιδ. σιλέα Δαβεὶρ, βασιλέα Γάδερ, Βα-
ιε. σιλέα Ἑρμὰθ, βασιλέα Ἀρὰδ, Βα-
σιλέα Λεμνὰ, βασιλέα Ὀδολλὰμ,
βασιλέα Μακηδὰ, βασιλέα Θαφ-
φοὺθ, βασιλέα Ὀφὲρ, Ἀφεκσα-
Δ ρὼθ, (5) βασιλέα Ἀσὼρ, βασιλέα
Σαμβρὼν, βασιλέα Μαῤῥὼν, βασι-
λέα Ἀχσὰφ, (6) βασιλέα Θανὰχ,
βασιλέα Μαγεδδὼν, βασιλέα Κέ-
δης, βασιλέα Ἰεκομνὰμ τοῦ Χερμὲρ,
κγ. Βασιλέα Βαιθὴλ, βασιλέα Ἀδδὼρ
τοῦ Ναφεδδὼρ, βασιλέα Γωὶν τῆς
κδ. Γελγὲλ, Βασιλέα Θερσά. πάντες
οὗτοι βασιλεῖς εἰκοσιεννέα.

ΚΕΦ. ΙΓ.

α. Καὶ Ἰησοῦς πρεσβύτερος προ-
βεβηκὼς ἡμερῶν. (7) καὶ
εἶπε Κύριος πρὸς Ἰησοῦν,
σὺ προβέβηκας τῶν ἡμερῶν, καὶ ἡ γῆ
ὑπολέλειπται πολλὴ εἰς κληρονομίαν.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐχ ἁπλῶς οἱ πο-
λυχρόνιοι λέγονται πρεσβύτεροι τῇ Γρα-
φῇ, ἀλλ᾽ οἱ φρόνημα ἔχοντες ἄξιον τιμῆς
ἐπουρανίου πρεσβυτερίου. τοιγαροῦν οὔτε Ἀ-
δὰμ, οὔτε τὸν Μαθουσάλα, οὔτε τὸν Νῶε
πρεσβύτερον εἴρηκεν, οὓς μᾶλλον ἐχρῆν,
ἀλλὰ τὸν ὀλιγοχρονιώτερον Ἀβραὰμ πρῶ-
τον εἶπε πρεσβύτερον. καὶ πρὸς Μωϋσέα
Ἀριθ. ια. ιϛ. δέ φησι Κύριος· ἔκλεξαι σεαυτῷ ἀπὸ παν-
» τὸς τοῦ λαοῦ πρεσβυτέρους, οὓς αὐτὸς σὺ οἶ-
» δας, ὅτι πρεσβύτεροί εἰσιν. εἰ δὲ που λέ-
γοι τοῦτο περὶ ἁμαρτωλοῦ ἡ Γραφὴ, μεθ᾽
» ὑποτιμήσεώς φησιν· οἷον, αὐτὸς ὁ Κύριος Ἡσ. γ. ιδ.
» εἰς κρίσιν ἥξει μετὰ τῶν πρεσβυτέρων, καὶ
» μετὰ τῶν ἀρχόντων τοῦ λαοῦ. ὁμοίως δὲ καὶ
τὸ προβεβηκέναι ταῖς ἡμέραις ἐπὶ ἁγίων
φησίν. οὐδεὶς γὰρ στρεφόμενος εἰς τὰ ὀπί-
Z σω, προβέβηκεν· ἀλλ᾽ εἴ τις τοῖς ἔμπρο-
σθεν ἐπεκτείνεται, τῶν ὄπισθεν ἐπιλαν-
θανόμενος.

» ** ΤΟΥ ΑΥΤΟΥ. Καὶ ἡ γῆ ὑπολέ-
» λειπται πολλὴ σφόδρα. καί τοι προεῖπε,
» καὶ ἡ γῆ κατέπαυσε πολεμουμένη, καὶ ὅτι Ἰησ. ια. ιγ.
ὁ Ἰησοῦς ἔλαβε πᾶσαν τὴν γῆν. νόει τοίνυν
τοῦ Κυρίου Ἰησοῦ προτέραν μὲν κράτησιν τῆς
γῆς, ὅτε ἔσπειρε τὸν λόγον αὐτοῦ εἰς πᾶσαν
τὴν οἰκουμένην. τῷ γὰρ κεκρατηκέναι τά-
H χα τῶν ἐν ἑκάστῳ ἔθνει Δαιμόνων, ἀπε-
λάσαι-

(1) Τῶν Ἀμοῤῥαίων. αἱ αὐτ. (2) Τὴν ἀπό. αἱ αὐτ. (3) Καὶ ἀπὸ Σεκχαί. αἱ αὐτ.
(4) Ἕως ὄρους τοῦ Χελχά. αἱ αὐτ. (5) Ὀφὲκ τῆς Ἀρώκ. αἱ αὐτ.
(6) Ἀζίμ. αἱ αὐτ. καὶ τὰ λοιπὰ δὲ κύρια ὀνόμ. διαφέρουσι. (7) Τῶν ἡμερῶν. αἱ αὐτ.

λάσαι τε τούτους, ἔσπειρε τὸν λόγον εἰς τὰς Ἐκκλησίας. αὕτη μία κράτησις τοῦ Ἰησοῦ. ἴδε μοι καὶ ἐπ' ἐκείνῃ δευτέραν, ὅτε πάντων κρατήσει, πολλῶν νῦν μορίων ὑπολειπομένων τῆς γῆς. διὸ τῇ μὲν προτέρᾳ τὸ,
» πολεμουμένῃ, πρόσκειται· τῇ δὲ δευτέρᾳ,
» τὸ, πολλὴ σφόδρα. πλὴν μακάριοι πάντες οἱ ἐν τῇ πρώτῃ παρουσίᾳ κεκρατημένοι. χάρις γὰρ αὐτοῖς, ὅτι πολλῶν ἔτι πολεμούντων ὑποτάσσονται. οἱ γὰρ ἐπὶ τῆς δευτέρας ἀνάγκῃ κρατοῦνται, ὡς καὶ τὸν ἔσχατον ἐχθρὸν θάνατον καταργηθῆναι. πάντα δὲ πρῶτον τὰ ἔθνη, καθὰ δοκεῖ τοῖς Προφήταις, ἀπὸ περάτων ἕως περάτων τῆς οἰκουμένης ὑποταγήσεται.

β. Καὶ αὕτη ἡ γῆ καταλελειμ-
μένη· ὅρια Φυλιστιεὶμ, ὁ Γεσορὶ, καὶ
γ. ὁ Χαναναῖος, Ἀπὸ τῆς ἀοικήτου τῆς
κατὰ πρόσωπον Αἰγύπτου ἕως τῶν
ὁρίων Ἀκκαρῶν ἐξ εὐωνύμου τῶν Χα-
ναναίων προσλογίζεται ταῖς πέντε
σατραπείαις τῶν Φυλιστιεὶμ, τῷ Γα-
ζαίῳ, καὶ τῷ Ἀζωτίῳ, καὶ τῷ Ἀσκα-
λωνίτῃ, καὶ τῷ Γετθαίῳ, καὶ τῷ Ἀκ-
δ. καρωνίτῃ, καὶ τῷ Εὐαίῳ, Ἐκ Θαι-
μὰν καὶ πᾶσα ἡ γῆ (1) Χαναὰν ἐναν-
τίον Γάζης, καὶ οἱ Σιδώνιοι ἕως Ἀφὲκ,
ε. ἕως τῶν ὁρίων τῶν Ἀμοῤῥαίων, Καὶ
πᾶσαν τὴν γῆν Γαλιλαθ (2) Φυλι-
στιεὶμ, πάντα τὸν Λίβανον ἀπὸ ἀνατο-
λῶν ἡλίου ἀπὸ Γαλγὰλ ὑπὸ τὸ ὄρος
τὸ Ἀερμὼν ἕως τῆς εἰσόδου Ἐμάθ,
ϛ. Πᾶς ὁ κατοικῶν τὴν ὀρεινὴν
ἀπὸ τοῦ Λιβάνου ἕως τῆς Μασερεφὼθ
Μαὶμ, πάντας τοὺς Σιδωνίους, ἐγὼ
αὐτοὺς ἐξολοθρεύσω ἀπὸ προσώπου
Ἰσραήλ. ἀλλὰ διάδος αὐτὴν ἐν κλή-
ρῳ τῷ Ἰσραὴλ, ὃν τρόπον σοὶ ἐνε-
τειλάμην.

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Πολλῶν τῶν ὑποτασσομένων ὀνομασθέντων ἐθνῶν, ἐπὶ μόνων
» τῶν Σιδωνίων φησὶν, ὡς ἐξολοθρεύσω αὐ-
» τοὺς ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ· ἢ κοινὸν τοῦτο κατὰ πάντων λαμβάνων· ἢ ἐπειδὴ Σιδώνιοι ἑρμηνεύονται θηρευταί. πᾶσαν γὰρ δύναμιν θηρεύσασαν ψυχὰς ἀνθρώπων ἐξολοθρεύσει. καὶ τότε μηδενὸς ὄντος θη-
Μιχ. 4. 4. ρεύοντος, ἀναπαύσεται ἕκαστος ὑποκάτω
» τῆς ἀμπέλου αὐτοῦ, καὶ ὑποκάτω τῆς συ-
» κῆς αὐτοῦ.

ζ. Καὶ νῦν μέρισον τὴν γῆν ταύ-
την ἐν κληρονομίᾳ ταῖς ἐννέα Φυλαῖς,
καὶ τῷ ἡμίσει Φυλῆς Μανασσῆ.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τοῖς μὲν Μωϋσῆς διανέμει τοὺς κλήρους τῆς γῆς, τοῖς δὲ Ἰησοῦς; Καὶ τοῦτο πάλιν προτυποῖ τὴν

Α ἀλήθειαν. τοῖς μὲν (3) ἐπέκεινα τοῦ Ἰορδάνου Μωϋσῆς διεῖλε τὴν γῆν, τοῖς δὲ μετὰ τὸν Ἰορδάνην ὁ Ἰησοῦς. Ἰουδαίων γὰρ (4) ἔχουσι τὸν τύπον οἱ διὰ Μωϋσοῦ εἰληφότες τοὺς κλήρους· οἱ δέ γε διὰ Ἰησοῦ, τῶν πεπιστευκότων ἐθνῶν. καὶ ἐπειδὴ πρωτότοκος ὁ Ἰσραὴλ, οἱ πρωτότοκοι διὰ Μωϋσοῦ τοὺς κλήρους ἐδέξαντο, Ῥουβὶμ, καὶ Γὰδ, καὶ Μανασσῆς. διαβαίνουσι μέντοι καὶ οὗτοι εὔζωνοι πρὸ τῶν ἄλλων. οἱ γὰρ ἐξ Ἰουδαίων
Β πεπιστευκότες τοῖς ἔθνεσι τὴν σωτηρίαν προσήνεγκαν. κατελείφθησαν δὲ ὅμως καὶ Ἰεβουσαῖοι, καὶ Χαναναῖοι, καὶ ἕτερα ἔθνη τῶν ἀλλοφύλων, καὶ συνῴκει τῷ Ἰσραήλ. καὶ τοῦδε τοῦ τύπου τὴν ἀλήθειαν ἐστὶν εὑρεῖν. οὐ γὰρ ἅπαντες τὸν σωτήριον ἐδέξαντο λόγον, ἀλλὰ ἔμειναν ἀντιλέγοντες καὶ Ἰουδαῖοι, καὶ Ἕλληνες, τὰς αὐτὰς ἡμῖν καὶ πόλεις καὶ κώμας οἰκοῦντες. οὓς οὐκ ἄν τις ἁμάρτοι, (5) Χαναναίους, καὶ Χετταίους, καὶ
Γ Ἰεβουσαίους ὀνομάζων. ταύτης δὲ ἄξιοι τῆς προσηγορίας καὶ οἱ τὰ μυσαρὰ τῶν αἱρέσεων θρησκεύοντες δόγματα. διά τοι τοῦτο
» καὶ ὁ θεῖος Ἀπόστολος ἔφη· οὔπω αὐτῷ ὁρῶ- Ἑβρ. 2. 8.
» μεν τὰ πάντα ὑποτεταγμένα. καὶ πάλιν·
» δεῖ γὰρ αὐτὸν βασιλεύειν ἄχρις οὗ ἂν θῇ 1. Κορ. 15. 25.
» πάντας τοὺς ἐχθροὺς αὐτοῦ ὑπὸ τοὺς πό-
» δας αὐτοῦ.

η. Ἀπὸ τοῦ Ἰορδάνου ἕως τῆς θα-
Δ λάσσης τῆς μεγάλης κατὰ δυσμὰς
ἡλίου δώσεις αὐτήν. ἡ θάλασσα ἡ με-
γάλη ὁριεῖ. ταῖς δύο Φυλαῖς, καὶ
η. τῷ ἡμίσει τῆς Φυλῆς Μανασσῆ, Τῷ
Ῥουβὶμ, καὶ τῷ Γὰδ, ἣν δέδωκε Μωϋ-
σῆς ἐν τῷ πέραν τοῦ Ἰορδάνου. κατὰ
ἀνατολὰς ἡλίου δέδωκεν αὐτὴν Μωϋ-
σῆς ὁ παῖς Κυρίου τοῦ Θεοῦ.

∗∗ ΝΕΙΛΟΥ. Οἱ πέραν τοῦ Ἰορδάνου
Ε κατακληροδοτηθέντες ὑπὸ Μωϋσέως τοῦ μεγάλου νομοθέτου, Ῥουβὶμ καὶ Γὰδ ὑπῆρχον, καὶ τῆς Φυλῆς Μανασσῆ τὸ ἥμισυ. πρόσωπον δὲ οὗτοι ἔφερον τῶν διὰ τοῦ νόμου δικαιωθέντων· αἱ δὲ ἄλλαι ἐννέα καὶ ἥμισυ Φυλαὶ, αἵτινες μετὰ τὸν Ἰορδάνην κληρονομοῦσι, σύμβολον τυγχάνουσι τῶν ἐξ ἐθνῶν πεπιστευκότων Χριστῷ, καὶ διὰ τῆς χάριτος τοῦ ἁγίου πνεύματος τελειωθέντων. σημειωτέον δὲ, ὅτι πρὸ τοῦ ποταμοῦ, του-
Ζ τέστι τοῦ χριστιανικοῦ βαπτίσματος ἀτελήστως καὶ νηπιώδης δείκνυται γνῶσις καὶ πολιτεία. παιδία γὰρ ἐκεῖ καὶ κτήνη πολλὰ, καὶ γυναῖκας ὑπάρχειν μεμαρτύρηκεν ἡ γραφὴ Μωϋσέως.

θ. Ἀπὸ Ἀροὴρ, (6) ἥ ἐστιν ἐπὶ τοῦ
χείλους χειμάῤῥου Ἀρνῶν· καὶ τὴν πό-
λιν τὴν ἐν μέσῳ φάραγγος, καὶ πᾶσαν
τὴν Μεσὼρ (7) ἀπὸ Μαδαικά· (8)
ι. Πάσας τὰς πόλεις Σηὼν βασιλέως
τῶν

(1) Πάσῃ γῇ. αἱ αὐτ. (2) Γαλιαάθ. αἱ αὐτ. (3) Μὲν γάρ. ἡ ἐν Χάλ. ἔκδ.
(4) Καὶ τῶν μὲν Ἰουδαίων. ἡ αὐτ. (5) Ἀποσφαλείη. ἡ αὐτ.
(6) Ἀροήρ. αἱ εἰρημ. ἐκδόσ. (7) Μισώρ. αἱ αὐτ. καὶ κατωτέρ. (8) Μαιδαβάν. αἱ αὐτ.

τῶν Ἀμοῤῥαίων, ὃς ἐβασίλευσεν ἐν
Ἐσεβῶν ἕως τῶν ὁρίων υἱῶν Ἀμμών·
ια. Καὶ τὴν Γαλααδῖτιν, καὶ τὰ ὅρια
Γεσουρὶ, καὶ τοῦ Μαχαθὶ, πᾶν ὄρος
Ἀερμὼν, καὶ πᾶσαν τὴν Βασανῖτιν
ιβ. ἕως Ἐλχά· Καὶ πᾶσαν τὴν βασι-
λείαν Ὢγ ἐν τῇ Βασὰν, ὃς ἐβασί-
λευσεν ἐν Ἀδραῒν καὶ ἐν Ἀσαρώθ·
οὗτος κατελείφθη ἀπὸ τῶν γιγάν-
των, καὶ ἐπάταξεν αὐτὸν Μωϋσῆς,
ιγ. καὶ ἐξωλόθρευσε. Καὶ οὐκ ἐξωλό-
θρευσαν [οἱ] υἱοὶ Ἰσραὴλ τὸν Γεσορὶ,
καὶ τὸν Μαχητεὶ, (1) καὶ τὸν Χανα-
ναῖον· καὶ κατῴκει βασιλεὺς Γεσουρὶ
καὶ ὁ Μαχαθὶ ἐν τοῖς υἱοῖς Ἰσραὴλ
ιδ. ἕως τῆς ἡμέρας ταύτης. Πλὴν τῆς
φυλῆς Λευῒ οὐκ ἐδόθη κληρονομία.
Κύριος ὁ Θεὸς Ἰσραὴλ οὗτος αὐτῶν
κληρονομία, καθὰ εἶπεν αὐτοῖς Κύ-
ριος. καὶ οὗτος ὁ καταμερισμὸς, ὃν
κατεμέρισε Μωϋσῆς τοῖς υἱοῖς Ἰσραὴλ
ἐν Ἀραβὼθ Μωὰβ ἐν τῷ πέραν τοῦ
ιε. Ἰορδάνου κατὰ Ἰεριχώ. Καὶ ἔδωκε
Μωϋσῆς τῇ φυλῇ Ῥουβὶμ κατὰ δή-
ις. μους αὐτῶν. Καὶ ἐγενήθη αὐτῶν τὰ
ὅρια ἀπὸ Ἀροὴρ, ἥ ἐστι κατὰ πρόσω-
πον φάραγγος Ἀρνῶν, ἡ πόλις ἡ ἐν
τῇ φάραγγι Ἀρνῶν· καὶ πᾶσαν τὴν
ιζ. γῆν Μισὼρ Ἕως Ἐσεβῶν, καὶ πά-
σας τὰς πόλεις τὰς οὔσας ἐν τῇ Μι-
σὼρ, Δαιβὼν, καὶ Βαιμὼθ, καὶ Βαὰλ,
ιη. καὶ οἴκους Μεελβὼθ, Καὶ Ἰασσὰ, καὶ
ιθ. Κιδημὼλ, καὶ Μηφαὰθ, Καὶ Κα-
ριαθαὶμ, καὶ Σαβαμὰ, καὶ Σαρὶδ,
κ. καὶ Σειὼρ ἐν τῷ ὄρει Ἐνὰκ, Καὶ Βαιθ-
φεγὼρ, καὶ Ἀσηδὼθ Φασγὰ, καὶ
κα. Κιθσιμοὺθ, Καὶ πάσας τὰς πόλεις
τοῦ Μισὼρ, καὶ πᾶσαν τὴν βασιλείαν
τοῦ Σηὼν βασιλέως τῶν Ἀμοῤῥαίων,
ὃν ἐπάταξε Μωϋσῆς αὐτὸν καὶ τοὺς
ἡγουμένους Μαδιὰμ, καὶ τὸν Εὐεὶ, καὶ
τὸν Ῥοβὰμ, (2) καὶ τὸν Σοὺρ, καὶ τὸν
Οὒρ, καὶ τὸν Ῥεβὲκ ἄρχοντας παρὰ
Α Σηὼν, καὶ τοὺς κατοικοῦντας τὴν γῆν
κβ. Σηών. Καὶ τὸν Βαλαὰμ τὸν τοῦ
Βαιὼρ τὸν μάντιν ἀπέκτειναν ἐν τῇ
κγ. προνομῇ. Ἐγένετο δὲ τὰ ὅρια Ῥου-
βὶμ, Ἰορδάνης τὸ ὅριον. αὕτη ἡ κλη-
ρονομία Ῥουβὶμ κατὰ δήμους αὐτῶν, αἱ
κδ. πόλεις καὶ αἱ ἐπαύλεις αὐτῶν. Ἔδω-
κε δὲ Μωϋσῆς τοῖς υἱοῖς Γὰδ κατὰ
κε. δήμους αὐτῶν. Καὶ ἐγένετο τὰ ὅρια
Β αὐτῶν ἡ Ἀζὴρ· (3) πᾶσαι αἱ πόλεις
Γαλαὰδ, καὶ ἥμισυ γῆς υἱῶν Ἀμμῶν
ἕως Ἄραβα, ἥ ἐστι κατὰ πρόσωπον
κς. Ἀρώδ. Καὶ ἀπὸ Ἐσεβῶν ἕως Ῥα-
μὼθ κατὰ τὴν Μασφὰ, καὶ Βατα-
νὶ, (4) καὶ Μανὰν, (5) ἕως τῶν ὁρίων
κζ. Δαιβὼν, Καὶ Ἐνεμὲκ, καὶ Κιθαρ-
τὰν, καὶ Θαναβαρὰ, καὶ Σοχὼ, καὶ
Γ Σαφὼν καὶ τὴν λοιπὴν βασιλείαν
Σηὼν βασιλέως Ἐσεβῶν· καὶ ὁ Ἰορ-
δάνης ὁριεῖ ἕως (6) τῆς θαλάσσης Χε-
νερὼθ πέραν τοῦ Ἰορδάνου ἀπὸ ἀνατο-
κη. λῶν. Αὕτη ἡ κληρονομία υἱῶν Γὰδ
κατὰ δήμους αὐτῶν (7) αὐχένα ἐπι-
στρέψουσιν ἐνώπιον τῶν ἐχθρῶν αὐτῶν,
ὅτι ἐγενήθη κατὰ δήμους αὐτῶν καὶ (8)
αἱ πόλεις αὐτῶν, καὶ αἱ ἐπαύλεις
κθ. αὐτῶν. Καὶ ἔδωκε Μωϋσῆς τὸ ἥμι-
Δ συ (9) φυλῆς υἱῶν Μανασσῆ κατὰ δή-
λ. μους αὐτῶν. Καὶ ἐγένετο τὰ ὅρια αὐ-
τῶν ἀπὸ Μααναῒμ, (10) καὶ πᾶσα Βα-
σὰν, καὶ πᾶσα βασιλεία Ὢγ βασι-
λέως τῆς Βασὰν, καὶ πάσας τὰς κώ-
μας Ἰαῒρ, αἵ εἰσιν ἐν τῇ Βασανίτιδι
λα. ἑξήκοντα πόλεις. Καὶ τὸ ἥμισυ τοῦ (11)
Ε Γαλαὰδ, καὶ Ἀσαρὼθ, καὶ Ἐναδραῒν
πόλεις βασιλείας Ὢγ ἐν τῇ Βασὰν,
καὶ ἐδόθησαν τοῖς υἱοῖς Μαχεὶρ, υἱοῖς
Μανασσῆ, καὶ τοῖς ἡμίσεσιν υἱοῖς Μα-
λβ. νασσῆ (12) κατὰ δήμους αὐτῶν. Οὗτοι
οὓς κατεκληρονόμησε Μωϋσῆς πέραν
τοῦ Ἰορδάνου ἐν Ἀραβὼθ Μωὰβ ἐν
τῷ πέραν τοῦ Ἰορδάνου κατὰ Ἰεριχὼ
ἀπὸ ἀνατολῶν ἡλίου.



(1) Μαχατί. αὐτ. (2) Ῥοβόκ. αἱ αὐτ. (3) Ἰαζήρ. αἱ αὐτ.
(4) Βοτανίμ. αἱ αὐτ. (5) Μαάν. αἱ αὐτ. καὶ τὰ λοιπὰ δὲ διαφέρουσι.
(6) Ἕως μέρους τῆς. αἱ αὐτ. (7) Καὶ κατὰ πόλεις αὐτῶν. κατὰ δήμους αὐτῶν αὐχ. αἱ αὐτ.
(8) Τὸ, καὶ, λείπει. αὐτ. (9) Τῷ ἡμίσει. αἱ αὐτ. (10) Μαάν. αἱ αὐτ.
(11) Τῆς. αἱ αὐτ. (12) Μαχὶρ υἱοῖς Μανασσῆ. αἱ αὐτ.

ΚΕΦ. ΙΔ.

α. αὶ οὗτοι οἱ καταклηρονομή-
σαντες τῶν υἱῶν Ἰσραὴλ
ἐν τῇ γῇ Χανάαν, οἷς κα-
τεκληρονόμησεν αὐτοῖς Ἐλεάζαρ ὁ
ἱερεὺς, καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ οἱ
ἄρχοντες τῶν πατριῶν Φυλῶν τῶν
υἱῶν Ἰσραήλ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Κληροδοτεῖ Μωϋσῆς, ἀλλὰ πέραν τοῦ Ἰορδάνου. κληροδοτεῖ δὲ Ἰησοῦς μετὰ τῶν ἀρχιφύλων τοῦ Ἰσραήλ. οὕτως Ἰησοῦς ὁ Χριστὸς τὴν ἀληθῆ κληροδοσίαν διδοὺς, παραλαμβάνει τοὺς ἄρχοντας τοῦ πνευματικοῦ Ἰσραὴλ, τοὺς Ἀποστό-
Ματθ. 19. 28. λους, πρὸς οὓς ἔφησεν· ὅτι καθήσεσθε ἐπὶ
» θρόνους ιβʹ, κρίνοντες τὰς ιβʹ Φυλὰς τοῦ
Ἰσραήλ. παραλαμβάνεται δὲ καὶ Ἐλεάζαρ συνιὼν Ἰησοῦ, τυπῶν ἑκάτερος τὸν ἱερέα καὶ ἄρχοντα, τὸν υἱὸν τοῦ Θεοῦ.

β. Κατὰ κλήρους ἐκληρονόμησαν, ὃν τρόπον ἐνετείλατο Κύριος ἐν χειρὶ Ἰησοῦ ταῖς ἐννέα Φυλαῖς, καὶ τὸ ἥμισυ τῆς (1) Φυλῆς Μανασσῆ ἀπὸ τοῦ πέραν τοῦ Ἰορδάνου.

γ. Καὶ Λευΐταις (2) οὐκ ἔδωκε κλῆ-
δ. ρον ἐν αὐτοῖς, Ὅτι ἦσαν οἱ υἱοὶ Ἰω-
σὴφ δύω Φυλαὶ Μανασσῆ καὶ Ἐφραΐμ.
καὶ οὐκ ἐδόθη μερὶς ἐν τῇ γῇ τοῖς Λευΐταις, ἀλλ' ἢ πόλεις κατοικεῖν, καὶ τὰ ἀφωρισμένα αὐτῶν τοῖς κτήνεσι, καὶ τὰ κτήνη αὐτῶν.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τῶν κληρονομιῶν αἱ μὲν ὑπὸ Μωϋσέως, αἱ δὲ ὑπὸ Ἰησοῦ διεδόθησαν. οὐδέτερος δὲ τοῖς Λευΐταις δέδω-
Ἰησ. 13. 14. κε κληρονομίαν. Κύριος γὰρ ὁ Θεὸς κλη-
» ρονομία αὐτῶν ἐστί. πλὴν ἐστι διαφορά. ὁ
μὲν γὰρ Μωϋσῆς τὴν πρὸ τοῦ Ἰορδάνου γῆν διανείμας, τὸ ἐπιβάλλον ἐκεῖ μέρος τοῖς Λευΐταις οὐκ ἔδωκεν· ἀλλ' Ἰησοῦς ἐκεῖ τε καὶ μετὰ τὸν Ἰορδάνην παρέσχετο. δῆλον γὰρ ὅτι τὸ ἱερατικὸν ἀληθῶς τάγμα τὸ ἐπισπειρόμενον καὶ τοῖς πρώτοις, ὡς ἂν ἁγιασθῶσι, καὶ τοῖς δευτέροις, ἵνα μακαρισθῶσιν, ὑπὸ Ἰησοῦ Χριστοῦ διανέμεται. τῶν δὲ μὴ κληρονομούντων οἱ μὲν ὡς ἀνάξιοι, οἱ δὲ ὡς κρείττονος ἄξιοι κληρονομίας οὐ τυγχάνουσι τῶνδε τῶν κλήρων. τίς δὲ ἡ κρείττων καὶ Λευϊτῶν καὶ ἱερέων ἀξία; αὐτὸς ὁ Κύ-
1. Κορ. 1. 30. ριος, ὃς ἐγενήθη ἡμῖν σοφία καὶ δικαιο-
» σύνη καὶ ἁγιασμὸς, εἰρήνη τε καὶ ἀλήθεια.
πλὴν ὁ κληρονομῶν ταῦτα παροικεῖ τοῖς κληρονομοῦσι τὴν γῆν, ὡς ἂν καὶ αὐτοὶ τῆς κρείττονος κληρονομίας μετέχοιεν, εἰ καὶ μὴ προηγουμένως, ἀλλ' ἵνα γένηται ὁ τὸ πολὺ, οὐκ ἐπλεόνασε· καὶ ὁ τὸ ὀλίγον, οὐκ
2. Κορ. 8. 13, 14. ἠλαττόνησε. Φησὶ δὲ καὶ Παῦλος· τὸ ὑμῶν
» περίσσευμα εἰς τὸ ἐκείνων ὑστέρημα, ἵνα
» καὶ τὸ αὐτῶν περίσσευμα γένηται εἰς τὸ
» ὑμῶν ὑστέρημα. καὶ παροικεῖ ὁ ἱερεὺς τῆς
Φυλῆς λαμβάνων γῆν ἣν οὐκ ἔχει, καὶ διδοὺς Κύριον τοῖς μὴ ἔχουσι, γινομένης ἀγαθῆς ἀνακράσεως.

B ε. Ὃν τρόπον ἐνετείλατο Κύριος τῷ Μωϋσῇ, οὕτως ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐμερίσαντο τὴν γῆν.

ς. Καὶ προσῆλθον οἱ υἱοὶ Ἰούδα πρὸς Ἰησοῦν ἐν Γαλγάδ· (3) καὶ εἶπε πρὸς αὐτὸν Χάλεβ ὁ τοῦ Ἰεφοννῆ ὁ Κενεζαῖος, σὺ ἐπίστῃ τὸ ῥῆμα, ὃ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν ἄνθρωπον τοῦ Θεοῦ περὶ ἐμοῦ καὶ σοῦ ἐν Κά-
Γ δης Βαρνῆ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Πρῶτος δὲ ὁ Χάλεβ εἰκότως ἔτυχε κλήρου. ἑρμηνεύεται δὲ, ὡς καρδία· ἔτι δὲ, οὗτος ὁ πάντα προσέχων τοῖς νοήμασιν, ὁ παρὰ πάντα τὰ μέλη, οἷς ἀπετάξατο, χρηματίζων ὡς καρδία, καὶ ὅλως ἀναστοιχειωθεὶς εἰς ἡγεμονικόν. ὁ δὲ τούτου πατὴρ Ἰεφοννῆ. ἑρμηνεύεται δὲ, υἱὸς ἐπιστροφῆς. ἔστι δὲ παίδευμα Μωϋσέως,
» καὶ δεύτερον Ἰησοῦ. τί δέ φησι; σὺ ἐπίστῃ
Δ » τὸ ῥῆμα, ὃ ἐλάλησε Κύριος πρὸς Μωϋσῆν.
τίς γὰρ οἶδε τὸν νόμον, ὡς Ἰησοῦς ὁ Χριστός; ὃς καὶ ἀκριβῶς ἡμῖν τοῦτον ἀνήπλω-
» σεν. ἐλάλησε δέ φησι Κύριος πρὸς Μωϋ-
» σέα περὶ ἐμοῦ καὶ σοῦ. προφητεύει γὰρ Μωϋ-
σῆς περί τε Ἰησοῦ, καὶ τοῦ, ὡς καρδία.

ζ. Τεσσαράκοντα γὰρ ἐτῶν ἤμην ὅτε ἀπέστειλέ με Μωϋσῆς ὁ παῖς τοῦ Θεοῦ ἐκ Κάδης Βαρνῆ κατασκοπεῦ-
E σαι τὴν γῆν· καὶ ἀπεκρίθην αὐτῷ
η. λόγον κατὰ νοῦν αὐτῷ. Οἱ ἀδελ-
φοί μου οἱ συναναβαίνοντες μετ' ἐμοῦ
μετέστησαν τὴν διάνοιαν τοῦ λαοῦ, ἐγὼ
δὲ προσετέθην ἐπακολουθῆσαι Κυρίῳ
θ. τῷ Θεῷ μου. Καὶ ὤμοσε Μωϋσῆς ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ, λέγων, ἡ γῆ ἐφ' ἣν
ἐπέβης, σοὶ ἔσται ἐν κλήρῳ καὶ τοῖς υἱοῖς
σου (4) εἰς τὸν αἰῶνα, ὅτι προσετέθης
Z ἐπακολουθῆσαι Κυρίῳ τῷ Θεῷ μου.
ι. Καὶ νῦν διέθρεψέ με Κύριος ὁ Θεός
μου ὃν τρόπον εἶπε. τοῦτο τεσσαρακοστὸν καὶ πέμπτον ἔτος, ἀφ' οὗ ἐλάλησε Κύριος τὸ ῥῆμα τοῦτο πρὸς Μωϋσῆν. καὶ ἐπορεύθη Ἰσραὴλ ἐν τῇ ἐρήμῳ· καὶ νῦν ἰδοὺ ἐγὼ σήμερον ὀγδοήκοντα καὶ πέντε ἐτῶν εἰμί.

H ια. Ἔτι σήμερον ἰσχύων, ὡσεὶ ὅτε ἀπέστειλέ με Μωϋσῆς, ὡσαύτως ἰσχύω νῦν

(1) Τῷ ἡμίσει Φυλῆς. αἱ αὐτ.
(2) Τοῖς Λευΐταις. αἱ αὐτ.
(3) Γαλγάλ. αἱ αὐτ.
(4) Τοῖς τέκνοις σου. αἱ αὐτ.

νυῦ εἰσελθεῖν καὶ ἐξελθεῖν εἰς τὸν πόλεμον.

ΩΡΙΓΕΝΟΥΣ. Ἐν ἀμφοτέροις οὖν ἰσχύει τοῖς λόγοις ὁ ἅγιος. ἰσχύει γὰρ ἐν παλαιοῖς καὶ καινοῖς μυστηρίοις. τοῦτό ἐστι τὸ ἰσχύειν ἐπὶ Μωϋσέως καὶ ἐπὶ Ἰησοῦ.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Φησὶ σήμερον ἰσχύειν, ὡς ὅτε ἴσχυε τότε. ἐν ἀμφοτέροις γὰρ ἰσχύει τοῖς λόγοις ὁ ἅγιος. ἔν τε παλαιῷ καὶ καινῷ, ἐπὶ Μωϋσέως καὶ Ἰησοῦ.

ιβ. Καὶ νυῦ αἰτοῦμαί σε τὸ ὄρος τοῦτο, καθὰ εἶπε Κύριος τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι σὺ ἀκήκοας τὸ ῥῆμα τοῦτο τῇ ἡμέρᾳ ἐκείνῃ. νυνὶ δὲ οἱ Ἐνακεὶμ ἐκεῖ εἰσί, πόλεις ὀχυραὶ καὶ μεγάλαι· ἐὰν οὖν Κύριος μετ' ἐμοῦ ᾖ, ἐξολοθρεύσω αὐτοὺς, ὃν τρόπον εἶπέ μοι Κύριος.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Αἰτεῖ ὄρος χαμαιπετὲς ἐθέλων οὐδέν, ἐν ᾧ πόλεις μεγάλαι καὶ ὀχυραί, ὡς εἰδὼς πολεμεῖν πρὸς τοὺς
Παροιμ. 21. 22. Ἐνακείμ. πόλεις γὰρ ὀχυρὰς ἐπέβη σο-
» φός, καὶ ἐπέβη τὸ ὀχύρωμα, ἐφ' ᾧ ἐπε-
» ποίθεσαν οἱ ἀσεβεῖς. Φησὶ γὰρ Σολομών, σοφὸς πόλεις ὠχύρωσε, καὶ καθαιρεῖ τὰ ὀχυρώματα, δηλαδὴ τοὺς μετὰ πιθανότητος λόγου ἀπατᾶν δυναμένους. οὓς ἐν ὄρει
2. Κορ. 10. 5. φησὶν, ἐπείπερ ὑψώματά εἰσιν ἐπαιρόμε-
» να κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. ταῦτα Χάλεβ ἱκανὸς εἶναι καθαιρεῖν ἐπαγγέλλεται. ἐφ' ᾧπερ αὐτὸν εὐλόγησεν Ἰησοῦς.

ιγ. Καὶ εὐλόγησεν αὐτὸν Ἰησοῦς, καὶ ἔδωκε τὴν Χεβρὼν τῷ Χάλεβ υἱῷ Ἰεφοννῆ τῷ Κενεζαίῳ ἐν κλήρῳ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὴν Χεβρὼν ὁ Χάλεβ ᾔτησεν; Εὐσεβείᾳ κοσμούμενος, πάντων προτέταχε τὴν πόλιν, ἐν ᾗ παρῴκησαν οἱ πάντα ἄριστοι Πατριάρχαι, καὶ ταφῇ παρεδόθησαν. δηλοῖ δὲ ὁ τοῦτο λόγος, ὡς ἑπταετῆ πολεμήσαντες χρόνον τὴν γῆν διενείμαντο. ἔφη γὰρ οὕτως ὁ Χά-
» λεβ· τεσσαράκοντα ἐτῶν ἤμην, ὅτε ἀπέ-
» στειλέ με Μωϋσῆς ὁ παῖς Κυρίου ἐκ Κάδης
» Βαρνῆ κατασκοπεῦσαι τὴν γῆν. καὶ νυῦ
» διέθρεψέ με Κύριος ὃν τρόπον εἶπε. τοῦτο
» τεσσαρακοστὸν καὶ πέμπτον ἔτος ἀφ' οὗ ἐλά-
» λησε Κύριος πρὸς Μωϋσῆν. μετὰ δὲ τὴν τῶν ἑξακοσίων χιλιάδων ἀπόφασιν τοῦ Θεοῦ, τριάκοντα καὶ ὀκτὼ διετέλεσαν ἔτη ἐν τῇ ἐρήμῳ διάγοντες. ἑπτὰ τοίνυν ἐστὶ τὰ λειπόμενα τοῖς πέντε καὶ ὀγδοήκοντα. τοῦτο δὲ καὶ ὁ τῶν ὅλων δεσπότης διὰ τοῦ θειο-
» τάτου Μωϋσοῦ ἔφη· ὡς ἂν εἰσαγάγῃ σε Κύ- Δευτ. 31. 20, 10, 11.
» ριος ὁ Θεός σου εἰς τὴν γῆν ἣν ἐπηγγείλατο
» τοῖς πατράσι σου, μετὰ ἑπτὰ ἔτη ἀναγνώ-
» σῃ τὸν νόμον τοῦτον παντὶ τῷ λαῷ. ἐπισημήνασθαι δὲ προσήκει, ὡς τὴν Ἱερουσαλὴμ Ἰεβοὺς ὀνομάζει· καὶ ταύτην λέγει τῷ
» Βενιαμὶν κληρωθῆναι. ὁ δέ γε Συμεὼν κατὰ τὴν τοῦ προπάτορος πρόῤῥησιν διεσπαρ-
» μένον εἶχε τὸν κλῆρον. ἐγενήθη γάρ φησιν Ἰησ. 19. 1, 8, 9.
» ἡ κληρονομία αὐτοῦ ἀναμέσον κλήρου υἱῶν Ἰούδα. εἶτα τὰς πόλεις εἰπὼν, ἐπήγαγεν·
» αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Συμεών.
» ὅτι ἐγενήθη ἡ μερὶς τῆς κληρονομίας υἱῶν
» Ἰούδα μείζων αὐτῶν. καὶ ἐκληρονόμησαν υἱοὶ
» Συμεὼν ἐν μέσῳ τοῦ κλήρου αὐτῶν.

ιδ. Διὰ τοῦτο ἐγένετο ἡ Χεβρὼν τῷ Χάλεβ τῷ τοῦ Ἰεφοννῆ τοῦ Κενεζαίου ἐν κλήρῳ ἕως τῆς σήμερον ἡμέρας, διὰ τὸ αὐτὸν ἐπακολουθῆσαι τῷ προστάγματι Κυρίου τοῦ Θεοῦ Ἰσραήλ.

✱✱ ΝΕΙΛΟΥ. Χεβρὼν συζυγὴ ἑρμηνεύεται. διατὶ δὲ συζυγὴ προσηγορεύθη ὁ τόπος; ὅτι ἐκεῖ κατὰ συζυγίαν κεῖνται Ἀβραὰμ καὶ Σάῤῥα, Ἰσαὰκ καὶ Ῥεβέκκα, Ἰακὼβ καὶ Λεία. καλῶς τοίνυν ὁ θεοφιλὴς Χαλὲβ πολλῇ σπουδῇ καὶ πόνῳ καὶ ἱδρῶτι ἔλαβε τὴν μνήμην τῶν ἀοιδίμων Πατριαρχῶν, ἥτις μητρόπολις ὑπῆρχε τῶν Ἐνακεὶμ, καταφονεύσας τοὺς τῶν ὑπερηφάνων γιγάντων ἀσεβεῖς καὶ φαύλους ἀπογόνους. καὶ γίνεται κλῆρος τοῦ Χαλὲβ πᾶσα ἡ γῆ, ἐν ᾗπερ ἐτύγχανον οἱ τάφοι τῶν μακαρίων ἐκείνων.

ΑΔΗΛΟΥ. Χεβρὼν ἑρμηνεύεται ἡ συζυγία. Φασὶ δὲ ὅτι τὰ ὀστᾶ τῶν πατέρων ἐκεῖ ἐστὶ, κατὰ συζυγίαν ἀποκείμενα. Ἀβραὰμ καὶ Σάῤῥας, Ἰσαὰκ καὶ Ῥεβέκκας, Ἰακὼβ καὶ Λείας.

ιε. Τὸ δὲ ὄνομα Χεβρὼν τὸ πρότερον πόλις Ἀρβὼκ, μητρόπολις τῶν Ἐνακεὶμ αὕτη. καὶ ἡ γῆ ἐκόπασε πολεμουμένη.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἡ γῆ ἐκόπασε
» τοῦ πολέμου. Καὶ πῶς γὰρ ἄν τις κληρονομήσῃ παρ' Ἰησοῦ, μὴ τὸν πόλεμον καταλύσας τὸν ἐν αὐτῷ;

ΚΕΦ. ΙΕ.

α. Καὶ ἐγενήθη τὰ ὅρια φυλῆς υἱῶν Ἰούδα κατὰ δήμους αὐτῶν ἀπὸ τῶν ὁρίων τῆς Ἰδουμαίας ἀπὸ τῆς ἐρήμου Σὶν ἕως Κάδης πρὸς Λίβα.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τεσσάρων ὄντων γενικῶν κλιμάτων ἐπὶ τῶν ὁρίων Ἰούδα, τὰ δύο λέγων, Λίβα τε καὶ ἀνατολὰς, τὰ λοιπὰ σεσιώπηκε. μετὰ γὰρ τὰ Λιβυκά φησι, τοῦ Ἰούδα τὰ ὅρια διαδέχεται. ἅπερ ἐστὶ πλησίον τῆς Ἰδουμαίας, ἥτις ἑρμηνεύεται γηΐνα, μετὰ τὰ ὅρια Ἰούδα. Φησὶ δὲ
» καὶ ἀπὸ τῆς ἐρήμου Σίν· ἑρμηνεύεται δὲ πειρασμοί. μεθ' οὓς Ἰούδα κληρονομία. καὶ ἐπὶ τῶν δὲ κατὰ Λίβα τῆς φυλῆς ὁρίων οὐδὲν ὠνόμασαι κλίμα, ἀλλ' ἢ Λὶψ, ἢ δυσμαὶ, ἢ φάραγξ Αἰγύπτου. ἵνα ταῦτα καὶ τοὺς πειρασμοὺς διαπορευθῇ τις, καὶ δυνηθῇ λαβεῖν ὅρια ἐν τῇ φυλῇ τῇ βασιλικῇ·
περὶ

Ἑβρ. 7. 14. περὶ ἧς γέγραπ]αι· πρόδηλον γὰρ, ὡς ἐξ A
„ Ἰέδα ἀνατέταλκεν ὁ Κύριος.

β. Καὶ ἐγενήθη αὐτῶν τὰ ὅρια
ἀπὸ Λιβὸς ἕως μέρες θαλάσσης τῆς
ἁλυκῆς ἀπὸ τῆς λοφιᾶς τῆς Φερέ-
σης ἐπὶ Λίβα.

γ. Καὶ διαπορεύεται ἀπέναν]ι τῆς
προσαναβάσεως Ἀκραβείμ· καὶ ἐκ-
περιπορεύεται Σεναὰρ, (1) καὶ ἀνα-
βαίνει ἀπὸ Λιβὸς ἐπὶ Κάδης Βαρνῆ· B
καὶ ἐκπεριπορεύεται Ἐσρὼμ, καὶ προ-
σαναβαίνει εἰς Ἄραβα· (2) καὶ περι-
πορεύεται τὴν Γαλααδίτιν, (3)

⁂ ΠΡΟΚΟΠΙΟΥ. Καὶ προσάναβῆναι
τὴν ἀνάβασιν Ἀκραβίμ. ἑρμηνεύεται δὲ
σκορπίοι, καθ᾽ ὧν πατεῖν καὶ τῶν ὄφεων
ἐλάβομεν παρὰ τοῦ Χριστοῦ. ἀναβῆναι δέ σε
δεῖ, τουτέστιν ὑπεραναβῆναι τοὺς σκορπίους
τοὺς πολεμοῦντας ἐν Ἰούδα, κληρονομῆσαι
Ἰεζ. 2. 6. „ βουλόμενον. Ἰεζεκιὴλ δέ φησιν· ὁ δὲ δί-
„ καιος ἐν μέσῳ σκορπίων κατοικεῖ. τὰ δὲ
ὅρια ἕως Κάδης. ὅπερ ἅγιον καὶ ἁγιασμὸς
ἑρμηνεύεται.

δ. Καὶ ἐκπορεύεται ἐπὶ Ἀσελμῶ-
να, καὶ διεκβάλλει ἕως Φάραγγος Αἰ-
γύπ]ου· καὶ ἔσαι αὐτοῦ ἡ διέξοδος τῶν
ὁρίων ἐπὶ τὴν θάλασσαν. ταῦτά ἐστιν
ε. αὐτῶν τὰ ὅρια ἀπὸ Λιβός. Καὶ τὰ
ὅρια ἀπὸ ἀνατολῶν πᾶσα ἡ θάλασ-
σα ἡ ἁλυκὴ ἕως τοῦ Ἰορδάνου. καὶ τὰ
ὅρια αὐτῶν ἐπὶ βοῤῥᾶν, καὶ ἀπὸ τῆς
λοφιᾶς τῆς θαλάσσης καὶ ἀπὸ τοῦ (4)
ς. Ἰορδάνου Ἐπιβαίνει τὰ ὅρια ἐπὶ Βαι-
θαραβά· (5) καὶ παραπορεύεται ἀπὸ
βοῤῥᾶ ἐπὶ Βαιθαραβὰ, καὶ προσα-
ναβαίνει τὰ ὅρια ἐπὶ λίθον Βαιὼν
ζ. υἱῶν (6) Ῥουβίμ. Καὶ προσαναβαίνει E
τὰ ὅρια ἐπὶ τὸ τέταρ]ον τῆς Φάραγ-
γος Ἀχὼρ, καὶ καταβαίνει ἐπὶ Γαλ-
γὰλ, ἥ ἐστιν ἀπέναντι τῆς πηγῆς ἡλίου·
καὶ ἔσαι αὐτοῦ ἡ διέξοδος πηγὴ Ῥωγήλ.
η. Καὶ ἀναβαίνει τὰ ὅρια εἰς Φάραγγα
Ἐννὸμ ἐπὶ νώτου Ἰεβοῦς· αὕτη ἐστὶν Ἰε-
ρουσαλήμ· καὶ διεκβάλλει τὰ ὅρια ἐπὶ
κορυφὴν ὄρους, ἥ ἐστι κατὰ πρόσωπον Z
Φάραγγος Ἐννὸμ πρὸς θαλάσσης, ἥ-
ἐστιν ἐκ μέρους γῆς Ῥαφαεὶμ ἐπὶ βοῤ-
θ. ῥᾶν. Καὶ διεκβάλλει τὸ ὅριον ἀπὸ
κορυφῆς τοῦ ὄρους ἐπὶ πηγὴν ὕδατος
Ἀφθὼ, (7) καὶ διεκβάλλει ὄρος Ἐφ-
ρὼμ. καὶ ἐξάξει τὸ ὅριον εἰς Βάαλ·
αὕτη ἐστὶ πόλις Ἰαρείμ.

ι. Καὶ περιελεύσεται ὅριον ἀπὸ
Βάαλ ἐπὶ θάλασσαν εἰς ὄρος Σηείρ,
καὶ παρελεύσεται ἐπὶ νώτου πόλιν Ἰα-
ρεὶμ ἐπὶ βοῤῥᾶ· αὕτη ἐστὶ Χασαλών·
καὶ καταβήσεται ἐπὶ πόλιν ἡλίου, καὶ
παρελεύσεται ἐπὶ νότον.

⁂ ΠΡΟΚΟΠΙΟΥ. Ἴδωμεν καὶ τὰ ἐπὶ
τῶν ἀνατολικῶν ὁρίων μυστήρια, μὴ ψιλὸν
νοοῦντες ὀνομάτων κατάλογον. λέγεται
B τοίνυν ἐν τούτοις πηγὴ Ἡλιούπολις, Ἡλιού-
πολις γραμμάτων, ἣν ὁ λαβὼν ἐν εὐλο-
γίαις γίνεται. ἀλλὰ τίς ἐν Ἰούδα διὰ τοῦ ἡλίου
πηγή; καὶ ποίου ἡλίου; Δῆλον, ὡς περὶ οὗ
„ γέγραπ]αι· τοῖς δὲ φοβουμένοις τὸ ὄνομά- Μαλαχ.
„ μου ἀνατελεῖ ἥλιος δικαιοσύνης. ταύτην
τὴν πηγὴν χαρίζεται τοῖς μαθηταῖς, ἵνα
πηγὴ ὕδατος ἁλλομένου εἰς ζωὴν αἰώνιον ᾖ
ἐν αὐτοῖς. ἔστι δὲ καὶ πόλις ἡλίου κατ᾽ Αἴ-
γυπ]ον, τὰ ἐπιφανῆ καὶ ἔνδοξα τοῦ κόσμου
Γ σημαίνουσα. τὰ γὰρ κατὰ Θεὸν ἔνδοξα τῆς
κληροδοσίας Ἰούδα βασιλικῆς τε φυλῆς, καὶ
ἐν γῇ ἁγίᾳ.

ια. Καὶ διεκβάλλει τὸ ὅριον κατὰ
νότου (8) Ἀκκαρὼν ἐπὶ βοῤῥᾶν, καὶ
διεκβάλλει τὰ ὅρια εἰς Σαχάρωνα,
καὶ παρελεύσεται ὅρος γῆς Βάαλ,
καὶ διεκβάλλει ἐπὶ Ἰαμνὴλ, καὶ ἔσαι
ἡ διέξοδος τῶν ὁρίων ἐπὶ θάλασσαν.
Δ καὶ τὰ ὅρια αὐτῶν ἀπὸ θαλάσσης,
ιβ. ἡ θάλασσα ἡ μεγάλη ὁριεῖ. Ταῦτα
τὰ ὅρια υἱῶν Ἰούδα κύκλῳ κατὰ δή-
μους αὐτῶν.

ιγ. Καὶ τῷ Χάλεβ υἱῷ Ἰεφοννὴ
ἔδωκε μερίδα ἐν μέσῳ υἱῶν Ἰούδα διὰ
προστάγματος τοῦ Θεοῦ. καὶ ἔδωκεν αὐ-
τῷ Ἰησοῦς τὴν πόλιν Ἐνάκ· (9) αὕτη
ιδ. ἐστὶ Χεβρών. Καὶ ἐξωλόθρευσεν ἐκεῖ-
θεν Χάλεβ υἱὸς Ἰεφοννὴ τοὺς τρεῖς υἱοὺς
Ἐνὰκ, τὸν Σουσὶ, καὶ τὸν Θολμαὶ,
ιε. καὶ τὸν Ἀχιμάν. Καὶ ἀνέβη ἐκεῖθεν
Χάλεβ ἐπὶ τοὺς κατοικοῦντας Δα-
βείρ· τὸ δὲ ὄνομα Δαβεὶρ ἦν τὸ πρό-
ις. τερον πόλις Γραμμάτων. Καὶ εἶπε
Χάλεβ, ὃς ἂν λάβῃ τὴν πόλιν τῶν
Γραμμάτων καὶ κυριεύσῃ αὐτῆς, καὶ
δώσω αὐτῷ Ἀχὰν τὴν θυγατέρα μου
ιζ. εἰς γυναῖκα. Καὶ ἔλαβεν αὐτὴν Γο-
θονοὴλ (10) υἱὸς Κενὲζ (11) ἀδελφοῦ
Χάλεβ ὁ νεώτερος· καὶ ἔδωκεν αὐτῷ
Ἀχὰν θυγατέρα αὐτοῦ αὐτῷ εἰς γυ-
ιη. ναῖκα. Καὶ ἐγενήθη ἐν τῷ ἐκπορεύε-
σθαι αὐτὴν καὶ συνεβουλεύσατο αὐτῷ,
λέγουσα, αἰτήσομαι τὸν πατέρα μου
ἀγρόν,

(1) Σεναά. αἱ αὐτ. (2) Σάραδα· αἱ αὐτ.
(3) Καὶ ἐκπορεύεται τὴν κατὰ δυσμὰς Κάδης. αἱ αὐτ. (4) Μέρους τοῦ. αἱ αὐτ.
(5) Βαιθαγλαάμ. αἱ αὐτ. (6) Υἱοῦ. αὐτ. (7) Ναφθώ. αὐτ.
(8) Νώτου. αὐτ. (9) Τὴν πόλιν Ἀρβὸκ μητρόπολιν Ἐνάκ. αὐτ.
(10) Γοθονιήλ. αἱ αὐτ. καὶ ὁ Προκόπ. ἐν τῷ προκειμ. ὑπομνήμ. (11) Χενέζ. αἱ αὐτ.

ἀγρόν. καὶ ἐβόησεν ἀπὸ τοῦ ὄνου. καὶ A
ιθ. εἶπεν αὐτῇ Χάλεβ, τί ἐστί σοι; Καὶ
εἶπεν αὐτῷ, δός μοι Γωλαθμαΐμ· (1)
καὶ ἔδωκεν αὐτῇ Χάλεβ τὴν Γωλὰθ
τὴν ἄνω καὶ τὴν Γωλὰθ τὴν κάτω.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Πρὸ τῆς μερίδος
ἣν ἔλαβεν ἡ Φυλὴ Χάλεβ ἀκληρωτὶ μέρος
λαμβάνει διὰ προστάγματος τοῦ Θεοῦ. τίνα
δὲ πόλιν ἔδει τὸν μόνον σωθέντα μετ' Ἰησοῦ
παρὰ τὰς χ' χιλιάδας λαβεῖν, ἢ μητρό-
πολιν τὴν Ἐνάκ, τὴν Χεβρών; ἣν δὴ λα-
βὼν, ἀνέβη ἐπὶ τοὺς κατοικοῦντας Δαβείρ·
ἣ πρότερον ἐλέγετο πόλις Γραμμάτων·
καὶ κηρύττει, τῷ ταύτην ἑλόντι Ἀχὰν δι-
δόναι τὴν θυγατέρα, ἣν εἷλε Γοθονιὴλ υἱὸς
Κενὲζ ἀδελφὸς Χάλεβ ὁ νεώτερος· δῆλον
ὡς ἐξ ἑτέρου πατρὸς, κατά γε τὸν τοῦ γράμ-
ματος λόγον. λαμβάνει δὲ κατ' αἴτησιν ἡ
Ἀχὰν παρὰ τοῦ πατρὸς τὴν Γονέθλαν τὴν
ἄνω καὶ τὴν Γονέθλαν τὴν κάτω τῆς κλη-
ρονομίας Ἰούδα. ἀλλὰ τίς ἡ μητρόπολις;
πολλῶν τοίνυν οὐσῶν πόλεων ἐν τῇ ἁγίᾳ
κληροδοσίᾳ, καὶ ταγμάτων διαφερόντων,
δεῖ καὶ τάγμα ταγμάτων ὑπάρχειν πε-
ριεκτικόν τε καὶ κύριον, καὶ οἷον μητρόπο-
λιν, ἣν οἱ διαφερ. (2) λαμβάνουσι, καὶ
ἄλλην ἄλλοι. πολλὰς γὰρ μητροπόλεις φη-
Ησ.1.22. „ σὶν ἡ Γραφὴ, ὡς παρ' Ἡσαΐᾳ· μητρόπο-
„ λις πιστὴ Σιών. ὧν λαμβάνει τὴν πρώτην
ὁ Χάλεβ οὖσαν τῶν Ἐνακείμ, ὅπερ ταπεί-
νωσις κενὴ, ἤγ' οὖν ἀπόκρισις κενὴ ἑρμη-
νεύεται. μητρόπολιν οὖν λαμβάνει κενῆς
ταπεινώσεως. δύο γὰρ ταπεινώσεις· ἡ μὲν,
κενή· ἡ δὲ, πλήρης. ἡ μὲν ἐπαινετὴ, περὶ
Ματθ.11.29. ἧς φησὶν ὁ Σωτήρ. μάθετε ἀπ' ἐμοῦ, ὅτι
„ πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ,
Λουκ. 14. 11. πᾶς ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται· καὶ
1. Πέτρ. 5. 6. ὁ Παῦλος, (3) ταπεινώθητε οὖν ὑπὸ τὴν
„ κραταιὰν χεῖρα τοῦ Θεοῦ· ἡ δὲ ψεκτὴ, ἣν
ταπεινοῦται ὁ ἁμαρτωλός. καὶ περὶ τοῦ δὲ
παρανόμως γυναικὶ συνιόντος εἴρηται τῇ
Γεν. 34. 2. „ Γραφῇ· ἐταπείνωσεν αὐτήν. ταύτην ὁ Χά-
λεβ κατήργησε τὴν ταπείνωσιν, Ἐνὰκ λε-
γομένην. οὗ παῖδες, Σουσὶ, ὃς ἑρμηνεύεται
ἐκτός μου· ἐκτὸς γὰρ τοῦ Θεοῦ, καὶ τοῦ ἁγίου
ὁ υἱὸς τῆς κενῆς ταπεινώσεως· καὶ Ἀχι-
μὰν, ὅ ἐστιν ἀδελφός μου ἀπὸ βουλῆς· ἀδελ-
φοὶ μὲν γὰρ πάντες, ὁ δὲ ἁμαρτωλὸς ἀπό-
βουλος, ἀδελφὸς ἐκβεβλημένος βουλῆς· καὶ
Θαλαμὶν, ὃς ἑρμηνεύεται κρεμασμὸς, με-
τέωρός τις καὶ οὐκ ἐστηριγμένος. οὓς ἀνελὼν
ὁ Χάλεβ, ἐπὶ τοὺς κατοικοῦντας ἀναβαίνει
Δαβείρ. ἥτις ἦν πόλις Γραμμάτων, καὶ
ἑρμηνεύεται λαλιά. νοητέον δὲ ταύτην τὴν
παλαιὰν εἶναι Γραφήν. ἡ καλουμένη Γραμ-
μάτων, γίνεται λαλιὰ, τυχοῦσα συνετῆς
διηγήσεως. ἐπαγγέλλεται δὲ τὴν ἑαυτοῦ θυ-
γατέρα τῷ τὰς Γραφὰς ἑλόντι. καὶ λαμ-
βάνει τὴν πόλιν Γοθονιὴλ, ὃς ἑρμηνεύε-
ται ἀπόκρισις Θεοῦ. ὅταν μοι Θεὸς ἀποκρί-
νηται, γέγονα ἀπόκρισις Θεοῦ. ἐκκόπτω δὲ
τὰ γράμματα ἀδελφὸς ὢν Χάλεβ ὁ νεώ-

A τερος, τουτέστιν ὁ ἀπὸ τῆς Ἐκκλησίας. οὐκ
ἔτι γὰρ περιτέμνομαι κατὰ τὸ γράμμα,
οὐ Πάσχα ποιῶ, οὐκ ἄζυμα, οὐ σαββατίζω.
καὶ τοῦ ἀδελφοῦ μου τοῦ πρεσβυτέρου λαμ-
βάνω τὸ γέννημα ὁ τοῦ Κενὲζ υἱὸς γεγονὼς,
ὃς ἑρμηνεύεται φαυλισμός. ὁποῖοι γεγό-
ναμεν οἱ ἐξ ἐθνῶν, τοῦ πρεσβυτέρου ἀδελ-
φοῦ μὴ τοιούτου τυγχάνοντος. ἣν γὰρ υἱὸς
Ἰεφοννὴ τῆς ἐπιστροφῆς. ὃς δίδωσί μοι τὴν
„ θυγατέρα κατὰ τὸ γεγραμμένον, ἀρθή- Ματθ. 21. 43.
B „ σεται ἀφ' ὑμῶν ἡ βασιλεία τοῦ Θεοῦ, καὶ
„ δοθήσεται ἔθνει ποιοῦντι τοὺς καρποὺς αὐ-
τῆς. ἣν ἐκβαλὼν τοῦ οἴκου τοῦ πατρὸς, ἐπ'
ὄνου φέρω, ὃν ἔλυσαν οἱ μαθηταί· καὶ ἐξ
αἰτήσεως εὐλογίαν εἴληφε πατρικήν. καὶ
λαμβάνει Γονέθλαν τὴν κάτω· κληρονο-
μεῖ γὰρ κἂν τῷ παρόντι βίῳ τὸ σχολάσαι
Θεῷ· καὶ Γονέθλαν τὴν ἄνω· ἡ γὰρ κα-
τὰ Θεὸν μακαριότης ἐπαγγελίαν ἔχει ζωῆς
καὶ τῆς παρούσης καὶ τῆς μελλούσης. ᾔτησε
Γ δὲ ταύτην, ὡς εἰς τὸ τῆς μεσημβρίας πεμ-
πομένη κλίμα καταυγασθῆναι τῷ ἐκεῖθεν
φωτὶ, καὶ τῇ τοῦ Θεοῦ ἐξυπηρετήσασθαι
ἀποκρίσει. καὶ τῷ τῆς ἐκείνου παρουσίας
καιρῷ. Γοθονιὴλ γὰρ, ἀπόκρισις Θεοῦ, ἢ
καιρός μοι Θεοῦ. καὶ εὐλογίαν λαμβάνουσι
τῷ καλοῦντι ἑτοίμως ἀποκρινόμενοι. τοῦτον
ἠβούλετο τὸν νότον καταπνέειν τὸν ἑαυτῆς
κῆπον ἡ ἐν τῷ Ἄσματι τῶν Ἀσμάτων νύμ-
„ φη· ἐξεγείρου βοῤῥᾶ, λέγουσα, καὶ ἔρχου Ἆσμ. 4. 16.
Δ „ νότε διάπνευσον κῆπόν μου. καὶ Ἀμβακοὺμ
δὲ, ἐκεῖθεν φησὶν ἥξειν τὸν Θεὸν, ὡς ἀπὸ
τοῦ τῆς μεσημβρίας φωτός. τὸ γὰρ, ὁ Ἀμβ. 3. 3.
„ Θεὸς ἀπὸ Θαιμὰν ἥξει, οἱ λοιποὶ, ἀπὸ τοῦ
„ νότου ἡρμήνευσαν.

κ. Αὕτη ἡ κληρονομία φυλῆς υἱῶν
κα. Ἰούδα. Ἐγενήθησαν δὲ αἱ πόλεις αὐ-
τῶν πόλις πρώτη φυλῇ υἱῶν Ἰούδα ἐφ'
E ὁρίων Ἐδὼμ ἐπὶ ἐρήμου Καβσεὴλ, καὶ
κβ. Ἐδραΐ, καὶ Ἰαγοὺρ, Καὶ Κινὰ, καὶ
κγ. Διμωνὰ, καὶ Ἀδαδὰ, Καὶ Κέδες,
κδ. καὶ Ἰεθναζὶφ, καὶ Τελὲμ, Καὶ Βα-
λὼθ, καὶ Βαρβὰ, καὶ αἱ κῶμαι αὐ-
κε. τῶν, Καὶ αἱ πόλεις Ἀσερὼμ, αὕτη
κς. Ἀσὼρ, Καὶ Ἀμὼν, καὶ Σαμαὰ, καὶ
κζ. Μωλαδὰ, Καὶ Ἀσεργαδδὰ, καὶ Βεθ-
κη. φαλὲθ, Καὶ Φοργὰλ, καὶ Ἀσαρ-
Z σουλὰ, καὶ Βηρσαβεέ· καὶ αἱ κῶμαι
κθ. αὐτῶν, καὶ αἱ ἐπαύλεις αὐτῶν, Βαα-
λ. λὰ, καὶ Αἰεὶμ, καὶ Ἀσὲμ, Καὶ Ἐλ-
λα. θωδὰμ, καὶ Χεὴλ, καὶ Ἑρμὰν, Καὶ
Σικελὲγ, καὶ Μεδεμηνὰ, καὶ Σαν-
λβ. σαννὰ, Καὶ Λαβὼθ, καὶ Σελεεὶμ,
καὶ Λεμμών· πόλεις εἰκοσιεννέα, καὶ
λγ. αἱ κῶμαι αὐτῶν, Ἐν τῇ πεδινῇ Ἐσ-
λδ. θαὸλ, καὶ Σαρὰ, καὶ Ἄσα, Καὶ
H Ῥαμεὼν, καὶ Ζανὼ, καὶ Ἀδιαθὲμ,
λε. καὶ Ἡνὲμ, Καὶ Ἰεριμοὺθ, καὶ Ὀδολ-
λὰμ, καὶ Μεμβρὰ, καὶ Σωχὼ, καὶ
Ἀθημὰ,

(1) Εὐλογίαν. αἱ αὐτ. (2) Ἴσ. διαφέροντες τὴν ἀρετήν. (3) Ὁ Πέτρος.

λϛ. Ἀθημὰ, Καὶ Σαργαλεὶμ, καὶ Γά- A
δηρα, καὶ ἐπαύλεις αὐτῆς· πόλεις καὶ
λζ. αἱ κῶμαι αὐτῶν, Σεννὰν, καὶ Ἀδασ-
λη. σὰ, καὶ Μαγδαγὰλ, Καὶ Δαλαὰν,
λθ. καὶ Μασφὰ, καὶ Εἰκαρεὴλ, Καὶ Λά-
μ. χεις, καὶ Βαζκὰθ, καὶ Αἰγλὼν, Καὶ
Χαββὼς, καὶ Χαμὰς, καὶ Χαθλὼς,
μα. Καὶ Γαδηρὼθ, καὶ Βηθδαχὼθ, καὶ
Νοομὰ, καὶ Μακηδά· πόλεις δεκαὲξ,
μβ. καὶ αἱ κῶμαι αὐτῶν, Λεμνὰ, καὶ Ἀθὲρ, B
μγ. καὶ Ἰεφθὰ, Καὶ Ἀσεννὰ, καὶ Να-
μδ. σὴβ, Καὶ Κεϊλὰ, καὶ Ἀμιοσαὶ, καὶ
Ζὲν, καὶ Μαρησὰ, καὶ Ἐδώμ· πόλεις
με. δέκα, καὶ αἱ κῶμαι αὐτῶν. Ἀκκα-
ρὼν, καὶ αἱ κῶμαι αὐτῆς, καὶ αἱ ἐπαύ-
μϛ. λεις αὐτῆς. Ἀπὸ Ἀκκαρῶν Ἰεμνά·
καὶ πᾶσαι ὅσαι εἰσὶ πλησίον Ἀσδών.

μζ. Ἀσιδὼθ, καὶ αἱ κῶμαι αὐτῶν, Γ
καὶ αἱ ἐπαύλεις αὐτῆς ἕως τοῦ χειμάρ-
ρου Αἰγύπτου, καὶ ἡ θάλασσα ἡ με-
γάλη διορίζει.

** ΠΡΟΚΟΠΙΟΥ. Χειμάρρουν δὲ Αἰγύπτου τὸν Ῥινοκορούρων φησί. καθ᾽ ἑτέραν δὲ τάξιν τοὺς κλήρους ἠρίθμησεν. ἰστέον δὲ, ὡς τὰ περὶ Σιδῶνα. καὶ Ἀρυκαίους, καὶ Ἀμαθαίους, καὶ Ἀραδίους ἀδιακόσμητα ἦν, ἴσως ὑπὸ γήρως ἐμποδισθέντος Ἰησοῦ, καὶ τῶν μετ᾽ αὐτὸν ἡγεμόνων ῥαθυμησάντων. Δ

μη. Καὶ ἐν τῇ ὀρεινῇ Σαφεὶρ, καὶ
μθ. Ἐλθὲρ, καὶ Σωχὼ, Καὶ Ῥεννὰ, πό-
λεις (1) Γραμμάτων, αὕτη ἐστὶ Δα-
ν. βεὶρ, Καὶ Ἀνὼβ, καὶ Ἐσθεμὼ, καὶ
να. Ἀνὲμ, Καὶ Γοσὸμ, καὶ Χιλονὼμ, καὶ
Γηλών· πόλεις ἕνδεκα, καὶ αἱ κῶμαι
νβ. αὐτῶν, Ἔβερ, καὶ Ἐσὰν, καὶ Ῥουμὰ, E
νγ. Καὶ Ἰανοὺμ, καὶ Βαιθθαπφουὲ, καὶ
νδ. Ἀφακὰ, Καὶ Χαμματὰ, καὶ πόλις
Ἀρβὼκ, αὕτη ἐστὶ Χεβρὼν, καὶ Σιώρ·
πόλεις ἕνδεκα, (2) καὶ αἱ κῶμαι αὐ-
νε. τῶν, Μαὼν, καὶ Χερμὲλ, καὶ Ζεὶφ,
νϛ. καὶ Ἰεττὰ, Καὶ Ἰεζραὲλ, καὶ Ἰεκδὰμ,
νζ. καὶ Ζανὼ, καὶ Ἀσκεὶμ, Καὶ Γαμὰ,
καὶ Θαμνά· πόλεις ἐννέα, καὶ αἱ κῶ- Z
νη. μαι αὐτῶν, Ἄουλ, καὶ Βαιθσοὺρ, καὶ
νθ. Γεδὼρ, Καὶ Μαρὼθ, καὶ Θανὼθ καὶ
Ἐλθεκέν· πόλεις ἓξ, καὶ αἱ κῶμαι
ξ. αὐτῶν, Θεκὼ, καὶ Ἐφραθὰ, αὕτη
ἐστὶ Βηθλεὲμ, καὶ Φαγὼρ, καὶ Αἰτὰμ,
καὶ Κουλὸν, καὶ Γαμεῖ, καὶ Σωρεὶς, καὶ
Καρὲμ, καὶ Γαλλεὶμ, καὶ Βαιθὴρ,

A καὶ Μονοχώ· πόλεις ἕνδεκα, καὶ αἱ
κῶμαι αὐτῶν, Καριαθβαὰλ, αὕτη
ἐστὶ πόλις Ἰαρεὶμ, καὶ Ἀρρεβά· πό-
λεις δώδεκα, καὶ αἱ κῶμαι αὐτῶν, καὶ
ξα. αἱ ἐπαύλεις αὐτῶν. Καδδαργεῖς, καὶ
ξβ. Βαιθαραμὰ, καὶ Μαδὼν, Καὶ Σοχο-
χὰ, καὶ Νεβασὰν, καὶ πόλεις Ἁλῶν,
καὶ Ἡνγαδδί· πόλεις ἑπτὰ, καὶ αἱ
κῶμαι αὐτῶν.

B ξγ. Καὶ ὁ Ἰεβουσαῖος κατῴκησεν Ἰερουσαλὴμ, καὶ οὐκ ἠδυνάσθησαν υἱοὶ Ἰούδα ἀπολέσαι αὐτούς· καὶ κατῴκησαν οἱ Ἰεβουσαῖοι ἐν Ἰερουσαλὴμ ἕως τῆς ἡμέρας ταύτης.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐρωτητέον τοὺς ἐκ παντὸς τρόπου προϊσταμένους τοῦ γράμματος. πῶς ἕως τῆς σήμερον ἡμέρας φησίν; (Γ) ὅπερ ἐν τῇ Γραφῇ μέχρι τῆς συντελείας τοῦ παρόντος αἰῶνος δηλοῖ, κατὰ τὸ, » οὗτος πατὴρ Μωαβιτῶν ἕως τῆς σήμερον ἡμέρας. (Γεν. 19.) καὶ πάλιν. μὴ ἀπόστητε ἀπὸ Κυρίου ἐν ταῖς σήμερον ἡμέραις, ἀντὶ τοῦ, ὅσον τὸ σήμερον καλεῖται. μηκέτι οὖν τῶν υἱῶν Ἰούδα κατοικούντων ἐν Ἰερουσαλὴμ, πῶς ὁ Ἰεβουσαῖος οἰκεῖ μετ᾽ αὐτοῦ; τοιγαροῦν ἐπί τι νοητὸν ἀναδράμωμεν ὅμοιον, τὴν περὶ τῶν ζιζανίων εἰληφότες παραβολήν· ἃ τῷ σίτῳ (Δ) κατέλειπε συναυξάνεσθαι, μὴ συνεκριζωθῇ τούτοις ὁ σῖτος. ἐν γὰρ τῇ Ἐκκλησίᾳ εἰσὶν Ἰεβουσαῖοι καταπατούμενοι, ἁμαρτωλοί τε καὶ τῆς πίστεως ἀλλότριοι. καὶ οὐκ ἄν τις ἐν τῷ παρόντι παύσειε βίῳ τοιούτους ἔχειν τὴν Ἐκκλησίαν, καὶ μόνων ὑπάρχειν ἁγίων. τί γὰρ ἄν τις ποιήσειε περὶ τῶν ἀμφιβόλων ἁμαρτωλῶν, ὅτε καὶ τοὺς φανεροὺς ἀπελάσειε; τὰ δὲ ὅμοια καὶ περὶ τοῦ Ἐφραὶμ φησὶν ἡ Γραφή· » καὶ οὐκ ἀπώλεσεν (Ἰησ. 16.) (E) Ἐφραὶμ τὸν Χαναναῖον τὸν κατοικοῦντα ἐν Γαζέρ. καὶ κατῴκει ὁ Χαναναῖος ἐν τῷ Ἐφραὶμ μέχρι τῆς ἡμέρας ταύτης. Ἐφραὶμ δὲ, καρποφορία ἑρμηνεύεται. ὁ καρποφορῶν οὖν οὐ δύναται τὸν Χαναναῖον, τὸ σπέρμα τὸ ἀλλότριον τὸ κατηραμένον ἐκβάλλειν ἀπὸ τῆς χώρας αὐτοῦ ἕως τῆς ἡμέρας ταύτης. ὃ δὴ περὶ τῆς Ἐκκλησίας εἰρήκαμεν. Καὶ ἄλλως δέ· οὐ δύναται ψυχὴ καθαρῶς Ἰερουσαλὴμ ἐν τῷ παρόντι (Z) βίῳ γενέσθαι μόνην εἰρήνην ὁρῶσα, καὶ μηδὲν ἁμαρτάνουσα· τὸν Χριστὸν ὁρῶσα, τοῦ Θεοῦ τὴν εἰρήνην, καὶ καρποφοροῦσα διαπαντός. οὐδεὶς γὰρ καθαρὸς ἀπὸ ῥύπου, καὶ διαλογισμῶν ἀλλοτρίων· ὡς εὑρίσκεσθαι πάντως Ἰεβουσαῖον καὶ Χαναναῖον ἐν Ἰερουσαλήμ· εἰ καὶ δεῖ πρὸς τὴν τούτων ἐκβολὴν ἀγωνίζεσθαι, Θεὸν καλοῦντας τὸν μόνον δυνάμενον.

ΚΕΦ.

(1) Καὶ πόλις. αἱ εἰρημ. ἐκδόσ. ἐν αἷς μικροῦ δεῖν ἅπαντα τὰ τῶν πόλεων ὀνόματα, τὰ ἐν τῷ δε τῷ κεφ. ἄλλα.
(2) Ἐννέα, καὶ αἱ ἐπαύλεις αὐτῶν. αἱ αὐτ.

ΚΕΦ. Ι϶.

α. Καὶ ἐγένετο τὰ ὅρια υἱῶν Ἰω-
σὴφ ἀπὸ τοῦ κατὰ Ἰορ-
δάνου, καὶ τοῦ κατὰ Ἱεριχὼ
ἀπὸ ἀνατολῶν τῆς ἐρήμου. καὶ ἀναβή-
β. σεται ἀπὸ Ἱεριχὼ εἰς Βαιθήλ. Καὶ
ἐξελεύσεται εἰς Βαιθὴλ Λουζά, καὶ
περιελεύσεται ἐπὶ τὰ ὅρια τοῦ Ἀρχι-
γ. ταρώθ. Καὶ διελεύσεται ἐπὶ τὴν
θάλασσαν ἐπὶ τὰ ὅρια τοῦ Ἀπατα-
λεὶμ ἕως τῶν ὁρίων Βαιθωρῶν τῶν κά-
τω, καὶ ἔσται ἡ διέξοδος αὐτῶν ἐπὶ θά-
δ. λασσαν. Καὶ ἐκληρονόμησαν υἱοὶ Ἰω-
ε. σὴφ, Ἐφραὶμ καὶ Μανασσῆ. Καὶ
ἐγενήθη τὰ ὅρια υἱῶν Ἐφραὶμ κατὰ
δήμους αὐτῶν. καὶ ἐγενήθη ὅρια τῆς
κληρονομίας αὐτῶν ἀπὸ ἀνατολῶν
ϛ. τῆς ἄνω, (1) καὶ Ζαρά. Καὶ διελεύ-
σεται τὰ ὅρια ἐπὶ τὴν θάλασσαν εἰς
Μαχθὼθ ἀπὸ βοῤῥᾶ· καὶ περιελεύ-
σεται ἐπ' ἀνατολὰς εἰς Βιωαεσηλὼ,
καὶ περιελεύσεται ἀπὸ ἀνατολῶν εἰς
ζ. Ἰανὼ, Εἰς Ἀταρὼθ, καὶ Νααραθὰ,
καὶ αἱ κῶμαι αὐτῶν· καὶ διελεύσεται
ἐπὶ Ἱεριχὼ, καὶ διεκβαλεῖ ἐπὶ τὸν
η. Ἰορδάνην. Καὶ ἀπὸ Θαφφουὲ παρε-
λεύσεται τὰ ὅρια ἐπὶ θάλασσαν ἐπὶ
χειμάῤῥουν Κανά· καὶ ἔσται ἡ διέξοδος
αὐτοῦ ἐπὶ θάλασσαν. αὕτη ἡ κληρο-
νομία φυλῆς υἱῶν Ἐφραὶμ κατὰ δή-
θ. μους αὐτῶν. Καὶ αἱ πόλεις αἱ ἀφορι-
σθεῖσαι τοῖς υἱοῖς Ἐφραὶμ ἀναμέσον
τῆς κληρονομίας υἱῶν Μανασσῆ, πᾶ-
σαι αἱ πόλεις καὶ αἱ κῶμαι αὐτῶν.

ι. Καὶ οὐκ ἀπώλεσεν Ἐφραὶμ τὸν Χαναναῖον τὸν κατοικοῦντα ἐν Γαζέρ. καὶ κατῴκει ὁ Χαναναῖος ἐν τῷ ὄρει Ἐφραὶμ ἕως τῆς ἡμέρας ταύτης, ἕως ἀνέβη Φαραὼ βασιλεὺς Αἰγύπτου, καὶ ἔλαβε τὴν πόλιν, καὶ ἐνέπρησεν αὐτὴν ἐν πυρί· καὶ τοὺς Χαναναίους, καὶ τοὺς Φερεζαίους, καὶ τοὺς κατοικοῦντας ἐν Γαζὲρ ἐξεκέντησε· καὶ ἔδωκεν αὐτὴν Φαραὼ ἐν φερνῇ τῇ θυγατρὶ αὐτοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Τρίτον δέ φησιν ἡ Γραφὴ τὸν Χαναναῖον εἶναι μετὰ τῶν υἱῶν Ἐφραὶμ, οὐ ψιλὴν ἱστορίαν, ἀλλά τινα δηλοῦσα μυστήρια. ἅπαξ μὲν γὰρ εἴρηται τὸ, » οὐκ ἀπώλεσεν Ἐφραὶμ τὸν Χαναναῖον, καὶ » τὰ ἑξῆς ἕως τοῦ, καὶ ἔδωκεν αὐτὴν Φαραὼ
B » ἐν φερνῇ τῇ θυγατρὶ αὐτοῦ· δεύτερον δὲ » ἐγενήθη, ἐπεὶ κατίσχυσαν οἱ υἱοὶ Ἰσραὴλ, Ἰησ. 17. 13.
» καὶ ἐποίησαν τοὺς Χαναναίους ὑπηκόους· τὸ τρίτον, ὅτε ζητοῦντες οἱ Ἐφραὶμ παρὰ Ἰησοῦ μείζω κλῆρον, κελεύονται ἐξολοθρεῦσαι τὸν Χαναναῖον, ὡς ἂν εἰς τὸν δρυμὸν ἀνελθόντες, ἑαυτοῖς εὐτρεπίσωσι τόπον. οὐκοῦν πρῶτον ὁ Χαναναῖος μεθ' ἡμῶν ἐστὶν, οὐδὲν καθ' ἡμῶν τοσοῦτον δυνάμενος· ὑπόφορος μὲν ὢν, οὐχ ὑπήκοος δὲ, οὐδὲ δοῦλος.
Γ ταῦτα γὰρ τὸ δεύτερον γίνεται. ὅταν γὰρ τὰ σωματικὰ ὑποτάσσηται τῇ ψυχῇ, οὐ μόνον ἐστὶ μεθ' ἡμῶν, ἀλλὰ καὶ δοῦλος. τὸ δὲ τρίτον ἐὰν τελειωθῶμεν, τελείως ἐξολοθρευθήσεται, τῶν ἐπὶ γῆς μελῶν νενεκρωμένων. οὕτω προκόπτειν οἶδεν ὁ κατηχούμενος, τὸν ἰσραηλίτην λόγον λαβών. οἰκεῖ γὰρ μετὰ τοῦ Χαναναίου, στασιαζούσης αὐτοῦ τῆς σαρκὸς, εἶτα νεκρωθείσης κατὰ πᾶν μέλος, πορνείαν, μοιχείαν, ἀκαθαρσίαν.
Δ κατῴκει δέ φησι μετ' αὐτῶν, ἕως ἂν ἔλθῃ Φαραὼ βασιλεὺς Αἰγύπτου· ὅτε καὶ Γεζὲρ (2) ὁ τόπος τοῦ Χαναναίου δίδοται φερνὴ τῇ θυγατρὶ Φαραώ. Γαζὲρ δὲ, διάτασις ἑρμηνεύεται. ἐπὰν γὰρ οἱονεὶ λελυμένη καὶ διατεταμένη σὰρξ μετὰ τοῦ πνεύματος ἐν ἡμῖν ᾖ, ὁμοῦ ἐσμὲν ἐν τῇ Γαζὲρ, ὅ, τε Χαναναῖος καὶ ὁ υἱὸς Ἐφραὶμ ὁ καρποφορῶν. ὁ δὲ τοιοῦτος καὶ ὡς εὐλογημένος ὑπὸ Κυρίου μείζονος ἐπιδικάζεται κλήρου, καὶ δρυ-
Ε μὸν λαβὼν ἀκάρπων δένδρων, καὶ . . . χωρίον ὑπὸ Ἰησοῦ, ἐκκόψει τοῖς ἰδίοις καμάτοις αὐτόν· ἵνα γένηται γῆ καρποφόρος, καθαρισθέντων ἐν αὐτῷ Φερεζαίων καὶ Ῥαφαΐν. δηλοῖ δὲ τὸ μὲν Φερεζαῖοι, καρποφορίαν, ἣν ἀρξάμεν . . . σέβειν καρποφοροῦμεν καρποφορίαν ἀκάθαρτον, ἀναμὶξ ἔχουσαν ἁμαρτήματα, καὶ δεομένην καθάρσεως· τὸ δὲ Ῥαφαΐν, ἀνειμένας μήτρας. ἵνα σφοδρὸν καὶ εὔτονον τὸ τῆς ψυχῆς
Ζ κατασησώμεθα γόνιμον. ταῦτα λέγεται πρὸς τοὺς υἱοὺς Ἰωσὴφ, ὃς ἑρμηνεύεται προσθήκη Κυρίου.

(1) Ἀπὸ ἀνατολῶν Ἀταρὼθ, καὶ Ἐρὰκ ἕως Βαιθωρὼν τὴν ἄνω, καὶ Γαζαρά. καὶ τ' ἄλλα δὲ τοπικὰ ὀνόμ. τῶν ἐν ταῖς εἰρημ. ἐκδόσ. διαφέρει.

(2) Ἴσ. Γαζέρ.

ΚΕΦ. ΙΖ.

α. Καὶ ἐγενήθη τὰ ὅρια Φυλῆς
ὑῶν Μανασσῆ, ὅτι οὗτος
πρωτότοκος τῷ Ἰωσὴφ,
τῷ Μαχὲιρ πρωτοτόκῳ Μανασσῆ, πα-
τρὶ Γαλαὰδ, ἀνὴρ γὰρ πολεμιστὴς
ἦν, τὴν Γαλααδίτιν καὶ τὴν Βασα-
β. νίτιν. Καὶ ἐγενήθη τοῖς ὑοῖς Μα-
νασσῆ τοῖς καταλοίποις (1) κατὰ δή-
μους αὐτῶν· τοῖς ὑοῖς Ἰεσροῦ, καὶ τοῖς
ὑοῖς Χαλὲχ, καὶ τοῖς ὑοῖς Ἀριὴλ, καὶ
τοῖς ὑοῖς Συχὲτ, καὶ τοῖς ὑοῖς Μα-
ρεὶν, καὶ τοῖς ὑοῖς Σοφέ· οὗτοι ἄῤῥενες
γ. κατὰ δήμους αὐτῶν. Καὶ τῷ Σαλ-
παὰδ ὑῷ Ὀφὲρ οὐκ ἦσαν ὑοὶ ἀλλ᾽ ἢ
θυγατέρες. καὶ ταῦτα τὰ ὀνόματα
τῶν θυγατέρων Σαλπαάδ· Μαα-
λὰ, καὶ Νοὰ, καὶ Ἐγλὰ, καὶ Μελχὰ,
δ. καὶ Θερσά. Καὶ ἔστησαν ἐναντίον
Ἐλεάζαρ τοῦ ἱερέως, καὶ ἐναντίον Ἰη-
σοῦ, καὶ ἐναντίον τῶν ἀρχόντων, λέ-
γουσαι, ὁ Θεὸς διὰ χειρὸς Μωϋσῆ ἐνε-
τείλατο δοῦναι ἡμῖν κληρονομίαν ἀνα-
μέσον τῶν ἀδελφῶν ὑμῶν. (2) καὶ
ἐδόθη αὐταῖς διὰ προστάγματος Κυ-
ρίου κλῆρος ἐν τοῖς ἀδελφοῖς τοῦ πα-
ε. τρὸς αὐτῶν. Καὶ ἔπεσεν ὁ σχοινισμὸς
αὐτῶν ἀπὸ Νασσῆ, καὶ πεδίον Λα-
βὲκ ἐκ τῆς Γαλαὰδ, ἥ ἐστι πέραν τοῦ
ϛ. Ἰορδάνου· Ὅτι θυγατέρες ὑῶν Μα-
νασσῆ ἐκληρονόμησαν κλῆρον ἐν μέ-
σῳ τῶν ἀδελφῶν αὐτῶν. ἡ δὲ γῆ
Γαλαὰδ ἐγενήθη τοῖς ὑοῖς Μανασσῆ
ζ. τοῖς καταλελειμμένοις. Καὶ ἐγενή-
θη τὰ ὅρια ὑῶν Μανασσῆ Δηλανω-
θὲκ, ἥ ἐστι κατὰ πρόσωπον ὑῶν Ναὲθ,
καὶ πορεύεται ἐπὶ τὰ ὅρια ἐπὶ Ἰαμὲιν
η. καὶ εἰς Ἰασὴφ ἐπὶ πηγὴν Σαφέθ. Τῷ
Μανασσῆ ἔσται. καὶ Θαφφὼθ ἐπὶ τῶν
ὁρίων Μανασσῆ, τοῖς ὑοῖς Ἐφραίμ.
θ. Καὶ καταβήσεται τὰ ὅρια ἐπὶ φά-
ραγγα ἐπὶ λίβα κατὰ φάραγγα
Ἰαεὶρ ἡ τερέβινθος τῷ Ἐφραὶμ ἀπὸ
τῆς πόλεως Μανασσῆ. καὶ ὅρια Μα-
νασσῆ ἐπὶ βοῤῥᾶν εἰς τὸν χειμάῤῥουν·
καὶ ἔσται αὐτοῦ ἡ διέξοδος θάλασσα
ι. Ἀπὸ λιβὸς τῷ Ἐφραὶμ, καὶ ἀπὸ
βοῤῥᾶν τῷ Μανασσῆ. καὶ ἔσται ἡ θά-
λασσα ὅρια αὐτῆς. καὶ ἐπὶ Ἀσὴρ συ-
νάψουσιν ἐπὶ βοῤῥᾶν, καὶ τῷ Ἰσσάχαρ
ια. ἀπὸ ἀνατολῶν. Καὶ ἔσται Μανασσῆς
ἐν Ἰσσάχαρ καὶ ἐν Ἀσὴρ καὶ Βαιθσὰν
καὶ αἱ κῶμαι αὐτῆς, καὶ τοὺς κατοι-
κοῦντας Ἐδὼρ, καὶ τὰς κώμας αὐτῆς,
καὶ τοὺς κατοικοῦντας Μαγεδδὼρ, καὶ
τὰς κώμας αὐτῆς, καὶ τοὺς κατοικοῦν-
B τας Θανὰχ, καὶ τὰς κώμας αὐτῆς,
καὶ τὸ τρίτον τῆς Ναφὰθ, καὶ τὰς
ιβ. κώμας αὐτῆς. Καὶ οὐκ ἠδυνάσθησαν
ὑοὶ Μανασσῆ ἐξολοθρεῦσαι τὰς πό-
λεις ταύτας. καὶ ἤρχετο ὁ Χαναναῖος
ιγ. κατοικεῖν ἐν τῇ γῇ ταύτῃ. Καὶ ἐγε-
νήθη ἐπεὶ κατίσχυσαν οἱ ὑοὶ Ἰσραὴλ,
καὶ ἐποίησαν τοὺς Χαναναίους ὑπηκόους,
ἐξολοθρεύσαντες δὲ αὐτοὺς οὐκ ἐξω-
ιδ. λόθρευσαν. Ἀντεῖπαν δὲ οἱ ὑοὶ Ἰω-
Γ σὴφ τῷ Ἰησοῦ, λέγοντες, διατὶ ἐκ-
ληρονόμησας ἡμᾶς κλῆρον ἕνα, καὶ
σχοίνισμα ἕν; ἐγὼ δὲ λαὸς πολὺς,
ιε. καὶ ὁ Θεός με εὐλόγησε. Καὶ εἶπεν
αὐτοῖς Ἰησοῦς, εἰ λαὸς πολὺς εἶ σὺ,
ἀνάβηθι εἰς τὸν δρυμὸν, καὶ ἐκκα-
θάρισον σεαυτῷ εἰ στενοχωρεῖ σε τὸ
ὄρος Ἐφραίμ.

Δ ιϛ. Καὶ εἶπαν ὑοὶ Ἰωσὴφ, οὐκ ἀρκεῖ
ἡμῖν τὸ ὄρος· καὶ ἵππος ἐκλεκτὸς, καὶ
σίδηρος τῷ Χαναναίῳ τῷ κατοικοῦντι
ἐμοὶ ἐν Βηθσὰν, καὶ ἐν ταῖς κώμαις
αὐτῆς, ἐν κοιλάδι Ἰσραήλ.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἵππος ἐκλεκτὸς καὶ
» σίδηρος ἐν παντὶ Χαναναίῳ. Ἵππος ψευ-
δὴς εἰς σωτηρίαν, ὃς ἐν Ἰσραὴλ οὐχ εὑρίσ-
E κεται, καὶ σίδηρος πολεμικός.

ιζ. Καὶ εἶπεν Ἰησοῦς τοῖς ὑοῖς Ἰσ-
ραὴλ, (3) λέγων, εἰ λαὸς πολὺς εἶ,
καὶ ἰσχὺν μεγάλην ἔχεις, οὐκ ἔσαι σοι
κλῆρος εἷς.

ιη. Ὁ γὰρ δρυμὸς ἔσαι σοι κλῆ-
ρος, ὅτι δρυμός ἐστι, καὶ ἐκκαθαριεῖς
αὐτὸν, καὶ ἔσαι σοι ὅταν ἐξολοθρεύ-
Z σῃς τὸν Χαναναῖον, ὅτι ἵππος ἐκ-
λεκτὸς αὐτῷ ἐστί· σὺ γὰρ ὑπερισχύεις
αὐτῶν.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Καλῶς εἴρηται τὸ,
» καὶ ὅταν ἐξολοθρεύσῃς τὸν Χαναναῖον. μέ-
νων γὰρ, καὶ τὸν ἐν ἡμῖν Ἰσραηλίτην σπέρ-
μα Χαναὰν καὶ οὐκ Ἰούδα ποιεῖ. πρὸς ὃν
ἔφη τὸ, καλῶς ἐξηπάτησέ σε. ἀπέσω δὲ
τοῦτο. καὶ γενοίμεθα τέκνα μεμορφωμένα
H Ἀβραάμ τε καὶ πατέρων τῶν ἐκλεκτῶν,
ὑπὲρ πάντας δὲ τοῦ Χριστοῦ.

ΚΕΦ.

(1) Τοῖς λοιποῖς. αἱ εἰρημ. ἐκδόσ. (2) Ἡμῶν. αἱ αὐτ. (3) Ἰωσήφ. αἱ αὐτ.

ΚΕΦ. ΙΗ.

α. Καὶ ἐκκλησιάσθη πᾶσα συναγωγὴ υἱῶν Ἰσραὴλ εἰς Σηλὼ, καὶ ἔπηξαν ἐκεῖ τὴν σκηνὴν τοῦ μαρτυρίου, καὶ ἡ γῆ
β. ἐκρατήθη ὑπ' αὐτῶν. Καὶ κατελείφθησαν τῶν υἱῶν Ἰσραὴλ, οἷς (1) οὐ κα-
γ. τεκληρονόμησαν, ἑπτὰ φυλαί. Καὶ εἶπεν Ἰησοῦς αὐτοῖς, ἕως τίνος ἐκλυθήσεσθε κληρονομῆσαι τὴν γῆν, ἣν ἔδωκεν ἡμῖν Κύριος ὁ Θεὸς τῶν πατέρων ἡμῶν;

δ. Δότε ἐξ ὑμῶν τρεῖς ἄνδρας ἐκ φυλῆς, καὶ ἀναστάντες διελθέτωσαν αὐτὴν (2) ἐνώπιόν μου, καθὰ δεήσει διελεῖν αὐτήν.

» ∗∗ ΠΡΟΚΟΠΙΟΥ. Δότε ἐξ ἡμῶν τρεῖς » ἄνδρας κατὰ φυλήν. Δῆλον ὅτι γεωμετρικῆς ἐπιστήμονας, καὶ ἱκανοὺς ποιότητα γῆς ἀντιθεῖναι ποσότητι. καὶ κατὰ τὸ μέγεθος ἑκάστης φυλῆς ἀφώρισε τοὺς κλήρους ὁ Ἰησοῦς. ἐξέσται δὲ τῷ βουλομένῳ παρ' Ἰωσήπου λαβεῖν ἀπὸ τοῦ πέμπτου λόγου τοῦ περὶ ἀρχαιολογίας ἔτι περὶ τῆς ἐκφράσεως τῶν κλήρων λέγει σαφέστερον. Καὶ μετ' ὀλίγα. Καθόλου δὲ νοητῶς περὶ τῶν εἰρημένων εἰπεῖν· ὑποδείγματι καὶ σκιᾷ τῶν ἐπουρανίων οἱ κατὰ νόμον ἐλάτρευον. καὶ ὡς τύπος ἡ Ἱερουσαλὴμ, καὶ ὁ ναὸς, καὶ τὸ θυσιαστήριον, ἀρχιερεύς τε καὶ ἱερεῖς· οὕτω καὶ αἱ πόλεις καὶ κῶμαι τῆς Ἰουδαίας· ἀλλ' ἐπεδήμησεν ὁ καταργῶν τοὺς τύπους, τὴν ἀληθῆ παρέχων προσκύνησίν τε καὶ κληροδοσίαν.

ε. Καὶ διῆλθον πρὸς αὐτὸν, καὶ διεῖλεν αὐτοῖς ἑπτὰ μερίδας. Ἰούδας στήσεται αὐτοῖς ὅριον ἀπὸ λιβὸς, καὶ οἱ υἱοὶ Ἰωσὴφ στήσονται αὐτοῖς ἀπὸ βοῤῥᾶ.

ς. Ὑμεῖς δὲ μερίσατε τὴν γῆν ἑπτὰ μερίδας, καὶ ἐνέγκατε ὧδε πρός με, καὶ ἐξοίσω κλῆρον ἔναντι Κυρίου τοῦ Θεοῦ ὑμῶν.

∗∗ ΠΡΟΚΟΠΙΟΥ. Οὐχ ὡς ἐν τῇ συνηθείᾳ συντυχικὸς ὁ κλῆρος, οὕτως ἐν τῇ Γραφῇ, ὅτε λέγει κλῆρον Θεοῦ, καὶ κλῆρον ἀποπομπαίου. καὶ Μωϋσῆς δὲ κατὰ κλήρους τὴν πρὸ Ἰορδάνου γῆν, καὶ Ἰησοῦς » τὴν μετὰ τοῦτον διένειμεν. ὅς καί φησι, βα- » λῶ κλῆρον, καὶ ἐξοίσω ἐνώπιον Κυρίου τὸν » κλῆρον. οὐκοῦν οὐ συντυχικῶς. λαγχάνει γὰρ ἡ φυλὴ Βενιαμὶν πρώτη ὅπου ἡ Ἱερουσαλὴμ, καὶ ἐφεξῆς αἱ λοιπαί. ἐν αἷς αἱ τρεῖς τῶν παιδισκῶν τοῦ Ἰακὼβ τελευταῖαι λαγχάνουσι. καὶ ἐν ἄλλοις δὲ Δὰν τελευταῖος εὑρίσκεται. καὶ ὁ Σολομὼν δὲ » φησιν ἐν Παροιμίαις· ἀντιλογίας παύει Παροιμ. 18. » κλῆρος· οὐδὲ ἐν δυνάσταις ἀντιλογίαν εἶναί 18. φησι, παρόντος κλήρου. καὶ ἐθνικοὶ δὲ χρῶνται κλήροις, ἀλλ' οὐχ ὁμοίως, ὡς ἐπὶ τοῦ Ἰωνᾶ οἱ συμπλέοντες. καὶ ἐν τῇ καινῇ B δὲ τοὺς Ἀποστόλους εὑρήσεις. κλήροις ἀντὶ Ἰούδα τὸν Ματθίαν προβάλλοντας, τῆς εὐχῆς ἐπὶ τοῦτον ἐνεγκούσης τὸν κλῆρον. εὑρήσεις δὲ τοῦτον καὶ ἐπὶ Χριστοῦ φθάνοντα, καὶ τὰ τῆς Ἐκκλησίας ἐπὶ τῶν σωζομένων μυστήρια. λέγεται γὰρ πρὸς Ἐφεσίους πε- » ρὶ Χριστοῦ· ἐν ᾧ καὶ ἐκληρώθημεν, προορι- Ἐφεσ. 1. 11. » σθέντες κατὰ πρόθεσιν τοῦ τὰ πάντα ἐνερ- 12. » γοῦντος κατὰ τὴν βούλησιν τοῦ ὀνόματος » αὐτοῦ· εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον δόξης Γ » αὐτοῦ, τοὺς προηλπικότας ἐν τῷ Χριστῷ. καὶ » πρὸς Κολασσαεῖς· εὐχαριστοῦντες τῷ πατρὶ Κολ. 1. 12. » τῷ ἱκανώσαντι ἡμᾶς εἰς τὴν μερίδα τοῦ » κλήρου τῶν ἁγίων ἐν τῷ φωτί. μήποτε οὖν φασὶν, ὡς ἐν ἀνθρώποις κλῆροι γίνονται, οὕτω καὶ ἐν δυνάμεσιν; ὡς ἂν οὖν μὴ πρὸς χάριν ἢ τῆς γῆς ἕξει διανέμησις, γίνεσθαι τῷ Θεῷ διὰ κλήρων Ἰησοῦς αὐτὴν ἐπιτρέπει. τοιούτους δ' ἂν εἴποι τις γεγονέναι κλήρους καὶ ἐπὶ τοῦ διαμερισμοῦ τῶν ἐθνῶν, Δ » ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη. Δευτ. 32. 8. οὐ γὰρ συντυχικῶς οἱ Ἄγγελοι τὴν τούτων ἐπιμέλειαν ἀνεδέξαντο. ὡς οὐδὲ τὴν ἑνὸς ἑκάστου ψυχὴν, θειοτέρῳ δὲ κλήρῳ, καὶ ὑπὲρ ἄνθρωπον. οἱ δὲ περὶ τῆς γῆς κλῆροι τῆς κληροδοσίας τῆς μελλούσης τὴν οἰκονομίαν σημαίνουσι. σκιὰν γὰρ περιέχει τὰ παλαιὰ τῶν μελλόντων ἀγαθῶν. καὶ εἴπερ » ἐστὶ προσεληλυθέναι Σιὼν ὄρει, καὶ πόλει Ἑβρ. 12. 22. » Θεοῦ ζῶντος, Ἱερουσαλὴμ ἐπουρανίῳ, διατί E μὴ ὥσπερ Ἱερουσαλὴμ ἐν κλήρῳ γέγονε τοῦ Βενιαμὶν, καὶ ἐφ' ἑκάστης φυλῆς, εἶεν ἂν τινες ἀνάλογοι τόποι, Βηθλεὲμ τυχὸν καὶ Χεβρὼν ἐπουράνιοι, κατὰ τὴν γῆν τῶν πραέων;

ζ. Οὐ γάρ ἐστι μερὶς τοῖς υἱοῖς Λευὶ ἐν ὑμῖν· ἱερατεία γὰρ Κυρίου μερὶς αὐτοῦ. καὶ Γὰδ, καὶ Ῥουβὶμ, καὶ Δὰν, (3) καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ ἔλα- Z βον τὴν κληρονομίαν αὐτῶν πέραν τοῦ Ἰορδάνου ἐπ' ἀνατολὰς, καὶ (4) ἔδωκεν αὐτοῖς Μωϋσῆς ὁ παῖς Κυρίου.

η. Καὶ ἀναστάντες οἱ ἄνδρες ἐπορεύθησαν. καὶ ἐνετείλατο Ἰησοῦς τοῖς ἀνδράσι τοῖς πορευομένοις χωροβατῆσαι τὴν γῆν, λέγων, πορεύθητε καὶ χωροβατήσατε τὴν γῆν, καὶ παραγενήθητε πρός με ὧδε, καὶ ἐξοίσω H ὑμῖν κλῆρον ἔναντι Κυρίου ἐν Σηλώ.

(1) Οἱ. αἱ αὐτ. (2) Τὴν γῆν, καὶ διαγραψάτωσαν αὐτὴν ἐναντίον μου, καθά. αἱ αὐτ.
(3) Τὸ Δὰν λείπει ἐν ταῖς εἰρημ. ἐκδόσ. (4) Ἣν. αἱ αὐτ.

** ΙΩΣΗΠΟΥ. Ἄνδρας τοὺς ἐκμετρησομένους τὴν χώραν αὐτῶν ἐξέπεμψε, παραδοὺς αὐτοῖς τινὰς Γεωμετρίας ἐπιστήμονας, οὓς τἀληθὲς οὐκ ἔμελλε λήσεσθαι διὰ τὴν τέχνην. ἐντολὰς δοὺς ἀποτίσασθαι τῆς τε εὐδαίμονος διάμετρον γῆς καὶ τῆς ἧσσον ἀγαθῆς. ἡ γὰρ Φύσις τῆς Χαναναίων γῆς τοιαύτη τίς ἐστιν, ὡς ἴδοι τὶς ἂν πεδία μεγάλα καὶ καρποὺς Φέρειν ἱκανώτατα, καὶ συγκρινόμενα μὲν ἑτέρᾳ γῇ, πανεύδαίμονα νομισθησόμενα· τοῖς δὲ Ἱεριχουντίων χωρίοις παραβαλλόμενα καὶ τοῖς Ἱεροσολυμιτῶν, τὸ μηδὲν ἀναφανησόμενα. καίτοι παντελῶς ὀλίγην αὐτῶν εἶναι τὴν γῆν συμβέβηκε, καὶ ταύτης ὀρεινὴν τὴν πολλήν· ἀλλ' ὑπερβολῇ εἰς καρπῶν ἐκτροφήν τε καὶ κάλλος οὐκ ἀπολέλοιπεν ἑτέραις. καὶ διὰ τοῦτο τιμητοὺς μᾶλλον ἢ μετρητοὺς τοὺς κλήρους εἶναι δεῖν ὑπέλαβε· πολλάκις ἑνὸς πλέθρου κἂν χιλίων ἀνταξίου γενομένου. οἱ δὲ ἄνδρες οἱ πεμφθέντες, δέκα δὲ ἦσαν, περιοδεύσαντές τε καὶ τιμησάμενοι τὴν γῆν, ἐν ἑβδόμῳ μηνὶ παρῆσαν πρὸς αὐτὸν εἰς Σιλοῦντα πόλιν, ἔνθα τὴν σκηνὴν ἐστάκεισαν.

θ. Καὶ ἐπορεύθησαν, καὶ ἐχωρο-
βάτησαν τὴν γῆν· καὶ εἴδοσαν αὐ-
τὴν, καὶ ἔγραψαν αὐτὴν κατὰ πό-
λεις, ἑπτὰ μερίδας βιβλίον, (1) καὶ
ι. ἤνεγκαν πρὸς Ἰησοῦν ἐν Σηλώ. Καὶ
ἐνέβαλεν αὐτοῖς Ἰησοῦς κλῆρον ἐν Ση-
ια. λὼ ἔναντι Κυρίου. Καὶ ἐξῆλθεν ὁ
κλῆρος Φυλῆς Βενιαμὶν πρῶτος κα-
τὰ δήμους αὐτῶν. καὶ ἐξῆλθεν ὅρια
τοῦ κλήρου αὐτῶν ἀναμέσον Ἰούδα καὶ
ιβ. ἀναμέσον υἱῶν Ἰωσήφ. Καὶ ἐγενήθη
τὰ ὅρια αὐτῶν ἀπὸ βοῤῥᾶ, ἀπὸ τοῦ
Ἰορδάνου, καὶ (2) προσαναβήσεται τὰ
ὅρια κατὰ νότου (3) Ἱεριχὼ ἀπὸ βοῤ-
ῥᾶ, καὶ ἀναβήσεται ἐπὶ τὸ ὄρος ἐπὶ
τὴν θάλασσαν καὶ τὰ ὅρια αὐτοῦ, καὶ
ἔσται αὐτῆς (4) ἡ διέξοδος ἡ Μαγδαρί-
ιγ. της Βαρθών. Καὶ διελεύσεται ἐκεῖ-
θεν τὰ ὅρια Λουζὰ ἐπὶ νότου Λουζὰ
ἀπὸ λιβός· αὕτη ἐστὶ Βαιθήλ· καὶ
καταβήσεται ὅρια ἀπὸ Ἀταρὼθ Κο-
ρὲκ ἐπὶ τὴν ὀρεινὴν, ἥ ἐστι πρὸς λίβα
ιδ. καὶ Θωρὼν (5) ἡ κάτω. Καὶ διελεύ-
σεται τὰ ὅρια καὶ περιελεύσεται ἐπὶ
τὸ μέρος τὸ βλέπον παρὰ θάλασσαν
ἀπὸ λιβὸς ἀπὸ τοῦ ὄρους ἐπὶ πρόσω-
Α πον καὶ Θωρῶν λίβα· καὶ ἔσται αὐτοῦ
ἡ διέξοδος εἰς Καριὰθ Βαάλ· αὕτη
ἐστὶ Καριαθιαρεὶμ, πόλις υἱῶν Ἰούδα.
τοῦτό ἐστι τὸ μέρος τὸ πρὸς θάλασσαν.
ιε. Καὶ μέρος τὸ τοῦ πρὸς λίβα ἀπὸ
μέρους Καριὰθ Βαάλ· καὶ διελεύσε-
ται ὅρια εἰς Γαὶν, ἐπὶ πηγὴν ὕδατος
ις. Νεφρῶν. (6) Καὶ καταβήσεται τὰ
Β ὅρια ἐπὶ μέρους τοῦ ὄρους, τουτέστι κα-
τὰ πρόσωπον νάπης υἱοῦ Ἐνὸμ, καὶ
τῆς Σομνὰ, ὅ ἐστιν ἐκ μέρους Ἐμεκρα-
φαεὶν ἀπὸ βοῤῥᾶ, καὶ καταβήσε-
ται ἀπὸ Γαιονὸμ ἐπὶ τοῦ Ἰεβοῦς ἀπὸ
λιβός· καὶ καταβήσεται ἐπὶ τὴν
ιζ. γῆν Ῥωβήλ. Καὶ διελεύσεται ἐπὶ
ιη. Βαιθσαμύς· Καὶ παρελεύσεται ἐπὶ
Γαλικὼθ, ἥ ἐστιν ἀπέναντι πρὸς ἀνά-
Γ βασιν Ναθαμέθ· καὶ καταβήσεται
ἐπὶ λίθον Βαιὼθ υἱοῦ Ῥουβίμ. καὶ διε-
λεύσεται κατὰ νώτου Βαιτανὰ ἀπὸ
βοῤῥᾶ, καὶ καταβήσεται ἐπὶ Ἀρα-
μαθὰ, καὶ καταβήσεται ἐπὶ τὰ ὅρια
ἐπὶ νότον (7) Βαιθαγλὰ ἀπὸ βοῤῥᾶ.
ιθ. Καὶ ἔσται ἡ διέξοδος τῶν ὁρίων ἐπὶ λο-
φιὰν τῆς θαλάσσης τῶν ἁλῶν ἀπὸ
Δ βοῤῥᾶ εἰς μέρος τοῦ Ἰορδάνου ἀπὸ λι-
κ. βός. ταῦτα τὰ ὅριά ἐστι. (8) Καὶ
Ἰορδάνης ὁριεῖ ἀπὸ μέρους ἀνατολῶν.
αὕτη ἐστὶν ἡ κληρονομία υἱῶν Βενια-
μὶν, τὰ ὅρια αὐτῆς κύκλῳ κατὰ δή-
κα. μους αὐτῶν. Καὶ ἐγενήθησαν αἱ πό-
λεις τῆς Φυλῆς υἱῶν Βενιαμὶν κατὰ
δήμους αὐτῶν, Ἱεριχὼ, καὶ Μελγὰλ,
κβ. καὶ Ἰαβεκκαθεὶς, Καὶ Θαραβὰ,
κγ. καὶ Σαββὰ, καὶ Βεσαναὰ, Καὶ Εἰν,
κδ. καὶ Φαραὼ, καὶ Ἐφραθὰ, Καὶ Κα-
ρεφὰ, καὶ Καφηρὰ, καὶ Μονὴ, καὶ
Γαβαὰ, πόλεις δώδεκα. καὶ αἱ κῶ-
κε. μαι αὐτῶν, Γαβαὼν, καὶ Ῥεμὰθ,
κς. καὶ Βεηρὼθ, Καὶ Μασσηφὰ, καὶ Φε-
κζ. ριρὰ, καὶ Ἀμοὴ, Καὶ Νακὰν, καὶ
Γλαφὰν, καὶ Θαρσηλὰ, καὶ Σελα-
κη. λὰκ, Καὶ Ἰεβοῦς· αὕτη ἐστὶν Ἱερου-
Ζ σαλήμ· καὶ Γαβαὼν, καὶ αἱ πόλεις
Εἰαρεὶμ, πόλεις δεκατρεῖς, καὶ αἱ κῶ-
μαι αὐτῶν. αὕτη ἡ κληρονομία υἱῶν
Βενιαμὶν κατὰ δήμους αὐτῶν.



ΚΕΦ.

(1) Εἰς βιβλίον. αἱ αὐτ. (2) Τὸ, καὶ, λείπει. αὐτ. (3) Νώτου. αἱ αὐτ.
(4) Αὐτοῦ. αἱ αὐτ. (5) Βαιθωρών. ὁμοίως καὶ κατωτέρ. αἱ αὐτ.
(6) Ναφθώ. αἱ αὐτ. (7) Νῶτον. αἱ αὐτ. (8) Ἔστιν ἀπὸ λιβός. αἱ αὐτ.

Κ Ε Φ. Ι Θ.

α. Καὶ ἐξῆλθεν ὁ κλῆρος ὁ δεύ-
τερος τοῖς υἱοῖς Συμεών.
καὶ ἐγενήθη ἡ κληρονομία
αὐτῶν ἀναμέσον κλήρου υἱῶν Ἰούδα.
β. Καὶ ἐγενήθη ὁ κλῆρος αὐτῶν Βηρ-
σαβεὲ, καὶ Σαμαὰ, καὶ Χοδαδὰβ,
γ. δ. Καὶ (1) Βολὲ, καὶ Ἀσὼμ, Καὶ Ἐλ-
ε. θουδὰ, καὶ Βαθοὺλ, καὶ Ἑρμὰ, Καὶ
Εἰκελλὰγ, καὶ Βεθμακαιχερὲθ, καὶ
ς. Σαρσουσὶ, Καὶ Βαθαρὼν, καὶ ὁ ἀγ-
ρὸς (2) αὐτῶν· πόλεις δεκατρεῖς, καὶ
ζ. αἱ κῶμαι αὐτῶν. Ἐρειμὼν, καὶ Βα-
θαὰκ, καὶ Ἰεθὲρ, καὶ Ἀσάρ· πόλεις
η. τέσσαρες, καὶ αἱ κῶμαι αὐτῶν Αἱ πε-
ρικύκλῳ τῶν πόλεων τούτων ἕως Βαα-
θὲλ Βηῤῥαμὼθ πορευομένων Ἰαμὲθ
κατὰ Λίβα. αὕτη ἡ κληρονομία φυ-
θ. λῆς υἱῶν Συμεὼν, Ὅτι ἐγενήθη ἡ
μερὶς αὐτῶν υἱῶν Ἰούδα μείζων τῆς αὐ-
τῶν· καὶ ἐκληρονόμησαν οἱ υἱοὶ Συ-
ι. μεὼν ἐν μέσῳ τοῦ κλήρου αὐτῶν. Καὶ
ἐξῆλθεν ὁ κλῆρος ὁ τρίτος τῷ Ζα-
βουλὼν κατὰ δήμους αὐτῶν. καὶ ἔσται
τὰ ὅρια τῆς κληρονομίας αὐτῶν εἰς
ια. Ὀδογολλὰ τὰ ὅρια αὐτῶν, Ἡ θά-
λασσα καὶ Γαραγγελλὰ, καὶ συνά-
ψει ἐπὶ Βεθαραβὰ εἰς τὴν φάραγγα,
ιβ. ἥ ἐστι κατὰ πρόσωπον Μαδάν. Καὶ
ἀναστρέψει ἀπὸ Σεδοὺδ ἐξ ἐναντίας
ἀπὸ ἀνατολῶν Βαιθσαμὺς ἐπὶ τὰ
ὅρια Χαλελεθωρὼν, καὶ διελεύσεται
ἐπὶ Δαβιρὼθ, καὶ προσαναβήσεται
ιγ. ἐπὶ Φάραγγα. Καὶ ἐκεῖθεν παρε-
λεύσεται (3) ἐξ ἐναντίας ἐπ' ἀνατο-
λὰς ἐπὶ Θαθὲρ ἐπὶ πόλιν Κασεὶμ,
καὶ διελεύσεται ἐπὶ Ῥεμμὼν Ἀμαθα-
ιδ. ρινουά. Καὶ περιελεύσεται τὰ ὅρια
ἐπὶ βοῤῥᾶν ἐπὶ Μὼθ, καὶ ἔσται ἡ διέ-
ιε. ξοδος αὐτῶν ἐπὶ Γαῒ, Ἐφθαὴλ,
Καταναὰθ, καὶ Συμοὼν, καὶ Ἐλιδὰ,
ις. καὶ Βαιθλεέμ. Αὕτη ἡ κληρονομία
τῆς φυλῆς υἱῶν Ζαβουλὼν κατὰ δή-
μους αὐτῶν, αἱ πόλεις αὐτῶν καὶ αἱ κῶ-
ιζ. μαι αὐτῶν. Καὶ τῷ Ἰσσάχαρ ἐξῆλ-
ιη. θεν ὁ κλῆρος ὁ τέταρτος. Καὶ ἐγε-
νήθη τὰ ὅρια αὐτῶν Ἰαζὴλ, καὶ Χα-
ιθ. σεδὼθ, καὶ Σουσαννὰ, Καὶ Ἀρὲν,
κ. καὶ Σιωὲν, καὶ Ῥενὲθ, Καὶ Ἀναχε-
ρὲθ, καὶ Δαβειρὼθ, καὶ Κεισὼν, καὶ
κα. Γομὰθ, Καὶ Ἀναρὲθ, καὶ Βαιθφα-
κβ. νίς. Καὶ συνάψει τὰ ὅρια ἐπὶ Βαι-
θεμὼθ, καὶ ἐπὶ Σαλεὶμ κατὰ θά-
λασσαν, καὶ Βαιθσαμύς· καὶ ἔσται αὐ-
τοῦ ἡ διέξοδος τῶν ὁρίων ὁ Ἰορδάνης.
κγ. Αὕτη ἡ κληρονομία φυλῆς υἱῶν Ἰσ-
Β σάχαρ κατὰ δήμους αὐτῶν, αἱ πόλεις
κδ. καὶ αἱ κῶμαι αὐτῶν. Καὶ ἐξῆλθεν
ὁ κλῆρος ὁ πέμπτος Ἀσὴρ κατὰ δή-
κε. μους αὐτῶν. Καὶ ἐγενήθη τὰ ὅρια
αὐτῶν Ἐξελκὰθ, καὶ Ἀδὲφ, καὶ Θε-
κς. καιὰ, καὶ Ἀφεὶ, Καὶ Ἀλειμελὲχ,
καὶ Ἀβιμεὴλ, καὶ Μασσά· καὶ συ-
νάψει τῷ Καρμήλῳ κατὰ θάλασ-
σαν, καὶ τῷ Σειὼρ, καὶ Λαβανάθ.
κζ. Καὶ ἐπιστρέψει ἀπὸ ἀνατολῶν ἡλίου
Γ Βαιθγενὲθ, καὶ συνάψει τῷ Ζαβου-
λὼν καὶ ἐν Γαῒ, καὶ Ἐφραδιὴλ κα-
τὰ βοῤῥᾶν, καὶ ἐξελεύσεται (4) ὅρια
Σαφθὰν, Βαιθμὰν, καὶ πορεύσεται
τὸ μεθόριον Ἀλὴλ, καὶ διελεύσεται εἰς
κη. χῶμα Βασωὴλ ἀπὸ ἀριστερῶν, Καὶ
Ἑβρῶν, καὶ Ῥαμμὰμ, καὶ Ἀμμεὼν,
καὶ Κανὰθ ἕως Σιδῶνος τῆς μεγάλης.
κθ. Καὶ ἀναστρέψει τὰ ὅρια εἰς Σαμμὰν,
Δ καὶ ἕως πηγῆς Μασφὰν τῶν Τυρίων·
καὶ ἀναστρέψει τὰ ὅρια ἐπὶ Σαφὰν,
καὶ ἔσται ἡ διέξοδος αὐτῶν ἡ θάλασ-
σα, καὶ ἀπὸ τοῦ χοινίσματος Λὲβ,
λ. καὶ ἐκ Κοζὸβ, Καὶ Ἀκκὼ, καὶ Ἀφὲκ,
λα. καὶ Ἀράκ· πόλεις εἰκοσιδύω. Αὕτη
ἡ κληρονομία φυλῆς υἱῶν Ἀσὴρ κατὰ
Ε δήμους αὐτῶν, πόλεις αὐτῶν καὶ αἱ
λβ. κῶμαι αὐτῶν. Καὶ τῷ Νεφθαλεὶμ
λγ. ἐξῆλθεν ὁ κλῆρος ὁ ἕκτος. Καὶ ἐγε-
νήθη τὰ ὅρια αὐτῶν Μωαλὰμ, καὶ
Μωλὰ, καὶ Βεσενιεὶμ, καὶ Ἁρμὲ, καὶ
Ἰαβὼκ, καὶ Ἰεφθανὲ, ἕως Δωκάν·
καὶ ἐγενήθησαν αἱ διέξοδοι αὐτῶν ὁ
λδ. Ἰορδάνης. Καὶ ἐπιστρέψει τὰ ὅρια
ἐπὶ θάλασσαν Ἀζανὼθ Ἀθθαβὼρ,
Ζ καὶ διελεύσεται ἐκεῖθεν εἰς Ἐκκὰθ,
καὶ συνάψει τῷ Ζαβουλὼν ἀπὸ νότου,
καὶ τῷ Ἀσὴρ ἐπισυνάψει κατὰ θά-
λασσαν, καὶ ὁ Ἰορδάνης ἀπ' ἀνατο-
λε. λῶν ἡλίου. Καὶ πόλεις τειχήρεις τῶν
Τυρίων, Τύρος, καὶ Ὠμοθδακὲ, καὶ
λς. Κορὲθ, Καὶ Ἀρμὰθ, καὶ Ἀριὴλ,
λζ. καὶ Ἀσὼρ, Καὶ Κεδὲς, καὶ Σαραῒ,
λη. καὶ πηγὴ Ἀσὼρ, Καὶ Ἱερὼθ, καὶ
Μαλλαρεὶμ, καὶ Βαιθθαμὲκ, καὶ
Θασ-

(1) Καὶ Ἀρσωλὰ, καὶ Βωλὰ, καὶ Ἰασόν. αἱ αὐτ. ὅπου καὶ τ' ἄλλα τῶν πόλεων ὀνόματα διαφέρουσι.
(2) Οἱ ἀγροί. αἱ αὐτ. (3) Περιελεύσεται. αἱ αὐτ. (4) Εἰσελεύσεται. αἱ αὐτ.

λθ. Θασμοὺς πόλεις δεκαεννέα. Αὕτη ἡ
κληρονομία Φυλῆς υἱῶν Νεφθαλείμ.
μ. Καὶ τῷ Δὰν ἐξῆλθεν ὁ κλῆρος ὁ ἕβ-
μα. δομος. Καὶ ἐγενήθη τὰ ὅρια αὐτῶν
Σαρὰθ, καὶ Ἰασαὶ, πόλεις Σαμὺς,
μβ. Καὶ Ἐλλαβεὶν, καὶ Αἰμὼν, καὶ Οἰα-
μγ. λαθὰ, Καὶ Αἰδὼν, καὶ Θαμναθὰ,
μδ. καὶ Ἀκκαρὼν, Καὶ Ἀλκαθὰ, (1)
με. Καὶ Ἀζὼρ, καὶ Βανεραβὰ, καὶ Γεθ-
μς. ρεμνὰς, Ἀπὸ θάλασσης Ἰαράκων B
μη. ὅριον πλησίον Ἰόππης. Αὕτη ἡ κλη-
ρονομία Φυλῆς υἱῶν Δὰν τοῖς υἱοῖς
Δὰν (2) κατὰ δήμους αὐτῶν, αἱ πό-
λεις αὐτῶν καὶ αἱ κῶμαι αὐτῶν. καὶ
οὐκ ἐξέθλιψαν οἱ υἱοὶ Δὰν τὸν Ἀμοῤ-
ῥαῖον τὸν θλίβοντα αὐτοὺς ἐν τῷ ὄρει.
καὶ οὐκ εἴων καταβῆναι αὐτοὺς εἰς τὴν
κοιλάδα, καὶ ἔθλιβον ἀπ' αὐτῶν τὸ Γ
ὅριον τῆς μερίδος αὐτῶν.

μζ. Καὶ ἐπορεύθησαν οἱ υἱοὶ Δὰν,
καὶ ἐπολέμησαν τὴν Λάχεις, καὶ κα-
τέλαβον αὐτὴν, καὶ ἐπάταξαν αὐ-
τὴν ἐν στόματι μαχαίρας· καὶ κατῴ-
κησαν αὐτὴν, καὶ ἐκάλεσαν τὸ ὄνομα
αὐτῆς Λασανδάν. καὶ ὁ Ἀμοῤῥαῖος
ὑπέμεινε τοῦ κατοικεῖν ἐν Ἀϊλὼμ (3) Δ
καὶ ἐν Σαλαμίν· καὶ ἐβαρύνθη ἡ
χεὶρ τοῦ Ἐφραὶμ ἐπ' αὐτοὺς, καὶ ἐγέ-
νοντο αὐτοῖς εἰς Φόρον.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀμοῤῥαῖος ἑρμη-
νεύεται ὁ λαλητὸς, ἢ ὁ πικραίνων. δῆλον
δὲ, ὡς οἱ πλείους τῶν ἀνθρώπων λαλοῦσι
περὶ χειρόνων Δυνάμεων, οὐδὲν δὲ περὶ
Θεοῦ. οἵτινες καὶ πικραίνουσι· οἳ καὶ ὑπο-
μένουσιν οἰκεῖν ἐν τοῖς κεκριωμένοις (4) ἐθέ-
λοντες· ὃ δηλοῖ τὸ Ἑλώμ· καὶ ἐν τοῖς E
εἰρηνικοῖς· ὃ δηλοῖ Σαλὴμ, τῶν χειρόνων
διὰ τῶν Ἀμοῤῥαίων σημαινομένων Δυνά-
» μεων. καὶ ἐπεὶ τὸ, ὑπέμεινε, πόνον δη-
» λοῖ, τὴν αἰτίαν ἐπήνεγκε· καὶ ἐβαρύν-
» θη ἡ χεὶρ τοῦ Ἐφραὶμ ἐπ' αὐτούς. αἱ γὰρ
ἀγαθαὶ πράξεις βαρεῖαι ταῖς πονηραῖς
ἄγαν Δυνάμεσι, βουλομέναις ἡμῖν ἐνοχ-
λεῖν· καὶ ὑποφόρους ἐργάζονται. τοσοῦ-
τον ἰσχύουσι.

μθ. Καὶ ἐπορεύθησαν ἐμβατεῦ-
σαι τὴν γῆν κατὰ τὸ ὅριον αὐτῶν.
καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ κλῆρον Ἰη-
ν. σοῦ υἱῷ Ναυῆ ἐν αὐτοῖς Διὰ προςάγ-
ματος τοῦ Θεοῦ, καὶ ἔδωκαν αὐτῷ τὴν
πόλιν, ἣν ἠτήσατο Σαμνασαρὲθ, (5)
ἥ ἐστιν ἐν τῷ ὄρει Ἐφραίμ. καὶ ᾠκο-
δόμησε τὴν πόλιν, καὶ κατῴκει ἐν
αὐτῇ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκα τοῖς ἄλ-
λοις διανείμας τὴν γῆν ὁ θειότατος Ἰησοῦς,
οὐκ ἀπένειμεν ἑαυτῷ κλῆρον, ἀλλὰ παρὰ
B τοῦ λαοῦ τὴν Σαμασαχὰρ ἐκομίσατο; Μι-
μεῖται κἀν τούτῳ τοῦ Δεσπότου τὴν μετριό-
» τητα. μάθετε γάρ Φησιν ἀπ' ἐμοῦ, ὅτι Ματθ. 11
» πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ
» εὑρήσετε ἀνάπαυσιν ταῖς ψυχαῖς ὑμῶν.
καὶ τὴν ἐσχάτην δὲ μετῆλθε πενίαν, ὡς
» μηδὲ οἰκίας εὐπορῆσαι. ὁ γὰρ υἱὸς τοῦ ἀν- Ματθ. 8
» θρώπου, Φησὶν, οὐκ ἔχει ποῦ τὴν κεφαλὴν
κλῖναι. ἐπειδὴ τοίνυν τύπος ἦν αὐτοῦ ὁ
ὁμώνυμος Ἰησοῦς, οὐκ ἀπένειμεν ἑαυτῷ κλῆ-
Γ ρον, τὸν δὲ προσενεχθέντα ἐδέξατο· δι-
δάσκων τοὺς ἀρχήν τινα πεπιστευμένους, μὴ
τῆς οἰκείας θεραπείας, ἀλλὰ τῆς τῶν ὑπη-
κόων ὠφελείας Φροντίζειν.

** ΠΡΟΚΟΠΙΟΥ. Ὅρα τὸν Ἰησοῦν
ἐπιεικῆ τε λίαν, καὶ τῆς τοῦ Σωτῆρος ἐπω-
νυμίας ἐπάξιον. μετὰ πάντας γὰρ λαμ-
βάνει τὸν κλῆρον, οὐκ αὐτὸς ἑλόμενος, ἀλ-
λὰ τῶν υἱῶν Ἰσραὴλ δεδωκότων αὐτῷ. καὶ
ταῦτα Χάλεβ τοῦ σὺν αὐτῷ σωθέντος πρώ-
Δ του λαβόντος τὸν κλῆρον. καὶ ὁ εἰσαγα-
γὼν αὐτοὺς, ὁ διανείμας, ὁ πρῶτος ἐν ἅπα-
σιν, ἔσχατος λαμβάνει· ἵνα ὄντως γένη-
» ται πρῶτος. τοιοῦτον τὸ, ταπείνου σεαυ- Σειρ. 3.
» τὸν ἔναντι Κυρίου, καὶ εὑρήσεις χάριν. καὶ
» τὸ, ἡγούμενόν σε κατέστησαν, μὴ ἐπαίρου. Σειρ. 35
» γίνου ἐν αὐτοῖς, ὡς εἷς ἐξ αὐτῶν. λαβὼν
δὲ μερίδα, οἰκοδομεῖ τὸν τόπον, ὃν εἴλη-
φε, κοσμῶν αὐτὸν, ὡς ἂν ποιήσειε κλῆ-
ρον ἄξιον μερίδος Θεοῦ. καὶ πᾶς δὲ ὁ ἀλη-
E θὴς λαὸς δίδωσι τῷ ἀληθινῷ Ἰησοῦ τόπον
οἰκήσεως ἅμα αὐτῷ. ὃν λαβὼν, οἰκοδομεῖ
καὶ κοσμεῖ, κρείττονα ποιῶν ἢ παρέλαβεν
ἕκαστον αὐτοῦ τόπον γενόμενον.

να. Αὗται αἱ διαιρέσεις ἃς κατε-
κληρονόμησεν Ἐλεάζαρ ὁ ἱερεὺς, καὶ
Ἰησοῦς ὁ τοῦ Ναυῆ, καὶ οἱ ἄρχοντες
τῶν πατριῶν ἐν ταῖς Φυλαῖς τοῦ Ἰσ-
Z ραὴλ, κατὰ κλήρους ἐν Σηλὼ, ἔναν-
τι Κυρίου παρὰ τὰς θύρας τῆς σκη-
νῆς τοῦ μαρτυρίου. καὶ ἐπορεύθησαν
ἐμβατεῦσαι τὴν γῆν.



ΚΕΦ.

(1) Καὶ Βεγεθὼν, καὶ Γεβεελών. αἱ αὐτ. (2) Τὸ, τοῖς υἱοῖς Δὰν, λείπει. αὐτ.
(3) Ἑλώμ. αἱ αὐτ. καὶ ὁ Προκόπ. ἐν τῷ ὑπομνημ. (4) Ἴσ. κεκριγμένοις, ἀπὸ τοῦ κρίζω.
(5) Θαμνασαράχ. αἱ αὐτ. Θαμνασαχάρ. ὁ Θεοδώριτ. κατὰ τὴν ἐν Χάλ. ἔκδ.

ΚΕΦ. Κ.

α. Καὶ ἐλάλησε Κύριος τῷ Ἰη-
β. σοῦ, (1) Λάλησον τοῖς
υἱοῖς Ἰσραὴλ, λέγων, δό-
τε τὰς πόλεις τῶν φυγαδευτηρίων,
γ. ἃς εἶπα πρὸς ὑμᾶς διὰ Μωϋσῆ. Φυ-
γαδευτήριον τῷ φονευτῇ τῷ πατά-
ξαντι ψυχὴν ἀκουσίως· καὶ ἔσονται
1.29. ὑμῖν αἱ πόλεις φυγαδευτήριον, καὶ
οὐκ ἀποθανεῖται ὁ φονευτὴς ἀπὸ τοῦ
ἀγχιστεύοντος τὸ αἷμα, ἕως ἂν κα-
3.20. ταστῇ ἐναντίον τῆς συναγωγῆς εἰς κρί-
δ. σιν. Καὶ φεύξονται (2) εἰς μίαν τῶν
πόλεων τούτων, καὶ στήσεται ἐπὶ τὴν
θύραν τῆς πόλεως, καὶ λαλήσει ἐν
τοῖς ὠσὶ τῶν πρεσβυτέρων τῆς πό-
λεως ἐκείνης. (3) καὶ ἐπιστρέψουσιν αὐ-
τὸν ἡ συναγωγὴ πρὸς αὐτοὺς, καὶ δώ-
σουσιν αὐτῷ τόπον, καὶ κατοικήσει
ε. μετ' αὐτῶν. Καὶ ὅτι διώξει ὁ ἀγχι-
στεύων τὸ αἷμα ὀπίσω αὐτοῦ, καὶ οὐ συγ-
κλείσουσι τὸν φονεύσαντα ἐν τῇ χειρὶ
αὐτοῦ, ὅτι οὐκ εἰδὼς ἐπάταξε τὸν πλη-
σίον αὐτοῦ, καὶ οὐ μισῶν αὐτὸς αὐτὸν
ϛ. ἀπ' ἐχθὲς, καὶ τῆς τρίτης. Καὶ κα-
τοικήσει ἐν τῇ πόλει ἐκείνῃ ἕως στῇ κα-
τὰ πρόσωπον τῆς συναγωγῆς εἰς κρί-
σιν, ἕως ἀποθάνῃ ὁ ἱερεὺς ὁ μέγας,
ὃς ἔσται ἐν ταῖς ἡμέραις ἐκείναις, τότε
ἐπιστρέψει ὁ φονευτὴς, καὶ ἐλεύσεται
εἰς τὴν πόλιν αὐτοῦ, καὶ πρὸς τὸν οἶ-
B κον αὐτοῦ, καὶ πρὸς πόλιν ὅθεν ἔφυ-
ζ. γεν ἐκεῖθεν. Καὶ διέστειλαν τὴν Κε-
δὲς ἐν τῇ Γαλιλαίᾳ ἐν τῷ ὄρει (4)
τῷ Νεφθαλεὶμ, καὶ Συχὲμ ἐν τῷ
ὄρει τῷ Ἐφραὶμ, καὶ τὴν πόλιν Ἀρ-
βὸκ, αὕτη ἐστὶ Χεβρὼν, ἐν τῷ ὄρει τῷ
η. Ἰούδα. Καὶ ἐν τῷ πέραν τοῦ Ἰορδάνου
κατὰ Ἰεριχὼ ἀπὸ ἀνατολῶν ἔδωκε
τὴν Βοσὸρ ἐν τῇ ἐρήμῳ ἐν τῷ πεδίῳ
Γ ἀπὸ τῆς φυλῆς Ῥουβὶμ, καὶ Ῥαμ-
μὼθ τῇ Γαλαὰδ ἐκ τῆς φυλῆς Γὰδ,
καὶ τὴν Γαυλὼν ἐν τῇ Βασανίτιδι ἐκ
θ. τῆς φυλῆς Μανασσῆ. Αὗται αἱ πό-
λεις αἱ ἐπίκλητοι τοῖς υἱοῖς Ἰσραὴλ
καὶ τῷ προσηλύτῳ τῷ προσκειμένῳ
ἐν αὐτοῖς, καταφυγεῖν ἐκεῖ παντὶ
πατάξαντι ψυχὴν ἀκουσίως, ἵνα μὴ
ἀποθάνῃ ἐκ χειρὸς τοῦ ἀγχιστεύοντος
Δ τὸ αἷμα, ἕως ἂν καταστῇ ἔναντι τῆς
συναγωγῆς εἰς κρίσιν.

8.18.

35.1. ΚΕΦ. ΚΑ.

α. Καὶ προσῆλθον οἱ ἀρχιπα-
τριῶται τῶν υἱῶν Λευὶ
πρὸς Ἐλεάζαρ τὸν ἱερέα,
καὶ πρὸς Ἰησοῦν υἱὸν Ναυῆ, καὶ πρὸς
τοὺς ἀρχιφύλους πατριῶν ἐκ τῶν φυ-
β. λῶν Ἰσραήλ· Καὶ εἶπαν πρὸς αὐτοὺς
ἐν Σηλὼ ἐν γῇ Χαναὰν, λέγοντες,
ἐνετείλατο Κύριος ἐν χειρὶ Μωϋσῆ δοῦ-
ναι ἡμῖν πόλεις κατοικεῖν, καὶ τὰ πε-
ρισπόρια αὐτῶν τοῖς κτήνεσιν ἡμῶν.
γ. Καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ τοῖς Λευί-
ταις ἐν τῷ κατακληρονομεῖν αὐτοὺς
διὰ προστάγματος Κυρίου τὰς πόλεις
καὶ τὰ περισπόρια αὐτῶν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ προσῆλθοσαν
» οἱ ἀρχιπατριῶται τῶν υἱῶν Λευί. Οὗτοι κληρονομίᾳ ἀρκοῦνται Θεῷ, καὶ δεκάτας λαμβάνουσι γῆς, ὡς καὶ τῶν ἄλλων ἀπάντων. ἔδει δὲ καὶ τούτους κατὰ κλήρους διανείμασθαι τὰ διδόμενα. καὶ τὸ μὲν ἴσον πᾶσι διὰ τοῦ κληρωθῆναι φυλάττεσθαι· τὸ δὲ κατ' ἀξίαν, δι' ὧν οἱ κλῆροι κατὰ θείαν κρίσιν ἀνήγοντο τοῖς πρώτοις τὰ πρωτεῖα παρέχοντες, καὶ τοῖς ἄλλοις ἑξῆς, ὡς καὶ ἐν τοῖς Ἀριθμοῖς τάξει τινὶ περὶ τὴν σκηνὴν ἐστρατοπεδεύοντο οἱ ἐκ τοῦ Καὰθ, καὶ
E Γηρσὼν, καὶ Μεραρί.

δ. Καὶ ἐξῆλθεν ὁ κλῆρος τῷ δή-
μῳ Καάθ. καὶ ἐγενήθη (5) τοῖς υἱοῖς
Ἀαρὼν τοῖς ἱερεῦσι τοῖς Λευίταις
ἀπὸ φυλῆς Ἰούδα καὶ ἀπὸ φυλῆς Συ-
μεὼν καὶ ἀπὸ φυλῆς Βενιαμὶν κλη-
ρωτὶ πόλεις δεκατρεῖς.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τοῖς ἱερεῦσιν ἐν τῇ Ἰούδα φυλῇ, καὶ τῇ Βενιαμὶν, καὶ
Z τῇ Συμεὼν τὰς πόλεις ἀπένειμε; Κἂν τῇ ἐρήμῳ τὴν πορείαν ποιούμενοι τῇ Ἰούδα φυλῇ συνεζεύχθησαν· τὸ γὰρ ἑῷον ἔλαχον τμῆμα καὶ οἱ ἱερεῖς καὶ ἡ Ἰούδα φυλή· καὶ ἐνταῦθα πάλιν συνεκληρώθησαν τῇ Ἰούδα φυλῇ. ἐπειδὴ καὶ ἐπιμιξία τούτων ἐγένετο τῶν φυλῶν. Ἀαρὼν γὰρ ὁ πρῶτος ἀρχιερεὺς τὴν τοῦ Ἀμιναδὰβ ἠγάγετο θυγατέρα· καὶ Ἰωδαὲ ὁ πανεύφημος ἀρχιερεὺς τοῦ Ὀχοζίου τὴν ἀδελφήν. συνεχώρησε δὲ
H τὰς φυλὰς ταύτας ὁ Δεσπότης ἐπιμιγῆναι, ὃς ἐκ τῆς Ἰούδα κατὰ σάρκα βλαστήσας,

(1) Ἰησοῦ, λέγων. αἱ αὐτ.
(2) Φεύξεται. αἱ αὐτ. ἐν ταῖς σημειώσ.
(3) Ἐκείνης τοὺς λόγους τούτους. καί. αἱ αὐτ.
(4) Ὄρει. αἱ αὐτ.
(5) Ἐγένετο. αἱ αὐτ.

σας, οὐ βασιλεῦς μόνον, ἀλλὰ καὶ ἀρχιε-
ρεῦς ἐχρημάτισεν. ἔδει δὲ αὐτοὺς καὶ ἐν τῇ
Βενιαμίτιδι Φυλῇ κατοικεῖν· ἐπειδὴ καὶ ὁ
θεῖος νεὼς ἐν τῇ ἐκείνων ἔμελλεν οἰκοδο-
μεῖσθαι Φυλῇ. ἔλαβον δὲ καὶ ἐκ τῆς Συ-
μεωνίτιδος Φυλῆς ἐνίας πόλεις· ἐπειδὴ καὶ
ὁ τούτων κλῆρος ἐπέλαζε τῷ νεῷ. καθά-
περ γὰρ τῶν ἀπὸ γῆς καρπῶν καὶ τῶν
βοσκημάτων τὰς δεκάτας τοῖς ἱερεῦσι καὶ
τοῖς Λευΐταις ἀπένειμεν· οὕτω καὶ τῶν πό-
λεων οἱονεὶ δεκάτας αὐτοῖς δοθῆναι προσέ-
ταξε. ταύτας μέντοι δώσειν τῷ Θεῷ τὰς
δεκάτας ὁ πατριάρχης Ἰακὼβ ἐπηγγεί-
Γεν. 28. 22. λατο. πάντων γὰρ ἔφη, ὧν ἐάν μοι δῷς,
" δεκάτας ἀποδεκατώσω αὐτά σοι. χρέος
τοίνυν πατρῷον ἐξήτησεν (1) ὁ λαὸς, οὐ
δῶρον προσέφερε. πρὸς δὲ τούτῳ, κατέ-
σχεν (2) αὐτῶν καὶ τὸν κλῆρον τῆς γῆς.

ε. Καὶ τοῖς υἱοῖς Καὰθ τοῖς κα-
ταλελειμμένοις ἐκ Φυλῆς Ἐφραὶμ
καὶ ἐκ τῆς Φυλῆς Δὰν καὶ ἀπὸ τοῦ
ἡμίσους Φυλῆς Μανασσῆ κληρωτὶ πό-
ς. λεις δέκα. Καὶ τοῖς υἱοῖς Γεδεὼν (3)
ἀπὸ τῆς Φυλῆς Ἰσσάχαρ καὶ ἀπὸ τῆς
Φυλῆς Νεφθαλεὶμ (4) καὶ ἀπὸ τοῦ
ἡμίσους Φυλῆς Μανασσῆ ἐν τῇ Βασὰν
ζ. κληρωτὶ πόλεις δεκατρεῖς. Καὶ τοῖς
υἱοῖς Μεραρὶ κατὰ δήμους αὐτῶν ἀπὸ
Φυλῆς Ῥουβὶμ καὶ ἀπὸ Φυλῆς Γὰδ
καὶ ἀπὸ Φυλῆς Ζαβουλὼν κληρωτὶ
η. πόλεις δώδεκα. Καὶ ἔδωκαν οἱ υἱοὶ
Ἰσραὴλ τοῖς Λευΐταις τὰς πόλεις καὶ
τὰ περισπόρια αὐτῶν, ὃν τρόπον ἐνε-
τείλατο Κύριος τῷ Μωϋσῇ, κληρωτί.
θ. Καὶ ἔδωκεν ἡ Φυλὴ Ἰούδα καὶ ἡ Φυλὴ
υἱῶν Συμεὼν καὶ ἀπὸ Φυλῆς υἱῶν Μα-
νασσῆ (5) τὰς πόλεις· καὶ ἐπεκλήθη-
ι. σαν. Τοῖς υἱοῖς Ἀαρὼν ἀπὸ τοῦ δήμου
τοῦ Καὰθ τῶν υἱῶν Λευΐ, ὅτι τούτοις
ια. ἐγενήθη ὁ κλῆρος. Καὶ ἔδωκεν αὐ-
τοῖς τὴν Καθαριαρβὼκ μητρόπολιν
τῶν Ἐνάκ· αὕτη ἐστὶ Χεβρὼν ἐν τῷ
ὄρει Ἰούδα· τὰ δὲ περισπόρια κύκλῳ
ιβ. αὐτῆς, Καὶ τοὺς ἀγροὺς τῆς πόλεως,
καὶ τὰς κώμας αὐτῆς ἔδωκεν Ἰησοῦς
τοῖς υἱοῖς Χάλεβ υἱοῦ Ἰεφοννῆ ἐν κα-
ιγ. ταχέσει. Καὶ τοῖς υἱοῖς Ἀαρὼν τοῦ
ἱερέως ἔδωκε Φυγαδευτήριον τῷ Φο-
νεύσαντι, τὴν Χεβρὼν, καὶ τὰ ἀφω-
ρισμένα τὰ πρὸς αὐτῇ· καὶ τὴν Λεμ-
νὰ, καὶ τὰ ἀφωρισμένα τὰ πρὸς
ιδ. αὐτῇ· Καὶ τὴν Ἰέθερ, καὶ τὰ ἀφω-
ιε. ρισμένα τὰ πρὸς αὐτῇ· (6) Καὶ τὴν
A Δαβὲιρ, καὶ τὰ ἀφωρισμένα τὰ πρὸς
ις. αὐτῇ· Καὶ Ἀὶν, καὶ τὰ ἀφωρισμένα
τὰ πρὸς αὐτῇ· καὶ Ἀτὰν, (7) καὶ
τὰ ἀφωρισμένα τὰ πρὸς αὐτῇ· καὶ
Βαιθσαμὺς, καὶ τὰ ἀφωρισμένα τὰ
πρὸς αὐτῇ· πόλεις ἐννέα καὶ (8) παρὰ
ιζ. τῶν δύω Φυλῶν τούτων. Καὶ παρὰ
τῆς Φυλῆς Βενιαμὶν, τὴν Γαβαὼ,
καὶ τὰ ἀφωρισμένα τὰ πρὸς αὐτῇ·
B καὶ Γαβεὲ, καὶ τὰ ἀφωρισμένα τὰ
ιη. πρὸς αὐτῇ· Καὶ τὴν Ἀναθὼθ, καὶ
τὰ ἀφωρισμένα τὰ πρὸς αὐτῇ· καὶ
Γάμαλα, καὶ τὰ ἀφωρισμένα πρὸς
ιθ. αὐτῇ· πόλεις τέσσαρες. Πᾶσαι αἱ
πόλεις υἱῶν Ἀαρὼν τῶν ἱερέων, δεκα-
κ. τρεῖς, καὶ τὰ περισπόρια αὐτῶν. Καὶ
τοῖς δήμοις υἱῶν Καὰθ τοῖς Λευΐταις
Γ τοῖς καταλελειμμένοις ἀπὸ τῶν υἱῶν
Καὰθ, καὶ ἐγενήθη ἡ πόλις τῶν ὁρίων
κα. αὐτῶν Ἀπὸ Φυλῆς Ἐφραίμ. καὶ
ἔδωκαν αὐτοῖς τὴν πόλιν τῶν Φυγα-
δευτηρίων τοῦ Φονεύσαντος, τὴν Συ-
χὲμ, καὶ τὰ ἀφωρισμένα πρὸς αὐτῇ·
καὶ τὴν Γαζαρὰ, καὶ τὰ ἀφωρισμένα
πρὸς αὐτῇ· καὶ τὴν Καβασαὶμ, καὶ
κβ. τὰ ἀφωρισμένα τὰ πρὸς αὐτῇ· Καὶ
Δ τὴν ἄνω Βαιθωρῶν, καὶ τὰ ἀφωρισ-
μένα πρὸς αὐτῇ· πόλεις τέσσαρας. (9)
κγ. Καὶ ἐκ τῆς Φυλῆς Δὰν, τὴν Ἐλθω-
κὰμ, (10) καὶ τὰ ἀφωρισμένα τὰ
πρὸς αὐτῇ· καὶ τὴν Γεβὰν, (11) καὶ
κδ. τὰ ἀφωρισμένα τὰ πρὸς αὐτῇ· Καὶ
τὴν Ἀϊλὼμ, καὶ τὰ ἀφωρισμένα τὰ
πρὸς αὐτῇ· καὶ τὴν Γεθερμὼν, (12)
E καὶ τὰ ἀφωρισμένα τὰ πρὸς αὐτῇ·
κε. πόλεις τέσσαρες. Καὶ ἀπὸ τοῦ ἥμισυ
Φυλῆς Μανασσῆ, τὴν Θανὰκ, καὶ τὰ
ἀφωρισμένα τὰ πρὸς αὐτῇ· καὶ τὴν
Βαιθσὰν, καὶ τὰ ἀφωρισμένα τὰ πρὸς
κς. αὐτῇ· πόλεις δύω. Αἱ πᾶσαι πόλεις
δέκα, καὶ τὰ ἀφωρισμένα τὰ πρὸς
αὐταῖς τοῖς δήμοις υἱῶν Καὰθ τοῖς
κζ. ὑπολελειμμένοις. Καὶ τοῖς υἱοῖς Γεδ-
Z σὼν τοῖς Λευΐταις ἐκ τοῦ ἥμισυ Φυ-
λῆς Μανασσῆ τὰς πόλεις τὰς ἀφω-
ρισμένας τοῖς Φονεύσασι, τὴν Γαυ-
λὼν ἐν τῇ Βασανίτιδι, καὶ τὰ ἀφω-
ρισμένα τὰ πρὸς αὐτῇ· καὶ τὴν Βεε-
σθαρὰν, καὶ τὰ ἀφωρισμένα τὰ πρὸς
κη. αὐτῇ· πόλεις δύω. Καὶ ἐκ τῆς Φυ-
λῆς Ἰσσάχαρ, τὴν Κεισιὼρ, καὶ τὰ
ἀφω-

(1) Ἐξέτισεν. ἡ ἐν Χάλ. ἔκδ. ὀρθῶς. (2) Κατέσχον. ἡ αὐτ. (3) Γεδσών. αἱ εἰρημ. ἐκδόσ.
(4) Ἀσὴρ καὶ ἀπὸ τῆς Φυλῆς Νεφθαλ. αἱ αὐτ. (5) Βενιαμίν. τὰς πόλεις ταύτας. αἱ αὐτ.
(6) Καὶ τὴν Τεμὰ, καὶ τὰ ἀφωρισμένα αὐτῇ· 15. Καὶ τὴν Γελλὰ, καὶ τὰ ἀφωρισμένα αὐτῇ· καὶ τὴν Δαβείρ. αἱ αὐτ. (7) Τανύ. αἱ αὐτ. (8) Λείπει τὸ, καί. αὐτ.
(9) Τέσσαρες. αἱ αὐτ. (10) Ἐλκωθαίμ. αἱ αὐτ. (11) Γεθεδάν. αἱ αὐτ.
(12) Γεθερεμμών. αἱ αὐτ.

κθ. ἀφωρισμένα τὰ πρὸς αὐτῇ· (1) Καὶ
τὴν Ῥεμὰθ, καὶ τὰ ἀφωρισμένα τὰ
πρὸς αὐτῇ· καὶ τὴν Γομμὰ, καὶ τὰ
ἀφωρισμένα τὰ πρὸς αὐτῇ· καὶ Πη-
γὴν γραμμάτων, καὶ τὰ ἀφωρισ-
μένα τὰ πρὸς αὐτῇ· αὗται αἱ πόλεις
λ. τέσσαρες. Καὶ ἐκ τῆς Φυλῆς Ἀσὴρ
τὴν Βασελὰν, καὶ τὰ ἀφωρισμένα
λα. τὰ πρὸς αὐτῇ· (2) Καὶ Γελκὰθ, καὶ
τὰ ἀφωρισμένα τὰ πρὸς αὐτῇ· καὶ
Ῥαὰδ, καὶ τὰ ἀφωρισμένα τὰ πρὸς
λβ. αὐτῇ· πόλεις τέσσαρες. Καὶ ἐκ τῆς
Φυλῆς Νεφθαλεὶμ, τὴν πόλιν τὴν
ἀφωρισμένην τῷ Φονεύτῇ, (3) τὴν
Καιδὲς ἐν τῇ Γαλιλαίᾳ, καὶ τὰ ἀφω-
ρισμένα τὰ πρὸς αὐτῇ· καὶ τὴν Ἐ-
μαθδὼρ, καὶ τὰ ἀφωρισμένα τὰ πρὸς
αὐτῇ· καὶ τὴν Νοεμμὼθ, καὶ τὰ
ἀφωρισμένα τὰ πρὸς αὐτῇ· πόλεις
λγ. τρεῖς. Πᾶσαι αἱ πόλεις τοῦ Γεδσὼν
κατὰ δήμους αὐτῶν, πόλεις δεκατρεῖς.
λδ. Καὶ τῷ δήμῳ υἱῶν Μεραρὶ τοῖς Λευΐ-
ταις τοῖς λοιποῖς ἐκ τῆς Φυλῆς υἱῶν
Ζαβουλὼν, τὴν Μαὰν, καὶ τὰ περι-
σπόρια αὐτῆς· καὶ Κάδες, καὶ τὰ
λε. περισπόρια αὐτῆς· Καὶ Σηλὰθ, καὶ
τὰ περισπόρια αὐτῆς· καὶ περισπόρια
τοῦ Ἰορδάνου Ἱεριχώ· πόλεις τέσσαρες.
λϛ. Καὶ τὰ περισπόρια τοῦ Ἰορδάνου Ἱερι-
χὼ ἐκ τῆς Φυλῆς Ῥουβὶμ, τὴν πόλιν
τὸ Φυγαδευτήριον τοῦ Φονεύσαντος,
τὴν Βοσὸρ ἐν τῇ ἐρήμῳ· τὴν Μισὼρ,
καὶ τὰ περισπόρια αὐτῆς· καὶ τὴν
Ἰαζὴρ, καὶ τὰ περισπόρια αὐτῆς· καὶ
τὴν Γεθνὼν, καὶ τὰ περισπόρια αὐ-
τῆς· καὶ τὴν Μαθὰθ, καὶ τὰ περι-
λζ. σπόρια αὐτῆς· πόλεις τέσσαρες. Καὶ
ἀπὸ τῆς Φυλῆς Γὰδ, τὴν πόλιν τὸ
Φυγαδευτήριον τοῦ Φονεύσαντος, τὴν
Ῥαμὼθ ἐν τῇ Γαλαὰδ, καὶ τὰ περι-
σπόρια αὐτῆς· καὶ τὴν Μαναὰν, καὶ
τὰ περισπόρια αὐτῆς· καὶ τὴν Ἐσε-
βὼν, καὶ τὰ περισπόρια αὐτῆς· καὶ
τὴν Ἰαζὴρ, καὶ τὰ περισπόρια αὐ-
λη. τῆς· πᾶσαι αἱ πόλεις τέσσαρες. Πᾶ-
σαι αἱ πόλεις τοῖς υἱοῖς Μεραρὶ κατὰ
δήμους αὐτῶν τῶν καταλελειμμένων
ἀπὸ τῆς Φυλῆς Λευΐ. καὶ ἐγένοντο (4)
λθ. αἱ πόλεις τὰ ὅρια δώδεκα. Πᾶσαι αἱ
πόλεις τῶν Λευϊτῶν ἐν μέσῳ κατα-
σχέσεων υἱῶν Ἰσραὴλ, τεσσαράκοντα
ὀκτὼ πόλεις.

A ⁂ ΠΡΟΚΟΠΙΟΥ. Καὶ νῦν δὲ κατανοεῖν ἄξιον τὴν ἄνισον ἰσότητα, καὶ ἀναλογίαν, καὶ τὴν πρὸς τὰς Φυλὰς τῶν ἱερέων καὶ τῶν ἄλλων ἀνάκρασιν. τεσσάρων γὰρ ὄντων κλιμάτων, καὶ τῶν Φυλῶν κατὰ ταῦτα διῃρημένων, τὰς ἀνατολικὰς καὶ πρώτας λαγχάνει Καὰθ· ἔνθα καὶ ἡ τοῦ Ἰούδα τὰ πρῶτα φέρει τῶν Φυλῶν ἡ τιμιωτάτη, καὶ κατὰ τὴν ἁγίαν γῆν ἀκληρωτεὶ παρ' Ἰησοῦ πρώτη λαβοῦσα τὸν
B κλῆρον. τὸν δὲ δεύτερον ἐν ἀνατολαῖς ἔλαχεν ὁ Γηρσὼμ, ὡς ἂν ὁ Καὰθ μὴ πᾶσαν λάβῃ τὴν ἀνατολὴν, ἀλλὰ κρᾶσίς τις ᾖ λευϊτικῶν καὶ ἰσραηλιτικῶν ταγμάτων. εἰ γὰρ πᾶσαν εἴληφεν ὁ Καὰθ τὴν ἀνατολὴν, ὕβρις ἦν τοῖς λοιποῖς. νυνὶ δὲ κατὰ τὴν ἐκ Θεοῦ τῶν κλήρων δικαιοσύνην τοὺς ἐν ἀνατολαῖς, Ἰούδαν, Ἰσσάχαρ, Ζαβουλὼν, λαγχάνουσι Καὰθ. Γηρσὼν, Μεραρὶ, οἱ πρῶτοι υἱοὶ τοῦ Λευΐ· τοὺς δὲ κατὰ λίβα,
Γ Ῥουβὶμ, καὶ Συμεὼν, καὶ Γὰδ, ἀπὸ Καὰθ κατὰ τὸν δεύτερον τόπον τὸν τοῦ Συμεών. κατὰ δὲ τὸν πρῶτον ὁ Μεραρὶ, τὸν τοῦ Ῥουβίμ. πάλιν ὁ Μεραρὶ τὸν τρίτον κατὰ ἀνατολὰς ἐν ἀριθμοῖς, τὸν Ζαβουλὼν, τῆς τοῦ Θεοῦ δικαιοσύνης μυστικῶς δηλούσης τὰ μέλλοντα τῆς τῶν ἐκεῖ κλήρων διαμονῆς. πάλιν τὴν κατὰ θάλατταν Ἐφραὶμ, καὶ Βενιαμὶν, καὶ Μανασσῆ, ὁ Καὰθ λαγχάνει τὸν δεύτερον τὸν Βενιαμίν. οἱ δὲ λοιποὶ τοῦ
Δ Καὰθ τὸν Ἐφραίμ. εἶτα τοὺς ἀπὸ ἡμίσους Φυλῆς Μανασσῆ τοὺς ἐν τῇ ἁγίᾳ γῇ. εἶτα Γηρσὼμ πάλιν τὸ ἥμισυ Φυλῆς Μανασσῆ. ἐπεὶ δὲ ἔδει καὶ τοὺς ἀπὸ βοῤῥᾶ τιμηθῆναι τόπους τοῦ Ἰσραὴλ τοῖς τάγμασι τοῖς ἱερατικοῖς· ἵνα μὴ πλεονεκτηθῇ τὰ τελευταῖα τάγματα, ὄντων κατὰ βοῤῥᾶν, Δὰν, Νεφθαλεὶμ, Ἀσὴρ, Καὰθ ὁ κατὰ τοὺς λοιποὺς οὐχ ὁ κατὰ τοὺς ἱερεῖς λαμβάνει τὸν πρῶτον καὶ τιμιώτερον τῶν κατὰ βοῤῥᾶν, τὸν
E Δάν. ὁ δὲ Γηρσὼμ τὸν δεύτερον, τὸν Ἀσήρ. εἶτα πάλιν ὁ Γηρσὼμ τὸν τρίτον, τὸν Νεφθαλείμ. εἰ δὲ τῶν καθ' ἱστορίαν ἡ ποικιλία τὸν νοῦν καὶ τὴν μνήμην νικᾷ, τί δεῖ λέγειν περὶ τῆς τῶν μελλόντων οἰκονομίας;

μ. Καὶ τὰ περισπόρια αὐτῶν κύκλῳ τῶν πόλεων τούτων, πόλις καὶ τὰ περισπόρια κύκλῳ τῆς πόλεως πάσαις ταῖς πόλεσι ταύταις. καὶ συνε-
Z τέλεσεν Ἰησοῦς διαμερίσας τὴν γῆν ἐν τοῖς ὁρίοις αὐτοῖς· καὶ ἔδωκαν οἱ υἱοὶ Ἰσραὴλ τῷ Ἰησοῦ μερίδα κατὰ πρόσαγμα Κυρίου· ἔδωκαν αὐτῷ τὴν πόλιν, ἣν ᾐτήσατο· τὴν Θαμνασαρὰχ ἔδωκαν αὐτῷ ἐν τῷ ὄρει Ἐφραίμ. καὶ ᾠκοδόμησεν Ἰησοῦς τὴν πόλιν, καὶ ᾤκησεν ἐν αὐτῇ. καὶ ἔλαβεν Ἰησοῦς τὰς μαχαίρας τὰς πετρίνας, ἐν αἷς περιέ-

(1) Καὶ τὴν Δεββὰ, καὶ τὰ ἀφωρισμένα αὐτῇ· αἱ αὐτ.
(2) Καὶ τὴν Δαββὼν, καὶ τὰ ἀφωρισμένα αὐτῇ· αἱ αὐτ.
(3) Τῷ Φονεύσαντι. αἱ αὐτ. ὅπου καί τινα τῶν ὀνομάτων τῶν πόλεων διάφορα.
(4) Καὶ ἐγενήθη τὰ ὅρια αἱ πόλεις δεκαδύω. αἱ αὐτ.

περιέτεμε τοὺς υἱοὺς Ἰσραὴλ τοὺς γενο-
μένους ἐν τῇ ὁδῷ ἐν τῇ ἐρήμῳ, ὅτι οὐ
περιετμήθησαν ἐν τῇ ἐρήμῳ, καὶ ἔθη-
κεν αὐτὰς ἐν Θαμνασαράχ.

ΑΔΗΛΟΥ. Εἴδομεν πρᾳότητα καὶ ἐπιεί-
κειαν τοῦ μακαρίου Ἰησοῦ· ἵνα καὶ ἡμεῖς τη-
Σειρ. 3. 18. ρήσωμεν τὸ, ὅσῳ μέγας εἶ, τοσοῦτον τα-
» πείνου σεαυτὸν, καὶ ἐναντίον Κυρίου εὑρή-
σεις χάριν. ὁ γὰρ ἄλλοις κληροδοτήσας,
αὐτὸς ὑπ' αὐτῶν ἔσχατον κληροδοτεῖται.

μα. Καὶ ἔδωκε Κύριος τῷ Ἰσραὴλ
πᾶσαν τὴν γῆν, ἣν ὤμοσε δοῦναι τοῖς
A πατράσιν αὐτῶν· καὶ κατεκληρονό-
μησαν αὐτὴν, καὶ κατῴκησαν ἐν αὐ-
μβ. τῇ. Καὶ κατέπαυσε Κύριος αὐτοῖς
κυκλόθεν, καθότι ὤμοσε τοῖς πα-
τράσιν αὐτῶν. οὐκ ἀντέστη οὐδεὶς κα-
τενώπιον αὐτῶν ἀπὸ πάντων τῶν ἐχ-
θρῶν αὐτῶν· πάντας τοὺς ἐχθροὺς
αὐτῶν παρέδωκε Κύριος αὐτοῖς εἰς
μγ. τὰς χεῖρας αὐτῶν. Οὐ διέπεσεν ἀπὸ
B πάντων τῶν ῥημάτων τῶν καλῶν, ὧν
ἐλάλησε Κύριος τοῖς υἱοῖς Ἰσραὴλ,
πάντα παρεγένετο.

ΚΕΦ. ΚΒ.

α. Τότε συνεκάλεσεν Ἰησοῦς
τοὺς Ῥουβινίτας, καὶ τοὺς
υἱοὺς Γὰδ, καὶ τὸ ἥμισυ
β. φυλῆς Μανασσῆ, Καὶ εἶπεν αὐτοῖς,
ὑμεῖς ἀκηκόατε πάντα ὅσα ἐνετείλα-
το ὑμῖν Μωϋσῆς ὁ παῖς Κυρίου, καὶ
ὑπηκούσατε τῆς φωνῆς μου κατὰ πάν-
γ. τα ὅσα ἐνετείλατο ὑμῖν. Οὐκ ἐγ-
καταλελοίπατε τοὺς ἀδελφοὺς ὑμῶν
ταύτας τὰς ἡμέρας πλείους· ἕως τῆς
σήμερον ἡμέρας, (1) ἀλλὰ ἐφυλάξατε
τὴν ἐντολὴν Κυρίου τοῦ Θεοῦ ὑμῶν.

δ. Καὶ νῦν κατέπαυσε Κύριος ὁ
Θεὸς ἡμῶν τοὺς ἀδελφοὺς ἡμῶν, ὃν
τρόπον εἶπεν αὐτοῖς. νῦν οὖν ἀπο-
στραφέντες, ἀπέλθατε εἰς τοὺς οἴκους
ὑμῶν, καὶ εἰς τὴν γῆν τῆς κατασχέ-
σεως ὑμῶν, ἣν ἔδωκεν ὑμῖν Μωϋσῆς
ἐν τῷ πέραν τοῦ Ἰορδάνου.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀπολύονται οἱ πέ-
ραν Ἰορδάνου κληρονομήσαντες. ὅταν γὰρ
ἀπολαύωμεν τὰς ἐπαγγελίας οἱ ὑπὸ τῷ
Ἰησοῦ στρατευόμενοι, καὶ συγκάμωσιν ἡμῖν
οἱ ὑπὸ Μωϋσέως λαβόντες τὴν κληρονο-
μίαν, οὔπω δὲ κατοικήσαντες ἐν αὐτῇ, ἀπο-
λύονται ἕκαστος εἰς τὰ ἴδια μετὰ τῶν τε-
λῶν τῶν ὑπὸ Ἰησοῦ δεδομένων, ὡς ἂν ἕκα-
στος κατοικήσῃ ἐν εἰρήνῃ, παντὸς πολέμου
καθαιρεθέντος.

ε. Ἀλλὰ φυλάξασθε σφόδρα
ποιεῖν τὰς ἐντολὰς καὶ τὸν νόμον, ὃν
ἐνετείλατο ὑμῖν Μωϋσῆς ὁ παῖς Κυ-
ρίου· ἀγαπᾷν Κύριον τὸν Θεὸν ὑμῶν,
πορεύεσθαι πάσαις ταῖς ὁδοῖς αὐτοῦ,
φυλάξασθαι τὰς ἐντολὰς αὐτοῦ, καὶ
προσκεῖσθαι αὐτῷ, καὶ λατρεύειν αὐ-
τῷ ἐξ ὅλης τῆς διανοίας ὑμῶν, καὶ
ς. ἐξ ὅλης τῆς ψυχῆς ὑμῶν. Καὶ εὐλό-
γησεν αὐτοὺς Ἰησοῦς, καὶ ἐξαπέστειλεν
αὐτούς. καὶ ἐπορεύθησαν εἰς τοὺς οἴκους
ζ. αὐτῶν. Καὶ τῷ ἡμίσει φυλῆς Μα-
Γ νασσῆ ἔδωκε Μωϋσῆς ἐν τῇ Βασανίτι-
δι, καὶ τῷ ἡμίσει ἔδωκεν Ἰησοῦς μετὰ
τῶν ἀδελφῶν αὐτοῦ ἐν τῷ πέραν τοῦ
Ἰορδάνου παρὰ θάλασσαν. καὶ ἡνίκα
ἐξαπέστειλεν αὐτοὺς Ἰησοῦς εἰς τοὺς οἴ-
κους αὐτῶν καὶ εὐλόγησεν αὐτοὺς, λέ-
η. γων, Ἐν χρήμασι πολλοῖς ἀναλύε-
τε εἰς τοὺς οἴκους ὑμῶν. καὶ ἀπήλθο-
Δ σαν εἰς τοὺς οἴκους αὐτῶν· καὶ κτήνη
πολλὰ σφόδρα, καὶ ἀργύριον, καὶ
χρυσίον, καὶ χαλκὸν, καὶ σίδηρον,
καὶ ἱματισμὸν πολὺν σφόδρα περιεί-
λαντο (2) τὴν προνομὴν τῶν ἐχθρῶν
αὐτῶν μετὰ τῶν ἀδελφῶν αὐτῶν.
θ. Καὶ ἐπορεύθησαν οἱ υἱοὶ Ῥουβὶμ, καὶ
οἱ υἱοὶ Γὰδ, καὶ τὸ ἥμισυ φυλῆς Μα-
νασσῆ ἀπὸ τῶν υἱῶν Ἰσραὴλ ἐκ Σηλὼ
E ἐκ γῆς Χαναὰν ἀπελθεῖν εἰς τὴν γῆν
τοῦ Γαλαὰδ, εἰς γῆν κατασχέσεως
αὐτῶν, ἣν ἐκληρονόμησαν αὐτὴν διὰ
προστάγματος Κυρίου ἐν χειρὶ Μωϋσῆ.

ι. Καὶ ἦλθον εἰς Γαλαὰδ τοῦ Ἰορ-
δάνου, ἥ ἐστιν ἐν γῇ Χαναάν. καὶ ᾠκο-
δόμησαν οἱ υἱοὶ Ῥουβὶν καὶ οἱ υἱοὶ Γὰδ
καὶ τὸ ἥμισυ φυλῆς Μανασσῆ ἐκεῖ βω-
Z μὸν ἐπὶ τοῦ Ἰορδάνου, βωμὸν μέγαν
ια. τοῦ ἰδεῖν. Καὶ ἤκουσαν οἱ υἱοὶ Ἰσραὴλ
λεγόντων, ἰδοὺ ᾠκοδομήκασιν οἱ υἱοὶ
Ῥουβὶν καὶ οἱ υἱοὶ Γὰδ καὶ τὸ ἥμισυ
φυλῆς Μανασσῆ βωμὸν ἐφ' ὁρίων γῆς
Χαναὰν ἐπὶ τοῦ Γαλαὰδ τοῦ Ἰορδάνου
ιβ. ἐν τῷ πέραν τῶν υἱῶν Ἰσραήλ. Καὶ
συνηθροίσθησαν πάντες οἱ υἱοὶ Ἰσ-
H ραὴλ εἰς Σηλὼ, ὥστε ἀναβάντες ἐκ-
ιγ. πολεμῆσαι αὐτούς. Καὶ ἀπέστειλαν
οἱ υἱοὶ Ἰσραὴλ πρὸς τοὺς υἱοὺς Ῥουβὶν
καὶ

(1) Ἡμέρας ἐφυλάξ. αἱ αὐτ.

(2) Διείλαντο. αἱ αὐτ.

καὶ πρὸς τοὺς υἱοὺς Γὰδ καὶ πρὸς τὸ
ἥμισυ Φυλῆς Μανασσῆ εἰς γῆν Γα-
λαάδ, τόν τε Φινεὲς υἱὸν Ἐλεάζαρ
ιδ. υἱοῦ Ἀαρὼν τοῦ ἱερέως, Καὶ δέκα τῶν
ἀρχόντων μετ' αὐτοῦ· ἄρχων εἷς ἀπὸ
οἴκου πατριᾶς ἀπὸ πασῶν Φυλῶν Ἰσ-
ραήλ· ἄρχοντες οἴκων πατριῶν εἰσὶ
ιε. χιλίαρχοι Ἰσραήλ. Καὶ παρεγένον-
το πρὸς τοὺς υἱοὺς Ῥουβὶν, καὶ πρὸς τοὺς
υἱοὺς Γάδ, καὶ πρὸς τὸ ἥμισυ Φυλῆς
Μανασσῆ εἰς γῆν Γαλαάδ· καὶ ἐλά-
ις. λησαν πρὸς αὐτοὺς, λέγοντες, Τά-
δε λέγει πᾶσα ἡ συναγωγὴ Κυρίου,
τίς ἡ πλημμέλεια αὕτη, ἣν ἐπλημ-
μελήσατε ἐναντίον τοῦ Θεοῦ Ἰσραήλ,
ἀποστραφῆναι σήμερον ἀπὸ Κυρίου οἰ-
κοδομήσαντες ὑμῖν ἑαυτοῖς βωμὸν,
ἀποστάτας ὑμᾶς γενέσθαι ἀπὸ Κυρίου;
ιζ. Μὴ μικρὸν ὑμῖν τὸ ἁμάρτημα Φο-
γώρ, ὅτι οὐκ ἐκαθαρίσθημεν ἀπ' αὐ-
τοῦ ἕως τῆς ἡμέρας ταύτης; καὶ ἐγενή-
θη (1) ἡ συναγωγὴ Κυρίου ἐν πληγῇ.
ιη. Καὶ ὑμεῖς ἀπεστράφητε σήμερον ἀπὸ
Κυρίου· καὶ ἔσται ἐὰν ἀποστῆτε σήμε-
ρον ἀπὸ Κυρίου, καὶ αὔριον ἐπὶ πάντα
ιθ. Ἰσραὴλ ἔσται ὀργὴ Κυρίου. Καὶ νῦν
εἰ μικρὰ ἡ γῆ ὑμῶν τῆς κατασχέσεως
ὑμῶν, διάβητε εἰς τὴν γῆν τῆς Κυ-
ρίου κατασχέσεως, οὗ κατασκηνοῖ ἐκεῖ
ἡ σκηνὴ Κυρίου, καὶ κατακληρονομή-
σατε ἐν ἡμῖν· καὶ ἀπὸ τοῦ Κυρίου μὴ
γίνεσθε ἀποστάται, καὶ ὑμεῖς μὴ ἀπο-
στῆτε, διὰ τὸ οἰκοδομῆσαι ὑμᾶς βω-
μὸν ἔξω τοῦ θυσιαστηρίου Κυρίου τοῦ Θεοῦ
κ. ἡμῶν. Οὐκ ἰδοὺ Ἄχαρ ὁ τοῦ Ζαρμὶ (2)
πλημμελείᾳ ἐπλημμέλησεν ἀπὸ τοῦ
ἀναθέματος, καὶ ἐπὶ πᾶσαν τὴν συ-
ναγωγὴν υἱῶν Ἰσραὴλ ἐγενήθη ἡ ὀρ-
γή; καὶ οὗτος εἷς μόνος ἦν, μὴ μόνος
οὗτος ἀπέθανεν ἐν τῇ αὐτοῦ ἁμαρτίᾳ.

ΘΕΟΔΩΡΙΤΟΥ. Πανσαμένου μέντοι τοῦ πολέμου, καὶ τῆς διαιρέσεως γενομένης, ἀπελύθησαν μὲν οἱ πέραν τοῦ ποταμοῦ τοὺς κλήρους εἰληφότες. πρὶν δέ γε διαβῆναι τὸν ποταμὸν, βωμὸν ᾠκοδόμησαν μέγιστον. τὸν δὲ τῆς οἰκοδομῆς ἠγνοηκότες σκοπὸν οἱ τῶν ἐννέα Φυλῶν, ἀσεβείας δὲ ἀρχὴν τὴν οἰκοδομὴν τοπάσαντες, πανδημεὶ στρατεῦσαι κατ' αὐτῶν ἠβουλήθησαν, τῆς συγγενείας προτιμήσαντες τὴν εὐσέβειαν· ἀλλ' οἱ πάνσοφοι Ἰησοῦς καὶ Ἐλεάζαρ τὸν Φινεὲς ἀπέστειλαν, ὡς τῷ ζήλῳ κατὰ τῆς ἀσεβείας ἐν τῇ ἐρήμῳ χρησάμενον· ὥστε καὶ τῶν προγόνων, καὶ τῶν θεοσδότων ἀγαθῶν ἀναμνῆσαι, καὶ τὴν τολμηθεῖσαν παῦσαι παρανομίαν. ἐπειδὴ δὲ ἀπελθόντες ἔγνωσαν
Α οὐ θρησκείας χάριν τολμηθεῖσαν τὴν καινοτομίαν, ἀλλὰ τῆς περὶ τὴν εὐσέβειαν κοινωνίας μνημεῖον κληθῆναι τὸν γεγενημένον συνεῖδον βωμόν· ἵν' ἔχοιεν οἱ ἀπόγονοι δεικνῦναι τοῦτο εἰς ἔλεγχον τῶν ἀπείργειν αὐτοὺς τῶν θείων πανηγύρεων πειρωμένων, ἀνέστρεψαν γεγηθότες, καὶ τὸν Θεὸν ἀνυμνοῦντες ἐπὶ τῇ τῶν ἀδελφῶν εὐσεβείᾳ, καὶ τῇ κοινῇ πάντων εἰρήνῃ. τοῦτο ἐχρῆν καὶ τοὺς νῦν Ἰουδαίους εἰδέναι τε
Β καὶ λέγειν, ὡς ὁ βωμὸς αὐτῶν οὐ τὸ ἀληθινὸν ἦν θυσιαστήριον, ἀλλὰ τὸ ἀληθινὸν προετύπου.

κα. Καὶ ἀπεκρίθησαν οἱ υἱοὶ Ῥου-
βὶν, καὶ οἱ υἱοὶ Γὰδ, καὶ τὸ ἥμισυ Φυ-
λῆς Μανασσῆ, καὶ ἐλάλησαν τῷ Φι-
νεὲς τῷ ἱερεῖ καὶ τοῖς χιλιάρχοις Ἰσ-
κβ. ραήλ, λέγοντες, Ὁ Θεὸς Θεὸς Κύ-
ριός ἐστι, καὶ ὁ Θεὸς Θεὸς Κύριος αὐ-
Γ τὸς οἶδε, καὶ Ἰσραὴλ αὐτὸς γνώσε-
ται· εἰ ἐν ἀποστάσει ἐπλημμελήσα-
μεν ἐναντίον Κυρίου, μὴ ῥύσαιτο ἡμᾶς
κγ. ἐν τῇ ἡμέρᾳ ταύτῃ. Καὶ εἰ ᾠκοδομή-
σαμεν ἑαυτοῖς βωμὸν ὥστε ἀποστῆναι
ἀπὸ Κυρίου τοῦ Θεοῦ ἡμῶν, ὥστε ἀναβι-
βάσαι ἐπ' αὐτὸν θυσίαν ὁλοκαυτω-
μάτων, ὥστε ποιῆσαι ἐπ' αὐτοῦ θυσίαν
κδ. σωτηρίου, Κύριος ἐκζητήσει. Ἀλλ'
Δ ἕνεκεν εὐλαβείας ῥήματος ἐποιήσα-
μεν τοῦτο, λέγοντες, ἵνα μὴ εἴπωσιν
αὔριον τὰ τέκνα ὑμῶν τοῖς τέκνοις
ἡμῶν, τί ὑμῖν καὶ Κυρίῳ τῷ Θεῷ Ἰσ-
κε. ραήλ; Καὶ ὅρια ἔθηκε Κύριος ἀνα-
μέσον ἡμῶν καὶ ὑμῶν, υἱῶν Ῥουβὶμ,
καὶ υἱῶν Γὰδ, καὶ ἥμισυ Φυλῆς Μα-
νασσῆ, τὸν Ἰορδάνην, καὶ οὐκ ἔστιν ὑμῖν
Ε μερὶς Κυρίου· καὶ ἀπαλλοτριώσουσιν
οἱ υἱοὶ ὑμῶν τοὺς υἱοὺς ἡμῶν, ἵνα μὴ σέ-
κς. βωνται Κύριον. Καὶ εἴπαμεν ποιῆσαι
οὕτω, τοῦ οἰκοδομῆσαι τὸν βωμὸν τοῦ-
τον οὐχ ἕνεκεν καρπωμάτων οὐδὲ ἕνε-
κζ. κεν θυσιῶν, Ἀλλ' ἵνα ᾖ τοῦτο μαρ-
τύριον ἀναμέσον ἡμῶν καὶ ἀναμέσον
ὑμῶν, καὶ ἀναμέσον τῶν γενεῶν ἡμῶν
μεθ' ἡμᾶς, τοῦ λατρεύειν λατρείαν
Ζ Κυρίου ἐναντίον αὐτοῦ, ἐν τοῖς καρπώ-
μασιν ἡμῶν καὶ ἐν ταῖς θυσίαις ἡμῶν
καὶ ἐν ταῖς θυσίαις τῶν σωτηρίων ἡμῶν·
καὶ οὐκ ἐροῦσι τὰ τέκνα ὑμῶν τοῖς τέκ-
νοις ἡμῶν αὔριον, οὐκ ἔστιν ὑμῖν μερὶς
κη. Κυρίου. Καὶ εἴπαμεν, ἐὰν γένηταί
ποτε καὶ λαλήσωσι πρὸς ἡμᾶς, ἢ ταῖς
γενεαῖς ἡμῶν αὔριον, καὶ ἐροῦσιν, ἴδε-
Η τε ὁμοίωμα τοῦ θυσιαστηρίου Κυρίου, ὃ
ἐποίησαν οἱ πατέρες ἡμῶν οὐχ ἕνεκεν
καρπωμάτων οὐδὲ ἕνεκεν θυσιῶν, ἀλ-
λὰ

(1) Πληγὴ ἐν τῇ συναγωγῇ Κυρίου. ἄλ. αὐτ.

(2) Ζαρά. ἄλ. αὐτ.

λὰ μαρτύριόν ἐστιν ἀναμέσον ὑμῶν καὶ
ἀναμέσον ἡμῶν, καὶ ἀναμέσον τῶν
κθ. υἱῶν ἡμῶν. Μὴ γένοιτο οὖν ἡμᾶς ἀπο-
στῆναι ἀπὸ Κυρίου ἐν τῇ σήμερον ἡμέ-
ρᾳ, ὥστε οἰκοδομῆσαι ἡμᾶς θυσιαστή-
ριον τοῖς καρπώμασι, καὶ ταῖς θυ-
σίαις Σαλαμὶν, καὶ τῇ θυσίᾳ τοῦ σω-
τηρίου, πλὴν τοῦ θυσιαστηρίου Κυρίου
ὅ ἐστιν ἐναντίον τῆς σκηνῆς αὐτοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Οὗτοι δὲ καὶ μέγαν οἰκοδομοῦσι βωμὸν, καὶ ἀπόστασιν ἐγκληθέντες ἀπολογοῦνται, ὡς τὸ θυσιαστήριόν ἐστιν ὅπου Ἰησοῦς ἄρχει. ἐκείνου δὲ τοῦτο μίμημά τε καὶ σύμβολον. ὡς ἂν μὴ τοὺς ἐκτὸς Ἰορδάνου ξένους μετὰ χρόνον οἱ αὐτὸς εἶναι νομίσωσι, κωλύοντες αὐτοὺς τῆς τοῦ ἱεροῦ μετοχῆς. δηλοῖ δὲ ταῦτα, ὡς ὁ λαὸς τῆς περιτομῆς ὁ πρότερος, οἱ υἱοὶ Ῥουβὶν τοῦ πρωτοτόκου, οἱ υἱοὶ Γὰδ ἄλλου πρωτοτόκου, οἱ υἱοὶ Μανασσῆ ἄλλου πρωτοτόκου, κατὰ χρόνον δηλονότι, ποιοῦσι βωμὸν οὐ τὸν ἀληθινὸν, ἀλλὰ σύμβολον· ἵνα μὴ διέλωμεν αὐτοὺς ἀπ' ἐκείνων. ἀδελφοὶ γὰρ ἡμῶν οἱ πρὸ τῆς παρουσίας Ἰουδαῖοι, καὶ τὸ ἀληθινὸν μυστήριον ᾔδεσαν ὡς οὐκ ἔχουσιν. ἀλλ' αἱ παλαιαὶ θυσίαι τῶν ἀληθινῶν τύπος ἐτύγχανον, ὅπου ἦν Ἰησοῦς. ἀμφότεροι τοίνυν γινόμεθα μία ποίμνη εἷς ποιμήν. ὡς γὰρ πάλαι ἀπέθνησκεν ὁ λαὸς, καὶ ἦλθεν Ἀαρὼν, καὶ ἔστη μεταξὺ τῶν τεθνηκότων καὶ τῶν ζώντων, καὶ ἀπὸ τῶν λοιπῶν τὸν θάνατον ἔστησεν· οὕτως ὁ ἀληθινὸς ἀρχιερεὺς μεταξὺ τῶν τεθνηκότων καὶ τῶν ζώντων τῶν τε μέχρι τῆς παρουσίας τὸν Ἰουδαϊσμὸν τετηρηκότων, καὶ τὸν αὐτὸν μὴ δεξαμένων, καὶ ἑαυτοὺς μᾶλλον ἢ τὸν Ἰησοῦν νεκρωσάντων, δι' ὧν ἐφ' ἑαυτοὺς τὸ αἷμα φέρειν ἐτόλμησαν Ἰησοῦ. διὸ καὶ πᾶν αἷμα δίκαιον ἔφθασεν ἐπ' αὐτούς. μεταξὺ τοίνυν ἐλθὼν ἔστησεν ἀφ' ἡμῶν τὴν τοῦ θα-
A νάτου νομὴν, τῶν νεκρῶν Ἰουδαίων μηδὲν ἔτι ποιούντων ἀληθινὸν τῶν ὑπὸ νόμου διῃρημένων. παρ' ἡμῖν γὰρ ὁ ἀληθινὸς ναὸς ὁ ἐκ λίθων ζώντων, καὶ Ἰησοῦς ὁ ἀληθινός.

λ. Καὶ ἀκούσας Φινεὲς ὁ ἱερεὺς
καὶ πάντες οἱ ἄρχοντες τῆς συναγω-
γῆς υἱῶν Ἰσραὴλ καὶ οἱ χιλίαρχοι, οἳ
ἦσαν μετ' αὐτοῦ, τοὺς λόγους οὓς ἐλά-
λησαν οἱ υἱοὶ Ῥουβὶμ καὶ οἱ υἱοὶ Γὰδ
B καὶ υἱοὶ Μανασσῆ, καὶ ἤρεσεν αὐτοῖς.
λα. Καὶ εἶπε Φινεὲς ὁ ἱερεὺς τοῖς υἱοῖς Ῥου-
βὶμ καὶ τοῖς υἱοῖς Γὰδ καὶ τοῖς υἱοῖς Μα-
νασσῆ, σήμερον ἐγνώκαμεν ὅτι μεθ'
ἡμῶν Κύριος, διότι οὐκ ἐπλημμελή-
σατε ἐναντίον Κυρίου πλημμέλειαν,
καὶ ὅτι ἐῤῥύσασθε τοὺς υἱοὺς Ἰσραὴλ
λβ. ἐκ χειρὸς Κυρίου. Καὶ ἀπέστρεψε Φι-
Γ νεὲς ὁ ἱερεὺς καὶ οἱ ἄρχοντες πατριῶν
ἀπὸ τῶν υἱῶν Ῥουβὶμ καὶ ἀπὸ τῶν υἱῶν
Γὰδ καὶ ἀπὸ τοῦ ἥμισυ φυλῆς Μα-
νασσῆ ἐκ τῆς Γαλαὰδ εἰς γῆν Χα-
ναὰν πρὸς τοὺς υἱοὺς Ἰσραήλ· καὶ ἀπε-
λγ. κρίθησαν αὐτοῖς τοὺς λόγους. Καὶ
ἤρεσε τοῖς υἱοῖς Ἰσραήλ. καὶ ἐλάλη-
σαν πρὸς τοὺς υἱοὺς Ἰσραὴλ, καὶ εὐλό-
γησαν τὸν Θεὸν υἱῶν Ἰσραήλ. καὶ οὐκ
Δ ἔτι εἶπαν ἀναβῆναι πρὸς αὐτοὺς εἰς
πόλεμον ἐξολοθρεῦσαι τὴν γῆν τῶν
υἱῶν Ῥουβὶμ καὶ τῶν υἱῶν Γὰδ καὶ τοῦ
ἡμίσους υἱῶν Μανασσῆ. καὶ κατῴκησαν
λδ. ἐπ' αὐτῆς. Καὶ ἐπωνόμασεν Ἰησοῦς
τὸν βωμὸν τῷ Ῥουβὶμ καὶ τῷ Γὰδ
καὶ τῷ ἡμίσει φυλῆς Μανασσῆ, καὶ
εἶπεν, ὅτι μαρτύριόν ἐστιν ἀναμέσον
E αὐτῶν, ὅτι Κύριος ὁ Θεὸς Θεὸς αὐ-
τῶν ἐστί.

ΚΕΦ. ΚΓ.

α. Καὶ ἐγένετο μεθ' ἡμέρας
πλείους μετὰ τὸ κατα-
παῦσαι Κύριον Ἰσραὴλ
ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ κυ-
κλόθεν, καὶ Ἰησοῦς πρεσβύτερος προ-
β. βεβηκὼς ταῖς ἡμέραις. Καὶ συνε-
κάλεσεν Ἰησοῦς πάντας τοὺς υἱοὺς Ἰσ-
ραὴλ καὶ τὴν γερουσίαν αὐτῶν καὶ τοὺς
ἄρχοντας αὐτῶν καὶ τοὺς δικαστὰς αὐ-
τῶν καὶ τοὺς γραμματεῖς αὐτῶν, καὶ
εἶπε πρὸς αὐτοὺς, ἰδοὺ ἐγὼ γεγήρακα
γ. καὶ προβέβηκα ταῖς ἡμέραις. Ὑμεῖς
δὲ ἑωράκατε ὅσα ἐποίησε Κύριος ὁ
Θεὸς ἡμῶν πᾶσι τοῖς ἔθνεσι τούτοις
ἀπὸ προσώπου ὑμῶν, ὅτι Κύριος ὁ
Θεὸς ἡμῶν αὐτὸς ὁ συνεκπολεμήσας
δ. ἡμῖν. Ἴδετε ὅτι ἐπέῤῥιφα ὑμῖν τὰ
ἔθνη τὰ καταλελειμμένα ὑμῖν ταῦ-
Z τα ἐν τοῖς κλήροις εἰς τὰς φυλὰς
ὑμῶν, ἀπὸ τοῦ Ἰορδάνου πάντα τὰ
ἔθνη (1) ἐξωλόθρευσα, καὶ ἀπὸ τῆς
θαλάσσης τῆς μεγάλης ὁριεῖ ἐπὶ δυσ-
ε. μὰς ἡλίου. Κύριος δὲ ὁ Θεὸς ἡμῶν
οὗτος ἐξολοθρεύσει αὐτοὺς ἀπὸ προ-
σώπου ἡμῶν, ἕως ἂν ἀπόλωνται· καὶ
ἀποστελεῖ αὐτοῖς τὰ θηρία τὰ ἄγρια,
ἕως ἂν ἐξολοθρεύσῃ αὐτοὺς καὶ τοὺς
H βασιλεῖς αὐτῶν ἀπὸ προσώπου ὑμῶν,
καὶ κατακληρονομήσετε τὴν γῆν αὐ-
τῶν, καθὰ ἐλάλησε Κύριος ὁ Θεὸς
ἡμῶν

(1) Ἔθνη καὶ ἐξωλ. αἱ αὐτ.

ϛ. ἡμῶν ὑμῖν. Κατισχύσατε οὖν σφόδρα
φυλάσσειν καὶ ποιεῖν πάντα τὰ γε-
γραμμένα ἐν τῷ βιβλίῳ τοῦ νόμου
Μωϋσῆ, ἵνα μὴ ἐκκλίνητε εἰς δεξιὰ
ζ. ἢ εἰς ἀριστερὰ, (1) Ὅπως μὴ εἰσέλ-
θητε εἰς τὰ ἔθνη τὰ καταλελειμμέ-
να ταῦτα· καὶ τὰ ὀνόματα τῶν Θεῶν
αὐτῶν οὐκ ὀνομασθήσεται ἐν ὑμῖν, οὐδὲ
μὴ λατρεύσητε, οὐδὲ μὴ προσκυνή-
η. σητε αὐτοῖς, Ἀλλὰ Κυρίῳ τῷ Θεῷ
ἡμῶν προσκολληθήσεσθε, καθάπερ
ἐποιήσατε ἕως τῆς ἡμέρας ταύτης.
θ. Καὶ ἐξολοθρεύσει αὐτοὺς Κύριος ἀπὸ
προσώπου ὑμῶν ἔθνη μεγάλα καὶ ἰσχυ-
ρά· καὶ οὐδεὶς ἀντέστη ὑμῖν κατενώπιον
ι. ὑμῶν ἕως τῆς ἡμέρας ταύτης. Εἷς
ὑμῶν ἐδίωξε χιλίους, ὅτι Κύριος ὁ
Θεὸς ἡμῶν οὗτος ἐξεπολέμησεν ἡμῖν,
ια. καθάπερ εἶπεν ἡμῖν. Καὶ φυλάξα-
σθε σφόδρα τοῦ ἀγαπᾷν Κύριον τὸν
Θεὸν ἡμῶν.

ιβ. Ἐὰν γὰρ ἀποστραφῆτε καὶ
προσεθῆτε τοῖς ὑπολειφθεῖσιν ἔθνεσι
τούτοις τοῖς μεθ᾽ ὑμῶν, καὶ ἐπιγαμίας
ποιήσητε πρὸς αὐτοὺς, καὶ συγκατα-
ιγ. μιγῆτε αὐτοῖς καὶ αὐτοὶ ὑμῖν, Γνώ-
σει γινώσκετε ὅτι οὐ μὴ προσθῇ Κύριος
τοῦ ἐξολοθρεῦσαι τὰ ἔθνη ταῦτα ἀπὸ
προσώπου ὑμῶν· καὶ ἔσονται ὑμῖν εἰς
παγίδας, καὶ εἰς σκάνδαλον, καὶ εἰς
ἥλους ἐν ταῖς πτέρναις ὑμῶν, καὶ εἰς
βολίδας ἐν τοῖς ὀφθαλμοῖς ὑμῶν,
ἕως ἂν ἀπόλησθε ἀπὸ τῆς γῆς τῆς
ἀγαθῆς ταύτης, ἣν ἔδωκεν ὑμῖν Κύ-
ριος ὁ Θεὸς ὑμῶν.

ΘΕΟΔΩΡΙΤΟΥ. Μέλλων μέντοι τὸν βίον ὁ Προφήτης ὑπεξιέναι, συνεκάλεσε πάντα τὸν λαὸν, καὶ παραινεῖ (2) αὐτοῖς, ὥστε μηδεμίαν πρὸς ἐγχωρίους ἐπιγαμίαν ποιήσασθαι, ὡς τῆς τοιαύτης ἐπιμιξίας τὰς τῆς ἀσεβείας παρεχούσης προφάσεις· προσέθηκε δὲ τῇ παραινέσει καὶ ἀπειλάς. » ἐὰν γάρ φησι τοῦτο ποιήσητε, γινώσκετε » ὅτι οὐ μὴ προσθῇ Κύριος ἐξολοθρεῦσαι τὰ » ἔθνη ταῦτα ἀπὸ προσώπου ὑμῶν· καὶ ἔσται » ὑμῖν εἰς παγίδας, καὶ εἰς σκάνδαλον ἐν ταῖς » πλευραῖς ὑμῶν, καὶ σκῶλα ἐν τοῖς ὀφθαλ- » μοῖς ὑμῶν· ἕως ἂν ἀπόλησθε ἐκ τῆς γῆς » τῆς ἀγαθῆς ταύτης, ἣν ἔδωκεν ὑμῖν Κύ- » ριος ὁ Θεὸς ὑμῶν. ταῦτα δὲ σαφέστερον
A ἡμᾶς ἐδίδαξεν ἡ τῶν Κριτῶν ἱστορία. ἔγνωμεν δὲ καὶ τὴν αἰτίαν, δι᾽ ἣν κατὰ τὴν θείαν ἐπαγγελίαν οὐκ ἁπάσης τῆς γῆς τὴν δεσποτείαν παρέλαβον. ἀσπασάμενοι γὰρ τῶν δυσσεβῶν ἐθνῶν τὴν συγγένειαν, καὶ μιμησάμενοι τὴν ἀσέβειαν, τῆς θείας ἐγυμνώθησαν προμηθείας, καὶ δουλεύειν αὐτοῖς ἠναγκάζοντο.

ιδ. Ἐγὼ γὰρ (3) ἀποτρέχω σή-
B μερον τὴν ὁδὸν, καθὰ καὶ πάντες οἱ
ἐπὶ τῆς γῆς. καὶ γνώσεσθε ἐν ὅλῃ
τῇ καρδίᾳ ὑμῶν καὶ ἐν ὅλῃ τῇ ψυχῇ
ὑμῶν, διότι οὐ διέπεσεν εἷς λόγος ἀπὸ
πάντων τῶν λόγων, ὧν εἶπε Κύριος
ὁ Θεὸς ἡμῶν πρὸς ὑμᾶς, πάντα ἥκει
ὑμῖν, ἓν οὐ διαπεφώνηκεν ἐξ αὐτῶν.
ιε. Καὶ ἔσονται (4) ὃν τρόπον ἥκει πρὸς
ἡμᾶς πάντα τὰ ῥήματα τὰ καλὰ,
Γ ἃ ἐλάλησε Κύριος πρὸς ὑμᾶς, οὕτως
ἐπάξει Κύριος ὁ Θεὸς ἐφ᾽ ὑμᾶς πάν-
τα τὰ ῥήματα τὰ πονηρὰ ἕως ἂν
ἐξολοθρεύσῃ ὑμᾶς ἀπὸ τῆς γῆς τῆς
ἀγαθῆς ταύτης, ἧς ἔδωκεν ὑμῖν Κύ-
ιϛ. ριος ὁ Θεὸς ὑμῶν, Ἐν τῷ παραβῆναι
ὑμᾶς τὴν διαθήκην Κυρίου τοῦ Θεοῦ
ἡμῶν, ἣν ἐνετείλατο ὑμῖν, καὶ πο-
Δ ρευθέντες λατρεύσητε Θεοῖς ἑτέροις
καὶ προσκυνήσητε αὐτοῖς.

ΘΕΟΔΩΡΙΤΟΥ. Θαυμαστὸς δὲ αὐτοῦ καὶ φιλόσοφος καὶ ὁ περὶ τοῦ θανάτου λόγος. » ἐγὼ γάρ ἔφη ἀποτρέχω τὴν ὁδὸν, καθὰ » καὶ πάντες οἱ ἐπὶ τῆς γῆς. δείκνυσι δὲ αὐτοῖς τὸ τῆς θείας προρρήσεως ἀψευδές· » καὶ γνώσεσθε ἐν τῇ καρδίᾳ ὑμῶν, καὶ ἐν » τῇ ψυχῇ ὑμῶν, διότι οὐ διέπεσε λόγος εἷς » ἀπὸ πάντων τῶν λόγων τῶν καλῶν, ὧν
E » εἶπε Κύριος ὁ Θεὸς ὑμῶν πρὸς ὑμᾶς. πάν- » τα ἃ εἴρηκεν ὑμῖν δέδωκεν ὑμῖν· οὐδὲν δια- » πεφώνηκεν ἐξ αὐτῶν. τὸ ἀληθές φησι τῶν θείων ἐπαγγελιῶν ἐκ τῶν εὐεργεσιῶν μεμαθήκατε. πεπλήρωκε γὰρ ἅπερ ὑπέσχετο. τοιγαροῦν ἐντεῦθεν μάθετε καὶ τὸ τῶν ἀπειλῶν ἀψευδές. τοῦτο γὰρ ἐπήγαγε· καὶ » ἔσται ὃν τρόπον ἦλθεν ἐφ᾽ ὑμᾶς πάντα τὰ » ῥήματα τὰ καλὰ, ἃ ἐλάλησε Κύριος ἐφ᾽ » ὑμᾶς· οὕτως ἐπάξει Κύριος ἐφ᾽ ὑμᾶς πάν-
Z » τα τὰ ῥήματα τὰ πονηρὰ, ἕως ἂν ἐξολο- » θρεύσῃ ὑμᾶς ἀπὸ τῆς γῆς τῆς ἀγαθῆς » ταύτης, ἧς ἔδωκεν ὑμῖν Κύριος, ἐν τῷ πα- » ραβῆναι ὑμᾶς τὴν διαθήκην Κυρίου τοῦ Θεοῦ » ὑμῶν, ἣν ἐνετείλατο ὑμῖν.



ΚΕΦ.

(1) Ἢ εὐώνυμα. αἱ αὐτ.
(2) Παρῄνει. ἡ ἐν Χάλ. ἔκδ.
(3) Δέ. αἱ αὐτ.
(4) Ἔσται. αἱ αὐτ.

Κ Ε Φ. Κ Δ.

α. Καὶ συνήγαγεν Ἰησοῦς πά-
σας τὰς φυλὰς Ἰσραὴλ
εἰς Σηλῶ, καὶ συνεκάλε-
σε πάντας τοὺς πρεσβυτέρους τοῦ Ἰσ-
ραὴλ καὶ τοὺς ἄρχοντας αὐτῶν καὶ
τοὺς γραμματεῖς αὐτῶν καὶ τοὺς δικα-
στὰς αὐτῶν, καὶ ἔστησεν αὐτοὺς ἐναν-
τίον τοῦ Θεοῦ.

β. Καὶ εἶπεν Ἰησοῦς πρὸς πάντα
τὸν λαὸν Κυρίου, τάδε λέγει Κύριος
ὁ Θεὸς Ἰσραὴλ, πέραν τοῦ ποταμοῦ
κατῴκησαν οἱ πατέρες ὑμῶν τὸ ἀπ'
ἀρχῆς, Θάῤῥα ὁ πατὴρ Ἀβραὰμ,
καὶ ὁ πατὴρ Ναχὼρ, καὶ ἐλάτρευ-
γ. σαν Θεοῖς ἑτέροις. Καὶ ἔλαβον τὸν
πατέρα ὑμῶν τὸν Ἀβραὰμ ἐκ τοῦ πέ-
ραν τοῦ ποταμοῦ, καὶ ὡδήγησα αὐτὸν
ἐν πάσῃ τῇ γῇ Χαναάν· καὶ ἐπλή-
δ. θυνα αὐτοῦ τὸ σπέρμα, Καὶ ἔδωκα
αὐτῷ τὸν Ἰσαὰκ, (1) τὸν Ἰακὼβ καὶ
τὸν Ἡσαῦ. καὶ ἔδωκα τῷ Ἡσαῦ τὸ
ὄρος Σηεὶρ κληρονομῆσαι αὐτῷ. καὶ
Ἰακὼβ καὶ οἱ υἱοὶ αὐτοῦ κατέβησαν
εἰς Αἴγυπτον, καὶ ἐγένοντο ἐκεῖ εἰς
ἔθνος μέγα καὶ πολὺ καὶ κραταιόν.
καὶ ἐκάκωσαν αὐτοὺς οἱ Αἰγύπτιοι.
ε. Καὶ ἐπάταξε Κύριος τὴν Αἴγυπτον ἐν
ς. σημείοις οἷς ἐποίησεν ἐν αὐτοῖς. Καὶ
μετὰ ταῦτα ἐξήγαγεν ὑμᾶς καὶ τοὺς
πατέρας ὑμῶν ἐξ Αἰγύπτου, καὶ εἰσήλ-
θετε εἰς τὴν θάλασσαν τὴν ἐρυθράν.
καὶ κατεδίωξαν οἱ Αἰγύπτιοι ὀπίσω
τῶν πατέρων ὑμῶν ἐν ἅρμασι καὶ ἐν
ἵπποις εἰς τὴν θάλασσαν τὴν ἐρυθ-
ζ. ράν. Καὶ ἀνεβοήσαμεν πρὸς Κύριον·
καὶ ἔδωκε νεφέλην καὶ γνόφον ἀνα-
μέσον ἡμῶν καὶ ἀναμέσον τῶν Αἰγυ-
πτίων, καὶ ἐπήγαγεν ἐπ' αὐτοὺς τὴν
θάλασσαν, καὶ ἐκάλυψεν ἐπ' αὐτούς.
καὶ εἴδοσαν οἱ ὀφθαλμοὶ ἡμῶν ὅσα
ἐποίησε Κύριος ἐν τῇ (2) Αἰγύπτῳ καὶ
ἐν τῇ ἐρήμῳ· καὶ ἦτε ἐν τῇ ἐρήμῳ ἡμέ-
η. ρας πλείους. Καὶ ἤγαγεν ἡμᾶς εἰς
γῆν Ἀμοῤῥαίων τῶν κατοικούντων πέ-
ραν τοῦ Ἰορδάνου, καὶ παρετάξαντο
ὑμῖν, καὶ παρέδωκεν αὐτοὺς Κύριος εἰς
τὰς χεῖρας ὑμῶν· καὶ κατεκληρονο-
μήσατε τὴν γῆν αὐτῶν, καὶ ἐξωλο-
θρεύσατε αὐτοὺς ἀπὸ προσώπου ὑμῶν.
θ. Καὶ ἀνέστη Βαλὰκ ὁ τοῦ Σεπφὼρ βα-
σιλεὺς Μωὰβ, καὶ παρετάξατο τῷ
Ἰσραὴλ, καὶ ἀποστείλας ἐκάλεσε τὸν
Βαλαὰμ υἱὸν Βεὼρ ἀράσασθαι ὑμᾶς.
ι. Καὶ οὐκ ἠθέλησε Κύριος ὁ Θεός σου
ἀπολέσαι σε· καὶ εὐλογίαν (3) εὐλό-
γησεν ὑμᾶς, καὶ ἐξείλατο ὑμᾶς ἐκ
ια. χειρὸς ἐχθρῶν. Καὶ διέβητε τὸν Ἰορ-
B δάνην, καὶ παρεγενήθητε εἰς Ἱεριχώ.
καὶ ἐπολέμησαν πρὸς ἡμᾶς οἱ κατοι-
κοῦντες Ἱεριχὼ ὁ Ἀμοῤῥαῖος, καὶ ὁ Χα-
ναναῖος, καὶ ὁ Φερεζαῖος, καὶ ὁ Χετ-
ταῖος, καὶ ὁ Ἰεβουσαῖος, καὶ ὁ Εὐαῖος,
καὶ ὁ Γεργεσαῖος. καὶ παρέδωκεν αὐ-
τοὺς Κύριος εἰς χεῖρας ὑμῶν.

ΘΕΟΔΩΡΙΤΟΥ. Διδάσκων δὲ, ὡς οὐκ
ἀνθρώπινα ταῦτα τὰ ῥήματα, ἐπήγαγεν·
Γ „ ὅτι τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ. καὶ
ἀναμιμνήσκει Θάῤῥα τοῦ πατρὸς Ἀβραὰμ
καὶ Ναχώρ. τέθεικε δὲ τὸν Ναχὼρ διὰ τὸ
μητρῷον γένος. ἐξ ἐκείνου γὰρ καὶ ἡ Ῥε-
βέκκα, καὶ ἡ Λεία. καὶ ἡ Ῥαχήλ. εἶτα
διδάσκει, ὡς ὁ Θάῤῥα Θεοῖς ἑτέροις ἐλά-
τρευσε, καὶ ὡς τούτου χάριν ὁ δεσπότης Θεὸς
χωρίσας τὸν Ἀβραὰμ εἰς τὴν γῆν ἐκείνην
μετέστησε· προσέθεικε δὲ καὶ τὴν εἰς Αἴ-
γυπτον τοῦ Ἰακὼβ εἴσοδον, καὶ τὴν διὰ
Δ Μωϋσοῦ γεγενημένην ἔξοδον· καὶ τῆς θα-
λάττης τὸ θαῦμα, καὶ τὴν ἐν τῇ ἐρήμῳ
διαγωγὴν, καὶ τὴν τῶν Ἀμοῤῥαίων πανω-
λεθρίαν· καὶ τὰς τοῦ Βαλὰκ ἐπινοίας, καὶ
τὰς παρὰ γνώμην τοῦ Βαλαὰμ εὐλογίας·
καὶ τοῦ ποταμοῦ τὴν ξένην διάβασιν· καὶ
τὴν τῶν ἐπαναστάντων πολεμίων ἀναίρε-
σιν· καὶ τὴν τῶν παντοδαπῶν ἀγαθῶν ἀπό-
λαυσιν. καὶ παραινεῖ, τῆς μὲν τῶν ἀλλο-
τρίων Θεῶν ἀπαλλαγῆναι δουλείας. μόνῳ δὲ
E λατρεύειν τῷ πεποιηκότι καὶ σεσωκότι Θεῷ.

ιβ. Καὶ ἐξαπέστειλε πρότερον (4)
ὑμῶν τὰς σφηκίας. καὶ ἐξέβαλεν αὐ-
τοὺς ἀπὸ προσώπου ὑμῶν δώδεκα βα-
σιλεῖς τῶν Ἀμοῤῥαίων, οὐκ ἐν τῇ ῥομ-
φαίᾳ σου οὐδὲ ἐν τῷ τόξῳ σου.

ΣΕΥΗΡΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Τούτῳ γὰρ
τῷ τρόπῳ καὶ σφῆκας κατὰ τῶν προκα-
Z ταχόντων ἐθνῶν τὴν γῆν ταύτην Ἰσραὴλ
ἐπεστράτευσε. κατανόησον οὖν, ὅπως ὁ σκο-
πὸς οὗτός ἐστι· τὸ καὶ διὰ τῶν τοιούτων εὐτε-
λῶν ζώων φίλον τὸ ἄπειρον τῆς δυνάμεως
τοῦ Θεοῦ διαφαίνεσθαι.

ιγ. Καὶ ἔδωκεν ὑμῖν τὴν γῆν ἐφ'
ἧς οὐκ ἐκοπιάσατε ἐπ' αὐτῆς, καὶ πό-
λεις ἃς οὐκ ᾠκοδομήσατε, καὶ κα-
τῳκίσθητε ἐν αὐταῖς, καὶ ἀμπελῶ-
H νας καὶ ἐλαιῶνας οὓς οὐκ ἐφυτεύσατε
ὑμεῖς, ἔδεσθε.

ΜΑΞΙ-

(1) Καὶ τῷ Ἰσαὰκ τὸν Ἰακώβ. αἱ αὐτ.
(2) Γῇ. αἱ αὐτ.
(3) Εὐλογίας. αἱ αὐτ.
(4) Προτέραν ὑμῶν τὴν σφηκίαν. αἱ αὐτ.

* * ΜΑΞΙΜΟΥ. Ὁ γὰρ μὴ ἑαυτῷ ζῶν, ἀλλὰ τῷ Θεῷ, πάντων γίνεται πλήρης τῶν θείων χαρισμάτων. τῶν τέως διὰ τὴν ἐπικειμένην τῶν παθῶν ὄχλησιν μὴ φαινομένων.

ιδ. Καὶ νῦν φοβήθητε τὸν Κύριον,
καὶ λατρεύσατε αὐτῷ ἐν εὐθύτητι
καὶ δικαιοσύνῃ, καὶ περιέλεσθε τοὺς
Θεοὺς τοὺς ἀλλοτρίους, οἷς ἐλάτρευ-
σαν οἱ πατέρες ὑμῶν ἐν τῷ πέραν τοῦ
Ἰορδάνου (1) καὶ ἐν Αἰγύπτῳ, καὶ λα-
τρεύετε (2) Κυρίῳ.

ιε. Εἰ δὲ μὴ ἀρέσκῃ ὑμῖν λατρεύειν
Κυρίῳ, ἐκλέξασθε ὑμῖν ἑαυτοῖς σήμε-
ρον τίνι λατρεύσητε, εἴτε τοῖς Θεοῖς
τῶν πατέρων ὑμῶν, (3) εἴτε τοῖς Θεοῖς
τῶν Ἀμοῤῥαίων, ἐν οἷς ὑμεῖς κατοι-
κεῖτε ἐπὶ τῆς γῆς αὐτῶν. ἐγὼ δὲ καὶ
ὁ οἶκός μου λατρεύσομεν Κυρίῳ, ὅτι
ιϛ. ἅγιός ἐστι. Καὶ ἀποκριθεὶς ὁ λαὸς
εἶπε, μὴ γένοιτο ἡμῖν καταλιπεῖν Κύ-
ριον, ὥστε λατρεύειν Θεοῖς ἑτέροις.
ιζ. Κύριος γὰρ ὁ Θεὸς ἡμῶν ἐστιν· αὐτὸς
ἀνήγαγεν ἡμᾶς καὶ τοὺς πατέρας ἡμῶν
ἐξ Αἰγύπτου ἐξ οἴκου δούλων, καὶ ἐποίη-
σεν ἡμῖν τὰ σημεῖα τὰ μεγάλα ταῦ-
τα, καὶ διεφύλαξεν ἡμᾶς ἐν πάσῃ
τῇ ὁδῷ ᾗ ἐπορεύθημεν ἐν αὐτῇ, καὶ ἐν
πᾶσι τοῖς ἔθνεσιν, οὓς παρήλθομεν
ιη. δι᾽ αὐτῶν. Καὶ ἐξέβαλε Κύριος τὸν
Ἀμοῤῥαῖον καὶ πάντα τὰ ἔθνη τὰ
κατοικοῦντα τὴν γῆν ἀπὸ προσώπου
ἡμῶν. ἀλλὰ καὶ ἡμεῖς λατρεύσομεν
Κυρίῳ, οὗτος γάρ ἐστιν ὁ Θεὸς ἡμῶν.
ιθ. Καὶ εἶπεν Ἰησοῦς πρὸς τὸν λαὸν, οὐ μὴ
δυνήσθε λατρεύειν Κυρίῳ, ὅτι Κύριος
ὁ Θεὸς ἅγιός ἐστι· καὶ ζηλώσας οὐκ
ἀνήσει ὑμῶν τὰ ἀνομήματα καὶ τὰ
κ. ἁμαρτήματα ὑμῶν, Ἡνίκα ἂν ἐγ-
καταλείπητε τὸν Κύριον καὶ λατρεύ-
σητε Θεοῖς ἀλλοτρίοις. καὶ ἐπελθὼν
κακώσει ὑμᾶς καὶ ἐξαναλώσει ὑμᾶς
κα. ἀνθ᾽ ὧν εὖ ἐποίησεν ὑμᾶς. Καὶ εἶπεν
ὁ λαὸς πρὸς Ἰησοῦν, οὐχὶ, ἀλλὰ τῷ
κβ. Κυρίῳ λατρεύσομεν. Καὶ εἶπεν Ἰη-
σοῦς πρὸς τὸν λαὸν, μάρτυρες ὑμεῖς
καθ᾽ ὑμῶν, ὑμεῖς ἐξελέξασθε τὸν Κύ-
κγ. ριον λατρεύειν αὐτῷ. Καὶ νῦν περιέ-
λεσθε τοὺς Θεοὺς τῶν ἀλλοφύλων τῶν
ἐν ὑμῖν, καὶ εὐθύνατε τὴν καρδίαν
ὑμῶν πρὸς Κύριον τὸν Θεὸν Ἰσραήλ.
κδ. Καὶ εἶπεν ὁ λαὸς πρὸς Ἰησοῦν, Κυρίῳ
λατρεύσομεν, καὶ τῆς φωνῆς αὐτοῦ
κε. ἀκουσόμεθα. Καὶ διέθετο Ἰησοῦς δια-
θήκην πρὸς τὸν λαὸν ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ, καὶ ἔδωκεν αὐτῷ νόμον καὶ κρί-
σιν ἐν Σηλὼ ἐνώπιον τῆς σκηνῆς Κυ-
κϛ. ρίου τοῦ Θεοῦ. Καὶ ἔγραψε τὰ ῥήμα-
τα ταῦτα εἰς βιβλίον (4) τὸν νόμον
τοῦ Θεοῦ. καὶ ἔλαβε λίθον μέγαν, καὶ
ἔστησεν αὐτὸν Ἰησοῦς ἐκεῖ ὑπὸ τὴν Τε-
ρέμινθον ἀπέναντι Κυρίου.

B ΘΕΟΔΩΡΙΤΟΥ. Προσέθηκε δὲ αὐτοῖς „ καὶ αἵρεσιν. ἐκλέξασθε γάρ φησιν ὑμῖν αὐ- „ τοῖς σήμερον τίνι λατρεύσητε, εἴτε τοῖς „ Θεοῖς τῶν πατέρων ὑμῶν τοῖς ἐν τῷ πέραν „ τοῦ ποταμοῦ, εἴτε τοῖς Θεοῖς τῶν Ἀμοῤ- „ ῥαίων, ἐν οἷς ὑμεῖς κατοικεῖτε ἐν τῇ γῇ αὐτῶν. οὕτω τοῖς ἄλλοις προσεθηκὼς τὴν αἵρεσιν, αὐτὸς τὸ τῆς οἰκείας γνώμης ἐπέ- „ δειξεν εὐσεβές. ἔφη γάρ· ἐγὼ δὲ καὶ ἡ
Γ„ οἰκία μου λατρεύσομεν Κυρίῳ, ὅτι ἅγιός ἐστιν. εἶτα τοῦ λαοῦ τῶν μὲν ψευδωνύμων ἀπαγορεύσαντος τὴν λατρείαν, ὑπισχνουμένου δὲ μόνῳ δουλεύειν τῷ σεσωκότι Θεῷ, ὑπολαβὼν ὁ θειότατος Ἰησοῦς, ἔφη πρὸς αὐ- „ τούς· οὐ μὴ δυνήσησθε λατρεύειν Κυρίῳ, ὅτι „ ὁ Θεὸς ἅγιός ἐστι· καὶ ζηλώσας ὑμᾶς, οὐκ „ οἴσει ὑμῶν τὰ ἀνομήματα, καὶ τὰ ἁμαρ- „ τήματα ὑμῶν, ἡνίκα ἂν ἐγκαταλείπητε „ Κύριον, καὶ λατρεύσητε Θεοῖς ἑτέροις. καὶ
Δ„ ἐπελθὼν κακώσει ὑμᾶς, καὶ ἐξαναλώσει „ ὑμᾶς, ἀνθ᾽ ὧν εὖ ἐποίησεν ὑμῖν. μὴ προσδοκήσητέ φησι, καὶ (5) παρανομοῦντες τῶν αὐτῶν ἀγαθῶν ἀπολαύσεσθε. οἶδε γὰρ οὐ μόνον εὐεργετεῖν, ἀλλὰ καὶ κολάζειν τοὺς παραβαίνοντας ὁ δεσπότης Θεός. ἐκείνων δὲ καὶ ταύτην δεξαμένων τὴν πρότασιν, καὶ ὑπισχνουμένων μόνῳ τῷ Κυρίῳ δουλεύειν, „ ἀναγκαίως ἐπήγαγε· μάρτυρες ὑμεῖς καθ᾽ „ ὑμῶν, ὅτι ὑμεῖς ἐξελέξασθε Κύριον λα-
E„ τρεύειν αὐτῷ. ἐδίδαξε δὲ καὶ ταῦτα ἡ ἱστορία, ὡς παραινέσας αὐτοῖς τῆς τῶν ἀλλοτρίων Θεῶν ἀπαλλαγῆναι λατρείας, καὶ τὰ περὶ τῆς εὐσεβείας νομοθετήσας, οὐκ ἄγραφα ταῦτα κατέλιπεν, ἀλλ᾽ ἀνάγραπτον αὐτῶν τὴν μνήμην ἐφύλαξε.

κζ. Καὶ εἶπεν Ἰησοῦς πρὸς τὸν λαὸν,
ἰδοὺ ὁ λίθος οὗτος ἔσται ὑμῖν μαρτυ-
ρῶν, (6) ὅτι οὗτος ἀκήκοε πάντα τὰ
Z λεχθέντα (7) παρὰ Κυρίου· ὅσα ἐλά-
λησε πρὸς ὑμᾶς σήμερον, καὶ ἔσται
οὗτος ἐν ὑμῖν εἰς μαρτύριον ἐπ᾽ ἐσχά-
των τῶν ἡμερῶν, ἡνίκα ἂν ψεύσησθε
Κυρίῳ τῷ Θεῷ ὑμῶν.

ΑΔΗΛΟΥ. Τοῦ γὰρ Θεοῦ καὶ τὰ ἄψυχα ἀκούει, καὶ μαρτυρεῖ αὐτὰ τὰ μὴ ζῶντα.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὸν λίθον „ στήσας εἴρηκεν· ἰδοὺ ὁ λίθος οὗτος ἔσται ἐν
H„ ὑμῖν μαρτύριον, ὅτι οὗτος ἀκήκοε πάντα τὰ

(1) Τοῦ ποταμοῦ. αἱ αὐτ.
(2) Λατρεύσατε. αἱ αὐτ.
(3) Τοῖς ἐν τῷ πέραν τοῦ ποταμοῦ. αἱ αὐτ.
(4) Βιβλίον νόμων. αἱ αὐτ.
(5) Ὅτι. ἡ ἐν Χάλ. ἔκδ. ὀρθότερ.
(6) Εἰς μαρτύριον. αἱ εἰρημ. ἐκδόσ.
(7) Αὐτῷ ὑπό. αἱ αὐτ.

» τὰ λεχθέντα παρὰ Κυρίου, ἃ ἐλάλησε A
» πρὸς ὑμᾶς σήμερον; Ἄψυχος μὲν ὁ λίθος· εἰς ἔλεγχον δὲ τῶν ἐμψύχων καὶ λογικῶν, διὰ τῶν ἀψύχων μαρτύρεται· ἐχρήσατο δὲ καὶ τῷ ἔθει τῷ παλαιῷ. καὶ γὰρ καὶ ὁ Ἰακὼβ καὶ ὁ Λάβαν ποιησάμενοι τὰς συνθήκας, τὸν βουνὸν ἐκάλεσαν μάρτυρα τῶν συνθηκῶν.

** ΒΑΣΙΛΕΙΟΥ. Ἰησοῦς ὁ τοῦ Ναυῆ λίθον μάρτυρα τῶν λόγων ἔστησεν· ἤδη δέ- B
Γεν. 31. 4. » που καὶ βουνὸς μάρτυς παρὰ τοῦ Ἰακὼβ ὠνο-
» μάσθη· ἔσται γάρ φησιν ὁ λίθος ἐν ὑμῖν σή-
» μερον εἰς μαρτύριον ἐπ᾽ ἐσχάτων τῶν ἡμε-
» ρῶν, ἡνίκα ἂν ψεύσησθε Κυρίῳ τῷ Θεῷ ἡμῶν· τάχα μὲν που πιστεύων τῇ δυνάμει τοῦ Θεοῦ καὶ τοὺς λίθους φωνὴν ἀφήσειν εἰς ἔλεγχον τῶν παραβεβηκότων· εἰ δὲ μή, ἀλλὰ τό γε ἑκάστου συνειδὸς τῇ ἐνεργείᾳ τῆς ὑπομνήσεως πάντως κατατρωθήσεσθαι. οὕτω μὲν οὖν τοὺς μάρτυρας, οἵτινές ποτ᾽ ἂν ὦσιν, ὥστε εἰς ὕστερον αὐτοὺς παραστήσασθαι οἱ τὴν οἰκονομίαν τῶν ψυχῶν πεπιστευμένοι προετοιμάζονται. Γ

κη. Καὶ ἐξαπέστειλεν Ἰησοῦς τὸν λαόν, καὶ ἐπορεύθησαν ἕκαστος εἰς τὸν τόπον αὐτοῦ.

λα. (1) Καὶ ἐλάτρευσεν Ἰσραὴλ τῷ Κυρίῳ πάσας τὰς ἡμέρας Ἰησοῦ, καὶ πάσας τὰς ἡμέρας τῶν πρεσβυτέρων ὅσοι ἐφείλκυσαν τὸν χρόνον μετὰ Ἰησοῦν, καὶ ὅσοι εἴδοσαν πάντα τὰ ἔργα Κυρίου ὅσα ἐποίησε τῷ Ἰσραήλ. Δ

ΘΕΟΔΩΡΙΤΟΥ. Ὅσον μέντοι ὀνίνησιν ἄρχων εὐσεβὴς καὶ φιλόθεος, ἡ ἱστορία δι-
» δάσκει. ἐλάτρευσε γάρ φησιν Ἰσραὴλ τῷ
» Κυρίῳ πάσας τὰς ἡμέρας [Ἰησοῦ καὶ πά-
» σας τὰς ἡμέρας] τῶν πρεσβυτέρων ὅσοι
» ἐφείλκυσαν τὸν χρόνον μετὰ Ἰησοῦν, καὶ E
» ὅσοι εἶδον πάντα τὰ ἔργα Κυρίου ὅσα ἐποίη-
» σε μετὰ τοῦ Ἰσραήλ. μετὰ δὲ τὴν τούτων τελευτὴν ἀπέκλιναν εἰς ἀσέβειαν· τοῦτο γὰρ καὶ τῆς ἱστορίας τὸ τέλος ἐδίδαξεν· ἀλλ᾽ ἔδοσαν δίκας τῆς ἀσεβείας. τῆς γὰρ θείας γυμνωθέντες κηδεμονίας, ὑπεβλήθησαν τῷ τῆς δουλείας ζυγῷ, καὶ δεσπότην ἔσχον τὸν τῶν Μωαβιτῶν βασιλέα. ἀλλ᾽ ὁ φιλάνθρωπος Κύριος τῆς πρὸς τοὺς πατέρας μεμνημένος ἐπαγγελίας, ὀκτωκαιδεκαετεῖ χρόνῳ περιώρισε τὴν δουλείαν. Z

κθ. Καὶ ἐγένετο μετ᾽ ἐκεῖνα καὶ ἀπέθανεν Ἰησοῦς υἱὸς Ναυῆ δοῦλος Κυρίου ἑκατὸν δέκα ἐτῶν.

λ. Καὶ ἔθαψαν αὐτὸν πρὸς τοῖς ὁρίοις τοῦ κλήρου αὐτοῦ ἐν Θαμνασαχὰρ ἐν τῷ ὄρει Ἐφραὶμ ἀπὸ βοῤῥᾶ τοῦ ὄρους Γαλαάδ. καὶ ἐκεῖ ἔθηκαν μετ᾽ αὐτοῦ εἰς τὸ μνημεῖον ἐν ᾧ ἔθαψαν αὐτὸν ἐκεῖ τὰς μαχαίρας τὰς πετρίνας, ἐν αἷς περιέτεμε τοὺς υἱοὺς Ἰσραὴλ ἐν Γαλγάλοις, ὅτε ἐξήγαγεν αὐτοὺς ἐξ Αἰγύπτου, καθὰ συνέταξε Κύριος· καὶ εἰσὶν ἐκεῖ ἕως τῆς σήμερον ἡμέρας.

** ΚΥΡΙΛΛΟΥ. Ἐθάπτετο μὲν γὰρ τεθνεὼς ὁ μακάριος Ἰησοῦς, παρεπήγνυτο δὲ χρησίμως αἱ μάχαιραι τῷ μνημείῳ πρὸς τὸν τῆς περιτομῆς ὑπουργήσασαι τύπον· ἵνα πάλιν ἡμᾶς διὰ τούτου συνῶμεν, ὅτι τῷ θανάτῳ τοῦ σωτῆρος ἡμῶν Χριστοῦ τῆς ἐν πνεύματι περιτομῆς παραπέπηγεν ἡ χάρις ἡ πάντων ἡμῖν τῶν οὐρανίων ἀγαθῶν προμνήστρια.

λβ. Καὶ τὰ ὀστᾶ Ἰωσὴφ ἀνήγαγον οἱ υἱοὶ Ἰσραὴλ ἐξ Αἰγύπτου, καὶ κατώρυξαν αὐτὰ ἐν Σικίμοις, ἐν τῇ μερίδι τοῦ ἀγροῦ οὗ ἐκτήσατο Ἰακὼβ παρὰ τῶν Ἀμοῤῥαίων τῶν κατοικούντων ἐν Σικίμοις ἀμνάδων ἑκατόν, καὶ
λγ. ἔδωκεν αὐτὴν Ἰωσὴφ ἐν μερίδι. Καὶ ἐγένετο μετὰ ταῦτα καὶ Ἐλεάζαρ υἱὸς Ἀαρὼν ἐτελεύτησε, καὶ ἐτάφη ἐν Γαβαὰθ ἣ ἦν Φινεὲς τοῦ υἱοῦ αὐτοῦ, ἣν ἔδωκεν αὐτῷ ἐν τῷ ὄρει Ἐφραίμ. ἐν ἐκείνῃ τῇ ἡμέρᾳ λαβόντες οἱ υἱοὶ Ἰσραὴλ τὴν κιβωτὸν τῆς διαθήκης τοῦ Θεοῦ, περιέφερον ἐν τῷ Ἰσραήλ. καὶ Φινεὲς ἱεράτευσεν ἀντὶ Ἐλεάζαρ τοῦ πατρὸς αὐτοῦ ἕως ἀπέθανε, καὶ κατωρύγη ἐν Γαβαὰθ τῇ αὐτοῦ. (2) οἱ δὲ υἱοὶ Ἰσραὴλ ἀπήλθοσαν ἕκαστος εἰς τὸν ἑαυτοῦ τόπον, καὶ εἰς τὴν ἑαυτῶν πόλιν. καὶ ἐσέβοντο οἱ υἱοὶ Ἰσραὴλ τὴν Ἀστάρτην, καὶ τὴν Ἀσταρὼθ, καὶ τοὺς θεοὺς τῶν ἐθνῶν τῶν κύκλῳ αὐτῶν. καὶ παρέδωκεν αὐτοὺς Κύριος εἰς χεῖρας Ἐγλὼμ τῷ βασιλεῖ Μωὰβ, καὶ κατεκυρίευσεν αὐτῶν ἔτη δεκαοκτώ.

ΙΣ ΧΣ
ΝΙ ΚΑ

ΒΙΒΛΟΣ

(1) Τὸ ἑξῆς κθ΄. ἐδ. καὶ μέρος τοῦ λ΄. τὸ περὶ τοῦ θανάτου τοῦ Ἰησοῦ διαλαμβάνον, προτίθησι τούτου ἥ τε ἐν Φρανγοφουρτ. καὶ ἡ ἐν Κομπλουτ. ἔκδ. (2) Ἑαυτοῦ. αἱ αὐτ.



ΒΙΒΛΟΣ ΚΡΙΤΩΝ
ΤΟΥ ΙΣΡΑΗΛ.

** ΑΘΑΝΑΣΙΟΥ. Καλεῖται τὸ βιβλίον Κριταὶ, ἐπειδὴ μετὰ τὸν θάνατον Ἰησοῦ υἱοῦ τοῦ Ναυῆ, διὰ τῶν Κριτῶν ἔσωζεν ὁ Θεὸς τὸν λαὸν θλιβόμενον ὑπὸ τῶν ἀλλοφύλων, τῶν περιλειφθέντων Χαναναίων. καὶ τούτων τῶν Κριτῶν ἑκάστου καὶ τὰς πράξεις καὶ τὸν χρόνον τῆς ζωῆς ἡ βίβλος αὕτη περιέχει.

ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ Κριταὶ τὸ βιβλίον ὠνόμασαι; Ὥσπερ τῶν Βασιλειῶν ἡ βίβλος πολλὰ μὲν ἔχει καὶ διάφορα διηγήματα, ὠνομάσθη δὲ Βασιλεῖαι, ἐπειδὴ τὰ τῷ λαῷ συμβεβηκότα κατὰ τὸν τῶν βασιλέων καιρὸν ἱστορεῖ· οὕτω καὶ τὸ προκείμενον βιβλίον προσηγορεύθη Κριτῶν, ἐπειδὴ τὰ κατὰ τὸν τῆς δημαγωγίας καιρὸν γεγενημένα διδάσκει. τὴν μέντοι τῆσδε τῆς ἱστορίας ἀρχὴν ἀνακεφαλαίωσιν οἶμαι εἶναι τῶν ὑπὸ τοῦ Ἰησοῦ τοῦ Ναυῆ κατωρθωμένων. μέμνηται γὰρ καὶ τοῦ Ἀδωνιβεζὲκ, καὶ τοῦ κατ' αὐτὸν πολέμου, καὶ τῆς ἥττης αὐτοῦ, καὶ τῆς ἀναιρέσεως. μέμνηται δὲ καὶ τῆς Χεβρὼν, ὡς ἀπονεμηθείσης τῷ Χάλεβ, καὶ τῆς τῶν τριῶν γιγάντων ἀναιρέσεως, τοῦ Ἐσὶ, καὶ τοῦ Ἀχιμὰν, καὶ τοῦ Θολομί· οὓς τοῦ Ἐνὰκ ἀπογόνους ὠνόμασεν. εἰκὸς δὲ τότε μὲν προῤῥηθῆναι τὴν τούτων ἀναίρεσιν, ὕστερον δὲ λαβεῖν τὴν πρόῤῥησιν τέλος.

ΑΔΗΛΟΥ. Κριταὶ κέκληνται ἐξ αὐτοῦ τοῦ πράγματος· ἐπειδὴ ἔργον κριτοῦ ἐστὶ τὸ τοὺς ἀδικουμένους ῥύεσθαι οὐ μόνον τῶν πολεμίων, ἀλλὰ καὶ τῆς τῶν οἰκείων βλάβης ἐλευθεροῦν.

** ΠΡΟΚΟΠΙΟΥ. Τοῖς ἀγνοοῦσι τοῦ παρόντος βιβλίου τὴν δύναμιν, καὶ ὅτι πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμος, ἀνόνητον εἶναι δοκεῖ, πολέμους καὶ μάχας ὡς τὰ πολλὰ διηγούμενον. οὐ γὰρ σκοποῦσιν, ὡς τυπικῶς μὲν ἐκείνοις συνέβη, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν, καὶ κατ' αὐτὸ τὸ ῥητὸν ὠφελῆσαι λίαν δυνάμενον· ὅταν ὁρῶμεν ὅσον δύναται Θεοῦ λατρεία, καὶ πάλιν ἀπόστασις. καὶ ὡς ἡ μὲν, καθαιρεῖ τοὺς ἐχθροὺς, κἂν ἀπέλθωσιν· ἡ δὲ, τούτοις ὑποχειρίους ἐργάζεται. τοιγαροῦν ὁ θεῖος Παῦλος ἐκ τούτων πλεῖστα
» λαμβάνει τὰ παραδείγματα, γράφων· ἐπιλείψει γάρ με διηγούμενον ὁ χρόνος περὶ Ἑβρ. 11. 32,
» Γεδεὼν, Βαράκ τε καὶ Σαμψὼν, καὶ Ἰεφθάε· οἳ διὰ πίστεως κατηγωνίσαντο βασιλείας, 33.
καὶ τὰ ἑξῆς.

ΑΔΗΛΟΥ. Μηδεὶς τὴν τῶν Κριτῶν βίβλον ὡς ἀσυντελῆ καὶ ἀνόνητον παρατρεχέτω. οὐδὲ γὰρ ἁπλῶς πολέμων ἡμῖν ἱστορίας καὶ παλαιῶν ἀνδρῶν διηγήματα συγγράφειν προείρηται· ἀλλὰ διὰ τούτων ἐπιστρέψαι ἡμᾶς βούλεται πρὸς θεογνωσίαν, καὶ τὴν πρόνοιαν τοῦ πάντα σοφῶς τὰ ἡμέτερα πρυτανεύοντος ἐκδιδάσκει. εἰ γὰρ ὅτε μὲν τὸν Κύριον καὶ Θεὸν κατελίμπανον, ταῖς τῶν ἐχθρῶν χερσὶ παρεδίδοντο· ὅτε (1) διὰ τῶν θλίψεων καὶ τῶν ἐπαγομένων αὐτοῖς κακῶν, ἐπεγίνωσκον τὸν ἑαυτῶν Σωτῆρα, καὶ πρὸς τὸ καλῶς ἔχον ἰθύνοντο, πῶς οὐ πάσης ὠφελείας καὶ νουθεσίας Κυρίου πεπλήρωται; πρὸς τὸν τοῦ Θεοῦ φόβον ἐνάγει τοὺς ἐντυγχάνοντας. καὶ ὁ θεσπέσιος δὲ Παῦλος Ἑβραίοις ἐπιστέλλων, καὶ
» ἐξ αὐτῆς πειρᾶται τὴν νουθεσίαν ποιεῖσθαι, γράφων· ἐπιλείψει γάρ με διηγούμενον ὁ χρο- Ἑβρ. 11. 32,
» νος περὶ Γεδεὼν, Βαράκ τε καὶ Σαμψὼν, καὶ Ἰεφθάε· οἳ διὰ πίστεως κατηγωνίσαντο 33.
βασιλείας, καὶ τὰ ἑξῆς. πρόσχωμεν τοίνυν τῇ ἀναγνώσει. ταῦτα γὰρ τυπικῶς μὲν ἐκείνοις συνέβη, ἐγράφη δὲ πρὸς νουθεσίαν ἡμῶν.



(1) Πρόσθες τὸ, δέ.

ΚΕΦ. Α.



α. Καὶ ἐγένετο μετὰ τὴν
τελευτὴν Ἰησοῦ, καὶ
ἐπηρώτησαν οἱ υἱοὶ
Ἰσραὴλ διὰ τοῦ Κυ-
ρίου, λέγοντες, τίς
ἀναβήσεται ἡμῖν πρὸς τὸν Χαναναῖον
ἀφηγούμενος τοῦ πολεμῆσαι ἐν αὐτῷ;

ΑΝΕΠΙΓΡΑΦΟΥ. Τελευτήσαντος τοίνυν Ἰησοῦ, καὶ τῶν υἱῶν Ἰσραὴλ ἔναυλον ἐχόντων ἔτι τῶν θαυμάτων τὴν μνήμην, καὶ τῆς εὐεργεσίας τὸ μέγεθος, καὶ τοῦ προηγησαμένου στρατηγοῦ τὴν διδασκαλίαν, ἐπυνθάνοντο τοῦ τῶν ὅλων Θεοῦ, τίς μετ' ἐκεῖνον ἡγήσηται τοῦ λαοῦ, καὶ πρὸς τοὺς Ἀμοῤῥαίους ἐχθροὺς παρατάξηται. καὶ τὸ ἐγχείρημα θεοφιλές τε καὶ ὅσιον. οὐδὲ γὰρ τῇ ἀρχῇ ἐπεπήδων τινὲς φιλαρχίαν νοσοῦντες· ἀνέμενον δὲ γνῶναι τὴν ἄνωθεν ψῆφον, τὴν τῶν προηγησαμένων χειροτονίαν θεόθεν γεγενῆσθαι μαθόντες, καὶ διὰ τῆς συναγωγῆς Κορὲ Δαθάν τε καὶ Ἀβειρὼν μὴ τοιούτοις ἐγχειρεῖν παιδευθέντες.
» καλῶς δὲ τὸ, ἐν Κυρίῳ, προσέθηκεν. οὔπω γὰρ ἦσαν τῇ τῶν ματαίων προσδραμόντες λατρείᾳ μετὰ τὴν Ἰησοῦ τελευτήν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἠρώτων δέ φησιν ἐν Κυρίῳ, πάντως ἀποδραμόντες εἰς τὴν κιβωτὸν εἰς Σηλώμ, ἀλλ' οὐ μαντείαις ἀκολουθοῦντες ἑλληνικαῖς. θέλουσι δὲ νῦν ἐπὶ τῶν Χαναναίων στρατεύσασθαι. οὐδὲ γὰρ πᾶσαν τὴν ἐπηγγελμένην ἔλαβον γῆν. ὑπελείποντο δὲ τῶν ἀλλοφύλων τινὲς καὶ μέσοι καὶ πέριξ· ἵνα τῷ τούτων φόβῳ πρὸς Θεὸν ἐπιστρέφωνται. καθὰ γὰρ Πέτρος φησὶ,
» κάμνουσα γὰρ ψυχὴ ἐγγίζει Θεῷ. (1) καὶ
Ἡσ. 26. 16. Ἡσαΐας, ἐν θλίψει μικρᾷ ἡ παιδεία σου ἡμῖν. καὶ παρανομοῦντες δὲ, οὐκ ἄξιοι τῆς πάσης ἐγένοντο γῆς. ἔδει δέπου τάχα καὶ συνεστάλθαι τοὺς ὅρους. τρεῖς γὰρ τοῦ ἐνιαυτοῦ προσέταττεν ὁ νόμος ἐνώπιον ὀφθῆναι Θεοῦ εἰς ἕνα συνιόντας τόπον, ἐν ᾧ τὰς ἀπαρχὰς καὶ τὰς θυσίας ἐπλήρουν. πόῤῥω τοίνυν οἰκεῖν οὐκ ἠδύναντο.

β. Καὶ εἶπε Κύριος, Ἰούδας ἀνα-
βήσεται· ἰδοὺ δέδωκα τὴν γῆν ἐν χειρὶ
γ. αὐτοῦ. Καὶ εἶπεν Ἰούδας τῷ Συμεὼν
ἀδελφῷ αὐτοῦ, ἀνάβηθι μετ' ἐμοῦ ἐν
τῷ κλήρῳ μου, καὶ παραταξόμεθα (2)
πρὸς τὸν Χαναναῖον, καὶ πορεύσομαι
κἀγὼ μετὰ σοῦ ἐν τῷ κλήρῳ σου. καὶ
ἐπορεύθη μετ' αὐτοῦ Συμεών.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ εἶπε Κύριος,
» Ἰούδας ἀναβήσεται. Δύω γὰρ ἐπίστευσαν ταῖς ὑποσχέσεσι, καὶ τῶν ἐξ Αἰγύπτου πάντων ἀπολωλότων ἐσώθησαν. καὶ ὁ μὲν τετίμηται στρατηγίδι τιμῇ· τοῦ δὲ Χάλεβ ἡ φυλὴ δι' αὐτὸν ὀφειλομένης τυγχάνει τιμῆς. εὐδοκιμεῖ δὲ καὶ ἄλλως ἐν ἅπασιν ἡ τοῦ Ἰούδα φυλὴ, ὃς τύπος ἦν τοῦ Χριστοῦ· πρὸς ὃν εἴρηται τὸ κατὰ σάρκα παρὰ τοῦ
» πατρός· αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι Ψαλ.
» ἔθνη τὴν κληρονομίαν σου καὶ τὴν κατάσχε-
Β » σίν σου τὰ πέρατα τῆς γῆς. ὅθεν καὶ ὡς ὑπήκοος γενόμενος τῷ πατρὶ, τὸν Συμεὼν παρέλαβεν, (ὅπερ ὑπακουσμὸς ἑρμηνεύεται) καὶ τῆς πεπατημένης πόλεως, (Ἰεβοῦς γὰρ τοῦτο δηλοῖ) καὶ τῶν ἐν αὐτῇ σαλευομένων (οὕτω γὰρ ἑρμηνεύονται Χαναναῖοι) κρατήσας, καὶ πάντα σάλον καὶ ταπείνωσιν ἐκβαλὼν διαβολικὴν, εἰρήνης ὅρασιν ἡμᾶς ἀπειργάσατο.

Γ δ. Καὶ ἀνέβη Ἰούδας. καὶ παρέ-
δωκε Κύριος τὸν Χαναναῖον καὶ τὸν
Φερεζαῖον εἰς τὰς χεῖρας αὐτῶν· καὶ
ἔκοψαν αὐτοὺς ἐν Βεζὲκ εἰς δέκα χι-
ε. λιάδας ἀνδρῶν. Καὶ κατελάβοσαν
τὸν Ἀδωνιβεζὲκ ἐν τῇ Βεζὲκ, καὶ πα-
ρετάξαντο πρὸς αὐτόν· καὶ ἔκοψαν
ς. τὸν Χαναναῖον καὶ τὸν Φερεζαῖον. Καὶ
ἔφυγεν Ἀδωνιβεζέκ. καὶ κατέδραμον
Δ ὀπίσω αὐτοῦ, καὶ ἐλάβοσαν αὐτὸν,
καὶ ἀπέκοψαν τὰ ἄκρα τῶν χειρῶν
αὐτοῦ καὶ τὰ ἄκρα τῶν ποδῶν αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Χαναναῖοι δ', ἀκμαζόντων αὐτοῖς κατ' ἐκεῖνον τὸν καιρὸν τῶν πραγμάτων, στρατῷ μεγάλῳ κατὰ Βεζέκην αὐτοὺς ὑπέμενον, τῷ βασιλεῖ τῶν Βεζεκηνῶν Ἀδωνιβεζέκῳ τὴν ἡγεμονίαν ἐπιτρέψαντες· τὸ δὲ ὄνομα τοῦτο σημαίνει, Βε-
Ε ζεκηνῶν κύριος. Ἀδωνὶ γὰρ τῇ Ἑβραίων γλώττῃ, κύριος λέγεται.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπάταξε δὲ Κύριος ἐν χειρὶ αὐτοῦ καὶ τὸν Φερεζαῖον ἐν Ζεβέκ. δηλοῖ δὲ ὁ μὲν Φερεζαῖος, διασκεδασμόν· ὅτι οὐ μόνον διὰ τὸν Ἰσραὴλ ὁ νοητὸς Ἰούδας ἦλθε Χριστὸς, ἀλλὰ καὶ διὰ τὰ διεσκορπισμένα τέκνα τοῦ Θεοῦ· οὓς καὶ ἐπάταξεν ἐν Ζεβέκ. πόλις δὲ αὕτη τοῦ Ἀδωνιζεβὲκ, ὃς ἑρμηνεύεται κύριος τοῦ Ζεβέκ.
Ζ ὃ δηλοῖ φαυλισμὸν κενόν. τίς δὲ ὁ τοῦ
» κύριος ἢ ὁ Διάβολος ὁ ἀντικείμενος καὶ 2. Θεσ
» ὑπεραιρόμενος ὑπὲρ πάντα Θεὸν ἢ σέβασ-
» μα, καὶ λέγων· τὰ πάντα καταλήψομαι Ἡσ.
» τῇ χειρί μου ὡς νοσσιὰν, καὶ ὡς καταλελειμ-
» μένα ὠὰ ἀρῶ. ὃν ὁ Χριστὸς ἐξενεύρισε, πᾶσαν ὁδὸν αὐτοῦ καὶ πρᾶξιν περιελὼν, ἄκρα χειρῶν αὐτοῦ καὶ ποδῶν ἀποκόψας· καὶ τὸ ἀνταπόδωμα αὐτοῦ ἀνταπεδόθη αὐτῷ.

Η ζ. Καὶ εἶπεν Ἀδωνιβεζὲκ, ἑβδο-
μήκοντα βασιλεῖς τὰ ἄκρα τῶν χει-
ρῶν

(1) Οὐδὲ ἐν τοῖς τοῦ Πέτρου, οὐδ' ἀλλαχόθι που ἐν τῇ θείᾳ Γραφῇ εὕρηται.
(2) Παραταξώμεθα πρὸς τοὺς Χαναναίους. αἱ εἰρημ. ἐκδόσ.

ρῶν αὐτῶν καὶ τὰ ἄκρα τῶν ποδῶν Α
αὐτῶν ἀποκεκομμένοι, ἦσαν συλλέ-
γοντες τὰ ὑποκάτω τῆς τραπέζης
μου· καθὼς οὖν ἐποίησα, οὕτως ἀντα-
πέδωκέ μοι ὁ Θεός. ϗ ἤγαγον αὐτὸν
εἰς Ἱερουσαλὴμ, καὶ ἀπέθανεν ἐκεῖ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἄνδρας, φησὶν,
ἀρεταῖς διαπρέψαντας, οὓς ὕστερον ἐζώγρη-
σεν ὁ Διάβολος τὰς κατὰ Θεὸν ὁδοὺς καὶ
Β πράξεις περιτεμὼν, καὶ ψευδῆ γνῶσιν αὐ-
τοῖς ἐμβαλὼν, ἐκ τῆς ἰδίας τροφῆς τὰ εὐ-
τελῆ παραχὼν περιοσσεύματα. οὓς καὶ ὁ
φησὶν, ὡς κακῶς ἀπὸ τῶν πράξεων τῶν
ἀγαθῶν σαββατίσαντας, ὡς πρὸς αὐτοὺς
Ἡσ. α. 13, 14. λέγεσθαι τὴν Ἡσαΐου φωνὴν ἐκ Θεοῦ· τὰ
» σάββατα ὑμῶν μισεῖ ἡ ψυχή μου. καὶ αὐ-
τὸς δὲ λοιπὸν Ἀδωνιζεβὲκ ἀκρωτηριασθεὶς,
ἐν Ἱερουσαλὴμ ἀποθνήσκει. ὡς γὰρ ζῇ Χρι-
στὸς ἐν Παύλῳ καὶ τοῖς κατ' αὐτὸν, οὕτω
Γ θνήσκειν ἐν αὐτοῖς ὁ Διάβολος λέγεται. οἳ
1. Κορ. 15. 57. καί φασι, χάρις δὲ τῷ Θεῷ τῷ διδόντι τὸ
» νῖκος ἡμῖν διὰ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ.

η. Καὶ ἐπολέμουν οἱ υἱοὶ Ἰούδα τὴν
Ἱερουσαλὴμ, ϗ κατέλαβον αὐτὴν, ϗ
ἐπάταξαν αὐτὴν ἐν στόματι μαχαί-
ρας, ϗ τὴν πόλιν ἐνέπρησαν ἐν πυρί.

ΑΔΗΛΟΥ. Ὅτι ἐνδέχεται τὴν Ἱερου-
σαλὴμ δύω προσηγορίας ἔχειν. Ἰεβοῦς μὲν,
Δ ἀπὸ τοῦ ἔθνους· Ἱερουσαλὴμ δὲ, ἀπὸ τῆς
κυρίας καὶ ἰδίας προσηγορίας.

** ΙΩΣΗΠΟΥ. Διεξίεσαν αἱροῦντες
τὰς πόλεις· πλείστας τε λαβόντες, ἐπο-
λιόρκουν Ἱεροσόλυμα. καὶ τὴν μὲν κάτω
λαβόντες σὺν χρόνῳ, πάντας ἔκτειναν τοὺς
ἐνοικοῦντας· χαλεπὴ δ' ἦν ἡ καθ' ὕπερθεν
αὐτοῖς αἱρεθῆναι τειχῶν ὀχυρότητι ϗ φύ-
σει τοῦ χωρίου.

Ε ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ κατ' ἐκεῖνον τὸν
καιρὸν ἀνάστατος Ἱερουσαλὴμ ἐγεγόνει, πῶς
ὕστερον αὐτὴν βασιλεύων ὁ Δαβὶδ εἷλε πο-
λιορκήσας; Πολλὰς ἔσχε μεταβολὰς ὁ
λαὸς, ὡς ἡ τῶν Κριτῶν ἱστορία διδάσκει.
ποτὲ μὲν γὰρ ἐνίκων, ποτὲ δὲ ἡττῶντο·
καὶ ποτὲ μὲν ἦρχον τῶν ἀλλοφύλων, ποτὲ
δὲ ἐδούλευον. δῆλον τοίνυν, ὡς ἐμπρησθεῖ-
σαν τὴν Ἱερουσαλὴμ, πάλιν ἀνῳκοδόμησαν
οἱ Ἰεβουσαῖοι, τῆς τοῦ λαοῦ δυσκληρίας ἐπι-
λαβόμενοι. ϗ ταύτην δὲ ὕστερον οἶμαι συγ-
γραφῆναι τὴν βίβλον, τεκμηρίῳ χρώμε-
νος τῷ τήνδε τὴν πόλιν Ἱερουσαλὴμ ὀνομά-
ζειν τὴν ἱστορίαν. ὕστερον γὰρ ταύτην ἔσχε
τὴν προσηγορίαν, Ἰεβοῦς ὠνομασμένη.

θ. Καὶ μετὰ ταῦτα κατέβησαν
οἱ υἱοὶ Ἰούδα τοῦ πολεμῆσαι πρὸς τὸν
Χαναναῖον τὸν κατοικοῦντα τὴν ὀρει-
νὴν καὶ τὸν νότον καὶ τὴν πεδινὴν καὶ
Η πρὸς ἀπηλιώτην.

Α ι. Καὶ ἐπορεύθη Ἰούδας πρὸς τὸν
Χαναναῖον τὸν κατοικοῦντα ἐν Χεβ-
ρών. ϗ ἐξῆλθε Χεβρὼν ἐξ ἐναντίας·
καὶ τὸ ὄνομα ἦν Χεβρὼν τὸ πρότερον
Καριαθαρβὸκ ἐξ Ἐφραίμ· (1) καὶ
ἐπάταξε τὸν Σεοσὶ ϗ τὸν Ἀχιναὰν (2)
καὶ Θαλμὶ γεννήματα τοῦ Ἐνάκ.

ΘΕΟΔΟΥΛΟΥ. Ὃ εἶπεν Ἰησοῦς περὶ
τοῦ Χάλεβ, ὅτι τοὺς τρεῖς υἱοὺς τοῦ Ἐνὰκ
Β ἐπάταξε, τοῦτο νῦν ὡς πάσης τῆς φυλῆς
τοῦ Ἰούδα κατορθωσάσης διηγεῖται. τίθησι
δὲ καὶ τὰς προσηγορίας τῶν ἀναιρεθέν-
των, διὰ τὸ συνημμένην τήνδε τὴν ἱστο-
ρίαν τῷ συγγράμματι τοῦ Ἰησοῦ ἀποδεῖξαι.
ἐπανάληψιν δὲ ποιεῖται, ἐπεξηγουμένη τὰ
ὄπισθεν.

** ΙΩΣΗΠΟΥ. Μετεστρατοπέδευσαν
εἰς Χεβρῶνα· ϗ ταύτην ἑλόντες, κτείνουσι
πάντας. ὑπελείπετο δὲ τὸ τῶν γιγάντων
Γ ἔτι γένος, οἳ διὰ σωμάτων μεγέθη ϗ μορ-
φὰς οὐδὲν τοῖς ἄλλοις ἀνθρώποις παρα-
πλησίας, παράδοξον ἦσαν θέαμα, ϗ δει-
νὸν ἄκουσμα. δείκνυται δὲ ἔτι καὶ νῦν τού-
των ὀστᾶ, μηδὲν τοῖς ὑπὸ πίστιν ἐρχομέ-
νοις ἐοικότα.

ια. Καὶ ἀνέβησαν ἐκεῖθεν πρὸς
τοὺς κατοικοῦντας Δαβείρ· τὸ δὲ ὄνο-
μα τῆς Δαβεὶρ ἦν ἔμπροσθεν Κα-
Δ ριασοφὰρ, (3) πόλις Γραμμάτων.

ΘΕΟΔΟΥΛΟΥ. Πόλιν δὲ Γραμμάτων
λέγει τὴν Δαβεὶρ τὸ πρῶην ὀνομάζεσθαι,
οὐχ ὡς γράμματα ἐπισταμένων τῶν ἐκεῖσε
κατοικούντων, ἀλλ' ὡς ψῆφόν τινα καλὰ μέ-
θοδον, ἤτοι ἐπίνοιαν ἀνθρωπίνην ἐπισταμέ-
νων, ϗ πρὸς αὐτὴν ἐπιτηδείως ἐχόντων.

ιβ. Καὶ εἶπε Χάλεβ, ὃς ἂν πα-
τάξῃ τὴν πόλιν τῶν Γραμμάτων ϗ
Ε προκαταλάβηται αὐτὴν, καὶ δώσω
αὐτῷ τὴν Ἀχσὰ θυγατέρα μου εἰς γυ-
ιγ. ναῖκα. Καὶ προκατελάβετο αὐτὴν
Γοθονιὴλ υἱὸς Κενὲζ ἀδελφοῦ Χάλεβ
ὁ νεώτερος. καὶ ἔδωκεν αὐτῷ Χάλεβ
τὴν (4) θυγατέρα αὐτοῦ εἰς γυναῖκα.

ιδ. Καὶ ἐγένετο ἐν τῇ εἰσόδῳ αὐ-
τῆς, καὶ ἐπέσεισεν αὐτὴν Γοθονιὴλ
Ζ τοῦ αἰτῆσαι παρὰ τοῦ πατρὸς αὐτῆς
ἀγρόν. καὶ ἐγόγγυζε, καὶ ἔκραζεν
ἀπὸ τοῦ ὑποζυγίου, εἰς γῆν νότου ἐκ-
δέδοσαί με· καὶ εἶπεν αὐτῇ Χάλεβ,
τί ἐστί σοι;

ΑΔΗΛΟΥ. Τὸ μὲν, ἐπεστείλατο, ἀντὶ
τοῦ, ἠδέσθη, (5) εἴρηται· τὸ δὲ ἐπέσεισεν,
ἀντὶ τοῦ, προετρέψατο.

ιε. Καὶ εἶπεν αὐτῷ Ἀχσὰ, δὸς δή-
Η μοι εὐλογίαν, ὅτι εἰς γῆν νότου ἐκδέ-
δοσαί-

(1) Καριαθαρβοκσεφέρ. αἱ αὐτ.
(2) Ἀχιμάν. καὶ Θολμί. αἱ αὐτ.
(3) Καριαθσεφέρ. αἱ αὐτ.
(4) Τὴν Ἀχσά. αἱ αὐτ.
(5) Τὸ ἐπεστείλατο ἐν ταῖς εἰρημ. ἐκδόσ. οὐ κεῖται.

δοσαί με, καὶ δώσεις μοι λύτρωσιν ὕδατος. καὶ ἔδωκεν αὐτῇ Χάλεβ κατὰ τὴν καρδίαν αὐτῆς λύτρωσιν μετεώρων καὶ λύτρωσιν ταπεινῶν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, δός μοι λύτρωσιν ὕδατος, καὶ λύτρωσιν μετεώρων, καὶ λύτρωσιν ταπεινῶν; Οἱ περὶ τὸν Σύμμαχον ἀρδείαν ὕδατος· καὶ ἀντὶ τοῦ, ταπεινῶν, πεδινῶν ἡρμήνευσαν. ὑπεβλήθη [δὲ] παρὰ τοῦ Γοθονιὴλ τοῦ ἀνδρὸς αὐτῆς ἡ Ἀσχὰν αἰτῆσαι ἀγρόν. ᾔτησε τοίνυν ἀρδείαν ὕδατος· καὶ ἔλαβεν ὥσπερ ᾔτησεν οὐ μόνον πεδιάδα γῆν, ἀλλὰ καὶ ὄρειον. τὸ μὲν γὰρ, κατὰ τὴν καρδίαν αὐτῆς, τὸ καταθύμιον σημαίνει. μετέωρα δὲ τὰ ὄρη (1) κέκληκε, ταπεινὰ δὲ τὰ ὕπτια.

ΑΔΗΛΟΥ. Καθὸ ἠλευθεροῦτο τῆς παρεχομένης αὐτῇ ἐν Χεβρὼν μερίδος. καὶ τῆς ἀφθονίας τῶν ἐν αὐτῇ ὑδάτων τῆς ἐν τῇ ἐρήμῳ τῶν ὑδάτων (2) ἐνδείας, καὶ παραμυθίαν μεγίστην ἐπὶ τούτῳ ἐδέχετο, λύτρωσιν ὕδατος εἶπεν. ἀπὸ γὰρ τοῦ ἐσομένου πράγματος τὴν παρεχομένην αὐτῇ μερίδα τῆς γῆς ἐπωνόμασεν.

ΑΔΗΛΟΥ. Ἵνα εἴπῃ κατὰ τὴν ἐπιθυμίαν αὐτῆς, ὀρεινὴν καὶ πεδινὴν γῆν ἐχαρίσατο αὐτῇ.

Ἰησ. 5. 19. ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ δώσεις μοι λύτρωσιν ὕδατος. Τοῦτο πρόσκειται τοῖς ἐν Ἰησοῦ λελεγμένοις περὶ αὐτῆς, ἐμφαῖνον τὴν διὰ τοῦ ἁγίου βαπτίσματος ἄφεσιν, τῶν τε τῆς ὑπερηφανίας ὑψωμάτων καὶ τοῦ ἐπαιρομένου κατὰ τῆς γνώσεως τοῦ Θεοῦ, καὶ τῶν ταπεινῶν νοημάτων καὶ γεωδῶν. ὁ δὲ Σύμμαχος ἐξέδωκε, κλῆσιν ἐν ὑψηλοτέροις καὶ κλῆσιν ἐν ταπεινοτέροις, δηλῶν κλῆσιν νοημάτων ὑψηλοτέρων τῇ θεωρίᾳ, καὶ ταπεινοφροσύνης τῆς τοῦ Διαβόλου τὴν ὑπερηφανίαν διαφευγούσης. ὁ δὲ Ἀκύλας φησὶ, τὴν Γολλὰθ τὴν ἄνω καὶ τὴν Γολλὰθ τὴν κάτω, κλήματα οὕτω λεγόμενα. ἅπερ ἀντὶ προικὸς ἠξίου παρὰ Χάλεβ λαβεῖν. τῆς γὰρ ἁλώσεως Δαβεὶρ ἆθλον εἶχε τὴν Ἀσχάν. ἠβούλετο δὲ καὶ προῖκα τοῦ γάμου λαβεῖν. τὴν γὰρ πόλιν μετὰ τῆς γυναικὸς ἀριστεῖον ἐκτήσατο. πλὴν οὐ φησὶν ἡ Γραφὴ σαφῶς, ὅτι τὴν πόλιν παρέσχεν αὐτῷ.

ιϛ. Καὶ οἱ υἱοὶ Ἰοθὼρ (3) τοῦ Κιναίου γαμβροῦ Μωϋσέως ἀνέβησαν ἐκ πόλεων τῶν Φοινίκων μετὰ τῶν υἱῶν Ἰούδα εἰς τὴν ἔρημον τὴν οὖσαν ἐν τῷ νότῳ Ἰούδα, ἥ ἐστιν ἐπὶ καταβάσεως Ἀρὰδ, καὶ ἐπορεύθησαν καὶ κατῴκησαν μετὰ τοῦ λαοῦ Ἀμαλήκ.

ΑΔΗΛΟΥ. Τῆς θείας Γραφῆς μὴ ἐπισημηναμένης, εἰ ὑπέστρεψε κατὰ τὴν προτροπὴν Μωϋσέως ἀπὸ τῆς ἐνεγκαμένης πρὸς τὸν λαὸν ὁ πενθερὸς αὐτοῦ, ἀναγκαίως ἡ ἱστορία γνωρίζει ἡμῖν τὰ νῦν, ὅτι εἰ καὶ μὴ Ἰοθὼρ, ἤτοι ὁ Ἰωβὰβ, ἤγουν Ῥαγουήλ· καὶ γὰρ ἐκαλεῖτο διαφόροις ὀνόμασι· παραγέγονεν, ἀλλ' οὖν οἱ ἐξ αὐτοῦ παραγεγόνασι πρὸς τὸν λαὸν, καὶ κατεκληρονομήθησαν σὺν αὐτοῖς, θεοσεβεῖν παρ' αὐτοῦ παιδευθέντες.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς ἐνταῦθα τοῦ νομοθέτου τὸν κηδεστὴν Ἰωβὰβ ὠνόμασεν, Ἰοθὼρ καὶ Ῥαγουὴλ ἐν ἐκείναις ταῖς ἱστορίαις ὠνομασμένον; Καὶ ἤδη ἔφην, (4) ὡς ὁ Ἰωβὰβ ἐκείνου ἦν υἱός. πενθερὸν δὲ αὐτὸν κέκληκεν, ὡς τῆς γαμετῆς ἀδελφόν. καὶ γὰρ νῦν πολλοὶ τοὺς τοιούτους πενθερίδας καλοῦσι. τοῦ Ἰωβὰβ τοίνυν οἱ παῖδες, ἔγγονοι τοῦ Ἰοθώρ εἰσι.

ΤΟΥ ΑΥΤΟΥ. Πόλιν Φοινίκων ποίαν καλεῖ; Τὴν Ἱεριχώ. νομίζω δὲ οὕτως αὐτὴν προσαγορεύεσθαι διὰ τὸν τῶν Φοινίκων καρπόν. καὶ γὰρ ἐν τῇ πρὸ ταύτης βίβλῳ, εὐθὺ (5) τοῦ λαοῦ διαβάντος τὸν Ἰορδάνην, ὁ συγγραφεὺς ἔφη· ὅτι ἔφαγον ἀπὸ τοῦ καρποῦ τῆς γῆς ἄζυμα καὶ νέα, καὶ ὅτι ἐν αὐτῇ τῇ ἡμέρᾳ ἐξέλιπε τὸ μάννα, μετὰ τὸ βεβρωκέναι αὐτοὺς ἀπὸ τοῦ σίτου τῆς γῆς. καὶ οὐκ ἔτι ὑπῆρχε τοῖς υἱοῖς Ἰσραὴλ μάννα. ἐκαρπώσαντο δὲ τὴν γῆν τῶν Φοινίκων ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ. Ἰησ. 5. 11 καὶ ἡ δευτέρα δὲ τῶν Παραλειπομένων περὶ ὧν ᾐχμαλώτευσαν ἐκ τῆς Ἰούδα φυλῆς αἱ δέκα φυλαὶ διηγουμένη, οὕτως ἔφη· καὶ κατέστησαν αὐτοὺς εἰς Ἱεριχὼ τὴν πόλιν τῶν Φοινίκων πρὸς τοὺς ἀδελφοὺς αὐτῶν. 2. Παραλ. 15.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐκ τῆς πόλεως τῶν Φοινίκων, Ἱεριχοῦς φησίν. Ἀρὰδ δὲ πόλις Ἀμοῤῥαίων παρακειμένη τῇ ἐρήμῳ Κάδης. ἥτις ἐστὶ Φαράν. καὶ ἔστι νῦν κώμη ἀπὸ τετάρτου σημείου Μαλααθὼν, τῆς δὲ Χεβρὼν ἀπὸ εἰκοστοῦ.

ιζ. Καὶ ἐπορεύθη Ἰούδας μετὰ Συμεὼν τοῦ ἀδελφοῦ αὐτοῦ, καὶ ἔκοψε τὸν Χαναναῖον τὸν κατοικοῦντα Σαφὲκ, (6) καὶ ἀνεθεμάτισαν αὐτὴν, καὶ ἐξωλόθρευσαν αὐτούς· καὶ ἐκάλεσε τὸ ὄνομα τῆς πόλεως, Ἀνάθεμα.

ιη. Καὶ οὐκ ἐκληρονόμησεν Ἰούδας τὴν Γάζαν οὐδὲ τὰ ὅρια αὐτῆς, οὐδὲ τὴν Ἀσκάλωνα οὐδὲ τὰ ὅρια αὐτῆς, οὐδὲ τὴν Ἄζωτον οὐδὲ τὰ περισπόρια αὐτῆς.

ΑΔΗΛΟΥ. Ἀντὶ τούτων οὐκ ἠβουλήθη διεκδικῆσαι τὴν Γάζαν, καὶ τὰς ὀνομασθείσας πόλεις ὑπὲρ τῆς ἀφορισθείσης αὐτῶν κατασχέσεως.

** ΠΡΟΚΟΠΙΟΥ. Τῆς Γραφῆς λεγούσης, ὡς οὐχ εἷλον αἱ τοῦ Ἰούδα καὶ τοῦ Συμεὼν

(1) Ὄρεια. ἡ ἐν Χάλ. ἔκδ.
(2) Τῆς ἐν τῇ ἐρήμῳ τῶν ὑδάτων οὐ κεῖται ἐν τῷ Ἀλεξάνδ. κώδ.
(3) Ἰωβάβ. ἡ ἐν Ὀξον. ἔκδ. ὥσπερ δὴ καὶ ὁ Θεοδώριτ. ὡς ἐκ τοῦ προκειμ. ὑπομν. δῆλον.
(4) Ὅρα τὴν 1228. σελ. τοῦ 1. Τόμ. τῆς δε τῆς σειρ.
(5) Εὐθύς. ἡ ἐν Χάλ. ἔκδ. ὀρθότερ.
(6) Σαφέθ. αἱ εἰρημ. ἐκδόσ.

Συμεὼν Φυλαὶ Γάζαν, Ἀσκάλωνα, Ἄζω- A
τον, Ἀκκαρὼν, Ἰώσηπος (1) Ἀσκάλωνα
καὶ Ἄζωτον ἡλωκέναι φησὶ, Γάζαν δὲ καὶ
Ἀκκαρὼν διά τε τὰ πεδία καὶ τὸ πλῆθος
τῶν ἁρμάτων οὐκ ἔλαβον.

ιθ. Καὶ ἦν Κύριος μετὰ Ἰούδα.
καὶ ἐκληρονόμησε τὸ ὄρος, ὅτι οὐκ ἠδυ-
νήθησαν ἐξολοθρεῦσαι τοὺς κατοικοῦν-
τας τὴν κοιλάδα, ὅτι Ῥιχὰβ (2)
διεστείλατο αὐτοῖς· καὶ τὰ ἅρματα
σιδηρᾶ αὐτοῖς.

» ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, καὶ ἦν
» Κύριος μετὰ Ἰούδα, καὶ ἐκληρονόμησε τὸ
» ὄρος, ὅτι οὐκ ἠδύνατο κληρονομῆσαι τοὺς
» κατοικοῦντας τὴν κοιλάδα, ὅτι Ῥιχὰβ διε-
» στείλατο αὐτοῖς; Τοῦ Ῥιχὰβ, ὡς εὐσεβοῦς
ἄγαν πολλαχοῦ ἡ θεία μνημονεύει Γραφή.
καὶ ὅτι μέχρι τῶν ἀπογόνων αὐτοῦ διέδρα-
μεν ἡ εὐσέβεια· τοῦτον εἰσηγήσασθαι λέγει
τῇ Ἰούδα Φυλῇ, τὴν κοιλάδα καταλιπεῖν,
καὶ τὸ ὄρος οἰκῆσαι. ἦν δὲ καὶ αὐτὸς τῆς
Ἰούδα Φυλῆς, ὡς ἡ τῶν Παραλειπομένων
διδάσκει βίβλος. οἶμαι δὲ αὐτὸν συμβε-
βουλευκέναι τὴν κοιλάδα φυγεῖν διὰ τὴν
τῶν περιοίκων ἀσέβειαν, καὶ μέντοι καὶ
διὰ τὸ τῆς θαλάσσης γειτόνημα. οἱ γὰρ
θαλάττῃ πελάζοντες, καὶ τοὺς πόῤῥωθεν
καταπλέοντας δέχονται, καὶ αὐτοὶ ναυτι-
λίας ὀρέγονται. ἡ δὲ τῶν ἀλλογενῶν ἐπι-
μιξία τὴν νομικὴν ἐλυμαίνετο πολιτείαν.

» ΑΔΗΛΟΥ. Οὐκ ἠδυνήθησαν, οὐκ ἐπὶ
ἀδυναμίᾳ εἴρηται, ἀλλ' ἐπὶ ῥαθυμίᾳ.

ΑΔΗΛΟΥ. Τὰ μετὰ πολλοὺς ὕστερον χρό-
νους μέλλοντα ὑπὸ τοῦ Ἱερεμίου (3) ἐξαγγέλ-
λεσθαι προεμφαίνει ἡμῖν ἐπὶ τοῦ παρόντος
ἡ Γραφή. ὁ γὰρ Ῥιχὰβ διεστείλατο περὶ
τοῦ μὴ πιεῖν οἶνον τοῖς ἐξ αὐτοῦ. διὰ τὴν
πρὸς ἐκεῖνον οὖν τὸν προστεταχότα αἰδῶ,
καὶ τὴν θεοσέβειαν αὐτοῦ καταλιμπάνει Ἰου- E
δας τοὺς ἐν τῇ κοιλάδι, ἐξ ἐκείνης τῆς συγ-
γενείας καταγομένους· ὅτι Λουζὰ καὶ Οὐλα-
μαοὺς ἡ αὐτή ἐστι.

κ. Καὶ ἔδωκαν τῷ Χάλεβ τὴν
Χεβρὼν, καθὼς ἐλάλησε Μωϋσῆς.
καὶ ἐκληρονόμησεν ἐκεῖθεν τὰς τρεῖς
πόλεις τῶν υἱῶν Ἐνὰκ, καὶ ἐξῆρεν ἐκεῖ-
θεν τοὺς τρεῖς υἱοὺς Ἐνάκ.

κα. Καὶ τὸν Ἰεβουσαῖον τὸν κα- Z
τοικοῦντα ἐν Ἱερουσαλὴμ οὐκ ἐξῆραν οἱ
υἱοὶ Βενιαμίν. καὶ κατῴκησεν ὁ Ἰεβου-
σαῖος μετὰ τῶν υἱῶν Βενιαμὶν ἐν Ἱε-
ρουσαλὴμ ἕως τῆς ἡμέρας ταύτης.

** ΙΩΣΗΠΟΥ. Βενιαμῖται δὲ, τού-
των γὰρ ἦν Ἱεροσόλυμα, τοῖς οἰκήτορσιν

A αὐτὴν συνεχώρησαν φόρους τελεῖν. καὶ οὕτω
παυσάμενοι πάντες, οἱ μὲν τοῦ κτείνειν, οἱ
δὲ κινδυνεύειν, ἐργάζεσθαι τὴν γῆν ἠσχό-
λουν. τὸ δ' αὐτὸ καὶ αἱ λοιπαὶ Φυλαὶ, τὴν
Βενιαμῖτιν μιμησάμεναι, ἐποίουν. καὶ τοῖς
τελουμένοις ἀρκούμενοι φόροις, ἐπέτρεπον
τοῖς Χαναναίοις ἀπολέμοις εἶναι.

κβ. Καὶ ἀνέβησαν οἱ υἱοὶ Ἰωσὴφ
καί γε αὐτοὶ εἰς Βαιθήλ· καὶ Κύριος
κγ. ἦν μετ' αὐτῶν. Καὶ παρενέβαλον,
B καὶ κατεσκέψαντο Βαιθήλ· τὸ δὲ ὄνο-
μα τῆς πόλεως ἦν ἔμπροσθεν Λουζά.
κδ. Καὶ εἶδον οἱ φυλάσσοντες, καὶ ἰδοὺ ἀνὴρ
ἐξεπορεύετο ἐκ τῆς πόλεως, καὶ ἔλα-
βον αὐτόν· καὶ εἶπον αὐτῷ, δεῖξον ἡμῖν
τῆς πόλεως τὴν εἴσοδον, καὶ ποιήσο-
κε. μεν μετὰ σοῦ ἔλεος. Καὶ ἔδειξεν αὐ-
τοῖς τὴν εἴσοδον τῆς πόλεως. καὶ
Γ ἐπάταξαν τὴν πόλιν ἐν στόματι ῥομ-
φαίας· τὸν δὲ ἄνδρα καὶ τὴν συγ-
γένειαν αὐτοῦ ἐξαπέστειλαν.

** ΙΩΣΗΠΟΥ. Ἡ δὲ Ἐφραΐμου πο-
λιορκοῦσα Βαίθηλα, τέλος οὐδὲν ἄξιον τοῦ
χρόνου καὶ τῶν πόνων ηὕρισκε τῆς πολυορ-
κίας. οἱ δὲ, καίπερ ἀχθόμενοι, τῇ κα-
θέδρᾳ προσεκαρτέρουν. ἔπειτα συλλαβόν-
τες τινὰ τῶν ἐν τῇ πόλει προσελθόντα ἐπὶ
Δ κομιδῇ τῶν ἀναγκαίων, τινὰς πίστεις ἔδο-
σαν αὐτῷ παραδόντι τὴν πόλιν σώσειν αὐ-
τόν τε καὶ τοὺς συγγενεῖς αὐτοῦ. κἀκεῖνος
ἐπὶ τούτοις ὤμνυε τὴν πόλιν αὐτοῖς ἐγχει-
ρεῖν. καὶ ὁ μὲν οὕτω προδοὺς, σώζεται μετὰ
τῶν οἰκείων· οἱ δὲ, ἀποκλείσαντες ἅπαν-
τας τοὺς ἐνοικοῦντας, εἶχον τὴν πόλιν.

κς. Καὶ ἐπορεύθη ὁ ἀνὴρ εἰς γῆν
Χεττιείμ· καὶ ᾠκοδόμησεν ἐκεῖ πόλιν,
E καὶ ἐκάλεσε τὸ ὄνομα αὐτῆς Λουζά·
τοῦτο ὄνομα αὐτῆς ἕως τῆς ἡμέρας
ταύτης.

** ΠΡΟΚΟΠΙΟΥ. Εἰς γῆν Χεττιείμ,
τὴν Κύπρον φησί.

κζ. Καὶ οὐκ ἐξῆρε Μανασσῆ τὴν
Βαιθσὰν, ἥ ἐστι Σκυθῶν πόλις, οὐδὲ
τὰς θυγατέρας αὐτῆς οὐδὲ τὰ πε-
ρίοικα αὐτῆς, οὐδὲ τὴν Θανὰχ οὐδὲ
Z τὰς θυγατέρας αὐτῆς, οὐδὲ τοὺς κα-
τοικοῦντας Δὼρ οὐδὲ τὰ περίοικα αὐ-
τῆς οὐδὲ τὰς θυγατέρας αὐτῆς, οὐδὲ
τὸν κατοικοῦντα Βαλὰκ οὐδὲ τὰ πε-
ρίοικα αὐτῆς οὐδὲ τὰς θυγατέρας αὐ-
τῆς, οὐδὲ τοὺς κατοικοῦντας Μαγεδδὼ
οὐδὲ τὰ περίοικα αὐτῆς οὐδὲ τὰς θυ-
γατέρας

(1) Ἡ δὲ Ἰούδα Φυλὴ καὶ Συμεωνὶς, τὰς μὲν κατὰ τὴν ὀρεινὴν τῆς Χαναναίας πόλεις εἷλον, τῶν δ' ἐν τῷ πεδίῳ καὶ πρὸς θαλάσσῃ Ἀσκάλωνά τε καὶ Ἄζωτον. διαφεύγει δ' αὐτοὺς Γάζα καὶ Ἀκκάρων. πεδίων γὰρ ὄντων, καὶ πολλῆς ἁρμάτων εὐπορίας κακῶς ἐποίουν τοὺς ἐπελθόντας. ἐν βιβλ. 5. κεφ. 2. περὶ Ἰουδαϊκ. ἀρχαιολογ. οὐ πάνυ δὲ σαφὲς ὃ περὶ τοῦ Ἰωσήπου φησὶν ὁ Προκόπιος. εἰ μὴ τὸ, τῶν δ' ἐν τῷ πεδίῳ, τῶν τ' ἐν τῷ πεδίῳ, ἀναγνωσθείη.

(2) Ῥηχάβ. αἵ τε εἰρημ. ἐκδόσ. καὶ ὁ Θεοδώριτ. κατὰ τὴν ἐν Χάλ. ἐκδ.

(3) Ἐν κεφ. 35.

γατέρας αὐτῆς, ἐδὲ τὲς κατοικῦντας Ἰεβλαὰμ ἐδὲ τὰ περίοικα αὐτῆς ἐδὲ τὰς θυγατέρας αὐτῆς. καὶ ἤρξατο ὁ Χαναναῖος κατοικεῖν ἐν τῇ
κη. γῇ ταύτῃ. Καὶ ἐγένετο ὅτε ἐνίσχυσεν Ἰσραὴλ, καὶ ἐποίησε τὸν Χαναναῖον εἰς φόρον, καὶ ἐξαίρων ἐκ ἐξῆρεν αὐτόν.

ΑΔΗΛΟΥ. Θυγατέρας τῶν πόλεων καλεῖ τὰς ὑποκειμένας αὐταῖς, ὡς εἰκὸς, σεμνοτέρας πόλεις ἢ κώμας.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τὴν Μαγεδδώ. Ταύτην εἷλεν Ἰησῦς ὁ ἀποκλείνας αὐτῆς τὸν βασιλέα· καὶ γέγονε φυλῆς Μανασσῆ· ἣν ἐ κατέσχεν. ὁ γὰρ ἀλλόφυλος ἐκ ἐξαιρεθεὶς, ἐπισυσὰς πάλιν εἷλεν αὐτὴν καὶ τὰς ἄλλας. Ἰσραὴλ δὲ πάλιν ἰσχύσας, ὑποφόρες τέτες εἰργάσατο.

» ΑΔΗΛΟΥ. Τὸ, ἤρξατο κατοικεῖν ὁ Χαναναῖος, ἐχ ἁπλῶς περὶ κατοικίας εἴρηται. ἤδη γὰρ καὶ πρὸ τῆς εἰσόδε τῦ λαῦ κατῴκει ἐν τῇ γῇ· ἀλλ' ὡς πρότερον μὲν τῇ ἀμελείᾳ τῦ λαῦ καταλειφθέντος ἐν τῇ γῇ, νυνὶ δὲ διὰ τὴν ἀποστασίαν αὐτῶν, καὶ ἀρξαμένε κατεπανίςασθαι καὶ κυριεύειν αὐ-
» τῶν. τὸ γὰρ ἤρξατο κατοικεῖν, ἀντὶ τῦ δεσπόζειν λέγει, ὡς δηλοῖ τὰ ἑξῆς.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε μὴ πάσας εἷλον τὰς πόλεις, ἀλλὰ πλῆθος αὐτοῖς συνῴκει τῶν ἀλλοφύλων; (1) Πρῶτον διὰ νωθείαν πάσης τῆς γῆς ἐκ ἐκράτησαν·
» ἔπειτα καὶ διὰ πλεονεξίαν. ἔθεντο γάρ
» φησι τὸν Χαναναῖον εἰς φόρον, καὶ ἐξαί-
» ρων ἐκ ἐξῆρεν αὐτόν. καὶ τῦτο περὶ ἑκάστης φυλῆς ὁ συγγραφεὺς εἶπε. πρὸς δὲ τέτοις, τὸν θεῖον παραβάντες νόμον, καὶ τοῖς τῶν ἀλλοφύλων δεδελευκότες Θεοῖς, τῆς θείας ἐγυμνώθησαν προμηθείας. ἧ δὴ χάριν ὁ πάνσοφος Κύριος ἐκ ἄρδην τὸ τῶν Χαναναίων ἐθνῶν διέφθειρε γένος· ἀλλ' εἴασε πολλὲς γειτονεύειν αὐτοῖς· ἵνα πολεμέμενοι, καὶ δελεύειν ἀναγκαζόμενοι, αἰσθάνονται μὲν τῆς ἀπὸ τῆς πλάνης γεγενημένης βλάβης, προσεθῶσι δὲ τῷ σεσωκότι Θεῷ, καὶ τῆς παρ' αὐτῦ ῥοπῆς ἀπολαύωσι. καὶ ὅτι ταῦτα ἐ λογισμοῖς ἀνθρωπίνοις κεχρημένος λέγω, ἀλλὰ παρ' αὐτῆς διδαχθεὶς τῆς ἱστορίας, αὐτίκα δη-
Κριτ. 2. 1, 2, 3. λώσω. ἀνέβη γάρ φησιν Ἄγγελος Κυρίε
» ἀπὸ Γαλαὰδ (2) ἐπὶ τὸν κλαυθμῶνα καὶ ἐπὶ
» Βαιθὴλ καὶ ἐπὶ τὸν οἶκον Ἰσραὴλ ἀπὸ Γαλγάλων. καὶ Γάλγαλα δὲ ὁ τῶν ἀκροβυςιῶν ὠνομάσθη τόπος. δηλοῖ δὲ τὔνομα κατὰ τὴν τῶν Ἑβραίων φωνὴν, τὴν τῶν Ἑβραίων (3) ἐλευθερίαν. ἐκεῖθεν πέμπει τὸν Ἄγγελον, ἀναμιμνήσκων αὐτὲς τῆς τῦ ποταμῦ διαβάσεως, καὶ τῆς γεγενημένης περιτομῆς. εἶτα λέγει καὶ τίνα τὰ
» ῥηθέντα ὑπὸ τῦ Ἀγγέλε· Κύριος ἀνήγα-
» γεν ὑμᾶς ἐξ Αἰγύπτε, καὶ εἰσήγαγεν ὑμᾶς

A » εἰς τὴν γῆν ἣν ὤμοσε τοῖς πατράσιν ὑμῶν
» δῦναι ὑμῖν· καὶ εἶπεν ὑμῖν, ἐ μὴ διασκε-
» δάσω τὴν διαθήκην με τὴν μεθ' ὑμῶν εἰς
» τὸν αἰῶνα. καὶ ὑμεῖς ἐ διαθήσεσθε διαθή-
» κην τοῖς ἐγκαθημένοις ἐν τῇ γῇ ταύτῃ,
» ἐδὲ τοῖς Θεοῖς αὐτῶν ἐ μὴ προσκυνήσητε,
» ἀλλὰ τὰ γλυπτὰ αὐτῶν συντρίψετε, καὶ
» τὰ θυσιαςήρια αὐτῶν κατασκάψετε. καὶ
» ἐκ εἰσηκέσατε τῆς φωνῆς αὐτῦ. ἐδὲ ταῦ-
» τα ἐποιήσατε. καὶ ἐγὼ, φησὶν, ἐ προσθήσω
B » τῦ μετοικῆσαι τὸν λαὸν, ὃν εἶπον τῦ ἐξῶ-
» σαι αὐτὸν ἀπὸ προσώπε ὑμῶν, καὶ ἔσονται
» ὑμῖν εἰς συνοχὰς, καὶ οἱ Θεοὶ αὐτῶν ἔσονται
» ὑμῖν εἰς σκάνδαλον. παρέβητέ με, [φησὶ,] τὰς ἐντολὰς, ἐκ ἐφυλάξατέ με τὸν νόμον· εἰρήνην ἐσπείσασθε πρὸς τὲς τῆς ἀσεβείας διδασκάλες, καὶ τοῖς τέτων Θεοῖς ἐδελεύσατε. ἀπολαύετε τοιγαρῦν ὧν ἐποιήσατε, καὶ ἀμήσατε τῶν σπερμάτων ὑμῶν τὰ δράγματα. οἵ τε γὰρ διεκφυγόντες τὸν
Γ ἐκ πολέμε θάνατον, πολεμῦντες ὑμῖν διατελέσεσι· καὶ οἱ τέτων Θεοὶ τὰς ἡμετέρας ἐξανδραποδιεῖσι ψυχάς. τέτων ὑπὸ τῦ Ἀγγέλε ῥηθέντων, ἐθρήνησεν ὁ λαός. ὅθεν καὶ ὁ τόπος ὠνομάσθη, Κλαυθμών. ἐντεῦθεν ὑπέλαβον τὰ πλείονα τῶν εἰρημένων ἀνακεφαλαίωσιν εἶναι τῶν ἐπὶ τῦ Ἰησῦ πεπραγμένων. ἔφη γὰρ ὁ συγγραφεύς·
» καὶ ἐξαπέστειλεν Ἰησῦς τὸν λαὸν, καὶ ἀπῆλ- Κριτ. 2. 10.
» θον οἱ υἱοὶ Ἰσραὴλ ἕκαςος εἰς τὴν κληρονο-
Δ » μίαν αὐτῦ τῦ κατακληρονομῆσαι τὴν γῆν.
» καὶ ἐδέλευσεν ὁ λαὸς τῷ Κυρίῳ πάσας τὰς
» ἡμέρας Ἰησῦ καὶ πάσας τὰς ἡμέρας τῶν
» πρεσβυτέρων, ὅσοι ἐμακροημέρευσαν με-
» τὰ Ἰησῦ, ὅσοι ἔγνωσαν πᾶν τὸ ἔργον Κυ-
» ρίε τὸ μέγα, ὃ ἐποίησε τῷ Ἰσραήλ. λέγει δὲ καὶ ὅσων ἐτῶν ὢν ὅτε ἐτελεύτησε, καὶ
» ἔνθα ἐτάφη· καὶ προσέθηκεν, ὅτι ἀνέςη
» γενεὰ ἑτέρα μετ' αὐτὲς, καὶ ἐκ ἔγνωσαν
» Κύριον, καὶ τὸ ἔργον, ὃ ἐποίησε τῷ Ἰσ-
E ραήλ. καὶ ὅτι τοῖς Χαναναίοις, καὶ Φερεζαίοις, καὶ τοῖς ἄλλοις συνοικῦντες ἀλλοφύλοις, τάς τε πρὸς αὐτὲς ἐπιγαμίας ἐποιήσαντο, καὶ διὰ τῆς ἐπιγαμίας τῆς ἀσεβείας μετέλαχον. ἐλάτρευσαν γὰρ καὶ τοῖς Βααλεὶμ, καὶ τοῖς Ἀσαρώθ. διδασκόμεθα δὲ διὰ τέτων, ὅσον τὲς ὑπηκόες ὀνίνησιν ἡ τῶν ἀρχόντων εὐσέβεια, καὶ ὅσον ἡ ἀναρχία λυμαίνεται, καὶ αὖ πάλιν ἡ τῶν πονηρῶν ἡγεμονεία. τῦτο γὰρ καὶ ἥδε
Z » ἡ ἱστορία διδάσκει. ἤγειρε γὰρ αὐτοῖς Κύ- Κριτ. 2. 18, 19.
» ριος Κριτὰς, καὶ ἔσωσαν αὐτὲς ἐκ χειρὸς
» τῶν προνομευσάντων αὐτές. καὶ ὅτε ἤγει-
» ρεν αὐτοῖς τὲς κριτὰς, καὶ ἦν Κύριος μετὰ
» τῦ κριτῦ, καὶ ἔσωζεν αὐτὲς ἐκ χειρὸς τῶν
» ἐχθρῶν αὐτῶν πάσας τὰς ἡμέρας τῦ κρι-
» τῦ. καὶ μετ' ὀλίγα. καὶ ἐγένετο ὡς ἀπέθ-
» νησκεν ὁ κριτὴς, καὶ ἀπέστρεφον καὶ διέφ-
» θειρον πάλιν ὑπὲρ τὲς πατέρας αὐτῶν τῦ
» πορευθῆναι ὀπίσω Θεῶν ἑτέρων, τῦ λα-
H » τρεύειν αὐτοῖς καὶ προσκυνεῖν αὐτοῖς. οἶμαι δὲ καὶ ἑτέραν αἰτίαν εἶναι, δι' ἣν ἐ πᾶσαν τὴν

(1) Ἀλλοφύλων ἐθνῶν; ἡ ἐν Χάλ. ἐκδ.
(3) Τὸ, Ἑβραίων, ἐ κεῖται ἐν τῇ αὐτ.

(2) Γαλγάλ. ἡ αὐτ.

τὴν ἐπηγγελμένην ἐκομίσαντο γῆν. ἔστι δὲ A
αὕτη· στενωτάτης ἐδεῖτο γῆς τῆς νομικῆς πολιτείας ἡ φυλακή. τρὶς γὰρ τοῦ ἔτους ἑορτάζειν ὁ νόμος ἐκέλευσεν, εἰς ἓν πάντας χωρίον συντρέχοντας, ἐν ᾧ τὸν θεῖον νεὼν ἐδομήσαντο. ἐκεῖ καὶ τὰς ἀπαρχὰς, καὶ τὰς δεκάτας, καὶ τὰ τῶν θρεμμάτων πρωτότοκα, καὶ μέντοι καὶ τὰς ἄλλας θυσίας κομίζειν ἐκέλευσεν. εἰκότως τοίνυν αὐτοὺς μικρῷ περιώρισε τόπῳ, ὥστε ῥαδίως καὶ τοὺς νωθεῖς εἰς τὸν ἀφιερωμένον νεὼν συναγείρεσθαι. B

κθ. Καὶ Ἐφραὶμ οὐκ ἐξῆρε τὸν
Χαναναῖον τὸν κατοικοῦντα ἐν Γά-
ζερ· (1) καὶ κατῴκησεν ὁ Χαναναῖος
ἐν μέσῳ αὐτοῦ ἐν Γάζερ, καὶ ἐγένετο
λ. εἰς φόρον. Καὶ Ζαβουλὼν οὐκ ἐξῆρε
τοὺς κατοικοῦντας Κεδρὼν, οὐδὲ τοὺς
κατοικοῦντας Δωμανά· καὶ κατῴκη-
σεν ὁ Χαναναῖος ἐν μέσῳ αὐτῶν, καὶ
ἐγένετο αὐτῷ εἰς φόρον.

λα. Καὶ Ἀσὴρ οὐκ ἐξῆρε τοὺς κα-
τοικοῦντας εἰς Χὼ, (2) καὶ τοὺς κατοι-
κοῦντας Δὼρ, καὶ τοὺς κατοικοῦντας
Σιδῶνα, καὶ τοὺς κατοικοῦντας Δα-
λὰφ, καὶ τὸν Ἀχαζεὶμ, καὶ τὸν Χεβ-
δὰν, καὶ τὸν Ἀεὶ, (3) καὶ τὸν Ἐρεώρ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἀγχὼ τὴν νῦν Πτολεμαΐδα φησίν. οὐδὲ τοὺς κατοικοῦντας Δώρ. μεθόριον γὰρ ἦν αὕτη τῶν δύω φυλῶν.

A λβ. Καὶ κατῴκησεν ὁ Ἀσὴρ ἐν μέ-
σῳ τοῦ Χαναναίου τοῦ κατοικοῦντος τὴν
γῆν, ὅτι οὐκ ἠδυνήθη ἐξᾶραι αὐτόν.
λγ. Καὶ Νεφθαλεὶμ οὐκ ἐξῆρε τοὺς κα-
τοικοῦντας Βαιθσαμὺς, καὶ τοὺς κα-
τοικοῦντας Βαιθανάθ. καὶ κατῴκησε
Νεφθαλεὶμ ἐν μέσῳ τοῦ Χαναναίου
τοῦ κατοικοῦντος τὴν γῆν· οἱ δὲ κα-
τοικοῦντες Βαιθσαμὺς καὶ τὴν Βαι-
B θανὰθ, ἐγένοντο αὐτοῖς εἰς φόρον.
λδ. Καὶ ἐξέθλιψεν ὁ Ἀμοῤῥαῖος τοὺς υἱοὺς
Δὰν εἰς τὸ ὄρος, ὅτι οὐκ ἀφῆκαν αὐ-
λε. τὸν καταβῆναι εἰς τὴν κοιλάδα. Καὶ
ἤρξατο ὁ Ἀμοῤῥαῖος κατοικεῖν ἐν τῷ
ὄρει τῷ Ὀστρακονεὶ, (4) ἐν ᾧ αἱ ἄρκοι,
καὶ ἐν ᾧ αἱ ἀλώπεκες, ἐν τῷ Μυρσι-
νῶνι, καὶ τῷ Σωλαμείν. καὶ ἐβαρύνθη
Γ χεὶρ οἴκου Ἰωσὴφ ἐπὶ τὸν Ἀμοῤῥαῖον,
καὶ ἐγενήθη αὐτοῖς εἰς φόρον.

λϛ. Καὶ τὸ ὅριον τοῦ Ἀμοῤῥαίου (5)
ἀπὸ τῆς ἀναβάσεως Ἀκραβεὶν ἀπὸ
τῆς πέτρας καὶ ἐπάνω.

ΑΔΗΛΟΥ. Ἰδουμαῖον τὸ ἐκ τοῦ Ἡσαῦ συστὰν ἔθνος ὀνομάζει.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπάνω Ἀκραβίν. Δ ὅριον τοῦτο τῆς Ἰδουμαίας ἀνατολικόν. Ἀπὸ τῆς πέτρας καὶ ἐπάνω, πόλις τοῦ Ἰδουμαίου.

ΚΕΦ. Β.

α. Καὶ ἀνέβη Ἄγγελος Κυρίου
ἀπὸ Γαλγὰλ ἐπὶ τὸν
κλαυθμῶνα καὶ ἐπὶ Βαι-
θὴλ, καὶ ἐπὶ τὸν οἶκον Ἰσραὴλ, καὶ E
εἶπε πρὸς αὐτοὺς, τάδε λέγει Κύριος,
ἀνεβίβασα ὑμᾶς ἐξ Αἰγύπτου, καὶ
εἰσήγαγον ὑμᾶς εἰς τὴν γῆν ἣν ὤμο-
σα τοῖς πατράσιν ὑμῶν δοῦναι ὑμῖν·
καὶ εἶπα, οὐ διασκεδάσω τὴν διαθή-
κην μου τὴν μεθ' ὑμῶν εἰς τὸν αἰῶνα.

** ΠΡΟΚΟΠΙΟΥ. Εὖγε τῆς τοῦ Θεοῦ φιλανθρωπίας. ἁμαρτάνοντας παιδεύει, καὶ ἀθυμοῦντας παρακαλεῖ πρὸς εὐσέβειαν ἐπιστρέφων τὸν Ἰσραήλ. Z

β. Καὶ ὑμεῖς οὐ διαθήσεσθε δια-
θήκην τοῖς ἐγκαθημένοις εἰς τὴν γῆν
ταύτην, οὐδὲ τοῖς Θεοῖς αὐτῶν προσ-
κυνήσητε, ἀλλὰ τὰ γλυπτὰ αὐτῶν
συντρίψετε, καὶ τὰ θυσιαστήρια αὐ-
τῶν καθελεῖτε. καὶ οὐκ εἰσηκούσατε τῆς
φωνῆς μου, ὅτι ταῦτα ἐποιήσατε.

γ. Κἀγὼ εἶπον, οὐ μὴ ἐξαρῶ (6)
αὐτοὺς ἐκ προσώπου ὑμῶν, καὶ ἔσονται
ὑμῖν εἰς συνοχὰς, καὶ οἱ Θεοὶ αὐτῶν
ἔσονται ὑμῖν εἰς σκάνδαλον.

ΑΔΗΛΟΥ. Συνοχὰς καλεῖ τὰς διαφόρως ἐπαχθείσας αὐτοῖς δι' ἐπαναστάσεως τιμωρίας.

ΑΔΗΛΟΥ. Εἰς σκάνδαλον, ἀντὶ τοῦ, θανάτου ὑμῖν αἴτιοι γενήσονται.

δ. Καὶ ἐγένετο ὡς ἐλάλησεν ὁ
Ἄγγελος Κυρίου τοὺς λόγους τούτους
πρὸς πάντας τοὺς υἱοὺς Ἰσραὴλ, καὶ
ἐπῆρεν ὁ λαὸς τὴν φωνὴν αὐτῶν καὶ
ἔκλαυσαν.

ε. Καὶ ἐπωνόμασαν τὸ ὄνομα τοῦ
τόπου ἐκείνου, Κλαυθμῶνες· καὶ ἐθυ-
σίασαν ἐκεῖ τῷ Κυρίῳ.

ΑΔΗΛΟΥ. Κατὰ τὸ ἰδίωμα τῆς Γραφῆς προσηγορίαν τῷ τόπῳ ἔθεντο. εἰ γὰρ καὶ ἀνωτέρω προέλαβεν εἰπὼν, τὸν Ἄγγελον ἐπὶ τὸν τόπον τοῦ Κλαυθμῶνος παραγενέσθαι,

(1) Γαζέρ. αἱ εἰρημ. ἐκδόσ. ὁμοίως καὶ κατωτέρω.
(2) Ἀκχώ. αἱ αὐτ. ὁ δὲ Προκόπ. Ἀγχώ. (3) Ναΐ. αἱ αὐτ.
(4) Ὀστρακώδει. αἱ αὐτ. τοῦ Μυρισῶνος. ἡ τοῦ Ἀλδ. τῷ Ἄρες. ἡ ἐν Κομπλ. Μυρισινῶνος. ἐν ταῖς σημειώσ. τῆς ἐν Φραν. ἐκδόσ. (5) Ὁ Ἰδουμαῖος ἐπάνω Ἀκραβίν. αἱ αὐτ. ἐν ταῖς σημειώσ. (6) Ἐξάρω. αἱ αὐτ.

γενέσθαι, ἀλλ' οὖν ἐπὶ τοῦ παρόντος μετὰ τὴν ἔκβασιν τὴν ἐπωνυμίαν ὁ τόπος ἐδέξατο.

ϛ. Καὶ ἐξαπέστειλεν Ἰησοῦς τὸν
λαὸν, καὶ ἐπορεύθησαν οἱ υἱοὶ Ἰσ-
ραὴλ ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, καὶ
ἕκαστος εἰς τὴν κληρονομίαν αὐτοῦ τοῦ
κατακληρονομῆσαι τὴν γῆν.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπανάληψις. πολλὰ γὰρ εἶπεν ἤδη μετὰ θάνατον Ἰησοῦ, ὡς καὶ τὰ ἑξῆς ἐπαναλαμβάνει τὰ περὶ τῶν εὐσεβῶς τετελευτηκότων, καὶ τῶν ἐξ ἐκείνων ἀσεβησάντων, πρὸς οὓς καὶ ἀπεστάλη ὁ Ἄγγελος. τὴν γὰρ αἰτίαν παρενέβαλε, δι' ἣν περιγενέσθαι τῶν ἐχθρῶν οὐ δεδύνηνται. ἀλλ' ἐπεὶ ἐλθόντος, ἔκλαυσαν, τοῦ Ἀγγέλου, τοὺς κριτὰς αὐτοῖς ὁ Κύριος ἤγειρεν. ἐνταῦθα γὰρ ἡ τῆς ἐννοίας ἀπόδοσις.

ζ. Καὶ ἐδούλευσεν ὁ λαὸς τῷ Κυ-
ρίῳ πάσας τὰς ἡμέρας Ἰησοῦ καὶ πά-
σας τὰς ἡμέρας τῶν πρεσβυτέρων,
ὅσοι ἐμακροημέρευσαν μετὰ Ἰησοῦ,
ὅσοι ἔγνωσαν πᾶν τὸ ἔργον Κυρίου τὸ
η. μέγα ὃ ἐποίησεν ἐν τῷ Ἰσραήλ. Καὶ
ἐτελεύτησεν Ἰησοῦς υἱὸς Ναυῆ δοῦλος
θ. Κυρίου (1) ἑκατὸν δέκα ἐτῶν. Καὶ
ἔθαψαν αὐτὸν ἐν ὅρει τῆς κληρονο-
μίας αὐτοῦ ἐν Θαμναθαρὲς, ἐν ὄρει
Ἐφραὶμ ἀπὸ βορρᾶ τοῦ ὄρους Γαάς.
ι. Καί γε πᾶσα ἡ γενεὰ ἐκείνη συνήχ-
θησαν πρὸς τοὺς πατέρας αὐτῶν. καὶ
ἀνέστη γενεὰ ἑτέρα μετ' αὐτοὺς, οἳ οὐκ
ἔγνωσαν τὸν Κύριον, καί γε τὸ ἔργον
ὃ ἐποίησεν ἐν τῷ Ἰσραήλ.

» ΑΝΕΠΙΓΡΑΦΟΥ. Καὶ ἐδούλευσε πᾶς ὁ λαός. Ἐπανάληψίς ἐστιν ἐντεῦθεν, ἕως,
» καὶ πᾶσα ἡ γενεὰ ἐκείνη προσετέθησαν
» πρὸς τοὺς πατέρας αὐτῶν· τῆς Γραφῆς οὐ κατ' ἐκείνων ἐπιφερούσης τὴν μέμψιν, ἀλλὰ κατὰ τῶν ἐξ αὐτῶν.

ια. Καὶ ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ
τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ ἐλά-
τρευσαν τοῖς Βααλείμ.

ΑΔΗΛΟΥ. Βααλεὶμ ἑρμηνεύεται οἶκος παραπικρασμῶν. οἶκος δέ ἐστι παραπικρασμῶν ἡ ἐν διαφόροις ἰδέαις γενικὴ κακία. ταύτῃ δὲ λατρεύει καθ' ἕξιν ὁ ταῖς Βααλεὶμ λατρεύων.

ιβ. Καὶ ἐγκατέλιπον Κύριον τὸν
Θεὸν τῶν πατέρων αὐτῶν, τὸν ἐξα-
γαγόντα αὐτοὺς ἐκ γῆς Αἰγύπτου, καὶ
ἐπορεύθησαν ὀπίσω Θεῶν ἑτέρων ἀπὸ
τῶν Θεῶν τῶν ἐθνῶν τῶν περικύκλῳ
αὐτῶν, καὶ προσεκύνησαν αὐτούς· καὶ
ιγ. παρώργισαν τὸν Κύριον. Καὶ ἐγκα-
A τέλιπον αὐτὸν, καὶ ἐλάτρευσαν τῇ
Βάαλ καὶ ταῖς Ἀστάρταις.

ιδ. Καὶ ὠργίσθη θυμῷ Κύριος ἐν
τῷ Ἰσραήλ. καὶ παρέδωκεν αὐτοὺς εἰς
χεῖρας προνομευόντων, καὶ κατεπρο-
νόμευσαν αὐτούς· καὶ ἀπέδοτο αὐτοὺς
ἐν χειρὶ τῶν ἐχθρῶν αὐτῶν κυκλό-
θεν, καὶ οὐκ ἠδυνάσθησαν ἔτι ἀντι-
B στῆναι κατὰ πρόσωπον τῶν ἐχθρῶν
ιε. αὐτῶν. Ἐν πᾶσιν οἷς ἐξεπορεύοντο.
καὶ χεὶρ Κυρίου ἦν ἐπ' αὐτοὺς εἰς κα-
κὰ, καθὼς ἐλάλησε Κύριος καὶ κα-
θὼς ὤμοσε Κύριος αὐτοῖς, καὶ ἐξέ-
θλιψεν αὐτοὺς σφόδρα.

ΑΔΗΛΟΥ. Τὴν ἐπίτασιν τῆς κατὰ τοῦ
» λαοῦ τιμωρίας διὰ τοῦ, ὠργίσθη, σημαίνει. ἐχρήσατο δὲ ἡ Γραφὴ ἐκ τῶν παρ' ἡμῖν.

Γ ** ΠΡΟΚΟΠΙΟΥ. Πληγαῖς γὰρ καὶ πόνοις ἡ ψυχὴ διορθοῦται, τὸν δεσπότην ἐπιγινώσκουσα, καθά φησιν Ἱερεμίας· πό- Ἱερ. 6. 7, 8.
» νοις καὶ μάστιξι παιδευθήσῃ Ἱερουσαλήμ.

ιϛ. Καὶ ἤγειρεν αὐτοῖς Κύριος κρι-
τὰς, καὶ ἔσωσεν αὐτοὺς Κύριος ἐκ χει-
ρὸς τῶν προνομευσάντων αὐτούς. καί-
ιζ. γε τῶν κριτῶν οὐχ ὑπήκουσαν, Ὅτι ἐξε-
πόρνευσαν ὀπίσω Θεῶν ἀλλοτρίων, (2)
Δ καὶ προσεκύνησαν αὐτοῖς. καὶ παρώρ-
γισαν τὸν Κύριον, καὶ ἐξέκλιναν τα-
χὺ ἐκ τῆς ὁδοῦ, ἧς ἐπορεύθησαν οἱ πα-
τέρες αὐτῶν τοῦ εἰσακούειν τὸν λόγον
ιη. Κυρίου· οὐκ ἐποίησαν οὕτω. Καὶ ὅτε
ἤγειρε Κύριος κριτὰς αὐτοῖς, καὶ ἦν
Κύριος μετὰ τοῦ κριτοῦ, καὶ ἔσωσεν
αὐτοὺς ἐκ χειρὸς ἐχθρῶν αὐτῶν πά-
E σας τὰς ἡμέρας τοῦ κριτοῦ, ὅτι παρε-
κλήθη Κύριος ἀπὸ τοῦ στεναγμοῦ αὐ-
τῶν ἀπὸ προσώπου πολιορκούντων αὐ-
ιθ. τοὺς καὶ ἐκθλιβόντων αὐτούς. Καὶ ἐγέ-
νετο ὡσεὶ (3) ἀπέθνησκεν ὁ κριτὴς, καὶ
ἀπέστρεφον καὶ πάλιν διέφθειρον ὑπὲρ
τοὺς πατέρας αὐτῶν πορεύεσθαι ὀπί-
σω Θεῶν ἑτέρων, λατρεύειν αὐτοῖς καὶ
προσκυνεῖν αὐτοῖς. οὐκ ἀπέῤῥιψαν τὰ
Z ἐπιτηδεύματα αὐτῶν, καὶ τὰς ὁδοὺς
κ. αὐτῶν τὰς σκληράς. Καὶ ὠργίσθη
θυμῷ Κύριος ἐν τῷ Ἰσραήλ· καὶ εἶπεν,
ἀνθ' ὧν ὅσα ἐγκατέλιπε τὸ ἔθνος τοῦ-
το τὴν διαθήκην μου καὶ (4) ἐνετειλά-
μην αὐτοῖς καὶ τοῖς πατράσιν αὐτῶν,
καὶ οὐκ εἰσήκουσαν τῆς φωνῆς μου,

κα. Καὶ ἐγὼ οὐ προσθήσω τοῦ ἐξᾶ-
H ραι ἄνδρα ἐκ προσώπου αὐτῶν ἀπὸ
τῶν ἐθνῶν, ὧν κατέλιπεν ἐν τῇ γῇ
κβ. Ἰησοῦς υἱὸς Ναυῆ· καὶ ἀφῆκε Τοῦ πει-
ρᾶσαι

(1) Κυρίου, υἱός. αἱ αὐτ. (2) Ἑτέρων. αἱ αὐτ. (3) Ὡς. αἱ αὐτ. (4) Ἣν. αἱ αὐτ.

ρᾶσαι ἐν αὐτοῖς τὸν Ἰσραὴλ, εἰ φυ-
λάξοιντο τὴν ὁδὸν Κυρίου πορεύεσθαι
ἐν αὐτῇ, ὃν τρόπον ἐφύλαξαν οἱ πα-
τέρες αὐτῶν, ἢ οὔ.

ΑΔΗΛΟΥ. Τούτου χάριν ἀφῆκας (1)
αὐτοῖς τοῦ πειρᾶσαι αὐτούς· ἐπειδὴ ἐδύνα-
A το πάντως ὁ τὸν Ὢγ, καὶ Σιὼν, καὶ Ἀμοῤ-
ῥαῖον ἐξωλοθρεύσας, μηδὲ τούτους ἐᾶσαι.

κγ. Καὶ ἀφήσει Κύριος τὰ ἔθνη
ταῦτα τοῦ μὴ ἐξᾶραι αὐτὰ τὸ τά-
χος, καὶ οὐ παρέδωκεν αὐτὰ ἐν χειρὶ
Ἰησοῦ.

Κ Ε Φ. Γ.

α. Καὶ ταῦτα τὰ ἔθνη ἃ ἀφῆ-
κε Κύριος (2) αὐτὰ ὥστε
πειρᾶσαι ἐν αὐτοῖς τὸν Ἰσ-
ραὴλ, ἅπαντας τοὺς μὴ ἐγνωκότας
β. πάντας τοὺς πολέμους Χαναάν. Πλὴν
διὰ τὰς γενεὰς υἱῶν Ἰσραὴλ τοῦ διδά-
ξαι αὐτοὺς πόλεμον, πλὴν οἱ ἔμπρο-
σθεν αὐτῶν οὐκ ἔγνωσαν αὐτά.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τόδε τὸ
» χωρίον, ταῦτα τὰ ἔθνη ἃ ἀφῆκεν Ἰησοῦς,
» ὥστε πειρᾶσαι ἐν αὐτοῖς τὸν Ἰσραὴλ, πάν-
» τας τοὺς μὴ ἐγνωκότας τοὺς πολέμους Χα-
» ναάν· πλὴν διὰ τὰς γενεὰς τῶν υἱῶν Ἰσ-
» ραὴλ τοῦ διδάξαι αὐτοὺς πολεμεῖν, πλὴν οἱ
» ἔμπροσθεν αὐτῶν οὐκ ἔγνωσαν αὐτά; Ἰησοῦ
τοῦ Ναυῆ στρατηγοῦντος, οὐ κατὰ πολεμικὴν
τέχνην ἐνίκα ὁ λαὸς παρατατλόμενος, ἀλ-
λὰ τῆς ἄνωθεν ἀπολαύων ἐπικουρίας. ἀπο-
Ἐξόδ. 23. 28. στελῶ γάρ φησι τὰς σφηκίας ἔμπροσθεν
» ὑμῶν· καὶ ἐξολοθρεύσει τὸν Χαναναῖον,
» καὶ τὸν Χετταῖον, καὶ τὰ ἑξῆς. καὶ μέν-
τοι καὶ σκηπτοὺς ἄνωθεν ἀφιεὶς, καὶ χά-
λαζαν λίθων ἔχουσαν μέτρον, τοὺς πολε-
μίους ἀνήλισκε. λέγει τοίνυν, ὅτι τούτου
χάριν οὐ πάντας ἄρδην διώλεσε τοὺς τὴν
γῆν ἐκείνην οἰκοῦντας, Ἰησοῦ τοῦ Ναυῆ στρα-
τηγοῦντος, ἵνα καὶ οἱ μετ᾽ ἐκεῖνον τῇ πείρᾳ
τὴν τοῦ Θεοῦ διδαχθῶσι κηδεμονίαν, καὶ διὰ
τὴν πολεμικὴν ἀνάγκην τὸν Δεσπότην κα-
» λῶσιν εἰς συμμαχίαν. τὸ μέντοι πειρᾶσαι,
» ὁ Σύμμαχος ἀσκῆσαι ἡρμήνευσεν. ἀσκῆ-
σαι γάρ φησιν αὐτοὺς ἠβουλήθη, καὶ διδά-
» ξαι τοῦ πολέμου τὴν τέχνην. καὶ τὸ πειρᾶ-
σαι δὲ κατὰ τοὺς Ἑβδομήκοντα κείμενον οὐ
τὴν ἄγνοιαν τοῦ Θεοῦ δηλοῖ. οὐδὲ γὰρ τὸν
Ἀβραὰμ τούτου χάριν ἐπείραζεν, ἵνα μά-
θῃ τοῦ Ἀβραὰμ τὴν γνώμην. κἀκεῖ γὰρ
Γεν. 18. 19. ἐδίδαξεν, ὅτι ᾔδει ὁ Θεὸς, ὅτι συντάξει
» Ἀβραὰμ τοῖς υἱοῖς αὐτοῦ μετ᾽ αὐτοῦ, φυ-
» λάσσειν πάντα τὰ κρίματα Κυρίου τοῦ Θεοῦ.
οὐχ ἵνα τοίνυν αὐτὸς μάθῃ, πειράζει· ἀλλ᾽
ἵνα τοὺς ἀγνοοῦντας διδάξῃ. ὥσπερ τοίνυν
εἰς γυμνασίαν τοῦ λογικοῦ τῷ Ἀδὰμ ἐδεδώ-
κει τὴν ἐντολὴν, οὕτω κἀνταῦθα ἔνια τῶν
ἐθνῶν καταλέλοιπεν· ὥστε τῶν μὲν δεῖξαι
τὸ εὐσεβὲς, τῶν δὲ διελέγξαι τὸ δυσσε-
» βές. τοῦτο γὰρ λέγει, ὥστε πειρᾶσαι ἐν αὐ-
» τοῖς τὸν Ἰσραὴλ, τοῦ γνῶναι εἰ ἀκούσεται
» τὰς ἐντολὰς Κυρίου. ἃς ἐνετείλατο τοῖς
» πατράσιν αὐτῶν ἐν χειρὶ Μωϋσῆ. καὶ αὐ-
τὰ δὲ διδάσκει τὰ πράγματα, ὡς αὐτοὶ αἴ-
τιοι γεγένηνται τοῦ μὴ παντάπασιν ἀπαλ-
λαγῆναι τῶν δυσσεβῶν ἐκείνων ἐθνῶν. ἐν-
νέα γὰρ καὶ εἴκοσι βασιλέας, δίχα τῶν
τῆς Ἱεριχὼ καὶ τῆς Γαῒ στρατηγῶν, ὁ Ἰη-
σοῦς σὺν ταῖς στρατείαις αὐτῶν καθηκόντισε,
μὴ πόλιν ἔχων, μὴ ὁρμητήριον, μὴ στρα-
Γ τιώτας ἐμπειρίαν ἠσκημένους πολεμικήν. οἱ
δέ γε μετ᾽ ἐκεῖνον, καὶ πόλεις ὀχυρὰς ἐσχη-
κότες, καὶ πλοῦτον ὅτι μάλιστα πλεῖστον ἐκ
τῶν λαφύρων κτησάμενοι, καὶ πανοπλίας
ἔχοντες καὶ τείχη καὶ περιβόλους, περι-
γενέσθαι τῶν ὑπολειφθέντων οὐκ ἴσχυσαν
διὰ τὴν οἰκείαν ἀσέβειαν.

» ΑΔΗΛΟΥ. Οἱ ἔμπροσθεν αὐτῶν οὐκ ἔγ-
νωσαν· Διδάσκων ἡμᾶς, ὅτι μηδ᾽ ὅλως
ἠπίσταντο, ἢ μᾶλλον ἐν λήθῃ ἔθεντο τὰ ἐπὶ
Δ Μωϋσέως καὶ Ἰησοῦ θαυματουργηθέντα.

γ. Τὰς πέντε σατραπείας τῶν
ἀλλοφύλων, καὶ πάντα τὸν Χανα-
ναῖον, καὶ τὸν Σιδώνιον, καὶ Εὐαῖον
τὸν κατοικοῦντα τὸν Λίβανον ἀπὸ τοῦ
ὄρους τοῦ Ἀερμὼν ἕως Λαβοϊθάμ. (3)
δ. Καὶ ἐγένετο ὥστε πειρᾶσαι ἐν αὐτοῖς
τὸν Ἰσραὴλ, γνῶναι εἰ ἀκούσονται τὰς
E ἐντολὰς Κυρίου. ἃς ἐνετείλατο τοῖς
ε. πατράσιν αὐτῶν ἐν χειρὶ Μωϋσῆ. Καὶ
οἱ υἱοὶ Ἰσραὴλ κατῴκησαν ἐν μέσῳ τοῦ
Χαναναίου, καὶ τοῦ Χετταίου, καὶ τοῦ
Ἀμοῤῥαίου, καὶ τοῦ Φερεζαίου, καὶ τοῦ
ς. Εὐαίου, καὶ τοῦ Ἰεβουσαίου. Καὶ ἔλα-
βον τὰς θυγατέρας αὐτῶν ἑαυτοῖς
εἰς γυναῖκας, καὶ τὰς θυγατέρας
Z αὐτῶν ἔδωκαν τοῖς υἱοῖς αὐτῶν, καὶ
ζ. ἐλάτρευσαν τοῖς Θεοῖς αὐτῶν. Καὶ
ἐποίησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πονηρὸν
ἔναντι Κυρίου· καὶ ἐπελάθοντο Κυ-
ρίου τοῦ Θεοῦ αὐτῶν, καὶ ἐλάτρευσαν
τοῖς Βααλεὶμ καὶ τοῖς ἄλσεσι.

η. Καὶ ὠργίσθη θυμῷ Κύριος ἐν
τῷ Ἰσραὴλ, καὶ ἀπέδοτο αὐτοὺς ἐν
χειρὶ Χουσαραθὲμ (4) βασιλέως πο-
H ταμῶν Συρίας. καὶ ἐδούλευσαν οἱ υἱοὶ
Ἰσραὴλ τῷ Χουσαραθὲμ ἔτη ὀκτώ.

(1) Ἴσ. ἀφῆκεν.
(2) Ἰησοῦς. αἱ αὐτ. ἐν ταῖς σημειώσ. καὶ ὁ Θεοδώριτ.
(3) Λαβωεμάθ. αἱ αὐτ.
(4) Χουσαρσαθέμ. αἱ αὐτ. καὶ ἐν τῷ ί ἐδ.

** ΙΩΣΗΠΟΥ. Τοῖς Ἰσραηλίταις προύβαινεν ὑπό τε ἀπειρίας τοῦ πονεῖν τὰ κακὰ, καὶ ἀπὸ τῆς περὶ τὸ θεῖον ὀλιγωρίας. μετακινηθέντες γὰρ ἅπαξ τοῦ κόσμου τῆς πολιτείας, ἐπεφέροντο πρὸς τὸ καθ' ἡδονὴν καὶ βούλησιν ἰδίαν βιοῦν, ὡς καὶ τῶν ἐπιχωριαζόντων παρὰ τοῖς Χαναναίοις ἀναπίμπλαςθαι κακῶν. ὀργίζεται τοίνυν αὐτοῖς ὁ Θεός. καὶ ἣν πόνοις μυρίοις εὐδαιμονίαν ἐκλήσαντο, ταύτην ἀπέβαλον διὰ τρυφήν. στρατεύσαντος γὰρ ἐπ' αὐτοὺς Χουσάρθου τοῦ τῶν Ἀσσυρίων βασιλέως, πολλούς τε τῶν παραταξαμένων ἀπώλεσαν, καὶ πολιορκούμενοι κατὰ κράτος ᾑρέθησαν. εἰσὶ δ' οἳ διὰ φόβον ἑκουσίως αὐτῷ προσεχώρησαν· φόρους τε τοῦ δυνατοῦ μείζονας ἐπιταγέντες ἐτέλουν, καὶ ὕβρεις παντοίας ὑπέμενον ἕως ἐτῶν ὀκτώ. μεθ' ἃ τῶν κακῶν ἠλευθερώθησαν.

** ΠΡΟΚΟΠΙΟΥ. Βασιλέως Συρίας Μεσοποταμίας. (1) Ἰώσηπος Ἀσυρίας εἶναι βασιλέα φησὶ τὸν Χουσαρεταθώμ. εἰ δὲ τοῦτο, καὶ Συρίας. πάσης γὰρ ἦρχον τῆς Ἀσίας Ἀσσύριοι.

θ. Καὶ ἔκραξαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Κύριον. καὶ ἤγειρε Κύριος σωτῆρα τῷ Ἰσραὴλ, καὶ ἔσωσεν αὐτοὺς, τὸν Γοθονιὴλ υἱὸν Κενὲζ ἀδελφοῦ Χάλεβ τὸν νεώτερον ὑπὲρ αὐτῷ. (2)

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐκέκραξαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Κύριον τὴν κραυγὴν τὴν ἐπαινετὴν τὴν ἐπὶ μετανοίᾳ, περὶ ἧς φησὶ
Ψαλ. 140. 1. καὶ Δαβίδ· Κύριε ἐκέκραξα πρὸς σὲ, εἰσάκουσόν μου. καὶ, ἐκ βαθέων ἐκέκραξά σοι
Ψαλ. 129. 1. Κύριε.

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς ὁ Γοθονιὴλ καὶ τοῦ Χάλεβ ἀδελφὸς, καὶ τοῦ Κενὲζ υἱός; ὁ γὰρ Χάλεβ Ἰεφοννῆ υἱὸς ἦν; Εἰκὸς καὶ διώνυμον εἶναι τὸν Ἰεφοννῆ, καὶ καλεῖσθαι καὶ Κενέζ. εἰκὸς δὲ καὶ ἐκ διαφόρων αὐτοὺς εἶναι πατέρων, μιᾶς δὲ μητρός. καὶ τὸν μὲν Χάλεβ, τὸν Ἰεφοννῆ ἐσχηκέναι πατέρα· μετὰ δὲ τὴν τούτου τελευτὴν γήμασθαι τὴν αὐτοῦ μητέρα τῷ Κενὲζ, καὶ τεκεῖν τὸν Γοθονιήλ.

ι. Καὶ ἐγένετο ἐπ' αὐτὸν πνεῦμα
Κυρίου, καὶ ἔκρινε τὸν Ἰσραήλ. καὶ
ἐξῆλθεν εἰς πόλεμον πρὸς Χουσαρσα-
θέμ. καὶ παρέδωκε Κύριος ἐν χειρὶ αὐ-
τοῦ τὸν Χουσαρσαθὲμ βασιλέα Συ-
ρίας ποταμῶν· καὶ ἐκραταιώθη ἡ χεὶρ
ια. αὐτοῦ ἐπὶ τὸν Χουσαρσαθέμ. Καὶ ἡσύ-
χασεν ἡ γῆ τεσσαράκοντα ἔτη. καὶ
ἀπέθανε Γοθονιὴλ υἱὸς Κενέζ.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Οὗτος πλησθεὶς πνεύματος θείου, κρίνει μὲν τὸν λαὸν, νικᾷ δὲ τὸν προειρημένον ἐχθρόν.

ΑΔΗΛΟΥ. Καὶ ἐγένετο ἐπ' αὐτὸν πνεῦμα Κυρίου, ἀντὶ τοῦ, θείας χάριτος ἠξιώθη.

** ΙΩΣΗΠΟΥ. Τῆς Ἰούδα φυλῆς τὶς Ὀθνίηλος τοὔνομα, Κενέζου υἱὸς, δραστήριος ἀνὴρ, καὶ τὸ φρόνημα γενναῖος· χρησθὲν αὐτῷ μὴ περιορᾷν ἐν τοιαύτῃ τοὺς Ἰσραηλίτας ἀνάγκῃ κειμένους, ἀλλ' εἰς ἐλευθερίαν αὐτοὺς ἐξαιρεῖσθαι τολμᾷν· παρασκευασάμενος συλλαμβάνεσθαι τῶν κινδύνων τινὰς αὐτῶν· ὀλίγοι δ' ἦσαν οἷς αἰδὼς ἐπὶ τοῖς τότε παροῦσιν ἐτύγχανε, καὶ προθυμία μεταβολῆς· πρῶτον μὲν τὴν παρ' αὐτοῖς οὖσαν φρουρὰν τοῦ Χουσάρθου διαφθείρει, προσγενομένων δὲ πλειόνων τῶν συναγωνιζομένων ἐκ τοῦ μὴ διαμαρτεῖν περὶ τὰ πρῶτα τῆς ἐπιχειρήσεως, μάχην τοῖς Ἀσσυρίοις συνάπτουσι, καὶ πρὸς τὸ παντελὲς αὐτοὺς ἀπωσάμενοι, περαιοῦσθαι τὸν Εὐφράτην ἐβιάζοντο. Ὀθνίηλος δὲ, ὡς ἔργῳ πεῖραν αὐτοῦ δεδωκὼς τῆς ἀνδραγαθίας, γέρας ὑπὲρ αὐτῆς λαμβάνει παρὰ τοῦ πλήθους ἀρχὴν, ὥστε κρίνειν τὸν λαόν. καὶ ἄρξας ἐπ' ἔτη τεσσαράκοντα, καταστρέφει τὸν βίον.

ιβ. Καὶ προσέθεντο οἱ υἱοὶ Ἰσραὴλ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον Κυρίου. καὶ ἐνίσχυσε Κύριος τὸν Ἐγλὼμ βασιλέα Μωὰβ ἐπὶ τὸν Ἰσραὴλ, διὰ τὸ πεποιηκέναι αὐτοὺς τὸ πονηρὸν ἔναντι Κυρίου.

** ΙΩΣΗΠΟΥ. Πάλιν τὰ τῶν Ἰσραηλιτῶν ὑπὸ ἀναρχίας ἐνόσει πράγματα· καὶ τῷ μὴ διὰ τιμῆς ἄγειν τὸν Θεὸν, μηδὲ τοῖς νόμοις ὑπακούειν, ἔτι μᾶλλον ἐκακοῦντο· ὡς καταφρονήσαντα αὐτῶν τῆς ἀκοσμίας τῆς κατὰ τὴν πολιτείαν Ἐγλῶνα τῶν Μωαβιτῶν βασιλέα, πόλεμον πρὸς αὐτοὺς ἐξενεγκεῖν, καὶ πολλαῖς μάχαις αὐτῶν κρατήσαντα, καὶ τοὺς φρονήματι τῶν ἄλλων διαφέροντας ὑποτάξαντα πρὸς τὸ παντελὲς αὐτῶν τὴν δύναμιν ταπεινῶσαι, καὶ φόρους αὐτοῖς ἐπιτάξαι τελεῖν.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐνίσχυσεν ὁ Θεὸς τὸν Αἰγλὼμ βασιλέα Μωάβ. ἡ γὰρ ἐξ Ἰσραὴλ ἀναχώρησις τοῦ Θεοῦ, τοῖς πολεμίοις παρεῖχεν ἰσχύν.

ιγ. Καὶ συνήγαγε πρὸς ἑαυτὸν
πάντας τοὺς υἱοὺς Ἀμμὼν καὶ Ἀμα-
λὴκ, καὶ ἐπορεύθη καὶ ἐπάταξε τὸν
Ἰσραὴλ, καὶ ἐκληρονόμησε τὴν πό-
ιδ. λιν τῶν Φοινίκων. Καὶ ἐδούλευσαν
οἱ υἱοὶ Ἰσραὴλ τῷ Ἐγλὼμ βασιλεῖ
Μωὰβ ἔτη δεκαοκτώ.

** ΙΩΣΗΠΟΥ. Καθιδρύσας αὐτῷ ἐν Ἱεριχοῦντι βασίλειον, οὐδὲν τῆς εἰς τὸ πλῆθος κακώσεως παρέλιπεν, εἴς τε πενίαν αὐτοὺς κατέστησεν ἐπὶ ὀκτωκαίδεκα ἔτη.

ΘΕΟΔΩΡΙΤΟΥ. Ὅτι μέντοι τὴν Ἱεριχὼ πόλιν Φοινίκων ὠνόμασε, τὰ κατὰ τὸν Ἐγλὼμ διδάσκει. ἐπορεύθη γάρ φησιν Ἐγλὼμ, καὶ ἐπάταξε τοὺς υἱοὺς Ἰσραὴλ, καὶ

(1) Ἐν τῇ κατὰ τὴν Ὀξον. τῆς Γραφ. ἐκδόσ. ἔστω.

(2) Αὐτόν. αἱ εἰρημ. ἐκδόσ.

» καὶ ἐκληρονόμησε τὴν πόλιν τῶν Φοινίκων.
» καὶ μετ' ὀλίγα. καὶ Ἐγλὼμ ἀνέστρεψεν
» ἀπὸ τῶν εἰδώλων (1) ἐν Γαλγάλοις. καὶ
» εἶπεν Ἀαὼδ τῷ Ἐγλώμ· λόγος μοι κρύ-
» φιος πρὸς σὲ βασιλεῦ.

ΑΔΗΛΟΥ. Ὅτι πόλιν τῶν Φοινίκων
τὴν νῦν καλουμένην Σκυθόπολιν λέγει.

ιε. Καὶ ἐκέκραξαν οἱ υἱοὶ Ἰσραὴλ
πρὸς Κύριον. καὶ ἤγειρεν αὐτοῖς Κύ-
ριος σωτῆρα, τὸν Ἀαὼδ, (2) υἱὸν Γη-
ρὰ υἱὸν τοῦ Ἰεμενεῖ ἄνδρα ἀμφοτερο-
δέξιον. καὶ ἐξαπέστειλαν οἱ υἱοὶ Ἰσραὴλ
δῶρα ἐν χειρὶ αὐτοῦ τῷ Ἐγλὼμ βα-
ις. σιλεῖ Μωάβ. Καὶ ἐποίησεν ἑαυτῷ
Ἀαὼδ μάχαιραν δίστομον, δρακὸς (3)
τὸ μῆκος αὐτῆς· καὶ περιεζώσατο αὐ-
τὴν ὑπὸ τὸν μανδύαν ἐπὶ τὸν μηρὸν
αὐτοῦ τὸν δεξιόν.

** ΙΩΣΗΠΟΥ. Λαβὼν οἶκτον ὁ Θεὸς
τῶν Ἰσραηλιτῶν ἐφ' οἷς ἔπασχον, καὶ ταῖς
ἱκετείαις αὐτῶν ἐπικλασθεὶς, ἀπήλλαξε τῆς
ἐπὶ τοῖς Μωαβίταις ὕβρεως. ἠλευθέρωσε
δὲ τῷ τρόπῳ τούτῳ· τῆς Βενιαμίτιδος φυ-
λῆς νεανίας, Ἠούδης μὲν τοὔνομα, Γηρά τε
πατρὸς, τολμῆσαί τε ἀνδρειότατος, καὶ
τῷ σώματι πρὸς τὰ ἔργα χρῆσθαι δυνα-
τώτατος, τῶν χειρῶν τὴν ἀριστερὰν ἀμεί-
νων, καὶ ἀπ' ἐκείνης τὴν πᾶσαν ἰσχὺν ἔχων,
κατῴκει μὲν ἐν Ἰεριχοῦντι καὶ αὐτός· συ-
νήθης δὲ γίνεται τῷ Ἐγλῶνι, δωρεαῖς αὐ-
τὸν θεραπεύων καὶ ὑπερχόμενος· καὶ διὰ
τοῦτο καὶ τοῖς περὶ τὸν βασιλέα προσφιλῆ
τυγχάνειν αὐτόν· καί ποτε σὺν δυσὶν οἰκέ-
ταις δῶρα τῷ βασιλεῖ φέρων. ξιφίδιον κρύ-
φα τῷ δεξιῷ σκέλει περιδησάμενος, εἰσῄει
πρὸς αὐτόν.

ιζ. Καὶ ἐπορεύθη, καὶ προσήνεγκε
τὰ δῶρα τῷ Ἐγλὼμ βασιλεῖ Μωάβ.
καὶ Ἐγλὼμ ἀνὴρ ἀστεῖος σφόδρα.

ΑΔΗΛΟΥ. Ἀστεῖον λέγει τὸν Ἐγλὼμ,
ἀντὶ τοῦ, εὐπρεπῆ, καὶ δυνατὸν, καὶ ὑπερ-
φερῆ τὸ σῶμα.

ιη. Καὶ ἐγένετο ἡνίκα συνετέλε-
σεν Ἀαὼδ προσφέρων τὰ δῶρα, καὶ
ἐξαπέστειλε τοὺς φέροντας τὰ δῶρα,
ιθ. Καὶ Ἐγλὼμ ὑπέστρεψεν ἀπὸ τῶν ἀν-
δρῶν (4) τῶν ἐν Γαλγάλ· καὶ εἶπεν
Ἀαὼδ, λόγος κρύφιός μοι πρὸς σὲ
βασιλεῦ. καὶ εἶπεν Ἐγλὼμ πρὸς αὐ-
τὸν, σιώπα. καὶ ἐξαπέστειλεν ἀφ' ἑαυ-
τοῦ πάντας τοὺς ἐφεστῶτας ἐφ' ἑαυ-
κ. τῷ. (5) Καὶ αὐτὸς ἐκάθητο ἐν τῷ
ὑπερῴῳ αὐτοῦ τῷ θερινῷ μονώτατος.

A καὶ εἶπεν Ἀαὼδ, λόγος Θεοῦ μοι πρὸς
σὲ βασιλεῦ. καὶ ἐξανέστη Ἐγλὼμ ἀπὸ
κα. τοῦ Θρόνου ἐγγὺς αὐτοῦ. Καὶ ἐγένετο
ἅμα τοῦ ἀναστῆναι αὐτὸν, ἐξέτεινεν
Ἀαὼδ τὴν χεῖρα τὴν ἀριστερὰν αὐτοῦ,
καὶ ἔλαβε τὴν μάχαιραν ἐπάνωθεν
τοῦ μηροῦ αὐτοῦ τοῦ δεξιοῦ, καὶ ἐνέπηξεν
αὐτὴν ἐν τῇ κοιλίᾳ αὐτοῦ.

B ** ΙΩΣΗΠΟΥ. Ὥρα ἦν θέρους, καὶ
τῆς ἡμέρας ἤδη μεσούσης, ἀνεῖντο αἱ φυ-
λακαὶ, ὑπό τε τοῦ καύματος, καὶ πρὸς ἄρι-
στον τετράφθαι. δοὺς οὖν τὰ δῶρα τῷ Ἐγ-
λῶνι ὁ νεανίσκος· διέτριβε δὲ ἔν τινι δω-
ματίῳ δεξιῶς πρὸς θέρος ἔχοντι· πρὸς
ὁμιλίαν ἐτράπετο. μόνοι δ' ἦσαν, τοῦ βα-
σιλέως καὶ τοὺς ἐπεισιόντας τῶν θεραπόν-
των ἀπιέναι κελεύοντος, (6) διὰ τὸ πρὸς
Ἠούδην ὁμιλεῖν. καθῆστο δὲ ἐπὶ θρόνου, καὶ
Γ δέος εἰσῄει τὸν Ἠούδην μὴ διαμάρτῃ, καὶ
μὴ δῷ καιρίαν πληγήν. ἀνίστησιν οὖν αὐ-
τὸν, ὄναρ εἰπὼν ἔχειν ἐκ προστάγματος αὐ-
τῷ δηλῶσαι τοῦ Θεοῦ. καὶ ὁ μὲν πρὸς τὴν
χαρὰν τὴν τοῦ ὀνείρατος ἀνεπήδησεν ἀπὸ
τοῦ θρόνου. πλήξας δ' αὐτὸν ὁ Ἠούδης εἰς
τὴν καρδίαν, καὶ τὸ ξιφίδιον καταλιπὼν,
ἔξεισι προσκλείσας τὴν θύραν. οἵ τε θε-
ράποντες ἠρέμουν, εἰς ὕπνον τετράφθαι
νομίζοντες τὸν βασιλέα.

Δ ΘΕΟΔΩΡΙΤΟΥ. Ἡ δὲ Γάλγαλα τῇ
Ἰεριχῷ πελάζει.

κβ. Καὶ ἐπεισήνεγκε καί γε τὴν
λαβὴν ὀπίσω τῆς φλογὸς, καὶ ἀπέ-
κλεισε τὸ στέαρ κατὰ τῆς φλογὸς,
ὅτι οὐκ ἐξέσπασε τὴν μάχαιραν ἐκ
τῆς κοιλίας αὐτοῦ.

ΑΔΗΛΟΥ. Ὡσανεὶ αὐτὸ τὸ ξίφος,
ἤγουν τὸ σιδήριον τῆς μαχαίρας. κατὰ με-
E ταφορὰν ἐκάλεσεν, ὡσεὶ ἐν τάξει πυρὸς
ταχεῖαν τὴν ἀνάλωσιν διὰ τῆς σφαγῆς
ποιησάμενον.

ΘΕΟΔΩΡΙΤΟΥ. Φλόγα δὲ τὸ σιδήριον
τῆς μαχαίρας ὠνόμασε, παραξιφίδα δὲ
» τὴν λαβήν. τοῦτο γὰρ λέγει· καὶ ἔλαβε
» τὴν μάχαιραν αὐτοῦ ἀπὸ τοῦ μηροῦ αὐτοῦ τοῦ
» δεξιοῦ. καὶ ἐνέπηξεν αὐτὴν εἰς τὴν κοιλίαν
» Ἐγλώμ. καὶ ἐπεισήνεγκε τὴν λαβὴν ὀπί-
» σω τῆς φλογὸς, καὶ ἀπέκλεισε τὸ στέαρ
Z » τὴν παραξιφίδα. (7)

ΑΔΗΛΟΥ. Φλόγα, τὸ σιδήριον λέγει·
οὕτω γὰρ ἑρμηνεύεται· τουτέστιν εἰς τὰς
σάρκας αὐτοῦ πᾶν τὸ σιδήριον.

κγ. Καὶ ἐξῆλθεν Ἀαὼδ τὴν προ-
στάδα. καὶ ἐξῆλθε τοὺς διατεταγμέ-
νους, καὶ ἀπέκλεισε τὰς θύρας τοῦ
ὑπερῴου κατ' αὐτοῦ, καὶ ἐσφήνωσε.

(1) Τῶν ἐν. ἡ ἐν Χάλ. ἔκδ. (2) Ἀώδ. αἱ εἰρημ. ἐκδόσ. (3) Σπιθαμῆς. αἱ αὐτ.
(4) Γλυπτῶν. αἱ αὐτ. Εἰδώλων. ἡ ἐν Ὀξον. ἔκδ.
(5) Ἐπ' αὐτόν. Καὶ Ἀὼδ εἰσῆλθε πρὸς αὐτόν· καὶ αὐτός. αἱ αὐτ.
(6) Κελεύσαντος. ὀρθότερ ὡς ἐν ταῖς σημειώσ. τῆς 290. σελ. τοῦ 1. Τόμ. τῆς ἐν Ἀμστελοδ. ἐκδόσ.
(7) Τῇ παραξιφίδι. ἐν ταῖς σημειώσ. τῆς ἐν Χάλ. ἐκδόσ. ὀρθῶς.

ΑΔΗΛΟΥ. Τὸ πρὸ τοῦ οἴκου εἰσοδικὸν, προσάδα καλεῖ.

κδ. Καὶ αὐτὸς ἐξῆλθε· καὶ οἱ παῖ-
δες αὐτοῦ εἰσῆλθον καὶ εἶδον, καὶ ἰδοὺ
αἱ θύραι τοῦ ὑπερῴου ἐσφηνωμέναι· καὶ
εἶπαν, μήποτε πρὸς δίφρους κάθηται
κε. ἐν τῷ ταμείῳ τῷ θερινῷ; Καὶ ὑπέ-
μειναν ἕως ᾐσχύνοντο· καὶ ἰδοὺ οὐκ ἔστιν
ὁ ἀνοίγων τὰς θύρας τοῦ ὑπερῴου. καὶ
ἔλαβον τὴν κλεῖδα, καὶ ἤνοιξαν. καὶ
ἰδοὺ ὁ Κύριος αὐτῶν πεπτωκὼς ἐπὶ τὴν
γῆν τεθνηκώς.

** ΙΩΣΗΠΟΥ. Οἱ περὶ τὸν Ἔγλωνα πολὺν μὲν χρόνον ἠγνόουν τὸ συμβεβηκὸς αὐτῷ πάθος. ἐπεὶ δὲ πρὸς ἑσπέραν ἦν, δείσαντες μήτι νεώτερον εἴη περὶ αὐτὸν γεγονὸς, εἰσῆλθον εἰς τὸ δωμάτιον, καὶ νεκρὸν εὑρόντες, ἐν ἀμηχανίᾳ καθειστήκεσαν.

κϛ. Καὶ Ἀαὼδ διεσώθη εἰς Τη-
ρωθὰ ἕως ἐθορυβοῦντο, καὶ οὐκ ἦν ὁ
προνοῶν αὐτῷ· καὶ αὐτὸς παρῆλθε
τὰ γλυπτὰ, καὶ διεσώθη εἰς Τηρωθά.
κζ. Καὶ ἐγένετο ἡνίκα ἦλθεν Ἀαὼδ εἰς
γῆν Ἰσραὴλ, καὶ ἐσάλπισεν ἐν κε-
ρατίνῃ ἐν τῷ ὄρει Ἐφραὶμ, καὶ κατέ-
βησαν σὺν αὐτῷ οἱ υἱοὶ Ἰσραὴλ ἀπὸ
τοῦ ὄρους, καὶ αὐτὸς ἔμπροσθεν αὐτῶν.

** ΙΩΣΗΠΟΥ. Ὁ Ἠούδης τοῖς Ἱεριχουντίοις ἀποσημαίνων κρυπτῶς, παρεκάλει τῆς ἐλευθερίας ἀντιλαμβάνεσθαι. οἱ δὲ ἀσμένως τοῦτ' ἀκούσαντες, αὐτοί τε εἰς τὰ ὅπλα ᾔεσαν, καὶ διέπεμπον εἰς τὴν χώραν τοὺς ἀποσημαίνοντας κέρασιν οἰῶν. τούτοις γὰρ συγκαλεῖν τὸ πλῆθος, πάτριον ἦν.

κη. Καὶ εἶπε πρὸς αὐτοὺς, κατά-
βητε ὀπίσω μου, ὅτι παρέδωκε Κύ-
ριος ὁ Θεὸς τοὺς ἐχθροὺς ἡμῶν τὴν
A Μωὰβ ἐν χειρὶ ἡμῶν. καὶ κατέβησαν
ὀπίσω αὐτοῦ, καὶ προκατελάβοντο τὰς
διαβάσεις τοῦ Ἰορδάνου τῆς Μωὰβ, καὶ
κθ. οὐκ ἀφῆκαν ἄνδρα διαβῆναι. Καὶ
ἐπάταξαν τὴν Μωὰβ ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ ὡσεὶ δέκα χιλιάδας ἀνδρῶν,
πάντας τοὺς μαχητὰς τοὺς ἐν αὐτοῖς,
καὶ πάντα ἄνδρα δυνάμεως, καὶ οὐ διε-
λ. σώθη ἀνήρ. Καὶ ἐταπεινώθη Μωὰβ
B ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ὑπὸ χεῖρα Ἰσραὴλ,
καὶ ἡσύχασεν ἡ γῆ ὀγδοήκοντα ἔτη. καὶ
ἔκρινεν αὐτοὺς Ἀαὼδ ἕως οὗ ἀπέθανε.

** ΙΩΣΗΠΟΥ. Οἱ μὲν παραχρῆμα ἀναιροῦνται, οἱ δὲ εἰς φυγὴν τρέπονται, ὡς ἐπὶ τὴν Μωαβῖτιν σωθησόμενοι. ἦσαν δὲ ὑπὲρ μυρίους. καὶ Ἰσραηλῖται προκατειληφότες τοῦ Ἰορδάνου τὴν διάβασιν, πολλοὺς αὐτῶν ἀναιροῦσι, διέφυγέ τε οὐδὲ εἷς
Γ τὰς χεῖρας αὐτῶν. καὶ οἱ μὲν Ἑβραῖοι τούτῳ τῷ τρόπῳ τῆς ὑπὸ τοῖς Μωαβίταις δουλείας ἀπηλλάγησαν. Ἠούδης δὲ τῆς αἰτίας ταύτης τιμηθεὶς τῇ τοῦ πλήθους ἅπαντος ἡγεμονίᾳ, τελευτᾷ, τὴν ἀρχὴν ἔτεσιν ὀγδοήκοντα κατασχών· ἀνὴρ καὶ δίχα τῆς προειρημένης πράξεως ἐπαίνου δίκαιος τυγχάνειν.

λα. Καὶ μετ' αὐτὸν ἀνέστη Σεμε-
Δ γὰρ (1) υἱὸς Δινὰχ, καὶ ἐπάταξε τοὺς
ἀλλοφύλους εἰς ἑξακοσίους ἄνδρας ἐν
τῷ ἀροτρόποδι τῶν βοῶν, καὶ ἔσωσε
καί γε αὐτὸς τὸν Ἰσραήλ.

** ΙΩΣΗΠΟΥ. Σανάγαρος ὁ Ἀνάθου παῖς, αἱρεθεὶς ἄρχειν, ἐν τῷ πρώτῳ τῆς ἀρχῆς ἔτει κατέστρεψε τὸν βίον.

ΑΔΗΛΟΥ. Ἔοικεν, οὐχ ὡς κριτὴς ὑπάρχων ὁ Σεμεγὰρ τὴν πρὸς τοὺς ἀλλοφύλους
E παράταξιν ἐποιήσατο, ἀλλ' ὡς θεοσεβὴς ἀνὴρ, καὶ τὸν ὑπὲρ τοῦ οἰκείου γένους ζῆλον ἀναδεξάμενος.

ΚΕΦ. Δ.

α. Καὶ προσέθεντο οἱ υἱοὶ Ἰσ-
ραὴλ ποιῆσαι τὸ πονηρὸν
ἐνώπιον Κυρίου. καὶ Ἀαὼδ
ἀπέθανε.
β. Καὶ ἀπέδοτο αὐτοὺς Κύριος ἐν
χειρὶ Ἰαβεὶμ βασιλέως Χαναὰν, ὃς
ἐβασίλευσεν ἐν Ἀσαρώθ. (2) καὶ ὁ
ἄρχων τῆς δυνάμεως αὐτοῦ Σισάρα,
καὶ αὐτὸς κατῴκει ἐν Ἀβισὼθ (3)
τῶν ἐθνῶν.

** ΙΩΣΗΠΟΥ. Ἰσραηλῖται πάλιν· οὐδὲν γὰρ ἐπὶ διδαχῇ τοῦ κρείττονος ἐλάμβανον τῶν πρότερον ἠτυχημένων, ὑπότε τοῦ μήτε σέβειν τὸν Θεὸν μήθ' ὑπακούειν τοῖς νόμοις· πρὶν ἢ καὶ τῆς ὑπὸ Μωαβί-
Z ταις ἀναπνεῦσαι δουλείας πρὸς ὀλίγον, ὑπὸ Ἰαβίνου τοῦ τῶν Χαναναίων βασιλέως καταδουλοῦνται. οὗτος γὰρ ἐξ Ἀσάρου πόλεως ὁρμώμενος· αὕτη δὲ ὑπέρκειται τῆς Σεμεχωνίτιδος λίμνης· στρατοῦ μὲν ὁπλιτῶν τριάκοντα ἔτρεφε μυριάδας, μυρίους δὲ ἱππέας, τρισχιλίων (4) δὲ ἁρμάτων ηὐπόρει. ταύτης οὖν στρατηγῶν τῆς δυνάμεως ὁ Σισάρης, τιμῆς τῆς πρώτης παρὰ τῷ βασιλεῖ τυγχάνων, συνελθόντας πρὸς αὐτὸν
H τοὺς Ἰσραηλίτας ἐκάκωσε δεινῶς, ὥστε αὐτοῖς ἐπιτάξαι τελεῖν φόρους.

ΠΡΟΚΟ-

(1) Σαμεγάρ. αἱ εἰρημ. ἐκδόσ.
(2) Ἀσώρ. αἱ αὐτ. καὶ ὁ Προκόπ. καὶ ὁ Θεοδώριτ.
(3) Ἀρισώθ. αἱ αὐτ.
(4) Ἐννεακόσια φησὶν ἡ Γραφὴ, ἀλλὰ σιδηρᾶ. καὶ μήτι γε τ' ἄλλα ξύλινα.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ὃς ἐβασίλευσεν ἐν Ἀσώρ. ἣν καὶ μόνην ἐνέπρησεν Ἰησοῦς, ὡς τῶν λοιπῶν προκαθεζομένην βασιλειῶν, καὶ ἄρχουσαν τῶν ἀλλοφύλων.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὰ κατὰ τὸν Ἰαβεὶν βασιλέα Ἀσὼρ ἱστορεῖ καὶ ἡ ἱστορία τοῦ Ἰησοῦ· εἰ τοίνυν ἐπ' ἐκείνου ἀνῃρέθη, πῶς μετὰ πολὺν χρόνον ἐπανέστη τῷ Ἰσραήλ; Ἄλλος ἦν ἐκεῖνος, καὶ ἄλλος οὗτος. ὁμώνυμοι δὲ ἦσαν, τὴν αὐτὴν ἐσχηκότες βασιλείαν. εἰκὸς δὲ τοῦτον καὶ υἱὸν ἐκείνου γενέσθαι. ἔστι γὰρ πολλοὺς εὑρεῖν τὰς τῶν πατέρων ἐσχηκότας προσηγορίας. αὐτίκα γοῦν Κωνσταντίνου τοῦ βασιλέως ὁ πρῶτος υἱὸς Κωνσταντῖνος ὠνόμασται.

* ΤΟΥ ΑΥΤΟΥ. Ἀλλ' ἡ τοῦ Ἰησοῦ ἱστορία οὐ μόνον τὸν Ἰαβεὶν εἶπεν (1) ἀναιρεθῆναι, ἀλλὰ καὶ τὴν Ἀσὼρ ἐμπρησθῆναι. Οὐδὲν ἀπεικὸς καὶ τότε κατασκαφῆναι, καὶ αὖθις οἰκοδομηθῆναι. πλὴν ἐνταῦθα μέμνηται μὲν τῆς Ἀσώρ, οὐ μὴν ἐν αὐτῇ κατοικεῖν αὐτὸν ἔφησεν, ἀλλ' ἐν τῇ Ἀσειρώθ.

γ. Καὶ ἐκέκραξαν οἱ υἱοὶ Ἰσραὴλ
πρὸς Κύριον, ὅτι ἐννεακόσια ἅρματα
σιδηρᾶ ἦν αὐτῷ· καὶ αὐτὸς ἔθλιψε
τὸν Ἰσραὴλ κατὰ κράτος εἴκοσι ἔτη.
δ. Καὶ Δεββώρα γυνὴ προφῆτις γυνὴ
Ἀφιδώθ, (2) αὕτη ἔκρινε τὸν Ἰσ-
ε. ραὴλ ἐν τῷ καιρῷ ἐκείνῳ. Καὶ αὕτη
ἐκάθητο ὑπὸ φοίνικα Δεββώρα ἀνα-
μέσον Ῥαμὰ καὶ ἀναμέσον τῆς Βαιθὴλ
ἐν τῷ ὄρει Ἐφραίμ· καὶ ἀνέβαινον πρὸς
αὐτὴν οἱ υἱοὶ Ἰσραὴλ εἰς κρίσιν.

** ΙΩΣΗΠΟΥ. Εἴκοσι ἔτη ταῦτα πάσχοντες ἤνυσαν, μήτε αὐτοὶ φρονεῖν ὑπὸ τῆς δυστυχίας ὄντες ἀγαθοί, καὶ τοῦ Θεοῦ πλεῖον δαμάσαι θέλοντος αὐτῶν τὴν ὕβριν καὶ τὴν περὶ αὐτὸν ἀγνωμοσύνην. καὶ μεταθέμενοι τοῦ λοιποῦ, σωφρόνως συνδιδαχθέντες τὰς συμφορὰς αὐτοῖς ἐκ τῆς περιφρονήσεως τῶν νόμων ὑπάρξαι, Δεβώραν τινὰ προφῆτιν· μέλισσαν δὲ σημαίνει τοὔνομα κατὰ τὴν Ἑβραίων γλῶσσαν· ἱκέτευον δεηθῆναι τοῦ Θεοῦ λαβεῖν οἶκτον αὐτῶν, καὶ μὴ περιιδεῖν ἀπολλυμένους αὐτοὺς ὑπὸ Χαναναίων. ὁ δὲ Θεὸς ἐπένευσε σωτηρίαν αὐτοῖς, καὶ στρατηγὸν αἱρεῖται Βάρακον τῆς Νεφθαλίτιδος ὄντα φυλῆς. Βάρακος δὲ ἐστιν ἀστραπὴ, κατὰ τὴν Ἑβραίων γλῶσσαν.

ς. Καὶ ἀπέστειλε Δεββώρα καὶ
ἐκάλεσε τὸν Βαρὰκ υἱὸν Βινεὲμ (3) ἐκ
Κάδης Νεφθαλεὶμ, καὶ εἶπε πρὸς
αὐτὸν, οὐχὶ ἐνετείλατο Κύριος ὁ Θεὸς
Ἰσραὴλ σοι; καὶ ἀπελεύσῃ εἰς ὄρος
Θαβὼρ, καὶ λήψῃ μετὰ σεαυτοῦ δέκα
A χιλιάδας ἀνδρῶν ἐκ τῶν υἱῶν Νεφθα-
ζ. λεὶμ, καὶ ἐκ τῶν υἱῶν Ζαβουλὼν, Καὶ
ἐπάξω σε εἰς τὸν χειμάῤῥουν Κισσὸν (4)
ἐπὶ τὸν Σισάρα ἄρχοντα τῆς δυνά-
μεως Ἰαβεὶν, καὶ τὰ ἅρματα αὐτοῦ,
καὶ τὸ πλῆθος αὐτοῦ, καὶ παραδώσω
αὐτὸν εἰς χεῖράς σου.

** ΙΩΣΗΠΟΥ. Μεταπεμψαμένη ἡ Δεβώρα τὸν Βάρακον, ἐπιλέξαντα τῶν B νέων μυρίους ἐκέλευσε χωρεῖν ἐπὶ τοὺς πολεμίους. ἀποχρῆναι γὰρ τοσούτους, τοῦ Θεοῦ προειρηκότος, καὶ νίκην ἐπισημήναντος.

** ΠΡΟΚΟΠΙΟΥ. Ὄρος Βαθὼρ ἐν τῇ πεδιάδι κεῖται ἀπὸ σημείων ι Διοκαισαρείας κατὰ ἀνατολάς. ὅριον δὲ τοῦτο φυλῆς Ἰσάχαρ καὶ φυλῆς Νεφθαλείμ· ἧς ἦν Κεδὲς ἡ πόλις ἱερατική τε καὶ φυγαδευτήριον τῆς Γαλιλαίας.

Γ ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε γυνὴ προφητεύει; Ἐπειδὴ ἀνδρῶν καὶ γυναικῶν μία ἡ φύσις. ἐκ γὰρ τοῦ Ἀδὰμ ἡ γυνὴ διεπλάσθη, καὶ λόγου μετείληχεν ὡς ἐκεῖνος. διὸ
» καὶ ὁ Ἀπόστολός φησιν, ἐν Χριστῷ Ἰησοῦ οὐκ Γαλ. 3. 28.
» ἔνι ἄρσεν καὶ θῆλυ. οὕτω καὶ Μωϋσῆς προφήτης, καὶ Μαριὰμ προφῆτις. οἶμαι δὲ τὴν Δεββώραν εἰς ἔλεγχον τῶν τότε ἀνδρῶν τῆς προφητείας ἀξιωθῆναι. οὐδενὸς γὰρ ἐξ ἐκείνων εὑρεθέντος ἀξίου τῆς χά-
Δ ριτος, αὕτη τῆς τοῦ παναγίου πνεύματος τετύχηκε δωρεᾶς. καὶ οὕτω δῆλον ἦν, ὅτι τῆς ἄνωθεν ἠξίωτο χάριτος, ὡς τὸν Βαρὰκ μὴ τολμῆσαι δίχα ταύτης εἰς τὴν παράταξιν ἐξελθεῖν. τοῦτο δὲ καὶ ἐν τῇ
» ᾠδῇ αὐτῆς ἔφη· ἐξέλιπον οἱ κρατοῦντες Κριτ. 5. 7.
» ἐν τῷ Ἰσραὴλ, ἕως οὗ ἐξανέστη Δεββώρα
» μήτηρ ἐν τῷ Ἰσραήλ.

ΑΔΗΛΟΥ. Δεββώρα πρόσωπον φέρει προφητείας· Βαρὰκ, τοῦ προτέρου λαοῦ τῆς
E συναγωγῆς. λέγεται δὲ ἡ μὲν Δεββώρα, μέλισσα· ὁ δὲ Βαρὰκ, ἀστραπή· ἡ δὲ Ἰαὴλ, ἀνάβασις. ἥτις ἦν οὐκ Ἰσραηλῖτις, ἀλλ' ἐξ ἐθνῶν.

η. Καὶ εἶπε πρὸς αὐτὴν Βαρὰκ,
ἐὰν πορευθῇς μετ' ἐμοῦ, πορεύσομαι,
καὶ ἐὰν μὴ πορευθῇς μετ' ἐμοῦ, οὐ πο-
ρεύσομαι, ὅτι οὐκ οἶδα τὴν ἡμέραν ἐν ᾗ
εὐοδοῖ Κύριος τὸν Ἄγγελον μετ' ἐμοῦ.

Z ** ΑΔΗΛΟΥ. (5) Οὐ τῇ τῆς γυναικὸς ἐθάῤῥουν ἀνδρείᾳ, ἀλλὰ τῇ τῆς προφητείας δυνάμει. ἐξῆλθον πολλοὶ συνεργοὶ τῆς τοῦ Θεοῦ βουλῆς, καὶ ἐξέκοπτον τοὺς ἀλλοφύλους.

ΑΔΗΛΟΥ. Μέγα γὰρ ἐφόδιον εἰς ἀσφάλειαν ἅγιος μετὰ στρατοῦ πορευόμενος.

ΑΔΗΛΟΥ. Καθ' ὃν καιρὸν, φησὶν, ἡ τοῦ Ἀγγέλου ἐπιστασία κατὰ θείαν ἐνέργειαν ἐπὶ σωτηρίᾳ τοῦ λαοῦ παραγίνεται.

θ. Καὶ

(1) Ἐν κεφ. 11.
(2) Λαφιδώθ. αἱ εἰρημ. ἐκδόσ.
(3) Ἀβινεέμ. αἱ αὐτ. καὶ ἐν τῷ ιβ. ἐδ.
(4) Κισσῶν. αἱ αὐτ. καὶ ἐν τῷ ιγ. ἐδ.
(5) Ἐκ τῶν νόθων τοῦ Χρυσοστόμου ἐστίν. εἴτουν ἐκ τοῦ περὶ ζήλου καὶ εὐσεβείας, καὶ εἰς τὸν ἐκ γενετῆς τυφλὸν, λόγου, τοῦ ἐν τῷ 8. Τόμ. τῆς τοῦ Μοντφαυκον. ἐκδόσ.

θ. Καὶ εἶπε πρὸς αὐτὸν Δεββώ-
ρα, πορευομένη πορεύσομαι μετὰ σοῦ.
πλὴν γίνωσκε ὅτι οὐκ ἔσται τὸ προτέ-
ρημά σου ἐπὶ τὴν ὁδὸν ἣν σὺ πορεύῃ,
ὅτι ἐν χειρὶ γυναικὸς ἀποδώσεται Κύ-
ριος (1) Σισάρα. καὶ ἀνέστη Δεββώρα,
καὶ ἐπορεύθη μετὰ Βαρὰκ ἐν Κάδης.

** ΙΩΣΗΠΟΥ. Βαράκου φαμένου οὐ στρατηγήσειν, μὴ κἀκείνης αὐτῷ συστρατηγούσης, ἀγανακτήσασα, σὺ μὲν, εἶπε, γυναικὶ παραχωρεῖς ἀξιώματος, ὅσον δέδωκεν ὁ Θεὸς, ἐγὼ δὲ οὐ παραιτοῦμαι.

ι. Καὶ ἐβόησε Βαρὰκ τὸν Ζαβου-
λὼν καὶ τὸν Νεφθαλεὶμ ἐκ Κάδης,
καὶ ἀνέβησαν κατὰ πόδας αὐτοῦ δέκα
χιλιάδες ἀνδρῶν, καὶ (2) μετ' αὐτοῦ
Δεββώρα.

ια. Καὶ Χαβὲρ ὁ Κιναῖος ἐχωρί-
σθη ἀπὸ Καινᾶ καὶ ἀπὸ τῶν υἱῶν Ἰωὰβ
γαμβροῦ Μωϋσῆ· καὶ ἔπηξε τὴν σκη-
νὴν αὐτοῦ ἕως δρυὸς πλεονεκτούντων,
ἥ ἐστιν ἐχόμενα Κάδης. (3)

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπισημαντέον δὲ καὶ τοῦτο, ὅτι Κιναίους τοὺς ἀπογόνους τοῦ Ἰοθὼρ καλεῖ.

ΑΔΗΛΟΥ. Ἰωάβ· ὅτι Ἰοθὼρ, καὶ Ἰωβὰβ, καὶ Ῥαγουὴλ ἐκαλεῖτο.

ιβ. Καὶ ἀνηγγέλη Σισάρα, ὅτι
ἀνέβη Βαρὰκ υἱὸς Ἀβινεὲμ εἰς ὄρος
ιγ. Θαβώρ. Καὶ ἐκάλεσε Σισάρα πάν-
τα τὰ ἅρματα αὐτοῦ ἐννεακόσια ἅρ-
ματα σιδηρᾶ, καὶ πάντα τὸν λαὸν τὸν
μετ' αὐτοῦ ἀπὸ Ἀρισὼθ τῶν ἐθνῶν εἰς
ιδ. τὸν χειμάῤῥουν Κισῶν. Καὶ εἶπε Δεβ-
βώρα πρὸς Βαρὰκ, ἀνάστηθι, ὅτι αὕ-
τη ἡ ἡμέρα, ἐν ᾗ παρέδωκε Κύριος
τὸν Σισάρα ἐν τῇ χειρί σου, ὅτι Κύ-
ριος ἐξελεύσεται ἔμπροσθέν σου. καὶ
κατέβη Βαρὰκ ἐκ τοῦ ὄρους Θαβὼρ,
καὶ δέκα χιλιάδες ἀνδρῶν ὀπίσω αὐτοῦ.
ιε. Καὶ ἐξέστησε Κύριος τὸν Σισάρα καὶ
πάντα τὰ ἅρματα αὐτοῦ καὶ πᾶσαν
τὴν παρεμβολὴν αὐτοῦ ἐν στόματι ῥομ-
φαίας ἐνώπιον Βαράκ. καὶ κατέβη
Σισάρα ἐπάνωθεν τοῦ ἅρματος αὐτοῦ,
ις. καὶ ἔφυγε τοῖς ποσὶν αὐτοῦ· Καὶ Βα-
ρὰκ διώκων ὀπίσω τῶν ἁρμάτων αὐ-
τοῦ καὶ ὀπίσω τῆς παρεμβολῆς ἕως
Ἀρισὼθ τῶν ἐθνῶν. καὶ ἔπεσε πᾶσα
ἡ παρεμβολὴ Σισάρα ἐν στόματι ῥομ-
φαίας· οὐ κατελείφθη ἕως ἑνός.

ιζ. Καὶ Σισάρα ἔφυγε τοῖς πο-
σὶν αὐτοῦ εἰς σκηνὴν Ἰαὴλ γυναικὸς
Χαβὲρ τοῦ Κιναίου, ὅτι εἰρήνη ἦν ἀνα-
Α μέσον Ἰαβεὶν βασιλέως Ἀσὼρ καὶ
ἀναμέσον οἴκου Χαβὲρ τοῦ Κιναίου.

** ΠΡΟΚΟΠΙΟΥ. Χάβερ τοῦ Κιναίου. υἱωνὸς οὗτος Ἰοθὸρ τοῦ γαμβροῦ Μωϋσέως. ὃς ἐκεῖ πρώην διάγων, θεασάμενος τοῦ πολέμου τὴν ἔφοδον, πόῤῥω που τῆς μάχης ἐγένετο, καὶ τὴν ἑαυτοῦ σκηνὴν ἔπηξε πρὸς δρυῒ ἀναπαυομένων πλησίον τῆς Κεδές.

ιη. Καὶ ἐξῆλθεν Ἰαὴλ εἰς συνάν-
Β τησιν Σισάρα, καὶ εἶπεν αὐτῷ, ἔκ-
κλινον κύριέ μου πρός με, μὴ φοβοῦ. καὶ
ἐξέκλινε πρὸς αὐτὴν εἰς τὴν σκηνήν·
καὶ περιέβαλεν αὐτὸν περιβολαίῳ.

ιθ. Καὶ εἶπε Σισάρα πρὸς αὐτὴν,
πότισόν με δὴ μικρὸν ὕδωρ, ὅτι ἐδί-
ψησα. καὶ ἤνοιξε τὸν ἀσκὸν τοῦ γά-
λακτος, καὶ ἐπότισεν αὐτὸν, καὶ πε-
Γ ριέβαλεν αὐτόν.

** ΠΡΟΚΟΠΙΟΥ. Τῷ Σισάρᾳ ὕδωρ αἰτοῦντι γάλα παρέσχετο, ὡς ἂν καὶ μᾶλλον ὡς εὐνοοῦσα πιστεύσειε· καὶ καθυγρανθεὶς, καὶ τοῖς περιβολαίοις θαλπόμενος, κατενεχθείη πρὸς ὕπνον. ἐθάῤῥησε δὲ τὴν ἀρχὴν ταῖς προϋπαρξάσαις σπονδαῖς αὐτῷ τε καὶ Χάβερ τοῦ ταύτης ἀνδρός.

κ. Καὶ εἶπε πρὸς αὐτὴν Σισάρα,
Δ στῆθι δὴ ἐπὶ τὴν θύραν τῆς σκηνῆς, καὶ
ἔσται ἐὰν ἀνὴρ ἔλθῃ πρὸς σὲ, καὶ εἴπῃ,
εἰ ἔστιν ὧδε ἀνήρ; καὶ ἐρεῖς, οὐκ ἔστι.

κα. Καὶ ἔλαβεν Ἰαὴλ γυνὴ Χα-
βὲρ τὸν πάσσαλον τῆς σκηνῆς, καὶ
ἔθηκε τὴν σφῦραν ἐν τῇ χειρὶ αὐ-
τῆς, καὶ εἰσῆλθε πρὸς αὐτὸν ἐν κρυ-
φῇ, καὶ ἔπηξε τὸν πάσσαλον ἐν τῷ
Ε κροτάφῳ αὐτοῦ, καὶ διεξῆλθεν ἐν τῇ
γῇ· καὶ αὐτὸς ἐξεστὼς ἐσκοτώθη, καὶ
ἀπέθανε.

ΑΔΗΛΟΥ. Τοῦτο πέπονθεν ὁ Σισάρα, θαῤῥήσας ταῖς ἐν μέσῳ ὑπαρξάσαις σπονδαῖς αὐτοῦ τε καὶ Χάβερ τοῦ ταύτης ἀνδρός· καὶ πρό γε πάντων, τοῦ Θεοῦ αὐτὸν εἰς τιμωρίαν συνελάσαντος.

κβ. Καὶ ἰδοὺ Βαρὰκ διώκων τὸν
Ζ Σισάρα. καὶ ἐξῆλθεν Ἰαὴλ εἰς συ-
νάντησιν αὐτῷ, καὶ εἶπε πρὸς αὐτὸν,
δεῦρο καὶ δείξω σοι τὸν ἄνδρα ὃν σὺ
ζητεῖς. καὶ εἰσῆλθε πρὸς αὐτήν· καὶ
ἰδοὺ Σισάρα ἐῤῥιμμένος νεκρὸς, καὶ
ὁ πάσσαλος ἐν τῷ κροτάφῳ αὐτοῦ.
κγ. Καὶ ἐτρόπωσεν ὁ Θεὸς ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ τὸν Ἰαβεὶν βασιλέα Χαναὰν
κδ. ἔμπροσθεν τῶν υἱῶν Ἰσραήλ. Καὶ
Η ἐπορεύετο χεὶρ τῶν υἱῶν Ἰσραὴλ πο-
ρευομένη καὶ σκληρυνομένη ἐπὶ Ἰαβεὶν
βασι-

(1) Τὸν Σισ. αἱ εἰρημ. ἐκδόσ. (2) Καὶ ἀνέβη. αἱ αὐτ. (3) Κεδές. αἱ αὐτ.

βασιλέα Χαναὰν, ἕως ὅτε ἐξωλόθρευσαν αὐτὸν τὸν Ἰαβὶν βασιλέα Χαναάν.

** ΙΩΣΗΠΟΥ. Οὕτω μὲν ἡ νίκη αὕτη περιέστη, κατὰ τὰ ὑπὸ Δεββώρας εἰρη- A μένα, εἰς γυναῖκα. Βάρακος δὲ στρατεύσας ἐπ' Ἄσωρον, Ἰαβῖνόν τε ὑπαντιάσαντα κτείνει, καὶ τοῦ στρατηγοῦ πεσόντος, καθελὼν εἰς ἔδαφος τὴν πόλιν, στρατηγεῖ τῶν Ἰσραηλιτῶν ἐπ' ἔτη τεσσαράκοντα.

ΚΕΦ. Ε.

α.  αὶ ᾖσε Δεββώρα καὶ Βαρὰκ υἱὸς Ἀβινεὲμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγοντες,

** ΠΡΟΚΟΠΙΟΥ. Ἐν τῇ θείᾳ Γραφῇ πρώτη μὲν ᾠδὴ ἡ ἐν τῇ Ἐξόδῳ· Ἄσωμεν τῷ Κυρίῳ, ἐνδόξως γὰρ δεδόξασται· (Ἐξόδ. 15. 1.) δευτέρα ἡ ἐν τοῖς Ἀριθμοῖς ἐπὶ τῷ Φρέατι· τρίτη ἐν τῷ Δευτερονομίῳ· πρόσεχε οὐρανὲ, καὶ λαλήσω· (Δευτ. 32. 1.) τετάρτη ἐν τοῖς Κριταῖς, ἡ παροῦσα. χρὴ δὲ τὸν ἐφθακότα ταύτην ᾄδειν, ἤτοι μέλισσαν ἤδη γεγονέναι· Δεββῶρα γὰρ οὕτως ἑρμηνεύεται· ἢ ἀναβεβηκέναι, ὡς ἂν αὐτὸν εἶναι καὶ ἀστραπήν· ὃ δὴ σημαίνει Βαράκ· ᾄδων ᾠδὴν ἐπινίκιον, ἐκλειπόντων βασιλέων τῶν πορευθέντων ὁδοὺς διεστραμμένας.

β. Ἀπεκαλύφθη ἀποκάλυμμα ἐν Ἰσραὴλ ἐν τῷ ἑκουσιασθῆναι λαὸν, εὐλογεῖτε Κύριον.

** ΠΡΟΚΟΠΙΟΥ. Δηλοῖ ἡ ῥῆσις· ἐν τῷ ἄρχοντας ἐν τῷ Ἰσραὴλ ἀναφαίνεσθαι, καὶ τὸν λαὸν αὐτοῖς ὑπείκειν ἑκόντα, τὸν Κύριον εὐλογεῖτε. ὅταν γὰρ συνδράμῃ ἄρχων τε νόμιμος καὶ λαὸς εὐπειθὴς, δοξάζεται Θεός· ἐξ οὗ ἀρχή τε πᾶσα καὶ τάξις ἐν τῷ παντί· θάτερον γὰρ θατέρου χωρὶς ἀσθενές τε καὶ ἄτακτον.

ΑΔΗΛΟΥ. Αὐθαιρέτῳ γνώμῃ πρὸς Θεὸν ἐπιστρέφοντες, καὶ τῆς σωτηρίας αὐτοῦ ἀξιωθέντες, αὐτῷ τὴν εὐχαριστίαν ἀναπέμψατε. ἡ γὰρ εὐλογία διττῶς λέγεται· ποτὲ μὲν, ἀπὸ τοῦ Θεοῦ πρὸς ἡμᾶς· ποτὲ δὲ, ἀφ' ἡμῶν πρὸς τὸν Θεὸν, ἐν τῷ διηγεῖσθαι τὰ παρ' αὐτοῦ δωρηθέντα ἀγαθά.

γ. Ἀκούσατε βασιλεῖς, καὶ ἐνωτίσασθε σατράπαι· ἐγώ εἰμι τῷ Κυρίῳ ἐγώ εἰμι, ᾄσομαι, καὶ ψαλῶ τῷ Κυρίῳ (1) Ἰσραήλ.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐγὼ τῷ Κυρίῳ ἐγώ εἰμι. Ταῦτα τοῖς βασιλεῦσι τῶν ἀλλοφύλων καὶ σατράπαις φησίν· ὡς οὐ τῇ ἐμῇ δυνάμει, Θεοῦ δὲ συνεργοῦντος, ἐκράτησα. ᾧ καὶ ᾄδω, φησίν, ὡς αἰτίῳ τῆς νίκης. ὃς καὶ τὸν Ἰσραὴλ ἐξελέξατο, καὶ ἀξιοῖ τούτου καλεῖσθαι Θεός.

δ. Κύριε, ἐν τῇ ἐξόδῳ σου ἐκ Σηεὶρ ἐν τῷ ἀπαίρειν σε ἐξ ἀγροῦ Ἐδὼμ, γῆ ἐσείσθη, καί γε ὁ οὐρανὸς ἐταράχθη, καὶ αἱ νεφέλαι ἔσταξαν ὕδωρ.

B ΑΔΗΛΟΥ. Τὰ ἀπὸ τῆς Αἰγύπτου καὶ μέχρι τῆς γῆς τῆς ἐπαγγελίας θαυματουργηθέντα ὑπὸ τοῦ Θεοῦ ἀπὸ μέρους εἰς μέσον ἄγει.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐν τῷ ἐκπορεύεσθαί σε ἐκ Σηείρ. Τὴν ἐξ Αἰγύπτου φησὶν ἐπάνοδον τοῦ λαοῦ, προηγουμένου Θεοῦ, ὅτε ἐσπούδασαν ἡγεμόνες Ἐδώμ· ὅπερ Ἀκύλας (Ἐξόδ. 15. 15.) φησὶν, ἐκλονήθησαν· Καί γε οὐρανὸς ἐταράχθη· αἱ ἀγγελικαὶ Δυνάμεις εἰς τὴν Γ ὑπὲρ τοῦ λαοῦ διανέστησαν συμμαχίαν. Θεοδοτίων δέ φησιν, ἔσταξε δρόσους, ὃ δηλοῖ τὸ ἐπὶ τὸν λαὸν ἔλεος τοῦ Θεοῦ. Καὶ αἱ νεφέλαι δέ φησιν ἔσταξαν ὕδωρ. ἐπήγασε γὰρ διψῶντι λαῷ· σημαίνοι δ' ἂν ἴσως καὶ τὸν δι' Ἀγγέλων νόμον δοθέντα.

ε. Ὄρη ἐσαλεύθησαν ἀπὸ προσώπου Κυρίου Θεοῦ Ἐλωῒ (2) τοῦ Σινᾶ, ἀπὸ προσώπου Κυρίου Θεοῦ Ἰσραήλ.

Δ ΑΔΗΛΟΥ. Ὄρη τοὺς βασιλεῖς τροπικῶς ὀνομάζει.

** ΠΡΟΚΟΠΙΟΥ. Ὄρη ἐσαλεύθησαν, οἱ τῶν ἐθνῶν ἐν ἀρχαῖς ὑπερέχοντες, ἤγουν οἱ τούτων ἄρχοντες Δαίμονες.

** ΤΟΥ ΑΥΤΟΥ. Τοῦ Σινᾶ, Σύμμαχος ἐξέδωκε, τοῦτό ἐστι Σινά· ἵνα ᾖ, τοῦ Κυρίου Σινά. τίς δὲ οὗτος ὁ Κύριος ἐπεσήμηνε. σύμφωνα δὲ τούτοις καὶ ὁ Δαβὶδ ἐν ξζ' φησὶ ψαλμῷ· ὁ Θεὸς ἐν τῷ ἐκπορεύε- (Ψαλ. 67. 7, 8.) E σθαί σε ἐνώπιον τοῦ λαοῦ σου, ἐν τῷ διαβαίνειν σε ἐν τῇ ἐρήμῳ· γῆ ἐσείσθη, καὶ οἱ οὐρανοὶ ἔσταξαν ἀπὸ προσώπου τοῦ Θεοῦ τοῦ Σινὰ, ἀπὸ προσώπου τοῦ Θεοῦ Ἰσραήλ· εἰς τὸν Χριστὸν ταῦτα λαβών. ὃς διαβὰς ἐκ Σηεὶρ καὶ Ἐδώμ· οὕτω γὰρ τὸν Ἠσαῦ καλεῖσθαί φησιν ἡ Γραφὴ, σύμβολον ὄντα τοῦ νομικοῦ λαοῦ· ὃς θηριώδης ὢν, ἐφόνα κατὰ Χριστοῦ χρηματίσαντος Ἰακώβ. εἰς τοὺς δύω γὰρ λαοὺς οἱ τῆς Ῥεβέκκας ἐλήφθησαν Z υἱοί. μέλλων οὖν ἐξ αὐτοῦ διαβαίνειν, ἐρήμου καὶ ἀοικήτου τυγχάνοντος, ἔσεισε μὲν τὴν γῆν ἐπὶ τοῦ σταυροῦ, ἐξ οὐρανοῦ δὲ σταγόνας ἐξέπεμψε τὰς τοῦ πνεύματος δωρεὰς, ἀναληφθεὶς εἰς αὐτόν. ὅτε καὶ αἱ τούτου Δυνάμεις πυνθάνονται, τίς οὗτος ὁ παραγενόμενος ἐξ Ἐδώμ; (Ἡσ. 63. 1.) εἶτα τοῦτον Ἰουδαίοις σαφηνίζων, φησὶ, Θεοῦ Ἰσραήλ. ὁ γὰρ φανεὶς τοῖς ἡμετέροις προγόνοις ἐν τῷ Σινὰ, τὴν γῆν ἐπὶ τοῦ σταυροῦ συνέσεισε, τῆς ἡμε- H τέρας μανίας εἰς ἔλεγχον· ἐξετάραξε δὲ καὶ τὸν οὐρανὸν, ἡλίου τὰς ἀκτῖνας συστείλαντος, καὶ τῶν ἐκεῖ Δυνάμεων ἐπὶ τῷ δεσπο-

(1) Τῷ Κυρίῳ τῷ Θεῷ. αἱ αὐτ.

(2) Ἐλωῒ, τοῦτο Σινᾶ ἀπό. αἱ αὐτ.

δεσποτικῷ πάθει τεταραγμένων. μεθ' ἃ A
λοιπὸν τοῖς πιστεύσασιν αἱ νοηταὶ νεφέλαι
τὰς θείας ἐξ οὐρανοῦ παρέχοντο δωρεάς.
ὄρη δὲ τὰ πνευματικὰ τῆς πονηρίας ἐσά-
λευσε διὰ τῆς εὐαγγελικῆς διδαχῆς. Φησὶ
γὰρ θεραπεύσας τὸν σεληνιαζόμενον· ἐὰν
Ματθ. 17. 20. ἔχητε πίστιν, ἐρεῖτε τῷ ὄρει τούτῳ, μετά-
βηθι· οὕτω καλέσας τὰ Δαιμόνια. καλεῖ
δὲ πρόσωπον Κυρίου Θεοῦ Ἰσραὴλ, τὸν υἱόν.
Ψαλ. 4. 6. ἐσημειώθη γάρ φησιν ἐφ' ἡμᾶς τὸ φῶς τοῦ
» προσώπου σου Κύριε· ὃς τῷ εὐαγγελικῷ κη- B
ρύγματι ἔθνη καὶ πόλεις διέσεισεν· ἵνα τὸν
ἐν ταῖς ἡμετέραις ψυχαῖς καλαλείπω σεισ-
μὸν, καὶ τὴν ἐκ τῆς πλάνης καὶ τῶν γηΐνων
μετάστασιν τῶν ἐν ἡμῖν κλονηθέντων πα-
θῶν. οὕτω καὶ ἡ παροῦσα νῦν ᾠδὴ τοῖς πο-
λεμίοις τοῖς ὁρατοῖς ἐπεμβαίνουσα, πρὸς
τοὺς νοητοὺς διὰ τούτων ἀνέδραμεν.

ς. Ἐν ἡμέραις Σεμεγὰρ υἱοῦ Ἀνὰθ
ἐν ἡμέραις Ἰσραὴλ, (1) ἐξέλιπον βα- Γ
σιλεῖς, ἐξέλιπον ὁδοὺς, καὶ ἐπορεύθη-
σαν ἀτραποὺς, ἐπορεύθησαν ὁδοὺς διε-
στραμμένας. (2)

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἐν ἡμέραις Σαμε-
γὰρ υἱοῦ Ἀνὰθ, ὡσεὶ ἔλεγε· καὶ ταῦτα μὲν
τὸ τηνικαῦτα γενήσεται, νυνὶ δὲ ἐν ἡμέ-
» ραις Σαμεγὰρ, ἐν ἡμέραις Ἰαὴλ ἐξέλει-
» πον βασιλεῖς. ὅσον δὲ ἧκεν εἰς τὴν ἱστορίαν
τὴν γραφικὴν, ἄδηλος ὁ Σαμεγάρ. Ἰώ- Δ
σηπος δέ φησιν (3) αὐτὸν ἄρξαι τοῦ Ἰσραὴλ
αἱρεθέντα, καὶ καταλῦσαι τὸν βίον ἐν τῷ
πρώτῳ τῆς ἀρχῆς ἔτει. Ἰαὴλ δέ φησι τὴν
ἀνελοῦσαν τὸν Σισάρα. ἐφ' ἧς καὶ τοῦ Σα-
μεγὰρ ἐξέλειπον βασιλεῖς, καὶ δεδιότες ἐν
τῷ δεσμῷ, τὰς ἐπ' εὐθείας ὁδοὺς οὐκ ἐτρά-
ποντο, τὰς δὲ διεστραμμένας· αἱ τῆς εἰδω-
» λολατρείας ὑπάρχουσι τύπος. ἐξέλειπον
» δέ φησι Φαραζὰν ἐν Ἰσραὴλ, ὅπερ ἑρμη-
νεύεται δυνατοὶ, μέχρι Δεββώρας. ὁ δὲ E
Σαμεγὰρ, πάροικος δηλοῖ· Ἀνὰθ δὲ, τα-
πείνωσις, ἢ ἀπόκρισις· Ἰαὴλ δὲ, ἀνάβα-
σις. ἡνίκα τοίνυν γένηταί τις πάροικος τοῦ
βίου τοῦ παρόντος, υἱὸς ὢν τῆς ταπεινώσεως,
Ματθ. 11. 29. κατὰ τὸν εἰπόντα· μάθετε ἀπ' ἐμοῦ, ὅτι
» πρᾶός εἰμι, καὶ ταπεινὸς τῇ καρδίᾳ· καὶ
τύχοι δι' αὐτῆς ἀναβάσεως· ὁδὸς γὰρ ὑψώ-
σεως ἡ ταπείνωσις· θεωρεῖ καὶ τοὺς πορευ-
θέντας διεστραμμένας ὁδοὺς βασιλεῖς ἐκλιμ-
Ἐφεσ. 6 12. πάνοντας, πρὸς οὓς ἡμῖν ἡ πάλη, οὐ πρὸς Z
Ψαλ. 38. 12. αἷμα καὶ σάρκα· ὃς καί φησι· πάροικός
Ἑβρ. 13. 14. εἰμι ἐγὼ καὶ παρεπίδημος. καὶ, οὐκ ἔχομεν
» ὧδε μένουσαν πόλιν, ἀλλὰ τὴν μέλλουσαν
» ἐπιζητοῦμεν.

ΑΔΗΛΟΥ. Ὥσπερ φησὶν ἐν τῇ ἐρήμῳ
διὰ τῆς πρὸς τὰς γυναῖκας τῶν Μαδιανι-
τῶν ἐπιμιξίας τῇ εἰδωλολατρείᾳ ὑπήχθη
ὁ λαὸς, καὶ τιμωρίαν ἐδέξατο· οὕτω διὰ
τὴν πρὸς τὰς νεανίδας τῶν ἐθνικῶν συνά-
φειαν τιμωρίᾳ παρεδόθησαν. H

ζ. Ἐξέλιπον δυνατοὶ Ἰσραὴλ,
ἐξέλιπον ἕως οὗ ἀνέστη Δεββώρα, ἕως
οὗ ἀνέστη μήτηρ ἐν Ἰσραήλ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ὅτι ἕως ἐξανέστη
» μήτηρ ἐν τῷ Ἰσραήλ. Τὴν πρὸ αὐτῆς, μη-
τρὸς τρόπον ἐπεχούσης, πολιτευσαμένην
ἀσέβειαν ἐν τῷ Ἰσραὴλ διηγεῖται.

η. Ἐξελέξαντο Θεοὺς κενοὺς, ὡς
ἄρτον κρίθινον, τότε ἐπολέμησαν πό-
λεις ἀρχόντων.

» ΑΔΗΛΟΥ. Ἐξελέξαντο Θεοὺς κενοὺς,
» ὡς ἄρτον κρίθινον. ἐπειδὴ γὰρ ὁ ἄρτος τὸ
στήριγμα τῆς καρδίας καθέστηκε, τοσοῦτόν
φησιν ἠγάπησαν τὴν εἰδωλολατρείαν, ὥστε
δοκεῖν αὐτοῖς, ὡς ἐπ' ἀναγκαίῳ τινὶ πράγ-
ματι καὶ τὴν ζωὴν αὐτῶν συνιστῶντι, τὴν
περὶ τούτων σπουδὴν ἐνδείκνυσθαι. κρίθινον
δὲ ἔφη, διὰ τὸ γλυκύτατον ἐκ τοῦδε τοῦ
εἴδους κατασκευάζεσθαι ἄρτον.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἡρέτισαν Θεοὺς κε-
» νοὺς, ὡς ἄρτον κρίθινον. ὥσπερ γὰρ ἄν τις
σιτίνου παρακειμένου ἄρτου, καχεξίαν νο-
σῶν, ἀλλάξηται κρίθινον· οὕτω τοῦ ἀλη-
θοῦς Θεοῦ τοὺς ματαίους ἀνθείλοντο.

ΘΕΟΔΩΡΙΤΟΥ. Λέγει δὲ καὶ τὴν τῶν
» ὁμοφύλων ἀσέβειαν· ἡρέτισαν Θεοὺς κε-
» νοὺς, ὡς ἄρτον κρίθινον. τὴν πολλὴν αὐ-
τῶν ἀφροσύνην διὰ τῆς εἰκόνος διήλεγξεν.
ὥσπερ γὰρ ἀνόητος ὁ τῶν πυρίνων ἄρτων
προτιμῶν τοὺς κριθίνους, οὕτως ἄγαν ἐμ-
βρόντητος ὁ τοὺς ψευδωνύμους Θεοὺς τοῦ ἀλη-
θινοῦ προτιθείς.

Θυρεὸς ἐὰν ὀφθῇ καὶ λόγχη καὶ
σιρομάστης ἐν τεσσαράκοντα χιλιάσιν
θ. ἐν τῷ Ἰσραὴλ, Ἡ καρδία μου εἰς τὰ
διατεταγμένα τῷ Ἰσραήλ· οἱ ἑκου-
σιαζόμενοι ἐν λαῷ εὐλογεῖτε Κύριον.

ΘΕΟΔΩΡΙΤΟΥ. Δηλοῖ δὲ καὶ τὸ πιστὸν
» τῆς γνώμης. ἐὰν γὰρ ἴδω, φησὶ, σιρομα-
» στῶν τεσσαράκοντα χιλιάδας, ἡ καρδία μου
» ἐπὶ τὰ διατεταγμένα τῷ Ἰσραήλ. ταῦτα
» δὲ ὁ θεῖος διηγόρευσε νόμος. ἐὰν γάρ φη- Δεύτ.
» σιν ἴδῃς πλῆθος πολεμίων καὶ ἅρματα καὶ
» ἵππον, μὴ φοβηθῇς, ὅτι Κύριος ὁ Θεός σου
» πολεμήσει ὑπὲρ σοῦ. κελεύει δὲ οὐ μόνον
τοῖς πένησιν, ἀλλὰ καὶ τοῖς ἐν πλούτῳ μέ-
» γα φρονοῦσιν, ὑμνεῖν τὸν Θεόν. οἱ δυνάσται
» γάρ φησι τοῦ λαοῦ εὐλογεῖτε τὸν Κύριον,
» ἐπιβεβηκότες ἐπὶ ὑποζυγίων, καθήμενοι
» ἐπὶ λαμπηνῶν, (4) φθέγξασθε φωνὴν ἀνα-
» κρουομένων ἀναμέσον εὐφραινομένων. ἐκεῖ
» δώσουσιν εὐφροσύνην (5) τῷ Θεῷ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Σκέπη νεανίδων
» σειρομαστῶν, ἐὰν ὀφθῇ σειρομάστης ἐν μ'
» χιλιάσιν ἐν τῷ Ἰσραὴλ, ἡ καρδία μου ἐπὶ
» τὰ τεταγμένα τῷ Ἰσραήλ. Ὥσπερ ὁ ἄρ-
τος ὁ κρίθινος, καὶ ἡ ἀπὸ γυναικῶν ἐν πο-
λέμῳ

(1) Ἰαήλ. αἱ αὐτ. καὶ ἐν τῷ τοῦ Προκόπ. ὑπομν.
(2) Ὁδοὺς διεστραμμένας. Ἐξέλιπε Φράζων ἐν Ἰσραὴλ, ἐξέλιπον. ὁ Ἀλεξανδριν. κώδ. ἐν ταῖς σημειώσ. τῆς ἐν Φρανεκ. ἐκδόσ. τὸ αὐτὸ δὲ ἄλλως πως καὶ ὁ Προκόπ. ἐν τῷ ὑπομν.
(3) Ὁρασελ. 140.
(4) Λαπίνων· καὶ φθέγξ. ἡ ἐν Χάλ. ἐκδ.
(5) Δικαιοσύνην. ἡ αὐτ.

λέμῳ σκέπη δι' ὀργάνων πολεμικῶν ἀσθε-
νής ἐςιν· ὅτως ἐλπὶς ἐν εἰδώλοις. οἷς οἱ πι-
ςεύοντες, κἂν ὦσιν ὁπλῖται πολλοὶ κατ'
Ἰσραὴλ συνιςάμενοι, ἡ καρδία μȣ ἐφ' ἅπερ
ἔταξεν ὁ Θεὸς τῷ λαῷ· ἐλπίζειν ἐπὶ Κύ-
ριον, φυλάττειν τὰς ἐντολὰς αὐτȣ̃, καὶ μὴ
λατρεύειν Θεοῖς ἑτέροις, καὶ ὅσα τῷ νόμῳ
διείρηται. ὧν ἡμῖν φυλαττομένων, αὐτὸς
πολεμήσει ὑπὲρ ἡμῶν. τὰ γὰρ ὅπλα ἡμῶν
Ψαλ. 3. 6, 7. ȣ̓ σαρκικὰ, ἀλλὰ πνευματικά. ȣ̓ γὰρ φο-
βηθήσομαι ἀπὸ μυριάδων λαȣ̃, τῶν κύκλῳ
συνεπιτιθεμένων μοι. τὰ γὰρ τεταγμένα
φθέγξομαι τῷ Ἰσραήλ· ἀνάςα Κύριε, σῶ-
σόν με ὁ Θεός μȣ.
** ΤΟΥ ΑΥΤΟΥ. Οἱ Δυνάςαι τȣ̃
λαȣ̃ εὐλογεῖτε τὸν Κύριον, φάσκοντες·
Ψαλ. 59. 12. ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν, καὶ αὐτὸς
ἐξουδενώσει τȣ̀ς θλίβοντας ἡμᾶς.

ΑΔΗΛΟΥ. Ἀντὶ τȣ̃, ȣ̓χ ὑπ' εὐαριθμή-
των τὴν πληγὴν ἐδέξαντο, ἀλλ' ὑπὸ πλή-
θȣς χιλιάδων ἡ κάκωσις αὐτοῖς ἐπήχθη.

ΑΔΗΛΟΥ. Ἡ καρδία μȣ εἰς τὰ δια-
τεταγμένα τῷ Ἰσραήλ· ἀντὶ τȣ̃, ἀνεπί-
λησον φυλάσσω τὴν μνήμην ἐπὶ τοῖς ἐν-
ταλθεῖσι παρὰ τȣ̃ Θεȣ̃ τῷ λαῷ.

ΑΔΗΛΟΥ. Οἱ ἑκȣσιαζόμενοι ἐν λαῷ
εὐλογεῖτε Κύριον· Ἀντὶ τȣ̃, πάντες τὴν
ὀφειλομένην ὑμνῳδίαν καταφανῆ καὶ μετ'
εὐφροσύνης ἀποτίσατε.

ι. Ἐπιβεβηκότες ἐπὶ ὄνȣ θηλείας
μεσημβρίας καὶ λαμπȣσῶν, καθή-
μενοι ἐπὶ κριτηρίȣ, καὶ πορευόμενοι
ὁδȣ̀ς συνέδρων ἐφ' ὁδῷ, διηγεῖσθε
ια. Ἀπὸ φωνῆς ἀνακρȣομένων ἀναμέσον
ὑδρευομένων·

** ΠΡΟΚΟΠΙΟΥ. Ἐπιβεβηκότες ἐπὶ
ὑποζυγίων ἐπὶ λαμπινῶν, καθήμενοι ἐπὶ
κριτήριον, καὶ πορευόμενοι ἐφ' ὁδῷ. φθέγξα-
σθε φωνήν. Οἱ Δυνάςαι φησὶν Ἰσραὴλ,
καὶ προπορευόμενοι ἐν ὁδῷ τȣ̃ λαȣ̃, καὶ ἐπὶ
τὸ κρίνειν τεταγμένοι, ὡς ἔν τινι λύρᾳ τὴν
ἐπινίκιον ᾠδὴν ἀνακρȣ́εσθε.

Ἐκεῖ δώσȣσι δικαιοσύνας Κυρίῳ.
δικαιοσύνας (1) αὔξησον ἐν τῷ Ἰσ-
ραήλ.

ΑΔΗΛΟΥ. Τὸ ἐκεῖ, ποτὲ μὲν ἐπὶ τόπȣ
λαμβάνει ἡ θεία Γραφὴ, πολὲ δὲ ἐπὶ πρά-
Ψαλ. 35. 12. ξεως ὁμοίως. οἷόν ἐςι τὸ, ἐκεῖ ἔπεσον πάν-
τες οἱ ἐργαζόμενοι τὴν ἀνομίαν, ἀντὶ τȣ̃,
ὑπὸ τὴν αὐτὴν τιμωρίαν κατεδικάσθησαν.
ὁμοίως λαμβάνεται καὶ ἐπὶ δικαιοσύνης,
ὥσπερ καὶ νῦν.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐκεῖ δώσȣσι δικαιο-
Ψαλ. 86. 7. σύνην Κυρίῳ. ἐκεῖ. πȣ̃; Ἔνθα πάντων
εὐφραινομένων ἡ κατοικία ἐν αὐτῷ. ȣ̓ γὰρ
ἔςι χαίρειν τοῖς ἀσεβέσι, λέγει Κύριος. (2)
Οὐδὲ δώσȣσιν ἐν συνεδρίῳ ἁμαρτωλῶν δι-
Ψαλ. 67. 34, 35. καιοσύνην Κυρίῳ. ἐπὶ γὰρ τὸν Ἰσραὴλ ἡ

A μεγαλοπρέπεια αὐτȣ̃, καὶ ἡ δύναμις αὐτȣ̃
ἐν ταῖς νεφέλαις. καὶ, θαυμαςὸς ὁ Θεὸς
ἐν τοῖς ἁγίοις αὐτȣ̃. Καὶ ἐνίσχυσαν φησὶν
ἐν τῷ Ἰσραήλ. Κύριος γὰρ ἰσχὺν τῷ λαῷ Ψαλ. 28. 11.
αὐτȣ̃ δώσει. λαὸς δὲ αὐτȣ̃ οἱ δίκαιοι.

Τότε κατέβη εἰς τὰς πόλεις ὁ
λαὸς Κυρίȣ.

** ΠΡΟΚΟΠΙΟΥ. Τότε κατέβη ὁ
λαὸς Κυρίȣ εἰς τὰς πόλεις αὐτȣ̃. Τότε.
B πότε; ὅτε δίκαιοι ἐνίσχυσαν ἐν τῷ Ἰσραήλ.
πόλεις δὲ νοήσεις τȣ̃ Ἰσραὴλ, καὶ τὰς κα-
τὰ Θεὸν αὐτȣ̃ πολιτείας, καὶ τῶν ἐντολῶν
τὴν τήρησιν.

ιβ. Ἐξεγείρȣ, ἐξεγείρȣ Δεββώ-
ρα· ἐξεγείρȣ, ἐξεγείρȣ, λάλησον
ᾠδήν· ἀνάςα Βαρὰκ, (3) καὶ αἰχ-
μαλώτευσον αἰχμαλωσίαν σȣ, ὑὸς
Ἀβινεέμ.

Γ ΑΔΗΛΟΥ. Ἐξανίςασο, φησὶν, ὡς κρι-
τὴς τȣ̃ λαȣ̃, εὐχαριςίαν προσάγων Θεῷ
ὑπὲρ τῆς νίκης. τὸ δὲ, ἐνίσχυσον Δεββώ-
ρα τὸν Βαρὰκ, ὡσανεὶ διὰ τῆς γεγενημέ-
νης ὑπ' αὐτῆς προῤῥήσεως ὑπὲρ τῆς σω-
τηρίας τȣ̃ λαȣ̃.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐξεγείρȣ, ἐξεγεί-
ρȣ Δεββῶρα, δικαιοσύνην αὔξησον. ἐνίσχυ-
σον τὸν λαὸν, διανάςηθι πρὸς τὴν τȣ̃ Θεȣ̃
δόξαν, καὶ τὴν σωτηρίαν τȣ̃ Ἰσραήλ.

Δ ** ΤΟΥ ΑΥΤΟΥ. Ἐνισχύων ἐξανί-
ςασο Βαράκ. ἐνδυναμȣ̃, καὶ διανίςασο, κα-
τὰ τὸ πρὸς Μωϋσέα· σὺ δὲ αὐτȣ̃ ςῆθι μετ' Ἐξόδ. 33. 21.
ἐμȣ̃. καὶ κατὰ Δαβὶδ εἰπόντα· ἑςῶτες Ψαλ. 121. 2.
ἦσαν οἱ πόδες ἡμῶν ἐν ταῖς αὐλαῖς σȣ Ἱε-
ρȣσαλήμ· καὶ, ἔςησας ἐπὶ πέτραν τȣ̀ς πό- Ψαλ. 39. 2.
δας μȣ. ἐνισχύων ȣ̓̃ν ἐξανίςασο, καὶ λέγε·
πάντα ἰσχύω ἐν τῷ ἐνδυναμȣ̃ντί με Χριςῷ· Φιλιπ. 4. 13.
καὶ, ἰσχύς μȣ καὶ ὕμνησίς μȣ ὁ Κύριος. ἀλ- Ψαλ. 117. 14.
E λὰ καὶ σὺ Δεββῶρα κατίσχυσον τὸν Βα-
ράκ. διδόασι καὶ γὰρ ἡμῖν ἐν Κυρίῳ δύνα-
μιν καὶ οἱ ἅγιοι, θαῤῥεῖν ἡμᾶς κατὰ τῶν
πολεμίων παρασκευάζοντες. πᾶν δὲ νόη- 2. Κορ. 10. 5.
μα αἰχμαλώτιζε Βαρὰκ εἰς τὴν ὑπακοὴν
τȣ̃ Χριςȣ̃· κἂν ἐκλυθῇς πρὸς τȣ̃το, κατὰ
τὸν Ἰωνάθαν, ἐκ τῆς ἐργασίας Δεββώ-
ρας γευσάμενος, ἴσχυε, τȣ̃ μέλιτος τȣ̃
προφητικȣ̃.

ιγ. Τότε κατέβη (4) κατάλειμ-
Z μα τοῖς ἰσχυροῖς· λαὸς Κυρίȣ (5) κα-
τέβη αὐτῷ ἐν τοῖς κραταιοῖς ἐξ ἐμȣ̃.

** ΠΡΟΚΟΠΙΟΥ. Ὁπότε ἐμεγαλύν-
θη ἡ ἰσχὺς αὐτȣ̃. Ὁ κατὰ Θεὸν ἀνδρεῖος,
καὶ νικῶν τȣ̀ς ἀοράτȣς ἐχθρȣ̀ς μεγαλύνε-
ται, τὴν θείαν δύναμιν ἐκ τῶν ἀρετῶν με-
γάλην ἔχων ἐν ἑαυτῷ. ἐν γὰρ τοῖς τȣ́των
ἐρήμοις ἀσθενεῖ καὶ σμικρύνεται. τὴν δὲ
δύναμιν ταύτην προφητικοὶ χορηγȣ̃σι λό-
H γοι, πνευματικὴν διδόντες ἰσχύν.

(1) Δίκαιοι ἐνίσχυσαν ἐν τῷ Ἰσραήλ. ἡ ἐν Κομπλ. ἔκδ. (2) Ἐκ τῆς 2. τȣ̃ Ἰωάν. ἐπις. ἴσ. ἐλήφθη.
(3) Ἐνίσχυσον Δεββώρα τὸν Βαράκ. ὁ τȣ̃ Ἀλεξάνδ. κώδ. ὡς ἐξ ἄλλης τινὸς ἐκδόσ.
(4) Ἐμεγαλύνθη ἡ ἰσχὺς αὐτȣ̃. ἡ τȣ̃ Ἄλδ. ἔκδ. (5) Κύριε ταπείνωσόν μοι τȣ̀ς ἰσχυροτέρȣς μȣ. αὐτ.

** ΤΟΥ ΑΥΤΟΥ. Κύριος ταπεινώ-
Ψαλ. 123. 2, 3. σόν μοι τοὺς ἰσχυροτέρους μου. Εἰ μὴ γὰρ
» ὅτι Κύριος ἦν ἐν ἡμῖν, ἐν τῷ ἐπαναστῆναι
» ἀνθρώπους ἐφ' ἡμᾶς, ἄρα ζῶντας ἂν κα-
» τέπιον ἡμᾶς, πόσῳ μᾶλλον Δαίμονες καὶ ὁ
Σατανᾶς οἱ καταβληθέντες δι' ἔπαρσιν;

ιδ. Ἐφραὶμ (1) ἐξεῤῥίζωσεν αὐ-
τοὺς ἐν τῷ Ἀμαλὴκ, ὀπίσω σου Βενια-
μὶν τοῖς λαοῖς σου.

ΑΔΗΛΟΥ. Πρὸ πάντων τῆς Φυλῆς τοῦ
Ἐφραὶμ μνημονεύει, ἐπειδὴ καὶ βασιλεία
ἐκ ταύτης πρῶτον ἐν τῷ Ἰσραήλ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Λαὸς Ἐφραὶμ ἐτι-
» μωρήσατο αὐτοὺς ἐν κοιλάδι. ἐπειδὴ Δεβ-
βῶρα ἐν ὄρει Ἐφραὶμ ἐκαθέζετο, ἧς οὖν
τῶν ἐπὶ τοῦ Ἀὼδ γενομένων πρὸ τῶν ἐπὶ
τοῦ Βαρὰκ ἔοικε μεμνῆσθαι· ὅτε ἀναβὰς
Κριτ. 3. 27. Ἀὼδ ἐξ Ἱεριχοῦς, ἐσάλπισε κερατίνῃ ἐν
» ὄρει Ἐφραίμ· καὶ συναχθέντες ἐπάταξαν
τὴν Μωάβ. ἴσως δὲ καὶ μετὰ τὸ νικῆσαι
Βαρὰκ συνεστράφησαν ἅπαντες εἰς τὸν χει-
μάῤῥουν Κισσῶν, καὶ τοὺς περιλειφθέντας
ἀνεῖλον. ὃ διὰ συντομίαν παρέλειπεν ἡ
διήγησις, τελείαν εἰποῦσα τὴν κατ' αὐτῶν
νίκην. καλεῖ δὲ πολλάκις ἡ Γραφὴ τοὺς
Ἰσραηλίτας ἐκ μέρους, Ἐφραίμ. εἰκὸς δὲ
καὶ τὴν κατὰ Γεδεὼν γενομένην νίκην προ-
λέγειν. ἦν γὰρ αὐτὸς Φυλῆς μὲν Μανασσῆ·
μετ' ἐκεῖνον δὲ κατέβησαν οἱ τῆς Φυλῆς
τοῦ Ἐφραὶμ, καὶ συναγωνισάμενοι, τελείως
ἐτρέψαντο τοὺς Μαδιηναίους, καὶ τοὺς σὺν
» αὐτοῖς ἐν κοιλάδι. Τὸ δὲ, ἀδελφοὺς σου Βε-
» νιαμὶν ἐν λαοῖς σου, Ἄλλος ἐξέδωκεν, ὀπίσω
» σου Βενιαμὶν ἀδελφοί σου, τουτέστι σὺν τῷ
Ἐφραὶμ καὶ ὁ Βενιαμὶν ἐν τῇ παρατάξει,
ὡς (2) ἀδελφὸς ὢν Ἰωσήφ, εἰκότως καὶ
τοῦ ἐξ Ἰωσὴφ Ἐφραὶμ ἀδελφὸς ὀνομάζε-
ται κατὰ συνήθειαν γραφικήν. ὡς καὶ τὴν
Σάῤῥαν ἀδελφὴν φησιν Ἀβραὰμ, τουτέστιν
ἀδελφόπαιδα.

** ΤΟΥ ΑΥΤΟΥ. Γράφεται δὲ καὶ
» οὕτως· Ἐξ ἐμοῦ Ἐφραὶμ ἐξεῤῥίζωσεν αὐτοὺς
» ἐν Ἀμαλήκ. Συνῆν γὰρ τῷ Μωὰβ πολε-
μοῦντι τὸν Ἰσραὴλ Ἀμμάν τε καὶ Ἀμαλήκ.
ἐξ ἐμοῦ τοίνυν ἐστὶν ὁ Ἐφραὶμ, τουτέστι τῆς
συγγενείας μου. ἐν ὄρει γὰρ Ἐφραὶμ ἐκαθέ-
ζετο ἡ Δεββῶρα. ὅπερ δὲ εἴρηται, τὸν ἐπὶ
τοῦ Γεδεὼν ἴσως αἰνίττεται πόλεμον τὸν κα-
τὰ Μαδιηναίων καὶ Ἀμαληκιτῶν.

Ἐξ ἐμοῦ (3) Μαχὶρ κατέβησαν
ἐξερευνῶντες.

» ΑΔΗΛΟΥ. Ἐν ἄλλῃ· (4) ἐξεγείρου Μα-
χίρ. Κατ' ἐναλλαγὴν χρόνου εἴρηται τὸ,
ἐξεγείρου Μαχίρ· ἀντὶ τοῦ, καὶ Μαχὶρ ὑπὲρ
τοῦ ἰδίου λαοῦ ἐξαναστὰς, τὸν πρὸς τοὺς ἐναν-
τίους πόλεμον συνεστήσατο.

A » ** ΠΡΟΚΟΠΙΟΥ. Ἐξ ἐμοῦ Μαχεὶρ
» κατέβησαν ἐξερευνῶντες. Ὁ Μαχεὶρ υἱός
ἐστι Μανασσῆ πέραν τοῦ Ἰορδάνου μετὰ Ῥου-
βὴν καὶ Γὰδ κληρωσάμενος. ὅστις πατάξας
τὴν Γαλαὰδ, κατεκληρονόμησεν αὐτήν,
ὥς φησιν ἐν τοῖς Ἀριθμοῖς. ὁμομήτριος δὲ
καὶ ὁμοπάτριος ἀδελφὸς τῷ Ἐφραὶμ ὁ Μα-
νασσῆς. καὶ οὗτοι οὖν φησὶ τοῖς ἰδίοις ἐπα-
μύνοντες ἀδελφοῖς, κατέβησαν ἐξερευνῶν-
τες τοὺς πολεμίους.

B Καὶ ἀπὸ Ζαβουλὼν (5) ἕλκοντες
ἐν ῥάβδῳ διηγήσεως γραμματέως.

ΑΔΗΛΟΥ. Διὰ τῆς Φυλῆς τοῦ Ζαβου-
λὼν Κύριος τοὺς ἐχθροὺς κατεπολέμησε.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐν Ζαβουλὼν
» Κύριος ἐπολέμει μοι ἐν δυνατοῖς. Οἱ γὰρ
μετὰ Βαρὰκ Ζαβουλὼν ἦσαν καὶ Νεφθα-
λὶμ νικήσαντες Σισάρα. ἐν αὐτοῖς οὖν Κύ-
ριος ὑπὲρ ἡμῶν, φησὶν, ἐπολέμει.

Γ ιε. Καὶ ἀρχηγοὶ ἐν Ἰσσάχαρ με-
τὰ Δεββώρας καὶ Βαράκ· (6) οὕτω
Βαρὰκ ἐν κοιλάσιν ἀπέστειλεν ἐν πο-
σὶν αὐτοῦ,

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ, ἴσῃ τάξει καὶ ὁ Ἰσ-
σάχαρ ὑπὸ τῆς θείας χάριτος ἐνισχύθη.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἐκεῖθεν ἐν σκήπτρῳ
» ἐνισχύοντος ἡγήσεως ἐν Ἰσσάχαρ μετὰ Δεβ-
» βώρας ἐξαπέστειλε πεζοὺς αὐτοῦ εἰς τὴν κοι-
Δ λάδα. Σκῆπτρον τοῦ ἐνισχύοντος, ἤτοι ὁ
Ἐφραίμ· ἐκεῖθεν γὰρ ἡ Δεββῶρα· ἤτοι
ὁ Νεφθαλὶμ, ὅθεν ὥρμητο Βαράκ. τῷ οὖν
σκήπτρῳ τοῦ ἐνισχύοντος καὶ ἡγουμένου καὶ ὁ
Ἰσσάχαρ ἐξαπέστειλε μετὰ Δεββώρας πε-
ζοὺς, ὡς εἶναι μᾶλλον σκῆπτρον τοῦ ἐνισχύον-
τος καὶ ἡγουμένου τὸν Ἐφραὶμ, διὰ Δεβ-
βῶραν. αὕτη γὰρ καὶ ἡγήσατο, καὶ ἐνί-
σχυσε Βαράκ τε καὶ τοὺς λοιπούς. κοιλάδα
δέ φησι, διὰ τὸ ἐν χειμάῤῥῳ γεγονέναι
E τὸν πόλεμον.

Εἰς τὰς μερίδας (7) Ῥουβὶμ, με-
γάλοι (8) ἐξικνούμενοι καρδίαν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἵνα τί σὺ κατοι-
» κεῖς ἐν μέσῳ χειλέων; Ἴσως πρὸς πάντα
λέγει τὸν Ἰσραήλ· τί δήποτε, φησὶ, τοῦ
Θεοῦ δεδωκότος ὑμῖν ἄριστον στρατηγὸν, ἀνα-
μέσον κατοικεῖτε τῶν Χαναναίων τῶν ἑτε-
ρογλώσσων καὶ ἀλλοφύλων; ἰδοὺ γὰρ ὁ Βα-
Z ρὰκ ἐκίνησε κατ' ἐκείνων τοὺς πόδας, τῶν
διῃρημένων ἐξ ἡμῶν καὶ Θεοῦ, καὶ μηδὲ
πρὸς ἑαυτοὺς συμφωνούντων. ἦ γὰρ ἂν
ἦσαν χεῖλος ἕν.

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ, τίνος χάριν ἐν μέ-
σῳ ἀλλογλώσσων κατῴκησαν ἐθνῶν; χεί-
λη γὰρ τοὺς ἐθνικοὺς καλεῖ, ὡς ἐν ἄλλῃ ἐκ-
δόσει ἐμφέρεται· ὅτι χείλη.

ΑΔΗΛΟΥ.

(1) Λαὸς Ἐφραὶμ ἐτιμωρήσατο αὐτοὺς ἐν κοιλάδι, ἀδελφοὺς σου Βενιαμίν. ἐν ταῖς σημ. τῆς ἐν Φραν. ἐκδ.
(2) Ἴσ. ὅς. (3) Ἐξεγείρου. ἡ ἐν Ὀξον. ἐκδ. (4) Ἐννοητέον τὸ, ἐκδόσει.
(5) Κύριος ἐπολέμει μοι, καὶ ἐν δυνατοῖς ἐκεῖθεν ἐν σκήπτρῳ ἐνισχύοντος ἡγήσεως. ἡ ἐν Ὀξον. ἐκδ.
(6) Ἐξαπέστειλε πεζοὺς αὐτοὺς εἰς κοιλάδα ἵνα τί σὺ κατοικεῖς ἐμμέσῳ (ἐν μέσῳ ὀρθότερ.) χιλίων, ἐξέτεινεν ἐν ταῖς αὐτοῦ διαιρέσεσι μεγάλοι ἀκριβασμοί. Εἰς. ἡ ἐν Ὀξον. ἐκδ.
(7) Εἰς τὴν κοιλάδα ἵνα τί σὺ κατοικεῖς σὺ ἐν μέσῳ χειλέων. ἐξέτεινε πόδας αὐτοῦ ἐν διαιρέσει Ῥουβήν. ἡ τοῦ Ἀλδ. ἐκδ.
(8) Ἀκριβασμοὶ καρδίας. ἡ αὐτ.

A ΑΔΗΛΟΥ. Μεγάλοι ἐξικνέμενοι. Ἐν ἄλλῃ· ἀκριβασμοί. Ἀκριβασμὲς τὰς θείας προςάξεις ὀνομάζει. λέγει δὲ τὸ, μεγάλοι, ὡσανεὶ ἐκπληττομένη καὶ θαυμάζεσα ἐπὶ ταῖς κεκηρυγμέναις τε Θεε διατάξεσιν.

ΑΔΗΛΟΥ. Ὡς σφόδρα ἐπαινεσα τὴν διάθεσιν αὐτε, εἶπε· τὴν καρδίαν, ἀντὶ τῆς διαθέσεως.

ις. Εἰς τί ἐκάθισαν (1) ἀναμέσον τῆς διγωμίας (2) τε ἀκεσαι συριγμε ἀγγέλων εἰς διαιρέσεις καρδίας;

B ✻✻ ΠΡΟΚΟΠΙΟΥ. Ῥεβὴν μεγάλοι ἀκριβασμοὶ καρδίας, ἵνα τί μοι κάθησαι ἀναμέσον τῶν Μοσφαιθάν; Τὸ Μοσφαιθὰν ἑρμηνεύεσιν, Ἀκύλας μὲν, τῶν κλήρων· Σύμμαχος δὲ, τῶν μεταιχμίων. ὁ δὲ Ῥεβὴν ὁ πρωτότοκος μεγαλόφρων ἐςὶ, καὶ ἄλλως ὀξὺς περὶ τὰ πράγματα. ὅπερ ἐπιφέρει καὶ περὶ τε Μανασσῆ. τί ἒν φησὶ σκοπεντες καὶ ἀκριβολογέμενοι κάθησθε, μὴ πρὸς τὴν μάχην κινέμενοι, μηδὲ τοῖς περὶ τὸν Ῥεβὴν πέραν τε Ἰορδάνε μένοντες; ἀγαπῶντες εἰ τὲς ἰδίες φυλάξητε κλήρες. καὶ ταῦτα τὴν νίκην ἰδόντες· δεῖσθε δὲ τῶν σημαινόντων ὑμῖν, καὶ καλέντων εἰς τὴν παράταξιν.

Γ ΑΔΗΛΟΥ. Ἀντὶ τε, ἐκ τῆς ἡμετέρας μετὰ τῶν ἐθνῶν κατοικίας καὶ κοινωνίας ἰσχυρότερος ὁ ἐχθρὸς ἀπεδείχθη.

Δ ΑΔΗΛΟΥ. Διὰ μὲν τῆς προσηγορίας τε Ῥεβὶμ, πάντα τὸν λαὸν ὑπὸ μέρες ἐσήμανε· διὰ δὲ τῶν συριγμῶν, τὰ εἰδωλικὰ ᾄσματα· ἔςιν ὅτε καὶ τὲς ςεναγμὲς καὶ ὀδυρμὲς, ὃς ἐκ τῶν ἐθνῶν κακέμενοι, τῷ Θεῷ ἀνέπεμπον.

E ΘΕΟΔΩΡΙΤΟΥ. Μοφαδὲμ (3) δὲ, ἀγροὶ ἑρμηνεύονται· Μαδαρὼθ δὲ, (4) ἀβλεψία. τὸ δὲ καταράσασθαι Μαζὼρ, (5) καταράσασθαι ἐν τῷ κραταιῷ. διδασκόμεθα δὲ διὰ τῆς ἱςορίας, ὡς πατρικῇ φιλοςοργίᾳ κεχρημένος ὁ δεσπότης Θεὸς, καὶ παρανομεντα [τὸν λαὸν] παραδίδωσιν ἀλλοφύλοις· οἷόν τινι ῥάβδῳ κεχρημένος καὶ μάςιγι· καὶ πάλιν μεταμελόμενον ἐλεεῖ, καὶ παντοδαπῆς ἀξιοῖ κηδεμονίας. αὐτίκα γεν μετὰ τὴν διὰ τῆς Δεββώρας εὐεργεσίαν, εἰς ἀσέβειαν ἐξοκείλαντα Μαδιηναίοις παρέδωκεν. εἶτα μετὰ τὴν παιδείαν, τῆς ἐπικερίας ἠξίωσε. διά τινος δὲ Προφήτε (6) πρότερον ἐξήλεγξεν αὐτῶν τὴν ἀσέβειαν. ἀνέμνησε δὲ καὶ τῶν εὐεργεσιῶν, ὧν ἀπήλαυσαν. εἶτα διά τινος Ἀγγέλε τὸν Γεδεὼν παραθαῤῥύνας, παρατάξασθαι τοῖς πολεμίοις ἐκέλευσε.

A ιζ. Γαλαάδ· ἐν τῷ πέραν τε Ἰορδάνε ε ἐσκήνωσε·

ΑΔΗΛΟΥ. Ἄρχεται, Γαλααδῖτις, ἐφεξῆς καὶ περὶ τῶν λοιπῶν φυλῶν, ὡς ἐν συντόμῳ, τὰς τοποθεσίας τῶν κλήρων αὐτῶν διαγράφειν.

ΑΔΗΛΟΥ. Γαλαὰδ δὲ καλεῖ τὸ ἥμισυ τῆς φυλῆς τε Μανασσῆ ἀπὸ μέρες. καὶ ἡ χώρα δὲ ἀπὸ τῆς προσηγορίας τε οἰκήσαντος ὀνομάζεται Γαλααδῖτις.

B ✻✻ ΠΡΟΚΟΠΙΟΥ. Μεγάλοι ἐξιχνιασμοὶ καρδίας. Γαλαὰδ ἐν τῷ πέραν τε Ἰορδάνε κατεσκήνωσε. κεῖται ἡ Γαλαὰδ ἐπὶ τὰ νῶτα τῆς Φοινίκης καὶ τῆς Ἀραβίας· καὶ συνάπτει τῷ Λιβάνῳ, καὶ παρατείνει διὰ τῆς ἐρήμε μέχρι τῆς ὑπὲρ τὸν Ἰορδάνην Πετραίας. ἐν ᾗ κατῴκει Σιὼν ὁ Ἀμοῤῥαῖος. ἣν ἐκληρώσαντο αἱ δύω ἡμίσεις φυλαί. καὶ ἐν Ἱερεμίᾳ δὲ, σύ μοι ἀρχὴ τε Λιβάνε, εἴρηται. ἔςι δὲ καὶ ὄρος Γαλαὰδ, καὶ πόλις ὁμώνυμος ἐπ' αὐτῷ· ἣν ἔλαβεν ἀπὸ τε Ἀμοῤῥαίε Γαλαὰδ υἱὸς Μαχεὶρ υἱε Μανασσῆ. ἔτοι ἒν φησὶ πόῤῥω κατοικεσι πέραν τε Ἰορδάνε, δυνάμενοι τῆς ἐντὸς πολλὴν ἄγαν ἐλεῖν. ἑρμηνεύεται δὲ Γαλαὰδ, μετοικησίας μαρτυρία. τῶν ἒν σκηνέντων καὶ παροικέντων ἐν τῇ γῇ μεγάλοι τῆς καρδίας οἱ ἐξιχνιασμοί. ὑπεραναβεβήκασι γὰρ πᾶσαν ἔννοιαν σαρκικήν. Ἱερ. 22. 6.

Γ

Δ Καὶ Δὰν εἰς τί παροικεῖ πλοίοις;

✻✻ ΠΡΟΚΟΠΙΟΥ. Καὶ Δὰν ἵνα τί παροικεῖς; φησὶ γὰρ Ἰώσηπος, (7) ὡς τῶν ἐξ Ἰσραὴλ ἀναπεσόντων εἰς ῥαθυμίαν. οἱ Χαναναῖοι θαῤῥήσαντες, καὶ παρασκευασάμενοι μεγάλας δυνάμεις, τῆς μὲν Ἰέδα φυλῆς τὴν Ἀσκάλωνα καὶ Ἀκκαρὼν παρεσπάσαντο, ἄλλας τε ἐν τῷ πεδίῳ πολλάς· τὲς δὲ Δανίτας εἰς τὸ ὄρος ἠνάγκασαν

E συμφυγεῖν, τε πεδίε καταλιπόντες τέτοις ἐδέν. διὰ πέντε δὲ κατασκόπων μαθόντες γῆν ἀγαθὴν εἶναι καὶ πάμφορον κατὰ τὸ μέγα πεδίον Σιδῶνος ὁρμηθέντες ςρατῷ, κτίζεσιν αὐτόθι πόλιν Δὰν ὁμώνυμον τῇ φυλῇ. ὀνειδίζεται τοίνυν ὡς παροικῶν. ὡς καὶ τῷ Ἰσραὴλ λέγεται· τί ἐςί σοι Ἰσραὴλ ὅτι ἐν γῇ τῶν ἐχθρῶν εἶ; εἰ γὰρ ἦσαν μετὰ Θεε, ταῦτα ἐκ ἔπασχον. παραγγέλλει δὲ προφητικῶς τὸ ὕςερον γενησόμενον. Βαρ. 3. 10.

Z Ἀσὴρ ἐκάθισε παραλίαν θαλασσῶν, καὶ ἐπὶ διεξόδοις αὐτε σκηνώσει.

ιη. Ζαβελὼν λαὸς ὠνείδισε ψυχὴν αὐτε εἰς θάνατον, καὶ Νεφθαλεὶμ ἐπὶ ὕψη ἀγρε ἦλθον αὐτῶν.

(1) Ἵνα τί μοι κάθησαι ἀναμέσον τῶν Μοσφαθαὶμ τε εἰσακέειν συριγμὲς ἐξεγειρόντων τε ἐλθεῖν εἰς τὰ τε Ῥεβιώ. ἡ αὐτ.

(2) Διγομίας τε ἀκεσαι συρισμε ἀγελῶν εἰς διαιρέσεις Ῥεβιώ; μεγάλοι ἐξετασμοὶ καρδίας. ἡ ἐν Φρανεκ. καὶ ἡ ἐν Κανταβρ. ἐκδόσ. ἀντὶ δὲ τε μεγάλοι ἐξετασμοὶ, μεγάλοι ἐξιχνιασμοὶ καρδίας. ὁ Προκόπ. ἐν τῷ ὑπομνήμ. συνάπτων τῷ, Γαλαὰδ ἐν τῷ πέραν, κτλ.

(3) Μοσφαθέμ. ἡ ἐν Χάλ. ἔκδ. ἐν δὲ ταῖς σημειώσ. Μοσφαδὲ δὲ, ἄγριοι ἑρμηνεύονται ἅμα Δαρώθ.

(4) Ὅρα τὰ ἐν τῷ 22. ἐδ.

(5) Ὅρα τὰ ἐν τῷ 23. ἐδ.

(6) Ὅρα τὸ ἑξῆς κεφ.

(7) Ἐν τῷ περὶ Ἰεδαϊκ. ἀρχαιολ. 3. κεφ. τε 5. βιβλ.

A ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Πλοίοις Ἀσὴρ παρῴκησε παρ' αἰγιαλῶν θαλασσῶν, καὶ ἐπὶ τὰς διακοπὰς αὐτοῦ κατεσκήνωσε Ζαβουλών. λαὸς ὠνείδισε ψυχὴν αὐτοῦ εἰς θάνατον. Ἀσηρῖται γὰρ τὴν ἀπὸ τοῦ Καρμήλου κοιλάδα· τοιαύτη γὰρ πᾶσα ἡ ἐπὶ Σιδῶνος τετραμμένη· κεκλήρωνται. Ζαβουλὼν δὲ, τὴν μέχρι Γεννησαρίτιδος λίμνης, καθήκουσαν δὲ ὑπὲρ Κάρμηλον καὶ θάλατταν, ἔλαχον. δείκνυσιν οὖν, ὡς διὰ τὴν εἰς Θεὸν B παράβασιν συνήχθησαν εἰς στενὸν, παρασπώντων αὐτοὺς κατὰ μικρὸν τῶν Χαναναίων, καὶ τῶν πλησίον ἐθνῶν. διὰ τοῦτο γάρ φησι λαὸς ὠνείδισε ψυχὴν αὐτοῦ εἰς θάνατον.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Καὶ τὸν Νεφθαλὶμ δέ φησιν ἐπὶ τὰ ὕψη τῆς χώρας φυγεῖν, καταλιπόντα τὴν ἰδίαν μερίδα.

ΑΔΗΛΟΥ. Οἷα διὰ τοῦ ὀνειδισμοῦ καὶ τῆς ἐξουδενώσεως, ἧς ἐπήγαγον οἱ ὑπεναντίοι τοῖς Ἰσραηλίταις, τὴν καθ' ἑαυτῶν Γ τιμωρίαν καὶ τὸν θάνατον ἐπισπασάμενοι. πάγον (1) δὲ, τὸ ὅριον τῆς γῆς εἰώθασι λέγειν, ὡς ἐν ἄλλῃ ἐκδόσει αὕτη ἡ λέξις εὕρηται κειμένη.

ιθ. Βασιλεῖς παρετάξαντο, τότε ἐπολέμησαν βασιλεῖς Χαναὰν ἐν Θανααχ ἐπὶ ὕδατι Μαγεδὼ, δῶρον ἀργυρίου οὐκ ἔλαβον.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ὅτε γάρ φησιν Δ εἶδον τὴν ταπείνωσιν Ἰσραὴλ, θαῤῥήσαντες οἱ Χαναὰν παρετάξαντο. καὶ ἡμῶν δὲ ἕκαστος ταπεινῶν ἑαυτὸν διὰ τῆς ἁμαρτίας, ὑποχείριος τοῖς Δαίμοσι γίνεται.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ἐν Θενναὰχ ἐπὶ ὕδατος Μαγεδδώ. Τὴν Θενναὰχ οὐχ εἷλεν ἡ Φυλὴ Μανασσῆ· ὅτι μὴ τοὺς ἀλλοφύλους ταύτης μετέστησεν ἔνθα συνέστη ὁ πόλεμος πρὸς τὸν Σισάρα. κώμη δὲ νῦν ἐστὶ μεγίστη E ἀπέχουσα τῆς Λεγεῶνος σημείοις γʹ. καὶ Μαγεδδὼ δὲ Φυλῆς γέγονε Μανασσῆ, ἣν εἷλεν Ἰησοῦς, τὸν βασιλέα τὸν αὐτῆς ἀνελών. οὐ κατέσχε δὲ αὐτὴν Μανασσῆς, μὴ τὸν ἀλλόφυλον αὐτῆς ἐκβαλών.

κ. Ἐξ οὐρανοῦ παρετάξαντο οἱ ἀστέρες, ἐκ τρίβων αὐτῶν παρετάξαντο μετὰ Σισάρα.

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ, ὡς ἀστέρες ὑπέρλαμπροι, Z οὕτως ὁ Ἰσραὴλ κατὰ τὴν οἰκείαν τάξιν τὸν πόλεμον συνεστήσατο.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἐκ τοῦ οὐρανοῦ ἐπολέμησαν οἱ ἀστέρες. Φησὶν Ἰώσηπος, (2) ὡς συμμισγόντων, χειμὼν ἐγένετο μέγας, ὕδωρ τε πολὺ καὶ χάλαζα κατὰ προσώπου τῶν Χαναναίων ἐβάλλετο. καὶ πᾶν ὄργανον πολέμου τούτοις ἄχρηστον ἦν. πρὸς ὃ θαῤῥήσαντος Ἰσραὴλ, οἱ μὲν ὑπὸ τούτων ἐβάλλοντο, οἱ δὲ ὑπὸ τῆς οἰκείας ἵππου τε-A ταραγμένοι κατέπεσον, ὑπὸ τῶν ἁρμάτων καταπατούμενοι. σημαίνουσι δὲ τοὺς χειμῶνας ἀστέρες· ἢ καὶ ὑπερβολικὴ Θεοῦ συμμαχίας ἔμφασις· ὡς καὶ τὰ στοιχεῖα μικροῦ δεῖν αὐτοῖς ἐπιτίθεσθαι.

κα. Χειμάῤῥους Κισῶν ἐξέσυρεν αὐτοὺς, χειμάῤῥους ἀρχαίων, (3) χειμάῤῥους Κισῶν.

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ, καὶ αὐτῆς τῆς B τοποθεσίας κατὰ θείαν ἐνέργειαν συγκρουούσης αὐτῆς. (4)

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἐξέβαλεν αὐτοὺς χειμάῤῥους Καδημίμ. Ἢ ὁ αὐτὸς τῷ Κισσὼν, ἢ ἐν ἀμφοτέροις ἐπολεμήθη Σισάρα· ἀλλ' ἐν μὲν τῷ Κισσὼν ὑπὸ τοῦ Βαρὰκ, ἐν δὲ τῷ Καδημὶμ ὑπὸ Δεββώρας ὥς φησιν Εὐσέβιος ἐν τῷ περὶ τοπικῶν ὀνομάτων. (5) ἢ τοίνυν ἀλλήλοις συμβαλόντες οἱ ποταμοὶ τοὺς Χαναναίους παρέσυρον, ἤγ' οὖν ἥττα Γ πρώτη τούτους τῇ δευτέρᾳ παρέπεμψεν. ἑρμηνεύεται δὲ Καδημὶμ μὲν, φάραγξ ἁγίων· Κισσὼν δὲ, εὐφροσύναι, ἢ σκληρία αὐτῶν. ἡ οὖν φάραγξ τῶν ἁγίων ἐξέβαλε τοὺς βασιλεῖς Χαναὰν τῆς εὐφροσύνης αὐτῶν, καὶ τῆς σκληρίας αὐτῶν. μὴ ποιοῦντες γὰρ τὰ δοκοῦντα τοῖς Δαίμοσιν, ἀλγυνοῦσιν αὐτοὺς, τοὺς Ἀγγέλους εὐφραίνοντες. Φάραγξ δὲ ἡ τούτων ταπείνωσις δεχομένη τὸν ὑετὸν, καὶ χειμάῤῥους ἀπο-Δ τελοῦσα τοὺς ῥέοντας ἐκ τῆς τῶν πιστευόντων καρδίας κατὰ τὴν τοῦ Σωτῆρος φωνήν. ἐπὶ τίνα γὰρ ἐπιβλέψω, φησὶν ὁ Θεὸς, ἀλλ' ἢ ἐπὶ τὸν ταπεινὸν, καὶ ἡσύχιον, καὶ τρέμοντά μου τοὺς λόγους; (Ἡσ. 66) διὰ τούτων εὐφροσύνη καὶ σκληρότης καθαιρεῖται τυραννική.

Καταπατήσει αὐτὸν ψυχή μου δυνατή.

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ, ἐγὼ αὐτοὺς κατε-E πάτησα, θείᾳ ἐνεργείᾳ τὴν ἀναίρεσιν αὐτῶν προειποῦσα.

ΑΔΗΛΟΥ. Οἷόν ἐστι καὶ τὸ, ὡς πηλὸν πλατειῶν λεανῶ αὐτούς. (Ψαλ. 17)

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Καταπατήσει αὐτοὺς ψυχή μου δυνατή. Ὡς γὰρ ἰσχυρὸν σῶμα τοὺς αἰσθητοὺς πολεμίους καταπατεῖ, οὕτω ψυχὴ δυνατὴ τοὺς νοητούς. ἐπὶ ἀσπίδα γὰρ καὶ βασιλίσκον ἐπιβήσῃ. (Ψαλ. 9…)

✱✱ ΝΕΙΛΟΥ. Διατὶ τοὺς πόδας μόνον, Z καὶ οὐχὶ ἕτερον μέλος τῶν μαθητῶν ὁ Κύριος ἔνιψεν; Ὅτι οὐ ῥύπον ἁπλῶς ἀπέκλυζεν ὁ Σωτὴρ, ἀλλὰ θεῖάν τινα δύναμιν ταῖς πτέρναις τῶν Ἀποστόλων ἐνέβαλλεν. ἐπειδὴ γὰρ εἴρηται τῷ ὄφει, ὅτι σὺ τηρήσεις τοῦ ἀνθρώπου τὴν πτέρναν, (Γεν. 3. 1…) τουτέστι τὴν πᾶσαν τοῦ βίου διαγωγὴν, διὰ τοῦτο οἱ πόδες τῶν μαθητῶν πέπλυνται, ἐν τῷ συμβόλῳ δηλοῦντος τοὺς νουμένους πόδας. δέδωκα τοίνυν ἐξουσίαν ὑμῖν πατεῖν ἐπάνω ὄφεων καὶ σκορ- (Λευκ. 10…)

(1) Πάγον, ἀντὶ τοῦ, ὕψη. ὅπερ, ὕλη, ἡ ἐν Κομπλ. ἔκδ. γράφει.
(2) Ἐν τῷ περὶ Ἰουδαϊκ. ἀρχαιολ. 5. κεφ. τοῦ 5. βιβλ.
(3) Καδημίμ. ἡ ἐν Κομπλ. ἔκδ. Καδημείν. ἡ τοῦ Ἄλδ.
(4) Αὐτοῖς πάντως ἀναγνωστ. ἄλλως γὰρ ἀσύντακτόν τε καὶ ἀκατάληπτον.
(5) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

» σκορπίων, καὶ ἐπὶ πᾶσαν τὴν δύναμιν τοῦ A
Ἡσ. 52. 7. » ἀοράτου ἐχθροῦ. καὶ Ἡσαΐας λέγει, ὡς
» ὡραῖοι οἱ πόδες τῶν εὐαγγελιζομένων εἰρή-
» νην καὶ ἀγαθά. οἱ γὰρ δὴ τοῦ Χριστοῦ Ἀπό-
στολοι κατέλυσαν μὲν τοῦ Διαβόλου τὸν πό-
λεμον, πᾶσαν περιδραμόντες τὴν οἰκουμέ-
νην, εἰρήνην δὲ τοῖς πᾶσιν ἐβράβευσαν,
καὶ εὐηγγελίσαντο ἡμῖν τὰ οὐράνια ἀγαθά.
ἥψατο τῶν ποδῶν ὁ Κύριος, ἵνα ἐνισχύσῃ
πόδας γηΐνους καὶ ἀσθενεῖς, μέλλοντας δια-
B τρέχειν πᾶσαν τὴν ὑφ' ἥλιον. λαμβάνεται
τοῦ μέρους τῆς πτέρνης, καθ' ἧς ἡ ἀπόφα-
σις κατ' ἀρχὰς ἐξενήνεκτο, ἵνα τοῦ μεγά-
λου ἰατροῦ τὴν χεῖρα ἐπιθέντος, μηκέτι
ἐνεργήσῃ ὁ ἰὸς τοῦ νοητοῦ ὄφεως. ἐνδυνα-
μωθεῖσα τοίνυν ἡ πτέρνα ὑπὸ τῆς χειρὸς
τοῦ ἁψαμένου Δεσπότου, ἐπάτησε τὸν Σα-
τανᾶν τὸν ἐξαπατήσαντα πρώην τοὺς πρω-
τοπλάστους. καὶ οὕτω πεπλήρωται τὸ ὑπὸ
τῆς προφήτιδος Δεββώρας βεβοημένον ἐν
Γ » ᾄσμασι· καταπατήσει τοὺς ἐχθρούς μου ἡ
» ἐμὴ δυναμωθεῖσα ψυχή. καὶ ὁ Δαβὶδ κέ-
Ψαλ. 17. 39. κραγε ψάλλων ἐπινίκιον, πεσοῦνται ὑπὸ
42. » τοὺς πόδας μου οἱ ἐπανιστάμενοί μοι. καὶ,
» ὥσπερ πηλὸν πλατειῶν λεανῶ τοὺς ἐχθρούς
Λουκ. 10. 19. μου. ἰδοὺ γὰρ δέδωκα ἐξουσίαν ὁ Κύριος εἴρη-
» κε, πατεῖν, καὶ μὴ καταπατεῖσθαι μηδὲ
ἐξαπατᾶσθαι ὑπὸ τοῦ λυμεῶνος.

κβ. Τότε ἐνεποδίσθησαν (1) πτέρ-
ναι ἵππου, (2) σπουδῇ (3) ἔσπευσαν ἰσχυ- Δ
ροὶ αὐτοῦ.

ΑΔΗΛΟΥ. Ἵνα εἴπῃ, ὅτι καὶ ὁ τῶν
ἵππων δρόμος ὑπὸ τῆς τοῦ Θεοῦ προνοίας
ἐκωλύθη.

ΑΔΗΛΟΥ. Τοιαύτη, φησὶν, ἀπροσδό-
κητος ἡ τιμωρία καὶ βαρυτάτη τῶν ἐναν-
τίων, ὡς καὶ αὐτὴν τὴν καρδίαν αὐτοῦ (4)
ἐν ἐκστάσει γενέσθαι. ἐν γὰρ τοῖς στέρνοις ἡ
καρδία. τὰ στέρνα δὲ ἄλλη ἔκδοσις ἔχει.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τότε ἀπεκόπησαν E
» πτέρναι ἵππων Μαδαρὼθ δυναστῶν αὐτοῦ.
Μαδαρὼθ ἐξέδωκεν Ἀκύλας, ἐφορμώντων
ἡ εὐπρέπεια, τουτέστι τῶν ἐντρεχεστάτων
εἰς παράταξιν ἵππων ἄχρηστοι γεγόνασιν
αἱ πτέρναι. ἵππος δὲ τῆς ἀτιμίας τὰ πά-
θη· πτέρναι δὲ, τὰς ἀπάτας δηλοῦσι, δι'
ὧν τοὺς ἀκεραιοτέρους πτερνίζουσι.

κγ. Καταρᾶσθαι Μαρὼζ, εἶπεν ὁ
Ἄγγελος Κυρίου, καταρᾶσθαι· ἐπι- Z
κατάρατος πᾶς κατοικῶν αὐτὴν, ὅτι
οὐκ ἦλθον εἰς βοήθειαν Κυρίου, εἰς βοή-
θειαν ἐν δυνατοῖς.

A ΑΔΗΛΟΥ. Τὸ εἴδωλον τῆς Ἀφροδίτης
Μαρὼζ καλεῖται.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καταρᾶσθε Μαρώζ.
Περὶ πόλεως φησὶ μὴ συστρατευσαμένης
Βαράκ. ὃν ὡς εἰκὸς καὶ Ἄγγελον ὀνομάζει
Κυρίου. καὶ τοὺς ἱερεῖς δὲ Ἀγγέλους φησὶν
» ἡ Γραφή. χείλη γὰρ ἱερέως φυλάξεται Μαλαχ. 2. 7.
» κρίσιν, καὶ νόμον ἐκζητήσουσιν ἐκ στόματος
» αὐτῶν· ὅτι Ἄγγελος Κυρίου ἐστίν. Ἄγγε-
λον οὖν τὸν Βαρὰκ, ἢ τὸν ἀρχιερέα φησὶν,
B ἢ καὶ τὴν Δεββώραν, προφῆτιν ὑπάρχου-
σαν, ἢ καὶ Ἄγγελον ἀληθῶς εἰς συμμα-
χίαν πεμφθέντα. τὴν δὲ Μαρὼζ οὐχ εὑρί-
σκομεν, οὐκ ἐν ταῖς κληρουχίαις, οὐκ ἐν ταῖς
ἑβραϊκαῖς ἑρμηνείαις, οὐκ ἐν τῷ περὶ το-
πικῶν ὀνομάτων. (5)

» ** ΤΟΥ ΑΥΤΟΥ. Κύριος ἐν μαχη-
ταῖς δυνατὸς, ἀλλ' οὐκ ἐν τοῖς πρὸς ῥαθυ-
» μίαν ἐκλελυμένοις. ὡς γὰρ, θαυμαστὸς ὁ Ψαλ. 67. 35.
» Θεὸς ἐν τοῖς ἁγίοις αὐτοῦ, οὕτως ἐν τοῖς
Γ ἔχουσιν ἰσχὺν τὴν πνευματικήν. κατ' οὐσίαν
» γὰρ ἀσύγκριτον ἔχει τὴν δύναμιν. πάντα Ἡσ. 40. 15.
» γὰρ τὰ ἔθνη ὡς σταγὼν ἀπὸ κάδου, καὶ ὡς
» σίαλος λογισθήσεται, κατὰ τὴν τοῦ Ἡσαΐου
» φωνήν. καὶ, τρόμος λήψεται ἀπὸ σοῦ ὄρη.

** ΑΔΗΛΟΥ. (6) Κελεύει καταρᾶ-
σθαι τοὺς κατοικοῦντας Μαζὼρ, ὅτι οὐκ ἐξῆλ-
θον εἰς βοήθειαν Κυρίου. Βοηθείας ἄρα
ἐχρῄζεν ὁ Θεός; ναί. δεῖ φανῆναι τοὺς
βοηθοῦντας τῇ εὐσεβείᾳ.

Δ

κδ. Εὐλογηθείη ἐν γυναιξὶν Ἰαὴλ
γυνὴ Χαβὲρ τοῦ Κιναίου, ἀπὸ γυναι-
κῶν ἐν σκηναῖς εὐλογηθείη.

κε. Ὕδωρ ᾔτησε, γάλα ἔδωκεν
ἐν λεκάνῃ· ὑπερεκχεόντων (7) προή-
νεγκε βούτυρον.

» ΑΔΗΛΟΥ. Γάλα ἔδωκεν, ὡσανεὶ συνε-
τὸς ἐβουλεύσατο.

E » ** ΠΡΟΚΟΠΙΟΥ. Ἐν λεκάνῃ ἰσχυ-
» ρῶν προσήνεγκε βούτυρον. ἐν ᾗ δυνάσται
καὶ ἰσχυροὶ πίνουσι. γάλα διεφθορὸς (8)
προσήγαγε. μήποτε δὲ καὶ τὸ γάλα καθ'
» ὅλου βούτυρον καλεῖ, κατὰ τὸ, βούτυρον Ἡσ. 7. 15.
» καὶ μέλι φάγεται.

κς. Χεῖρα αὐτῆς ἀριστερὰν εἰς πάσ-
σαλον ἐξέτεινε, καὶ δεξιὰν αὐτῆς εἰς (9)
σφῦραν κοπιώντων, καὶ ἐσφυροκόπησε
Z Σισάρα, διήλασε (10) κεφαλὴν αὐτοῦ
καὶ ἐπάταξε, διήλωσε κρόταφον αὐτοῦ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τὴν δεξιὰν εἰς ἀπο-
» τομὰς κατακοπῶν, ἀντὶ τοῦ, εἰς τέλος
ἀχρειῶ-

(1) Τότε ἀπεκόπησαν. ἡ ἐν Ὀξον. καὶ ἡ ἐν Κομπλ. ἔκδ. (2) Ἵππων. ἡ τοῦ Ἀλδ. καὶ ἡ ἐν Κομπλ. ἔκδ.

(3) Ἀμαδαρὼθ δυνατῶν ἐπὶ ὕβριν εὐθυνόντος ἔργα ἐκστάσεως αὐτοῦ, ἴδοιεν ἀρὰς, ἴδοιεν ὀδύνας, κατοικοῦντας αὐτὴν ὑπερηφάνους ὑβριστὰς ἄρατε, ἀπολέσατε. ἡ ἐν Ὀξον. ἔκδ.

(4) Αὐτῶν ἀναγνωστ. ἵνα ᾖ αὐτῶν τῶν ἐναντίων. (5) Τῷ τοῦ Εὐσεβίου δῆθεν, οὗ καὶ ἐν σελ. 156. ἐμνήσθη.

(6) Ἐκ τοῦ λόγου ἐστὶ, περὶ οὗ ἐν τῇ σημειώσ. τῇ ἐν σελ. 142. εἴρηται.

(7) Ὑπερεχόντων προσήνεγκε· ἤτε ἡ ἐν Φρανεκ. καὶ ἡ ἐν Κανταβρ. ἔκδ.

(8) Σισάρης δὲ καταπηδήσας τοῦ ἅρματος, ὡς εἶδε τὴν τροπὴν γινομένην, φυγὼν ἀφικνεῖται παρά τινα τῶν Κενετίδων γυναῖκα, Ἰάλην ὄνομα· ἣ κρύψαι τε ἀξιώσαντα δέχεται, καὶ ποτὸν αἰτήσαντι δίδωσι γάλα διεφθορὸς ἤδη. Ἰώσηπ. ἐν βιβλ. 5. κεφ. 5. περὶ Ἰουδαϊκ. ἀρχαιολ.

(9) Εἰς ἀποτομὰς κατακοπῶν. ἐν ταῖς σημειώσ. τῆς ἐν Φρανεκ. ἐκδόσ.

(10) Διήλωσε. αἱ ἐν τῇ 7. σημ. ἐκδόσ.

ἀχρειῶσαι, ἤγουν κατὰ τὸν Ἀκύλαν, εἰς σφῦραν κοπιώντων.

** ΤΟΥ ΑΥΤΟΥ. Ἀπέτριψε τὴν κεφαλὴν αὐτοῦ .... (1) τὴν γνάθον αὐτοῦ· τουτέστι διήλασε κρόταφον αὐτοῦ, διήλασε κεφαλὴν αὐτοῦ, καὶ ἐπάταξεν. ὁ δὲ Σύμμαχος, διήλασε διὰ τοῦ κροτάφου τὸν πάσσαλον, καὶ ἔθλασε τὴν κεφαλὴν αὐτοῦ. ὁ δὲ Θεοδοτίων, ἀπέτεμε τὴν κεφαλὴν, καὶ ἔθλασε τὴν γνάθον αὐτοῦ. τὸ γὰρ, ἀπέτεμε Σισάρα, οἱ μὲν, ἐσφυροκόπησεν· οἱ δὲ, συνετέλεσεν, ἐξέδωκαν.

κζ. Ἀναμέσον τῶν ποδῶν αὐτῆς κατεκλίθη· ἔπεσε καὶ ἐκοιμήθη ἀναμέσον τῶν ποδῶν αὐτῆς, κατακλιθεὶς ἔπεσε, καθὼς κατεκλίθη ἐκεῖ ἔπεσεν ἐξοδευθείς.

** ΠΡΟΚΟΠΙΟΥ. Συγκάμψας ἔπεσε. Πάντως γὰρ ἐκ τῆς τοῦ ἐγκεφάλου συμπαθείας τὸ πᾶν σῶμα ... καμφθὲν, καὶ κατέπεσε ἀπώμενον.

κη. Διὰ τῆς θυρίδος παρέκυψεν ἡ μήτηρ Σισάρα ἐκτὸς τοῦ τοξικοῦ, (2) διότι ᾐσχύνθη ἅρμα αὐτοῦ (3) ἐλθεῖν, ὅτι ἐχρόνισαν πόδες ἁρμάτων αὐτοῦ.

** ΠΡΟΚΟΠΙΟΥ. Διὰ τῆς δικτυωτῆς, διὰ καγκέλλου, οἷα δῆθεν αἰδουμένη γυνὴ ἐπεσκόπει τοῦ παιδὸς καὶ τῶν σὺν αὐτῷ τὴν φυγήν.

κθ. Αἱ σοφαὶ ἄρχουσαι αὐτῆς ἀπεκρίθησαν πρὸς αὐτὴν, καὶ αὐτὴ ἀπέστρεψε λόγους ἑαυτῆς ἑαυτῇ,

ΑΔΗΛΟΥ. Τὰς ἤδη σοφὰς, καὶ ἀρχούσας ὀνομάζει.

ΑΔΗΛΟΥ. Διαπορούσης, φησὶ, τῆς μητρὸς Σισάρα, τί δήποτε ἐπὶ τοσοῦτον τὰ τῆς νίκης βραδύνει, αἱ συνοῦσαι αὐτῇ, καὶ διὰ τῶν ἀξιωμάτων ὑπερέχουσαι ἀποκρίνονται τὰ πρὸς θεραπείαν αὐτῆς· ὡς σκῦλα διαμερίζονται.

** ΠΡΟΚΟΠΙΟΥ. Σοφαὶ ἄρχουσαι αὐτῆς ἀνταπεκρίναντο πρὸς αὐτήν. Τὰς θρηνῳδοὺς οὕτω φησὶν ἡ Γραφὴ καὶ ἐν Ἱερεμίᾳ. (4) τοιαῦται γὰρ τοῖς ἐν πένθει νομίζονται. προδιαγράφει τοίνυν τὸν ἐπ' αὐτῷ γενησόμενον ὑπ' αὐτῶν δι' ἀμοιβαίων θρήνων. ἃς καὶ ἀρχούσας αὐτῆς, ὡς προηγουμένας τοῦ θρήνου καλεῖ.

λ. Οὐχ εὑρήσουσιν αὐτὸν διαμερίζοντα σκῦλα; οἰκτίρμων οἰκτειρήσει εἰς κεφαλὴν ἀνδρός· σκῦλα βαμμάτων τῷ Σισάρᾳ, σκῦλα βαμμάτων ποικιλίας, βάμματα ποικιλτῶν αὐτὰ τῷ τραχήλῳ αὐτοῦ σκῦλα.

ΑΔΗΛΟΥ. Οὐ μόνον φησὶν οὐκ ἐπληρώθη τὰ παρὰ τῆς μητρὸς τοῦ Σισάρα λεγόμενα, ἀλλὰ καὶ αὐτὸς ὁ ἐκ τῆς μήτρας αὐτῆς προελθὼν ἀντὶ σκύλων διεμερίσθη.

** ΠΡΟΚΟΠΙΟΥ. Οὐχ εὑρίσκουσιν αὐτὸν διαμερίσαντα σκῦλα. Ἡ κατὰ πεῦσιν ἐλεεινῶς ταῦτά φησιν, ἢ κατὰ ἀπόφασιν τὰς δοκούσας αἰτίας ἀναιροῦσι τοῦ βραδέως. οὐ γὰρ ὡς νικήσας διανέμει σκῦλα τοῖς ὑπηκόοις, ἀλλ' οὐδὲ φίλοις συνεστιᾶται, ὡς ἀριστέως ἀποτεμὼν κεφαλὴν, ἀλλ' οὐδὲ καλλωπίζεται νικηφόρῳ στολῇ.

ΑΔΗΛΟΥ. Τῇ τῶν βαμμάτων προσηγορίᾳ πᾶσαν τὴν ἐκ τῆς νίκης τοῦ πολέμου προσγινομένην ἐσθῆτα τῷ Σισάρᾳ δοκοῦσιν ἐμφαίνειν.

ΑΔΗΛΟΥ. Ἵνα εἴπῃ, τὰ ξίφη αὐτῶν οἱ Ἰσραηλῖται ἐν τῷ τραχήλῳ αὐτοῦ καθηκόντισαν, καὶ τομὰς διὰ τῶν μελῶν ἐποίησαν.

λα. Οὕτως ἀπόλοιντο πάντες οἱ ἐχθροί σου Κύριε· καὶ οἱ ἀγαπῶντες αὐτὸν, ὡς ἔξοδος ἡλίου ἐν δυνάμει αὐτοῦ.

ΑΔΗΛΟΥ. Ἵνα εἴπῃ, τῇ ὁμοίᾳ τιμωρίᾳ τῷ Σισάρᾳ ὑποπεσάτωσαν.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ οἱ ἀγαπῶντες αὐτὸν, τὸν Σισάρα δηλονότι. εἶτά φησι, καθὼς ἡ ἀνατολὴ τοῦ ἡλίου ἐν δυναστείαις αὐτοῦ. ὡς γὰρ ἡλίου θερινοῦ διαυγάζοντος, ὁμίχλη καὶ νέφος καὶ πᾶν ἐμποδὼν διαλύεται· οὕτως ἐν τῷ ἀνατέλλειν τῆς δικαιοσύνης τὸν ἥλιον, διασκορπισθήσονται οἱ ἐχθροὶ τοῦ Θεοῦ, τὸ σκότος τῇ δυνάμει τοῦ φωτὸς διαλύοντος.

** ΑΔΗΛΟΥ. (5) Ἐκείνη οὖν ἡ μακαρία Δεββώρα τὴν ἀλήθειαν φέρουσα, λέγει· Κύριε, οἱ ἀγαπῶντές σε ὡς ἀνατολὴ τοῦ ἡλίου, οἱ δὲ ἐχθροί σου ὡς ἀπόσμηγμα λύχνου. Κύριε, οἱ ἀγαπῶντές σε ὡς ἀνατολὴ τοῦ ἡλίου· ἐπειδὴ ὁ ἥλιος οὐδέ ποτε σβέννυται.

λβ. Καὶ ἡσύχασεν ἡ γῆ τεσσαράκοντα ἔτη.



ΚΕΦ.

(1) Ἀπέτριψε τὴν κεφαλὴν αὐτοῦ, καὶ συνέθλασε καὶ διήλασε τὴν γνάθον αὐτοῦ. αἱ αὐτ. ἐξ ὧν ἀναπληρωτέον τὰ ἐλλείποντα.

(2) Διὰ τῆς δικτυωτῆς ἐπιβλέπουσα τοὺς ἐπιστρέφοντας μετὰ Σισάρα, διότι. ἡ ἐν Ὀξον. ἔκδ.

(3) Αὐτοῦ; διότι ἐχρόνισαν, κτλ. ἐρωτηματικῶς ἡ ἐν Φρανεκ. ἔκδ.

(4) Ἐν κεφ. 9. ἐδ. 16.

(5) Ἐκ τοῦ αὐτοῦ λόγου ἐστὶ, περὶ οὗ ἐν σελ. 142. εἴρηται.

ΚΕΦ. Ϛ.

α. Καὶ ἐποίησαν οἱ ὑοὶ Ἰσραὴλ
τὸ πονηρὸν ἐνώπιον Κυρίȣ,
καὶ ἔδωκεν αὐτοῖς (1) Κύ-
β. ριος ἐν χειρὶ Μαδιὰμ ἑπ]ὰ ἔτη. Καὶ
ἴχυσε χεὶρ Μαδιὰμ ἐπὶ τὸν Ἰσραήλ.
καὶ ἐποίησαν ἑαυτοῖς οἱ ὑοὶ Ἰσραὴλ
ἀπὸ προσώπȣ Μαδιὰμ τὰς τρυμα-
λιὰς τὰς ἐν τοῖς ὄρεσι, καὶ τὰ σπή-
λαια, καὶ τὰ κρεμαςά.

** ΙΩΣΗΠΟΥ. Τελȣτήσαντος Βα-
ράκȣ καὶ Δεββώρας κατὰ τὸν αὐτὸν και-
ρὸν, μετὰ ταῦτα Μαδιανῖται παρακαλέ-
σαντες Ἀμαληκίτας τε καὶ Ἄραβας, ςρα-
τεύȣσιν ἐπὶ τȣ̀ς Ἰσραηλίτας· καὶ μάχῃ
νικῶσι τȣ̀ς συμβαλόντας, καὶ τὸν καρπὸν
δῃώσαντες τὴν λείαν ἀπήγοντο. τȣ̃το δὲ
ποιȣ́ντων ἐπ' ἔτη ἑπ]ὰ, εἰς τὰ ὄρη τῶν
Ἰσραηλιτῶν ἀνεςάλη τὸ πλῆθος, καὶ τῶν
πεδίων ἐξεχώρȣν· ὑπονόμȣς τε καὶ σπήλαια
ποιησάμενοι. πᾶν ὅ,τι τȣ̀ς πολεμίȣς διέ-
φυγεν ἐν τȣ́τοις εἶχον φυλάτ]οντες. οἱ γὰρ
Μαδιανῖται κατὰ ὥραν θέρȣς ςρατεύον-
τες, τὸν χειμῶνα γεωργεῖν τοῖς Ἰσραηλί-
ταις ἐπέτρεπον, ὅπως ἔχωσι πεπονηκό-
των αὐτῶν εἰς ἃ βλάπ]ωσι.

γ. Καὶ ἐγένετο ἐὰν ἔσπειραν οἱ ὑοὶ
Ἰσραὴλ, ἀνέβαινε Μαδιὰμ καὶ Ἀμα-
λὴκ, καὶ οἱ ὑοὶ ἀνατολῶν συνανέ-
βαινον αὐτοῖς,

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ὑοὶ ἀνατολῶν,
οἱ Ἄραβες, ἀνατολικώτεροι γάρ. τȣ̃το καὶ
Ἰώσηπος. ὁμȣ̃ δὲ καὶ τὴν ὡραίαν εἰσέβαλ-
λον καὶ ἐδῄȣν, ἐῶντες τὸν χειμῶνα σπεί-
ρειν καὶ γεωργεῖν.

δ. Καὶ παρενέβαλον εἰς αὐτȣ̀ς,
καὶ κατέφθειραν τȣ̀ς καρπȣ̀ς αὐτῶν
ἕως ἐλθεῖν εἰς Γάζαν· καὶ ȣ̓ κατέλι-
πον ὑπόςασιν ζωῆς ἐν τῇ γῇ Ἰσραὴλ,
ȣ̓δὲ ἐν τοῖς ποιμνίοις ταύρων καὶ ὄνων. (2)
ε. Ὅτι αὐτοὶ καὶ αἱ κλήσεις αὐτῶν ἀνέ-
βαινον, καὶ αἱ σκηναὶ αὐτῶν παρε-
γένοντο, καθὼς ἀκρὶς εἰς πλῆθος, καὶ
αὐτοῖς καὶ τοῖς (3) καμήλοις αὐτῶν
ȣ̓κ ἦν ἀριθμός· καὶ ἤρχοντο εἰς τὴν
γῆν Ἰσραὴλ, καὶ διέφθειρον αὐτήν.
ϛ. Καὶ ἐπ]ώχευσεν Ἰσραὴλ σφόδρα ἀπὸ
ζ. προσώπȣ Μαδιάμ. Καὶ ἐβόησαν οἱ
ὑοὶ Ἰσραὴλ πρὸς Κύριον ἀπὸ προσώ-
η. πȣ Μαδιάμ. Καὶ ἐξαπέςειλε Κύ-
ριος ἄνδρα προφήτην πρὸς τȣ̀ς ὑȣ̀ς
Ἰσραήλ· καὶ εἶπεν αὐτοῖς, τάδε λέ-
γει Κύριος ὁ Θεὸς Ἰσραὴλ, ἐγώ εἰμι
ὃς ἀνήγαγον ὑμᾶς ἐξ οἴκȣ δȣλείας
θ. ὑμῶν. Καὶ ἐῤῥυσάμην ὑμᾶς ἐκ χει-
ρὸς Αἰγύπ]ȣ καὶ ἐκ χειρὸς πάντων
τῶν θλιβόντων ὑμᾶς, καὶ ἐξέβαλον
αὐτȣ̀ς ἀπὸ προσώπȣ ὑμῶν· καὶ ἔδω-
ι. κα ὑμῖν τὴν γῆν αὐτῶν. Καὶ εἶπα
ὑμῖν, ἐγώ εἰμι Κύριος ὁ Θεὸς ὑμῶν, ȣ̓
B φοβηθήσεσθε τȣ̀ς Θεȣ̀ς τῶν Ἀμοῤ-
ῥαίων, ἐν οἷς ὑμεῖς καθήσεσθε ἐν τῇ
γῇ αὐτῶν. καὶ ȣ̓κ εἰσηκȣ́σατε τῆς
φωνῆς μȣ.

ια. Καὶ ἦλθεν Ἄγγελος Κυρίȣ,
καὶ ἐκάθισε ὑπὸ τὴν Τερέμινθον (4)
τὴν ἐν Ἐφραθὰ τὴν τȣ̃ Ἰωὰς πα-
τρὸς τȣ̃ Ἐσδρί. καὶ Γεδεὼν ὁ ὑὸς αὐ-
Γ τȣ̃ ῥαβδίζων (5) σῖτον ἐν λ]ηνῷ τȣ̃ ἐκ-
φυγεῖν ἀπὸ προσώπȣ τȣ̃ Μαδιάμ.

ΑΔΗΛΟΥ. Ἐν ἄλλοις, ἐν Σηλὼμ, κεῖ-
ται· οἷς καὶ πείθομαι μᾶλλον.

** ΙΩΣΗΠΟΥ. Γεδεὼν ὁ Ἰωάσȣ παῖς,
Μανασσήτιδος φυλῆς ἐν ὀλίγοις, δράγμα-
τα ςαχύων φερόμενος, κρυπ]ῶς εἰς τὴν
λ]ηνὸν ἔκοπ]ε. τȣ̀ς γὰρ πολεμίȣς ἐδεδίει
φανερῶς τȣ̃το ποιεῖν ἐπὶ τῆς ἅλωνος.

ΑΔΗΛΟΥ. Ἔοικεν, ὅτι ἐπίσημος ὁ τῆς
Δ δρυὸς τόπος ἐτύγχανε. καὶ κατὰ τȣ̃το ἐν
αὐτῇ παραγέγονεν ὁ Ἄγγελος ἅμα μὲν
ἐπὶ ἐκλογῇ τȣ̃ κριτȣ̃, ἅμα δὲ καὶ διὰ τὸ
ἐγεῖραι τὸν λαὸν πρὸς ἀν]ιπαράταξιν τῶν
ἐναντίων.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἐῤῥάβδιζε πυρȣ̀ς
ἐν λ]ηνῷ, τῷ μὴ φανερῶς ἀλοῆσαι τολμᾷν.

ΑΔΗΛΟΥ. Ὁμȣ̃ μὲν τὴν εὐτέλειαν τȣ̃
ἀνδρὸς ἐσήμανε, καὶ ὅτι διὰ τῶν τοιȣ́των
E εἴωθεν ὁ Θεὸς τὴν σωτηρίαν τῷ λαῷ κα-
τεργάζεσθαι· ὁμȣ̃ δὲ καὶ τὴν ἐπικρατȣ̃σαν
τȣ̃ λιμȣ̃ ἀνάγκην.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Τὸ ῥαβδίζειν πυρȣ̀ς
τὸν Γεδεὼν ἐν λ]ηνῷ σημαίνει τὴν ἐκλογὴν
τῶν ἁγίων· οἳ τῷ τῆς ἀληθείας λόγῳ, ὡς
ῥάβδῳ παιδευόμενοι συναγόμεθα εἰς Ἐκ-
κλησίαν, ὡς εἰς λ]ηνὸν ἀποβάλλοντες τὸ
ἄχυρον, τὰ ἐν κόσμῳ παραπ]ώματα. τὸ
δὲ ῥάβδῳ, καὶ κρυφῇ τȣ̃το ποιεῖν καὶ μὴ
Z ἐν ἅλῳ δηλοῖ μὲν τὴν ὀλιγότητα, σημαίνει
δὲ καὶ τῶν πολεμίων τὸν φόβον. ὡς καὶ
ἡμεῖς νῦν φοβȣ́μενοι τὰ ἔθνη, κρυφῇ τὸ
μυςήριον τȣ̃ Χριςȣ̃ ἐν τῇ Ἐκκλησίᾳ ἐπι-
τελȣ̃μεν.

ιβ. Καὶ ὤφθη αὐτῷ Ἄγγελος
Κυρίȣ, καὶ εἶπε πρὸς αὐτὸν, Κύριος
ιγ. μεὶὰ σȣ̃, ἰχυρὸς τῶν δυνάμεων. Καὶ
εἶπε πρὸς αὐτὸν Γεδεὼν, ἐν ἐμοὶ, κύ-
H ριέ μȣ· καὶ εἰ ἔςι Κύριος μεθ' ἡμῶν,
εἰς τὶ εὗρον ἡμᾶς πάντα τὰ κακὰ
ταῦτα;

(1) Αὐτȣ́ς. ἥ τε ἐν Φρανεκ. καὶ ἡ ἐν Κανταβρ. ἔκδ. (2) Ταῦρον καὶ ὄνον. αἱ αὐτ. (3) Ταῖς αἱ αὐτ.
(4) Τὴν Δρῦν τὴν ȣ̓̃σαν ἐν Ἐφρά. ἡ τȣ̃ Ἀλδ. ἔκδ. (5) Ἐῤῥάβδιζε πυρȣ́ς. ἡ αὐτ.

ταῦτα; καὶ ποῦ ἐςὶ τὰ θαυμάσια αὐτοῦ, ἃ διηγήσαντο ἡμῖν οἱ πατέρες ἡμῶν, λέγοντες, οὐχὶ ἐξ Αἰγύπτου ἀνήγαγεν ἡμᾶς Κύριος; καὶ ἔδωκεν ἡμᾶς ἐν χειρὶ Μαδιάμ.

** ΙΩΣΗΠΟΥ. Φαντάσματος αὐτῷ παραςάντος νεανίσκου μορφῇ, καὶ φήσαντος εὐδαίμονα καὶ φίλον τῷ Θεῷ, ὑποτυχὼν, τοῦτο γοῦν ἔφη τεκμήριον τῆς εὐμενείας αὐτοῦ μέγιστον, τῇ ληνῷ με νῦν ἀντὶ ἅλωνος χρήσασθαι.

ιδ. Καὶ ἐπέςρεψε πρὸς αὐτὸν ὁ Ἄγγελος Κυρίου, καὶ εἶπεν αὐτῷ, πορεύου ἐν τῇ ἰσχύϊ σου ταύτῃ, καὶ σώσεις τὸν Ἰσραὴλ ἐκ χειρὸς Μαδιάμ. ἰδοὺ ἐξαπέςειλά σε.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐςι, πορεύου ἐν τῇ ἰσχύϊ σου ταύτῃ, καὶ σώσεις τὸν Ἰσραὴλ ἐκ χειρὸς Μαδιάμ; Προτραπεὶς ὑπὸ τοῦ Ἀγγέλου ςρατηγῆσαι, καὶ τοῦ πολέμου καταθαῤῥῆσαι, ἔφη πρὸς αὐτόν· καὶ εἰ ἔςι Κύριος ἐν ἡμῖν, ἵνα τί εὗρεν ἡμᾶς τὰ κακὰ ταῦτα πάντα; καὶ ποῦ ἐςὶ τὰ θαυμάσια αὐτοῦ, ὅσα διηγήσαντο ἡμῖν οἱ πατέρες ἡμῶν, λέγοντες, ὅτι ἐξ Αἰγύπτου ἀνήγαγεν ἡμᾶς Κύριος; καὶ νῦν ἀπώσατο ἡμᾶς Κύριος, καὶ παρέδωκεν ἡμᾶς ἐν χειρὶ Μαδιάμ. ἐπειδὴ τοίνυν εἶχε τὴν μνήμην τῆς τοῦ Θεοῦ θαυματουργίας, καὶ βεβαίαν ἐκέκτητο τὴν περὶ τοῦ Θεοῦ δόξαν, ὅτι ῥᾴδιον αὐτῷ βουληθέντι τῶν κατεχόντων αὐτοὺς συμφορῶν ἀπαλλάξαι, ἔφη ὁ Ἄγγελος· πορεύου ἐν τῇ ἰσχύϊ σου ταύτῃ, καὶ σώσεις τὸν Ἰσραὴλ ἐκ χειρὸς Μαδιάμ· ἀντὶ τοῦ, μετὰ ταύτης παράταξαι τῆς πίστεως, καὶ νικήσεις. μηδεὶς δὲ τοῖς ἑξῆς ἐπιμεμφέσθω. οὐ γὰρ ὡς τῷ Θεῷ ἀπιςῶν, ἔφη· ἡ χιλιάς μου ταπεινοτέρα ἐν Μανασσῇ, καὶ ἐγὼ σμικρὸς ἐν τῷ οἴκῳ τοῦ πατρός μου· ἀλλὰ μετρίῳ κεχρημένος φρονήματι. ὅθεν ὑπολαβὼν ὁ Ἄγγελος, ἔφη· ὅτι Κύριος μετὰ σοῦ, καὶ ἀποκτενεῖς τὸν Μαδιὰμ ὡσεὶ ἄνδρα ἕνα.

ιε. Καὶ εἶπε πρὸς αὐτὸν Γεδεὼν, ἐν ἐμοὶ, κύριέ μου, ἐν τίνι σώσω τὸν Ἰσραήλ; ἰδοὺ ἡ χιλιάς μου ἠσθένησεν ἐν Μανασσῇ, καὶ ἐγώ εἰμι μικρότερος ἐν οἴκῳ πατρός μου.

** ΙΩΣΗΠΟΥ. Θαῤῥεῖν παρακελευσαμένου, καὶ πειρᾶσθαι τὴν ἐλευθερίαν ἀνασώζειν, ἀδυνάτως ἔχειν ἔλεγε. τήν τε γὰρ φυλὴν, ἐξ ἧς ὑπῆρχε πλήθους ὑςερεῖν καὶ νέον αὐτὸν εἶναι, καὶ τηλικούτων πραγμάτων ἐπινοίας ἀσθενέςερον. ὁ δὲ Θεὸς αὐτὸς ἀναπληρώσειν τε τὸ λεῖπον ἐπηγγέλλετο, καὶ νίκην παρέξειν Ἰσραηλίταις, αὐτοῦ ςρατηγοῦντος.

ΑΔΗΛΟΥ. Τοῦτο λέγων· ὅτι περὶ μὲν τοῦ γενέσθαι, οὐδαμῶς ἀμφιβάλλω τὰ ὑπο-

A σχεθέντα, ποίῳ δὲ τρόπῳ τὸ πέρας ἕξει, βεβαιωθῆναι αὐτῷ.

ΕΥΣΕΒΙΟΥ. Ἀφ' οὗ γὰρ ὁ γαμβρὸς Μωϋσῇ συνεβούλευσε, χιλιάρχους καὶ ἑκατοντάρχους ἐποίησε. χιλίαρχος οὖν καὶ αὐτὸς τοῦ Μαοζοῦ τῆς ἀντιλήψεως.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἰδοὺ ἡ χιλιάς μου ταπεινοτέρα ἐν Μανασσῇ. Ἔμειναν γὰρ εἰς χιλιάρχους καὶ ἑκατοντάρχους διῃρημένοι, ἀφ' οὗ τοῦτο συνεβούλευσεν Ἰοθὸρ τῷ Μωϋ-
B σεῖ. χιλίαρχος οὖν ὑπάρχων, τοὺς ὑφ' αὐτὸν ὡς ἀσθενεῖς ᾐτιάσατο.

ις. Καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἄγγελος Κυρίου, Κύριος ἔςαι μετὰ σοῦ, καὶ πατάξεις τὴν Μαδιὰμ ὡσεὶ ἄνδρα
ιζ. ἕνα. Καὶ εἶπε πρὸς αὐτὸν Γεδεὼν, εἰ δὴ εὗρον ἔλεος ἐν ὀφθαλμοῖς σου, καὶ ποιήσεις μοι σήμερον πᾶν ὅ,τι (1) ἐλά-
Γ λησας μετ' ἐμοῦ,

ιη. Μὴ δὴ χωρισθῇς ἐντεῦθεν ἕως τοῦ με ἐλθεῖν πρὸς σὲ, καὶ ἐξοίσω τὴν θυσίαν μου καὶ θήσω ἐνώπιόν σου. καὶ εἶπεν, ἐγώ εἰμι καθιοῦμαι (2) ἕως τοῦ ἐπιςρέψαι σε.

ΑΔΗΛΟΥ. Ἵνα εἴπῃ, διὰ θυσιῶν μοι τὴν γενομένην ὑπόσχεσιν βεβαιώσεις.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ οἴσω τὴν θυ-
Δ σίαν μου. Τὸ θῦμα τὸ εἰς εὐωχίαν οὕτω καλεῖ. θυσία γὰρ οὐχ ἥψετο κατὰ τὸν νόμον.

ιθ. Καὶ Γεδεὼν (3) ἐποίησεν ἔριφον αἰγῶν καὶ οἶφι (4) ἀλεύρου ἄζυμα, καὶ τὰ κρέα ἔθηκεν ἐν τῷ κοφίνῳ, καὶ τὸν ζωμὸν ἔβαλεν ἐν τῇ χύτρᾳ, καὶ ἐξήνεγκεν αὐτὰ πρὸς αὐτὸν ὑπὸ τὴν Τερέμινθον, καὶ προσήγγισε.

E ΑΔΗΛΟΥ. Τὰ αὐτὰ τῷ μακαρίῳ Ἀβραὰμ ἐνδεικνύμενος.

κ. Καὶ εἶπε πρὸς αὐτὸν ὁ Ἄγγελος τοῦ Θεοῦ, λάβε τὰ κρέα καὶ τὰ ἄζυμα, καὶ θὲς πρὸς τὴν πέτραν ἐκείνην, καὶ τὸν ζωμὸν ἐχόμενα ἔκχεε. καὶ ἐποίησεν οὕτω.

** ΠΡΟΚΟΠΙΟΥ. Ὑπὸ τὴν δρῦν τίθησι, τὸν Ἀβραὰμ μιμησάμενος· καὶ τοῦ-
Z τον οἰηθεὶς ἀναλώσειν τὰ παρακείμενα. ὁ δὲ, τὸν ζωμὸν, ὡς ἀνεπιτήδειον, ἐκχέας διὰ τὴν ὑδαρότητά τε καὶ ἔκλυσιν, τὰ κρέα τιθέναι πρὸς τὴν πέτραν ἐκέλευσε.

» ** ΚΥΡΙΛΛΟΥ. Τὸ, θὲς ὑπὸ τὴν πέτραν ἐκείνην, οὐδὲν ἕτερον ἦν, ἢ ὥς γε οἶμαι, λέγοντος ἐναργῶς, ὅτι πρόσαγε τῷ Χριςῷ. ἡ πέτρα γὰρ ἦν ὁ Χριςὸς, καθά- 1. Kor. 10
φησιν ὁ πάνσοφος Παῦλος.

H κα. Καὶ ἐξέτεινεν ὁ Ἄγγελος Κυρίου τὸ ἄκρον τῆς ῥάβδου τῆς ἐν τῇ χειρὶ

(1) Ὅ,τι. αἱ εἰρημ. ἐκδόσ.
(3) Εἰσῆλθε, καὶ ἐποίησεν. αἱ αὐτ.
(2) Καθίσομαι. αἱ αὐτ.
(4) Οἰφί. αἱ αὐτ.

χειρὶ αὐτȣ͂, καὶ ἥψατο τῶν κρεῶν καὶ τῶν ἀζύμων· καὶ ἀνήφθη πῦρ ἐκ τῆς πέτρας, καὶ κατέφαγε τὰ κρέα καὶ τȣ̀ς ἀζύμȣς. καὶ ὁ Ἄγγελος (1) ἐπορεύθη ἀπὸ ὀφθαλμῶν αὐτȣ͂.

ΘΕΟΔΩΡΙΤΟΥ. Εὐθὺς γȣ͂ν πιςεύσας, θυσίαν προσήνεγκεν. ὁ δὲ Ἄγγελος ἐχ ἥρπασε τὴν θείαν τιμὴν, ἀλλ᾽ ἱερέως χρείαν ἐπλήρωσε, καὶ ῥάβδῳ παίξας τὴν πέτραν, ὡλοκαύτωσε τὴν θυσίαν παραδόξῳ πυρί.

B

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τῇ ῥάβδῳ πῦρ ἀνάψας, ἀνάλωσεν. ἡ δὲ ῥάβδος σημαίνει
Παροιμ. 10. 13. πῇ μὲν παιδείαν, ὡς τό· ῥάβδῳ τύπτε ἄνδρα ἀκάρδιον· πῇ δὲ ςηριγμὸν καὶ ἀντί-
Ψαλ. 22. 4. ληψιν, ὡς τό· ἡ ῥάβδος σȣ καὶ ἡ βακτηρία σȣ, αὕτη με παρεκάλεσεν. ὃ καὶ νῦν σημαίνει. ἡ δὲ πέτρα τὸ ςεῤῥὸν τῆς πίςεως, δι᾽ ἣν ὁ Πέτρος ὠνόμαςαι. ἥτις, ἀντιλαμβανομένȣ Θεȣ͂, καὶ πρὸς βραχὺ πλησιάζοντος, ὡς ὑπὸ πυρὸς δαπανήσει τȣ̀ς πολεμίȣς. καὶ τȣ͂το τὸ σημεῖον, ὅπερ ᾔτησε Γεδεών. διὸ καὶ μετὰ τῶν πιςῶν αὐτὸν ὁ Παῦλος κατέλεξε. Θεῷ γὰρ πιςεύσας, μετὰ τ᾽ ἀνδρῶν ταῖς τοσαύταις χιλιάσι τῶν πολεμίων ἐπέθετο. ἅμα δὲ δείκνυσιν ὁ φανεὶς, ὡς Χριςῷ μᾶλλον, τῇ πέτρᾳ, προσανέκειτο τὰς χάριτας, ἐν ᾧ τȣ̀ς πολεμίȣς συντρίψȣσι.

κβ. Καὶ εἶδε Γεδεὼν, ὅτι Ἄγγελος Κυρίȣ αὐτός (2) ἐςι. καὶ εἶπε Γεδεὼν, (3) κύριέ μȣ Κύριε, ὅτι εἶδον Ἄγγελον Κυρίȣ πρόσωπον πρὸς πρόσωπον.

ΑΔΗΛΟΥ. Ὡσανεὶ ἐξ ὑπερβαλλȣ́σης ταπεινοφροσύνης, κατὰ τὸν προφήτην Ἡσαΐαν, ταλανίζων ἑαυτόν.

κγ. Καὶ εἶπεν αὐτῷ Κύριος, εἰρήνη σοι, μὴ φοβȣ͂, ȣ̓ μὴ ἀποθάνῃς.

ΑΔΗΛΟΥ. Ἐναγώνιος ἦν, ὡς πάντως τȣ͂ βίȣ μέλλων μεθίςαςθαι. διόπερ καὶ λύει τὸν φόβον ὁ Θεὸς δι᾽ ἑτέρας ὀπτασίας.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἔσβεσεν αὐτȣ͂ καὶ τὴν ταραχὴν, εἰπὼν, ȣ̓ μὴ ἀποθάνῃς.

κδ. Καὶ ᾠκοδόμησεν ἐκεῖ Γεδεὼν θυσιαςήριον τῷ Κυρίῳ, καὶ ἐπεκάλεσεν αὐτῷ, εἰρήνη Κυρίȣ, ἕως τῆς ἡμέρας ταύτης, ἔτι αὐτȣ͂ ὄντος ἐν Ἐφραθὰ πατρὸς τȣ͂ Ἐσδρί.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Εἰρήνης τυχὼν, τὸ θυσιαςήριον εἰρήνην Κυρίȣ καλεῖ. τύπος δὲ τȣ͂το τȣ͂ πάθȣς Χριςȣ͂ τȣ͂ προσαγαγόντος ἑαυτὸν ὑπὲρ ἡμῶν εἰς ὀσμὴν εὐωδίας
Ἐφεσ. 2. 14. τῷ Θεῷ καὶ πατρί. αὐτὸς γάρ ἐςιν ἡ εἰρήνη ἡμῶν ὁ ποιήσας ἀμφότερα ἕν, καὶ τὰς θρησκείας τὰς δαιμονικὰς καθελὼν, τὰς ἐκ πατέρων παραδεδομένας τοῖς ἔθνεσι· καθάπερ ὁ Γεδεὼν, ὃς καὶ τὸν μόσχον προσάγει τὸν σιτευτὸν τῷ Θεῷ, τὸν ὑπὲρ ἡμῶν προσενεχθέντα τυπȣ́μενον.

κε. Καὶ ἐγένετο ἐν τῇ νυκτὶ ἐκείνῃ, καὶ εἶπεν αὐτῷ Κύριος, λάβε τὸν μόσχον τὸν ταῦρον τὸν σιτευτὸν ὅς ἐςι τῷ πατρί σȣ, (4) καὶ καθελεῖς τὸ θυσιαςήριον τȣ͂ Βάαλ ὅ ἐςι τῷ πατρί σȣ, καὶ τὸ ἄλσος τὸ ἐπ᾽ αὐτῷ ὀλοθρεύσεις.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὸν τῷ Βάαλ τρεφόμενον μόσχον τῷ Θεῷ προσενεχθῆναι προσέταξε; Μετατιθεὶς αὐτȣ̀ς ἐκ τῆς πλάνης πρὸς τὴν ἀλήθειαν. διάτοι τȣ͂το καὶ τὸν ἐκείνȣ βωμὸν κατασκαφῆναι παρηγγύησε, καὶ τὸ ἄλσος ἐκκοπῆναι. ἔδει γὰρ τὸν τῆς τοσαύτης χάριτος ἀξιωθέντα μὴ μόνον εὐσεβεῖν, ἀλλὰ

Γ καὶ ἄλλων γενέσθαι διδάσκαλον.

κς. Καὶ οἰκοδομήσεις θυσιαςήριον Κυρίῳ τῷ Θεῷ σȣ ἐπὶ τῆς κορυφῆς τȣ͂ Μανȣ͂ (5) ἐκ τȣ́τȣ ἐν τῇ παρατάξει· καὶ λήψῃ τὸν μόσχον τὸν δεύτερον, καὶ ἀνοίσεις ὁλοκαύτωμα ἐν τοῖς ξύλοις τȣ͂ ἄλσȣς, ȣ͂ ἐξολοθρεύσεις.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὸ, Μαὼζ, Ἀκύλας ἐξέδωκε, κραταιώματος· Σύμμαχος

Δ δὲ, κραταιȣ͂.

κζ. Καὶ ἔλαβε Γεδεὼν δέκα ἄνδρας ἀπὸ τῶν δȣ́λων αὐτȣ͂, καὶ ἐποίησεν ὃν τρόπον ἐλάλησεν αὐτῷ Κύριος. καὶ ἐγενήθη ὡς ἐφοβήθη τὸν οἶκον τȣ͂ πατρὸς αὐτȣ͂ καὶ τȣ̀ς ἄνδρας τῆς πόλεως τȣ͂ ποιῆσαι ἡμέρας, καὶ ἐποίησε νυκτός.

Ε ΕΙΡΗΝΑΙΟΥ. Καὶ τȣ͂το ȣ̓κ ἀργῶς, ἀλλ᾽ ἵνα διὰ τȣ͂ ἀριθμȣ͂ τῶν δέκα ἀνδρῶν, Ἰησȣ͂ν μεθ᾽ ἑαυτȣ͂ ἔχων φανῇ βοηθόν.

κη. Καὶ ὤρθρισαν οἱ ἄνδρες τῆς πόλεως τῷ πρωΐ· καὶ ἰδȣ̀ καθῄρητο τὸ θυσιαςήριον τȣ͂ Βάαλ, καὶ τὸ ἄλσος τὸ ἐπ᾽ αὐτῷ ὠλόθρευτο. καὶ εἶδον τὸν μόσχον τὸν δεύτερον, ὃν ἀνήνεγκεν ἐπὶ

Ζ τὸ θυσιαςήριον τὸ ᾠκοδομημένον.

κθ. Καὶ εἶπεν ἀνὴρ πρὸς τὸν πλησίον αὐτȣ͂, τίς ἐποίησε τὸ ῥῆμα τȣ͂το; καὶ ἐπεζήτησαν καὶ ἠρεύνησαν, καὶ ἔγνωσαν ὅτι Γεδεὼν ὁ υἱὸς Ἰωὰς (6) ἐποίησε τὸ ῥῆμα τȣ͂το.

ΑΔΗΛΟΥ. Οἷα καὶ ἀσυμφώνȣ αὐτοῖς γεγονότος, καὶ μὴ βȣληθέντος ἐπικοινωνῆσαι οἷς ἔπραττον εἰδωλολατρȣ͂ντες, ἐπ᾽

Η αὐτὸν τὴν αἰτίαν ἀναφέρȣσι.

λ. Καὶ

(1) Κυρίȣ. αἱ αὐτ. (2) Οὗτος. αἱ αὐτ. (3) Ἃ ἆ, Κύρ. αἱ αὐτ.
(4) Καὶ μόσχον δεύτερον ἑπταετῆ, καὶ καθ. αἱ αὐτ.
(5) Ἐπὶ κορυφὴν Μαωζὶ τȣ́τȣ. αἱ αὐτ. τȣ͂ Μανὼζ τȣ͂ ὄρȣς. ἡ τȣ͂ Ἀλδ. (6) Ἰωάς. αἱ εἰρημ. ἐκδόσ.

λ. Καὶ εἶπον οἱ ἄνδρες τῆς πό-
λεως πρὸς Ἰώας, ἐξένεγκε τὸν υἱόν
σου, καὶ ἀποθανέτω, ὅτι κατέσκαψε
τὸ θυσιαστήριον τοῦ Βάαλ, καὶ ὅτι ὠλό-
λα. θρευσε τὸ ἄλσος τὸ ἐπ' αὐτῷ. Καὶ
εἶπεν Ἰώας τοῖς ἀνδράσι πᾶσιν, οἳ
ἐπανέστησαν αὐτῷ, μὴ ὑμεῖς νῦν δι-
κάζεσθε ὑπὲρ τοῦ Βάαλ, ἢ ὑμεῖς σώ-
σετε αὐτόν; ὃς ἐὰν δικάσηται αὐτῷ,
θανατωθήτω ἕως πρωΐ. εἰ Θεός ἐστιν,
ἐκδικήσει αὐτὸν, ὅτι καθεῖλε τὸ θυ-
σιαστήριον αὐτοῦ.

λβ. Καὶ ἐπεκάλεσαν αὐτὸν ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ Ἱεροβάαλ, λέγοντες,
δικασάσθω (1) ὁ Βάαλ ἑαυτῷ, ὅτι
καθῃρέθη τὸ θυσιαστήριον αὐτοῦ.

ΑΔΗΛΟΥ. Ὅτι Ἱεροβάαλ, δικαστήριον τοῦ Βάαλ λέγεται.

λγ. Καὶ πᾶσα Μαδιὰμ, καὶ Ἀμα-
λὴκ, καὶ οἱ υἱοὶ ἀνατολῶν συνήχθησαν
ἐπὶ τὸ αὐτὸ, καὶ παρῆλθον, καὶ πα-
ρενέβαλον ἐν τῇ κοιλάδι Ἰεσραέλ. (2)
λδ. Καὶ πνεῦμα Κυρίου ἐνεδυνάμωσε τὸν
Γεδεὼν, καὶ ἐσάλπισεν ἐν κερατίνῃ,
λε. καὶ ἐβόησεν Ἀβιέζερ ὀπίσω αὐτοῦ. Καὶ
ἀγγέλους ἀπέστειλεν εἰς πάντα Μα-
νασσῆ, καὶ ἐν Ἀσὴρ, καὶ ἐν Ζαβουλὼν,
καὶ ἐν Νεφθαλείμ. καὶ ἀνέβησαν εἰς
συνάντησιν αὐτῶν.

λς. Καὶ εἶπε Γεδεὼν πρὸς τὸν
Θεὸν, εἰ σὺ σώζεις ἐν χειρί μου τὸν Ἰσ-
ραὴλ, καθὼς ἐλάλησας,

» ΑΔΗΛΟΥ. Τὸ, εἰ σώζεις, ἀντὶ τοῦ, ἐπειδὴ σώζεις, εἴρηται. οὐ γὰρ ἠπίστει ταῖς θείαις ὑποσχέσεσιν, ἀλλ' ὡς διὰ θαύματος βεβαιωθῆναι τὸν λαὸν ἐβούλετο.

λζ. Ἰδοὺ ἐγὼ τίθημι τὸν πόκον τοῦ
ἐρίου ἐν τῇ ἅλωνι· ἐὰν δρόσος γένηται
ἐπὶ τὸν πόκον μόνον, καὶ ἐπὶ πᾶσαν
τὴν γῆν ξηρασία, γνώσομαι ὅτι σώ-
ζεις ἐν τῇ χειρί μου τὸν Ἰσραὴλ, κα-
θὼς ἐλάλησας.

» ΑΔΗΛΟΥ. Τὸ δὲ, γνώσομαι, οὐχὶ περὶ αὐτοῦ φησὶν, ἀλλ' ὡς ἔξαρχος ὢν τῆς συναγωγῆς, τὸ πάντων πρόσωπον ᾠκειώσατο.

A λη. Καὶ ἐγένετο οὕτω· καὶ ὤρθρισε
τῇ ἐπαύριον, καὶ ἐξεπίασε τὸν πόκον
μόνον, καὶ ἔσταξε δρόσος ἀπὸ τοῦ πόκου
λθ. πλήρης λεκάνη ὕδατος. Καὶ εἶπε
Γεδεὼν πρὸς τὸν Θεὸν, μὴ ὀργισθήτω
ὁ θυμός σου ἐπ' ἐμοὶ, καὶ λαλήσω ἔτι
ἅπαξ, πειράσω δὲ καί γε ἔτι ἅπαξ
ἐν τῷ πόκῳ· καὶ γενέσθω ξηρασία
ἐπὶ τὸν πόκον μόνον, ἐπὶ δὲ πᾶσαν
B τὴν γῆν γενηθήτω δρόσος.

ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος σύμβολον ὁ πό-
κος ὁ τὴν δρόσον δεξάμενος; Πρῶτον ᾔτη-
σεν ὁ Γεδεὼν ἐν τῷ πόκῳ γενέσθαι τὴν δρό-
σον, πᾶσαν δὲ τὴν γῆν διαμεῖναι ξηράν.
μετὰ δὲ ταῦτα, τὴν μὲν γῆν ὑγρανθῆναι,
μόνον δὲ τὸν πόκον ἄμοιρον διαμεῖναι τῆς
δρόσου. δηλοῖ δὲ ὁ λόγος, ὡς πάλαι μὲν ὁ
Ἰσραὴλ τῆς θείας ἀπήλαυσε χάριτος, ὡς
Γ ὁ πόκος τῆς δρόσου· ὕστερον δὲ πᾶσα ἡ τῶν
ἀνθρώπων φύσις τῶν πνευματικῶν τετύχη-
κε δωρεῶν. ἔρημος δὲ τούτων ὁ Ἰσραὴλ γέ-
γονε, καθάπερ ὁ πόκος ἐστερήθη τῆς δρόσου.

** ΠΡΟΚΟΠΙΟΥ. Αἰτεῖ καὶ δεύτερον
σημεῖον εἰς τὴν τοῦ προλαβόντος βεβαίωσιν.
καὶ ὁ πόκος μόνος ἐδίδετο εἰς τύπον τοῦ Ἰσ-
ραὴλ, ὃς μόνος τῆς θείας ἀπέλαυε χάρι-
τος· καὶ ἡ γῆ πᾶσα πάλιν τοῦ πόκου χωρὶς,
εἰς τὴν τῶν ἐθνῶν ὁμοιότητα τῶν δεξαμέ-
Δ νων τὰς τοῦ πνεύματος δωρεὰς, ἐρήμου ὄν-
τος τοῦ Ἰσραήλ. ὃ καὶ Δαβὶδ αἰνιττόμενος
» ἔφασκε· καὶ καταβήσεται ὡς ὑετὸς ἐπὶ πό- Ψαλ. 72
» κον, καὶ ὡσεὶ σταγόνες στάζουσαι ἐπὶ τὴν γῆν,
δηλῶν ἐν οβ' ψαλμῷ τὴν κατὰ σάρκα γέν-
νησιν, ἡσύχως γενομένην καὶ μυστικῶς. οὐ
ψοφεῖ γὰρ, οὐ πόκος δεχόμενος ὑετὸν, οὐ γῆ
σταγόνας. οὕτως ἡ δεσποτικὴ γεγένηται σύλ-
ληψις. ἀμφότερα δὲ συνέλαβεν ὁ Δαβὶδ
διὰ τὰ ἔθνη, καὶ τοὺς σωθέντας ἐξ Ἰσραήλ.

E μ. Καὶ ἐποίησεν οὕτως ὁ Θεὸς ἐν
τῇ νυκτὶ ἐκείνῃ· καὶ ἐγένετο ξηρασία
ἐπὶ τὸν πόκον μόνον, καὶ ἐπὶ πᾶσαν
τὴν γῆν ἐγενήθη δρόσος.

** ΝΕΙΛΟΥ. Ἐπὶ μὲν γὰρ πᾶσαν
τὴν γῆν καὶ πᾶσαν τὴν ὑφ' ἡλίῳ γέγονέ τε
καὶ γίνεται ἡ δρόσος τῆς γνώσεως τοῦ Χρι-
στοῦ, ἐπὶ δὲ τὸν πόκον τῶν Ἰουδαίων μόνον ἡ
Z ξηρασία ἐστίν. ἀπέπτη γὰρ ἀπ' αὐτῶν ἡ
τὰς ψυχὰς ζωοποιοῦσα καὶ αὔξουσα, δροσί-
ζουσά τε καὶ ἐκτρέφουσα χάρις.

ΚΕΦ. Ζ.

α. Καὶ ὤρθρισεν Ἱεροβάαλ, αὐτός ἐστι Γεδεὼν, καὶ πᾶς ὁ λαὸς μετ' αὐτοῦ, καὶ παρενέβαλεν ἐπὶ πηγὴν Ἀράδ· καὶ παρεμβολὴ Μαδιὰμ ἦν αὐτῷ ἀπὸ βοῤῥᾶ ἀπὸ Γαβαὰθ Ἀμοῤῥαῒ ἐν κοιλάδι.

ΑΔΗΛΟΥ. Ἱεροβάαλ καλεῖται ὁ Γεδεὼν, καθὸ τὸ εἴδωλον τοῦ Βάαλ καθελὼν, ἱερέως τάξιν ἔδοξεν ἀναλαμβάνειν· καὶ τὸ θυσιαστήριον οἰκοδομήσας, εἰς θυσίαν τὸν
H μόσχον ἀνήνεγκε.

β. Καὶ εἶπε Κύριος πρὸς Γεδεὼν, πολὺς ὁ λαὸς ὁ μετὰ σοῦ, ὥστε παραδοῦναί-

(1) Δικαζέσθω ἐν αὐτῷ ὁ Βάαλ. αἱ αὐτ.

(2) Ἰεζραέλ. αἱ αὐτ.

δοῦναί με τὴν Μαδιὰμ ἐν χειρὶ αὐτῶν,
μήποτε καυχήσηται Ἰσραὴλ ἐπ᾽ ἐμὲ,
γ. λέγων, ἡ χείρ μου ἔσωσέ με. Καὶ νῦν
λάλησον δὴ ἐν ὠσὶ τοῦ λαοῦ, λέγων,
τὶς ὁ φοβούμενος καὶ δειλός; ἐπιστρα-
φήτω καὶ ἐκχωρείτω ἀπὸ ὄρους Γα-
λαάδ. καὶ ἐπέστρεψαν ἀπὸ τοῦ λαοῦ
εἴκοσι καὶ δύω χιλιάδες, καὶ δέκα χι-
δ. λιάδες ὑπελείφθησαν. Καὶ εἶπε Κύ-
ριος πρὸς Γεδεὼν, ἔτι ὁ λαὸς πολύς·
κατένεγκον αὐτοὺς εἰς τὸ ὕδωρ, καὶ
ἐκκαθάρω σοι (1) αὐτῶν ἐκεῖ. καὶ ἔσται
ὃν ἐὰν εἴπω πρὸς σὲ, οὗτος πορεύσεται
μετὰ σοῦ, αὐτὸς πορεύσεται σὺν σοί·
καὶ ὃν ἐὰν εἴπω πρὸς σὲ, ὅτι οὗτος οὐ πο-
ρεύσεται, οὐ πορεύσεται μετὰ σοῦ.

ε. Καὶ κατήνεγκε τὸν λαὸν εἰς
τὸ ὕδωρ· καὶ εἶπε Κύριος πρὸς Γε-
δεὼν, πᾶς ὃς ἐὰν λάψῃ τῇ γλώσσῃ
αὐτοῦ ἀπὸ τοῦ ὕδατος ὡς ἐὰν λάψῃ ὁ
κύων, στήσεις αὐτὸν κατὰ μόνας· καὶ
πᾶς ὃς ἐὰν κλίνῃ ἐπὶ τὰ γόνατα αὐ-
τοῦ πιεῖν, μεταστήσεις αὐτὸν καθ᾽ ἑαυ-
ϛ. τόν. Καὶ ἐγένετο ὁ ἀριθμὸς τῶν λα-
ψάντων ἐν τῇ χειρὶ αὐτῶν πρὸς τὸ
στόμα αὐτῶν, τριακόσιοι ἄνδρες. καὶ
πᾶν τὸ κατάλοιπον τοῦ λαοῦ ἔκλιναν
ἐπὶ τὰ γόνατα αὐτῶν πιεῖν ὕδωρ.

** ΙΩΣΗΠΟΥ. Ἐπιστὰς κατὰ τοὺς ὕπνους ὁ Θεὸς τῷ Γεδεῶνι, τήν τε ἀνθρωπίνην φύσιν αὐτόφιλαυτον οὖσαν ἐδήλου, καὶ πρὸς τοὺς ἀρετῇ διαφέροντας ἀπεχθανομένην· ὅπως τε μὴ τὴν νίκην παρόντες τοῦ Θεοῦ δοκεῖν, νομίζωσιν ἰδίαν, ὡς πολὺς στρατὸς ὄντες, καὶ πρὸς τοὺς πολεμίους ἀξιόμαχος. ἵνα μάθωσιν οὖν βοηθείας τῆς αὐτοῦ τὸ ἔργον, συνεβούλευε περὶ μεσοῦσαν τὴν ἡμέραν, ἐν ἀκμῇ τοῦ καύματος ὄντος, ἄγειν τὴν στρατιὰν ἐπὶ τὸν ποταμόν, καὶ τοὺς μὲν κατακλιθέντας, καὶ οὕτω πίνοντας, εὐψύχους ὑπολαμβάνειν, ὅσοι δ᾽ ἂν ἐσπουδασμένως καὶ μετὰ θορύβου πίνοντες τύχοιεν, τούτους νομίζειν ὑπὸ δειλίας τοῦτο πάσχειν, καὶ καταπεπληγότας τοὺς πολεμίους. ποιήσαντος δὲ κατὰ τὰς τοῦ Θεοῦ ὑποθήκας τοῦ Γεδεῶνος, τριακόσιοι ἄνδρες ηὑρέθησαν ταῖς χερσὶ μετὰ φόβου προσενηνεγμένοι τὸ ὕδωρ τεταραγμένως. ἔφησέ τε ὁ Θεὸς τούτους ἐπαγόμενον ἐπιχειρεῖν τοῖς πολεμίοις.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὶ δήποτε τοὺς κυνὶ παραπλησίως πεπωκότας μόνους ἐκέλευσε παρατάξασθαι; Δεδήλωκε τὴν αἰτίαν αὐτὸς ὁ δεσπότης Θεός. πολὺς γάρ φησιν ὁ » ὄχλος ὁ μετὰ σοῦ, ὥστε παραδοῦναί με τὴν » Μαδιὰμ ἐν χειρὶ αὐτῶν, μήποτε καυχή- » σηται ἐπ᾽ ἐμὲ Ἰσραὴλ, λέγων, ἡ χείρ μου ἔσωσέ με. τῶν πλείστων τοίνυν ἀπολυθέντων, τοὺς ὑπολειφθέντας τῷ ποταμῷ προσαχθῆναι προσέταξεν· εἶτα τῶν πλειόνων εἰς γόνυ κλιθέντων, καὶ πεπωκότων συντόμως· τῶν δὲ τριακοσίων τοῦτο μὲν δι᾽ ὄκνον οὐ πεποιηκότων, τῇ δὲ χειρὶ τὸ νᾶμα προσενεγκόντων τῷ στόματι, τούτους μόνους ἐκέλευσεν, ὡς ἀργοὺς καὶ νωθεῖς, κατὰ τῶν ἀντιπάλων ὁρμῆσαι· ἵνα γένηται δήλη ἅπασιν ἡ θεία ῥοπή. οὕτω καὶ διὰ δώδεκα ἁλιέων, καὶ τελώνου, καὶ σκυτοτόμου ἑνὸς, τὴν τῶν Δαιμόνων κατέλυσε φάλαγγα, καὶ τῶν ἀνθρώπων τὴν φύσιν διέσωσε. τούτου χάριν ὁ προφήτης Ἡσαΐας τούτοις ἐκεῖνα παρέβαλε, καὶ ἔφη· τὴν Ἡσ. 9. 4.
» γὰρ ῥάβδον τῶν ἀπειθούντων διεσκέδασεν,
» ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιάμ. ὥσπερ γὰρ ἐνταῦθα γυμνοῖς ἐχρήσατο στρατιώταις, τῇ μὲν λαιᾷ φέρουσι κεκρυμμένας ἐν ἀμφορεῦσι λαμπάδας, τῇ δεξιᾷ δὲ τὰς σάλπιγγας· οὕτω τοὺς ἱεροὺς Ἀποστόλους γυμνοὺς εἰς τὴν οἰκουμένην ἀπέστειλε, φέροντας τὴν λαμπάδα τῶν θαυμάτων, καὶ τὴν σάλπιγγα τῶν κηρυγμάτων.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ περὶ τῶν λαψάντων, καὶ μὴ, διαφόρως ἐδέξαντο. οἱ μὲν (2) λέγοντες, ὡς ἀσθενεῖς αὐτοὺς τὸν Θεὸν ἐπιλέξασθαι, ὡς νωθεῖς καὶ ἀργοὺς, καὶ μὴ βουληθέντας ἐξ ὄκνου κλῖναι τὰ γόνατα, καὶ σύντομον πέρας ἐπιθεῖναι τῇ δίψῃ, ἀλλ᾽ ὡς ἐν θορύβῳ διὰ δειλίαν ἁρπάζοντας· ὡς ἂν τὸ ἔργον τῆς θείας φαίνοιτο χάριτος. καὶ Χριστὸς γὰρ τὰ ἀσθενῆ τοῦ κόσμου, τοὺς ἁλιέας καὶ τὸν σκυτοτόμον ἐπιλεξάμενος, τὴν τῶν ἐθνῶν κατέλυσε προσβολήν. ὃ καὶ δηλῶν Ἡσαΐας φησί· τὴν Ἡσ. 9. 4.
» γὰρ ῥάβδον τῶν ἀπειθούντων διεσκέδασεν,
» ὡς τῇ ἡμέρᾳ τῇ ἐπὶ Μαδιάμ. γυμνοὶ γὰρ οἱ μετὰ Γεδεών. γυμνοὶ καὶ οἱ παρὰ Χριστοῦ πεμφθέντες Ἀπόστολοι, φέροντες τῶν θαυμάτων τὰς λαμπάδας, καὶ τῶν κηρυγμάτων τὰς σάλπιγγας. οἱ δέ φασι, (3) τὶ
» δὲ τοὺς μετὰ Γεδεὼν τριακοσίους τοὺς λά-
» ψαντας ἀνδρικῶς; καὶ πάλιν, (4) καλὸν ἡ ἐγκράτεια. καὶ μαρτυροῦσιν οἱ μετὰ Γεδεὼν τὴν Μαδιὰμ χειρωσάμενοι.

ΣΕΥΗΡΟΥ. Τοῦτο δηλοῦντος τοῦ λόγου, ὡς ἐκεῖνός ἐστιν ἀξιόχρεως πρὸς τὴν Μαδιὰμ παρατάξασθαι, ὁ ὄρθιος ἑστὼς, καὶ πρὸς οὐρανὸν βλέπων, καὶ μὴ διὰ τὴν τοῦ σώματος ἡδυπάθειαν πρὸς τὴν γῆν καταφερόμενος. περὶ δὲ μεσοῦσαν τὴν ἡμέραν, καὶ ἐν ἀκμῇ τοῦ καύματος τοῦτο ποιῆσαι. ὡς καὶ ἐντεῦθεν τὸ εὔψυχον αὐτῶν δειχθῆναι.

 ζ. Καὶ

(1) Ἐκκαθαρῶ σοι. αἱ αὐτ. (2) Τὸν Θεοδώριτον πάντως αἰνίττεται, οὗ τὸν νοῦν αὐτολεξεὶ σχεδὸν ἐκλέθησιν.

(3) Ὁ Ναζιανζ. ἐν τῷ 32. λόγ. σελ. 515. τῆς ἐν Παρισ. ἐκδόσ.

(4) Ὁ Αὐτὸς ἐν 16. λόγ. σελ. 241. οὕτω· καλὸν ἐγκράτεια, καὶ πειθέτω σε Δαβὶδ, ἰοῦκα, κτ. μέμνηται δὲ ὁ Ναζιανζ. τοῦ Γεδεὼν καὶ ἐν τῷ 3. λόγ. σελ. 57. λέγων· λογάδες ὀλίγοι λάπτοντες, καὶ νικᾶν πιστευόμενοι, καὶ νικῶντες κατὰ τὰς ἐλπίδας, ὁ βραχὺς ἀριθμὸς, τὰς πλείονας χιλιάδας. μήτι γε οὖν ὁ Προκόπ. ἐν ἄλλῳ ἀντιγράφῳ ὅπερ ἀναφέρει, εὕρηκε;

ζ. Καὶ εἶπε Κύριος πρὸς Γεδεὼν,
ἐν τριακοσίοις ἀνδράσι τοῖς λελειχό-
σι (1) σώσω αὐτοὺς, καὶ δώσω τὴν Μα-
διὰμ ἐν χειρί σου, καὶ πᾶς ὁ λαὸς πορεύ-
σονται ἀνὴρ εἰς τὸν οἶκον (2) αὐτῶν.

ΑΔΗΛΟΥ. Τοὺς πάντων ἀσθενεστέρους
καὶ βραχεῖς ἐν ἀριθμῷ συμπορευθῆναι τῷ
κριτῇ εἰς τὸν πόλεμον ὁ Θεὸς ἐδοκίμασεν.
οἱ μὲν γὰρ τῇ ἰσχύϊ θαῤῥοῦντες, τὰ γόνατα
ἐπὶ ταῖς πηγαῖς ὡς ἐπὶ τὸ πλεῖστον ἔνοπλοι
κλίνειν εἰώθασιν· οἱ δὲ ἀσθενεῖς καὶ ἀδύνα-
τοι, διὰ τὴν τῶν ὅπλων βαρύτητα καὶ τὸν
ἐκ ταύτης ὄκνον, τῇ χειρὶ τὸ ὕδωρ λά-
πτοντες πίνουσι.

η. Καὶ ἔλαβον τὸν ἐπισιτισμὸν τοῦ
λαοῦ ἐν τῇ χειρὶ αὐτῶν, καὶ τὰς κερατί-
νας αὐτῶν. καὶ τὸν πάντα ἄνδρα Ἰσ-
ραὴλ ἐξαπέστειλεν ἄνδρα εἰς τὴν σκη-
νὴν αὐτοῦ· καὶ τοὺς τριακοσίους ἄνδρας
κατίσχυσε. καὶ ἡ παρεμβολὴ Μαδιὰμ
ἦσαν ὑποκάτω αὐτοῦ ἐν τῇ κοιλάδι.

θ. Καὶ ἐγενήθη ἐν τῇ νυκτὶ ἐκείνῃ,
καὶ εἶπε πρὸς αὐτὸν ὁ Κύριος, ἀνάστα,
κατάβηθι ἐν τῇ παρεμβολῇ, ὅτι πα-
ι. ρέδωκα αὐτὴν ἐν τῇ χειρί σου. Καὶ
εἰ φοβῇ σὺ καταβῆναι, κατάβηθι
σὺ καὶ Φαρὰ τὸ παιδάριόν σου εἰς τὴν
παρεμβολήν.

** ΙΩΣΗΠΟΥ. Γεδεῶνος ἐν φόβῳ κα-
θεστῶτος· καὶ γὰρ νυκτὸς ἐπιχειρεῖν αὐτῷ
ὁ Θεὸς προειρήκει· τοῦ δέους αὐτὸν ἀπα-
γαγεῖν βουλόμενος, κελεύει, προσλαβόντα
τῶν στρατιωτῶν ἕνα, πλησίον χωρεῖν ταῖς
Μαδιανιτῶν σκηναῖς· παρ' αὐτῶν γὰρ ἐκεί-
νων λήψεσθαι φρόνημα καὶ θάρσος· πει-
σθεὶς δὲ ᾔει, Φαρὰν τὸν ἑαυτοῦ θεράποντα
παραλαβών.

ια. Καὶ ἀκούσῃ τί λαλήσουσι, καὶ
μετὰ ταῦτα ἰσχύσουσιν αἱ χεῖρές σου
καὶ καταβήσῃ ἐν τῇ παρεμβολῇ. καὶ
κατέβη αὐτὸς καὶ Φαρὰ τὸ παιδά-
ριον αὐτοῦ πρὸς ἀρχὴν τῶν πεντήκον-
τα, οἳ ἦσαν ἐν τῇ παρεμβολῇ.

ΑΔΗΛΟΥ. Ὅτι κατὰ πεντήκοντα ἦσαν
διῃρημένοι οἱ ἀλλόφυλοι.

ΑΔΗΛΟΥ. Τὴν δυσχέρειαν τοῦ τόπου
» γνωρίζει. τὸ δὲ, εἰς μέρος τῶν πεντήκον-
τα, τὴν βραχύτητα τῶν κατ' ἐκεῖνον τὸν
τόπον πρὸς φυλακὴν τῶν καταστάντων δη-
λοῖ, διὰ τὸ τοῦ τόπου δύσβατον.

ιβ. Καὶ Μαδιὰμ καὶ Ἀμαλὴκ καὶ
πάντες οἱ υἱοὶ ἀνατολῶν βεβλημένοι
ἐν τῇ κοιλάδι ὡσεὶ ἀκρὶς εἰς πλῆθος,
καὶ ταῖς καμήλοις αὐτῶν οὐκ ἦν ἀριθ-
μὸς, ἀλλ' ἦσαν ὥσπερ ἡ ἄμμος ἡ ἐπὶ
τοῦ χείλους τῆς θαλάσσης εἰς πλῆθος.

A ιγ. Καὶ ἦλθε Γεδεὼν, καὶ ἰδοὺ
ἀνὴρ ἐξηγούμενος τῷ πλησίον αὐτοῦ
ἐνύπνιον, καὶ εἶπεν, ἰδοὺ ἐνυπνιασά-
μην ἐνύπνιον, καὶ ἰδοὺ μαγὶς ἄρτου
κριθίνου στρεφομένη ἐν τῇ παρεμβολῇ
Μαδιὰμ, καὶ ἦλθεν ἕως τῆς σκηνῆς
Μαδιὰμ, καὶ ἐπάταξεν αὐτὴν, καὶ
ἔπεσε, καὶ ἀνέστρεψεν αὐτὴν ἄνω, καὶ
ἔπεσεν ἡ σκηνή.

B ** ΙΩΣΗΠΟΥ. Πλησιάσας σκηνῇ
τινι, καταλαμβάνει τοὺς ἐν αὐτῇ ἐγρηγο-
ρότας, καὶ τὸν ἕτερον ὄναρ διηγούμενον τῷ
συσκηνοῦντι, ὥστε ἀκούειν τὸν Γεδεῶνα. τὸ
δὲ τοιοῦτον ἦν· μᾶζαν ἐδόκει κριθίνην, ὑπ'
εὐτελείας ἀνθρώποις ἄβρωτον, διὰ τοῦ στρα-
τοπέδου κυλιομένην, τὴν τοῦ βασιλέως σκη-
νὴν καταβαλεῖν, καὶ τὰς τῶν στρατιωτῶν
πάντων.

Γ ** ΝΕΙΛΟΥ. Μαγὶς ἄρτου κριθίνου
τῶν Ἰσραηλητικῶν κυλιομένη τὰς σκηνὰς
κατέβαλε τῶν Μαδιανιτῶν. ἡ γὰρ εὐτε-
λὴς δίαιτα κυλιομένη καὶ προκόπτουσα ἐπὶ
πολὺ καταλύει τὰ τῆς πορνείας παθήμα-
τα. Μαδιανῖται γὰρ τῶν τῆς πορνείας
παθῶν φέρουσι σύμβολον. οὗτοι γάρ εἰσιν
οἱ τὰς πορνείας ἐπαγαγόντες τῷ Ἰσραὴλ,
καὶ πολὺ πλῆθος ἀπατήσαντες τῶν νέων.
πάνυ δὲ προσφυῶς σκηνὰς μὲν εἶπεν ἡ
Δ Γραφὴ τοὺς Μαδιανίτας ἔχειν, τεῖχος δὲ
τὴν Ἱερουσαλήμ. πάντα γὰρ τὰ περιέχον-
τα τὴν ἀρετὴν ἐρηρεισμένα ἐστὶ καὶ βέβαια·
τὰ δὲ τὴν κακίαν συνέχοντα, χρῆμά ἐστι
καὶ σκηνὴ, φαντασίας οὐδὲν διαφέροντα.

** ΠΡΟΚΟΠΙΟΥ. Οὕτω δέ τινες καὶ
τὰ περὶ τῆς μαγίδος τοῦ κριθίνου ἄρτου τῆς
ἐν ὀνείρῳ παρέδωκαν· ἣν ἐξέδωκαν οἱ Λοι-
ποὶ, ὄλυραν ἢ κολλυρίδα. ταῦτα γάρ φα-
σιν ἐγκρατείας τεκμήριον τῆς νικώσης τὴν
E παρεμβολὴν Μαδιάμ· ὃ σημαίνει πορνείαν,
δι' ἧς ἐνήδρευσαν οὗτοι τὸν Ἰσραήλ.

ΩΡΙΓΕΝΟΥΣ. (3) Κριθίνην μᾶζαν ὁρᾷ
τὶς κατ' ὄναρ, καταστρέφουσαν τὴν σκηνὴν
τοῦ βασιλέως. τοῦτο δηλοῖ, ὅτι ἄρχων ἦν
ὁ νικῶν, καὶ οὐ βασιλεύς· ἢ ὅτι ἐν τῷ μη-
δενὶ νικᾶται ὁ ἀλλόφυλος.

ΑΔΗΛΟΥ. Γέγονεν ἡ ὀπτασία πρὸς τὸ
σαφῆ τὴν τῶν ἐναντίων κατάπληξιν τῷ
Z κριτῇ ἀποδειχθῆναι. διὰ δὲ τοῦ κριθίνου
ἄρτου τὴν καταστροφὴν γενέσθαι δείκνυσι
τῆς σκηνῆς, ὅτι κρίσει δικαίᾳ τοῦ Θεοῦ τὴν
διὰ τῶν Ἰσραηλιτῶν τιμωρίαν ὑπομένουσι.

ιδ. Καὶ ἀπεκρίθη ὁ πλησίον αὐτοῦ,
καὶ εἶπεν, οὐκ ἔστιν αὕτη εἰ μὴ ῥομφαία
Γεδεὼν υἱοῦ Ἰωὰς ἀνδρὸς Ἰσραήλ· πα-
ρέδωκεν ὁ Θεὸς ἐν χειρὶ αὐτοῦ τὴν Μα-
διὰμ καὶ πᾶσαν τὴν παρεμβολήν.

H ** ΙΩΣΗΠΟΥ. Ὁ σημαίνων, ὄλεθρον
τοῦ στρατοῦ τὴν ὄψιν ἔκρινε, λέγων ὅθεν τοῦτ'
αὐτῷ συνιδεῖν ἐπῆλθε. πᾶν τὸ σπέρμα τὸ
καλέ-

(1) Λάψασι σώσω ὑμᾶς. αἱ εἰρημ. ἐκδόσ. (2) Τόπον. αἱ αὐτ. (3) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

καλȣμένον κρίθινον εὐτελέστατον ὁμολο- A
γεῖσθαι τυγχάνειν, τȣ δ' Ἀσιανȣ παντὸς
τὸ Ἰσραηλιτῶν ἐστὶν ἰδεῖν νῦν ἀτιμότερον
γεγενημένον, ὅμοιον δὲ τῷ κατὰ κριθὴν
γένει· καὶ τὸ παρὰ τοῖς Ἰσραηλίταις νῦν
μεγαλοφρονȣν τȣτ' ἂν εἴη Γεδεὼν, καὶ τὸ
σὺν αὐτῷ στρατιωτικόν. ἐπεὶ ȣν τὴν μά-
ζαν φὴς ἰδεῖν, τὰς σκηνὰς ἡμῶν ἀνατρέ-
πȣσαν, δέδια μὴ ὁ Θεὸς Γεδεῶνι τὴν καθ'
ἡμῶν νίκην ἐπινένευκεν.

ΑΔΗΛΟΥ. Ὥσπερ ἡ ὀπτασία κατὰ θείαν B
ἐνέργειαν τῷ θεασαμένῳ ἐφανερώθη. ȣτω
καὶ ὁ τὴν σύγκρισιν αὐτῆς ποιησάμενος,
θεόθεν ἐσοφίσθη. εἰ γὰρ καὶ ἀλλότριοι Θεȣ »
ὑπῆρχον, ἀλλ' ȣν ὡς ἐν ἰδίοις κλίσμασι τὴν
τῶν ἀδήλων φανέρωσιν καὶ ἐν αὐτοῖς, κα-
θάπερ καὶ ἐπὶ τȣ Βαλαὰμ, ἐποίησατο.

ιε. Καὶ ἐγένετο ὡς ἤκȣσε Γεδεὼν
τὴν ἐξήγησιν τȣ ἐνυπνίȣ καὶ τὴν σύγ-
κρισιν αὐτȣ, καὶ προσεκύνησε τῷ Κυ- Γ
ρίῳ, καὶ ὑπέστρεψεν εἰς τὴν παρεμ-
βολὴν Ἰσραὴλ, καὶ εἶπεν, ἀνάστητε,
ὅτι παρέδωκε Κύριος ἐν χειρὶ ἡμῶν
τὴν παρεμβολὴν Μαδιάμ.

** ΙΩΣΗΠΟΥ. Γεδεῶνα ἀκȣσαντα τὸ
ὄναρ ἐλπὶς ἀγαθὴ καὶ θάρσος ἔλαβε· καὶ
προσέταξεν ἐν τοῖς ὅπλοις εἶναι τȣς οἰ-
κείȣς, διηγησάμενος αὐτοῖς καὶ τὴν τῶν
πολεμίων ὄψιν. οἱ δ' ἕτοιμοι πρὸς τὰ πα- Δ
ραγγελλόμενα, φρονηματισθέντες ὑπὸ τῶν
δεδηλωμένων, ἦσαν.

** ΝΕΙΛΟΥ. Ἄλλȣ εὐσκόπως τὴν
σύγκρισιν φράζοντος, καὶ λέγοντος, τὴν
ῥομφαίαν εἶναι τȣτο τȣ Γεδεὼν, καὶ τῆς
μετ' αὐτȣ στρατιᾶς, ἀνέστη πρὸς ἐλπίδα
χρηστὴν ἐκ τῆς ἀκοῆς, τῷ φρονήματι τὸ
εὐτελὲς τȣ οἰκείȣ στρατȣ τȣς κριθίνȣς λο-
γισάμενος ἄρτȣς, οἳ κυλιόμενοι τὴν πα-
ρεμβολὴν ἀλοήσȣσιν ἀπονητὶ τῶν ἐχθρῶν· E
ȣκ αὐτοὶ χειρȣμενοι τὸν ἀντίπαλον οἰκείᾳ
χειρὶ, ἐνεργȣμενοι δὲ τὴν ἰσχὺν παρὰ τῆς
κυλιȣσης αὐτȣς καὶ τροχαζȣσης θείας δυ-
νάμεως. ἐπειδὴ τὸ κυλιόμενον δοκεῖ μὲν
πλάττειν καὶ θραύειν τὸ πατȣμενον, αἰτίαν
δὲ τȣτων ἔχει τὴν τȣ κυλίοντος καὶ εὐτό-
νως ὠθȣντος δύναμιν.

ις. Καὶ διεῖλε τȣς τριακοσίȣς ἄν-
δρας εἰς τρεῖς ἀρχὰς, καὶ ἔδωκε κερατί- Z
νας ἐν χειρὶ πάντων, καὶ ὑδρίας κενὰς,
καὶ λαμπάδας ἐν μέσῳ τῶν ὑδριῶν.

ΑΔΗΛΟΥ. Ὅτι ὅλον τὸ πρόσταγμα τύ-
πος ἦν τȣ κατὰ Χριστὸν μυστηρίȣ. ὅρα, καὶ
τὰ ὅπλα ἐκδύονται· ȣδὲν τῶν ἔξωθεν, ȣκ
ἀσπὶς, ȣ θώραξ, ȣ δόρυ, ȣ κράνος· ἀλλ'
ὑδρίαι, καὶ λαμπάδες, καὶ σάλπιγγες,
ὑδριῶν νοȣμένων δηλαδὴ τῶν πηλίνων ἡμῶν
σκευῶν, λαμπάδων δὲ τȣ ἐν ταῖς καρδίαις
ἡμῶν λάμψαντος φωτισμȣ· ἀλλὰ μὴν καὶ H
σάλπιγγες, τὸ κήρυγμα σημαίνȣσι τὸ εὐαγ-
γελικὸν, δι' ὧν πᾶσα τῶν ἐναντίων καθαι-
ρεῖται ἡ ἰσχὺς καὶ κατακόπτονται οἱ πάλαι
φοβεροὶ τῶν ἐθνῶν.

ιζ. Καὶ εἶπε πρὸς αὐτȣς, ἀπ' ἐμȣ
ὄψεσθε, καὶ ȣτω ποιήσατε· καὶ ἰδȣ
ἐγὼ εἰσπορεύομαι ἐν ἀρχῇ τῆς παρεμ-
βολῆς, καὶ ἔσται καθὼς ἐὰν ποιήσω,
ȣτω ποιήσατε.

ιη. Καὶ σαλπιῶ ἐν τῇ κερατίνῃ
ἐγὼ, καὶ πάντες οἱ μετ' ἐμȣ σαλ-
πιεῖτε ἐν ταῖς κερατίναις καὶ ὑμεῖς
κύκλῳ ὅλης τῆς παρεμβολῆς, καὶ
ἐρεῖτε, ῥομφαία τῷ Κυρίῳ καὶ τῷ
Γεδεών.

ΑΔΗΛΟΥ. Ῥομφαία τῷ Κυρίῳ καὶ τῷ
Γεδεὼν, ἀντὶ τȣ εἰπεῖν, εἶναι τὸν πόλεμον
διὰ Γεδεών· ἀντὶ τȣ, ἡ νίκη τῷ Κυρίῳ διὰ
τȣ Γεδεών.

ιθ. Καὶ εἰσῆλθε Γεδεὼν καὶ οἱ ἑκα-
τὸν ἄνδρες οἱ μετ' αὐτȣ ἐν ἀρχῇ τῆς
παρεμβολῆς ἐν ἀρχῇ τῆς φυλακῆς
τῆς μέσης. καὶ ἐγείραντες ἤγειραν
τȣς φυλάσσοντας, καὶ ἐσάλπισαν
ἐν ταῖς κερατίναις, καὶ ἐξετίναξαν
τὰς ὑδρίας τὰς ἐν ταῖς χερσὶν αὐ-
κ. τῶν. Καὶ ἐσάλπισαν αἱ τρεῖς ἀρχαὶ
ἐν ταῖς κερατίναις, καὶ συνέτριψαν
τὰς ὑδρίας, καὶ ἐκράτησαν ἐν χερ-
σὶν αὐτῶν ἀριστεραῖς τὰς λαμπάδας,
καὶ ἐν χερσὶ δεξιαῖς αὐτῶν τὰς κερα-
τίνας τȣ σαλπίζειν· καὶ ἀνέκραξαν,
ῥομφαία τῷ Κυρίῳ καὶ τῷ Γεδεών.

** ΙΩΣΗΠΟΥ. Κατὰ τετάρτην μά-
λιστα φυλακὴν προσῆγε τὴν αὐτȣ στρατιὰν
Γεδεὼν, εἰς τρία μέρη διελὼν αὐτήν. ἑκα-
τὸν δ' ἦσαν ἐν ἑκάστῳ. ἐκόμιζον δὲ πάντες
ἀμφορέας κενȣς καὶ λαμπάδας ἡμμένας,
ὅπως μὴ καταφορος τοῖς πολεμίοις ἡ ἔφο-
δος αὐτῶν γένηται· καὶ ἐν τῇ δεξιᾷ κριȣ
κέρας. ἐχρῶντο δὲ τȣτῳ ἀντὶ σάλπιγγος.
χωρίον δὲ πολὺ κατεῖχε τὸ τῶν πολεμίων
στρατόπεδον· πλείστην γὰρ αὐτοῖς εἶναι συ-
νέβαινε κάμηλον· καὶ κατὰ ἔθνη νεμηθέν-
τες, ὑφ' ἑνὶ κύκλῳ πάντες ἦσαν. οἱ δὲ
Ἑβραῖοι, προειρημένȣ αὐτοῖς, ὁπότ' ἂν
γένωνται πλησίον τῶν πολεμίων, ἐκ συν-
θήματος κέρασί τε ἠχήσαντες καὶ τȣς ἀμ-
φορέας κατεάξαντες, ὁρμῆσαι μετὰ τῶν
λαμπάδων ἀλαλάξαντες, καὶ νικᾷν, Θεȣ
Γεδεῶνι βοηθήσοντος, τȣτ' ἐποίησαν.

ΑΔΗΛΟΥ. Τὸ εἰς τρεῖς ἀρχὰς διαιρε-
θῆναι αὐτȣς, καὶ συμφώνως ἅπαντας ταῖς
σάλπιγξι σημᾶναι, ψόφον τε διὰ τῆς συν-
τριβῆς τῶν ὑδριῶν ἀποτελέσαι, καὶ τὰς
λαμπάδας ἐξανάψαι, ȣδὲν ἕτερον ἦν, ἢ κα-
ταπλῆξαι τȣς ἐναντίȣς. καὶ αὐτὸ δὲ τȣτο
τὸ στρατήγημα, χάριτος θείας ἀποτέλεσ-
μα, σοφιζȣσης τὸν κριτὴν τοῖς τροπαίοις.

κα. Καὶ ἔστησαν ἀνὴρ ἐφ' ἑαυτῷ
κύκλῳ τῆς παρεμβολῆς· καὶ ἔδρα-
μον πᾶσα ἡ παρεμβολὴ, καὶ ἐσήμα-
κβ. ναν, καὶ ἔφυγον. Καὶ ἐσάλπισαν
ἐν

ἐν ταῖς τριακοσίαις κερατίναις. καὶ
ἔθηκε Κύριος τὴν ῥομφαίαν ἀνδρὸς
ἐν τῷ πλησίον αὐτȣ̃ καὶ ἐν πάσῃ τῇ
παρεμβολῇ.

κγ. Καὶ ἔφυγεν ἡ παρεμβολὴ
ἕως Βηθσεὲδ (1) ἕως χείλȣς Ἀβελ-
μαȣλὰ ἐπὶ Ταβέτθ. καὶ ἐβόησαν
ἀνὴρ Ἰσραὴλ ἀπὸ Νεφθαλεὶμ, καὶ
ἀπὸ Ἀσὴρ, καὶ ἀπὸ παντὸς Μανασσῆ,
καὶ ἐδίωξαν ὀπίσω Μαδιάμ.

ΙΩΣΗΠΟΥ. [Ταραχὴ λαμβάνει τȣ̀ς
ἀνθρώπȣς ἔτιτε ὑπνȣ̃ντας, καὶ δείματα.
νὺξ γὰρ ἦν, καὶ ὁ Θεὸς τȣ̃το ἤθελεν.]
ὀλίγοι μὲν ἐκτείνοντο ὑπὸ τῶν πολεμίων,
οἱ πλείȣς δὲ ὑπὸ τῶν συμμάχων, διὰ τὸ τῇ
γλώσσῃ διαφωνεῖν. [ἅπαξ δὲ καταςάντες
εἰς ταραχὴν, πᾶν τε τὸ προσυχὸν ἀνῄρȣν,
νομίζοντες εἶναι πολέμιον.] Φόβος τε (2)
πολὺς ἦν, καὶ Φήμη (3) πρὸς τȣ̀ς Ἰσραη-
λίτας τῆς Γεδεῶνος νίκης ἀφικομένης.

κδ. Καὶ ἀγγέλȣς ἀπέςειλε Γε-
δεὼν ἐν παντὶ ὁρίῳ Ἐφραὶμ, λέγων,
κατάβητε εἰς συνάντησιν Μαδιὰμ,
A καὶ καταλάβετε ἑαυτοῖς τὸ ὕδωρ ἕως
Βαιθβηρὰ καὶ τὸν Ἰορδάνην.

ΑΔΗΛΟΥ. Ἀντὶ τȣ̃ εἰπεῖν, τὰς τῶν
χωρῶν διαβάσεις προκαταλαβεῖν, καὶ μὴ
συγχωρῆσαι αὐτοῖς ἐπὶ ὕδατος ἐλθεῖν.

κε. Καὶ συνελάβοντο τȣ̀ς δύω
ἄρχοντας Μαδιὰμ, τὸν Ὠρὴβ καὶ
τὸν Ζήβ· καὶ ἀπέκτειναν τὸν Ὠρὴβ
B ἐν Σȣ̀ρ, καὶ τὸν Ζὴβ ἀπέκτειναν ἐν
Ἰακεβζήβ. καὶ κατεδίωξαν τὸν Μα-
διάμ· καὶ τὴν κεφαλὴν Ὠρὴβ καὶ
Ζὴβ ἤνεγκαν πρὸς Γεδεὼν ἀπὸ τȣ̃
πέραν τȣ̃ Ἰορδάνȣ.

✱✱ ΙΩΣΗΠΟΥ. Διώξαντες λαμβά-
νȣσι τȣ̀ς πολεμίȣς ἐν κοίλῳ τινὶ, χαρά-
δραις περιειλημμένῳ, ȣ̓ δυναμένȣς διαπε-
ρᾶναι, χωρίῳ. καὶ περιςάντες κτείνȣσιν
Γ ἅπαντας, καὶ δύω τῶν βασιλέων, Ὠρη-
βόν τε καὶ Ζῆβον. οἱ δὲ λοιποὶ τῶν ἡγε-
μόνων, τȣ̀ς περιλειφθέντας τῶν ςρατιω-
τῶν ἐνάγοντες· ἦσαν δὲ ὡς μύριοι καὶ ὀκτα-
κισχίλιοι· ςρατοπεδεύονται πόῤῥω πολὺ
τῶν Ἰσραηλιτῶν.

Κ Ε Φ. Η.

α. Καὶ εἶπαν πρὸς Γεδεὼν ἀνὴρ
Ἐφραὶμ, τί τὸ ῥῆμα τȣ̃-
το ἐποίησας ἡμῖν, τȣ̃ μὴ
καλέσαι ἡμᾶς ὅτε ἐπορεύθης παρα-
τάξασθαι ἐν τῇ Μαδιάμ; καὶ διελέ-
ξαντο πρὸς αὐτὸν ἰσχυρῶς.

ΑΔΗΛΟΥ. Ἵνα εἴπῃ, γενναίως τὴν
πρὸς τὸν κριτὴν ἀντίςασιν ἐποιȣ̃ντο.

✱✱ ΙΩΣΗΠΟΥ. Ἡ Ἐφραΐμιος φυλὴ
τῇ Γεδεῶνος εὐπραγίᾳ δυσχεραίνȣσα, ςρα-
τεύειν ἐπ' αὐτὸν διεγνώκεισαν, τὸ μὴ προ-
σαγγεῖλαι τὴν ἐπιχείρησιν αὐτοῖς τὴν κα-
τὰ τῶν πολεμίων ἐγκαλȣ̃ντες. Γεδεὼν δὲ
μέτριος ὢν, καὶ πᾶσαν ἀρετὴν ἄκρος, ȣ̓κ
αὐτὸς ἔλεγεν αὐτοκράτορι χρησάμενος λο-
γισμῷ τοῖς ἐχθροῖς ἐπιθέσθαι χωρὶς αὐ-
τῶν, ἀλλὰ τȣ̃ Θεȣ̃ κελεύσαντος. τὴν δὲ νί-
κην ȣ̓χ ἧττον αὐτῶν ἔφασκεν ἰδίαν, ἢ τῶν
ἐςρατευκότων εἶναι. καὶ τȣ́τοις παρηγο-
ρήσας αὐτῶν τὴν ὀργὴν τοῖς λόγοις, μᾶλ-
λον τȣ̀ς Ἑβραίȣς ὠφέλησε τῆς ἐπὶ τῶν
πολεμίων εὐπραξίας. ἐμφυλίȣ γὰρ αὐτȣ̀ς
ςάσεως ἄρχειν μέλλοντας ἐῤῥύσατο.

β. Καὶ εἶπε πρὸς αὐτȣ̀ς, τί ἐποίη-
σα νῦν καθὼς ὑμεῖς; ἢ ȣ̓χὶ κρεῖσσον
ἐπιφυλλὶς Ἐφραὶμ ἢ τρυγητὸς Ἀ-
βιέζερ;

„ ΒΙΚΤΩΡΟΣ. Τὸ, κρεῖττον ἐπιφυλλὶς
„ Ἐφραὶμ ἢ τρυγητὸς Ἀβιέζερ, ȣ̔́τω νοη-
Δ τέον· ἐπιφυλλίδες εἰσὶν οἱ μικροὶ βότρυες
καὶ εὐτελεῖς, καὶ διὰ σμικρότητα τȣ̀ς τρυ-
γῶντας λανθάνοντες. τȣ́τοις παρείκασεν
ἑαυτὸν καὶ ἅπασαν αὐτȣ̃ τὴν χιλιάδα· τρυ-
γητῷ δὲ τὴν φυλὴν Ἐφραίμ. πολλȣ̀ς ἀνε-
λȣ̃σαν καὶ τȣ̀ς αὐτῶν βασιλεῖς. ταῦτα δὲ
ταπεινοφρονῶν ἔφασκε, καὶ τὴν ὀργὴν ἐκεί-
„ νων μετριωτέραν ποιῶν. λόγος γὰρ μὴ ἀν- Παροιμ. 15. 1.
„ τιπίπτων καταπαύσει θυμόν.

ΑΔΗΛΟΥ. Ἐπιφυλλίδα καλεῖ τὸ με-
E τὰ τὸν τρυγητὸν τὰ ἀποκείμενα ῥογολο-
γῆσαι. τὰ μὲν ȣ̓̃ν καθ' ἑαυτὸν, τρυγητὸν
ὀνομάζει, οἷα τȣ̃ πολέμȣ κατάρξας· τὰ δὲ
κατ' ἐκείνȣς, ἐπιφυλλίδα, ὡς τȣ̀ς ἐξάρχȣς
τῶν Μαδιανιτῶν ἀνελόντας εἰς τὰ ἔσχατα
τȣ̃ πολέμȣ.

γ. Ἐν χειρὶ ὑμῶν παρέδωκε Κύριος
τȣ̀ς ἄρχοντας Μαδιὰμ, τὸν Ὠρὴβ
καὶ Ζήβ· καὶ τί ἠδυνήθην ποιῆσαι
Z ὡς ὑμεῖς; τότε ἀνέθη τὸ πνεῦμα αὐ-
τῶν ἀπ' αὐτȣ̃ ἐν τῷ λαλῆσαι αὐτὸν
δ. τὸν λόγον τȣ̃τον. Καὶ ἦλθε Γεδεὼν
ἐπὶ τὸν Ἰορδάνην, καὶ διέβη αὐτὸς
καὶ οἱ τριακόσιοι ἄνδρες οἱ μετ' αὐτȣ̃
ε. πεινῶντες καὶ διώκοντες. Καὶ εἶπε τοῖς
ἀνδράσι Σοκχὼθ, δότε δὴ ἄρτȣς εἰς
τροφὴν τῷ λαῷ τȣ́τῳ τῷ ἐν ποσί-
μȣ, ὅτι ἐκλείπȣσι, καὶ ἰδȣ̀ ἐγώ εἰμι
H διώκων ὀπίσω τȣ̃ Ζεβεὲ καὶ Σαλμανὰ
βασι-

(1) Ταγαραγαθὰ Ἀβελμεȣλὰ ἐπὶ Ταβάθ. καὶ, κτ. αἱ εἰρημ. ἐκδόσ.
(2) Φόνος τε. ἐν Βιβλ. 5. κεφ. 6. περὶ Ἰȣδαϊκ. ἀρχαιολ.
(3) Φήμης πρὸς τȣ̀ς Ἰσραηλίτας τῆς Γεδεῶνος νίκης ἀφικομένης, ἐν τοῖς ὅπλοις ἦσαν. αὐτ.

ς. βασιλέων Μαδιάμ. Καὶ εἶπον οἱ ἄρ-
χοντες Σοκχὼθ, μὴ χεὶρ Ζεβεὲ καὶ
Σαλμανὰ νῦν ἐν τῇ χειρί σȣ, ὅτι δώ-
σομεν τῇ δυνάμει σȣ ἄρτȣς;

ζ. Καὶ εἶπε Γεδεὼν, ȣ̓χ ȣ̔́τω (1)
διὰ τȣ̃το ἐν τῷ δȣ̃ναι Κύριον ἐν χειρί-
μȣ τὸν Ζεβεὲ καὶ Σαλμανὰ, καὶ ἐγὼ
ἀλοήσω τὰς σάρκας ὑμῶν ἐν ταῖς
ἀκάνθαις τῆς ἐρήμȣ, καὶ ἐν ταῖς
Βορκονείμ.

„ ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Βορκομμὶν κατὰ
μὲν Σύμμαχον, αἱ τρίβολοι· κατὰ δὲ Ἀκύ-
λαν, τραγάκανθαι.

„ ΑΔΗΛΟΥ. Βορκοννεὶμ εἰσὶν αἱ τρίβο-
λοι· ȣ̔́τω γὰρ ὁ Σύμμαχος ἐξέδωκε· τε-
τρακάνθης.

η. Καὶ ἀνέβη ἐκεῖθεν εἰς Φανȣὴλ,
καὶ ἐλάλησε πρὸς αὐτȣ̀ς ὡσαύτως.
καὶ ἀπεκρίθησαν αὐτῷ οἱ ἄνδρες Φα-
νȣὴλ ὃν τρόπον ἀπεκρίθησαν οἱ ἄρ-
χοντες Σοκχώθ.

θ. Καὶ εἶπε Γεδεὼν πρὸς τȣ̀ς ἄν-
δρας Φανȣὴλ, ἐν ἐπιςροφῇ μȣ μετ' εἰ-
ρήνης τὸν πύργον τȣ̃τον κατασκάψω.

„ ✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ὤμοσε,
„ φησὶ, Γεδεὼν τοῖς ἀνδράσι Φανȣὴλ, λέ-
„ γων, ἐν τῷ με ἐπιςρέφειν μετ' εἰρήνης
„ τὸν πῦργον τȣ̃τον κατασκάψω. Πάγκα-
λον καὶ πρεπωδέςατον αὔχημα μισοπονή-
ρῳ ψυχῇ κατὰ ἀσεβῶν ἠκονημένῃ, τὸ βε-
βαιȣ̃σθαι καθαιρήσειν πάντα λόγον ἀπο-
ςρέφειν διάνοιαν ὁσιότητος ἀναπείθοντα.
καὶ πέφυκεν ȣ̔́τως ἔχειν. ὅταν γὰρ ὁ νȣ̃ς
ἐπιςρέψῃ, τὸ ἀποκλῖνον καὶ ἀποςρεφό-
μενον αὐτȣ̃ πάλιν λύεται· τȣ́τȣ δὲ και-
ρός ἐςι τῆς καθαιρέσεως, τὸ παραδοξό-
τατον, ἧ φησὶν, ȣ̓ πόλεμος, ἀλλ' εἰρήνη.
διανοίας γὰρ εὐςαθίᾳ καὶ ἠρεμίᾳ, ἣν εὐσέ-
βεια γεννᾷν πέφυκεν, ἀνατρέπεται πᾶς
λόγος, ὃν ἐδημιȣ́ργησεν ἀσέβεια.

ι. Καὶ Ζεβεὲ καὶ Σαλμανὰ ἦσαν
ἐν Καρκὰρ, καὶ ἡ παρεμβολὴ αὐτῶν
μετ' αὐτῶν ὡσεὶ δεκαπέντε χιλιάδες
ἀνδρῶν, πάντες οἱ καταλελειμμένοι
ἀπὸ πάσης παρεμβολῆς ἀλλοφύλων·
καὶ οἱ πεπτωκότες ἑκατὸν εἴκοσι χιλιά-
δες ἀνδρῶν σπωμένων ῥομφαίαν.

ΑΔΗΛΟΥ. Τȣ̃ ἀριθμȣ̃ τῶν πάλαι ἀναι-
ρεθέντων μνημονεύει, ὡς ȣ̓κ ἰδίᾳ ἰσχύϊ, ἀλ-
λὰ θείᾳ χάριτι τὴν κατ' ἐχθρῶν νίκην ὁ
λαὸς ἤρατο.

ια. Καὶ ἀνέβη Γεδεὼν ὁδὸν τῶν
σκηνȣ́ντων ἐν σκηναῖς ἀπὸ ἀνατο-
λῶν τῆς Ναβαὲ καὶ Ἰεγεβάλ· καὶ
ἐπάταξε τὴν παρεμβολὴν, καὶ ἡ πα-
ρεμβολὴ ἦν πεποιθυῖα.

A „ ΑΔΗΛΟΥ. Ναβαὲ καὶ Ἰεγεβὰλ, ἐξάρ-
χοντά τινα τῶν Μαδιανιτῶν λέγει.

ΑΔΗΛΟΥ. Τȣ̃τό ἐςιν ἐπὶ τῇ παρεμ-
βολῇ· ὡσανεὶ ȣ̓ μόνον τῇ ἑαυτῶν δυνάμει,
καὶ τῇ τȣ̃ τόπȣ ὀχυρότητι, ἀλλὰ καὶ τὸ
ἄφοβον ἀπὸ πάσης ἐφόδȣ.

ιβ. Καὶ ἔφυγον Ζεβεὲ καὶ Σαλ-
μανά. καὶ ἐδίωξεν ὀπίσω αὐτῶν, καὶ
ἐκράτησε τȣ̀ς δύω Βασιλεῖς Μαδιὰμ
B τὸν Ζεβεὲ καὶ Σαλμανὰ, καὶ πᾶσαν
ιγ. τὴν παρεμβολὴν ἐξέςησε. Καὶ ὑπέ-
ςρεψε Γεδεὼν ὁ υἱὸς Ἰώας ἀπὸ τῆς πα-
ρατάξεως ἀπὸ ἐπάνωθεν Ἀρές.

✱✱ ΙΩΣΗΠΟΥ. Γεδεὼν ȣ̓κ ἀπηγορεύ-
κει πονῶν, ἀλλὰ διώξας μετὰ παντὸς τȣ̃
ςρατȣ̃ καὶ συμβαλὼν, ἅπαντας διέφθειρε
τȣ̀ς πολεμίȣς· καὶ τȣ̀ς λοιπȣ̀ς ἡγεμόνας
Ζεβῆν καὶ Σαλμανὰν αἰχμαλώτȣς λαβὼν,
Γ ἀνήγαγεν. ἀπέθανον δὲ ἐν αὐτῇ τῇ μάχῃ
Μαδιανιτῶν τε καὶ τῶν συςρατευσάντων αὐ-
τοῖς Ἀράβων περὶ μυριάδας δώδεκα. λεία-
τε πολλὴ, χρυσὸς, καὶ ἄργυρος, καὶ ὑφὴ,
καὶ κάμηλος, καὶ ὑποζύγια λαμβάνεται
τοῖς Ἑβραίοις. Γεδεὼν δὲ παραγενόμενος
εἰς Ἐφρὼν τὴν ἑαυτȣ̃ πατρίδα, κτείνει τȣ̀ς
τῶν Μαδιανιτῶν βασιλέας.

ιδ. Καὶ συνέλαβον παιδάριον ἀπὸ
τῶν ἀνδρῶν Σοκχὼθ, καὶ ἐπηρώτησεν
Δ αὐτόν· καὶ ἔγραψε πρὸς αὐτὸν τὰ
ὀνόματα τῶν ἀρχόντων Σοκχὼθ καὶ
τῶν πρεσβυτέρων αὐτῆς, ἑβδομήκον-
ιε. τα καὶ ἑπτὰ ἄνδρας. Καὶ παρεγένε-
το Γεδεὼν πρὸς τȣ̀ς ἄρχοντας Σοκ-
χὼθ, καὶ εἶπεν, ἰδȣ̀ Ζεβεὲ καὶ Σαλ-
μανὰ, ἐν οἷς ὠνειδίσατέ με, λέγοντες,
μὴ χεὶρ Ζεβεὲ καὶ Σαλμανὰ νῦν ἐν
E χειρί σȣ, ὅτι δώσομεν τοῖς ἀνδράσι-
ις. σȣ τοῖς ἐκλείπȣσιν ἄρτȣς; Καὶ ἔλα-
βε τȣ̀ς πρεσβυτέρȣς τῆς πόλεως, καὶ
κατέξανεν αὐτȣ̀ς ἐν ταῖς ἀκάνθαις
τῆς ἐρήμȣ καὶ ἐν ταῖς Βορκονεὶμ, καὶ
ἠλόησεν ἐν αὐτοῖς τȣ̀ς ἄνδρας τῆς πό-
ιζ. λεως. Καὶ τὸν πύργον Φανȣὴλ κα-
τέςρεψε, καὶ ἀπέκτεινε τȣ̀ς ἄνδρας
τῆς πόλεως.

Z ιη. Καὶ εἶπε πρὸς Ζεβεὲ καὶ Σαλ-
μανὰ, πȣ̃ οἱ ἄνδρες, ȣ̔̀ς ἀπεκτείνατε
ἐν Θαβώρ; καὶ εἶπαν, ὡς σὺ, ὡς αὐ-
τοὶ, εἰς ὁμοίωμα υἱῶν βασιλέως.

ΑΔΗΛΟΥ. Πάσῃ μηχανῇ πρὸς ἀναί-
ρεσιν τῶν ἐν περιφανείᾳ, δυνάμει, καὶ εὐγε-
νείᾳ καθεςώτων ἐν τῷ λαῷ, ἐκέχρηντο οἱ
Μαδιανῖται· ἵνα μηδεὶς ἐξ αὐτῶν ςρατη-
γὸς τȣ̃ οἰκείȣ γένȣς ἀναδειχθῇ.

H ιθ. Καὶ εἶπε Γεδεὼν πρὸς αὐτȣ̀ς,
ἀδελφοί μȣ καὶ οἱ υἱοὶ τῆς μητρός μȣ
ἦσαν.

(1) Ἐν μὲν ταῖς εἰρημ. ἐκδόσ. τὸ, ȣ̓χ ȣ̔́τω, λείπει· ἐν δὲ τῇ τȣ̃ Ἄλδȣ τὸ, διὰ τȣ̃το· ἐν δὲ τῇ ἐν Ὀξον. ἀντ' αὐτȣ̃ τὸ, πλὴν, κεῖται.

ἦσαν. ζῇ Κύριος· εἰ ἐζωογονήσατε A
κ. αὐτοὺς, οὐκ ἂν ἀπέκτεινα ὑμᾶς. Καὶ
εἶπεν Ἰεθὲρ τῷ πρωτοτόκῳ αὐτοῦ, ἀνα-
στὰς, ἀπόκτεινον αὐτούς. καὶ οὐκ ἔσπασε
τὸ παιδάριον τὴν ῥομφαίαν αὐτοῦ, ὅτι
ἐφοβήθη, ὅτι νεώτερος ἦν.

κα. Καὶ εἶπε Ζεβεὲ καὶ Σαλμα-
νὰ, ἀνάστα σὺ καὶ συνάντησον ἡμῖν,
ὅτι ὡς ἀνδρὸς ἡ δύναμίς σου. καὶ ἀνέστη B
Γεδεὼν, καὶ ἀπέκτεινε τὸν Ζεβεὲ καὶ
τὸν Σαλμανά. καὶ ἔλαβε τοὺς μα-
νιάκους (1) τοὺς ἐν τοῖς τραχήλοις τῶν
καμήλων αὐτῶν.

ΑΔΗΛΟΥ. Ὑπερηφάνειαν κἀκτοῦτο
δείκνυσι. δυνατοὺς γάρ φησιν ὄντας ἡμᾶς,
ὑπὸ δυνατοῦ χρὴ τὸν θάνατον δέξασθαι, καὶ
οὐ τῇ ἀσθενείᾳ τοῦ τιμωροῦντος συντελίζεσθαι.
πλὴν καὶ ἡ τιμωρία κουφοτέρα τοῦ μετὰ
ἰσχύος τὴν πληγὴν ἐπιφέροντος.

κβ. Καὶ εἶπεν ἀνὴρ Ἰσραὴλ πρὸς
Γεδεὼν, κύριε, ἄρξον ἡμῶν καὶ σὺ,
καὶ ὁ υἱός σου, καὶ ὁ υἱὸς τοῦ υἱοῦ σου, ὅτι
σὺ ἔσωσας ἡμᾶς ἐκ χειρὸς Μαδιάμ.
κγ. Καὶ εἶπε πρὸς αὐτοὺς Γεδεὼν, οὐκ ἄρξω
ἐγὼ ὑμῶν, καὶ οὐκ ἄρξει ὁ υἱός μου ἐν
ὑμῖν· Κύριος ἄρξει ὑμῶν.

** ΙΩΣΗΠΟΥ. Γεδεὼν τὴν ἀρχὴν
ἀποθέσθαι βουλόμενος, βιασθεὶς ἔσχεν αὐ-
τὴν ἐπ' ἔτη τεσσαράκοντα, βραβεύων αὐ-
τοῖς τὰ δίκαια. καὶ περὶ τῶν διαφορῶν
ἐπ' αὐτὸν βαδιζόντων, κύριά τε πάντα ἦν
τὰ ὑπ' αὐτοῦ τελειούμενα.

κδ. Καὶ εἶπε πρὸς αὐτοὺς Γεδεὼν,
αἰτήσομαι παρ' ὑμῶν αἴτημα, καὶ
δότω μοι ἀνὴρ ἐνώτιον ἐκ τῶν σκύλων
αὐτοῦ· ὅτι ἐνώτια χρυσᾶ αὐτοῖς, ὅτι
κε. Ἰσμαηλῖται ἦσαν. Καὶ εἶπαν, διδόν-
τες δώσομεν. καὶ ἀνέπτυξε τὸ ἱμά-
τιον αὐτοῦ, καὶ ἔβαλεν ἐκεῖ ἀνὴρ ἐνώ-
τιον σκύλων αὐτοῦ.

κς. Καὶ ἐγένετο ὁ σταθμὸς τῶν
ἐνωτίων τῶν χρυσῶν ὧν ᾔτησε, σίκλοι
χίλιοι καὶ ἑπτακόσιοι χρυσοὶ, πάρεξ
τῶν μηνίσκων (2) καὶ τῶν στραγγαλί-
δων καὶ τῶν ἱματίων καὶ πορφυρίδων
τῶν ἐπὶ τοῖς βασιλεῦσι Μαδιὰμ, καὶ
ἐκτὸς τῶν περιθεμάτων ἃ ἦν ἐν τοῖς
τραχήλοις τῶν καμήλων αὐτῶν.

ΑΔΗΛΟΥ. Ἰστέον, ὅτι ὁ σίκλος ἔχει ἓξ
γραμμάτων σταθμὸν, ἤγουν τὸ τέταρτον
τῆς οὐγγίας. μηνίσκους δὲ καὶ ὁρμίσκους,
τὰ μανιάκια κατὰ περίφρασιν ἐκάλεσε.
τῇ μὲν γὰρ τῶν μηνίσκων προσηγορίᾳ, τὸ
στρογγυλοειδὲς αὐτῶν γνωρίζει· τῇ δὲ τῶν
A ὁρμίσκων, αὐτὴν τὴν χρῆσιν δηλοῖ. ἐκ τοῦ
γὰρ ὁρμίζειν ἐπὶ τοῖς τραχήλοις τῶν πε-
ριβεβλημένων, καὶ τῇ περιφερείᾳ συνέ-
χειν, ὁρμίσκοι ἐκλήθησαν. ἔστι δ' ὅτε καὶ
τὰ ψέλια, καὶ τὰ λεγόμενα κλονία, ὁρ-
μίσκους προσαγορεύει· διὰ τὸ, τὰ μὲν ἐν
τοῖς καρποῖς τῶν χειρῶν· τὰ δὲ, ἐν τοῖς
βραχίοσιν ἁρμοδίως περικεῖσθαι.

κζ. Καὶ ἐποίησεν αὐτὸ Γεδεὼν εἰς
B Ἐφοὺδ, καὶ ἔστησεν αὐτὸ ἐν πόλει αὐτοῦ
ἐπὶ Ἐφραθά. καὶ ἐξεπόρνευσε πᾶς
Ἰσραὴλ ὀπίσω αὐτοῦ ἐκεῖ· καὶ ἐγένε-
το τῷ Γεδεὼν καὶ τῷ οἴκῳ αὐτοῦ εἰς
σκῶλον.

** ΠΡΟΚΟΠΙΟΥ. Ἐφοὺδ, μαντεῖον
ἢ εἴδωλον.

ΑΔΗΛΟΥ. Ἐφοὺδ ἡ θεία Γραφὴ πολ-
λάκις καλεῖ χιτῶνά τινα ἱερατικὸν, καὶ
πρὸς τὴν θείαν λειτουργίαν ἐπιτήδειον, κα-
Γ „ θά φησιν ἐν ταῖς Βασιλείαις. καὶ ἦν Σα- 1. Βασ. 2.
„ μουὴλ παιδάριον λειτουργῶν Κυρίῳ περιε-
„ ζωσμένον Ἐφούδ. ἔοικεν οὖν, ὅτι καὶ Γεδεὼν
τοιαύτην τινὰ στολὴν ἐκ τοῦ χρυσίου τῶν
ἐνωτίων κατασκευάσας, τῷ οἰκείῳ ἀνδριάν-
τι περιέθηκε, στήλην ἀνάγραπτον ταῖς με-
τέπειτα γενεαῖς τῆς τοῦ Θεοῦ βοηθείας.

ΑΔΗΛΟΥ. (3) Δείκνυσιν ἡ ἐπαγωγὴ
„ τῆς Γραφῆς διὰ τοῦ, ἐξεπόρνευσεν ὁ λαὸς
Δ „ ὀπίσω αὐτοῦ, ὅτι τοῦ Θεοῦ ἀποστάντες, τῷ
ἀνδριάντι ἐλάτρευον· καὶ ὅτι εἰς σκάνδα-
λον ἐγένετο, ἀντὶ τοῦ, εἰς τιμωρίαν· οὐχὶ
αὐτῷ τῷ Γεδεών· οὐ γὰρ αὐτὸς παρετρά-
πη· ἀλλὰ τῷ οἴκῳ αὐτοῦ, τουτέστι τοῖς Ἰσ-
ραηλίταις.

ΑΔΗΛΟΥ. Σκάνδαλον δὲ ἐγένετο, κα-
θὸ τὸ ὀφεῖλον αὐτοὺς εἰς εὐχαριστίαν τοῦ Θεοῦ
προτρέπειν, ὑπόστασιν ἀποστασίας ποιησά-
μενοι, ὡς Θεῷ τῷ ὁμοιώματι προσεκύνουν.

E „ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἐποίησεν αὐτὸ
„ Γεδεὼν εἰς Ἐφοὺδ, καὶ ἔστησεν αὐτὸ ἐν πό-
„ λει αὐτοῦ ἐν Ἐφραθά; Παράνομον μὲν τὸ
γεγονός. τῷ γὰρ Ἐφοὺδ μόνοις ἐξῆν κε-
χρῆσθαι τοῖς ἱερεῦσι. δι' ἐκείνου δὲ τὸ πρα-
κτέον ἀπεκαλύπτετο. ὁ μέντοι τοῦ Γεδεὼν
σκοπὸς οὐκ εἰς ἀσέβειαν ἀπέκλινεν, ἀλλ'
ὡς ἄρχων καὶ στρατηγὸς ἐβούλετο διὰ τοῦ
Ἐφοὺδ τὸ πρακτέον μανθάνειν· τῷ δὲ λαῷ
„ πρόξενον παρανομίας ἐγένετο. ἐξεπόρ-
Z „ νευσε γάρ φησι πᾶς Ἰσραὴλ ὀπίσω αὐτοῦ
„ ἐκεῖ, καὶ ἐγένετο τῷ οἴκῳ αὐτοῦ εἰς σκάν-
δαλον. τὸ δὲ Ἐφοὺδ, ἐπωμίδα ἐν τῇ Ἐξό-
δῳ (4) ἡρμήνευσεν, ᾗ τὸ λόγιον συνήπτετο.
δι' ἐκείνου δὲ ἡ ἐν πολέμοις ἐδηλοῦτο νίκη.
ἡ δὲ τῶν Βασιλειῶν ἱστορία σαφέστερον τοῦτο
διδάσκει. τῶν γὰρ ἀλλοφύλων συνηθροισ-
μένων, ἐκέλευσεν ὁ Σαοὺλ ἆραι τὸ Ἐφοὺδ
τὸν ἱερέα· εἶτα τεταραγμένους τοὺς πολε-
μίους ἰδὼν, καὶ τὴν νίκην δεδηλωμένην, συ- 1. Βα
H „ νάγαγε, φησὶ, τὸ Ἐφούδ. δῆλον τοίνυν,
ὡς

(1) Τοὺς μηνίσκους. αἱ εἰρημ. ἐκδόσ.

(2) Ὁρμίσκων. ἡ τοῦ Ἀλδ. ἐκδ.

(3) Τοῦ αὐτοῦ δοκεῖ τοῦτό τε καὶ τὸ ἑπόμενον.

(4) Ὅρα τὰ τοῦ Θεοδωρίτ. ὑπομν. τὰ ἐν σελ. 868, καὶ 876. τοῦ 1. Τόμ. τῆς σειρ.

ὡς ὕφασμα τὴν τοῖς ἱερεῦσι περιτιθέμενον, καὶ προμήκυνον τὸ πρακλέον. καὶ Ἀκύλας δὲ ἐπένδυμα αὐτὸ κέκληκε.

κη. Καὶ συνεστάλη Μαδιὰμ ἐνώ-
πιον υἱῶν Ἰσραὴλ, καὶ οὐ προσέθηκαν
ἆραι κεφαλὴν αὐτῶν. καὶ ἡσύχασεν ἡ
γῆ τεσσαράκοντα ἔτη ἐν ἡμέραις Γε-
κθ. δεών. Καὶ ἐπορεύθη Ἱεροβάαλ υἱὸς
Ἰωάς, καὶ ἐκάθισεν ἐν τῷ οἴκῳ αὐτοῦ.

λ. Καὶ τῷ Γεδεὼν ἦσαν ἑβδομή-
κοντα υἱοὶ ἐκπορευόμενοι ἐκ μηρῶν αὐ-
τοῦ, ὅτι γυναῖκες πολλαὶ ἦσαν αὐτῷ.

ΑΔΗΛΟΥ. Οὐκ ἐπὶ μέμψει τοῦ κριτοῦ ἔφη, ἀλλ' ὡς τὴν αἰτίαν τῆς πολυτεκνίας παριστῶσα.

λα. Καὶ ἡ παλλακὴ αὐτοῦ ἡ ἐν
Συχὲμ, καὶ ἔτεκεν αὐτῷ καί γε αὐτὴ
A υἱὸν, καὶ ἐπέθηκε τὸ ὄνομα αὐτοῦ Ἀβι-
λβ. μέλεχ. Καὶ ἀπέθανε Γεδεὼν υἱὸς
Ἰωὰς ἐν πόλει αὐτοῦ, καὶ ἐτάφη ἐν
τῷ τάφῳ Ἰωὰς τοῦ πατρὸς αὐτοῦ ἐν
λγ. Ἐφραθὰ πρὸς Ἀβιεζρί. (1) Καὶ
ἐγένετο καθὼς ἀπέθανε Γεδεὼν, καὶ
ἀπεστράφησαν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐξε-
πόρνευσαν ὀπίσω τῶν Βααλεὶμ, καὶ
B ἔθηκαν ἑαυτοῖς τῷ Βάαλ διαθήκην
λδ. τοῦ εἶναι αὐτοῖς αὐτὸν εἰς Θεόν. Καὶ
οὐκ ἐμνήσθησαν οἱ υἱοὶ Ἰσραὴλ Κυρίου
τοῦ Θεοῦ αὐτῶν τοῦ ῥυσαμένου αὐτοὺς ἐκ
χειρὸς πάντων τῶν θλιβόντων αὐτοὺς
λε. κυκλόθεν. Καὶ οὐκ ἐποίησαν ἔλεος
μετὰ τοῦ οἴκου Ἱεροβάαλ. αὐτός ἐστι
Γεδεὼν, κατὰ πάντα τὰ ἀγαθὰ ἃ
ἐποίησε μετὰ Ἰσραήλ.

ΚΕΦ. Θ.

α. Καὶ ἐπορεύθη Ἀβιμέλεχ
υἱὸς Ἱεροβάαλ εἰς Συχὲμ
πρὸς ἀδελφοὺς μητρὸς
αὐτοῦ· καὶ ἐλάλησε πρὸς αὐτοὺς καὶ
πρὸς πᾶσαν τὴν συγγένειαν οἴκου μη-
β. τρὸς αὐτοῦ, λέγων, Λαλήσατε δὴ
ἐν τοῖς ὠσὶ πάντων τῶν ἀνδρῶν Συ-
χὲμ, τί τὸ ἀγαθὸν ὑμῖν κυριεῦσαι
ὑμῶν ἑβδομήκοντα ἄνδρας πάντας
υἱοὺς Ἱεροβάαλ, ἢ κυριεῦσαι (2) ὑμῶν
ἄνδρα ἕνα; καὶ μνήσθητε ὅτι ὀστοῦν ὑμῶν
γ. καὶ σὰρξ ὑμῶν εἰμί. Καὶ ἐλάλησαν
περὶ αὐτοῦ οἱ ἀδελφοὶ τῆς μητρὸς αὐ-
τοῦ ἐν τοῖς ὠσὶ πάντων τῶν ἀνδρῶν Συ-
χὲμ πάντας τοὺς λόγους τούτους. καὶ ἔκ-
λινεν ἡ καρδία αὐτῶν ὀπίσω Ἀβιμέ-
λεχ, ὅτι εἶπαν, ἀδελφὸς ἡμῶν ἐστί.

** ΙΩΣΗΠΟΥ. Παῖδες ἦσαν αὐτῷ, γνήσιοι μὲν ἑβδομήκοντα· πολλὰς γὰρ ἔγημε γυναῖκας· νόθος δ' εἷς ἐκ παλλακῆς Δρούμας, Ἀβιμέλεχος τοὔνομα, ὃς μετὰ τὴν τοῦ πατρὸς τελευτὴν ἀναχωρήσας ἐπὶ Σίκιμα πρὸς τοὺς τῆς μητρὸς συγγενεῖς· ἐντεῦθεν γὰρ ἦν· καὶ λαβὼν ἀργύριον παρ' αὐτῶν, οἳ διὰ πλῆθος ἀδικημάτων ἦσαν ἐπίσημοι, ἀφικνεῖται σὺν αὐτοῖς εἰς τὸν πατρῷον οἶκον, καὶ κτείνει πάντας τοὺς ἀδελφοὺς, πλὴν Ἰωαθάμου. σώζεται γὰρ οὗτος διαφυγεῖν εὐτυχήσας. Ἀβιμέλεχος δὲ εἰς τυραννίδα τὰ πράγματα μεθίστησι, κύριον αὐτὸν ὅ,τι βούλεται ποιεῖν ἀντὶ τῶν νομίμων ἀποδείξας, καὶ δεινῶς πρὸς τοὺς τοῦ δικαίου προϊσταμένους ἐκπικραινόμενος.

δ. Καὶ ἔδωκαν αὐτῷ ἑβδομήκον-
τα ἀργυρίους ἐξ οἴκου Βααλβερίθ. (3)
καὶ ἐμισθώσατο ἑαυτῷ Ἀβιμέλεχ ἄν-
δρας κενοὺς καὶ δειλοὺς, καὶ ἐπορεύ-
θησαν ὀπίσω αὐτοῦ.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἄνδρας κενοὺς καὶ
» θαμβουμένους. Σύμμαχος, ἀπράγους καὶ
Δ » ἀπονενοημένους. δεδοίκασι γὰρ οἱ κακοῦρ-
γοι τὴν ἐκ νόμων ἐπιστροφήν.

ε. Καὶ εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ
πατρὸς αὐτοῦ εἰς Ἐφραθὰ, καὶ ἀπέ-
κτεινε τοὺς ἀδελφοὺς αὐτοῦ τοὺς υἱοὺς Ἱε-
ροβάαλ ἑβδομήκοντα ἄνδρας ἐπὶ λί-
θον ἕνα. καὶ κατελείφθη Ἰωάθαμ υἱὸς
Ἱεροβάαλ ὁ νεώτερος, ὅτι ἐκρύβη.

E » ΑΔΗΛΟΥ. Ἐπὶ λίθον ἕνα, ἀντὶ τοῦ, ἀθρόον, οὐ κατὰ μέρος ἐξετάζοντες, ἀλλ' ὁμοῦ πάντας ἀναιροῦντες ἀναιτίως.

» ΑΔΗΛΟΥ. Ἐπὶ λίθον ἕνα. Τὸ ἀφειδὲς καὶ εὔκολον τοῦ ἀφανισμοῦ αὐτῶν δηλοῖ· οἷα μηδεμίαν φιλανθρωπίαν εἰς αὐτοὺς ἐνδειξαμένου, ἀλλὰ δίκην ἀλόγων ἐν ἑνὶ τόπῳ πάντας κατασφάξαντος.

ς. Καὶ συνήχθησαν πάντες οἱ
ἄνδρες Σικίμων, καὶ πᾶς ὁ οἶκος Μαα-
Z λὼ, καὶ ἐπορεύθησαν, καὶ ἐβασί-
λευσαν τὸν Ἀβιμέλεχ πρὸς τῇ βα-
λάνῳ τῇ εὑρετῇ τῆς στάσεως τῶν ἐν
Σικίμοις.

ζ. Καὶ ἀνηγγέλη τῷ Ἰωάθαμ,
καὶ ἐπορεύθη, καὶ ἔστη ἐπὶ κορυφῆς
ὄρους Γαριζὶν, καὶ ἐπῆρε τὴν φωνὴν
αὐτοῦ, καὶ ἔκλαυσε, καὶ εἶπεν αὐτοῖς,
H ἀκούσατέ μου ἄνδρες Σικίμων, καὶ ἀκού-
σεται ὑμῶν ὁ Θεός.

(1) Πατρὸς Ἐσδρί. ἡ τοῦ Ἀλδ. ἔκδ.
(3) Βάαλ διαθήκης. ἡ ἐν Ὀξον. ἔκδ.
(2) Κυριεύειν. Ἡ ἐν Φρανεκ. καὶ ἡ ἐν Κανταβρ. ἔκδοσ.

** ΙΩΣΗΠΟΥ. Δημοτελοῦς Σικίμοις οὔσης ἑορτῆς, καὶ τοῦ πλήθους παντὸς ἐκεῖ συνειλεγμένου, ὁ Ἰωάθαμος, ὃν καὶ διαφυγεῖν ἔφαμεν, ἀνελθὼν ἐπὶ τὸ ὄρος τὸ Γαριζεὶν· ὑπέρκειται δὲ τῆς Σικίμων πόλεως· ἐκβοήσας εἰς ἐπήκοον, τοῦ πλήθους ἡσυχίαν αὐτῷ παρασχόντος, ἠξίου μαθεῖν τὰ ὑπ' αὐτοῦ λεγόμενα.

η. Πορευόμενα ἐπορεύθη τὰ ξύλα τοῦ χρίσαι ἐφ' ἑαυτῶν βασιλέα, καὶ εἶπαν τῇ ἐλαίᾳ, βασίλευσον ἐφ' ἡμῶν.

ΑΔΗΛΟΥ. Παραβολῇ κέχρηται τῇ τῶν ξύλων ὁ Ἰωάθαμ, ἵνα τῇ τοιαύτῃ τροπολογίᾳ παρασκευάσῃ αὐτοὺς εὐμενῶς ἀκοῦσαι.

„ ** ΩΡΙΓΕΝΟΥΣ. Πορευόμενα ἐπο-
„ ρεύθησαν τὰ ξύλα, τοῦ χρίσαι ἐφ' ἑαυτῶν βασιλέα. τίνα γὰρ τρία ξύλα καρποφόρα, ἡ συκῆ, ἡ ἄμπελος, ἡ ἐλαία, μὴ βουληθέντα βασιλεύειν τῶν οὐκ ἀξίων τῆς αὐτῶν βασιλείας ξύλων· καὶ τὶς ἡ ἀκανθώδης ῥάμνος καὶ πῦρ ἐξ αὐτῆς ἀφιεῖσα κατεσθίειν τὰς κέδρους τοῦ λιβάνου. τοῦ σοφοῦ ἐστὶν ἰδεῖν, ἀναφέροντος ταῦτα μὲν ἐπὶ τὸν πατέρα, καὶ τὸν υἱὸν, καὶ τὸ ἅγιον πνεῦμα· τὴν δὲ ῥάμνον ἐπὶ τὸν ἀντικείμενον.

ΑΔΗΛΟΥ. Ἄμπελον, ἐλαίαν, καὶ συκῆν νοήσεις ὄντα ποτὲ τὸν Ἰσραὴλ, ἡνίκα τῆς ῥίζης τὸ εὐγενὲς διεφύλαττεν· ἡνίκα δὲ
Ησ. 5. 2. „ ἀντὶ σταφυλῆς ἐποίησεν ἀκάνθας, κατὰ τὴν Ἡσαΐου προφητείαν, καὶ ῥάμνος ἐγίνετο δυσγενής τε καὶ νόθος.

θ. Καὶ εἶπεν αὐτοῖς ἡ ἐλαία, μὴ ἀπολείψασα τὴν ποιότητά μου, (1) ἣν ἐδόξασεν ὁ Θεὸς καὶ ἄνθρωποι, πορεύσομαι ἄρχειν τῶν ξύλων;

„ ** ΠΡΟΚΟΠΙΟΥ. Ἀφεῖσα τὴν ποιό-
„ τητά μου· τουτέστιν, οὐ δέομαι ἐπεισάκτου τιμῆς, οἴκοθεν ἔχουσα καὶ ἐκ τῶν ἰδίων καρπῶν.

ι. Καὶ εἶπαν τὰ ξύλα τῇ συκῇ,
ια. δεῦρο βασίλευσον ἐφ' ἡμῶν. Καὶ
εἶπεν αὐτοῖς ἡ συκῆ, μὴ ἀπολείψα-
σα ἐγὼ τὴν γλυκύτητά μου καὶ τὰ
γεννήματά μου τὰ ἀγαθὰ, πορεύσο-
ιβ. μαι ἄρχειν τῶν ξύλων; Καὶ εἶπαν τὰ
ξύλα πρὸς τὴν ἄμπελον, δεῦρο βα-
ιγ. σίλευσον ἐφ' ἡμῶν. Καὶ εἶπεν αὐτοῖς
ἡ ἄμπελος, μὴ ἀπολείψασα τὸν οἶ-
νόν μου τὸν εὐφραίνοντα ἀνθρώπους,
πορεύσομαι ἄρχειν τῶν ξύλων;

ιδ. Καὶ εἶπαν πάντα τὰ ξύλα τῇ ῥάμνῳ, δεῦρο σὺ, βασίλευσον ἐφ' ἡμῶν.

ΑΔΗΛΟΥ. Ῥάμνον δὲ νοήσεις κατὰ τὸν τῆς ἀναγωγῆς λόγον καὶ τὸν Διάβολον, τὸν δίκην ἀκάνθης ἐμπηγνύοντα τοῖς ἀνθρώποις τὰς ἁμαρτίας, ὡς λέγειν τὸν

Α „ ταῦτα πεπονθότα· ἐστράφην εἰς ταλαιπω- Ψαλ. 31.
„ ρίαν ἐν τῷ ἐμπαγῆναί μοι ἄκανθαν.

ιε. Καὶ εἶπεν ἡ ῥάμνος πρὸς τὰ ξύλα, εἰ ἐν ἀληθείᾳ χρίετέ με ὑμεῖς τοῦ βασιλεύειν ἐφ' ὑμᾶς, δεῦτε, ὑπόστητε ἐν τῇ σκιᾷ μου· καὶ εἰ μὴ, ἐξέλθοι πῦρ ἀπ' ἐμοῦ καὶ καταφάγοι τὰς κέδρους τοῦ λιβάνου.

Β ΑΔΗΛΟΥ. Οὐκ ἀμφιβολίας ὁ λόγος, ἀλλὰ βεβαιώσεως. ἐπειδή φησι κατὰ ἀλήθειαν προεχειρίσασθέ με βασιλέα, εἰσέλθετε καὶ ὑποδύσατε ὑπὸ τὴν σκέπην μου· ἤτοι τὰς ἐπαγομένας παρ' ἐμοῦ πληγὰς εἰσδέξασθε, ὡς ἀκανθώδους ὄντος τοῦ φυτοῦ, καὶ ῥαδίως πλήττοντος τοὺς ὑπ' αὐτῷ εἰσιόντας.

„ ** ΠΡΟΚΟΠΙΟΥ. Ἐξέλθοι πῦρ ἐκ
„ τῆς ῥάμνου. πῦρ γὰρ ἀγαθὴ παρασχεῖν τῶν ξύλων ἐστί.

Γ ις. Καὶ νῦν εἰ ἐν ἀληθείᾳ καὶ τε-
λειότητι ἐποιήσατε, καὶ ἐβασιλεύ-
σατε τὸν Ἀβιμέλεχ, καὶ εἰ ἀγαθω-
σύνην ἐποιήσατε μετὰ Ἱεροβάαλ,
καὶ μετὰ τοῦ οἴκου αὐτοῦ, καὶ εἰ ὡς
ἀνταπόδοσις χειρὸς αὐτοῦ ἐποιήσατε
ιζ. αὐτῷ, Ὡς παρετάξατο ὁ πατήρ μου
ὑπὲρ ὑμῶν, καὶ ἐξέρριψε τὴν ψυχὴν
Δ αὐτοῦ ἐξ ἐναντίας, καὶ ἐρρύσατο ὑμᾶς
ιη. ἐκ χειρὸς Μαδιάμ· Καὶ ὑμεῖς ἐπανέ-
στητε ἐπὶ τὸν οἶκον τοῦ πατρός μου σή-
μερον, καὶ ἀπεκτείνατε τοὺς υἱοὺς αὐτοῦ
ἑβδομήκοντα ἄνδρας ἐπὶ λίθον ἕνα,
καὶ ἐβασιλεύσατε Ἀβιμέλεχ υἱὸν τῆς
παιδίσκης αὐτοῦ ἐπὶ τοὺς ἄνδρας Σι-
κίμων, ὅτι ἀδελφὸς ὑμῶν ἐστί.

ιθ. Καὶ εἰ ἐν ἀληθείᾳ καὶ ἐν τε-
Ε λειότητι ἐποιήσατε μετὰ Ἱεροβάαλ,
καὶ μετὰ τοῦ οἴκου αὐτοῦ ἐν τῇ ἡμέρᾳ
ταύτῃ, εὐφρανθείητε ἐν Ἀβιμέλεχ,
καὶ εὐφρανθείη καί γε αὐτὸς ἐν ὑμῖν·
κ. Εἰ δὲ οὔ, ἐξέλθοι πῦρ ἀπὸ Ἀβιμέ-
λεχ, καὶ καταφάγοι τοὺς ἄνδρας Σι-
κίμων, καὶ τὸν οἶκον Μααλώ· καὶ
ἐξέλθοι πῦρ ἀπὸ τῶν ἀνδρῶν Σικί-
Ζ μων, καὶ ἐκ τοῦ οἴκου Μααλὼ, καὶ κα-
ταφάγοι τὸν Ἀβιμέλεχ.

ΑΔΗΛΟΥ. Εἰ κατὰ δικαίαν κρίσιν, φησὶν, ἐποιήσατε ταῦτα, τῆς παρ' αὐτοῦ εὐφροσύνης ἀπολαύσατε· εἰ δ' ἀπανθρώπως καὶ ἀδίκως, ἀξίας τὰς ὑπὲρ τούτου ἀμοιβὰς ὑπ' ἀλλήλων λήψεσθε.

κα. Καὶ ἔφυγεν Ἰωάθαμ καὶ ἀπέ-
δρα καὶ ἐπορεύθη ἕως Βηρὰ, καὶ ᾤκη-
Η σεν ἐκεῖ ἀπὸ προσώπου Ἀβιμέλεχ
κβ. ἀδελφοῦ αὐτοῦ. Καὶ ἦρξεν Ἀβιμέ-
λεχ ἐπὶ Ἰσραὴλ τρία ἔτη.

ΙΩΣΗ-

(1) Πιότητά μου, ἐν ᾗ δοξάσουσι τὸν Θεὸν ἄνδρες. ἡ ἐν Φρανεκ. καὶ ἡ ἐν Κανταβρ. ἔκδ.

** ΙΩΣΗΠΟΥ. Ὁ μὲν ταῦτα εἰπὼν, ὑπεχώρησε, καὶ διῃτᾶτο λανθάνων ἐν τοῖς ὄρεσι, δεδιὼς ἐπ' ἔτη τρία τὸν Ἀβιμέλεχ.

κγ. Καὶ ἐξαπέστειλεν ὁ Θεὸς πνεῦ-
μα πονηρὸν ἀναμέσον Ἀβιμέλεχ καὶ
ἀναμέσον τῶν ἀνδρῶν Σικίμων (1) ἐν
κδ. τῷ οἴκῳ Ἀβιμέλεχ, Τοῦ ἐπαγαγεῖν
τὴν ἀδικίαν τῶν ἑβδομήκοντα υἱῶν Ἰε-
ροβαὰλ, καὶ τὰ αἵματα αὐτῶν τοῦ
θεῖναι ἐπὶ Ἀβιμέλεχ τὸν ἀδελφὸν
αὐτῶν· ὃς ἀπέκτεινεν αὐτοὺς, καὶ ἐπὶ
ἄνδρας Σικίμων, ὅτι ἐνίσχυσαν τὰς
χεῖρας αὐτοῦ τοῦ ἀποκτεῖναι τοὺς ἀδελ-
φοὺς αὐτοῦ.

κε. Καὶ ἔθηκαν αὐτῷ οἱ ἄνδρες
Σικίμων ἐνεδρεύοντες ἐπὶ τὰς κεφα-
λὰς τῶν ὀρέων, καὶ διήρπαζον πάν-
τα ὅσα παρεπορεύετο ἐπ' αὐτοὺς ἐν
τῇ ὁδῷ. καὶ ἀπηγγέλη τῷ βασιλεῖ
Ἀβιμέλεχ.

** ΙΩΣΗΠΟΥ. Μετ' οὐ πολὺ τῆς ἑορτῆς οἱ Σικιμῖται· μετενόησαν γὰρ ἐπὶ τοῖς Γεδεῶνος υἱοῖς πεφονευμένοις· ἐξελαύνουσι τὸν Ἀβιμέλεχον τῆς πόλεως καὶ τῆς φυλῆς. οἱ δὲ (2) κακοῦν τὴν πόλιν ἐφρόντιζον.

κς. Καὶ ἦλθε Γαὰδ υἱὸς Ἰωβὴλ,
καὶ οἱ ἀδελφοὶ αὐτοῦ, καὶ παρῆλθον
ἐν Σικίμοις, καὶ ἤλπισαν ἐν αὐτῷ οἱ
κζ. ἄνδρες Σικίμων. Καὶ ἐξῆλθον εἰς ἀγ-
ρὸν, καὶ ἐτρύγησαν τοὺς ἀμπελῶνας
αὐτῶν, καὶ ἐπάτησαν, καὶ ἐποίησαν
Ἐλλουλείμ· καὶ εἰσήνεγκαν εἰς οἶκον
Θεοῦ αὐτῶν, καὶ ἔφαγον καὶ ἔπιον,
καὶ κατηρῶντο τὸν Ἀβιμέλεχ.

** ΙΩΣΗΠΟΥ. Τῆς ὥρας τοῦ τρυγᾶν γενομένης, ἐδεδίεσαν συλλέγειν τὸν καρπὸν προϊόντες, μήτι δράσῃ κακὸν αὐτοὺς Ἀβιμέλεχος. ἐπιδημήσαντος δὲ πρὸς αὐτοὺς τῶν ἀρχόντων τινὸς Γαάλου σὺν ὁπλίταις καὶ συγγενέσι τοῖς αὐτοῦ, φυλακὴν οἱ Σικιμῖται δέονται παρασχεῖν αὐτοῖς, ἕως ἂν τρυγήσωσι. παραδεξαμένου δὲ ἐκείνου τὴν ἀξίωσιν, προῄεσαν, καὶ Γαάλης σὺν αὐτοῖς, τὸ οἰκεῖον ἄγων ὁπλιτικόν. ὅ,τε οὖν καρπὸς μετὰ ἀσφαλείας συνάγεται, καὶ δειπνοῦντες κατὰ συμμορίαν, φανερῶς ἀπετόλμων ἤδη βλασφημεῖν Ἀβιμέλεχον. οἵ τε ἄρχοντες ἐνέδραις καταλαμβανόμενοι τὰ περὶ τὴν πόλιν, πολλοὺς τῶν Ἀβιμελέχου συλλαμβάνοντες διέφθειρον.

ΑΔΗΛΟΥ. Ἐλλουλεὶμ, τουτέστι μέσον, ὡσανεὶ ἅμα τῷ πατεῖν τὴν σταφυλὴν καὶ τῇ πόσει τοῦ οἴνου κεχρημένων.

κη. Καὶ εἶπε Γαὰδ υἱὸς Ἰωβὴλ,
τίς ἐστιν Ἀβιμέλεχ, καὶ τίς ἐστιν υἱὸς
A Συχὲμ, ὅτι δουλεύσομεν αὐτῷ; οὐχὶ
υἱὸς Ἰεροβαὰλ, καὶ Ζεβοὺλ ἐπίσκο-
πος αὐτοῦ, δοῦλος αὐτοῦ σὺν τοῖς ἀν-
δράσιν Ἐμμὼρ πατρὸς Συχέμ; καὶ
τί ὅτι δουλεύσομεν ἐν αὐτῷ ἡμεῖς;

ΑΔΗΛΟΥ. Υἱὸν Συχὲμ ὡς ἀπὸ τῆς χώρας ὀνομάζει.

κθ. Καὶ τίς δῴη τὸν λαὸν τοῦτον
B ἐν χειρί μου; καὶ μεταστήσω τὸν Ἀβι-
μέλεχ, καὶ ἐρῶ πρὸς αὐτὸν, πλήθυ-
νον τὴν δύναμίν σου καὶ ἔξελθε.

λ. Καὶ ἤκουσε Ζεβοὺλ ὁ ἄρχων τῆς
πόλεως τοὺς λόγους Γαὰδ υἱοῦ Ἰωβὴλ,
λα. καὶ ὠργίσθη θυμῷ αὐτός. Καὶ ἀπέ-
στειλεν ἀγγέλους πρὸς Ἀβιμέλεχ ἐν
κρυφῇ, λέγων, ἰδοὺ Γαὰδ υἱὸς Ἰωβὴλ
καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἔρχονται εἰς Συ-
Γ χὲμ, καὶ ἰδοὺ αὐτοὶ περικάθηνται τὴν
λβ. πόλιν ἐπὶ σέ. Καὶ νῦν ἀνάστα νυκτὸς
σὺ καὶ ὁ λαός σου μετὰ σοῦ, καὶ ἐνέ-
λγ. δρευσον ἐν τῷ ἀγρῷ. Καὶ ἔσται τὸ
πρωῒ ἅμα τῷ ἀνατεῖλαι τὸν ἥλιον ὀρ-
θριεῖς καὶ ἐκτενεῖς ἐπὶ τὴν πόλιν· καὶ
ἰδοὺ αὐτὸς καὶ ὁ λαὸς ὁ μετ' αὐτοῦ ἐκ-
πορεύονται πρὸς σὲ, καὶ ποιήσεις αὐτῷ
Δ ὅσα ἂν εὕρῃ ἡ χείρ σου.

** ΙΩΣΗΠΟΥ. Ζέβουλος δέ τις τῶν Σικιμιτῶν ἄρχων, ξένος ὢν Ἀβιμελέχου, ὅσα παροξύνειε Γαάλης τὸν δῆμον, πέμπων ἀγγέλους ἐμήνυεν αὐτῷ, καὶ παρῄνει λοχᾶν πρὸ τῆς πόλεως. πείσειν γὰρ Γαάλην ἐξελθεῖν ἐπ' αὐτόν. καὶ τὸ λοιπὸν ἐπ' ἐκείνῳ τυγχάνειν, ὥστε ἀμύνασθαι. γενομένου γὰρ τούτου, διαλλαγὰς αὐτῷ μνηστεύεσθαι πρὸς τὸν δῆμον.

E λδ. Καὶ ἀνέστη Ἀβιμέλεχ καὶ πᾶς
ὁ λαὸς ὁ ὢν μετ' αὐτοῦ νυκτὸς, καὶ
ἐνήδρευσαν ἐπὶ Συχὲμ τέτρασιν ἀρ-
λε. χαῖς. Καὶ ἐξῆλθε Γαὰδ υἱὸς Ἰω-
βὴλ, καὶ ἔστη πρὸς τῇ θύρᾳ τῆς πύ-
λης τῆς πόλεως. καὶ ἀνέστη Ἀβιμέλεχ
καὶ ὁ λαὸς ὁ μετ' αὐτοῦ ἀπὸ τοῦ ἐνέδρου.

** ΙΩΣΗΠΟΥ. Ὅ,τε, οὖν Ἀβιμέλεχος ἐκάθισεν ἐνεδρεύων, καὶ ὁ Γαάλης
Z ἀφυλακτότερος διέτριβεν ἐπὶ τοῦ προαστείου, καὶ Ζέβουλος σὺν αὐτῷ.

λς. Καὶ εἶδε Γαὰδ υἱὸς Ἰωβὴλ τὸν
λαὸν, καὶ εἶπε πρὸς Ζεβοὺλ, ἰδοὺ λαὸς
καταβαίνει ἀπὸ κεφαλῶν τῶν ὀρέων.
καὶ εἶπε πρὸς αὐτὸν Ζεβοὺλ, τὴν σκιὰν
λζ. τῶν ὀρέων σὺ βλέπεις ὡς ἄνδρας. Καὶ
προσέθετο ἔτι Γαὰδ τοῦ λαλῆσαι, καὶ
H εἶπεν, ἰδοὺ ὁ λαὸς καταβαίνων κατὰ
θάλασ-

(1) Καὶ ἠθέτησαν ἄνδρες Σικίμων ἐν. αἱ αὐτ.

(2) Ὁ δὲ κακοῦν τὴν πόλιν ἐφρόντιζε πάντως ἀναγνωστέον. καὶ γὰρ καὶ ὁ Προκόπιος (ἐν τῷ τῆς Αὐγ. κώδ.) τὰ τοῦ Ἰωσήπου ἐκτιθέμενος οὕτω φησί· καὶ μετὰ τῶν σὺν αὐτῷ τὴν πόλιν ἐκάκου.

θάλασσαν ἀπὸ τȣ̃ ἐχόμενα ὀμφαλȣ̃ τῆς γῆς, καὶ ἀρχὴ ἑτέρα ἔρχεται δι' ὁδȣ̃ Ἠλὼν (1) Μαωνεμέν.

** ΙΩΣΗΠΟΥ. Ἰδὼν ὁπλίτας ἐπιφερομένȣς Γαάλης, πρὸς Ζέβȣλον ἔλεγεν, ἄνδρας αὐτοῖς ἐπιέναι καθωπλισμένȣς. τȣ̃ δὲ σκιὰς εἶναι φαμένȣ τῶν πετρῶν, πλησίον ἤδη γενομένων τὸ ἀκριβὲς κατανοῶν, ȣ̓ σκιὰς ἔλεγε ταῦτ' εἶναι, λόχον δ' ἀνδρῶν.

λη. Καὶ εἶπε πρὸς αὐτὸν Ζεβȣ̀λ,
Πȣ̃ ἐςὶ τὸ ςόμα σȣ ὡς ἐλάλησας,
τίς ἐςιν Ἀβιμέλεχ, ὅτι δȣλεύσομεν
αὐτῷ; μὴ ȣ̓χὶ ȣ̃τος ὁ λαὸς ὃν ἐξȣδέ-
νωσας; ἔξελθε δὴ νῦν καὶ παράταξαι
λθ. αὐτῷ; Καὶ ἐξῆλθε Γαὰδ ἐνώπιον ἀν-
δρῶν Συχὲμ, καὶ παρετάξατο πρὸς
μ. Ἀβιμέλεχ. (2) Καὶ ἔφυγεν ἀπὸ προ-
σώπȣ αὐτȣ̃, καὶ ἔπεσον τραυματίαι
πολλοὶ ἕως τῆς θύρας τῆς πόλεως.
μα. Καὶ εἰσῆλθεν Ἀβιμέλεχ ἐν Ἀρημά·
καὶ ἐξέβαλε Ζεβȣ̀λ τὸν Γαὰδ καὶ τȣ̀ς
ἀδελφȣ̀ς αὐτȣ̃ μὴ οἰκεῖν ἐν Συχέμ.

** ΙΩΣΗΠΟΥ. Ζέβȣλος, ȣ̓ σὺ μέντοι, φησὶν, Ἀβιμελέχῳ κακίαν ἐπεκάλεις; τί ȣ̃ν ȣ̓κ ἐπιδείκνυσαι τὸ τῆς σῆς ἀρετῆς μέγεθος, εἰς μάχην αὐτῷ συμβαλών; Γαάλης δὲ θορυβȣ́μενος, συνάπτει τοῖς Ἀβιμελέχȣ, καὶ πίπτȣσι μέν τινες τῶν σὺν αὐτῷ· φεύγει δὲ αὐτὸς εἰς τὴν πόλιν, τȣ̀ς ἄλλȣς ἀγόμενος. καὶ Ζέβȣλος πολιτεύεται Γαάλην ἐκβληθῆναι τῆς πόλεως, κατηγορήσας ὡς μαλακῶς πρὸς τȣ̀ς Ἀβιμελέχȣ ςρατιώτας ἀγωνίσαιτο.

μβ. Καὶ ἐγένετο τῇ ἐπαύριον καὶ
ἐξῆλθεν ὁ λαὸς εἰς τὸν ἀγρὸν, καὶ
μγ. ἀνηγγέλη τῷ Ἀβιμέλεχ. Καὶ ἔλα-
βε τὸν λαὸν, καὶ διεῖλεν αὐτὸν εἰς τρεῖς
ἀρχὰς, καὶ ἐνήδρευσεν ἐν ἀγρῷ· καὶ
εἶδε, καὶ ἰδȣ̀ ὁ λαὸς ἐξῆλθεν ἐκ τῆς
πόλεως, καὶ ἀνέςη ἐπ' αὐτȣ̀ς, καὶ
μδ. ἐπάταξεν αὐτȣ́ς. Καὶ Ἀβιμέλεχ
καὶ οἱ ἀρχηγοὶ οἱ μετ' αὐτȣ̃ ἐξέτει-
ναν, καὶ ἔςησαν παρὰ τὴν θύραν τῆς
πύλης τῆς πόλεως· καὶ αἱ δύω ἀρχαὶ
ἐξέτειναν ἐπὶ πάντας τȣ̀ς ἐν τῷ ἀγ-
ρῷ, καὶ ἐπάταξαν αὐτȣ́ς.

** ΙΩΣΗΠΟΥ. Ἀβιμέλεχος πυθόμενος ἐξελευσομένȣς αὖθις κατὰ τρυγητὸν τȣ̀ς Σικιμίτας, ἐνέδραις προλοχίζεται τὰ περὶ τὴν πόλιν· καὶ προελθόντων, ἡ μὲν τρίτη μοῖρα τῆς ςρατιᾶς καταλαμβάνει τὰς πύλας, ἀφαιρησομένη τὴν εἴσοδον τȣ̀ς πολίτας, οἱ δὲ ἄλλοι σκιδναμένȣς μεταθέȣσι· πανταχȣ̃ τε φόνος ἦν.

με. Καὶ Ἀβιμέλεχ παρετάσσετο ἐν τῇ πόλει ὅλην τὴν ἡμέραν ἐκείνην,

A καὶ κατελάβετο τὴν πόλιν, καὶ τὸν λαὸν τὸν ἐν αὐτῇ ἀπέκτεινε, καὶ καθεῖλε τὴν πόλιν, καὶ ἔσπειραν (3) εἰς ἅλας.

** ΙΩΣΗΠΟΥ. Κατασκάψας εἰς ἔδαφος τὴν πόλιν· ȣ̓ γὰρ ἀντέχε τὴν πολιορκίαν· ἅλας κατὰ τῶν ἐρειπίων σπείρας, προῆγε. καὶ Σικιμῖται πάντες ȣ̃τως ἀπώλοντο.

B» ΑΔΗΛΟΥ. Καὶ ἔσπειραν. Τὸ ἄχρηςον αὐτῆς εἰς κατοικίαν ἀνθρώπων ἐδήλωσεν· ἐπειδὴ καὶ ἡ τοποθεσία τῶν ἁλῶν ἄκαρπος.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐςι τὸ, ἔσπειρεν ἐν
» αὐτῇ ἅλας; Τὴν ἀκαρπίαν δηλοῖ. ȣ̓δὲν γὰρ ἐξ ἁλῶν φύεται.

μς. Καὶ ἤκȣσαν πάντες οἱ ἄνδρες
πύργȣ Συχὲμ, καὶ ἦλθον εἰς συνέ-
μζ. λευσιν Βαιθηλβερίθ. Καὶ ἀνηγγέ-
Γ λη τῷ Ἀβιμέλεχ, ὅτι συνήχθησαν
μη. πάντες οἱ ἄνδρες πύργȣ Συχέμ. Καὶ
ἀνέβη Ἀβιμέλεχ εἰς ὄρος Ἑρμὼν αὐ-
τὸς, καὶ πᾶς ὁ λαὸς ὁ μετ' αὐτȣ̃.
καὶ ἔλαβεν Ἀβιμέλεχ τὰς ἀξίνας
ἐν τῇ χειρὶ αὐτȣ̃, καὶ ἔκοψε κλάδον
ξύλȣ, καὶ ἦρε, καὶ ἔθηκεν ἐπ' ὤμων
αὐτȣ̃· καὶ εἶπε τῷ λαῷ τῷ μετ' αὐτȣ̃,
Δ Ὃ εἴδετέ με ποιȣ̃ντα, ταχέως ποιήσα-
μθ. τε ὡς ἐγώ. Καὶ ἔκοψαν καί γε ἀνὴρ
κλάδον πᾶς ὁ λαὸς, (4) καὶ ἐπορεύθη
ὀπίσω Ἀβιμέλεχ, καὶ ἐπέθηκαν ἐπὶ
τὴν συνέλευσιν, καὶ ἐνέπρησαν ἐπ'
αὐτȣ̀ς τὸ ὀχύρωμα ἐν πυρί· καὶ ἀπέ-
θανον πάντες οἱ ἄνδρες πύργȣ Σικί-
μων, ὡς χίλιοι ἄνδρες καὶ γυναῖκες.

** ΙΩΣΗΠΟΥ. Ὅσοι κατὰ τὴν χώ-
E ραν σκεδασθέντες διέφυγον τὸν κίνδυνον, ȣ̃τοι συλλεγέντες ἐπί τινα πέτραν ὀχυρὰν, ἐπ' αὐτῆς ἱδρύοντο, τειχίσαι τε ταύτην παρεσκευάζοντο. ἔφθη τε, τὴν διάνοιαν αὐτῶν Ἀβιμέλεχος μαθὼν, ἐλθεῖν ἐπ' αὐτȣ̀ς μετὰ τῆς δυνάμεως· καὶ φακέλλȣς ὕλης ξηρᾶς περιβαλὼν τῷ χωρίῳ, δι' αὐτȣ̃ φέρων, ταὐτὸ ποιεῖν τὴν ςρατιὰν παρεκελεύσατο. καὶ ταχέως περιληφθείσης ἐν κύκλῳ τῆς πέτρας τοῖς ξύλοις, πῦρ ἐμ-
Z βάλλȣσιν, ὅσα τε μᾶλλον ἐξάπτειν φύσιν ἔχει, καὶ μεγίςην αἴρȣσι φλόγα. καὶ διαφεύγει μὲν ἀπὸ τῆς πέτρας ȣ̓δεὶς, ἀλλ' ἅμα γυναιξὶ καὶ τέκνοις ἀπώλοντο, ἄνδρες μὲν περὶ πεντακοσίȣς καὶ χιλίȣς, τὸ δὲ ἄλλο πλῆθος ἱκανόν.

ν. Καὶ ἐπορεύθη Ἀβιμέλεχ ἐν
Βαιθηλβερὶθ, καὶ παρενέβαλεν ἐν
Θήβαις, καὶ περιεκάθισεν ἐπ' αὐ-
να. τὴν, καὶ κατέλαβεν αὐτήν. Καὶ πύρ-
γος ἰσχυρὸς ἦν ἐν μέσῳ τῆς πόλεως,
καὶ

(1) Ἤλων Μαωνείμ. αἱ ἐρημ. ἐκδόσ.
(3) Ἔσπειρεν αὐτὴν ἅλας. αἱ αὐτ.
(2) Καὶ ἐδίωξεν αὐτὸν Ἀβιμέλεχ, καὶ ἔφυγ. αἱ αὐτ.
(4) Πᾶς ἀνήρ. αἱ αὐτ.

καὶ ἔφυγον ἐκεῖ πάντες οἱ ἄνδρες καὶ
αἱ γυναῖκες καὶ πάντες οἱ ἡγούμενοι
τῆς πόλεως, καὶ ἀπέκλεισαν ἔξωθεν
αὐτῶν, καὶ ἀνέβησαν ἐπὶ τὸ δῶμα
τοῦ πύργου.

** ΙΩΣΗΠΟΥ. Σικιμίταις μὲν τοιαύτη συμφορὰ συνέπεσε, μείζονος καὶ τῆς ἐπ' αὐτῇ λύπης γενομένης, πλὴν ὅτι κατὰ δίκην ἐπ' ἀνδρὸς εὐεργέτου συνθεῖσι κακὸν τηλικοῦτον. Ἀβιμέλεχος δὲ, τοῖς Σικιμιτῶν κακοῖς καταπλήξας τοὺς Ἰσραηλίτας, μειζόνων ἐφιέμενος δῆλος ἦν, καὶ μηδαμοῦ περιγράψων τὴν βίαν, εἰ μὴ πάντας ἀπολέσειεν. ἤλαυνεν οὖν ἐπὶ Θήβας, καὶ τὴν μὲν πόλιν ἐξ ἐπιδρομῆς αἱρεῖ. πύργου δὲ ὄντος ἐν αὐτῇ μεγάλου, εἰς ὃν τὸ πλῆθος συνέφυγε, πολιορκεῖν τοῦτον παρεσκευάζετο.

νβ. Καὶ ἦλθεν Ἀβιμέλεχ ἕως τοῦ
πύργου, καὶ παρετάξαντο αὐτῷ· καὶ
ἤγγισεν Ἀβιμέλεχ ἕως τῆς θύρας τοῦ
νγ. πύργου ἐμπρῆσαι αὐτὸν ἐν πυρί. Καὶ
ἔῤῥιψε γυνὴ μία κλάσμα ἐπιμυλίου
ἐπὶ τὴν κεφαλὴν Ἀβιμέλεχ, καὶ
νδ. ἔκλασε τὸ κρανίον αὐτοῦ. Καὶ ἐβόησε
ταχὺ πρὸς τὸ παιδάριον τὸ αἶρον
τὰ σκεύη αὐτοῦ, καὶ εἶπεν αὐτῷ, σπάσαι
τὴν ῥομφαίαν σου (1) καὶ θανάτωσόν
με, μήποτε εἴπωσι, γυνὴ ἀπέκτεινεν
αὐτόν. καὶ ἐξεκέντησεν αὐτὸν τὸ
νε. παιδάριον αὐτοῦ, καὶ ἀπέθανε. Καὶ

A εἶδεν ἀνὴρ Ἰσραὴλ ὅτι ἀπέθανεν Ἀβιμέλεχ·
καὶ ἐπορεύθησαν ἀνὴρ εἰς τὸν
τόπον αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Αὐτὸν πλησίον ὁρμῶντα τῶν πυλῶν, γυνὴ θραύσματι μύλης βαλοῦσα κατὰ τῆς κεφαλῆς τυγχάνει. πεσὼν δὲ Ἀβιμέλεχος, τὸν ὑπασπιστὴν παρεκάλει κτείνειν αὐτὸν, μὴ τῆς γυναικὸς ὁ θάνατος αὐτοῦ δόξειεν ἔργον. καὶ ὁ μὲν τὸ
B προσαχθὲν αὐτῷ ἐποίει· ὁ δὲ τοιαύτην ὑπὲρ τῆς εἰς τοὺς ἀδελφοὺς παρανομίας ποινὴν ἐξέτισε, καὶ τῶν εἰς Σικιμίτας αὐτῷ τετολμημένων. τούτοις δὲ κατὰ τὴν Ἰωαθάμου μαντείαν ἡ συμφορὰ συνέπεσε. τὸ μέντοι σὺν Ἀβιμελέχῳ στράτευμα, πεσόντος αὐτοῦ, σκεδασθὲν ἀνεχώρησεν ἐπὶ τὰ οἰκεῖα.

νϛ. Καὶ ἐπέστρεψεν ὁ Θεὸς τὴν πονηρίαν
Ἀβιμέλεχ, ἣν ἐποίησε τῷ πα-
Γ τρὶ αὐτοῦ, ἀποκτεῖναι τοὺς ἑβδομήκον-
νζ. τα ἀδελφοὺς αὐτοῦ. Καὶ πᾶσαν τὴν
πονηρίαν ἀνδρῶν Συχὲμ ἐπέστρεψεν ὁ
Θεὸς εἰς κεφαλὴν αὐτῶν. καὶ ἐπῆλθεν
ἐπ' αὐτοὺς ἡ κατάρα Ἰωάθαμ υἱοῦ
Ἱεροβαάλ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὰ δὲ κατὰ τὸν Ἀβιμέλεχ καὶ τοὺς Σικιμίτας διδάσκει ἡμᾶς, ὡς ἡ πονηρὰ συμφωνία τοῖς χρωμένοις ἐπά-
Δ γει πανωλεθρίαν, εἰς διχόνοιαν τελευτῶσα. κοινῇ γὰρ τοῦ Γεδεὼν ἀνελόντες τοὺς παῖδας, ὑπ' ἀλλήλων διώλοντο.

ΚΕΦ. Ι.

α. Καὶ ἀνέστη μετὰ Ἀβιμέλεχ
τοῦ σῶσαι τὸν Ἰσραὴλ,
Θωλὰ υἱὸς Φουὰ, υἱὸς πα-
τρὸς ἀδελφοῦ αὐτοῦ, ἀνὴρ Ἰσσάχαρ·
καὶ αὐτὸς κατῴκει ἐν Σαμεὶρ ἐν ὄρει
β. Ἐφραίμ. Καὶ ἔκρινε τὸν Ἰσραὴλ
εἴκοσι καὶ τρία ἔτη, καὶ ἀπέθανε,
καὶ ἐτάφη ἐν Σαμείρ.
γ. Καὶ ἀνέστη μετ' αὐτὸν Ἰαεὶρ ὁ
Γαλααδίτης, καὶ ἔκρινε τὸν Ἰσραὴλ
δ. εἴκοσι καὶ δύω ἔτη. Καὶ ἦσαν αὐτῷ
τριάκοντα καὶ δύω υἱοὶ ἐπιβαίνοντες
ἐπὶ τριάκοντα καὶ δύω πώλους· καὶ
τριάκοντα καὶ δύω πόλεις αὐτοῖς· καὶ
ἐκάλουν αὐτὰς ἐπαύλεις Ἰαεὶρ ἕως
τῆς ἡμέρας ταύτης, αἵ εἰσιν ἐν γῇ
ε. Γαλαάδ. Καὶ ἀπέθανεν Ἰαεὶρ, καὶ
ἐτάφη ἐν Ῥαμνῷ.

ΑΔΗΛΟΥ. Γαλαὰδ ἡ Γραφὴ τὴν πέραν τοῦ Ἰορδάνου τοποθεσίαν λέγει.

** ΙΩΣΗΠΟΥ. Τῶν Ἰσραηλιτῶν τὴν ἡγεμονίαν Ἰαείρης ὁ Γαλαδηνὸς ἐκ τῆς
E Μανασσήτιδος φυλῆς παραλαμβάνει, ἀνὴρ τά τε ἄλλα εὐδαίμων, καὶ παῖδας ἀγαθοὺς πεποιημένος· τριάκοντα μὲν τὸν ἀριθμὸν, ἱππεύειν δὲ ἀρίστους, καὶ τῶν κατὰ τὴν Γαλαδηνὴν πόλεων ἀρχὰς ἐγκεχειρισμένους. οὗτος δύω καὶ εἴκοσι ἔτη τὴν ἀρχὴν κατασχὼν, τελευτᾷ γηραιός· καὶ ταφῆς ἐν Καμὼν πόλει τῆς Γαλαδηνῆς ἀξιοῦται. (2)

ϛ. Καὶ προσέθεντο οἱ υἱοὶ Ἰσραὴλ
Z ποιῆσαι τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ
ἐδούλευσαν τοῖς Βααλεὶμ, (3) καὶ τοῖς
Θεοῖς Συρίας, καὶ τοῖς Θεοῖς Σιδῶ-
νος, καὶ τοῖς Θεοῖς Μωὰβ, καὶ τοῖς
Θεοῖς υἱῶν Ἀμμὼν, καὶ τοῖς Θεοῖς
Φυλιστιεὶμ, καὶ ἐγκατέλιπον τὸν Κύ-
ριον, καὶ οὐκ ἐδούλευσαν αὐτῷ.

" ΑΔΗΛΟΥ. Καὶ τοῖς Θεοῖς Σιδῶνος. Πόλιν ἐπίσημον ὑπάρχουσαν, καὶ μὴ ὑποκει-
H μένην αὐτοῖς πρότερον.

ΘΕΟΔΩ-

(1) Τὴν ῥομφαίαν μου. αὐτ.

(2) Τὰ περὶ τοῦ Θωλὰ ἐν τοῖς τοῦ Ἰωσήπου ἐκδεδομ. οὐ κεῖται. πότερον δὲ αὐτὸς ταῦτα παρέλιπεν, ἢ οἱ τοὺς κώδικας μεταγράψαντες, ἄδηλον.

(3) Καὶ ταῖς Ἀσαρώθ. αἱ εἰρημ. ἐκδόσ.

A ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπισημήνασθαι δὲ δεῖ, ὅτι μικρᾶς ἀνακωχῆς ἀπολαύοντες, εὐθὺς τοῖς εἰδώλοις ἐλάτρευον. προσέθεντο γάρ- » φησιν οἱ υἱοὶ Ἰσραὴλ ποιῆσαι τὸ πονηρὸν » ἐναντι Κυρίου, καὶ ἐλάτρευσαν τοῖς Βαα- » λεὶμ, καὶ τοῖς Ἀσαρὼθ, καὶ τοῖς Θεοῖς Σι- » δῶνος, καὶ τοῖς Θεοῖς Μωὰβ, καὶ τοῖς Θεοῖς » Ἀμμὼν, καὶ τοῖς Θεοῖς τῶν ἀλλοφύλων.

ζ. Καὶ ὠργίσθη θυμῷ Κύριος ἐν
B Ἰσραὴλ, καὶ ἀπέδοτο αὐτοὺς Κύριος
ἐν χειρὶ Φυλιστιεὶμ, καὶ ἐν χειρὶ υἱῶν
Ἀμμών.

ΑΔΗΛΟΥ. Τὸν θυμὸν καὶ τὴν ὀργὴν ἡ θεία Γραφὴ ἐκ τῶν παρ' ἡμῖν πολλάκις λαμβάνουσα, λέγει καὶ ἐπὶ Θεοῦ· ἵνα τὴν ἐπίτασιν τῆς κατὰ τῶν ἁμαρτανόντων τιμωρίας δηλώσῃ.

η. Καὶ ἔθλιψαν καὶ ἐθανάτωσαν (1)
Γ τοὺς υἱοὺς Ἰσραὴλ ἐν τῷ καιρῷ ἐκείνῳ
ὀκτωκαίδεκα ἔτη, τοὺς πάντας υἱοὺς
Ἰσραὴλ τοὺς ἐν τῷ πέραν τοῦ Ἰορδάνου
θ. ἐν γῇ τοῦ Ἀμοῤῥαίου ἐν Γαλαάδ. Καὶ
διέβησαν οἱ υἱοὶ Ἀμμὼν τὸν Ἰορδάνην
παρατάξασθαι πρὸς Ἰούδαν, καὶ Βενιαμὶν,
καὶ πρὸς Ἐφραίμ. καὶ ἐθλίβη (2) Ἰσραὴλ σφόδρα.

Δ ** ΙΩΣΗΠΟΥ. Πάντα τὰ τῶν Ἑβραίων εἰς ἀκοσμίαν καὶ ὕβριν τοῦ Θεοῦ καὶ τῶν νόμων ὑπεφέρετο· καὶ καταφρονήσαντες αὐτῶν Ἀμμανῖται καὶ Παλαιστῖνοι, στρατῷ μεγάλῳ διήρπαζον τὴν χώραν· καὶ τὴν Περαίαν ἅπασαν καταχόντες, καὶ ἐπὶ τὴν τῶν λοιπῶν ἤδη κλῆσιν διαβαίνειν ἐτόλμων.

ι. Καὶ ἐβόησαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Κύριον, λέγοντες, ἡμάρτομέν σοι, ὅτι ἐγκατελίπομεν τὸν Θεὸν ἡμῶν, καὶ ἐδουλεύσαμεν τῷ Βααλείμ.

E ** ΙΩΣΗΠΟΥ. Ἑβραῖοι σωφρονισθέντες ἀπὸ τῶν κακῶν, εἰς ἱκετείας ἐτρέποντο τοῦ Θεοῦ, καὶ θυσίας ἐπέφερον· παρακαλοῦντες αὐτὸν μετριάσαντα, καὶ πρὸς τὴν δέησιν αὐτῶν ὑπαχθέντα, παύσασθαι τῆς ὀργῆς. ὁ δὲ Θεὸς μεταβαλλόμενος εἰς τὸ ἡμερώτερον, ἔμελλεν αὐτοῖς βοηθεῖν.

Z ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ δὲ ὀργισθεὶς αὐτοῖς ὁ Θεὸς, ἐπέστησεν αὐτοῖς τὸν τῶν Ἀμμανιτῶν βασιλέα, ἐβόησαν μὲν πρὸς τὸν σωτῆρα Θεὸν, καὶ σφῶν αὐτῶν κατηγόρησαν, ὅτι τὸν εὐεργέτην καταλιπόντες καὶ ἀληθινὸν Θεόν τε καὶ Κύριον, τοῖς ψευδωνύμοις ἐλάτρευσαν· εἶτα διελέγξας (3) αὐτῶν ὁ φιλάνθρωπος Κύριος τὴν ἀχάριστον γνώμην· πολλῆς γὰρ πολλάκις ἀπολαύσαντες κηδεμονίας, τὴν τῶν εἰδώλων προετίμησαν θεραπείαν· καὶ ἀπειλήσας, ὡς οὐδεμιᾶς αὐτοὺς ἀξιώσει κηδεμονίας· οὐ » προσθήσω γάρ φησι τοῦ σῶσαι ὑμᾶς, βαδί- » ζετε, καὶ βοᾶτε πρὸς τοὺς Θεοὺς, οὓς ἐξε- » λέξασθε ἑαυτοῖς, σωσάτωσαν ὑμᾶς ἐν και- » ρῷ θλίψεως ὑμῶν· ἐπειδὴ (4) καὶ τὰς οἰκείας ὡμολόγησαν παρανομίας, καὶ μετέστησαν τοὺς Θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου αὐτῶν, καὶ ἐλάτρευσαν τῷ Κυρίῳ, τῆς παρ' αὐτοῦ βοηθείας ἀπήλαυσαν.

ια. Καὶ εἶπε Κύριος πρὸς τοὺς υἱοὺς
Ἰσραὴλ, μὴ οὐχὶ ἐξ Αἰγύπτου, καὶ
ἀπὸ τοῦ Ἀμοῤῥαίου, καὶ ἀπὸ τῶν υἱῶν
ιβ. Ἀμμὼν, καὶ ἀπὸ Φιλιστιεὶμ, Καὶ Σι-
δωνίων, καὶ Ἀμαλὴκ, καὶ Μαδιὰμ, οἳ
ἔθλιψαν ὑμᾶς; καὶ ἐβοήσατε πρός-
με, καὶ ἔσωσα ὑμᾶς ἐκ χειρὸς αὐτῶν;

ιγ. Καὶ ὑμεῖς ἐγκατελίπετέ με, καὶ ἐδουλεύσατε Θεοῖς ἑτέροις. διὰ τοῦτο οὐ προσθήσω τοῦ σῶσαι ὑμᾶς.

ΑΔΗΛΟΥ. Ὑμεῖς ἐγκατελίπετέ με· Ἐπειδὴ οὐκ ἐκ τελείας διαθέσεως τὴν ἐπιστροφὴν ἐποιοῦντο.

ιδ. Πορεύεσθε, καὶ ποιήσατε πρὸς
τοὺς Θεοὺς οὓς ἐξελέξασθε ἑαυτοῖς, καὶ
αὐτοὶ σωσάτωσαν ὑμᾶς ἐν καιρῷ
ιε. θλίψεως ὑμῶν. Καὶ εἶπαν οἱ υἱοὶ Ἰσ-
ραὴλ πρὸς Κύριον, ἡμάρτομεν, ποίη-
σον σὺ ἡμῖν κατὰ πάντα τὸ ἀγαθὸν
ἐν ὀφθαλμοῖς σου, πλὴν ἐξελοῦ δὴ
ἡμᾶς ἐν τῇ ἡμέρᾳ ταύτῃ.

ις. Καὶ ἐξέκλιναν τοὺς Θεοὺς τοὺς ἀλλοτρίους ἐκ μέσου αὐτῶν, καὶ ἐδούλευσαν τῷ Κυρίῳ μόνῳ· καὶ ὠλιγώθη ἡ ψυχὴ αὐτοῦ ἐν κόπῳ Ἰσραήλ.

ΑΔΗΛΟΥ. Καὶ ὠλιγώθη ἡ ψυχὴ αὐτοῦ » ἐν κόπῳ Ἰσραήλ. ἵνα εἴπῃ, οὐκ ἀληθῆ τὴν ἐπὶ τοῖς ἐπταισμένοις μετάνοιαν ἐπιδειξάμενοι, καὶ τῆς παρὰ Θεοῦ βοηθείας διὰ τοῦτο στερηθέντες, ἐν ἐσχάτῃ ἀπογνώσει κατέστησαν.

ιζ. Καὶ ἀνέβησαν οἱ υἱοὶ Ἀμμὼν,
καὶ παρενέβαλον ἐν Γαλαάδ. καὶ
συνήχθησαν οἱ υἱοὶ Ἰσραὴλ, καὶ πα-
ιη. ρενέβαλον ἐν τῇ σκοπιᾷ. Καὶ εἶπεν
ὁ λαὸς οἱ ἄρχοντες Γαλαὰδ, ἀνὴρ
πρὸς τὸν πλησίον αὐτοῦ, τίς ὁ ἀνὴρ
ὅστις ἂν ἄρξηται παρατάξασθαι πρὸς
τοὺς υἱοὺς Ἀμμὼν, καὶ ἔσται εἰς ἄρχοντα
πᾶσι τοῖς κατοικοῦσι Γαλαάδ;

** ΙΩΣΗΠΟΥ. Ἀμμανιτῶν ἐστρατευκότων ἐπὶ τὴν Γαλαδηνὴν, ὑπήντων οἱ ἐπιχώριοι πρὸς τὸ ὄρος, δεόμενοι τοῦ στρατηγήσοντος.

ΚΕΦ.


(1) Ἔθλασαν. αἱ αὐτ.

(2) Ἐθλίβησαν οἱ υἱοὶ Ἰσραήλ. αὐτ.

(3) Τὸ, διελέγξας, ὁμοίως καὶ κατωτέρω τὸ, ἀπειλήσας, οὐκ ἔχουσι τὴν κατὰ κανόνας συντακτικὴν αὐτῶν ἀνταπόδοσιν· εἰ μή τις βεβιασμένως τὸ, φησὶν, ἀντὶ ῥήματος ἀνταποδοτικοῦ ἐκλάβῃ· ὅθεν εὐοδῶτο ἂν μᾶλλον ἡ σύνταξις, εἰ, διήλεγξε καὶ ἠπείλησεν, ἀναγινώσκοιμεν.

(4) Ἐπειδὴ τοίνυν. ἡ ἐν Χάλ. ἔκδ.

ΚΕΦ. ΙΑ.



α. Καὶ Ἰεφθάε ὁ Γαλααδίτης
ἐπηρμένος δυνάμει, ϗ αὐ-
τὸς υἱὸς γυναικὸς πόρνης,
ἣ ἐγέννησε τῷ Γαλαὰδ τὸν Ἰεφθάε.

β. Καὶ ἔτεκεν ἡ γυνὴ Γαλαὰδ
αὐτῷ υἱούς. ϗ ἡνδρύνθησαν οἱ υἱοὶ τῆς
γυναικὸς, καὶ ἐξέβαλον τὸν Ἰεφθάε,
καὶ εἶπαν αὐτῷ, οὐ κληρονομήσεις ἐν
τῷ οἴκῳ τοῦ πατρὸς ἡμῶν, ὅτι υἱὸς γυ-
ναικὸς ἑταίρας σύ.

» ΑΝΕΠΙΓΡΑΦΟΥ. Καὶ ἐξέβαλον τὸν Ἰεφθάε. Καὶ οὗτος εἰκόνα φέρει τοῦ Χριστοῦ τοῦ ἐκβαλλομένου τοῦ πατρικοῦ οἴκου, καὶ μισουμένου ὑπ᾽ αὐτῶν, καὶ ὀνειδιζομένου, καὶ τὴν ἰδίαν θυγατέρα κατασφάζοντος. δέδωκε γὰρ τὴν ἑαυτοῦ ἁγίαν σάρκα εἰς σφαγὴν, τοῦτο ἐπαγγειλάμενος τῷ πατρὶ, καθὸ
Φιλιπ. 2. 8. γέγονεν ὑπήκοος μέχρι θανάτου.

γ. Καὶ ἔφυγεν Ἰεφθάε ἀπὸ προ-
σώπου τῶν ἀδελφῶν αὐτοῦ, καὶ κα-
τῴκησεν ἐν γῇ Τώβ. καὶ συνεστρά-
φησαν πρὸς Ἰεφθάε ἄνδρες κενοὶ, ϗ
δ. ἐξῆλθον μετ᾽ αὐτοῦ. Καὶ ἐγένετο ἡνί-
κα παρετάξαντο οἱ υἱοὶ Ἀμμὼν μετὰ
ε. Ἰσραὴλ, Καὶ ἐπορεύθησαν οἱ πρεσ-
βύτεροι Γαλαὰδ λαβεῖν τὸν Ἰεφθάε
ς. ἀπὸ τῆς γῆς Τὼβ, Καὶ εἶπον τῷ
Ἰεφθάε, δεῦρο καὶ ἔσῃ ἡμῶν (1) ἀρ-
χηγὸς, ϗ παραταξόμεθα πρὸς τοὺς
υἱοὺς Ἀμμών.

⁂ ΙΩΣΗΠΟΥ. Ἦν τὶς Ἰεφθὴς, ἀνὴρ διὰ τὴν πατρῴαν ἀρετὴν δυνατὸς, καὶ δι᾽ οἰκείαν αὐτοῦ στρατιὰν ἣν ἔτρεφεν αὐτὸς μισθοφορῶν. πρὸς τοῦτον οὖν πέμψαντες, ἠξίουν αὐτὸν συμμαχεῖν, ἐπαγγελλόμενοι παρασχεῖν εἰς ἅπαντ᾽ αὐτῷ τὸν χρόνον τὴν ἰδίαν ἡγεμονίαν.

ζ. Καὶ εἶπεν Ἰεφθάε τοῖς πρεσ-
βυτέροις Γαλαὰδ, οὐχὶ ὑμεῖς μεμι-
σήκατέ με, καὶ ἐξεβάλετέ με ἐκ τοῦ
οἴκου τοῦ πατρός μου, καὶ ἐξαπεστείλα-
τέ με ἀφ᾽ ὑμῶν; καὶ διατὶ ἤλθετε
πρός με νῦν ἡνίκα χρῄζετε;

» ΑΔΗΛΟΥ. Τοῖς πρεσβυτέροις Γαλαάδ· ὡσανεὶ καὶ τούτων τῇ τῶν ἀδελφῶν αὐτοῦ ἐπαναστάσει συνευδοκησάντων.

⁂ ΙΩΣΗΠΟΥ. Οὐ προσίεται τὴν παράκλησιν αὐτῶν, ἐγκαλῶν ὅτι μὴ βοηθήσειαν αὐτῷ ὑπὸ τῶν ἀδελφῶν ἀδικουμένῳ περιφανῶς. οὐ γὰρ ὄντα ὁμομήτριον αὐτοῖς, ἀλλὰ ξένον περὶ τὴν μητέρα, δι᾽ ἐρωτικὴν ἐπιθυμίαν ἐπαχθεῖσαν αὐτοῖς ὑπὸ τοῦ πατρὸς, ἐξέβαλον, καταφρονήσαντες τῆς αὐτοῦ ἀσθενείας. καὶ ὁ μὲν διέτριβεν ἐν τῇ Γαλααδίτιδι καλουμένῃ χώρᾳ, πάντας τοὺς ὁπόθεν οὖν παραγινομένους πρὸς αὐτὸν ἐπὶ μισθῷ δεχόμενος. ἐκλιπαρησάντων δὲ αὐτῶν, καὶ ὁμοσάντων εἰς ἀεὶ παρέξειν αὐτῷ τὴν ἡγεμονίαν, ἐστράτευσε.

η. Καὶ εἶπαν οἱ πρεσβύτεροι Γα-
λαὰδ πρὸς Ἰεφθάε, διὰ τοῦτο νῦν
Β ἐπεστρέψαμεν πρὸς σὲ, καὶ πορεύσῃ
μεθ᾽ ἡμῶν, καὶ παρατάξῃ πρὸς τοὺς
υἱοὺς Ἀμμὼν, ϗ ἔσῃ ἡμῖν εἰς ἄρχοντα
θ. πᾶσι τοῖς κατοικοῦσι Γαλαάδ. Καὶ
εἶπεν Ἰεφθάε πρὸς τοὺς πρεσβυτέρους
Γαλαὰδ, εἰ ἐπιστρέφετέ με ὑμεῖς πα-
ρατάξασθαι ἐν υἱοῖς Ἀμμὼν, καὶ πα-
ρέδωκε (2) Κύριος αὐτοὺς ἐνώπιόν μου,
Γ καίγε ἐγὼ ἔσομαι ὑμῖν εἰς ἄρχοντα.
ι. Καὶ εἶπαν οἱ πρεσβύτεροι Γαλαὰδ
πρὸς Ἰεφθάε, Κύριος ἔσω ἀκούων ἀνα-
μέσον ἡμῶν, εἰ μὴ κατὰ τὸ ῥῆμά σου
ια. οὕτω ποιήσομεν. Καὶ ἐπορεύθη Ἰεφ-
θάε μετὰ τῶν πρεσβυτέρων Γαλαὰδ,
ϗ ἔθηκαν αὐτὸν ὁ λαὸς εἰς κεφαλὴν
ἐπ᾽ αὐτοὺς καὶ εἰς ἀρχηγόν. ϗ ἐλάλη-
σεν Ἰεφθάε τοὺς λόγους αὐτοῦ πάντας
Δ ἐνώπιον Κυρίου ἐν Μασσηφά.

ιβ. Καὶ ἀπέστειλεν Ἰεφθάε ἀγγέ-
λους πρὸς βασιλέα υἱῶν Ἀμμὼν, λέ-
γων, τὶ ἐμοὶ καὶ σοὶ, ὅτι ἦλθες πρὸς
ἐμὲ τοῦ παρατάξασθαι ἐν τῇ γῇ μου;
ιγ. Καὶ εἶπε βασιλεὺς υἱῶν Ἀμμὼν πρὸς
τοὺς ἀγγέλους Ἰεφθάε, διότι ἔλαβεν
Ἰσραὴλ τὴν γῆν μου ἐν τῷ ἀναβαίνειν
Ε αὐτὸν ἐξ Αἰγύπτου ἀπὸ Ἀρνῶν ἕως
Ἰαβὼκ καὶ ἕως τοῦ Ἰορδάνου· καὶ νῦν
ἀπόστρεψον αὐτὰς ἐν εἰρήνῃ καὶ πο-
ρεύσομαι.

⁂ ΙΩΣΗΠΟΥ. Ποιησάμενος ὀξεῖαν τὴν τῶν πραγμάτων πρόνοιαν, ἐν πόλει Μασφαθῇ καθίσας τὸν στρατὸν, πρεσβείαν πέμπει παρὰ τὸν Ἀμμανίτην, αἰτιώμενος τῆς ἁλώσεως. ὁ δὲ ἀντιπέμψας ᾐτιᾶτο τῶν Ἰσραηλιτῶν τὴν ἔξοδον τὴν ἀπ᾽ Αἰγύπτου,
Ζ καὶ τῆς Ἀμωῤῥαίας αὐτοὺς ἠξίου παραχωρεῖν, ὡς πατρῴας οὔσης ἀρχῆθεν.

ιδ. Καὶ προσέθηκεν ἔτι Ἰεφθάε,
καὶ ἀπέστειλεν ἀγγέλους πρὸς βασι-
ιε. λέα υἱῶν Ἀμμών. Καὶ εἶπαν αὐτῷ,
οὕτω λέγει Ἰεφθάε, οὐκ ἔλαβεν Ἰσ-
ραὴλ τὴν γῆν Μωὰβ, καὶ τὴν γῆν
ις. υἱῶν Ἀμμὼν, (4) Ἐν τῷ ἀναβαίνειν
Η αὐτοὺς ἐξ Αἰγύπτου, ἀλλὰ ἐπορεύθη
Ἰσραὴλ ἐν τῇ ἐρήμῳ ἕως θαλάσσης
Σὲφ, καὶ ἦλθεν ἕως Κάδης.

ΙΩΣΗ-

(1) Ἡμῖν εἰς ἀρχηγόν. αἱ εἰρημ. ἐκδόσ.

(2) Παραδῷ. αἱ αὐτ.

(3) Ὅτι ἐν. αἱ αὐτ.

Τόμ. β. N

** ΙΩΣΗΠΟΥ. Ἀποκρινόμενος ὁ Ἰεφθῆς, ὡς οὔτε τῆς Ἀμοῤῥαίας τοῖς προγόνοις αὐτῶν εὐλόγως ἐγκαλοῦσι, χάριν τε μᾶλλον τῆς Ἀμμανίτιδος αὐτοῖς ἔχειν ὀφείλουσι παρεθείσης· δυνατὸν γὰρ Μωϋσεῖ καὶ ταύτην λαβεῖν· παραχωρεῖν τε ἰδίας εἰπὼν γῆς, ἣν Θεοῦ κατακτησαμένου ὑπὲρ τριακόσια ἔτη νέμονται, μάχεσθαι πρὸς αὐτοὺς ἔφησε.

ιζ. Καὶ ἀπέστειλεν Ἰσραὴλ ἀγγέ-
λους πρὸς βασιλέα Ἐδὼμ, λέγων,
παρελεύσομαι δὴ ἐν τῇ γῇ σου· καὶ
οὐκ εἰσήκουσε βασιλεὺς Ἐδώμ. καί γε
πρὸς βασιλέα Μωὰβ ἀπέστειλε, καὶ
οὐκ εὐδόκησε. καὶ ἐκάθισεν Ἰσραὴλ
ιη. ἐν Κάδης, Καὶ ἐπορεύθη ἐν τῇ ἐρή-
μῳ, καὶ ἐκύκλωσε τὴν γῆν Ἐδὼμ
καὶ τὴν γῆν Μωάβ. καὶ ἦλθεν ἀπὸ
ἀνατολῶν ἡλίου τῆς γῆς Μωὰβ, καὶ
παρενέβαλον ἐκ πέραν Ἀρνῶν, καὶ
οὐκ εἰσῆλθον ἐν ὁρίοις Μωὰβ, ὅτι Ἀρ-
ιθ. νῶν ὅριον Μωάβ. Καὶ ἀπέστειλεν Ἰσ-
ραὴλ ἀγγέλους πρὸς Σηὼν βασιλέα
τῶν Ἀμοῤῥαίων βασιλέα Ἐσεβὼν,
καὶ εἶπεν αὐτῷ Ἰσραὴλ, παρέλθωμεν
δὴ ἐν τῇ γῇ σου ἕως τοῦ τόπου ἡμῶν.
κ. Καὶ οὐκ ἐνεπίστευσε Σηὼν τῷ Ἰσραὴλ
παρελθεῖν ἐν ὁρίῳ αὐτοῦ. καὶ συνῆξε
Σηὼν τὸν πάντα λαὸν αὐτοῦ, καὶ πα-
ρενέβαλον εἰς Ἰασσὰ, καὶ παρετάξα-
κα. το πρὸς Ἰσραήλ. Καὶ παρέδωκεν αὐ-
τὸν Κύριος ὁ Θεὸς Ἰσραὴλ τὸν Σηὼν
καὶ πάντα τὸν λαὸν αὐτοῦ ἐν χειρὶ Ἰσ-
ραὴλ, καὶ ἐπάταξεν αὐτόν· καὶ ἐκ-
ληρονόμησε πᾶν τὸ ὅριον τοῦ Ἀμοῤ-
κβ. ῥαίου Ἀπὸ Ἀρνῶν καὶ ἕως τοῦ Ἰαβὼκ,
καὶ ἀπὸ τῆς ἐρήμου ἕως τοῦ Ἰορδάνου.
κγ. Καὶ νῦν Κύριος ὁ Θεὸς Ἰσραὴλ ἐξῆρε
τὸν Ἀμοῤῥαῖον ἀπὸ προσώπου λαοῦ
αὐτοῦ Ἰσραὴλ, καὶ σὺ κληρονομήσεις
κδ. αὐτόν; Οὐχὶ ἃ ἐὰν κληρονομήσῃ σοὶ
Χαμὼς ὁ Θεός σου, αὐτὰ κληρονομή-
σεις· καὶ τοὺς πάντας οὓς ἐξῆρε Κύριος
ὁ Θεὸς ἡμῶν ἀπὸ προσώπου ἡμῶν, αὐ-
κε. τοὺς κληρονομήσομεν; Καὶ νῦν μὴ ἐν
ἀγαθῷ ἀγαθώτερος σὺ ὑπὲρ Βα-
λὰκ υἱὸν Σεπφὼρ βασιλέα Μωάβ;
μὴ μαχόμενος ἐμαχέσατο μετὰ Ἰσ-
ραὴλ, ἢ πολεμῶν ἐπολέμησεν αὐτὸν,
κϛ. Ἐν τῷ οἰκῆσαι τὸν Ἰσραὴλ ἐν Ἐσε-
βὼν καὶ ἐν τοῖς ὁρίοις αὐτῆς, καὶ ἐν
Ἀροὴρ καὶ ἐν τοῖς ὁρίοις αὐτῆς, καὶ ἐν
πάσαις ταῖς πόλεσι ταῖς παρὰ τὸν
Ἰορδάνην, τριακόσια ἔτη; καὶ διατὶ
οὐκ ἐῤῥύσω αὐτοὺς ἐν τῷ καιρῷ ἐκείνῳ;
κζ. Καὶ νῦν ἐγώ εἰμι οὐχ ἥμαρτόν σοι, καὶ
σὺ ποιεῖς μετ᾽ ἐμοῦ πονηρίαν τοῦ πα-
A ρατάξασθαι ἐν ἐμοί. κρίναι Κύριος ὁ
κρίνων σήμερον ἀναμέσον υἱῶν Ἰσραὴλ
κη. καὶ ἀναμέσον υἱῶν Ἀμμών. Καὶ οὐκ
εἰσήκουσε βασιλεὺς υἱῶν Ἀμμὼν τῶν
λόγων Ἰεφθάε, ὧν ἀπέστειλε πρὸς
αὐτόν.

κθ. Καὶ ἐγένετο πνεῦμα Κυρίου
ἐπὶ Ἰεφθάε, καὶ παρῆλθε τὴν Γα-
λαὰδ καὶ τὴν Μανασσῆ, καὶ παρῆλ-
B θε τὴν σκοπιὰν Γαλαὰδ, καὶ ἀπὸ
σκοπιᾶς Γαλαὰδ εἰς τὸ πέραν υἱῶν
Ἀμμών.

ΩΡΙΓΕΝΟΥΣ. Εἰ πνεῦμα Κυρίου ἐπ᾽ αὐτὸν, πῶς εὔχεται ἃ μὴ προσήκει; ἐνῆν γὰρ καὶ κύνα ἀπαντῆσαι ἐπανιόντι τῷ Ἰεφθάε. ἆρ᾽ οὖν ἐσφάλη τὸ πνεῦμα; οὐδαμῶς. ἀλλὰ τὸ μὲν πνεῦμα βοηθεῖν παραγέγονεν, οὐχ ὑποβάλλειν τὴν ἄτοπον εὐ-
Γ χήν· αὐτὸς δὲ σφάλλεται ἀπερισκέπτως ὑποσχόμενος.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τὸ, ἐγένετο ἐπὶ
» Ἰεφθάε πνεῦμα Κυρίου, νοήσεις, ὡς ἄρτι παρελθὼν εἰς τὴν ἀρχὴν καὶ πρὸ τούτου κρατοῦσι τοῖς πολεμίοις ἐπαναστάμενος, ἐδεῖτο τοῦ παραθαῤῥύνοντος πνεύματος, ἀλλ᾽ οὐ διὰ τὴν εὔκολον εὐχὴν ἐπεγένετο· οὔτε μὴν τὴν γένεσιν ἔχον ἐπαινετὴν, οὔτε τὸν πρὸ τῆς νίκης βίον· ἀλλ᾽ οὔτε Θεὸς αὐτὸν λέγε-
Δ ται πρὸς τοῦτο κεκληκέναι. κινηθέντι δὲ ἅπαξ πρὸς δικαίαν νίκην συνήρχετο.

λ. Καὶ ηὔξατο Ἰεφθάε εὐχὴν τῷ
Κυρίῳ, καὶ εἶπεν, ἐὰν διδοὺς δῷς μοι
λα. τοὺς υἱοὺς Ἀμμὼν ἐν τῇ χειρί μου, Καὶ
ἔσται ὁ ἐκπορευόμενος ὃς ἐὰν ἐξέλθῃ
ἀπὸ τῆς θύρας τοῦ οἴκου μου εἰς συνάν-
τησίν μου ἐν τῷ ἐπιστρέφειν με ἐν εἰρήνῃ
E ἀπὸ τῶν υἱῶν Ἀμμὼν, καὶ ἔσται τῷ Κυ-
ρίῳ, ἀνοίσω αὐτὸν ὁλοκαύτωμα.

** ΙΟΥΣΤΙΝΟΥ. Ἠτήσατο ὁ Ἰεφθάε νίκην κατὰ τῶν ἐχθρῶν· ὑπὲρ δὲ ταύτης τῆς νίκης εὐχαριστικὴν εὐχὴν ἀορίστως ηὔξατο, τὸ προσαγαγεῖν εἰς θυσίαν τὸ ἐκ τοῦ οἴκου αὐτοῦ ἐξερχόμενον εἰς ἀπάντησιν αὐτῷ, ἐκ τοῦ πολέμου τροπαιούχῳ ἐπανερχομένῳ. δεξάμενος δὲ ὁ Διάβολος τὸ ἀόριστον τῆς εὐχῆς, ἐμηχανᾶτο ἐξ αὐτοῦ θεῖ-
Z ναι τῷ Ἰεφθάε παγίδα παραβάσεως. καὶ κινεῖ τὴν θυγατέρα αὐτοῦ, μονογενῆ οὖσαν, μετὰ κιθάρας ἐξελθεῖν ἐκ τοῦ οἴκου εἰς συνάντησιν αὐτῷ· ἵνα φεισάμενος τοῦ Ἰεφθάε τῆς θυγατρὸς, ἀναγκασθῇ ποιήσασθαι τῆς εὐχῆς τὴν ἀθέτησιν. ἀλλ᾽ ὅμως παγίδα θεὶς ὁ Διάβολος, τοῦ θηράματος οὐκ ἔτυχε, προτιμοτέραν ἡγησαμένου τοῦ Ἰεφθάε τῆς ζωῆς τῆς θυγατρὸς τὴν ἀπόδοσιν τῆς εὐχῆς. συνεχώρησε δὲ ὁ Θεὸς προσενεχ-
H θῆναι αὐτὴν εἰς θυσίαν, οὐχ ὡς ἀνθρωπίνου αἵματος ἐκχύσει τερπόμενος, ἀλλὰ πρὸς διδασκαλίαν τῶν ἑξῆς ἀνθρώπων, τοῦ μηδέποτε ἀορίστως εὔξασθαι τῷ Θεῷ. πολλὰ γάρ ἐστιν ἄτοπα κατὰ τὴν οὕτως ἀόριστον εὐχὴν

εὐχὴν εὐλαβησόμενα· ὧν τοῦ μὴ γενέσθαι ὁ Θεὸς προνοησάμενος, συνεχώρησε θυσίαν γενέσθαι τοῦ Ἰεφθάε τὴν θυγατέρα. ὅπερ οὐκ ἦν τῆς προαιρέσεως προηγουμένως, οὔτε τοῦ Θεοῦ, οὔτε τοῦ Ἰεφθάε, ἀλλὰ συμβεβηκός πως τῷ ἀορίστῳ τῆς εὐχῆς. ἐπειδὴ οὖν ὁ Ἰεφθάε τὴν εἰς Θεὸν εὐσέβειαν φυλάττων διὰ τῆς θυσίας τῆς θυγατρὸς ἀνεδείχθη, διὰ τοῦτο αὐτοῦ γέγονεν ἡ μνήμη ἐν τῷ καταλόγῳ τῶν δικαίων. A

** ΝΕΙΛΟΥ. Ὑπὲρ τῆς ἐν πολέμῳ ἀριστείας, εἰ περιγένοιτο τῶν ἐχθρῶν ἐπικυδεστέρων ὄντων πλήθει καὶ ἐμπειρίᾳ πολεμικῇ, ὁλοκαυτώσειν ὑποσχόμενος ὅπερ ἂν τύχῃ τῶν ἄλλων πρότερον ἀπαντῆσαν οἰκεῖον· θυγατρὸς κατὰ τὸ συμβὰν ἀπαντησάσης μονογενοῦς καὶ στεργομένης ἐκτόπως, οὐκ ἐψεύσατο τὴν ἐπαγγελίαν, φύσεως προτιμήσας εὐσέβειαν, σπλάγχνα προδοὺς ὑπὲρ τοῦ μὴ τὴν εἰς Θεὸν ἀθετῆσαι ὁμολογίαν, κἂν ᾖ ἐπὶ τῇ ἀναιρέσει τοῦ τέκνου τὸ πάθος ἀφόρητον. B Γ

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ηὔξατο Ἰεφ-
» θάε εὐχὴν τῷ Κυρίῳ. Ἐπαγγελίας τοῦτο θερμότης, καὶ νίκης ἔρως ἀπεγνωσμένης, ἐμβαλόντος αὐτῷ τοῦ Σατανᾶ προφάσει κηδεμονίας προσενεγκεῖν θυσίαν παράνομον, ὡς καὶ τοῖς περὶ τὸν Ἀδὰμ προφάσει διανοίξεως ὀφθαλμῶν τῆς ἐντολῆς τὴν παράβασιν. τί γὰρ ἂν γένοιτο τῆς τοιαύτης εὐχῆς ἀσεβέστερον; ἐνῆν γὰρ ἀπαντῆσαι καὶ κύνα, καὶ ἵππον, καὶ ὄνον, καὶ κάμηλον, καὶ ὅσα εἰκὸς κεκλῆσθαι τὸν πλήθους κρατοῦντα τοσούτου. ἀλλὰ καὶ κακῶς εὐξάμενος, πιστῶς τὸ συντυχικὸν οὐκ ἐδέξατο, οὐδὲ τοῦ Ἀβραὰμ ἐζήλωσε τὴν εὐσέβειαν. ἢ γὰρ ἂν καὶ τὴν κόρην εἶχεν, ὡς ἐκεῖνος τὸν υἱὸν, καὶ τὸν τῆς εὐσεβείας μισθόν. νῦν δὲ καὶ τὸ τῆς εὐχῆς ἀπερίσκεπτον, καὶ τὸ τῆς εὐσεβείας νεκρόν. ὁ μὲν γὰρ τὴν τοῦ παιδὸς θυσίαν οὐδ' εἰς νοῦν ἐνεβάλετο, ἀνάξιον τοῦτο νομίσας Θεοῦ, προσαχθεὶς δὲ οὐκ ἐμέλλησεν· ὁ δὲ καθύβρισε καὶ τῇ εὐχῇ τὸν Θεὸν, καὶ τῇ τοῦ πένθους ἀπιστίᾳ. Δ E

λβ. Καὶ παρῆλθεν Ἰεφθάε πρὸς υἱοὺς Ἀμμὼν παρατάξασθαι πρὸς αὐτούς· καὶ παρέδωκεν αὐτοὺς Κύριος ἐν
λγ. χειρὶ αὐτοῦ. Καὶ ἐπάταξεν αὐτοὺς ἀπὸ Ἀροὴρ ἕως τοῦ ἐλθεῖν ἄχρις Ἀρνῶν ἐν ἀριθμῷ εἴκοσι πόλεις, καὶ ἕως Ἄβελ ἀμπελώνων πληγὴν μεγάλην σφόδρα. καὶ συνεστάλησαν οἱ υἱοὶ Ἀμμὼν ἀπὸ προσώπου υἱῶν Ἰσραήλ. Z

** ΙΩΣΗΠΟΥ. Εὐξάμενος νίκην, καὶ θυσιάσειν ὑποσχόμενος ἂν σῶος εἰς τὰ οἰκεῖα ὑποστρέψῃ, καὶ πᾶν ὅ,τι καὶ πρῶτον αὐτῷ συντύχοι ἱερουργήσειν, συμβαλών τε νικᾷ παρὰ πολὺ, καὶ φονεύων ἐδίωκε μέχρι πόλεως Μανιάθης· καὶ διαβὰς εἰς τὴν Ἀμ- H μανῖτιν, πόλεις τε ἠφάνισε πολλὰς, καὶ λείας ἤλασε, καὶ τοὺς οἰκείους δουλείας ἀπήλλαξεν, ἐν ἔτεσιν ὀκτωκαίδεκα ταύτην ὑπομείναντας.

λδ. Καὶ ἦλθεν Ἰεφθάε εἰς Μασσηφὰ εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἰδοὺ ἡ θυγάτηρ αὐτοῦ (1) ἐν τυμπάνοις καὶ ἐν χοροῖς· καὶ αὐτὴ μονογενὴς αὐτῷ· καὶ οὐκ ἦν αὐτῷ ἕτερος υἱὸς ἢ θυγάτηρ.

** ΙΩΣΗΠΟΥ. Ἀναστρέφων συμφορᾷ περιπίπτει, κατ' οὐδὲν ὁμοίᾳ τοῖς κατωρθωμένοις αὐτῷ. ὑπήντησε γὰρ ἡ θυγάτηρ αὐτῷ· μονογενὴς δ' ἦν ἔτι παρθένος.

λε. Καὶ ἐγένετο ὡς εἶδεν αὐτὴν αὐτὸς, διέρρηξε τὰ ἱμάτια αὐτοῦ, καὶ εἶπεν, οἴμοι θύγατέρ μου, ταραχῇ ἐτάραξάς με, καὶ σὺ ἦς ἐν τῷ ταράχῳ μου, καὶ ἐγώ εἰμι ἤνοιξα κατὰ σοῦ τὸ στόμα μου πρὸς Κύριον, καὶ οὐ δυνήσομαι ἀποστρέψαι.

Ταραχῇ ἐτάραξάς με. Ἐμπεποδοστάτηκάς με, εἰς σκῶλον ἐγένου ἐν ὀφθαλμοῖς μου.

» ΑΔΗΛΟΥ. Ταραχῇ ἐτάραξάς με, οὕτω κεῖται ἐν ἄλλῃ ἐκδόσει· ἐμπεποδοστάτηκάς με, ἀντὶ τοῦ, ἐμπόδιον καὶ διακοπὴ τῆς προσγινομένης μοι ἐν τῇ νίκῃ εὐφροσύνης γέγονας.

» ΑΔΗΛΟΥ. Καὶ σὺ ἦς ἐν τῷ ταράχῳ μου, τουτέστι ποθητὴ, καλὰ περίφρασιν καλέσας, ἀπό τινος συνηθείας ἢ ἰδιώματος τὴν ποθητὴν οὕτως ὀνομάζων. (2)

** ΙΩΣΗΠΟΥ. Ἀνοιμώξας ἐπὶ τῷ μεγέθει τοῦ πάθους, κατεμέμφετο τῆς περὶ τὴν ὑπάντησιν σπουδῆς τὴν θυγατέρα. καθιερῶσαι γὰρ αὐτὴν τῷ Θεῷ καθυπέσχετο.

ΑΔΗΛΟΥ. Θρηνεῖ κακῶς, ὑπὲρ ὧν ηὔξατο κακῶς. διὰ τούτων δείκνυται, ὅτι καὶ Ἰεφθάε οὐχ ὡς ἄξιος εὑρέθη, ἀλλ' ἵνα σωθῇ ὁ λαὸς, καὶ τύχῃ τῆς τοῦ Θεοῦ βοηθείας. ἔπειτα δὲ πάντα ἀλλότρια ἐπεδείξατο τῆς εὐσεβείας. διὸ δὴ καὶ συγχωρεῖ ὁ Θεὸς τὴν σφαγὴν γενέσθαι τῆς θυγατρὸς τοῦ Ἰεφθάε, δυνάμενος κωλῦσαι, ὥσπερ ἐποίησε καὶ ἐπὶ τοῦ Ἀβραάμ.

λϛ. Ἡ δὲ εἶπε πρὸς αὐτὸν, πάτερ, εἰ ἐν ἐμοὶ ἤνοιξας τὸ στόμα σου πρὸς Κύριον; ποίησόν μοι ὃν τρόπον ἐξῆλθεν ἐκ τοῦ στόματός σου, ἐν τῷ ποιῆσαί σοι Κύριον ἐκδίκησιν ἀπὸ τῶν ἐχθρῶν σου ἀπὸ τῶν υἱῶν Ἀμμών.

** ΙΩΣΗΠΟΥ. Τῇ δὲ τὸ συμβησόμενον οὐκ ἀηδῶς προσέπεσεν, ἐπὶ νίκῃ τοῦ πατρὸς καὶ ἐλευθερίᾳ τῶν πολιτῶν τεθνηξομένῃ.

(1) Ἐξεπορεύετο εἰς ὑπάντησιν ἐν. αἱ αὐτ.
(2) Ἐν ἄλλῃ ἐκδόσει τὸ, ποθητή. ἀπὸ δὲ τινος συνηθείας ἢ ἰδιώματος τὴν ποθητὴν οὕτως ὀνομάζει. ταῦτα ἐν ταῖς σημειώσ. τῆς ἐν Φρανεκ. ἐκδόσ. οὐκ ἐν τῷ, σὺ ἦς ἐν τῷ ταράχῳ μου, ἀλλ' ἀνωτέρω, ἐν τῷ, μονογενής.

A ** ΩΡΙΓΕΝΟΥΣ. Κατανοητέον τὸν λόγον τῆς ὁλοκαυτουμένης θυγατρὸς Ἰεφθάε, διὰ ταύτην εὐχὴν νικήσαντος τοὺς υἱοὺς Ἀμμὼν, ᾗ συνηυδόκησε καὶ ἡ ὁλοκαυτουμένη, λέγουσα πρὸς τὸν πατέρα εἰπόντα· ἀνέῳξα τὸ στόμα μου κατὰ σοῦ πρὸς Κύ-
» ριον· καὶ εἰ ἀνέῳξας τὸ στόμα σου κατ' ἐμοῦ
» πρὸς Κύριον, ποίει τὴν εὐχήν σου. ἔμφασις μὲν οὖν πολλῆς ὠμότητος διὰ τούτων παρεισφέρεται τοῦ ᾧ τοιαῦται ὑπὲρ σωτηρίας ἀνθρώπων ἐπιτελοῦνται θυσίαι· μεγαλο- B πρεπεστέρου καὶ νοῦ καὶ βλέποντος τῶν λεγομένων κατὰ τῆς προνοίας λύσιν χρήζομεν, ἵν' ἅμα περὶ πάντων, ὡς ἀπορρητοτέρων ὄντων, καὶ ὑπὲρ ἀνθρωπίνην φύσιν, ἀπολογώμεθα. μεγάλαι γὰρ αἱ κρίσεις τοῦ Θεοῦ καὶ δυσδιήγητοι, διὰ τοῦτο ἀπαίδευτοι ψυχαὶ ἐπλανήθησαν. μεμαρτύρηται δὲ καὶ παρὰ τοῖς ἔθνεσιν, ὅτι πολλοί τινες λοιμικῶν ἐνσκηψάντων νοσημάτων, ἑαυτοὺς σφάγια ὑπὲρ τοῦ κοινοῦ παραδεδώκασι. καὶ Γ παραδέχεται ταῦθ' οὕτω γεγονέναι οὐκ ἀλόγως πιστεύσας ταῖς ἱστορίαις ὁ πιστὸς Κλήμης (1) ὑπὸ Παύλου μαρτυρούμενος, λέγον-
Φιλιπ. 4. 3. τος· μετὰ Κλήμεντος καὶ τῶν λοιπῶν συ-
» νεργῶν μου, ὧν τὰ ὀνόματα ἐν βίβλῳ ζωῆς. τὴν ὁμοίαν δὲ ἔχει ἀπέμφασιν παρὰ τῷ θέλοντι τῶν τοὺς πολλοὺς λανθανόντων μυστηρίων κατηγορεῖν, καὶ τὰ περὶ τῶν μαρτύρων προστεταγμένα· εὐδοκοῦντος τοῦ Θεοῦ μᾶλλον ἡμᾶς ἀναδέξασθαι πάσας χαλεπω- Δ τάτας αἰκίας ἐν τῷ ὁμολογεῖν αὐτοῦ τὴν θειότητα, ἤπερ ἀπαλλαγῆναι τῶν τοσούτων νομιζομένων κακῶν, πρὸς βραχὺν χρόνον, λόγῳ συμπεριενεχθέντας τῷ θελήματι τῶν ἐχθρῶν τῆς ἀληθείας.

λζ. Καὶ ἤδε εἶπε πρὸς τὸν πατέρα αὐτῆς, ποιησάτω δὴ ὁ πατήρ μου τὸν λόγον τοῦτον· ἔασόν με δύο μῆνας, καὶ πορεύσομαι καὶ ἀναβήσομαι (2) E ἐπὶ τὰ ὄρη, καὶ κλαύσομαι ἐπὶ τὰ παρθένιά μου ἐγὼ καὶ αἱ συνεταιρί-
λη. δές μου. Καὶ εἶπε, πορεύου. καὶ ἀπέστειλεν αὐτὴν δύο μῆνας. καὶ ἐπορεύθη αὐτὴ καὶ αἱ συνεταιρίδες αὐτῆς, καὶ ἔκλαυσαν ἐπὶ τὰ παρθένια αὐτῆς καὶ (3) ἐπὶ τὰ ὄρη.

** ΙΩΣΗΠΟΥ. Παρεκάλεσε, δύο μῆνας αὐτῇ παρασχόντα πρὸς τὸ μετὰ τῶν Z πολιτῶν ἀποθρηνῆσαι τὴν νεότητα, τότε ποιεῖν τὰ κατὰ τὴν εὐχήν. συγχωρήσας δὲ κατὰ τὸν προειρημένον χρόνον, μετὰ τοῦτον διελθόντα θύσας τὴν παῖδα ὡλοκαύτωσεν, οὔτε νόμιμον, οὔτε τῷ Θεῷ κεχαρισμένην θυσίαν ἐπιτελῶν, μὴ διαβασανίσας τῷ λογισμῷ τὸ γενησόμενον, οἷον τὸ πραχθὲν δόξει τοῖς ἀκούσασι.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἡ θυγάτηρ ἀξία γίνεται τοῦ πατρός. οὐ γὰρ ἔστερξε H

A τὴν εὐχὴν, οὐ τὴν εὐσεβῆ προσφορὰν τῆς θνητῆς ζωῆς προετίμησε, πικρότερον παντὸς θρήνου τὴν παρθενίαν πενθήσασα, μᾶλλον δὲ τῷ Θεῷ θυσίαν προσάγεσθαι μέλλουσαν. ὅθεν οὐ κωλύει τὴν σφαγὴν ὁ Θεός. οὔτε γὰρ αὕτη κατὰ τὸν Ἰσαὰκ, οὔτε κατὰ τὸν Ἀβραὰμ ὁ πατήρ. γεγόνασι δὲ παράδειγμα οἱ μὲν, εἰς Θεὸν πίστεως· οἱ δὲ, μὴ δεῖν εὔχεσθαι προπετῶς, καὶ τοῦ δεῖν ἀσμένως ἐπιτελεῖν ἅπερ τις ηὔξατο. τοι- B γαροῦν οὔτε πρὸ αὐτοῦ, οὔτε μετ' αὐτὸν τοιαύτη παρὰ τῶν εὐσεβούντων θυσία γεγένηται. ᾔδεσαν γὰρ ἀκριβῶς, ὡς οὔτε ᾔτησεν ὁ Θεὸς, οὔτε τὴν ἐναγῆ θυσίαν ἐδέξατο. οὐ διὰ τὴν εὐχὴν οὖν ἡ νίκη, διὰ δὲ τὸ δεῖξαι τὸν Ἰσραὴλ ἀδικούμενον. ὃν καὶ κριτὴν τῆς δίκης ἐκάλεσεν. οὐ γὰρ δι' εὐχὴν ἄδικον ἐχρῆν ἀδίκως ἀπολέσθαι τὸν Ἰσραὴλ, καὶ νικῆσαι τοὺς ἀδικοῦντας. ἀλλ' ὁ μὲν, εὐχῆς ἀδίκου δίδωσι δίκην· ὁ δὲ τοῦ Θεοῦ λαὸς διε- Γ σώζετο. καὶ τιμωρίαν ὑπέσχον τῶν ἀδικημάτων οἱ δυσμενεῖς.

ΑΔΗΛΟΥ. Ἡ κατὰ τὸν Ἰεφθάε μονογενοῦς ἁγνῆς κόρης προσφορὰ κατ' ἐπαγγελίαν γενομένη, τύπον ἔχει τοῦ πάθους Χριστοῦ· πατρὸς ἁγίου ἀψευδῶς ἀγάπην προεπηγγελμένου, καὶ υἱοῦ ἑκουσίως πληροῦντος δι' εὐσπλαγχνίαν προεπαγγελθεῖσαν τοῦ πατρὸς βουλήν. διὸ καὶ ἡ κόρη συνέθετο. σημεῖον οὖσα τοῦ ἁγνοῦ καὶ ἀμιάντου Δ Χριστοῦ, ἐπιδόντος ἑαυτὸν τῇ βουλῇ τοῦ πατρὸς εἰς τὸν ὑπὲρ σωτηρίας ἀνθρώπων καὶ τῆς κατ' ἐχθρῶν νίκης θάνατον. ὃ καὶ εἰσάπαξ ἐγένετο, κεκωλυμένον ὑπὸ τοῦ Θεοῦ καθόλου, ἵνα τὸν ἅπαξ ὑπὲρ κόσμου πεπονθότα δείξῃ Χριστὸν υἱὸν τὸν μονογενῆ Θεόν. ἔχει δὲ καὶ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας τύπον, ἀληθινὴ, σεμνὴ, παρθένος, ἐξαιτουμένη καιρὸν κλαῦσαι ἐπὶ τὰ παρθένια αὐτῆς, τουτέστι διὰ μετανοίας θρηνῆσαι τὸν πρότε- E ρον τῆς ματαιότητος βίον, κακῶς ἀναλωθέντα. οἱ δὲ δύο μῆνες σύμβολόν εἰσι δύο καιρῶν· ἡνίκα τοῦ μὲν κακοῦ μεγαλομερῶς ἀπήλαυσεν, ἐστέρητο δὲ πάντη τοῦ καλοῦ. αἱ δὲ συνεταιρίδες εἰσὶν αἱ ὁμοίως αὐτῇ ἐπιστρέψουσαι ψυχαὶ ἐκ τῆς πλάνης καὶ τῆς ἐν ᾧ κατέχονται ἀληθινῆς σφαγῆς.

λθ. Καὶ ἐγένετο ἐν τέλει τῶν δύο μηνῶν, καὶ ἐπέστρεψε πρὸς τὸν πατέ- Z ρα αὐτῆς. καὶ ἐποίησεν ἐν αὐτῇ τὴν εὐχὴν αὐτοῦ ἣν ηὔξατο. καὶ αὐτὴ οὐκ ἔγνω ἄνδρα. καὶ ἐγένετο εἰς πρόσταγμα ἐν Ἰσραήλ·

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε συνεχώρησεν ὁ δεσπότης Θεὸς τοῦ Ἰεφθάε σφαγῆναι τὴν θυγατέρα; Ἀνόητος ἄγαν ἡ τοῦ Ἰεφθάε ὑπόσχεσις. ἔδει γὰρ αὐτὸν συνιδεῖν, ὡς εἰκὸς, κύνα πρῶτον ἢ ὄνον συναντῆσαι, τὰ κατὰ τὸν νόμον ἀκάθαρτα. παι- H δεύων τοίνυν δι' ἐκείνου τοὺς ἄλλους ὁ δεσπότης

(1) Τὸν Ῥώμης φησὶν, οὗ καὶ ἐν τῷ 2. βιβλ. περὶ Ἀρχ. (σελ. 82, 83, τοῦ 1. Τόμ. τῆς τοῦ Ῥου. ἐκδόσ.) ὡσαύτως καὶ ἐν τῷ 4. (σελ. 168. τοῦ 1. Τόμ. τῆς αὐτ. ἐκδόσ.) μέμνηται.

(2) Καταβήσομαι. αἱ εἰρημ. ἐκδόσ.

(3) Τὸ, καὶ, οὐ κεῖται. αὐτ.

της Θεὸς, ὥστε μετὰ συνέσεώς τε καὶ γνώ- A
σεως ποιεῖσθαι τὰς ὑποσχέσεις, οὐκ ἐκώλυσε τὴν σφαγήν. ὅτι γὰρ τῶν τοιούτων θυμάτων κατηγορεῖ, μάρτυς ὁ μακάριος Δα-
Ψαλ. 105. 37, βὶδ, βοῶν· καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν, καὶ
38. » τὰς θυγατέρας αὐτῶν τοῖς Δαιμονίοις· καὶ » ἐξέχεαν αἷμα ἀθῶον, αἷμα υἱῶν αὐτῶν καὶ » θυγατέρων, ὧν ἔθυσαν τοῖς γλυπτοῖς Χα- » ναάν. καὶ ἐφονοκτονήθη ἡ γῆ ἐν τοῖς αἵμασι, καὶ τὰ ἑξῆς. καὶ αὐτὸς δὲ ὁ δεσπότης
Ἰεζ. 16. 20, Θεὸς διὰ Ἰεζεκιὴλ τοῦ προφήτου φησί· καὶ B
22. » ἔλαβες τοὺς υἱούς σου, καὶ τὰς θυγατέρας σου, » ἃς ἐγέννησάς μοι, καὶ προσήνεγκας αὐτοὺς » τοῖς ἐρασταῖς σου· τοῦτο ὑπὲρ πᾶσαν τὴν πορνείαν σου. καὶ δεικνὺς τὴν τῆς ἀσεβείας » ὑπερβολὴν, προσέθηκεν· ὁ οὐκ ἐνεθυμή- » θην, οὐδὲ ἀνέβη εἰς τὴν καρδίαν μου. καὶ τοῦ Ἀβραὰμ δὲ γυμνάσαι τὸ φιλόθεον βουληθεὶς, προσέταξε μὲν τὸν υἱὸν ἱερεῦσαι· δείξας δὲ τοῦ δικαίου τὴν γνώμην, ἐκώλυσε τὴν σφαγήν. δηλοῖ δὲ καὶ τὰ ἑξῆς τοῦ Γ
Ἰεφθάε τὸ ἀτελές. ὑποσχόμενος γὰρ πᾶν πρῶτον ὑπαντῶν εἰς θυσίαν προσοίσειν, εἶτα τὴν παῖδα τοῦτο θεασάμενος δράσασαν, καὶ τὴν ἐσθῆτα διέῤῥηξε, καὶ πικρῶς ὠλοφύρατο, καὶ θρηνῆσαι αὐτῇ συνεχώρησε πρότερον, εἶθ' οὕτω κατέθυσεν. ἀμύ- » νων δὲ αὐτοῦ ἡ θυγάτηρ πολλῷ. εἰ ἐν ἐμοὶ » γάρ φησιν ἤνοιξας τὸ στόμα σου πρὸς Κύ- » ριον, ποίει μοι ὃν τρόπον ἐξῆλθεν ἐκ τοῦ » στόματός σου, ἀνθ' ὧν ἐποίησέ σοι Κύριος ἐκ- Δ
» δίκησιν ἐκ τῶν ἐχθρῶν σου, καὶ (1) ἐκ τῶν » υἱῶν Ἀμμών. διδάσκων τοίνυν ὁ δεσπότης Θεὸς, πῶς δεῖ ποιεῖσθαι τὰς πρὸς αὐτὸν ὑποσχέσεις, οὐκ ἐκώλυσε τὴν σφαγήν.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὕτω καὶ τῷ Ἀδὰμ διαλεγόμενος ὁ Διάβολος, ὑποκρίνεται τὸν κηδεμονικὸν καὶ προστατικὸν
Γεν. 3. 5. » λόγον· ὅτι ἀνοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί· οὕτω καὶ τὸν Ἰεφθάε ἀνέπεισε προσχήματι εὐσεβείας τὴν θυγατέρα θυσίαν ἐνεγκεῖν. (2) E

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ὑποσχόμενος τῷ Θεῷ τὸν πρῶτον ἀπαντήσοντα αὐτῷ μετὰ τὴν ἀπὸ τοῦ πολέμου νίκην καλασφάξειν, εἰς παιδοκτονίαν ἐνέπεσε. τὸ θυγάτριον γὰρ πρῶτον ἀπαντῆσαν αὐτῷ κατέθυσε, καὶ ὁ Θεὸς οὐκ ἐκώλυσε. καὶ οἶδα μὲν ὅτι πολλοὶ τῶν ἀπίστων ὠμότητα ἐγκαλοῦσιν ἡμῖν καὶ ἀπανθρωπίαν διὰ τὴν θυσίαν ταύτην. ἐγὼ δὲ πολλῆς κηδεμονίας καὶ φιλανθρωπίας Z

A δεῖγμα τὴν συγχώρησιν τὴν ἐπὶ τῇ θυσίᾳ ταύτῃ γινομένην εἴποιμι ἂν εἶναι, καὶ ὅτι τοῦ γένους ἡμῶν κηδόμενος, οὐκ ἐκώλυσεν ἐκείνην τὴν σφαγήν. εἰ γὰρ μετὰ τὴν εὐχὴν ἐκείνην καὶ τὴν ὑπόσχεσιν, τὴν θυσίαν ἐκώλυσε, πολλοὶ καὶ μετὰ τὴν Ἰεφθάε προσδοκῶντες μὴ δέχεσθαι τὸν Θεὸν, πολλὰς ἂν τοιαύτας ηὔξαντο εὐχὰς, καὶ ὁδῷ προβαίνοντες εἰς παιδοκτονίαν ἐξέβησαν ἄν· νυνὶ δὲ ἀφεὶς αὐτὴν πληρωθῆναι ἔρ-
B γῳ, τοὺς μετὰ ταῦτα πάντας ἐκώλυσε.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τινές φασιν, ὡς ἡ τοῦ Ἰεφθάε θυγάτηρ ὑπομένει τὸν δοθέντα καθ' αὐτῆς ὁρισμόν· καὶ προσαχθῆναι θυσία Θεῷ μᾶλλον αἱρεῖται, ἢ ψευσθῆναι τοῦ πατρὸς τὴν εὐχήν· καὶ τὸ δηλούμενον ἀγνοοῦσα, τὸν τύπον ἐπλήρου τῆς ἱερᾶς καὶ σωτηρίου θυσίας. οὕτω γὰρ οὐδὲ ἐπιτίμησιν ἔσχε τὸ πραχθέν· πλὴν ἅπαξ ἐπράχθη, ἐκ δευτέρου δὲ οὐδαμῶς. οὐ γὰρ καθ' ὅλου τοῦ
Γ χρόνου νόμος τὸ πρὸς σημεῖον γεγονὸς, καὶ μάλιστα Θεοῦ δεδηλωκότος μηδαμῶς βεβουλῆσθαι θυσίας ἀνθρώπων.

μ. Ἀπὸ ἡμερῶν εἰς ἡμέρας ἐπορεύοντο θυγατέρες Ἰσραὴλ θρηνεῖν τὴν θυγατέρα Ἰεφθάε τοῦ Γαλααδίτου ἐπὶ τέσσαρας ἡμέρας ἐν τῷ ἐνιαυτῷ.

ΑΔΗΛΟΥ. Ἐπὶ τοῦτο καὶ αὐτὴ ἐξητήσατο πενθῆσαι τὴν παρθενίαν, ἐφ' ᾧ διη-
Δ νεκῆ τὴν μνήμην αὐτῆς ἐν τῷ λαῷ διασώζεσθαι.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Μετὰ τὸ σφαγῆναι τὸ θυγάτριον τοῦ Ἰεφθάε, ὥστε ἀείμνηστον εἶναι τὴν συμφορὰν, καὶ μὴ λήθῃ παραδοθῆναι τὸ πάθος, ἐγένετο νόμος παρὰ τοῖς Ἰουδαίοις, συνερχομένας τὰς παρθένους κατὰ τὸν καιρὸν ἐκεῖνον ἡμέρας τεσσαράκοντα πενθεῖν τὴν γεγενημένην σφα-
E γήν· ἵνα τῷ θρήνῳ τῆς θυσίας τὴν μνήμην ἀνανεούμενοι, τοὺς μετὰ ταῦτα σωφρονεστέρους ποιῶσιν ἅπαντας· καὶ μάθωσιν, ὡς οὐ κατὰ γνώμην Θεοῦ ἐγένετο τοῦτο. οὐδὲ γὰρ ἂν θρηνεῖν καὶ ὀδύρεσθαι τὰς παρθένους ἀφῆκε. καὶ ὅτι οὐ στοχασμὸς τὸ λεγόμενον, τὸ τέλος ἔδειξε. μετὰ γὰρ τὴν θυσίαν ἐκείνην οὐδεὶς τοιαύτην εὐχὴν ηὔξατο τῷ Θεῷ. διὰ τοῦτο ταύτην μὲν οὐκ ἐκώλυσεν, ἣν δὲ αὐτὸς ἐπέταξε διεκώλυσε, τὴν ἐπὶ τοῦ Ἰσαὰκ, δι' ἀμφοτέρων δεικνὺς, ὡς οὐ
Z χαίρει ταῖς τοιαύταις θυσίαις.

ΚΕΦ. ΙΒ.

α. Καὶ ἐβόησεν ἀνὴρ Ἐφραὶμ,
καὶ παρῆλθον εἰς βοῤῥᾶν,
καὶ εἶπαν πρὸς Ἰεφθάε,
διατὶ παρῆλθες παρατάξασθαι ἐν
υἱοῖς Ἀμμὼν, καὶ ἡμᾶς οὐ κέκληκας
πορευθῆναι μετὰ σοῦ; τὸν οἶκόν σου
β. ἐμπρήσομεν ἐπὶ σὲ ἐν πυρί. Καὶ εἶπεν
Ἰεφθάε πρὸς αὐτοὺς, ἀνὴρ μαχητὴς
ἤμην ἐγὼ καὶ ὁ λαός μου, καὶ οἱ υἱοὶ
Ἀμμὼν ἐταπείνουν με σφόδρα· καὶ
ἐβόησα πρὸς ὑμᾶς, καὶ οὐκ ἐσώσατέ
γ. με ἐκ χειρὸς αὐτῶν. Καὶ εἶδον ὅτι οὐκ
H ἦν ὁ σώζων, καὶ ἔθηκα τὴν ψυχήν μου
ἐν χειρί μου, καὶ παρῆλθον πρὸς υἱοὺς
Ἀμμὼν,

(1) Τὸ, καὶ, οὐ κεῖται ἐν τῇ κατὰ τὴν Χάλ. ἐκδόσ.

(2) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

Ἀμμὼν, καὶ ἔδωκεν αὐτȣ̀ς Κύριος ἐν χειρί μȣ. καὶ εἰς τὶ ἀνέβητε ἐπ' ἐμὲ ἐν τῇ ἡμέρᾳ ταύτῃ παρατάξαϑαι ἐν
δ. ἐμοί; Καὶ συνήϑροισεν Ἰεφϑάε πάντας τȣ̀ς ἄνδρας Γαλαὰδ, καὶ παρετάξατο τῷ Ἐφραίμ. καὶ ἐπάταξαν ἄνδρες Γαλαὰδ τὸν Ἐφραὶμ, ὅτι εἶπαν οἱ διασωζόμενοι τȣ͂ Ἐφραὶμ, ἡμεῖς (1) Γαλαὰδ ἐν μέσῳ τȣ͂ Ἐφραὶμ καὶ ἐν μέσῳ τȣ͂ Μανασσῆ.

** ΙΩΣΗΠΟΥ. Τῆς Ἐφραίμȣ φυλῆς ἐπ' αὐτὸν στρατευσάσης, ὅτι μὴ κοινωνήσαιτο τὴν ἐπ' Ἀμμανίταις ἐλασίαν αὐτοῖς, ἀλλὰ μόνος καὶ λείαν ἔχοι, καὶ τὴν ἐπὶ τοῖς πεπραγμένοις δόξαν· πρῶτον μὲν ἔλεγεν, ὡς ȣ̓́τε λάϑοιεν αὐτȣ̀ς οἱ συγγενεῖς πολεμȣ́μενοι, καλȣ́μενοί τε πρὸς συμμαχίαν ȣ̓ παρεγένοντο, δέον καὶ πρὸ δεήσεως ἐγνωκότας ἐπειχϑῆναι· ἔπειϑ' ὡς ἄδικα πράττειν ἐπιχειρȣ͂σι, τοῖς πολεμίοις ȣ̓ τολμήσαντες εἰς χεῖρας ἐλϑεῖν, ἐπὶ δὲ τȣ̀ς συγγενεῖς ὡρμηκότες· ἠπείλει τε σὺν τῷ Θεῷ λήψεσϑαι δίκην παρ' αὐτῶν, ἂν μὴ σωφρονῶσι.

ε. Καὶ προκατελάβετο Γαλαὰδ τὰς διαβάσεις τȣ͂ Ἰορδάνȣ τȣ͂ Ἐφραίμ. καὶ εἶπαν αὐτοῖς οἱ διασωζόμενοι τȣ͂ Ἐφραὶμ, διαβῶμεν. καὶ εἶπαν αὐτοῖς οἱ ἄνδρες Γαλαὰδ, μὴ Ἐφραϑίτης εἶ; καὶ εἶπεν ȣ̓́.

» ΑΔΗΛΟΥ. Μὴ Ἐφραϑίτης εἶ; Ἐν
» ἄλλῃ ἐκδόσει· μὴ ἐκ τȣ͂ Ἐφραὶμ ὑμεῖς;
» καὶ εἶπαν, ȣ̓κ ἐσμέν. καὶ εἶπαν αὐτοῖς,
» εἴπατε δὴ σύνϑημα. καὶ εἶπαν, στάχυς. καὶ
» ȣ̓ κατεύϑυναν τȣ͂ λαλῆσαι ȣ̓́τως. εἶτα τὸ,
» καὶ ἐπελάβοντο αὐτῶν.

ϛ. Καὶ εἶπαν αὐτῷ, εἴπατε δὴ σύνϑημα, καὶ ȣ̓ κατεύϑυναν τȣ͂ λαλεῖν κατὰ τὸ αὐτό· καὶ ἐπελάβοντο, καὶ ἔσφαζον αὐτȣ̀ς πρὸς τὰς διαβάσεις τȣ͂ Ἰορδάνȣ. καὶ ἔπεσαν ἐν τῷ καιρῷ ἐκείνῳ ἀπὸ Ἐφραὶμ τεσσαράκοντα καὶ δύω χιλιάδες.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, εἴπατε δὴ σύνϑημα; Οἱ τῆς Ἐφραὶμ φυλῆς ἐπεστράτευσαν τῷ Ἰεφϑάε, χαλεπαίνοντες ὅτι δὴ τῆς κατὰ τῶν Ἀμμανιτῶν ȣ̓κ ἐκοινώνησαν νίκης. εἶτα δυσπραγήσαντες, ἔφυγον. ἀλλὰ λόχον τινὰ τῶν συστρατευομένων ἀποστείλας ὁ Ἰεφϑάε, διαβῆναι τὸν ποταμὸν αὐτȣ̀ς διεκώλυσεν. ἔπειτα πειρωμένȣς ἐξαπατῆσαι, καὶ λέγοντας ἐκ τῶν ἄλλων εἶναι φυλῶν, ἐκέλευσεν ἐπερωτᾶσϑαί τινα λόγον, ὃς ἐπέφερε διὰ τῆς γλώσσης τὸν ἔλεγχον. ὥσπερ γὰρ Ὡσροηνοὶ, (2) καὶ Σύροι, καὶ Εὐφρατήσιοι, καὶ Παλαιστινοὶ, καὶ Φοίνικες, τῇ Σύρων χρῶνται φωνῇ· πολλὴν δὲ ὅμως

A ἡ λέξις ἔχει διαφοράν· ȣ̓́τως Ἑβραῖοι μὲν ἦσαν αἱ δώδεκα φυλαὶ, εἶχον δέ τινα ὡς εἰκὸς ἰδιώματα, ὥσπερ ἀμέλει καὶ αὐτοί. (3) καὶ γὰρ ὁ Σύρος φησὶ, τῶν ἄλλων τὸν ἄσταχυν ἐμβλὰ καλȣ́ντων, οἱ τȣ͂ Ἐφραὶμ ἔκ τινος συνηϑείας ἐμβελῶ ἔλεγον. τȣ͂το γινώσκων ὁ Ἰεφϑάε λέγειν ἐκέλευε, καὶ διελεγχομένȣς ἀνῄρει.

ΩΡΙΓΕΝΟΥΣ. (4) Εἴπατε δὴ σύνϑημα· οἱ δὲ ἔλεγον στάχυς· σημαίνει σέβη-
B λα, ὅπερ ἐστὶν ἄσταχυς. οἱ δὲ ἔλεγον σεβήλω, καὶ ȣ̓κ ἠδύναντο τρανῶς εἰπεῖν σέβηλα. εἰ γὰρ καὶ Ἑβραῖοι ἐτύγχανον, ἀλλὰ κατὰ συμμετρίαν βραχύτητι παρήλλασσον ἐν τῇ τῆς διαλέξεως προφορᾷ. τὸ ȣ̓͂ν σύνϑημα ἦν σεβῆλα. ὅπερ οἱ ἐπερωτώμενοι λέγοντες σεβήλω, ἠλέγχοντο, ȣ̓κ ὄντες τῶν οἰκείων τȣ͂ Ἰεφϑάε, ἀλλὰ τῶν ἐπαναστάντων.

** ΙΩΣΗΠΟΥ. Συνέβαλεν αὐτοῖς ἐλ-
Γ ϑȣ͂σι μετὰ στρατιᾶς, ἣ μετάπεμπτος ἐκ τῆς Γαλαδηνῆς ἐληλύϑει, φόνον τε πολὺν αὐτῶν εἰργάσατο, καὶ διώκων τραπέντας, προλαβὼν μέρει τινὶ προαπεσταλμένῳ τȣ͂ Ἰορδάνȣ τὰς διαβάσεις, κτείνει περὶ δισχιλίȣς καὶ τετρακισμυρίȣς γεγονότας.

ζ. Καὶ ἔκρινεν Ἰεφϑάε τὸν Ἰσραὴλ ἓξ ἔτη. καὶ ἀπέϑανεν Ἰεφϑάε ὁ Γαλααδίτης, καὶ ἐτάφη ἐν πόλει αὐτȣ͂
Δ Γαλαάδ.

** ΙΩΣΗΠΟΥ. Ἄρξας ἓξ ἔτη, τελευτᾷ, καὶ ϑάπτεται ἐν τῇ αὐτȣ͂ πατρίδι Σεβεῇ· τῆς Γαλαδηνῆς δέ ἐστιν αὕτη.

η. Καὶ ἔκρινε μετ' αὐτὸν τὸν Ἰσ-
ϑ. ραὴλ Ἀβεσσὰν ἀπὸ Βηϑλεέμ. Καὶ ἦσαν αὐτῷ τριάκοντα υἱοὶ, καὶ τριάκοντα ϑυγατέρες, ἃς ἐξαπέστειλεν ἔξω, καὶ τριάκοντα ϑυγατέρας εἰσή-
E νεγκε τοῖς υἱοῖς αὐτȣ͂ ἔξωϑεν. καὶ ἔκρινε
ι. τὸν Ἰσραὴλ ἑπτὰ ἔτη. Καὶ ἀπέϑανεν Ἀβεσσὰν, καὶ ἐτάφη ἐν Βηϑλεέμ.

** ΙΩΣΗΠΟΥ. Τελευτήσαντος Ἰεφϑȣ͂, τὴν ἀρχὴν Ἀψάνης παραλαμβάνει, φυλῆς ὢν Ἰȣ́δα, Βηϑλεέμων δὲ πόλεως. τȣ́τῳ δὲ παῖδες ἦσαν ἑξήκοντα, τριάκοντα μὲν ἄῤῥενες, αἱ λοιπαὶ δὲ ϑυγατέρες, ȣ̔̀ς καὶ πάντας ζῶντας κατέλιπε· τὰς μὲν
Z ἀνδράσιν ἐκδȣ̀ς, τοῖς δὲ γυναῖκας ἠγμένος. πράξας δ' ȣ̓δὲν ἐν τῷ ἑπταετεῖ γενομένῳ χρόνῳ λόγȣ καὶ μνήμης ἄξιον, γηραιὸς ὢν ἀπέϑανε· καὶ ταφῆς ἐν τῇ πατρίδι τυγχάνει.

ια. Καὶ ἔκρινε μετ' αὐτὸν τὸν Ἰσραὴλ Ἀειλὼν (5) ὁ Ζαβȣλωνίτης δέ-
ιβ. κα ἔτη. Καὶ ἀπέϑανεν Ἀειλὼν ὁ Ζαβȣλωνίτης, καὶ ἐτάφη ἐν Αἰλὼμ ἐν
H γῇ Ζαβȣλών.

ΙΩΣΗ-

(1) Ὑμεῖς. αἱ εἰρημ. ἐκδόσ. (2) Ὀσροηνοί. ἢ ἐν Χάλ. ἔκδ. (3) Αὕτη. ὡς γάρ. αὐτ.
(4) Καὶ εἶπαν αὐτῷ· εἶπον δὴ στάχυς. οἱ δὲ ἔλεγ. ἐν σελ. 458. τȣ͂ 2. Τόμ. τῆς τȣ͂ Ῥȣ. ἐκδόσ.
(5) Αἰλώμ. αἱ εἰρημ. ἐκδόσ. Αἰλών. ἢ ἐν Ὀξον.

** ΙΩΣΗΠΟΥ. Ἀφάνȣς ȣ̎τως ἀποθανόντος, ȣ̉δ' ὁ μετ' αὐτὸν παραλαβὼν τὴν ἡγεμονίαν Ἤλων, ἐπ' ἔτη δέκα καταχὼν αὐτὴν, φυλῆς ὢν τῆς Ζεβȣ́λȣ, ἔπραξέ τι σπȣδῆς ἄξιον. A

ιγ. Καὶ ἔκρινε μετ' αὐτὸν τὸν Ἰσ-
ραὴλ Ἀβδὼν ὑὸς Ἐλλεὶμ ὁ Φαραθω-
ιδ. νίτης. Καὶ ἦσαν αὐτῷ τεσσαράκοντα
ὑοὶ, καὶ τριάκοντα ὑῶν ὑοὶ ἐπιβαίνον-
τες ἐπὶ ἑβδομήκοντα πώλȣς. κὶ ἔκρι-
ιε. νε τὸν Ἰσραὴλ ὀκτὼ ἔτη. Καὶ ἀπέ-
θανεν Ἀβδὼν ὑὸς Ἐλλεὶμ ὁ Φαραθω-
νίτης, καὶ ἐτάφη ἐν Φαραθὼν ἐν γῇ
Ἐφραὶμ ἐν ὄρει τȣ̃ Ἀμαλήκ.

** ΙΩΣΗΠΟΥ. Ἀβδὼν Ἐλλήλȣ παῖς, φυλῆς μὲν τῆς Ἐφραιμίτιδος, πόλεως δὲ τῆς Φαραθωνιτῶν γεγονὼς, αὐτοκράτωρ ἡγεμὼν ἀποδειχθεὶς μετ' Ἤλωνα, μόνης ἂν τῆς εὐπαιδίας μνημονευθείη, διὰ τὴν εἰρήνην καὶ τὴν ἄδειαν τῶν πραγμάτων λαμπρὸν μηδ' αὐτὸς μηδὲν ἐργασάμενος. ὑεῖς δ' ἦσαν αὐτῷ τεσσαράκοντα, κὶ τȣ́των γενεὰς καταλιπόντων τριάκοντα, ἤλαυνέτε σὺν αὐτοῖς ȣ̂σιν ἑβδομήκοντα, πᾶσιν B ἱππάζειν ἀρίστοις γεγενημένοις· κὶ πάντας ὑπὲρ γῆς ἀπολιπὼν, θνήσκει γηραιὸς, καὶ ταφῆς ἐν Φαραθῶνι λαμπρᾶς τυγχάνει.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ὁ Φαραθωνίτης. Πόλις ἐν ὁρίοις Ἀμαλήκ.

ΚΕΦ. ΙΓ.

α. Καὶ προσέθηκαν ἔτι οἱ ὑοὶ
Ἰσραὴλ ποιῆσαι τὸ πονη-
ρὸν ἐνώπιον Κυρίȣ· κὶ πα-
ρέδωκεν αὐτȣ̀ς Κύριος ἐν χειρὶ Φυλι-
στιεὶμ τεσσαράκοντα ἔτη.

** ΙΩΣΗΠΟΥ. Παλαιστῖνοι κρατȣ̃σι τῶν Ἰσραηλιτῶν, καὶ φόρȣς παρ' αὐτῶν ἐλάμβανον ἐπ' ἔτη τεσσαράκοντα.

β. Καὶ ἦν ἀνὴρ εἷς ἀπὸ Σαραὰ
ἀπὸ δήμȣ συγγενείας τȣ̃ Δὰν, καὶ
ὄνομα αὐτῷ Μανωὲ, κὶ ἡ γυνὴ αὐτȣ̃
στεῖρα καὶ ȣ̉κ ἔτεκε.

γ. Καὶ ὤφθη Ἄγγελος Κυρίȣ
πρὸς τὴν γυναῖκα, καὶ εἶπε πρὸς αὐ-
τὴν, ἰδȣ̀ σὺ στεῖρα καὶ ȣ̉ τέτοκας, καὶ
συλλήψῃ ὑόν.

» * ΩΡΙΓΕΝΟΥΣ. Ἰδȣ̀ σὺ στεῖρα. Οὐκ ἀπὸ τῆς φύσεως, ἀλλὰ ἀπὸ τῆς διακονίας ἐπὶ τȣ̃ παρόντος [στεῖραν] καλεῖ.

δ. Καὶ νῦν φύλαξαι δὴ, καὶ μὴ
πίῃς οἶνον καὶ μέθυσμα, καὶ μὴ φά-
γῃς πᾶν ἀκάθαρτον,

ΑΔΗΛΟΥ. Κατάλληλον, φησὶ, τῆς παρεχομένης σοι δωρεᾶς τὴν δίαιταν φύλαξον.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἀναφορὰν ἔχει εἰς τὸν λαὸν τῶν Ἰȣδαίων ὁ Σαμψών. διὰ τȣ̃-
Ὠσ. 4. 11. » το ὅτε παρῳνώμει ὁ λαὸς, ἤκȣεν· οἶνον καὶ
» μέθυσμα ἐδέξατο καρδία λαȣ̃ μȣ. καὶ ὅτε
Ἐξόδ. 32. 6. ἔφαγον ἐν τῇ ἐρήμῳ, ἀνέστησαν παίζειν.

ε. Ὅτι ἰδȣ̀ σὺ ἐν γαστρὶ ἔχεις καὶ
τέξῃ ὑόν· κὶ σίδηρος ȣ̉κ ἀναβήσεται
ἐπὶ τὴν κεφαλὴν αὐτȣ̃, ὅτι Ναζι-
ραῖον Θεȣ̃ ἔσται τὸ παιδάριον ἀπὸ κοι-
λίας· καὶ αὐτὸς ἄρξεται σῶσαι τὸν
Ἰσραὴλ ἐκ χειρὸς Φιλιστιείμ.

» * ΩΡΙΓΕΝΟΥΣ. Ὅτι Ναζιραῖον Θεȣ̃ ἔσται. Ναζιραῖον τὸ πεφυλαγμένον κατὰ Γ τὴν Σύρων φωνὴν ὀνομάζει. μὴ ἐξακολȣθεῖν δὲ τῇ τάξει τῶν Ἰσραηλιτῶν τὸν Σαμψὼν ὁ Θεὸς προστάσσει, κατ' ἐκεῖνο καιρȣ̃ τὴν κεφαλὴν ξυρωμένων διὰ τὸ εὐσήμȣς εἶναι πρὸς πάντας.

** ΙΩΣΗΠΟΥ. Ἐπιφαίνεται Ἄγγελος τȣ̃ Θεȣ̃, νεανίᾳ καλῷ παραπλήσιος καὶ μεγάλῳ, καὶ εὐαγγελιζόμενος αὐτῇ παιδὸς γονὴν κατὰ Θεȣ̃ πρόνοιαν, καλȣ̃ τε καὶ ῥώμην ἐπιφανȣ̃ς, ὑφ' ᾧ πονήσειν Παλαιστίνȣς ἀνδρȣμένῳ· παρῄνει τε τὰς κόμας αὐτῷ μὴ ἀποκείρειν· ἔσται δ' αὐτῷ πρὸς ἄλλο μὲν πᾶν ποτὸν ἀποστροφὴ, τȣ̃ Θεȣ̃ τȣ̃το προστάττοντος, πρὸς ὕδωρ δὲ μόνον οἰκειότης. Δ

ς. Καὶ εἰσῆλθεν ἡ γυνὴ, καὶ εἶπε
τῷ ἀνδρὶ αὐτῆς, λέγȣσα, ἄνθρωπος
τȣ̃ Θεȣ̃ ἦλθε πρός με, καὶ τὸ εἶδος
αὐτȣ̃ ὡς εἶδος Ἀγγέλȣ τȣ̃ Θεȣ̃, φο-
βερὸς (1) σφόδρα· καὶ ἠρώτησα (2) E
αὐτὸν πόθεν ἐστὶ, καὶ τὸ ὄνομα αὐτȣ̃
ζ. ȣ̉κ ἀπήγγειλέ μοι. Καὶ εἶπέ μοι, ἰδȣ̀
σὺ ἐν γαστρὶ ἕξεις καὶ τέξῃ ὑόν. κὶ νῦν
μὴ πίῃς οἶνον καὶ μέθυσμα, καὶ μὴ
φάγῃς πᾶν ἀκάθαρτον, ὅτι ἅγιον τȣ̃
Θεȣ̃ ἔσται τὸ παιδάριον ἀπὸ τῆς γα-
στρὸς ἕως ἡμέρας τȣ̃ θανάτȣ αὐτȣ̃.

η. Καὶ προσηύξατο Μανωὲ πρὸς
Κύριον, καὶ εἶπεν, ἐν ἐμοὶ Κύριε Ἀδω- Z
ναΐ, (3) τὸν ἄνθρωπον τȣ̃ Θεȣ̃ ὃν ἀπέ-
στειλας, ἐλθέτω δὴ (4) πρὸς ἡμᾶς, καὶ
συμβιβασάτω ἡμᾶς τί ποιήσομεν τῷ
παιδίῳ τῷ τικτομένῳ.

ΑΔΗΛΟΥ. Τοιȣ̃τόν τι λέγων· ὅτι καὶ ἐπ' ἐμοὶ Κύριε ἡ χάρις σȣ γενέσθω, κὶ ἀξίωσόν με τῆς τȣ̃ Ἀγγέλȣ θεωρίας ἀνάδειξον.

θ. Καὶ εἰσήκȣσεν ὁ Θεὸς τῆς φω-
νῆς Μανωὲ, καὶ ἦλθεν ὁ Ἄγγελος H
τȣ̃ Θεȣ̃ ἔτι πρὸς τὴν γυναῖκα· καὶ
αὐτὴ

(1) Φοβερόν. αἱ αὐτ. (2) Οὐκ ἠρώτησα. αἱ αὐτ. (3) Ἀδωναΐέ. αἱ αὐτ. (4) Ἔτι. αἱ αὐτ.

αὐτὴ (1) ἐκάθητο ἐν ἀγρῷ, καὶ Μα- Α
νωὲ ὁ ἀνὴρ αὐτῆς οὐκ ἦν μετ᾽ αὐτῆς.
ι. Καὶ ἐτάχυνεν ἡ γυνὴ καὶ ἔδραμε καὶ
ἀνήγγειλε τῷ ἀνδρὶ αὐτῆς, καὶ εἶπε
πρὸς αὐτὸν, ἰδοὺ ὦπται πρός με ὁ ἀνὴρ
ια. ὃς ἦλθεν ἐν τῇ ἡμέρᾳ πρός με. Καὶ
ἀνέστη καὶ ἐπορεύθη Μανωὲ ὀπίσω τῆς
γυναικὸς αὐτοῦ, καὶ ἦλθε πρὸς τὸν
ἄνδρα, καὶ εἶπεν αὐτῷ, εἰ σὺ εἶ ὁ ἀνὴρ
ὁ λαλήσας πρὸς τὴν γυναῖκα; καὶ Β
εἶπεν ὁ Ἄγγελος, ἐγώ.

ΑΔΗΛΟΥ. (2) Ὅτι Μανωὲ γυναῖκα πάνυ εὐπρόσωπον εἶχεν, ὢν καὶ αὐτὸς εὐειδέστατος. ὅτε οὖν ὁ Ἄγγελος ὤφθη τῇ γυναικὶ μόνῃ οὔσῃ, τοῦ ἀνδρὸς αὐτῆς μὴ συμπαρόντος, εὐαγγελιζόμενος αὐτῇ σύλληψιν καὶ τόκον νέου τινὸς πάνυ μεγίστου καὶ περικαλλεστάτου, ἐλθόντι τῷ ἀνδρὶ ἐκείνη ἀπήγγειλε τὰ σημανθέντα. εὐλαβηθεὶς δὲ Μανωὲ πάνυ ἐζηλοτύπησε τὴν ἑαυτοῦ γυναῖκα. (Γ) καὶ ἐδεῖτο Μανωὲ καὶ ἡ τούτου γυνὴ τοῦ Θεοῦ, αὖθις ἐλθεῖν τὸν ὀφθέντα· ἵνα τοῦτον ἐπιδείξασα τῷ ἀνδρὶ, ἀπαλλάξῃ τῆς περὶ αὐτὴν κακῆς ὑπονοίας. ὡς δὲ πάλιν ἐπανῆλθε πρὸς αὐτὴν ὁ Ἄγγελος, μόνην οὖσαν, ἐκάλεσε τὸν ἄνδρα ἑαυτῆς. καὶ ἰδὼν ἐκεῖνος τὸ ἄφρασον τοῦ Ἀγγέλου κάλλος, πλέον ἐζήλου· καὶ μὴ τολμῶν τι εἰπεῖν, παρεκάλει ἀκοῦσαι παρ᾽ αὐτοῦ τὰ λεχθέντα τῇ γυ- (Δ) ναικί. ὁ δὲ ἐκλικώτερον (3) καὶ δι᾽ ὀλίγων ἐκθέμενος τὰ τῆς ὑποθέσεως διὰ τὴν αὐτοῦ ὑπόνοιαν, λέγει· ὀφείλειν φυλάξασθαι ὑμᾶς πάντα τὰ λαληθέντα πρὸς τὴν γυναῖκα. ὧν λεχθέντων παρακαλεῖ Μανωὲ δῶρα λαβεῖν τῆς εὐαγγελίας τὸν μηνύσαντα. ὁ δὲ παραιτεῖται μὲν τὸ γεύσασθαι, συμβουλεύει δὲ πάνυ εὐθυμεῖν, διδάσκων θυσίαν ὁλοκαυτώσεως περὶ τούτου προσενέγκαι αὐτοὺς τῷ Κυρίῳ. (Ε) καὶ λαβὼν Μανωὲ τὸν ἔριφον τῶν αἰγῶν καὶ τὴν θυσίαν ἀνήνεγκεν ἐπὶ τὴν πέτραν τῷ Κυρίῳ. καὶ ἀνέβη ὁ Ἄγγελος Κυρίου, ὡς δι᾽ ὀχήματος, ἐν τῇ φλογὶ τοῦ θυσιαστηρίου εἰς τὸν οὐρανὸν φανερῶς ὁρώντων αὐτῶν. Μανωὲ δὲ φοβούμενος, μή τι χαλεπὸν αὐτῷ διὰ τὴν ὑπόνοιαν πρὸς τοῦ Θεοῦ γένηται, τὸ θαῤῥεῖν ὑπὸ τῆς ἑαυτοῦ κελεύεται γυναικὸς, ἄριστα τῇ ἀληθείᾳ ἐπιβαλούσης. ἐπ᾽ ἀγαθῷ γὰρ παντὶ πέφυκε τὸ θεῖον ὁρᾶσθαι, καὶ οὐκ ἐπὶ κακῷ, (Ζ) καθάπερ σὺ οὐκ ὀρθῶς ὑπολαμβάνεις.

ιβ. Καὶ εἶπε Μανωὲ, νῦν ἐλεύσε-
ται ὁ λόγος σου· (4) τί ἔσται ἡ κρίσις
τοῦ παιδαρίου καὶ τὰ ποιήματα αὐτοῦ;

ΑΔΗΛΟΥ. Πρὸς τὰς ἐπαγγελίας φησὶ μηδὲν ἐνδοιάζοντός μου, ἀπάγγειλόν μοι, τίς ἡ τοῦ τικτομένου κρίσις γενήσεται, καὶ ποῖαι αὐτοῦ αἱ πράξεις.

ιγ. Καὶ εἶπεν ὁ Ἄγγελος Κυρίου
πρὸς Μανωὲ, ἀπὸ πάντων ὧν εἴρηκα
ιδ. πρὸς τὴν γυναῖκα, φυλαξέσθω. Ἀπὸ
παντὸς ὃ ἐκπορεύεται ἐξ ἀμπέλου οὐ
φάγεται, καὶ οἶνον καὶ σίκερα μὴ πιέτω,
καὶ πᾶν ἀκάθαρτον μὴ φαγέτω, πάν-
τα ὅσα ἐνετειλάμην αὐτῇ, φυλαξέ-
ιε. σθω. Καὶ εἶπε Μανωὲ πρὸς τὸν Ἄγ-
γελον Κυρίου, κατάσχωμεν ὧδέ σε, καὶ
ποιήσωμεν ἐνώπιόν σου ἔριφον αἰγῶν.

ις. Καὶ εἶπεν ὁ Ἄγγελος Κυρίου
πρὸς Μανωὲ, ἐὰν κατάσχῃς με, οὐ
φάγομαι ἀπὸ τῶν ἄρτων σου· καὶ
ἐὰν ποιήσῃς ὁλοκαύτωμα, τῷ Κυρίῳ
ἀνοίσεις αὐτό· ὅτι οὐκ ἔγνω Μανωὲ,
ὅτι Ἄγγελος Κυρίου αὐτός.

ΘΕΟΔΩΡΙΤΟΥ. Διδάσκει ἡμᾶς ἡ ἱστορία τῶν Ἀγγέλων τὴν περὶ τὸν Θεὸν εὔνοιαν. τοῦ Μανωὲ γὰρ ἔριφον αὐτῷ προσενεγκεῖν ἐθελήσαντος, ἔφη ὁ θεῖος Ἄγγελος· ἐὰν παραβιάσῃ με, οὐ φάγομαι τῶν ἄρτων σου· καὶ ἐὰν ποιήσῃς ὁλοκαύτωμα, τῷ Κυρίῳ ἀνοίσεις αὐτό. τροφῆς, φησὶν, οὐ δέομαι, θυσίαν οὐ δέχομαι. τοῦτο μὲν γὰρ Θεοῦ, ἐκεῖνο δὲ τῆς ἀνθρωπίνης φύσεως ἴδιον. ἐγὼ δὲ οὔτε ὡς ἄνθρωπος χρῄζω τροφῆς, οὐδὲ τὴν θείαν ἁρπάζω τιμήν. καὶ ἐντεῦθεν δὲ δῆλον, ὡς οἱ ὑπὸ τοῦ Ἀβραὰμ δεξιωθέντες ἑτέρῳ τινὶ τρόπῳ τὴν παρατεθεῖσαν τροφὴν κατηνάλωσαν.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Οὔτε γὰρ ἁρμόττειν αὐτῷ τὴν πρὸς τῶν ὁμοδούλων λατρείαν, ἀλλὰ Κυρίῳ μόνῳ τῷ τῆς κτίσεως ποιητῇ καὶ Θεῷ ἀπὸ πάντων ὀφείλεται τὸ σέβας προσάγεσθαι.

ΑΔΗΛΟΥ. Διδάσκει διὰ τούτου τοῦ τρόπου τὸ μὴ δεῖν καθόλου Ἀγγέλῳ ἢ Ἀγγέλοις θυσίαν τινὰ ἐπιτελεῖν. εἰ δέ μοι πρὸς τιμὴν, φησὶ, θύσαι προαιρῇ τῷ προσομιλοῦντί σοι τὰ τοῦ παιδὸς εὐαγγέλια, ὡς Κυρίῳ καὶ Θεῷ ἀνοίσεις αὐτὴν, οὐχ ὡς Ἀγγέλῳ. παιδεύσει γάρ σε ἡ παρὰ σοῦ γενομένη ὁλοκαύτωσις σαφῶς τὰ κατ᾽ ἐμέ.

ΑΔΗΛΟΥ. Ἔχεις τούτου ὅμοιον ἐν τοῖς Εὐαγγελίοις. ἔνθα ὁ προσελθὼν τῷ Κυρίῳ, λέγει· διδάσκαλε ἀγαθὲ, τί ποιήσας, καὶ τὰ ἑξῆς· ὁ δὲ ἀποκριθεὶς εἶπε· τί με λέγεις ἀγαθόν; οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς, ὁ Θεός. Ματθ. 19. 16, 17.

ιζ. Καὶ εἶπε Μανωὲ πρὸς τὸν Ἄγ-
γελον Κυρίου, τί ὄνομά σοι, ἵνα ὅταν
ἔλθῃ τὸ ῥῆμά σου, δοξάσωμέν σε;

ιη. Καὶ εἶπεν αὐτῷ ὁ Ἄγγελος
Κυρίου, εἰς τί τοῦτο ἐρωτᾷς τὸ ὄνομά
μου; καὶ αὐτό ἐστι θαυμαστόν.

ΑΔΗΛΟΥ.

(1) Αὕτη. αἱ αὐτ. (2) Ἐκ τῶν τοῦ Ἰωσήπου εἰσὶ τὰ πλεῖστα, (τῶν ἐν τῷ 8. κεφ. τοῦ 5. περὶ Ἰουδαϊκ. ἀρχ. βιβλ.) μικρόν τι παρηλλαγμένα, καὶ ἄλλως πως συντεταγμένα.

(3) Μήτι γε περιεκλικώτερον, ἢ ἐκλυπώτερον; ἀλλὰ καὶ τὸ ἐκλικώτερον οὐ πάνυ ἀπροσφυές.

(4) Ὁ λόγος· τίς ἔσται κρίσις παιδίου. αἱ εἰρημ. ἐκδόσ.

ΑΔΗΛΟΥ. Θαυμαστὸν γὰρ ἀληθῶς τὸ ὄνομα τοῦ Ἐμμανουὴλ, τὸ πᾶσαν δύναμιν ἰατικὴν, ὀνομαζόμενον μόνον, ἐπιτελοῦν.

ΑΔΗΛΟΥ. Θαυμαστὸν εἶπε, καθὸ τὰ ἐξαίρετα καὶ θαύματος πλήρη, ἐπ' εὐεργεσίᾳ τοῦ λαοῦ προεμήνυε.

ιθ. Καὶ ἔλαβε Μανωὲ τὸν ἔριφον τῶν αἰγῶν καὶ τὴν θυσίαν, καὶ ἀνήνεγκεν ἐπὶ τὴν πέτραν τῷ Κυρίῳ τῷ θαυμαστὰ ποιοῦντι. καὶ Μανωὲ καὶ ἡ γυνὴ αὐτοῦ βλέποντες.

κ. Καὶ ἐγένετο ἐν τῷ ἀναβῆναι τὴν φλόγα ἐπάνω τοῦ θυσιαστηρίου ἕως τοῦ οὐρανοῦ, καὶ ἀνέβη ὁ Ἄγγελος Κυρίου ἐν τῇ φλογὶ τοῦ θυσιαστηρίου. καὶ Μανωὲ καὶ ἡ γυνὴ αὐτοῦ βλέποντες, καὶ ἔπεσον ἐπὶ πρόσωπον αὐτῶν ἐπὶ τὴν γῆν.

ΑΔΗΛΟΥ. Θυσιαστήριον τὴν πέτραν ὀνομάζει, ἐν ᾗ τὴν ὁλοκαύτωσιν ἀπέθετο· καὶ ὅτι ἅμα τῇ δείξει τῆς φλογὸς καὶ ὁ Ἄγγελος ἀφανὴς ἐγένετο.

κα. Καὶ οὐ προσέθηκεν ἔτι ὁ Ἄγγελος Κυρίου ὀφθῆναι πρὸς Μανωὲ καὶ πρὸς τὴν γυναῖκα αὐτοῦ. τότε ἔγνω Μανωὲ, ὅτι Ἄγγελος Κυρίου οὗτος.

κβ. Καὶ εἶπε Μανωὲ πρὸς τὴν γυναῖκα αὐτοῦ, θανάτῳ ἀποθανούμεθα, ὅτι Θεὸν εἴδομεν.

ΑΔΗΛΟΥ. Ὡς ἀσθενὴς καὶ ἀτελὴς τὸν πρὸ μικροῦ Ἄγγελον ὑπ' αὐτοῦ προσαγορευθέντα, Θεὸν ὀνομάζει.

⁂ ΠΡΟΚΟΠΙΟΥ. Ὑπετόπαζεν ὁ Μανωὲ μὴ Ἄγγελον, ἀλλὰ Θεὸν ἑωρακέναι. διὸ καὶ τὴν θυσίαν προσήνεγκεν οὐκ αὐτοῦ, (1) πρὸς δὲ πέτραν τὴν σημαίνουσαν τὸν Χριστόν. πῶς δὲ γνοὺς, ὅτι Ἄγγελός ἐστι, πάλιν Θεὸν ἑωρακέναι φησίν; Ἢ ἐν τῷ πεμφθέντι τὸν πέμψαντα, ἢ τὸν τῆς μεγάλης βουλῆς Ἄγγελον. καὶ ἡ φωνὴ γὰρ Θεοῦ,
Γεν. 32. 29. μὴ ἀξιοῦντος εἰπεῖν τοὔνομα. καὶ αὐτὸ γάρ
» φησι θαυμαστόν. ὅπερ ἐρρέθη πρότερον Ἰακώβ. ἠξίωσε δὲ τῷ Θεῷ προσάγεσθαι τὴν θυσίαν.

⁂ ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ἀπολώλαμεν, ὦ γύναι, Θεὸν ἑωράκαμεν. ἐπειδὴ κρείττονος ὄψεως ᾔσθετο ἢ κατὰ τὴν ἑαυτοῦ φύσιν καὶ δύναμιν.

⁂ ΤΟΥ ΑΥΤΟΥ. Καθαρτέον ἑαυτὸν πρῶτον, εἶτα τῷ καθαρῷ προσομιλητέον. εἰ μὴ μέλλοιμεν τὸ τοῦ Μανωὲ πείσεσθαι, καὶ λέξειν ἐν φαντασίᾳ Θεοῦ γενόμενοι· ἀπολώλαμεν, ὦ γύναι, Θεὸν ἑωράκαμεν.

κγ. Καὶ εἶπεν αὐτῷ ἡ γυνὴ αὐτοῦ, εἰ ἤθελε Κύριος θανατῶσαι ἡμᾶς, οὐκ ἂν ἔλαβεν ἐκ χειρὸς ἡμῶν ὁλοκαύτωμα καὶ θυσίαν, καὶ οὐκ ἂν ἔδειξεν ἡμῖν
A ταῦτα πάντα, καὶ οὐκ ἂν ἠκούτισεν ἡμᾶς ταῦτα.

⁂ ΠΡΟΚΟΠΙΟΥ. Ἡ γυνὴ τελειοτέρα φαίνεται τοῦ ἀνδρός. διὸ καὶ πρώτη τῆς ὀπτασίας τυγχάνει, καὶ δι' αὐτῆς ὁ ἀνὴρ, καὶ διδάσκει τὸν ἄνδρα θαρρεῖν.

κδ. Καὶ ἔτεκεν ἡ γυνὴ υἱὸν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ, Σαμψών. καὶ ηὐδρύνθη τὸ παιδάριον, καὶ εὐλό-
B γησεν αὐτὸ Κύριος.

⁂ ΙΩΣΗΠΟΥ. Γενόμενον τὸ παιδίον Σαμψῶνα καλοῦσιν. ἰσχυρὸν δ' ἀποσημαίνει τὸ ὄνομα. ηὔξετο δ' ὁ παῖς ῥᾳδίως, καὶ δῆλος ἦν προφητεύσων ὑπὸ τῆς περὶ τὴν δίαιταν σωφροσύνης καὶ τῆς τῶν τριχῶν ἀνέσεως.

κε. Καὶ ἤρξατο πνεῦμα Κυρίου συμπορεύεσθαι αὐτῷ ἐν παρεμβολῇ
Γ Δὰν, καὶ ἀναμέσον Σαραὰ καὶ ἀναμέσον Ἐσθαόλ.

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ, κατὰ πνευματικὴν χάριν καὶ ἐνέργειαν ἀνεστρέφετο.

ΩΡΙΓΕΝΟΥΣ. Εἰ πνεῦμα Κυρίου ἦν ἐπὶ τοῦ Σαμψὼν, πῶς ἀπὸ τῶν ἀλλοφύλων γυναῖκα ἔλαβε, τουτέστιν ἀπὸ τῶν Φυλιστιαίων· καὶ τοῦ νόμου ἀπαγορεύοντος, πῶς πνεῦμα ἅγιον ἦν ἐπ' αὐτόν; Ἢ δῆλον ὅτι διὰ τὴν
Δ τοῦ λαοῦ σωτηρίαν ὁ ἀγαθὸς Θεὸς ἀνέχεται μικροῦ πως καὶ παραχαραττόντων· ἵνα ἐν ταῖς συμφοραῖς, καὶ ἐν τοῖς μεγάλοις κινδύνοις ἡ αὐτοῦ βοήθεια πρὸς φόβον καὶ πόθον ἄγει τοὺς Ἰουδαίους. (2)

ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς ὁ Σαμψὼν ἐκδεδιῃτημένως καὶ παρανόμως ζῶν, πνευματικῆς ἀπήλαυσε χάριτος; Καὶ ἐντεῦθεν δῆλον, ὡς καὶ ἀναξίοις ὁ δεσπότης ἑτέρας χάριν οἰκονομίας τῆς θείας μεταδίδωσι δω-
E ρεάς. τοῦτο καὶ ἐν τοῖς ἱεροῖς εὐαγγελίοις
» δείκνυσιν ὁ Σωτήρ. πολλοὶ γάρ φησιν ἐλεύ- Ματθ. 7. 22, 23.
» σονται ἐν ἐκείνῃ τῇ ἡμέρᾳ, καὶ ἐροῦσί μοι,
» Κύριε Κύριε, οὐ τῷ σῷ ὀνόματι προεφη-
» τεύσαμεν, καὶ τῷ σῷ ὀνόματι δυνάμεις
» πολλὰς ἐποιήσαμεν; καὶ ἐρῶ αὐτοῖς· ἀπο-
» χωρεῖτε ἀπ' ἐμοῦ οἱ ἐργαζόμενοι τὴν ἀνο-
» μίαν· οὐκ οἶδα τίνες ἐστέ. τοῦτο καὶ ἐνταῦθα πεποίηκεν ὁ Δεσπότης. (3) τῶν γὰρ ἀλλοφύλων ἐθελήσας καταλῦσαι τὸ κρά-
Z τος, διὰ τῆς πνευματικῆς χάριτος ῥώμην αὐτῷ καὶ δύναμιν ἐχαρίσατο. διά τοι τοῦτο καὶ συνεχώρησεν ἀλλόφυλον αὐτὸν γῆμαι γυναῖκα. τοῦτο δὲ καὶ ἡ ἱστορία διδάσκει·
» καὶ ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ οὐκ Κριτ. 14. 4.
» ἔγνωσαν ὅτι παρὰ Κυρίου ἐστὶν, ὅτι ἀνταπόδομα αὐτὸς ζητεῖ ἀπὸ τῶν ἀλλοφύλων.

ΘΕΟΔΩΡΟΥ ΜΟΨΟΥΕΣΤΙΑΣ. Πολλάκις ὁ Θεὸς τὸν τοῦ ἁγίου πνεύματος ἄξιον οὐχ εὑρηκὼς, τῷ χρησιμωτέρῳ τῶν ἄλλων
H πρὸς τὴν ἑκάστοτε κατεπείγουσαν οἰκονομίαν ἐχρήσατο· ἐπεὶ οὐδὲ Προφήτης ὠνόμασαι

(1) Αὐτῷ πάντως ἀναγνωστ. τῷ Ἀγγέλῳ δῆθεν.
(2) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται. ὡσαύτως καὶ τὸ ἑπόμ. τοῦ Ὠριγ.
(3) Θεός. ἡ ἐν Χαλ. ἐκδ.

μαςαι παρὰ τῇ Γραφῇ ὔτε αὐτὸς Σαμψὼν, ὐδὲ Ἰεφθάε.

** ΠΡΟΚΟΠΙΟΥ. Πρὸς τὲς κατηγορῦντας ῥητέον, ὡς ὐδαμῦ φησὶν ἡ Γραφὴ καλῦθῆναι ἐπ' αὐτὸν τὸ πνεῦμα, ὅτε ἐπόρνευσεν, ἢ ὅτε τὴν ἀλλόφυλον ἔλαβεν, ἐξ ἧσπερ ἀπώλετο. τὸ γὰρ πνεῦμα τὸ ἅγιον ὐ

A καθάπερ ἡ ψυχὴ τοῖς σώμασι συνοικεῖ· ἀλλὰ πάρεσι μὲν ὡς ἀπερίγραφον, ἐνεργεῖ δὲ ὅσα βύλεται. ὃ καὶ προγινώσκον τὴν ἀγριότητα τῦ Σαμψὼν, οἴνυ καὶ τῶν ἐξ ἀμπέλυ προσέταξε τῦτον ἀπέχεσθαι· μὴ τὴν ἐξ οἴνυ μανίαν τῇ φυσικῇ προσλαβὼν, καὶ κατὰ τῶν ὁμοφύλων ἀνήκεςα δράσειε.

ΚΕΦ. ΙΔ.

α. αὶ κατέβη Σαμψὼν εἰς Θαμναθὰ, καὶ εἶδε γυναῖκα εἰς Θαμναθὰ ἀπὸ τῶν θυγατέρων τῶν ἀλλοφύλων.

β. Καὶ ἤρεσεν ἐνώπιον αὐτῦ, καὶ ἀνέβη καὶ ἀπήγγειλε τῷ πατρὶ αὐτῦ καὶ τῇ μητρὶ αὐτῦ, καὶ εἶπε, γυναῖκα ἑώρακα ἐν Θαμναθὰ ἀπὸ τῶν θυγατέρων τῶν ἀλλοφύλων, καὶ νῦν λάβετε αὐτὴν μοι εἰς γυναῖκα.

» ΑΔΗΛΟΥ. Καὶ ἤρεσεν ἐνώπιον αὐτῦ, ὐ δι' εὐπρέπειαν μόνον, ἀλλὰ καὶ κατ' οἰκονομίαν καὶ κρίσιν συναφθῆναι αὐτῇ ἐβύλετο, εἰς τὸ δι' αὐτῆς τὸ ἔθνος αὐτῆς ἀμύνασθαι.

ΩΡΙΓΕΝΟΥΣ. Αὕτη δὲ ἀρχὴ παραβάσεως τῦ Σαμψὼν, ἡ μετὰ τῆς ἀλλοφύλυ συνοίκησις. ὁ γὰρ ἡδονῇ κρατῦμενος, καὶ ἐπιθυμῶν δυλεύειν τῇ σαρκὶ, τὰ τῦ Θεῦ λόγια ἐξυθενεῖ, μὴ ἀκύων τὰ ὑπὸ τῶν γονέων δηλαδὴ νομικὰ παραγγέλματα.

γ. Καὶ εἶπεν αὐτῷ ὁ πατὴρ αὐτῦ καὶ ἡ μήτηρ αὐτῦ, μὴ ὐκ εἰσὶ θυγατέρες τῶν ἀδελφῶν μυ, (1) καὶ ἐκ παντὸς τῦ λαῦ μυ γυνὴ, ὅτι σὺ πορεύῃ λαβεῖν γυναῖκα ἀπὸ τῶν ἀλλοφύλων τῶν ἀπεριτμήτων; καὶ εἶπε Σαμψὼν πρὸς τὸν πατέρα αὐτῦ, ταύτην λάβε μοι, ὅτι αὕτη εὐθεῖα ἐν ὀφθαλμοῖς μυ.

** ΙΩΣΗΠΟΥ. Παρακαλεῖται τὲς γονεῖς, ἄγεσθαι πρὸς γάμον αὐτῷ τὴν κόρην. τῶν δὲ ἀρνυμένων, διὰ τὸ μὴ ὁμόφυλον εἶναι· τῦ Θεῦ κατὰ τὸ Ἑβραίων συμφέρον ἐπινοῦντος τὸν γάμον, ἐκνικᾷ μνηςεύσασθαι τὴν παρθένον.

δ. Καὶ ὁ πατὴρ αὐτῦ καὶ ἡ μήτηρ αὐτῦ ὐκ ἔγνωσαν ὅτι παρὰ Κυρίυ ἐςὶν, ὅτι ἐκδίκησιν αὐτὸς ἐκζητεῖ ἐκ τῶν ἀλλοφύλων. καὶ ἐν τῷ καιρῷ ἐκείνῳ οἱ ἀλλόφυλοι κυριεύοντες ἐν Ἰσραήλ.

» ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ, παρὰ Κυρίυ ἐςὶν, ὐ τὴν ἐνέργειαν τὴν θείαν, ἀλλὰ τὴν συγχώρησιν τὴν θείαν δηλοῖ.

ε. Καὶ κατέβη Σαμψὼν ὁ πατὴρ αὐτῦ καὶ ἡ μήτηρ αὐτῦ εἰς Θαμναθὰ· καὶ ἦλθεν ἕξω ἕως τῦ ἀμπελῶνος Θαμναθὰ, καὶ ἰδὲ σκύμνος λέοντος ὠρυόμενος εἰς συνάντησιν αὐτῦ.

ς. Καὶ ἥλατο ἐπ' αὐτὸν πνεῦμα Κυρίυ, καὶ συνέτριψεν αὐτὸν ὡσεὶ συντρίψει ἔριφον αἰγῶν, καὶ ὐδὲν ἦν

Γ ἐν ταῖς χερσὶν αὐτῦ. καὶ ὐκ ἀπήγγειλε τῷ πατρὶ αὐτῦ καὶ τῇ μητρὶ αὐτῦ, ὃ ἐποίησε.

» ΑΔΗΛΟΥ. Ὅμοιόν ἐςι τῷ, ἤρξατο Κριτ. 13.
» πνεῦμα Κυρίυ συμπορεύεσθαι αὐτῷ.

** ΙΩΣΗΠΟΥ. Συντυγχάνει λέοντι, καὶ γυμνὸς ὢν, ἐκδεξάμενος αὐτὸν ἄγχει ταῖς χερσὶ, καὶ εἰς τὸ χωρίον τὸ ὑλῶδες ἐνδοτέρω τῆς ὁδῦ ῥίπτει τὸ θηρίον.

» ΑΔΗΛΟΥ. Καὶ ὐδὲν ἦν ἐν ταῖς χερσὶν
Δ αὐτῦ. Τῦτό φησιν, ὅτι μηδεμίαν ἁμαρτίαν ἔχοντος τῦ Χριςῦ, φθόνῳ μόνῳ κατέκρι-
» ναν. διὸ καὶ ἔλεγεν αὐτοῖς· τίς ἐξ ὑμῶν Ἰωάν. 8.
» ἐλέγχει με περὶ ἁμαρτίας;

ζ. Καὶ κατέβησαν καὶ ἐλάλησαν τῇ γυναικὶ, καὶ ηὐθύνθη ἐν ὀφθαλμοῖς Σαμψών.

η. Καὶ ὑπέςρεψε μεθ' ἡμέρας λαβεῖν αὐτὴν, καὶ ἐξέκλινεν ἰδεῖν τὸ πτῶ-

E μα τῦ λέοντος, καὶ ἰδὲ συναγωγὴ μελισσῶν ἐν τῷ ςόματι αὐτῦ καὶ μέλι.

** ΙΩΣΗΠΟΥ. Πάλιν ἀπιὼν πρὸς τὴν κόρην, ἐπιτυγχάνει σμήνει μελιττῶν ἐν τῷ ςήθει τῦ λέοντος ἐκείνυ νενοσσευκότι. καὶ ἀνελόμενος τρία μέλιτος κηρία, σὺν τοῖς λοιποῖς δώροις οἷς ἐκόμιζε, δίδωσι τῇ παιδί.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Σημαίνονται οἱ ἐκ

Z τῆς περιτομῆς μετανοῦντες, καὶ ἐπιςρέφοντες ἐπὶ τὸ Χριςῦ σῶμα.

ΑΔΗΛΟΥ. Αἱ Ἐκκλησίαι (2) πρὸς τὸ σῶμα τῦ Σωτῆρος, ἐν αἷς ἀποτίθενται τὸν τῆς ἐπυρανίυ δικαιοσύνης καρπόν.

** ΠΡΟΚΟΠΙΟΥ. Ἔςι τὶς πρῶτος λέων ὁ ἀντικείμενος Διάβολος, καὶ ἔςι τὶς ἔσχατος πάντων ὁ ἐπὶ συντελείᾳ φανερω-
» θησόμενος, ὁ ἄνθρωπος τῆς ἁμαρτίας, ὁ 2. Θεσ. 2.
» υἱὸς τῆς ἀπωλείας, ὁ ἀντικείμενος καὶ ἐπαι-
Η. » ρόμενος ἐπὶ πάντα λεγόμενον Θεὸν, ἢ σέβασμα. μεταξὺ δὲ τῦ ἀπ' ἀρχῆς ἀνθρωποκτόνυ καὶ τῦ ὑςέρυ λέοντος κατὰ γενεὰν λέοντες

(1) Ἀδελφῶν συ. αἱ εἰρημ. ἐκδόσ.

(2) Ἐννοητέον τὸ, σημαίνονται ἐπιςρέφυσαι.

λέοντες προσπολεμοῦσιν ἀνθρώποις. καὶ οὐκ ἦν γενεὰ ὅτε λέων οὐκ ἦν. καὶ κατὰ τὴν Σαμψὼν γενεὰν λέων τὶς ἦν παρὰ τὴν ὁδὸν, ὃν ἀπέκτεινεν· οὗπερ ἐν τῷ στόματι τεθνηκότος εὑρίσκεται μέλι. νεκρώσωμεν οὖν τὸν ἐπιβουλεύοντα λέοντα. ζῶντος γὰρ ἐν τῷ στόματι οὐκ ἂν εὑρίσκοιτο μέλι. λέγεται δὲ πᾶς λέων ζῶν καὶ δυσωδέστατον ἔχειν τὸ στόμα. παράδοξον οὖν τὸ ἐκ δυσώδους στόματος εὑρεθῆναι μέλι τὸ πάντων γλυκύτατον.

θ. Καὶ ἐξεῖλεν αὐτὸ ἐκ τοῦ στόματος τοῦ λέοντος εἰς τὰς χεῖρας αὐτοῦ, καὶ ἐπορεύετο πορευόμενος καὶ ἔσθων. καὶ ἐπορεύθη πρὸς τὸν πατέρα αὐτοῦ καὶ πρὸς τὴν μητέρα αὐτοῦ, καὶ ἔδωκεν αὐτοῖς καὶ ἔφαγον, καὶ οὐκ ἀνήγγειλεν αὐτοῖς ὅτι ἀπὸ τοῦ στόματος τοῦ λέοντος ἐξεῖλε τὸ μέλι.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε καὶ Ναζιραῖος ὢν, καὶ ὑπὸ τὸν νόμον τελῶν, ἔφαγε τὰ ἐν τῷ στόματι τοῦ λέοντος, καὶ νεκροῦ λέοντος, (1) κατασκευασθέντα κηρία; Δηλοῖ καὶ τοῦτο τῶν τοιούτων νόμων οὐ πᾶσιν ἀναγκαίαν τὴν χρείαν. οὐδεὶς γὰρ τῶν τοὺς τοιούτους παραβεβηκότων νόμους εἰσεπράχθη δίκας. εἰ δέ τις ὑπείληφε τοῦτο πεπραχέναι τὸν Σαμψὼν, ὡς οὐκ ἀκριβῆ φύλακα τοῦ νόμου γεγενημένον, σκοπησάτω πάλιν, ὡς διψήσαντι νᾶμα δέδωκεν ὁ Θεὸς, τὸ κοῖλον τῆς τοῦ ὄνου σιαγόνος ἀναβλύσαι κελεύσας. αὕτη δὲ κατὰ τὸν νόμον τριπλῆς μετεῖχεν ἀκαθαρσίας. καὶ γὰρ ζῶον (2) ὁ ὄνος ἀκάθαρτος, καὶ νεκρὸς πάλιν ἀκάθαρτος, καὶ τὸ φονικὸν γενόμενον ὄργανον, καὶ χιλίους κατακοντίσαν τῶν ἀλλοφύλων, ἄλλην εἶχεν ἀκαθαρσίαν. ἀλλ' ὅμως ὁ τοῦ νόμου νομοθέτης ἐντεῦθεν αὐτῷ, καὶ οὐκ ἄλλοθεν, παρέσχε τὴν τοῦ ὕδατος χρείαν.

ΑΔΗΛΟΥ. Ὅτι παρέδωκε μὲν Ἰουδαίοις τὸ μυστήριον· διὰ σκιῶν γὰρ τοῦτο γράφει· ὅμως δὲ οὐκ ἀναγγέλλουσι πόθεν τὸ μέλι ἐστίν· ὅτι ὁ Χριστοῦ θάνατος αὐτὸ ποιεῖ.

ι. Καὶ κατέβη ὁ πατὴρ αὐτοῦ πρὸς
τὴν γυναῖκα, καὶ ἐποίησεν ἐκεῖ Σαμ-
ψὼν πότον ἑπτὰ ἡμέρας, ὅτι οὕτω
ια. ποιοῦσιν οἱ νεανίσκοι. Καὶ ἐγένετο ἐν
τῷ φοβεῖσθαι αὐτοὺς αὐτὸν, προσκα-
τέστησαν αὐτῷ ἑτέρους (3) τριάκοντα,
καὶ ἦσαν μετ' αὐτοῦ.

**ΙΩΣΗΠΟΥ. Θαμνιτῶν παρὰ τὴν εὐωχίαν τὴν τῶν γάμων· εἱστία γὰρ αὐτοὺς ἅπαντας· διὰ δέος τῆς ἰσχύος τοῦ νεανίσκου, τριάκοντα δόντων αὐτῷ τοὺς ἀκμαιοτάτους, λόγῳ μὲν ἑταίρους ἐσομένους, ἔργῳ δὲ φύλακας, μή τι παρακινεῖν ἐθελήσειε, τοῦ πότου προβαίνοντος καὶ παιδιᾶς οὔσης, οἷα φιλεῖ παρὰ τοῖς τοιούτοις καιροῖς, ὁ Σαμψὼν

A εἶπεν· ἀλλὰ προβάλλοντος ἐμοῦ λόγον, εἰ λύσετε τοῦτον, ἐφ' ἡμέρας ἑπτὰ ποιούμενοι τὴν ζήτησιν, ὀθόνας τε καὶ στολὰς γέρας τῆς συνέσεως κατ' ἄνδρα ἕκαστον φέρεσθε παρ' ἐμοῦ.

ιβ. Καὶ εἶπεν αὐτοῖς Σαμψὼν,
προβαλῶ ὑμῖν τὸ πρόβλημά μου, καὶ
ἐὰν ἀπαγγέλλοντες ἀπαγγέλλητε (4)
αὐτὸ ἐν ταῖς ἑπτὰ ἡμέραις τοῦ πότου,
B δώσω ὑμῖν τριάκοντα σινδόνας καὶ
τριάκοντα στολάς.

ΑΔΗΛΟΥ. Ἐν ταῖς ἑπτὰ ἡμέραις τοῦ
„ πότου. Τὴν ἐν τῷ αἰῶνι τούτῳ κρεπάλην. (5)
ἣν ἀγαπήσας ὁ λαὸς τῶν θείων παρήκουσεν
ἐντολῶν. διὰ τοῦτο καὶ ὀνειδίζεται παρὰ τοῦ
„ προφήτου Ἡσαΐου, λέγοντος· οὐαὶ οἱ ἐγειρό- Ἡσ. 5. 11.
„ μενοι τὸ πρωῒ, καὶ τὸ σίκερα ἐκδιώκοντες.

ιγ. Καὶ ἐὰν μὴ δύνησθε ἀπαγγεῖ-
Γ λαί μοι, καὶ δώσετε ὑμεῖς ἐμοὶ τριά-
κοντα ὀθόνια καὶ τριάκοντα ἀλλασσο-
μένας στολάς. (6) καὶ εἶπαν αὐτῷ, προ-
βαλοῦ τὸ πρόβλημά σου, καὶ ἀκουσό-
ιδ. μεθα αὐτό. Καὶ εἶπεν αὐτοῖς, τὶ
βρωτὸν ἐξῆλθεν ἐκ βιβρώσκοντος,
καὶ ἀπὸ ἰσχυροῦ γλυκύ. καὶ οὐκ ἠδύ-
ναντο ἀπαγγεῖλαι τὸ πρόβλημα ἐπὶ
τρεῖς ἡμέρας.

Δ **ΙΩΣΗΠΟΥ. Φιλοτιμουμένων ὁμοῦ τε συνετῶν δόξαι καὶ κέρδος εὑρέσθαι, καὶ λέγειν ἀξιούντων, φησίν· ὅτι τὸ πάμβορον γεγεννήκει βορὰν ἡδεῖαν ἐξ αὐτοῦ, καὶ πάνυ ἀηδοῦς ὄντος.

**ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἔστι παραβο-
λὴ αἰνιγματώδης λόγος, ὃ πολλοὶ λέγουσι
ζήτημα, ἐμφαῖνον μέν τι, οὐκ αὐτόθεν δὲ
δῆλον ὂν ἀπὸ τῶν ῥημάτων, ἀλλ' ἔχον ἐν-
τὸς κεκρυμμένην διάνοιαν, οἷα τὰ τοῦ Σαμ-
E „ ψὼν, ἃ ἔλεγεν· ἐξῆλθεν ἀπὸ ἔσθοντος
„ βρῶσις, καὶ ἀπὸ ἰσχυροῦ γλυκύ.

ιε. Καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ
τετάρτῃ, καὶ εἶπαν τῇ γυναικὶ Σαμ-
ψὼν, ἀπάτησον δὴ τὸν ἄνδρα σου, καὶ
ἀπαγγειλάτω σοι τὸ πρόβλημα, μή-
ποτε καύσωμέν σε καὶ τὸν οἶκον τοῦ
πατρός σου ἐν πυρί. ἢ πτωχεῦσαι ἐκα-
ιϛ. λέσατε ἡμᾶς; Καὶ ἔκλαυσεν ἡ γυνὴ
Z Σαμψὼν πρὸς αὐτὸν, καὶ εἶπεν αὐτῷ,
πλὴν ἐμίσησάς με καὶ οὐκ ἠγάπησάς
με, ὅτι τὸ πρόβλημα ὃ προεβάλου
τοῖς υἱοῖς τοῦ λαοῦ μου, οὐκ ἀπήγγει-
λάς μοι. καὶ εἶπεν αὐτῇ Σαμψὼν, εἰ
τῷ πατρί μου καὶ τῇ μητρί μου οὐκ
ιζ. ἀπήγγειλα, καὶ σοὶ ἀπαγγελῶ; Καὶ
ἔκλαυσεν ἐπ' αὐτῷ τὰς ἑπτὰ ἡμέρας,
H ἐν αἷς ἦν ἐν αὐταῖς ὁ πότος. καὶ ἐγέ-
νετο ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἀπήγ-
γειλεν

(1) Καὶ νεκροῦ ὄντος. ἡ ἐν Χάλ. ἔκδ. (2) Ζῶν. ἡ αὐτ. (3) Ἑταίρους. ἡ ἐν Κομπλ. ἔκδ.
(4) Ἀπαγγείλητε. ἡ ἐν Φραν. καὶ ἡ ἐν Κανταβρ. ἐκδόσ. (5) Ἐννοητέον τὸ, δηλοῖ.
(6) Στολὰς ἱματίων. αἱ αὐτ.

γειλεν αὐτῇ, ὅτι ἐνώχλησεν (1) αὐτῷ· καὶ αὐτὴ ἀπήγγειλε τοῖς υἱοῖς τοῦ λαοῦ αὐτοῖς. A

** ΙΩΣΗΠΟΥ. Ἐπὶ τρεῖς ἡμέρας οὐ δυναμένων ἐξευρεῖν τὸ νοούμενον, παρακαλούντων δὲ τὴν κόρην μαθοῦσαν παρὰ τοῦ ἀνδρὸς αὐτῆς μηνῦσαι· καὶ γὰρ ἠπείλουν αὐτὴν ἐμπρῆσαι, τοῦτο μὴ παρασχοῦσαν· ὁ Σαμψὼν δεομένης τῆς κόρης εἰπεῖν αὐτῇ, τὸ μὲν πρῶτον ἀντεῖχεν· ἐγκειμένης δ' αὐτῆς, καὶ εἰς δάκρυα προπιπτούσης, καὶ B τεκμήριον τιθεμένης τῆς πρὸς αὐτὴν δυσνοίας τὸ μὴ λέγειν αὐτῇ, μηνύει τὰ περὶ τὴν ἀναίρεσιν αὐτῇ τοῦ λέοντος, καὶ ὅτι μελίττας εὑρὼν ἐν τῷ στήθει αὐτοῦ, τρία βαστάσας μέλιτος κηρία κομίσειεν αὐτῇ. καὶ ὁ μὲν οὐδὲν ὑφορώμενος δολερὸν, σημαίνει τὸ πᾶν· ἡ δὲ ἐκφέρει τὸν λόγον τοῖς δεηθεῖσι.

ιη. Καὶ εἶπαν αὐτῷ οἱ ἄνδρες τῆς πόλεως ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ πρὸ Γ τοῦ δῦναι τὸν ἥλιον, τί γλυκύτερον μέλιτος, καὶ τί ἰσχυρότερον λέοντος; καὶ εἶπεν αὐτοῖς Σαμψὼν, εἰ μὴ κατεδαμάσατε τὴν δάμαλίν μου, οὐκ ἂν ἔγνωτε τὸ πρόβλημά μου.

** ΙΩΣΗΠΟΥ. Κατὰ τὴν ἑβδόμην ἡμέραν, καθ' ἣν ἔδει τὸν προβληθέντα λόγον αὐτῷ διασαφεῖν, πρὶν ἢ δῦναι τὸν ἥλιον συνελθόντες, φασίν· οὔτε λέοντος Δ ἀηδέστερόν τι τοῖς συντυγχάνουσιν. οὔτε ἥδιον μέλιτος χρωμένοις. καὶ ὁ Σαμψὼν εἶπεν· οὐδὲ γυναικὸς εἶναι τὶ δολερώτερον, ἥτις ὑμῖν ἐκφέρει τὸν ἡμέτερον λόγον.

ΑΔΗΛΟΥ. Ἰσχυρὸς ὁ θάνατος ὁ πάντων κρατῶν· ἀλλ' ἐξῆλθεν ἐξ αὐτοῦ γλυκὺ, τῆς ἀναστάσεως ὁ λόγος, ὁ μετὰ τὴν ἔγερσιν εἰς πάντα τὰ ἔθνη διαδοθείς.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Εἰ μὴ γὰρ τὰ διὰ νόμου καὶ τῶν Προφητῶν τῇ συναγωγῇ παραδοθέντα ῥήματα, ταῦτα ἡμεῖς ἀκούσαντες ἐδιδασκόμεθα, οὐκ ἂν ἔγνωμεν τὸ Χριστοῦ μυστήριον, οὐδὲ ἐδυνήθημεν αὐτὸ ἑτέροις διηγήσασθαι.

ιθ. Καὶ ἥλατο ἐπ' αὐτὸν πνεῦμα Κυρίου, καὶ κατέβη εἰς Ἀσκάλωνα, καὶ ἐπάταξεν ἐξ αὐτῶν τριάκοντα ἄνδρας, καὶ ἔλαβε τὰ ἱμάτια αὐτῶν, καὶ ἔδωκε τὰς στολὰς τοῖς ἀπαγγείλασιν αὐτοῦ τὸ πρόβλημα. καὶ ὠργίσθη θυμῷ Σαμψὼν, καὶ ἀνέβη εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Δίδωσιν ἃ ὑπέσχετο, λείαν ποιησάμενος Ἀσκαλωνιτῶν τοὺς κατὰ τὴν ὁδὸν αὐτῷ συντυγχάνοντας· Παλαιστῖνοι δέ εἰσι καὶ οὗτοι· τὸν δὲ γάμον ἐκεῖνον παραιτεῖται.

κ. Καὶ συνῴκησεν ἡ γυνὴ Σαμψὼν τῷ νυμφαγωγῷ αὐτοῦ, ὃς ἦν ἑταῖρος αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ἡ παῖς ἐκφαυλίσασα τῆς ὀργῆς αὐτὸν, συνῆν τῷ αὐτοῦ φίλῳ νυμφοστόλῳ γεγονότι.

ΑΔΗΛΟΥ. Νυμφαγωγὸν, τὸν παράνυμφον λέγει.

ΚΕΦ. ΙΕ.

α. Καὶ ἐγένετο μεθ' ἡμέρας, ἐν
ἡμέραις θερισμοῦ πυρῶν,
καὶ ἐπεσκέψατο Σαμψὼν
τὴν γυναῖκα αὐτοῦ ἐν ἐρίφῳ αἰγῶν,
καὶ εἶπεν, εἰσελεύσομαι πρὸς τὴν γυ-
ναῖκά μου εἰς τὸ ταμεῖον. καὶ οὐκ ἔδω-
κεν αὐτῷ ὁ πατὴρ αὐτῆς εἰσελθεῖν.
β. Καὶ εἶπεν ὁ πατὴρ αὐτῆς, λέγων,
εἶπα ὅτι μισῶν ἐμίσησας αὐτὴν, καὶ
ἔδωκα αὐτὴν ἑνὶ ἐκ τῶν φίλων σου.
μὴ οὐχὶ ἡ ἀδελφὴ αὐτῆς ἡ νεωτέρα
αὐτῆς ἀγαθωτέρα ὑπὲρ αὐτήν; ἔσω
γ. δή σοι ἀντὶ αὐτῆς. Καὶ εἶπεν αὐτοῖς
Σαμψὼν, ἠθῷωμαι τὸ ἅπαξ ἀπὸ τῶν
ἀλλοφύλων, ὅτι ποιῶ ἐγὼ μετ' αὐ-
τῶν πονηρίαν.
δ. Καὶ ἐπορεύθη Σαμψὼν, καὶ συ-
νέλαβε τριακοσίας ἀλώπεκας, καὶ
ἔλαβε λαμπάδας, καὶ ἐπέστρεψε κέρ-
κον πρὸς κέρκον, καὶ ἔθηκε λαμπάδα
μίαν ἀναμέσον τῶν (2) κέρκων ἐν τῷ
ε. μέσῳ καὶ ἔδησε. Καὶ ἐξέκαυσε πῦρ
E ἐν ταῖς λαμπάσι, καὶ ἐξαπέστειλεν
ἐν τοῖς στάχυσι τῶν ἀλλοφύλων· καὶ
ἐνεπύρησε τοὺς στάχυας ἀπὸ ἅλωνος
καὶ ἕως σταχύων ὀρθῶν, καὶ ἕως ἀμ-
πελῶνος καὶ ἐλαίας.

** ΙΩΣΗΠΟΥ. Θέρους ὄντος, καὶ πρὸς ἀμητὸν ἤδη τῶν καρπῶν ἀκμαζόντων, συλλαβὼν τριακοσίας ἀλώπεκας, καὶ τῶν οὐρῶν αὐτῶν ἐξάψας λαμπάδας ἡμμένας, ἐξαφίησιν εἰς τὰς ἀρούρας τῶν Παλαιστίνων.

ΘΕΟΔΩΡΙΤΟΥ. Πόθεν [ὁ] Σαμψὼν τοσαύτας ἀλώπεκας ἤγρευσεν; Ὄρος ἐστὶ παρ' αὐτοῖς πολλὰς ἀλώπεκας τρέφον· καὶ
» τοῦτο ἡ ἱστορία διδάσκει. ἤρξατο γάρ φησιν Κριτ. ι. 35
» ὁ Ἀμοῤῥαῖος κατοικεῖν ἐν τῷ ὄρει τοῦ Μυρ-
» σινῶνος, οὗ αἱ ἄρκοι καὶ αἱ ἀλώπεκες.

ΑΔΗΛΟΥ. Εἰ καὶ ἀδύνατον δοκεῖ τοῖς πολλοῖς, ἀλλ' οὖν τὰ κατὰ θείαν χάριν γινόμενα, ῥᾷον ἐπιτελεῖται. κέρκον δὲ πρὸς κέρκον συνέδησεν· ἵνα τῆς μὲν ἐπὶ τοῦτο, τῆς δὲ ἐπ' ἐκεῖνο τὸ μέρος ἐκκλινούσης, ἐν τῷ αὐτῷ

(1) Παρηνώχλησεν. αἱ αὐτ.

(2) Δύω κέρκων. αἱ αὐτ.

αὐτῷ τόπῳ προσδιατρίβωσι, καὶ ἐπὶ πλέον
ἡ πυρὰ ἐν τοῖς γεννήμασιν ἐξάπτηται.

** ΠΡΟΚΟΠΙΟΥ. Τίνες δ' ἂν εἶεν αἱ
ἀλώπεκες, αἷς προσάψας λαμπάδας, τὰς
ἀρούρας τῶν ἀλλοφύλων ἐνέπρησεν ἐπὶ τῇ
τῆς Φυλιστιαίας γυναικὸς ἀγανακτήσας στε-
ρήσει; Ἀλλὰ καὶ Ἔσδρας ἐν τῷ δευτέρῳ
λόγῳ φησὶν, ὡς τῶν ἀπὸ τῆς αἰχμαλω-
σίας τειχοποιούντων, Ἀναβαλλὰτ καὶ Τω-
Νεεμ. 4. 3. βίας ὁ Ἀμμανίτης ἔλεγον· μὴ θύουσιν ἢ
» φάγονται ἐπὶ τοῦ τόπου αὐτῶν; οὐχὶ ἀνα-
» βήσεται ἀλώπηξ, καὶ καθελεῖ τὸ τεῖχος
» λίθον αὐτῶν; καὶ ὁ Σωτὴρ περὶ Ἡρώδου·
Λουκ. 13. 32. εἴπατε τῇ ἀλώπεκι ταύτῃ. καὶ περί τινων
ἀσεβῶν ἐν τῷ ξβ' ψαλμῷ φησὶν ὁ Δαβίδ·
Ψαλ. 62. 10. μερίδες ἀλωπέκων ἔσονται. καὶ ἐν Ἄσματι
Ἀσμ. 2. 15. τῶν Ἀσμάτων φησί· πιάσατε ἡμῖν ἀλώ-
» πεκας μικροὺς ἀφανίζοντας ἀμπελῶνας.
περὶ μὲν οὖν τῶν ἀσεβῶν τῶν ἐν τῷ ψαλμῷ
Ψαλ. 62. 9, προλέγει· αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν
10. » τὴν ψυχήν μου, εἰσελεύσονται εἰς τὰ κα-
» τώτατα τῆς γῆς, παραδοθήσονται εἰς χεῖ-
» ρας ῥομφαίας. Πάντων μὲν τῶν φαύλων
εἰσιόντων εἰς τὰ γήϊνα, τῶν δὲ ματαιότητι
περιβαλεῖν ἐθελόντων τὴν τοῦ δικαίου ψυ-
χὴν, ὑπαγαγεῖν τε αὐτὴν μυθώδεσι λόγοις
ἐν τοῖς κατωτάτω ἐσομένων αὐτῆς, κατὰ
διάθεσίν τε καὶ τὰ ἐπακολουθοῦντα τῇ τοιαύ-
τῃ διαθέσει κολαστήρια· ἃ δὴ χεῖρας ῥομ-
φαίας φησὶ, δηλαδὴ τῆς φλογίνης. ἕκα-
στος δὲ τῶν ἀνθρώπων μερίς ἐστιν ἤτοι τοῦ
Θεοῦ, ἢ τινὸς τῶν εἰληχότων ἀνθρώπους,
Δευτ. 32. 8. ὅτε διεμέριζεν ὁ ὕψιστος ἔθνη. μεταστταίη
δ' ἄν τις ἀπὸ μερίδος εἰς ἑτέρου μερίδα. διὸ
μερίδες ἀλωπέκων οἱ τὴν τοῦ Θεοῦ ματαιοῦν
ἐσπουδακότες ψυχὴν, μερίδες κακῶν καὶ
πανούργων δυνάμεων, τῶν ἀρχὴν στειρα-
σῶν ψευδωνύμου τινὸς γνώσεως. ὧν οἱ πει-
σθέντες μερίδες εἰσελθόντες εἰς τὰ κατώ-
τατα τῆς γῆς, οἱ κατὰ τὸ Εὐαγγέλιον καὶ
ἀλωπέκων ὀνομάζονται φωλεοί. ἐν οἷς ὁ
γενόμενος σὰρξ λόγος, καὶ διὰ τοῦτο ὀνο-
Ματθ. 8. 20, μαζόμενος υἱὸς ἀνθρώπου, οὐκ ἔχει ποῦ τὴν
19. » κεφαλὴν κλίνει καὶ ἀναπαύσεται. ὅπερ
εἴρηται· πρὸς οὐ μαθητὴν, ἀλλὰ Γραμμα-
» τέα λέγοντα, ἀκολουθήσω σοι. οὐ δὲ ἄρα
πετεινῶν οὗτος καὶ ἀλωπέκων μερίς. τοῖς
τοιούτοις παρέδωκε τὰ γεννήματα τῶν ἀλλο-
φύλων ὁ Σαμψὼν εἰς ἐμπρησμὸν, διὰ τῆς
ἀσυμφώνου τῶν συνδεδεμένων ἀλωπέκων
πορείας. τάχα γὰρ τέλος τοιοῦτόν ἐστι τοῖς
μοχθηροῖς γεωργοῖς παραδιδομένοις ὡς ἄλ-
1. Κορ. 5. 5. λο τι τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός·
οὕτω ταῖς ἀλώπεξιν ἐπιφερομέναις λαμπά-
δας εἰς ἀφανισμὸν αὐτῶν.

** ΝΕΙΛΟΥ. Τάχα καὶ Σαμψὼν οὐκ
ἂν ἐνέπρησε τὰ τῶν ἀλλοφύλων θέρη, εἰ
μὴ τὰς κεφαλὰς ἀντιστρέψας τῶν ἀλωπέ-
κων, συνέδησε ταῖς οὐραῖς. ὁ γὰρ δυνηθεὶς
τῶν πανούργων λογισμῶν ἐκ προοιμίων στο-
χάσασθαι τὴν ἐνέδραν, καὶ τὰς ἀρχὰς πα-
A ριδὼν· σεμνὰς γὰρ τῷ δοκεῖν αὐτὰς ποιεῖ-
σθαι μηχανῶνται τοῦ ἐπιλαβέσθαι τοῦ τέ-
λους· (1) καὶ ἐκ τῆς τῶν περάτων πρὸς ἄλ-
ληλα συγκρίσεως ἐλέγξαι τὸ ἄτοπον τῶν
λογισμῶν, κέρκον συνδήσας κέρκῳ, λαμ-
πάδα θεὶς ἀναμέσον αὐτῶν τὸν ἔλεγχον.
καὶ ἵνα σαφέστερον γένηται τὸ λεγόμενον,
ἐπὶ δύω λογισμῶν γυμνώσω (2) τὸ εἰρημέ-
νον. ἔσται γὰρ τοῦτο καὶ τῶν λοιπῶν πίστις
ἀληθής. πολλάκις ἀπὸ κενοδοξίας ἄρχε-
B ται ὁ τῆς πορνείας λογισμὸς, καὶ σεμνὰ μὲν
δείκνυσι τὰ προπύλαια τῶν ἐπὶ τὸν ᾅδην
φερουσῶν ὁδῶν· κρύπτει δὲ τοὺς ὀλεθρίους
τρόπους, δι' ὧν εἰς τὰ τοῦ ᾅδου ταμεῖα κατά-
γει τοὺς ἑπομένους ἀλογίστως αὐτῷ. ὑποτί-
θεται γὰρ ἐσθ' ὅτε μὲν, ἱερωσύνην· ἐσθ' ὅτε
δὲ, βίον μοναχοῦ τέλειον, πολλούς τε τοὺς ἐπ'
ὠφελείᾳ παραγινομένους ποιεῖ πρὸς αὐτὸν,
καὶ τὴν εὐδοκίμησιν ἔκ τε λόγου καὶ πράξεως
αὐτὸν φαντάζεσθαι παρασκευάζει. καὶ ὅτε
Γ ἱκανῶς αὐτὸν ταύταις περιβουκολήσας ταῖς
ἐννοίαις ἀπαγάγῃ πολὺ τῆς φυσικῆς νή-
ψεως, τότε συντυχίαν δῆθεν σεμνῆς γυναι-
κὸς ὑπογράψας, ἐπὶ τὴν τοῦ μιαροῦ πράγ-
ματος φέρει ἐνέργειαν, τὴν τῆς συνειδή-
σεως παῤῥησίαν εἰς ἐσχάτην καταφέρων
αἰσχύνην. ὁ τοίνυν τὰς κέρκους συνδῆσαι
βουλόμενος, λαμβανέτω τῶν δύω λογισμῶν
τὰ τέλη, τῆς μὲν κενοδοξίας τὸ ἐπιτί-
λιον, (3) τῆς δὲ πορνείας τὸ ἄτιμον, καὶ
Δ ὅ τὰς (4) ἐναντιουμένας ἴδῃ σαφῶς ἀλλή-
λαις, τότε νομιζέτω τὸ τοῦ Σαμψὼν πε-
ποιηκέναι. πάλιν, ὁ τῆς γαστριμαργίας
λογισμὸς τέλος ἔχει τὸν τῆς πορνείας· ὁ
δὲ τῆς πορνείας, τέλος τὸν τῆς λύπης.
εὐθέως γὰρ λύπη (5) ἀθυμία ἕπεται τῷ
ἡττημένῳ τοῖς τοιούτοις λογισμοῖς μετὰ τὴν
ἀνάληψιν. λογιζέσθω οὖν ὁ ἀγωνιζόμενος
μὴ τὴν ἀπόλαυσιν τῶν βρωμάτων, μηδὲ
τὸ λεῖον τῆς ἡδονῆς, ἀλλ' ἑκατέρων τούτων
E τὰ τέλη· καὶ ὅταν εὕρῃ λύπην ἀκολουθοῦ-
σαν ἀμφοτέροις, ἴσω κέρκον κέρκῳ συν-
δεδεκὼς, καὶ τῷ ἐλέγχῳ τὰ τῶν ἀλλοφύ-
λων ἀφανίσας θέρη.

ϛ. Καὶ εἶπαν οἱ ἀλλόφυλοι, τίς
ἐποίησε ταῦτα; καὶ εἶπαν, Σαμψὼν
ὁ νυμφίος τοῦ Θαμνὶ, ὅτι ἔλαβε τὴν
γυναῖκα αὐτοῦ, καὶ ἔδωκεν αὐτὴν τῷ
ἐκ τῶν φίλων αὐτοῦ. καὶ ἀνέβησαν
Z οἱ ἀλλόφυλοι, καὶ ἐνέπρησαν αὐτὴν
ζ. καὶ τὸν πατέρα αὐτῆς ἐν πυρί. Καὶ
εἶπεν αὐτοῖς Σαμψὼν, ἐὰν ποιήσητε
οὕτω ταύτην, οὐκ εὐδοκήσω, ἀλλὰ τὴν
ἐκδίκησίν μου ἐξ ἑνὸς ἑκάστου ὑμῶν ποιή-
σομαι, ὅτι ἢ μὴν ἐκδικήσω ἐν ὑμῖν,
καὶ ἔσχατον κοπάσω.

** ΙΩΣΗΠΟΥ. Παλαιστῖνοι γνόντες
Σαμψῶνος εἶναι τὸ ἔργον, καὶ τὴν αἰτίαν
H δι' ἣν ἔπραξε, πέμψαντες τοὺς ἄρχοντας

O 3 εἰς

(1) Νοητέον ὧδε τὸ, δυνήσεται. ἄλλως γὰρ τό, τε δυνηθεὶς, καὶ τὸ, παριδὼν, ἀναναπόδοτα.
(2) Ἴσ. γυμνάσω.
(3) Τὸ ἐπιτίμιον πάντως ἀναγνωστ. ἢ τὸ ἐπίτιμον.
(4) Καὶ ὅταν ἀναγν. πολλὰ δὲ τοιαῦτα σφάλματα ἐν τῇ κατὰ τὴν Ῥώμ. ἐκδόσ. ὧν οὐκ ὀλίγα ἐπιδιωρθώκαμεν.
(5) Πρόσθες τὸ, καί.

εἰς Θαμνὰ, τὴν γενομένην αὐτοῦ γυναῖκα A
καὶ τοὺς συγγενεῖς ζῶντας κατέπρησαν, ὡς
αἰτίους τῶν κακῶν γεγονότας.

ΕΙΡΗΝΑΙΟΥ ΕΠΙΣΚΟΠΟΥ. (1) Τοῦτο
σημαίνει τὸν διωγμὸν τὸν κατὰ τῆς Ἐκ-
κλησίας παρὰ τῶν ἔτι μενόντων ἐν τῇ
ἀπιστίᾳ ἐθνῶν. ἀλλ' ἤλπισεν ὁ ταῦτα πά-
σχων, ὡς ἔσαι ἐκδίκησις κατὰ τῶν πολε- »
μούντων. διὰ τίνος δὲ ἡ ἐκδίκησις; πρῶ-
τον μὲν, διὰ τοῦ καταφυγεῖν ἐπὶ τὴν νοη-
τὴν πέτραν· δεύτερον δὲ, διὰ τοῦ εὑρεῖν B
σιαγόνα ὄνου. τύπος δὲ τῆς σιαγόνος τὸ
σῶμα τοῦ Χριςοῦ.

η. Καὶ ἐπάταξεν αὐτοὺς κνήμην
ἐπὶ μηρὸν πληγὴν μεγάλην. καὶ κα-
τέβη καὶ ἐκάθισεν ἐν τρυμαλιᾷ τῆς
πέτρας Ἠτάμ.

** ΙΩΣΗΠΟΥ. Σαμψὼν πολλοὺς ἐν
τῷ πεδίῳ τῶν Παλαιςίνων ἀποκτείνας, Αἰ-
τὰν κατῴκει. πέτρα δέ ἐςιν ὀχυρὰ τῆς Γ
Ἰούδα φυλῆς.

ΑΔΗΛΟΥ. Οὐ καθὸ τὴν πληγὴν εἰς τὸν
μηρὸν ἐδέξατο, (2) ἀλλὰ καθὸ τὴν ἀναίρε-
σιν αὐτῶν ἐποιήσατο, μηρὸς ἐπωνομάζετο.

θ. Καὶ ἀνέβησαν οἱ ἀλλόφυλοι,
καὶ παρενέβαλον ἐν Ἰούδᾳ, καὶ ἐξεῤῥί-
φησαν ἐν Λάχει. (3)

ΑΔΗΛΟΥ. Ἐπὶ τοσοῦτον, φησὶ, πρὸς Δ
παράταξιν ἐξετάθησαν, ὅτι καὶ ἀπὸ τῆς
Ἰούδα κατασχέσεως καὶ μέχρι τῆς τῶν Λευϊ-
τῶν κατοικίας ἔφθασαν.

ι. Καὶ εἶπεν ἀνὴρ Ἰούδα, εἰς τί ἀνέ-
βητε ἐφ' ἡμᾶς; καὶ εἶπαν οἱ ἀλλό-
φυλοι, δῆσαι τὸν Σαμψὼν ἀνέβημεν,
καὶ ποιῆσαι αὐτῷ ὃν τρόπον ἐποίησεν
ια. ἐν ἡμῖν. Καὶ κατέβησαν τρισχίλιοι
ἄνδρες ἀπὸ Ἰούδα εἰς τρυμαλιὰν πέ- E
τρας Ἠτὰμ, καὶ εἶπαν τῷ Σαμψὼν,
οὐκ οἶδας ὅτι κυριεύουσιν ἡμῶν οἱ ἀλλό-
φυλοι; καὶ τί τοῦτο ἐποίησας ἡμῖν;
καὶ εἶπεν αὐτοῖς Σαμψὼν, ὃν τρόπον
ἐποίησάν μοι, οὕτως ἐποίησα αὐτοῖς.

** ΙΩΣΗΠΟΥ. Παλαιςῖνοι ἐςράτευον
ἐπὶ τὴν φυλήν. τῶν δ' οὐ δικαίως λεγόν-
των τιμωρίαν αὐτοὺς εἰσπράττεσθαι περὶ τῶν
Σαμψῶνος ἁμαρτημάτων, φόρους αὐτοὺς τε- Z
λοῦντας· εἰ βούλονται μὴ ἔχειν αἰτίαν, ἔφα-
σαν, αὐτοῖς ὑποχείριον Σαμψῶνα δοῦναι. οἱ
δὲ ἀνέγκλητοι βουλόμενοι τυγχάνειν, πα-
ρῆσαν ἐπὶ τὴν πέτραν τρισχιλίοις ὁπλί-
ταις· καὶ καταμεμψάμενοι τῶν εἰς Παλαι-
ςίνους αὐτῷ τετολμημένων, ἄνδρας ἅπαντι
τῷ γένει τῶν Ἑβραίων συμφορὰν ἐπενεγ-
κεῖν δυναμένους, ἥκειν τε λέγοντες, ὅπως
αὐτὸν λαβόντες ὑποχείριον δῶσιν αὐτοῖς,
ἠξίουν ἑκοντὶ τοῦθ' ὑπομένειν. H

ιβ. Καὶ εἶπαν αὐτῷ, δῆσαί σε κα-
τέβημεν τοῦ δοῦναί σε ἐν χειρὶ ἀλλο-
φύλων. καὶ εἶπεν αὐτοῖς Σαμψὼν,
ὀμόσατέ μοι μὴ ἀποκτεῖναι ὑμεῖς· καὶ
παράδοτέ με αὐτοῖς, καὶ μήποτε συ-
ναντήσητε ἐν ἐμοὶ ὑμεῖς.

ΑΔΗΛΟΥ. Μήποτε συναντήσητε, ἀντὶ
τοῦ, μηδενὶ τρόπῳ συναράσσεσθε κατ' αὐτὸ
τοῖς ἀλλοφύλοις· ἵνα μὴ ἐν τῷ καιρῷ τῆς
παρατάξεως τιμωρίαν ἐξ ἀγνοίας τινὶ αὐ-
τῶν ἐπαγάγηται.

ιγ. Καὶ ὤμοσαν αὐτῷ, λέγοντες,
οὐχὶ, ὅτι ἀλλ' ἢ δεσμῷ δήσομέν σε, καὶ
παραδώσομέν σε ἐν χειρὶ αὐτῶν, καὶ
θανάτῳ οὐ θανατώσομέν σε. καὶ ἔδη-
σαν αὐτὸν ἐν δυσὶ καλωδίοις καινοῖς,
καὶ ἀνήνεγκαν αὐτὸν ἀπὸ τῆς πέτρας
ἐκείνης,

** ΙΩΣΗΠΟΥ. Λαβὼν ὅρκον παρ'
αὐτῶν μηδὲν τούτων ποιήσειν περιοσότερον,
ἀλλὰ τοῖς ἐχθροῖς ἐγχειρεῖν μόνον, κατα-
βὰς ἐκ τῆς πέτρας, αὐτὸν ἐν τῇ τῶν φυ-
λετῶν τίθησιν ἐξουσίᾳ· κἀκεῖνοι δήσαντες
αὐτὸν δυσὶ καλωδίοις, ἦγον παραδοῦναι τοῖς
Παλαιςίνοις.

ΕΙΡΗΝΑΙΟΥ. Προφητεία ἐν αὐτοῖς
ἐσημαίνετο, ὡς παραβάτης γενόμενος ὁ
λαὸς, σειραῖς ταῖς ἑαυτοῦ ἁμαρτίαις σφιγ-
γίσεται. τὸ δὲ λυθῆναι αὐτοῦ αὐτομάτως
τὰ δεσμὰ, σημαίνει, ὡς μετανοήσας, πάλιν
λυθήσεται ἐκ τῶν τῆς ἁμαρτίας δεσμῶν.

ιδ. Καὶ ἦλθον ἕως Σιαγόνος· καὶ
οἱ ἀλλόφυλοι ἠλάλαξαν, καὶ ἔδρα-
μον εἰς συνάντησιν αὐτοῦ. καὶ ἥλατο (4)
πνεῦμα Κυρίου· καὶ ἐγενήθη τὰ κα-
λώδια τὰ ἐπὶ τοῖς βραχίοσιν αὐτοῦ
ὡσεὶ ςιππύον ὃ ἐξεκαύθη ἐν πυρί· καὶ
ἐτάκησαν οἱ δεσμοὶ αὐτοῦ ἀπὸ τῶν
χειρῶν αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Γενομένων κατά τι
χωρίον, ὃ Σιαγὼν καλεῖται νῦν διὰ τὴν
Σαμψῶνος ἀνδραγαθίαν, πάλαι δ' ἦν ἀνώ-
νυμον, οὐκ ἄπωθεν ἐςρατοπεδευκότων τῶν
Παλαιςίνων, ἀλλ' ὑπαντώντων μετὰ χαρᾶς
καὶ βοῆς, ὡς ἐπὶ κατωρθωμένοις οἷς ἐβού-
λοντο, διαῤῥήξας τὰ δεσμὰ Σαμψὼν, ἁρ-
πασάμενος ὄνου σιαγόνα παρὰ ποσὶν οὖσαν,
εἰς τοὺς πολεμίους ὤσατο· καὶ παίων αὐτοὺς
τῇ σιαγόνι, κτείνει εἰς χιλίους, τοὺς δ' ἄλ-
λους τρέπεται ταραχθέντας.

ΑΔΗΛΟΥ. Τὴν ἐκ τοῦ μετὰ ταῦτα γε-
νομένου πράγματος ἐπιτεθεῖσαν τῷ τόπῳ
προσηγορίαν προλαβὼν, εἶπε.

** ΠΡΟΚΟΠΙΟΥ. Σιαγὼν τόπος ἦν
ἀνώνυμος πρότερον, κληθεὶς ἀπὸ τῆς σια-
γόνος τοῦ ὄνου, ἣν ἔλαβεν ὁ Σαμψὼν, καὶ
ἀνεῖλε

(1) Οὐδὲ τοῦτο, οὐδὲ τὸ ἑξῆς τοῦ Εἰρην. ἐν τοῖς τοῦ Λουγδούνου ἐκδεδομ. εὕρηται. οὐκ ὀρθὸν δὲ τὸ ἐν τῷ τέλει, εἰ μὴ ἐκφρασθείη οὕτω· τύπος δὲ ἡ σιαγὼν τοῦ σώματος τοῦ Χριςοῦ. (2) Ἐδέξαντο. ὀρθότερ.
(3) Λεχί. ἐν ταῖς εἰρημ. ἐκδόσ. Λευΐ. ἐν ταῖς σημ. τῆς ἐν Φραν. ἐκδόσ. (4) Ἐπ' αὐτόν. αἱ εἰρημ. ἐκδόσ.

ἀνεῖλε τοὺς ἀλλοφύλους, ὀνησιφόροις λό-
γοις νεκρώσας τούτων τὰ δόγματα.

ΔΙΟΔΩΡΟΥ. (1) Σημειωτέον, ὅτι οὐκ
ἔτι ἡ θεία Γραφὴ μετὰ τὴν πορνείαν ἐν
τοῖς παρ' αὐτοῦ κατωρθωμένοις ἐφθέγξατο
» τὸ, ἥλατο ἐπ' αὐτὸν πνεῦμα Κυρίου. οὕτω
γὰρ τὸ τῆς πορνείας ἁμάρτημα περὶ τὸ
σῶμα, ὡς περὶ Θεοῦ ναὸν ἁμαρτάνηται, (2)
κατὰ τὸν θεῖον Ἀπόστολον. Καὶ μετ' ὀλίγα. Εἰ
δὲ μετὰ τὸ πορνεῦσαι τὸν Σαμψὼν, τότε
κατεύθυνεν ἐπ' αὐτὸν πνεῦμα Κυρίου, ἢ
ὅτε τὴν τρίτην ἠγάγετο γυναῖκα, ἢ καὶ
προδέδωκεν αὐτὸν εἰς θάνατον, τοῦτο καὶ
ἐξ αὐτῆς τῆς θείας Γραφῆς δεικνύντων
τῶν αἱρετικῶν· τὸ πνεῦμα τὸ ἅγιον οὐ συ-
νοικεῖ καθάπερ ἡ ψυχὴ τοῖς σώμασιν· ἀλ-
λὰ πάρεστι μὲν ὡς ἀπερίγραφον, ἐνεργεῖ δὲ
ὅσα βούλεται. τοῦτο προγινώσκον τοῦ Σαμ-
ψὼν τὴν ἀγριότητα, καὶ οἴνου καὶ σταφίδος
αὐτὸν ἀπέχεσθαι προστάττει· μήποτε τῇ
μανίᾳ τῆς ψυχῆς συγκραθῇ ὁ οἶνος, καὶ
κατὰ τῶν ὁμοφύλων αὐτὸν ἐγείρῃ.

ιε. Καὶ εὗρε σιαγόνα ὄνου ἐξεῤῥιμ-
μένην, καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ
καὶ ἔλαβεν αὐτὴν, καὶ ἐπάταξεν ἐν
αὐτῇ χιλίους ἄνδρας.

✱✱ ΣΕΥΗΡΙΑΝΟΥ. Καὶ εὑρὼν ὄνου
σιαγόνα, χιλίους ἄνδρας διεχειρίσατο. καὶ
ὅρα τῆς θείας Γραφῆς τὸ σοφόν. ἐπειδὴ
τοῖς ἀπείροις τοῦ ἀνδρὸς, ἄπιστον ἦν τὸ ῥῆ-
μα, ὅτι ὁ δεδεμένος ἐνίκησε τοὺς λελυμένους,
καὶ ὁ μόνος τῶν πολλῶν περιεγένετο, διὸ
» προέταξε καλῶς· καὶ πνεῦμα Κυρίου ἐπῆλ-
» θεν ἐπὶ Σαμψὼν, καὶ ἔλαβε σιαγόνα ὄνου,
» καὶ ἀνεῖλε χιλίους· ἵνα ὅταν ἀπιστηθῇ διὰ
τὴν ἀνθρωπίνην φύσιν, πιστευθῇ διὰ τὴν
τοῦ πνεύματος. ἐκεῖ καλῶς ἔλεγε Μωϋ-
Δευτ. 32. 30. σῆς· πῶς διώξεται εἷς χιλίους, καὶ δύω με-
» τακινήσουσι μυριάδας· εἰ μὴ ὅτι Κύριος
» παρέδωκεν αὐτοὺς, καὶ ὁ Θεὸς ἀπέδοτο αὐ-
τούς; ἀνάγνωθι τὰς Γραφὰς, καὶ εὑρήσεις
ἐφ' ἑκάστου στρατηγήματος προτεταγμένην
τοῦ πνεύματος τὴν αὐθεντίαν.

ις. Καὶ εἶπε Σαμψὼν, ἐν σιαγόνι
ὄνου ἐξαλείφων ἐξαλείψω αὐτοὺς, ὅτι
ἐν σιαγόνι ὄνου ἐξήλειψα (3) χιλίους
ἄνδρας.

✱✱ ΙΩΣΗΠΟΥ. Σαμψὼν μεῖζω ἢ χρὴ
ἐπὶ τούτῳ φρονῶν, οὐ κατὰ Θεοῦ συνεργίαν
ἔλεγε τοῦτο συμβῆναι, τὴν δ' ἰδίαν ἀρετὴν
ἐπέγραψε τῷ γεγονότι, σιαγόνι τῶν πο-
λεμίων τοὺς μὲν πεσεῖν, τοὺς δ' εἰς φυγὴν
τραπῆναι διὰ τοῦ παρ' αὐτοῦ δέους αὐχῶν.

ιζ. Καὶ ἐγένετο ὡς ἐπαύσατο λα-
λῶν, καὶ ἔῤῥιψε τὴν σιαγόνα ἐκ τῆς
Α χειρὸς αὐτοῦ· καὶ ἐκάλεσε τὸ ὄνομα τοῦ
τόπου ἐκείνου, Ἀναίρεσις σιαγόνος.

ιη. Καὶ ἐδίψησε σφόδρα, καὶ ἔκ-
λαυσε πρὸς Κύριον, καὶ εἶπε, σὺ εὐώ-
δωσας ἐν χειρὶ τοῦ δούλου σου τὴν σωτη-
ρίαν τὴν μεγάλην ταύτην, καὶ νῦν
ἀποθανοῦμαι ἐν δίψει, καὶ ἐμπεσοῦμαι
ἐν χειρὶ τῶν ἀπεριτμήτων.

Β ✱✱ ΙΩΣΗΠΟΥ. Δίψους αὐτὸν ἰσχυροῦ
κατασχόντος, κατανοῶν ὡς οὐδέν ἐστιν ἀν-
θρώπειος ἀρετὴ, τῷ Θεῷ πάντα προσε-
μαρτύρει· καὶ καθικέτευε, μηδὲν τῶν εἰρη-
μένων πρὸς ὀργὴν λαβόντα, τοῖς πολε-
μίοις αὐτὸν ἐγχειρίσαι, παρασχεῖν δὲ βοή-
θειαν πρὸς τὸ δεινὸν, καὶ ῥύσασθαι τοῦ κακοῦ.

ΑΔΗΛΟΥ. Διὰ μεγαλοῤῥημοσύνην δί-
ψα τῷ Σαμψὼν προσεγένετο. ὑπέλαβε
γὰρ οἰκείᾳ δυνάμει κατωρθωκέναι τὴν τῶν
Γ ἐχθρῶν νίκην, καὶ οὐ τῇ χάριτι τοῦ Θεοῦ.
διὸ καὶ πρὸς βραχὺ πειράζεται νῦν, ὅπως
γνῷ, ὅτι δίχα τῆς τοῦ Θεοῦ ἐπικουρίας οὐδε-
μία σωτηρία τοῖς ἀνθρώποις κατορθοῦται.
ὅθεν ἐπιγνοὺς, λέγει ἐν ἐξομολογήσει· εὐώ-
» δωκας ἐν τῇ χειρὶ τοῦ δούλου σου τὴν σωτη-
» ρίαν τὴν μεγάλην ταύτην.

ΑΔΗΛΟΥ. Ὡς ἐπ' εὐχαριστίᾳ καὶ ἐπαί-
νῳ τῷ Θεῷ τὸν λόγον ἐφθέγξατο.

Δ ιθ. Καὶ ἔῤῥηξεν ὁ Θεὸς τὸ τραῦ-
μα (4) τὸ ἐν σιαγόνι, καὶ ἐξῆλθεν ἐξ
αὐτοῦ ὕδωρ, καὶ ἔπιε· καὶ ἐπέστρεψε
τὸ πνεῦμα αὐτοῦ καὶ ἔζησε· διὰ τοῦτο
ἐκλήθη τὸ ὄνομα αὐτῆς, Πηγὴ τοῦ
ἐπικαλουμένου, ἥ ἐστιν ἐν Σιαγόνι ἕως
τῆς ἡμέρας ταύτης.

» ΑΔΗΛΟΥ. [Καὶ ἔῤῥηξεν·] ἐν ἑτέρᾳ
Ε » ἐκδόσει, καὶ ἤνοιξεν ὁ Θεὸς τὸ τραῦμα τῆς
σιαγόνος. Καλῶς εἶπεν, ἤνοιξεν· ὅτι οὐ
φυσικῇ ἀκολουθίᾳ, ἀλλ' ἐκ θείας δυνάμεως
τὰ ὕδατα ἐξ αὐτῆς ἐτέχθη.

ΩΡΙΓΕΝΟΥΣ. (5) Ἀντὶ τοῦ, ἔῤῥηξε
τῇ πληγῇ τῆς σιαγόνος τὴν γῆν, καὶ ἐξῆλ-
θεν ὕδατα.

✱✱ ΙΩΣΗΠΟΥ. Πρὸς τὰς ἱκετείας
ἐπικλασθεὶς ὁ Θεὸς, πηγὴν κατά τινος πέ-
τρας ἀνίησιν ἡδεῖαν καὶ πολλήν. ὅθεν ὁ
Ζ Σαμψὼν ἐκάλει τὸ χωρίον, Σιαγόνα· καὶ
μέχρι τοῦ δεῦρο τοῦτο λέγεται.

ΣΕΥΗΡΟΥ. Διὰ τοῦτο ἐκλήθη τὸ ὄνο-
μα τῆς πηγῆς ἐκείνης, Πηγὴ Σιαγόνος
ἕως τῆς σήμερον ἡμέρας.

κ. Καὶ ἔκρινε τὸν Ἰσραὴλ ἐν ἡμέ-
ραις ἀλλοφύλων εἴκοσι ἔτη.

ΚΕΦ.

(1) Ὁ Ἀλεξάν. κώδ. Εἰρηναίου. ἄχρι τοῦ, μετ' ὀλίγα. εἶτα, Διοδώρου. τὰ δὲ ἀπὸ τοῦ, τὸ πνεῦμα τὸ ἅγιον, ἄχρι τέλους τὰ αὐτὰ τοῖς τοῦ Προκοπ. τοῖς ἐν σελ. 211.

(2) Ἁμαρτάνεται. ὀρθότερ.

(3) Ἐπάταξα. αἱ εἰρημ. ἐκδόσ.

(4) Τὸν λάκκον τὸν ἐν τῇ σιαγ. αἱ αὐτ.

(5) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

ΚΕΦ. ΙϚ.

α. Καὶ ἐπορεύθη Σαμψὼν εἰς
Γάζαν, καὶ εἶδεν ἐκεῖ γυ-
ναῖκα πόρνην, καὶ εἰσῆλ-
β. θε πρὸς αὐτήν. Καὶ ἀπηγγέλη τοῖς
Γαζαίοις, λέγοντες, ἥκει Σαμψὼν
ὧδε. καὶ ἐκύκλωσαν, καὶ ἐνήδρευσαν
ἐπ' αὐτὸν ὅλην τὴν νύκτα ἐν τῇ πύλῃ
τῆς πόλεως· καὶ ἐκώφευσαν ὅλην
τὴν νύκτα, λέγοντες, ἕως διαφαύσῃ
γ. ὁ ὄρθρος, καὶ φονεύσωμεν αὐτόν. Καὶ
ἐκοιμήθη Σαμψὼν ἕως μεσονυκτίου, καὶ
ἀνέστη ἐν ἡμίσει τῆς νυκτὸς, καὶ ἐπε-
λάβετο τῶν θυρῶν τῆς πύλης τῆς
πόλεως σὺν τοῖς δυσὶ σταθμοῖς, καὶ
ἀνεβάστασεν αὐτὰς σὺν τῷ μοχλῷ,
καὶ ἔθηκεν ἐπ' ὤμων αὐτοῦ· καὶ ἀνή-
νεγκεν αὐτὰς ἐπὶ τὴν κορυφὴν τοῦ
ὄρους τοῦ ἐπὶ προσώπου Χεβρὼν, καὶ
ἔθηκεν αὐτὰς ἐκεῖ.

** ΙΩΣΗΠΟΥ. Σαμψὼν καταφρονῶν τῶν Παλαιστίνων, εἰς Γάζαν ἀφικνεῖται, καὶ ἔν τινι τῶν καταγωγίων διέτριβε. μαθόντες δὲ τῶν Γαζαίων οἱ ἄρχοντες τὴν αὐτόθι παρουσίαν αὐτοῦ, τὰ πρὸ τῶν πυλῶν ἐνέδραις καταλαμβάνουσιν, ὅπως ἐξιὼν μὴ λάθῃ. Σαμψὼν δέ· οὐ γὰρ λανθάνουσιν αὐτὸν ταῦτα μηχανησάμενοι· περὶ μεσοῦσαν ἤδη τὴν νύκτα, ἐνράσσει ταῖς πύλαις, αὐταῖς τε φλιαῖς καὶ μοχλοῖς, ὅση τε ἄλλη περὶ αὐταῖς ἦν ξύλωσις, ἀράμενος κατωμαδὸν, εἰς τὸ ὑπὲρ Χεβρῶνος ὄρος φέρων κατατίθησι.

δ. Καὶ ἐγένετο μετὰ ταῦτα, καὶ
ἠγάπησε γυναῖκα ἐν Ἀσωρήκ· (1)
καὶ ὄνομα αὐτῇ Δαλιδὰ, ἐπὶ τοῦ χει-
ε. μάῤῥου Σωρήκ. Καὶ ἀνέβησαν πρὸς
αὐτὴν οἱ ἄρχοντες τῶν ἀλλοφύλων,
καὶ εἶπαν αὐτῇ, ἀπάτησον δὴ αὐτὸν,
καὶ ἴδε ἐν τίνι ἡ ἰσχὺς αὐτοῦ ἡ μεγάλη,
καὶ ἐν τίνι δυνησόμεθα αὐτῷ, καὶ δή-
σομεν τοῦ ταπεινῶσαι αὐτόν. καὶ ἡμεῖς
δώσομέν σοι ἀνὴρ χιλίους καὶ ἑκατὸν ἀρ-
ϛ. γυρίου. Καὶ εἶπε Δαλιδὰ πρὸς Σαμ-
ψὼν, ἀπάγγειλον δή μοι ἐν τίνι ἡ ἰσχύς
σου ἡ μεγάλη, καὶ ἐν τίνι δεθήσῃ τοῦ
ταπεινωθῆναί σε.

** ΙΩΣΗΠΟΥ. Παρέβαινεν ἤδη τὰ πάτρια, καὶ τὴν οἰκείαν δίαιταν παρεχάραττε ξενικῶν μιμήσει ἐθισμῶν. καὶ τοῦτ' ἀρχὴ αὐτῷ κακοῦ γίνεται. γυναικὸς γὰρ ἑταιριζομένης παρὰ τοῖς Παλαιστίνοις ἐρασθεὶς, Δαλίλης τοὔνομα, συνῆν αὐτῇ. καὶ τῶν Παλαιστίνων οἱ τοῦ κοινοῦ προεστῶτες ἐλθόντες πρὸς αὐτὴν, πείθουσιν ἐπαγγελίαις μαθεῖν παρὰ τοῦ Σαμψῶνος τὴν αἰτίαν τῆς ἰσχύος, ὑφ' ἧς ἄληπτός ἐστι τοῖς ἐχθροῖς. ἡ δὲ, παρὰ πότον καὶ τοιαύτην συνουσίαν θαυμάζουσα τὰς πράξεις αὐτοῦ ἐτεχνιτεύετο μαθεῖν τίνι τρόπῳ τοσοῦτον προὔχει κατ' ἀρετήν.

B ζ. Καὶ εἶπε πρὸς αὐτὴν Σαμψὼν,
ἐὰν δήσωσί με ἐν ἑπτὰ νευραῖς ὑγραῖς
μὴ διεφθαρμέναις, καὶ ἀσθενήσω καὶ
η. ἔσομαι ὡς εἷς τῶν ἀνθρώπων. Καὶ
ἀνήνεγκαν αὐτῇ οἱ ἄρχοντες τῶν
ἀλλοφύλων ἑπτὰ νευρὰς ὑγρὰς μὴ
διεφθαρμένας, καὶ ἔδησεν αὐτὸν ἐν
θ. αὐταῖς. Καὶ τὸ ἔνεδρον αὐτῇ ἐκά-
Γ θητο ἐν τῷ ταμείῳ. καὶ εἶπεν αὐτῷ,
ἀλλόφυλοι ἐπὶ σὲ Σαμψών. καὶ διέ-
σπασε τὰς νευρὰς ὡς εἴ τις ἀποσπά-
σει (2) στρέμμα στιππύου ἐν τῷ ὀσφραν-
θῆναι αὐτὸ πυρὸς, καὶ οὐκ ἐγνώσθη ἡ
ἰσχὺς αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ὁ Σαμψών· ἔτι γὰρ φρονεῖν ἰσχυρὸς ἦν· ἀντηπάτα τὴν Δαλίλην, φάμενος· εἰ κλήμασιν ἑπτὰ δεθείη
Δ ἀμπελίνοις, ἔτι καὶ περιειλεῖσθαι δυναμένοις, ἀσθενέστερος ἂν πάντων ἔσοιτο. ἡ δὲ, τότε μὲν ἡσύχασεν· ἀποσημηνάσα δὲ τοῖς ἄρχουσι τῶν Παλαιστίνων, ἐνήδρευσε τῶν στρατιωτῶν ἔνδον τινὰς, καὶ καθεύδοντα μεθύοντα, κατέδει τοῖς κλήμασι κατὰ τὸ ἰσχυρότατον, ἔπειτα ἀνεγείρασα, ἐδήλου παρεῖναί τινας ἐπ' αὐτόν. ὁ δὲ ῥήξας τὰ κλήματα, βοηθεῖν ὡς ἐπερχομένων αὐτῷ τινῶν ἐπειρᾶτο.

E ι. Καὶ εἶπε Δαλιδὰ πρὸς Σαμ-
ψὼν, ἰδοὺ ἐπλάνησάς με, καὶ ἐλάλη-
σας πρός με ψευδῆ· νῦν οὖν ἀπάγγει-
ια. λον δή μοι ἐν τίνι δεθήσῃ. Καὶ εἶπε
πρὸς αὐτὴν, ἐὰν δεσμεύοντες δεσμεύ-
σωσί με (3) ἐν ἑπτὰ καλωδίοις και-
νοῖς, ἐν οἷς οὐκ ἐγένετο ἐν αὐτοῖς ἔρ-
γον, καὶ ἀσθενήσω καὶ ἔσομαι ὡς εἷς
ιβ. τῶν ἀνθρώπων. Καὶ ἔλαβε Δαλιδὰ
Z καλώδια καινὰ, καὶ ἔδησεν αὐτὸν ἐν
αὐτοῖς, καὶ τὰ ἔνεδρα ἐξῆλθον ἐκ τοῦ
ταμείου. καὶ εἶπε πρὸς αὐτὸν, ἀλλό-
φυλοι ἐπὶ σὲ Σαμψὼν, καὶ τὸ ἔνεδρον
ἐκάθητο ἐν τῷ ταμείῳ. καὶ διέσπα-
σεν αὐτὰ ἀπὸ τῶν χειρῶν (4) αὐτοῦ
ιγ. ὡς σπαρτίον. Καὶ εἶπε Δαλιδὰ πρὸς
Σαμψὼν, ἰδοὺ ἐπλάνησάς με, καὶ ἐλά-
H λησας πρός με ψευδῆ· ἀπάγγειλον
δή μοι ἐν τίνι δεθήσῃ. καὶ εἶπε πρὸς
αὐτὴν

(1) Ἀλσωρήχ. αἱ εἰρημ. ἐκδόσ.
(2) Ἀποσπάσοι. αἱ αὐτ.
(3) Δήσωσί με. αἱ αὐτ.
(4) Βραχιόνων. αἱ αὐτ.

αὐτήν, ἐὰν ὑφάνῃς τὰς ἑπτὰ σειρὰς
τῆς κεφαλῆς μου σὺν τῷ διάσματι,
καὶ ἐγκρούσῃς ἐν τῷ πασσάλῳ εἰς τὸν
τοῖχον, ἀσθενήσω καὶ ἔσομαι ὡς εἷς
ιδ. τῶν ἀνθρώπων. Καὶ ἐγένετο ἐν τῷ
κοιμᾶσθαι αὐτὸν, καὶ ἔλαβε Δαλιδὰ
τὰς ἑπτὰ σειρὰς τῆς κεφαλῆς αὐτοῦ,
καὶ ὕφανεν ἐν τῷ διάσματι, καὶ ἔπηξε
τῷ πασσάλῳ εἰς τὸν τοῖχον, καὶ εἶπεν,
ἀλλόφυλοι ἐπὶ σὲ Σαμψών. καὶ ἐξυ-
πνίσθη τοῦ ὕπνου αὐτοῦ, καὶ ἐξῆρε τὸν
πάσσαλον τοῦ ὑφάσματος ἐκ τοῦ τοί-
ιε. χου, καὶ οὐκ ἐγνώσθη ἡ ἰσχὺς αὐτοῦ. Καὶ
εἶπε πρὸς Σαμψὼν Δαλιδὰ, πῶς λέ-
γεις, ἠγάπηκά σε, καὶ ἡ καρδία σου
οὐκ ἔστι μετ' ἐμοῦ; τοῦτο τρίτον ἐπλά-
νησάς με καὶ οὐκ ἀπήγγειλάς μοι ἐν
ιϛ. τίνι ἡ ἰσχύς σου ἡ μεγάλη. Καὶ ἐγέ-
νετο ὅτε ἐξέθλιψεν αὐτὸν ἐν λόγοις
αὐτῆς πάσας τὰς ἡμέρας, καὶ ἐστε-
νοχώρησεν αὐτὸν, καὶ ὠλιγοψύχησεν
ἕως τοῦ ἀποθανεῖν.

** ΙΩΣΗΠΟΥ. Ἡ γυνὴ συνεχῶς ὁμιλοῦντος αὐτῇ τοῦ Σαμψῶνος, δεινῶς ἔχειν ἔλεγεν, εἰ κατὰ ἀπιστίαν εὐνοίας τῆς πρὸς αὐτὴν μὴ λέγῃ ταῦθ' ἅπερ δεῖται· ὡς οὐ σιγησομένης ὅσα μὴ γινώσκεσθαι συμφέρειν οἶδεν αὐτῷ. τοῦ δὲ πάλιν ἀπατῶντος αὐτὴν, καὶ φήσαντος, ἑπτὰ κάλοις δεθέντα τὴν ἰσχὺν ἀπολέσειν. ἐπεὶ καὶ τοῦτο ποιήσασα, οὐδὲν ἤνυσε, τρίτον ἐνυφῆναι τὰς κόμας αὐτοῦ ἐμήνυσεν. ὡς δὲ οὐδὲ τούτου γενομένου, ἀληθὴς ηὑρίσκετο· δεομένης, τελευταῖον ὁ Σαμψών· ἔδει γὰρ αὐτὸν συμφορᾷ περιπεσεῖν· χαρίζεσθαι βουλόμενος τῇ Δαλίλῃ, ἐμοῦ, φησὶν, ὁ Θεὸς κήδεται, καὶ κατὰ τὴν ἐκείνου πρόνοιαν γεννηθεὶς κόμην ταύτην τρέφω, παρεγγυήσαντος μὴ ἀποκείρειν τοῦ Θεοῦ. τὴν γὰρ ἰσχὺν εἶναί μοι κατὰ τὴν ταύτης αὔξησιν καὶ παραμονήν.

ιζ. Καὶ ἀπήγγειλεν αὐτῇ τὴν καρ-
δίαν αὐτοῦ, καὶ εἶπεν αὐτῇ, σίδηρος
οὐκ ἀναβήσεται ἐπὶ τὴν κεφαλήν μου,
ὅτι ἅγιος Θεοῦ ἐγώ εἰμι ἀπὸ τῆς κοι-
λίας τῆς μητρός μου· ἐὰν οὖν ξυρήσω-
μαι, ἀποστήσεται ἀπ' ἐμοῦ ἡ ἰσχύς μου
καὶ ἀσθενήσω, καὶ ἔσομαι ὥσπερ πάν-
τες οἱ ἄνθρωποι.

A » ΩΡΙΓΕΝΟΥΣ. [Σίδηρος οὐκ ἀνέβη ἐπὶ
» τὴν κεφαλήν μου, ὅτι Ναζιραῖος τοῦ Θεοῦ
ἐγώ εἰμι.] Δι' ὅλης τῆς περὶ τὸν Σαμψὼν
ἱστορίας αἱ τρίχες φαίνονται τὴν πᾶσαν
αὐτῷ περιποιεῖν ἰσχύν.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἅγιον λέγει τὸ ἀφω-
ρισμένον, οὐ τὸν ἀληθῶς ἅγιον. πῶς γὰρ
ἂν ὁ Σαμψὼν οὕτω βεβιωκὼς ἅγιος ἦν; ὥστε
δῆλον, διὰ τὸ τὰς τρίχας τῷ Θεῷ ἀνακει-
μένας, καὶ τὸ μὴ ἅπτεσθαι οἴνου ἢ σίκερα ἢ
B σταφίδος, τὴν δύναμιν εἶχε. ταύτῃ δὲ δι-
δάσκει ἡμᾶς, ὅτι ἀναξίων ἀνέχεται ὁ Θεὸς
διὰ τὴν τῶν ἀνθρώπων σωτηρίαν. ὅτι δὲ
τὸ τὴν κόμην ἀναθεῖναι τῷ Θεῷ παρέσχεν
αὐτῷ τὴν ἰσχὺν, καὶ τὰ ἑξῆς δηλοῖ. τῆς
τριχὸς ἀφαιρεθείσης, ἀπέστη μὲν ἡ χάρις,
παρεδόθη δὲ τοῖς ἐχθροῖς. καὶ πάλιν ὡς
ἀνέτειλαν αἱ τρίχες αὐτοῦ, εἰργάσατο ἡ
χάρις δι' αὐτοῦ ὅσα παρὰ πάντα τὸν χρό-
νον οὐ φαίνεται πεποιηκώς.

Γ ΘΕΟΔΩΡΟΥ ΜΟΨΟΥΕΣΤΙΑΣ. (1)
Εἰ δὲ οἱ αἱρετικοὶ γελῶσιν, ὅτι ἐν θριξὶν
ἡ χάρις, πῶς οὐ γελῶσι μειζόνως, ὅτι ἐν
σκιαῖς Ἀποστόλων καὶ κρασπέδων ἱματίων
τοῦ Ἰησοῦ ἡ δύναμις, καὶ ἐν τῷ πηλῷ τὸν
τυφλὸν ἰάσατο;

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. (2) Καὶ πό-
θεν ἄρα ἡ γυνὴ τοῦ τοιούτου (3) ἀνδρείου κα-
τίσχυσεν; Ἐκ τῆς οἰκείας τοῦ ἀνδρὸς ἀγα-
θότητος. τὸ γὰρ μυστήριον αὐτοῦ τῆς ἰσχύος
Δ νύκτωρ δόλῳ ἀποσυλήσασα, (4) κατέστρε-
ψεν αὐτόν. διὰ τοῦτο παραγγέλλει ὁ Προ-
» φήτης· ἀπὸ τῆς συγκοίτου σου φύλαξαι τοῦ Μιχ. 7. 5.
» διαθέσθαι (5) αὐτῇ τί.

** ΠΡΟΚΟΠΙΟΥ. Τῷ Σαμψὼν αἱ
τρίχες τὴν πᾶσαν ἐνεποίουν ἰσχὺν, δι' ὧν
καὶ τὸ πνεῦμα κατηύθυνεν ἐπ' αὐτόν. ἀλ-
λὰ καὶ τῆς Ἄννης εὐξαμένης, εἰ τέκοι, σί-
δηρον ἐπὶ τὴν κεφαλὴν οὐκ ἀναβήσεσθαι τοῦ
παιδὸς, γεννᾶται Σαμουὴλ ὁ τῷ μεγάλῳ
E παραβαλλόμενος Μωϋσεῖ παρὰ τῷ θείῳ
» Δαβίδ. Φησὶ γὰρ, Μωϋσῆς καὶ Ἀαρὼν Ψαλ. 98. 6.
» ἐν τοῖς ἱερεῦσιν αὐτοῦ, καὶ Σαμουὴλ ἐν τοῖς
» ἐπικαλουμένοις τὸ ὄνομα αὐτοῦ. ἐν δὲ τῷ
» Ἱερεμίᾳ, ἐὰν στῇ φησὶ Μωϋσῆς καὶ Σα- Ἱερ. 15. 1.
» μουὴλ πρὸ προσώπου μου. ἀλλὰ καὶ τῶν Ἰησοῦ
μαθητῶν αἱ τρίχες ἠρίθμηντο. καὶ περὶ
τοῦ δὲ τριχώματος τῆς νύμφης ἐν ᾄσματι
λόγος. (6) ἔοικε τοίνυν ὁ βίος ἀκριβῶς,
καὶ μέχρι τοῦ τυχόντος κατὰ τὸν θεῖον λό-
Z γον ἅπαντα πράττειν βουλόμενος, ὡς ἅγιος
καὶ Θεῷ ἀνακείμενος ἐπαινετὰ καὶ ἰσχυρὰ
ἔχειν καὶ τὰ οἷον αἰσθήσεως ἀμοιροῦντα θειο-
τέρας,

(1) Μομψουεστίας γράφει ἑκάτερος τῶν κωδ.

(2) Τοῦτο καὶ τὰ δύω ἑπόμ. τοῦ Χρυσοστ. ὑπομν. ἐκ τῆς ὁμιλ. εἰσὶν, ἧς ἡ ἀρχὴ, πάλιν Ἡρωδιὰς μαίνεται. ταύτην δὲ ὅ, τε Σαβίλ. καὶ ὁ Μοντφαυκόν. ἐν τοῖς νόθοις κατήλεξαν, τὰ πρῶτα μόνον λόγια τὰ ὑπό τε τοῦ Σωκρ. (ἐν βιβλ. 6. κεφ. 18.) καὶ τοῦ Σωζομ. (ἐν βιβλ. 8. κεφ. 20) μνημονευόμενα, τοῦ Χρυσοστόμου εἶναι εἰπόντες, τὰ δὲ λοιπὰ ἀφυοῦς τινὸς καὶ ἀμαθοῦς Graeculi. ταύτην φησὶ τὴν ὁμιλ. ὁ Μοντφαυκόν. (ἐν Τόμ. 8. τῶν τοῦ Χρυσοστ. σελ. 1.) παντὸς συνετοῦ ἀνδρὸς, πολλῷ μᾶλλον τοῦ Χρυσοστ. ἀναξίαν ἡγήσονται ὅσοι ἂν αὐτὴν ἐπικρίνωσιν. ἀλλ' ὁ Ἀναστάσιος ὁ Σιναΐτης ὁ ἐν τῷ ϛ' ἀκμάσας αἰῶνι συνετώτατος ὢν, οὐκ ἀναξίαν τοῦ Χρυσοστ. ἔκρινε. καὶ γὰρ ἐν τῷ νθ' εἰς τὴν θείαν Γραφὴν ζητήμ. (παρ' αὐτ. τῷ Μοντφαυκ. αὐτ.) πολλὰ ἐξ αὐτῆς τῷ τοῦ Χρυσοστ. ἀναφέρει ὀνόμ. καὶ ὁ τὴν δὲ τὴν σειρὰν συλλέξας παλαιὸς ὢν, τὰ προκείμενα τῷ Χρυσοστ. ἐπιγράφει. μήτι γε οὖν οἱ δεινοὶ οὗτοι κριταὶ παραλόγως τὰ γνήσια τοῖς νόθοις συνέταξαν τοῦ ἁγίου πονήματα;

(3) Τοῦ ὄντως. αὐτ.

(4) Γυμνὸν αὐτὸν ἱμᾶσιν ἰσχυροῖς κατέστρεψεν. αὐτ. (5) Ἀναθέσθαι. αὐτ. (6) Ἆσμ. 4. 1. καὶ 6. 4.

τέρας, ἅπερ ἐστὶ τὰ βιοτικώτερα, καὶ τῇ ἀνθρωπίνῃ φύσει διὰ τὴν τοῦ σώματος ἀνάγκην παραλαμβανόμενα. ὧν ὁ ἅγιος οὐ καταφρονεῖ, ὡς μὴ ἁγίων. ἄξια γὰρ τοῦ μέλειν Θεῷ τε καὶ λόγῳ. εἰς δόξαν γὰρ Θεοῦ τοῖς ἁγίοις καὶ τὸ ἐσθίειν καὶ τὸ πίνειν καὶ πᾶν ὅ,τι τοιοῦτον. καὶ ἀριθμεῖται ταῦτα παρὰ Θεῷ, ὡς ἐν τοῖς Ἀριθμοῖς (1) τὰ ἀπὸ μηνιαίου καὶ ἐπάνω παιδία, οὐ πάντων Ἰσραηλιτῶν, ἀλλ' ἤτοι Λευϊτῶν, ἢ μόνα τὰ πρωτότοκα· οὔτε δὲ οἰκέται, οὔτε ὁ ἐπίμικτος, οὔτε γυναῖκες, οὔτε οἱ μὴ δυνάμενοι διὰ νέαν ἡλικίαν ἐξιέναι πρὸς πόλεμον. τοιοῦτος εἰκότως ὁ Σαμουήλ.

** ΤΟΥ ΑΥΤΟΥ. Οὐκοῦν διὰ τὴν εὐχὴν τιμία ἦν ἡ κόμη Θεῷ. καὶ τοῦτο δεδήλωκεν ὁ Θεὸς περὶ παντὸς Ναζιραίου νομοθετῶν, καὶ τοῦτο ἐν νόμῳ τῷ παιδαγωγῷ.

ιη. Καὶ εἶδε Δαλιδὰ, ὅτι ἀπήγγειλεν αὐτῇ πᾶσαν τὴν καρδίαν αὐτοῦ· καὶ ἀπέστειλε καὶ ἐκάλεσε πάντας τοὺς ἄρχοντας τῶν ἀλλοφύλων, λέγουσα, ἀνάβητε τὸ ἅπαξ τοῦτο, ὅτι ἀπήγγειλέ μοι πᾶσαν τὴν καρδίαν αὐτοῦ. καὶ ἀνέβησαν πρὸς αὐτὴν πάντες οἱ ἄρχοντες τῶν ἀλλοφύλων, καὶ ἤνεγκαν τὸ ἀργύριον ἐν χερσὶν αὐτῶν.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὡς πολέμιον (2) τοῖς ἀλλοφύλοις παρέδωκε τὸν ἴδιον ἄνδρα, (3) ὃν ἐκολάκευε, καὶ ὑπὲρ ἑαυτὴν ἀγαπᾷν ὑπεκρίνετο.

ιθ. Καὶ ἐκοίμισε Δαλιδὰ τὸν Σαμψὼν ἐπὶ τὰ γόνατα αὐτῆς· καὶ ἐκάλεσε τὸν κουρέα, καὶ ἐξύρησε τὰς ἑπτὰ σειρὰς τῆς κεφαλῆς αὐτοῦ, καὶ ἤρξατο ταπεινοῦσθαι, καὶ ἀπέστη ἡ ἰσχὺς αὐτοῦ ἀπ' αὐτοῦ.

ΑΔΗΛΟΥ. Πρόδηλον ὅτι δαιμονικῇ ἐνεργείᾳ τὸν ὕπνον αὐτοῦ ἐβάρυνε, καὶ καιρῷ συγχεθῆναι παρεσκεύασεν· ἐπεὶ οὐκ ἂν ἴσχυσε τὰ ὑφηγηθέντα ἐν τοῖς βοστρύχοις διαπράξασθαι.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐξύρησε τὸν ἄνδρα, ὅς γε ἑπτὰ βοστρύχους ἔφερε, τῆς ἑπταφώτου χάριτος τὴν εἰκόνα βαστάζων.

κ. Καὶ εἶπε Δαλιδὰ, ἀλλόφυλοι ἐπὶ σὲ Σαμψών. καὶ ἐξυπνίσθη ἐκ τοῦ ὕπνου αὐτοῦ, καὶ εἶπεν, ἐξελεύσομαι ὡς ἅπαξ καὶ ἅπαξ, καὶ ἐκτιναχθήσομαι. καὶ αὐτὸς οὐκ ἔγνω ὅτι ἀπέστη Κύριος ἐπάνωθεν αὐτοῦ.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλὰ τοῦτον τὸν ἀχείρωτον, τὸν ἀήττητον, ὃν πολλαὶ τῶν ἀλλοφύλων ἔφριξαν μυριάδες, ἑταιρικὸν ἐξηνδραπόδισε γύναιον. τοσοῦτον χαλεπώτερος τῆς ἐν πολέμοις παρατάξεως τῆς ἐπιθυμίας ὁ πόλεμος. τὸν γὰρ οὕτω γενναίως ἠριστευκότα, καὶ διὰ τὰς ὑπερφυεῖς ἀνδραγαθίας πολυθρύλλητον γεγενημένον, δορυάλωτον ἀπέφηνεν [ἡ] ἡδονή. αὕτη καὶ τῆς θείας αὐτὸν ἀπεγύμνωσε χάριτος.
„ ἐξηγέρθη γάρ φησι Σαμψὼν ἐκ τοῦ ὕπνου
„ αὐτοῦ, καὶ εἶπεν, ἐξελεύσομαι, καὶ ποιήσω
„ καθὼς ἀεὶ, καὶ ἀποτινάξομαι. καὶ αὐτὸς
„ οὐκ ἔγνω ὅτι ἀπέστη Κύριος ἀπ' αὐτοῦ.

ΣΕΥΗΡΟΥ. Σκόπει τοῦ Θεοῦ τὸ φιλάνθρωπον, πῶς ἅμα μὲν τὸ δράσαι τὴν πορνείαν ἡ ἁγιαστικὴ τοῦ πνεύματος ἀπέστη χάρις. ἐνεδαψιλεύετο δὲ ὅμως ἡ κατὰ τὴν δύναμιν τῶν κατορθωμάτων ἐνέργεια, χώραν τῇ μετανοίᾳ διδοῦσα. δι' ἧς πᾶν ἁμάρτημα λύεται καὶ καθαίρεται, μόνον μὴ τῷ βόθρῳ τῆς ἀπογνώσεως ἐμβάλλωμεν ἑαυτούς.

κα. Καὶ ἐκράτησαν αὐτὸν οἱ ἀλλόφυλοι, καὶ ἐξέκοψαν τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ κατήνεγκαν αὐτὸν εἰς Γάζαν, καὶ ἔδησαν αὐτὸν ἐν πέδαις χαλκαῖς· καὶ ἦν ἀλήθων ἐν οἴκῳ τοῦ δεσμωτηρίου.

** ΙΩΣΗΠΟΥ. Στερήσασα τῆς κόμης αὐτὸν, παραδίδωσι τοῖς πολεμίοις, οὐκ ἔτ' ὄντα ἰσχυρὸν ἀμύνασθαι τὴν ἔφοδον αὐτῶν. οἱ δὲ ἐκκόψαντες αὐτοῦ τοὺς ὀφθαλμοὺς, δεδεμένον ἄγειν παρέδοσαν.

κβ. Καὶ ἤρξατο ἡ θρὶξ τῆς κεφαλῆς αὐτοῦ βλαστάνειν καθὼς ἐξυρήσατο.

** ΠΡΟΚΟΠΙΟΥ. Πῶς ἐπὶ ταῖς γυναιξὶν οὐκ ἀφίστατο τὸ πνεῦμα τοῦ Σαμψών; Ἢ θειότερόν τι τὰ κατὰ τοῦτον δηλοῖ. τὸ μὲν γὰρ ὅλον σῶμα τοῦ Σαμψὼν, σῶμά (3) ἐστι τοῦ Χριστοῦ ἡ Ἐκκλησία διὰ τὸ,
„ ὑμεῖς δέ ἐστε σῶμα Χριστοῦ καὶ μέλη ἐκ μέ- 1. Κορ. 12.
ρους· τρίχες δὲ κεφαλῆς οἱ τοιοίδε ἅγιοι, καὶ δύναμιν παρέχοντες διδασκαλίας καὶ τῆς ἄλλης πολιτείας τῷ ὅλῳ σώματι. ζητοῦσιν οὖν οἱ ἀλλόφυλοι ποῦ τῆς ὅλης Ἐκκλησίας ἡ δύναμις, μέχρις ἂν εὕρωσιν ἐν τίσιν ἐστίν. ἀλλ' ὅσον μὲν οὗτοι τῇ Ἐκκλησίᾳ πάρεισιν, ἔστιν ἀήττητος, κἂν δεσμεύηται ὑπὸ τῶν ἀλλοφύλων, διαρρηγνύουσιν ὡς ἀσθενεστάτους τοὺς ὑπ' ἐκείνων δεσμούς. ἐπὰν δὲ ὕπνος καταλάβῃ τὸ σῶμα, καὶ οἷς οὐ χρὴ ἐκθῆται τὰ τῆς δυνάμεως, τότε ξυρᾶται καὶ τὴν δύναμιν ἀποτίθεται. ἀσθενοῦντος δὲ τοῦ σώματος, οἱ ἀλλόφυλοι οὐ μέχρι τοῦ ἀφελέσθαι τοὺς τὴν δύναμιν αὐτῶν παρέχοντας ἵστανται· ἀλλὰ γὰρ εἴ που καὶ διορατικόν τι εἴη καὶ ὀξὺ βλέπειν δυνάμενον ἐν ὅλῳ τῷ σώματι τῆς Ἐκκλησίας, τοῦτο ἐξορύττουσιν· ὡς ἂν τὸ σῶμα ὑπὸ τῶν πολεμίων ἐμπαίζηται, μέχρι καινοί τινες ἀντὶ τῶν ἀφῃρημένων ἀνατείλωσι τῆς Ἐκκλησίας, ἐν οἷς ἡ θεία δύναμις, λεγόμενοι τρίχες. ὧν ἀνατειλάντων, οἱ ἀλλόφυλοι

σιωτε-

(1) Ἀριθ. 3. 15, 21.

(2) Δήσασα τοῖς ἀλλοφ. αὐτ.

(3) Τὸν ἴδιον συνευνον, ὃν ἔθαλπεν, ὃν ἐθώπευεν, ὃν ἐκολ. αὐτ.

(4) Τὸ, σῶμα, ἐπαναλαμβανόμενον, περιττολογία.

συντελοῦνται ἐπιπίπτοντες αὐτοῖς μετὰ τῶν A
κιόνων τοῦ οἴκου παντός. εἰ δὲ καὶ αὐτὸς πα-
ραπολαύσειε τῇ τοῦ οἴκου καὶ τῇ τῶν ἀλλο-
φύλων συντελείᾳ τῆς ἑαυτοῦ συντελείας,
πνεύματος Κυρίου εὐθύναντος ἐπ' αὐτὸν,
καὶ ταῦτα ἐργασαμένου, χρὴ σκοπεῖν, ὡς
οὐ τὰ αὐτὰ μετὰ τὴν συντέλειαν ἀπόκειται
τοῖς ἀλλοφύλοις καὶ τῷ Σαμψών. τὸ γὰρ
κατευθῦνον ἐπ' αὐτὸν πνεῦμα Κυρίου οὐ κα-
ταλείπει αὐτόν. εἰς Χριστὸν δὲ λαμβανο-
μένῳ προσήκοι ἂν εἰκότως ἥτε τοῦ λέοντος B
ἀναίρεσις, καὶ ἡ τοῦ μέλιτος εὕρεσις ἐν τῷ
τούτου στόματι κειμένου νεκροῦ, καὶ ἡ τῆς ἀλ-
λοφύλου μνηστεία, τὴν τῶν ἐθνῶν Ἐκκλη-
σίαν σημαίνουσα, καὶ ἡ τῆς δευτέρας, ἥτις
ἦν ἐν πόλει πυλῶν καὶ μοχλῶν. δηλοῖ γὰρ
1. Πέτρ. 3. 19, ὅτι τοῖς ἐν φυλακῇ πνεύμασι πορευθεὶς
20. „ ἐκήρυξεν, ἀπειθήσασί ποτε, ὅτε ἀπεξε-
„ δέχετο ἡ τοῦ Θεοῦ μακροθυμία ἐν ἡμέραις
„ Νῶε, κατασκευαζομένης κιβωτοῦ. δι' ἃς ψυ-
χὰς εἰς ἐκεῖνο καταβὰς τὸ χωρίον, ἔλεγεν· Γ
Ψαλ. 15. 10. ὅτι οὐκ ἐγκαταλείψεις τὴν ψυχήν μου εἰς
ᾅδου. καὶ τὰ περὶ δὲ τῆς τρίτης γυναικὸς
Δαλιδὰ, ἥτις ἑρμηνεύεται πτωχεύουσα, τοὺς
διὰ πτωχείαν ἴσως Ἰσραηλίτας ἐπιβουλεύ-
σαντας τῷ Δεσπότῃ σημαίνει· διότι συμ-
βιοῦν αὐτοῖς ἀγαπήσας ἠβούλετο.

κγ. Καὶ οἱ ἄρχοντες τῶν ἀλλο-
φύλων συνήχθησαν τοῦ θύσαι θυ-
σίαν μεγάλην τῷ Δαγὼν Θεῷ αὐ-
τῶν, καὶ τοῦ εὐφρανθῆναι, καὶ εἶπαν,
ἔδωκεν ὁ Θεὸς ἐν χειρὶ ἡμῶν τὸν Σαμ-
κδ. ψὼν τὸν ἐχθρὸν ἡμῶν. Καὶ εἶδαν (1)
αὐτὸν ὁ λαὸς, καὶ ὕμνησαν τοὺς Θεοὺς
αὐτῶν· ὅτι εἶπαν, παρέδωκεν ὁ Θεὸς
ἡμῶν ἐν χειρὶ ἡμῶν τὸν ἐχθρὸν ἡμῶν,
καὶ τὸν ἐρημοῦντα τὴν γῆν ἡμῶν, καὶ
ὃς ἐπλήθυνε τοὺς τραυματίας ἡμῶν.
κε. Καὶ ἐγένετο ὅτε ἠγαθύνθη ἡ καρδία E
αὐτῶν, καὶ εἶπαν; καλέσατε τὸν Σαμ-
ψὼν ἐξ οἴκου φυλακῆς, καὶ παιξάτω
ἐνώπιον ἡμῶν. καὶ ἐκάλεσαν τὸν Σαμ-
ψὼν ἐξ οἴκου δεσμωτηρίου, καὶ ἔπαιξεν
ἐνώπιον αὐτῶν, καὶ ἔστησαν αὐτὸν ἀνα-
μέσον τῶν κιόνων.

** ΙΩΣΗΠΟΥ. Προϊόντος τοῦ χρόνου,
ηὔξετο ἡ κόμη τῷ Σαμψῶνι. καὶ ἑορτῆς
οὔσης τοῖς Παλαιστίνοις δημοτελοῦς, καὶ τῶν Z
ἀρχόντων καὶ γνωριμωτάτων ἐν ταὐτῷ εὐω-
χουμένων· οἶκος δ' ἦν δύω κιόνων στεγόντων
αὐτοῦ τὸν ὄροφον· ἄγεται μεταπεμψαμέ-
νων ὁ Σαμψὼν εἰς τὸ συμπόσιον, ὅπως ἐνυ-
βρίσωσιν αὐτὸν παρὰ τὸν πότον.

κς. Καὶ εἶπε Σαμψὼν πρὸς (2)
νεανίαν τὸν κρατοῦντα τὴν χεῖρα αὐ-
τοῦ, ἄφες με, καὶ ψηλαφήσω τοὺς κίο-
νας ἐφ' οὓς ὁ οἶκος εἱστήκει (3) ἐπ' αὐ- H
κζ. τοὺς, καὶ ἐπιστηρίξομαι ἐπ' αὐτούς. Καὶ
A ὁ οἶκος πλήρης τῶν ἀνδρῶν καὶ τῶν
γυναικῶν, καὶ ἐκεῖ πάντες οἱ ἄρχον-
τες τῶν ἀλλοφύλων, καὶ ἐπὶ τὸ δῶ-
μα ὡσεὶ τρισχίλιοι ἄνδρες καὶ γυναῖ-
κες οἱ θεωροῦντες ἐμπαιζόμενον τὸν
Σαμψών.

** ΙΩΣΗΠΟΥ. Δεινότερον τῶν κα-
κῶν ὑπολαμβάνων τὸ μὴ δύνασθαι ὑβριζό-
μενος ἀμύνασθαι, τὸν χειραγωγοῦντα παῖδα
B πείθει, προσαναπαύσασθαι χρῄζειν εἰπὼν
ὑπὸ κόπου, τοῖς κίοσιν αὐτὸν ἐγγὺς ἀγαγεῖν.

ΕΙΡΗΝΑΙΟΥ. Τὸ μὲν οὖν παιδάριον τὸ
χειραγωγοῦν τὸν Σαμψὼν προτυπωθήσε-
ται εἰς Ἰωάννην τὸν Βαπτιστὴν, ἐπιδεικνύον-
τα τῷ λαῷ τὴν εἰς Χριστὸν πίστιν. ὁ δὲ οἶ-
κος, ἐν ᾧ ἦσαν συνηγμένοι, σημαίνεται
εἶναι ὁ κόσμος, ἐν ᾧ κατῴκει τὰ ἀλλόφυ-
λα καὶ ἄπιστα ἔθνη, θυσιάζοντα τοῖς εἰδώ-
λοις αὐτῶν. οἱ δὲ δύω στῦλοι, αἱ δύω δια-
Γ θῆκαι. τὸ οὖν ἐπαναπαυθῆναι τὸν Σαμ-
ψὼν ἐπὶ τοὺς στύλους, τὸ τὸν διδαχθέντα
λαὸν ἐπιγνῶναι τὸ Χριστοῦ μυστήριον.

κη. Καὶ ἔκλαυσε Σαμψὼν πρὸς
Κύριον, καὶ εἶπεν, Ἀδωναῒ Κύριε μνή-
σθητί μου νῦν, καὶ ἐνίσχυσόν με ἔτι τὸ
ἅπαξ τοῦτο Θεὲ, καὶ ἀνταποδώσω
ἀνταπόδοσιν μίαν περὶ τῶν δύω ὀφ-
κθ. θαλμῶν μου τοῖς ἀλλοφύλοις. Καὶ
Δ περιέλαβε Σαμψὼν τοὺς δύω κίονας
τοῦ οἴκου ἐφ' οὓς ὁ οἶκος εἱστήκει, καὶ ἐπε-
στηρίχθη ἐπ' αὐτοὺς, καὶ ἐκράτησεν
ἕνα τῇ δεξιᾷ αὐτοῦ καὶ ἕνα τῇ ἀρι-
στερᾷ αὐτοῦ.
λ. Καὶ εἶπε Σαμψὼν, ἀποθανέ-
τω ἡ ψυχή μου μετὰ τῶν ἀλλοφύλων.
καὶ ἔκλινεν ἐν ἰσχύϊ· καὶ ἔπεσεν ὁ οἶκος
E ἐπὶ τοὺς ἄρχοντας, καὶ ἐπὶ πάντα
τὸν λαὸν τὸν ἐν αὐτῷ. καὶ ἦσαν οἱ
τεθνηκότες οὓς ἐθανάτωσε Σαμψὼν
ἐν τῷ θανάτῳ αὐτοῦ, πλείους ἢ οὓς
ἐθανάτωσεν ἐν τῇ ζωῇ αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ὡς ἦκεν ἐνσεισθεὶς αὐ-
τοῖς ἐπικαταβάλλει τὸν οἶκον, ἀνατραπέν-
των τῶν κιόνων, τρισχιλίοις ἀνδράσιν, οἳ
πάντες ἀπέθανον, ἐν αὐτοῖς δὲ καὶ Σαμψών.

Z ΘΕΟΔΩΡΙΤΟΥ. Οὐ παντελῶς δὲ κα-
ταλέλοιπεν ὁ φιλοικτίρμων Θεός· ἀλλ' ἰδὼν
ἐπικερτομούμενον, ᾤκτειρε· καὶ ηὐξαμένῳ
ἐπήκουσε, καὶ τοσαύτην ἰσχὺν ἐχορήγησεν,
ὡς κλονῆσαι μὲν τοὺς φέροντας κίονας τὸν
τῶν εἰδώλων σηκὸν, συγκατενεγκεῖν δὲ τού-
τοις τὸν ὄροφον, καὶ τρισχιλίους ἄνδρας
συγχῶσαι, καὶ γυναικῶν πολλαπλάσιον
ἀριθμόν.

ΑΔΗΛΟΥ. Μετὰ γὰρ τὸ κήρυγμα τοῦ
H Εὐαγγελίου, πληρωθέντος τοῦ παντὸς χρό-
νου, οὐδὲν ἕτερον προσλείπεται, εἰ μὴ ἡ τοῦ
κόσμου

(1) Εἶδον. αἱ εἰρημ. ἐκδόσ.

(2) Πρὸς τόν. αἱ αὐτ.

(3) Τὸ, εἱστήκει, ἐν μὲν ταῖς εἰρημ. ἐκδόσ. οὐ κεῖται· ἡ δὲ κατὰ τὴν Ὀξον. ἔχει, ἐπεστήρικτο.

κόσμου συντέλεια. τὸ οὖν εἰπεῖν τὸν Σαμ-
» ψὼν, ἀποθανέτω ἡ ψυχή μου μετὰ τῶν
» ἀλλοφύλων τούτων, ἔδειξεν ὅτι πάντες ἄν-
θρωποι ἐν τῷ κόσμῳ τούτῳ, καὶ δίκαιοι καὶ
ἄδικοι, ἀποθνήσκουσι, διαφορᾶς οὔσης ἐν
αὐτοῖς οὐδεμιᾶς. τοῖς ἁγίοις δὲ ἡ ἐπαγγε-
λία τῆς ζωῆς εἰς τὸν μέλλοντα αἰῶνα ἀπό-
κειται, οὐκ ἐν τῷ νῦν αἰῶνι.

λα. Καὶ κατέβησαν οἱ ἀδελφοὶ
αὐτοῦ, καὶ ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ,
καὶ ἔλαβον αὐτόν· καὶ ἀνέβησαν καὶ
ἔθαψαν αὐτὸν ἀναμέσον Σαραὰ καὶ
ἀναμέσον Ἐσθαὸλ ἐν τῷ τάφῳ Μα-

Α νωὲ τοῦ πατρὸς αὐτοῦ. καὶ αὐτὸς ἔκρινε
τὸν Ἰσραὴλ εἴκοσι ἔτη.
** ΙΩΣΗΠΟΥ. Τὸν μὲν τοιοῦτον κα-
τέσχε τέλος, ἄρξαντα τῶν Ἰσραηλιτῶν
εἴκοσι ἔτη. θαυμάζειν δὲ ἄξιον τῆς ἀρετῆς
καὶ τῆς ἰσχύος καὶ τοῦ περὶ τὴν τελευτὴν με-
γαλόφρονος τὸν ἄνδρα, καὶ τῆς ὀργῆς τῆς
μέχρι τοῦ τελευτᾶν πρὸς τοὺς πολεμίους. καὶ
τὸ μὲν ὑπὸ γυναικὸς ἁλῶναι, δεῖ τῇ φύσει
τῶν ἀνθρώπων προσάπτειν ἥττονι ἁμαρτη-
Β μάτων οὔσῃ· μαρτυρεῖν δὲ ἐκείνῳ τὴν εἰς τὰ
ἄλλα πάντα τῆς ἀρετῆς περιουσίαν. οἱ δὲ
συγγενεῖς ἀράμενοι τὸ σῶμα αὐτοῦ, θάπτουσιν
ἐν Σαρασᾷ τῇ πατρίδι μετὰ τῶν συγγενῶν.

Κ Ε Φ. Ι Ζ.

α. Καὶ ἐγένετο ἀνὴρ ἀπὸ ὄρους
Ἐφραὶμ, καὶ ὄνομα αὐ-
τῷ Μιχά.
β. Καὶ εἶπε τῇ μητρὶ αὐτοῦ, οἱ
χίλιοι καὶ ἑκατὸν οὓς ἔλαβες ἀργυ-
ρίους ἑαυτῇ, (1) καί με ἠράσω, καὶ
προσεῖπας ἐν ὠσί μου, ἰδοὺ τὸ ἀργύ-
ριον παρ' ἐμοὶ, ἐγὼ ἔλαβον αὐτό.
καὶ εἶπεν ἡ μήτηρ αὐτοῦ, εὐλογητὸς
ὁ υἱός μου τῷ Κυρίῳ.
ΑΔΗΛΟΥ. Πρώην ἀκούσας οὗτος παρὰ
τῆς μητρὸς, ὅτι ἐπὶ κατασκευὴν εἰδώλου τὸ
ἀργύριον ἀφορίζει, καὶ λαθραίως αὐτὸ κλέ-
ψας, νυνὶ μηδεμιᾶς αὐτῷ ἀνάγκης ἐπιτε-
θείσης, ἐξαγγέλλει τὸν πόθον αὐτοῦ, ἐν-
δεικνύμενος διὰ τῆς ἐξαγορεύσεως, ὃν ἐπὶ
τῇ κατασκευῇ τοῦ συναχθέντος παρ' αὐ-
τοῖς (2) εἰδώλου ἐκέκτητο.
» ΑΔΗΛΟΥ. Εὐλογητὸς ὁ υἱός μου τῷ Κυ-
ρίῳ· οὐ τὸν ἀληθῆ Κύριον λέγει, ἀλλ' ἐκεῖ-
νον οὗτινος καὶ τὴν προσηγορίαν τῷ κατα-
σκευαζομένῳ εἰδώλῳ ἐπιτιθέναι ἤμελλε.
γ. Καὶ ἀπέδωκε τοὺς χιλίους καὶ ἑκα-
τὸν τοῦ ἀργυρίου τῇ μητρὶ αὐτοῦ· καὶ
εἶπεν ἡ μήτηρ αὐτοῦ, ἁγιάζουσα ἡγία-
σα τὸ ἀργύριον τῷ Κυρίῳ ἐκ χειρός
μου τῷ υἱῷ μου τοῦ ποιῆσαι γλυπτὸν καὶ
χωνευτὸν, καὶ νῦν ἀποδώσω σοι αὐτό.
» ΑΔΗΛΟΥ. Ἀποδώσω σοι αὐτό. Ἡνίκα,
φησὶ, τὴν ὑπόσχεσιν πληρώσω, σοὶ αὐτῷ
πάλιν ἀποδώσω.
δ. Καὶ ἀπέδωκε τὸ ἀργύριον τῇ
μητρὶ αὐτοῦ. καὶ ἔλαβεν ἡ μήτηρ αὐ-
τοῦ διακοσίους τοῦ ἀργυρίου, καὶ ἔδω-
κεν αὐτῷ ἀργυροκόπῳ, καὶ ἐποίησεν
αὐτὸ γλυπτὸν καὶ χωνευτόν· καὶ ἐγε-
νήθη ἐν οἴκῳ Μιχά.
ε. Καὶ ὁ οἶκος Μιχὰ αὐτῷ οἶκος
Θεοῦ. καὶ ἐποίησεν ἐφοὺδ καὶ θεραφείν·

καὶ ἐπλήρωσε τὴν χεῖρα ἑνὸς υἱῶν αὐ-
Γ τοῦ, καὶ ἐγενήθη αὐτῷ εἰς ἱερέα.
ΑΝΕΠΙΓΡΑΦΟΥ. Τὸ ἐφοὺδ ἔνδυμα ἐξαί-
ρετον εἶναί φησι. διὰ τούτου γὰρ πλεῖστα
τῶν ἀγνοουμένων ἐδήλου Θεός. τινὲς δὲ αὐ-
τὸ, σκεῦος ἡρμήνευσαν. ὅπερ καὶ ἐγὼ νο-
μίζω, ὅτι σκεῦος ἦν τὶ ἔλαττον. ὅπερ ἦν
ὡς ζώνη, ἤτοι περὶ τὴν ὀσφὺν ἀπηρτημέ-
νον τῶν ἱερέων. καὶ γὰρ ὁ Μιχὰ τοὺς δια-
κοσίους ἀργυρίους κλάσας καὶ χωνεύσας,
ἐποίησεν ἐφούδ· μὴ ἄρα τὸν χρυσὸν ἐποίη-
Δ σε νῆμα; αἱ δὲ στολαὶ τῶν ἱερέων ἐξ ὑακίν-
θου καὶ πορφύρας καὶ τῶν λοιπῶν.
ΩΡΙΓΕΝΟΥΣ. Ἐφοὺδ (3) ὕφασμα ἦν
ἱερατικὸν, ὅπερ περικειμένῳ τῷ ἱερεῖ ἐφοί-
τα τοῦ ἁγίου πνεύματος ἡ χάρις. τὸ δὲ θε-
ραφεὶν τοιοῦτον μέντοι, (4) οὐ θεϊκὸν δὲ, ἀλλ'
εἰδωλικὸν, ὡς ἐν ταῖς Βασιλείαις δείκνυται.
ΑΝΕΠΙΓΡΑΦΟΥ. Τὸ ἐφοὺδ ἀνωτέρω
εἴρηται στολὴν ἱερατικὴν εἶναι. ἔοικεν οὖν
ὅτι καὶ τὸ θεραφεὶν καθ' ὁμοιότητα τοῦ
Ε ἐφοὺδ στολή τις ἦν τοῖς ἱερεῦσι πρέπουσα·
καὶ διὰ τοῦτο ἑκάτερα ἐπισυνῆψε.
» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἐποίησεν ἑαυ-
» τῷ Μιχὰ ἐφοὺδ καὶ θεραφείν; Περὶ τοῦ
ἐφοὺδ πολλάκις εἰρήκαμεν, ὅτι ὕφασμα ἦν
ἱερατικὸν, καὶ δι' αὐτοῦ ὁ Θεὸς τὸ πρακτέον
ἐδήλου. τὸ δὲ θεραφεὶν τοιουτότροπόν τι ἦν
τοῖς εἰδώλοις, ἀλλ' οὐ τῷ Θεῷ ἀνακείμενον.
τοῦτο γὰρ καὶ ἐνταῦθα ἡ ἱστορία δεδήλωκεν.
» ἐποίησε γάρ φησιν ἑαυτῷ γλυπτὸν καὶ χω-
Ζ » νευτόν. εἶτα ἐπάγει· καὶ ἐποίησε Μιχὰ
» ἐφοὺδ καὶ θεραφείν· καὶ ἔπλησε τὴν χεῖρα
» ἑνὸς τῶν υἱῶν αὐτοῦ, καὶ ἐγένετο αὐτῷ εἰς
ἱερέα. τῆς δὲ λευϊτικῆς οὐκ ἦν φυλῆς οὗτος,
ἀλλὰ τῆς τοῦ Ἐφραίμ.
ϛ. Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις οὐκ
ἦν βασιλεὺς ἐν Ἰσραήλ· ἀνὴρ τὸ εὐ-
θὲς ἐν ὀφθαλμοῖς αὐτοῦ ἐποίει.
ΘΕΟΔΩΡΙΤΟΥ. Ἐδίδαξε δὲ καὶ τὴν
Η » αἰτίαν τῆς παρανομίας. ἐν ταῖς ἡμέραις
» γάρ φησιν ἐκείναις οὐκ ἦν βασιλεὺς ἐν Ἰσ-
ραήλ·

(1) Σεαυτῇ. αἱ εἰρημ. ἐκδόσ.
(2) Παρ' αὐτῇ, καταλληλότερ.
(3) Ἐφώδ. ἐν σελ. 458. τοῦ 2. Τόμ. τῆς τοῦ Ῥε. ἐκδόσ.
(4) Μέν τι. ἀνάγν.

» ραήλ· ἀνὴρ ἕκαστος τὸ ἀρεσὸν ἐν ὀφθαλ-
» μοῖς αὐτοῦ ἐποίει. τοσαύτης πρόξενος βλάβης ἡ ἀναρχία.

ζ. Καὶ ἐγενήθη νεανίας ἐν Βηθλεὲμ δήμου Ἰούδα, καὶ αὐτὸς Λευΐτης, καὶ αὐτὸς κατῴκει (1) ἐκεῖ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὰ ἑξῆς πολλὴν
» ἔχει ἀμφιβολίαν· ἦν γάρ φησι παιδάριον
» ἐν Βηθλεὲμ [ἐκ δήμου Ἰούδα] ἐκ συγγενείας
» Ἰούδα, καὶ αὐτὸς Λευΐτης, καὶ αὐτὸς πα-
» ρῴκει ἐκεῖ. εἰ γὰρ Λευΐτης, πῶς ἐκ τῆς συγγενείας Ἰούδα; Δῆμον Ἰούδα τὴν Βηθλεὲμ ὠνόμασεν. ὡς δὲ νομίζω καὶ συγγένειαν Ἰούδα τὴν αὐτὴν προσηγόρευσε κώμην. εἰρήκαμεν δὲ, ὡς τοῖς ἱερεῦσι καὶ Λευΐταις ἴδιον κλῆρον οὐκ ἀφώρισεν ὁ Θεὸς, ἀλλ' ἐν ἁπάσαις αὐτοὺς διέσπειρε ταῖς φυλαῖς, ἵν' ἔχωσιν ἅπαντες τῆς εὐσεβείας τοὺς διδασκάλους. τοιγάρτοι καὶ οὗτος Λευΐτης ὢν, ᾤκει τὴν Βηθλεὲμ, οὖσαν τοῦ δήμου καὶ τῆς συγγενείας Ἰούδα. εἰ δέ τις βεβιασμένην ταύτην ὑπείληφε τὴν ἑρμηνείαν, ἀναμνησθήτω τῶν ἤδη παρ' ἡμῶν εἰρημένων, ὡς ἐπεμίγησαν ἀλλήλαις αἱ δύω φυλαὶ, ἥτε βασιλικὴ καὶ ἡ ἱερατική. εἰκὸς τοίνυν (2) τοῦτον Λευΐτην εἶναι πατρόθεν, μητέρα δὲ ἐκ τῆς Ἰούδα ἐσχηκέναι φυλῆς. πολλὴ μέντοι τοῦ ἀνδρὸς ἡ παρανομία. πρῶτον γὰρ τοῦ Θεοῦ τὴν σκηνὴν ἐν τῇ Σηλὼ πήξαντος, ἐν ἑτέρῳ παρὰ τὸν θεῖον νόμον λειτουργεῖ (3) χωρίῳ· ἔπειτα χειροποιήτοις εἰδώλοις· τοῦτο γὰρ δηλοῖ τὸ γλυπτὸν καὶ τὸ χωνευτόν· τὰς θυσίας προσφέρει. (4) πρὸς δὲ τούτοις καὶ ἄλλην ἐτόλμα παράβασιν. ἱερᾶσθαι γὰρ τοὺς Λευΐτας ὁ νόμος ἐκώλυε· τοῖς δὲ ἱερεῦσιν ἐκέλευε λειτουργεῖν. τοιγαροῦν καὶ τοῦτον παρέβη τὸν νό-
A μον ἱερατεῦσαι τολμήσας. ἀχάριστος δὲ καὶ περὶ τὸν τεθεραπευκότα γεγένηται. λαβὼν γὰρ τῆς ἀπάτης τὰ ὄργανα, τοῖς ἐκ τῆς Δὰν φυλῆς ἠκολούθησε, καὶ τῆς περὶ τὰ εἴδωλα πλάνης ἐγένετο πρόξενος.

η. Καὶ ἐπορεύθη ὁ ἀνὴρ ἀπὸ Βηθ-
λεὲμ τῆς πόλεως Ἰούδα παροικῆσαι ἐν
ᾧ ἂν εὕρῃ τόπῳ· καὶ ἦλθεν ἕως ὄρους
Ἐφραὶμ, καὶ ἕως οἴκου Μιχὰ τοῦ ποιῆ-
θ. σαι ὁδὸν αὐτοῦ. Καὶ εἶπεν αὐτῷ Μι-
χὰ, πόθεν ἔρχῃ; καὶ εἶπε πρὸς αὐ-
τὸν ὁ Λευΐτης, ἐγώ εἰμι ἀπὸ Βηθ-
λεὲμ Ἰούδα, καὶ ἐγὼ πορεύομαι κα-
τοικῆσαι (5) ἐν ᾧ ἂν εὕρω τόπῳ.

ι. Καὶ εἶπεν αὐτῷ Μιχὰ, κάθου
μετ' ἐμοῦ, καὶ γίνου μοι εἰς πατέρα καὶ
εἰς ἱερέα, καὶ ἐγὼ δώσω σοι δέκα ἀρ-
Γ γυρίου εἰς ἡμέρας, καὶ στολὴν ἱματίων,
καὶ τὰ πρὸς ζωήν σου.

ΚΥΡΙΛΛΟΥ. Εἰδωλολάτρης ὁ Μιχὰς, (6) κατεμισθοῦτό γε μὴν τὸν ἐξ αἵματος Λευΐ, καὶ θεραπευτὴν ἐποίει γλυπτῶν, (7) καὶ ταῖς τῶν εἰδώλων ἀνετίθη χρείαις.

ια. Καὶ ἐπορεύθη ὁ Λευΐτης, καὶ
ἤρξατο παροικεῖν παρὰ τῷ ἀνδρί. καὶ
Δ ἐγενήθη ὁ νεανίας παρ' αὐτῷ ὡς εἷς
ιβ. ἀπὸ υἱῶν αὐτοῦ. Καὶ ἐπλήρωσε Μιχὰ
τὴν χεῖρα τοῦ Λευΐτου, καὶ ἐγένετο
αὐτῷ εἰς ἱερέα, καὶ ἐγένετο ἐν οἴκῳ
ιγ. Μιχά. Καὶ εἶπε Μιχὰ, νῦν ἔγνων
ὅτι ἠγάθυνε (8) Κύριος ἐμοὶ, ὅτι ἐγε-
νετό μοι ὁ Λευΐτης εἰς ἱερέα.

ΚΕΦ. ΙΗ.

α. Ἐν δὲ ταῖς ἡμέραις ἐκείναις οὐκ ἦν βασιλεὺς ἐν Ἰσραήλ. καὶ ἐν ταῖς ἡμέραις ἐκείναις ἡ φυλὴ τοῦ Δὰν ἐζήτει ἑαυτῇ κληρονομίαν κατοικῆσαι, ὅτι οὐκ ἐνέπεσεν αὐτῇ ἕως τῆς ἡμέρας ἐκείνης ἐν μέσῳ φυλῶν υἱῶν Ἰσραὴλ κληρονομία.

ΑΔΗΛΟΥ. Οὐχ ὡς πάσης τῆς φυλῆς τοῦ Δὰν τὴν κληρονομίαν μὴ ἀπολαβούσης τὰ νῦν λέγει· ἀλλ' ὡς ἀπὸ τοῦ ὅλου σώματος τῆς φυλῆς τὸ μέρος αὐτῆς ὀνομάζων, λέγει τὸν κλῆρον αὐτῆς ἐπιζητεῖν.

β. Καὶ ἀπέστειλαν οἱ υἱοὶ Δὰν ἀπὸ δήμων αὐτῶν πέντε ἄνδρας υἱοὺς δυνάμεως, ἀπὸ Σαραὰ καὶ ἀπὸ Ἐσθαὸλ (9) κατασκέψασθαι τὴν γῆν καὶ ἐξιχνιάσαι αὐτήν· καὶ εἶπαν πρὸς αὐτοὺς, πορεύεσθε καὶ ἐξιχνιάσατε τὴν γῆν. καὶ ἦλθον ἕως ὄρους Ἐφραὶμ ἕως οἴκου Μιχά· καὶ ηὐλίσθησαν αὐτοὶ ἐκεῖ·

** ΚΥΡΙΛΛΟΥ. Πέντε τινὰς ἐπιλεξάμενοι, προβαδίζειν ἑαυτῶν ἀναπείθουσι,
Z καὶ κατερευνῆσαι τὴν γῆν, ἣν ἂν δύναιντο λαβεῖν, καὶ οἰκεῖον ποιεῖσθαι κλῆρον. οἱ δὲ
» ἀφίκοντο, φησὶν, ἕως ὄρους Ἐφραὶμ ἕως
» οἴκου Μιχὰ, καὶ ηὐλίσθησαν ἐκεῖ.

γ. Ἐν οἴκῳ Μιχὰ, καὶ αὐτοὶ ἐπέγνωσαν τὴν φωνὴν τοῦ νεανίσκου τοῦ Λευΐτου, καὶ ἐξέκλιναν ἐκεῖ. καὶ εἶπαν αὐτῷ, τίς ἤνεγκέ σε ὧδε; καὶ τί σὺ ποιεῖς ἐν τῷ τόπῳ τούτῳ; καὶ τί σοι ὧδε;

 ΑΔΗΛΟΥ.

(1) Παρῴκει. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ Θεοδώριτ.
(2) Εἰκὸς δέ. ἡ ἐν Χαλ. ἔκδ.
(3) Ἐλειτούργει. ἡ αὐτ. (4) Προσέφερε. ἡ αὐτ.
(5) Παροικῆσαι. αἱ εἰρημ. ἐκδόσ.
(6) Ὁ Μιχαίας. ἐν σελ. 134. τοῦ 3. Τόμ.
(7) Γλυπτοῦ. αὐτ.
(8) Ἀγαθωνεῖ μοι. αἱ εἰρημ. ἐκδόσ.
(9) Τοῦ κατασκ. αἱ αὐτ.

ΑΔΗΛΟΥ. Ἐπειδὴ διῃρημένως ἐχούσων τὰς κατοικίας τῶν Φυλῶν, εἰκὸς ἦν καὶ διαλλάττειν αὐτοὺς ἐν τῇ διαλέκτῳ.

ΚΥΡΙΛΛΟΥ. [Τὸν Λευΐτην ἐπιγινώσκουσιν ὡς ὁμογενῆ,] ἀπὸ (1) τῆς γλώττης δηλονότι. Ἑβραίοις γὰρ οὖσιν, ὡς Ἑβραῖος ἐλάλει.

δ. Καὶ εἶπε πρὸς αὐτοὺς, οὕτω καὶ
οὕτως ἐποίησέ μοι Μιχὰ, καὶ ἐμισθώ-
σατό με, καὶ ἐγενόμην αὐτῷ εἰς ἱερέα.
ε. Καὶ εἶπαν αὐτῷ, ἐπερώτησον δὴ ἐν τῷ
Θεῷ, καὶ γνωσόμεθα εἰ εὐοδωθήσε-
ται ἡ ὁδὸς ἡμῶν, ἐν ᾗ ἡμεῖς πορευόμε-
ς. θα ἐν αὐτῇ. Καὶ εἶπεν αὐτοῖς ὁ ἱε-
ρεὺς, πορεύεσθε ἐν εἰρήνῃ. ἐνώπιον
Κυρίου ἡ ὁδὸς ἡμῶν, ἐν ᾗ πορεύεσθε
ἐν αὐτῇ.

ΚΥΡΙΛΛΟΥ. (2) [Ἐρόμενοι τὴν αἰτίαν, καὶ ἀναμαθόντες, ὅπως ἐκ Φυλῆς ὄντα Λευΐ, κατεμισθοῦτο μὲν ὁ Μιχαίας, ἱερουργὸν δὲ τῶν ἑαυτοῦ κεχειροτόνηκε σεβασμάτων, συναλγῆσαι δέον ὡς αἰχμαλώτῳ, καὶ ἠπατημένῳ, καὶ ἀλητεύοντι, συγκατώλισθον εὐθὺς εἰς τοὺς τῆς ἀπάτης βρόχους, καὶ ἀγορεύειν αὐτὸν ἠξίουν, ἐπερωτῶντα] τὸ εἴδωλον, εἰ κατὰ γνώμην αὐτοῖς ἐκβήσεται τὸ ἐγχείρημα· τὸ κρατῆσαί φημι τῆς χώρας, εἰς ἣν ἀφίκοντο [κατοπτεύσοντες.] ὁ δὲ τὸ δοκοῦν ἐλάλησεν, ὡς παρὰ Θεοῦ.

ΤΟΥ ΑΥΤΟΥ. Τὸν ὄντως καταλιπόντες Θεὸν, παρὰ τοῦ εἰδώλου τῇ μεσιτείᾳ αὐτοῦ χρησμὸν ᾐτοῦντο λαβεῖν. (3)

ζ. Καὶ ἐπορεύθησαν οἱ πέντε ἄνδρες, καὶ ἦλθον εἰς Λαϊσά· καὶ εἶδον τὸν λαὸν τὸν ἐν μέσῳ αὐτῆς καθήμενον ἐπ' ἐλπίδι, ὡς σύγκρισις (4) Σιδωνίων ἡσυχάζουσα, καὶ οὐκ ἔστι διατρέπων ἢ καταισχύνων λόγον ἐν τῇ γῇ, κληρονόμος ἐκπιέζων θησαυροὺς, καὶ μακρὰν Σιδωνίων εἰσὶ, καὶ λόγον οὐκ ἔχουσι πρὸς ἄνθρωπον.

ΑΔΗΛΟΥ. Λαϊσά ἐστιν ἡ πρότερον Πανεὰς, νυνὶ δὲ Παῒς καλουμένη.

ΑΔΗΛΟΥ. Ἰστέον, ὅτι Λαϊσὰ αὕτη ἐστὶν ἡ νῦν Πανεὰς καλουμένη.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Καὶ γὰρ Λαϊσὰ ἐν εἰρήνῃ διῆγεν, οὐδενὸς τέως ἐνοχλοῦντος.

» ΑΔΗΛΟΥ. Ὡς σύγκρισις Σιδωνίων, ὡσανεὶ κἀκείνων ὀχλουμένων ὑπὸ μηδενὸς, ἀλλὰ παραπλησίως τούτοις ἐν ὑπερβαλλούσῃ ἀνέσει τυγχανόντων.

η. Καὶ ἦλθον οἱ πέντε ἄνδρες πρὸς τοὺς ἀδελφοὺς αὐτῶν εἰς Σαραὰ καὶ Ἐσθαὸλ, καὶ εἶπον τοῖς ἀδελφοῖς αὐτῶν, τί ὑμεῖς κάθησθε;

θ. Καὶ εἶπον, ἀνάστητε, καὶ ἀναβῶμεν ἐπ' αὐτοὺς, ὅτι εἴδομεν τὴν γῆν, καὶ ἰδοὺ ἀγαθὴ σφόδρα, καὶ ὑμεῖς ἡσυχάζετε. μὴ ὀκνήσητε τοῦ πορευθῆναι, καὶ εἰσελθεῖν τοῦ κληρονομῆσαι τὴν γῆν.

ι. Καὶ ἡνίκα ἂν ἔλθητε, εἰσελεύσεσθε πρὸς λαὸν ἐπ' ἐλπίδι, καὶ ἡ γῆ πλατεῖα, ὅτι παρέδωκεν αὐτὴν ὁ Θεὸς ἐν χειρὶ ὑμῶν· τόπος οὗ οὐκ ἦν ἐκεῖ ὑστέρημα παντὸς ῥήματος τῶν ἐν τῇ γῇ.

** ΚΥΡΙΛΛΟΥ. Κατασκεψάμενοι τὴν γῆν οἱ ἀπεσταλμένοι, τοῖς πεπομφόσιν ἀπήγγελον, ὡς ἀγαθὴ καὶ πίων, καὶ οὐ σὺν ἱδρῶτι ληπτή.

ια. Καὶ ἀπῆραν ἐκεῖθεν ἀπὸ δή-
μων τοῦ Δὰν ἀπὸ Σαραὰ καὶ ἀπὸ
Ἐσθαὸλ καὶ (5) ἑξακόσιοι ἄνδρες πε-
ιβ. ριεζωσμένοι σκεύη παρατάξεως. Καὶ
ἀνέβησαν καὶ παρενέβαλον ἐν Καρια-
θιαρεὶμ ἐν Ἰούδα· διὰ τοῦτο ἐκλήθη
τῷ τόπῳ ἐκείνῳ, παρεμβολὴ Δὰν,
ἕως τῆς ἡμέρας ταύτης· ἰδοὺ ὀπίσω
ιγ. Καριαθιαρείμ. Καὶ παρῆλθον (6)
ἕως οἴκου Μιχά.

** ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ τῶν τοιούτων ἐπύθοντο λόγων οἱ ἀπὸ Φυλῆς Δὰν, ἑξακόσιοι τὸν ἀριθμὸν, ἐν ὅπλοις ὄντες ἀνέβαινον. ἀφίκοντο δὲ καὶ αὐτοὶ μέχρις οἴκου Μιχαίου.

ιδ. Καὶ ἀπεκρίθησαν οἱ πέντε ἄνδρες οἱ πεπορευμένοι κατασκέψασθαι τὴν γῆν Λαϊσὰ, καὶ εἶπαν πρὸς τοὺς ἀδελφοὺς αὐτῶν, ἔγνωτε ὅτι ἐστὶν ἐν τῷ οἴκῳ τούτῳ ἐφοὺδ καὶ θεραφεὶν (7) γλυπτὸν καὶ χωνευτόν. καὶ νῦν γνῶτε τί ποιήσετε.

ΚΥΡΙΛΛΟΥ. Ἐφοὺδ (8) ἑρμηνεύεται λύτρωσις, θεραφεὶν δὲ αἴνεσις ἢ ἰώμενος [αὐτούς.] εἴδωλον γὰρ ἦν ὑπόληψιν ἔχον ἐφ' ἑαυτῷ ψευδῆ τοῦ θεραπεύειν δύνασθαί τινας. περιπλάττουσι γὰρ Ἑλλήνων παῖδες ἔσθ' ὅτε ταῖς τοιαύταις δόξαις τὰ χειροποίητα.

ιε. Καὶ ἐξέκλιναν ἐκεῖ, καὶ εἰσῆλθον (9) εἰς τὸν οἶκον τοῦ νεανίσκου τοῦ Λευΐτου

(1) Διά τοι τὸ γλώττῃ χρῆσθαι τῇ κατ' αὐτούς. Ἑβρ. ἐν τῇ αὐτ. σελ. τοῦ εἰρημ. Τόμ.

(2) Μαθόντες δὲ καὶ τὴν αἰτίαν τῆς αὐτοῦ ἐκεῖσε παρουσίας, συνηγάγησαν αὐτῷ ὡς αἰχμάλωτοι. ἐπηρώτων δὲ τὸ εἴδωλ. ταῦτα ἐν τοῖς κώδ. ἃ δὴ ὡς ἀτελῆ ἐγκατελείφθη καὶ ἐσφαλμένα.

(3) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.

(4) Κατὰ τὴν σύγκρισιν. ἡ τοῦ Ἀλδ. ἔκδ.

(5) Τὸ, καὶ, οὐ κεῖται ἐν ταῖς εἰρημ. ἐκδόσ.

(6) Ἐκεῖθεν ὄρος Ἐφραὶμ, καὶ ἦλθον ἕως, κτλ. αἱ αὐτ.

(7) Καὶ γλυπτ. αἱ αὐτ. καὶ παρὰ Κυρίλ. ἐν σελ. 135. τοῦ αὐτ. Τόμ.

(8) Ἐφὼδ . . . Θεραφὶμ δὲ πάλιν ἄνεσις. αὐτ.

(9) Εἰσῆλθον. αἱ εἰρημ. ἐκδόσ.

Λευΐτου (1) Μιχὰ, καὶ ἠρώτων αὐτὸν
ιϛ. εἰς εἰρήνην. Καὶ οἱ ἑξακόσιοι ἄνδρες
ἐζωσμένοι τὰ σκεύη τῆς παρατάξεως
αὐτῶν ἑστῶτες παρὰ τὰς θύρας τῆς
ιζ. πόλεως, οἱ ἐκ τῶν υἱῶν Δάν. Καὶ
ἀνέβησαν οἱ πέντε ἄνδρες οἱ πορευ-
θέντες κατασκέψασθαι τὴν γῆν, καὶ
εἰσῆλθον ἐκεῖ, καὶ ἔλαβον τὸ γλυπτὸν,
καὶ τὸ ἐφοὺδ, καὶ τὸ θεραφεὶν, καὶ τὸ
χωνευτὸν, καὶ ὁ ἱερεὺς ἑστηλωμένος
παρὰ τῇ θύρᾳ τοῦ πυλῶνος, καὶ οἱ
ἑξακόσιοι ἄνδρες περιεζωσμένοι σκεύη
πολεμικά· καὶ οὗτοι εἰσῆλθον εἰς οἶκον
ιη. Μιχά. Καὶ ἔλαβον τὸ γλυπτὸν καὶ
τὸ ἐφοὺδ καὶ τὸ θεραφεὶν καὶ τὸ χω-
νευτόν. καὶ εἶπε πρὸς αὐτοὺς ὁ ἱερεὺς,
ιθ. τὶ ὑμεῖς ποιεῖτε; Καὶ εἶπαν αὐτῷ,
κώφευσον, καὶ ἐπίθες τὴν χεῖρά σου
ἐπὶ τὸ στόμα σου, καὶ δεῦρο μεθ' ἡμῶν,
καὶ γενοῦ ἡμῖν εἰς πατέρα καὶ εἰς ἱερέα.
μὴ ἀγαθὸν εἶναι (2) εἰς ἱερέα οἴκου ἀν-
δρὸς ἑνὸς, ἢ γενέσθαι εἰς ἱερέα φυλῆς
κ. καὶ οἴκου εἰς δῆμον Ἰσραήλ; Καὶ ἠγα-
θύνθη ἡ καρδία τοῦ ἱερέως, καὶ ἔλα-
βε τὸ ἐφοὺδ καὶ τὸ θεραφεὶν καὶ τὸ
γλυπτὸν καὶ τὸ χωνευτὸν, καὶ εἰσῆλ-
κα. θεν ἐν μέσῳ τοῦ λαοῦ. Καὶ ἀπέστρε-
ψαν καὶ ἀπῆλθον, καὶ ἔθηκαν τὰ
τέκνα καὶ τὴν κτῆσιν καὶ τὸ βάρος
κβ. ἔμπροσθεν αὐτῶν. Αὐτῶν δὲ μακρυ-
νόντων ἀπὸ τοῦ οἴκου Μιχὰ, καὶ (3) οἱ
ἄνδρες οἱ ἐν ταῖς οἰκίαις ταῖς μετὰ
οἴκου Μιχὰ ἐβόησαν, καὶ κατέλαβον
κγ. τοὺς υἱοὺς Δάν. Καὶ ἐπέστρεψαν τὸ
πρόσωπον αὐτῶν οἱ υἱοὶ Δὰν, καὶ εἶπαν
τῷ Μιχὰ, τί ἐστί σοι, ὅτι ἐλάλη-
κδ. σας; (4) Καὶ εἶπε Μιχὰ, ὅτι τὸ
γλυπτόν μου, ὃ ἐποίησα ἐλάβετε, καὶ
τὸν ἱερέα, καὶ ἐπορεύθητε· καὶ τί μοι
ἐστί; καὶ τὶ τοῦτο λέγετε πρός με, (5)
κε. κράζεις; Καὶ εἶπαν πρὸς αὐτὸν οἱ υἱοὶ
Δὰν, μὴ ἀκουσθήτω δὴ φωνή σου μεθ'
ἡμῶν, μήπως (6) συναντήσωσιν ἐν
ἡμῖν ἄνδρες πικροὶ τῇ ψυχῇ, καὶ προ-
θήσεις (7) τὴν ψυχήν σου, καὶ τὴν ψυ-
κϛ. χὴν τοῦ οἴκου σου. Καὶ ἐπορεύθησαν
οἱ υἱοὶ Δὰν εἰς ὁδὸν αὐτῶν. καὶ εἶδε Μι-
χὰ, ὅτι δυνατώτεροί εἰσιν ὑπὲρ αὐ-
τόν· καὶ ἐπέστρεψεν εἰς τὸν οἶκον αὐτοῦ.
κζ. Καὶ οἱ υἱοὶ Δὰν ἔλαβον ὃ ἐποίησε Μι-

A χὰ, καὶ τὸν ἱερέα ὃς ἦν αὐτῷ, καὶ ἦλ-
θον ἐπὶ Λαϊσὰ, ἐπὶ λαὸν ἡσυχάζον-
τα καὶ πεποιθότα ἐπ' ἐλπίδι. καὶ ἐπά-
ταξαν αὐτοὺς ἐν στόματι ῥομφαίας,
καὶ τὴν πόλιν ἐνέπρησαν ἐν πυρί,
κη. Καὶ οὐκ ἦν ὁ ῥυόμενος, ὅτι μα-
κράν ἐστιν ἀπὸ Σιδωνίων, καὶ λόγος οὐκ
ἔστιν αὐτοῖς μετὰ ἀνθρώπου· καὶ αὕτη
B ἐν τῇ κοιλάδι τοῦ οἴκου Ῥεώβ. καὶ ᾠκο-
δόμησαν τὴν πόλιν, καὶ κατεσκήνω-
σαν ἐν αὐτῇ.

„ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, αὕτη ἐν κοι-
„ λάδι οἴκου Ῥιχάβ; (8) οἱ Ἑβδομήκοντα, τοῦ
οἴκου Ῥεώβ. Παρ' ἐκείνην, ὡς εἰκὸς, τὴν
πόλιν ᾤκησεν ὁ Ῥιχάβ. ἡ αὐτὴ (9) δὲ πά-
λαι μὲν Λαϊσὰ προσηγορεύετο· πολιορκη-
θεῖσα δὲ ὑπὸ τούτων, μετεκλήθη Δάν· νῦν
δὲ Πανεὰς ὀνομάζεται.

Γ κθ. Καὶ ἐκάλεσαν τὸ ὄνομα τῆς
πόλεως Δὰν, ἐν ὀνόματι τοῦ πατρὸς
αὐτῶν, ὃς ἐτέχθη τῷ Ἰσραήλ. καὶ
ἦν Οὐλαμαοὺς (10) τὸ ὄνομα τῇ πό-
λει τὸ πρότερον.

ΚΥΡΙΛΛΟΥ. Παραταξάμενοι δὲ καὶ
νενικηκότες, καὶ ὑπὸ χεῖρα λαβόντες τὴν
γῆν, ἀνεδείμαντο πόλιν, ἣν ἐπωνόμασαν
Δὰν, τὸ τοῦ πατρὸς ὄνομα καταγράφον-
Δ τες αὐτῇ.

λ. Καὶ ἔστησαν ἑαυτοῖς υἱοὶ Δὰν
τὸ γλυπτόν. καὶ Ἰωάθαμ (11) υἱὸς Γηρ-
σὼ υἱοῦ Μωϋσοῦ αὐτὸς καὶ οἱ υἱοὶ αὐτοῦ
ἦσαν ἱερεῖς τῇ φυλῇ Δὰν ἕως τῆς
λα. ἡμέρας ἀποικεσίας (12) τῆς γῆς. Καὶ
ἔθηκαν ἑαυτοῖς τὸ γλυπτὸν ὃ ἐποίησε
Μιχὰ, πάσας (13) ἡμέρας ἃς ἦν ὁ
E οἶκος τοῦ Θεοῦ ἐν Σηλώμ. καὶ ἐγένετο
ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ ἦν βασι-
λεὺς ἐν Ἰσραήλ.

ΚΥΡΙΛΛΟΥ. Ἱδρυσάμενοι τὸ εἴδωλον
ἐν αὐτῇ, θυσίας προσήγαγον, [καὶ ὁμοῦ τῇ
γῇ καὶ Θεὸν ἐκλήσαντο. πρὸς τοῦτο αὐτοῖς
ἀβουλίας κατεκομίσθη τὸ φρόνημα. ταύτη-
τοι Θεὸς ἠγανάκτει λοιπὸν, καὶ μάλα εἰκό-
τως, ὡς ὑβρισμένος. εἶτα δέον πάντας
τοὺς ἐξ Ἰσραὴλ ἐχθροὺς ἡγεῖσθαι καὶ πολε-
Z μιωτάτους τοὺς ἀπὸ Δὰν, καὶ τῆς εἰς Θεὸν
δυσσεβείας ἐξαιτῆσαι λόγους, τάχα πως καὶ
συνηνέχθησαν, καὶ ἐπαινεῖν ἠξίουν, ὡς κατ'
οὐδὲν ὅλως ἡμαρτηκότας.]

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐνταῦθα μέντοι τοῦ-
δε τοῦ Λευΐτου τὸ γένος σαφῶς μεμαθήκα-
„ μεν. Ἰωνάθαν γάρ φησιν υἱὸς Μανασσῆ υἱοῦ
„ Ῥιχὰβ (14) υἱοῦ Μωσῆ, αὐτὸς καὶ οἱ υἱοὶ
αὐτοῦ

(1) Εἰς τὸν οἶκον Μιχαία. αἱ αὐτ. (2) Εἶναί σε ἱερέα. αἱ αὐτ.
(3) Ἰδοὺ Μιχαίας καὶ οἱ κλ. αἱ αὐτ. (4) Ἐβόησας; αἱ αὐτ. (5) Τί κράζεις; αἱ αὐτ.
(6) Μήποτε. αἱ αὐτ. (7) Προσθήσουσιν. αἱ αὐτ. προσθήσεις. ἡ ἐν Κομπλ. ἔκδ.
(8) Ῥιχάβ καὶ ἡ ἐν Ὀξον. ἔκδ. τὸ δὲ, οἱ Ἑβδομήκοντα, τοῦ οἴκου Ῥεώβ, οὐ κεῖται ἐν τῇ κατὰ τὴν Χαλ. ἐκδόσ. (9) Αὕτη. ἡ αὐτ. (10) Οὐλαμαΐς. αἱ εἰρημ. ἐκδόσ.
(11) Ἰωνάθαν υἱὸς Γηρσὼν υἱὸς Μανασσῆ αὐτὸς, κλ. αἱ αὐτ. (12) Ἡ τοῦ Ἀλδ. μετοικεσίας, αἱ εἰρημ. ἐκδόσ. ἀποικίας. (13) Τὰς ἡμέρ. αἱ αὐτ. (14) Γηρσώμ. ἡ ἐν Χαλ. ἔκδ.

» αὐτοῦ ἦσαν ἱερεῖς τῇ Φυλῇ Δὰν, ἕως τῆς
» μετοικεσίας τῆς γῆς. καὶ ἔταξαν αὐτοῖς
» τὸ γλυπτὸν ὃ ἐποίησε Μιχὰ, πάσας τὰς
» ἡμέρας, ὅσας ἦν ὁ οἶκος τοῦ Θεοῦ ἐν Σηλώμ.
παρανόμως τοιγαροῦν ἱεράτευον, οὐ μόνον εἰδώλοις λατρεύοντες, ἀλλὰ καὶ ἱερατικὸν ἔργον τολμῶντες πληροῦν. Λευῖται γὰρ ἦσαν, οὐχ ἱερεῖς. μόνον γὰρ τοῦ Ἀαρὼν τὸ γένος ἱερατεύειν ὁ δεσπότης Θεὸς διηγόρευσε. καὶ νομίζω διὰ τὸ ἀλλόφυλον ἀγαγέσθαι γυναῖκα τὸν νομοθέτην, τοὺς ἐκ τούτου φύντας τοῖς Λευΐταις συνταχ- A θῆναι, καὶ οὐ τοῖς ἱερεῦσι προστάξεν· ἵνα μὴ τὸ ἱερατικὸν ἀξίωμα καθυβρίζηται ὀνειδιζόμενον τὴν δυσγένειαν. (1) εἰ γὰρ ἀδελφὸς καὶ ἀδελφὴ ταύτην τῷ νομοθέτῃ τὴν λοιδορίαν ἐπήνεγκαν, τί οὐκ ἂν ἐτόλμησαν οἱ περὶ τὸ στασιάζειν καὶ τυραννεῖν προχειρότεροι; οἱ γὰρ κατὰ τοῦ Ἀαρὼν θρασυνόμενοι, ὃς κόρην ἔγημεν ἐκ τῆς βασιλικῆς βεβλαστηκυῖαν Φυλῆς, τί οὐκ ἂν ἔδρασαν κατὰ τῶν Μωϋσοῦ παίδων, ὃς B Μαδιναίου καὶ εἰδώλων ἱερέως ἠγάγετο θυγατέρα;

ΚΕΦ. ΙΘ.

α. Καὶ ἐγένετο ἀνὴρ Λευΐτης
παροικῶν ἐν μηροῖς ὄρους
Ἐφραὶμ, καὶ ἔλαβεν ἑαυ-
τῷ γυναῖκα παλλακὴν ἀπὸ Βηθ-
β. λεὲμ Ἰούδα. Καὶ ἐπορεύθη ἀπ' αὐτοῦ
ἡ παλλακὴ αὐτοῦ, καὶ ἀπῆλθε παρ'
αὐτοῦ εἰς τὸν οἶκον τοῦ πατρὸς αὐτῆς
εἰς Βηθλεὲμ Ἰούδα, καὶ ἦν ἐκεῖ ἡμέ-
ρας τεσσάρων μηνῶν.

** ΙΩΣΗΠΟΥ. Λευΐτης ἀνὴρ τῶν δημοτικωτέρων τῆς Ἐφραΐμου κληρουχίας ὤν, καὶ ἐν ἐκείνῃ κατοικῶν, ἄγεται γύναιον ἀπὸ Βηθλέμων. τῆς δὲ Ἰούδα Φυλῆς τοῦτ' ἐστὶ τὸ χωρίον. ἐρῶν δὲ σφόδρα τῆς γυναικὸς, καὶ τοῦ κάλλους αὐτῆς ἡττημένος, ἠτύχει τῶν παρ' ἐκείνης οὐχ ὁμοίως πειρώμενος. ἀλλοτρίως δ' αὐτῆς ἐχούσης, καὶ διὰ τοῦτο μᾶλλον ἐκκαιομένου τῷ πάθει, μέμψεις συνεχεῖς αὐτοῖς ἐγίνοντο· καὶ τέλος ἡ γυνὴ πρὸς αὐτὰς βαρυνομένη, καταλιποῦσα τὸν ἄνδρα, πρὸς τοὺς γονεῖς παραγίνεται, μηνὶ τετάρτῳ.

γ. Καὶ ἀνέστη ὁ ἀνὴρ αὐτῆς, καὶ
ἐπορεύθη ὀπίσω αὐτῆς τοῦ λαλῆσαι
ἐπὶ τὴν καρδίαν αὐτῆς, τοῦ ἐπιστρέψαι
αὐτὴν αὐτῷ· καὶ νεανίας αὐτοῦ μετ'
αὐτοῦ, καὶ ζεῦγος ὑποζυγίων. ἡ δὲ εἰσή-
νεγκεν αὐτὸν εἰς οἶκον πατρὸς αὐτῆς·
καὶ εἶδεν αὐτὸν ὁ πατὴρ τῆς νεάνιδος,
καὶ ηὐφράνθη εἰς συνάντησιν αὐτοῦ.
δ. Καὶ κατέσχεν αὐτὸν ὁ πατὴρ τῆς νεά-
νιδος ὁ γαμβρὸς αὐτοῦ, καὶ ἐκάθισε
μετ' αὐτοῦ ἐπὶ τρεῖς ἡμέρας, καὶ ἔφα-
γον καὶ ἔπιον, καὶ ηὐλίσθησαν ἐκεῖ.
ε. Καὶ ἐγένετο τῇ ἡμέρᾳ τῇ τετάρτῃ,
καὶ ὤρθρισε (2) τὸ πρωῒ, καὶ ἀνέστη-
σαν τοῦ πορευθῆναι, καὶ εἶπεν ὁ πα-
τὴρ τῆς νεάνιδος πρὸς τὸν νυμφίον αὐ-
τοῦ, στήρισόν σου τὴν καρδίαν ψωμῷ ἄρ-
ς. του, καὶ μετὰ τοῦτο πορεύεσθε. Καὶ
ἐκάθισαν καὶ ἔφαγον οἱ δύω ἐπὶ τὸ
αὐτὸ καὶ ἔπιον. καὶ εἶπεν ὁ πατὴρ τῆς
νεάνιδος πρὸς τὸν ἄνδρα, ἄγε δὴ αὐ-
λίσθητι, καὶ ἀγαθυνθήσεται ἡ καρ-
ζ. δία σου. Καὶ ἀνέστη ὁ ἀνὴρ τοῦ πορεύε-
Γ σθαι· (3) καὶ ἐβιάσατο αὐτὸν ὁ γαμ-
βρὸς αὐτοῦ, καὶ ἐκάθισε καὶ ηὐλίσθη
η. ἐκεῖ. Καὶ ὤρθρισε τὸ πρωῒ τῇ ἡμέρᾳ
τῇ πέμπτῃ τοῦ πορευθῆναι. καὶ εἶπεν
ὁ πατὴρ τῆς νεάνιδος, στήρισον δὴ τὴν
καρδίαν σου ἄρτῳ, καὶ διεπλάνα αὐ-
τὸν ἕως κλῖναι τὴν ἡμέραν· καὶ ἔφα-
θ. γον καὶ ἔπιον οἱ δύω. Καὶ ἀνέστη ὁ ἀνὴρ
Δ τοῦ πορευθῆναι αὐτὸς, καὶ ἡ παλλακὴ
αὐτοῦ καὶ ὁ νεανίας αὐτοῦ· καὶ εἶπεν
αὐτῷ ὁ γαμβρὸς αὐτοῦ ὁ πατὴρ τῆς
νεάνιδος, ἰδοὺ δὴ κέκλικεν ἡ ἡμέρα εἰς
ἑσπέραν· αὐλίσθητι ὧδε, καὶ ἀγαθυν-
θήσεται ἡ καρδία σου, καὶ ὀρθριεῖτε
αὔριον εἰς τὴν ὁδὸν ὑμῶν, καὶ πορεύσῃ
ι. εἰς τὸν οἶκόν σου. (4) Καὶ οὐκ ηὐδόκη-
σεν ὁ ἀνὴρ αὐλισθῆναι, καὶ ἀνέστη καὶ
E ἀπῆλθε, καὶ ἦλθεν ἕως ἔναντι Ἰεβοὺς,
αὕτη ἐστὶν Ἱερουσαλὴμ, καὶ μετ' αὐτοῦ
ζεῦγος ὄνων ἐπισεσαγμένων, καὶ ἡ
παλλακὴ αὐτοῦ μετ' αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Χαλεπῶς φέρων ὁ ἀνὴρ ἐπὶ τῷ ἔρωτι, ἧκε πρὸς τοὺς πενθεροὺς· καὶ διαλυσάμενος τὰς μέμψεις, καταλλάττεται πρὸς αὐτήν. καὶ τέσσαρας μὲν ἡμέρας αὐτόθι διαιτᾶται, φιλοφρονουμένων Z αὐτὸν τῶν γονέων. τῇ δὲ πέμπτῃ, δόξαν ἀπιέναι πρὸς αὐτὸν, περὶ δείλην ἔξεισι. βράδιον γὰρ ἀπέλυον οἱ γονεῖς τὴν θυγατέρα, καὶ τῆς ἡμέρας τριβὴν ἐποιοῦντο. θεράπων δ' αὐτοῖς εἵπετο· καὶ ὄνος ἦν αὐτοῖς, ἐφ' ἧς ὠχεῖτο τὸ γύναιον.

ια. Καὶ ἦλθον ἕως Ἰεβοὺς· καὶ ἡ
ἡμέρα προβεβήκει σφόδρα, καὶ εἶπεν
ὁ νεανίας πρὸς τὸν κύριον αὐτοῦ, δεῦρο
H δὴ καὶ ἐκκλίνωμεν εἰς πόλιν τοῦ Ἰεβου-
σαίου ταύτην, καὶ αὐλισθῶμεν ἐν αὐτῇ.
ιβ. Καὶ

(1) Τὴν συγγένειαν. ἡ αὐτ.
(2) Ὤρθρισαν τὸ πρωῒ καὶ ἀνέστη. αἱ εἰρημ. ἐκδόσ.
(3) Αὐτός· καί. αἱ αὐτ.
(4) Τὸ σκήνωμά σου. αἱ αὐτ.

ιβ. Καὶ εἶπε πρὸς αὐτὸν ὁ κύριος αὐτοῦ,
οὐκ ἐκκλινοῦμεν εἰς πόλιν ἀλλοτρίαν,
ἐν ᾗ οὐκ ἔστιν ἀπὸ υἱῶν Ἰσραὴλ ὧδε, καὶ
ιγ. παρελευσόμεθα ἕως Γαβαά. Καὶ
εἶπε τῷ νεανίᾳ αὐτοῦ, δεῦρο καὶ ἐγγί-
σωμεν ἑνὶ τῶν τόπων, καὶ αὐλισθησό-
ιδ. μεθα ἐν Γαβαὰ (1) ἐν Ῥαμά. Καὶ
παρῆλθον καὶ ἐπορεύθησαν, καὶ ἔδυ
ὁ ἥλιος αὐτοῖς ἐχόμενα τῆς Γαβαά,
ἥ ἐστι τοῦ Βενιαμίν.

** ΙΩΣΗΠΟΥ. Γενομένων αὐτῶν κατὰ τὰ Ἱεροσόλυμα, σταδίους δ' ἐληλύθεισαν ἤδη τριάκοντα, συνεβούλευεν ὁ θεράπων καταχθῆναί που, μή καί τι τῆς νυκτὸς αὐτοὺς ὁδεύοντας καταλάβοι δύσκολον, καὶ ταῦτα οὐδὲ πόῤῥω πολεμίων ὄντας, τοῦ καιροῦ πολλάκις ἐπισφαλῆ καὶ ὕποπτα ποιοῦντος καὶ τὰ φίλα. τῷ δ' οὐκ ἤρεσεν ἡ γνώμη παρ' ἀλλοφύλοις ἀνδράσι ξενοῦσθαι· Χαναναίων γὰρ ἦν ἡ πόλις· ἀλλὰ προελθόντας εἴκοσι στάδια, εἰς οἰκείαν ἠξίου κατάγεσθαι πόλιν. καὶ κρατήσας τῇ γνώμῃ, παρῆν εἰς Γαβὰν φυλῆς τῆς Βενιαμίτιδος, ἤδη ὀψίας οὔσης.

ιε. Καὶ ἐξέκλιναν ἐκεῖ τοῦ εἰσελθεῖν αὐλισθῆναι ἐν Γαβαᾷ. καὶ εἰσῆλθον, καὶ ἐκάθισαν ἐν τῇ πλατείᾳ τῆς πόλεως, καὶ οὐκ ἦν ἀνὴρ ὁ συνάγων αὐτοὺς εἰς οἰκίαν αὐλισθῆναι.

** ΚΥΡΙΛΛΟΥ. Ἀβασιλεύτου μεμενηκότος τοῦ Ἰσραὴλ, ἀνήρ τις Λευΐτης παροικῶν ἐν μηροῖς ὄρους Ἐφραὶμ, σύνοικον ἐποιήσατό τινα τῶν ἐκ Βηθλεέμ. ἐπειδὴ δὲ [τὸ] γύναιον ἀπέδρα πρὸς τὸν πατέρα, εἵπετο μὲν ὁ Λευΐτης· ἀνέπειθε δὲ αὖθις ὑποστρέψαι σὺν αὐτῷ, καὶ οἴκοι γενέσθαι λοιπόν. οὗ δὴ γεγονότος, κατὰ μέσην ἰὼν τὴν ὁδὸν, ὁμοῦ τῷ γυναίῳ κατέλυσεν ἐν Γαβαᾷ, ἣ διερμηνεύεται βουνός. ᾤκουν δὲ τὴν Γαβαὰ, ἤτοι τὸν βουνὸν, οἱ ἐκ φυλῆς Βενιαμίν.

ις. Καὶ ἰδοὺ ἀνὴρ πρεσβύτης ἤρχετο ἐξ ἔργων αὐτοῦ ἐξ ἀγροῦ ἐν ἑσπέρᾳ, καὶ ὁ ἀνὴρ ἦν ἐξ ὄρους Ἐφραὶμ, καὶ αὐτὸς παρῴκει ἐν Γαβαᾷ, καὶ οἱ ἄν-
ιζ. δρες τοῦ τόπου υἱοὶ Βενιαμίν. Καὶ ἦρε
τοὺς ὀφθαλμοὺς αὐτοῦ, καὶ εἶδε τὸν
ὁδοιπόρον ἄνδρα ἐν τῇ πλατείᾳ τῆς
πόλεως. καὶ εἶπεν ὁ ἀνὴρ ὁ πρεσβύ-
ιη. της, ποῦ πορεύῃ, καὶ πόθεν ἔρχῃ; Καὶ
εἶπε πρὸς αὐτὸν, παραπορευόμεθα
ἡμεῖς ἀπὸ Βηθλεὲμ Ἰούδα ἕως μηρῶν
ὄρους Ἐφραίμ· ἐκεῖθεν ἐγώ εἰμι, καὶ
ἐπορεύθην ἕως Βηθλεὲμ Ἰούδα, καὶ
εἰς τὸν οἶκόν μου ἐγὼ πορεύομαι, καὶ οὐκ
ἔστιν ἀνὴρ συνάγων με εἰς τὴν οἰκίαν.
ιθ. Καί γε ἄχυρα καὶ χορτάσματά ἐστι
τοῖς ὄνοις ἡμῶν, καὶ ἄρτος καὶ οἶνός-
ἐστιν ἐμοὶ καὶ τῇ παιδίσκῃ σου καὶ τῷ
νεανίσκῳ μετὰ τῶν παίδων σου, καὶ
οὐκ ἔστιν ὑστέρημα παντὸς πράγματος.
κ. Καὶ εἶπεν ὁ ἀνὴρ ὁ πρεσβύτης, εἰρήνη
σοί· πλὴν πᾶν ὑστέρημά σου ἐπ' ἐμὲ,
πλὴν ἐν τῇ πλατείᾳ οὐ μὴ αὐλισθήσῃ.
κα. Καὶ εἰσήνεγκεν αὐτὸν εἰς τὸν οἶκον αὐ-
τοῦ, καὶ τόπον ἐποίησε τοῖς ὄνοις, καὶ
αὐτοὶ ἔνιψαν τοὺς πόδας αὐτῶν, καὶ
ἔφαγον καὶ ἔπιον.

** ΙΩΣΗΠΟΥ. Μηδενὸς ἐπὶ ξενίαν τῶν κατὰ τὴν ἀγορὰν αὐτὸν παρακαλοῦντος, πρεσβύτης ἐξ ἀγροῦ κατιὼν, τῆς μὲν Ἐφραϊμίτιδος φυλῆς ὢν, ἐν δὲ τῇ Γαβᾷ διαιτώμενος, συντυγχάνων αὐτῷ, τίς τε ὢν ἤρετο, καὶ δι' ἃς αἰτίας στελλόμενος σκότους ἤδη τὰ πρὸς τὸ δεῖπνον αὐτῷ λαμβάνοι. ὁ δὲ, Λευΐτης μὲν ἔφησεν εἶναι, γύναιον δὲ παρὰ τῶν γονέων ἄγων, πρὸς αὐτὸν ἀπιέναι. τὴν δ' οἴκησιν ἐδήλου τυγχάνειν ἐν τῇ Ἐφραΐμου κληρουχίᾳ. ὁ δὲ πρεσβύτης, καὶ διὰ τὴν συγγένειαν, καὶ διὰ τὸ τὴν αὐτὴν φυλὴν νέμειν, καὶ μὴν διὰ τὴν συντυχίαν, παρ' αὐτὸν ξενισθησόμενον ἦγε.

κβ. Αὐτῶν (2) δὲ ἀγαθυνόντων τὴν καρδίαν αὐτῶν, καὶ ἰδοὺ ἄνδρες τῆς πόλεως υἱοὶ παρανόμων περιεκύκλωσαν τὴν οἰκίαν, κρούοντες ἐπὶ τὴν θύραν· καὶ εἶπαν πρὸς τὸν ἄνδρα τὸν κύριον τοῦ οἴκου τὸν πρεσβύτην, λέγοντες, ἐξένεγκε τὸν ἄνδρα ὃς εἰσῆλθεν εἰς τὴν οἰκίαν σου, ἵνα γνῶμεν αὐτόν.

** ΙΩΣΗΠΟΥ. Νεανίαι δέ τινες τῶν Γαβαηνῶν ἐπὶ τῆς ἀγορᾶς τὸ γύναιον θεασάμενοι, καὶ τὴν εὐπρέπειαν θαυμάσαντες, ἐπεὶ παρὰ τῷ πρεσβύτῃ κατηγμένην ἔμαθον, καταφρονήσαντες τῆς ἀσθενείας καὶ τῆς ὀλιγότητος, ἧκον ἐπὶ τὰ θύρας.

** ΚΥΡΙΛΛΟΥ. Ἐπειδὴ παρά τινα κατηυλίζετο πρεσβύτην, κατὰ μέσην τὴν νύκτα ἐλθόντες τῶν ἐκ φυλῆς Βενιαμὶν ἄνδρες παράνομοι, καθὰ γέγραπται, καταβιάζεσθαι πρὸς ἀσέλγειαν τὸν Λευΐτην, καὶ αὐτὸν, καὶ ἑτέρους ἤθελον.

κγ. Καὶ ἐξῆλθε πρὸς αὐτοὺς ὁ κύριος τοῦ οἴκου, καὶ εἶπε πρὸς αὐτοὺς, μὴ ἀδελφοὶ, μὴ κακοποιήσητε δὴ μετὰ τὸ εἰσελθεῖν τὸν ἄνδρα τοῦτον εἰς τὴν οἰκίαν μου, μὴ ποιήσητε τὴν ἀφροσύ-
κδ. νην ταύτην. Ἴδετε ἡ θυγάτηρ μου
ἡ παρθένος, καὶ ἡ παλλακὴ αὐτοῦ·
ἐξάξω δὴ αὐτὰς, καὶ ταπεινώσατε
αὐτὰς, καὶ ποιήσατε αὐταῖς τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς ὑμῶν, καὶ τῷ ἀνδρὶ τούτῳ μὴ ποιήσητε τὸ ῥῆμα τῆς ἀφροσύνης ταύτης.

ΙΩΣΗ-

(1) Ἢ ἐν. αἱ αὐτ.

(2) Αὐτοὶ δὲ ἀγαθυνόντες καρδίαν αὐτῶν. αἱ αὐτ. Αὐτῶν δὲ ἀγαθυνθέντων τῇ καρδίᾳ. ἡ τοῦ Ἀλδ.

** ΙΩΣΗΠΟΥ. Τοῦ πρεσβύτου παρακαλοῦντος ἀπαλλάττεσθαι, καὶ μὴ προσφέρειν βίαν μηδὲ ὕβριν, ἠξίουν αὐτὸν παρασχόντα τὴν ξένην, πραγμάτων ἀπηλλάχθαι. ὡς δὲ συγγενῆ τε λέγοντος καὶ Λευΐτην τοῦ πρεσβύτου, καὶ δράσειν αὐτοὺς δεινὰ ὑφ' ἡδονῆς εἰς τοὺς νόμους ἐξαμαρτάνοντας, ὠλιγώρουν τοῦ δικαίου καὶ κατεγέλων· ἠπείλουν δὲ ἀποκτείνειν αὐτὸν, ἐμποδίζοντα ταῖς ἐπιθυμίαις αὐτῶν. εἰς δ' ἀνάγκην περιηγμένος, καὶ μὴ βουλόμενος τοὺς ξένους περιϊδεῖν ὑβρισθέντας, τῆς ἑαυτοῦ θυγατρὸς αὐτοῖς παρεχώρει· πληρώσειν τε τὴν ἐπιθυμίαν αὐτοὺς, λέγων, νομιμώτερον, δίχα τῆς εἰς τοὺς ξένους ὕβρεως, αὐτὸς δὲ μηδὲν ἀδικήσειν οὓς ὑπεδέξατο τούτῳ τῷ τρόπῳ νομίζων.

κε. Καὶ οὐκ ηὐδόκησαν οἱ ἄνδρες τοῦ εἰσακοῦσαι. καὶ ἐπελάβετο ὁ ἀνὴρ τῆς παλλακῆς αὐτοῦ, καὶ ἐξήγαγεν αὐτὴν πρὸς αὐτοὺς ἔξω. καὶ ἔγνωσαν αὐτὴν, καὶ ἐνέπαιζον ἐν αὐτῇ ὅλην τὴν νύκτα ἕως τοῦ πρωΐ, καὶ ἐξαπέστειλαν αὐτὴν ὡς ἀνέβη τὸ πρωΐ.

** ΙΩΣΗΠΟΥ. Ὡς οὐδὲν τῆς σπουδῆς τῆς ἐπὶ τὴν ξένην ἐνεδίδοσαν, ἀλλ' ἐνέκειντο ταύτην παραλαβεῖν ἀξιοῦντες, ὁ μὲν ἱκέτευε μηδὲν τολμᾷν παράνομον, οἱ δ' ἁρπασάμενοι καὶ προσθέμενοι μᾶλλον τῷ βιαίῳ τῆς ἡδονῆς, ἀπήγαγον πρὸς αὐτοὺς τὴν γυναῖκα. καὶ δι' ὅλης τῆς νυκτὸς ἐμπλησθέντες τῆς ὕβρεως, ἀπέλυσαν περὶ ἀρχομένην ἡμέραν.

** ΚΥΡΙΛΛΟΥ. Δυσωπηθέντες μόλις τῆς ἀτοπίας τὴν ὑπερβολὴν, τὴν τοῦ Λευΐτου συλλαμβάνουσι παλλακίδα. καὶ δὴ καὶ ἀπεκτόνασι, δι' ὅλης τῆς νυκτὸς εἰς τὸ γύναιον ἀσελγαίνοντες.

κϛ. Καὶ ἐξῆλθεν (1) ἡ γυνὴ πρὸς τὸν ὄρθρον, καὶ ἔπεσε παρὰ τὴν θύραν τοῦ οἴκου οὗ ἦν αὐτῆς ἐκεῖ ὁ ἀνὴρ, ἕως οὗ διαφωνῆσαι. (2)

** ΙΩΣΗΠΟΥ. Τεταλαιπωρημένη τοῖς συμβεβηκόσι παρῆν ἐπὶ τὴν ξενίαν, καὶ ὑπὸ λύπης ὧν ἐπεπόνθει, καὶ τοῦ μὴ τολμᾷν ὑπ' αἰσχύνης εἰς ὄψιν ἐλθεῖν τ' ἀνδρί· τοῦτον γὰρ μάλιστα τοῖς γεγενημένοις ἔχειν ἀνιάτως ἐλογίζετο· καταπεσοῦσα, τὴν ψυχὴν ἀφίησιν.

ΑΔΗΛΟΥ. Τοσοῦτον ἐχρήσαντο αὐτῇ ἐπ' ἀσελγείᾳ, ὥστε οὐδὲ πρὸς βραχὺ ἐν ζωῇ
A διέμεινεν· ἀλλὰ μετὰ τὸ πλησιάσαι τῷ
οἴκῳ ἔνθα ἦν ὁ ἀνὴρ αὐτῆς, παραχρῆμα
τὸ πνεῦμα ἀπέῤῥιψε.

κζ. Καὶ ἀνέστη ὁ ἀνὴρ αὐτῆς τὸ
πρωΐ, καὶ ἤνοιξε τὰς θύρας τοῦ οἴκου,
καὶ ἐξῆλθε τοῦ πορευθῆναι τὴν ὁδὸν
αὐτοῦ· καὶ ἰδοὺ ἡ γυνὴ ἡ παλλακὴ αὐ-
τοῦ πεπτωκυῖα παρὰ τὰς θύρας τοῦ
οἴκου, καὶ αἱ χεῖρες αὐτῆς ἐπὶ τὸ
B πρόθυρον.

κη. Καὶ εἶπε πρὸς αὐτὴν, ἀνάστα
καὶ ἀπέλθωμεν· καὶ οὐκ ἀπεκρίθη,
ὅτι ἦν νεκρά. καὶ ἀνέλαβεν αὐτὴν
ἐπὶ τὸν ὄνον, καὶ ἀνέστη ὁ ἀνὴρ, καὶ
ἐπορεύθη εἰς τὸν τόπον αὐτοῦ, καὶ
εἰσῆλθεν εἰς τὸν οἶκον αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ὁ ἀνὴρ αὐτῆς οἰόμε-
Γ νος ὕπνῳ βαθεῖ κατεσχῆσθαι τὴν γυναῖκα,
καὶ μηδὲν σκυθρωπὸν ὑφορώμενος, ἀνεγεί-
ρειν ἐπειρᾶτο, παραμυθήσασθαι διεγνω-
κὼς, ὡς οὐκ ἐξ ἑκουσίου γνώμης αὐτὴν πα-
ράσχοι τοῖς καθυβρίσασιν. ἀλλὰ ἁρπασα-
μένων ἐπὶ τὴν ξενίαν αὐτῶν. ὡς δὲ τελευ-
τήσασαν ἔμαθε, σωφρονῶν πρὸς τὸ μέγε-
θος τῶν κακῶν, ἐπιθέμενος τῷ κτήνει νε-
κρὰν τὴν γυναῖκα κομίζει πρὸς ἑαυτόν.

Δ κθ. Καὶ ἔλαβε τὴν ῥομφαίαν,
καὶ ἐκράτησε τὴν παλλακὴν αὐτοῦ·
καὶ ἐμέλισεν αὐτὴν κατὰ τὰ ὀστᾶ αὐ-
τῆς εἰς δώδεκα μέλη, καὶ ἀπέστειλεν
αὐτὰ ἐν παντὶ χωρίῳ (3) Ἰσραήλ.

** ΙΩΣΗΠΟΥ. Διελὼν αὐτὴν κατὰ
μέλος εἰς μέρη δώδεκα, διέπεμψεν εἰς ἑκά-
στην φυλὴν, ἐντειλάμενος τοῖς κομίζουσι λέ-
γειν τοὺς αἰτίους τῆς τελευτῆς τῇ γυναικὶ
E καὶ τὴν βίαν ταῖς φυλαῖς.

ΚΥΡΙΛΛΟΥ. [Διελὼν εἰς μέλη τὸ σῶ-
μα, διένειμε τοῖς ἐκ φυλῆς Ἰσραὴλ,] κα-
ταφανῆ καθιστὰς τῶν ἐκ φυλῆς Βενιαμὶν
τήν τε εἰς [τοὺς] ξένους ἁμαρτίαν, καὶ τὸ
ἀχάλινον εἰς ἀσέλγειαν, καὶ ὅτι τὰ Σοδο-
μιτῶν μεμίμηνται πλημμελήματα.

λ. Καὶ ἐγένετο πᾶς ὁ βλέπων
ἔλεγεν, οὐκ ἐγένετο καὶ οὐχ ἑωρᾶτο (4)
Z ὡς αὕτη ἀπὸ ἡμέρας ἀναβάσεως υἱῶν
Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου ἕως τῆς ἡμέ-
ρας ταύτης. θέσθε ὑμῖν αὐτοὶ (5) ἐπ'
αὐτὴν βουλὴν, καὶ λαλήσατε.



ΚΕΦ.

(1) Ἦλθεν. αἱ εἰρημ. ἐκδόσ.
(2) Διέφαυσε. αἱ αὐτ. Διεφώνησεν. ἡ τοῦ Ἀλδ.
(3) Ὁρίῳ. αἱ εἰρημ. ἐκδόσ.
(4) Ἑώραται. αἱ αὐτ.
(5) Αὐτοῖς. αἱ αὐτ.

Κ Ε Φ. Κ.

α. Καὶ ἐξῆλθον πάντες οἱ υἱοὶ
Ἰσραὴλ, καὶ ἐξεκκλησιά-
σθη πᾶσα ἡ συναγωγὴ
ὡς ἀνὴρ εἷς ἀπὸ Δὰν (1) ἕως Βηρσα-
βεὲ, καὶ ἡ γῆ τοῦ Γαλαὰδ πρὸς Κύ-
β. ριον εἰς ΜασσηφΦά. Καὶ ἐστάθησαν
κατὰ πρόσωπον Κυρίου πᾶσαι αἱ Φυ-
λαὶ τοῦ Ἰσραὴλ ἐν ἐκκλησίᾳ τοῦ Θεοῦ,
τετρακόσιαι χιλιάδες ἀνδρῶν πεζῶν
γ. ἕλκοντες ῥομφαίαν. Καὶ ἤκουσαν (2)
υἱοὶ Βενιαμὶν, ὅτι ἀνέβησαν οἱ υἱοὶ Ἰσ-
ραὴλ εἰς ΜασσηφΦά. καὶ ἐλθόντες εἶπον
οἱ υἱοὶ Ἰσραὴλ, λαλήσατε, ποῦ ἐγένε-
δ. το ἡ πονηρία αὕτη; Καὶ ἀπεκρίθη ὁ
ἀνὴρ ὁ Λευΐτης, ὁ ἀνὴρ τῆς γυναικὸς
τῆς Φονευθείσης, καὶ εἶπεν, εἰς Γαβαὰ
τῆς Βενιαμὶν ἦλθον ἐγὼ καὶ ἡ παλ-
ε. λακή μου τοῦ αὐλισθῆναι, Καὶ ἀνέ-
βησαν (3) ἐπ' ἐμοὶ οἱ ἄνδρες εἰς Γα-
βαὰ, καὶ περιεκύκλωσαν ἐπ' ἐμὲ ἐπὶ
τὴν οἰκίαν νυκτός· καὶ ἐμὲ ἠθέλη-
σαν Φονεῦσαι, καὶ τὴν παλλακήν μου
ς. ἐταπείνωσαν, καὶ ἀπέθανε. Καὶ ἐκρά-
τησα τὴν παλλακήν μου, καὶ ἐμέλι-
σα αὐτὴν, καὶ ἐξαπέστειλα ἐν παντὶ
ὁρίῳ κληρονομίας υἱῶν Ἰσραήλ· ὅτι
ἐποίησαν ἀφροσύνην καὶ ἀπόπτωμα
ζ. ἐν Ἰσραήλ. Καὶ ἰδοὺ πάντες ἡμεῖς (4)
υἱοὶ Ἰσραὴλ, δότε ἑαυτοῖς λόγον καὶ
η. βουλήν. Καὶ ἀνέστη πᾶς ὁ λαὸς ὡς
ἀνὴρ εἷς, λέγοντες, οὐκ ἀπελευσόμε-
θα ἀνὴρ εἰς σκήνωμα αὐτοῦ, καὶ οὐκ
ἐκκλινοῦμεν ἀνὴρ εἰς οἶκον αὐτοῦ.

θ. Καὶ νῦν τοῦτο τὸ ῥῆμα, ὃ ποιη-
θήσεται ἐν (5) Γαβαᾷ· ἀναβησόμε-
ι. θα ἐπ' αὐτὴν ἐν κλήρῳ. Πλὴν λη-
ψόμεθα δέκα ἄνδρας τοῖς ἑκατὸν εἰς
πάσας Φυλὰς Ἰσραὴλ, καὶ ἑκατὸν
τοῖς χιλίοις, καὶ χιλίους τοῖς μυρίοις,
λαβεῖν ἐπισιτισμὸν τοῦ ποιῆσαι ἐλθεῖν
αὐτοὺς εἰς Γαβαὰ Βενιαμὶν, ποιῆσαι
αὐτῇ κατὰ πᾶν τὸ ἀπόπτωμα, ὃ
ἐποίησεν ἐν Ἰσραήλ.

ΑΔΗΛΟΥ. Ἀντὶ τοῦ κατὰ ἀναλογίαν τοῦ πλήθους ἀφορίσαι ἐκ πασῶν τῶν Φυλῶν δέκα μὲν ἄνδρας τοῖς ἑκατὸν, ἑκατὸν δὲ τοῖς χιλίοις, καὶ ἑξῆς· ἵνα τούτων εἰς συλλογὴν τῶν τῆς χρείας ἀναγκαίων καὶ μόνον ἀπασχολουμένων, τὸ λοιπὸν πλῆθος, ὡς ἐν μηδενὶ ὑστερούμενον, μετὰ προθυμίας προσκαρτερήσῃ τῷ πολέμῳ.

ια. Καὶ συνήχθη πᾶς ἀνὴρ Ἰσ-
ραὴλ ὡς ἀνὴρ εἷς ἐκ τῶν πόλεων ἐρ-
ιβ. χόμενοι. Καὶ ἀπέστειλαν αἱ Φυλαὶ
Ἰσραὴλ ἄνδρας ἐν πάσῃ Φυλῇ Βενια-
μὶν, λέγοντες, τίς ἡ πονηρία αὕτη ἡ
ιγ. γενομένη ἐν ἡμῖν; Καὶ νῦν δότε τοὺς
B ἄνδρας υἱοὺς παρανόμων τοὺς ἐν Γα-
βαᾷ, καὶ θανατώσομεν αὐτοὺς, καὶ
ἐκκαθαριοῦμεν πονηρίαν ἀπὸ Ἰσραήλ.
καὶ οὐκ εὐδόκησαν οἱ υἱοὶ Βενιαμὶν ἀκοῦ-
σαι τῆς Φωνῆς τῶν ἀδελφῶν αὐτῶν
υἱῶν Ἰσραήλ.

✱✱ ΙΩΣΗΠΟΥ. Ὑπό τε τῆς ὄψεως καὶ τῆς ἀκοῆς τῶν βεβιασμένων κακῶς δια-
Γ τεθέντες, πρότερον οὐδενὸς τοιούτου πεῖραν εἰληφότες, ὑπ' ὀργῆς ἀκράτου καὶ δικαίας εἰς τὴν Σιλοῦν συλλεγέντες, καὶ πρὸ τῆς σκηνῆς ἀθροισθέντες, εἰς ὅπλα χωρεῖν εὐθὺς ὥρμηντο, καὶ χρήσασθαι τοῖς Γαβαηνοῖς ὡς πολεμίοις. ἐπέσχε δ' αὐτοὺς ἡ γερουσία, πείσασα μὴ δεῖν ὀξέως οὕτω πρὸς τοὺς ὁμοφύλους ἐκφέρειν πόλεμον, πρὶν ἢ λόγοις διαλεχθῆναι περὶ τῶν ἐγκλημάτων, τοῦ νόμου μηδ' ἐπὶ τοὺς ἀλλοτρίους ἐφιέντος δίχα πρεσβείας, καὶ τοιαύτης πρὸς τὸ με-
Δ τανοῆσαι πείρας, τοὺς δόξαντας ἀδικεῖσθαι στρατιὰν ἀναγαγεῖν. καλῶς οὖν ἔχειν τῷ νόμῳ πειθομένους πέμψαι πρὸς τοὺς Γαβαηνοὺς, ἐξαιτοῦντας τοὺς αἰτίους· καὶ παρεχομένων μὲν ἀρκεῖσθαι τῇ τούτων κολάσει, καταφρονησάντων δὲ, τότε τοῖς ὅπλοις αὐτοὺς ἀμύνασθαι. πέμπουσιν οὖν πρὸς τοὺς Γαβαηνοὺς κατηγοροῦντες τῶν νεανίσκων τὰ περὶ τὴν γυναῖκα, καὶ πρὸς τιμω-
E ρίαν αἰτοῦντες τοὺς δράσαντας μὲν οὐ νόμιμα, γενομένους δὲ δικαίους ἀντ' αὐτῶν ἐκείνων ἀποθανεῖν. οἱ δὲ Γαβαηνοὶ οὔτε τοὺς νεανίσκους ἐξέδοσαν, καὶ δεινὸν ἀλλοτρίοις ὑπακούειν προστάγμασιν ἡγοῦντο πολέμου φόβῳ· μηδενὸς ἀξιοῦντες εἶναι χείρους ἐν τοῖς ὅπλοις, μήτε διὰ τὸ πλῆθος, μήτε δι' εὐψυχίαν. ἦσαν δὲ ἐν παρασκευῇ μεγάλῃ καὶ (6) τῶν ἄλλων Φυλετῶν. συναπενοήθησαν γὰρ αὐτοῖς ὡς ἀμυνόμενοι βιαζομένους.

Z ιδ. Καὶ συνήχθησαν οἱ υἱοὶ Βενια-
μὶν ἀπὸ τῶν πόλεων αὐτῶν εἰς Γα-
βαὰ ἐξελθεῖν εἰς παράταξιν πρὸς
ιε. υἱοὺς Ἰσραήλ. Καὶ ἐπεσκέπησαν υἱοὶ
Βενιαμὶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἀπὸ τῶν
πόλεων εἴκοσι καὶ πέντε χιλιάδες ἀν-
δρῶν, ἀνὴρ ἕλκων ῥομφαίαν, ἐκτὸς
ις. τῶν οἰκούντων ἐν Γαβαᾷ, Οἱ ἐπεσκέ-
H πησαν ἑπτακόσιοι ἄνδρες ἐκλεκτοὶ ἐκ
παντὸς τοῦ λαοῦ ἀμφοτεροδέξιοι. πάν-

(1) Καὶ ἕως. αἱ αὐτ. (2) Οἱ υἱοί. αἱ αὐτ. (3) Ἀνέστησαν ἐπ' ἐμὲ οἱ ἄνδρες τῆς Γαβ. αἱ αὐτ.
(4) Ὑμεῖς. αἱ αὐτ. (5) Ἐν τῇ. αἱ αὐτ. (6) Μετὰ, ὀρθότερ.

τες ἄτοι ἄνδρες σφενδονῖται ἐν λίθοις
πρὸς τρίχα, καὶ ἐχ ἁμαρτάνοντες.
ιζ. Καὶ πᾶς ἀνὴρ Ἰσραὴλ ἐπεσκέπησαν
ἐκτὸς τῦ Βενιαμὶν, τετρακόσιαι χιλιά-
δες ἀνδρῶν ἑλκόντων ῥομφαίαν· πάν-
τες ἄτοι ἄνδρες παρατάξεως.

✱✱ ΙΩΣΗΠΟΥ. Παραχρῆμα ἐξῆγον ἐπ' αὐτὰς τὸ στρατόπεδον μυριάδας τεσσαράκοντα ὁπλιτῶν· Βενιαμιτῶν δ' ὁπλιτῶν δισμυρίων καὶ πεντακισχιλίων καὶ ἑξακοσίων, ὧν ἦσαν εἰς πεντακοσίας ταῖς λαιαῖς τῶν χειρῶν σφενδονεῖν ἄριστοι.

ιη. Καὶ ἀνέστησαν καὶ ἀνέβησαν εἰς
Βαιθὴλ, καὶ ἐπηρώτησαν ἐν τῷ Θεῷ·
καὶ εἶπαν οἱ υἱοὶ Ἰσραὴλ, τὶς ἀναβήσε-
ται ἡμῖν ἐν ἀρχῇ εἰς παράταξιν πρὸς
υἱὰς Βενιαμίν; καὶ εἶπε Κύριος, Ἰάδας
ιθ. ἀναβήσεται ἀφηγάμενος. Καὶ ἀνέ-
στησαν οἱ υἱοὶ Ἰσραὴλ τὸ πρωῒ, καὶ πα-
κ. ρενέβαλον ἐπὶ Γαβαά. Καὶ ἐξῆλ-
θε πᾶς ἀνὴρ Ἰσραὴλ εἰς παράταξιν
πρὸς Βενιαμὶν, καὶ συνῆψαν αὐτοῖς
ἐπὶ Γαβαά.

κα. Καὶ ἐξῆλθον οἱ υἱοὶ Βενιαμὶν ἀπὸ τῆς Γαβαὰ, καὶ διέφθειραν ἐν Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ δύω καὶ εἴκοσι χιλιάδας ἀνδρῶν ἐπὶ τὴν γῆν.

✱✱ ΙΩΣΗΠΟΥ. Μάχης πρὸς τῇ Γαβαᾷ γενομένης, τρέπασιν οἱ Βενιαμῖται τὰς Ἰσραηλίτας, ἄνδρες τε πίπτασιν ἐξ αὐτῶν εἰς δισμυρίας καὶ δισχιλίας. ἐφθάρησαν δὲ ἴσως ἂν καὶ πλείας, εἰ μὴ νὺξ αὐτὰς ἐπέσχε καὶ διέλυσε μαχομένας.

ΩΡΙΓΕΝΟΥΣ. Τίνος ἕνεκεν ἡττῶνται, δικαίως ἐπελθόντες; Ἢ δῆλον ὅτι διὰ προλαβάσας αἰτίας, καθὼς καὶ ὁ ψαλμός-
Ψαλ. 74. 2. φησιν· ὅταν λάβω καιρὸν, ἐγὼ εὐθύτη-
» τας κρινῶ. εἶτα μετὰ τὸ ἡττηθῆναι καὶ μίαν καὶ δευτέραν, μετῆλθεν ἡ ὀργὴ ἐπὶ τὰς ἠδικηκότας, καὶ νικῶσι δικαίαν νίκην.

ΙΣΙΔΩΡΟΥ ΤΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ. Οἱ τὴν πορνείαν Βενιαμὶν ἀναβάντες ἐν Γαβαὰ τιμωρήσασθαι, κατὰ γνώμην Θεᾶ τᾶ πολέμα ἁψάμενοι, ἐκ ἀδίκως, ὡς οἴη, τῆς νίκης ἀπέτυχον. ἀλλ' ἐπειδὴ δικαίῳ κριτῇ ἐκ ἔστιν ἐξ ἀδίκων παράταξις, δικαιοσύνη τὸ τολμηθὲν ἐξεδίκησεν. οἱ γὰρ χείρας ἔχοντες πράξεις, καὶ πολλῷ μείζας τῆς τότε γεγενημένης, ὡς ἀθῷοι πρὸς τὸν φόνον τῶν ἀδελφῶν ὁμονοήσαντες, ἀνέ-
Ματθ. 7. 5. βησαν. ἀλλ' ἔμαθον τῇ πείρᾳ, ὑποκριτὰ,
» ἔκβαλε πρῶτον τὴν δοκὸν ἐκ τᾶ ὀφθαλμᾶ-
» σα, καὶ τότε διαβλέψεις ἐκβαλεῖν τὸ κάρ-
» φος ἐκ τᾶ ὀφθαλμᾶ τᾶ ἀδελφᾶ σα. οἱ τοίνυν μοιχοὶ, ἐπειδὴ μὴ μοιχεύειν ἐκήρυσσον, ὑπὸ τῶν ἔργων ἐξελεγχόμενοι, αὐτοὶ μὲν ἀξίαν ποινὴν τῷ πολέμῳ ἀπέτισαν· οἱ δὲ τῶν ἐγκλημάτων τῆς πορνείας ἀμέτοχοι,

A ἐδὲν τοιᾶτον ἐν ἑαυτοῖς εἴδωλον ἔχοντες, λαμπρὰν τὴν νίκην εἰργάσαντο.

ΑΔΗΛΟΥ. Ὥσπερ ἐπὶ τᾶ Δαβὶδ, ἐ διὰ τὴν γενομένην ὑπ' αὐτᾶ ἐξαρίθμησιν τῇ τιμωρίᾳ παρεδόθη ὁ λαὸς, ἀλλὰ δι' ἣν ἐπεδείξαντο εἰς αὐτὸν πρὸ τῆς ἐξαριθμήσεως ἀδικίαν, ἐπίβαλοι τῆς βασιλείας αὐτᾶ καταστάντες· ἅτω καὶ νῦν, ἐ διὰ τὸ παρατάξασθαι αὐτὰς κατὰ τῆς φυλῆς τᾶ Βενιαμὶν ὑπὲρ τῆς ἐκδικήσεως τῆς ἀδίκα
B πράξεως ὑποχείριοι τοῖς παρανομήσασιν εὑρέθησαν, ἀλλὰ διὰ τὸ κατὰ συνειδὸς αὐτοῖς ταῖς αὐταῖς πράξεσι χαίρειν, καὶ τοῖς ἴσοις πάθεσιν ὑποκεῖσθαι.

κβ. Καὶ ἐνίσχυσεν ἀνὴρ Ἰσραὴλ,
καὶ προσέθηκαν συνάψαι πόλεμον ἐν
τῷ τόπῳ ὅπα συνῆψαν ἐν τῇ ἡμέρᾳ
κγ. ἐκείνῃ. (1) Καὶ ἀνέβησαν οἱ υἱοὶ Ἰσ-
ραὴλ, καὶ ἔκλαυσαν ἐνώπιον Κυρία
Γ ἕως ἑσπέρας, καὶ ἐπηρώτησαν ἐν Κυ-
ρίῳ, λέγοντες, εἰ προσθῶμεν ἐγγί-
σαι εἰς παράταξιν πρὸς υἱὰς Βενιαμὶν
ἀδελφὰς ἡμῶν; καὶ εἶπε Κύριος, ἀνά-
κδ. βητε πρὸς αὐτόν. Καὶ προσῆλθον
οἱ υἱοὶ Ἰσραὴλ πρὸς υἱὰς Βενιαμὶν ἐν
τῇ ἡμέρᾳ τῇ δευτέρᾳ.

κε. Καὶ ἐξῆλθον οἱ υἱοὶ Βενιαμὶν
Δ εἰς συνάντησιν αὐτοῖς ἀπὸ τῆς Γα-
βαὰ ἐν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, καὶ διέφ-
θειραν ἀπὸ υἱῶν Ἰσραὴλ ἔτι ὀκτωκαί-
δεκα χιλιάδας ἀνδρῶν ἐπὶ τὴν γῆν·
πάντες ἄτοι ἕλκοντες ῥομφαίαν.

✱✱ ΙΩΣΗΠΟΥ. Τῇ ἐπιάσῃ πάλιν συμβαλόντων, οἱ Βενιαμῖται κρατᾶσι, θνήσκασι τῶν Ἰσραηλιτῶν ὀκτακισχίλιοι καὶ μύριοι, καὶ δείσαντες τὸν φόνον, ἐξέλιπον
E τὸ στρατόπεδον.

ΘΕΟΔΩΡΙΤΟΥ. Τὶ δήποτε ζήλῳ κινηθεὶς ὁ Ἰσραὴλ, καὶ τῆς συγγενείας τὴν εὐσέβειαν προτιμήσας, ἡττήθη; Ὅτι ταῖς ὁμοίαις παρανομίαις ἐκέχρηντο, καὶ τὰς μὲν τῶν ἄλλων ἀκολασίας ἑώρων, παρεώρων δὲ τὰς οἰκείας. τᾶτο καὶ ὁ θεῖος Ἀπό-
» στολος ἔφη. ἐν ᾧ γὰρ κατακρίνεις (2) τὸν Ῥωμ. 2. 1-6.
» ἕτερον, σεαυτὸν κατακρίνεις· τὰ γὰρ αὐ-
» τὰ πράσσεις ὁ κρίνων. καὶ πάλιν· λογίζῃ
Z » δὲ τᾶτο, ὦ ἄνθρωπε, ὁ κρίνων τὰς τὰ
» τοιαῦτα πράσσοντας, καὶ ποιῶν αὐτὰ, ὅτι
» σὺ ἐκφεύξῃ τὸ κρίμα τᾶ Θεᾶ; ἢ τᾶ πλάτα
» τῆς χρηστότητος αὐτᾶ, καὶ τῆς ἀνοχῆς, καὶ
» τῆς μακροθυμίας καταφρονεῖς, ἀγνοῶν ὅτι
» τὸ χρηστὸν τᾶ Θεᾶ εἰς μετάνοιάν σε ἄγει;
» κατὰ δὲ τὴν σκληρότητά σα καὶ ἀμετα-
» νόητον καρδίαν, θησαυρίζεις σεαυτῷ ὀργὴν
» ἐν ἡμέρᾳ ὀργῆς καὶ ἀποκαλύψεως, καὶ δι-
» καιοκρισίας Θεᾶ. ὃς ἀποδώσει ἑκάστῳ κατὰ
H » τὰ ἔργα αὐτᾶ; τᾶτο καὶ ἅτοι πεπόνθασι. δικαίῳ γὰρ χρησάμενοι κατὰ τῶν ἐν Γαβαᾷ παρανενομηκότων θυμῷ, τὰς τετρακοσίας

(1) Τῇ πρώτῃ. αἱ αὐτ.

(2) Κρίνεις. ἡ ἐν Χάλ. ἐκδ.

κοσίας ἐξώπλισαν χιλιάδας. παιδεῦσαι δὲ
A αὐτοὺς βουληθεὶς ὁ Θεὸς, ὡς τὰ ὅμοια δρῶντας, καὶ ἐν ἄλλοις μὲν τὸ κακὸν θεωροῦντας, ἐν ἑαυτοῖς δὲ τοῦτο ποιεῖν οὐκ ἐθέλοντας· καὶ ἅπαξ καὶ δὶς συνεχώρησεν ἡττηθῆναι, καὶ πολλὰς αὐτῶν χιλιάδας ἀναιρεθῆναι.

ΑΔΗΛΟΥ. Ἐκ δευτέρου κατὰ θείαν συγχώρησιν τῇ τιμωρίᾳ ὑπεβλήθησαν διὰ τὴν ἐγκεκρυμμένην ἐν τῇ διανοίᾳ αὐτῶν πονηρίαν.

B

κς. Καὶ ἀνέβησαν πάντες οὗτοι οἱ
υἱοὶ Ἰσραὴλ καὶ πᾶς ὁ λαὸς, καὶ ἦλ-
θοσαν εἰς Βαιθήλ· καὶ ἔκλαυσαν, καὶ
ἐκάθισαν ἐκεῖ ἐνώπιον Κυρίου· καὶ ἐνή-
στευσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἕως ἑσπέ-
ρας, καὶ ἀνήνεγκαν ὁλοκαυτώσεις καὶ
κζ. τελείας ἐνώπιον Κυρίου, ὅτι ἐκεῖ κι-
βωτὸς διαθήκης Κυρίου τοῦ Θεοῦ ἐν
Γ ταῖς ἡμέραις ἐκείναις,

✱✱ ΙΩΣΗΠΟΥ. Παραγενόμενοι εἰς Βαίθηλα πόλιν ἔγγιστα κειμένην, καὶ νηστεύσαντες κατὰ τὴν ὑστεραίαν τὸν Θεὸν ἱκέτευον διὰ Φινεέσου τοῦ ἀρχιερέως παύσασθαι τῆς ὀργῆς τῆς πρὸς αὐτοὺς, καὶ ταῖς δυσὶν αὐτῶν ἥτταις ἀρκεσθέντα δοῦναι νίκην καὶ κράτος κατὰ τῶν πολεμίων. ὁ δὲ Θεὸς ἐπαγγέλλεται ταῦτα διὰ Φινεέσου προφητεύσαντος.

ΑΔΗΛΟΥ. Θαυμάσαι δὲ ἄξιον τὸ πλῆθος τῶν Ἰσραηλιτῶν, ὅτι δικαίως τοῖς Βενιαμίταις ἐπελθόντες, καὶ ἡττηθέντες, οὐκ ἐνενόησάν τι πονηρὸν κατὰ τοῦ Θεοῦ, ἀλλὰ μᾶλλον οὐδὲ ἐπαύσαντο προσκλαίοντες, ἕως ὅτε δίκην ἔλαβον κατὰ τῶν ἠδικηκότων.

κη. Καὶ Φινεὲς υἱοῦ (1) Ἐλεάζαρ
υἱοῦ Ἀαρὼν παρεστηκὼς ἐνώπιον αὐτῆς
ἐν ταῖς ἡμέραις ἐκείναις. καὶ ἐπηρώτη-
σαν οἱ υἱοὶ Ἰσραὴλ ἐν τῷ Κυρίῳ, λέ-
γοντες, εἰ προσθῶμεν ἔτι ἐξελθεῖν εἰς
παράταξιν πρὸς υἱοὺς Βενιαμὶν ἀδελ-
φοὺς ἡμῶν, ἢ ἐπίσχωμεν; καὶ εἶπε Κύ-
ριος, ἀνάβητε, ὅτι αὔριον δώσω αὐ-
τοὺς εἰς χεῖρας ὑμῶν.

ΑΔΗΛΟΥ. Φινεὲς δὲ οὐ τὸν ἀρχαῖον λέγει, ἀλλ᾽ ἕτερόν τινα ἐκ τῆς αὐτῆς ὄντα συγγενείας.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ δὲ εἶδε καὶ τὴν παιδείαν δεξαμένους, καὶ τῷ δικαίῳ θυμῷ κεχρημένους, καὶ ὀλοφυρομένους, καὶ ποτνιωμένους, καὶ πολλὰ προχέοντας δάκρυα, συνήργησε τῇ προθυμίᾳ, καὶ τὴν παράνομον φυλὴν ἄρδην ἀπώλεσε, πλὴν ὀλίγων ἄγαν εὐαριθμήτων. καὶ γὰρ τῶν ἀκολάστων χείρους οἱ ἐκείνων προκινδυνεύσαντες. ἐξαιτούντων γὰρ τῶν ὁμοφύλων τοὺς τὴν παρανομίαν τετολμηκότας, οὐ μόνον οὐκ ἐξέ-

A δωκαν, ἀλλὰ καὶ προθύμως αὐτῶν ὑπερήσπισαν. οὗ δὴ χάριν κοινὸν ὑπέμειναν ὄλεθρον. οἶμαι δὲ (2) τοῦτον τὸν πόλεμον πρὸ τῶν ἄλλων γεγενῆσθαι πολέμων, οὐ μετὰ
» πολὺν χρόνον τῆς τελευτῆς Ἰησοῦ. Φινεὲς
» γάρ φησιν υἱὸς Ἐλεάζαρ υἱοῦ Ἀαρὼν τοῦ ἱε-
» ρέως παρειστήκει ἐνώπιον τῆς κιβωτοῦ ἐν
» ταῖς ἡμέραις ἐκείναις. ὁ δὲ Ἐλεάζαρ εὐθὺς μετὰ τὸν Ἰησοῦν τὸ τέλος τοῦ βίου ἐδέξατο. διεδέξατο δὲ τὴν ἱερωσύνην ὁ Φινεές.
B καὶ τοῦτο ἡμᾶς ἐδίδαξε τὸ τέλος τῆς Ἰησοῦ τοῦ Ναυῆ συγγραφῆς. οἶμαι τοίνυν τὸν τήνδε τὴν ἱστορίαν συγγεγραφότα οὐχ ὡς ἔτυχε τάξαι τελευταῖα τὰ πρῶτα γεγενημένα. ἠβουλήθη γὰρ τὰς τῶν Κριτῶν ἡμῖν πρότερον ἐπιδεῖξαι διαδοχὰς, καὶ τὶς πρῶτος, τὶς δεύτερος, τὶς τρίτος ἡγήσατο· εἶθ᾽ οὕτω τὰ δύω ταῦτα διηγήματα θεῖναι· τό, τε κατὰ τὸν Μιχὰ καὶ τὴν Λαϊσὰ, καὶ τὸ κατὰ τὸ γύναιον, ὅπερ ἡ μανικὴ τῶν
Γ ἀκολάστων ἀνεῖλε λαγνεία.

κθ. Καὶ ἔθηκαν οἱ υἱοὶ Ἰσραὴλ
λ. ἔνεδρα τῇ Γαβαᾷ κύκλῳ. Καὶ ἀνέ-
βησαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς υἱοὺς Βενια-
μὶν ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ, καὶ συνῆ-
ψαν ἐν τῇ Γαβαᾷ ὡς ἅπαξ καὶ ἅπαξ.
λα. Καὶ ἐξῆλθον οἱ υἱοὶ Βενιαμὶν εἰς συ-
νάντησιν τοῦ λαοῦ, καὶ ἐξεκενώθησαν
τῆς πόλεως, καὶ ἤρξαντο πατάσσειν
Δ ἀπὸ τοῦ λαοῦ τραυματίας ὡς ἅπαξ
καὶ ἅπαξ ἐν ταῖς ὁδοῖς, ἥ ἐστι μία ἀνα-
βαίνουσα εἰς Βαιθὴλ, καὶ μία εἰς Γα-
βαὰ ἐν τῷ ἀγρῷ, ὡσεὶ τριάκοντα
λβ. ἄνδρας ἐν τῷ Ἰσραήλ. Καὶ εἶπον οἱ
υἱοὶ Βενιαμὶν, πίπτουσιν ἐνώπιον ἡμῶν
ὡς τὸ πρῶτον. καὶ οἱ υἱοὶ Ἰσραὴλ
εἶπαν, Φύγωμεν, καὶ ἐκκενώσωμεν
E αὐτοὺς ἀπὸ τῆς πόλεως εἰς τὰς ὁδούς.
λγ. καὶ ἐποίησαν οὕτω. Καὶ πᾶς ἀνὴρ
Ἰσραὴλ ἀνέστη ἐκ τοῦ τόπου αὐτῶν, καὶ
συνῆψαν ἐν Βααλθαμάρ. (3) καὶ τὸ
ἔνεδρον Ἰσραὴλ ἐπήρχετο ἐκ τοῦ τόπου
λδ. αὐτοῦ ἀπὸ Μααραγαβαά. (4) Καὶ
ἦλθον ἐξ ἐναντίας τῆς Γαβαὰ δέκα
χιλιάδες ἀνδρῶν ἐκλεκτῶν ἐκ παντὸς
Ἰσραήλ· καὶ παράταξις βαρεῖα. καὶ
Z αὐτοὶ οὐκ ἔγνωσαν, ὅτι φθάνει ἐπ᾽
λε. αὐτοὺς ἡ κακία. Καὶ ἐπάταξε Κύ-
ριος τὸν Βενιαμὶν ἐνώπιον Ἰσραήλ. καὶ
διέφθειραν οἱ υἱοὶ Ἰσραὴλ ἐκ τοῦ Βε-
νιαμὶν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἴκοσι καὶ
πέντε χιλιάδας καὶ ἑκατὸν ἄνδρας·
καὶ πάντες οὗτοι εἷλκον ῥομφαίαν.

λς. Καὶ εἶδον οἱ υἱοὶ Βενιαμὶν ὅτι
H ἐπλήγησαν. καὶ ἔδωκεν ἀνὴρ Ἰσραὴλ

 τόπον

(1) Υἱός. αἱ εἰρημ. ἐκδόσ.

(2) Τὰ αὐτὰ καὶ Ἰώσηπος φρονεῖν ἔοικε. καὶ γὰρ μετὰ τὴν τελευτὴν Ἰησοῦ τὰ περὶ τῶν Βενιαμιτῶν διηγεῖται πρότερον, (ἐν βιβλ. 5. κεφ. 2. περὶ Ἰουδ. ἀρχ.) εἶθ᾽ οὕτω τὰ τῶν Κριτῶν.

(3) Βάαλ Θαμάρ. αἱ εἰρημ. ἐκδόσ.

(4) Μαρααγαβέ. αἱ αὐτ.

τόπον τοῦ Βενιαμὶν, ὅτι ἤλπισαν πρὸς A
τὸ ἔνεδρον ὃ ἔθηκαν ἐν τῇ Γαβαᾶ.

” ΑΔΗΛΟΥ. Ἤλπισαν ἐπὶ τὸ ἔνεδρον. Οἱ Ἰσραηλῖται, φησὶν, ὡς τῇ δυνάμει τῶν ἐνεδρευόντων πεποιθότες, οὕτω τὴν φυγὴν ἐποιοῦντο· αὐτοὶ δὲ ἐλογίσαντο, ὡς πάντως ἐκυρίευσαν.

λζ. Καὶ ἐν τῷ αὐτοὺς ὑποχωρῆσαι,
καὶ τὸ ἔνεδρον ἐκινήθη· καὶ ἐξέτειναν
ἐπὶ τὴν Γαβαὰ, καὶ ἐξεχύθη τὸ ἔνε- B
δρον, καὶ ἐπάταξεν ὅλην τὴν πόλιν
λη. ἐν στόματι ῥομφαίας. Καὶ σημεῖον
ἦν τοῖς υἱοῖς Ἰσραὴλ μετὰ τοῦ ἐνέδρου
τῆς μάχης ἀνενέγκαι αὐτοὺς σύσση-
λθ. μον καπνοῦ ἀπὸ τῆς πόλεως. Καὶ
ἐπεστράφησαν ἀνὴρ Ἰσραὴλ ἐν πολέ-
μῳ· καὶ ὡς εἶδον οἱ υἱοὶ Ἰσραὴλ, ὅτι
προκατέλαβε τὸ ἔνεδρον τὴν Γαβαὰ, Γ
καὶ ἔστησαν ἐν τῇ παρατάξει· καὶ Βενια-
μὶν ἤρξατο πατάσσειν τραυματίας ἐν
ἀνδράσιν Ἰσραὴλ ὡσεὶ τριάκοντα ἄν-
δρας· ὅτι εἶπαν, πάλιν πτώσει πίπτου-
σιν ἐνώπιον ἡμῶν ὡς ἡ παράταξις ἡ
μ. πρώτη. Καὶ τὸ σύσσημον ἀνέβη ἐπὶ
πλεῖον ἐπὶ τῆς πόλεως ὡς στύλος καπ-
νοῦ. καὶ ἐπέβλεψε Βενιαμὶν ὀπίσω αὐ-
τοῦ, καὶ ἰδοὺ ἀνέβη συντέλεια τῆς πό- Δ
μα. λεως ἕως οὐρανοῦ. Καὶ ἀνὴρ Ἰσραὴλ
ἀνέστρεψε· καὶ ἔσπευσαν ἄνδρες ἐν (1)
Βενιαμὶν, ὅτι εἶδον ὅτι συνήντησεν
ἐπ᾽ αὐτοὺς ἡ πονηρία.

μβ. Καὶ ἐπέβλεψαν ἐνώπιον υἱῶν Ἰσραὴλ εἰς τὴν ὁδὸν τῆς ἐρήμου, καὶ ἔφυγον· καὶ ἡ παράταξις ἔφθασεν ἐπ᾽ αὐτοὺς, καὶ οἱ ἀπὸ τῶν πόλεων διέφθειραν αὐτοὺς ἐν μέσῳ αὐτῶν. E

ΑΔΗΛΟΥ. Διέφθειραν, ἵνα εἴπῃ, ὅτι παντελῶς αὐτοὺς ἐξωλόθρευσαν.

μγ. Καὶ κατέκοπτον τὸν Βενια-
μὶν, καὶ ἐδίωξαν αὐτὸν ἀπὸ Νουὰ
κατὰ πόδας (2) αὐτοῦ ἕως ἀπέναντι
Γαβαὰ κατὰ (3) ἀνατολὰς ἡλίου.
μδ. Καὶ ἔπεσαν ἀπὸ Βενιαμὶν ὀκτωκαίδε-
κα χιλιάδες ἀνδρῶν· οἱ πάντες οὗτοι Z
με. ἄνδρες δυνάμεως. Καὶ ἐπέβλεψαν
οἱ λοιποὶ, καὶ ἔφυγον (4) εἰς τὴν ἔρη-
μον πρὸς τὴν πέτραν τοῦ Ῥεμμών. καὶ
ἐκαλαμήσαντο ἐξ αὐτῶν οἱ υἱοὶ Ἰσ-
ραὴλ ἐν ταῖς ὁδοῖς πεντακισχιλίους ἄν-
δρας. καὶ κατέβησαν ὀπίσω αὐτῶν οἱ
υἱοὶ Ἰσραὴλ ἕως Γαβαὰ, (5) καὶ ἐπά-
ταξαν ἐξ αὐτῶν δισχιλίους ἄνδρας.

ΑΔΗΛΟΥ. Ἀνωτέρω ἐφ᾽ ἅπαξ τοῦ ἀριθμοῦ τῶν πεπτωκότων ἐκ τῆς φυλῆς τοῦ Βενιαμὶν μνημονεύσας, ἐνταῦθα τὰς κατὰ μέρος αὐτοῖς ἐπενεχθείσας πληγὰς ἐξαγγέλλει.

μς. Καὶ ἐγένοντο πάντες οἱ πεπτωκότες ἀπὸ Βενιαμὶν, εἴκοσι καὶ πέντε χιλιάδες ἀνδρῶν ἑλκόντων ῥομφαίαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· οἱ πάντες οὗτοι ἄνδρες δυνάμεως.


✱✱ ΠΡΟΚΟΠΙΟΥ. Τὴν κατὰ τὴν γυναῖκα τοῦ Λευΐτου παριδεῖν ἀδικίαν ὁ λαὸς οὐκ ἠνέσχετο, καὶ πρὸς δίκην ἐζήτει τοὺς ἀδικήσαντας. ἡ δὲ τούτων φυλὴ μὴ δοῦσα, παρεσκευάζετο πολεμεῖν. καὶ τὰς δύω πρώτας μάχας κατὰ κράτος νικᾷ. ἐν αἷς ἐπέτρεψε μὲν ὁ Θεὸς συμβαλεῖν, οὐ μὴν καὶ νίκην τοῖς ἡττημένοις ἐπηγγείλατο. δίκην γὰρ ἐχρεώστουν ὑπὲρ ἀσεβείας προτέρας, καὶ πλημμελημάτων ἰδίων. καὶ οὐκ ἦν αὐτῶν ἀγανακτεῖν ἐπὶ τοῖς ἁμαρτήσασιν. ὡς δὲ γνόντες τῆς ἥττης τὴν αἰτίαν, πικρότερον ἔκλαυσαν, καταφυγόντες ἐπὶ τὴν κιβωτὸν, τότε Θεὸς καὶ νίκην αὐτοῖς ἐπηγγείλατο. καὶ δόντες πρότερον δίκην, οὕτω παρὰ τῶν ἀσελγείᾳ φονευσάντων τὸ γύναιον .... τὴν προσήκουσαν τιμωρίαν ἐδέξαντο. καὶ ὡς ἐξ ὧν ἔπαθον ὠφελημένοι καὶ μετριάζοντες, φιλάνθρωποι λίαν ἐπὶ τοῖς ἔτι σωζομένοις ἐγένοντο. ὁ δ᾽ οὖν Θεὸς κατ᾽ οὐδέτερον κατηγορίας ἄξιος. οὔτε γὰρ τὴν ὀργὴν τὴν κατὰ τῶν ἡμαρτηκότων ἐκώλυσεν· ἦ γὰρ ἂν ἀσελγείαις χαίρειν αὐτὸν, παῖδες εἶπον αἱρετικῶν, καὶ ταῦτα τιμωρίαν κατὰ τῶν μοιχευσάντων ὁρίσαντα· οὔτε τοὺς ἁμαρτωλοὺς, ἐπεξιόντας δὲ τοῖς τῶν ἄλλων ἁμαρτήμασιν, ἀθώους κατέλειπε, δίκην ἐκτίσαντας τῷ πρὸ τούτου μακροθυμοῦντι Δεσπότῃ. δύω δ᾽ οὖν ὠφελοῦνται τὰ μέγιστα· μήτε συμφωνεῖν ἐν ἁμαρτίαις, ὡς οἱ Βενιαμὶν, μήτε κολάζειν τοὺς ἡμαρτηκότας ὠμότερον· εἰ καὶ πικροτέραν οἱ Βενιαμῖται τὴν δίκην ὑπέσχον, ὡς πρὸς τῷ πλημμελήματι καὶ τοσούτους ἀδίκως ἀπεκτονότες ἐξ Ἰσραὴλ, εἰ καὶ τῷ Θεῷ δικαίως.

μζ. Καὶ ἐπέβλεψαν οἱ λοιποὶ,
καὶ ἔφυγον εἰς (6) τὴν ἔρημον εἰς τὴν
πέτραν τοῦ Ῥεμμὼν ἑξακόσιοι ἄνδρες,
καὶ ἦσαν (7) ἐν τῇ πέτρᾳ Ῥεμμὼν τέσ-
μη. σαρας μῆνας. Καὶ οἱ υἱοὶ Ἰσραὴλ
ἐπέστρεψαν πρὸς τοὺς υἱοὺς Βενιαμὶν, καὶ
ἐπάταξαν αὐτοὺς ἐν στόματι ῥομφαίας
ἀπὸ πόλεως Μεθλὰ καὶ ἕως κτηνοὺς,
καὶ ἕως παντὸς τοῦ εὑρισκομένου εἰς πά-
σας τὰς πόλεις· καὶ τὰς πόλεις τὰς
εὑρεθείσας ἐνέπρησαν ἐν πυρί.

ΚΕΦ.

(1) Τὸ, ἐν, οὐ κεῖται ἐν ταῖς εἰρημ. ἐκδόσ. (2) Πόδα. αἱ αὐτ. (3) Πρός. αἱ αὐτ.
(4) Ἔφευγον. αἱ αὐτ. (5) Γεδάν. αἱ αὐτ. (6) Πρός. αἱ αὐτ. (7) Ἐκάθισαν. αἱ αὐτ.

Κ Ε Φ. Κ Α.



α. Καὶ οἱ υἱοὶ Ἰσραὴλ ὤμοσαν
ἐν Μασσηφὰ, λέγοντες,
ἀνὴρ ἐξ ἡμῶν οὐ δώσει τὴν
θυγατέρα αὐτοῦ τῷ Βενιαμὶν εἰς γυ-
ναῖκα.

β. Καὶ ἦλθεν ὁ λαὸς εἰς Βαιθὴλ,
καὶ ἐκάθισεν ἐκεῖ ἕως ἑσπέρας ἐνώπιον
τοῦ Θεοῦ· καὶ ἦραν τὴν φωνὴν αὐτῶν,
καὶ ἔκλαυσαν κλαυθμὸν μέγαν,

** ΙΩΣΗΠΟΥ. *Μετάνοια αὐτοὺς λαμβάνει τῆς τῶν Βενιαμιτῶν συμφορᾶς, καὶ νηστείαν ἐπ' αὐτοῖς προέθεντο, καί τοι δίκαια παθεῖν αὐτοὺς ἀξιοῦντες εἰς τοὺς νόμους ἐξαμαρτάνοντας.*

γ. Καὶ εἶπαν, εἰς τί Κύριε ὁ Θεὸς
Ἰσραὴλ ἐγενήθη αὕτη ἐν τῷ Ἰσραὴλ,
τοῦ ἐπισκεπῆναι σήμερον ἀπὸ Ἰσραὴλ
φυλὴν μίαν;

» ΑΔΗΛΟΥ. *Εἰς τί Κύριε ὁ Θεός; Οὐκ
ἐπιμεμφόμενοι τοῦ Θεοῦ εἶπον, ἀλλὰ τὸ
ἀπόῤῥητον τοῦ τρόπου μαθεῖν ἱκετεύοντες.*
Γεν. 49. 27. *Τὸ, Βενιαμὶν λύκος ἅρπαξ πρωῒ ἔδεται,*
» *καὶ τὸ ἑσπέρας διαδώσει τροφὴν, ἐνταῦθα
πληροῦται. καὶ γὰρ πρότερον νικήσας, ἔσχατον κατάβρωμα τοῦ λαοῦ γέγονε.*

δ. Καὶ ἐγένετο τῇ ἐπαύριον, καὶ
ὤρθρισεν ὁ λαὸς, καὶ ᾠκοδόμησαν ἐκεῖ
θυσιαστήριον, καὶ ἀνήνεγκαν ὁλοκαυ-
ε. τώσεις καὶ τελείας. Καὶ εἶπαν οἱ υἱοὶ
Ἰσραὴλ, τίς οὐκ ἀνέβη ἐν τῇ ἐκκλη-
σίᾳ ἀπὸ πασῶν φυλῶν Ἰσραὴλ πρὸς
Κύριον; ὅτι ὅρκος μέγας ἦν τοῖς οὐκ
ἀναβεβηκόσι πρὸς Κύριον εἰς Μασ-
σηφὰ, λέγοντες, (1) θανατωθήσε-
ς. ται. Καὶ παρεκλήθησαν οἱ υἱοὶ Ἰσ-
ραὴλ πρὸς Βενιαμὶν ἀδελφὸν αὐτῶν,
καὶ εἶπαν, ἐξεκόπη σήμερον φυλὴ
ζ. ἀπὸ Ἰσραήλ. Τί ποιήσομεν αὐτοῖς
τοῖς ὑπολειφθεῖσιν εἰς γυναῖκας; καὶ
ἡμεῖς ὠμόσαμεν τῷ Κυρίῳ τοῦ μὴ δοῦ-
ναι αὐτοῖς ἀπὸ τῶν θυγατέρων ἡμῶν
η. εἰς γυναῖκας. Καὶ εἶπαν, τίς εἷς ἀπὸ
φυλῶν Ἰσραὴλ, ὃς οὐκ ἀνέβη πρὸς
Κύριον ἐν Μασσηφά; καὶ ἰδοὺ οὐκ ἦλ-
θεν οὐδεὶς εἰς τὴν παρεμβολὴν ἀπὸ
Ἰαβεῖς Γαλαὰδ εἰς τὴν Ἐκκλησίαν.
θ. Καὶ ἐπεσκέπη ὁ λαὸς, καὶ οὐκ ἦν ἐκεῖ
ἀνὴρ ἀπὸ Ἰαβεῖς Γαλαάδ.

ι. Καὶ ἀπέστειλεν ἐκεῖ ἡ συναγω-
γὴ δώδεκα χιλιάδας ἀνδρῶν ἀπὸ τῶν
υἱῶν τῆς δυνάμεως, καὶ ἐνετείλαντο
αὐτοῖς, λέγοντες, πορεύεσθε καὶ πα-
τάξατε τοὺς κατοικοῦντας Ἰαβεῖς Γα-
λαὰδ ἐν στόματι ῥομφαίας, καὶ τὰς
ια. γυναῖκας καὶ τὸν λαόν. Καὶ τοῦτο
ποιήσετε· πᾶν ἀρσενικὸν καὶ πᾶσαν
γυναῖκα εἰδυῖαν κοίτην ἄῤῥενος ἀνα-
B θεματιεῖτε· τὰς δὲ παρθένους περι-
ιβ. ποιήσασθε. καὶ ἐποίησαν οὕτω. Καὶ
εὗρον ἀπὸ οἰκούντων Ἰαβεῖς Γαλαὰδ,
τετρακοσίας νεάνιδας παρθένους, αἵ-
τινες οὐκ ἔγνωσαν ἄνδρα εἰς κοίτην
ἄρσενος, καὶ ἤνεγκαν αὐτὰς εἰς τὴν
παρεμβολὴν ἐν Σηλὼμ τὴν ἐν γῇ
Χαναάν.

** ΙΩΣΗΠΟΥ. *Οὕτως ἦσαν παρωρ-
Γ γισμένοι, ὥστε καὶ Ἰάβισον τῆς Γαλααδίτιδος οὖσαν, ὅτι μὴ συμμαχήσειεν αὐτοῖς κατὰ τῶν Βενιαμιτῶν, πέμψαντες μυρίους καὶ δισχιλίους ἐκ τῶν τάξεων ἐκέλευσαν ἀνελεῖν. καὶ φονεύουσι τὸ μάχιμον τῆς πόλεως οἱ πεμφθέντες σὺν τέκνοις καὶ γυναιξὶ, πλὴν τετρακοσίων παρθένων. ἐπὶ τοσοῦτον ὑπ' ὀργῆς προήχθησαν, τῷ κατὰ τὴν γυναῖκα πάθει προσλαβόντες καὶ τὸ κατὰ τὴν ἀναίρεσιν τῶν ὁπλιτῶν.*

Δ ΑΔΗΛΟΥ. *Καθάπερ καὶ ἐπὶ τῶν Μαδιανιτῶν ὁ Μωσῆς διετάξατο.*

ιγ. Καὶ ἀπέστειλε πᾶσα ἡ συνα-
γωγὴ, καὶ ἐλάλησαν πρὸς (2) Βενια-
μὶν [ἐν τῇ πέτρᾳ Ῥεμμὼν, καὶ ἐκά-
ιδ. λεσαν αὐτοὺς εἰς εἰρήνην. Καὶ ἐπέ-
στρεψε Βενιαμὶν] πρὸς τοὺς υἱοὺς Ἰσραὴλ
ἐν τῷ καιρῷ ἐκείνῳ, καὶ ἔδωκαν αὐ-
τοῖς οἱ υἱοὶ Ἰσραὴλ τὰς γυναῖκας ἃς
E ἐζωοποίησαν ἀπὸ τῶν θυγατέρων Ἰα-
βεῖς Γαλαάδ· καὶ ἤρεσεν αὐτοῖς οὕτω.

** ΙΩΣΗΠΟΥ. *Τὰς διαφυγούσας ἑξακοσίους διὰ πρεσβυτῶν ἐκάλουν. καθίδρυντο δὲ ἐπὶ πέτρας τινὸς Ῥοᾶς καλουμένης, κατὰ τὴν ἔρημον.* Καὶ μετ' ὀλίγα. *Κατήεσαν εἰς τὴν πάτριον φυλὴν, πειθόμενοι τοῖς προκαλουμένοις. οἱ δ' Ἰσραηλῖται γυναῖκας αὐτοῖς τὰς τετρακοσίας ἔδοσαν παρ-
Z θένους τὰς Ἰαβίτιδας.*

ιε. Καὶ ὁ λαὸς παρεκλήθη ἐπὶ
τῷ Βενιαμὶν, ὅτι ἐποίησε Κύριος δια-
κοπὴν ἐν ταῖς φυλαῖς Ἰσραήλ.

ις. Καὶ εἶπαν οἱ πρεσβύτεροι τῆς
συναγωγῆς, τί ποιήσωμεν τοῖς πε-
ρισσοῖς εἰς γυναῖκας; ὅτι ἠφανίσθη
ἀπὸ Βενιαμὶν γυνή.

H ** ΙΩΣΗΠΟΥ. *Περὶ τῶν διακοσίων ἐσκόπουν, ὅπως κἀκεῖνοι γυναικῶν εὐπορήσαντες παιδοποιῶνται.*

ιζ. Καὶ

(1) Θανάτῳ θανατ. αἱ αὐτ.

(2) Τοὺς υἱοὺς Βεν. αἱ αὐτ.

ιζ. Καὶ εἶπαν, κληρονομία διασω-
ζομένων τῷ Βενιαμίν· καὶ οὐκ ἐξαλειφ-
θήσεται φυλὴ ἀπὸ Ἰσραὴλ,

» ΑΔΗΛΟΥ. Κληρονομίαν διασωζομένων, τὴν τῆς τιμωρίας κατάπαυσιν κατὰ ἀνακεφαλαίωσιν ὠνόμασεν.

ιη. Ὅτι ἡμεῖς οὐ δυνησόμεθα δοῦναι
αὐτοῖς γυναῖκας ἀπὸ τῶν θυγατέ-
ρων ἡμῶν, ὅτι ὠμόσαμεν οἱ υἱοὶ Ἰσ-
ραὴλ, λέγοντες, ἐπικατάρατος ὁ δι-
ιθ. δοὺς γυναῖκα τῷ Βενιαμίν. Καὶ εἶπαν,
ἰδοὺ δὴ ἑορτὴ Κυρίου ἐν Σηλῶ ἀφ' ἡμε-
ρῶν εἰς ἡμέρας, ἥ ἐστιν ἀπὸ βοῤῥᾶ τῆς
Βαιθὴλ, κατὰ ἀνατολὰς ἡλίου ἀπὸ
τῆς ὁδοῦ τῆς ἀναβαινούσης ἀπὸ Βαι-
θὴλ εἰς Σηλὼμ, (1) καὶ ἀπὸ νότου
τῆς Λεβώ. (2)
κ. Καὶ ἐνετείλαντο οἱ υἱοὶ Ἰσραὴλ
τοῖς υἱοῖς Βενιαμὶν, λέγοντες, πορεύε-
σθε, καὶ ἐνεδρεύσατε ἐν τοῖς ἀμπε-
κα. λῶσι, Καὶ ὄψεσθε, καὶ ἰδοὺ, ἐὰν ἐξέλ-
θωσιν αἱ θυγατέρες τῶν οἰκούντων Ση-
λὼμ χορεύειν ἐν τοῖς χοροῖς, καὶ ἐξε-
λεύσεσθε ἐκ τῶν ἀμπελώνων, καὶ ἁρ-
πάσατε ἑαυτοῖς ἀνὴρ γυναῖκα ἀπὸ
τῶν θυγατέρων Σηλὼμ, καὶ πορεύε-
σθε εἰς γῆν Βενιαμίν.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε προσέταξαν οἱ υἱοὶ Ἰσραὴλ τοῖς διακοσίοις (3) ἐκ τοῦ Βενιαμὶν, ἐκ τῶν ἐν Σηλῶ χορευουσῶν παρθένων ἁρπάσαι τε καὶ γῆμαι; Αἱ τῆς φυλῆς αὐτῶν γυναῖκες ἅπασαι κατεσφάγησαν. αὐτοὶ δὲ ὀμωμόκεισαν μὴ κατεγγυῆσαι αὐτοῖς τὰς ἑαυτῶν θυγατέρας. ἵνα τοίνυν μὴ βιασθέντες ὑπὸ τῆς ἀνάγκης, ἀλλοφύλους γυναῖκας ἀγάγωνται, πόρον
A εὗρον ἐν ἀπόροις, καὶ τὴν ἁρπαγὴν ἐπενόησαν.

ΑΔΗΛΟΥ. Τὸν περὶ τῆς ἁρπαγῆς τῶν νεανίδων κατεσοφίσαντο τρόπον, ὡς καὶ τὸν ὅρκον ἄτρωτον αὐτοῖς διαφυλαχθῆναι, καὶ τοὺς ἐκ τοῦ Βενιαμὶν μὴ ἀλλοτρίους τῆς ἀπὸ τῶν συγγενῶν εὐμενείας γενέσθαι.

κβ. Καὶ ἔσαι ὅταν ἔλθωσιν οἱ πα-
τέρες αὐτῶν ἢ οἱ ἀδελφοὶ αὐτῶν κρί-
B νεσθαι πρὸς ἡμᾶς, καὶ ἐροῦμεν αὐτοῖς,
ἔλεος ποιήσετε (4) αὐτοῖς, ὅτι οὐκ
ἔλαβεν ἀνὴρ γυναῖκα αὐτοῦ ἐν τῇ πα-
ρατάξει, ὅτι οὐχ ὑμεῖς ἐδώκατε αὐ-
κγ. τοῖς, ὅτι οὐκ ἐπλημμελήσατε. Καὶ
ἐποίησαν οὕτως οἱ υἱοὶ Βενιαμίν· καὶ
ἔλαβον γυναῖκας εἰς ἀριθμὸν αὐτῶν
ἀπὸ τῶν χορευουσῶν ὧν διήρπασαν. καὶ
ἐπορεύθησαν, καὶ ὑπέστρεψαν εἰς τὴν
Γ κληρονομίαν αὐτῶν· καὶ ᾠκοδόμησαν
τὰς πόλεις, καὶ ἐκάθισαν ἐν αὐταῖς.
κδ. Καὶ περιεπάτησαν ἐκεῖθεν οἱ υἱοὶ Ἰσ-
ραὴλ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνὴρ εἰς τὴν
φυλὴν αὐτοῦ καὶ εἰς τὴν συγγένειαν
αὐτοῦ· καὶ ἐξῆλθον ἐκεῖθεν ἀνὴρ εἰς
τὴν κληρονομίαν αὐτοῦ.
κε. Ἐν ταῖς ἡμέραις ἐκείναις οὐκ
Δ ἦν βασιλεὺς ἐν Ἰσραήλ· ἀνὴρ τὸ εὐ-
θὲς ἐν ὀφθαλμοῖς αὐτοῦ ἐποίει.

ΑΔΗΛΟΥ. Ἡμῖν δὲ τοῖς τὸν ἀληθινὸν Θεὸν ἐπικαλουμένοις καὶ τὸν τῶν ὅλων ποιητὴν καὶ Δεσπότην, βασιλεὺς πάντοτε πάρεσι καὶ σύνεσι· καὶ ἐσμὲν αὐτοῦ λαὸς, καὶ πρόβατα νομῆς αὐτοῦ. αὐτῷ ἡ δόξα τῷ ἐν τρισὶ προσώποις καὶ μιᾷ φύσει Θεότητος ὑμνουμένῳ εἰς τοὺς αἰῶνας. Ἀμήν.

ΤΕΛΟΣ ΣΥΝ ΘΕΩι ΤΟΙΣ ΤΩΝ ΚΡΙΤΩΝ ΙΣΡΑΗΛ ΑΓΙΟΓΡΑΦΟΥ ΒΙΒΛΟΥ. ΑΜΗΝ.



ΒΙΒΛΟΣ

(1) Συχέμ. αἱ αὐτ. (2) Λεβωνᾶ. αἱ αὐτ. (3) Τοῖς ἐκ. ἢ ἐν Χαλ. ἐκδ.
(4) Ποιήσατε ἡμῖν αὐτὰς, ὅτι οὐκ ἐλάβομεν ἀνὴρ, κτλ. αἱ αὐτ.



ΒΙΒΛΟΣ ΤΗΣ ΡΟΥΘ.

✱✱ ΑΘΑΝΑΣΙΟΥ. Οὕτω λέγεται τὸ βιβλίον, ἐπειδὴ καὶ τὴν περὶ τῆς Ῥοὺθ ἱστορίαν μόνην περιέχει. ἔστι δὲ αὕτη ἡ Ῥοὺθ τὸ μὲν γένος Μωαβῖτις, καὶ ἐν σωφροσύνῃ διαπρέψασα. ἀποταξαμένη δὲ τῇ συγγενείᾳ καὶ τῇ πατρικῇ δεισιδαιμονίᾳ, μετέβαλεν εἰς θεοσέβειαν, καὶ μετῆλθεν εὐθὺς εἰς Βηθλεὲμ τῆς Ἰουδαίας, ἐκεῖ τε ἐζεύχθη τῷ Βοὸζ ἐκ φυλῆς Ἰούδα τυγχάνοντι. καὶ λοιπὸν ἐξ αὐτῆς γενεαλογεῖται ὁ Δαβὶδ οὕτω· Βοὸζ ἐκ τῆς Ῥοὺθ γεννᾷ τὸν Ὠβὴδ, Ὠβὴδ δὲ τὸν Ἰεσσαὶ, Ἰεσσαὶ δὲ τὸν Δαβίδ.

ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὸ κατὰ τὴν Ῥοὺθ συνεγράφη διήγημα; Πρῶτον διὰ τὸν δεσπότην Χριστόν. ἐξ αὐτῆς γὰρ κατὰ σάρκα βεβλάστηκε. διὸ δὴ καὶ ὁ θειότατος Ματθαῖος τὴν γενεαλογίαν συγγράφων, τὰς μὲν ἐπ᾽ ἀρετῇ πολυθρυλλήτους γυναῖκας κατέλιπε, τὴν Σάῤῥαν, τὴν Ῥεβέκκαν, καὶ τὰς ἄλλας· τῆς δέ γε Θάμαρ ἐμνημόνευσε, καὶ τῆς Ῥαὰβ, καὶ τῆς Ῥοὺθ, καὶ μέντοι καὶ τῆς τοῦ Οὐρίου· διδάσκων ὡς πάντων ἀνθρώπων χάριν ὁ τοῦ Θεοῦ μονογενὴς ἐνηνθρώπησε, καὶ Ἰουδαίων, καὶ τῶν πάντων ἐθνῶν, καὶ ἁμαρτωλῶν καὶ δικαίων. ἡ μὲν γὰρ Θάμαρ καὶ ἡ Ῥαὰβ ἀλλόφυλοι· Χαναναῖαι γὰρ ἡ Θάμαρ καὶ ἡ Ῥαάβ· ἡ δὲ Ῥοὺθ Μωαβῖτις, ἡ δέ γε Βηρσαβεὲ παρανόμως συνήφθη τῷ βασιλεῖ· πόρνη δὲ καὶ ἡ Ῥαὰβ, ἀλλὰ διὰ πίστεως τῆς σωτηρίας τετύχηκε· καὶ ἡ Θάμαρ δὲ ταύτῃ λαμπρύνεται. οὐ γὰρ ἀκολασίας ἕνεκα τῷ κηδεστῇ κεκοινώνηκεν· ἀλλ᾽ ὁρῶσα μὴ βουλόμενον αὐτῇ συνάψαι τὸν παῖδα, ἔκλεψε τὴν γεωργίαν, ἵνα βλαστήσῃ τὴν εὐλογίαν. αὐτίκα γοῦν μετὰ τοῦτον τὸν σπόρον, [ἄλλον οὐκ ἐδέξατο σπόρον, ἀλλὰ] τὴν ἀγαμίαν ἠγάπησεν. ἴδοι δ᾽ ἄν τις καὶ τὴν Ῥοὺθ, διὰ τὴν εὐσέβειαν, τοὺς μὲν γεγεννηκότας καταλιποῦ-
» σαν, ἀκολουθήσασαν δὲ τῇ πενθερᾷ. εἶπε γάρ φησιν [ἡ] Ῥοὺθ, μή μοι γένοιτο τοῦ κατα- Ῥοὺθ. 1. 16,
» λιπεῖν σε, ἢ τοῦ ἀποστρέψαι ἀπὸ ὄπισθέν σου, ὅτι οὗ ἂν πορευθῇς σὺ, πορεύσομαι, καὶ οὗ 17, 11, 12, 13.
» ἂν αὐλισθῇς, αὐλισθήσομαι ἐκεῖ· ὅτι ὁ λαός σου, λαός μου, καὶ ὁ Θεός σου, Θεός μου· καὶ
» οὗ ἂν ἀποθάνῃς ἀποθανοῦμαι, καὶ ἐκεῖ ταφήσομαι. τάδε ποιήσαι μοι Κύριος, καὶ τάδε
» προσθείη, ὅτι θάνατος διαστελεῖ ἀναμέσον ἐμοῦ καὶ σοῦ. καὶ ταῦτα εἴρηκε πολλάκις ὑπὸ
» τῆς κηδεστρίας παρακληθεῖσα πρὸς τοὺς γεγεννηκότας ἐπανελθεῖν. ἀποστράφητε γὰρ
» ἔφη θυγατέρες μου· καὶ ἵνα τί πορεύεσθε μετ᾽ ἐμοῦ; μὴ ἔτι μοι υἱοὶ ἐν τῇ κοιλίᾳ μου, καὶ
» ἔσονται ὑμῖν εἰς ἄνδρας; ἀποστράφητε θυγατέρες μου, ὅτι γεγήρακα τοῦ μὴ εἶναι ἀνδρί.
» καὶ εἶπον, οὐκ ἔτι μοι ὑπόστασις τοῦ γενέσθαι με ἀνδρί· καὶ τέξομαι υἱούς. μὴ αὐτοὺς προσ-
» δέξησθε ἕως ἂν ἀνδρυνθῶσιν; ἢ αὐτοῖς κατασχεθήσεσθε τοῦ μὴ γενέσθαι ἀνδρί; μὴ δὴ θυ-
» γατέρες μου, ὅτι ἐπικράνθη μοι ὑπὲρ ὑμᾶς, ὅτι ἐξῆλθεν ἐν ἐμοὶ χεὶρ Κυρίου. οὔτε, φησὶν, ἐγκύμων εἰμὶ, ἵνα τοῖς ὑπ᾽ ἐμοῦ τεχθησομένοις ἀναμείνητε συναφθῆναι, οὔτε ἀνδρί με γήμασθαι δυνατὸν διὰ τὸ γῆρας· ἵνα προσμένητέ μου τὸν γάμον, καὶ τὴν παιδοποιΐαν, καὶ τὴν ἐκείνων ἀνατροφήν. ἐγὼ γὰρ θεήλατον ἐδεξάμην πληγήν. ἔδει μὲν οὖν καὶ διὰ τὸν Δεσπότην ἀνάγραπτον γενέσθαι τῆς Ῥοὺθ τὸ διήγημα· ἱκανὴ δ᾽ ὅμως καὶ αὐτὴ καθ᾽ ἑαυτὴν ἡ ἱστορία πᾶσαν προσενεγκεῖν ὠφέλειαν τοῖς τὰ τοιαῦτα κερδαίνειν ἐπισταμένοις. διδάσκει γὰρ ἡμᾶς καὶ τῆς Νοεμὶν τὰς χαλεπὰς συμφορὰς, καὶ τὴν ἐπαινετὴν καρτερίαν, καὶ τῶν νυμφῶν τὴν σωφροσύνην, καὶ τὴν περὶ τὴν πενθερὰν φιλοστοργίαν· καὶ διαφερόντως τῆς Ῥοὺθ, ἣ γεγηρακυῖαν γυναῖκα καὶ πεπονημένην (1) τῶν γεγεννηκότων προετίμησε διά τε τὴν τῆς γνώμης εὐσέβειαν καὶ τὴν τοῦ ὁμόζυγος μνήμην. ἔδειξε (2) δὲ ἡμῖν καὶ τοῦ Βοὸζ τὴν ἀρετήν. οὐ γὰρ μόνον φιλοτίμως τῇ Ῥοὺθ τοῦ καρποῦ μετέδωκεν,
» ἀλλὰ καὶ λόγοις ἐψυχαγώγησε. μὴ πορευθῇς γὰρ ἔφη, θύγατερ, ἐν ἀγρῷ ἑτέρῳ συλ- Ῥοὺθ. 2. 8, 11,
» λέξαι· ἀλλ᾽ ὧδε κολλήθητι μετὰ τῶν κορασίων μου. κελεύσας δὲ αὐτῇ καὶ συνεσθίειν καὶ 12, 19.
» συμπίνειν τοῖς θερίζουσιν, ἐπήγαγεν· ἀπαγγελίᾳ ἀπηγγέλη μοι ὅσα πεποίηκας μετὰ τῆς
» πενθερᾶς σου μετὰ τὸ ἀποθανεῖν τὸν ἄνδρα σου· καὶ πῶς κατέλιπες τὸν πατέρα σου καὶ
» τὴν μητέρα σου, καὶ τὴν γῆν τῆς γενέσεώς σου, καὶ ἐπορεύθης πρὸς λαὸν ὃν οὐκ ᾔδεις ἐχθὲς
καὶ

(1) Πενομένην. ὁ Ἀλεξάν. κώδ.

(2) Ἐδίδαξε δὲ ἡμᾶς. ἡ ἐν Χάλ. ἔκδ.

» καὶ τρίτης. ἀποτίσαι σοι Κύριος τὴν ἐργασίαν σου· καὶ γένοιτο ὁ μισθός σου πλήρης παρὰ
» Κυρίου Θεοῦ Ἰσραήλ, πρὸς ὃν ἦλθες πεποιθέναι ὑπὸ τὰς πτέρυγας αὐτοῦ. καὶ τετύχηκε
τέλους ἡ εὐλογία. ἔλαβε γὰρ τὸν μισθὸν πλήρη παρὰ Κυρίου. πρόγονος γενομένη τῆς
τῶν ἐθνῶν εὐλογίας. οὐ μόνον δὲ αὐτῇ τροφῆς μεταδέδωκεν, ἀλλὰ καὶ αὐτουργὸς τῆς θε-
ραπείας ἐγένετο· οὐκ ἄλλῳ διακονῆσαι προστάξας, ἀλλ' αὐτὸς κατασκευάσας τὰ ἄλφιτα,
καὶ τοὺς ἄρτους μάλα φιλοτίμως προσενεγκών. κορεσθεῖσα γὰρ ἀπήνεγκε τὸ περιττεῦσαν
τῇ πενθερᾷ. εὐγνωμόνως δὲ καὶ ἡ κηδεστρία τὸν ἀπόντα εὐεργέτην ταῖς εὐλογίαις ἠμεί-
» ψατο. ἔφη γάρ, εἴη ὁ ἐπιγνούς σε εὐλογημένος, ὅτι ἐχόρτασε ψυχὴν κενήν, καθὼς
» ἐποίησε μεθ' οὗ ἐποίησεν. οὐ γὰρ εἰς τὴν σήν, φησί, πενίαν ἀπέβλεψεν, ἀλλ' εἰς τὸν νομο-
θέτην, ὃς διηγόρευσε πᾶσαν ποιεῖσθαι τῶν χηρῶν ἐπιμέλειαν.

Κ Ε Φ. Α.

α. αὶ ἐγένετο ἐν ταῖς ἡμέ-
ραις τοῦ κρίνειν τοὺς
κριτάς, καὶ ἐγένε-
το λιμὸς ἐπὶ τὴν
γῆν. (1) καὶ ἐπορεύ-
θη ἀνὴρ ἀπὸ Βηθλεὲμ τῆς Ἰούδα τοῦ
παροικῆσαι ἐν ἀγρῷ Μωάβ, αὐτὸς
καὶ ἡ γυνὴ αὐτοῦ, καὶ οἱ δύο υἱοὶ αὐτοῦ.

ΑΔΗΛΟΥ. Κριτὴς κριτῶν λέγεται ὁ Θεός, ἐπειδὴ αὐτὸς ἐβοήθη τοῖς Κριταῖς, δι' ὧν ἐσώζετο ὁ λαός.

ΑΔΗΛΟΥ. Γοθονιὴλ υἱὸς Κενὲζ μετὰ τὴν δουλείαν Χουσαρσαθὰμ, ἐτῶν ὀκτώ, ἔτη τεσσαράκοντα ἔκρινε τὸν Ἰσραήλ· ὁμοῦ ἔτη τεσσαράκοντα καὶ ὀκτώ. Ἀὼδ ἐκ φυλῆς Βενιαμὶν μετὰ τὴν δουλείαν Ἐγλὼμ βασιλέως Μωάβ, ἐτῶν δέκα καὶ ὀκτώ, ἔκρινεν αὐτὸς ἔτη ὀγδοήκοντα· ὁμοῦ ἔτη ἐννενήκοντα ὀκτώ. Δεββώρα ἐκ φυλῆς Ἐφραίμ, ἔτη ὀκτώ· καὶ Βαρὰκ ἐκ φυλῆς Νεφθαλεὶμ μετὰ (2) δουλείαν τῷ Ἰαβεὶμ βασιλέως (3) Χαναάν, ἔτη εἴκοσι. ἡσύχασεν ἡ γῆ ἔτη τεσσαράκοντα· ὁμοῦ ἔτη ἑξήκοντα. Γεδεὼν ἐκ φυλῆς Μανασσῆ μετὰ δουλείαν τῷ Μαδιὰμ, ἐτῶν ἑπτά, ἔκρινε τὸν Ἰσραὴλ ἔτη κγ΄. (4) Ἰαὴρ (5) ὁ Γαλααδίτης ὁ φονάδελφος καὶ ἅρπαξ ἦρξε κακῶς ἔτη τρία. Θωλὰ ἐκ φυλῆς Ἰσσάχαρ ἔκρινε τὸν Ἰσραὴλ ἔτη κγ΄. [Ἰαὴρ ὁ Γαλααδίτης ἔκρινε τὸν Ἰσραὴλ ἔτη εἴκοσι καὶ δύω.] (6) Ἰεφθάε ὁ Γαλααδίτης μετὰ τὸ δουλεῦσαι τὸν Ἰσραὴλ τοῖς υἱοῖς Ἀμμὼν ἔτη δέκα καὶ ὀκτώ, ἔκρινεν ἔτη ἕξ· ὁμοῦ ἔτη κδ΄. Ἐσεβὼν ὁ Βηθλεεμίτης ἔκρινε τὸν Ἰσραὴλ ἔτη ἑπτά. Ἐλὼμ ὁ Ζαβουλωνίτης ἔκρινε τὸν Ἰσραὴλ ἔτη δέκα. Ἀβδὼν υἱὸς Ἐλλὴλ ὁ Φαραθωνίτης ἔκρινε τὸν Ἰσραὴλ ἔτη ὀκτώ. Σαμψὼν ἐκ φυλῆς Δὰν ὁ Ναζηραῖος μετὰ τὸ δουλεῦσαι τὸν Ἰσραὴλ τοῖς ἀλλοφύλοις ἔτη

A τεσσαράκοντα, ἔκρινε τὸν Ἰσραὴλ ἔτη κ΄, ὁμοῦ ἔτη ἑξήκοντα. οἶμαι τοῦτον τὸν καιρὸν ἀπαρασημάντως καὶ ἀπ' ἀρχῆς τῆς βίβλου ἕως Γοθονιήλ· μετὰ δὲ τὰ σεσημειωμένα πάντα ἐν τῷ καταλοίπῳ τῶν Κριτῶν, ἔτη τετρακόσια δέκα. (7)

B ∗∗ ΙΩΣΗΠΟΥ. Λιμῷ τῆς χώρας κακοπαθούσης αὐτῶν, Ἐλιμέλεχος ἐκ Βηθλεέμων· ἔστι δὲ ἡ πόλις αὕτη τῆς Ἰούδα φυλῆς· ἀντέχειν τῷ δεινῷ μὴ δυνάμενος, τήν τε γυναῖκα Νααμὶν καὶ τοὺς παῖδας τοὺς ἐξ αὐτῆς αὐτῷ γεγεννημένους, Χελλίωνα καὶ Μάλλωνα, ἐπαγόμενος εἰς τὴν Μωαβῖτιν μετοικίζεται.

β. Καὶ ὄνομα τῷ ἀνδρὶ Αἰλιμέ-
λεχ, καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ
Μοομμεὶν, καὶ ὄνομα τοῖς δυσὶν υἱοῖς
αὐτοῦ Μααλλὼν, καὶ Χελλαιὼν, Ἐφ-
Γ ραθαῖοι ἐκ Βηθλεὲμ τῆς Ἰούδα. καὶ
ἤλθοσαν εἰς ἀγρὸν Μωάβ, καὶ ἦσαν
γ. ἐκεῖ. Καὶ ἀπέθανεν Αἰλιμέλεχ ὁ
ἀνὴρ Νοομεὶν, καὶ κατελείφθη αὐ-
τὴ (8) καὶ οἱ δύω υἱοὶ αὐτῆς.

δ. Καὶ ἔλαβον ἑαυτοῖς γυναῖκας
Μωαβίτιδας· ὄνομα τῇ μιᾷ, Ὀρφά·
καὶ ὄνομα τῇ ἑτέρᾳ (9) Ῥούθ. καὶ κα-
τῴκησαν ἐκεῖ ἕως δέκα ἔτη.

Δ ΩΡΙΓΕΝΟΥΣ. Ἡ Ῥοὺθ τύπον φέρει τῶν ἐθνῶν· ἥτις κατέλιπε τὰ πάτρια, καὶ ἡνώθη τῇ Ἰσραηλιτικῇ ἕξει. ζητητέον δὲ πῶς τοῦ νόμου ἀπαγορεύοντος, μὴ εἰσελθεῖν Μωαβίτην εἰς Ἐκκλησίαν Θεοῦ, ἡ Ῥοὺθ Μωαβῖτις οὖσα, εἰσῆλθε. καὶ τοῦτο ζητῶν,
» χρῆσαι τῷ· δικαίῳ νόμος οὐ κεῖται, ἀλλ' 1. Τιμ. 1. 9.
» ἀδίκοις καὶ ἀνυποτάκτοις.

ε. Καὶ ἀπέθανον καίγε ἀμφότε-
E ροι Μααλλὼν καὶ Χελλαιών· καὶ κατε-
λείφθη

(1) Ἐν τῇ γῇ. αἱ εἰρημ. ἐκδόσ. (2) Πρόσθες, τήν. (3) Βασιλεῖ πάντως ἀνάγν.

(4) Ἔτη μ΄· (ὃ δὴ καὶ Ἰώσηπ. φησίν. ἐν βιβλ. 5. κεφ. 6. περὶ Ἰουδαϊκ. ἀρχ. ὅρα δὲ καὶ τὸ αὐτοῦ ὑπόμν. τὸ ἐν σελ. 179. τῆσδε τῆς βίβλ.) ὁμοῦ ἔτη μ΄ καὶ ζ΄. ὁ Ἀλεξάν. κώδ.

(5) Ἀβιμέλεχ ὁ φονάδελ. ὁ Ἀλεξάν. κώδ. ὀρθῶς. ὁ Ἀβιμέλεχ γάρ ἐστιν ὁ φονάδελφος. ὅρα τὸ 9. τῶν Κριτ. κεφ.

(6) Τὰ μεταξὺ τῶν γραμ. ἐλήφθη ἐκ τοῦ κώδικ. τοῦ Ἀλεξάν. κατὰ παραδρομὴν γὰρ πάντως ἐν τῷ τοῦ Ἡγεμόν. κώδ. οὐ κεῖται.

(7) Πρόσθες καὶ ὀκτώ. τοσοῦτον γὰρ τὸ τῶν προκειμένων ἐτῶν κεφάλαιον, ἀντὶ τῶν 23 ἐτῶν ἐν οἷς ἔκρινεν ὁ Γεδεών, 47 τεθέντων, ὡς ἔχει ὁ Ἀλεξάν. κώδ. ἐὰν γὰρ τὰ 23 ληφθῇ, ὁμοῦ πάντα συγκεφαλαιοῦται 394.

(8) Αὕτη. αἱ εἰρημ. ἐκδόσ. (9) Τῇ δευτέρᾳ. αἱ αὐτ.

λείφθη ἡ γυνὴ ἀπὸ τοῦ ἀνδρὸς αὐτῆς, A
ϛ. καὶ ἀπὸ τῶν δύω υἱῶν αὐτῆς. Καὶ
ἀνέστη αὐτὴ (1) καὶ αἱ δύω νύμφαι αὐ-
τῆς, καὶ ἀπέστρεψαν ἐξ ἀγροῦ Μωὰβ,
ὅτι ἤκουσαν ἐν ἀγρῷ Μωὰβ ὅτι ἐπέσ-
κεπται Κύριος τὸν λαὸν αὐτοῦ, δοῦναι
αὐτοῖς ἄρτους.

** ΙΩΣΗΠΟΥ. Ἡ Νααμὶς πικρῶς ἐπὶ
τοῖς συμβεβηκόσι φέρουσα, καὶ τὴν ὑπὸ τῶν
φιλτάτων ἐρημίαν οὐχ ὑπομείνασα, δι' οὓς B
καὶ τῆς πατρίδος ἐξεληλύθει, πάλιν εἰς
αὐτὴν ἀπηλλάττετο. καὶ γὰρ ἤδη καλῶς
τὰ κατ' αὐτὴν ἐπυνθάνετο χωρεῖν.

ζ. Καὶ ἐξῆλθεν ἐκ τοῦ τόπου οὗ ἦν
ἐκεῖ, καὶ αἱ δύω νύμφαι αὐτῆς μετ'
αὐτῆς· καὶ ἐπορεύοντο ἐν τῇ ὁδῷ τοῦ
η. ἐπιστρέψαι εἰς γῆν Ἰούδα. Καὶ εἶπε
Νοομεὶν ταῖς δυσὶ νύμφαις αὐτῆς, Γ
πορεύεσθε δὴ, ἀποστράφητε ἑκάστη εἰς
τὸν οἶκον μητρὸς αὐτῆς. ποιήσαι Κύ-
ριος μεθ' ὑμῶν ἔλεος, καθὼς ἐποιή-
σατε μετὰ τῶν τεθνηκότων καὶ μετ'
θ. ἐμοῦ. Δῴη Κύριος ὑμῖν καὶ εὕρητε
ἀνάπαυσιν ἑκάστη ἐν τῷ οἴκῳ ἀνδρὸς
αὐτῆς. καὶ κατεφίλησεν αὐτάς. καὶ
ἐπῆραν τὴν φωνὴν αὐτῶν, καὶ ἔκλαυ-
ι. σαν. Καὶ εἶπαν αὐτῇ, οὐχὶ μετὰ σοῦ Δ
ια. ἐπιστρέφομεν εἰς τὸν λαόν σου. Καὶ
εἶπε Νοομεὶν, ἐπιστράφητε δὴ θυγα-
τέρες μου, ἵνα τί πορεύεσθε μετ' ἐμοῦ;
μὴ ἔτι υἱοὶ ἐν τῇ κοιλίᾳ μου, καὶ ἔσον-
ιβ. ται ὑμῖν εἰς ἄνδρας; Ἐπιστράφητε δὴ
θυγατέρες μου, διὰ τοῦτο, ὅτι γεγή-
ρακα τοῦ μὴ εἶναι ἀνδρί. καὶ ὅτι εἶπα,
ὅτι ἐστί μοι (2) ὑπόστασις τοῦ γενηθῆ-
ιγ. ναί με ἀνδρί· καὶ τέξομαι υἱούς. Μὴ E
αὐτοὺς προσδέχησθε ἕως οὗ ἀνδρυνθῶ-
σιν; ἢ αὐτοῖς καταχεθήσεσθε τοῦ μὴ
γενέσθε ἀνδρί; μὴ δὴ θυγατέρες μου,
ὅτι ἐπικράνθη μοι ὑπὲρ ὑμᾶς, ὅτι
ἐξῆλθεν ἐν ἐμοὶ χεὶρ Κυρίου.

** ΙΩΣΗΠΟΥ. Οὐκ ἐκαρτέρουν δια-
ζευγνύμεναι αὐτῆς αἱ νύμφαι, οὐδὲ παραι-
τουμένη βουλομένας συνεξορμᾷν πείθειν ἐδύ-
νατο· ἀλλ' ἐγκειμένων, εὐξαμένη γάμον εὐ-
τυχέστερον αὐταῖς οὗ διημαρτήκεσαν παισὶ
τοῖς αὐτῆς γαμηθεῖσαι, καὶ τῶν ἄλλων
ἀγαθῶν κλῆσιν, ὅτι τε τὰ πρὸς αὐτὴν
οὕτως ἐστὶ, μένειν αὐτόθι παρεκάλει, καὶ
μὴ συμμεταλαμβάνειν αὐτῇ βουληθῆναι
πραγμάτων ἀδήλων, τὴν πάτριον γῆν κα-
ταλιποῦσας.

ιδ. Καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν,
καὶ ἔκλαυσαν. (3) καὶ κατεφίλησεν H
Ὀρφὰ τὴν πενθερὰν αὐτῆς, καὶ ἐπέ-
στρεψεν εἰς τὸν λαὸν αὐτῆς. Ῥοὺθ δὲ
ἠκολούθησεν αὐτῇ.

** ΙΩΣΗΠΟΥ. Ἡ μὲν οὖν Ὀρφὰ μέ-
νει· τὴν δὲ Ῥούθην μὴ πεισθεῖσαν ἀπήγα-
γε, κοινωνὸν παντὸς τοῦ προστυχόντος γε-
νησομένην.

» ΑΔΗΛΟΥ. Ἀπέστρεψεν εἰς τὸν λαὸν
αὐτῆς. Τοῦτο σημαίνει τοὺς μανθάνοντας μὲν
ἐκ τοῦ νόμου, καὶ κατηχουμένους τὸ μυστήριον,
παλινδρομοῦντας δὲ πάλιν εἰς πλάνην.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Οὐχ ἁπλῶς οὐδὲ μά-
την ἡ θεία Γραφὴ, τὸ μὲν πρῶτον, τὸ κα-
τὰ τὴν Θάμαρ ἀλλόφυλον, καὶ τὸν Ἰούδαν
τὸν υἱὸν Ἰακὼβ, ἱστορεῖ· νῦν δὲ, τὰ κατὰ τὴν
Ῥοὺθ καὶ τὸν Βοὸζ τὸν πατέρα τοῦ Ἰωβὴδ·
ἐξ οὗ Ἰεσσαὶ ὁ πατὴρ τοῦ Δαβίδ. καὶ τούτῳ
ἀπόδειξις ὁ μακάριος Ματθαῖος ὁ εὐαγ-
γελιστὴς ἐν ταῖς περὶ τοῦ Κυρίου ἡμῶν Ἰησοῦ
Χριστοῦ γενεαλογίαις, μόνον τῶν προειρη-
μένων γυναικῶν μνημονεύσας τῶν ἀλλοφύ-
λων, παραλιπὼν τὰς Ἰσραηλίτιδας. ἀλλ'
ἐπειδὴ οὐκ ἐξὴν μὲν ἄγεσθαι ἀλλόφυλον,
ἀλλ' οὐδὲ φυλὴν τοῦ Ἰσραὴλ ἀπὸ ἑτέρας
φυλῆς τῶν Ἰουδαίων· ἀλλόφυλος δὲ ἡ Θά-
μαρ καὶ ἡ Ῥοὺθ ὁμοίως· καὶ (4) ἐπισημαί-
νεται τοῦτο αὐτὸ ἡ Γραφὴ, οὐχ ἵνα παρά-
βασιν δείξῃ τὸ πρᾶγμα, εἰ καὶ παράβασις
εἶναι ἐδόκει. ἥτε γὰρ Θάμαρ οὐ πονηρῶς
ἠπάτησε τὸν Ἰούδαν, ἀλλὰ συναφθῆναι βου-
λομένη τοῖς Ἰουδαίοις, οἷα Θεοῦ οἰκείοις. καὶ
ἡ Ῥοὺθ ὁμοίως τῇ Νοομεὶν ἠκολούθησε διὰ
τὴν τῶν Ἰουδαίων εὐσέβειαν.

ιε. Καὶ εἶπε Νοομεὶν πρὸς Ῥοὺθ,
ἰδοὺ ἀνέστρεψεν ἡ σύννυμφός σου πρὸς
τὸν λαὸν αὐτῆς καὶ πρὸς τοὺς Θεοὺς
αὐτῆς, ἐπιστράφηθι δὴ καὶ σὺ ὀπίσω
ιϛ. τῆς συννύμφου σου. Εἶπε δὲ Ῥοὺθ, μὴ
ἀπαντήσαι μοι (5) σκληρὸς τοῦ κατα-
λιπεῖν σε, ἢ ἀποστρέψαι ἀπὸ ὄπισθέν
σου, ὅτι σὺ ὅπου ἐὰν πορευθῇς, πορεύ-
σομαι, καὶ οὗ ἐὰν αὐλισθῇς αὐλισθή-
σομαι· ὁ λαός σου, λαός μου, καὶ ὁ
ιζ. Θεός σου, Θεός μου. Καὶ οὗ ἐὰν ἀπο-
θάνῃς, ἀποθανοῦμαι, καὶ ἐκεῖ ταφή-
σομαι. τάδε ποιήσαι μοι ὁ Κύριος,
καὶ τάδε προσθείη, ὅτι θάνατος δια-
ιη. στελεῖ ἀναμέσον ἐμοῦ καὶ σοῦ. Ἰδοῦσα
δὲ Νοομεὶν ὅτι κραταιοῦται αὐτὴ τοῦ
πορεύεσθαι μετ' αὐτῆς, ἐκόπασε τοῦ
λαλῆσαι πρὸς αὐτὴν ἔτι.

ιθ. Ἐπορεύθησαν δὲ ἀμφότεραι,
ἕως τοῦ παραγενέσθαι εἰς Βηθλεέμ. καὶ
ἐγένετο ἐν τῷ ἐλθεῖν αὐτὰς εἰς Βηθ-
λεὲμ, καὶ ἤχησε πᾶσα ἡ πόλις ἐπ'
αὐταῖς, καὶ εἶπαν, εἰ αὕτη ἐστὶ Νοομείν;

** ΙΩΣΗΠΟΥ. Σημαίνει κατ' Ἑβραίων
γλῶσσαν Νααμὶς, εὐτυχίαν.

R 2 ΑΔΗΛΟΥ.

(1) Αὕτη. αἱ αὐτ. (2) Οὐκ ἐστί μοι. ἡ ἐν Ὀξον. ἐκδ. (3) Ἔκλαυσαν ἔτι. αἱ εἰρημ. ἐκδόσ.
(4) Τὸ, καὶ, περιττόν. (5) Ἀπάντησαί μοι τοῦ κατα. αἱ εἰρημ. ἐκδόσ.

ΑΔΗΛΟΥ. Συνήφθησαν γὰρ ἥ τε Ἐκκλησία καὶ ἡ Συναγωγὴ διὰ τοῦ ἀκρογωνιαίου λίθου. A

ΑΔΗΛΟΥ. Κατὰ πάντα γὰρ σύμφωνος τῇ Συναγωγῇ ἡ Ἐκκλησία, πλὴν ἐν τῷ σωτηρίῳ πάθει.

ΑΔΗΛΟΥ. Ἐκεῖ ἀμφότεραι ἔρχονται, ὅπου ὁ Χριστὸς γεννᾶται. ὁμολογοῦσι γὰρ τὸ μέγα τῆς ἐνανθρωπήσεως μυστήριον.

ΑΔΗΛΟΥ. Τὸ ὅμοιον ἐπὶ τῶν μάγων εἰσελθόντων, φησὶν ὁ Εὐαγγελιστής, γεγένηται· ὅτε ἠρώτων, ποῦ ἐστὶν ὁ τεχθεὶς βασιλεὺς τῶν Ἰουδαίων; Ματθ. 2. 2.


κ. Καὶ εἶπε πρὸς αὐτούς, μή με καλεῖτε Νοομέν· καλέσατέ με ἡ πικρά, (1) ὅτι ἐπικράνέ μοι (2) ὁ ἱκανὸς
κα. σφόδρα. Ἐγὼ πλήρης ἐπορεύθην, καὶ κενὴν ἀπέστρεψέ με ὁ Κύριος. ἵνα τί καλεῖτέ με Νοομέν, καὶ ὁ Κύριος ἐταπείνωσέ με, καὶ ὁ ἱκανὸς ἐκάκωσέ με;

ΑΔΗΛΟΥ. Θαυμάζουσιν ἐπὶ τῇ ἐπιστρεφούσῃ Συναγωγῇ. ἡ δὲ ὁμολογήσασα αὐτῆς τὴν ἐν τῇ ἀπειθείᾳ γενομένην πώρωσιν, μὴ καλεῖτέ με, φησί, πλήρης ἀγαθῶν, μᾶλλον δὲ κεκενωμένην· ὅτι τῇ ἀπειθείᾳ τὸν νοητὸν ἀπώλεσα πλοῦτον· καὶ ἐξαπεστάλην παρὰ τοῦ ὑψίστου κενή, ὅτε ἤκουσα· „ἰδού, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. Ματθ. 23. 38.

κβ. Καὶ ἐπέστρεψεν ἡ Νοομὲν καὶ Ῥοὺθ ἡ Μωαβῖτις ἡ νύμφη αὐτῆς μετ' αὐτῆς ἐπιστρέφουσα (3) ἐξ ἀγροῦ Μωάβ. αὗται δὲ παρεγενήθησαν εἰς Βηθλεὲμ ἐν ἀρχῇ θερισμοῦ κριθῶν.

ΑΔΗΛΟΥ. Ἐν τῷ Δευτερονομίῳ φησίν· οὐκ εἰσελεύσεται Ἀμμανίτης καὶ Μωαβίτης εἰς Ἐκκλησίαν Κυρίου ἕως δεκάτης γενεᾶς. ἀλλὰ συνεκέρασε τῇ ἀποτομίᾳ τὸν ἔλεον. ἀμέλει Ῥοὺθ Μωαβῖτις οὖσα, εἰσῆλθεν εἰς Ἐκκλησίαν. καὶ ἐξ αὐτῆς κατάγεσθαι πρῶτον μέν, τὸν Δαβίδ· ἔπειτα δέ, καὶ Χριστόν. ὁ Πέτρος δὲ γενικώτερόν φησιν· ἐν παντὶ ἔθνει ὁ φοβούμενος αὐτόν, καὶ ἐργαζόμενος δικαιοσύνην, δεκτὸς αὐτῷ ἐστί. B Δευτ. 23. 3. Πράξ. 10. 35.

ΑΔΗΛΟΥ. Οἱ πρὸ τῆς παρουσίας Χριστοῦ ἄνθρωποι, κριθαῖς ἂν παραβληθεῖεν. οἱ δὲ μετὰ τὴν παρουσίαν, ὅσοι εἰς Χριστὸν ἐπίστευσαν, καὶ θείας φύσεως γεγόνασι κοινωνοί, σῖτος δικαίως ἐκλήθησαν. συναπέθανον γὰρ τῷ Χριστῷ διὰ τοῦ βαπτίσματος, καὶ συνανέστησαν διὰ τὸ αὐτοῦ λόγιον· ὅτι „ὁ τοῦ σίτου κόκκος πεσὼν εἰς τὴν γῆν, καρπὸν ἤνεγκε πολύν. Γ Ἰωάν. 12. 24.



ΚΕΦ. Β.

α. Καὶ τῇ Νοομὲν ἀνὴρ γνώριμος τῷ ἀνδρὶ αὐτῆς, ὁ δὲ ἀνὴρ δυνατὸς ἰσχύϊ ἐκ τῆς συγγενείας Ἀλιμέλεχ, καὶ ὄνομα αὐτῷ Βοόζ.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἐγνωρίζετο γὰρ τῇ Συναγωγῇ ὁ Χριστός· ὃς ἦν μὲν ἐκ τῆς συγγενείας αὐτῆς τὸ κατὰ σάρκα, ἦν δὲ καὶ ἰσχύων σφόδρα. ταύτῃ τοι καὶ τὸν ἰσχυρὸν ἔδησεν. ἐγνωρίζετο δὲ τῇ Συναγωγῇ παιδαγωγουμένῃ ὑπὸ Προφητῶν τὸ περὶ αὐτοῦ μυστήριον.

β. Καὶ εἶπε Ῥοὺθ ἡ Μωαβῖτις πρὸς Νοομέν, πορευθῶ δὴ εἰς ἀγρόν, καὶ συνάξω ἐν τοῖς στάχυσι κατόπισθεν οὗ ἐὰν εὕρω χάριν ἐν ὀφθαλμοῖς αὐτοῦ. εἶπε δὲ αὐτῇ, πορεύου, θύγατερ.

**ΙΩΣΗΠΟΥ. Ἀμητοῦ ὄντος, ἐξῄει καλαμησομένη κατὰ συγχώρησιν τῆς πενθερᾶς ἡ Ῥούθη, ὅπως τροφῆς εὐπορῶσι, καὶ εἰς τὸ Βοόζου τυχαίως ἀφικνεῖται χωρίον.

ΑΔΗΛΟΥ. Ποθεῖ λίαν τῆς εὐαγγελικῆς διδασκαλίας ἡ Ἐκκλησία μεταλαβεῖν. διὸ καὶ ἀκολουθεῖ κατόπισθεν Χριστοῦ, ἕως οὗ εὕρῃ χάριν ἐν ὀφθαλμοῖς αὐτοῦ.

γ. Καὶ ἐπορεύθη· καὶ ἐλθοῦσα συνέλεξεν ἐν τῷ ἀγρῷ κατόπισθεν τῶν θεριζόντων. καὶ περιέπεσε περιπτώματι τῇ μερίδι τοῦ ἀγροῦ Βοὸζ τοῦ ἐκ τῆς συγγενείας Ἀλιμέλεχ.

ΑΔΗΛΟΥ. Οἱ δὲ θερίζοντες εἰσὶν οἱ Ἀπόστολοι· οἷς ἔλεγεν ὁ Κύριος, „ὁ θερίζων μισθὸν λαμβάνει. τούτοις ἀκολουθοῦσα ἡ Ἐκκλησία, ἥξει ἐν ἀγαλλιάσει φέρουσα τὰ δράγματα αὐτῆς. Ἰωάν. 4. 36.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Περιέπεσε γὰρ ἡ Συναγωγὴ περιπτώματι, ὅτε ἦλθεν ὁ Χριστός. ἐκεῖ γὰρ ἐγεννήθη, καὶ ἔδωκεν εὐλογίαν τοῖς θερίζουσι. E

δ. Καὶ ἰδοὺ Βοὸζ ἦλθεν ἐκ Βηθλεέμ, καὶ εἶπε τοῖς θερίζουσι, Κύριος μεθ' ὑμῶν. καὶ εἶπαν αὐτῷ, Κύριος εὐλογήσαι σε.

ε. Καὶ εἶπε Βοὸζ τῷ παιδαρίῳ αὐτοῦ τῷ ἐφεστῶτι ἐπὶ τοὺς θερίζοντας, Z
ϛ. τίς ἡ νεᾶνις αὕτη; Καὶ ἀπεκρίθη τὸ παιδάριον τὸ ἐφεστὸς ἐπὶ τοὺς θερίζοντας, καὶ εἶπε, (4) παῖς ἡ Μωαβῖτις ἐστὶν ἡ ἀποστραφεῖσα μετὰ Νοομὲν ἐξ ἀγροῦ Μωάβ.

**ΙΩΣΗΠΟΥ. Παραγενόμενος Βόαζος μετ' ὀλίγον, καὶ θεασάμενος τὴν κόρην, ἀνέκρινε τὸν ἀγρονόμον περὶ τῆς παιδός. ὁ δὲ μικρὸν ἔμπροσθεν παρ' αὐτῆς ἅπαντα προπεπυσμένος ἐδήλου τῷ δεσπότῃ. H

ΑΔΗΛΟΥ.

(1) Πικράν. αἱ αὐτ. ἡ πικρά. ἡ τοῦ Ἀλδ. ἐκδ.
(2) Ἐπικράνθη ἐν ἐμοί. αἱ εἰρημ. ἐκδόσ.
(3) Ἐπιστρέψασαι. αἱ αὐτ.
(4) Ἡ παῖς. αἱ αὐτ.

A ΑΔΗΛΟΥ. Ἐρωτᾶται περὶ τῆς Ἐκκλησίας ὁ προεστηκὼς Ἄγγελος, καὶ ἀπαγγέλλει, ὡς ἡ ἐκ τῶν ἀλλοφύλων ἐστὶν, ἐπιστρέψασα διὰ τῶν Ἀποστόλων. ὅθεν καὶ θεῖα λαμβάνει παραγγέλματα μετ' ἐπαγγελίας ὕδατος ζῶντος. καὶ μετὰ ταῦτα προσκυνεῖ, σωτῆρα αὐτὸν ἐπιγινώσκουσα.

ζ. Καὶ εἶπε, συλλέξω δὴ καὶ συνάξω ἐν τοῖς δράγμασιν ὀπίσω τῶν θεριζόντων· καὶ ἦλθε καὶ ἔστη ἀπὸ B πρωΐθεν καὶ ἕως ἑσπέρας οὐ κατέπαυσεν ἐν τῷ ἀγρῷ μικρόν.

η. Καὶ εἶπε Βοὸζ πρὸς Ῥοὺθ, (1) ἤκουσας θύγατερ; μὴ πορευθῇς ἐν ἀγρῷ ἑτέρῳ συλλέξαι· καὶ σὺ οὐ πορεύσῃ ἐντεῦθεν, ὧδε κολλήθητι μετὰ τῶν κορασίων μου.

ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα γ' οὖν καὶ τὰ ἐπὶ τῆς Ῥοὺθ γενόμενα ἐοικότα τοῖς (2) Γ ἐπὶ Χριστοῦ πραχθεῖσιν. αὕτη γὰρ ἀλλόφυλος ἦν, καὶ εἰς ἐσχάτην κατηνέχθη πενίαν. λοιπὸν (3) ἰδὼν αὐτὴν ὁ Βοὸζ, οὔτε τῆς πενίας αὐτῆς κατεφρόνησεν, οὔτε τὴν δυσγένειαν ἐβδελύξατο. ὥσπερ οὖν καὶ ὁ Χριστὸς τὴν Ἐκκλησίαν δεξάμενος, καὶ ἀλλόφυλον οὖσαν καὶ ἐν πενίᾳ πολλῇ τῶν μεγάλων ἀγαθῶν, ἔλαβεν αὐτὴν κοινωνόν. ἀλλ' ὥσπερ αὐτὴ, εἰ μὴ πρότερον ἀφῆκε πατέρα, καὶ ἠτίμασεν οἰκίαν, καὶ γένος, καὶ πατρίδα, Δ καὶ συγγενεῖς, οὐκ ἂν ἔτυχε τῆς ἀγχιστείας ταύτης· οὕτω καὶ ἡ Ἐκκλησία τὰ πατρῷα ἔθη καταλιποῦσα, τότε ἐπέραστος ἐγένετο τῷ νυμφίῳ. ὅπερ οὖν καὶ ὁ Προφήτης διαλεγόμενος αὐτῇ, φησίν· ἐπιλάθου τοῦ λαοῦ σου, καὶ τοῦ οἴκου τοῦ πατρός σου, καὶ ἐπιθυμήσει ὁ βασιλεὺς τοῦ κάλλους σου. τοῦτο καὶ Ῥοὺθ ἐποίησε. διὰ τοῦτο μήτηρ βασιλέων ἐγένετο, ὥσπερ οὖν καὶ ἡ Ἐκκλησία. καὶ γὰρ ἐκ ταύτης ἐστὶν ὁ Δαβίδ. (Ψαλ. 44. 10, 11.)

E θ. Καὶ οἱ ὀφθαλμοί σου εἰς τὸν ἀγρὸν οὗ ἐὰν θερίζωσι, καὶ πορεύσῃ κατόπισθεν αὐτῶν· ἰδοὺ ἐνετειλάμην τοῖς παιδαρίοις τοῦ μὴ ἅψασθαί σου. καὶ ὅτε διψήσεις καὶ πορευθήσῃ εἰς τὰ σκεύη, καὶ πίεσαι ὅθεν ἐὰν ὑδρεύωνται τὰ παιδάρια.

ι. Καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐ- Z τῆς, καὶ προσεκύνησεν ἐπὶ τὴν γῆν, καὶ εἶπε πρὸς αὐτὸν, τί ὅτι εὗρον χάριν ἐν ὀφθαλμοῖς σου τοῦ ἐπιγνῶναί με, καὶ ἐγώ εἰμι ξένη;

ΑΔΗΛΟΥ. Ξένη γὰρ ὄντως ζωῆς, εἰδώλοις λατρεύουσα.

ια. Καὶ ἀπεκρίθη Βοὸζ, καὶ εἶπεν αὐτῇ, ἀπαγγελίᾳ ἀπηγγέλη μοι ὅσα πεποίηκας μετὰ τῆς πενθερᾶς σου με- H τὰ τὸ ἀποθανεῖν τὸν ἄνδρα σου· καὶ πῶς κατέλιπες τὸν πατέρα σου καὶ τὴν μητέρα σου, καὶ τὴν γῆν τῆς γενέσεώς σου, καὶ ἐπορεύθης πρὸς λαὸν ὃν οὐκ ᾔδεις ἀπ' ἐχθὲς καὶ τρίτης.

** ΙΩΣΗΠΟΥ. Τῆς περὶ τὴν πενθερὰν εὐνοίας ἅμα καὶ μνήμης τοῦ παιδὸς αὐτῆς ᾧ συνῴκησεν ἀσπασάμενος, καὶ εὐξάμενος αὐτῇ πεῖραν ἀγαθῶν, καλαμᾶσθαι μὲν αὐτὴν οὐκ ἠξίωσε, θερίζειν δὲ πᾶν ὅ, τι B καὶ δύναιτο, καὶ λαμβάνειν ἐπιτρέπει, προστάξας τῷ ἀγροκόμῳ μηδὲν αὐτὴν διακωλύειν λαμβάνειν, ἄριστόν τε παρέχειν αὐτῇ καὶ ποτὸν, ὁπότε σιτίζοι τοὺς θερίζοντας.

ΑΔΗΛΟΥ. Καὶ πῶς κατέλιπες τὸν πατέρα σου, τουτέστι τὸν Διάβολον, καὶ πᾶσαν αὐτοῦ τὴν συγγένειαν· διά τοι τὸ ἀκοῦσαι παρὰ τοῦ ψαλμῳδοῦ· ἄκουσον θύγατερ, καὶ ἴδε, καὶ κλῖνον τὸ οὖς σου, καὶ τὰ ἑξῆς. (Ψαλ. 44. 10.)

ιβ. Ἀποτίσαι Κύριος τὴν ἐργα- Γ σίαν σου· καὶ γένοιτο ὁ μισθός σου πλήρης παρὰ Κυρίου Θεοῦ Ἰσραὴλ, πρὸς ὃν ἦλθες πεποιθέναι ὑπὸ τὰς πτέρυγας αὐτοῦ.

ιγ. Ἡ δὲ εἶπεν, εὕροιμι χάριν ἐν ὀφθαλμοῖς σου Κύριε, ὅτι παρεκάλεσάς με, καὶ ὅτι ἐλάλησας ἐπὶ καρδίαν τῆς δούλης σου, καὶ ἰδοὺ ἐγὼ ἔσο- Δ μαι ὡς μία τῶν παιδισκῶν σου.

ΑΔΗΛΟΥ. Παιδίσκας τοῦ νοητοῦ Βοὸζ νοήσεις τὰς τῶν δικαίων ψυχὰς, Πατριαρχῶν τε καὶ Προφητῶν.

ιδ. Καὶ εἶπεν αὐτῇ Βοὸζ, ἤδη ὥρα τοῦ φαγεῖν, πρόσελθε καὶ φάγεσαι ὧδε τὸν ἄρτον, καὶ βάψεις τὸν ψωμόν σου ἐν τῷ ὄξει. καὶ ἐκάθισε Ῥοὺθ ἐκ πλαγίων τῶν θεριζόντων· καὶ ἐβούνι- E σεν αὐτῇ Βοὸζ ἄλφιτον, καὶ ἔφαγε καὶ ἐνεπλήσθη καὶ κατέλιπε,

ΑΔΗΛΟΥ. Δίδοται αὐτῇ θεία τροφὴ συμπαθούσῃ Χριστῷ. τοῦτο γὰρ σημαίνει τὸ ὄξος, ὃ δεδώκασιν οἱ Ἰουδαῖοι ἐπὶ τοῦ σταυροῦ τῷ Κυρίῳ.

ιε. Καὶ ἀνέστη τοῦ συλλέγειν. καὶ ἐνετείλατο Βοὸζ τοῖς παιδαρίοις αὐτοῦ, λέγων, καί γε ἀναμέσον τῶν δραγ- Z μάτων συλλεγέτω, καὶ μὴ καταισχύ-
ιϛ. νητε αὐτήν. Καὶ βαστάζοντες βαστάξατε αὐτὴν, καί γε παραβάλλοντες παραβαλεῖτε αὐτῇ ἐκ τῶν βεβουνισμένων, καὶ ἄφετε αὐτὴν, καὶ φάγεται, καὶ συλλέξει, καὶ οὐκ ἐπιτιμήσετε αὐτῇ.

ΑΔΗΛΟΥ. Ἐντρυφᾷ γὰρ τοῖς ἀποστολικοῖς διδάγμασιν ἡ Ἐκκλησία, οὐκ ἔτι ἐκ H πλαγίων προσηλυτεύουσα τῷ νόμῳ, ἀλλὰ ἀναμέσον τῶν δραγμάτων. (4) ὅθεν καὶ διαβα-

(1) Οὐκ ἤκουσας. αἱ αὐτ.
(2) Τοῖς ἡμετέροις. αὕτη, κτ. ἐν τῇ 3. εἰς τὸ κατὰ Ματθ. ὁμιλ. τῇ ἐν σελ. 38. τοῦ 7. Τόμ. τῆς τοῦ Μοντφαυκ. ἐκδόσ. (3) Ἀλλ' ὅμως ἰδ. αὐτ. καταλλήλως. (4) Δογμάτων. ὁ Ἀλεξάν. κώδ.

διαβασάζεται. καὶ ἐξ ὧν ἤδη ἐβένισαν οἱ θερίζοντες, κελεύονται παραβάλλειν· ὅπως καὶ τὰ ἀποστολικὰ καὶ εὐαγγελικὰ διδάγματα ἤτοι παιδεύματα. (1) ἀλλὰ καὶ ἑτέροις ἡμᾶς μεταδιδόναι ποιῶσι συλλέγοντες.

ιζ. Καὶ συνέλεξεν ἐν τῷ ἀγρῷ ἕως ἑσπέρας, καὶ ἐράβδισεν ἃ συνέλεξε,

ιη. καὶ ἐγενήθη ὡς οἲφι κριθῶν. Καὶ ἦρε καὶ εἰσῆλθεν εἰς τὴν πόλιν. καὶ εἶδεν ἡ πενθερὰ αὐτῆς ἃ συνέλεξε· καὶ ἐξενέγκασα Ῥοὺθ ἔδωκεν αὐτῇ ἃ κατέλιπεν ἐξ ὧν ἐνεπλήσθη.

** ΙΩΣΗΠΟΥ. Ῥούθη ἄλφιτα λαβοῦσα παρ' αὐτοῦ, ἐφύλαξε τῇ ἑκυρᾷ, καὶ παρῆν ὀψὲ κομίζουσα μετὰ τῶν σταχύων.

ιθ. Καὶ εἶπεν αὐτῇ ἡ πενθερὰ αὐτῆς, ποῦ συνέλεξας σήμερον καὶ ποῦ ἐποίησας; εἴη ὁ ἐπιγνούς σε εὐλογημένος. καὶ ἀπήγγειλε Ῥοὺθ τῇ πενθερᾷ αὐτῆς ποῦ ἐποίησε, καὶ εἶπε, τὸ ὄνομα τοῦ ἀνδρὸς μεθ' οὗ ἐποίησα σήμερον, Βοόζ.

ΑΝΕΠΙΓΡΑΦΟΥ. Ἐκ τῆς Ἐκκλησίας ἐπιστρέφει καὶ ἡ Συναγωγή. θαυμάσασα γὰρ τὸν συναχθέντα αὐτῇ καρπὸν νοητόν, εὐλογεῖ τὸν ἐπιγνόντα αὐτήν.

» ΑΔΗΛΟΥ. Καὶ ἀπήγγειλε. Διδάσκαλος δὲ τῆς Συναγωγῆς ἡ Ἐκκλησία γίνεται, πάντα αὐτῇ ὑποτιθεμένη κατὰ ἀλήθειαν μετὰ ἀκριβείας.

κ. Εἶπε δὲ Νοομμεὶν (2) τῇ νύμφῃ αὐτῆς, εὐλογητός ἐστι τῷ Κυρίῳ, ὅτι οὐκ ἐγκατέλιπε τὸ ἔλεος αὐτοῦ μετὰ τῶν ζώντων καὶ μετὰ τῶν τεθνηκότων.

A καὶ εἶπεν αὐτῇ Νοομμείν, ἐγγίζει ἡμῖν ὁ ἀνήρ, ἐκ τῶν ἀγχιστευόντων ἡμῖν ἐστί.

ΑΔΗΛΟΥ. Ἀνακηρύττει σαφῶς καὶ τὸ ὄνομα τοῦ εὐεργέτου καὶ σωτῆρος, δι' οὗ καὶ ἐπιγνοῦσα τὸν Χριστόν, ἅτε τὰ περὶ αὐτοῦ ἐκ τοῦ νόμου μαθοῦσα, φανερῶς αὐτὸν λέγει τὸν ζῶντας καὶ νεκροὺς ἐλεήσαντα. Χρι- Ῥωμ. 14. 9
» στὸς γὰρ ἀπέθανε καὶ ἀνέστη, ἵνα καὶ ζών-
» των καὶ νεκρῶν κυριεύσῃ.

B» ΑΔΗΛΟΥ. Ἐγγίζει ἡμῖν ὁ ἀνήρ. Ἐξ Ἰουδαίων γὰρ ὁ Χριστὸς τὸ κατὰ σάρκα.

κα. Καὶ εἶπε Ῥοὺθ πρὸς τὴν πενθερὰν αὐτῆς, καί γε ἔτι (3) εἶπε πρός με, μετὰ τῶν κορασίων τῶν ἐμῶν προσκολλήθητι ἕως ἂν τελέσωσι τὸν ἄμητον ὅλον, ὅσος (4) ἂν ὑπάρχῃ μοι.

κβ. Καὶ εἶπε Νοομμεὶν πρὸς Ῥοὺθ τὴν νύμφην αὐτῆς, ἀγαθὸν θύγατερ, ὅτι ἐπορεύθης μετὰ τῶν κορασίων αὐτοῦ, (5) οὐκ ἀπαντήσονταί σοι
Γ ἐν ἀγρῷ ἑτέρῳ.

ΑΔΗΛΟΥ. Ἡ γὰρ τῶν ἁγίων συμφωνία προξενεῖ τοῖς συμφωνοῦσιν ἀγαθά, διὰ τὸ μὴ εὑρίσκεσθαι τοὺς συμφωνοῦντας αὐτοῖς ἐν ἑτεροδοξίᾳ.

κγ. Καὶ προσεκολλήθη Ῥοὺθ τοῖς κορασίοις τοῦ Βοὸζ τοῦ συλλέγειν, ἕως
Δ τοῦ συντελέσαι τὸν θερισμὸν τῶν κριθῶν καὶ τῶν πυρῶν.

** ΙΩΣΗΠΟΥ. Δηλωσάσης ἐκείνης, ὡς συγγενής ἐστι, καὶ τάχα ἂν δι' εὐσέβειαν προνοήσειεν αὐτῶν, ἐξῄει πάλιν ταῖς ἐχομέναις ἡμέραις ἐπὶ καλάμης συλλογὴν σὺν ταῖς τοῦ Βοάζου θεραπαινίσι.

ΚΕΦ. Γ.

α. Καὶ ἐκάθισε μετὰ τῆς πενθερᾶς αὐτῆς. εἶπε δὲ αὐτῇ Νοομμεὶν ἡ πενθερὰ αὐτῆς, θύγατερ, οὐ μὴ ζητήσω σοι

β. ἀνάπαυσιν, ἵνα εὖ γένηταί σοι; Καὶ νῦν οὐχὶ Βοὸζ γνώριμος ἡμῶν, οὗ ἦς μετὰ τῶν κορασίων αὐτοῦ; ἰδοὺ αὐτὸς λικμᾷ τὸν ἅλωνα τῶν κριθῶν ταύτῃ

γ. τῇ νυκτί. Σὺ δὲ λούσῃ, καὶ ἀλείψῃ, καὶ περιθήσεις τὸν ἱματισμόν σου ἐπὶ σεαυτῇ, καὶ ἀναβήσῃ ἐπὶ τὸν ἅλωνα. μὴ γνωρισθῇς τῷ ἀνδρὶ ἕως τοῦ συντελέσαι αὐτὸν τοῦ φαγεῖν καὶ πιεῖν.

ΑΔΗΛΟΥ. Σκόπει ὅπως ἡ παλαιὰ κακοπαθεῖ, καὶ τῇ Ἐκκλησίᾳ ἀνάπαυσιν δωρεῖται, ἵνα αὐτῇ συγγένηται. ποία δέ ἐστι τῆς Ἐκκλησίας ἡ ἀνάπαυσις; ἢ τὸ λούσασθαι αὐτήν, καὶ καθαρθῆναι δηλονότι διὰ τοῦ ἁγίου βαπτίσματος, καὶ μὴν καὶ χρισθῆναι τῷ ἁγίῳ ἐλαίῳ· ὅπερ ἐστὶ τῆς ἀγαλλιάσεως σύμβολον· καὶ μὴν καὶ τὸν ἱματισμὸν φορέσαι τὸν νοητόν.

» ΑΔΗΛΟΥ. Μὴ γνωρισθῇς τῷ ἀνδρί. Οὐ γὰρ πρότερον ἐγνώσθη, καὶ συνήφθη Χριστῷ
Z ἡ Ἐκκλησία, πρὶν ἔφαγε τὸ Πάσχα μετὰ τῶν μαθητῶν.

δ. Καὶ ἔσται ἐν τῷ κοιμηθῆναι αὐτόν, καὶ γνώσῃ τὸν τόπον οὗ κοιμᾶται ἐκεῖ, καὶ ἐλεύσῃ καὶ ἀποκαλύψεις τὰ πρὸς ποδῶν αὐτοῦ, καὶ κοιμηθήσῃ, καὶ αὐτὸς ἀπαγγελεῖ σοι ἃ ποιήσεις.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπιμέμφονταί τινες (6) τῇ Νοομμεὶν καὶ τῇ Ῥούθ, τῇ μὲν ὡς

(1) Ἐννοητέον τό, παραβάλλωνται. (2) Τῇ μέν, Νοομμείν· τῇ δέ, Νοομείν, καὶ ἀλλαχοῦ, Νaεμείν, γράφ. οἱ κώδ. (3) Ὅτι. αἱ εἰρημ. ἐκδόσ. (4) Ὅς. αἱ αὐτ. (5) Καὶ οὐκ. αἱ αὐτ.

(6) Ἡ Νααμὶς τεχνᾶται παρακατακλῖναι τὴν Ῥούθην αὐτῷ· καὶ γὰρ ἔσεσθαι χρηστὸν αὐτοῖς ὁμιλήσαντα τῇ παιδί· καὶ πέμπει τὴν κόρην ὑπνωσομένην αὐτοῦ παρὰ τοῖς ποσίν. ἡ δέ, πρὸς οὐδὲν γὰρ ἀντιλέγειν τῶν ὑπὸ τῆς ἑκυρᾶς κελευομένων ὅσιον ἡγεῖτο, παραγίνεται. ταῦτα ὁ Ἰώσηπ. ἐν βιβλ. 5. κεφ. 9. περὶ Ἰουδ. ἀρχ.

ὡς ὑποθεμένη, τῇ δὲ ὡς ὑπακουσάσῃ τε καὶ A
πραξάσῃ, καὶ παρὰ τοὺς πόδας καθευδη-
σάσῃ τοῦ Βοόζ. Ἀκούσασα ἡ Ῥοὺθ εἰρηκυίας
Ῥούθ. 2. 20, τῆς πενθερᾶς, ὅτι ἐγγίζει ἡμῖν ὁ ἀνήρ. ἐκ
21. » τῶν ἀγχιστευόντων ἡμῖν ἐστί. τῆς πολλῆς
ἀνεμνήσθη θεραπείας, καὶ ᾠήθη τὸν Βοόζ,
ὡς τοῦ ἀνδρὸς συγγενῆ, συναφθῆναι αὐτῇ
κατὰ τὸν νόμον ἐθέλειν, ὥστε τοῦ τετελευ-
τηκότος φυλάξαι τὴν μνήμην. τοῦτο γὰρ
» δηλοῖ τὰ ἑξῆς. εἶπε γάρ φησι Ῥοὺθ πρὸς
» τὴν πενθερὰν αὐτῆς, καί γε ὅτι εἶπε μετὰ B
» τῶν κορασίων μου κολλήθητι ἕως ἂν τελέ-
» σωσιν ὅλον τὸν ἀμητὸν τὸν ὑπάρχοντά μοι.
τούτων ἀκούσασα τῶν λόγων ἡ Νοεμμείν,
ὑποτίθεται αὐτῇ παρὰ τοὺς πόδας καθευ-
δῆσαι τοῦ Βοόζ. οὐχ ἵνα τὴν ὥραν ἀποδῶται.
τοὐναντίον γὰρ δηλοῖ τὰ τῆς εἰσηγήσεως
» ῥήματα. ἐλεύσῃ γάρ φησι, καὶ ἀποκαλύ-
» ψεις τὰ πρὸς ποδῶν αὐτοῦ, καὶ κοιμηθήσῃ,
» καὶ αὐτὸς ἀπαγγελεῖ σοι ἃ ποιήσεις. οὕτως
ἐθάῤῥει τῇ τοῦ ἀνδρὸς σωφροσύνῃ καὶ δικαιο- Γ
σύνῃ. ἐβεβαίωσαν δὲ τοὺς λόγους αἱ πράξεις.
κατὰ γὰρ τὰς ὑποθημοσύνας τῆς πενθε-
ρᾶς, πάντων ὕπνῳ κατεχομένων, προσε-
κλίθη παρὰ τοὺς πόδας τοῦ Βοὸζ ἡ Ῥούθ·
ὁ δὲ ἤρετο τίς εἶ. ἡ δὲ τῆς τοῦ τετελευτη-
κότος συγγενείας ἀνέμνησεν. ὁ δὲ τὸ μὲν
πραχθὲν ἐπῄνεσε, τὴν δὲ σωφροσύνην οὐ
προὔδωκεν· ἀλλὰ τῷ νόμῳ τὴν γαμικὴν διε-
» τήρησεν ὁμιλίαν. εὐλογημένη γὰρ ἔφη σὺ
» τῷ Κυρίῳ Θεῷ, θύγατερ, ὅτι ἠγάθυνας Δ
» τὸν ἔλεόν σου τὸν ἔσχατον ὑπὲρ τὸν πρῶ-
» τον, τοῦ μὴ πορευθῆναί σε ὀπίσω νεανιῶν,
» ἤτοι πτωχῶν ἤτοι πλουσίων.
» ΑΔΗΛΟΥ. Καὶ γνώσῃ τὸν τόπον οὗ κοι-
μᾶται. Ἔγνωμεν γὰρ, ὅτι ὑπὲρ νεκρῶν
καὶ ζώντων ἀπέθανεν ὁ Χριστός.
» ΑΔΗΛΟΥ. Καὶ ἀποκαλύψεις. ἀντὶ τοῦ,
λάβοις γνῶσιν καὶ ἀποκάλυψιν τῆς ἐξ οὐρα-
νοῦ αὐτοῦ καθόδου.
» ΑΔΗΛΟΥ. Καὶ αὐτὸς ἀπαγγελεῖ σοι. E
Δέδωκε γὰρ τῇ Ἐκκλησίᾳ τὴν νέαν Δια-
θήκην.

ε. Εἶπε δὲ Ῥοὺθ πρὸς αὐτὴν, πάν-
ϛ. τα ὅσα ἂν εἴπῃς, ποιήσω. Καὶ κα-
τέβη εἰς τὸν ἅλω, καὶ ἐποίησε κατὰ
πάντα, ὅσα ἐνετείλατο αὐτῇ ἡ πεν-
θερὰ αὐτῆς.

ζ. Καὶ ἔφαγε Βοὸζ καὶ ἔπιε, καὶ
ἠγαθύνθη ἡ καρδία αὐτοῦ, καὶ ἦλθε
τοῦ κοιμηθῆναι ἐν μερίδι τῆς στοιβῆς. ἡ
δὲ ἦλθε κρυφῇ, καὶ ἀπεκάλυψε τὰ
πρὸς ποδῶν αὐτοῦ, καὶ ἐκοιμήθη ἐκεῖ.

ΑΔΗΛΟΥ. Καὶ ποῦ ἐπαναπαύσεται ὁ
Χριστός; Ἐν τοῖς στοιβαζομένοις. δι᾽ ὧν ἡ
ἐξ ἐθνῶν Ἐκκλησία ἐν τῷ Ἄσματι τῶν
Ἀσμάτων ζητοῦσα τὴν ἀνάπαυσιν, φησί·
Ἀσμ. 2. 5. » στοιβάσατέ με ἐν βίβλοις. (1)

η. Ἐγένετο δὲ ἐν τῷ μεσονυκτίῳ H
καὶ ἐξέστη ὁ ἀνὴρ, καὶ ἐταράχθη, καὶ
ἰδοὺ γυνὴ κοιμᾶται πρὸς ποδῶν αὐτοῦ.

A θ. Εἶπε δὲ, τίς εἶ σύ; ἡ δὲ εἶπεν,
ἐγώ εἰμι Ῥοὺθ ἡ δούλη σου, καὶ περιβα-
λεῖς τὸ πτερύγιόν σου ἐπὶ τὴν δούλην
σου, ὅτι ἀγχιστεὺς εἶ σύ.

» ΑΔΗΛΟΥ. Τὸ πτερύγιόν σου, τὴν δοθεῖ-
σαν διὰ Χριστοῦ χάριν, δι᾽ ἧς ἐσκεπάσθημεν,
ἀποδυθέντες διὰ τοῦ Ἀδάμ. ἐγένετο γὰρ
καὶ γυμνὸς καὶ φυγάς.
» ΑΔΗΛΟΥ. Ὅτι ἀγχιστεὺς εἶ σύ. Ἀντὶ
B τοῦ, ὅτι ἄνθρωπος γέγονε, μετασχὼν αἵμα-
τος καὶ σαρκός. ἀγχιστεὺς γὰρ ὁ ἐγγύτα-
τος τῷ γένει.

ι. Καὶ εἶπε Βοὸζ, εὐλογημένη σὺ τῷ
Κυρίῳ Θεῷ, θύγατερ, ὅτι ἠγάθυνας
τὸ ἔλεός σου τὸ ἔσχατον ὑπὲρ τὸ πρῶ-
τον, τοῦ μὴ πορευθῆναί σε ὀπίσω νεα-
νιῶν, ἤτοι (2) πτωχὸς ἤτοι πλούσιος.

* ΘΕΟΔΩΡΙΤΟΥ. Δεδήλωκας, φησὶ,
Γ δι᾽ ὧν ἔπραξας, ὡς οὐκ ἐπιθυμίᾳ δουλεύσα-
σα, τοῦτο δέδρακας. ἢ γὰρ ἂν, πρὸς νέαν
ἄγοντας τὴν ἡλικίαν ἐφοίτησας, οὐ πλοῦ-
τον, οὐ πενίαν, ἀλλὰ μόνην λογιζομένη τῆς
ἡδονῆς τὴν ἀπόλαυσιν. ἀλλ᾽ ἐλήλυθας
πρὸς ἄνδρα πατρός σοι τάξιν πληροῦντα.
» τοῦτο γὰρ σημαίνει τὸ, θύγατερ.
ΑΔΗΛΟΥ. Εὐλογιῶν μεταλαμβάνει ἡ
Ἐκκλησία εὑρισκομένη γνησία, καὶ αὐτῷ
μόνῳ προσμείνασα τῷ Χριστῷ.
Δ ΑΔΗΛΟΥ. Πρῶτον δὲ ἀγαθωσύνην λέ-
γων, τὸ μὴ ἐκκλῖναι τὴν Ῥοὺθ εἰς ἕτερον
ἀγρὸν, ἀλλ᾽ εἰς τὸν ἑαυτοῦ, οἷα ἀγχιστέως.
δεύτερον ἀγαθὸν τὸ μὴ ἀναῤῥιπισθῆναι ὑπὸ
ἐπιθυμίας νέου, εἴτε πτωχοῦ, εἴτε πλουσίου,
ἀλλ᾽ εἰς τὸ τῆς συγγενείας ἐλθεῖν δίκαιον·
οὐκ οἴστρῳ δουλεύσασα, ἀλλ᾽ εἰ καὶ ἀλλόφυ-
λος ἦν, τὸν νόμον φυλάξασα. τὸ πρῶτον
τέως Ἐκκλησίας ἔλεος, τὸ προσελθεῖν τῇ
εὐσεβείᾳ, τοῦ εἰδωλολατρεῖν ἀποστᾶσα· τὸ
E ἔσχατον, τὸ μὴ τῇ κυβίᾳ (3) τῶν διδασκά-
λων ἀκολουθῆσαι, κἂν ἐν πολλοῖς, κἂν ἐν
ὀλίγοις ἀπατῶσι ῥήμασι. πολλοὶ γὰρ οἱ
ἀνόσιοι αἱρετικοὶ, οἱ τῆς ὑγιοῦς διδασκαλίας
ἔξω φέρειν τοὺς ἁπλουστέρους ἐπιχειροῦσι.

ια. Καὶ νῦν θύγατερ μὴ φοβοῦ,
πάντα ὅσα ἂν εἴπῃς ποιήσω. οἶδε
γὰρ πᾶσα φυλὴ λαοῦ μου ὅτι γυνὴ
ιβ. δυνάμεως εἶ σύ. Καὶ ὅτι ἀληθὴς
Z ἀγχιστεὺς ἐγώ εἰμι. καί γε ἐστὶν ἀγχι-
στεὺς ἐγγίων ὑπὲρ ἐμέ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ δὶς δὲ αὐτὴν
» οὕτω κέκληκε. καὶ νῦν θύγατερ μὴ φοβοῦ,
» πάντα ὅσα ἂν εἴπῃς ποιήσω σοι. οἶδε γὰρ
» πᾶσα φυλὴ λαοῦ μου, ὅτι γυνὴ δυνάμεως
» εἶ σύ. καὶ ὅτι ἀληθῶς ἀγχιστεὺς ἐγώ εἰμι.
οὐδείς μοι, φησὶν, ἐπιμέμψηται. σύ τε γὰρ
ἐπαινετὴ παρὰ πάντων, κἀγὼ διὰ τὴν
H συγγένειαν, οὐ δι᾽ ἀκολασίαν τὸν γάμον
ποιήσομαι.

ΑΔΗΛΟΥ. Οὐ γὰρ ἠράσθη τῆς Ῥοὺθ,
οὔτε τὰ περὶ τῆς γαμικῆς ὁμιλίας εὐθὺς
ἐκινη-

(1) Μήλοις. αἱ εἰρημ. ἐκδόσ. (2) Εἴτοι πτωχὸς εἴτοι. αἱ αὐτ. (3) Κακίᾳ. ὁ Ἀλεξάν. κώδ.

ἐκίνησαν· ἀλλὰ τῷ ἀγχιστεῖ μᾶλλον, ᾧ προ- A
σῆκον ἦν ὁ γάμος τῆς Ῥοὺθ, διελέχθη. κἀ-
κείνου παραιτησαμένου, τότε νόμῳ τὴν Ῥοὺθ
ἔλαβεν· οὐχὶ ἐπιθυμίᾳ ἡττηθεὶς, ἀλλὰ τῆς
εὐσεβοῦς προθυμίας τὴν Ῥοὺθ ἀποδεξάμε-
νος. εἰ δὲ ὑπὸ νόμον ὄντες· ὅπου τὸ τῆς
παρθενίας τέλειον οὐκ ἦν, τὸ δὲ μακάριον,
μόνος ὁ γάμος καὶ ἡ παιδοποιΐα· τοιαῦτα
ἐποίουν καὶ ἔλεγον, οὐ δεῖ θαυμάζειν. παι-
δαγωγὸς γὰρ ὁ νόμος, ἀπὸ τῶν ὁρατῶν
ἐν οἷς ἐστοιχείου τοὺς ἀνθρώπους, ἠρέμα με- B
τάγων εἰς τὰ πνευματικά.

ιγ. Αὐλίσθητι τὴν νύκτα, καὶ ἔσται (1)
πρωῒ ἐὰν ἀγχιστεύσῃ σε, ἀγαθόν· ἀγ-
χιστευέτω· ἐὰν δὲ μὴ βούληται ἀγχι-
στεῦσαί σε, ἀγχιστεύσω σε ἐγώ· ζῇ Κύ-
ριος. κοιμήθητι ἕως τὸ πρωΐ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ δὲ ἐστιν ἕτε-
ρος πλησιέστερος συγγενὴς, ἐκείνῳ με δεῖ
πρότερον διαλεχθῆναι, ἵνα εἰ μὲν ἕλοιτο, Γ
γήμῃ κατὰ τὸν νόμον· εἰ δὲ μὴ πείθοιτο
κατὰ τὸν νόμον, ἐγὼ δή σοι τότε τὸν γα-
μικὸν ἐπιθήσω ζυγόν. τοσαύτη ἡ τοῦ ἀν-
δρὸς ἀρετὴ, ὅτι κόρης νέας εὐπρεποῦς νύ-
κτωρ πρὸς αὐτὸν φοιτησάσης, τὴν σωφρο-
σύνην ἐφύλαξε, καὶ τῷ νόμῳ τὸ πρᾶγμα
τετήρηκε, καὶ οὐδὲ τῷ γάμῳ παρὰ τὸν νόμον
προσέδραμεν, ἀλλὰ τῷ πλησιαιτέρῳ τοὺς
περὶ τοῦ γάμου προσενήνοχε λόγους. εἶτα
ἐκείνου παραιτησαμένου τὸν γάμον, τότε Δ
λοιπὸν τῇ ἀξιεπαίνῳ γυναικὶ συνηρμόσθη.

ΑΔΗΛΟΥ. Ἤδει γὰρ ὁ ἐν τύπῳ Βοὸζ
διὰ τοῦ πνεύματος, ὅτι ὁ ἀληθινὸς ἀγχι-
στεὺς, τουτέστι Χριστὸς ἥξει, τὴν ὄντως ἀνά-
ληψιν ἡμῶν ποιούμενος, τῆς νοητῆς ἡμέρας
ἐλθούσης καὶ ἀνατειλάσης. ἰστέον δὲ, ὅτι
πολλοὶ μὴ προπαιδαγωγηθέντες διὰ νόμου,
εἰσῆλθον εἰς τὸ μυστήριον, οἷον οἱ ἐξ ἐθνῶν·
πολλοὶ δὲ καὶ προπαιδαγωγηθέντες, ὡς οἱ

A ἐκ περιτομῆς. τούτους ἐγγὺς ὁ νόμος φέρει
Χριστοῦ, διὰ σκιῶν προαναφωνῶν αὐτοῖς τὸ
μυστήριον καὶ προανατυπῶν. διὸ καὶ ἔλεγεν
„ ὁ Χριστὸς τοῖς ἐξ Ἰουδαίων· εἰ ἐπιστεύετε Ἰωάν. 5. 46.
„ Μωσῇ, ἐπιστεύετε ἂν ἐμοί. περὶ γὰρ ἐμοῦ
„ ἐκεῖνος ἔγραψε.

ιδ. Καὶ ἐκοιμήθη πρὸς ποδῶν αὐ-
τοῦ ἕως πρωΐ. ἡ δὲ ἀνέστη τὸ πρωῒ πρὸ
τοῦ ἐπιγνῶναι ἄνδρα τὸν πλησίον αὐ-
B τοῦ. καὶ εἶπε Βοὸζ, μὴ γνωσθήτω, ὅτι
ἐλήλυθε γυνὴ εἰς τὸν ἅλω.

ιε. Καὶ εἶπεν αὐτῇ, φέρε τὸ περί-
ζωμα τὸ ἐπάνω σου, καὶ κράτησον
αὐτό. καὶ ἐμέτρησεν ἓξ κριθῶν, καὶ
ἐπέθηκεν ἐπ' αὐτὴν, καὶ εἰσῆλθεν εἰς
τὴν πόλιν.

ΑΔΗΛΟΥ. Περιέζωσε τὴν Ἐκκλησίαν
ἡ Χριστοῦ χάρις, καὶ περιέβαλεν· ἥτις καὶ
Γ αἰτία γίνεται μισθοῦ πνευματικοῦ· ὃν λαβὼν
ὁ ἄνθρωπος, εἰς τὴν ἄνω πόλιν εἰσέρχε-
„ ται, ὅπου πρόδρομος ὑπὲρ ἡμῶν εἰσῆλθε Ἐβρ. 6. 20.
„ Χριστός.

ιϛ. Καὶ Ῥοὺθ εἰσῆλθε πρὸς τὴν
πενθερὰν αὐτῆς. ἡ δὲ εἶπε, τί ἐστι
θύγατερ; καὶ εἶπεν αὐτῇ πάντα ὅσα
ιζ. ἐποίησεν αὐτῇ ὁ ἀνήρ. Καὶ εἶπεν αὐ-
τῇ, τὰ ἓξ τῶν κριθῶν ταῦτα ἔδωκέ
Δ μοι, ὅτι εἶπε πρός με, μὴ εἰσέλθῃς
κενὴ πρὸς τὴν πενθεράν σου.

ιη. Ἡ δὲ εἶπε, κάθισον θύγατερ,
ἕως τοῦ ἐπιγνῶναί σε πῶς οὐ πεσεῖται
τὸ ῥῆμα· οὐ γὰρ μὴ ἡσυχάσῃ ὁ ἀνὴρ
ἕως οὗ τελέσῃ τὸ ῥῆμα σήμερον.

ΑΔΗΛΟΥ. Ἀληθεῖς γὰρ ἐπαγγελίας
„ δέδωκεν ὁ Χριστὸς, εἰπών· καθίσατε εἰς Ἰε- Λουκ. 24. 49.
„ ρουσαλὴμ, ἕως οὗ ἐνδύσησθε δύναμιν ἐξ ὕψους.

ΚΕΦ. Δ.

α. Καὶ Βοὸζ ἀνέβη ἐπὶ τὴν πύ-
λην, καὶ ἐκάθισεν ἐκεῖ,
καὶ ἰδοὺ ὁ ἀγχιστεὺς παρε-
πορεύετο, ὃν εἶπε Βοόζ. καὶ εἶπε πρὸς
αὐτὸν Βοὸζ, ἐκκλίνας κάθισον ὧδε
κρύφιε. (2) καὶ ἐξέκλινε καὶ ἐκάθισε.
β. Καὶ ἔλαβε Βοὸζ δέκα ἄνδρας ἀπὸ
τῶν πρεσβυτέρων τῆς πόλεως, καὶ
εἶπε, καθίσατε ὧδε. καὶ ἐκάθισαν.

γ. Καὶ εἶπε Βοὸζ τῷ ἀγχιστεῖ, τὴν
μερίδα τοῦ ἀγροῦ ἥ ἐστι τοῦ ἀδελφοῦ
ἡμῶν τοῦ Ἀιλιμέλεχ, ἣ δέδοται Νοεμ-
μὲν τῇ ἐπιστρεφούσῃ ἐξ ἀγροῦ Μωὰβ,
δ. Κἀγὼ εἶπα, ἀποκαλύψω τὸ οὖς σου
λέγων, κτῆσαι ἐναντίον τῶν καθημέ-
νων, καὶ ἐναντίον τῶν πρεσβυτέρων
τοῦ λαοῦ μου. εἰ ἀγχιστεύεις, ἀγχίστευε·

εἰ δὲ μὴ ἀγχιστεύεις, ἀνάγγειλόν μοι,
καὶ γνώσομαι, ὅτι οὐκ ἔστι πάρεξ σοῦ
τοῦ ἀγχιστεῦσαι, καὶ ἐγώ εἰμι μετὰ σέ.
ε. ὁ δὲ εἶπεν, ἐγώ εἰμι, ἀγχιστεύσω. Καὶ
εἶπε Βοὸζ, ἐν ἡμέρᾳ τοῦ κτήσασθαί σε
τὸν ἀγρὸν ἐκ χειρὸς Νοομμὲν καὶ πα-
Z ρὰ Ῥοὺθ τῆς Μωαβίτιδος γυναικὸς
τοῦ τεθνηκότος ἐπὶ τῆς κληρονομίας
αὐτοῦ, καὶ αὐτὴν κτήσασθαί σε δεῖ, ὥστε
ἀναστῆσαι τὸ ὄνομα τοῦ τεθνηκότος ἐπὶ
τῆς κληρονομίας αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ἐλιμελέχου, φησὶ,
καὶ τῶν υἱῶν αὐτοῦ κλῆρον κρατεῖς; ὁμολο-
γήσαντος δὲ, συγχωρούντων τῶν νόμων κα-
τὰ ἀγχιστείαν· οὐκ οὖν, φησὶν ὁ Βόαζος, ἐξ
H ἡμισείας δεῖ μεμνῆσθαι τῶν νόμων, ἀλλὰ
πάντα ποιεῖν κατ' αὐτούς. Μάλλωνος γὰρ
δεῦρ' ἥκει γύναιον· ὅπερ, εἰ θέλεις τῶν ἀγ-
ρῶν κρατεῖν, γαμεῖν σε δεῖ κατὰ τοὺς νόμους.

ΘΕΟΔΩ-

(1) Τὸ πρ. ἐν εἰρημ. ἐκδόσ.

(2) Κρυφῇ. ἐν ταῖς σημειώσ. τῆς ἐν Φρανεκ. ἐκδόσ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀξιάγαστα δὲ αὐτοῦ καὶ τὰ πρὸς ἐκεῖνον ῥήματα. οὐ γὰρ πρώτους αὐτῷ τοὺς περὶ τὸν γάμον προσενήνοχε λόγους, ἀλλὰ περὶ τῆς τῶν ἀγρῶν κτήσεως διελέχθη. ἔπειτα ἐκείνου ἀσπαστῶς τὸ συμβόλαιον δεξαμένου, τὸν περὶ τοῦ γάμου προσέθηκε λόγον· εἰρηκὼς δίκαιον εἶναι τὸν τοῦ τετελευτηκότος κτώμενον τοὺς ἀγροὺς, γῆμαι καὶ τὴν γυναῖκα, καὶ φυλάξαι τῇ παιδοποιΐᾳ τοῦ κατοιχομένου τὴν μνήμην.

ϛ. Καὶ εἶπεν ὁ ἀγχιστεὺς, οὐ δυνήσομαι ἀγχιστεῦσαι ἐμαυτῷ, μήποτε διαφθείρω τὴν κληρονομίαν μου, ἀγχίστευσον σεαυτῷ σὺ τὴν ἀγχιστείαν μου, ὅτι οὐ δυνήσομαι ἀγχιστεῦσαι.

** ΙΩΣΗΠΟΥ. Βοάζῳ καὶ τοῦ κλήρου καὶ τῆς γυναικὸς παραχωρεῖ, συγγενεῖ μὲν ὄντι καὶ αὐτῷ τῶν τετελευτηκότων· εἶναι δὲ καὶ γυναῖκα λέγων αὐτῷ, καὶ παῖδας ἤδη.

» ΑΔΗΛΟΥ. Οὐ δυνήσομαι ἀγχιστεῦσαι. Οὐ δυνάμενος ὁ νόμος σῶσαι τὸν ἄνθρωπον, καὶ φοβούμενος μὴ διαῤῥῇ τὸ γένος, ἀξιοῖ τὸν ἐξ οὐρανοῦ λόγον πλησιάσαι διὰ τῆς σαρκὸς, ἧς μετέσχε.

ζ. Καὶ τοῦτο τὸ δικαίωμα ἔμπροσθεν ἐν τῷ Ἰσραὴλ ἐπὶ τὴν ἀγχιστείαν, καὶ ἐπὶ τὸ ἀντάλλαγμα τοῦ στῆσαι τὸν λόγον· ὑπελύετο ὁ ἀνὴρ τὸ ὑπόδημα αὐτοῦ, καὶ ἐδίδου τῷ πλησίον αὐτοῦ τῷ ἀγχιστεύοντι τὴν ἀγχιστείαν αὐτοῦ. καὶ τοῦτο ἦν μαρτύριον ἐν Ἰσραήλ.

ΑΔΗΛΟΥ. Τίς τὸν τύπον παύσηται, καὶ τὴν νομικὴν ἀποβάλοι πορείαν, τουτέστι τὰ σαρκικὰ, οἷον περιτομὴν, καὶ σάββατα, καὶ βρωμάτων παρατήρησιν, καὶ τὰ τοιαῦτα· καὶ δῷ αὐτὰ τῷ ἀγχιστεύοντι, τουτέστι πνευματικὰ αὐτῷ μεταβάλοι, καὶ ἔσται αὐτῷ ἀγχιστεία;

η. Καὶ εἶπεν ὁ ἀγχιστεὺς τῷ Βοὰζ, κτῆσαι σεαυτῷ τὴν ἀγχιστείαν μου. καὶ ὑπελύσατο τὸ ὑπόδημα αὐτοῦ, καὶ ἔδωκεν αὐτῷ.
θ. Καὶ εἶπε Βοὸζ τοῖς πρεσβυτέροις καὶ παντὶ τῷ λαῷ, μάρτυρες ὑμεῖς σήμερον, ὅτι κέκτημαι πάντα τὰ τοῦ Ἀιλιμέλεχ, καὶ πάντα ὅσα ὑπάρχει τῷ Μααλλὼν καὶ τῷ Χελλεὼν ἐκ χειρὸς Νοεμμείν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ δὲ διὰ τὸν γάμον καὶ τὸ τῶν ἀγρῶν ἐκεῖνος ἠρνήθη συμβόλαιον, ὑπελύσατο μὲν κατὰ τὸν νόμον, καὶ τὸ ὑπόδημα δέδωκεν· ἠγάγετο δὲ Βοὸζ τὴν Ῥούθ. ὅτι δὲ οὐχ ἡδονῇ δουλεύων ἠνέσχετο γῆμαι, δηλοῖ αὐτοῦ καὶ τὰ ἀξιέπαινα ῥήματα. εἶπε γάρ φησι Βοὸζ τοῖς » πρεσβυτέροις καὶ παντὶ τῷ λαῷ, μάρτυρες » ὑμεῖς σήμερον, ὅτι κέκτημαι πάντα τὰ τοῦ » Ἀιλιμέλεχ, καὶ πάντα ὅσα ὑπάρχει τῷ » Μααλλὼν καὶ τῷ Χελλεὼν ἐκ χειρὸς Νοεμμείν. καί γε Ῥοὺθ τὴν Μωαβίτιν τὴν γυναῖκα Μααλλὼν κέκτημαι ἐμαυτῷ εἰς γυναῖκα, τοῦ ἀναστῆσαι τὸ ὄνομα τοῦ τεθνηκότος » ἐπὶ τῆς κληρονομίας αὐτοῦ, καὶ οὐκ ἐξολοθρευθήσεται τὸ ὄνομα τοῦ τεθνηκότος ἐκ » τῶν ἀδελφῶν αὐτοῦ, καὶ ἐκ τῆς φυλῆς αὐτοῦ.

ι. Καί γε Ῥοὺθ τὴν Μωαβίτιν τὴν γυναῖκα Μααλλὼν κέκτημαι ἐμαυτῷ εἰς γυναῖκα, τοῦ ἀναστῆσαι τὸ ὄνομα τοῦ τεθνηκότος ἐπὶ τῆς κληρονομίας αὐτοῦ, καὶ οὐκ ἐξολοθρευθήσεται τὸ ὄνομα τοῦ τεθνηκότος ἐκ τῶν ἀδελφῶν αὐτοῦ, καὶ ἐκ τῆς φυλῆς τοῦ λαοῦ αὐτοῦ. μάρτυρες ὑμεῖς σήμερον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἄξιον θαυμάσαι τῶν εἰρημένων καὶ τὸ εὐσεβὲς, καὶ τὸ ἀκριβές. οὐ παραβαίνω γάρ φησι τὸν νόμον Μωαβίτιν γυναῖκα λαμβάνων, ἀλλὰ τὸν θεῖον νόμον πληρῶ, τοῦ τετελευτηκότος ἄσβεστον φυλαχθῆναι τὴν μνήμην σπουδάζων.

ΑΔΗΛΟΥ. Τῷ γὰρ τεθνηκότι κατὰ τὸν νόμον τὸ παιδίον προσελογίζετο. καὶ τοῦτο τοῦ γάμου τὸ εἶδος ἀγχιστεία προσηγορεύετο. καὶ εἰ ὁ πλησιάζων δὲ συγγενὴς οὐκ ἐβουλήθη γῆμαι τὴν γυναῖκα τοῦ τεθνηκότος, οἷα εἰκὸς, ὁ μετὰ αὐτὸν ἐγγίζων τῷ γένει πάντως ὡμίλει τῷ γάμῳ. σπουδὴ γὰρ τῷ νόμῳ ἦν, τοῦ ἀναστῆναι σπέρμα τῷ μὴ πεπαιδοποιηκότι καὶ τελευτήσαντι.

ΚΥΡΙΛΛΟΥ. Ἐνταῦθα ἔλαβε λύσιν ἡ ἀπόφασις τῶν Μωαβιτῶν καὶ Ἀμμανιτῶν, καὶ ἐπὶ τοῦ Πέτρου λέγοντος· ἐν παντὶ ἔθνει ὁ φοβούμενος τὸν Κύριον, δεκτὸς αὐτῷ ἐστίν. (1) Πράξ. 10. 35.

ΑΔΗΛΟΥ. Παραδέδωκε γὰρ ὁ νόμος Χριστῷ, καὶ ἐκτήσατο τοὺς παιδαγωγηθέντας δι' αὐτοῦ, καὶ μετ' ἐκείνων τὴν Ῥούθ· ἥ ἐστι τύπος τῆς Ἐκκλησίας τῆς ἐξ ἐθνῶν, ἐν ᾗ καὶ ἀνέστησε τὸ ὄνομα τοῦ τεθνηκότος ἐκ τῶν ἀδελφῶν αὐτοῦ, καὶ ἐν τῷ τόπῳ αὐτοῦ. καὶ τίς οὗτος; ἢ ὁ Χριστὸς, ὃς ἐκ τῶν Ἰουδαίων εἰς Ἱερουσαλὴμ ἀπέθανεν. ὅθεν καὶ χρηματίζει ὁ λαὸς τῆς Ἐκκλησίας Χριστιανός.

ια. Καὶ εἴποσαν πᾶς ὁ λαὸς ὁ ἐν τῇ πύλῃ, μάρτυρες. καὶ οἱ πρεσβύτεροι εἶπαν, δῴη Κύριος τὴν γυναῖκά σου, τὴν εἰσπορευομένην εἰς τὸν κόλπον σου, (2) ὡς Ῥαχὴλ καὶ Λείαν, αἳ ᾠκοδόμησαν ἀμφότεραι τὸν οἶκον Ἰσραὴλ, καὶ ἐποίησαν δύναμιν ἐν Ἐφραθᾷ, καὶ ἔσται ὄνομα ἐν Βηθλεέμ.
ιβ. Καὶ γένοιτο ὁ οἶκός σου, ὡς οἶκος Φαρὲς, ὃν ἔτεκε Θάμαρ τῷ Ἰούδᾳ, ἐκ τοῦ σπέρματος οὗ δώσει Κύριός σοι ἐκ τῆς παιδίσκης ταύτης τέκνα.

ΘΕΟΔΩ-

(1) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.
(2) Οἶκόν σου. αἱ εἰρημ. ἐκδόσ. καὶ ὁ Θεοδώριτ. ἐν τῷ προκειμ. ὑπομν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐκράτυναν δὲ καὶ οἱ πρεσβύτεροι τῇ εὐλογίᾳ τὸν γάμον. εἶπον δὲ οὕτω· δῴη Κύριος τὴν γυναῖκά σου, τὴν εἰσπορευομένην εἰς τὸν οἶκόν σου, ὡς Ῥαχὴλ καὶ Λείαν, αἳ ᾠκοδόμησαν ἀμφότεραι τὸν οἶκον Ἰσραήλ, καὶ ποιῆσαι δύναμιν ἐν Ἐφραθᾷ, καὶ ἔσαι ὄνομα ἐν Βηθλεὲμ παρὰ πᾶσιν ἀνθρώποις ἀοίδιμον. καὶ γένοιτο ὁ οἶκός σου, ὡς οἶκος Φαρὲς, ὃν ἔτεκε Θάμαρ τῷ Ἰούδᾳ, καὶ ἐκ τοῦ σπέρματος οὗ δῴοι σοι Κύριος ἐκ τῆς παιδίσκης ταύτης. αἰνίττονται τῆς εὐλογίας οἱ λόγοι καὶ ἑτέραν αὐτὸν ἐσχηκέναι γυναῖκα. διὸ καὶ τῆς Ῥαχὴλ καὶ τῆς Λείας κατὰ ταὐτὸν ἐμνημόνευσαν, καὶ ἐπήγαγον· αἳ ᾠκοδόμησαν ἀμφότεραι τὸν οἶκον Ἰσραήλ. τὸ δὲ, ποιῆσαι δύναμιν ἐν Ἐφραθᾷ, καὶ ἔσαι ὄνομα ἐν Βηθλεὲμ, τὸν σωτήριον προθεσπίζει τόκον, δι' ὃν γέγονεν ἡ Βηθλεὲμ πᾶσιν ἀνθρώποις ἀοίδιμος. τῆς δὲ Θάμαρ ἐμνημόνευσαν, ἐπειδὴ κἀκείνη ἀλλόφυλος οὖσα, τὸν Φαρὲς γεγέννηκεν, ἐξ οὗ ὁ Δαβὶδ ὁ βασιλεὺς κατάγει τὸ γένος· καὶ ὁ τοῦ Δαβὶδ (1) ἀπόγονος, καὶ Δεσπότης, καὶ υἱὸς, καὶ Κύριος. ἐκ ταύτης ὁ Ὠβὴδ ἐγεννήθη τοῦ Ἰεσσαὶ ὁ πατὴρ, ὃς ἔφυσε τὸν Δαβίδ. τοῦτο γὰρ (2) τὸ βρέφος αἱ γυναῖκες προσενεγκοῦσαι τῇ Νοεμμεὶν, ἔφασαν· εὐλογητὸς Κύριος, ὃς οὐ κατέλυσέ σοι σήμερον τὸν ἀγχιστεύοντα καλέσαι τὸ ὄνομά σου ἐν Ἰσραήλ. καὶ ἔσαι εἰς ἐπιστρέφοντα ψυχήν.

ΑΔΗΛΟΥ. Εὔχονται τὴν Ἐκκλησίαν ὁμοίαν γενέσθαι τῷ πληρώματι τῶν ἁγίων, ἐξ ὧν ἦν ὁ Χριστὸς τὸ κατὰ σάρκα· ὃς ἐγεννήθη ἐν Βηθλεὲμ τῆς Ἰουδαίας, ἥτις ἦν Μιχ. ε. 2. οἶκος τοῦ Ἐφραθὰ, ᾗτινι εἴρηται, οὐδαμῶς ἐλαχίστη εἶ ἐν τοῖς ἡγεμόσιν Ἰούδα, ἐκ σοῦ γάρ μοι ἐξελεύσεται ἡγούμενος· Ῥαχὴλ καὶ Λείαν μνημονεύσαντες, δι' ὧν ἐδείκνυτο Βοὸζ ἔχων γυναῖκα, προσλαβὼν δὲ καὶ τὴν Ῥοὺθ διὰ τὸ νόμιμον· εἶτα καὶ τῆς Θάμαρ, ἣ ἔτεκε τὸν Φαρὲς τῷ Ἰούδᾳ· αἰνιττόμενοι, ὅτι οὐδὲν ἄτοπον ποιεῖ ὁ Βοὸζ τὴν ἀλλόφυλον λαμβάνων, ὅτε καὶ Ἰούδας τοῦτο πεποίηκεν· ἀλλ' ὅμως πρὸ τοῦ νόμου καὶ πορνεύων, ὁ Ἰούδας λέγω, ὁ Βοὸζ τὸ νόμιμον τηρῶν.

ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Ἐξέτασον καὶ τὰ περὶ τῆς Ῥοὺθ, τῆς ἐκ τοῦ μωαβιτικοῦ σπέρματος προστιθεμένης τῷ Ἰσραὴλ, καὶ ἐπὶ τοσοῦτον ἐξευγενιζομένης, ὡς οὐ μόνον τὸν Δαβὶδ, ἀλλὰ καὶ τὸν Κύριον ἡμῶν ἀπ' αὐτῆς ἀνατεῖλαι. (3)

ιγ. Καὶ ἔλαβε Βοὸζ τὴν Ῥοὺθ, καὶ ἐγενήθη αὐτῷ εἰς γυναῖκα, καὶ εἰσῆλθε πρὸς αὐτήν. καὶ ἔδωκεν αὐτῇ Κύριος κύησιν, καὶ ἔτεκεν υἱόν.

ΑΔΗΛΟΥ. Ἔδωκεν αὐτῇ Κύριος κύησιν. Οὐδὲν γὰρ τῇ Ἐκκλησίᾳ γέννημα ἀσθενὲς, ἢ τεθλιμμένον.

ιδ. Καὶ εἶπαν αἱ γυναῖκες πρὸς Νοομμεὶν, εὐλογητὸς Κύριος, ὃς οὐ κατέλυσέ σοι σήμερον τὸν ἀγχιστέα, καὶ καλέσαι τὸ ὄνομά σου ἐν Ἰσραήλ.

ιε. Καὶ ἔσαι σοι εἰς ἐπιστρέφοντα ψυχὴν, καὶ τοῦ διαθρέψαι τὴν πολιάν σου, ὅτι ἡ νύμφη σου ἡ ἀγαπήσασά σε ἔτεκεν υἱὸν, ἥ ἐστιν ἀγαθή σοι ὑπὲρ ἑπτὰ υἱούς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τοῦτο δὲ, κατὰ μὲν τὸ πρόχειρον νόημα, τὴν ἐκείνης ψυχαγωγίαν δηλοῖ· κατὰ δὲ τὴν ἀλήθειαν, τὴν τῆς οἰκουμένης ἐπιστροφήν. ἐκεῖθεν γὰρ ἠνθησε τῆς οἰκουμένης ἡ σωτηρία.

ΑΔΗΛΟΥ. Ἀγαθὴ γὰρ ἡ Ἐκκλησία τῇ Συναγωγῇ γέγονεν ὑπὲρ πάντων πληρωμάτων υἱῶν αὐτῆς τῶν προτέρων. Συναγωγὴν δὲ, Ἀβραὰμ καὶ τοὺς ἐξ αὐτοῦ νόει, ἐξ ὧν αἱ πατριαὶ καὶ τὸ λοιπὸν τῶν Ἰουδαίων πλῆθος.

ις. Καὶ ἔλαβε Νοομεὶν τὸ παιδίον, καὶ ἔθηκεν εἰς τὸν κόλπον αὐτῆς, καὶ ἐγενήθη αὐτῷ εἰς τιθηνόν.

ΑΔΗΛΟΥ. Διὰ τοῦτο ἔλεγε τοῖς ἐξ ἐθνῶν πιστεύσασιν ὁ Ἀπόστολος, ὢς ἦν τῆς Συναγωγῆς εἷς· ὅτι ἐγεννήθη ἐν ἡμῖν, ὡς ἂν τροφὸς θάλπῃ τὰ ἑαυτῆς τέκνα. Θεσ. 2. 7.

ιζ. Καὶ ἐκάλεσαν αὐτοῦ αἱ γείτονες τὸ ὄνομα, λέγουσαι, ἐτέχθη υἱὸς τῇ Νοομμείν· καὶ ἐκάλεσαν τὸ ὄνομα αὐτοῦ, Ὠβήδ. οὗτος πατὴρ Ἰεσσαὶ πατρὸς Δαβίδ.

** ΙΩΣΗΠΟΥ. Βόαζος γαμεῖ τὴν Ῥούθην, καὶ γίνεται παιδίον αὐτοῖς, μετ' ἐνιαυτὸν, ἄῤῥεν. τοῦτο ἡ Νααμὶς τιθηνουμένη, κατὰ συμβουλίαν τῶν γυναικῶν, Ὠβήδην ἐκάλεσεν, ἐπὶ γηροκομίᾳ τῇ αὐτῆς τραφησόμενον. Ὠβήδης γὰρ κατὰ διάλεκτον τὴν Ἑβραίων ἀποσημαίνει, δουλεύων.

ιη. Καὶ αὗται αἱ γενέσεις Φαρές.

ιθ. Φαρὲς ἐγέννησε τὸν Ἐσρώμ· Καὶ Ἐσρὼμ ἐγέννησε τὸν Ἀράμ· καὶ Ἀ-

κ. ρὰμ ἐγέννησε τὸν Ἀμιναδάβ. Καὶ Ἀμιναδὰβ ἐγέννησε τὸν Ναασσών· καὶ Ναασσὼν ἐγέννησε τὸν Σαλμών·

κα. Καὶ Σαλμὼν ἐγέννησε τὸν Βοόζ· καὶ

κβ. Βοὸζ ἐγέννησε τὸν Ὠβήδ. Καὶ Ὠβὴδ ἐγέννησε τὸν Ἰεσσαί· καὶ Ἰεσσαὶ ἐγέννησε τὸν Δαβίδ.

ΤΕΛΟΣ ΤΗΣ ΡΟΥΘ.



ΒΙΒΛΟΣ

(1) Καὶ ὁ τούτου ἀπόγονος. ἡ ἐν Χάλ. ἔκδ.

(2) Τὸ, γὰρ, οὐ κεῖται ἐν τῇ αὐτ. ἐκδόσ.

(3) Ἐν τοῖς ἐκδεδομ. οὐχ εὕρηται.



ΒΙΒΛΟΣ ΠΡΩΤΗ ΤΩΝ ΒΑΣΙΛΕΙΩΝ.

* ΑΘΑΝΑΣΙΟΥ. (1) Διατὶ Βασιλεῖαι τὸ βιβλίον καλεῖται; Ἐπειδὴ ἡ πρώτη, καὶ δευτέρα, καὶ ἡ τρίτη, καὶ ἡ τετάρτη τὰς πράξεις τῶν γενομένων βασιλέων ἔν τε τῷ Ἰούδᾳ καὶ τῷ Ἰσραὴλ καὶ τῷ (2) ἑκάστῳ αὐτῶν ἔτει περιέχουσι. καὶ οἱ μὲν ἀναγράψαντες τὰς Βασιλείας, καὶ τὰς Παραλειπομένας εἰσὶν οἱ κατὰ τοὺς καιροὺς αὐτῶν ὄντες Προφῆται. ἔστι δὲ ἐν μὲν τῷ πρώτῳ βιβλίῳ, θάνατος μὲν Ἠλὶ τοῦ ἱερέως καὶ τῶν υἱῶν αὐτοῦ· γένεσις δὲ τοῦ Σαμουήλ· πῶς τε ὁ λαὸς τὸ πρότερον ἀρχόμενος ὑπὸ τοῦ Θεοῦ, ἐγείροντος αὐτοῖς κατὰ καιρὸν βοηθόν· ὅμως ᾔτησε παρὰ τοῦ Σαμουὴλ, κατὰ τὸ ἔθος τῶν ἐθνῶν, βασιλέα. καὶ ἔδωκεν αὐτοῖς τὸν Σαοὺλ ἐκ Φυλῆς Βενιαμίν. καὶ γέγονε λοιπὸν ἐξ ἐκείνου καὶ ἐν τῷ Ἰσραὴλ ἄρχων (3) βασιλεύς. ἔστι δὲ ἐν αὐτῷ, πῶς ὁ μὲν Σαοὺλ παρέβη τὴν ἐντολὴν τοῦ Θεοῦ, καὶ ἀνῃρέθη (4) ἀπὸ τοῦ γένους αὐτοῦ ἡ βασιλεία· [ὁ] δὲ Δαβὶδ ἀντ' αὐτοῦ ἐχρίσθη· καὶ μετηνέχθη εἰς τὸ γένος αὐτοῦ ἡ βασιλεία. καὶ τὸν μὲν Γολιὰθ ἀνεῖλε Δαβὶδ λίθῳ μικροτάτῳ. ἐπειδὴ δὲ αἱ χορεύουσαι τὰς μυριάδας δεδώκασι τῷ Δαβὶδ, τὰς δὲ χιλιάδας τῷ Σαοὺλ· Φθονήσας ὁ Σαοὺλ ἐδίωκε τὸν Δαβίδ. καὶ ὁ μὲν Δαβὶδ, ἐσώθη· ὁ δὲ Σαοὺλ πολεμούμενος, ἐζήτησεν ἐγγαστριμύθους, καὶ τῇ ἐπαύριον ἀναιρεθεὶς ἀπέθανε. καὶ τοῦτο (5) τέλος ἔχει τὸ βιβλίον.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ τῆς θείας χάριτος ἀπολαύσαντες, Μωσέως τοῦ νομοθέτου τὰς βίβλους, καὶ Ἰησοῦ τοῦ κριτοῦ, (6) καὶ τῶν Κριτῶν, καὶ τῆς Ῥοὺθ ἡρμηνεύσαμεν, Φέρε πάλιν τοῦδε τοῦ Φωτὸς τὴν αἴγλην λαβεῖν ἱκετεύσαντες, τὰς τῶν Βασιλειῶν ἀναπτύξωμεν ἱστορίας· τὰ μὲν σαφῆ παριόντες, τὰ δὲ σαφηνείας δεόμενα, δῆλα τοῖς ἐντυγχάνουσιν ἀποφαίνοντες· ἵνα σοῦ τὴν αἴτησιν, ἐρασμιώτατε παίδων Ὑπάτιε, μὴ καταλείπωμεν ἀτελῆ.

ΤΟΥ ΑΥΤΟΥ. Τίς ἡ αἰτία τῆς ἐν τῇ Γραφῇ ἀσαφείας; Ἡ ἐξ ἑτέρας γλώττης εἰς ἑτέραν μεταβολή· καὶ τὸ σπουδάσαι τοὺς ἑρμηνεύοντας περὶ πόδα τὴν ἑρμηνείαν ποιήσασθαι. ταυτὸ δὲ τοῦτο πάσχουσι καὶ οἱ τὴν Ἰταλῶν φωνὴν εἰς τὴν Ἑλλάδα μεταφέροντες γλῶτταν. πολλῆς γὰρ ἀσαφείας κἀκεῖνα μεστά.

* ΤΟΥ ΑΥΤΟΥ. Τίς ἡ τῶν Βασιλειῶν τῆς ἱστορίας ὑπόθεσις; Πρῶτον μὲν τῆς ἱστορίας ἐρῶ τὴν ὑπόθεσιν. Πλεῖστοι Προφῆται γεγένηνται, ὧν τὰς μὲν βίβλους οὐχ εὕρομεν, τὰς δὲ προσηγορίας ἐκ τῆς τῶν Παραλειπομένων μεμαθήκαμεν ἱστορίας. τούτων ἕκαστος εἰώθει συγγράφειν ὅσα συνέβαινε γίνεσθαι κατὰ τὸν οἰκεῖον καιρόν. αὐτίκα γοῦν καὶ ἡ πρώτη τῶν Βασιλειῶν, καὶ παρ' Ἑβραίοις, καὶ παρὰ Σύροις, προφητεία Σαμουὴλ ὀνομάζεται. ἀλλὰ τοῦτο γνῶναι ῥᾴδιον τῷ βουλομένῳ τὸ προειρημένον ἀναγνῶναι βιβλίον. οἱ τοίνυν τῶν Βασιλειῶν τὴν βίβλον συγγεγραφότες, ἐξ ἐκείνων (7) λαβόντες τὰς ἀφορμὰς, μετὰ πλεῖστον συνέγραψαν χρόνον. πῶς γὰρ οἷόν τε ἦν Σαμουὴλ τὸν τῷ Σαοὺλ ἢ καὶ τῷ Δαβὶδ συνηκμακότα, τὰ ἐπὶ Ἐζεκίου καὶ Ἰωσίου (8) συγγράψαι· καὶ τὴν τοῦ Ναβουχοδονόσορ στρατιὰν, (9) καὶ τὸν ἀνδραποδισμὸν, καὶ τὴν εἰς Βαβυλῶνα μετάστασιν, καὶ τοῦ Ναβουχοδονόσορ τὴν τελευτήν; δῆλον τοίνυν, ὡς τῶν Προφητῶν ἕκαστος ἔγραψε τὰ ἐν τοῖς οἰκείοις καιροῖς γεγενημένα. ἄλλοι δέ τινες ἐκεῖνα συναγαγόντες, τὴν τῶν Βασιλειῶν συντεθείκασι βίβλον. καὶ αὖ πάλιν τῶν ὑπὸ τούτων ὑπολειφθέντων ἕτεροί τινες ἱστοριογράφοι γεγένηνται· καὶ τὴν παρὰ σφῶν συγγραφεῖσαν Παραλειπομένων προσηγόρευσαν βίβλον, ὡς τὰ παρὰ τῶν προτέρων παραλειφθέντα διδάσκουσαν.

(1) Βασιλεῖαι ὀνομάζεται τὰ βιβλία, ἐπειδὴ καὶ τὰς πράξ. κτ. ἐν τῇ συνόψ. τῆς θείας Γραφ.

(2) Καὶ τὰ ἔτη αὐτῶν περιέχει. διείληπται δὲ ἐν μὲν τῇ πρώτῃ βίβλῳ τῶν Βασιλειῶν, ταῦτα· θάνατος μὲν, κτ. αὐτ. (3) Ἀρχὴ Βασιλείας. περιέχεται δὲ ἐνταῦθα, πῶς ὁ μὲν Σαοὺλ, κτ. αὐτ.

(4) Ἀφῃρέθη. αὐτ. (5) Ἐν τούτῳ συμπληροῦται ἡ πρώτη βίβλος τῶν Βασιλειῶν. αὐτ.

(6) Προφήτου. ἡ ἐν Χάλ. ἔκδ. (7) Ἐκείνων τῶν βιβλίων. ἡ αὐτ. (8) Γεγονότα συγγρ. ἡ αὐτ.

(9) Καὶ τῆς Ἱερουσαλὴμ τὴν πολιορκίαν, καὶ τοῦ λαοῦ τὸν ἀνδρ. ἡ αὐτ.

ΚΕΦ. Α.

α. Ἄνθρωπος ἦν ἐξ Ἀρ-
μαθαὶμ Σειφὰ, ἐξ
ὄρους Ἐφραὶμ, καὶ
ὄνομα αὐτῷ Ἑλκα-
νὰ υἱὸς Ἱερεμεὴλ υἱοῦ
Ἠλὶ υἱοῦ Θωκὲλ ἐν Νασεὶβ Ἐφραίμ.

** ΙΩΣΗΠΟΥ. Ἑλκάνης Λευίτης ἀνὴρ, τῶν ἐν μέσῳ πολιτῶν τῆς Ἐφραίμου κληρουχίας, Ῥαμαθὰν πόλιν κατοικῶν, ἐγάμει δύω γυναῖκας, Ἄνναν τε καὶ Φενάνναν. ἐκ δὴ ταύτης καὶ παῖδες αὐτῷ γίνονται. τὴν δὲ ἑτέραν ἄτεκνον οὖσαν, ἀγαπῶν διετέλει.

* ΠΡΟΚΟΠΙΟΥ. Εἷς τῶν υἱῶν Λευὶ γέγονεν ὁ Καὰθ, πατὴρ δὲ τοῦ Ἰσαάρ· οὗ ἔκγονος μὲν ὁ Κορὲ, ἀπόγονος δὲ Ἑλκανὰ τοῦ Σαμουὴλ ὁ πατήρ. ἡ δὲ διαδοχὴ οὕτω· Κορὲ, Ἀσεὶρ, Ἑλκανὰ, (1) Σαμουήλ. ὁ δὲ Ἠλὶ ἐκ τῆς τοῦ Ἰθάμαρ ἦν πατριᾶς· ἀλλὰ διὰ τὴν τῶν παίδων παροινίαν σὺν παντὶ γένει τῆς ἱερατικῆς ἐγυμνώθη τιμῆς.

* ΤΟΥ ΑΥΤΟΥ. Πῶς δὲ Ἑλκανὰ ἐξ Ἀρμαθαὶμ ὢν, Ἐφραθαῖος ὀνομάζεται; Μήποτε συνέβαινεν αὐτὸν ἐκ τῶν δύω πόλεων ὁρμᾶσθαι· καθ' ὃ ἐν μὲν τῇ Ἐφραθὰ ἐγεγέννητο, ἐν τῇ Ἑρμαθαὶμ ἐτέθραπτο· ὡς καὶ ὁ Σωτὴρ ἐν Βηθλεὲμ γεννηθεὶς, ἐχρημάτισε καὶ Ναζωραῖος τῆς ἀνατροφῆς ἕνεκεν.

β. Καὶ τούτῳ δύω γυναῖκες· ὄνο-
μα τῇ μιᾷ, Ἄννα· καὶ ὄνομα τῇ δευ-
τέρᾳ, Φεννάνα. καὶ ἦν τῇ Φεννάνᾳ
παιδία· καὶ τῇ Ἄννᾳ οὐκ ἦν παιδίον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ ὁ Ἑλκανὰ δύω ἔσχε γυναῖκας; Οὔτε ἐκώλυσεν ὁ νόμος δυσὶν ἢ πλείοσιν ὁμιλεῖν ἐννόμως, οὔτε μίαν προσέταξε· συγχωρῶν τὸ ἔλαττον, ἵνα κωλύσῃ τὸ μεῖζον. τῇ δυνάμει γὰρ τῶν δεχομένων μετρεῖται (2) νόμος. τοῦ-
Ἑβρ. 7. 19. τό φησι καὶ ὁ θεῖος Ἀπόστολος. » οὐδὲν γὰρ
» ἐτελείωσεν ὁ νόμος.

γ. Καὶ ἀνέβαινεν ὁ ἄνθρωπος ἐξ
ἡμερῶν εἰς ἡμέρας ἐκ πόλεως αὐτοῦ
ἐξ Ἀρμαθαὶμ προσκυνεῖν καὶ θύειν
τῷ Κυρίῳ Θεῷ Σαβαὼθ ἐν Σηλώμ.
καὶ ἐκεῖ Ἠλὶ καὶ οἱ δύω υἱοὶ αὐτοῦ Ὀφνὶ
δ. καὶ Φινεὲς ἱερεῖς τοῦ Κυρίου. Καὶ ἐγε-
νήθη ἡμέρα, καὶ ἔθυσεν Ἑλκανὰ,
καὶ ἔδωκε τῇ Φεννάνᾳ γυναικὶ αὐτοῦ,
καὶ τοῖς υἱοῖς αὐτοῖς μερίδας.

** ΙΩΣΗΠΟΥ. Ἀφικομένου μετὰ τῶν γυναικῶν τοῦ Ἑλκανᾶ εἰς Σιλὼ πόλιν θῦσαι· ἐνταῦθα γὰρ ἡ σκηνὴ τοῦ Θεοῦ ἐπεπήγει· καὶ πάλιν κατὰ τὴν εὐωχίαν νέμοντος μοίρας κρεῶν ταῖς τε γυναιξὶ καὶ τοῖς τέκνοις, Ἄννα θεασαμένη τοὺς τῆς ἑτέρας παῖδας τῇ μητέρι περικαθισαμένους, εἰς δάκρυά τε προὔπεσε, καὶ τῆς ἀπαιδίας αὑτὴν ὠλοφύρετο καὶ τῆς μονώσεως.

ε. Καὶ τῇ Ἄννᾳ ἔδωκε μερίδα
Β μίαν, ὅτι οὐκ ἦν αὐτῇ παιδίον, πλὴν
ὅτι τὴν Ἄνναν ἠγάπα Ἑλκανὰ ὑπὲρ
τὴν Φεννάναν. καὶ Κύριος ἀπέκλεισε
τὰ περὶ τὴν μήτραν αὐτῆς,

» ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἀπέκλεισε » Κύριος τὰ περὶ τὴν μήτραν αὐτῆς; Διδάσκει τοὺς ἐντυγχάνοντας οὗτος ὁ λόγος, μὴ τῷ γάμῳ θαῤῥεῖν, ἀλλὰ τὸν ποιητὴν εἰς ἐπικουρίαν καλεῖν. ὥσπερ γὰρ ἴδιον τοῦ **Γ** γεωργοῦ μὲν καταβάλλειν τὰ σπέρματα, τοῦ δὲ Θεοῦ τὸ τελεσιουργεῖν τὰ σπειρόμενα· οὕτως ἴδιον τοῦ γάμου μὲν ἡ κοινωνία, τοῦ δὲ Θεοῦ τὸ νεῦσαι τῇ φύσει, καὶ διαπλάσαι τὸ ζῶον. τοῦτο ἡ Ἄννα σαφῶς ἐπισταμένη· πολὺν γὰρ τῷ ἀνδρὶ συνοικήσασα χρόνον, καρπὸν οὐκ ἐβλάστησε· πρὸς αὐτὸν ἔδραμε τὸν δημιουργὸν, καὶ τῇ σπουδαίᾳ προσευχῇ, καὶ τοῖς δάκρυσι, τὴν πεπηρωμένην ἐθεράπευσε μήτραν, [καὶ τὴν κεκλεισμένην **Δ** ἀνέῳξεν.]

ς. Ὅτι οὐκ ἔδωκεν αὐτῇ Κύριος
παιδίον κατὰ τὴν θλίψιν αὐτῆς, καὶ
κατὰ τὴν ἀθυμίαν τῆς θλίψεως αὐ-
τῆς. καὶ ἠθύμει διὰ τοῦτο, ὅτι συνέ-
κλεισε Κύριος τὰ περὶ τὴν μήτραν
αὐτῆς τοῦ μὴ δοῦναι αὐτῇ παιδίον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἡ Ἄννα πολὺν ἐνόσησεν ἀπαιδείας χρόνον, καὶ τὸ δὴ **Ε** χαλεπώτερον, ὅτι ἡ ἀντίζηλος αὐτῆς παίδων ἦν μήτηρ πολλῶν. ἴστε δὲ, ὡς τῇ φύσει καὶ καθ' ἑαυτὸ τὸ πρᾶγμα ἀφόρητόν ἐστι ταῖς γυναιξίν· ὅταν δὲ καὶ ἀντίζηλος προσῇ παῖδας ἔχουσα, πολλῷ χαλεπώτερον γίνεται. ἐν γὰρ τῇ τῆς γυναικὸς ἐκείνης εὐπραγίᾳ τὴν οἰκείαν ἀκριβέστερον καταμανθάνει συμφοράν. καθάπερ οὖν καὶ οἱ πενίᾳ συζῶντες ἐσχάτῃ, τότε ὀδυνῶνται μειζόνως, ὅταν ἐννοήσωσι τοὺς πλουτοῦντας. **Ζ** καὶ οὐ τοῦτο μόνον ἦν τὸ δεινὸν, ὅτι παῖδας αὕτη μὲν οὐκ εἶχεν, ἐκείνη δὲ εἶχεν, ἀλλ' ὅτι καὶ ἀντίζηλος ἦν· καὶ οὐχ ὅτι ἀντίζηλος ἦν μόνον, ἀλλ' ὅτι παρώργιζεν αὐτὴν διὰ τὸ ἐξουθενεῖν αὐτήν. ὁ δὲ Θεὸς ταῦτα » πάντα ὁρῶν, ἠνείχετο. καὶ οὐκ ἔδωκεν αὐ- » τῇ Κύριος, φησὶ, παιδίον κατὰ τὴν θλί- » ψιν αὐτῆς, καὶ κατὰ τὴν ἀθυμίαν τῆς » ψυχῆς αὐτῆς. τί ἐστι, κατὰ τὴν θλίψιν » αὐτῆς; οὐκ ἔστιν εἰπεῖν, φησὶν, ὅτι πρᾴως **Η** ὁρῶν φέρουσαν τὴν συμφορὰν, ἐπεῖχεν αὐτῆς τὸν τόκον, ἀλλὰ καίτοι διακοπτομένην ὁρῶν,

(1) Σὲφ, Θόεμου, Ἱεραὰμ, Ἑλκανὴ, Σαμεήλ. ὁ τῆς Αὐγ. κώδ. ἐν ᾧ τὰ ἑξῆς οὐ κεῖται. ἐκ τῶν τοῦ Θεοδωρίτ. δὲ εἰσι τῶν ἐν σελ. 282.

(2) Ἐμέτρει τοὺς νόμους. ἡ ἐν Χαλ. ἔκδ.

ὁρῶν, ὀδυνωμένην, θλιβομένην, οὐκ ἔλυσε τὴν ἀθυμίαν, ἕτερόν τι πολλῷ μεῖζον οἰκονομῶν. ταῦτα μὴ παρέργως ἀκούωμεν, ἀλλὰ καὶ ἐντεῦθεν μάθωμεν μεγίστην φιλοσοφίαν. καὶ ἐπειδὰν δεινῷ τινὶ περιπέσωμεν, κἂν ἀλγῶμεν, κἂν ὀδυρώμεθα, κἂν ἀφόρητον ἡμῖν εἶναι δοκῇ τὸ κακὸν, μὴ ἀποδύωμεν, μηδὲ ἀλύωμεν, ἀλλ' ἀναμένωμεν τοῦ Θεοῦ τὴν πρόνοιαν. ἐκεῖνος γὰρ οἶδε σαφῶς πότε δεῖ λῦσαι τὸ ποιοῦν τὴν ἀθυμίαν ἡμῖν. ὅπερ οὖν καὶ ἐπὶ ταύτης συνέβη. **B** οὐ γὰρ μισῶν αὐτὴν, οὐδὲ ἀποστρεφόμενος ὁ Θεὸς ἀπέκλεισεν αὐτῆς τὴν μήτραν, ἀλλ' ἵνα ἡμῖν ἀνοίξῃ τὰς θύρας τῆς φιλοσοφίας τῆς ἐν τῇ γυναικὶ, καὶ τὸν πλοῦτον αὐτῆς τῆς πίστεως κατίδωμεν, καὶ γνῶμεν ὅτι λαμπροτέραν αὐτὴν ἐκ τούτου εἰργάζετο.

ζ. Οὕτως ἐποίει ἐνιαυτὸν κατ' ἐνιαυτὸν, ἐν τῷ ἀναβαίνειν αὐτὴν εἰς οἶκον Κυρίου· καὶ ἠθύμει, καὶ ἔκλαιε, **Γ** καὶ οὐκ ἤσθιε.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ οὕτως » ἐποίει, φησὶν, ἐνιαυτὸν κατ' ἐνιαυτὸν ἀπὸ » ἱκανοῦ ἐν τῷ ἀναβαίνειν αὐτὴν εἰς οἶκον Κυ- » ρίου. καὶ ἠθύμει, καὶ ἔκλαιε, καὶ οὐκ ἤσθιεν. Ἐπιτεταμένη ἡ ὀδύνη, πολὺ τὸ μῆκος τῆς λύπης· οὐ δύω καὶ τρεῖς ἡμέραι, οὐδὲ εἴκοσι καὶ ἑκατὸν, οὐδὲ χίλιαι καὶ δὶς τοσαῦται· » ἀλλ' ἐξ ἱκανοῦ φησὶν, ἔτη πολλὰ λυπουμένη καὶ ὀδυνωμένη ἦν ἡ γυνή. τοῦτο γάρ ἐστι **Δ** » τὸ, ἀπὸ ἱκανοῦ. καὶ ὅμως οὐκ ἀπεδυσπέτησεν, οὐδὲ ἤλεγξεν αὐτῆς τὴν φιλοσοφίαν τοῦ χρόνου τὸ μῆκος, οὐδὲ τὰ ὀνείδη καὶ αἱ λοιδορίαι τῆς ἀντιζήλου, ἀλλ' ηὔχετο συνεχῶς καὶ ἱκέτευε.

η. Καὶ εἶπεν αὐτῇ Ἐλκανὰ ὁ ἀνὴρ αὐτῆς, Ἄννα. καὶ εἶπεν αὐτῷ, ἰδοὺ ἐγὼ, κύριε. καὶ εἶπεν αὐτῇ, τί ἐστί σοι ὅτι κλαίεις; καὶ ἵνα τί οὐκ ἐσθίεις; **E** καὶ ἵνα τί τύπτει σε ἡ καρδία σου, οὐκ ἀγαθὸς ἐγώ σοι ὑπὲρ δέκα τέκνα;

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁρᾷς πῶς αὐτῆς ἐξήρτητο, καὶ ὑπὲρ ἐκείνης ἤλγει πλέον, οὐ διὰ τὸ μὴ ἔχειν παιδία, ἀλλὰ διὰ τὸ ὁρᾷν ἀθυμοῦσαν αὐτὴν καὶ περιοδυνίᾳ κατεχομένην; ἀλλ' ὅμως οὐκ ἔπεισεν αὐτὴν ἀποστῆναι τῆς ἀθυμίας. οὐ γὰρ δι' αὐτὸν ἐζήτει τὸ παιδίον, ἀλλ' ἵνα τινὰ καρπὸν ἐπιδείξηται τῷ Θεῷ. **Z**

θ. Καὶ ἀνέστη Ἄννα μετὰ τὸ φαγεῖν αὐτοὺς ἐν Σηλὼμ, καὶ κατέστη ἐνώπιον Κυρίου. καὶ Ἡλὶ ἱερεὺς, (1) καὶ ἐκάθισεν ἐπὶ τοῦ δίφρου, ἐπὶ τῶν φλιῶν ναοῦ Κυρίου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐχ ἁπλῶς οὐδὲ τοῦτο εἴρηται, ὅτι μετὰ τὸ φαγεῖν καὶ πιεῖν· ἀλλ' ἵνα μάθῃς, ὅτι τὸν καιρὸν, ὃν ἀνέσεως ἕτεροι καὶ ἀδείας ποιοῦνται, τοῦτον **H** εὐχῆς καὶ δακρύων ἐποιεῖτο καιρὸν, διὰ τὸ » σφόδρα νήφειν καὶ γρηγορέναι. καὶ κα- **A** » τέστη ἐνώπιον Κυρίου, καὶ Ἡλεὶ ὁ ἱερεὺς, φη- » σὶν, ἐκάθητο ἐπὶ τοῦ δίφρου ἐπὶ τῶν φλιῶν » ναοῦ Κυρίου. οὐδὲ τοῦτο ἁπλῶς εἴρηται, ὅτι » ὁ Ἡλεὶ ὁ ἱερεὺς ἐκάθητο ἐπὶ τῶν φλιῶν ναοῦ Κυρίου· ἀλλ' ὑπὲρ τοῦ δεῖξαι τὴν θερμότητα τῆς γυναικός. καθάπερ γὰρ χήρα πολλάκις γυνὴ ἀπροστάτευτος οὖσα καὶ ἔρημος, ἐπηρεαζομένη, πολλὰ ἀδικουμένη, βασιλέως εἰσελαύνειν μέλλοντος, δορυφόρων, ἀσπιδιφόρων, ἱππέων, ἑτέρας πολ- **B** λῆς θεραπείας προαπαντώσης, οὐ καταπλήττεται, οὐδὲ προστάτου δεῖται, ἀλλὰ πάντας αὐτοὺς διατεμοῦσα, μετὰ πολλῆς ἐντυγχάνει τῷ βασιλεῖ παῤῥησίας, τὴν οἰκείαν ἐκτραγῳδοῦσα συμφορὰν, τῆς ἀνάγκης αὐτὴν χειραγωγούσης· οὕτω δὴ καὶ αὕτη ἡ γυνὴ οὐκ ἠρυθρίασεν, οὐκ ᾐσχύνθη, τοῦ ἱερέως καθημένου, αὐτὴ δι' ἑαυτῆς αἰτῆσαι, καὶ μετὰ πολλῆς τῆς παῤῥησίας τῷ βασιλεῖ προσελθεῖν· ἀλλ' ὑπὸ τοῦ πόθου πτερωθεῖσα, **Γ** καὶ πρὸς τὸν οὐρανὸν ἀναβᾶσα τῇ διανοίᾳ, ὡς αὐτὸν ὁρῶσα τὸν Θεὸν, οὕτω μετὰ πάσης αὐτῷ θερμότητος διελέγετο.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ Ἡλὶ ὁ ἀρχιερεὺς ἐκ ποίας ἦν πατριᾶς; Ἐκ τῆς τοῦ Ἰθάμαρ. ἀλλὰ διὰ τὴν τῶν παίδων παρανομίαν, (2) ἅπαν αὐτοῦ τὸ γένος τῆς ἀρχιερατικῆς ἐστερήθη τιμῆς. [ἡλίκας γὰρ ἐτόλμων παρανομίας, ἡ ἱστορία διδάσκει.]

ι. Καὶ αὐτὴ κατώδυνος ψυχῇ, καὶ **Δ** προσηύξατο πρὸς Κύριον, καὶ κλαίουσα ἔκλαυσε.
ια. Καὶ ηὔξατο εὐχὴν Κυρίῳ, λέγουσα, Ἀδωναῒ Κύριε ἐλωὲ σαβαὼθ, ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου, καὶ μνησθῇς μου, καὶ δῷς τῇ δούλῃ σου σπέρμα ἀνδρὸς, καὶ δώσω αὐτὸν ἐνώπιόν σου δοτὸν ἕως ἡμέρας θανάτου αὐτοῦ, **E** καὶ οἶνον καὶ μέθυσμα οὐ πίεται, καὶ σίδηρος οὐκ ἀναβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ.

** ΩΡΙΓΕΝΟΥΣ. Δύναταί τις οὐκ ἀπιθάνως ἐνταῦθα, ἐπιστήσας τῷ, προ- » σηύξατο πρὸς Κύριον, καὶ ηὔξατο εὐχὴν, » εἰπεῖν· ὅτι εἰ τὰ δύω πεποίηκε· τουτέστι » προσηύξατο πρὸς Κύριον, καὶ ηὔξατο εὐ- » χὴν, μήποτε τὸ μὲν, προσηύξατο, ἐπὶ τῆς συνήθως ἡμῖν ὀνομαζομένης τέτακται **Z** » εὐχῆς· τὸ δὲ, ηὔξατο εὐχὴν, ἐπὶ τοῦ ἐν Λευϊτικῷ καὶ Ἀριθμοῖς τεταγμένου σημαι- » νομένου. τὸ γὰρ, δώσω αὐτὸν Κυρίῳ δοτὸν » πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, καὶ » σίδηρος οὐκ ἀναβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, κυρίως οὐκ ἔστι προσευχὴ, ἀλλ' ἐκείνη ἡ εὐχὴ, ἥντινα καὶ Ἰεφθάε ηὔξατο ἐν τού- » τοις· καὶ ηὔξατο Ἰεφθάε εὐχὴν τῷ Κυ- Κριτ. ια. 30.
ρίῳ, καὶ τὰ ἑξῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀπ' ὀδυρμῶν **H** ποιεῖται τὰ προοίμια, καὶ θερμὰς ἀφίησι πηγὰς δακρύων. Καὶ μετ' ὀλίγα. Φοβερὰ τὰ ῥήματα, καὶ φρίκης γέμοντα· καὶ καλῶς ἐποίησεν

(1) Ἱερεὺς ἐκάθητο. ἡ τοῦ Ἄλδ. ἔκδ.

(2) Πονηρίαν. ἡ ἐν Χάλ. ἔκδ.

ἐποίησεν ὁ συγγραφεὺς μὴ μετενεγκὼν αὐτὰ πρὸς τὴν ἡμετέραν φωνήν. οὐ γὰρ ἴσχυσε μετὰ τῆς οἰκείας αὐτὰ ἀρετῆς μεταθεῖναι πρὸς τὴν ἑλλάδα γλῶτταν. οὐκ ἀφ' ἑνὸς δὲ αὐτὸν ἐκάλεσε ῥήματος ἡ γυνή, ἀλλ' ἀπὸ πολλῶν τῶν προσόντων αὐτῷ, τὸν περὶ αὐτὸν πόθον ἐνδεικνυμένη, καὶ τὴν θερμὴν διάθεσιν. καὶ καθάπερ οἱ τὰς δεήσεις γράφοντες τῷ βασιλεῖ, οὐκ ἐντιθέασιν ἓν ὄνομα μόνον, ἀλλὰ τὸν Τροπαιοῦχον, τὸν Αὔγουστον, τὸν Αὐτοκράτορα, καὶ πολλὰ ἕτερα τούτων ἄνω προθέντες, τότε ποιοῦνται τὴν ἱκετηρίαν· οὕτω καὶ αὕτη δέησίν τινα ἀναφέρουσα τῷ Θεῷ, πολλὰ τίθησιν ἐν τῷ προοιμίῳ τῆς δεήσεως ὀνόματα, τήντε οἰκείαν διάθεσιν ἐνδεικνυμένη, καθάπερ ἔφθην εἰπών, καὶ τὴν εἰς τὸν παρακαλούμενον τιμήν. καὶ τὴν δέησιν αὐτὴν ὑπηγόρευσεν ἡ ὀδύνη. διὸ καὶ ταχέως ἠκούετο μετὰ πολλῆς αὐτὴν γράψασα τῆς συνέσεως. τοιαῦται γὰρ αἱ ἐξ ὀδύνης ψυχῆς γινόμεναι εὐχαί. καὶ γὰρ ἀντὶ χάρτου μὲν ἦν αὐτῆς ἡ διάνοια, ἀντὶ καλάμου δὲ ἡ γλῶττα, τὰ δάκρυα δὲ ἀντὶ μέλανος. διὸ καὶ μέχρι τῆς σήμερον ἡμέρας ἡ δέησις ἔμεινεν. ἀνεξάλειπτα γὰρ τὰ τοιαῦτα γίνεται γράμματα, ἅπερ ἂν ἐν ἐκείνῳ βαφῇ τῷ μέλανι. καὶ τὰ μὲν προοίμια τῆς δεήσεως τοιαῦτα· τὰ δὲ ἑξῆς, τίνα; ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς, φησὶν, ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου. οὔπω οὐδὲν ἔλαβε, καὶ ἐξ ὑποσχέσεως τὴν ἀρχὴν ἐποιήσατο τῆς εὐχῆς. ἀμείβεται τὸν Θεὸν ἤδη, μηδὲν ἐν χερσὶ κατέχουσα. οὕτως ἔζεε καὶ ὤδινε πρὸς τοῦτο μᾶλλον, ἢ πρὸς ἐκεῖνο. καὶ διὰ τοῦτο ηὔξατο λαβεῖν τὸ παιδίον. ἐὰν ἐπιβλέπων ἐπιβλέψῃς ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου. δύω δικαιώματα, φησὶν, ἔχω, τὴν δουλείαν, καὶ τὴν συμφοράν. καὶ δῷς μοι τῇ δούλῃ σου σπέρμα ἀνδρὸς, δώσω αὐτὸ ἐνώπιόν σου δοτόν. τί ἐστιν ἐνώπιόν σου δοτόν; ἔκδοτον καὶ ὁλόκληρον δοῦλον. ἀφίσταμαι τῆς ἐξουσίας ἁπάσης. τοσοῦτον γὰρ βούλομαι γενέσθαι μήτηρ μόνον, ὅσον τὴν ἀρχὴν παρ' ἐμοῦ λαβεῖν τὸ παιδίον, καὶ λοιπὸν ἐξίσταμαι καὶ παραχωρῶ. καὶ σκόπει γυναικὸς εὐλάβειαν. οὐκ εἶπεν, ἐὰν δῷς μοι τρεῖς, τοὺς δύω σοι δίδωμι· ἐὰν δὲ δύω, τὸν ἕνα σοι δίδωμι. ἀλλ' ἐὰν μόνον ἕνα δῷς, ὁλόκληρον ἀνατίθημί σοι τὸν καρπόν. καὶ οἶνον καὶ μέθυσμα οὐ μὴ πίεται. οὔπω ἔλαβε τὸ παιδίον, καὶ ἤδη διαπλάττει Προφήτην, καὶ περὶ τῆς παιδοτροφίας αὐτοῦ διαλέγεται, καὶ συνθήκας ποιεῖται πρὸς τὸν Θεόν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Δίδωμί σοι αὐτὸν δοτὸν, ἐν ἴσῳ τῷ, δοτὸν ὄντα· ὡς εἶναι, τὸν δεδομένον δίδωμι, κατὰ τὸ ἱερώτατον Μωσέως γράμμα τοῦτο· τὰ δῶρά μου, δόματά μου, καρπώματά μου, διατηρήσετε προσφέρειν ἐμοί. ('Αριθ. 25. 2.) τίνι γὰρ εὐχαριστητέον ἄλλῳ, πλὴν Θεῷ; διὰ τίνων δὲ, ὅτι μὴ διὰ τῶν ὑπ' αὐτοῦ δοθέντων; οὐδὲ γὰρ ἄλλων εὐπορῆσαι δυνατόν.

** ΤΟΥ ΑΥΤΟΥ. Ὁ καὶ βασιλέων καὶ Προφητῶν μέγιστος Σαμουὴλ, οἶνον καὶ μέθυσμα, ὡς ὁ ἱερὸς λόγος φησὶν, ἄχρι τελευτῆς οὐ πίεται. τέτακται γὰρ ἐν τῇ τοῦ θείου στρατοπέδου τάξει, ἣν οὐδέποτε λείψει προμηθείᾳ τοῦ σοφοῦ ταξιάρχου.

ιβ. Καὶ ἐγενήθη ὅτε ἐπλήθυνε προσευχομένη ἐνώπιον Κυρίου, καὶ Ἡλὶ ὁ ἱερεὺς ἐφύλαξε τὸ στόμα αὐτῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Διπλῆν ἐνταῦθα ὁ συγγραφεὺς ἀρετὴν μαρτυρεῖ τῇ γυναικὶ, καὶ τὴν καρτερίαν τὴν ἐν ταῖς εὐχαῖς, καὶ τὸ τῆς διανοίας ἐγρηγορός· τὸ μὲν, διὰ τοῦ εἰπεῖν, ἐπλήθυνε· τὸ δὲ, διὰ τοῦ προσθεῖναι, ἐνώπιον Κυρίου. πάντες μὲν γὰρ εὐχόμεθα, ἀλλ' οὐ πάντες ἐνώπιον τοῦ Θεοῦ. ὅταν γὰρ τοῦ σώματος ἐπὶ γῆς κειμένου, καὶ τοῦ στόματος εἰκῇ ληροῦντος, ἡ διάνοια πανταχοῦ τῆς οἰκίας καὶ τῆς ἀγορᾶς περιέρχηται, πῶς ὁ τοιοῦτος δυνήσεται εἰπεῖν, ὅτι ἐνώπιον τοῦ Θεοῦ ηὔξατο; ἐνώπιον γὰρ Κυρίου εὔχεται, ὁ πάντοθεν ἑαυτοῦ τὴν ψυχὴν συλλέγων, καὶ μηδὲν ἔχων κοινὸν πρὸς τὴν γῆν, ἀλλὰ πρὸς αὐτὸν τὸν οὐρανὸν ἑαυτὸν μετοικίσας, καὶ πάντα ἀνθρώπινον λογισμὸν ἀπὸ τῆς ψυχῆς ἐκβαλών. καθάπερ οὖν καὶ αὕτη ἡ γυνὴ ἐποίησε τότε. ὅλην γὰρ ἑαυτὴν συναγαγοῦσα, καὶ συντείνασα τὴν διάνοιαν, ἐκάλει τὸν Θεὸν μετ' ὀδυνωμένης ψυχῆς. πῶς δέ φησιν, ὅτι καὶ ἐπλήθυνε τὴν εὐχήν; καίτοιγε βραχὺ τὸ μέτρον τῆς εὐχῆς τῆς γυναικός. οὐ γὰρ μακροὺς ἀπέτεινε λόγους, οὐδὲ εἰς μῆκος τὴν ἱκετηρίαν ἐξέτεινεν. ἀλλ' ὀλίγα καὶ ψιλὰ εἶπε ῥήματα· Ἀδωναῒ Κύριε Ἐλωῒ Σαβαὼθ, ἐὰν ἐπιβλέπων ἐπιβλέψῃ ἐπὶ τὴν ταπείνωσιν τῆς δούλης σου, καὶ μνησθῇς μου, μὴ ἐπιλάθῃ τῆς δούλης σου, καὶ δῷς τῇ δούλῃ σου σπέρμα ἀνδρὸς, δώσω αὐτὸ ἐνώπιόν σου δοτὸν ἕως ἡμέρας θανάτου αὐτοῦ, καὶ οἶνον καὶ μέθυσμα οὐ μὴ πίεται, καὶ σίδηρος οὐκ ἀναβήσεται ἐπὶ τὴν κεφαλὴν αὐτοῦ. ποῖον τοῦτο πλῆθος ῥημάτων; τί ποτ' οὖν ᾐνίξατο εἰπὼν, ἐπλήθυνε; συνεχῶς τὰ αὐτὰ ἐφθέγγετο. καὶ οὐκ ἀφίστατο πολὺν δαπανῶσα χρόνον διὰ τῶν αὐτῶν ῥημάτων. Καὶ μετ' ὀλίγα. Εἶτα ἐπειδὴ ἐπεστόμισεν αὐτὴν ὁ ἱερεύς· τοῦτο γάρ ἐστι τὸ, ἐφύλασσε τὸ στόμα αὐτῆς, καὶ τὰ χείλη αὐτῆς ἐκινεῖτο, φωνὴ δὲ αὐτῆς οὐκ ἠκούετο· ἐβιάσατο καὶ ὑπακοῦσαι τῷ ἱερεῖ, καὶ τῆς εὐχῆς ἀποστῆναι. ἐπεστόμιστο οὖν αὐτῆς ἡ φωνὴ, οὐκ ἐπεστόμιστο δὲ ἡ παῤῥησία, ἀλλὰ μειζόνως ἡ καρδία ἔνδον ἐβόα. τοῦτο γάρ ἐστι μάλιστα εὐχὴ, ὅταν ἔνδον αἱ βοαὶ ἀναφέρωνται. τοῦτο μάλιστα ψυχῆς πεπονημένης, μὴ τῷ τόνῳ τῆς φωνῆς, ἀλλὰ τῇ προθυμίᾳ τῆς διανοίας τὴν εὐχὴν ἐπιδείκνυσθαι.

ιγ. Καὶ αὐτὴ (1) ἐλάλει ἐν τῇ καρδίᾳ αὐτῆς, καὶ τὰ χείλη αὐτῆς ἐκινεῖτο, καὶ

(1) Αὕτη αἱ εἰρημ. ἐκδόσ.

καὶ φωνὴ αὐτῆς οὐκ ἠκούετο. καὶ ἐλογίσατο αὐτὴν Ἠλὶ (1) μεθύουσαν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὕτω καὶ Μωϋσῆς ηὔχετο. διὸ καὶ μηδὲν αὐτοῦ φθεγγομένου, φησὶν ὁ Θεὸς, τί βοᾷς πρός με; (Ἐξόδ. 14. 15.) ἄνθρωποι μὲν γὰρ ταύτης μόνον ἐπακούουσι τῆς φωνῆς· ὁ δὲ Θεὸς, πρὸ ταύτης, τῶν ἔνδοθεν κραζόντων ἀκούει. ἄρα ἐστὶ καὶ μὴ κράζοντας ἀκούεσθαι, καὶ ἐπ' ἀγορᾶς βαδίζοντας εὔχεσθαι κατὰ διάνοιαν μετὰ πολλῆς ἀκριβείας, καὶ μετὰ φίλων συνεδρεύοντας, καὶ πᾶν ὁτιοῦν ποιοῦντας, μετὰ σφοδρᾶς τῆς βοῆς καλεῖν τὸν Θεὸν, τῆς ἔνδον λέγω, καὶ μηδενὶ τῶν παρόντων κατάδηλον ταύτην ποιεῖν. ὅπερ οὖν καὶ ἡ γυνὴ αὕτη τότε ἐποίησε. φωνὴ γὰρ αὐτῆς οὐκ ἠκούετο, φησί· καὶ εἰσήκουσεν αὐτῆς ὁ Θεός. τοσαύτη οὖν αὐτῆς ἔνδοθεν ἡ κραυγή.

** ΝΕΙΛΟΥ. Ἡ μακαρία Ἄννα ἡ μήτηρ Σαμουὴλ τοῦ Προφήτου ηὔχετο. καὶ τὰ μὲν χείλη αὐτῆς ἐκινεῖτο, φωνὴ δὲ οὐκ ἠκούετο. καὶ ἐπειδὴ ἀπὸ καρδίας ηὔχετο, εἰσηκούσθη. καὶ στεῖρα ὑπάρχουσα, μετὰ τοσοῦτον χρόνον, μήτηρ τέκνων τοσούτων ἐγένετο. πάντα γὰρ δυνατὰ τῷ πιστεύοντι, καὶ τῷ προσευχομένῳ καθ' ὃν δεῖ τρόπον.

* ΠΡΟΚΟΠΙΟΥ. Καὶ φωνὴ αὐτῆς οὐκ ἠκούετο. Τῆς Ἄννης προσευχομένης, τὰ χείλη μόνον ἐκινεῖτο, φωνὴ δὲ οὐκ ἠκούετο. Πόθεν τῷ συγγραφεῖ τὰ ῥήματα τῆς προσευχῆς ἱστόρηται; Πλὴν εἰ μή τις, ὡς εἴρηται, (2) συγχωρήσειε, τοὺς πνευματοφόρους συγγεγραφηκέναι τὰ γενόμενα κατὰ καιρὸν τῇ δυνάμει τοῦ ἁγίου πνεύματος.

ιδ. Καὶ εἶπεν αὐτῇ τὸ παιδάριον Ἠλὶ, ἕως πότε μεθυσθήσῃ; περιελοῦ τὸν οἶνόν σου, καὶ πορεύου ἐκ προσώπου Κυρίου.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Λέγεται πρὸς αὐτὴν ὑπὸ παιδαρίου τινὸς, οὐχ ἑνὸς, ἀλλ' ὑπὸ παντὸς τοῦ νεωτερίζειν καὶ τὰ καλὰ χλευάζειν ἀκμὴν ἔχοντος· ἕως πότε μεθυσθήσῃ; περιελοῦ τὸν οἶνόν σου. φιλεῖ γὰρ τοῖς θεοφορήτοις οὐχ ἡ ψυχὴ μόνον ἐγείρεσθαι καὶ ὥσπερ ἐξοιστρεῖν, ἀλλὰ καὶ τὸ σῶμα ἐνερευθὲς εἶναι καὶ πεπυρωμένον, τῆς ἔνδον ἀναχεούσης καὶ χλιαινούσης χαρᾶς τὸ πάθος εἰς τὰ ἔξω διαδιδούσης· ὑφ' οὗ πολλοὶ τῶν ἀφρόνων ἀπατηθέντες, τοὺς νήφοντας μεθύειν ὑπετόπασαν. καίτοιγε ἐκεῖνοι μὲν τρόπον τινὰ μεθύουσιν οἱ νήφοντες, τὰ ἀγαθὰ ἀθρόα ἠκρατισμένοι, καὶ τὰς προπόσεις παρὰ τελείας ἀρετῆς δεξάμενοι. οἱ δὲ τὴν ἀπὸ οἴνου μεθύοντες μέθην, ἄγευστοι φρονήσεως διετέλεσαν, νηστείαν συνεχῆ, καὶ λιμὸν αὐτῆς ἄγοντες.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐνταῦθα μάλιστά ἐστι τὴν φιλοσοφίαν τῆς γυναικὸς ἰδεῖν. ἐπὶ τῆς οἰκίας ἡ ἀντίζηλος ὠνείδιζεν· A ἦλθεν εἰς τὸν ναὸν, καὶ τὸ παιδάριον τοῦ ἱερέως ὕβρισε, καὶ ὁ ἱερεὺς ἐπετίμησεν. ἔφυγε τὸν οἴκοι χειμῶνα, ἦλθεν εἰς λιμένα, καὶ κύματα πάλιν εὗρεν. ἦλθε φάρμακον λαβεῖν, ἡ δὲ οὐ μόνον οὐκ ἔλαβεν, ἀλλὰ καὶ πληγὴν διὰ τῶν ὀνειδῶν προσεκτήσατο· καὶ τὸ ἕλκος μᾶλλον δι' αὐτῶν ἀνεξαίνετο. ἴστε γὰρ πῶς αἱ ὀδυνώμεναι ψυχαὶ πρὸς τὰς λοιδορίας καὶ τὰς ὕβρεις διάκεινται. καθάπερ γὰρ τὰ μείζονα τῶν B τραυμάτων οὐ τὴν τυχοῦσαν ἐπιβολὴν τῆς χειρὸς ἀνεχόμενα, χείρονα γίνεται· οὕτω καὶ ἡ ψυχὴ τεταραγμένη δυσάρεστός τε ἐστὶ, καὶ πρὸς ἅπαντα δυσχεραίνει, καὶ ὑπὸ τοῦ τυχόντος δάκνεται ῥήματος. ἀλλ' ὅμως οὐδὲν τοιοῦτον ἔπαθεν ἡ γυνὴ, καὶ ταῦτα τοῦ παιδὸς λοιδορουμένου. εἰ μὲν οὖν ὁ ἱερεὺς ἦν ὁ ὑβρικὼς, οὐχ οὕτω θαυμαστὴ ἦν ἡ ἀνεξικακία. τὸ γὰρ μέγεθος τοῦ ἀξιώματος, καὶ ὁ τῆς ἀρχῆς ὄγκος καὶ ἄκουσαν αὐτὴν ἔπεισε Γ σωφρονεῖν. νυνὶ δὲ οὐδὲ πρὸς τὸ παιδάριον τοῦ ἱερέως ἐδυσχέρανε. διὰ τοῦτο καὶ μᾶλλον τὸν Θεὸν εἰς εὔνοιαν ἐπεσπάσατο.

ιε. Καὶ ἀπεκρίθη Ἄννα, καὶ εἶπεν, οὐχὶ Κύριε· γυνὴ ἐν (3) σκληρᾷ ἡμέρᾳ ἐγώ εἰμι, καὶ οἶνον καὶ μέθυσμα οὐ πέπωκα, καὶ ἐκχεῶ τὴν ψυχήν μου ἐνώπιον Κυρίου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐχὶ Κύριε. Δ Τὸν ὑβρίσαντα δεσπότην ἐκάλεσε. καὶ οὐκ εἶπεν ὃ πολλοὶ τῶν ἀνθρώπων λέγουσιν, εἶπέ μοι ταῦτα ὁ ἱερεύς; ταῦτα ὁ διδάσκων τοὺς ἄλλους, εἰς μέθην καὶ παροινίαν ἔσκωψεν; ἀλλ' ἐσκόπησεν ὅπως ἀποκρούσαιτο μόνον τὴν ὑπόνοιαν, καίτοιγε οὐκ οὖσαν ἀληθῆ. Καὶ μετ' ὀλίγα. Πόθεν δὲ ὅλως καὶ ὑπώπτευσεν ὁ ἱερεὺς τοῦτο; μὴ γὰρ γελῶσαν εἶδε; μὴ γὰρ χορεύουσαν; μὴ γὰρ περιφερομένην καὶ καταπίπτουσαν; μὴ γὰρ E αἰσχρόν τι καὶ ἀνελεύθερον φθεγγομένην ῥῆμα; πόθεν οὖν ταύτην ἔσχε τὴν ὑπόνοιαν; οὐχ ἁπλῶς, οὐδὲ ὡς ἔτυχεν ἐκεῖνος, ἀλλ' ἀπὸ τοῦ καιροῦ τῆς ἡμέρας. καὶ γὰρ ἦν τὸ μεσημβρινὸν ὅτε τὴν εὐχὴν ἐποιεῖτο. πόθεν τοῦτο δῆλον; ἀπ' αὐτῶν τῶν ἄνωθεν εἰρημένων. ἀνέστη γάρ φησιν Ἄννα μετὰ τὸ φαγεῖν αὐτοὺς ἐν Σηλὼμ, καὶ μετὰ τὸ πιεῖν, καὶ κατέστη ἐνώπιον Κυρίου. Καὶ μεθ' ἕτερα. Εἰποῦσα, οὐχὶ Κύριε, ἐπήγαγε· γυνὴ ἐν Z σκληρᾷ ἡμέρᾳ ἐγώ εἰμι, καὶ οἶνον καὶ μέθυσμα οὐ πέπωκα. παρατήρησον πῶς οὐδὲ ἐνταῦθα λέγει τὰ ὀνείδη τῆς ἀντιζήλου, οὐδὲ ἐκπομπεύει τὴν πονηρίαν ἐκείνης, οὐδὲ ἐκτραγῳδεῖ τὴν συμφορὰν τὴν οἰκείαν, ἀλλὰ τοσοῦτον ἀποκαλύπτει τὴν ἑαυτῆς ἀθυμίαν, ὅσον ἀπολογήσασθαι πρὸς τὸν ἱερέα μόνον. γυνὴ ἐν σκληρᾷ ἡμέρᾳ, φησὶν, ἐγώ εἰμι· καὶ οἶνον καὶ μέθυσμα οὐ πέπωκα, καὶ ἐκχέω τὴν ψυχήν μου ἐνώπιον Κυ- H ρίου. οὐκ εἶπεν, εὔχομαι τῷ Θεῷ, ἱκετεύω τὸν

(1) Εἰς μεθ. ἐν αὐτ.

(2) Τὸ, ὡς εἴρηται, οὐ κεῖται ἐν τῷ τῆς Αὐγ. κώδ.

(3) Οὕτω μὲν καὶ ἡ τοῦ Ἀλδ. ἔκδ. καὶ ὁ Χρυσόστ. καὶ ὁ Προκόπ. ἐν τοῖς ὑπομν. αἱ δὲ εἰρημ. ἐκδόσ. ἡ σκληρᾷ ἡμέρᾳ. ὁμοίως καὶ ὁ Φίλ. ἐν τῷ ὑπομ.

τὸν Θεόν. ἀλλ' ἐκχέω τὴν ψυχήν μου ἐνώπιον Κυρίου· τουτέστιν ὅλην ἐμαυτὴν μετέστησα πρὸς τὸν Θεόν, τὴν διάνοιάν μου ἐξεκένωσα πρὸς αὐτόν, ὅλῃ ψυχῇ καὶ δυνάμει τὴν εὐχήν μου ἐποιησάμην, εἶπον τῷ Θεῷ τὴν συμφορὰν τὴν ἐμήν, ἔδειξα τὸ ἕλκος, ἐκεῖνος τὸ φάρμακον θεῖναι δύναται.

✱ ΠΡΟΚΟΠΙΟΥ. Τί ἐστι, γυνὴ ἐν σκληρᾷ ἐγώ εἰμι; Τουτέστι κεκακωμένη, νηστεύουσα.

✱✱ ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Γυνὴ ἡ σκληρὰ ἡμέρα ἐγώ εἰμι, καὶ οἶνον καὶ μέθυσμα οὐ πέπωκα, καὶ ἐκχέω τὴν ψυχήν μου ἐνώπιον Κυρίου. Παμπόλλη γε παῤῥησία τῆς ψυχῆς, ἣ τῶν χαρίτων τοῦ Θεοῦ πεπλήρωται. πρῶτον μὲν γὰρ σκληρὰν ἡμέραν εἶπεν ἑαυτήν, πρὸς τὸ χλευάζον ἀπιδοῦσα παιδάριον. τούτῳ γὰρ καὶ παντὶ ἄφρονι τραχεῖα καὶ δύσβατος καὶ ἀργαλεωτάτη νενόμισται ἡ ἐπ' ἀρετὴν ἄγουσα ὁδός. Καὶ μετ' ὀλίγα. Εἶτα οἶνον καὶ μέθυσμα οὔ φησι προσενέγκασθαι, τῷ συνεχῶς καὶ παρὰ πάντα τὸν βίον νήφειν ἐπαυχοῦσα. καὶ γὰρ ὄντως ἀφέτῳ καὶ ἐλευθεριάζοντι καὶ καθαρῷ χρῆσθαι λογισμῷ πρὸς μηδενὸς πάθους παροινουμένῳ, μέγα καὶ θαυμαστὸν ἦν ἔργον. ἐκ τούτου δὲ συμβαίνει, νήψεως ἀκράτου τὸν νοῦν ἐμφορηθέντα, σπονδὴν ὅλον δι' ὅλων γενέσθαι τε καὶ σπένδεσθαι Θεῷ. τί γὰρ ἦν τό, ἐκχέω τὴν ψυχήν μου ἐναντίον Κυρίου; ἢ σύμπασαν αὐτὴν ἀνιερώσω· δεσμὰ μὲν οἷς πρότερον ἐσφίγγετο, ἃ περιῆψαν αἱ τοῦ θνητοῦ βίου κεναὶ σπουδαί, πάντα λύσας, παραγαγὼν δὲ ἔξω, καὶ τείνας, καὶ ἀναχέας τοσοῦτον, ὡς καὶ τῶν τοῦ παντὸς ἅψασθαι περάτων, καὶ πρὸς τὴν τοῦ ἀγεννήτου παγκάλην καὶ ἀοίδιμον θέαν ἐπειχθῆναι.

ιϛ. Μὴ δῷς τὴν δούλην σου (1) εἰς θυγατέρα λοιμήν, ὅτι ἐκ πλήθους ἀδολεσχίας μου ἐκτέτακα ἕως τοῦ νῦν.

✱ ΠΡΟΚΟΠΙΟΥ. Τὸ δέ, μὴ δῷς τὴν δούλην σου εἰς (2) θυγατέρα λοίμην, Θεοδοτίων, ὡς μίαν τῶν ἀπαιδευτῶν· ἢ ὥσπερ τὸν νοήμονα λέγει τὸν σοφόν, οὕτω τὸν παράνομον υἱὸν λοιμοῦ.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Μὴ δῷς τὴν δούλην σου εἰς πρόσωπον εἰς θυγατέρα λοιμήν. Πάλιν δούλην ἑαυτὴν καλεῖ, καὶ πολλὴν ποιεῖται σπουδήν, ὥστε μὴ πονηρὰν δόξαν παρὰ τῷ ἱερεῖ λαβεῖν. καὶ οὐκ εἶπε πρὸς ἑαυτήν, τί δέ μοι μέλει τῆς τούτου διαβολῆς, ἁπλῶς καὶ εἰκῇ κατηγόρησεν, ὑπώπτευσεν εἰς οὐδὲν δέον· τὸ συνειδός μου καθαρὸν ἔστω, καὶ πάντες με διαβαλλέτωσαν· ἀλλὰ τὸν ἀποστολικὸν ἐκεῖνον ἐπλήρου
Ῥώμ. 12. 17. νόμον, τὸν κελεύοντα προνοεῖσθαι καλὰ μὴ μόνον ἐνώπιον Κυρίου, ἀλλὰ καὶ ἐνώπιον ἀνθρώπων. καὶ παντὶ τρόπῳ τὴν ὑποψίαν ἀπεκρούετο, λέγουσα· μὴ δῷς τὴν δούλην σου εἰς πρόσωπον εἰς θυγατέρα λοιμήν. τί

A δέ ἐστιν, εἰς πρόσωπον; μὴ νομίσῃς ἀναίσχυντον εἶναί με καὶ ἰταμήν. ἀθυμίας, οὐ παροινίας ἐστὶν αὕτη ἡ παῤῥησία· ὀδύνης, οὐχὶ μέθης.

ιζ. Καὶ ἀπεκρίθη Ἠλί, καὶ εἶπε πρὸς αὐτήν, πορεύου εἰς εἰρήνην. ὁ Θεὸς Ἰσραὴλ δῴη σοι πᾶν αἴτημά σου, ὃ ᾐτήσω παρ' αὐτοῦ.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί οὖν ὁ ἱερεύς; B ὅρα κἀκείνου τὴν σύνεσιν, οὐ περιειργάσατο τὴν συμφοράν, οὐκ ἠβουλήθη πολυπραγμονῆσαι τὴν αἰτίαν, ἀλλὰ τί φησι; πορεύου ἐν εἰρήνῃ, δῴη σοι Κύριος ὁ Θεὸς τοῦ Ἰσραὴλ πᾶν αἴτημα, ὃ ᾐτήσω παρ' αὐτοῦ. τὸν κατήγορον, συνήγορον εἰργάσατο ἡ γυνή· τοσοῦτόν ἐστιν ἐπιείκεια καὶ πραότης καλόν· καὶ ἀντὶ ὕβρεως ἐφόδια ἱκανὰ λαβοῦσα, ἀπῆλθε, καὶ προστάτην ἔσχε καὶ πρεσβευτὴν τὸν ἐπιτιμήσαντα.

Γ ΘΕΟΔΩΡΙΤΟΥ. Ἄξιον δὲ αὐτῆς θαυμάσαι καὶ τὴν τῶν ἠθῶν μετριότητα. παροινουμένη γὰρ ὡς μεθύουσα, πρᾴως ἤνεγκε, καὶ τὴν ψευδῆ ὑποψίαν ἀποσκευασαμένη, τὸ πάθος ἐδίδαξε, καὶ τῆς ἱεραρχικῆς εὐλογίας τετύχηκεν. ἤκουσε γάρ, πορεύου ἐν εἰρήνῃ. Κύριος ὁ Θεὸς Ἰσραὴλ δῴη σοι πᾶν αἴτημά σου, ὃ ᾐτήσω παρ' αὐτοῦ.

ιη. Καὶ εἶπεν Ἄννα, εὗρεν (3) ἡ Δ δούλη σου χάριν ἐν ὀφθαλμοῖς σου. καὶ ἐπορεύθη ἡ γυνὴ εἰς τὴν ὁδὸν αὐτῆς· καὶ εἰσῆλθεν εἰς τὸ κατάλυμα αὐτῆς, καὶ ἔφαγε μετὰ τοῦ ἀνδρὸς αὐτῆς καὶ ἔπιε, καὶ τὸ πρόσωπον αὐτῆς οὐ συνέπεσεν ἔτι.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐδὲ οὕτως ἀφίσταται, ἀλλὰ πάλιν φησίν, εὕροι ἡ δούλη σου χάριν ἐν ὀφθαλμοῖς σου· τουτέστι, μάθοις διὰ τοῦ τέλους αὐτοῦ, καὶ τῆς τῶν πραγ- E μάτων ἐκβάσεως, ὡς οὐκ ἀπὸ παροινίας, ἀλλ' ἐξ ὀδύνης, τοσαύτην ἐποιησάμην ἱκετηρίαν καὶ τὴν δέησιν. καὶ ἀπελθοῦσα, φησίν, οὐκ ἔτι συνέπεσεν. εἶδες πίστιν γυναικός; πρὶν λάβῃ ὅπερ ᾔτησεν, ἐθάρσησεν ὡς λαβοῦσα. τὸ δὲ αἴτιον, ὅτι μετὰ πολλῆς ηὔξατο τῆς σφοδρότητος, μετὰ σπουδῆς ἀδιακρίτου. διὰ τοῦτο, ὡς τὸ πᾶν εἰληφυῖα, κατῆλθεν. ἄλλως δέ, καὶ ὁ Θεὸς λοιπὸν αὐτῆς τὴν ἀθυμίαν ἐξέβαλε, μέλ- Z λων διδόναι τὸ δῶρον.

ΘΕΟΔΩΡΙΤΟΥ. Οὕτω δὲ πιστῶς τῆς εὐλογίας ἐπήκουσεν, ὡς πᾶσαν ἀποῤῥίψαι ἀχθηδόνα. καὶ μετὰ θάρσους ἐπανελθεῖν πρὸς τὸν ἄνδρα, καὶ παραυτίκα συνελθεῖν, καὶ κυῆσαι. καὶ τεκοῦσα δέ, πεπλήρωκε τὴν ὑπόσχεσιν. ἐφύλαξε γὰρ αὐτοῦ τὴν κόμην, καὶ τὴν ὑδροποσίαν ἐδίδαξεν. οὗτος γὰρ τῶν Ναζιραίων ὁ νόμος.

H ιθ. Καὶ ὀρθρίζουσι τὸ πρωῒ καὶ προσκυνοῦσι τῷ Κυρίῳ, καὶ πορεύονται τὴν

(1) Εἰς πρόσωπον εἰς θυγ. ἡ ἐν Κομπλ. ἔκδ. καὶ ὁ Χρυσός.

(2) Ὡς θυγατέρα λύμην. ὁ τῆς Αὐγ. κώδ.

(3) Εὕροι. ἡ ἐν Κομπλ. ἔκδ. καὶ ὁ Χρυσός.

τὴν ὁδὸν αὐτῶν. καὶ εἰσῆλθεν Ἐλκανὰ εἰς τὸν οἶκον αὐτοῦ εἰς Ἀρμαθαὶμ, καὶ ἔγνω Ἐλκανὰ τὴν Ἄνναν γυναῖκα αὐτοῦ, καὶ ἐμνήσθη Κύριος αὐτῆς, καὶ συνέλαβε.

κ. Καὶ ἐγενήθη ἐν τῷ καιρῷ τῶν ἡμερῶν, καὶ ἔτεκεν υἱὸν, καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Σαμουήλ. καὶ εἶπεν, ὅτι παρὰ Κυρίου Θεοῦ Σαβαὼθ ᾐτησάμην αὐτόν.

** ΙΩΣΗΠΟΥ. Γίνεται παιδίον αὐτοῖς, ὃν Σαμούηλον προσαγορεύουσι· θεαίτητον ἄν τις εἴποι.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Σαμουὴλ ἑρμηνεύεται τεταγμένος Θεῷ, διὰ τὸ τὰς πράξεις, ὅσαι κατὰ κενὰς δόξας συνίστανται, χαλεπὴν ἀταξίαν εἶναι νομίζειν. οὗτος μητρὸς γέγονεν ἀνθρωπίνης, ἧς τοὔνομα μεταληφθέν ἐστι χάρις. ἄνευ γὰρ θείας χάριτος ἀμήχανον λειποτακτῆσαι τὰ θνητὰ, ἢ τοῖς ἀφθάρτοις ἀεὶ παραμεῖναι.

κα. Καὶ ἀνέβη ὁ ἄνθρωπος Ἐλκανὰ καὶ πᾶς ὁ οἶκος αὐτοῦ θύσαι ἐν Σηλὼμ τὴν θυσίαν τῶν ἡμερῶν, καὶ τὰς εὐχὰς αὐτοῦ, καὶ πάσας τὰς δεκάτας τῆς γῆς αὐτοῦ.

κβ. Καὶ Ἄννα οὐκ ἀνέβη μετ' αὐτοῦ, ὅτι εἶπε τῷ ἀνδρὶ αὐτῆς, ἕως τοῦ ἀναβῆναι τὸ παιδάριον, ἐὰν ἀπογαλακτίσω αὐτὸ, καὶ ὀφθήσεται τῷ προσώπῳ Κυρίου, καὶ καθήσεται ἕως αἰῶνος ἐκεῖ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀφεῖναι ἐπὶ τῆς οἰκίας, καὶ ἀνελθεῖν, οὐκ ἐνόμιζεν εἶναι ἀσφαλές. μετὰ γὰρ τὴν τοῦ δώρου δόσιν οὐκ ἠνείχετο χωρὶς τοῦ δώρου φανῆναι. ἀναγαγοῦσα δὲ πάλιν, καὶ λαβοῦσα αὐτὸ, κατελθεῖν ἐδεδοίκει. διὰ τοῦτο ἔμεινε χρόνον τοσοῦτον, ὥστε μετὰ τοῦ δώρου φανῆναι.

κγ. Καὶ εἶπεν αὐτῇ Ἐλκανὰ ὁ ἀνὴρ αὐτῆς, ποίει τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου, κάθου ἕως ἂν ἀπογαλακτίσῃς αὐτό· ἀλλὰ στῆσαι Κύριος τὸ ἐξελθὸν ἐκ τοῦ στόματός σου. καὶ ἐκάθισεν ἡ γυνὴ καὶ ἐθήλαζε (1) τὸν υἱὸν αὐτῆς, ἕως τοῦ ἀπογαλακτίσαι αὐτόν.

κδ. Καὶ ἀνέβη μετ' αὐτοῦ εἰς Ση-
λὼμ ἐν μόσχῳ τριετίζοντι, καὶ ἄρτοις,
καὶ οἰφὶ (2) σεμιδάλεως, καὶ νέβελ
οἴνου· καὶ εἰσῆλθεν εἰς οἶκον Κυρίου ἐν
Σηλὼμ, καὶ τὸ παιδάριον μετ' αὐ-
κε. τῶν. Καὶ προσήγαγον ἐνώπιον Κυ-
ρίου. καὶ ἔσφαξεν ὁ πατὴρ αὐτοῦ τὴν
θυσίαν τῶν ἡμερῶν, ἣν ἐποίει ἐξ ἡμε-
ρῶν εἰς ἡμέρας τῷ Κυρίῳ. καὶ προσή-
Α γαγε τὸ παιδάριον, καὶ ἔσφαξε τὸν
μόσχον. καὶ προσήγαγεν Ἄννα ἡ μή-
τηρ τοῦ παιδαρίου πρὸς Ἠλὶ,

ΘΕΟΔΩΡΙΤΟΥ. Εὐθὺς δὲ μετὰ τὴν θηλὴν αὐτὸν προσενήνοχε τῷ Θεῷ, καὶ σὺν αὐτῷ μόσχον ὁμόχρονον, τὴν ὑπὲρ αὐτοῦ σφαγὴν καὶ ἱερουργίαν δεξάμενον. ἀντέλαβε δὲ παρὰ τοῦ Θεοῦ παῖδας ἑτέρους· τρεῖς μὲν υἱοὺς, καὶ θυγατέρας δύω. [Φιλό-
Β τιμος γὰρ καὶ μεγαλόδωρος ὁ Κύριος περὶ τοὺς μεμνημένους τῶν προτέρων χαρίτων.]

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Διπλῆ λοιπὸν ἡ θυσία ἐγίνετο. καὶ ἦν μόσχος, ὁ μὲν ἄλογος, ὁ δὲ λογικός· καὶ τὸν μὲν ὁ ἱερεὺς κατέθυσε, τοῦτον δὲ ἡ γυνὴ ἀνέθηκε· μᾶλλον δὲ τῆς γυναικὸς ἦν βελτίων ἡ θυσία τῆς θυσίας, ἣν ὁ ἱερεὺς ἀνήνεγκε. καὶ γὰρ αὕτη ἱέρεια τῶν οἰκείων σπλάγχνων ἐγίνετο, καὶ τὸν πατριάρχην Ἀβραὰμ
Γ ἐμιμήσατο, καὶ πρὸς ἐκεῖνον τὴν ἅμιλλαν ἔθετο. ἀλλ' ἐκεῖνος μὲν λαβὼν τὸν υἱὸν, κατήγαγεν· αὕτη δὲ ἀφῆκεν ἐν τῷ ναῷ μένειν διηνεκῶς· μᾶλλον δὲ κἀκεῖνος ἀνέθηκε καθόλου. μὴ γὰρ δὴ τοῦτο ἴδῃς, ὅτι οὐκ ἔσφαξεν, ἀλλ' ὅτι τῇ γνώμῃ τὸ πᾶν ἀπήρτισε.

κς. Καὶ εἶπεν, ἐν ἐμοὶ κύριε ζῇ ἡ
ψυχή σου, ἐγὼ ἡ γυνὴ ἡ καταστᾶσα
Δ ἐνώπιόν σου ἐν τούτῳ προσεύξασθαι
κζ. πρὸς Κύριον. Ὑπὲρ τοῦ παιδαρίου
τούτου προσηυξάμην· καὶ ἔδωκέ μοι
Κύριος τὸ αἴτημά μου, ὃ ᾐτησάμην
παρ' αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Προσελθοῦσα
„ τῷ ἱερεῖ, εἶπεν αὐτῷ· ἐν ἐμοὶ κύριε· τί-
„ ποτέ ἐστιν, ἐν ἐμοί; Μετ' ἀκριβείας πρόσεχε τοῖς λεγομένοις, φησίν. ἐπειδὴ γὰρ χρόνος παρῆλθε πολὺς, ἀναμνῆσαι βού-
Ε λεται πάλιν τῶν πρώην εἰρημένων. διό-
„ φησιν, ἐν ἐμοὶ κύριε ζῇ ἡ ψυχή σου, ἐγὼ
„ ἡ γυνὴ ἡ καταστᾶσα ἐνώπιόν σου ἐν τῷ προ-
„ σεύξασθαι πρὸς Κύριον ὑπὲρ τοῦ παιδαρίου
„ τούτου. προσηυξάμην πρὸς Κύριον, καὶ ἔδω-
„ κέ μοι τὸ αἴτημά μου ὃ ᾐτησάμην παρ' αὐ-
„ τοῦ. κἀγὼ κιχρῶ αὐτὸν τῷ Κυρίῳ πάσας
„ τὰς ἡμέρας, ἃς ζῇ αὐτὸς, χρῆσιν τῷ Κυρίῳ. οὐκ εἶπεν ἐγὼ ἡ γυνὴ, ἣν ὠνείδισας, ἣν ἐλοιδόρησας, ἣν ἔσκωψας εἰς παροινίαν
Ζ καὶ μέθην. διὸ ἔδειξέ σοι ὁ Θεὸς, ὅτι οὐ μεθύω· σὺ δὲ ἁπλῶς τοῦτο ἐνεκάλεις. οὐδὲν τούτων τῶν τραχέων ῥημάτων εἶπεν· ἀλλὰ μετ' ἐπιεικείας πολλῆς· καί τοι τὴν ἀπὸ τῶν πραγμάτων ἔκβασιν ἔχουσα μαρτυροῦσαν αὐτῇ, καὶ δυναμένη ὀνειδίσαι νῦν τῷ ἱερεῖ, ὡς εἰκῇ καὶ μάτην αὐτὴν μεμψαμένῳ τότε, οὐδὲν τούτων ποιεῖ, ἀλλὰ τὴν εὐεργεσίαν τοῦ Θεοῦ λέγει μόνον.

Η κη. Κἀγὼ κιχρῶ αὐτὸν τῷ Κυρίῳ πάσας τὰς ἡμέρας ἃς ζῇ αὐτὸς, χρῆσιν τῷ Κυρίῳ, καὶ εἶπεν,

ΧΡΥΣΟ-

(1) Ἐθήλασε. αἱ εἰρημ. ἐκδόσ.

(2) Οἰφί. αἱ αὐτ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς με-
τριάζει. μὴ νομίσῃς με μέγα τὶ καὶ θαυ-
μαστὸν ποιεῖν, φησὶν, ὅτι τὸ παιδίον ἀνα-
τίθημι· οὐκ ἐγὼ κατῆρξα τοῦ κατορθώματος,
τος, ἀλλ᾽ ὀφειλὴν ἀποδίδωμι. παρακατα-
θήκην γὰρ ἔλαβον, καὶ ταύτην ἀποκα-
θίστημι τῷ δεδωκότι. καὶ ταῦτα τὰ ῥήμα-
A τα λέγουσα, καὶ ἑαυτὴν ἀνετίθει μετὰ τοῦ
παιδίου, καθάπερ σειρᾷ τινὶ τῇ τῆς φύ-
σεως συμπαθείᾳ πρὸς τὸν ναὸν ἑαυτὴν
» ἀναθήσασα. εἰ γὰρ ὅπου ὁ θησαυρὸς τοῦ Ματθ. 6. 21.
» ἀνθρώπου, ἐκεῖ καὶ ἡ καρδία αὐτοῦ, πολλῷ
μᾶλλον ὅπου τὸ παιδίον τῆς γυναικὸς, ἐκεῖ
καὶ ἡ διάνοια τῆς μητρὸς ἦν.

ΚΕΦ. Β.

α. Ἐστερεώθη ἡ καρδία μου ἐν
Κυρίῳ,

» * ΠΡΟΚΟΠΙΟΥ. Ἐστερεώθη ἡ καρδία
» μου ἐν Κυρίῳ. Κλονουμένη καὶ εἰς ματαίους
ἐμπίπλουσα λογισμοὺς διὰ τὴν ἀπαιδίαν,
ἐπιτυχοῦσα τῆς προσευχῆς, ἐστερέωμαι ἐν
τῷ παρασχομένῳ τὴν εὐτεκνίαν Θεῷ. τῇ
πίστει οὖν δῆλον ὅτι ἐστερέωται, ἡνίκα ᾔτει
δοθῆναι αὐτῇ τέκνον δωρεάν.

Ὑψώθη κέρας μου ἐν Θεῷ μου,

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστι, κέρας
μου; καὶ γὰρ συνεχῶς ταύτῃ κέχρηται τῇ
Ψαλ. 148. 14. λέξει ἡ Γραφὴ, ὡς ὅταν λέγῃ· ὑψώθη
» κέρας αὐτοῦ. καὶ, ὑψώθη κέρας χριστοῦ αὐ-
τοῦ. τί ποτ᾽ οὖν λέγει κέρας; Τὴν δύναμιν,
τὴν δόξαν, τὴν περιφάνειαν, ἀπὸ μετα-
φορᾶς τῶν ἀλόγων ζώων αὐτὸ τιθείς. καὶ
γὰρ ἐκείνοις ἀντὶ δόξης καὶ ὅπλου τὸ κέ-
ρας μόνον ἐνέθηκεν ὁ Θεός. κἂν ἀποβά-
λωσι τοῦτο, τὸ πλέον ἀπέβαλον τῆς δυνά-
μεως. καὶ καθάπερ ἄοπλος στρατιώτης,
οὕτω καὶ ταῦτα χωρὶς κεράτων ῥᾳδίως ἁλί-
σκεται. οὐδὲν οὖν διὰ τούτου ἄλλο φησὶν ἡ
γυνὴ, ἀλλ᾽ ἢ ὅτι ὑψώθη ἡ δόξα μου. καὶ πῶς
» ὑψώθη; ἐν Θεῷ μου, φησί. διὰ τοῦτο καὶ
ἀσφαλὲς τὸ ὕψος ἐστὶ, βεβαίαν καὶ ἀκίνη-
τον ἔχον τὴν ῥίζαν. Καὶ μεθ᾽ ἕτερα. Εἰποῦσα
» γὰρ, ὅτι ἐστερεώθη ἡ καρδία μου ἐν Κυρίῳ,
» ἐπήγαγεν, ὑψώθη κέρας μου ἐν Θεῷ μου,
διπλᾶ ἐνταῦθα ἡμῖν αἰνιττομένη τὰ ἀγα-
θά· ἅπερ δύσκολον συμβαίνειν ταχέως.
καὶ γὰρ τοῦ σάλου, φησὶν, ἀπηλλάγην, καὶ
τὴν ἀτιμίαν ἀπεθέμην, καὶ ἀσφαλείας
ἀπήλαυσα, καὶ δόξης μετέσχον. ταῦτα δὲ
ἀμφότερα οὐκ ἄν τις ἴδοι ῥᾳδίως ἀλλήλοις
συντρέχοντα.

Ἐπλατύνθη ἐπ᾽ ἐχθροὺς μου τὸ
στόμα μου,

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Προσέχετε τῇ
ἀκριβείᾳ τῆς λέξεως. οὐκ εἶπεν, ἠκονήθη
στόμα μου ἐπ᾽ ἐχθροὺς μου. οὐ γὰρ πρὸς λοι-
δορίας καὶ σκώμματα παρεσκεύαστο, οὐ πρὸς
ὀνείδη καὶ κατηγορίαν, ἀλλὰ πρὸς παραί-
νεσιν καὶ συμβουλὴν, πρὸς διόρθωσιν καὶ
νουθεσίαν. διὰ τοῦτο οὐκ εἶπεν ἠκονήθη ἡ
» γλῶσσά μου ἐπ᾽ ἐχθροὺς μου, ἀλλ᾽ ἐπλατύν-
θη. ἀνέσεως ἀπήλαυσα, φησὶν, ἐλευθε-
ροστομεῖν δύναμαι. νῦν ἀπεκρουσάμην τὴν
αἰσχύνην, πρὸς παῤῥησίαν ἐπανῆλθον.

» * ΠΡΟΚΟΠΙΟΥ. Ἐπλατύνθη τὸ στό-
μα μου· Ἔλαβον κἀγὼ παῤῥησίαν εἰπεῖν·
οὐκ εἰμὶ στεῖρα. ἐν ᾧ ὠνείδιζόν με ἡ Φεννάνα
καὶ οἱ αὐτῆς. πρὸς γὰρ αὐτοὺς ἀποτεινο-
» μένη, τὰ ἑξῆς φησί· τὸ μὴ καυχᾶσθε,
» καὶ μὴ λαλεῖτε.

Ηὐφράνθην ἐν σωτηρίᾳ σου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πῶς τὸν
αὐτὸν διατηρεῖ νόμον διὰ τῆς εὐχῆς ἁπά-
Γ » σης. ὥσπερ γὰρ ἐν ἀρχῇ ἔλεγεν· ἐστερεώ-
» θη ἡ καρδία μου ἐν Κυρίῳ, ὑψώθη κέρας
» μου ἐν Θεῷ μου, ἐπλατύνθη στόμα μου ἐπ᾽
» ἐχθρούς μου· οὕτω καὶ ἐνταῦθα, εὐφράνθην
» ἐν σωτηρίᾳ σου. οὐχ ἁπλῶς ἐν σωτηρίᾳ,
ἀλλ᾽ ἐν σωτηρίᾳ σου. οὐ γὰρ ἐπειδὴ ἐσώθην,
φησὶν, ἀλλ᾽ ἐπειδὴ διὰ σοῦ ἐσώθην, διὰ τοῦτο
χαίρω καὶ ἀγάλλομαι. τοιαῦται τῶν ἁγίων
αἱ ψυχαί· τῶν δώρων μᾶλλον χαίρουσιν ἐπὶ
τῷ δεδωκότι Θεῷ. οὐ γὰρ αὐτὸν διὰ τὰ αὐ-
Δ τοῦ φιλοῦσιν, ἀλλ᾽ ἐκεῖνα δι᾽ αὐτόν.

β. Ὅτι οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος,
καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς ἡμῶν,
καὶ οὐκ ἔστιν ἅγιος πλὴν σου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Λαβοῦσα τὴν
χάριν, ἐπὶ τῷ δεδωκότι μᾶλλον ἔχαιρε,
» καὶ εὐχαριστοῦσα, ἔλεγεν· οὐκ ἔστιν ἅγιος ὡς
» ὁ Κύριος, καὶ οὐκ ἔστι δίκαιος ὡς ὁ Θεὸς
» ἡμῶν, καὶ οὐκ ἔστιν ἅγιος πλὴν σου· ἄληπτος
E γὰρ ἡ κρίσις αὐτοῦ, φησὶ, καθαρὰ καὶ
ἀπαραλόγιστος ἡ ψῆφος.

» ΑΔΗΛΟΥ. Οὐκ ἔστιν ἅγιος ὡς ὁ Κύριος.
[ἵνα δείξῃ, ὅτι οὐχ ἅγιοι Δαίμονες, ἀλλ᾽
ἀκάθαρτοι] (1) πρὸς [γὰρ] ἔλεγχον τῆς
πολυθεΐας (2) καὶ τῶν ἀκαθάρτων πνευ-
μάτων, μόνον τὸν Θεὸν εἶναι ἅγιόν φησι,
τὴν πηγὴν τῆς ἁγιότητος.

γ. Μὴ καυχᾶσθε, καὶ μὴ λαλεῖτε
ὑψηλά· μηδὲ ἐξελθέτω μεγαλοῤ-
Z ῥημοσύνη ἐκ τοῦ στόματος ὑμῶν, ὅτι
Θεὸς γνώσεων Κύριος, καὶ Θεὸς ἑτοι-
μάζων ἐπιτηδεύματα αὐτοῦ.

» * ΠΡΟΚΟΠΙΟΥ. Μὴ καυχᾶσθε, καὶ
» μὴ λαλεῖτε. Μὴ μεγάλα φρονείτω Φεν-
νάνα ἐν τοῖς ἀνθρωπίνοις πλεονεκτήμασι.
δέχεται γὰρ καὶ τὰς εὐπραξίας καὶ κακο-
πραγίας, Θεοῦ βουλήσει, μεταβολή. τὸ δὲ,
» Θεὸς ἑτοιμάζων ἐπιτηδεύματα, Σύμμα-
H » χος, καὶ οὐκ εἰσὶ παρ᾽ αὐτῷ προφάσεις.

δ. Τόξον

(1) Τὰ μεταξὺ τῶν γραμ. ἐκ τοῦ 3. Τόμ. τῆς σειρ. εἰς τοὺς ψαλ. ἐλήφθη. τὰ αὐτὰ δὲ φησὶ συντομώτερ. καὶ ὁ Προκόπ. ἐν τῷ τῆς Αὐγ. κώδ.

(2) Τὸ, πολυθεΐας, ληφθὲν ἐκ τοῦ εἰρημ. Τόμ. ἐτέθη ἀντὶ τοῦ, πόλεως, ὃ ἔχει ὁ κώδ. ἀκαταλλήλου ὄντος.

δ. Τόξον δυνατῶν ἠσθένησε, καὶ
ἀσθενοῦντες περιεζώσαντο δύναμιν.

» * ΠΡΟΚΟΠΙΟΥ. Τόξον δυνατῶν ἠσθέ-
νησε. Πάντα τὰ ἀντίθετα ταῦτα εἰς τὴν
τῶν ἐθνῶν Ἐκκλησίαν καὶ τὴν τῶν Ἰουδαίων
Συναγωγὴν προφητεύεται, ἀντιστραφείσης
τῆς καταστάσεως, καὶ τῆς χάριτος εἰς τὰ
ἔθνη μεταβάσης. (1)

** ΝΕΙΛΟΥ. Χρεία ἡμῖν τοῦ παντο-
δυνάμου καὶ πανσόφου πνεύματος, δυνά-
μεώς τε καὶ χάριτος. ἅπερ ζητεῖν εὐθύ-
μως ὀφείλομεν. οὕτω γὰρ ἂν τὸ μὲν τόξον
τῶν δυνατῶν τῇ κακίᾳ Δαιμόνων ἀσθενή-
σει, κατατοξευόντων ἡμᾶς τοῖς τῆς ἡδυ-
παθείας λογισμοῖς, ὥσπερ τισὶ πεπυρω-
μένοις βέλεσιν· οἱ δὲ τὸ πρὶν ἠσθενηκότες
κατὰ διάνοιαν, καὶ ὀκλακότες πιστοὶ, ὕστε-
ρον μεγάλως ἐνδυναμωθήσονται εἰς τὴν
τῶν ἐναντίων ἀναίρεσιν. καὶ τοῦτο ἄρα ἐστὶν
ὅπερ προφητεύουσα ἡ πιστοτάτη μήτηρ τοῦ
» Σαμουὴλ ἔλεγε· τόξον δυνατῶν ἠσθένησε,
» καὶ οἱ ἀσθενοῦντες περιεζώσαντο δύναμιν.

ε. Πλήρεις ἄρτων ἠλαττώθησαν,

» * ΠΡΟΚΟΠΙΟΥ. Πλήρεις ἄρτων ἠλατ-
» τώθησαν· Σύμμαχος (2) καὶ Θεοδοτίων,
κεχορτασμένοι ἠλαττώθησαν, ἀντὶ τοῦ, ἐμι-
σθάρνησαν.

Καὶ οἱ πεινῶντες παρῆκαν γῆν·

» * ΠΡΟΚΟΠΙΟΥ. Καὶ οἱ πεινῶντες πα-
» ρῆκαν γῆν· Ἀκύλας, συνετρίβησαν· Σύμ-
μαχος, ἀνενδεεῖς ἐγένοντο.

** ΝΕΙΛΟΥ. Ἠρώτησας τί ἂν εἴη τὸ
» γεγραμμένον, καὶ οἱ πεινῶντες παρῆκαν
γῆν. Γνῶθι οὖν· ὅσοι τῆς θείας δικαιο-
σύνης ὀρέγονται πειναλέως, ἀφροντιστοῦσι
πάντως τῶν χοϊκῶν ἀγαθῶν, καταπτύουσι
πάσης τῆς φαινομένης γῆς· καὶ κατέλι-
πον ταύτην ὑπερπτάντες· τῷ εὐσεβεῖ λο-
γισμῷ παρέδραμον πάντα τὰ ὁρώμενα,
καὶ αἰθεροβατοῦσι, τοῖς Ἀγγέλοις συμ-
πανηγυρίζοντες.

Ὅτι στεῖρα ἔτεκεν ἑπτὰ, καὶ ἡ πολ-
λὴ ἐν τέκνοις ἠσθένησε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τοσαύτην εἰρ-
γάσατο τὴν ἐμπορίαν, ὅσην εἰκὸς ἦν Θεῷ
συμβαλοῦσαν ἐργάσασθαι. μετὰ γὰρ τὸ λα-
βεῖν αὐτὸν, ἀντέδωκεν ἕτερον αὐτῇ τέκνον·
μᾶλλον δὲ οὐχ ἓν, οὐδὲ δύο, οὐδὲ τρία, καὶ
τέσσαρα μόνον, ἀλλὰ καὶ πολλῷ πλείονα,
» ὅτι στεῖρα, φησὶν, ἔτεκεν ἑπτά· καὶ ὑπε-
ρέβη τὸ κεφάλαιον ὁ τόκος. τοιαύτη γὰρ
ἡ πρὸς τὸν Θεὸν πραγματεία, οὐ τὸ πολ-
λοστὸν τοῦ κεφαλαίου, ἀλλὰ τὸ πολυπλάσιον
ἀποδίδωσι. καὶ οὐ θήλεα μόνον ἔδωκε τὰ
παιδία, ἀλλὰ καὶ ἐξ ἑκατέρας τῆς φύσεως
τὸν τόκον αὐτῆς συνεκρότησεν, ὥστε ἀπηρ-
τισμένην αὐτῇ γενέσθαι τὴν ἡδονήν.

** ΔΙΔΥΜΟΥ. Ὅσον ἀπὸ τῆς ἱστο-
ρίας ἕνα υἱὸν Ἄννα τετόκει τὸν Σαμουήλ.
A πῶς τοίνυν ἑπτὰ λέγει τετοκέναι τῇ δια-
νοίᾳ ἴδωμεν. Ἡ τῶν ἐθνῶν Ἐκκλησία ποτὲ
πολλὴν στείρωσιν εἶχε, ἐλπίδα μὴ ἔχουσα,
καὶ ἄθεος ἐν τῷ κόσμῳ, οὔτε νόημα ἀλη-
θὲς, οὔτε δόγμα θεοσεβὲς τίκτουσα. ὅτε
μέντοι μετῆλθεν ἀπὸ τοῦ Λιβάνου, καὶ γέ-
γονεν ἐν τῷ ἀπολιμπανομένῳ σαββατισ-
μῷ τοῦ Θεοῦ, ἔτεκεν ἑπτὰ τέλεια νοήματα,
καὶ πράξεις ἀρετῇ κοσμηθείσας.

** ΣΕΥΗΡΟΥ. Οὕτω γὰρ ἡ στεῖρα
B μὲν ἡ ἐξ ἐθνῶν Ἐκκλησία τέτοκεν ἑπτά·
ἠσθένησε δὲ ἡ πολλὴ πρώην ἐν τέκνοις Συ-
» ναγωγή. καὶ γέγονε πολλὰ τὰ τέκνα τῆς Ἡσ. 54. 1.
» ἐρήμου μᾶλλον ἢ τῆς ἐχούσης τὸν ἄνδρα.

ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ μέντοι καὶ τὸ,
» στεῖρα ἔτεκεν ἑπτὰ, τὴν τῆς Ἐκκλησίας
κηρύττει πολυγονίαν. ὁ γὰρ ἑπτὰ ἀριθμὸς
τοῦ πλήθους ἐστὶ δηλωτικός. ἐν ἑπτὰ γὰρ
ἡμέραις ἅπας ὁ χρόνος ἀνακυκλεῖται, καὶ
Γ τῆς Ἐκκλησίας οἱ παῖδες τὴν οἰκουμένην
» ἐπλήρωσαν. ἡ δὲ πολλὴ ἐν τέκνοις ἠσθέ-
νησε. πολύπαις γὰρ οὖσα ἡ Ἰουδαία, καὶ
πολλοὺς Προφήτας καὶ δικαίους γεγεννηκυῖα,
νῦν ἀκαρπίαν νοσεῖ.

** ΚΥΡΙΛΛΟΥ. Στεῖρα ἔτεκεν ἑπτὰ,
τουτέστι πλεῖστα τε καὶ ὅσα ἐχρῆν εἶναι πρὸς
αὐτάρκειαν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τῆς θεο-
φιλοῦς ψυχῆς δεῖγμα ἐναργέστατόν ἐστι καὶ
Δ » τὸ ᾆσμα, ἐν ᾧ περιέχεται τὸ, στεῖρα ἔτε-
» κεν ἑπτὰ, ἡ δὲ πολλὴ ἐν τέκνοις ἠσθένησε.
καίτοι γε ἑνός ἐστι μήτηρ τοῦ Σαμουὴλ ἡ λέ-
γουσα· πῶς οὖν ἑπτὰ τετοκέναι φησὶν, εἰ
μήτις μονάδα ἑβδομάδι τὴν αὐτὴν φυσι-
κώτατα νομίζοι, οὐ μόνον ἐν ἀριθμοῖς, ἀλλὰ
καὶ ἐν τῇ τοῦ παντὸς ἁρμονίᾳ, καὶ ἐν τοῖς
τῆς ἐναρέτου λόγοις ψυχῆς; ὁ γὰρ ταγ-
μένος μόνῳ Θεῷ Σαμουὴλ, ἄλλῳ δὲ τὸ πα-
ράπαν συνὼν μηδενὶ, κατὰ τὸ ἓν καὶ τὴν
E μονάδα, τὸ ὄντως ὂν κεκόσμηται. αὕτη δὲ
ἡ κατάστασίς ἐστιν ἑβδομάδος, ἀναπαυομέ-
νης ἐν Θεῷ ψυχῆς, καὶ περὶ μηδὲν τῶν
θνητῶν ἔργων ἔτι πονουμένης, κατὰ ἀπό-
λειψιν ἑξάδος, ἣν ἀπένειμε τοῖς τὰ πρω-
τεῖα λαβεῖν μὴ δυνηθεῖσι, δευτερείων δ' ἐξ
ἀνάγκης μεταποιουμένοις. τὴν μὲν οὖν στεῖ-
ραν οὐ τὴν ἄγονον, ἀλλὰ τὴν στεῤῥὰν καὶ
ἔτι σφριγῶσαν, τοὺς διὰ καρτερίας καὶ ἀν-
δρείας καὶ ὑπομονῆς ἐπὶ κτήσει τοῦ ἀρίστου
Z διαθλοῦσαν ἄθλους, ἑβδομάδα τὴν ἰσότιμον
μονάδι τίκτειν εἰκὸς, ὡς εὔτεκνος καὶ εὔπαις
ἡ φύσις. τὴν δὲ πολλὴν ἀσθενεῖν ἐν τέκνοις
εἶπεν, ἀψευδῶς καὶ σφόδρα ἐναργῶς. ὅταν
γὰρ μία οὖσα ψυχὴ πολλὰ ὠδίνῃ, τοῦ ἑνὸς
ἀποστᾶσα, μυρία κατὰ τὸ εἰκὸς γίνεται·
κἄπειτα πλήθει τέκνων ἐξηρτημένων βα-
ρυνομένη καὶ πιεζομένη· ἔστι δὲ ἠλιτόμηνα
καὶ ἀμβλωθρίδια τὰ πλεῖστα αὐτῶν· ἐξα-
σθενεῖ. τίκτει μὲν γὰρ τὰς πρὸς σχήματα
H καὶ χρώματα δι' ὀφθαλμῶν ἐπιθυμίας·
τίκτει δὲ τὰς πρὸς φωνὰς, δι' ὤτων· ἐγκύ-
μων

(1) Ἀφ' οὗ εἶπον τοῖς ἀπειθοῦσιν Ἰουδαίοις, ἰδοὺ στρεφόμεθα εἰς τὰ ἔθνη, οἱ μαθηταί. καὶ ταῦτα κεῖται ἐν τῷ ἐρημ. Τόμ.
(2) Τὸ, Σύμμαχος, ἐν τῷ τῆς Αὐγ. κώδ. οὐ κεῖται.

μων δέ ἐστι καὶ τῶν γαστρὸς καὶ τῶν ὑπ' αὐτήν· ὥστε πολλῶν ἐκκρεμαμένων ἐγγόνων, βαρύτατον ἄχθος φέρουσα παρίεται, καὶ χεῖρας ὑπ' ἀσθενείας καθεῖσα, ἀπολέγεται. τοῦτον μὲν δὴ τὸν τρόπον ἡττῆσθαι συμβαίνει πᾶσιν, ὅσοι φθαρτοῖς ἑαυτοῖς φθαρτὰ γεννῶσι.

** ΤΟΥ ΑΥΤΟΥ. Ψυχὴ ἡ πρὸς τὰ φαῦλα ἐστειρωμένη, καὶ παθῶν ἀμετρίας, καὶ κακιῶν ἄγονος, μόνη σχεδὸν εὐτοκία χρῆται, τὰ ἀξιέραστα τίκτουσα, τὸν ἀριθμὸν ἑπτά· κατὰ τὸ ᾀδόμενον ᾆσμα ὑπὸ » τῆς χάριτος, Ἄννης, ἥ φησι· στεῖρα ἔτεκεν » ἑπτὰ, ἡ δὲ πολλὴ ἐν τέκνοις ἠσθένησε. καλεῖ δὲ πολλὴν μὲν, τὴν ἐκ μιγάδων καὶ συγκλύδων λογισμῶν συμπεφυρμένην διάνοιαν· ἣ διὰ τὸ πλῆθος τῶν περὶ αὐτὴν ὄχλων καὶ θορύβων ἀνήκεστα κακὰ τίκτει· στεῖραν δὲ, τὴν μὴ παραδεχομένην θνητὸν ὡς γόνιμον σπόρον, ἀλλὰ τὰς τῶν φαύλων ὁμιλίας καὶ συνουσίας ἀναλίσκουσάν τε καὶ διαφθείρουσαν, περιεχομένην δὲ τῆς ἑβδόμης, καὶ τοῦ κατ' αὐτὴν εἰρηνικωτάτου. τούτου γὰρ ἐγκύμων τε εἶναι βούλεται, καὶ μήτηρ λέγεσθαι. τοιοῦτον ἦν καὶ τὸ ἐξ αὐτῆς.

ς. Κύριος θανατοῖ καὶ ζωογονεῖ, κατάγει εἰς ᾅδου καὶ ἀνάγει.

» * ΠΡΟΚΟΠΙΟΥ. Κύριος θανατοῖ καὶ ζωογονεῖ. Οὐ μόνον τὴν κοινὴν προαναφωνεῖ ἀνάστασιν, ἀλλ' ὅτι καὶ ἔμελλε Χριστὸς (1) πολλῶν ἁγίων ψυχὰς συναναστῆσαι ἑαυτῷ, ὡς καὶ τὰ σώματα πρὸς καιρὸν ἀνέστησεν. ὥστε γνωσθῆναι ἀπολυθείσας τὰς ψυχὰς τῶν αἰωνίων δεσμῶν, καὶ εἰς ἑτέρους μεταβάσας τόπους, εἰς οὐρανὸν καὶ παράδεισον.

ζ. Κύριος πτωχίζει καὶ πλουτίζει, ταπεινοῖ καὶ ἀνυψοῖ.

» * ΠΡΟΚΟΠΙΟΥ. Κύριος πτωχίζει καὶ πλουτίζει. Τὰ ἐσόμενα πάλιν προλέγει. ταπεινοῦται μὲν γὰρ ὑψωθεὶς ὁ Σαούλ· ὑψοῦται δὲ Δαβὶδ ἐκ προβάτων. (2) ταύτης τῆς διανοίας καὶ τῆς προῤῥήσεως ἔχεται καὶ τὰ ἑξῆς.

η. Ἀνιστᾷ ἀπὸ γῆς πένητα, καὶ ἀπὸ κοπρίας ἐγείρει πτωχὸν, τοῦ καθίσαι αὐτὸν μετὰ δυναστῶν λαοῦ, καὶ θρόνου δόξης κατακληρονομῶν αὐτοῖς.

» * ΠΡΟΚΟΠΙΟΥ. Τοῦ καθίσαι αὐτὸν » μετὰ δυναστῶν. Ἕξουσι μὲν δώδεκα θρόνους οἱ μαθηταί. καὶ οἱ λοιποὶ δὲ πιστοὶ ἐν ἀναπαύσει μέλλουσιν ἔσεσθαι. ὃ δηλοῦται διὰ τοῦ θρόνου.

** ΑΝΩΝΥΜΟΥ. Ἔχουσι μὲν ὑπόσχεσιν παρὰ τοῦ διδασκάλου ἐπὶ δώδεκα θρόνους οἱ μαθηταὶ καθεσθῆναι ἐνδόξως, κατακρίνοντες τοὺς Ἰουδαίους. πλὴν καὶ οἱ λοιποὶ πιστοὶ μέλλουσι λάμπειν, καὶ ἐν ἀναπαύσει εἶναι. ὅπερ σημαίνει ὁ θρόνος.

θ. Διδοὺς εὐχὴν τῷ εὐχομένῳ· καὶ εὐλόγησεν ἔτη δικαίου, ὅτι οὐκ ἐν ἰσχύϊ δυνατὸς ἀνήρ.

» * ΠΡΟΚΟΠΙΟΥ. Διδοὺς εὐχὴν τῷ εὐχομένῳ, ἀντὶ τοῦ, εἰς πέρας ἄγων τὰς θεαρέστους τῶν ἀνθρώπων.

** ΑΝΩΝΥΜΟΥ. Ἀντὶ τοῦ, εἰς πέρας ἀγαγεῖν ποιῶν ἐκβῆναι τὰς θεαρέστους τῶν ἀνθρώπων ὑποσχέσεις.

» ΑΔΗΛΟΥ. Ὅτι οὐκ ἐν ἰσχύϊ. Εἰς ταπεινοφροσύνην ὁ λόγος ἕλκει· ἵνα μὴ ὦμεν » ἐφ' ἑαυτοῖς πεποιθότες. 2. Κορ. 1. 9.

ι. Κύριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ, Κύριος ἅγιος. μὴ καυχάσθω ὁ φρόνιμος ἐν τῇ φρονήσει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ δυνατὸς ἐν τῇ δυνάμει αὐτοῦ, καὶ μὴ καυχάσθω ὁ πλούσιος ἐν τῷ πλούτῳ αὐτοῦ· ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω ὁ καυχώμενος, συνιεῖν καὶ γινώσκειν τὸν Κύριον, καὶ ποιεῖν κρίμα καὶ δικαιοσύνην ἐν μέσῳ τῆς γῆς. Κύριος ἀνέβη εἰς οὐρανοὺς, καὶ ἐβρόντησεν. αὐτὸς κρινεῖ ἄκρα γῆς δίκαιος ὢν, καὶ δίδωσιν ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν, καὶ ὑψώσει κέρας χριστοῦ αὐτοῦ. καὶ κατέλιπον αὐτὸν ἐκεῖ ἐνώπιον Κυρίου,

» * ΠΡΟΚΟΠΙΟΥ. Κύριος ἀσθενῆ. Προμηνύει τὴν τοῦ Διαβόλου κατάλυσιν. Ὁ » φρόνιμος. ἀλλ' ἢ ἐν τούτῳ καυχάσθω. Οὐκ εἶπεν ἐν τούτῳ καυχάσθω τὶς, ἐν τῷ δικαιοπραγεῖν· ἀλλὰ πρῶτον ὡς θεμέλιον τὴν πίστιν τέθεικεν ἐπὶ τὴν πέτραν· ὅς ἐστι Χριστός· καὶ οὕτως ἐπέταξε τὴν ἀρετήν.

** ΑΝΩΝΥΜΟΥ. Ὡς ἔχει ἡ ἀκρίβεια τοῦ δόγματος, οὕτως ἐλάλησεν Ἄννα. οὐ γὰρ εἶπεν, ὅτι ἐν τούτῳ καυχάσθω ἐν τῷ δικαιοπραγεῖν καὶ γινώσκειν τὸν Κύριον· ἀλλὰ πρῶτον ὡς κρηπῖδα καὶ θεμέλιον τὴν πίστιν τέθεικεν ἐπὶ τὴν πέτραν· ὅς ἐστι Χριστὸς Κύριος· καὶ οὕτως ὑπέταξε τὴν ἀρετήν.

ΘΕΟΔΩΡΙΤΟΥ. Ἀξιάγαστος δὲ τῆς Ἄννης ἡ ὑμνῳδία. οὐ γὰρ μόνον ἐφ' οἷς εἴληφεν ἀνυμνεῖ τὸν Σωτῆρα, ἀλλὰ καὶ προφητείᾳ τὸν ὕμνον ἐκέρασε, καὶ τῆς τοῦ παιδὸς μετέλαβε χάριτος. κυήσασα γὰρ Προφήτην, προφητεύει μετὰ τὸν τόκον. καὶ Ἐλισάβετ δὲ τῆς Ἰωάννου μετέλαβε χάριτος, καὶ ἡ Μαρία τῆς Ἰησοῦ. [τὸ γὰρ, Κύ» ριος ἀσθενῆ ποιήσει τὸν ἀντίδικον αὐτοῦ, προδηλοῖ τὴν τοῦ Διαβόλου κατάλυσιν. καὶ τὸ,

(1) Οὐ μόνον τὴν ψυχὴν τοῦ Λαζάρου, καὶ τῆς θυγατρὸς τοῦ ἀρχισυναγώγου, ἀλλὰ καὶ πάσας ἀνάξειν τὰς τῶν δικαίων ψυχὰς ἐξ ᾅδου, ὅτε κατῆλθεν ἐκεῖ ἔμψυχος ὢν, καὶ τὰ σώματα πρὸς καιρὸν ἐποίησεν ἀναστῆναι μετὰ τὴν ἐκ νεκρῶν ἀνάστασιν, καὶ ὀφθῆναι τοῖς ἐν Ἱερουσαλήμ· ἵνα γνῶσιν ὅτι ἀπελύθησαν οἱ ἅγιοι ἐκ τοῦ δεσμωτηρίου τῶν ψυχῶν, καὶ εἰς ἑτέρους μετέβησαν τόπους, ἐν παραδείσῳ, ἢ ἐν οὐρανοῖς μετ' Ἀγγέλων. Ταῦτα ἀντὶ τῶν ἑξῆς ἐν τῷ εἰρημ. Τόμ. τῆς σειρ. εἰς τοὺς ψαλ. τῷ Ἀνωνύμῳ ἐπιγεγραμμένα.

(2) Ἀπὸ προβάτων εἰς ἐπιστασίαν ἀνθρώπων ὑπὸ τοῦ Θεοῦ κληθείς. ταύτης, κτ. αὐτ.

» τὸ, Κύριος ἀνέβη εἰς οὐρανοὺς, καὶ ἐβρόν- A
τησε, τὴν τοῦ Σωτῆρος ἡμῶν ἀνάληψιν
προθεσπίζει, καὶ τὴν τοῦ παναγίου πνεύμα-
τος ἐπιφοίτησιν, καὶ τῶν ἀποστολικῶν κη-
ρυγμάτων τὸ μεγαλόφωνον· καὶ μέντοι
καὶ τὴν δευτέραν ἐπιφάνειαν [τοῦ δεσπότου
» προαγορεύει] Χριστοῦ. αὐτὸς γάρ φησι κρι-
» νεῖ ἄκρα γῆς, δίκαιος ὤν. προλέγει δὲ αὐτοῦ
καὶ τοὺς κατὰ σάρκα γενησομένους (1) προ-
γόνους, οἳ ἀπὸ Δαβὶδ μέχρι τῆς αἰχμα-
» λωσίας διήρκεσαν. δώσει γάρ φησιν ἰσχὺν B
» τοῖς βασιλεῦσιν ἡμῶν. καὶ διδάσκουσα τὴν
αἰτίαν, δι' ἣν ἐκεῖνοι τῆς θείας ἔτυχον (2)
» χάριτος, ἐπήγαγε· καὶ ὑψώσει κέρας χρι-
στοῦ αὐτοῦ. πρὸς τούτοις, ἐδίδαξε μὴ πλούτῳ
θαῤῥεῖν, μὴ σοφίᾳ, μὴ δυναστείᾳ· ἀλλὰ
μόνῳ τῷ δυναμένῳ καὶ ζωὴν χορηγεῖν καὶ
θάνατον ἀπάγειν, καὶ τὴν εὐπραξίαν με-
ταβάλλειν εἰς δυσπραγίαν, καὶ τὴν εὐκλη-
ρίαν εἰς δυσκληρίαν.

ια. Καὶ ἀπῆλθον εἰς Ἀρμαθαίμ. Γ
καὶ τὸ παιδάριον ἦν λειτουργῶν τῷ
προσώπῳ Κυρίου πρὸ προσώπου (3)
Ἠλὶ τοῦ ἱερέως.

** ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ Σαμουὴλ ἱε-
ρεὺς ἦν, ἢ Λευΐτης; Τριῶν ὁ Λευῒ γεγένη-
ται παίδων πατήρ· τοῦ Γηρσών, τοῦ Καάθ,
καὶ τοῦ Μεραρή. τοῦ δὲ Καὰθ ἐγένοντο παῖ-
δες Ἀμβρὰμ, καὶ Ἰσαὰρ, καὶ Χεβρὼμ, καὶ
Ὀζιήλ. τοῦ δὲ Ἀμβρὰμ, Ἀαρὼν, Μωσῆς, Δ
καὶ Μαριάμ. τοῦ δὲ Ἰσαὰρ ἔκγονος μὲν ὁ
Κορὲ, ἀπόγονος δὲ Ἐλκανὰ τοῦ Σαμουὴλ
ὁ πατήρ. ὁ τοίνυν Σαμουὴλ πέμπτος καὶ
δέκατος μὲν ἀπὸ Λευΐ· τῆς δὲ Καὰθ ἦν
πατριᾶς· ἣ τῶν ἄλλων προεκέκριτο, τῷ
τοὺς ἀρχιερέας ἐξ αὐτῆς ἐῶθηκέναι. διὸ
δὴ καὶ φέρειν αὐτοῖς ἀπενεμήθη τὰ σκεύη
τὰ ἅγια.

ιβ. Καὶ οἱ υἱοὶ Ἠλὶ τοῦ ἱερέως υἱοὶ
λοιμοὶ, οὐκ εἰδότες τὸν Κύριον. E

** ΩΡΙΓΕΝΟΥΣ. Εἴ τις ἄλλος ᾔδει
τὰ περὶ τοῦ δημιουργοῦ, καὶ τῆς ἱερατικῆς
αὐτοῦ θεραπείας, δῆλον ὅτι καὶ οἱ Ἠλεὶ τοῦ
ἱερέως υἱοὶ, παρὰ τῇ λατρείᾳ ἀνατεθραμ-
μένοι· ἀλλ' ὅμως ἐπεὶ ἥμαρτον γέγραπται
» ταῦτα περὶ αὐτῶν· καὶ οἱ υἱοὶ Ἠλεῖ, υἱοὶ
» λοιμοὶ, οὐκ ἔγνωσαν τὸν Κύριον. πευσώ-
μεθα γὰρ τῶν ἑτεροδόξων, εἰ μὴ περὶ τοῦ
» δημιουργοῦ γέγραπται τό· οὐκ ἔγνωσαν τὸν
Κύριον· καὶ ἀποκρινομένων, ὅτι περὶ τοῦ Z
δημιουργοῦ ἐστὶ ταῦτα, ζητήσομεν διατί εἴρη-
» ται περὶ τῶν υἱῶν Ἠλεῖ· οὐκ ἔγνωσαν τὸν
Κύριον· πότερον διὰ τοὺς περὶ Θεοῦ τοῦ δη-
μιουργοῦ λόγους, ἢ διὰ τὴν πονηρίαν αὐτῶν;
σαφὲς δὲ ὅτι διὰ τὴν πονηρίαν λέγονται
μὴ ἐγνωκέναι τὸν Κύριον· καὶ οὐ περὶ τῶν
υἱῶν Ἠλεῖ μόνον ἐστὶ τοῦτο εὑρεῖν, ἀλλὰ καὶ
περὶ ἄλλων βασιλευσάντων ἐν Ἰσραὴλ καὶ
Ἰούδα ἁμαρτωλῶν. οὕτω τοίνυν καὶ οἱ Φα-
ρισαῖοι τὸν πατέρα οὐκ ᾔδεσαν. οὐδὲ γὰρ H
ἐβίουν κατὰ τὸ τοῦ δημιουργοῦ βούλημα.

ιγ. Καὶ τὸ δικαίωμα τοῦ ἱερέως
παρὰ τοῦ λαοῦ παντὸς τοῦ θύοντος.
καὶ ἤρχετο τὸ παιδάριον τοῦ ἱερέως
ὡς ἂν ἡψήθη τὸ κρέας, καὶ κρεάγρα
ιδ. τριόδους ἐν τῇ χειρὶ αὐτοῦ, Καὶ καθῆ-
κεν αὐτὴν εἰς τὸν λέβητα τὸν μέγαν
ἢ εἰς τὸ χαλκεῖον ἢ εἰς τὴν χύτραν, (4)
πᾶν ὃ ἂν ἀνέβη ἐν τῇ κρεάγρᾳ, ἐλάμ-
βανεν ἑαυτῷ ὁ ἱερεύς. κατὰ τάδε
ἐποίουν παντὶ Ἰσραὴλ τοῖς ἐρχομένοις
θῦσαι τῷ Κυρίῳ ἐν Σηλώμ.

** ΙΩΣΗΠΟΥ. Ἠλεὶ τῷ ἀρχιερεῖ
δύω παῖδες ἦσαν Ὀφνίς τε καὶ Φινεέσης.
οὗτοι καὶ πρὸς ἀνθρώπους ὑβρισταὶ γενόμενοι,
καὶ πρὸς τὸ θεῖον ἀσεβεῖς, οὐδενὸς ἀπεί-
χοντο παρανομήματος. καὶ τὰ μὲν ἐφέ-
ροντο τῶν γερῶν κατὰ τιμὴν, ἃ δὲ ἐλάμ-
βανον αὐτοῖς ἁρπαγῆς τρόπῳ.

ιε. Καὶ πρὶν θυμιαθῆναι τὸ στέαρ
ἐνώπιον Κυρίου, ἤρχετο τὸ παιδάριον
τοῦ ἱερέως, καὶ ἔλεγε τῷ ἀνδρὶ τῷ
θύοντι, δὸς κρέας ὀπτῆσαι τῷ ἱερεῖ,
καὶ οὐ μὴ λάβω παρὰ σοῦ κρέας ἑφθὸν
παρὰ τοῦ λέβητος.

** ΚΥΡΙΛΛΟΥ. Ἦν ἀνάγκη καθιε-
ροῦσθαι Θεῷ τὸ ὑπὸ τοῦ προσκομισθέντος,
κατὰ τὸν ἑκάστῳ πρέποντα νόμον· παρα-
μυθεῖσθαι δὲ τῷ λοιπῷ σώματι τῆς θυσίας
τοὺς ὑπουργούς. εἰ δὲ δή τις ὅλον ὥσπερ δι'
ὅλου τὸ δῶρον ἀπονοσφίσαιτο, καὶ ταῖς ἰδίαις
ἀπονενέμηκε χρείαις, τεθυμιακὼς οὐδὲν, ὡς
ἅγια κατεδηδοκὼς, ἐγράφετο νόμῳ. τοῦτό-
τοι δεδράκασιν οἱ Ἠλὶ τοῦ ἱερέως υἱοὶ, πρὸ
θυσιῶν ἁρπάζοντες καὶ βεβηλοῦντες τὰ ἱε-
ρὰ, καὶ τοῖς εἰς τὸ θύειν ἥκουσιν, ἀνοσιώτατα
» λέγοντες· δὸς κρέας ὀπτῆσαι τῷ ἱερεῖ.

ις. Καὶ ἔλεγεν ὁ ἀνὴρ ὁ θύων,
θυμιαθήτω πρῶτον ὡς καθήκει τὸ
στέαρ, καὶ λάβε σεαυτῷ ἐκ πάντων
ὧν ἐπιθυμεῖ ἡ ψυχή σου. καὶ εἶπεν,
οὐχί· ὅτι νῦν δώσεις· καὶ ἐὰν μὴ, λή-
ψομαι κραταιῶς.

ιζ. Καὶ ἦν ἡ ἁμαρτία τῶν παιδα-
ρίων ἐνώπιον Κυρίου μεγάλη σφόδρα,
ὅτι ἠθέτουν τὴν θυσίαν Κυρίου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὰ ἐγκλήματα
τῶν παίδων τούτων ἦν πορνεία τε καὶ γαστρι-
μαργία. ἤσθιον γάρ φησι πρὸ τοῦ καθα-
γιασθῆναι τὰ κρέα τὰ ἱερὰ, καὶ τὴν θυ-
σίαν ἀνενεχθῆναι τῷ Θεῷ.

ιη. Καὶ Σαμουὴλ ἦν λειτουργῶν
ἐνώπιον Κυρίου παιδάριον περιεζωσ-
ιθ. μένον ἐφοὺδ βάρ. Καὶ διπλοΐδα μι-
κρὰν ἐποίησεν αὐτῷ ἡ μήτηρ αὐτοῦ,
καὶ ἀνέφερεν αὐτῷ ἐξ ἡμερῶν εἰς ἡμέ-
ρας ἐν τῷ ἀναβαίνειν αὐτὴν μετὰ

(1) Γεγεννημένους. ἡ ἐν Χάλ. ἔκδ.
(3) Ἐνώπιον. αἱ ἐρημ. ἐκδόσ.
(2) Ἀπήλαυσαν προμηθείας. ἡ αὐτ.
(4) Καὶ πᾶν. αἱ αὐτ.

τοῦ ἀνδρὸς αὐτῆς θῦσαι τὴν θυσίαν τῶν ἡμερῶν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Περιεζωσμένον » ἐφοὺδ βὰρ καὶ διπλοΐδα μικράν. Ἀκύλας » φησὶν, ἐπένδυμα ἐξαίρετον· Σύμμαχος, » ἐφοὺδ λινοῦν, καὶ ἐφεστρίδα μικράν· Θεοδο- » τίων, ἐφὼδ βὰρ, καὶ ἐπιδύτην μικρόν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν ἐφούδ; Ὁ Ἀκύλας ἐπένδυμα ἐξαίρετον τοῦτο κέκληκεν. εἰρήκαμεν δὲ ἤδη καὶ τὴν Ἔξοδον (1) ἑρμηνεύοντες, καὶ μέντοι καὶ τοὺς Κριτὰς, ὡς διὰ τούτου πλεῖστα προεδήλου τῶν ἀγνοουμένων ὁ δεσπότης Θεός.

* ΤΟΥ ΑΥΤΟΥ. (2) Ἀλλὰ ὁ Σαμουὴλ Λευίτης ὢν, τῷ Ἐφοὺδ ἐκέχρητο; μόνῳ γὰρ ἀφώριστο τῷ ἀρχιερεῖ. Εἰκὸς οὖν τὸν Ἠλὶ τὴν θείαν αὐτῷ χάριν ἐπανθοῦσαν ἑωρακότα, καὶ παραδόξως τεχθέντα, καὶ πρὸ ὠδίνων ἐπαγγελθέντα, καὶ ἔνδον ἐν τῇ θείᾳ σκηνῇ τρεφόμενον, ὡς ἁγίῳ καὶ Ναζηραίῳ καὶ θεαιτήτῳ· (3) ὡς καὶ τοὔνομα δηλοῖ· καὶ κομιδῇ νέῳ μεταδοῦναι ταυτησὶ τῆς τιμῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἴποτε αὐτὸν ἰδεῖν ἐπεθύμησεν, οἷα δὴ μήτηρ, οὐκ ἐκάλει πρὸς ἑαυτὴν τὸ παιδίον, ἀλλ᾽ αὐτὴ πρὸς ἐκεῖνον ἀνέβαινε μετὰ τοῦ πατρὸς, καθάπερ ὄντως ἀναθήματος ἀπεχομένη λοιπόν.

κ. Καὶ ηὐλόγησεν Ἠλὶ τὸν Ἐλκανὰ καὶ τὴν γυναῖκα αὐτοῦ, λέγων, ἀποτίσαι σοι Κύριος σπέρμα ἐκ τῆς γυναικὸς ταύτης, ἀντὶ τοῦ χρέους οὗ ἔχρησας τῷ Κυρίῳ. καὶ ἀπῆλθεν ὁ
κα. ἄνθρωπος εἰς τὸν τόπον αὐτοῦ. Καὶ ἐπεσκέψατο Κύριος τὴν Ἄνναν, καὶ ἔτεκεν ἔτι τρεῖς υἱοὺς, καὶ δύο θυγατέρας. καὶ ἐμεγαλύνθη τὸ παιδάριον Σαμουὴλ ἐνώπιον Κυρίου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. » Ἀνταποδῷ σοι » Κύριος σπέρμα ἕτερον ἀπὸ τῆς γυναικὸς » ταύτης, ἀντὶ τοῦ χρέους οὗ ἔχρησας τῷ Κυρίῳ. Παρὰ μὲν τὴν ἀρχὴν οὐκ ἔλεγεν, » ἀνταποδῷ σοι· ἀλλὰ τί; δῴη σοι πᾶν αἴτημά σου. ἐπειδὴ δὲ ὀφειλέτην κατέστησε τὸν Θεὸν, ἀνταποδῷ σοι λέγει, χρηστὰς περὶ τῶν μελλόντων ὑποτείνων ἐλπίδας. εἰ γὰρ οὐκ ὀφείλων ἔδωκε, πολλῷ μᾶλλον μετὰ τὸ λαβεῖν ἀνταποδώσει. καὶ ὁ πρῶτος τοίνυν ἐξ εὐχῆς, καὶ οἱ μετ᾽ ἐκεῖνον ἐξ εὐλογίας τὰς ἀρχὰς ἔλαβον. καὶ οὕτω λοιπὸν ὁλόκληρος ὁ καρπὸς τῆς γυναικὸς ἡγιάζετο. καὶ ἦν ὁ μὲν πρωτότοκος κατόρθωμα τῆς γυναικὸς, ὁ δεύτερος δὲ αὐτῆς καὶ τοῦ ἱερέως κοινωνός. καὶ καθάπερ γῆ λιπαρὰ καὶ πίων δεξαμένη τὰ σπέρματα, κομῶντα δείκνυσιν ἡμῖν τὰ λήϊα· οὕτω καὶ ἡ γυνὴ

A μετὰ πίστεως τὰ ῥήματα δεξαμένη τοῦ ἱερέως, κομῶντας ἡμῖν στάχυας ἑτέρους ἤνεγκε, καὶ τὴν παλαιὰν μετέβαλεν ἀρὰν ἀπὸ εὐχῆς καὶ εὐλογίας τίκτουσα.

κβ. Καὶ Ἠλὶ πρεσβύτης σφόδρα. καὶ ἤκουσεν ἃ ἐποίουν οἱ υἱοὶ αὐτοῦ τοῖς υἱοῖς Ἰσραήλ·

ΑΔΗΛΟΥ. Ὅτι διεσύλουν τὸ δῶρον, (4) καὶ ὡς ἐκοιμῶντο μετὰ τῶν γυναικῶν τῶν
B παρεστηκυιῶν παρὰ τὴν θύραν τῆς σκηνῆς τοῦ μαρτυρίου.

κγ. Καὶ εἶπεν αὐτοῖς, ἵνα τί ποιεῖτε κατὰ τὸ ῥῆμα τοῦτο, ὃ ἐγὼ ἀκούω ἐκ στόματος παντὸς τοῦ λαοῦ Κυρίου;

κδ. Μὴ τέκνα μὴ, ὅτι οὐκ ἀγαθὴ ἡ ἀκοὴ ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν· μὴ ποιεῖτε οὕτως, ὅτι οὐκ ἀγαθαὶ αἱ ἀκοαὶ ἃς ἐγὼ ἀκούω τοῦ μὴ δουλεύειν λαὸν
Γ Κυρίῳ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐνουθέτει, καὶ » ἔλεγε· μὴ τέκνα, μὴ ποιεῖτε οὕτω, πονη- » ρὰ ἡ ἀκοὴ ἣν ἐγὼ ἀκούω περὶ ὑμῶν. ἀλλὰ » προϊοῦσα ἡ Γραφὴ φησιν, ὅτι οὐκ ἐνουθέτει 1. Βασ. 3. 13.
» τοὺς υἱοὺς αὐτοῦ. τοῦτο δὲ λέγει, ἐπειδὴ οὐ σφοδρῶς, οὐδὲ μετ᾽ ἐπιπλήξεως τοῦτο ἐποίει.

κε. Ἐὰν ἁμαρτάνων ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ προσεύξονται ὑπὲρ αὐ-
Δ τοῦ πρὸς Κύριον. καὶ ἐὰν τῷ Θεῷ (5) ἁμάρτῃ, τίς προσεύξεται ὑπὲρ αὐτοῦ; καὶ οὐκ ἤκουον τῆς φωνῆς τοῦ πατρὸς αὐτῶν, ὅτι βουλόμενος ἐβούλετο Κύριος διαφθεῖραι αὐτούς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πολλὴ ἡ τῶν ῥημάτων βαρύτης, καὶ ἡ ἐντροπὴ, καὶ τὸν νοῦν ἔχοντα ἱκανὴ ἀνακλήσασθαι. τό, τε γὰρ ἁμάρτημα ἐπῆρε, καὶ φοβερὸν ἔδειξε, τήν-
E τε ἐπικειμένην δίκην ἀφόρητον ἀπέφηνε καὶ φρικτήν. ἀλλ᾽ ὅμως ἐπειδὴ μὴ πᾶν ὅσον ἐχρῆν ἐπεδείξατο, καὶ αὐτὸς μετ᾽ ἐκείνων ἀπώλετο. καὶ γὰρ ἀπειλὰς προσθεῖναι ἐχρῆν, καὶ ἐξ ὄψεως ποιῆσαι τῆς ἑαυτοῦ, καὶ μάστιγας ἐπιθεῖναι, καὶ βαρύτερον πολλῷ γενέσθαι καὶ χαλεπώτερον. ἐπειδὴ οὖν τούτων οὐδὲν ἐποίησεν, ἑαυτῷ τε κἀκείνοις ἐξεπολέμωσε τὸν Θεὸν, καὶ φεισάμενος αὐτοῦ τῶν παίδων ἀκαίρως, μετὰ τῶν παίδων καὶ
Z τὴν ἑαυτοῦ προσαπώλεσε σωτηρίαν.

** ΤΟΥ ΑΥΤΟΥ. Ἔστι γὰρ ἁμαρτία πρὸς θάνατον, καθάπερ καὶ ὁ Ἠλὶ ἔλεγεν· » ἐὰν ἁμαρτὼν ἁμάρτῃ ἄνθρωπος, προσεύ- » ξεται περὶ αὐτοῦ ὁ ἱερεύς. ἐὰν δὲ τῷ Κυ- » ρίῳ ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ; καὶ ἐν τῷ νόμῳ δὲ, τὰ μὲν ἦν ἀνίατα, ὡς καὶ θανάτῳ κολάζεσθαι· τὰ δὲ εἶχέ τινα ταχίστην παραμυθίαν.

ΩΡΙΓΕ-

(1) Ὅρα σελ. 876. τοῦ 1. καὶ σελ. 180, καὶ 232. τοῦ δὲ τοῦ Τόμ.
(2) Τί δήποτε Λευίτης ὢν ὁ Σαμουὴλ τῷ Ἐφ. ἢ ἐν Χάλ. ἐκδ.
(3) Τοῦτο γὰρ ἑρμηνεύει τοῦ Σαμουὴλ τοὔνομα. ἡ αὐτ.
(4) Γυναῖκάς τε τὰς ἐπὶ θρησκείᾳ παραγινομένας ὕβριζον φθοραῖς, ταῖς μὲν βίᾳ προσφέροντες, τὰς δὲ δώροις ὑπαγόμενοι. τυραννίδος δ᾽ οὐδὲν ἀπέλιπεν ὁ βίος αὐτῶν. Ἰώσηπ. ἐν βιβλ. 5. κεφ. 10. περὶ Ἰουδαϊκ. ἀρχαιολ.
(5) Τῷ Κυρίῳ. αἱ εἰρημ. ἐκδόσ.

** ΩΡΙΓΕΝΟΥΣ. Οἱ κατὰ νόμον ἱερεῖς κωλύονται περί τινων προσφέρειν ἁμαρτημάτων θυσίαν, ἵνα ἀφεθῇ τοῖς περὶ ὧν αἱ θυσίαι τὰ πλημμελήματα. καὶ οὐδέπου τὴν περί τινων ἐξουσίαν ὁ ἱερεὺς ἀκουσίων ἢ πλημμελημάτων ἀναφορὰν ἔχων, ἤδη καὶ περὶ μοιχείας, ἢ ἑκουσίου φόνου, ἤ τινος ἄλλου χαλεπωτέρου πλαίσματος προσφέρει ὁλοκαύτωμα, ἢ περὶ ἁμαρτίας. οὕτω τοιγαροῦν καὶ οἱ Ἀπόστολοι καὶ οἱ τοῖς Ἀποστόλοις ὡμοιωμένοι ἱερεῖς ὄντες κατὰ τὸν μέγαν ἀρχιερέα, ἐπιστήμην λαβόντες τῆς τοῦ Θεοῦ θεραπείας, ἴσασιν ὑπὸ τοῦ πνεύματος διδασκόμενοι, περὶ ὧν χρὴ ἀναφέρειν θυσίας ἁμαρτημάτων, καὶ πότε καὶ τίνα τρόπον, καὶ γινώσκουσι περὶ ὧν οὐ χρὴ τοῦτο ποιεῖν. ὁ γοῦν ἱερεὺς Ἠλεὶ ἁμαρτάνοντας ἐπιστάμενος τοὺς υἱοὺς Ὀφνεὶ καὶ Φινεές, ὡς μηδὲν δυνάμενος εἰς ἄφεσιν ἁμαρτημάτων αὐτοῖς συνεργῆσαι, καὶ τὸ ἀπογινώσκουσι (1) τοῦτ' ἔσεσθαι, ὁμολογεῖ δι' ὧν φησίν· ἐὰν
» ἁμαρτάνων ἁμάρτῃ ἀνὴρ εἰς ἄνδρα, καὶ
» προσεύξονται περὶ αὐτοῦ· ἐὰν δὲ εἰς Κύριον
» ἁμάρτῃ, τίς προσεύξεται περὶ αὐτοῦ;

** ΕΦΡΑΙΜ. Ἐὰν τὸν λιμένα ἀπολέσωμεν, ποῦ διασωθῶμεν ἐν καιρῷ χειμῶνος καὶ ταραχῆς; ἐὰν τὸν Κύριον παροργίσωμεν, πρὸς τίνα καταφύγωμεν ἐν ὥρᾳ θλίψεως καὶ ἀνάγκης;

» ΑΔΗΛΟΥ. Ὅτι βουλόμενος ἐβούλετο
» Κύριος διαφθεῖραι αὐτούς. Οὐχ ἡ βούλησις τοῦ Θεοῦ ἀντέπραττε τῇ προαιρέσει αὐτῶν, ἀλλ' ἡ αὐτῶν κακὴ πρᾶξις εἰς τοῦτο ἤγαγε τὸν Θεόν.

κϛ. Καὶ τὸ παιδάριον Σαμουὴλ ἐπορεύετο, καὶ ἐμεγαλύνετο, καὶ ἦν ἀγαθὸν μετὰ Κυρίου καὶ μετὰ ἀνθρώπων.

κζ. Καὶ ἦλθεν (2) ἄνθρωπος Θεοῦ πρὸς Ἠλί, καὶ εἶπε, τάδε λέγει Κύριος, ἀποκαλυφθεὶς ἀπεκαλύφθην πρὸς οἶκον τοῦ πατρός σου ὄντων αὐτῶν ἐν γῇ Αἰγύπτῳ δούλων τῷ οἴκῳ Φαραώ,
κη. Καὶ ἐξελεξάμην τὸν οἶκον τοῦ πατρός σου ἐκ πάντων τῶν σκήπτρων Ἰσραὴλ ἐμοὶ ἱερατεύειν, τοῦ ἀναβαίνειν ἐπὶ τὸ θυσιαστήριόν μου, καὶ θυμιᾶν θυμίαμα, καὶ αἴρειν Ἐφούδ· καὶ ἔδωκα τῷ οἴκῳ τοῦ πατρός σου τὰ πάντα τοῦ πυρὸς υἱῶν Ἰσραὴλ εἰς βρῶσιν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἄκουσον τί φησι πρὸς αὐτὸν ὁ Θεός, μᾶλλον δὲ πρὸς αὐτὸν μὲν οὐκ ἔτι· οὐδὲ γὰρ ἀποκρίσεως αὐτὸν ἄξιον ἔκρινεν εἶναι λοιπόν· ἀλλ' ὥσπερ τινὰ οἰκέτην τὰ μέγιστα προσκεκρουκότα, δι' ἑτέρου ποιεῖ μαθεῖν τὰ καταληψόμενα αὐτὸν κακά. τοσαύτη ἦν ἡ τοῦ Θεοῦ τότε ὀργή.

A κθ. Καὶ ἵνα τί ἐπέβλεψας ἐπὶ τὸ θυμίαμά μου καὶ εἰς τὴν θυσίαν μου ἀναιδεῖ ὀφθαλμῷ; καὶ ἐδόξασας τοὺς υἱούς σου ὑπὲρ ἐμὲ ἐνευλογεῖσθαι ἀπαρχῆς πάσης θυσίας Ἰσραὴλ ἔμπροσθέν μου;

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν ὁ Ἠλὶ δίκας ὑπὲρ τῶν παίδων ἔτισε, καὶ ταῦτα παραινέσας αὐτοὺς τὰ προσήκοντα; Οὐχ
B ἠπίων ἐδεῖτο φαρμάκων ἡ τῶν παίδων παρανομία, ἀλλ' αὐστηροτάτων καὶ δριμυτάτων. ἔδει τοίνυν μετὰ τὴν πρώτην καὶ δευτέραν παραίνεσιν τῇ πονηρίᾳ προσμείναντας, ἐξελάσαι λοιπὸν τούτους τῶν ἱερῶν περιβόλων. οὐ γὰρ αὐτοὶ μόνοι παρηνόμουν, ἀλλὰ καὶ τοῖς ἄλλοις ἐγίνοντο παρανομίας ἀρχέτυπον. ἐπειδὴ δὲ προυτίμησε τοῦ πεποιηκότος τὴν φύσιν, τῆς θεοσδότου χάριτος ἐγυμνώθη. τοῦτο γὰρ αὐτῷ καὶ διὰ τοῦ
Γ » Προφήτου δεδήλωκεν ὁ Θεός. ἵνα τί γάρ,
» φησιν ἐπέβλεψας ἐπὶ τὸ θυμά μου (3) καὶ
» ἐπὶ τῷ θυμίαμά μου ἀναιδεῖ ὀφθαλμῷ; καὶ
» ἐδόξασας τοὺς υἱούς σου ὑπὲρ ἐμέ, εὐλογεῖ-
» σθαι ἀπαρχὴν πάσης θυσίας Ἰσραὴλ ἔμ-
» προσθέν μου; τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσ-
» ραήλ, εἶπον, ὁ οἶκός σου καὶ ὁ οἶκος τοῦ πα-
» τρός σου διελεύσονται ἐνώπιόν μου ἕως αἰῶ-
» νος· καὶ νῦν οὐχ οὕτω φησὶ Κύριος, μηδαμῶς
» ἐμοί, ἀλλ' ἢ τοὺς δοξάζοντάς με δοξάσω, καὶ
Δ » οἱ ἐξουθενοῦντές με ἐξουθενωθήσονται.

λ. Διὰ τοῦτο τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ, εἶπα, ὁ οἶκός σου καὶ ὁ οἶκος τοῦ πατρός σου διελεύσονται ἐνώπιόν μου ἕως αἰῶνος· καὶ νῦν φησὶ Κύριος, μηδαμῶς, (4) ἀλλ' ἢ ὅτι τοὺς δοξάζοντάς με δοξάσω, καὶ ὁ ἐξουδενῶν με ἀτιμασθήσεται.

E * ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ δοκεῖ μὲν ἡ πρόρρησις τοῦτο τὸ γένος τῆς ἀρχιερωσύνης γυμνοῦν· αἰνίττεται δὲ πάσης τῆς Ἰουδαϊκῆς ἀρχιερωσύνης τὴν παῦλαν. εἶπον
» γὰρ φησιν, ὁ οἶκός σου καὶ ὁ οἶκος τοῦ πατρός-
» σου διελεύσονται ἐνώπιόν μου ἕως αἰῶνος. τοῦτο δὲ οὐ τῷ Ἰθάμαρ ὑπέχετο, ἀλλὰ τῷ Ἀαρών. οὐκοῦν κατὰ πάσης αὐτῶν ἀπεφήνατο τῆς φυλῆς. καὶ μαρτυρεῖ τὰ ὁρώμενα. ἐξ οὗ γὰρ ὁ δεσπότης Χριστὸς ἐσταυρώθη, (5)
Z οὔτε νεώς, οὔτε ἅγια ἁγίων παρ' αὐτοῖς, οὐκ ἀρχιερωσύνη, οὐ προφητεία. ἀλλὰ πάντων ἔρημοι. τοῦτο δὲ δηλοῖ καὶ τὰ ἑπόμενα.

** ΩΡΙΓΕΝΟΥΣ. Ὁ τῶν Ἑβραίων
» διδάσκαλος ἐξηγήσατο τό, τοὺς δοξάζον-
» τάς με δοξάσω, οἱ δὲ ἐξουθενοῦντές με ἀτι-
» μασθήσονται· ἐχρῆν γὰρ Θεοῦ μὲν ἔργον εἶναι τὸ δοξάζειν, οὐκ ἔτι δὲ ἐνέργειαν, ἀλλὰ παρακόλουθα τὸ τὸν ἀτιμάζοντα Θεὸν ἀτιμάζεσθαι.

ΚΥΡΙΛ.

(1) Ἴσ. καὶ τῶν ἀπεγνωσμένων τούτους ἔσεσθαι. (2) Ὁ ἄνθρ. αἱ εἰρημ. ἐκδόσ.
(3) Θυμίαμά μου καὶ ἐπὶ τὴν θυσίαν μου. ἡ ἐν Χαλ. ἐκδ. (4) Μηδαμῶς ἐμοί. αἱ εἰρημ. ἐκδόσ.
(5) Καθῃρέθη μὲν αὐτῶν ὁ ναός, ἔρημα δὲ γεγένηται τῶν ἁγίων τὰ ἅγια, καὶ ἀρχιερωσύνης καὶ προφητείας ἐστέρηται. τοῦτο, κτ. ἡ ἐν Χαλ. ἐκδ.

✱✱ ΚΥΡΙΛΛΟΥ. Εἰ δοξάζομεν ἐν ἑαυτοῖς τὸν Θεὸν, προσδοκήσωμεν ὅτι δοξασθησόμεθα παρ' αὐτȣ̃. ζῶ γὰρ ἐγὼ, λέγει Κύριος, ὅτι τȣ̀ς δοξάζοντάς με δοξάσω, καὶ ȣ̓κ ἐξȣδενωθήσονται. δοξάζεται δὲ δι' ἡμῶν καὶ ἐν ἡμῖν ὁ Θεὸς, ὅταν τὸν ἐκ τῆς ἁμαρτίας παρωσάμενοι ῥύπον, διὰ πάσης ἀγαθοεργίας τὸν οἰκεῖον καταφαιδρύνωμεν βίον. ζῶμεν γὰρ ȣ̔́τως εἰς δόξαν αὐτȣ̃.

✱✱ ΒΑΣΙΛΕΙΟΥ. Ἀτιμασθήσεται ἀνὴρ ὑπὸ τῆς ἰδίας ἁμαρτίας. ἀτιμοποιὸς γὰρ Δαν. 12. 2. ἡ ἁμαρτία. ἀναστήσονται γάρ φησιν ȣ̔̃τοι εἰς ζωὴν αἰώνιον, καὶ ȣ̔̃τοι εἰς ὀνειδισμὸν καὶ αἰσχύνην αἰώνιον. ἐπειδὴ γὰρ τιμὴ ἐστὶ γέρως ἀπόδοσις, γέρας δὲ ἐστιν ἆθλον ἀρετῆς· τοῖς μὲν ἁγίοις καὶ τιμὴ καὶ γέρας ἀπονέμεται, τοῖς δὲ ἀσεβέσι τὰ ἐναντία. τιμᾷ μὲν γὰρ ὁ Θεὸς τȣ̀ς ἀξίȣς. αὐτὸς γάρ ἐστι τὸ ὄντως τίμιον, καὶ τιμῆς παρεκτικόν· διότι ȣ̓ δύναται τὴν τιμὴν περιποιῆσαι ὁ ἠτιμωμένος. ἀτιμάζει δὲ ἕκαστον τὰ πάθη τῆς αἰσχύνης, ἐπὶ τῆς κλίσεως πάσης ἀνακαλυπτόμενα.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ἐπειδὴ ἐπαγγέλλεται ὁ Κύριος, ὅτι τȣ̀ς δοξάζοντάς με δοξάσω· δῆλον ὅτι ὁ καλῶς δοξάζων τὸν Θεὸν, δεδοξασμένος ἐστὶ παρ' αὐτῷ. ȣ̔́τω καὶ Μωϋσέως ἐδοξάσθη τὸ πρόσωπον, ἐπειδὴ καλῶς ᾔδει δοξάζειν τὸν Θεόν. συμφωνεῖ δὲ τῇ δόξῃ καὶ ἡ αἴνεσις. ὥστε ὁ καλῶς δοξάζων, καὶ ὑγιῶς αἰνέσει. καὶ μηδεὶς οἰέσθω τῶν ἐσφαλμένας περὶ Θεȣ̃ ἐχόντων ὑπολήψεις, ὅτι δεκταὶ αὐτȣ̃ εἰσὶν αἱ ἐν ψαλμῳδίαις αἰνέσεις. τῆς γὰρ αὐτῆς καρδίας ἐστὶ δοξάζειν τε ἐπιτετευγμένως, καὶ αἰνεῖν ὑγιῶς.

✱✱ ΕΦΡΑΙΜ. Ἀλλ' ἢ τȣ̀ς δοξάζοντάς με δοξάσω· ὁ δὲ ἐξȣθενῶν με, ἀτιμασθήσεται. Ἡμεῖς ȣ̓̃ν δοξάσωμεν αὐτὸν ἐν τῷ τηρεῖν τὰς ἐντολάς.

λα. Ἰδȣ̀ ἡμέραι ἔρχονται, καὶ ἐξολοθρεύσω τὸ σπέρμα σȣ καὶ τὸ σπέρ-
λβ. μα οἴκȣ τȣ̃ πατρός σȣ· (1) Καὶ ȣ̓κ ἔσαι σοι πρεσβύτης ἐν οἴκῳ μȣ πάσας τὰς ἡμέρας.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ἰδȣ̀ ἡμέραι ἔρχονται, καὶ ἐξολοθρεύσω τὸ σπέρμα σȣ, καὶ τὸ σπέρμα τȣ̃ οἴκȣ τȣ̃ πατρός σȣ. (2) καὶ ἐπιβλέψει κραταίωμα ὃν ἐν πᾶσιν οἷς ἀγαθύνει τὸν Ἰσραὴλ, καὶ ȣ̓κ ἔσαι πρεσβύτης πάσας τὰς ἡμέρας ἐν τῷ οἴκῳ σȣ. κραταίωμα Ἐξόδ. 3. 14. δὲ ὂν τȣ̃ ὄντος λέγει Θεȣ̃. ἐγὼ γάρ εἰμι, Ἱερ. 4. 10. φησὶν, ὁ ὤν. [καὶ Ἱερεμίας, ὁ ὢν δέσποτα Κύριε.] τȣ̃το κραταίωμα τὴν ἱερωσύνην εἴρηκε, τὴν κατὰ τὴν τάξιν Μελχισεδέκ. [τȣ̃το δὲ σαφέστερον μετ' ὀλίγα δεδήλωκε.]

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐπιβλέψῃ κραταίωμα ναῶν. τὸ ῥητὸν ἠστέρισαι. ὅπερ ȣ̔́τως ἐξέδωκε Σύμμαχος· καὶ ὄψῃ θλίψιν κατοικήσεως ἐν παντὶ ᾧ εὐεργετηθήσεται Ἰσραήλ. τινὲς δὲ (3) κραταίωμα ὢν ἐκθέμενοι, ȣ̔́τως ἑρμήνευσαν, τȣ̃ ὄντος λέγει Θεȣ̃. ἐγὼ γάρ εἰμι, φησὶν, ὁ ὤν. τȣ̃το κραταίωμα κέκληκε τὴν ἱερωσύνην τὴν κατὰ τὴν τάξιν Μελχισεδέκ. δίκας δὲ τέτικεν ὑπὲρ τῶν παίδων Ἠλί· καὶ ταῦτα, παραινέσας αὐτοῖς τὰ προσήκοντα. ȣ̓ γὰρ ἔδει τȣ́τοις πρᾳοτέρων φαρμάκων, ἀλλὰ μετὰ πρώτην καὶ δευτέραν παραίνεσιν τῶν ἱερῶν περιβόλων ἐχρῆν ἀπελαύνεσθαι. παρανομεῖν γὰρ καὶ τȣ̀ς ἄλλȣς ἐδίδασκον.

λγ. Καὶ ἄνδρα ἐξολοθρεύσω σοι ἀπὸ τȣ̃ θυσιαστηρίȣ μȣ, ἐκλείπειν τȣ̀ς ὀφθαλμȣ̀ς αὐτȣ̃, καὶ καταῤῥεῖν τὴν ψυχὴν αὐτȣ̃· καὶ πᾶς περισσεύων οἴκȣ σȣ πεσȣ̃νται ἐν ῥομφαίᾳ ἀνδρῶν.

λδ. Καὶ τȣ̃τό σοι τὸ σημεῖον ὃ ἥξει ἐπὶ τȣ̀ς δύω υἱȣ́ς σȣ τȣ́τȣς, Ὀφνεὶ καὶ Φινεὲς, ἐν μιᾷ ἡμέρᾳ ἀποθανȣ̃νται ἀμφότεροι.

λε. Καὶ ἀναστήσω ἐμαυτῷ ἱερέα πιστὸν, ὃς πάντα τὰ ἐν τῇ καρδίᾳ μȣ καὶ τὰ ἐν τῇ ψυχῇ μȣ ποιήσει· καὶ οἰκοδομήσω αὐτῷ οἶκον πιστὸν, καὶ διελεύσεται ἐνώπιον χριστȣ̃ μȣ πάσας τὰς ἡμέρας.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ἀναστήσω ἐμαυτῷ ἱερέα [πιστὸν, ὃς πάντα τὰ ἐν τῇ καρδίᾳ μȣ, καὶ τὰ ἐν τῇ ψυχῇ μȣ ποιήσει· καὶ οἰκοδομήσω αὐτῷ οἶκον πιστὸν, καὶ διελεύσεται ἐνώπιον τῶν χριστῶν μȣ πάσας τὰς ἡμέρας.] ταῦτα ἁρμόττει ἀνθρώπων μὲν ȣ̓δενὶ, μόνῳ δὲ τῷ [Κυρίῳ ἡμῶν Ἰησȣ̃] Χριστῷ, ὃς ἀρχιερεὺς ἡμῶν κατὰ τὸ ἀνθρώπινον ὠνομάσθη. ἔχοντες γάρ φησιν ἀρ- Ἑβρ. 4. 14. 15.
χιερέα μέγα διεληλυθότα τȣ̀ς ȣ̓ρανȣ̀ς, Ἰησȣ̃ν τὸν Κύριον ἡμῶν. [καὶ πάλιν· ȣ̓ γὰρ ἔχομεν ἀρχιερέα μὴ δυνάμενον συμπαθῆσαι ταῖς ἀσθενείαις ἡμῶν· πεπειρασμένον δὲ κατὰ πάντα καθ' ὁμοιότητα χωρὶς ἁμαρτίας. καὶ τὸ, πάσας τὰς ἡμέρας, ȣ̓ προσῆκεν ἀνθρώποις θνητοῖς ὀλίγον βιοτεύȣσι χρόνον.] χριστȣ̀ς δὲ τȣ̀ς ἱερȣ̀ς Ἀποστόλȣς καλεῖ, καὶ τȣ̀ς τὴν ἐκείνων διαδεξαμένȣς διδασκαλίαν. (4) Χριστῷ μὲν ȣ̓̃ν κυρίως προσῆκεν ἡ πρόῤῥησις. κατὰ δὲ τὴν ἱστορίαν τῷ Σαδȣ̀κ, ὃς ἐκ τȣ̃ Ἐλεάζαρ κατάγων τὸ γένος, τὴν ἀρχιερωσύνην διὰ τȣ̃ Σολομῶντος ἐδέξατο.

λϛ. Καὶ ἔσαι ὁ περισσεύων ἐν οἴκῳ σȣ, ἥξει προσκυνεῖν αὐτῷ ὀβολȣ̃ ἀργυρίȣ, λέγων, παράῤῥιψόν με ἐπὶ μίαν τῶν ἱερατειῶν σȣ φαγεῖν ἄρτον.

ΑΔΗΛΟΥ. Ἥξει προσκυνεῖν. Τοσȣ̃τον, φησὶν, ἔσαι τῶν ἐκ τȣ̃ γένȣς τȣ̃ σȣ̃ διάφορον, ὥστε τȣ̀ς ὑπολειφθέντας μετὰ πολλῆς αὐτῷ τῆς αἰδȣ̃ς προσιέναι, καὶ ὡς ἱερεῖ τὰς προσφορὰς αὐτῷ προσκομίζοντας.

ΚΕΦ.

(1) Καὶ ἐπιβλέψει κραταίωμα νεῶν ἐπὶ πᾶσιν οἷς ἀγαθυνεῖ τὸν Ἰσραὴλ, καὶ ȣ̓κ ἔσαι σοι πρεσβύτης ἐν τῷ οἴκῳ σȣ. ἡ ἐν Κομπλ. ἔκδ. (2) Καὶ ȣ̓κ ἔσαι σȣ πρεσβύτης ἐν οἴκῳ· καὶ ἐπιβλέψει, κτλ. ἡ ἐν Χάλ. ἔκδ.
(3) Τὸν Θεοδώριτον πάντως αἰνίττεται.
(4) Οὐκȣ̃ν ἡ πρόῤῥησις κυρίως μὲν ἁρμόττει τῷ σωτῆρι Χριστῷ. κατὰ δὲ, κτ. ἡ ἐν Χάλ. ἔκδ.

ΚΕΦ. Γ.

α. Καὶ τὸ παιδάριον Σαμουὴλ ἦν λειτουργῶν τῷ Κυρίῳ ἐνώπιον Ἠλὶ τοῦ ἱερέως. καὶ ῥῆμα Κυρίου ἦν τίμιον ἐν ταῖς ἡμέραις ἐκείναις, οὐκ ἦν ὅρασις διαστέλλουσα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅτε τὸν τῶν Ἰουδαίων δῆμον, διὰ τὰ ἁμαρτήματα τῶν τοῦ Ἠλὶ παίδων ὁ Θεὸς ἀπεστράφη καὶ τὴν πολλὴν τοῦ πλήθους κακίαν, ἐπέλιπεν ἡ προφητεία. » ῥῆμα γὰρ τίμιον, φησὶν, ἦν, καὶ » οὐκ ἦν ὅρασις διαστέλλουσα. τίμιον, τουτέστι σπάνιον. καὶ ἐπὶ τοῦ Ὀζίου τὸ αὐτὸ τοῦτο.

» ** ΤΟΥ ΑΥΤΟΥ. Ῥῆμα τίμιον ἦν, » καὶ οὐκ ἦν ὅρασις διαστέλλουσα· Τίμιον ἐνταῦθα, τὸ σπάνιον λέγων. διὰ γὰρ τούτων ἐδήλωσεν, ὅτι τὰ τῆς προφητείας ἐσπάνιζε τότε.

β. Καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ Ἠλὶ ἐκάθευδεν ἐν τῷ τόπῳ αὐτοῦ, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἤρξαντο βαρύνεσθαι, καὶ οὐκ ἠδύνατο βλέπειν.

γ. Καὶ ὁ λύχνος τοῦ Θεοῦ πρὶν ἐπισκευασθῆναι, καὶ Σαμουὴλ ἐκάθευδεν ἐν τῷ ναῷ, οὗ ἡ κιβωτὸς τοῦ Θεοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, » ὁ λύχνος τοῦ Θεοῦ πρὶν ἢ ἐπισκευασθῆναι; Αἰνίττεται ὁ λόγος, ὡς εὐθὺς μετὰ τὴν ἑσπέραν, ἀρξαμένων αὐτῶν καθεύδειν, ἐφάνη τῷ Σαμουὴλ ὁ δεσπότης Θεός. ἐν ἑσπέρᾳ γὰρ τὸν ἱερὸν λύχνον ἅπτειν εἰώθασι· περὶ μέσας δὲ νύκτας ἐπέβαλον ἔλαιον. τὸν καιρὸν τοίνυν ὁ συγγραφεὺς δηλῶσαι θελήσας, ἔφη, μηδέπω ἐπισκευασθῆναι τὸν λύχνον.

δ. Καὶ ἐκάλεσε Κύριος, Σαμουὴλ
ε. Σαμουήλ. καὶ εἶπεν, ἰδοὺ ἐγώ. Καὶ
ἔδραμε πρὸς Ἠλὶ, καὶ εἶπεν, ἰδοὺ ἐγὼ, ὅτι κέκληκάς με. καὶ εἶπεν, οὐ κέκληκά σε, ἀνάστρεφε, καὶ κάθευδε. καὶ ἀνέστρεψε καὶ ἐκάθευδε.

* ΔΙΟΔΩΡΟΥ. (1) Τίνος δὲ χάριν ὑπὸ Θεοῦ καλούμενος Σαμουὴλ, ἀπῄει πρὸς Ἠλὶ, οἰόμενος ὑπ' αὐτοῦ καλεῖσθαι; Ἐπειδὴ ἔμελλεν ὁ Θεὸς τῷ Ἠλὶ κακὰ προλέγειν διὰ τοῦ Σαμουὴλ, ἵνα μὴ νομισθῇ πλάσαι ὁ Σαμουὴλ τὴν ἀποκάλυψιν, ᾠκονόμει ὁ Θεὸς, ἐκεῖνον οἰηθέντα ὑπὸ Ἠλὶ καλεῖσθαι πρὸς αὐτὸν ἀπιέναι· ἵνα ὅταν ὁ μὲν Ἠλὶ νοήσῃ, ὅτι ὁ Θεός ἐστιν ὁ καλῶν τὸν Σαμουὴλ, ἐκεῖνος δὲ μετὰ ταῦτα τὰ ὑπὸ Θεοῦ διαγγέλλει, μὴ ὑποπτευθῇ ὡς πλασάμενος τὴν ἀποκάλυψιν· ἀλλὰ πιστευθῇ, ὅτι ἀληθῶς ὁ Θεὸς ἀποκάλυψιν ἀνήγγειλε.

ϛ. Καὶ προσέθετο Κύριος ἔτι καλέσαι τὸν Σαμουήλ. καὶ ἐκάλεσε, Σαμουὴλ Σαμουήλ. καὶ ἐπορεύθη πρὸς Ἠλὶ ἐκ δευτέρου, καὶ εἶπεν, ἰδοὺ ἐγὼ
B τί (2) κέκληκάς με; καὶ εἶπεν, οὐ κέ-
κληκά σε, τέκνον, ἀνάστρεφε, καὶ κά-
ζ. θευδε. Καὶ Σαμουὴλ πρὶν ἢ γνῶναι
Θεὸν, καὶ πρὶν ἢ ἀποκαλυφθῆναι
η. αὐτῷ ῥῆμα Κυρίου. Καὶ προσέθετο
Κύριος καλέσαι Σαμουὴλ ἐν τρίτῳ.
καὶ ἀνέστη καὶ ἐπορεύθη πρὸς Ἠλὶ,
καὶ εἶπεν, ἰδοὺ ἐγὼ, ὅτι κέκληκάς με.
Γ καὶ ἐσοφίσατο Ἠλὶ ὅτι Κύριος κέ-
θ. κληκε τὸ παιδάριον, Καὶ εἶπεν αὐ-
τῷ, ἀνάστρεφε, καὶ κάθευδε τέκνον·
καὶ ἔσται ἐὰν καλέσῃ σε, καὶ ἐρεῖς,
λάλει Κύριε, ὅτι ἀκούει ὁ δοῦλός σου.
καὶ ἐπορεύθη Σαμουὴλ, καὶ ἐκοιμήθη
ι. ἐν τῷ τόπῳ αὐτοῦ. Καὶ ἦλθε Κύριος
καὶ κατέβη, (3) καὶ ἐκάλεσεν αὐτὸν
ὡς ἅπαξ καὶ ἅπαξ. καὶ εἶπε Σαμουὴλ,
Δ λάλει, ὅτι ἀκούει ὁ δοῦλός σου.

ια. Καὶ εἶπε Κύριος τῷ Σαμουὴλ, ἰδοὺ ἐγὼ ποιῶ τὰ ῥήματά μου ἐν Ἰσραὴλ, ὥστε παντὸς ἀκούοντος αὐτὰ, ἠχήσει ἀμφότερα τὰ ὦτα αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε κομιδῇ νέῳ ὄντι τῷ Σαμουὴλ ὁ τῶν ὅλων ὤφθη Θεός; Εἰς ἔλεγχον τοῦ γεγηρακότος ἀρ-
E χιερέως τὸ μειρακύλλιον ἠξιώθη τῆς θείας ἐπιφανείας. οὕτω γὰρ ἦν ἄγαν νέος, ὡς τὴν τοῦ Θεοῦ διδασκαλίαν μηδέπω δύνασθαι δέξασθαι. αὐτίκα γοῦν ὁ Ἠλὶ μετὰ τὴν τρίτην κλῆσιν συνεὶς, ὡς ὁ Θεός ἐστιν ὁ καλῶν· περιττὸν μὲν εἰπεῖν ὑπέλαβεν, ὡς ὁ » Θεός ἐστιν ὁ καλῶν· ἔφη δὲ, ἐὰν καλέσῃ σε » ὁ καλῶν, ἐρεῖς, λάλει Κύριε, ὅτι ἀκούει ὁ δοῦλός σου· ἀλλ' ὅμως καὶ τὴν τοιαύτην ἡλικίαν τῆς πολιᾶς προτετίμηκεν ὁ Θεός· καὶ
Z τὸν ὀκτὼ καὶ ἐνενήκοντα βεβιωκότα ἔτη, καὶ τεσσαράκοντα (4) τῆς ἀρχῆς, ἀξιωθέντα διπλῆς τιμῆς· καὶ κριτὴς γὰρ ἦν καὶ ἀρχιερεύς· παριδὼν, (5) τῷ σμικροτάτῳ διελέχθη παιδίῳ· διδάσκων ὅσῳ πολιᾶς ἀμείνων νεότης ἀρετῇ κοσμουμένη.

ιβ. Ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπεγερῶ ἐπὶ Ἠλὶ πάντα ὅσα ἐλάλησα ἐπὶ τὸν οἶκον αὐτοῦ, ἄρξομαι καὶ ἐπιτελέσω.

ιγ. Καὶ

(1) Οἰκονομίας δὲ Θεοῦ ἦν, τὸ τὸν Σαμουὴλ καλούμενον ὑπ' αὐτοῦ, ἀπιέναι πρὸς Ἠλεὶ, οἰόμενον ὑπ' αὐτοῦ καλεῖσθαι, καὶ ἅπαξ, καὶ δὶς, καὶ τρίτον. ἐπειδὴ γὰρ ἤμελλεν ὁ Θεὸς, κτ. ἐν Τόμ. 1. τῶν τοῦ Θεοδωρήτ. σελ. 358. τῆς κατὰ τὴν Χάλ. ἐκδόσ. (2) Ὅτι κέκληκάς με. αἱ εἰρημ. ἐκδόσ.
(3) Κατέστη. αἱ αὐτ. (4) Ἔτη ἀρχῆς ἀξιωθέντα διπλῆς. ἡ αὐτ. (5) Καταλιπών. ἡ αὐτ.

ιγ. Καὶ ἀπήγγελκα αὐτῷ ὅτι ἐκδικῶ ἐγὼ τὸν οἶκον αὐτοῦ ἕως αἰῶνος ἐν ἀδικίαις υἱῶν αὐτοῦ, ἃς ἔγνω, ὅτι κακολογοῦντες Θεὸν οἱ υἱοὶ αὐτοῦ, καὶ οὐκ ἐνουθέτει αὐτούς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ τῷ μαθητῇ, καὶ ἑτέρῳ Προφήτῃ, καὶ πᾶσιν ὑπὲρ τῶν ἐκείνου μᾶλλον διελέγετο κακῶν, ἢ ἐκείνῳ. οὕτως αὐτὸν εἰς τέλος ἀπέστραπτο. τί δὴ οὖν φησὶ τῷ Σαμουήλ; ἔγνω, ὅτι κακολογοῦντες Θεὸν οἱ υἱοὶ αὐτοῦ, καὶ οὐκ ἐνουθέτει αὐτούς· καὶ οὐχ οὕτω. καὶ μὴν ἐνουθέτησεν, ἀλλ' οὐδὲ νουθεσίαν εἶναι τοῦτό φησιν ὁ Θεός. οὕτως αὐτῆς κατέγνω, ἐπειδὴ τὸ σφοδρὸν οὐκ εἶχε καὶ ἐπιτεταμένον. ὥστε κἂν προνοῶμεν τῶν παίδων, μὴ τοσοῦτον δὲ ὅσον χρή, οὐδὲ πρόνοια τοῦτό ἐστιν, ὥσπερ οὖν οὐδ' ἡ τοῦ Ἠλεὶ νουθεσία.

ιδ. Καὶ οὐχ οὕτως· ὤμοσα τῷ οἴκῳ Ἠλὶ, εἰ ἐξιλασθήσεται ἀδικία οἴκου Ἠλὶ ἐν θύματι (1) καὶ ἐν θυσίαις ἕως αἰῶνος.

** ΙΣΙΔΩΡΟΥ. Πῶς ὁ Ἠλεὶ νουθετήσας, καὶ μὴ ἀνύσας δέδωκε δίκην; Ὅτι παντὶ μὲν σθένει ἐπὶ παίδων καὶ ἱερέων χρὴ καὶ ἐπεξιέναι, καὶ κωλύειν τῆς ἀγχιστείας, καὶ ἐξ ὄψεως ποιεῖν, καὶ ἀποχειροτονεῖν· καὶ μάλιστα ὅταν εἰς τὸ θεῖον ἡ ὕβρις διαβαίνῃ. διὸ καὶ προσέκρουσεν. ἐχρῆν γὰρ αὐτὸν μὴ πέρα τοῦ δέοντος εἶναι φιλόπαιδα, ἀλλὰ τοῖς θείοις νόμοις ἐπαμύναι ὑβριζομένοις. ποτὲ δέ τις ἀπολογήσασθαι ὑπὲρ αὐτοῦ βουληθεὶς, ἔφη· ὅτι φαίνεται οὐκ ἂν αὐτὸς δίκην δοὺς τοσοῦτον, ὅσον οἱ παῖδες. ἐκεῖνοι μὲν γὰρ ὀργῆς ἐπιπολασάσης θείας, αἰσχρῶς καὶ ἐλεεινῶς ἐν τῷ πολέμῳ ἀπέθανον. οὗτος δὲ μετὰ γῆρας βαθὺ ἐν τῇ πόλει. καὶ αὐτὴ δὲ ἡ ἀπόφασις, εἰ τὰς θείας τὶς συλλαβὰς περιεργάσοιτο, φαίνεται οὐ κατ' αὐτοῦ, ἀλλὰ κατὰ τοῦ οἴκου ὁρισθεῖσα· ὤμοσα γάρ φησι τῷ οἴκῳ Ἠλεὶ, εἰ ἐξιλάσεται ἁμαρτία οἴκου Ἠλεὶ ἢ ἐν θυμιάμασιν, ἢ ἐν θυσίαις ἕως αἰῶνος. οὐκ εἶπε, φησὶν, ὤμοσα τῷ Ἠλεί· οὐδ' ὅτι οὐκ ἐξιλάσεται ἁμαρτία Ἠλεί. ἤρκεσε γὰρ αὐτῷ ἴσως πρὸς σωφρονισμὸν ταύτης μόνης τῆς ἀμελείας· τὰ γὰρ ἄλλα ἦν θαυμαστός· τὰ τῇδε αὐτῷ συμβεβηκότα ἀνιαρά· ἀλλὰ οἴκῳ Ἠλεί· ἀντὶ τοῦ, πάντως τοὺς ἡμαρτηκότας ἀπολέσθαι χρή. εἰ δὲ, ἐπειδὴ μετέστησεν εἰς ἑτέραν συγγένειαν τὴν ἱερωσύνην, λέγει τίς· εἶπεν ὁ ὑπὲρ αὐτοῦ τὴν ἀπολογίαν ἀναδεξάμενος· ὅτι εἰκότως. τοὺς γὰρ ἐκ τῶν υἱῶν αὐτοῦ τῶν ἡμαρτηκότων, καὶ τοῦ Θεοῦ, καὶ τοῦ γεννήτορος καταπεφρονηκότων τεχθέντας, οὐκ ἔτι ἐχρῆν ἱερᾶσθαι.

* ΠΡΟΚΟΠΙΟΥ. Εἰ ἐξιλασθήσεται. Δοκεῖ πως ὧδε ἐμποδίζειν τῇ μετανοίᾳ, μὴ διδοὺς αὐτοῖς ἐλπίδα συγχωρήσεως. ἀλλὰ πρόσχες τὸ ῥητόν· φησὶν, ὅτι ἐν θυσίαις οὐ συγχωρῶ αὐτοῖς, τουτέστιν ἐὰν μὴ δι' ἔργων, καὶ μετανοίας τελείας. οὐ γὰρ ψιλόν ἐστι τὸ ἁμάρτημα, ἵνα διὰ θρεμμάτων ἐξιλάσωνταί με, ἀλλὰ τὸ τῆς ὕβρεως εἰς ἐμὲ ἀνῆκε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες ἀγανάκτησιν ἐπιτεταμένην, καὶ ἀσύγγνωστον κόλασιν; πάντως αὐτόν φησιν ἀπολέσθαι χρή· καὶ οὐκ αὐτὸν μόνον οὐδὲ τοὺς παῖδας, ἀλλὰ καὶ τὴν οἰκίαν ἅπασαν μετ' ἐκείνου· καὶ οὐδὲν ἔσται φάρμακον. ὃ τὴν πληγὴν ταύτην ἰάσεται. καίτοι πλὴν τῆς εἰς τοὺς παῖδας ῥαθυμίας οὐδὲν ἕτερον εἶχεν ἐγκαλεῖν ὁ Θεὸς τῷ πρεσβύτῃ τότε ἐκείνῳ.

ιε. Καὶ κοιμᾶται Σαμουὴλ ἕως πρωῒ, καὶ ὤρθρισε τὸ πρωῒ, καὶ ἤνοιξε τὰς θύρας οἴκου Κυρίου. καὶ Σαμουὴλ ἐφοβήθη ἀπαγγεῖλαι τὴν ὅρασιν τῷ Ἠλί.

ις. Καὶ εἶπεν Ἠλὶ πρὸς Σαμουὴλ, Σαμουὴλ τέκνον. καὶ εἶπεν, ἰδοὺ ἐγώ.

ιζ. Καὶ εἶπε, τί τὸ ῥῆμα τὸ λαληθὲν πρὸς σέ; μὴ δὴ κρύψῃς ἀπ' ἐμοῦ. τάδε ποιήσαι σοι ὁ Θεὸς καὶ τάδε προσθείη, ἐὰν κρύψῃς ἀπ' ἐμοῦ ῥῆμα ἐκ πάντων τῶν λόγων τῶν λαληθέντων ἐν τοῖς ὠσί σου.

ιη. Καὶ ἀπήγγειλε Σαμουὴλ τῷ Ἠλὶ πάντας τοὺς λόγους, καὶ οὐκ ἔκρυψεν ἀπ' αὐτοῦ. καὶ εἶπεν Ἠλὶ, Κύριος αὐτὸς, τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ ποιήσει.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ μέντοι Ἠλὶ δῆλός ἐστι κοσμούμενος οἰκείοις κατορθώμασι· διὰ δὲ τὴν τῶν παίδων πονηρίαν τῆς πανωλεθρίας τὴν ψῆφον ἐδέξατο. δηλοῖ δὲ αὐτοῦ τὴν εὐσέβειαν καὶ τὰ ῥήματα. πρῶτον μὲν γὰρ οὐκ ἠσχύνθη παρακαλέσαι τὸν νέον μηνῦσαι τὰ θεόθεν ἀπαγγελθέντα· [ἀλλὰ καὶ ὅρκοις αὐτὸν κατέδησε καὶ ἀραῖς, ὥστε μηδὲν ἀποκρύψαι τῶν δηλωθέντων.] εἶτα τὴν ἐξενεχθεῖσαν ψῆφον ἀκούσας, (2) τὴν ἀξιέπαινον ἀφῆκε φωνήν· Κύριος (3) τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ ποιήσει. καὶ μέντοι καὶ τῶν υἱῶν τὴν σφαγὴν ἐγνωκὼς, οὐκ ἀγεννῶς ἤνεγκεν ὁ πατὴρ καὶ πρεσβύτης. τὴν δὲ κιβωτὸν δοριάλωτον γεγενῆσθαι μαθὼν, κατέπεσε μὲν ἀπὸ τοῦ δίφρου, τῇ δὲ τῆς ἀθυμίας ὑπερβολῇ τοῦ βίου τὸ τέλος ἐδέξατο.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ ταῦτα πάντα ἤκουσε, καὶ πρὸς ἔσχατον τιμωρίας ἥκοντα εἶδεν ἑαυτὸν, οὐκ ἀπεδυσπέτησεν, οὐκ ἐδυσχέρανεν, οὐκ εἶπέ τι τοιοῦτον, οἷον εἰκὸς τοὺς πολλούς· μὴ γὰρ ἐγὼ τῆς ἑτέρων κύριός εἰμι γνώμης; τῶν οἰκείων ἁμαρτημάτων ὀφείλω δίκας· οἱ παῖδες δὲ ἡλικίαν ἔχουσι, καὶ αὐτοὶ ἂν εἶεν δίκαιοι κολάζεσθαι μόνον. τούτων οὐδὲν οὔτε εἶπεν, οὔτε ἐνενόησεν. ἀλλ' ὥσπερ οἰκέτης εὐγνώμων, καὶ εὖ μόνον εἰδὼς, τὰ παρὰ τοῦ δεσπότου εὐκόλως φέρειν, κἂν λυπηρὰ ὄντα τύχῃ, οὕτω τὰ

(1) Θυμιάματι. αἱ εἰρημ. ἐκδόσ. (2) Μαθών. ἡ ἐν Χάλ. ἐκδ. (3) Κύριός ἐστι, τό. ἡ αὐτ.

τὰ πολλῆς γέμοντα φιλοσοφίας ἐφθέγγε-
» το ῥήματα. Κύριος γάρ φησιν αὐτὸς, τὸ
» ἀρεσὸν ἐνώπιον αὐτοῦ ποιήσει.

ιθ. Καὶ ἐμεγαλώθη Σαμουήλ,
καὶ ἦν Κύριος μετ' αὐτοῦ, καὶ οὐκ ἔπε-
σεν ἀπὸ πάντων τῶν λόγων αὐτοῦ ἐπὶ
κ. τὴν γῆν. Καὶ ἔγνωσαν πᾶς Ἰσραὴλ
ἀπὸ Δὰν (1) ἕως Βηρσαβεὲ, ὅτι πι-
στὸς Σαμουὴλ εἰς προφήτην τῷ Κυρίῳ.

κα. Καὶ προσέθετο Κύριος δηλωθῆναι εἰς
Σηλὼμ, ὅτι ἀπεκαλύφθη Κύριος
πρὸς Σαμουήλ. καὶ ἐπιστεύθη Σαμουὴλ
προφήτης γενέσθαι τῷ Κυρίῳ εἰς πάν-
τα Ἰσραὴλ ἀπ' ἄκρων τῆς γῆς ἕως
ἄκρων. καὶ Ἠλὶ πρεσβύτης σφόδρα,
καὶ οἱ υἱοὶ αὐτοῦ πορευόμενοι ἐπορεύον-
το, καὶ πονηρὰ ἡ ὁδὸς αὐτῶν ἐνώπιον
Κυρίου.

ΚΕΦ. Δ.

α. Καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις
ἐκείναις, καὶ συναθροί-
ζονται ἀλλόφυλοι εἰς πό-
λεμον πρὸς Ἰσραήλ. καὶ ἐξῆλθεν Ἰσ-
ραὴλ εἰς ἀπάντησιν αὐτοῖς εἰς πόλε-
μον, καὶ παρεμβάλλουσιν ἐν Ἀφέκ. (2)
β. Καὶ παρατάσσονται (3) εἰς πόλεμον
ἐπὶ Ἰσραήλ. καὶ ἔκλινεν ὁ πόλεμος,
καὶ ἔπεσεν ἀνὴρ Ἰσραὴλ ἐνώπιον ἀλ-
λοφύλων, καὶ ἐπλήρωσαν (4) ἐν τῇ
παρατάξει ἐν ἀγρῷ τέσσαρες χιλιά-
δες ἀνδρῶν.

** ΙΩΣΗΠΟΥ. Κατὰ τοῦτον δὴ τὸν καιρὸν Παλαιστῖνοι στρατεύσαντες ἐπὶ τοὺς Ἰσραηλίτας, στρατοπεδεύονται κατὰ πόλιν Ἀφεκάν. δεξαμένων δ' ἐξ ὀλίγου τῶν Ἰσραηλιτῶν, συνῄεσαν εἰς τὴν ἐχομένην, καὶ νικῶσιν οἱ Παλαιστῖνοι· καὶ κτείνουσι μὲν τῶν Ἑβραίων εἰς τετρακισχιλίους, τὸ δὲ λοιπὸν πλῆθος συνδιώκουσιν εἰς τὸ στρατόπεδον.

γ. Καὶ ἦλθεν ὁ λαὸς εἰς τὴν πα-
ρεμβολήν, καὶ εἶπαν οἱ πρεσβύτεροι
Ἰσραήλ, κατὰ τί ἔπταισεν ἡμᾶς ὁ
Κύριος σήμερον ἐνώπιον ἀλλοφύλων;
λάβωμεν τὴν κιβωτὸν τοῦ Θεοῦ ἡμῶν
ἐν Σηλώμ, καὶ ἐξελθέτω ἐκ μέσου
ἡμῶν, καὶ σώσει ἡμᾶς ἐκ χειρὸς ἐχ-
θρῶν ἡμῶν.

** ΙΩΣΗΠΟΥ. Δείσαντες περὶ τῶν ὅλων οἱ Ἑβραῖοι πέμπουσιν ὡς τὴν γερουσίαν καὶ τὸν ἀρχιερέα, τὴν κιβωτὸν τοῦ Θεοῦ κελεύοντες κομίζειν, ἵνα παρούσης αὐτῆς, παραταττόμενοι κρατῶσι τῶν πολεμίων· ἀγνοοῦντες, ὅτι μείζων ἐστὶν ὁ καταψηφισάμενος αὐτῶν τὴν συμφορὰν τῆς κιβωτοῦ, δι' ὃν καὶ ταύτην ἐν τιμῇ συνέβαινεν εἶναι.

δ. Καὶ ἀπέστειλεν ὁ λαὸς εἰς Ση-
λώμ, καὶ αἴρουσιν ἐκεῖθεν τὴν κιβω-
τὸν τοῦ Κυρίου καθημένου Χερουβείμ.
καὶ ἀμφότεροι οἱ υἱοὶ Ἠλὶ μετὰ τῆς
κιβωτοῦ τοῦ Θεοῦ, Ὀφνὶ καὶ Φινεές.
ε. Καὶ ἐγενήθη ὡς ἦλθεν ἡ κιβωτὸς
Κυρίου εἰς τὴν παρεμβολήν, καὶ ἀνέ-
κραξε πᾶς Ἰσραὴλ φωνῇ μεγάλῃ,
ς. καὶ ἤχησεν ἡ γῆ. Καὶ ἤκουσαν οἱ ἀλ-
λόφυλοι τῆς κραυγῆς, καὶ εἶπαν, τίς
ἡ κραυγὴ ἡ μεγάλη αὕτη ἐν τῇ πα-
Γ ρεμβολῇ τῶν Ἑβραίων; καὶ ἔγνωσαν
ὅτι κιβωτὸς Κυρίου ἥκει εἰς τὴν πα-
ζ. ρεμβολήν. Καὶ ἐφοβήθησαν οἱ ἀλ-
λόφυλοι, καὶ εἶπαν, οὗτοι οἱ Θεοὶ
ἥκασι πρὸς αὐτοὺς εἰς τὴν παρεμβο-
η. λήν. Οὐαὶ ἡμῖν, ἐξελοῦ ἡμᾶς Κύριε
σήμερον, ὅτι οὐ γέγονε τοιαύτη ἐχθὲς
καὶ τρίτην. οὐαὶ ἡμῖν, τίς ἐξελεῖται
ἡμᾶς ἐκ χειρὸς τῶν Θεῶν τῶν στερεῶν
Δ τούτων; οὗτοι οἱ Θεοὶ οἱ πατάξαντες
τὴν Αἴγυπτον ἐν πάσῃ πληγῇ, καὶ
θ. ἐν τῇ ἐρήμῳ. Κραταιοῦσθε καὶ γίνε-
σθε εἰς ἄνδρας, (5) ὅπως μὴ δουλεύση-
τε τοῖς Ἑβραίοις, καθὼς ἐδούλευσαν
ἡμῖν, καὶ ἔσεσθε εἰς ἄνδρας, καὶ πο-
ι. λεμήσατε αὐτούς. Καὶ ἐπολέμησαν
αὐτούς· καὶ πταίει ἀνὴρ Ἰσραὴλ ἐνώ-
Ε πιον ἀλλοφύλων, καὶ ἔφυγεν ἕκαστος
εἰς τὸ σκήνωμα αὐτοῦ. καὶ ἐγένετο
πληγὴ μεγάλη σφόδρα· καὶ ἔπε-
σον ἐξ Ἰσραὴλ τριάκοντα χιλιάδες
ταγμάτων.

ια. Καὶ ἡ κιβωτὸς τοῦ Θεοῦ ἐλήφ-
θη, καὶ ἀμφότεροι οἱ υἱοὶ Ἠλὶ ἀπέ-
θανον, Ὀφνὶ καὶ Φινεές.

Ζ ** ΙΩΣΗΠΟΥ. Ταῖς ἑκατέρων προσ-
δοκίαις οὐχ ὅμοιον ἀπήντησε τὸ ἔργον. ἀλ-
λὰ συμβολῆς γενομένης, ἣν μὲν ἤλπιζον
νίκην Ἑβραῖοι, τῶν Παλαιστίνων αὕτη γί-
νεται· ἣν δ' ἐφοβοῦντο ἧτταν οὗτοι, ταύτην
Ἑβραῖοι παθόντες, ἔγνωσαν αὐτοὺς μά-
την ἐπὶ τὴν κιβωτὸν τεθαρρηκότας. ἐτρά-
πησάν τε γὰρ εὐθὺς εἰς χεῖρας ἐλθόντες
τῶν πολεμίων, καὶ ἀπέβαλον εἰς τρισ-
μυρίους. ἐν οἷς ἔπεσον καὶ οἱ τοῦ ἀρχιε-
Η ρέως υἱεῖς· ἥ τε κιβωτὸς ἤγετο πρὸς τῶν
πολεμίων.

(1) Καὶ ἕως. αἱ εἰρημ. ἐκδόσ. (2) Ἀβενέζερ. αἱ αὐτ. (3) Οἱ ἀλλόφυλοι εἰς πόλ. αἱ αὐτ.
(4) Ἐπλήγησαν. αἱ αὐτ. (5) Ἄνδρας ἀλλόφυλοι, ὅπως. αἱ αὐτ.

A * ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε συνεχώρησεν ὁ Θεὸς δορυάλωτον γενέσθαι τὴν κιβωτόν; Διπλῆν τὸ γεγονὸς ὠφέλειαν ἐβλάστησε. τοὺς μὲν Ἑβραίους ἐδίδαξεν, ἐννόμως μὲν βιοῦντας, τῇ τοῦ Θεοῦ προμηθείᾳ θαῤῥεῖν· παρανομοῦντας δὲ, μήτε αὐτῷ, μήτε τῇ κιβωτῷ πεποιθέναι. τί γὰρ εἰς ἐπικουρίαν παρανομοῦντες εἷλκον τὴν κιβωτὸν, ἔχουσαν τὸν νόμον ἀποκείμενον ἔνδον; οὗτοι μὲν [οὖν] ταύτην ἐντεῦθεν τὴν ὠφέλειαν ἐδέχοντο. οἱ δὲ ἀλλόφυλοι δείσαντες B μὲν, ἡνίκα φανείσης τῆς κιβωτοῦ ἠλάλαξαν οἱ Ἑβραῖοι· καταφρονήσαντες δὲ μετὰ τὴν νίκην, καὶ οἷον ἀκροθίνιον ταύτην τοῖς οἰκείοις αὐτῶν ἀνατεθεικότες Θεοῖς, (1) ἔμαθον τῇ πείρᾳ τοῦ Θεοῦ τὴν ἰσχύν.

ιβ. Καὶ ἔδραμεν ἀνὴρ Ἰεμιναῖος
ἐκ τῆς παρατάξεως, καὶ ἦλθεν εἰς
Σηλὼμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ τὰ
ἱμάτια αὐτοῦ διεῤῥωγότα, καὶ γῆ ἐπὶ Γ
ιγ. τῆς κεφαλῆς αὐτοῦ. Καὶ ἦλθε, καὶ
ἰδοὺ Ἠλὶ ἐκάθητο ἐπὶ τοῦ δίφρου παρὰ τὴν πύλην σκοπεύων τὴν ὁδὸν,
ὅτι ἦν ἡ καρδία αὐτοῦ ἐξεστηκυῖα περὶ
τῆς κιβωτοῦ τοῦ Θεοῦ. καὶ ὁ ἄνθρωπος
εἰσῆλθεν εἰς τὴν πόλιν ἀναγγεῖλαι·
καὶ ἀνεβόησεν ὅλη ἡ πόλις φωνῇ με-
ιδ. γάλῃ. Καὶ ἤκουσεν Ἠλὶ τὴν φωνὴν
τῆς βοῆς, καὶ εἶπε, τίς ἡ φωνὴ τῆς Δ
βοῆς ταύτης; καὶ ὁ ἄνθρωπος σπεύ-
σας εἰσῆλθε, καὶ ἀπήγγειλε τῷ Ἠλί.
ιε. Καὶ Ἠλὶ υἱὸς ἐννενήκοντα ἐτῶν, καὶ
οἱ ὀφθαλμοὶ αὐτοῦ ἐπανέστησαν, καὶ
ιϛ. οὐκ ἔβλεπε. Καὶ εἶπεν Ἠλὶ τοῖς ἀν-
δράσι τοῖς παρεστηκόσιν αὐτῷ, τίς ἡ
φωνὴ τοῦ ἤχου τούτου; καὶ ὁ ἀνὴρ σπεύ-
σας εἰσῆλθε (2) πρὸς Ἠλὶ, καὶ εἶπεν
αὐτῷ, ἐγώ εἰμι ὁ ἥκων ἐκ τῆς παρεμ- E
βολῆς, καὶ ἐγὼ πέφευγα ἐκ τῆς πα-
ρατάξεως τοῦ πολέμου σήμερον. καὶ
εἶπεν Ἠλὶ, τί τὸ γεγονὸς ῥῆμα, τέκ-
ιζ. νον; Καὶ ἀπεκρίθη τὸ παιδάριον, καὶ
εἶπε, πέφευγεν ἀνὴρ Ἰσραὴλ ἐκ προ-
σώπου ἀλλοφύλων, καὶ ἐγένετο πλη-
γὴ μεγάλη ἐν τῷ λαῷ, καὶ ἀμφότε-
ροι οἱ υἱοί σου τεθνήκασι, καὶ ἡ κιβω- Z
τὸς τοῦ Θεοῦ ἐλήφθη.

** ΙΩΣΗΠΟΥ. Ἀπαγγελθείσης τῆς ἥττης εἰς τὴν Σιλὼ, καὶ τῆς αἰχμαλωσίας τῆς κιβωτοῦ· Βενιαμίτης γὰρ αὐτοῖς τὶς ἄγγελος ἀφικνεῖται νεανίας, παρατετευχὼς τῷ γεγονότι· πάθους ἀνεπλήσθη πᾶσα ἡ πόλις. καὶ Ἠλεὶ ὁ ἀρχιερεὺς, ἐκαθέζετο γὰρ καθ' ἑτέρας τῶν πυλῶν ἐφ' ὑψηλοῦ θρόνου, ἀκούσας οἰμωγῆς, καὶ νομίσας νεώτερόν τι πεπρᾶχθαι περὶ τοὺς οἰκείους, H καὶ μεταπεμψάμενος τὸν νεανίαν, ὡς ἔγνω τὰ κατὰ τὴν μάχην, ῥᾴων ἦν ἐπί τε τοῖς παισὶ, καὶ τοῖς συνηγγελμένοις περὶ τὸ στρατόπεδον, ὡς ἂν προεγνωκὼς παρὰ τοῦ Θεοῦ τὸ συμβησόμενον, καὶ προαπηγγελκώς. συνέχει γὰρ ἱκανῶς τὰ παρὰ τὴν προσδοκίαν δεινά.

ιη. Καὶ ἐγένετο ὡς ἐμνήσθη τῆς
κιβωτοῦ τοῦ Θεοῦ, καὶ ἔπεσεν ἀπὸ τοῦ
δίφρου ὀπισθίως ἐχόμενος τῆς πύλης,
B καὶ συνετρίβη ὁ νῶτος αὐτοῦ, καὶ
ἀπέθανεν, ὅτι πρεσβύτης ὁ ἄνθρω-
πος καὶ βαρύς. καὶ αὐτὸς ἔκρινε τὸν
Ἰσραὴλ εἴκοσι (3) ἔτη.

** ΙΩΣΗΠΟΥ. Ὡς καὶ τὴν κιβωτὸν ἤκουσεν ᾐχμαλωτίσθαι πρὸς τῶν πολεμίων, ὑπὸ τοῦ παρ' ἐλπίδας αὐτῷ τοῦτο προσπεσεῖν, περιαλγήσας, ἀποκυλισθεὶς ἀπὸ τοῦ θρόνου τελευτᾷ, ὀκτὼ καὶ ἐνενήκοντα βιώ- Γ σας ἔτη τὰ πάντα, καὶ τούτων τὰ τεσσαράκοντα κατασχὼν τὴν ἀρχήν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἔστιν αὐτοῦ τὴν ἀρετὴν κατιδεῖν. πολέμου γὰρ καταλαβόντος τοὺς Ἰουδαίους, ἐπειδή τις ἐλθὼν ἀπήγγειλε τὰς ἐν τῷ πολέμῳ συμφορὰς, καὶ πῶς οἱ παῖδες αὐτοῦ κατεκόπησαν αἰσχρῶς καὶ ἐλεεινῶς ἐν τῇ μάχῃ· ταῦτα μὲν οὖν ἀκούων ἡσύχαζεν· ὡς δὲ προσέθηκεν ἐκεῖνος τῇ σφαγῇ ταύτῃ τῆς κιβωτοῦ τὴν ἁρ- Δ παγὴν ὑπὸ τῶν πολεμίων γενομένην, τότε δὴ σκοτωθεὶς ὑπὸ τῆς ἀθυμίας ὁ γέρων,
„ ἔπεσεν ἀπὸ τοῦ δίφρου εἰς τὰ ὀπίσω ἐχό-
„ μενα τῆς πύλης, καὶ συνετρίβη ὁ νῶτος
„ αὐτοῦ, ὅτι πρεσβύτης ἦν, καὶ βαρὺς καὶ ἔν-
„ δοξος. καὶ αὐτὸς ἔκρινε τὸν Ἰσραὴλ εἴκοσι
ἔτη. εἰ δὲ τὸν ἱερέα, τὸν πρεσβύτην, τὸν ἔνδοξον, τὸν εἴκοσι ἔτη προστάντα ἀλήπτως τοῦ τῶν Ἑβραίων γένους, τὸν ἐν χρόνοις πολιτευόμενον οὐ πολλὴν ἀπαιτοῦσιν ἀκρί- E βειαν, οὐδὲν τούτων ἴσχυσε παραιτήσασθαι· ἀλλ' ἐπειδὴ τῶν παίδων οὐκ ἐπεμελήθη μετὰ ἀκριβείας σφόδρα, καὶ ἐλεεινῶς ἀπώλετο, καὶ τῆς ὀλιγωρίας ταύτης ἡ ἁμαρτία, καθάπερ κῦμα ἄγριον καὶ μέγα, πάντα ὑπερέσχεν ἐκεῖνα, καὶ τὰ κατορθώματα ἔκρυψεν ἅπαντα, τίς ἡμᾶς λήψεται δίκη τοὺς ἐν χρόνοις γενομένους πολλῷ μείζονα ἀπαιτοῦσι φιλοσοφίαν, καὶ τῆς ἀρετῆς ἀποδέοντας τῆς ἐκείνου, καὶ τῶν παίδων οὐ μό- Z νον οὐ προϊσαμένους, ἀλλὰ καὶ τοῖς βουλομένοις τοῦτο ποιεῖν ἐπιβουλεύοντας καὶ πολεμοῦντας, καὶ βαρβάρου παντὸς χαλεπώτερον περὶ τὰ ἔκγονα διακειμένους;

* ΠΡΟΚΟΠΙΟΥ. Καὶ αὐτὸς ἔκρινε τὸν Ἰσραὴλ εἴκοσι ἔτη. Τὸ Ἑβραϊκὸν ἔχει τεσσαράκοντα ἔτη. ἔχει γὰρ Ἀρμαείμ. καὶ οἱ Λοιποὶ (4) οὕτως ἐξέδωκαν.

ιθ. Καὶ ἡ νύμφη αὐτοῦ γυνὴ Φι-
H νεὲς συνειληφυῖα τοῦ τεκεῖν, καὶ ἤκουσε
τὴν ἀγγελίαν, ὅτι ἐλήφθη ἡ κιβω-
τὸς

(1) Εἰδώλοις. ἡ ἐν Χάλ. ἔκδ.

(2) Προσῆλθε. αἱ εἰρημ. ἐκδόσ.

(3) Τεσσαράκοντα. ἥ τε τοῦ Ἀλδ. καὶ ἡ ἐν Κομπλ. ἐκδόσ.

(4) Δὲ πάντες οὕτως. ὁ τῆς Αὐγ. κώδ.

τὸς τοῦ Θεοῦ, καὶ ὅτι τέθνηκεν ὁ πεν-
θερὸς αὐτῆς καὶ ὁ ἀνὴρ αὐτῆς, καὶ
ἔκλαυσε καὶ ἔτεκεν, ὅτι ἐπεστράφη-
κ. σαν ἐπ᾽ αὐτὴν αἱ ὠδῖνες αὐτῆς. Καὶ
ἐν τῷ καιρῷ αὐτῆς ἀποθνήσκει. καὶ
εἶπαν αὐτῇ αἱ γυναῖκες αἱ παρεστη-
κυῖαι αὐτῇ, μὴ φοβοῦ, ὅτι υἱὸν τέτο-
κας. καὶ οὐκ ἀπεκρίθη, καὶ οὐκ ἐνόησεν
κα. ἡ καρδία αὐτῆς. Καὶ ἐκάλεσαν τὸ
παιδάριον Οὐαιβαρυβαρχαβὼδ (1)
ὑπὲρ τῆς κιβωτοῦ τοῦ Θεοῦ, καὶ ὑπὲρ
A τοῦ πενθεροῦ αὐτῆς, καὶ ὑπὲρ τοῦ ἀν-
κβ. δρὸς αὐτῆς. Καὶ εἶπαν, ἀπῴκισται
δόξαν Ἰσραὴλ ἐν τῷ ληφθῆναι τὴν
κιβωτὸν Κυρίου.

** ΙΩΣΗΠΟΥ. Θνήσκει κατ᾽ ἐκείνην τὴν ἡμέραν καὶ ἡ Φινεέσου παιδὸς γυνὴ, μὴ καρτερήσασα ζῆν ἐπὶ τῇ τἀνδρὸς δυστυχίᾳ. κυούσῃ γὰρ αὐτῇ προσηγγέλθη τὸ περὶ τὸν ἄνδρα πάθος. τίκτει δ᾽ ἑπταμηνιαῖον παῖ-
B δα, ὃν καὶ ζήσαντα Ἰωχάβην προσηγόρευσαν· σημαίνει δὲ ἀδοξίαν τὸ ὄνομα· διὰ τὴν προσπεσοῦσαν δύσκλειαν τότε τῷ στρατῷ.

ΚΕΦ. Ε.

α. Καὶ ἀλλόφυλοι ἔλαβον τὴν
κιβωτὸν τοῦ Θεοῦ, καὶ εἰσή-
νεγκαν αὐτὴν ἐξ Ἀβεν-
β. νέζερ εἰς Ἄζωτον. Καὶ ἔλαβον οἱ ἀλ-
λόφυλοι τὴν κιβωτὸν τοῦ Θεοῦ, καὶ
εἰσήνεγκαν αὐτὴν εἰς οἶκον Δαγὼν,
καὶ παρέστησαν αὐτὴν παρὰ Δαγών.

** ΙΩΣΗΠΟΥ. Λαβόντες οἱ Παλαιστῖνοι τὴν τῶν Ἑβραίων κιβωτὸν αἰχμάλωτον, εἰς Ἄζωτον ἐκόμισαν πόλιν, καὶ παρὰ τὸν αὐτῶν Θεὸν, ὥσπερ τι λάφυρον, Δαγὼν δ᾽ οὗτος ἐκαλεῖτο, τιθέασι.

γ. Καὶ ὤρθρισαν οἱ Ἀζώτιοι, καὶ
εἰσῆλθον εἰς οἶκον Δαγών· καὶ εἶδον,
καὶ ἰδοὺ Δαγὼν πεπτωκὼς ἐπὶ πρό-
σωπον αὐτοῦ ἐνώπιον τῆς κιβωτοῦ τοῦ
Θεοῦ. καὶ ἤγειραν τὸν Δαγὼν, καὶ
κατέστησαν εἰς τὸν τόπον αὐτοῦ. καὶ
ἐβαρύνθη χεὶρ Κυρίου ἐπὶ τοὺς Ἀζω-
τίους, καὶ ἐβασάνισεν αὐτούς· καὶ ἐπά-
ταξεν αὐτοὺς εἰς τὰς ἕδρας αὐτῶν, τὴν
δ. Ἄζωτον καὶ τὸ ὅριον αὐτῆς. Καὶ ἐγέ-
νετο ὅτε ὤρθρισαν τὸ πρωῒ, καὶ ἰδοὺ
Δαγὼν πεπτωκὼς ἐπὶ πρόσωπον αὐ-
τοῦ ἐνώπιον κιβωτοῦ διαθήκης Κυρίου.
καὶ ἡ κεφαλὴ Δαγὼν καὶ ἀμφότερα
τὰ ἴχνη χειρῶν αὐτοῦ ἀφῃρημένα ἐπὶ
τὰ ἐμπρόσθια μαφεθὰμ (2) ἕκαστον,
καὶ ἀμφότεροι οἱ καρποὶ τῶν χειρῶν
αὐτοῦ πεπτωκότες ἐπὶ τὸ πρόθυρον,
πλὴν ἡ ῥάχις Δαγὼν ὑπελείφθη.

** ΙΩΣΗΠΟΥ. Τῇ ἐπιούσῃ πάντες ὑπὸ τὴν τῆς ἡμέρας ἀρχὴν εἰσιόντες εἰς τὸν ναὸν προσκυνῆσαι τὸν Θεὸν αὐτῶν, ἐπιτυγχάνουσιν αὐτῷ τοῦτο ποιοῦντι τὴν κιβωτόν. ἔκειτο γὰρ ἐκπεπτωκὼς τῆς βάσεως, ἐφ᾽ ἧς ἑστὼς διετέλει. καὶ βαστάσαντες, πάλιν ἐφιστᾶσιν αὐτὸν ἐπὶ ταύτης, δυσφορήσαντες ἐπὶ τῷ γεγενημένῳ. πολ-
Γ λάκις δὲ φοιτῶντες παρὰ τὸν Δαγῶνα, καὶ καταλαμβάνοντες ὁμοίως ἐπὶ τοῦ προσκυνοῦντος τὴν κιβωτὸν σχήματος κείμενον, ἐν ἀπορίᾳ δεινῇ καὶ συγχύσει καθίσταντο. καὶ τελευταῖον ἐπέσκηψεν εἰς τὴν Ἄζωτον πόλιν καὶ τὴν χώραν αὐτῶν φθορὰν τὸ θεῖον καὶ νόσον. ἀπέθνησκον γὰρ ὑπὸ δυσεντερίας, πάθους χαλεποῦ, καὶ τὴν ἀναίρεσιν ὀξυτάτην ἐπιφέροντος, πρὶν ἢ τὴν ψυχὴν αὐτοῖς εὐθανάτως ἀπολυθῆναι τοῦ
Δ σώματος, τὰ ἐντὸς ἀναφέροντες, ἐξεμοῦντες διαβεβρωμένα καὶ παντοίως ὑπὸ τῆς νόσου διεφθαρμένα.

* ΘΕΟΔΩΡΙΤΟΥ. (3) Πίπτει μὲν γὰρ αὐτῶν ὁ Θεὸς αὐτίκα τὸ τῆς κιβωτοῦ τῆς προσκυνήσεως ἐπιδεικνὺς σχῆμα. εἶτα ἀνιστῶσι μὲν ἐκεῖνοι· ἐκεῖνος δὲ τῇ ὑστεραίᾳ καὶ πίπτει καὶ συντρίβεται, τῶν ἄκρων αὐτοῦ περιθραυσθέντων πάντων. εἶτα οὐδ᾽ οὕτω συνιόντες, ποικίλοις παθήμασι περιέ-
E πεσαν. ὡς μὲν γὰρ οἱ Ἑβδομήκοντα [ἡρμήνευσαν] εἰς [τὰς] ἕδρας ἐπλήγησαν· ὡς δὲ [ὁ] Ἀκύλας, τὸ τῆς φαγεδαίνης ἐσχήκασιν ἕλκος. ὁ δέ γε Ἰώσηπος τὸ τῆς δυσεντερίας ἐγγενέσθαι πάθος ἐδίδαξεν· ἀλλὰ μηδεὶς (4) ταῦτα διαφωνίαν νομιζέτω. τὴν γὰρ δυσεντερίαν τὸ τῆς ἕδρας διεδέξατο πάθος. τὸ γὰρ συχνὸν τῆς ἐκκρίσεως, [τὸ τῆς ἐκκρίσεως] κατέκαυσε μόριον· [εἰς φαγέδαιναν δὲ τῷ χρόνῳ τὸ ἕλ-
Z κος μετέπεσε.] τὸ δὲ τῆς ἕδρας ὑπέμειναν πάθος, [ὡς] δυσσεβῶς τὴν κιβωτὸν τὴν θείαν ἑδράσαντες παρὰ τὸν ψευδώνυμον Θεόν. ταύτην οἱ Ἀζώτιοι πρώτην τιμωρίαν ἐδέξαντο.

** ΒΑΣΙΛΕΙΟΥ. Προσεδρεύει ἡ δαιμονικὴ δύναμις τοῖς ἐπιφημισθεῖσιν αὐτοῖς
„ ἀγάλμασιν. ἔλαβον γάρ φησιν οἱ ἀλλό-

V 3 φυλοι

(1) Οὐαιβαρχαβώθ. αἱ εἰρημ. ἐκδόσ.

(2) Ἀμαφέθ. αἱ αὐτ. τῶν σταθμῶν. ἡ ἐν Κομπλ. ἐκδ. ἀφεθέμ. ἡ τοῦ Ἀλδ.

(3) Πρῶτον μὲν γὰρ εἶδον πρὸ τῆς κιβωτοῦ πεπτωκότα τὸν οἰκεῖον Θεὸν, καὶ τῆς προσκυνήσεως ἐπιδεικνῦντα τὸ σχῆμα. εἶτα τοῦτον ἀναστήσαντες, εὗρον τῇ ὑστεραίᾳ συντετριμμένον, καὶ τῶν ἄκρων πάντων ἐστερημένον. ἔπειτα τὸ διάφορον γνῶναι μὴ βουληθέντες, καὶ τῇ κιβωτῷ τὸ προσῆκον μὴ ἀπονείμαντες σέβας, ποικίλοις νοσήμασι περιέπεσον. ὡς μὲν γὰρ, κτ. οὕτως ἡ ἐν Χάλ. ἐκδ.

(4) Διαφωνίαν νομιζέτω τὰς διαφόρους ἐκδόσεις. τὴν γὰρ, κτ. ἡ αὐτ.

„ φυλοι τὴν κιβωτὸν τοῦ Θεοῦ, καὶ εἰσήγαγον
„ αὐτὴν ἐχόμενα Δαγών. καὶ ὤρθρισαν οἱ
„ Ἀζώτιοι τῇ ἐπαύριον, καὶ ἰδοὺ Δαγὼν πε-
„ πλωκὼς εἰς τὰ ἔμπροσθεν αὐτοῦ ἐπὶ τὴν
γῆν. οὐκοῦν Δαγὼν μὲν ἦν τὸ ὁρώμενον
ἄγαλμα· ὁ δὲ πίπτων ἐπὶ πρόσωπον, ὁ
Δαίμων ὁ νικώμενος ὑπὸ τῆς περὶ τὴν κι-
βωτὸν τοῦ Θεοῦ δόξης· καὶ πίπτων μὲν αὐ-
τὸς ἐπὶ πρόσωπον, συγκαταβάλλων δὲ ἑαυ-
τῷ τὸ χειροποίητον.

** ΕΦΡΑΙΜ. Καθάπερ ἀλλοφύλοις ἡ
κιβωτὸς τὸν Δαγὼν παρέλασε καὶ κατέ-
στρεψεν, οὕτω καὶ ὁ Χριστὸς ἐν σταυρῷ τὸν
Διάβολον ἐτροπώσατο, καὶ τοὺς βλασφήμους
ἐπαίδευσε, καὶ γνῶσιν ἀκούσιον τῆς θείας αὐ-
τοῦ δυνάμεως τοῖς ἀπίστοις παρέσχετο.

ε. Διὰ τοῦτο οὐκ ἐπιβαίνουσιν οἱ ἱε-
ρεῖς Δαγὼν, καὶ πᾶς ὁ εἰσπορευόμε-
νος εἰς οἶκον Δαγὼν, ἐπὶ βαθμὸν
οἴκου Δαγὼν ἐν Ἀζώτῳ ἕως τῆς ἡμέ-
ρας ταύτης, ὅτι ὑπερβαίνοντες ὑπερ-
βαίνουσι.

ς. Καὶ ἐβαρύνθη ἡ χεὶρ Κυρίου
ἐπὶ Ἄζωτον, καὶ ἐπήγαγεν αὐτοῖς,
καὶ ἐξέζεσεν αὐτοῖς εἰς τὰς ναῦς, καὶ
μέσον τῆς χώρας αὐτῆς ἀνεφύησαν
μύες. καὶ ἐγένετο σύγχυσις μεγάλη
θανάτου ἐν τῇ πόλει.

** ΙΩΣΗΠΟΥ. Τὰ δ' ἐπὶ τῆς χώρας
μυῶν πλῆθος, ἀνελθὸν ἀπὸ τῆς γῆς, κα-
τέβλαψε· μήτε φυτῶν, μήτε καρπῶν ἀπο-
σχόμενον.

ζ. Καὶ εἶδον οἱ ἄνδρες Ἀζώτου ὅτι
οὕτω, καὶ λέγουσιν, ὅτι οὐ καθήσεται ἡ
κιβωτὸς τοῦ Θεοῦ Ἰσραὴλ μεθ' ἡμῶν,
ὅτι σκληρὰ χεὶρ αὐτοῦ ἐφ' ἡμᾶς καὶ
ἐπὶ Δαγὼν Θεὸν ἡμῶν.

** ΙΩΣΗΠΟΥ. Ἐν τούτοις ὄντες τοῖς
κακοῖς οἱ Ἀζώτιοι, καὶ πρὸς τὰς συμφο-
ρὰς ἀντέχειν οὐ δυνάμενοι, συνῆκαν ἐκ τῆς
κιβωτοῦ ταύτας αὐτοῖς ἀναχεῖν, καὶ τὴν
νίκην καὶ τὴν ταύτης αἰχμαλωσίαν οὐκ ἐπ'
ἀγαθῷ γεγενημένην.

η. Καὶ ἀποστέλλουσι καὶ συνάγουσι
τοὺς σατράπας τῶν ἀλλοφύλων πρὸς
αὐτοὺς, καὶ λέγουσι, τί ποιήσωμεν τῇ
κιβωτῷ τοῦ Θεοῦ Ἰσραήλ; καὶ λέγου-
σιν οἱ Γεθθαῖοι, μετελθέτω ἡ κιβω-
τὸς τοῦ Θεοῦ Ἰσραὴλ πρὸς ἡμᾶς. καὶ
μετῆλθε κιβωτὸς τοῦ Θεοῦ Ἰσραὴλ
θ. εἰς Γέθ. Καὶ ἐγενήθη μετὰ τὸ με-
τελθεῖν αὐτὴν, καὶ γίνεται χεὶρ Κυ-
ρίου ἐν τῇ πόλει, τάραχος μέγας σφό-
δρα· καὶ ἐπάταξε τοὺς ἄνδρας τῆς
πόλεως ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ
ἐπάταξαν αὐτοὺς εἰς τὰς ἕδρας αὐ-
τῶν, καὶ ἐποίησαν οἱ Γεθθαῖοι ἑαυ-
τοῖς ἕδρας,

A * ΘΕΟΔΩΡΙΤΟΥ. Τοπάσαντες δὲ οἱ
Γεθθαῖοι, μὴ θεήλατον εἶναι τὴν πληγὴν,
ἀλλὰ νόσον ἐκ λοιμικῆς τινὸς καταστάσεως
γενομένην, μετέθεσαν εἰς τὴν Γὲθ τὴν
τοῦ Θεοῦ κιβωτόν· ἀλλὰ παραυτίκα ταῖς
αὐταῖς ὑπεβλήθησαν συμφοραῖς. τὸ δὲ,
„ ἐποίησαν ἑαυτοῖς οἱ Γεθθαῖοι ἕδρας χρυ-
σᾶς, οἱ Λοιποὶ οὕτως ἡρμήνευσαν, καὶ πε-
„ ριελύθησαν αὐτῶν αἱ ἕδραι.

B ι. Καὶ ἐξαποστέλλουσι τὴν κιβω-
τὸν τοῦ Θεοῦ εἰς Ἀσκάλωνα. καὶ ἐγε-
νήθη ὡς εἰσῆλθε κιβωτὸς Θεοῦ εἰς
Ἀσκάλωνα, καὶ ἀνεβόησαν οἱ Ἀσ-
καλωνῖται, λέγοντες, τί ἀπεστρέψα-
τε πρὸς ἡμᾶς τὴν κιβωτὸν τοῦ Θεοῦ
Ἰσραὴλ θανατῶσαι ἡμᾶς καὶ τὸν λαὸν
ἡμῶν;

* ΘΕΟΔΩΡΙΤΟΥ. Τῶν δὲ Γεθθαίων
Γ εἰς Ἀσκάλωνα μεταθεῖναι τὴν κιβωτὸν
πειραθέντων, ἀντεῖπον ἐκεῖνοι, δείσαντες
τὰς θεηλάτους πληγάς.

ια. Καὶ ἐξαποστέλλουσι καὶ συνά-
γουσι τοὺς σατράπας τῶν ἀλλοφύ-
λων, καὶ εἶπαν, ἐξαποστείλατε τὴν
κιβωτὸν τοῦ Θεοῦ Ἰσραὴλ, καὶ καθι-
σάτω εἰς τὸν τόπον αὐτῆς, καὶ οὐ μὴ
Δ θανατώσῃ ἡμᾶς καὶ τὸν λαὸν ἡμῶν·
ιβ. Ὅτι ἐγενήθη σύγχυσις θανάτου ἐν
ὅλῃ τῇ πόλει καὶ βαρεῖα σφόδρα,
ὡς εἰσῆλθεν ἡ κιβωτὸς τοῦ Θεοῦ Ἰσ-
ραὴλ ἐκεῖ. καὶ οἱ ζῶντες καὶ οὐκ ἀπο-
θανόντες ἐπλήγησαν εἰς τὰς ἕδρας.
καὶ ἀνέβη ἡ κραυγὴ τῆς πόλεως εἰς
τὸν οὐρανόν.

** ΙΩΣΗΠΟΥ. Ἀπειρηκότες τοῖς κα-
κοῖς οἱ πεπειραμένοι, καὶ τοῖς ἀκούσιν αὐτὰ
E διδασκαλία γενόμενοι, τοῦ μὴ προσδέξασθαι
τὴν κιβωτόν ποτε πρὸς αὐτοὺς ἐπὶ τοιούτῳ
μισθῷ καὶ τέλει, τὸ λοιπὸν ἐζήτουν μηχα-
νὴν καὶ πόρον ἀπαλλαγῆς αὐτῆς. καὶ συ-
νελθόντες οἱ ἐκ τῶν πέντε πόλεων ἄρχον-
τες, Γίττης καὶ Ἀκκάρωνος καὶ Ἀσκάλω-
νος, ἔτι δὲ Γάζης καὶ Ἀζώτου, ἐσκόπουν τί
δεῖ ποιεῖν. καὶ τὸ μὲν πρῶτον ἐδόκει, τὴν
κιβωτὸν ἀποπέμπειν τοῖς οἰκείοις, ὡς ὑπερ-
δικοῦντος αὐτὴν τοῦ Θεοῦ, καὶ συνεπιδημη-
Z σάντων αὐτῇ διὰ τοῦτο τῶν δεινῶν, καὶ συ-
νεισβαλόντων μετ' ἐκείνης εἰς τὰς πόλεις
αὐτῶν. ἦσαν δὲ οἱ λέγοντες, τοῦτο μὲν μὴ
ποιεῖν, μηδ' ἐξαπατᾶσθαι, τὴν αἰτίαν τῶν
κακῶν εἰς ἐκείνην ἀναφέροντας. οὐ γὰρ
ταύτην εἶναι τὴν δύναμιν αὐτῇ καὶ τὴν
ἰσχύν. οὐ γὰρ ἄν ποτ' αὐτῆς, κηδομένου Θεοῦ,
ὑποχείριον ἀνθρώποις γενέσθαι. ἡσυχάζειν
δὲ καὶ πρᾴως ἔχειν ἐπὶ τοῖς συμβεβηκόσι
παρῄνουν, αἰτίαν τούτων οὐκ ἄλλην, ἢ μόνην
H λογιζομένους τὴν φύσιν. ἣ καὶ σώμασι καὶ
γῇ καὶ φυτοῖς καὶ πᾶσι τοῖς ἐξ αὐτῆς
συνεστῶσι, κατὰ χρόνων περιόδους, τίκτει
τοιαύτας μεταβολάς.

ΚΕΦ.

ΚΕΦ. Ϛ.

α. αὶ ἦν ἡ κιβωτὸς ἐν ἀγρῷ τῶν ἀλλοφύλων ἑπτὰ μῆνας, καὶ ἐξέζεσεν ἡ γῆ αὐτῶν μύας.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα μηδεμιᾶς πόλεως τολμώσης δέξασθαι τὴν κιβωτὸν, ἐν ὑπαίθρῳ (1) διέμεινε τόπῳ. [τοῦτο γὰρ ὁ » ἱστοριογράφος ἐδίδαξεν.] ἐγένετο γάρ φησιν ἐν τῷ πεδίῳ τῶν ἀλλοφύλων ἡ κιβωτὸς μῆνας ἑπτά. ἐπειδὴ δὲ ᾠήθησαν ἔξω μενούσης αὐτῆς, ἀπηλλάχθαι τῶν θεηλάτων πληγῶν, ἐπήγαγεν ὁ Θεὸς καὶ δεσπότης καὶ τοῖς ἀψύχοις τὰς τιμωρίας. (2) καὶ τοῖς ληΐοις γὰρ καὶ ταῖς ἀμπέλοις μυῶν πλῆθος ἐπὶ λύμῃ κατέπεμψε· δι' ὧν ἐδίδαξεν, ὡς ὁ αὐτός ἐστιν ὁ καὶ τοὺς Αἰγυπτίους διαφόροις ὑποβαλὼν τιμωρίαις. ὅτι γὰρ ἔναυλον εἶχον ἐκείνων τὴν μνήμην, (3) αὐτοὶ δι' ὧν λέγουσι μαρτυροῦσι. θεασάμενοι γὰρ ἐν τῷ πολέμῳ τὴν κιβωτὸν, [δέους ἐπλήσθησαν, καὶ] θρηνοῦντες ἐβόων· οὐαὶ » ἡμῖν, τίς ἐξελεῖται ἡμᾶς ἐκ χειρὸς τοῦ Θεοῦ » τοῦ στερεοῦ τούτου; οὗτος ὁ Θεὸς ὁ πατάξας » τὴν Αἴγυπτον ἐν πάσῃ πληγῇ.

β. Καὶ καλοῦσιν ἀλλόφυλοι τοὺς ἱερεῖς αὐτῶν καὶ τοὺς μάντεις καὶ τοὺς ἐπαοιδοὺς αὐτῶν, λέγοντες, τί ποιήσωμεν τῇ κιβωτῷ τοῦ Θεοῦ; γνωρίσατε ἡμῖν ἐν τίνι ἐξαποστελοῦμεν αὐ-
γ. τὴν εἰς τὸν τόπον αὐτῆς. Καὶ εἶπαν, εἰ ἐξαποστέλλετε ὑμεῖς τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου Θεοῦ Ἰσραὴλ, μὴ δὴ ἐξαποστείλητε αὐτὴν κενὴν, ἀλλ' ἀποδιδόντες ἀπόδοτε αὐτῇ τῆς βασάνου, καὶ τότε ἰαθήσεσθε, καὶ ἐξιλασθήσεται ὑμῖν. μὴ οὐκ ἀποστῇ ἡ χεὶρ
δ. αὐτοῦ ἀφ' ὑμῶν; Καὶ λέγουσι, τί τὸ τῆς βασάνου, ὃ ἀποδώσομεν αὐτῇ;
ε. καὶ εἶπαν, Κατὰ ἀριθμὸν τῶν σατραπειῶν τῶν ἀλλοφύλων πέντε ἕδρας χρυσᾶς καὶ πέντε μύας χρυσοῦς, ὅτι πταῖσμα ἐν ὑμῖν καὶ τοῖς ἄρχουσιν ὑμῶν καὶ τῷ λαῷ, καὶ μύας χρυσοῦς ὁμοίωμα τῶν ἑδρῶν ὑμῶν καὶ ὁμοίωμα τῶν μυῶν ὑμῶν τῶν διαφθειρόντων τὴν γῆν. καὶ δώσετε τῷ Κυρίῳ δόξαν, ὅπως κουφίσῃ τὴν χεῖρα αὐτοῦ ἀφ' ὑμῶν, καὶ ἀπὸ τῶν Θεῶν ὑμῶν, καὶ ἀπὸ τῆς γῆς ὑμῶν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ μετὰ τὴν πεῖραν δὲ τῶν κακῶν οἱ ἱερεῖς αὐτῶν καὶ οἱ χρησμῳδοὶ οὕτως (4) ἔλεγον· μετὰ δώρων » ἐκπέμψαι τὴν κιβωτὸν, ὅπως κουφίσῃ [Κύ» ριος] ὁ Θεὸς [Ἰσραὴλ] τὴν χεῖρα αὐτοῦ ἀφ' » ὑμῶν, [καὶ ἀπὸ τῶν Θεῶν ὑμῶν, καὶ ἀπὸ » τῆς γῆς ὑμῶν. καὶ ἵνα τί βαρύνετε τὰς » καρδίας ὑμῶν, ὡς ἐβάρυνεν Αἴγυπτος καὶ » Φαραὼ τὰς καρδίας αὐτῶν; οὐχὶ ὅτε ἐνέ» παιξεν αὐτοῖς, ἐξαπέστειλε τὸν λαὸν αὐτοῦ, B » καὶ ἀπῆλθον;]

ϛ. Καὶ ἵνα τί βαρύνετε τὰς καρδίας ὑμῶν, ὡς ἐβάρυνεν Αἴγυπτος καὶ Φαραὼ τὴν καρδίαν αὐτῶν; οὐχὶ ὅτε ἐνέπαιξεν αὐτοῖς, ἐξαπέστειλεν αὐτοὺς καὶ ἀπῆλθον;

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ ὅτε ἐνέ» παιξεν αὐτοῖς, τότε ἐξήγαγεν αὐτούς. Ὁρᾷς Γ αὐτοὺς καὶ διὰ τοῦτο τρέμοντας αὐτὸν, διὰ τὴν κλοπὴν, διὰ τὴν ἀπάτην, διὰ τὸ ἀποχρήσασθαι αὐτούς;

ζ. Καὶ νῦν λάβετε καὶ ποιήσατε ἅμαξαν καινὴν, καὶ δύω βόας πρωτοτοκούσας ἄνευ τῶν τέκνων· καὶ ζεύξατε τοὺς βόας ἐν τῇ ἁμάξῃ, καὶ ἀπαγάγετε τὰ τέκνα αὐτῶν ἀπὸ ὄπισθεν αὐτῶν εἰς οἶκον.

Δ ** ΙΩΣΗΠΟΥ. Νικᾷ τὰς προειρημένας γνώμας ἀνδρῶν ἔν τε τοῖς ἐπάνω χρόνοις συνέσει καὶ φρονήσει διαφέρειν πεπιστευμένων συμβουλία, καὶ τότε μάλιστα δοξάντων ἁρμοζόντως λέγειν τοῖς παροῦσιν, οἳ μήτ' ἀποπέμπειν ἔφασαν δεῖν τὴν κιβωτὸν, μήτε κατέχειν· ἀλλὰ πέντε μὲν ἀνδριάντας ὑπὲρ ἑκάστης πόλεως χρυσέους ἀναθεῖναι τῷ Θεῷ χαριστήριον, ὅτι προενόησεν αὐτῶν τῆς σωτηρίας, καὶ κατέσχεν E ἐν τῷ βίῳ διωκομένους ἐξ αὐτοῦ παθήμασιν, οἷς οὐκ ἔτι ἦν ἀντιβλέψαι· τοσούτους δὲ τὸν ἀριθμὸν μύας χρυσοῦς τοῖς κατανεμηθεῖσιν αὐτῶν, καὶ διαφθείρασι τὴν χώραν ἐμφερεῖς. ἔπειτα βαλόντας εἰς γλωσσόκομον αὐτοὺς, καὶ θέντας ἐπὶ τὴν κιβωτὸν, ἅμαξαν αὐτῇ καινὴν κατασκευάσαι· καὶ βόας ὑποζεύξαντας ἀρτιτόκους, τὰς μὲν δαμάλεις ἐγκλεῖσαι καὶ κατασχεῖν, μὴ ταῖς μητράσιν ἐμποδὼν ἑπόμεναι γένωνται, πό-
Z θῳ δ' αὐτῶν ὀξυτέραν ποιῶνται τὴν πορείαν. ἐκείνας δ' ἐξελάσαντας τὴν κιβωτὸν φερούσας, ἐπὶ τριόδου καταλιπεῖν, αὐταῖς περιτρέψαντας ᾗ βούλονται τῶν ὁδῶν ἀπελθεῖν. κἂν μὲν τὴν Ἑβραίων ἀπίωσι, καὶ τὴν τούτων χώραν ἀναβαίνωσιν, ὑπολαμβάνειν τὴν κιβωτὸν αἰτίαν τῶν κακῶν· ἂν δ' ἄλλην τράπωνται, μεταδιώξομεν αὐτὴν ἔφασαν, μαθόντες ὅτι μηδεμίαν ἰσχὺν τοιαύτην ἔχει.

η. Καὶ

(1) Ταύτην ἔξω κατέλιπον τόπῳ. ἡ ἐν Χάλ. ἔκδ.

(2) Μυῶν γάρ τι πλῆθος καὶ ταῖς ἀμπέλοις, καὶ τοῖς ληΐοις ἔπεμψεν, οἳ πάντας αὐτῶν ἐλυμήναντο τοὺς καρπούς. ἐδίδαξε δὲ διὰ τούτων, ὡς αὐτὸς καὶ τοῖς Αἰγυπτίοις τὰς διαφόρους ἐπενήνοχε πληγάς. ὅτι, κτλ. ἡ αὐτ. (3) Μαρτυρεῖ τὰ παρ' αὐτῶν εἰρημένα. ἡ αὐτ. (4) Πρὸς αὐτοὺς ἔλεγον. ἡ αὐτ.

A η. Καὶ λήψεσθε τὴν κιβωτὸν, καὶ θήσετε αὐτὴν ἐπὶ τὴν ἅμαξαν, καὶ τὰ σκεύη τὰ χρυσᾶ ἀποδώσετε αὐτῇ τῆς βασάνου, καὶ θήσετε ἐν θέματι βερσεκαθὰν ἐκ μέρους αὐτῆς· καὶ ἐξαποστελεῖτε αὐτὴν, καὶ ἀπελεύσεται.

» ∗ ΠΡΟΚΟΠΙΟΥ. Ἐν θέματι βαεργάζ. ὁ Σύμμαχος οὕτω· θέτε ἐν τῷ λαρνακίῳ ἀπὸ πλαγίου αὐτοῦ· ὁ δὲ Ἀκύλας, ἐν ὕφει κουρᾶς· ὁ δὲ Ἰώσηπος, ἀργοζὲκ, φησὶ, τὸ γλωσσόκομον. καὶ οἱ μὲν πλεκτὸν ὡσανεὶ κόφινον· οἱ δὲ ἐκ τριχῶν, (1) οἷα τὰ σακκία. ὁ δὲ Θεὸς τῇ τῶν μάντεων ἐπηκολούθησε γνώμῃ συγκαταβαίνων. καὶ γὰρ μεῖζον τὸ κατορθούμενον, τὸ καὶ αὐτοὺς μαρτυρῆσαι τοὺς ἐναντίους τῇ τοῦ Θεοῦ δυνάμει, καὶ τὴν περὶ τούτου ψῆφον τοὺς αὐτῶν διδασκάλους ἐξενεγκεῖν.

B

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλ' (2) οὖν καὶ μετὰ ταῦτα οἱ δυσσεβεῖς πεῖραν μαθεῖν ἠβουλήθησαν, εἴτε θεήλατοι αἱ πληγαὶ, εἴτε καὶ μή. καινὴν γὰρ κατασκευάσαντες ἅμαξαν, καὶ βοῦς ἀρτιτόκους ὑποζεύξαντες τῶν μόσχων κεχωρισμένας, ἐπέθεσαν τὴν κιβωτὸν, καὶ τῶν πέντε πόλεων ἰσαρίθμους μῦς τε καὶ ἕδρας ἐκ χρυσοῦ κατεσκευασμένας, δῶρα τῷ πεπαιδευκότι Θεῷ ἀπέστελλον. ἐνέθεσαν δὲ ταῦτα σκεύει τινὶ, ὃ οἱ μὲν Ἑβδομήκοντα προσηγόρευσαν βοεργάζ· Ἰώσηπος δὲ γλωσσόκομον. ἐν τριόδῳ δὲ χωρὶς ἡνιόχου τὰς βοῦς ἀπολύσαντες, ἀνέμενον ἰδεῖν, εἴτε πρὸς τὸν τῶν μόσχων μυκηθμὸν ἀποστρέφονται, εἴτε πρὸς ἄλλην ὁδὸν, (3) ἢ τὴν πρὸς Ἑβραίους φέρουσαν. ἵν' εἰ μὲν οὐχὶ πρὸς τὴν ἄγουσαν εἰς Ἑβραίους, ὡς ἀσθενοῦς καταγνῶσι τῆς κιβωτοῦ· εἰ δὲ πρὸς ἐκείνην μόνην, γνῶσιν ἀληθῶς θεηλάτους τὰς πληγάς. οὗ δὴ χάριν καὶ πόῤῥωθεν εἵποντο, καὶ οὐ πρότερον ἀπέστησαν, ἕως τῶν Ἑβραίων οἱ ἀγχιτέρμονες τὸ ξένον θεασάμενοι θαῦμα, (4) ἅμαξαν ὑπ' οὐδενὸς ἀνθρώπων ἰθυνομένην, φορτίον δὲ καὶ ἡνίοχον τὴν κιβωτὸν [ἔχουσαν,] προσέδραμον ἄσμενοι, καὶ τοῦ Θεοῦ τὴν νίκην ἐθαύμασαν.

Γ

Δ

E

θ. Καὶ ὄψεσθε εἰς ὁδὸν ὁρίου αὐτῆς πορεύσεται κατὰ Βεθσαμὺς, αὐτὸς πεποίηκεν ὑμῖν (5) τὴν κακίαν τὴν μεγάλην ταύτην· καὶ ἐὰν μὴ, καὶ γνωσόμεθα ὅτι οὐχ ἡ χεὶρ αὐτοῦ ἧπται

A ἡμῶν, ἀλλ' ἢ σύμπτωμα τοῦτο γέγονεν ἡμῖν.

ι. Καὶ ἐποίησαν οἱ ἀλλόφυλοι οὕτω· καὶ ἔλαβον δύω βόας πρωτοτοκούσας, καὶ ἔζευξαν αὐτὰς ἐν τῇ ἁμάξῃ, καὶ τὰ τέκνα αὐτῶν ἀπέκλεισαν εἰς οἶκον.
ια. Καὶ ἔθεντο τὴν κιβωτὸν ἐπὶ τὴν ἅμαξαν, καὶ τὸ θέμα ἐργὰζ, καὶ τοὺς μῦς τοὺς χρυσοῦς.

B ∗∗ ΙΩΣΗΠΟΥ. Ἔκριναν αὐτὰ καλῶς εἰρῆσθαι, καὶ τοῖς ἔργοις εὐθὺς τὴν γνώμην ἐκύρωσαν. καὶ ποιήσαντες μὲν τὰ προειρημένα, προάγουσι τὴν ἅμαξαν ἐπὶ τὴν τρίοδον, καὶ καταλιπόντες ἀνεχώρησαν. τῶν δὲ βοῶν τὴν ὀρθὴν ὁδὸν ὥσπερ ἡγουμένων τινῶν αὐταῖς ἀπιουσῶν, οἱ τῶν Παλαιστίνων ἄρχοντες ἠκολούθουν, ποῦ ποτὲ στήσονται, καὶ πρὸς τίνας ἥξουσι βουλόμενοι μαθεῖν.

Γ ιβ. Καὶ κατεύθυναν αἱ βόες ἐν τῇ ὁδῷ εἰς ὁδὸν Βαιθσαμὺς, ἐν τρίβῳ ἐν ᾗ ἐπορεύοντο καὶ ἐκοπίων, καὶ οὐ μεθίσταντο δεξιὰ οὐδὲ ἀριστερά. καὶ οἱ σατράπαι τῶν ἀλλοφύλων ἐπορεύοντο ὀπίσω αὐτῆς ἕως ὁρίων Βαιθσαμύς.

∗∗ ΙΩΣΗΠΟΥ. Κώμη τίς ἐστι τῆς Ἰούδα φυλῆς Βηθσάμη ὄνομα. εἰς ταύτην ἀφικνοῦνται αἱ βόες. καὶ πεδίου μεγάλου καὶ καλοῦ τὴν πορείαν αὐτῶν ἐκδεξαμένου, παύονται πρόσω χωρεῖν, στήσασαι τὴν ἅμαξαν αὐτόθι.

Δ

∗∗ ΝΕΙΛΟΥ. Εἰ τὰς βοῦς τὰς ἐν τῇ ἁμάξῃ τῆς κιβωτοῦ ὑποζευχθείσας ἐπιλαθέσθαι τῆς φύσεως ἡ κιβωτὸς ἐποίησε· καὶ τῶν μόσχων αὐταῖς ἀποκλεισθέντων οἴκοι, καὶ οὐδενὸς τοῦ βιαζομένου, ἀμέμπτως ἤνυσαν τὴν ὁδὸν, οὐκ ἐκκλίνασαι δεξιὰ ἢ ἀριστερὰ, οὐδὲ τῇ περιστροφῇ τοῦ αὐχένος τὴν πρὸς τὰ τέκνα στοργὴν ἐπιδειξάμεναι, οὐδὲ μυκηθμῷ τὴν ἐπὶ τῇ διαζεύξει τῶν ἐγγόνων ὀδύνην ἐμφανίσασαι· ἀλλὰ καὶ τῷ βάρει τῆς κιβωτοῦ θλιβόμεναι, καὶ τῇ τῆς φύσεως τυραννίδι τραχηλιζόμεναι, ὥσπερ ἐπὶ κανόνι βαδίζουσαι, οὐδαμοῦ τῆς εὐθείας παρετράπησαν, τῆς περὶ τὴν φύσιν συμπαθείας ἡττηθεῖσαι τῷ τῆς ἐπικειμένης κιβωτοῦ σεβασμίῳ, διατὶ μὴ καὶ τοῖς τὴν νοητὴν αἴρειν μέλλουσι κιβωτὸν τὸ αὐτὸ πρακτέον; ἔδει μὲν οὖν καὶ πλέον· ἵνα μὴ παρὰ τῆς

E

Z

(1) Τριχῶν κατεσκευασμένον, οἷα τὰ λεγόμενα σακκία. ὅ,τι ποτὲ δ' ἂν ᾖ πρὸς τὴν πότε (ἴσ. πρὸς τὸ ποτὲ) οὕτω καλούμενον, δῆλόν ἐστιν, ὅτι ἔν τινι ἔφασαν δεῖν αὐτὰ καινῷ που πάντως καὶ ἁρμόζοντι φέρειν τὰ τοιαῦτα ἀναθήματα. τοῦτο γὰρ δηλοῖ τὸ, ἐν θέματι βοεργαζάκ. ταῦτα ἀντὶ τῶν ἑξῆς ἐν ταῖς σημειώσ. τῆς ἐν Φρανεκ. ἐκδόσ. τῆς Γραφ. τῷ τοῦ Θεοδωρίτ. ὀνόμ. ἐπιγεγραμ. ἅπερ δὴ ἐν τοῖς τοῦ Θεοδωρίτ. ἐκδεδομ. οὐ κεῖται συγγράμ.

(2) Ἀλλὰ ταῦτα συμβεβουλευκότες οἱ ἀσεβεῖς, καὶ δείξαντες τῶν οἰκείων Θεῶν τὴν ἀσθένειαν· πρῶτον γὰρ αὐτοὺς συνέτριψεν ὁ Θεὸς, εἶτα τοὺς προσκυνοῦντας ἐπαίδευσε, καὶ τότε τοὺς μῦς κατὰ τῶν τῆς γῆς βλαστημάτων ἐξέπεμψε· πεῖραν μαθεῖν ἠβουλήθησαν, εἴτε θεήλατος ἡ πληγὴ, εἴτε κατά τι συμβεβηκὸς γενομένη. καινὴν γὰρ, κτ. ἡ ἐν Χάλ. ἔκδ.

(3) Ὁδὸν ἀποκλίνουσι, τὴν πρὸς Ἑβραίους φέρουσαν καταλιποῦσαι. ἵνα εἰ μὲν τούτων δυοῖν θάτερον γένοιτο, ὡς ἀσθενοῦς καταγνῶσι τῆς κιβωτοῦ· εἰ δὲ τὰς ἄλλας ὁδοὺς αἱ βόες καταλιποῦσαι, καὶ τῶν οἰκείων καταφρονήσασαι μόσχων, πρὸς τὴν Ἰσραηλῖτιν ἀπίωσι γῆν, γνῶσιν ἀληθῶς θεηλάτους εἶναι τὰς γεγενημένας πληγάς. οὗ δὴ χάριν, κτ. ἡ αὐτ. (4) Πρᾶγμα. ἡ αὐτ. (5) Ἡμῖν. αἱ εἰρημ. ἐκδόσ.

τῆς ἀλόγου φύσεως ἐν τοῖς ἀναγκαίοις ἔργοις ἡ λογικὴ παρασκευὴ μετρουμένη ἐλέγχηται, τὸ μὴ πράττειν ἐκεῖνα λογισμῷ, ἅπερ ἀνάγκῃ πράττει τὰ ἄλογα.

ιγ. Καὶ οἱ ἐν Βαιθσαμὺς ἐθέριζον θερισμὸν πυρῶν ἐν τῇ κοιλάδι. καὶ ἦραν τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ εἶδον τὴν κιβωτὸν Κυρίου, καὶ ηὐφράνθησαν εἰς ἀπάντησιν αὐτῆς.

** ΙΩΣΗΠΟΥ. Θέα ἦν τοῖς ἐν τῇ κώμῃ, καὶ περιχαρεῖς ἐγίνοντο. θέρους γὰρ ὥρᾳ πάντες ἐπὶ τὴν συγκομιδὴν τῶν καρπῶν ἐν ταῖς ἀρούραις ὑπάρχοντες, ὡς εἶδον τὴν κιβωτὸν, ὑφ' ἡδονῆς ἁρπαγέντες, καὶ τὸ ἔργον ἐκ τῶν χειρῶν ἀφέντες, ἔδραμον εὐθὺς ἐπὶ τὴν ἅμαξαν.

ιδ. Καὶ ἡ ἅμαξα εἰσῆλθεν εἰς ἀγρὸν Ὡσηὲ (1) τὸν ἐν Βαιθσαμὺς, καὶ ἔστησαν ἐκεῖ αὐτὴν παρὰ λίθον μέγαν. καὶ σχίζουσι τὰ ξύλα τῆς ἁμάξης, καὶ τὰς βόας ἀνήνεγκαν εἰς ὁλοκαύτωσιν τῷ Κυρίῳ.

** ΙΟΥΣΤΙΝΟΥ. Τῆς σκηνῆς τοῦ μαρτυρίου ὑπὸ τῶν περὶ Ἀζωτίους πολεμίων ἁρπαγείσης, καὶ πληγῆς αὐτοῖς γεγενημένης φοβερᾶς καὶ ἀνιάτου, ἐβουλεύσαντο ἐφ' ἁμάξης· ἐφ' ᾗ δαμάλεις νεοτόκους ἔζευξαν· ἐπιθεῖναι, εἰς πεῖραν τοῦ γνῶναι, εἰ δυνάμει Θεοῦ διὰ τὴν σκηνὴν πεπληγμένοι εἰσί. καὶ βούλεται ὁ Θεὸς ἀπενεχθῆναι αὐτὴν ὅθεν ἐλήφθη. καὶ πραξάντων τοῦτο, αἱ δαμάλεις ὑπὸ μηδενὸς ὁδηγούμεναι ἀνθρώπων, οὐκ ἦλθον μὲν εἰς τὸν τόπον, ὁπόθεν εἴληπτο ἡ σκηνὴ, ἀλλ' εἰς χωρίον τινὸς ἀνδρὸς καλουμένου Αὐσῆ, ὁμωνύμου ἐκείνου τοῦ μετονομασθέντος τῷ Ἰησοῦ ὀνόματι· ὃς καὶ εἰσήγαγε τὸν λαὸν εἰς τὴν γῆν, καὶ κατεκληροδότησεν αὐτοῖς αὐτήν· εἰς ὃ χωρίον ἐλθοῦσαι μεμενήκασι· δεικνυμένου ἡμῖν καὶ διὰ τούτων, ὅτι τῷ τῆς δυνάμεως ὀνόματι ὡδηγήθησαν, ὡς πρότερον ὁ περιληφθεὶς λαὸς ἀπὸ τῶν ἀπ' Αἰγύπτου ἐξελθόντων, διὰ τοῦ λαβόντος τὸ Ἰησοῦ ὄνομα, Αὐσῆ πρότερον καλουμένου, εἰς τὴν γῆν ὡδηγήθη.

ιε. Καὶ οἱ Λευῖται ἀνήνεγκαν τὴν κιβωτὸν Κυρίου, καὶ τὸ θέμα ἐργὰβ μετ' αὐτῆς, καὶ τὰ ἐπ' αὐτῆς σκεύη τὰ χρυσᾶ, καὶ ἔθεντο ἐπὶ τοῦ λίθου τοῦ μεγάλου. καὶ οἱ ἄνδρες Βαιθσαμὺς ἀνήνεγκαν ὁλοκαυτώσεις καὶ ἔθυσαν θυσίας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τῷ
ιϛ. Κυρίῳ. Καὶ αἱ (2) πέντε σατραπεῖαι τῶν ἀλλοφύλων ἑώρων, καὶ ἀνέστρεψαν εἰς Ἀσκάλωνα τῇ ἡμέρᾳ ἐκείνῃ.

A ** ΙΩΣΗΠΟΥ. Καθελόντες τὴν κιβωτὸν, καὶ τὸ ἄγγος, ὃ τοὺς ἀνδριάντας εἶχε καὶ τοὺς μύας, τιθέασιν ἐπί τινος πέτρας, ἥτις ἦν ἐν τῷ πεδίῳ· καὶ θύσαντες λαμπρῶς τῷ Θεῷ, καὶ κατευωχηθέντες, τήν τε ἅμαξαν καὶ τοὺς βόας ὡλοκαύτωσαν. καὶ ταῦτ' ἰδόντες οἱ τῶν Παλαιστίνων ἄρχοντες, ὑπέστρεψαν ὀπίσω.

ιζ. Καὶ αὗται αἱ ἕδραι αἱ χρυσαῖ, B ἃς ἀπέδωκαν οἱ ἀλλόφυλοι τῆς βασάνου τῷ Κυρίῳ· τῆς Ἀζώτου μίαν, τῆς Γάζης μίαν, τῆς Ἀσκάλωνος μίαν, τῆς Γὲθ μίαν, τῆς Ἀκκαρὼν μίαν.

ιη. Καὶ (3) μῦς χρυσοῖ κατὰ ἀριθμὸν πασῶν πόλεων τῶν ἀλλοφύλων τῶν πέντε σατραπειῶν ἐκ πόλεως ἐστερεωμένης καὶ ἕως κώμης τοῦ Φερεζαίου, Γ καὶ ἕως λίθου τοῦ μεγάλου, οὗ ἐπέθηκαν ἐπ' αὐτοῦ τὴν κιβωτὸν διαθήκης Κυρίου, τοῦ ἐν ἀγρῷ Ὡσηὲ τοῦ Βαιθσαμυσίτου.

» * ΠΡΟΚΟΠΙΟΥ. Ἐκ πόλεως ἐστερεωμένης. Ἀκύλας, ἰσχυρᾶς, φησίν· ὁ δὲ Σύμμαχος, τετειχισμένης ἕως κώμης ἀτειχίστου, καὶ ἕως Ἄβελ τῆς μεγάλης, δι' ἧς ἀφῆκαν τὴν κιβωτὸν Κυρίου.

Δ ιθ. Καὶ οὐκ ἠσμένισαν οἱ υἱοὶ Ἰεχονίου ἐν τοῖς ἀνδράσι Βαιθσαμὺς, ὅτι εἶδον κιβωτὸν Κυρίου. καὶ ἐπάταξεν ἐν αὐτοῖς εἰς (4) ἑβδομήκοντα ἄνδρας, καὶ πεντήκοντα χιλιάδας ἀνδρῶν. καὶ ἐπένθησεν ὁ λαὸς, ὅτι ἐπάταξε Κύριος ἐν τῷ λαῷ πληγὴν μεγάλην σφόδρα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τὸν λαὸν E ἐπάταξεν ὁ Θεὸς ἐπανελθούσης τῆς κιβωτοῦ; Σαφῶς ἐδίδαξεν ἡ ἱστορία. « οὐκ ἠσμένισαν γάρ φησιν οἱ υἱοὶ Ἰεχονίου ἐν τοῖς ἀνδράσι Βεθσαμοῦ, (5) ὅτι εἶδον τὴν κιβωτὸν τοῦ Θεοῦ. (6) καὶ ἐπάταξεν ἐν αὐτοῖς ἑβδομήκοντα ἄνδρας, καὶ πεντήκοντα χιλιάδας ἀνδρῶν ἐκ τοῦ λαοῦ. » ἀλλ' οἱ μὲν Ἰεχονίου παῖδες ὡς δυσσεβεῖς καὶ τοῖς εἰδώλοις λατρεύοντες, ἐδυσφόρησαν ἰδόντες τὴν κιβωτόν. διὸ [καὶ μάλα εἰκότως] τὴν τιμωZ ρίαν ἐδέξαντο. ὁ δὲ λαὸς ἐπαιδεύθη, ὡς τῆς κιβωτοῦ μὴ θελήσας προκινδυνεῦσαι, ἀλλ' ἑπτὰ μῆνας αὐτὴν παρὰ τοῖς ἀλλοφύλοις καταλιπὼν, [καὶ τὸν ὑπὲρ αὐτῆς οὐκ ἀναδεξάμενος πόλεμον.] δείξας τοίνυν ὁ [δεσπότης] Θεὸς, ὡς τῆς παρ' αὐτῶν συμμαχίας οὐ δεῖται· καὶ ὅσον εἶχε σέβας παρὰ τῶν δυσσεβῶν, (7) καὶ ἀλλοφύλων δυσσεβεστέρους τούτους ἀπήλεγξεν. ἐπειδὴ δὲ οἱ μὲν ἐν Βαιθσάμοις δείσαντες, τὴν κιβωτὸν

(1) Ἰησοῦ ἐν ταῖς σημ. εἰς τὴν Γραφ. τὴν ἐν Φρανεκ. ἐκδοθ. (2) Οἱ πέντε σατράπαι. αἱ εἰρημ. ἐκδόσ.
(3) Οἱ μῦς. αἱ αὐτ. (4) Τὸ, εἰς, οὐ κεῖται ἐν ταῖς εἰρημ. ἐκδόσ.
(5) Βεθσάμοις. ἡ ἐν Χαλ. ἐκδ. (6) Τοῦ Κυρίου. ἡ αὐτ.
(7) Δυσσεβῶν ἀλλοφύλων, ἐκόλασεν αὐτοὺς, ὡς τῶν ἀλλοφύλων δυσσεβεστέρους. ἐπειδ. ἡ αὐτ.

τὸν ἀπεπέμψαντο· ὁ δὲ Ἀμιναδὰβ προ-
θύμως ὑπεδέξατο, πάσης εὐλογίας ἔσχε
τὸν οἶκον πληρούμενον. ὅτι δὲ ἀσεβῶν (1) ὁ
λαὸς, τῆς κιβωτοῦ κατεφρόνησε, τὰ ἑξῆς
μαρτυρεῖ. ὁ γὰρ [θειότατος] Σαμουὴλ πα-
ραινέσεν αὐτοὺς ἐπιστρέψαι πρὸς Κύριον [ἐν
ὅλῃ καρδίᾳ,] καὶ ἐξάξαι τοὺς Θεοὺς τοὺς
ἀλλοτρίους ἐκ μέσου αὐτῶν, καὶ τὰ ἄλση.


κ. Καὶ εἶπαν οἱ ἄνδρες οἱ ἐκ Βαιθ-
σαμὺς, τίς δυνήσεται ἐξελθεῖν ἐνώ-
πιον Κυρίου τοῦ Θεοῦ τοῦ ἁγίου τούτου;
καὶ πρὸς τίνα ἀναβήσεται κιβωτὸς
Κυρίου ἀφ' ἡμῶν;

A » ✱ ΠΡΟΚΟΠΙΟΥ. Τίς δυνήσεται ἐξελ-
» θεῖν ἐνώπιον Κυρίου; ἀντὶ τοῦ, στῆναι καὶ
» ὑποστῆναι ἔμπροσθεν Κυρίου, ὡς οἱ Λοιποί.

κα. Καὶ ἀποστέλλουσιν ἀγγέλους
πρὸς τοὺς κατοικοῦντας Καριαθιαρεὶμ,
λέγοντες, ἀπεστράφησαν οἱ ἀλλόφυ-
λοι τὴν κιβωτὸν Κυρίου, κατάβητε
καὶ ἀναγάγετε αὐτὴν πρὸς ἑαυτούς.

✱✱ ΙΩΣΗΠΟΥ. Μένειν τὴν κιβωτὸν
B παρ' αὐτοῖς ἀναξίους ἀποφαίνοντες αὐτοὺς,
πρὸς τὸ κοινὸν τῶν Ἑβραίων πέμψαντες,
ἐδήλουν ἀποδεδόσθαι τὴν κιβωτὸν ὑπὸ τῶν
Παλαιστίνων.

Κ Ε Φ. Ζ.



α. Καὶ ἔρχονται οἱ ἄνδρες Κα-
ριαθιαρεὶμ, καὶ ἀνάγου-
σι τὴν κιβωτὸν διαθήκης
Κυρίου· καὶ εἰσάγουσιν αὐτὴν εἰς οἶκον
Ἀμιναδὰβ τὸν ἐν τῷ Βουνῷ. καὶ τὸν
Ἐλεάζαρ υἱὸν αὐτοῦ ἡγίασαν φυλάσ-
σειν τὴν κιβωτὸν διαθήκης Κυρίου.
β. Καὶ ἐγενήθη ἀφ' ἧς ἡμέρας ἦν ἡ κι-
βωτὸς ἐν Καριαθιαρεὶμ, ἐπληθύν-
θησαν αἱ ἡμέραι· καὶ ἐγένοντο εἴκοσι
ἔτη, καὶ ἐπέβλεψαν πᾶς οἶκος Ἰσ-
ραὴλ ὀπίσω Κυρίου.

✱✱ ΙΩΣΗΠΟΥ. Ἀποκομίζουσιν αὐτὴν
εἰς Καριαθιαρίμαν γείτονα πόλιν τοῖς Βηθ-
σαμίταις· ἔνθα τινὸς Λευΐτου τὸ γένος, Ἀ-
μιναδάβου, δόξαν ἔχοντος ἐπὶ δικαιοσύνῃ
καὶ θρησκείᾳ καταβιοῦντος, εἰς οἰκίαν τὴν
κιβωτὸν ἤγαγον, ὡς πρέποντα τῷ Θεῷ τό-
πον, ἐν ᾧ κατῴκει δίκαιος ἄνθρωπος. ἐθε-
ράπευον δὲ τὴν κιβωτὸν οἱ τούτου παῖδες,
καὶ τῆς ἐπιμελείας ταύτης ἕως ἐτῶν εἴκοσι
προέστησαν. τοσαῦτα γὰρ ἔμεινεν ἐν τῇ
Καριαθιαρίμᾳ.

γ. Καὶ εἶπε Σαμουὴλ πρὸς πάντα
οἶκον Ἰσραὴλ, λέγων, εἰ ἐν ὅλῃ καρ-
δίᾳ ὑμῶν ὑμεῖς ἐπιστρέφετε πρὸς Κύ-
ριον, περιέλετε τοὺς Θεοὺς τοὺς ἀλλο-
τρίους ἐκ μέσου ὑμῶν, καὶ τὰ ἄλση,
καὶ ἑτοιμάσατε τὰς καρδίας ὑμῶν
πρὸς Κύριον, καὶ δουλεύσατε αὐτῷ
μόνῳ, καὶ ἐξελεῖται ὑμᾶς ἐκ χειρὸς
ἀλλοφύλων.

✱✱ ΙΩΣΗΠΟΥ. Τοῦ λαοῦ παντὸς ἐκείνῳ
τῷ χρόνῳ, καθ' ὃν εἶχεν ἡ τῶν Καριαθια-
ριμιτῶν πόλις τὴν κιβωτὸν ἐπ' εὐχαῖς καὶ
θυσίαις τραπέντος τοῦ Θεοῦ, καὶ πολλὴν ἐμ-
φανίζοντος τὴν περὶ αὐτὸν θρησκείαν καὶ
φιλοτιμίαν, ὁ προφήτης Σαμούηλος ἰδὼν
αὐτῶν τὴν προθυμίαν, ὡς εὔκαιρον πρὸς
οὕτως ἔχοντας εἰπεῖν περὶ ἐλευθερίας, καὶ
τῶν ἀγαθῶν τῶν ἐν αὐτῇ, χρῆται λόγοις
οἷς ᾤετο μάλιστα τὴν διάνοιαν αὐτῶν προ-
» σάξεσθαι καὶ πείσειν· ἄνδρες γὰρ εἶπεν,
Γ » οἷς ἔτι νῦν βαρεῖς μὲν πολέμιοι Παλαιστῖνοι,
» Θεὸς δ' εὐμενὴς ἄρχεται γίνεσθαι καὶ φί-
» λος, οὐκ ἐπιθυμεῖν ἐλευθερίας δεῖ μόνον,
» ἀλλὰ καὶ ποιεῖν δι' ὧν ἂν ἔλθοι πρὸς ὑμᾶς·
» οὐδὲ βούλεσθε μὲν ἀπηλλάχθαι δεσποτῶν,
» μένειν δὲ πράττοντες ἐξ ὧν τοιοῦτοι διαμέ-
» νουσιν· ἀλλὰ γίνεσθε δίκαιοι, καὶ τὴν πονη-
» ρίαν ἐκβαλόντες τῶν ψυχῶν, καὶ θερα-
» πεύοντες αὐτὴν, ὅλαις ταῖς διανοίαις προ-
» τρέπεσθε τὸ θεῖον, καὶ τιμῶντες διατε-
Δ » λεῖτε. ταῦτα γὰρ ὑμῖν ποιοῦσιν ἥξει τὰ
» ἀγαθὰ, δουλείας ἀπαλλαγὴ καὶ νίκη πο-
» λεμίων· ἃ λαβεῖν οὐθ' ὅπλοις, οὔτε σωμά-
» των ἀλκαῖς, οὔτε πλήθει συμμάχων δυνα-
» τόν ἐστιν. οὐ γὰρ τούτοις ὁ Θεὸς ὑπισχνεῖ-
» ται παρέξειν αὐτὰ, τῷ δ' ἀγαθοὺς εἶναι
» καὶ δικαίους.

δ. Καὶ περιεῖλον οἱ υἱοὶ Ἰσραὴλ
τὰς Βααλεὶμ καὶ τὰ ἄλση Ἀσταρὼθ,
E καὶ ἐδούλευσαν τῷ Κυρίῳ μόνῳ.

» ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τὰ δὲ ἄλση, Ἀστα-
ρὼθ ὁ Ἀκύλας ἡρμήνευσε, τουτέστι τὰ τῆς
Ἀστάρτης ἀγάλματα. Ἀστάρτην δὲ καλοῦσι
τὴν Ἀφροδίτην, ἐκ τοῦ ἄστρου τὴν ἐπωνυ-
μίαν πεποιηκότες. αὐτῆς γὰρ εἶναι τὸν
Ἑωσφόρον μυθολογοῦσι.

ε. Καὶ εἶπε Σαμουὴλ, ἀθροίσατε
τὸν πάντα Ἰσραὴλ εἰς Μασσηφὰθ, καὶ
Z προσεύξομαι περὶ ὑμῶν πρὸς Κύριον.

✱✱ ΙΩΣΗΠΟΥ. Συνάγει αὐτοὺς ὁ Σα-
μούηλος εἴς τινα πόλιν λεγομένην Μασφά-
την· κατοπτευόμενον τοῦτο σημαίνει κατὰ
τὴν Ἑβραίων γλῶτταν.

ς. Καὶ συνήχθη ὁ λαὸς εἰς Μασ-
σηφὰθ, καὶ ὑδρεύονται ὕδωρ, καὶ ἐξέ-
χεαν ἐνώπιον Κυρίου ἐπὶ τὴν γῆν· καὶ
H ἐνήστευσαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ εἶπαν,
ἡμαρτήκαμεν ἐνώπιον Κυρίου. καὶ ἐδί-
κασε (2) Σαμουὴλ εἰς Μασσηφάθ.

ΙΩΣΗ-

(1) Ἀσεβῶς. ἡ αὐτ.

(2) Ἐδίκαζε Σαμουὴλ τοὺς υἱοὺς Ἰσραὴλ εἰς Μασ. αἱ εἰρημ. ἐκδόσ.

** ΙΩΣΗΠΟΥ. Ἐντεῦθεν ὑδρευσάμενοί τε σπένδουσι τῷ Θεῷ, καὶ διανηστεύσαντες ὅλην τὴν ἡμέραν ἐπ' εὐχὰς τρέπονται.

» ** ΚΥΡΙΛΛΟΥ. Συνήχθη ὁ λαὸς εἰς
» Μασηφὰθ, καὶ ὑδρεύονται ὕδωρ, καὶ ἐξέ-
» χεαν ἐνώπιον Κυρίου ἐπὶ τὴν γῆν. Εἶτα τί τοῦτό ἐστι; Φαίη τις ἂν εἰκότως, ἢ ποίας ἂν ἔχοι θυσίας δύναμιν, ἢ τί πεπράχασι τῶν ἀρεσκόντων Θεῷ; ὁ νόμος μὲν γὰρ ὁ διὰ Μωσέως βουθυτεῖν ἐκέλευε, τρυγόνας τε ἀφιεροῦν τῷ Θεῷ καὶ περιστεράς· προσέταχε δὲ οὐδαμῶς, θυσίας ποιεῖσθαι τρόπον τὸ δεῖν ὕδωρ ἐπιχέαι τῇ γῇ. τί οὖν οἱ πάλαι δεδράκασι, καὶ σὺν αὐτοῖς ὁ Προφήτης; καίτοι τῶν ἱερῶν καὶ θείων θεσπισμάτων ἀξιόχρεων ἐν ἑαυτῷ συνειλοχὼς τὴν γνῶσιν. Φαμὲν οὖν, ὅτι Προφήτης ὑπάρχων, ἔμπλεών τε τὸν νοῦν τοῦ ἁγίου πνεύματος ἔχων, ἔγνω που πάντως τῆς ἐνανθρωπήσεως τοῦ μονογενοῦς τὸ σεπτὸν καὶ μέγα μυστήριον· διελογίζετο δὲ, ὅτι σώζειν δύναται τοὺς κινδυνεύοντας καὶ αὐτὸς τῆς ἀληθείας ὁ τύπος, καταγράφων ὥσπερ ἐφ' ἑαυτῷ τῆς διὰ Χριστοῦ σωτηρίας τὴν δύναμιν. πῶς οὖν ἄρα τὸ ἀληθὲς ὡς ἐν σκιαῖς διεπράττετο, φέρε, λέγωμεν ὡς ἔνι. ζωὴ κατὰ φύσιν ὑπάρχων ὁ μονογενὴς τοῦ Θεοῦ λόγος, καθίκετο μὲν οὖν εἰς ἑκούσιον κένωσιν· γέγονε δὲ καθ' ἡμᾶς, τουτέστιν ἄνθρωπος, οὐ τροπὴν ὑπομείνας τὴν ἀπό γε τῆς ἰδίας φύσεως εἰς σάρκα τὴν ἀπὸ γῆς. ἐρήρεισται γὰρ ἡ Θεοῦ φύσις ἐν ἰδίοις ἀγαθοῖς, ἀλλ' ὅτι τὸ γήϊνον ἠμπέχετο σῶμα ἡμῶν, ψυχὴν ἔχει τὴν λογικήν. τοῦτο τοῖς ἀρχαιοτέροις ὁ προφήτης Σαμουὴλ, ὡς ἐν ὕδασι γράφων, ὕδωρ ἐπηφίει τῇ γῇ. σύμβολον δὲ ζωῆς μὲν, τὸ ὕδωρ· σαρκὸς δὲ, ἡ γῆ.
Ἰωάν. 1. 14. γέγονε δὲ σὰρξ ὁ λόγος, κατὰ τὴν τοῦ θεηγόρου Ἰωάννου φωνήν. καὶ συνδεδραμήκασι πρὸς ἕνωσιν, ἀπορρήτως τε ἅμα καὶ ὡς οὐκ ἔστι νοεῖν, Θεότης τε ἡ ζωοποιὸς καὶ ἡ ἐκ γῆς ἀνθρωπότης.

ζ. Καὶ ἤκουσαν οἱ ἀλλόφυλοι ὅτι συνηθροίσθησαν πάντες οἱ υἱοὶ Ἰσραὴλ εἰς Μασσηφάθ· καὶ ἀνέβησαν σατράπαι ἀλλοφύλων ἐπὶ Ἰσραήλ. καὶ ἀκούουσιν οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἐφοβήθησαν ἀπὸ προσώπου τῶν ἀλλοφύλων.

** ΙΩΣΗΠΟΥ. Οὐ λανθάνουσι τοὺς Παλαιστίνους ἐκεῖ συναχθέντες. ἀλλὰ μαθόντες οὗτοι τὴν ἄθροισιν αὐτῶν, μεγάλῃ στρατιᾷ καὶ δυνάμει, κατ' ἐλπίδα τοῦ μὴ προσδοκῶσι μηδὲ παρεσκευασμένοις ἐπιπεσεῖσθαι, τοῖς Ἑβραίοις ἐπέρχονται. καταπλήττει δ' αὐτοὺς τοῦτο, καὶ εἰς ταραχὴν ἄγει καὶ δέος.

η. Καὶ εἶπαν οἱ υἱοὶ Ἰσραὴλ πρὸς Σαμουὴλ, μὴ παρασιωπήσῃς ἀφ' ἡμῶν τοῦ μὴ βοᾷν πρὸς Κύριον Θεόν σου, καὶ σώσει ἡμᾶς ἐκ χειρὸς ἀλλοφύλων.

** ΙΩΣΗΠΟΥ. Δραμόντες πρὸς Σα-
» μουῆλον, ἀναπεπτωκέναι τὰς ψυχὰς αὐτῶν
A » ὑπὸ φόβου καὶ τῆς προτέρας ἥττης, ἔφασ-
» κον, καὶ διὰ τοῦτ' ἠρεμεῖν ἵνα μὴ κινήσωμεν
» τὴν τῶν πολεμίων δύναμιν. σοῦ δ' ἀναγα-
» γόντος ἡμᾶς ἐπ' εὐχὰς καὶ θυσίας καὶ ὅρ-
» κους, γυμνοῖς καὶ ἀνόπλοις ἐπεστρατεύκα-
» σιν οἱ πολέμιοι. ἐλπὶς οὖν ἡμῖν οὐκ ἄλλη σω-
» τηρίας ἡμῶν, ἢ ἡ παρὰ σοῦ καὶ τοῦ Θεοῦ ἱκε-
» τευθέντος παρὰ σοῦ παρασχεῖν ἡμῖν διαφυ-
» γεῖν Παλαιστίνους.

B θ. Καὶ ἔλαβε Σαμουὴλ ἄρνα γαλαθηνὸν ἕνα, καὶ ἀνήνεγκεν αὐτὸν ὁλοκαύτωσιν σὺν παντὶ τῷ λαῷ τῷ Κυρίῳ. καὶ ἐβόησε Σαμουὴλ πρὸς Κύριον, καὶ ἐπήκουσεν αὐτοῦ Κύριος.

** ΙΩΣΗΠΟΥ. Λαβὼν ἄρνα γαλαθηνὸν, ὑπὲρ τῶν ὄχλων θύει. καὶ παρακαλεῖ τὸν Θεὸν ὑπερέχειν αὐτῶν τὴν δεξιὰν ἐν τῇ πρὸς Παλαιστίνους μάχῃ, καὶ μὴ περιϊδεῖν δεύτερον αὐτοὺς δυστυχήσαντας.
Γ ἐπήκοος δὲ γίνεται τῶν εὐχῶν ὁ Θεὸς, καὶ προσδεξάμενος εὐμενεῖ καὶ συμμάχῳ τῇ διανοίᾳ τὴν θυσίαν, ἐπινεύει νίκην αὐτοῖς καὶ κράτος.

** ΚΥΡΙΛΛΟΥ. Ὁ θεσπέσιος Σαμουὴλ, ὅτε τὰς ὑπέρ γε τοῦ Ἰσραὴλ ἐποιεῖτο λιτὰς, οὐ μόνον αὐτοῖς ὡς ἐν σκιᾷ καὶ αἰνίγματι τὸν τῆς ἐνανθρωπήσεως τύπον ἐπλήρου, διὰ τοῦ ὕδωρ ἐπιχέαι τῇ γῇ· ἀλλὰ γὰρ εὐθὺς προσετίθει τὸ λεῖπον, τουτέστι τὴν
Δ » ὑπὲρ παντὸς τοῦ κόσμου σφαγήν. ἔλαβε
» γάρ φησι Σαμουὴλ ἄρνα γαλαθηνὸν ἕνα,
» καὶ ἀνήνεγκεν αὐτὸν εἰς ὁλοκαύτωσιν σὺν
» παντὶ τῷ λαῷ Κυρίῳ. καὶ ἐβόησε Σαμουὴλ
» πρὸς Κύριον περὶ Ἰσραὴλ, καὶ ἐπήκουσεν
» αὐτοῦ Κύριος. ἀκούεις ὅπως κατέθυσε τὸν ἀμνὸν, εἰς εἰκόνα καὶ τύπον τοῦ ἀληθινοῦ Θεοῦ; ὃν καὶ ὁ μακάριος Ἰωάννης μονονουχὶ καὶ χεῖρα προτείνων κατεδείκνυε, λέγων·
E » ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ ὁ αἴρων τὴν ἁμαρτίαν Ἰωάν. 1. 29.
τοῦ κόσμου. Χριστὸς γάρ ἐστι τὸ ἄμωμον ἱερεῖον, οὗ τῷ τιμίῳ αἵματι σεσώσμεθά τε καὶ ἡγιάσμεθα.

ι. Καὶ ἦν Σαμουὴλ ἀναφέρων τὴν ὁλοκαύτωσιν· καὶ ἀλλόφυλοι προσῆγον εἰς πόλεμον ἐπὶ Ἰσραήλ. καὶ ἐβρόντησε Κύριος ἐν φωνῇ μεγάλῃ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐπὶ τοὺς ἀλλοφύ-
Z λους, καὶ συνεχύθησαν καὶ ἔπεσαν ἐνώπιον Ἰσραήλ.

** ΙΩΣΗΠΟΥ. Ἔτι ἐπὶ τοῦ βωμοῦ τὴν θυσίαν ἔχοντος τοῦ Θεοῦ, καὶ μήπω πᾶσαν διὰ τῆς ἱερᾶς φλογὸς ἀπειληφότος, προσῆλθεν ἐκ τοῦ στρατοπέδου ἡ τῶν πολεμίων δύναμις, καὶ παρατάσσεται εἰς μάχην, ἐπ' ἐλπίδι μὲν νίκης, ὡς ἀπειλημμένων ἐν ἀπορίᾳ τῶν Ἰουδαίων, μήτε ὅπλα ἐχόντων, μήτε ὡς ἐπὶ μάχῃ ἐκεῖσε ἀπηντηκότων. πε-
H ριπίπτουσι δὲ οἷς, οὐδ' εἰ προὔλεγέ τις ῥᾳδίως ἐπείσθησαν. πρῶτον μὲν γὰρ αὐτοὺς ὁ Θεὸς κλονεῖ σεισμῷ, καὶ τὴν γῆν αὐτοῖς ὑπότρομον καὶ σφαλερὰν κινήσας τίθησιν· ὡς σαλευομένης τε τὰς βάσεις ὑποφέρεσθαι, καὶ

διϊστα-

διϊςαμένης εἰς ἔνια τῶν χασμάτων καταφέρεσθαι. ἔπειτα βρονταῖς περιψοφήσας, καὶ διαπύροις ἀςραπαῖς, ὡς καταφλέξων αὐτῶν τὰς ὄψεις, περιλάμψας, καὶ τῶν χειρῶν ἐκκροτήσας τὰ ὅπλα, γυμνοὺς εἰς φυγὴν ἀπέςρεψε.

** ΚΥΡΙΛΛΟΥ. Ὅτι μὲν οὖν χρῆμά τί ἐςιν οὐκ ἀκερδὲς, καὶ παρά γε τοῖς ἀρτίοις τὴν φρένα τεθαυμασμένον, ἡ νηςεία συνθεούσης αὐτῇ καὶ προσευχῆς, δέδεικται σαφῶς καὶ διὰ τῶν ἤδη προειρημένων, οὐχ ἥκιςα δὲ διὰ τοῦ παροιχθέντος ἡμῖν ἀρτίως διηγήματος. ἐπῄεσαν μὲν γὰρ οἱ πάλαι νικῶντες τὸν Ἰσραὴλ αὐτίκα δὴ μάλα καὶ ἀμοχθεὶ, τοὺς ἀντεξάγειν ἐθέλοντας αἱρήσειν ὑπειληφότες· ἀλλ᾽ ἥττηνται καὶ πεπτώκασιν, οὐ πλῆθος εὑρόντες ἐμπειροπόλεμον, καὶ ἐν εἰδήσει τῶν τακτικῶν, οὐ πεζόμαχον ὁπλίτην, οὐ παράταξιν ἱππικὴν, ἄμαχον δὲ τὴν ἀντίςασιν, ἐπικουροῦντος Θεοῦ. κατεβρόντησε γὰρ αὐτῶν δεινὸν καὶ ἐξαίσιον ὁ οὐρανός. καὶ οἱ μὲν πάλαι φυσῶντες μέγα, συντεθραυσμένοι τοῖς δήμασιν, ἐτράποντο πρὸς φυγήν· οἱ δὲ ἦσαν τῶν κρατούντων ἀμείνους διὰ νηςείας καὶ προσευχῆς.

ια. Καὶ ἐξῆλθον ἄνδρες Ἰσραὴλ ἐκ Μασσηφὰθ, καὶ κατεδίωξαν τοὺς ἀλλοφύλους, καὶ ἐπάταξαν αὐτοὺς ἕως ὑποκάτω τοῦ Βαιθχώρ.

ιβ. Καὶ ἔλαβε Σαμουὴλ λίθον ἕνα, καὶ ἔςησεν αὐτὸν ἀναμέσον Μασσηφὰθ καὶ ἀναμέσον τῆς παλαιᾶς· καὶ ἐκάλεσε τὸ ὄνομα αὐτοῦ Ἀβενέζερ· (1) καὶ εἶπεν, ἕως ἐνταῦθα ἐβοήθησεν ἡμῖν Κύριος.

** ΙΩΣΗΠΟΥ. Καταπήξας ἐκεῖ λίθον, ὥσπερ ὅρον τῆς νίκης καὶ τῆς φυγῆς τῶν πολεμίων, ἰσχυρὸν αὐτὸν προσαγορεύει, σύμβολον τῆς παρὰ Θεοῦ γενομένης αὐτοῖς κατὰ τῶν ἐχθρῶν ἰσχύος.

ιγ. Καὶ ἐταπείνωσε Κύριος τοὺς ἀλλοφύλους, καὶ οὐ προσέθεντο ἔτι

A τοῦ ἐπελθεῖν πρὸς ὅριον Ἰσραήλ· καὶ
ἐγενήθη χεὶρ Κυρίου ἐπὶ τοὺς ἀλλοφύ-
λους πάσας τὰς ἡμέρας τοῦ Σαμουήλ.
ιδ. Καὶ ἀπεδόθησαν αἱ πόλεις ἃς ἔλα-
βον οἱ ἀλλόφυλοι παρὰ τῶν υἱῶν Ἰσ-
ραὴλ, καὶ ἀπέδωκαν αὐτὰς τῷ Ἰσ-
ραὴλ ἀπὸ Ἀκαρὼν ἕως Ὀζόβ· (2)
καὶ τὸ ὅριον Ἰσραὴλ ἀφείλαντο ἐκ
χειρὸς ἀλλοφύλων. καὶ ἦν εἰρήνη ἀνα-
B μέσον Ἰσραὴλ καὶ ἀναμέσον τοῦ Ἀμοῤ-
ιε. ῥαίου. Καὶ ἐδίκαζε Σαμουὴλ τὸν Ἰσ-
ραὴλ πάσας τὰς ἡμέρας τῆς ζωῆς
αὐτοῦ.

ις. Καὶ ἐπορεύθη (3) κατ᾽ ἐνιαυτὸν, καὶ ἐκύκλου Βαιθὴλ καὶ τὴν Γάλγαλα (4) καὶ τὴν Μασσηφάθ· καὶ ἐδίκαζε τὸν Ἰσραὴλ ἐν πᾶσι τοῖς ἡγιασμένοις (5) τούτοις.

Γ ** ΙΩΣΗΠΟΥ. Δὶς τοῦ ἔτους ὑπερχόμενος τὰς πόλεις ἐδίκαζεν αὐτοῖς, καὶ πολλὴν ἐβράβευεν εὐνομίαν ἐπὶ χρόνον πολύν.

ιζ. Ἡ δὲ ἀποςροφὴ αὐτοῦ ἦν εἰς Ἀρμαθαὶμ, ὅτι ἐκεῖ ἦν οἶκος αὐτοῦ· καὶ ἐδίκαζεν ἐκεῖ τὸν Ἰσραὴλ, καὶ ᾠκοδόμησεν ἐκεῖ θυσιαςήριον τῷ Κυρίῳ.

Δ * ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τοῦ Θεοῦ κελεύσαντος διὰ τοῦ νόμου ἐν ἑνὶ τόπῳ λατρεύειν, θυσιαςήριον ὁ Ἰσραὴλ ᾠκοδόμησεν; Οὐδέπω ὁ θεῖος ναὸς ᾠκοδόμητο, καὶ ἐν διαφόροις τόποις ἐλάτρευον τῷ Θεῷ· πλὴν καὶ ἐντεῦθεν μανθάνομεν, ὡς τοῦ λαοῦ τὸ πρόχειρον εἰς ἀσέβειαν ἐπιςάμενος ὁ Θεὸς, ἐν τὴν θείαν λατρείαν περιώρισε τόπῳ. τοῖς γὰρ εὐσεβέσι, καὶ τὸν τοῦ νόμου σκοπὸν ἐπιςαμένοις, ἅπας εἰς τὴν τοῦ E Θεοῦ λατρείαν καθιέρωτο τόπος. καὶ γὰρ Ἡλίας ὁ πάνυ, τοῦ θείου νεὼ πρὸς ἑαυτὸν ἅπαντας κατὰ τὸν νόμον καλοῦντος, ἐν τῷ Καρμηλίῳ θυσιαςήριον ᾠκοδόμησε, καὶ θυσίαν προσήνεγκε.

ΚΕΦ. Η.

α. Καὶ ἐγένετο ὡς ἐγήρασε Σαμουὴλ, καὶ κατέςησε τοὺς υἱοὺς αὐτοῦ δικαςὰς τῷ Ἰσ-
β. ραήλ. Καὶ ταῦτα τὰ ὀνόματα τῶν
υἱῶν αὐτοῦ· πρωτότοκος Ἰωὴλ, καὶ
ὄνομα τοῦ δευτέρου Ἀβιὰ, δικαςαὶ ἐν
Βηρσαβεέ.

** ΙΩΣΗΠΟΥ. Ὑπὸ γήρως βαρυνόμενος, καὶ τὰ συνήθη πράττειν ἐμποδιζόμενος, τοῖς υἱοῖς τὴν ἀρχὴν καὶ τὴν προςασίαν τοῦ πλήθους παραδίδωσιν· ὧν ὁ μὲν πρεσβύτερος Ἰώηλος προσηγορεύετο, τῷ Z δὲ νεωτέρῳ Ἀβία ὄνομα ἦν. προσέταξε δὲ τὸν μὲν ἐν Βεθήλοις πόλει καθεζόμενον κρίνειν, τὸν δ᾽ ἕτερον ἐν Βαρσουβαῖ, μερίσας τὸν ὑπακουσόμενον ἑκατέρῳ λαόν.

γ. Καὶ οὐκ ἐπορεύθησαν οἱ υἱοὶ αὐτοῦ ἐν ὁδῷ αὐτοῦ· καὶ ἐξέκλιναν ὀπίσω τῆς συντελείας, καὶ ἐλάμβανον δῶρα, καὶ ἐξέκλιναν δικαιώματα.

** ΙΩΣΗΠΟΥ. Ἐγένοντο σαφὲς οὗτοι H παράδειγμα καὶ τεκμήριον, τοῦ μὴ τὸν τρόπον

(1) Ἀβενέζερ, λίθος τοῦ βοηθοῦ· αἱ εἰρημ. ἐκδόσ. ἡ δὲ τοῦ Ἀλδ. ὃ σημαίνει λίθος.
(2) Ἀζόβ. αἱ εἰρημ. ἐκδόσ.
(3) Ἐπορεύετο. αἱ αὐτ.
(4) Γαλγαλά. αἱ αὐτ.
(5) Τόποις τούτοις. ἡ ἐν Κομπλ. ἐκδ.

τρόπον ὁμοίους τοῖς φύσασι γίνεσθαί τινας· ἀλλὰ τάχα μὲν χρηστοὺς καὶ μετρίους ἐκ πονηρῶν· τότε μέν γε φαύλους ἐξ ἀγαθοῦ παρέχον αὐτοὺς γενομένους. τῶν γὰρ τοῦ πατρὸς ἐπιτηδευμάτων τραπόμενοι, καὶ τὴν ἐναντίαν ὁδὸν ἀπελθόντες, δώρων καὶ λημμάτων αἰσχρῶν καθυφίεντο τὸ δίκαιον· καὶ τὰς κρίσεις οὐ πρὸς τὴν ἀλήθειαν, ἀλλὰ πρὸς τὸ κέρδος ποιούμενοι, καὶ πρὸς τρυφὴν καὶ πρὸς διαίτας πολυτελεῖς ἀπονενευκότες, πρῶτον μὲν ὑπεναντία ταῦτα ἔπρασσον τῷ Θεῷ, δεύτερον δὲ τῷ Προφήτῃ, πατρὶ αὐτῶν, ὃς πολλὴν τοῦ τὸ πλῆθος εἶναι δίκαιον σπουδὴν εἰσεφέρετο καὶ πρόνοιαν.

* ΘΕΟΔΩΡΙΤΟΥ. (1) Καὶ πῶς οὐκ ἔτισε δίκας ὑπὲρ τῶν παίδων Σαμουήλ, ὥσπερ Ἠλί; Τὰ ὑπὸ τούτων τοίνυν γενόμενα, ἀδικήματα ἦν, οὐκ ἀσεβήματα, καθάπερ ἐκείνων. οἳ ταῖς λαγνείαις τὴν θείαν σκηνὴν κατεμόλυναν, καὶ τὰ πρωτεῖα τῶν ἱερείων ὑφήρπαζον. οὗτοι δὲ δωροδοκίαν κατηγοροῦνται· καὶ ταύτην ἠγνόησε Σαμουήλ. ᾤκει γὰρ πόῤῥω τῶν παίδων ἐν Ἀρμαθαίμ, ἐκείνων οἰκούντων ἐν Βηρσαβεέ. ἄλλο δέ ἐστιν εἰς Θεὸν, καὶ ἄλλο εἰς ἄνθρωπον ἁμαρτῆσαι.

δ. Καὶ συναθροίζονται ἄνδρες Ἰσ-
ραὴλ, καὶ παραγίνονται εἰς Ἀρμα-
ε. θαὶμ πρὸς Σαμουὴλ, Καὶ εἶπαν αὐ-
τῷ, ἰδοὺ σὺ γεγήρακας, καὶ οἱ υἱοί σου
οὐ πορεύονται ἐν τῇ ὁδῷ σου. καὶ νῦν κα-
τάστησον ἐφ' ἡμᾶς βασιλέα δικάζειν
ἡμᾶς, καθὰ καὶ τὰ λοιπὰ ἔθνη.

** ΙΩΣΗΠΟΥ. Ὁ λαὸς, ἐξυβριζόντων εἰς τὴν προτέραν κατάστασιν καὶ πολιτείαν τῶν τοῦ Προφήτου παίδων, χαλεπῶς τε τοῖς πραττομένοις ἔφερε, καὶ πρὸς αὐτὸν συντρέχουσι· διέτριβε δὲ ἐν Ῥαμαθᾷ πόλει· καὶ τάς τε τῶν υἱῶν παρανομίας ἔλεγον, καὶ ὅτι γηραιὸς αὐτὸς ὢν ἤδη καὶ παρειμένος ὑπὸ τοῦ χρόνου, τῶν πραγμάτων οὐκ ἔτι τὸν αὐτὸν προϊστάναι δύναται τρόπον· ἐδέοντό τε καὶ ἱκέτευον ἀποδεῖξαί τινα αὐτῶν βασιλέα, ὃς ἄρξῃ τοῦ ἔθνους, καὶ τιμωρήσηται Παλαιστίνους, ὀφείλοντας ἑαυτοῖς δίκας τῶν προτέρων ἀδικημάτων.

ς. Καὶ ἦν πονηρὸν τὸ ῥῆμα ἐν ὀφθαλμοῖς Σαμουὴλ, ὡς εἶπαν, δὸς ἡμῖν βασιλέα δικάζειν ἡμᾶς. καὶ προσηύξατο Σαμουὴλ πρὸς Κύριον.

** ΙΩΣΗΠΟΥ. Ἐλύπησαν σφόδρα τὸν Σαμούηλον οἱ λόγοι, διὰ τὴν σύμφυτον δικαιοσύνην καὶ τὸ πρὸς τοὺς βασιλέας μῖσος. ἥττητο γὰρ δεινῶς τῆς ἀριστοκρατίας, ὡς θείους καὶ μακαρίους ποιούσης τοὺς χρω-

A μένους αὐτῆς τῇ πολιτείᾳ. ὑπὸ δὲ φροντίδος καὶ βασάνου τῆς ἐπὶ τοῖς εἰρημένοις, οὔτε τροφῆς ἐμνημόνευσεν οὔτε ὕπνου· δι' ὅλης δὲ τῆς νυκτὸς στρέφων τὰς περὶ τῶν πραγμάτων ἐννοίας διεκαρτέρει.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκεν ἤλγησεν, αἰτήσαντος τοῦ λαοῦ βασιλέα; Ἐπειδὴ παρὰ τὸν θεῖον νόμον ἡ αἴτησις ἦν τὸ δοθῆναι αὐτοῖς βασιλέα. ὁ [δεσπότης] γὰρ Θεὸς [καὶ Θεοῦ] καὶ βασιλέως ἐπλήρου
B χρείαν αὐτοῖς· ὁ δὲ Προφήτης ὑπουργὸς ἦν, οἷόν τις [ὕπαρχος,] ἢ στρατηγὸς, ἢ δημαγωγός. καὶ τοῦτο δεδήλωκεν ὁ Θεὸς,
» [εἰπὼν πρὸς αὐτόν· ἄκουε τῆς φωνῆς τοῦ
» λαοῦ· διότι] οὐ σὲ ἐξουθενήκασιν, ἀλλ' ἐμὲ
» [ἐξουθένησαν,] τοῦ μὴ βασιλεύειν ἐπ' αὐ-
» τούς. [κατὰ πάντα τὰ ἔργα αὐτῶν, ἃ
» ἐποίησάν μοι, ἀφ' ἧς ἡμέρας ἐξήγαγον αὐ-
» τοὺς ἐξ Αἰγύπτου, καὶ ἕως τῆς ἡμέρας ταύ-
της,] καὶ τὰ ἑξῆς.

Γ ζ. Καὶ εἶπε Κύριος πρὸς Σαμουὴλ, ἄκουε τῆς φωνῆς τοῦ λαοῦ σου, (2) καθὰ ἂν λαλῶσι πρὸς σὲ, ὅτι οὐ σὲ ἐξουδενώκασιν, ἀλλ' (3) ἐμὲ ἐξουθενήκασι τοῦ μὴ βασιλεύειν ἐπ' αὐτῶν.

** ΕΠΙΦΑΝΙΟΥ. Παραμυθούμενος ὁ Θεὸς Σαμουὴλ τὸν προφήτην, ἔλεγεν· οὐ σὲ ἀπεβάλοντο, ἀλλ' ἐμὲ. λέγει Κύριος, πλὴν χρῖσον αὐτοῖς τὸν Σαοὺλ υἱὸν Κίς. ὥσπερ
Δ παιδίοις μικροῖς προσφερόμενον τὸ θεῖον, ἵνα βαστάσῃ τὴν ἀσθένειαν τῶν ἀσθενούντων, καὶ ἀναθωπεύσῃ τὸ βρέφος ἀπὸ τῆς αὐτοῦ ἀσθενείας.

» ** ΚΥΡΙΛΛΟΥ. Ὅτι οὐ σὲ ἐξουθενή-
» κασιν, ἀλλ' ἢ ἐμὲ ἐξουθενήκασι. Πρᾶγμα τοιγαροῦν σφαλερώτατον τὸ μὴ τοῖς ἁγίοις θέλειν τὴν αὐτοῖς ἁρμοδιωτάτην ἀπονεῖμαι τιμήν. ἀναδραμεῖται γὰρ τῆς εἰς αὐτοὺς πλημμελείας ὁ λόγος εἰς τὸν ἀποστείλαντα αὐτούς.
E

η. Κατὰ πάντα τὰ ποιήματα, α
ἐποιησάμην (4) ἀφ' ἧς ἡμέρας ἀνή-
γαγον τοὺς πατέρας (5) αὐτῶν ἐξ Αἰ-
γύπτου ἕως τῆς ἡμέρας ταύτης, καὶ
ἐγκατέλιπόν με, καὶ ἐδούλευσαν Θεοῖς
ἑτέροις· οὕτως αὐτοὶ ποιήσουσι (6) καὶ
θ. σοί. Καὶ νῦν ἄκουε τῆς φωνῆς αὐ-
Z τῶν· πλὴν ὅτι διαμαρτυρόμενος δια-
μαρτύρῃ αὐτοῖς, καὶ ἀπαγγελεῖς τὸ
δικαίωμα τοῦ βασιλέως ὃς βασιλεύ-
σει ἐπ' αὐτούς.

** ΙΩΣΗΠΟΥ. Ἐμφανίζεται τὸ θεῖον, καὶ παραμυθεῖται, μὴ δυσφορεῖν ἐφ' οἷς
» ἠξίωσε τὸ πλῆθος· ὡς οὐκ ἐκεῖνον ὑπερη-
» φανήσαντας, ἀλλ' αὐτὸν, ἵνα μὴ βασιλεύσῃ μόνος.

(1) Τίνος χάριν Σαμουὴλ διὰ τὰς τῶν παίδων παρανομίας οὐκ ἔτισε δίκας; Ἀδικήματα ἦν, οὐκ ἀσεβήματα, τὰ παρὰ τούτων γινόμενα. οὔτε γὰρ γάμους διέῤῥηξαν, καὶ ταῖς τοιαύταις λαγνείαις καθύβρισαν τὴν θείαν σκηνήν· οὔτε τῇ γαστρὶ τὰ πρωτεῖα τῶν ἱερείων ἀπένειμαν, τὴν τῶν θυσιῶν ἀναστρέψαντες τάξιν. δωροδοκίαν δὲ μόνον αὐτῶν ἡ ἱστορία κατηγορεῖ. καὶ οὐδὲ ταύτην ὁ Προφήτης ἠπίστατο. πόῤῥωθεν γὰρ αὐτῶν διῆγεν. αὐτὸς μὲν γὰρ ᾤκει τὴν Ἀρμαθὲμ, ἐκεῖνοι δὲ τὴν Βηρσαβεέ. οὕτως ἡ ἐν Χάλ. ἐκδ.

(2) Τοῦ λαοῦ. αἱ εἰρημ. ἐκδόσ. (3) Ἀλλ' ἢ ἐμέ. αἱ αὐτ.

(4) Ἐποίησάν μοι. αἱ αὐτ. (5) Αὐτοὺς ἐξ. αἱ αὐτ. (6) Ποιοῦσι. αἱ αὐτ.

" μόνος. ταῦτα δὲ ἀφ' ἧς ἡμέρας ἐξήγαγον " αὐτοὺς ἀπ' Αἰγύπτου μηχανᾶσθαι τὰ ἔργα. " λήψεσθαι μέντοι γε οὐκ εἰς μακρὰν μετάνοιαν " αὐτοὺς ἐπίπονον, ὑφ' ἧς οὐδὲν μὲν ἀγέννητον " ἔσται τῶν ἐσομένων· ἐλεγχθήσονται " δὲ καταφρονήσαντες, καὶ βουλὰς οὐκ εὐχαρίστους " πρὸς ἐμὲ καὶ τὴν σὴν προφητείαν " λαβόντες. κελεύω δή σε χειροτονεῖν αὐτοῖς " ὃν ἂν ἐγὼ προείπω βασιλέα· προδηλώσαντα " ποίων τε πειραθήσονται βασιλευόμενοι " κακῶν, καὶ διαμαρτυράμενον ἐφ' " οἵαν σπεύδουσι μεταβολήν.

ι. Καὶ εἶπε Σαμουὴλ πάντας τοὺς λόγους Κυρίου πρὸς τὸν λαὸν τοὺς αἰ-
ια. τοῦντας παρ' αὐτοῦ βασιλέα. Καὶ εἶπε, τοῦτο ἔσται τὸ δικαίωμα τοῦ βασιλέως ὃς βασιλεύσει ἐφ' ἡμᾶς· τοὺς υἱοὺς ὑμῶν λήψεται, καὶ θήσεται αὐτοὺς ἐν ἁρματηλάταις (1) αὐτοῦ, καὶ ἐν ἱππεῦσιν αὐτοῦ, καὶ προτρέχοντας
ιβ. τῶν ἁρμάτων αὐτοῦ, Καὶ θέσθαι αὐτοὺς ἑαυτῷ (2) χιλιάρχους, καὶ θερίζειν θερισμὸν αὐτοῦ, καὶ τρυγᾶν τρυγητὸν αὐτοῦ, καὶ ποιεῖν σκεύη πολεμικὰ αὐτοῦ, καὶ σκεύη ἁρμάτων αὐτοῦ.
ιγ. Καὶ τὰς θυγατέρας ὑμῶν λήψεται εἰς μυρεψοὺς, καὶ εἰς μαγειρίσσας, καὶ
ιδ. εἰς πεσσούσας. Καὶ τοὺς ἀγροὺς ὑμῶν, καὶ τοὺς ἀμπελῶνας ὑμῶν, καὶ τοὺς ἐλαιῶνας ὑμῶν τοὺς ἀγαθοὺς λήψε-
ιε. ται, καὶ δώσει τοῖς δούλοις αὐτοῦ. Καὶ τὰ σπέρματα ὑμῶν καὶ τοὺς ἀμπελῶνας ὑμῶν ἀποδεκατώσει, καὶ δώσει τοῖς εὐνούχοις αὐτοῦ, καὶ τοῖς δού-
ις. λοις αὐτοῦ. Καὶ τοὺς δούλους ὑμῶν, καὶ τὰς δούλας ὑμῶν, καὶ τὰ βουκόλια ὑμῶν τὰ ἀγαθὰ, καὶ τοὺς ὄνους ὑμῶν λήψεται, καὶ ἀποδεκατώσει εἰς
ιζ. τὰ ἔργα αὐτοῦ. Καὶ τὰ ποίμνια ὑμῶν ἀποδεκατώσει, καὶ ὑμεῖς ἔσεσθε
ιη. αὐτῷ εἰς δούλους. Καὶ βοήσεσθε ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ προσώπου τοῦ βασιλέως ὑμῶν οὗ ἐξελέξασθε ἑαυτοῖς, καὶ οὐκ ἐπακούσεται Κύριος ὑμῶν ἐν ταῖς ἡμέραις ἐκείναις, ὅτι ὑμεῖς ἐξελέξασθε ἑαυτοῖς βασιλέα.
ιθ. Καὶ οὐκ ἐβούλετο ὁ λαὸς ἀκοῦσαι τοῦ Σαμουὴλ, καὶ εἶπαν αὐτῷ, οὐχὶ,
κ. ἀλλ' ἢ βασιλεὺς ἔσται ἐφ' ὑμᾶς, Καὶ ἐσόμεθα καὶ ἡμεῖς κατὰ πάντα τὰ ἔθνη· καὶ δικάσει ἡμᾶς βασιλεὺς ἡμῶν, καὶ ἐξελεύσεται ἔμπροσθεν ἡμῶν, καὶ πολεμήσει τὸν πόλεμον ἡμῶν.

** ΙΩΣΗΠΟΥ. Ἦν δ' ἄρα καὶ πρὸς τὰς προῤῥήσεις τῶν συμβησομένων ἀνόητον τὸ πλῆθος, καὶ δύσκολον ἐξελεῖν τῆς διανοίας κρίσιν ἤδη παρὰ τῷ λογισμῷ καθιδρυμένην. οὐδὲ γὰρ ἐπεστράφησαν, οὐδ' ἐμέλησεν αὐτοῖς τῶν Σαμουήλου λόγων· ἀλλ' ἐνέκειντο λιπαρῶς, καὶ χειροτονεῖν ἠξίουν ἤδη τὸν βασιλέα, καὶ μὴ φροντίζειν τῶν ἐσομένων. ἐπὶ γὰρ τιμωρίᾳ τῶν ἐχθρῶν, ἀνάγκη τὸν πολεμήσοντα σὺν αὐτοῖς ἔχειν· καὶ οὐδὲν ἄτοπον εἶναι, τῶν πλησιοχώρων βασιλευομένων, τὴν αὐτὴν ἔχειν αὐτοὺς πολιτείαν.

κα. Καὶ ἤκουσε Σαμουὴλ πάντας τοὺς λόγους τοῦ λαοῦ, καὶ ἐλάλησεν αὐτοὺς εἰς τὰ ὦτα Κυρίου.

κβ. Καὶ εἶπε Κύριος πρὸς Σαμουὴλ, ἄκουε τῆς φωνῆς αὐτῶν, καὶ βασίλευσον αὐτοῖς βασιλέα. καὶ εἶπε Σαμουὴλ πρὸς ἄνδρας Ἰσραὴλ, ἀποτρέχετε ἕκαστος εἰς τὰς πόλεις ὑμῶν.

** ΙΩΣΗΠΟΥ. Ὁρῶν αὐτοὺς μηδ' ὑπὸ τῶν προειρημένων ἀπεστραμμένους ὁ Σαμούηλος, ἀλλ' ἐπιμένοντας· " νῦν μὲν, εἶπεν, " ἄπιτε πρὸς αὐτοὺς ἕκαστος, μεταπέμψω δὲ " ὑμᾶς εἰς δέον, ὅτ' ἂν μάθω παρὰ τοῦ Θεοῦ, " τίνα δίδωσιν ὑμῖν βασιλέα.

ΚΕΦ. Θ.

α. Καὶ ἦν ἀνὴρ ἐξ υἱῶν Βενιαμὶν, καὶ ὄνομα αὐτῷ Κὶς, ὁ υἱὸς Ἀβιὴλ, υἱοῦ Ἰάρεδ, υἱοῦ Ἀβαχὲρ, (3) υἱοῦ Ἀφὲκ, υἱοῦ ἀνδρὸς Ἰεμιναίου, ἀνὴρ δυνατός.

β. Καὶ τούτῳ υἱὸς, καὶ ὄνομα αὐτῷ Σαοὺλ, εὐμεγέθης, ἀνὴρ ἀγαθὸς, (4) οὐκ ἦν ἐν υἱοῖς Ἰσραὴλ ἀγαθὸς ὑπὲρ αὐτὸν, ὑπερωμίαν καὶ ἐπάνω ὑψηλὸς ὑπὲρ πᾶσαν τὴν γῆν.

** ΙΩΣΗΠΟΥ. Ἦν δέ τις ἐκ τῆς Βενιαμίτιδος φυλῆς ἀνὴρ εὖ γεγονὼς καὶ ἀγαθὸς τὸ ἦθος, Κίσης ὄνομα. τούτῳ παῖς ὑπῆρχεν. ἦν δὲ νεανίας τὴν μορφὴν ἄριστος, καὶ τὸ σῶμα μέγας, τό, τε φρόνημα καὶ τὴν διάνοιαν ἀμείνων τῶν βλεπομένων. Σάουλον αὐτὸν ἐκάλουν.

" * ΠΡΟΚΟΠΙΟΥ. Εὐμεγέθης ἀνήρ. Αὐτῷ μαρτυρεῖ οὐ ψυχῆς ἀρετήν. ἀλλὰ εἶδος καὶ μέγεθος. ἐπεξηγεῖται γὰρ, ὅτι τὸ σῶμα, φησὶν. ἀγαθὸς, ἀντὶ τοῦ, εὐειδὴς, καὶ ὑψηλὸς ἐν μεγέθει σώματος.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀγαθὸν πῶς ὠνόμασε τὸν Σαοὺλ; Οὐ ψυχῆς αὐτῷ ἀρετὴν, ἀλλ' εἶδος καὶ μέγεθος μαρτυρεῖ. τοῦτο γὰρ λέγει.

(1) Ἅρμασιν. αἱ αὐτ.
(2) Ἑκατοντάρχους καὶ χιλιάρχ. αἱ αὐτ.
(3) Βαχίρ. αἱ αὐτ.
(4) Καὶ οὐκ. αἱ αὐτ.

» λέγει. οὐκ ἦν [ἀνὴρ] ἀγαθὸς οὐδεὶς ἐν υἱοῖς A
» Ἰσραὴλ ὑπὲρ αὐτόν· ὑπερωμίαν καὶ ἐπάνω.
» ὑψηλὸς (1) γὰρ ὑπὲρ πᾶσαν τὴν γῆν.

γ. Καὶ ἀπώλοντο αἱ ὄνοι τοῦ Κεὶς πατρὸς Σαοὺλ. καὶ εἶπε Κεὶς πρὸς Σαοὺλ τὸν υἱὸν αὐτοῦ, λάβε μετὰ σεαυτοῦ ἓν τῶν παιδαρίων, καὶ ἀνάστητε καὶ πορεύθητε καὶ ζητήσατε τὰς ὄνους.

** ΙΩΣΗΠΟΥ. Οὗτος ὁ Κίσης, ὄνων αὐτῷ ἐκ τῆς νομῆς καλῶν ἀποπλανηθεισῶν· ἥδετο γὰρ αὐταῖς, ὡς οὐκ ἄλλῳ τινὶ τῶν κτημάτων· τὸν υἱὸν μεθ' ἑνὸς θεράποντος ἐπὶ ζήτησιν τῶν κτηνῶν ἐξέπεμψε.

δ. Καὶ διῆλθον δι' ὄρους Ἐφραὶμ, καὶ διῆλθον διὰ τῆς γῆς Ἐλχὰ, (2) καὶ οὐχ εὗρον· καὶ διῆλθον διὰ τῆς γῆς
ε. Ἰαμεὶν, καὶ οὐχ εὗρον. Αὐτῶν (3) ἐλθόντων εἰς τὴν Σὴφ, καὶ Σαοὺλ εἶπε Γ τῷ παιδαρίῳ αὐτοῦ, δεῦρο καὶ ἀποστρέψωμεν, μὴ ἀνεὶς ὁ πατήρ μου τὰ περὶ τὰς ὄνους, φροντίζει περὶ ἡμῶν.

** ΙΩΣΗΠΟΥ. Ἐπεὶ τὴν πάτριον περιῆλθε φυλὴν, ἐξερευνῶν τὰς ὄνους, εἰς τὰς ἄλλας ἀφίκετο· οὐδ' ἐν ταύταις ἐπιτυχὼν, ἀπιέναι διεγνώκει, μὴ ποιήσῃ περὶ αὐτοῦ τῷ πατρὶ λοιπὸν τὴν φροντίδα.

ϛ. Καὶ εἶπεν αὐτῷ τὸ παιδάριον, Δ ἰδοὺ δὴ ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐν τῇ πόλει ταύτῃ, καὶ ὁ ἄνθρωπος ἔνδοξος, καὶ πᾶν ὃ ἐὰν λαλήσῃ παραγενόμενον παρέσται. καὶ νῦν πορευθῶμεν δὴ ἐκεῖ, ὅπως ἀπαγγείλῃ ἡμῖν τὴν ὁδὸν ἡμῶν ἐφ' ἣν ἐπορεύθημεν ἐπ' αὐτήν.

** ΙΩΣΗΠΟΥ. Τοῦ ἑπομένου θεράποντος, ὡς ἐγένοντο κατὰ τὴν Ῥαμαθὰν πόλιν, εἶναι Προφήτην ἐν αὐτῇ φήσαντος E ἀληθῆ, καὶ πρὸς αὐτὸν βαδίζειν συμβουλεύοντος· γνώσεσθαι γὰρ παρ' αὐτοῦ τὸ περὶ τῶν ὄνων τέλος· οὐδὲν ἔχειν πορευθέντας, εἶπεν, ἀντὶ τῆς προφητείας, ὃ καὶ παράσχωσιν αὐτῷ. κεκενῶσθαι γὰρ ἤδη τῶν ἐφοδίων.

ζ. Καὶ εἶπε Σαοὺλ τῷ παιδαρίῳ αὐτοῦ τῷ μετ' αὐτοῦ, καὶ ἰδοὺ πορευσόμεθα· καὶ τί οἴσομεν τῷ ἀνθρώπῳ Z τοῦ Θεοῦ; ὅτι οἱ ἄρτοι ἐκλελοίπασιν ἐκ τῶν ἀγγείων ἡμῶν, καὶ πλεῖον οὐκ ἔστι μεθ' ἡμῶν τοῦ εἰσενεγκεῖν τῷ ἀνθρώπῳ τοῦ Θεοῦ τὸ ὑπάρχον ἡμῖν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τινές φασι τὸν Σαμουὴλ ἐπὶ χρήμασι προφητεῦσαι, τῷ εἰπεῖν
» τὸν Σαοὺλ, ἰδοὺ πορευσόμεθα, καὶ τί ἐποί-
» σομεν τῷ ἀνθρώπῳ τοῦ Θεοῦ, ὅτι οἱ ἄρτοι
» ἡμῶν ἐκλελοίπασι; Τοῦτο τῆς τοῦ Σαοὺλ H ὑποψίας, οὐ τῆς τοῦ Προφήτου δωροδοκίας τεκμήριον. ἐτόπασε γὰρ χρῆναί τι προσενεχθῆναι αὐτῷ, ὡς ἄρχοντι καὶ Προφήτῃ· ἀλλ' οὐδὲν προσενήνοχεν· ἀλλὰ τοὐναντίον φιλοφροσύνης παμπόλλης ἀπήλαυσε. τοῦ δὲ Προφήτου τὸ ἀδωροδόκητον διδάσκουσιν αὐτοῦ οἱ (4) ἐπὶ τοῦ λαοῦ παν-
» τὸς λόγοι· μόσχον γὰρ [φησι] τίνος ὑμῶν 1. Βασ. 12. 3.
» εἴληφα; ἢ τίνα ὑμῶν καταδεδυνάστευκα;
» ἢ τίνα ἐξεπίεσα ὑμῶν; ἢ ἐκ χειρὸς τίνος
B » ὑμῶν εἴληφα ἐξίλασμα, ἢ ὑπόδημα, καὶ
» ἀπέκρυψα τοὺς ὀφθαλμοὺς μου ἐν αὐτῷ;
» εἴπατε κατ' ἐμοῦ, (5) καὶ ἀποδώσω ὑμῖν·
καὶ ἐβεβαίωσε τοῦ Προφήτου τοὺς λόγους ἡ τοῦ λαοῦ μαρτυρία.

η. Καὶ προσέθετο τὸ παιδάριον ἀποκριθῆναι τῷ Σαοὺλ, καὶ εἶπεν, ἰδοὺ εὕρηται ἐν τῇ χειρί μου τέταρτον σίκλου ἀργυρίου, καὶ δώσεις τῷ ἀνθρώπῳ τοῦ Θεοῦ, καὶ ἀπαγγελεῖ ἡμῖν τὴν ὁδὸν ἡμῶν.

** ΙΩΣΗΠΟΥ. Τοῦ οἰκέτου τέταρτον αὐτῷ παρεῖναι σίκλου φήσαντος, καὶ τοῦτο δώσειν· ὑπὸ γὰρ ἀγνοίας τοῦ μὴ λαμβάνειν τὸν Προφήτην μισθὸν ἐπλανῶντο· παραγίνονται.

* ΠΡΟΚΟΠΙΟΥ. Εἰ δὲ σύνηθες ἦν τοὺς Προφήτας λαμβάνειν, οὐκ ἂν εἴρητο ὑπὸ
Δ » Μιχαίου, καὶ οἱ Προφῆται αὐτοῖς μετ' ἀρ- Μιχ. 3. 11.
» γυρίου προεφήτευον. οὕτω δὲ νοήσεις καὶ τὰ περὶ (6) Ἱεροβοὰμ ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν εἰρημένα (7) πρὸς τὴν γυναῖκα [αὐτοῦ· ὅτε ἠῤῥώστησεν αὐτοῦ τὸ παιδάριον, καὶ ἀπέστειλεν αὐτὴν πρὸς Ἀχίαν τὸν Σιλωνίτην ἐπερωτῆσαι αὐτὸν περὶ τοῦ παιδαρίου. καὶ ἐνταῦθα γὰρ Ἱεροβοὰμ μὲν φαίνεται λέγων τῇ γυναικὶ δῶρα τῷ Προφήτῃ λαβεῖν· ἐν δὲ τῇ Γραφῇ λαβὼν ὁ Προφήτης οὐ φαίνεται.] δύνανται οὖν ὑπονοεῖν E ὡς φαῦλοι ταῦτα περὶ τῶν Προφητῶν ψευδῶς. οἳ ἢ οὐκ ἐλάμβανον, ἢ παρὰ δικαίων ἐλάμβανον. οὐ γὰρ τὸ λαβεῖν ὁπωσοῦν ψεκτόν. ἐπεὶ καὶ οἱ Ἀπόστολοι παρὰ τὸ δέον ἐποίουν διακονούμενοι· ὡς Παῦλός φησι, καὶ
» δὶς εἰς τὴν χρείαν μου ἐπέμψατε. (8) τοῦ Φιλιπ. 4. 16.
μέντοι Σαμουὴλ τὸ ἀδωροδόκητον διδάσκει
» τὸ, μόσχον τίνος ὑμῶν εἴληφα; καὶ ὅσα 1. Βασ. 12. 3.
ἐπὶ παντὸς εἴρηκε τοῦ λαοῦ.

Z θ. Καὶ ἔμπροσθεν Ἰσραὴλ τάδε ἔλεγον ἕκαστος ἐν τῷ πορεύεσθαι ἐπερωτᾷν τὸν Θεὸν, δεῦρο πορευθῶμεν πρὸς τὸν βλέποντα· ὅτι τὸν Προφήτην ἐκάλει ὁ λαὸς ἔμπροσθεν, ὁ Βλέπων.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Τοὺς Προφήτας ἐκάλουν οἱ πρότερον τότε μὲν ἀνθρώπους Θεοῦ, τότε δὲ ὁρῶντας, κύρια ὀνό-
H ματα καὶ ἐμπρεπῆ τῷ ἐπιθειασμῷ καὶ τῇ περια-

(1) Ἐπάνω ὑψηλὸς ἐπὶ πᾶσαν τὴν γῆν. ἡ ἐν Χάλ. ἔκδ. (2) Σελχά. αἱ εἰρημ. ἐκδόσ.
(3) Αὐτῶν δὲ ἐλθ. αἱ αὐτ. (4) Οἱ λόγοι ἐπὶ τοῦ λαοῦ παντὸς εἰρημένοι. ἡ ἐν Χάλ. ἔκδ.
(5) Κἀμοί. ἡ αὐτ. (6) Ὑπὸ τοῦ. ὁ τῆς Αὐγ. κώδ. (7) Ἐν κεφ. 12.
(8) Τὰ ἑπόμενα οὐ κεῖται ἐν τῷ τῆς Αὐγ. κώδ.

περιαθρήσει τῶν πραγμάτων, ἢ ἐκέχρηντο, A
το, τιθέμενοι.
** ΤΟΥ ΑΥΤΟΥ. Μόνος βλέπει ὁ
ἀστεῖος. οὗ χάριν καὶ τοὺς Προφήτας ὠνό-
μασαν οἱ παλαιοὶ ὁρῶντας.
ΤΟΥ ΑΓΙΟΥ ΒΑΣΙΛΕΙΟΥ. Ἐκαλεῖτο
γάρ φησιν ὁ Προφήτης ὁ ἔμπροσθεν βλέ-
πων. καθὸ μὲν γὰρ ἐπιβλεπτικοὶ τοῦ μέλ-
λοντος ἦσαν, ἔμπροσθεν ὁρῶντες ἐχρημά-
τιζον· καθὸ δὲ θεωρητικοὶ τοῦ θείου βουλή-
ματος ἦσαν, βλέποντες προσηγορεύοντο. B
* ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τὸν Προφή-
την Βλέποντα ἐκάλουν; Ὡς τὰ μέλλοντα
προορῶντα. [οὐ γὰρ τῶν τοῦ σώματος ὀφ-
θαλμῶν τοῦτο τὸ ὄνομα, ἀλλὰ τῆς πνευ-
ματικῆς θεωρίας.]
** ΔΙΟΔΩΡΟΥ. Ἐκ τούτων δείκνυ-
ται, ὅτι ἅπερ τῶν Προφητῶν ἕκαστος τὰ
ἐν τοῖς κατ᾽ αὐτῶν χρόνοις ἔγραψαν. ταῦ-
τα οἱ μετὰ ταῦτα συναγαγόντες προσέ-
θηκαν, τὸ (1) ὅτι οἱ ἔμπροσθεν, Βλέποντα Γ
τὸν Προφήτην ἐκάλουν.

ι. Καὶ εἶπε Σαοὺλ πρὸς τὸ παι-
δάριον αὐτοῦ, ἀγαθὸν τὸ ῥῆμα, δεῦρο
καὶ πορευθῶμεν. καὶ ἐπορεύθησαν
εἰς τὴν πόλιν οὗ ἦν ἐκεῖ (2) ἄνθρωπος
τοῦ Θεοῦ.

ια. Αὐτῶν ἀναβαινόντων τὴν ἀνά-
βασιν τῆς πόλεως, καὶ αὐτοὶ εὑρίσκουσι Δ
τὰ κοράσια ἐξεληλυθότα ὑδρεύσα-
σθαι ὕδωρ, καὶ λέγουσιν αὐταῖς, (3)
ιβ. ἔστιν ἐνταῦθα ὁ Βλέπων; Καὶ ἀπε-
κρίθη τὰ κοράσια αὐτοῖς, καὶ λέγου-
σιν αὐτοῖς, ἔστιν· ἰδοὺ κατὰ πρόσω-
πον ὑμῶν. νῦν διὰ τὴν ἡμέραν ἥκει
εἰς τὴν πόλιν, ὅτι θυσία σήμερον τῷ
λαῷ ἐν Βαμᾷ.

** ΙΩΣΗΠΟΥ. Πρὸς ταῖς πύλαις πα- E
ρατυχόντες παρθένοις ἐφ᾽ ὕδωρ βαδιζού-
σαις, ἐρωτῶσιν αὐτὰς τοῦ Προφήτου τὴν
οἰκίαν. αἱ δὲ σημαίνουσι· καὶ σπεύδειν πα-
ρεκελεύσαντο, πρὶν αὐτὸν εἰς τὸ δεῖπνον
κατακλιθῆναι. πολλοὺς γὰρ ἑστιᾶν, καὶ προ-
κατακλίνεσθαι τῶν κεκλημένων.

ιγ. Ὡς ἂν εἰσέλθητε εἰς τὴν πό-
λιν, οὕτως εὑρήσετε αὐτὸν ἐν τῇ πό-
λει, πρὶν ἀναβῆναι αὐτὸν εἰς Βαμᾶ Z
τοῦ φαγεῖν· ὅτι οὐ μὴ φάγῃ ὁ λαὸς
ἕως τοῦ εἰσελθεῖν αὐτὸν, ὅτι οὗτος εὐ-
λογεῖ τὴν θυσίαν, καὶ μετὰ ταῦτα
ἐσθίουσιν οἱ ξένοι. καὶ νῦν ἀνάβητε, ὅτι
διὰ τὴν ἡμέραν εὑρήσετε αὐτόν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὴν μέντοι Βαμὰ,
ὑψηλὴν ὁ Ἀκύλας ἡρμήνευσε· (4) Γαβαὰ
δὲ τὸν βουνόν· ξένους δὲ τοὺς κεκλημένους·
τὴν δὲ κωλέαν, τὴν κνήμην, ὅ ἐστιν ἀγκύλην. H

ιδ. Καὶ ἀναβαίνουσιν εἰς τὴν πόλιν.
καὶ αὐτῶν εἰσπορευομένων εἰς τὸ μέσον
τῆς πόλεως, καὶ ἰδοὺ Σαμουὴλ ἐξῆλθεν
εἰς ἀπάντησιν αὐτῶν, τοῦ ἀναβῆναι εἰς
ιε. Βαμά. Καὶ Κύριος ἀπεκάλυψε τὸ
ὠτίον Σαμουὴλ ἡμέρᾳ μιᾷ ἔμπροσθεν,
τοῦ ἐλθεῖν Σαοὺλ πρὸς αὐτὸν, λέγων,
ις. Ὡς ὁ καιρὸς οὗτος, αὔριον ἀποστελῶ
πρὸς σὲ ἄνδρα ἐκ τῆς φυλῆς Βενιαμὶν,
καὶ χρίσεις αὐτὸν εἰς ἄρχοντα ἐπὶ τὸν
λαόν μου Ἰσραὴλ, καὶ σώσει τὸν λαόν
μου ἐκ χειρὸς ἀλλοφύλων, ὅτι ἐπέ-
βλεψα ἐπὶ τὴν ταπείνωσιν τοῦ λαοῦ
μου, ὅτι ἦλθεν ἡ βοὴ αὐτῶν πρός με.

** ΙΩΣΗΠΟΥ. Ὁ Σαμούηλος διὰ τοῦτο
πολλοὺς ἐπὶ τὴν ἑστίαν τότε συνήγαγε. δεο-
μένῳ γὰρ κατὰ πᾶσαν ἡμέραν αὐτῷ τοῦ
Θεοῦ, προειπεῖν τίνα ποιήσει βασιλέα, τῇ
παρελθούσῃ τοῦτον ἐμήνυσε. πέμψειν γὰρ
αὐτὸς τινὰ νεανίσκον ἐκ τῆς Βενιαμίτιδος
φυλῆς, κατὰ τήνδε τὴν ὥραν· αὐτὸς μὲν
ἐπὶ τοῦ δώματος καθεζόμενος, ἐξεδέχετο
τὸν καιρὸν γενέσθαι. πληρωθέντος δ᾽ αὐ-
τοῦ, καταβὰς ἐπὶ τὸ δεῖπνον ἐπορεύετο.

ιζ. Καὶ Σαμουὴλ εἶδε τὸν Σαοὺλ,
καὶ Κύριος ἀπεκρίθη αὐτῷ, ἰδοὺ ὁ ἄν-
θρωπος ὃν εἶπά σοι, οὗτος ἄρξει ἐν
ιη. τῷ λαῷ μου. Καὶ προσήγαγε Σαοὺλ
πρὸς Σαμουὴλ εἰς μέσον τῆς πόλεως,
καὶ εἶπεν, ἀπάγγειλον δή μοι ποῖος ὁ
οἶκος τοῦ Βλέποντος.

** ΙΩΣΗΠΟΥ. Συναντᾷ τῷ Σαούλῳ,
καὶ ὁ Θεὸς αὐτῷ σημαίνει τοῦτον εἶναι τὸν
ἄρξειν μέλλοντα. Σάουλος δὲ πρόσεισι τῷ
Σαμουήλῳ, καὶ προσαγορεύσας ἐδεῖτο μη-
νύειν τὴν οἰκίαν τοῦ Προφήτου. ξένος γὰρ
ὢν, ἀγνοεῖν ἔφασκε.

ιθ. Καὶ ἀπεκρίθη Σαμουὴλ τῷ
Σαοὺλ, καὶ εἶπεν, ἐγώ εἰμι αὐτός. ἀνά-
βηθι ἔμπροσθέν μου εἰς Βαμᾶ, καὶ
φάγε μετ᾽ ἐμοῦ σήμερον, καὶ ἐξαπο-
στελῶ σε πρωῒ, καὶ πάντα τὰ ἐν τῇ
κ. καρδίᾳ σου ἀπαγγελῶ σοι. Καὶ περὶ
τῶν ὄνων τῶν ἀπολωλυιῶν σοι σήμε-
ρον τριταίων, μὴ θῇς τὴν καρδίαν
σου ἐπ᾽ αὐταῖς, ὅτι εὕρηνται. καὶ τίνι
τὰ ὡραῖα τοῦ Ἰσραήλ; οὐ σοὶ, καὶ τῷ
οἴκῳ τοῦ πατρός σου;

κα. Καὶ ἀπεκρίθη Σαοὺλ, καὶ εἶπεν,
οὐχὶ ἀνδρὸς υἱὸς Ἰεμιναίου ἐγώ εἰμι τοῦ
μικροτέρου σκήπτρου φυλῆς Ἰσραήλ;
καὶ τῆς φυλῆς τῆς ἐλαχίστης ἐξ ὅλου
σκήπτρου Βενιαμίν; καὶ ἵνα τί ἐλάλη-
σας πρὸς ἐμὲ κατὰ τὸ ῥῆμα τοῦτο;

ΑΔΗΛΟΥ.

(1) Ἐκ τοῦ, ὀρθότερ. (2) Ὁ ἄνθρωπος ὁ τοῦ Θεοῦ. αἱ αὐτ. (3) Εἰ ἔστιν. αἱ αὐτ.
(4) Βαμὰ ἔνθα συνέφαγε Σαοὺλ τῷ Σαμουὴλ, μέλλων χρίεσθαι εἰς βασιλέα· ὁ δὲ Ἀκύλας, τὸ ἐν Βαμὰ ὑψώματι ἡρμήνευσεν. Εὐσέβ. ὁ Καισαρ. ἐν τῷ περὶ τοπικ. ὀνομ.

ΑΔΗΛΟΥ. Τό, ἐκ τοῦ μικροτέρου σκήπτρου φυλῆς Ἰσραήλ, Ἄλλος φησὶν, ἐκ τῆς ἐλαχίστης φυλῆς τοῦ Ἰσραήλ, καὶ ἡ πατριά μου ὀλιγοστὴ παρὰ πάσας τὰς πατριὰς τοῦ Βενιαμίν.

** ΙΩΣΗΠΟΥ. Τοῦ Σαμουήλου φράσαντος αὐτὸν εἶναι, καὶ ἄγοντος ἐπὶ τὸ δεῖπνον, ὡς τῶν ὄνων ἐφ' ὧν τὴν ζήτησιν ἐκπεμφθείη σεσωσμένων, τά τε πάντων ἀγαθὰ ἔχειν αὐτῷ κεκυρωμένα, προσυχών· ἀλλ' ἥττων, εἶπεν, ἐγὼ, δέσποτα, ταύτης τῆς ἐλπίδος, καὶ φυλῆς μικροτέρας ἢ βασιλέας ποιεῖν, καὶ πατριᾶς ταπεινοτέρας τῶν ἄλλων πατριῶν. σὺ δὲ παίζεις, καὶ γέλωτά με τίθεσαι, περὶ μειζόνων ἢ κατὰ τὴν ἐμὴν χρείαν διαλεγόμενος.

κβ. Καὶ ἔλαβε Σαμουὴλ τὸν Σαοὺλ
καὶ τὸ παιδάριον αὐτοῦ, καὶ εἰσήγαγεν
αὐτοὺς εἰς τὸ κατάλυμα, καὶ ἔθετο
αὐτοῖς τόπον ἐν πρώτοις τῶν κεκλη-
κγ. μένων ὡσεὶ ἑβδομήκοντα ἀνδρῶν. Καὶ
εἶπε Σαμουὴλ τῷ μαγείρῳ, δός μοι
τὴν μερίδα ἣν ἔδωκά σοι, ἣν εἶπά-
σοι θεῖναι αὐτὴν παρὰ σοί.

** ΙΩΣΗΠΟΥ. Ὁ Προφήτης ἀγαγὼν αὐτὸν ἐπὶ τὴν ἑστίασιν κατακλίνει, καὶ τὸν ἀκόλουθον ἐπάνω τῶν κεκλημένων· οὗτοι δ' ἦσαν ἑβδομήκοντα τὸν ἀριθμόν· προστάσσει δὲ τοῖς διακόνοις παραθεῖναι τῷ Σαούλῳ μερίδα βασιλικήν.

κδ. Καὶ ἦρεν ὁ μάγειρος τὴν κωλέαν, καὶ παρέθηκεν αὐτὴν ἐνώπιον Σαμουήλ. (1) καὶ εἶπε Σαμουὴλ τῷ Σαοὺλ, ἰδοὺ ὑπόλειμμα, παράθες αὐτὸ ἐνώπιόν σου καὶ φάγε, ὅτι εἰς μαρτύριον τέθειταί σοι παρὰ τοῦ λαοῦ, ἀπόκνιζε. καὶ ἔφαγε Σαοὺλ μετὰ Σαμουὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

* ΠΡΟΚΟΠΙΟΥ. Εἰς μαρτύριον τὴν κωλεὰν ταύτην αὐτῷ παρατέθεικεν, ὡς μέλλοντι βασιλεύειν, καὶ τοῦ λαοῦ προκινδυνεύειν. διὸ καὶ μαρτύριον ταύτην καλεῖ. ὁ δὲ Σύμμαχος ἀντὶ τοῦ μαρτυρίου, τὸ ὑπολειφθὲν, ἐξέδωκε· καὶ ἀντὶ τοῦ, ὅτι εἰς μαρτύριον τέθειταί σοι, ὅτι ἐπίτηδες τετήρηταί σοι. τὸ δὲ, παρὰ τοῦ λαοῦ, Θεοδοτίων ἐξέδωκεν, ὅτι ἐλέχθη τὸν λαὸν ἐκάλεσα· Ἀκύλας δὲ, τὸ λέγειν τὸν λαὸν κέκληκα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ταύτην δὲ αὐτῷ παρέθηκεν, (2) ὡς μέλλοντι βασιλεύειν, καὶ τοῦ λαοῦ προκινδυνεύειν. τοῦτο γὰρ (3) μαρτύριον ἐπήγαγε τέθεικά σοι παρὰ τοῦ Θεοῦ.

** ΦΩΤΙΟΥ. Τὴν κωλέαν ἡ τοῦ Ἀκύλου ἔκδοσις, κνήμην ἀναγράφει· εἴη δ' ἂν ἀκριβέστερον εἰπεῖν, σκέλος· ὅπερ καὶ δυσὶν ἑτέροις ὀνόμασι δηλοῦται· λέγω δὴ ὁ (4) A μετάμηρον κωλῆν, καὶ τὸ μετὰ τὸν μηρὸν ἀκροκώλεον. τὸ γὰρ τῆς κνήμης ὄνομα διαφόροις πράγμασιν ἐπιπλανᾶται. εἰώθασι γὰρ καλεῖν κνήμην καὶ τὸ ἔμπροσθεν μὲν τοῦ σκέλους εἰς μίαν ἐπηρμένον, ὥσπερ τὸ ὄπισθεν ἀντικνήμιον· καὶ αὐτὸ δὲ τοῦτο τὸ συγκείμενον ἔκ τε τοῦ προκνημίου καὶ τῆς παρακνημίδος, ἅμα τῆς ἐπαλειφούσης αὐτὰ σαρκὸς καὶ τῆς δερματίδος· ἣν παλαιὰ τῆς Ἑλλάδος γλῶττα κνήμην ὀνομάζει. B παρέθηκε δ' οὖν ὁ Σαμουὴλ τὴν κωλέαν ἐνώπιον τοῦ Σαοὺλ, τιμὴν αὐτῷ τῶν ἄλλων προαπονέμων. σύμβολον δὲ τὴν τιμὴν ἐξοσιούμενος τῆς βασιλείας· καὶ τοῦ δεῖν αὐτὸν ὑπὲρ τοῦ λαοῦ πάντας ὑφίστασθαι πόνους, καὶ προκινδυνεύειν. διὸ καὶ ἐπήγαγε, φάγε, ὅτι εἰς μαρτύριον τέθειταί σοι. τὸ δ' ἐφεξῆς, ἔνια μὲν τῶν παλαιῶν γραμμάτων, παρὰ τοῦ λαοῦ· ἔνια δὲ, παρὰ τοὺς ἄλλους, ὑπαγορεύει. ἀλλ' εἰ μὲν εἴη, παρὰ τοῦ λαοῦ, Γ ἀντὶ τοῦ ἐνώπιον τοῦ λαοῦ, τὸ, διὰ μαρτύριόν σοι προσενήνοχα, σημαίνει· εἰ δὲ, παρὰ τοὺς ἄλλους, ἀντὶ τοῦ, ἐξαίρετόν σοι παρὰ τοὺς ἄλλους προκρίτῳ μερίδι τὴν τιμὴν ἀνῆψα. εἴη δ' ἂν τὰ μέλη ταῦτα τοῦ σώματος καὶ εἰκόνα φέροντα τῆς βασιλείας. ὥσπερ γὰρ ταῦτα τῷ σώματι τοῦ ζώου βραχύτερα πολλῶν μελῶν ὄντα, ὅμως ὑπεστήρικται, καὶ ἀναβαστάζει τὸν ὅλον τοῦ συγκρίματος ὄγκον· οὕτω καὶ ἡ βασιλικὴ στεῤῥότης, Δ καίτοι ἐφ' ἑνὶ ἀνδρὶ συστελλομένη, καὶ σαλεύουσα σύμπαν τὸ σῶμα τῆς πολιτείας, ἀνέχει τε καὶ ὑπερείδει, καὶ οὐκ ἐᾷ εἰς αὐτὴν καταπεσεῖν τε καὶ περιθραυσθῆναι.

κε. Καὶ κατέβη ἐκ τῆς Βαμᾶ εἰς τὴν πόλιν. καὶ διέστρωσε (5) τῷ Σαοὺλ ἐπὶ τῷ δώματι, καὶ ἐκοιμήθη.

** ΙΩΣΗΠΟΥ. Ἐπεὶ δ' ἡ κοίτης ὥρα προσῆγεν, οἱ μὲν ἀναστάντες ἀνέλυον πρὸς E αὐτοὺς ἕκαστοι, ὁ δὲ Σαοῦλος παρὰ τῷ Προφήτῃ σὺν τῷ θεράποντι κατεκοιμήθη.

κς. Καὶ ἐγενήθη (6) ὡς ἀνέβαινεν
ὁ ὄρθρος, καὶ ἐκάλεσε Σαμουὴλ τὸν
Σαοὺλ ἐπὶ τῷ δώματι, λέγων, ἀνά-
στα, καὶ ἐξαποστελῶ σε. καὶ ἀνέστη Σαοὺλ,
καὶ ἐξῆλθεν αὐτὸς καὶ Σαμουὴλ ἕως
κζ. ἔξω. Αὐτῶν καταβαινόντων εἰς μέ-
ρος τῆς πόλεως, καὶ Σαμουὴλ εἶπε τῷ
Z Σαοὺλ, εἶπον τῷ νεανίσκῳ, καὶ διελ-
θέτω ἔμπροσθεν ἡμῶν· καὶ σὺ στῆθι ὡς
σήμερον, καὶ ἄκουσόν σοι ῥῆμα Θεοῦ.

** ΙΩΣΗΠΟΥ. Ἅμα δὲ ἡμέρᾳ Σαμούηλος ἀναστήσας αὐτὸν ἐκ τῆς κοίτης, προὔπεμψε. καὶ γενόμενος ἔξω τῆς πόλεως, ἐκέλευε τὸν μὲν θεράποντα ποιῆσαι προελθεῖν, ὑπολείπεσθαι δὲ αὐτόν. ἔχειν γὰρ αὐτῷ τι φράσαι, μηδενὸς ἄλλου παρόντος.

(1) Σαοὺλ. αἱ εἰρημ. ἐκδόσ.

(2) Παρατέθεικεν. ἡ ἐν Χάλ. ἔκδ.

(3) Γὰρ ἐπήγαγεν, ἰδοὺ μαρτύριον, παράθες αὐτὸ ἐνώπιόν σου, καὶ φάγε, ὅτι εἰς μαρτύριον τέθειταί σοι παρὰ τοῦ λαοῦ. ἡ αὐτ.

(4) Τὸ, ὁ, περιττόν.

(5) Διέστρωσαν. αἱ εἰρημ. ἐκδόσ.

(6) Ἐγένετο. αἱ αὐτ.

Κ Ε Φ. Ι.

α. Καὶ ἔλαβε Σαμουὴλ τὸν φα-
κὸν τοῦ ἐλαίου, καὶ ἐπέχεεν
ἐπὶ τὴν κεφαλὴν αὐτοῦ,
καὶ ἐφίλησεν αὐτὸν, καὶ εἶπεν αὐτῷ,
οὐχὶ κέχρικέ σε Κύριος εἰς ἄρχοντα
ἐπὶ τὸν λαὸν αὐτοῦ ἐπὶ Ἰσραήλ; καὶ
σὺ ἄρξεις ἐν λαῷ Κυρίου, καὶ σώσεις
αὐτὸν ἐκ χειρὸς ἐχθρῶν αὐτοῦ κυκλό-
θεν. καὶ τοῦτό σοι τὸ σημεῖον, ὅτι κέ-
χρικέ σε Κύριος ἐπὶ κληρονομίαν αὐ-
τοῦ εἰς ἄρχοντα.

** ΙΩΣΗΠΟΥ. Ὁ μὲν Σαοῦλος ἀπο-
πέμπεται τὸν ἀκόλουθον, λαβὼν δ' ὁ Προ-
φήτης τὸ ἀγγεῖον, ἔλαιον καταχεῖ τῆς τοῦ
νεανίσκου κεφαλῆς. καὶ κατασπασάμενος,
» ἴσθι, φησὶ, βασιλεὺς ὑπὸ τοῦ Θεοῦ κεχειρο-
» τονημένος ἐπὶ Παλαιστίνους τε καὶ τὴν ὑπὲρ
» Ἑβραίων ἄμυναν. τούτων δὲ ἔσται σοι ση-
» μεῖον, ὅ σε βούλομαι προγινώσκειν, ὅταν
» ἀπέλθῃς ἐντεῦθεν, καταλήψῃ τρεῖς ἀν-
» θρώπους ἐν τῇ ὁδῷ προσκυνῆσαι τὸν Θεὸν
» πορευομένους εἰς Βαίθηλα· ὧν τὸν μὲν πρῶ-
» τον τρεῖς ἄρτους ὄψῃ κομίζοντα, τὸν δὲ δεύ-
» τερον ἔριφον, ὁ τρίτος δὲ ἀσκὸν οἴνου φέ-
» ρων ἀκολουθήσει. ἀσπάσονται δέ σε οὗτοι καὶ
» φιλοφρονήσονται, καὶ δώσουσί σοι ἄρτους
» δύω, σὺ δὲ λήψῃ. κἀκεῖθεν ἥξεις εἰς τὸ
» Ῥαχήλας καλούμενον μνημεῖον, ὅπου συμ-
» βαλεῖς τῷ σεσῶσθαί σου τὰς ὄνους εὐαγγε-
» λιουμένῳ. ἔπειτ' ἐκεῖθεν ἐλθὼν εἰς Γαβα-
» θὰ, Προφήταις ἐκκλησιάζουσιν ἐπιτεύξῃ.
» καὶ γενόμενος ἔνθεος, προφητεύσεις σὺν αὐ-
» τοῖς, ὡς πανθ' ὁντιναοῦν ὁρῶντα ἐκπλήτ-
» τεσθαί τε καὶ θαυμάζειν, λέγοντα, πόθεν εἰς
» τοῦτο εὐδαιμονίας ὁ Κίσου παῖς παρῆλθεν;
» ὅταν δέ σοι ταῦτα γένηται τὰ σημεῖα, τὸν
» Θεὸν ἴσθι μετὰ σοῦ τυγχάνοντα. ἀσπάσαι-
» τε τὸν πατέρα σου καὶ τοὺς συγγενεῖς. ἥξεις
» δὲ μετάπεμπτος εἰς Γάλγαλα ὑπ' ἐμοῦ, ἵνα
» χαριστήρια τούτων θήσωμεν τῷ Θεῷ. φρά-
σας δὲ ταῦτα καὶ προειπὼν, ἀποπέμπει τὸν
νεανίσκον. τῷ Σαούλῳ δὲ πάντα κατὰ τὴν
προφητείαν Σαμουήλου ἀπήντησε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατί τὸν Σαοὺλ
πρῶτον αὐτοῖς δέδωκε βασιλέα; Ἐπειδὴ
τῆς ἐν πολέμοις ἀνδραγαθίας ἕνεκα χει-
ροτονηθῆναι αὐτοῖς ᾐτήσαντο βασιλέα, καὶ
οὐκ εὐσεβείας χάριν, ὥστε καὶ παρ' αὐτοῦ τὰ
θεῖα παιδεύεσθαι· τὸν πάντων μέγιστον ἐξε-
λέξατο. (1) οὐ γὰρ ψυχῆς ἀρετὴν, ἀλλὰ
σώματος ἐθαύμαζον μέγεθος.

* ΤΟΥ ΑΥΤΟΥ. Τίνος χάριν χρίσας
αὐτὸν κατεφίλησε; Τῆς ἐνούσης αὐτῷ χά-
ριτος μεταδέδωκε. καὶ γὰρ ὁ Κύριος ἐμ-
Ἰωάν. 20. 22. φυσήσας τοῖς Ἀποστόλοις, εἶπε· λάβετε
Ἰωάν. 1. 16. πνεῦμα ἅγιον. καὶ γὰρ ἐκ τοῦ πληρώμα-
» τος αὐτοῦ ἡμεῖς πάντες ἐλάβομεν. οὕτω δὲ
καὶ ὁ Προφήτης τὸν χειροτονηθέντα κα-
τεφίλησε βασιλέα, ἵνα τῆς ἐνούσης αὐτῷ
χάριτος μεταδῷ.

β. Ὡς ἂν ἀπέλθῃς σήμερον ἀπ'
ἐμοῦ, καὶ εὑρήσεις δύω ἄνδρας πρὸς
τοῖς τάφοις Ῥαχὴλ ἐν τῷ ὄρει τῷ
Βενιαμὶν ἐν Σηλὼ ἐν Βακαγὰθ ἁλλο-
Β μένους μεγάλα· καὶ ἐροῦσί σοι, εὕρηn-
ται αἱ ὄνοι ἃς ἐπορεύθητε ζητεῖν· καὶ
ἰδοὺ ὁ πατήρ σου ἀποτετίνακται τὸ ῥῆ-
μα τῶν ὄνων, καὶ ἐδαψιλεύσατο δι'
ὑμᾶς, λέγων, τί ποιήσω ὑπὲρ τοῦ υἱοῦ
γ. μου; Καὶ ἀπελεύσῃ ἐκεῖθεν, καὶ ἐπέ-
κεινα ἥξεις ἕως τῆς δρυὸς Θαβὼρ, καὶ
εὑρήσεις ἐκεῖ τρεῖς ἄνδρας ἀναβαίνον-
τας πρὸς τὸν Θεὸν εἰς Βαιθὴλ, ἕνα
Γ αἴροντα τρία αἰγίδια, καὶ ἕνα αἴροντα
τρία ἀγγεῖα ἄρτων, καὶ ἕνα αἴροντα
δ. ἀσκὸν οἴνου. Καὶ ἐρωτήσουσί σε τὰ εἰς
εἰρήνην, καὶ δώσουσί σοι δύω ἀπαρ-
χὰς ἄρτων, καὶ λήψῃ ἐκ τῆς χειρὸς
ε. αὐτῶν. Καὶ μετὰ ταῦτα εἰσελεύσῃ
εἰς τὸν βουνὸν τοῦ Θεοῦ, οὗ ἐστιν ἐκεῖ τὸ
ἀνάστημα τῶν ἀλλοφύλων· ἐκεῖ Να-
Δ σεὶμ (2) ὁ ἀλλόφυλος. καὶ ἔσται ὡς ἂν
εἰσέλθῃς ἐκεῖ εἰς τὴν πόλιν, καὶ ἀπαν-
τήσεις χορῷ Προφητῶν καταβαινόν-
των ἐκ τῆς Βαμὰ, καὶ ἔμπροσθεν αὐ-
τῶν νάβλαι, καὶ τύμπανα, καὶ αὐ-
λὸς, καὶ κινύρα, καὶ αὐτοὶ προφητεύον-
ϛ. τες. Καὶ ἐφαλεῖται πνεῦμα Κυρίου
ἐπὶ σὲ, καὶ προφητεύσεις μετ' αὐτῶν,
καὶ στραφήσῃ εἰς ἄνδρα ἄλλον.

Ε ζ. Καὶ ἔσται ὅταν ἥξῃ τὰ σημεῖα
ταῦτα ἐπὶ σὲ, ποίει πάντα ὅσα ἂν
εὕρῃ ἡ χείρ σου, ὅτι Θεὸς μετὰ σοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε πολλὰ
δέδωκεν αὐτῷ σημεῖα; Εἶδεν αὐτὸν ἀμφι-
βάλλοντα, καὶ τὴν οἰκείαν ὁμολογοῦντα πε-
» νίαν. οὐχ υἱὸς γάρ φησιν ἀνδρὸς Ἰεμιναίου 1. Βασ. 9. 21.
» ἐγώ εἰμι, τοῦ μικροτέρου σκήπτρου ἐκ τῶν
» υἱῶν Ἰσραὴλ, καὶ ἡ πατριά μου ὀλιγοστὴ πα-
Ζ » ρὰ πάσας τὰς πατριὰς τοῦ Βενιαμίν; τούτου
χάριν βεβαιοῖ τὴν τῆς βασιλείας ἐπαγγε-
λίαν ταῖς περὶ τῶν ἁπάντων τούτων προρ-
ῥήσεσι. καὶ πρῶτον τοὺς περὶ τὰ τῶν ὄνων
κομίζοντας αὐτῷ εὐαγγέλια· εἶτα τοὺς εἰς
τὴν τοῦ Θεοῦ προσκύνησιν εἰς Βαιθὴλ ἀπιόν-
τας, καὶ ἐκ τῶν τῷ Θεῷ κομιζομένων
» ἀπαρχὰς αὐτῷ προσφέροντας. ἐρωτήσουσι
» γάρ φησι τὰ εἰς εἰρήνην, καὶ δώσουσί [σοι]
» ἀπαρχὰς ἄρτων, καὶ λήψῃ ἐκ τῆς χειρὸς
Η αὐτῶν. ἔπειτα τῶν Προφητῶν τὸν χορὸν,
καὶ τὸν σὺν αὐτοῖς χορευόντων τὸν θίασον,
αὐλοῖς καὶ κινύρᾳ κεχρημένων, καὶ
ναύλαις

(1) Ἐξελέξατο, ἐπειδήπερ οὐ ψυχ. ἡ ἐν Χάλ. ἔκδ.

(2) Νασίβ. αἱ εἰρημ. ἐκδόσ.

ναύλαις καὶ τυμπάνοις, καὶ τὴν ἐκεῖθεν
ἐκπηδῶσαν τοῦ πνεύματος χάριν, καὶ αὐ-
τὸν προφητεῦσαι παρασκευάζουσαν.

η. Καὶ καταβήσῃ ἔμπροσθεν τῆς
Γαλγὰλ, καὶ ἰδοὺ ἐγὼ καταβαίνω
πρὸς σὲ ἀνενεγκεῖν ὁλοκαύτωσιν καὶ
θύσαι θυσίας εἰρηνικάς· ἑπτὰ ἡμέ-
ρας διαλείψεις ἕως τοῦ ἐλθεῖν με πρὸς
σὲ, καὶ γνωρίσω σοι ἃ ποιήσεις.

θ. Καὶ ἐγενήθη ὥςε ἐπιςραφῆναι
τῷ ὤμῳ αὐτοῦ ἀπελθεῖν ἀπὸ Σα-
μουὴλ, μετέςρεψεν αὐτῷ ὁ Θεὸς καρ-
δίαν ἄλλην, καὶ ἦλθε πάντα τὰ ση-
μεῖα ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

» ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐςι, μετέςρεψεν
» αὐτῷ ὁ Θεὸς καρδίαν ἑτέραν; Ἐπεὶ ἄγ-
ροικος ὢν, γεωργεῖν ἐπιςάμενος μόνον, χει-
ροτονήσας αὐτὸν βασιλέα, βασιλικὸν αὐτῷ
φρόνημα δέδωκε.

ι. Καὶ ἔρχεται ἐκεῖθεν εἰς τὸν βου-
νὸν, καὶ ἰδοὺ χορὸς Προφητῶν ἐξ ἐναν-
τίας αὐτοῦ. καὶ ἥλατο ἐπ' αὐτὸν πνεῦ-
μα Θεοῦ, καὶ προεφήτευσεν ἐν μέσῳ
ια. αὐτῶν. Καὶ ἐγενήθησαν πάντες οἱ
ἰδόντες αὐτὸν ἐχθὲς καὶ τρίτην, καὶ
εἶδον, καὶ ἰδοὺ αὐτὸς ἐν μέσῳ τῶν Προ-
φητῶν. καὶ εἶπεν ὁ λαὸς ἕκαςος πρὸς
τὸν πλησίον αὐτοῦ, τί τοῦτο τὸ γεγο-
νὸς τῷ υἱῷ Κείς; ἢ καὶ Σαοὺλ ἐν Προ-
φήταις;

ιβ. Καὶ ἀπεκρίθη τὶς αὐτῶν, καὶ
εἶπε, καὶ τὶς πατὴρ αὐτοῦ, οὐ Κείς; διὰ
τοῦτο ἐγενήθη εἰς παραβολὴν, εἰ (1)
καὶ Σαοὺλ ἐν Προφήταις.

» ✱ ΠΡΟΚΟΠΙΟΥ. Εἰ καὶ Σαοὺλ ἐν Προ-
» φήταις. Σύμμαχος, μὴ ἔτι καὶ Σαοὺλ ἐν
» Προφήταις;

✱✱ ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Τὶ ὑπολαμ-
βάνομεν περὶ τοῦ Σαοὺλ; Ἐχρίσθη μὲν γὰρ
καὶ μετέσχε τοῦ πνεύματος, καὶ ἦν τότε
πνευματικός· οὐδ' ἂν ἐγὼ περὶ αὐτοῦ φαίην
ἑτέρως· ἀλλὰ καὶ προεφήτευσε, καὶ οὕτω
παρ' ἐλπίδα καὶ τὸ εἰκὸς, ὥςε καὶ παροι-
» μίαν γενέσθαι τὸ θαῦμα ἐκεῖνο, εἰ καὶ Σαοὺλ
ἐν Προφήταις, εἰς ἔτι καὶ νῦν λεγόμενόν
τε καὶ ἀκουόμενον. ἐπεὶ δὲ οὐχ ὅλως ἑαυτὸν
ἐμπαρέσχε τῷ πνεύματι, οὐδὲ ἐςράφη κα-
θαρῶς εἰς ἄνδρα ἄλλον, ὡς κεχρημάτιςο·
ἀλλ' ἐνέμεινέ τι τοῦ παλαιοῦ τῆς κακίας σπιν-
θῆρος, καὶ τοῦ πονηροῦ σπέρματος, καὶ ἦν
ἐν αὐτῷ μάχη πνεύματος καὶ σαρκός· τὶ
χρὴ πάντα ἐκτραγῳδεῖν τὰ ἐκείνου; ἴςε τὸ
ἐναντίον πνεῦμα, καὶ τὸν ψάλτην, ᾧ κα-
τεπήδετο.

A ιγ. Καὶ συνετέλεσε προφητεύων,
καὶ ἔρχεται πρὸς τὸν βουνόν.

» ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐςι, συνετέλεσε
προφητεύειν; (2) Οὐκ εἶχε διηνεκὲς τῆς
προφητείας τὸ χάρισμα. εἰς [ἔμφασιν] δὲ
[καὶ] δήλωσιν τῆς πνευματικῆς δωρεᾶς κατ'
ἐκεῖνον προεφήτευσε τὸν καιρόν. οὕτω καὶ
οἱ ἑβδομήκοντα πρεσβύτεροι (3) εὐθὺς μὲν
ἐκλεγέντες ὑπὸ Μωϋσέως, προφητεύειν
B ἠξίωνται· οὐ μὴν ἔτι καὶ μετὰ ταῦτα. σο-
φιζόμενοι δὲ παρὰ Θεοῦ, τοῦ λαοῦ τὰς ἀμ-
» φισβητήσεις διέλυον. (4) τὸ δὲ οἰκεῖος αὐ-
» τοῦ, Ἀκύλας φησὶν, ὁ πατράδελφος.

ιδ. Καὶ εἶπεν ὁ οἰκεῖος (5) αὐτοῦ
πρὸς αὐτὸν καὶ πρὸς τὸ παιδάριον αὐ-
τοῦ, ποῦ ἐπορεύθητε; καὶ εἶπαν, ζητεῖν
τὰς ὄνους, καὶ εἴδομεν ὅτι οὐκ εἰσὶ, καὶ
ιε. εἰσήλθομεν πρὸς τὸν Σαμουήλ. Καὶ
Γ εἶπεν ὁ οἰκεῖος αὐτοῦ πρὸς αὐτὸν, (6)
ἀπάγγειλον δή μοι τὶ εἶπέ σοι Σα-
ις. μουήλ; Καὶ εἶπε Σαοὺλ πρὸς τὸν οἰ-
κεῖον αὐτοῦ, ἀπήγγειλεν ἀπαγγέλλων
μοι, ὅτι εὕρηνται αἱ ὄνοι. τὸ δὲ ῥῆμα
τῆς βασιλείας οὐκ ἀπήγγειλεν αὐτῷ.

✱✱ ΙΩΣΗΠΟΥ. Ὡς ἦλθεν εἰς τὴν
οἰκίαν τοῦ συγγενοῦς αὐτοῦ Ἀβινάρου· καὶ γὰρ
ἐκεῖνον τῶν ἄλλων οἰκείων μᾶλλον ἔςεργεν·
Δ ἀνερωτῶντος περὶ τῆς ἀποδημίας καὶ τῶν
κατ' αὐτὴν γεγονότων, τῶν μὲν ἄλλων οὐδὲν
ἀπεκρύψατο, οὐδ' ὡς ἀφίκετο παρὰ Σα-
μουῆλον τὸν προφήτην, οὐδ' ὡς ἐκεῖνος αὐτῷ
σεσῶσθαι τὰς ὄνους ἔφρασε· περὶ δὲ τῆς
βασιλείας καὶ τῶν κατ' αὐτὴν, ἃ καὶ φθό-
νον ἀκουόμενα καὶ ἀπιςίαν ἔχειν ᾤετο, σιω-
πᾷ πρὸς αὐτόν· καὶ οὐδὲ πρὸς εὔνουν σφό-
δρα δοκοῦντα εἶναι, καὶ περιττότερον τῶν
ἀφ' αἵματος ὑπ' αὐτοῦ ςεργόμενον, ἀσφα-
E λὲς ἢ σῶφρον ἔδοξε μηνύειν. λογισάμενος,
οἶμαι, τὴν ἀνθρωπίνην φύσιν, οἵα ταῖς
ἀληθείαις ἐςίν· ὅτι βεβαίως οὐδεὶς εὔνους,
οὔτε φίλων, οὔτε συγγενῶν, οὐδ' ἄχρι τῶν
παρὰ τοῦ Θεοῦ λαμπρῶν διασώζει τὴν διά-
θεσιν, ἀλλὰ πρὸς τὰς ὑπεροχὰς κακοή-
θεις τυγχάνουσιν ἤδη καὶ βάσκανοι.

ιζ. Καὶ παρήγγειλε Σαμουὴλ παν-
Z τὶ τῷ λαῷ πρὸς Κύριον εἰς Μασση-
ιη. φάθ. Καὶ εἶπε πρὸς τοὺς υἱοὺς Ἰσ-
ραὴλ, τάδε εἶπε Κύριος ὁ Θεὸς Ἰσ-
ραὴλ, λέγων, ἐγὼ ἀνήγαγον τοὺς υἱοὺς
Ἰσραὴλ ἐξ Αἰγύπτου, καὶ ἐξειλόμην
ὑμᾶς ἐκ χειρὸς Φαραὼ βασιλέως Αἰ-
γύπτου, καὶ ἐκ πασῶν τῶν βασιλειῶν
ιθ. τῶν θλιβουσῶν ὑμᾶς. Καὶ ὑμεῖς σή-
μερον ἐξουθενήκατε τὸν Θεὸν, ὃς αὐ-

 τός-

(1) Ἢ καὶ Σαοὺλ ἐν Προφήταις; αἱ αὐτ.

(2) Προφητεύων; ἡ ἐν Χάλ. ἔκδ.

(3) Οὓς ὁ μέγας ἐξελέξατο Μωσῆς, εὐθὺς μὲν ἐκλεγέντες, προφητικῆς ἠξιώθησαν ἐνεργείας. μετὰ δὲ ταῦτα προεφήτευον μὲν ἥκιςα· ὑπὸ δὲ τῆς θείας σοφιζόμενοι δωρεᾶς τοῦ λαοῦ, κτ. ἡ αὐτ.

(4) Τὰ ἑπόμ. οὐ κεῖται ἐν τῇ εἰρημ. ἐκδόσ.

(5) Ὁ πατράδελφος. ἡ ἐν Κομπλ. ἔκδ.

(6) Πρὸς Σαούλ. αἱ εἰρημ. ἐκδόσ.

A τός ἐστιν ὑμῶν σωτὴρ ἐκ πάντων τῶν
κακῶν ὑμῶν καὶ θλίψεων ὑμῶν· καὶ
εἴπατε, οὐχὶ, ἀλλ᾽ ἢ ὅτι βασιλέα κα-
ταστήσεις ἐφ᾽ ἡμῶν. καὶ νῦν κατάστη-
τε ἐνώπιον Κυρίου κατὰ τὰ σκῆπτρα
ὑμῶν. (1)

** ΙΩΣΗΠΟΥ. Σαμούηλος συγκαλεῖ
τὸν λαὸν εἰς Μασφαθὴν πόλιν· καὶ πρὸς
αὐτὸν διατίθεται λόγους, οὓς κατ᾽ ἐντολὴν
B » φράζειν ἔλεγε τοῦ Θεοῦ· ὅτι τὴν ἐλευθε-
» ρίαν αὐτοῖς ἐκείνου παρασχόντος, καὶ τοὺς
» πολεμίους δουλώσαντος, ἀμνημονήσειαν τῶν
» εὐεργεσιῶν, καὶ τὸν μὲν Θεὸν ἀποχειρο-
» τονοῦσι τῆς βασιλείας, οὐκ εἰδότες ὡς συμ-
» φορώτατον ὑπὸ τοῦ πάντων ἀρίστου προστα-
» τεῖσθαι· Θεὸς δὲ πάντων ἄριστος· αἱροῦνται
» δὲ ἔχειν ἄνθρωπον βασιλέα· ὃς ὡς κτή-
» μασι τοῖς ὑποτεταγμένοις κατὰ βούλησιν
» καὶ ἐπιθυμίαν καὶ τῶν ἄλλων παθῶν ὁρμὴν
Γ » χρήσεται, τῆς ἐξουσίας ἀφειδῶς ἐμφορού-
» μενος· ἀλλ᾽ οὐχ ὡς ἴδιον ἔργον καὶ κατα-
» σκεύασμα τὸ τῶν ἀνθρώπων γένος οὕτω
» διατηρῆσαι σπουδάσει. ὁ Θεὸς δὲ κατ᾽ αὐτὴν
» τὴν αἰτίαν κήδοιτο. ἀλλ᾽ ἐπεὶ δέδοκται ταῦ-
» τα ὑμῖν, καὶ κεκράτηκεν ἡ πρὸς τὸν Θεὸν
» ὕβρις, τάχθητε πάντες κατὰ φυλάς τε
» καὶ σκῆπτρα, καὶ κλήρους βάλετε.

κ. Καὶ προσήγαγε Σαμουὴλ πά-
Δ σας τὰς φυλὰς τοῦ Ἰσραὴλ, καὶ κα-
κα. τακληροῦται σκῆπτρον Βενιαμίν. Καὶ
προσάγει σκῆπτρον Βενιαμὶν εἰς φυ-
λὰς, καὶ κατακληροῦται φυλὴ Ματ-
ταρί. καὶ προσάγουσι τὴν φυλὴν
Ματταρὶ εἰς ἄνδρας, καὶ κατακλη-
ροῦται Σαοὺλ υἱὸς Κείς. καὶ ἐζήτει αὐ-
τὸν, καὶ οὐχ εὑρίσκετο.

** ΙΩΣΗΠΟΥ. Ποιησάντων τοῦτο τῶν
E Ἑβραίων, ὁ τῆς Βενιαμίτιδος κλῆρος ἐξέ-
πεσε. ταύτης δὲ κληρωθείσης, ἔλαχεν ἡ
Ματρὶς καλουμένη πατριά. ἧς κατ᾽ ἄνδρα
κληρωθείσης, λαγχάνει ὁ Κίσου βασιλεύειν
παῖς Σάουλος. γνοὺς δὲ τοῦτο ὁ νεανίσκος,
φθάσας ἐκ ποδῶν αὐτὸν ποιεῖ· μὴ βουλό-
μενος, οἶμαι, δοκεῖν τὴν ἀρχὴν ἑκὼν λαμ-
βάνειν. ἀλλὰ τοσαύτην ἐνεδείξατο ἐγκρά-
τειαν, καὶ σωφροσύνην· ὥστε τῶν πλείστων
οὐδ᾽ ἐπὶ μικραῖς εὐπραγίαις τὴν χαρὰν κα-
Z ταχεῖν δυναμένων, ἀλλ᾽ εἰς τὸ πᾶσι γενέ-
σθαι φανεροὺς προπιπτόντων· ὁ δ᾽ οὐ μόνον
οὐδὲν ἐνέφηνε τοιοῦτον ἐπὶ βασιλείᾳ, καὶ τῷ
τοσούτων καὶ τηλικούτων ἐθνῶν ἀποδειχ-
θῆναι δεσπότης, ἀλλὰ καὶ τῆς ὄψεως αὐ-
τὸν τῆς τῶν βασιλευθησομένων ἐξέκλεψε,
καὶ ζητεῖν αὐτὸν καὶ περὶ τοῦτο πονεῖν πα-
ρεσκεύασε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε χρίσας
ὁ Σαμουὴλ τὸν Σαοὺλ, καὶ παρὰ τοῦ Θεοῦ
τῶν ὅλων ἀκούσας, ὡς αὐτὸν προσήκει βα-
σιλέα χειροτονεῖν, κλήρους βαλεῖν ἐκέλευ-
σε τὰς φυλάς; Οὐδὲ τοῖς θείοις Προφή-
ταις ἐπίστευον οἱ πονηρίᾳ συζῶντες. ὡς ἂν
οὖν μὴ τοπάσωσι χάριτος ἀνθρωπίνης εἶναι
τὴν ψῆφον, κλήρῳ (2) τὴν κρίσιν ἐπέτρε-
ψε τὸ δοκοῦν ἐμφαίνοντι τῷ Θεῷ. εἶτα τῆς
Βενιαμίτιδος κατακληρωθείσης φυλῆς, καὶ
πάλιν εἰς πατριὰς καὶ οἴκους καὶ ἄνδρας
διαιρεθείσης, τῷ Σαοὺλ ψῆφος ἀπεκλη-
ρώθη. (3) κληρωθεὶς δὲ Σαοὺλ, ἐπειράθη
λαθεῖν, ὑπὲρ τὴν ἀξίαν αὐτοῦ τὴν ἐξου-
σίαν ὁρῶν. ὑπὸ Θεοῦ δὲ τῷ Προφήτῃ δειχ-
θεὶς, τὴν ἐπὶ παντὸς τοῦ λαοῦ χειροτο-
νίαν ἐδέξατο.

κβ. Καὶ ἐπηρώτησε Σαμουὴλ ἔτι
ἐν Κυρίῳ, εἰ ἔρχεται ὁ ἀνὴρ ἐνταῦθα;
καὶ εἶπε Κύριος, ἰδοὺ αὐτὸς κρύπτε-
ται (4) ἐν τοῖς σκεύεσι.

** ΙΩΣΗΠΟΥ. Ἀμηχανούντων καὶ
φροντιζόντων ὅτι γένοιτο ἀφανὴς ὁ Σάου-
λος, ὁ Προφήτης ἱκετεύει τὸν Θεὸν δεῖξαι
ποῦ ποτ᾽ εἴη, καὶ παρασχεῖν εἰς ἐμφάνειαν
τὸν νεανίσκον. μαθὼν δὲ παρὰ τοῦ Θεοῦ
τὸν τόπον ἔνθα κέκρυπται ὁ Σάουλος, πέμ-
πει τοὺς ἄξοντας αὐτόν.

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Ἀμήχανον
ἔτι κινούμενον αἰσθητῶς μᾶλλον ἢ νοητῶς,
πρὸς τὴν τοῦ ὄντος ἐλθεῖν ἐπίσκεψιν. οὗ
χάριν καὶ ὁ ταχθεὶς τὴν ἀρίστην τάξιν πα-
ρὰ Θεῷ τρόπος, ὄνομα Σαμουὴλ, οὐχ ὑφη-
γεῖται τὰ τῆς βασιλείας δίκαια τῷ Σαοὺλ
ἔτι διατρίβοντι ἐν τοῖς σκεύεσιν· ἀλλ᾽ ἐπει-
δὰν ἐκεῖθεν αὐτὸν ἐξελκύσῃ. πυνθάνεται
» μὲν γὰρ, εἰ ἔτι ἔρχεται ἐνθάδε ὁ ἀνὴρ,
» ἀποκρίνεται δὲ τὸ λόγιον, ἰδοὺ αὐτὸς κέ-
» κρυπται ἐν τοῖς σκεύεσι. τί οὖν προσήκει
τὸν ἀκούσαντα, φύσει παιδευτικὸν ὄντα,
ποιῆσαι, ὅτι μὴ μετὰ σπουδῆς αὐτὸν ἐξελ-
κύσαι; ἐπιδραμὼν, γάρ φησι, λαμβάνει
αὐτὸν ἐκεῖθεν· διότι ὁ τοῖς ἀγγείοις τῆς
ψυχῆς, σώματι καὶ αἰσθήσει, διατρίβων, οὐκ
ἦν ἀξιόχρεως ἀκοῦσαι τῶν τῆς βασιλείας
δογμάτων καὶ νόμων· βασιλείαν δὲ καὶ
σοφίαν εἶναι λέγομεν, ἐπεὶ καὶ τὸν σοφὸν
βασιλέα· μεταναστὰς δὲ, τῆς ἀχλύος σκε-
δασθείσης, ὀξυδορκήσειν ἔμελλεν.

** ΕΦΡΑΙΜ. Μὴ καταδίωκε ἀδελ-
φοὺς χάριν φιλαρχίας. ἐὰν γὰρ μὴ ᾖ ἐκ
Θεοῦ ἡ βουλὴ αὕτη, οὐ σταθήσεται· ἐὰν δὲ
ἐκ Θεοῦ ἐστὶ, κἂν κρυβήσῃ εἰς τὰ σκεύη,
καθάπερ Σαοὺλ, ἐκεῖθεν λήψεταί σε Κύ-
ριος, καὶ καταστήσει σε ἡγούμενον ἐπὶ τὸν
λαὸν αὐτοῦ.

κγ. Καὶ ἔδραμε καὶ λαμβάνει αὐ-
τὸν ἐκεῖθεν, καὶ κατέστησεν ἐν μέσῳ
τοῦ λαοῦ, καὶ ὑψώθη ὑπὲρ πάντα τὸν
λαὸν ὑπερωμίαν καὶ ἐπάνω.

ΙΩΣΗ-

(1) Καὶ κατὰ τὰς φυλὰς ὑμῶν. αἱ εἰρημ. ἐκδόσ.
(2) Κλήρους βληθῆναι προσέταξεν. εἶτα τῆς Βενιαμίτιδος, κτ. ἡ ἐν Χάλ. ἔκδ.
(3) Πειραθεὶς δὲ λαθεῖν, ἑώρα γὰρ τὴν ἐξουσίαν ὑπερβαίνουσαν αὐτοῦ τὴν ἀξίαν, ὑπὸ τοῦ Θεοῦ τῷ Προφήτῃ κατεμηνύθη, καὶ τὴν ἐπὶ παντὸς, κτ. ἡ αὐτ.
(4) Κέκρυπται. αἱ εἰρημ. ἐκδόσ.

A ** ΙΩΣΗΠΟΥ. Παραγενόμενον ἵστησιν ἐν μέσῳ τοῦ πλήθους. ἐξεῖχε δ' αὐτῶν ἁπάντων, καὶ τὸ ὕψος ἦν βασιλικώτατος.

κδ. Καὶ εἶπε Σαμουὴλ πρὸς πάντα τὸν λαὸν, ἑωράκατε ὃν ἐκλέλεκται ἑαυτῷ Κύριος, ὅτι οὐκ ἔστιν ὅμοιος αὐτῷ ἐν πᾶσιν ὑμῖν; καὶ ἔγνωσαν πᾶς ὁ λαὸς, καὶ εἶπαν, ζήτω ὁ βασιλεύς.

κε. Καὶ εἶπε Σαμουὴλ πρὸς τὸν λαὸν τὸ δικαίωμα τοῦ βασιλέως· καὶ ἔγραψεν ἐν βίβλῳ, καὶ ἔθηκεν ἐνώπιον Κυρίου. B καὶ ἐξαπέστειλε Σαμουὴλ πάντα τὸν λαὸν, καὶ ἀπῆλθεν ἕκαστος εἰς τὸν τόπον αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Λέγει ὁ Προφήτης· τοῦτον ὑμῖν ὁ Θεὸς ἔδωκε βασιλέα. ὁρᾶτε δὲ ὡς καὶ κρείττων ἐστὶ πάντων, καὶ τῆς ἀρχῆς ἄξιος. ὡς δ' ἐπευφήμησε τῷ βασιλεῖ σωτηρίαν ὁ λαὸς, τὰ μέλλοντα συμβήσεσθαι Γ καταγράψας αὐτοῖς ὁ Προφήτης, ἀνέγνω, τοῦ βασιλέως ἀκροωμένου· καὶ τὸ βιβλίον τίθησιν ἐν τῇ τοῦ Θεοῦ σκηνῇ, ταῖς μετέπειτα γενεαῖς εἰς μαρτύριον ὧν προείρηκε.

κς. Καὶ Σαοὺλ ἀπῆλθεν εἰς τὸν οἶκον αὐτοῦ εἰς Γαβαά. καὶ ἐπορεύθησαν υἱοὶ δυνάμεων, ὧν ἥψατο Κύριος καρδίας αὐτῶν μετὰ Σαούλ.

κζ. Καὶ υἱοὶ λοιμοὶ εἶπαν, τίς σώσει ἡμᾶς οὗτος; καὶ ἠτίμασαν αὐτὸν, καὶ οὐκ ἤνεγκαν αὐτῷ δῶρα.

** ΙΩΣΗΠΟΥ. Ταῦτ' ἐπιτελέσας ὁ Σαμούηλος, ἀπολύει τὴν πληθύν. καὶ αὐτὸς δὲ εἰς Ῥαμαθὰν παραγίνεται πόλιν. πατρὶς γὰρ ἦν αὐτῷ. Σαούλῳ δ' ἀπερχομένῳ εἰς Γαβαθὴν, ἐξ ἧς ὑπῆρχε, συνήρχοντο πολλοὶ μὲν ἀγαθοὶ, τὴν προσήκουσαν βασιλεῖ τιμὴν νέμοντες· πονηροὶ δὲ πλείους, οἳ κατεφρόνουν τ' αὐτοῦ, καὶ τοὺς ἄλλους ἐχλεύαζον, καὶ οὔτε δῶρα προσέφερον, οὔτ' ἐν σπουδῇ καὶ λόγῳ τὸ ἀρέσκεσθαι τῷ Σαούλῳ ἐτίθεντο.

ΚΕΦ. ΙΑ.

α. Καὶ ἐγενήθη ὡς μετὰ μῆνα, καὶ ἀνέβη Ναὰς ὁ Ἀμμανίτης, καὶ παρεμβάλλει Δ ἐπὶ Ἰαβεῖς Γαλαάδ. καὶ εἶπαν πάντες οἱ ἄνδρες Ἰαβεῖς πρὸς Ναὰς τὸν Ἀμμανίτην, διάθου ἡμῖν διαθήκην, καὶ δουλεύσομέν σοι.

β. Καὶ εἶπε πρὸς αὐτοὺς Ναὰς ὁ Ἀμμανίτης, ἐν ταύτῃ διαθήσομαι ὑμῖν διαθήκην, ἐν τῷ ἐξορύξαι ὑμῶν πάντα δεξιὸν ὀφθαλμὸν, καὶ θήσομαι ὄνειδος ἐπὶ Ἰσραήλ. E

** ΙΩΣΗΠΟΥ. Ἐποίει δὲ τοῦθ', ὅπως τῆς ἀριστερᾶς αὐτοῖς ὄψεως ὑπὸ τῶν θυρεῶν καλυπτομένης, ἄχρηστοι παντελῶς εἶεν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν Ναὰς ὁ Ἀμμανίτης τῶν Ἰσραηλιτῶν τοὺς δεξιοὺς ἐξέκοπτεν ὀφθαλμούς; Ἀχρήστους αὐτοὺς εἰς πόλεμον ἀποφῆναι βουλόμενος. (1) ὁ γὰρ εὐώνυμος ὀφθαλμὸς τῇ ἀσπίδι καλύπτεται, ὁ δὲ δεξιὸς τοὺς πολεμίους ὁρᾷ. οὗτος ἐστερημένος, εὐάλωτος. οὕτω καὶ Δυνάμεις Z αἱ πονηραὶ τὰ δεξιὰ τῶν νοημάτων περικόπτειν ἐπείγονται.

** ΝΕΙΛΟΥ. Ναὰς ἑρμηνεύεται ὄφις, ὅστις τοῖς Ἰσραηλίταις ποτὲ ἐπηπείλησε, πάντα δεξιὸν αὐτῶν ὀφθαλμὸν ἐξορύξαι, τουτέστι πάντα λογισμὸν ἀγαθὸν ἀφανίσαι. πολλὰ δ' ἀγαθὰ διὰ τῆς ἀναγνώσεως τῶν θεοπνεύστων Γραφῶν εὑρίσκουσιν ἄνθρωποι. εἰ οὖν θέλεις τὸν ὀφθαλμὸν τῆς ψυχῆς φυλάττειν τε, καὶ νικῆσαι τὸν κάκιστον H σύμβουλον, καὶ ἀποτελέσαι ὀξυδερκῆ, καὶ ἐπὶ τὰ κάλλιστα ποδηγεῖσθαι πράγματα, τὸν Ναὰς, λέγω τὸν ἐν σοὶ Ἀμμανίτην, μὴ ὀκνήσῃς τῇ ἁγίᾳ προσέχειν ἀναγνώσει.

** ΤΟΥ ΑΥΤΟΥ. Ναὰς ὁ Σωμανίτης, ὃς ἑρμηνεύεται ὄφις, ἠπείλει τῷ διορατικῷ Ἰσραὴλ ἐξορύξαι πάντα δεξιὸν αὐτοῦ ὀφθαλμόν· ἵνα μηδὲν νόημα δεξιὸν ἐνυπάρχον ἐπὶ δεξιὰν πρᾶξιν ὁδηγήσῃ τὸν κεκλημένον· εἰδὼς αἴτιον τοῦτο μεγάλης προκοπῆς τοῖς ἀπὸ θεωρίας ἐπὶ τὴν πρακτικὴν ἐρχομένοις. γίνεται γὰρ τοῖς τοιούτοις ἀνυπαίτιον τὸ πραχθὲν, προθεωρηθὲν τοῖς τῆς γνώσεως ὀξυδερκεστάτοις ὀφθαλμοῖς.

γ. Καὶ λέγουσιν αὐτῷ οἱ ἄνδρες Ἰαβεῖς, ἄνες ἡμῖν ἑπτὰ ἡμέρας, καὶ ἀποστελοῦμεν ἀγγέλους εἰς πᾶν ὅριον Ἰσραήλ· ἐὰν μὴ ᾖ ὁ σώζων ἡμᾶς, καὶ ἐξελευσόμεθα πρὸς ὑμᾶς.

** ΙΩΣΗΠΟΥ. Οἱ Γαλαδηνοὶ καταπλαγέντες πρὸς οὐδέτερον μὲν ἐτόλμησαν οὐδὲν εἰπεῖν, οὔτ' εἰ παραδιδόασιν αὑτοὺς, οὔτ' εἰ πολεμοῦσιν. ἀνοχὴν δ' ἡμερῶν ἑπτὰ λαβεῖν ἠξίωσαν, ἵνα πρεσβευσάμενοι πρὸς τοὺς ὁμοφύλους παρακαλέσωσι συμμαχεῖν αὐτοῖς. καὶ εἰ μὲν ἔλθοι βοήθεια, πολεμῶσιν· εἰ δ' ἄπορα εἴη τὰ παρ' ἐκείνων, παραδώσειν αὑτοὺς ἔφασκον, ἐπὶ τῷ παθεῖν ὅ,τι ἂν αὐτῷ δοκῇ.

δ. Καὶ ἔρχονται οἱ ἄγγελοι εἰς Γαβαὰ πρὸς Σαοὺλ, καὶ λαλοῦσι τοὺς λόγους

(1) Ὁ γὰρ τὴν ἀσπίδα τῇ εὐωνύμῳ χειρὶ προβαλλόμενος, συγκαλύπτει ταύτῃ τὸν εὐώνυμον ὀφθαλμὸν, τῷ δεξιῷ δὲ τοὺς πολεμίους ὁρᾷ. ὁ τοίνυν τὸν δεξιὸν ἀφῃρημένος, εὐάλωτος ἐγίνετο πολεμῶν. ταῦτα ἀντὶ τῶν ἑπομ. ἡ ἐν Χάλ. ἔκδ.

λόγους τούτους εἰς τὰ ὦτα τοῦ λαοῦ. καὶ
ἦραν πᾶς ὁ λαὸς τὴν φωνὴν αὐτῶν,
ε. καὶ ἔκλαυσαν. Καὶ ἰδοὺ Σαοὺλ ἤρχε-
το μετὰ τὸ πρωῒ ἐξ ἀγροῦ. καὶ εἶπε
Σαοὺλ, τί ὅτι κλαίει ὁ λαός; καὶ διη-
γοῦνται αὐτῷ τὰ ῥήματα τῶν ἀνδρῶν
ϛ. Ἰαβεῖς. Καὶ ἐφήλατο πνεῦμα Κυ-
ρίου ἐπὶ Σαοὺλ ὡς ἤκουσε τὰ ῥήματα
ταῦτα, καὶ ἐθυμώθη ἐπ᾽ αὐτοὺς ὀργὴ
ζ. σφόδρα. Καὶ ἔλαβε δύω βόας, καὶ
ἐμέλισεν αὐτὰς, καὶ ἀπέστειλεν εἰς πᾶν
ὅριον Ἰσραὴλ ἐν χειρὶ ἀγγέλων, λέ-
γων, ὃς οὐκ ἔσται ἐκπορευόμενος ὀπίσω
Σαοὺλ καὶ ὀπίσω Σαμουὴλ, κατὰ τά-
δε ποιήσουσι ταῖς βουσὶν αὐτοῦ. καὶ
ἐπῆλθεν ἔκστασις Κυρίου ἐπὶ τὸν λαὸν
Ἰσραὴλ, καὶ ἀνεβόησαν (1) ὡς ἀνὴρ
η. εἷς. Καὶ ἐπισκέπτεται αὐτοὺς ἐν Βεε-
ζὲκ (2) ἐν Βααμὰ πάντα ἄνδρα Ἰσ-
ραὴλ ἑξακοσίας χιλιάδας, καὶ ἄν-
δρα (3) Ἰούδα ἑβδομήκοντα χιλιάδας.
θ. Καὶ εἶπε τοῖς ἀγγέλοις τοῖς ἐρχομέ-
νοις, τάδε ἐρεῖτε τοῖς ἀνδράσιν Ἰα-
βεῖς αὔριον ὑμῖν ἡ σωτηρία διαθερ-
μάναντος τοῦ ἡλίου. καὶ ἦλθον οἱ ἄγ-
γελοι εἰς τὴν πόλιν, καὶ ἀπαγγέλ-
λουσι τοῖς ἀνδράσι Ἰαβεῖς, καὶ εὐφράν-
ι. θησαν. Καὶ εἶπαν οἱ ἄνδρες Ἰαβεῖς
πρὸς Ναὰς τὸν Ἀμμανίτην, αὔριον
ἐξελευσόμεθα πρὸς ὑμᾶς, καὶ ποιή-
σετε ἡμῖν τὸ ἀγαθὸν ἐνώπιον ὑμῶν.
ια. Καὶ ἐγενήθη μετὰ τὴν αὔριον, καὶ
διέθετο ὁ Σαοὺλ τὸν λαὸν εἰς τρεῖς
ἀρχὰς, καὶ εἰσπορεύεται (4) ἐν μέσῳ
τῆς παρεμβολῆς ἐν τῇ φυλακῇ τῇ
πρωϊνῇ, καὶ ἔτυπτον τοὺς υἱοὺς Ἀμμὼν
ἕως διεθερμάνθη ἡ ἡμέρα. καὶ ἐγε-
νήθη καὶ οἱ ὑπολελειμμένοι διεσπάρη-
σαν, καὶ οὐχ ὑπελείφθησαν ἐν τοῖς (5)
δύω ἐπὶ τὸ αὐτό.
ιβ. Καὶ εἶπεν ὁ λαὸς πρὸς Σα-
μουὴλ, τίς ὁ εἰπὼν ὅτι Σαοὺλ οὐ βασι-
λεύσει ἡμῶν; παράδος τοὺς ἄνδρας,
ιγ. καὶ θανατώσομεν αὐτούς. Καὶ εἶπε
Σαοὺλ, οὐκ ἀποθανεῖται οὐδεὶς ἐν τῇ
ἡμέρᾳ ταύτῃ, ὅτι σήμερον ἐποίησε
Κύριος σωτηρίαν ἐν Ἰσραήλ.

** ΙΩΣΗΠΟΥ. Ὁ λαὸς ὑφ᾽ ἡδονῆς
τῶν Σαούλῳ κατορθωμάτων, ἔχαιρε μὲν
ὅτι τοιοῦτον ἐχειροτόνησε βασιλέα· πρὸς δὲ
τοὺς οὐδὲν ὄφελος αὐτὸν ἔσεσθαι τοῖς πράγ-
μασι λέγοντας, ἐβόων· ποῦ νῦν εἰσὶν οὗτοι,
B καὶ δότωσαν δίκην· καὶ πάνθ᾽ ὅσα φιλεῖ
λέγειν ὄχλος ἐπ᾽ εὐπραγίαις ἠρμένος πρὸς
τοὺς ἐξευτελίζοντας ἔναγχος τοὺς τούτων αἰ-
τίους. Σάουλος δὲ τούτων μὲν ἠσπάζετο τὴν
εὔνοιαν, καὶ τὴν περὶ αὐτοῦ προθυμίαν,
ὤμοσε δὲ μή τινα περιόψεσθαι τῶν ὁμοφύ-
λων ἀναιρούμενον ἐπ᾽ ἐκείνης τῆς ἡμέρας.
ἄτοπον γὰρ εἶναι τὴν ὑπὸ τοῦ Θεοῦ δεδο-
μένην νίκην αἵματι φύραι καὶ φόνῳ τῶν
ἐκ ταὐτοῦ γένους αὐτοῖς· πρέπειν δὲ μᾶλλον
Γ εὐμενῶς διακειμένους ἑορτάζειν.

ιδ. Καὶ εἶπε Σαμουὴλ πρὸς τὸν
λαὸν, λέγων, πορευθῶμεν εἰς Γάλ-
γαλα, καὶ ἐγκαινίσωμεν ἐκεῖ τὴν βα-
ιε. σιλείαν. Καὶ ἐπορεύθη πᾶς ὁ λαὸς
εἰς Γάλγαλα, (6) καὶ ἔθυσαν ἐκεῖ
θυσίας εἰρηνικὰς ἐνώπιον Κυρίου. καὶ
ηὐφράνθη Σαμουὴλ, καὶ πάντες οἱ
Δ ἄνδρες Ἰσραὴλ ὡς τελέαν. (7)

** ΙΩΣΗΠΟΥ. Σαμουήλου φήσαντος
καὶ δευτέρας δεῖν χειροτονίας Σαούλῳ τὴν
βασιλείαν ἐπικυρῶσαι, συνίασι πάντες εἰς
Γάλγαλα πόλιν· ἐκεῖ γὰρ αὐτοὺς ἐκέλευ-
σεν ἐλθεῖν. καὶ πάλιν ὁρῶντος τοῦ πλή-
θους, ὁ Προφήτης χρίει τὸν Σάουλον τῷ
ἁγίῳ ἐλαίῳ, καὶ δεύτερον ἀναγορεύει βα-
σιλέα. καὶ οὕτως ἡ τῶν Ἑβραίων πολιτεία
εἰς βασιλείαν μετέπεσεν. ἐπὶ γὰρ Μωϋ-
E σέως καὶ τοῦ μαθητοῦ αὐτοῦ Ἰησοῦ, ὃς ἦν στρα-
τηγὸς, ἀριστοκρατούμενοι διετέλουν. μετὰ
δὲ τὴν ἐκείνου τελευτὴν, ἔτεσι τοῖς πᾶσι
δέκα καὶ πρὸς τούτοις ὀκτὼ, τὸ πλῆθος αὐ-
τῶν ἀναρχία κατέσχε. μετὰ ταῦτα δ᾽ εἰς
τὴν προτέραν ἐπανῆλθον πολιτείαν· τῷ
κατὰ πόλεμον ἀρίστῳ δόξαντι γεγενῆσθαι
καὶ κατ᾽ ἀνδρείαν, περὶ τῶν ὅλων δικάζειν
ἐπιτρέποντες. καὶ διὰ τοῦτο τὸν χρόνον τοῦ-
τον τῆς πολιτείας, Κριτῶν ἐκάλεσαν.

ΚΕΦ. ΙΒ.

α. Καὶ εἶπε Σαμουὴλ, (8) ἰδοὺ
ἤκουσα τῆς φωνῆς ὑμῶν
εἰς πάντα ὅσα εἴπατέ μοι,
καὶ ἐβασίλευσα ἐφ᾽ ὑμᾶς βασιλέα,
β. Καὶ νῦν ἰδοὺ ὁ βασιλεὺς διαπορεύεται
ἐνώπιον ὑμῶν. κἀγὼ γεγήρακα καὶ
καθήσομαι, καὶ οἱ υἱοί μου ἰδοὺ ἐν ὑμῖν.
κἀγὼ ἰδοὺ διελήλυθα ἐνώπιον ὑμῶν
ἐκ νεότητός μου καὶ ἕως τῆς ἡμέρας
ταύτης.
γ. Καὶ ἰδοὺ ἐγὼ, ἀποκρίθητε κατ᾽
ἐμοῦ ἐνώπιον Κυρίου καὶ ἐνώπιον χριστοῦ
αὐτοῦ·

(1) Ἐβόησαν. αἱ εἰρημ. ἐκδόσ.
(2) Βεζὲκ ἐν Βαμᾷ. αἱ αὐτ.
(3) Ἄνδρας. αἱ αὐτ.
(4) Εἰσπορεύονται. αἱ αὐτ.
(5) Ἐν αὐτοῖς. αἱ αὐτ.
(6) Καὶ ἔχρισε Σαμουὴλ ἐκεῖ τὸν Σαοὺλ εἰς βασιλέα ἐνώπιον Κυρίου ἐν Γαλγάλοις. καὶ ἔθυσαν, κτ. αἱ αὐτ.
(7) Ὥστε λίαν. αἱ αὐτ.
(8) Πρὸς πάντα Ἰσραὴλ, ἰδοὺ, κτ. αἱ αὐτ.

A αὐτοῦ· μόσχον τίνος εἴληφα, ἢ ὄνον τίνος εἴληφα, ἢ τίνα κατεδυναστεύσα ὑμῶν, ἢ τίνα ἐξεπίεσα, ἢ ἐκ χειρὸς τίνος εἴληφα ἐξίλασμα ἢ καὶ ὑπόδημα; ἀποκρίθητε κατ' ἐμοῦ, καὶ ἀποδώσω ὑμῖν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πολλὰ ἔχων, εἴπερ ἐβούλετο, λέγειν, τὴν ἐκ πρώτης ἡλικίας ἀνατροφὴν, τὴν ἐν τῷ ναῷ διατριβὴν, τὴν ἐκ σπαργάνων αὐτοῦ προφητείαν, τοὺς μετὰ ταῦτα πολέμους, τὰς νίκας ἃς ἐνίκησεν, οὐχ ὅπλοις χρώμενος, ἀλλὰ μετὰ τῆς εὐνοίας τοῦ Θεοῦ παραταττόμενος, ἐν τοῖς ἔμπροσθεν χρόνοις, οὐδὲν τούτων εἶπεν. ἐπειδὴ δὲ ἔμελλεν ἀφίστασθαι τῆς προστασίας, καὶ τὴν ἀρχὴν ἐγχειρίζειν ἑτέρῳ, τότε λοιπὸν ἠναγκάσθη τὰ ἐγκώμια αὐτοῦ διεξελθεῖν, καὶ ταῦτα ὑφειμένως. B Καὶ μετ' ὀλίγα. Καὶ ποία ἦν ἀνάγκη ταῦτα λέγειν, φησί; Πολλὴ καὶ μεγάλη. ἐπειδὴ Γ γὰρ ἄρχοντα ἔμελλεν εἰσάγειν αὐτοῖς τὸν Σαοὺλ, ἐν τῇ καθ' ἑαυτὸν ἀπολογίᾳ διδάξαι βουλόμενος ἐκεῖνον, πῶς προΐστασθαι δεῖ καὶ κήδεσθαι τῶν ἀρχομένων, αὐτοὺς τοὺς ὑπηκόους μάρτυρας αὐτοῦ τῆς φιλοσοφίας παράγει. καὶ οὐ ποιεῖ τοῦτο ἐν τῷ καιρῷ τῆς ἀρχῆς, ἵνα μή τις εἴπῃ, ὅτι δεδοικότες αὐτὸν καὶ φοβούμενοι, τὰ μὴ ὄντα ἐμαρτύρησαν· ἀλλ' ὅτε παρελύθη τὰ τῆς δημαγωγίας, καὶ εἰς ἕτερον μετέστη τὰ τῆς Δ προστασίας, καὶ κίνδυνος οὐδεὶς ἦν τῷ κατηγοροῦντι λοιπὸν, τότε δικάζεται πρὸς αὐτούς. Καὶ μετ' ὀλίγα. Ἐπειδὴ τὸ μὲν καλέσαι τὸν βασιλέα, καὶ εἰπεῖν, ἐπιεικὴς ἔσο καὶ μέτριος καὶ ἀδωροδόκητος, καὶ μηδένα βιάζου, μηδὲ ἀδίκει, μηδὲ πλεονέκτει, φορτικὸν ἦν καὶ ἐπαχθὲς τῷ μέλλοντι ταῦτα ἀκούειν· τὸ δὲ σιγῆσαι πάλιν, προδοσία τοῦ δήμου ἐγίνετο· ἐν ἀπολογίας προσχήματι ἀμφότερα ταῦτα κατώρθωσε, κἀκεῖνον E ἐδίδαξεν ὁποῖον εἶναι χρὴ τὸν βασιλεύοντα, καὶ τὴν ἐκ τοῦ διδάσκειν ἀπέχθειαν ἔφυγε. καὶ δοκεῖ μὲν ὑπὲρ τῶν καθ' ἑαυτὸν ἀγωνίζεσθαι· παιδεύει δὲ ἐκεῖνον πῶς, καὶ τίνι τρόπῳ τῶν ἀρχομένων ἐπιμελεῖσθαι χρή. σὺ δέ μοι σκόπει πῶς μετὰ ἀκριβείας ἁπάσης καθαρὸν ἑαυτὸν ἔδειξε λημμάτων. οὐδὲ γὰρ εἶπε, μὴ ἀγροὺς τινος ὑμῶν ἔλαβον; μὴ χρυσίον; ἀλλ' ὃ πάντων εὐτελέστερον ἦν, μὴ ὑπόδημα, φησίν; εἶτα καὶ Z ἑτέραν ἑαυτοῦ πολλὴν ἡμῖν ἐδήλωσεν ἀρετήν. ἐπειδὴ γὰρ πολλοὶ τῶν ἀρχόντων, ὅταν μὲν κλέπτωσιν, ἐπιεικεῖς εἰσὶ καὶ μέτριοι καὶ προσηνεῖς, οὐκ οἴκοθεν, ἀλλὰ διὰ τὴν ἀνάγκην τοῦ συνειδότος, ἐκ τῶν κλεμμάτων περιῃρημένοι τὴν παῤῥησίαν· οἱ δὲ ἀδωροδόκητοι, φορτικοὶ καὶ ἐπαχθεῖς, οὐδὲ αὐτοὶ πάλιν οἴκοθεν, ἀλλ' ὑπό τινος κενοδοξίας, καὶ τοῦ καθαροὶ λημμάτων εἶναι· H ἀμφότερα δὲ οὐκ ἄν τις ἴδοι ῥᾳδίως συνελθόντα εἰς ἕνα, δεῖξαι βουλόμενος ὁ ἅγιος οὗτος, ὅτι ἀμφοτέρων περιεγένετο, καὶ λημμάτων ἐκράτει καὶ ὀργῆς, εἰπὼν, μὴ μόσχον τινὸς ὑμῶν εἴληφα; οὐκ ἐσίγησεν, ἀλλ' ἐπήγαγεν, ἢ κατεδυνάστευσά τινα ὑμῶν, ἢ ἐξεπίεσα; τουτέστιν ἐξέθλιψα. ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδεὶς ἂν ἔχοι τοῦτο εἰπεῖν, ὅτι οὐκ ἔλαβον μέν· ἐπειδὴ δὲ οὐκ ἔλαβον, φορτικὸς ἐγενόμην καὶ ἐπαχθὴς καὶ ὠμὸς καὶ ἄγριος. διὰ τοῦτο ἔλεγεν, ἢ κατεδυνάστευσά τινα ὑμῶν;

B δ. Καὶ εἶπαν πρὸς Σαμουὴλ, οὐκ ἠδίκησας ἡμᾶς, καὶ οὐ κατεδυνάστευσας ἡμᾶς, καὶ οὐκ ἔθλασας ἡμᾶς, καὶ οὐκ εἴληφας ἐκ χειρὸς οὐδενὸς οὐδέν.

ε. Καὶ εἶπε Σαμουὴλ πρὸς τὸν λαὸν, μάρτυς Κύριος ἐν ὑμῖν, καὶ μάρτυς χριστὸς αὐτοῦ σήμερον ἐν ταύτῃ τῇ Γ ἡμέρᾳ, ὅτι οὐχ εὑρήκατε ἐν τῇ χειρί μου οὐδέν. καὶ εἶπαν, μάρτυς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἵνα μάθῃς, ὅτι καὶ τὸν βασιλέα αὐτὸν παιδεύων ταῦτα ἔλεγεν, ἐπήγαγε· μάρτυς Κύριος, καὶ μάρτυς ὁ χριστὸς αὐτοῦ. τοῦτο δὲ ἡμῖν αὐτὸ παραδηλῶν καὶ δεικνὺς, ὡς οὐκ ἦν ἡ μαρτυρία κεχαρισμένη, αὐτὸν ἐκάλεσε μάρτυρα τὸν τὰ ἀπόῤῥητα τῆς διανοίας εἰδότα. ὅπερ ἐστὶ καθαροῦ συνειδότος ἀπόδειξις. Δ οὐδεὶς γὰρ οὐδεὶς, εἰ μὴ σφόδρα ἦν μεμυωμὼς καὶ ἐξεστηκὼς, τοῦ συνειδότος τοῦ ἑαυτοῦ καλέσειεν ἄν ποτε μάρτυρα τὸν Θεὸν, εἰ μὴ σφόδρα ἑαυτῷ θαῤῥοίη.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκα συναθροίσας τὸν λαὸν ὁ Προφήτης, τῆς οἰκείας αὐτοῦ πολιτείας ἀνέμνησε; Κριτὴς ὢν ἐξίστατο τῆς ἐξουσίας, καὶ ταύτην παρεδίδου τῷ βασιλεῖ. (1) καὶ τὰ καθ' ἑαυτὸν εἰπὼν, καὶ σύμψηφον λαβὼν τὸν λαὸν, τὴν ἔννομον E ἐκείνου ἐξουσίαν ἐδίδαξε.

ϛ. Καὶ εἶπε Σαμουὴλ πρὸς τὸν λαὸν, λέγων, μάρτυς Κύριος ὁ ποιήσας τὸν Μωϋσῆν καὶ τὸν Ἀαρὼν, καὶ ὁ ἀναγαγὼν τοὺς πατέρας ἡμῶν ἐξ Αἰγύπτου.

ζ. Καὶ νῦν κατάστητε, καὶ δικαιώσω (2) ὑμᾶς ἐνώπιον Κυρίου, καὶ ἀπαγ- Z γελῶ ὑμῖν τὴν πᾶσαν δικαιοσύνην Κυρίου, ἃ ἐποίησεν ἐν ὑμῖν καὶ ἐν τοῖς πατράσιν ὑμῶν.

* ΠΡΟΚΟΠΙΟΥ. Τὸ δὲ, κατάστητε, δικάσω ὑμᾶς, Σύμμαχος οὕτω· καὶ νῦν παράστητε, ἵνα διακριθῶ πρὸς ὑμᾶς ἔμπροσθεν Κυρίου περὶ πασῶν τῶν ἐλεημοσυνῶν Κυρίου, ὧν ἐποίησεν.

η. Ὡς εἰσῆλθεν Ἰακὼβ καὶ οἱ υἱοὶ H αὐτοῦ εἰς Αἴγυπτον, καὶ ἐταπείνωσεν

αὐτοὺς

(1) Βασιλεῖ. μάλα τοίνυν εἰκότως τὰ καθ' ἑαυτὸν διηγήσατο, καὶ τῆς ἀξιεπαίνου πολιτείας σύμψηφον ἐποιήσατο τὸν λαὸν, τὴν ἔννομον ἐκείνου ἐξουσίαν διδάσκων. ἡ ἐν Χάλ. ἔκδ.

(2) Δικάσω. αἱ εἰρημ. ἐκδόσ.

αὐτοὺς Αἴγυπτος· καὶ ἐβόησαν οἱ πα-
τέρες ἡμῶν πρὸς Κύριον, καὶ ἀπέστειλε
Κύριος τὸν Μωϋσῆν καὶ τὸν Ἀαρὼν,
καὶ ἐξήγαγε τοὺς πατέρας ἡμῶν ἐξ
Αἰγύπτου, καὶ κατῴκισεν αὐτοὺς ἐν τῷ
θ. τόπῳ τούτῳ. Καὶ ἐπελάθοντο Κυρίου
τοῦ Θεοῦ αὐτῶν, καὶ ἀπέδοτο αὐτοὺς
εἰς χεῖρας Σισάρα ἀρχιστρατήγου Ἰα-
βεὶς βασιλέως Ἀσὼρ, καὶ εἰς χεῖρας
ἀλλοφύλων, καὶ εἰς χεῖρας βασιλέως
Μωὰβ, καὶ ἐπολέμησεν ἐν αὐτοῖς,
ι. καὶ ἐβόησεν ἐν αὐτοῖς. (1) Καὶ ἐβόη-
σαν πρὸς Κύριον, καὶ εἶπαν, ἡμάρτο-
μεν, ὅτι ἐγκατελίπομεν τὸν Κύριον,
καὶ ἐδουλεύσαμεν τοῖς Βααλεὶμ καὶ
τοῖς ἄλσεσι. καὶ νῦν ἐξελοῦ ἡμᾶς ἐκ
χειρὸς ἐχθρῶν ἡμῶν, καὶ δουλεύσομέν
ια. σοι. Καὶ ἀπέστειλε Κύριος τὸν Ἱερο-
βάαλ, καὶ τὸν Βαρὰκ, καὶ τὸν Ἰεφθάε,
καὶ τὸν Σαμουὴλ, καὶ ἐξείλετο ὑμᾶς
ἐκ χειρὸς ἐχθρῶν ὑμῶν τῶν κύκλω-
θεν, καὶ κατοικεῖτε πεποιθότες.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Μαρτυρησάν-
των ἐκείνων ἐπὶ τοῖς εἰρημένοις αὐτῷ, καὶ
ἑτέραν ἑαυτοῦ δείκνυσιν αὐτὸς ἀρετήν· καὶ
τῶν παλαιῶν ἀναμνήσας ἁπάντων τῶν κα-
τὰ τὴν Αἴγυπτον, καὶ τῆς τοῦ Θεοῦ προστα-
σίας, καὶ τῶν μετ᾽ ἐκείνους πολέμων, ἀνα-
μιμνήσκει τῆς μάχης τῆς ἐπ᾽ αὐτοῦ γενο-
μένης, καὶ τῆς νίκης τῆς παραδόξου. καὶ
εἰπὼν πῶς πολλάκις διὰ τὰς οἰκείας ἁμαρ-
τίας τοῖς πολεμίοις παραδοθέντας, ἐκά-
λεσεν αὐτὸς τὸν Θεὸν, καὶ ἀπήλλαξεν αὐ-
τοὺς τῶν πολεμίων, συνάπτων τοῖς παλαιοῖς
» τὰ νέα, ἐπάγει καὶ λέγει· ἐξαπέστειλε Κύ-
» ριος τὸν Ἱεροβάαλ, τὸν Γεδεὼν, καὶ τὸν
» Βαρὰκ, καὶ τὸν Ἰεφθάε, καὶ τὸν Σαμουὴλ,
» καὶ ἐξείλετο ὑμᾶς κύκλωθεν ἐκ χειρὸς τῶν
» ἐχθρῶν ὑμῶν. καὶ κατοικεῖτε πεποιθότες.
ὁρᾷς πῶς ἔθος τοῖς ἁγίοις, μὴ τὰ ἑαυτῶν
κατορθώματα λέγειν, εἰ μήποτε κατα-
ναγκασθεῖεν;

ιϐ. Καὶ ἴδετε ὅτι Ναὰς βασιλεὺς
υἱὸς (2) Ἀμμὼν ἦλθεν ἐφ᾽ ὑμᾶς, καὶ
εἴπατε, οὐχὶ, ἀλλ᾽ ἢ ὅτι βασιλεὺς
βασιλεύσει ἐφ᾽ ἡμῶν. καὶ Κύριος ὁ
ιγ. Θεὸς ἡμῶν βασιλεὺς ἡμῶν. Καὶ νῦν
ἰδοὺ (3) βασιλεὺς ὃν ἐξελέξασθε· καὶ
ἰδοὺ δέδωκε Κύριος ἐφ᾽ ὑμᾶς βασιλέα.
ιδ. Ὅπως (4) φοβηθῆτε τὸν Κύριον, καὶ
δουλεύσητε αὐτῷ, καὶ ἀκούσητε τῆς
φωνῆς αὐτοῦ, καὶ μὴ ἐρίσητε τῷ στό-
ματι τοῦ Κυρίου, καὶ ἦτε ὑμεῖς καὶ ὁ
βασιλεὺς ὁ βασιλεύων ἐφ᾽ ὑμῶν ὀπί-
σω τῆς φωνῆς Κυρίου πορευόμενοι, οὐκ
ιε. ἔσται χεὶρ Κυρίου ἐφ᾽ ὑμᾶς. Ἐὰν δὲ

A μὴ ἀκούσητε τῆς φωνῆς Κυρίου, καὶ
ἐρίσητε τῷ στόματι Κυρίου, καὶ ἔσται
χεὶρ Κυρίου ἐφ᾽ ὑμᾶς καὶ ἐπὶ τὸν βα-
σιλέα ὑμῶν.

ιϛ. Καὶ νῦν κατάστητε, καὶ ἴδετε
τὸ ῥῆμα τὸ μέγα τοῦτο, ὃ ὁ Κύριος
ιζ. ποιήσει ἐν ὀφθαλμοῖς ὑμῶν. Οὐχὶ
θερισμὸς πυρῶν σήμερον; ἐπικαλέ-
B σομαι Κύριον, καὶ δώσει φωνὰς καὶ
ὑετόν· καὶ γνῶτε καὶ ἴδετε, ὅτι ἡ κα-
κία ὑμῶν μεγάλη, ἣν ἐποιήσατε ἐνώ-
πιον Κυρίου, αἰτήσαντες ἑαυτοῖς βα-
ιη. σιλέα. Καὶ ἐπεκαλέσατο Σαμουὴλ
τὸν Κύριον· καὶ ἔδωκε Κύριος φωνὰς
καὶ ὑετὸν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἐφο-
βήθησαν πᾶς ὁ λαὸς σφόδρα τὸν Κύ-
ριον καὶ τὸν Σαμουήλ.

Γ ** ΩΡΙΓΕΝΟΥΣ. Ὅπερ μέγιστον πε-
ποιηκέναι λέγεται Σαμουὴλ διὰ προσευχῆς,
τοῦτο πνευματικῶς δυνατόν ἐστιν ἕκαστον τῶν
ἀνακειμένων γνησίως τῷ Θεῷ, καὶ νῦν ἐπι-
τελεῖν, ἄξιον τοῦ ἐπακούεσθαι γεγενημένον.
» γέγραπται γάρ· καί γε νῦν στῆτε, καὶ ἴδετε
» τὸ ῥῆμα τὸ μέγα τοῦτο, ὃ ὁ Κύριος ποιεῖ
» κατ᾽ ὀφθαλμοὺς ὑμῶν. οὐχὶ θερισμὸς πυροῦ
» σήμερον; ἐπικαλέσομαι Κύριον, καὶ δώσει
» φωνὰς καὶ ὑετόν. εἶτα μετ᾽ ὀλίγα. καὶ
Δ » ἐπεκαλέσατο, φησὶ, Σαμουὴλ Κύριον, καὶ
» ἔδωκε Κύριος φωνὰς καὶ ὑετὸν ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ. παντὶ γὰρ ἁγίῳ καὶ τῷ Ἰησοῦ γνη-
σίως μαθητεύοντι ὑπὸ τοῦ Κυρίου λέγεται·
» ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν, καὶ θεά- Ἰωάν. 4.
» σασθε τὰς χώρας ὅτι λευκαί εἰσι πρὸς θε- 36.
» ρισμὸν ἤδη. ὁ θερίζων μισθὸν λαμβάνει,
» καὶ συνάγει καρπὸν εἰς ζωὴν αἰώνιον. ἐν
τῷ καιρῷ δὴ τούτῳ τοῦ θερισμοῦ μέγα ῥῆμα
ὁ Κύριος ποιεῖ κατ᾽ ὀφθαλμοὺς τῶν ἀκουόν-
E των τοὺς Προφήτας. ἐπικαλεσαμένου γὰρ
τοῦ κεκοσμημένου τῷ ἁγίῳ πνεύματι πρὸς
τὸν Κύριον, δίδωσιν ὁ Θεὸς οὐρανόθεν φω-
νὰς, καὶ τὸν ποτίζοντα τὴν ψυχὴν ὑετόν·
ἵνα ὁ πρότερον ἐν τῇ κακίᾳ ὢν, φοβηθῇ
σφόδρα τὸν Κύριον, καὶ τὸν ὑπηρέτην τῆς
εὐεργεσίας τοῦ Θεοῦ, αἰδέσιμον καὶ σεβάσ-
μιον δι᾽ ὧν ἐπακούεται πεφανερωμένον. καὶ
Ἠλίας δὲ τρισὶν ἔτεσι καὶ ἓξ μησὶ κεκλεισ-
μένον τοῖς ἀσεβέσι τὸν οὐρανὸν θείῳ λόγῳ
Z ἀνοίγει ὕστερον· ὅπερ παντὶ τῷ κατορθοῦ-
ται ἀεὶ, διὰ τῆς εὐχῆς λαμβάνοντι τὸν
ὑετὸν τῆς ψυχῆς, τὸν διὰ τὴν ἁμαρτίαν
αὐτοῦ πρότερον ἐστερημένον.

ιθ. Καὶ εἶπε πᾶς ὁ λαὸς πρὸς Σα-
μουὴλ, πρόσευξαι ὑπὲρ τῶν δούλων σου
πρὸς Κύριον Θεόν σου, καὶ οὐ μὴ ἀποθά-
νωμεν, ὅτι προσεθήκαμεν πρὸς πά-
σας τὰς ἁμαρτίας ἡμῶν κακίαν, αἰ-
κ. τήσαντες ἑαυτοῖς βασιλέα. Καὶ εἶπε
Σαμουὴλ πρὸς τὸν λαὸν, μὴ φοβεῖσθε·
ὑμεῖς

(1) Τὸ, καὶ ἐβόησεν ἐν αὐτοῖς, οὐ κεῖται ἐν ταῖς εἰρημ. ἐκδόσ. καὶ μή τι γε τοῦ τὸν κώδ. γράψαντος παραδρομή ἐστι. (2) Υἱῶν. αἱ αὐτ. (3) Ὁ βασ. αἱ αὐτ. (4) Ἐάν. αἱ αὐτ.

ὑμεῖς πεποιήκατε τὴν πᾶσαν κακίαν ταύτην, πλὴν μὴ ἐκκλίνητε ἀπὸ ὄπισθεν Κυρίου, καὶ δουλεύσατε τῷ Κυ-
κα. ρίῳ ἐν ὅλῃ τῇ καρδίᾳ ὑμῶν. Καὶ μὴ παραβῆτε ὀπίσω τῶν μηθὲν ὄντων, ἃ οὐ περανοῦσιν οὐθὲν, καὶ οὐκ ἐξελοῦνται,
κβ. ὅτι οὐ Θεοί (1) εἰσι. Διότι οὐκ ἀπολέσεται (2) Κύριος τὸν λαὸν αὐτοῦ διὰ τὸ ὄνομα αὐτοῦ τὸ μέγα, ὅτι ἐπιεικῶς Κύριος προσελάβετο ὑμᾶς ἑαυτῷ εἰς λαόν.

κγ. Καὶ ἐμοὶ μηδαμῶς τοῦ ἁμαρτεῖν Κυρίῳ ἀνεῖναι (3) τοῦ προσεύχεσθαι περὶ ὑμῶν. καὶ δουλεύσω τῷ Κυρίῳ, καὶ δείξω ὑμῖν τὴν ὁδὸν τὴν ἀγαθὴν καὶ τὴν εὐθεῖαν·

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Σαμουὴλ ὁ προφήτης ἐκεῖνος ὑβρίσθη παρὰ τῶν Ἰουδαίων, ἀπεχειροτονήθη, ἠτιμάσθη οὕτως, ὡς τὸν Θεὸν θελῆσαι αὐτὸν παραμυθήσασθαι καὶ
α. Βασ. 8. 7. εἰπεῖν· οὐ σὲ ἐξουθενήκασιν, ἀλλ' ἐμέ. τί οὖν ἐκεῖνος ὁ ἐξουθενηθεὶς, ὁ καταφρονηθεὶς, » ὁ ὑβρισθείς; ἐμοὶ δὲ μὴ γένοιτο, φησὶν, » ἁμαρτεῖν οὕτως, ὡς διαλιπεῖν προσευχόμενον ὑπὲρ ὑμῶν τῷ Κυρίῳ. ἁμαρτίαν ἐνόμισεν εἶναι τὸ μὴ προσεύχεσθαι ὑπὲρ A » τῶν ἐχθρῶν. μὴ γένοιτο γάρ μοι ἁμαρτεῖν οὕτως, ὡς μὴ προσεύχεσθαι ὑπὲρ ὑμῶν. » ὁ Χριστὸς λέγει, πάτερ ἄφες αὐτοῖς τὴν Λουκ. 23. 34.
» ἁμαρτίαν· οὐ γὰρ οἴδασι τί ποιοῦσιν. ὁ Στέ-
» φανος λέγει, Κύριε μὴ στήσῃς αὐτοῖς τὴν Πράξ. 7. 59.
» ἁμαρτίαν ταύτην. ὁ Παῦλος λέγει, ηὐχό- Ῥωμ. 9. 3.
» μην ἀνάθεμα εἶναι ὑπὲρ τῶν ἀδελφῶν μου, » τῶν συγγενῶν κατὰ σάρκα. ὁ Μωϋσῆς λέ-
» γει, εἰ μὲν ἀφίης αὐτοῖς τὴν ἁμαρτίαν, Ἐξόδ. 32. 32.
» ἄφες· εἰ δὲ μὴ, κἀμὲ ἐξάλειψον ἐκ τῆς
B » βίβλου, ἧς ἔγραψας. ὁ Δαβὶδ λέγει, γε- 2. Βασ. 24. 17.
» νέσθω ἡ χείρ σου ἐπ' ἐμὲ, καὶ ἐπὶ τὸν οἶκον » τοῦ πατρός μου. ὁ Σαμουὴλ λέγει, ἐμοὶ δὲ » μὴ γένοιτο ἁμαρτεῖν τοῦ διαλιπεῖν προσευ- » χόμενον ὑπὲρ ὑμῶν τῷ Κυρίῳ. ποίας οὖν τύχωμεν συγγνώμης, εἰπέ μοι, τοῦ δεσπότου, τῶν δούλων, τῶν ἀπὸ τῆς καινῆς, τῶν ἀπὸ τῆς παλαιᾶς, πάντων ἡμᾶς ὠθούντων εἰς τὴν ὑπὲρ τῶν ἐχθρῶν εὐχὴν, αὐτοὶ τὸ ἐναντίον ποιοῦντες, καὶ κατὰ τῶν ἐχθρῶν
Γ εὐχόμενοι;

κδ. Πλὴν φοβεῖσθε τὸν Κύριον, καὶ δουλεύσατε αὐτῷ ἐν ἀληθείᾳ καὶ ἐν ὅλῃ καρδίᾳ ὑμῶν, ὅτι ἴδετε ἃ ἐμε-
κε. γάλυνε μεθ' ὑμῶν. Καὶ ἐὰν κακίᾳ κακοποιήσητε, καὶ ὑμεῖς καὶ ὁ βασιλεὺς ὑμῶν προστεθήσεσθε.

ΚΕΦ. ΙΓ.

(4) ΑΔΗΛΟΥ. Υἱὸς τριάκοντα ἐτῶν ὁ Σαοὺλ ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ δύο ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ. (5)

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, » υἱὸς ἐνιαυτοῦ Σαοὺλ ἐν τῷ βασιλεύειν αὐτόν; » Ὁ Σύμμαχος οὕτως ἐξέδωκεν· υἱὸς (6) ἐνι- » αύσιος Σαοὺλ ἐν τῷ βασιλεύειν αὐτόν. δηλοῖ δὲ τοῦτο τὴν ἁπλότητα τῆς ψυχῆς (7) τοῦ Σαοὺλ, ἣν εἶχε βασιλεύων. ἧπερ οὐκ ἐπὶ πλεῖστον ἐχρήσατο. ὅθεν πρόσκειται τὸ, » καὶ δύο ἔτη ἐβασίλευσεν ἐν Ἰσραὴλ αὐτός· ἀντὶ τοῦ, μετὰ τῆς ἁπλότητος ταύτης δύο ἔτη ἐβασίλευσεν, (8) μεθ' ἃ ἀποκλίνας πρὸς πονηρίαν, τῆς θείας γεγύμνωται χάριτος. ὅθεν ὁ λοιπὸς ὃν ἐβασίλευσε χρόνος, τῇ τοῦ Σαμουὴλ δημαγωγίᾳ λελόγισται.

β. Καὶ ἐκλέγεται Σαοὺλ ἑαυτῷ τρεῖς χιλιάδας ἀνδρῶν ἐκ τῶν ἀνδρῶν Ἰσραήλ. καὶ ἦσαν μετὰ Σαοὺλ δισχίλιοι (9) ἐν Μαχεμὰς καὶ ἐν τῷ ὄρει Βαιθὴλ, καὶ χίλιοι ἦσαν μετὰ Ἰωνάθαν ἐν Γαβαὰ τοῦ Βενιαμίν. καὶ τὸ κατάλοιπον τοῦ λαοῦ ἐξαπέστειλεν ἕκαστον εἰς τὸ σκήνωμα αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ἐπιλέξας ἐκ τοῦ πλήθους ὡς περὶ τρισχιλίους, τοὺς μὲν δισχιλίους ὥστε σωματοφυλακεῖν αὐτὸν λαβὼν, αὐτὸς διέτριβεν ἐν πόλει Βεθήλῳ· Ἰωνάθῃ δὲ τῷ E παιδὶ τοὺς λοιποὺς δοὺς, ὥστε σωματοφυλακεῖν αὐτὸν, εἰς Γαβὰς ἔπεμψεν. ὁ δ' ἐκπολιορκεῖ τι φρούριον τῶν Παλαιστίνων οὐ πόρρω Γαλγάλων.

γ. Καὶ ἐπάταξεν Ἰωνάθαν τὸν Νασεὶμ (10) τὸν ἀλλόφυλον τὸν ἐν τῷ βουνῷ. καὶ ἀκούουσιν οἱ ἀλλόφυλοι· καὶ Σαοὺλ σάλπιγγι σαλπίζει Z εἰς πᾶσαν τὴν γῆν, λέγων, ἠθετήκασιν οἱ δοῦλοι.

» * ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐπάταξεν Ἰω- » νάθαν τὸν Νασείμ. Ἀκύλας ἐξέδωκε, τὸ » ὑπόστημα.

ΘΕΟΔΩ-

(1) Ὅτι οὐ θεοί εἰσιν. αἱ αὐτ. (2) Ἀπώσεται. αἱ αὐτ. (3) Ἀνεῖναι. αἱ αὐτ.

(4) α. Υἱὸς ἐνιαυτοῦ Σαοὺλ ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ δύο ἔτη ἐβασίλευσεν ἐν Ἰσραήλ. ταῦτα ἀντὶ τοῦ πρώτ. ἐδ. ἡ ἐν Κομπλ. ἔκδ. οἷς καὶ τὰ προκείμενα ἁρμόζει ὑπομνήματα.

(5) Ἐν Ἰσραήλ. ἐν ταῖς σημειώσ. τῆς ἐν Φρανεκ. τῆς Γραφ. ἐκδόσ. ὅπου καὶ τάδε· Υἱὸς ἐνιαυτοῦ ἦν Σαοὺλ ἐν τῷ βασιλεύειν αὐτόν. ὁ Σύμμαχος· Υἱὸς ὢν ἐνιαυσιαῖος Σαούλ. (6) Υἱὸς ὢν ἐνιαυσιαῖος. ἡ ἐν Χάλ. ἔκδ.

(7) Ἣν εἶχεν ὁ Σαοὺλ, ἡνίκα τῆς βασιλείας τὴν χειροτονίαν ἐδέξατο. ταύτῃ δὲ οὐκ ἐπὶ πλεῖστον ἐχρήσατο· ὅθεν ὁ ἱστοριογράφος ἐπήγαγε· καὶ δύο ἔτη, κτ. ἡ αὐτ.

(8) Εἶτα εἰς πονηρίαν ἀποκλίνας, τῆς θείας χάριτος ἐγυμνώθη. ὅθεν ὁ λοιπὸς χρόνος, ὃν βασιλεύων διετέλεσε, τῇ τοῦ, κτ. ἡ αὐτ.

(9) Οἱ ἐν Μαχμάς. αἱ εἰρημ. ἐκδόσ. καὶ ἐν τῷ 31. ἐδ. τοῦ 14. κεφ. (10) Νασίβ. αἱ αὐτ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τό, ἐπάταξεν Ἰωνάθαν τὸ ὑπόστημα τῶν ἀλλοφύλων, τὸ ἐν τῷ βουνῷ; Οἱ ἀλλόφυλοι τοὺς Ἑβραίους νενικηκότες, [ἐν] τοῖς ὀχυρωτέροις χωρίοις φρουρὰς ἐγκατέστησαν. ὑπόστημα τοίνυν ἐκάλεσε τὴν φρουρὰν ταύτην· ἣν ἄρδην ὁ Ἰωνάθαν κατηκόντισε. τὸ μέντοι, ἠθετήκασιν οἱ δοῦλοι, ὁ Ἀκύλας, ἀκουσάτωσαν οἱ Ἑβραῖοι ἡρμήνευσε.

δ. Καὶ πᾶς Ἰσραὴλ ἤκουσε λεγόντων, ὅτι πέπαικε Σαοὺλ τὸν Νασεὶμ τὸν ἀλλόφυλον, καὶ ᾐσχύνθησαν Ἰσραὴλ ἐν τοῖς ἀλλοφύλοις. καὶ ἀνέβησαν ὁ λαὸς ὀπίσω Σαοὺλ ἐν Γαλγάλοις.

** ΙΩΣΗΠΟΥ. Σάουλος ὁ τῶν Ἑβραίων βασιλεὺς εἰς Γάλγαλα καταβαίνει πόλιν, καὶ διὰ πάσης κηρύσσει τῆς χώρας ἐπ' ἐλευθερίᾳ καλῶν τὸν λαὸν ἐπὶ τὸν πόλεμον τὸν πρὸς Παλαιστίνους.

ε. Καὶ οἱ ἀλλόφυλοι συνάγονται εἰς πόλεμον ἐπὶ Ἰσραήλ. καὶ ἀναβαίνουσιν ἐπὶ Ἰσραὴλ τριάκοντα χιλιάδες ἁρμάτων, καὶ ἓξ χιλιάδες ἱππέων, καὶ ὁ λαὸς ὡσεὶ ἄμμος ἡ παρὰ τὴν θάλασσαν τῷ πλήθει· καὶ ἀναβαίνουσι καὶ παρεμβάλλουσιν ἐν Μαχεμὰς ἐξ ἐναντίας Βαιθώρων (1) κατὰ νότου.

** ΙΩΣΗΠΟΥ. Ὡς ἠκούσθη τοῖς Παλαιστίνοις ἡ τῆς φρουρᾶς ἀναίρεσις· ἀγανακτήσαντες, καὶ δεινὴν ὕβριν τὴν καταφρόνησιν ἡγησάμενοι, στρατεύουσιν ἐπὶ τοὺς Ἰουδαίους.

ς. Καὶ ἀνὴρ Ἰσραὴλ εἶδεν ὅτι στε-
νῶς αὐτῷ μὴ προσάγειν αὐτόν, καὶ
ἐκρύβη ὁ λαὸς ἐν τοῖς σπηλαίοις, καὶ
ἐν ταῖς μάνδραις, καὶ ἐν ταῖς πέτραις,
καὶ ἐν τοῖς βόθροις, καὶ ἐν τοῖς λάκ-
ζ. κοις. Καὶ οἱ διαβαίνοντες διέβησαν
τὸν Ἰορδάνην εἰς τὴν γῆν Γὰδ καὶ Γα-
λαάδ. καὶ Σαοὺλ ὅτι (2) ἦν ἐν Γαλ-
γάλοις (3) ἐξέστη ὀπίσω αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Κατανοήσαντες τὸ πλῆθος τῶν Παλαιστίνων οἱ τοῦ Σαούλου, κατεπλάγησαν· καὶ οἱ μὲν εἰς τὰ σπήλαια καὶ τοὺς ὑπονόμους ἔκρυψαν ἑαυτούς, οἱ πλείους δὲ εἰς τὴν πέραν τοῦ Ἰορδάνου γῆν ἔφυγον. αὕτη δ' ἦν Γάδου καὶ Ῥουβήλου.

η. Καὶ διέλιπεν ἑπτὰ ἡμέρας τῷ
μαρτυρίῳ, ὡς εἶπε Σαμουήλ, καὶ οὐ
παρεγένετο Σαμουὴλ εἰς Γάλγαλα,
καὶ διεσπάρη ὁ λαὸς αὐτοῦ ἀπ' αὐτοῦ.
θ. Καὶ εἶπε Σαοὺλ προσαγάγετε ὅπως
ποιήσω ὁλοκαύτωσιν καὶ εἰρηνικάς. καὶ
ἀνήνεγκε τὴν ὁλοκαύτωσιν.

A ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ διέλειπεν ἑπτὰ ἡμέρας τῷ μαρτυρίῳ. Ἀκύλας (4) καὶ Σύμμαχος, εἰς τὴν συνταγήν· Θεοδοτίων, εἰς τὸν καιρόν.

** ΙΩΣΗΠΟΥ. Πέμψας Σάουλος πρὸς τὸν Προφήτην, ἐκάλει πρὸς αὐτὸν συνδιασκεψόμενον περὶ τοῦ πολέμου καὶ τῶν πραγμάτων. ὁ δὲ περιμένειν αὐτὸν ἐκέλευσεν αὐτόθι, καὶ παρασκευάζειν θύματα. μετὰ γὰρ ἡμέρας ἑπτὰ πρὸς αὐτὸν ἥξειν, ὅπως B θύσωσι τῇ ἑβδόμῃ τῶν ἡμερῶν, ἔπειθ' οὕτω συμβάλωσι τοῖς πολεμίοις. καὶ περιμένει μέν, ὡς ὁ Προφήτης ἐπέστειλεν· οὐκ ἔτι μέντοι γε διατηρεῖ τὴν ἐντολήν. ἀλλ' ὡς ἑώρα βραδύνοντα μὲν τὸν Προφήτην, αὐτὸν δὲ ὑπὸ τῶν στρατιωτῶν καταλειπόμενον, λαβὼν τὰ θύματα προσήγαγε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, καὶ διέλιπεν ἑπτὰ ἡμέρας τῷ μαρτυρίῳ, ὡς εἶπε Σαμουήλ; Παρηγγύησεν ὁ Σαμουὴλ τῷ Σαοὺλ Γ ἑπτὰ αὐτὸν προσμεῖναι ἡμέρας, εἶθ' οὕτω καλλιερησάμενον παρατάξασθαι. ὁ τοίνυν Σαοὺλ τοὺς ἀλλοφύλους ἀθροισθέντας ἰδών, οὐκ ἀνέμεινε κατὰ τὰς ἐντολὰς τοῦ Προφήτου. ὅθεν αὐτὸν θύοντα καταλαβὼν ὁ Προφήτης, σφόδρα χαλεπῶς ἐπετίμησε, καὶ τῆς βασιλείας αὐτῷ τὴν στέρησιν προεμήνυσε. ζητήσει γάρ φησι Κύριος ἑαυτῷ ἄνθρωπον κατὰ τὴν καρδίαν αὐτοῦ· καὶ ἐντελεῖται αὐτῷ Κύριος εἰς ἄρχοντα ἐπὶ τὸν Δ λαὸν αὐτοῦ, ὅτι οὐκ ἐφύλαξας ὅσα σοι ἐνετείλατο Κύριος.

ι. Καὶ ἐγένετο ὡς συνετέλεσεν
ἀναφέρων τὴν ὁλοκαύτωσιν, καὶ Σα-
μουὴλ παραγίνεται. καὶ ἐξῆλθε Σαοὺλ
εἰς ἀπάντησιν αὐτοῦ εὐλογῆσαι αὐτόν.
ια. Καὶ εἶπε Σαμουήλ, τί πεποίηκας; καὶ
εἶπε Σαοὺλ, ὅτι εἶδον ὡς διεσπάρη
λαός μου (5) ἀπ' ἐμοῦ, καὶ σὺ οὐ παρε-
E γένου ὡς διετάξω ἐν τῷ μαρτυρίῳ τῶν
ἡμερῶν, καὶ οἱ ἀλλόφυλοι συνήχθη-
σαν εἰς Μαχεμάς,

** ΙΩΣΗΠΟΥ. Ἐπεὶ τὸν Σαμούηλον ἤκουσε προσιόντα, ὑπαντησόμενος ἐξῆλθεν. ὁ δ' οὐκ ὀρθῶς αὐτὸν ἔφη πεποιηκέναι, παρακούσαντα ὧν ἐπέστειλεν αὐτός, καὶ φθάσαντα τὴν παρουσίαν· ἣν κατὰ βούλησιν γινομένην τοῦ θείου, τὰς εὐχὰς καὶ τὰς θυ- Z σίας τὰς ὑπὲρ τοῦ πλήθους προλαβών, κακῶς ἱερουργήσειε, καὶ προπετὴς γενόμενος. ἀπολογουμένου δὲ τοῦ Σαούλου, καὶ περιμεῖναι μὲν τὰς ἡμέρας ἃς ὥρισε λέγοντος, ὑπὸ δὲ ἀνάγκης καὶ ἀναχωρήσεως τῶν αὐτοῦ στρατιωτῶν διὰ φόβον στρατοπαιδείας τῶν ἐχθρῶν ἐν Μαχμᾷ, καὶ ἀκοῆς τῆς πρὸς αὐτὸν εἰς Γάλγαλα καταβάσεως, ἐπειχθῆναι πρὸς τὴν θυσίαν· ὑπολαβὼν ὁ Σαμούηλος· ἀλλὰ σύ φησιν, εἰ δίκαιος ἦσθα, καὶ H μὴ παρήκουσας ἐμοῦ, μηδ' ὧν ὑπέθετό μοι περὶ τῶν παρόντων ὁ Θεὸς ὠλιγόρησας, ταχύ-

(1) Βαιθωρών. αἱ αὐτ. (2) Ἔτι. αἱ αὐτ. (3) Γαλγάλοις, καὶ πᾶς ὁ λαὸς ἐξέστη, κτ. αἱ αὐτ.
(4) Καὶ περιέμεινεν ἑπτὰ ἡμέρας εἰς συνταγὴν τοῦ Σαμουήλ. Σύμ. Ἀνέμεινε δὲ ἑπτὰ ἡμέρας εἰς τὴν συνταγὴν τοῦ Σαμουήλ. ἐν ταῖς εἰρημ. σημ.
(5) Ὁ λαός. αἱ αὐτ.

» ταχύτερον ἢ συνέφερε τοῖς πράγμασι γε-
» γονὼς, σοί τ᾽ αὐτῷ πλεῖστον ἂν βασιλεῦσαι
» χρόνον ἐξεγένετο, καὶ τοῖς σοῖς ἐκγόνοις.

ιβ. Καὶ εἶπα, νῦν καταβήσονται
πρός με οἱ ἀλλόφυλοι εἰς Γάλγαλα,
καὶ τοῦ προσώπου Κυρίου οὐκ ἐδεήθην.
καὶ ἐνεκρατευσάμην, καὶ ἀνήνεγκα
τὴν ὁλοκαύτωσιν.

» ∗ ΠΡΟΚΟΠΙΟΥ. Καὶ τοῦ προσώπου Κυ-
» ρίου οὐκ ἐδεήθην, ἀλλ᾽ ἐνεκρατευσάμην. Σύμ-
» μαχος, καὶ πρινὴ τὸ πρόσωπον Κυρίου λι-
» τανεύσω, καὶ βιασθεὶς, καὶ τὰ ἑξῆς. Τὴν
δὲ θυσίαν μὴ γενομένην διὰ τοῦ Προφήτου,
δέησιν οὐκ οἶδε Θεοῦ.

ιγ. Καὶ εἶπε Σαμουὴλ πρὸς Σαοὺλ,
μεματαίωταί σοι, ὅτι οὐκ ἐφύλαξας
τὴν ἐντολήν μου, ἣν ἐνετείλατό σοι
Κύριος, ὡς νῦν ἡτοίμασε Κύριος τὴν
βασιλείαν σου ἕως αἰῶνος ἐπὶ Ἰσραήλ.

ιδ. Καὶ νῦν ἡ βασιλεία σου οὐ στή-
σεταί σοι, καὶ ζητήσει Κύριος ἑαυτῷ
ἄνθρωπον κατὰ τὴν καρδίαν αὐτοῦ·
καὶ ἐντελεῖται Κύριος αὐτῷ εἰς ἄρχον-
τα ἐπὶ τὸν λαὸν αὐτοῦ, ὅτι οὐκ ἐφύ-
λαξας ὅσα ἐνετείλατό σοι Κύριος.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Ἐντεῦθεν ὁ καλ-
Πράξ. 13. 22. λίνικος Στέφανος τέθεικε τὸ, εὗρον Δα-
» βὶδ τὸν τοῦ Ἰεσσαὶ ἄνδρα κατὰ τὴν καρ-
» δίαν μου, ὃς ποιήσει πάντα τὰ θελήματά
μου. προφητικῶς γὰρ ταῦτα προείρηκεν ὁ
θεῖος Σαμουήλ.

ιε. Καὶ ἀνέστη Σαμουὴλ, καὶ ἀπῆλ-
θεν ἐκ Γαλγάλων εἰς ὁδὸν αὐτοῦ. καὶ
τὸ κατάλειμμα τοῦ λαοῦ ἀνέβη ὀπίσω
Σαοὺλ εἰς ἀπάντησιν ὀπίσω τοῦ λαοῦ
τοῦ πολεμιστοῦ. αὐτῶν παραγενομένων
ἐκ Γαλγάλων εἰς Γαβαὰ Βενιαμὶν,
καὶ ἐπεσκέψατο Σαοὺλ τὸν λαὸν τὸν
εὑρεθέντα μετ᾽ αὐτοῦ ὡς ἑξακοσίους
ἄνδρας.

∗∗ ΙΩΣΗΠΟΥ. Σαμοῦηλος μὲν ἀχθό-
μενος ἐπὶ τοῖς γεγενημένοις, ἀνεχώρησε
παρ᾽ ἑαυτόν· Σάουλος δὲ εἰς Γαβαὼν πό-
λιν, ἔχων ἑξακοσίους μεθ᾽ ἑαυτοῦ μόνον,
ἧκε σὺν Ἰωνάθῃ τῷ παιδί.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Γαβαὰ δὲ τὴν ἐν
Σαβαῒν γῆν, τὴν ἐν τῇ κοιλάδι τῶν δορ-
κάδων, ὁ Ἀκύλας ἡρμήνευσε.

ις. Καὶ Σαοὺλ καὶ Ἰωνάθαν ὁ υἱὸς
αὐτοῦ καὶ ὁ λαὸς οἱ εὑρεθέντες μετ᾽
αὐτῶν ἐκάθισαν ἐν Γαβαὰ Βενιαμὶν,
καὶ ἔκλαιον, καὶ οἱ ἀλλόφυλοι πα-
ρεμβεβλήκεισαν ἐν Μαχεμάς.

ιζ. Καὶ ἐξῆλθε διαφθείρων ἐξ
ἀγροῦ ἀλλοφύλων τρισὶν ἀρχαῖς· ἡ
ἀρχὴ ἡ μία ἐπιβλέπουσα ὁδὸν Γοφε-

ιη. ρὰ ἐπὶ γῆν Σωγάλ. Καὶ ἡ ἀρχὴ
ἡ μία ἐπιβλέπουσα ὁδὸν Βαιθωρών·
καὶ ἡ ἀρχὴ ἡ μία ἐπιβλέπουσα ὁδὸν
Γαβεὲ τὴν εἰσκύπτουσαν ἐπὶ Γαὶ τὴν
Σαβείμ.

» ∗∗ ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐξῆλθε διαφ-
» θείρων ἐξ ἀγροῦ ἀλλοφύλων. Σύμμαχος,
καὶ ἐξῆλθον οἱ διαφθείροντες ἐκ τῆς πα-
ρεμβολῆς τῶν Φυλιστιαίων.

B ∗∗ ΙΩΣΗΠΟΥ. Διελόντες εἰς τρία
μέρη τὴν στρατιὰν οἱ Παλαιστῖνοι, καὶ κατὰ
τοσαύτας ὁδοὺς ἐπερχόμενοι, τὴν τῶν Ἑβ-
ραίων χώραν ἐπόρθουν, βλεπόντων τε Σαού-
λου τοῦ βασιλέως αὐτῶν καὶ τοῦ παιδὸς Ἰω-
νάθου, ἀμύναι τε τῇ γῇ· μετ᾽ ἑξακοσίων
γὰρ μόνον ἦσαν· οὐ δυναμένων.

ιθ. Καὶ τέκτων σιδήρου οὐχ ηὑρί-
σκετο ἐν πάσῃ τῇ γῇ Ἰσραὴλ, ὅτι
Γ εἶπαν οἱ ἀλλόφυλοι, μὴ ποιήσωσιν
Ἑβραῖοι (1) ῥομφαίαν καὶ δόρυ.

∗∗ ΙΩΣΗΠΟΥ. Οἱ Πλέους οὐκ εἶχον
ὅπλα, τῆς χώρας σπανιζούσης σιδήρου, καὶ
τῶν ὅπλα χαλκεύειν δυναμένων. οὐ γὰρ
εἴων οἱ Παλαιστῖνοι ταῦτα εἶναι.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Διὰ ποίαν αἰτίαν
σίδηρον οὐκ εἶχεν ὁ Ἰσραήλ; Νενικηκότες
αὐτοὺς οἱ ἀλλόφυλοι, πάντα τὸν σίδηρον
Δ ἔλαβον, καὶ κτήσασθαι αὐτοὺς ἕτερον διε-
κώλυσαν. [ὅθεν παρ᾽ αὐτοῖς τὰ γεωργικὰ
κατεσκεύαζον ὄργανα.]

κ. Καὶ κατέβαινον πᾶς Ἰσραὴλ
εἰς γῆν ἀλλοφύλων χαλκεύειν ἕκαστος
τὸ θέριστρον αὐτοῦ καὶ τὸ σκεῦος αὐτοῦ,
καὶ ἕκαστος τὴν ἀξίνην αὐτοῦ καὶ τὸ
δρέπανον αὐτοῦ.

» ∗ ΠΡΟΚΟΠΙΟΥ. Τὸ θέριστρον αὐτοῦ καὶ
E » τὸ σκεῦος αὐτοῦ, καὶ ἕκαστος τὴν ἀξίνην αὐ-
» τοῦ καὶ τὸ δρέπανον αὐτοῦ. Σύμμαχος, τὴν
» ὕνιν καὶ τὸ σκαφίον αὐτοῦ, καὶ τὸ ἀξινά-
» ριον, καὶ τὴν δίκελλαν· Ἀκύλας, τ᾽ ἄλλα
» μὲν ὡσαύτως, ἀντὶ δὲ τοῦ δρεπάνου, τριό-
» δοντα, φησί· Θεοδοτίων, τὸ θέριστρον, βού-
» κεντρον ἐξέδωκε.

∗∗ ΙΩΣΗΠΟΥ. Οἱ τῆς Γαβᾶς Πα-
λαιστῖνοι καταστρεφόμενοι τοὺς Ἰουδαίους, τά
τε ὅπλα αὐτοὺς ἀφῃροῦντο, καὶ τοὺς ὀχυρω-
Z τάτους τῆς χώρας τόπους φρουραῖς κατε-
λαμβάνοντο· καὶ σιδηροφορεῖν, χρῆσθαί
τε καθάπαξ ἀπηγόρευον σιδήρῳ. καὶ διὰ
ταύτην τὴν ἀπόῤῥησιν οἱ γεωργοὶ, εἴποτε
δεήσοι αὐτοὺς ἐπισκευάσαι τι τῶν ἐργα-
λείων ἢ ὕνιν ἢ μακέλλην ἢ ἄλλο τι τῶν εἰς
γεωργίαν χρησίμων, φοιτῶντες εἰς τοὺς
Παλαιστίνους, ταῦτ᾽ ἔπραττον.

κα. Καὶ ἦν ὁ τρυγητὸς ἕτοιμος τοῦ
H θερίζειν. τὰ δὲ σκεύη ἦν τρεῖς σίκλοι
εἰς τὸν ὀδόντα, καὶ τῇ ἀξίνῃ καὶ τῷ
δρεπάνῳ ὑπόστασις ἦν ἡ αὐτή.

(1) Οἱ Ἑβραῖοι. αἱ αὐτ.

» ΑΔΗΛΟΥ. Καὶ ἦν τρυγητός. Καὶ ἐγενήθη ἡ προσβολὴ τοῖς στόμασι τοῖς ἀρότροις, καὶ ταῖς ῥιξὶ, καὶ ταῖς σκελίσι, (1) καὶ ταῖς ἀξίναις, καὶ τοῦ στερῆσαι (2) τὸ βούκεντρον.

⁎ ΘΕΟΔΩΡΙΤΟΥ. Ὀδόντα (3) μὲν, ὁ μὲν Σύμμαχος τὸ ἄροτρον ἡρμήνευσε· τὸν δὲ σίκλον, στατῆρα. ἐπὶ σταθμοῦ δὲ ὁ σίκλος λαμβανόμενος, ἡμιούγκιον εἷλκεν· ἐπὶ δὲ ἀργύρου, (4) εἴκοσι ὀβολούς.

κβ. Καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις B τοῦ πολέμου Μαχεμὰς, καὶ οὐχ εὑρέθη A ῥομφαία καὶ δόρυ ἐν χειρὶ παντὸς τοῦ λαοῦ τῷ (5) Σαοὺλ καὶ τῷ Ἰωνάθαν. καὶ εὑρέθη τῷ Σαοὺλ καὶ τῷ Ἰωνάθαν υἱῷ αὐτοῦ.

κγ. Καὶ ἐξῆλθεν ἐξ ὑποστάσεως τῶν ἀλλοφύλων ἐν τῷ πέραν Μαχεμάς.

» ⁎⁎ ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐξῆλθεν ἐξ » ὑποστάσεως τῶν ἀλλοφύλων ἐν τῷ πέραν B» Μάχμας. Θεοδοτίων, ἡ στάσις τῶν ἀλλο» φύλων εἰς τὴν διάβασιν Μάχμας.

ΚΕΦ. ΙΔ.

α. Καὶ γίνεται ἡμέρα, καὶ εἶπεν Ἰωνάθαν υἱὸς Σαοὺλ τῷ παιδαρίῳ τῷ αἴροντι τὰ σκεύη αὐτοῦ, δεῦρο, καὶ διαβῶμεν εἰς Γ Μεσὰμ (6) τῶν ἀλλοφύλων τῶν (7) ἐν τῷ πέραν ἐκείνῳ. καὶ τῷ πατρὶ αὐτοῦ οὐκ ἀπήγγειλε.

β. Καὶ Σαοὺλ ἐκάθητο ἐν τῷ βουνῷ ἐπ᾽ ἄκρου τοῦ βουνοῦ ὑπὸ τὴν ῥοὰν τὴν ἐν Μαγδὼν, καὶ ἦσαν μετ᾽ αὐτοῦ
γ. ὡς ἑξακόσιοι ἄνδρες. Καὶ Ἀχιὰ υἱὸς Ἀχιτὼβ ἀδελφοῦ Ἰωχαβὴθ υἱοῦ Φινεὲς υἱοῦ Ἠλὶ ἱερεὺς τοῦ Θεοῦ ἐν Σηλὼ αἴρων ἐφούδ. καὶ ὁ λαὸς οὐκ ᾔδει ὅτι πεπόρευται Ἰωνάθαν.

» ⁎⁎ ΠΡΟΚΟΠΙΟΥ. Αἴρων ἐφούδ. Ἀκύλας, Φέρων ἐπενδύτην.

⁎⁎ ΙΩΣΗΠΟΥ. Καθεζόμενος αὐτός τε καὶ ὁ παῖς αὐτοῦ, καὶ ὁ ἀρχιερεὺς Ἀχίας, ἀπόγονος ὢν Ἠλεὶ τοῦ ἀρχιερέως, ἐπὶ βουνοῦ ὑψηλοῦ, καὶ τὴν γῆν λεηλατουμένην ὁρῶντες, ἐν ἀγωνίᾳ δεινῇ καθεστήκεσαν.

δ. Καὶ ἀναμέσον τῆς διαβάσεως (8) ἐζήτει Ἰωνάθαν διαβῆναι εἰς τὴν ὑπόστασιν τῶν ἀλλοφύλων, καὶ ὀδοὺς (9) πέτρας ἦν ἐκ τούτου, καὶ ὀδοὺς πέτρας ἐκ τούτου· ὄνομα τῷ ἑνὶ Ζαβὲ, (10) καὶ ὄνομα τῷ ἄλλῳ Σιννάβ. (11)

» ΑΔΗΛΟΥ. Ὀδοὺς πέτρας. Ἀκρωτή» ριον καὶ ἀκρωτήριον. μᾶλλον ταῦτα ἐν τῷ ἑξαπλῷ ἡστέρισαι, ὡς ἐκ Θεοδοτίωνος προστεθέντα.

⁎⁎ ΙΩΣΗΠΟΥ. Ἦν τὸ τῶν πολεμίων στρατόπεδον ἐπὶ κρημνῷ, τρισὶν ἄκραις, εἰς λεπτὸν ἀπηκονημέναις μῆκος, πέτρας ἐν κύκλῳ περιστεφανούσης, ὥσπερ προβόλοις τὰς ἐπιχειρήσεις ἀπομαχόμενον. ἔνθεν συνέβαινεν ἠμελῆσθαι τὰς φυλακὰς τοῦ στρατοπέδου, διὰ τὸ φύσει περιεῖναι τῷ χωρίῳ τὴν ἀσφάλειαν, καὶ πάντη νομίζειν ἀμήχανον εἶναι κατ᾽ ἐκείνας οὐκ ἀναβῆναι μόνον, ἀλλὰ καὶ προσελθεῖν.

ε. Ἡ ὁδὸς ἡ μία ἀπὸ βοῤῥᾶ ἐρχομένη (12) Μαχεμὰς, καὶ ἡ ὁδὸς ἡ μία (13) ἀπὸ νότου ἐρχομένη Γαβεέ. (14)

ϛ. Καὶ εἶπεν Ἰωνάθαν πρὸς τὸ παιδάριον τὸ αἶρον τὰ σκεύη αὐτοῦ, δεῦρο, καὶ διαβῶμεν εἰς Μεσσὰβ τῶν Δ ἀπεριτμήτων τούτων, εἴ τι ποιήσει ἡμῖν Κύριος, ὅτι οὐκ ἔστι τῷ Κυρίῳ συνεχόμενον σώζειν ἐν πολλοῖς ἢ ἐν ὀλίγοις.
ζ. Καὶ εἶπεν αὐτῷ ὁ αἴρων τὰ σκεύη αὐτοῦ, ποίει πᾶν ὃ ἐὰν ἡ καρδία σου ἐκκλίνῃ· ἰδοὺ ἐγὼ μετὰ σοῦ εἰμὶ, ὡς ἡ καρδία σου ἡ καρδία μου.

⁎⁎ ΙΩΣΗΠΟΥ. Συντίθεται ὁ Σαούλου παῖς τῷ ὁπλοφόρῳ, κρύφα προσελθόντων αὐτῶν εἰς τὴν τῶν πολεμίων παρεμβολὴν E ἐκδραμεῖν, καὶ ταραχὴν ἐμποιῆσαι καὶ θόρυβον αὐτοῖς. τοῦ δ᾽ ὁπλοφόρου προθύμως ἐφέπεσθαι φήσαντος ὅπη ποτ᾽ ἂν ἡγῆται, κἂν ἀποθανεῖν δέοι, προσλαβὼν τὴν τοῦ νεανίσκου συνεργίαν, καὶ καταβὰς ἀπὸ τοῦ βουνοῦ, πρὸς τοὺς πολεμίους ἐπορεύετο.

η. Καὶ εἶπεν Ἰωνάθαν, ἰδοὺ ἡμεῖς διαβαίνομεν πρὸς τοὺς ἄνδρας, καὶ κα- Z ταυλισθησόμεθα πρὸς αὐτούς.

θ. Ἐὰν τάδε εἴπωσι πρὸς ὑμᾶς, ἀπόστητε ἐκεῖ ἕως ἂν ἀπαγγέλωμεν ὑμῖν· καὶ στησόμεθα ἐφ᾽ ἑαυτοῖς καὶ
ι. οὐ μὴ ἀναβῶμεν ἐπ᾽ αὐτούς. Καὶ ἐὰν τάδε εἴπωσιν, ἀνάβητε πρὸς ἡμᾶς· καὶ

(1) Τρισκελῆσι. ἐν ταῖς σημ. τῆς ἐν Φρανεκ. τῆς Γραφ. ἐκδόσ.
(2) Καὶ τοῦ στερεώσαντες τὸ βούκεντρον. αὐτ.
(3) Ὀδόντα δὲ ὁ μὲν Σύμμαχος ὕνιν, ὁ δὲ Ἀκύλας τὸ ἄροτρον ἡρμήνευσαν· τὸν δὲ σίκλον, στατῆρα ἐκάλεσαν. ἐπὶ δὲ σταθμοῦ ὁ σίκλ. κτ. ἡ ἐν Χάλ. ἔκδ.
(4) Ἀργυρίου. ἡ αὐτ.
(5) Τοῦ μετὰ Σαοὺλ καὶ μετὰ Ἰωνάθαν. αἱ εἰρημ. ἐκδόσ.
(6) Μεσσάβ. αἱ αὐτ. καὶ κατωτέρω, ἐν ἐδ. ια΄. ἐν δὲ ϛ΄ καὶ ιβ΄ ἐδ. Μεσσάβ.
(7) Τὴν. αἱ αὐτ.
(8) Οὗ ἐζήτει. αἱ αὐτ.
(9) Καὶ ἀκροτήριον πέτρας ἐντεῦθεν. ἡ ἐν Κομπλ. ἔκδ.
(10) Βασές. αἱ εἰρημ. ἐκδόσ.
(11) Σεννά. αἱ αὐτ.
(12) Ἐρχομένῳ. αἱ αὐτ.
(13) Ἡ ἄλλη αἱ αὐτ.
(14) Γαβαέ. αἱ αὐτ.

καὶ ἀναβησόμεθα, ὅτι παρέδωκεν αὐ-
τοὺς Κύριος εἰς τὰς χεῖρας ἡμῶν. τοῦτο
ἡμῖν τὸ σημεῖον.

** ΙΩΣΗΠΟΥ. Ὡς ἧκον εἰς τὴν πα-
ρεμβολὴν, ὁ Ἰωνάθης παρεθάῤῥυνε τὸν
ὁπλοφόρον, καὶ προβάλωμεν τοῖς πολε-
μίοις, ἔλεγε· κἂν μὲν ἀναβῆναι κελεύ-
σωσιν ἡμᾶς πρὸς αὐτοὺς, ἰδόντες, σημεῖον
τοῦτο νίκης ὑπολάμβανε· ἐὰν δὲ φθέγξων-
ται μηδὲν, ὡς οὐ καλοῦντες ἡμᾶς, ὑπο-
στρέψομεν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε ὁ Ἰωνά-
θαν προσβαλεῖν τοῖς πολεμίοις βουλόμε-
νος, σημεῖά τινα δέδωκε τῷ ὁπλοφόρῳ; Οὐ
συμβολικῶς δέδωκεν, ἀλλ' ὡς πιστὸς γνῶναι
ἠθέλησε τὸ θέλημα τοῦ Θεοῦ, καὶ σημεῖα
δέδωκεν ἑαυτῷ τοῦ θείου βουλήματος· ἵνα εἰ
μὲν κληθεῖεν ὑπ' αὐτῶν, προσβάλωσιν, ὡς
τοῦ Θεοῦ προφανῶς ἐνεργοῦντος. τοῦτο γὰρ
» ἔφη· καὶ ἀναβησόμεθα, ὅτι παρέδωκεν
» αὐτοὺς Κύριος εἰς χεῖρας ἡμῶν. τοῦτο ἡμῖν
» τὸ σημεῖον. ἐὰν δέ φησιν εἴπωσιν ἡμῖν,
» ἀπόστητε ἐκεῖ, οὐκ ἀναβησόμεθα ἐπ' αὐτούς.
ὅτι δὲ τῷ Θεῷ θαῤῥήσας εἰς πρόῦπτον ἑαυ-
τὸν ἐξέδωκε κίνδυνον, μαρτυροῦσιν οἱ λό-
» γοι. δεῦρο γὰρ [φησι] διαβῶμεν εἰς τὴν
» ὑπόστασιν τῶν ἀπεριτμήτων τούτων, εἴπως
» ποιήσει Κύριος τὶ ἡμῖν, ὅτι οὐκ ἔστι τῷ Κυ-
» ρίῳ συνεχόμενον σώζειν ἐν πολλοῖς ἢ ἐν ὀλί-
γοις. ταῦτα δὲ τὰ ῥήματα ψυχῆς ἐστὶ τῷ
Θεῷ πεποιθυίας. οὕτω δὲ θαῤῥήσας, οὐκ
ἐψεύσθη τῆς ἐλπίδος. εὐθὺς γὰρ προσβα-
λὼν, καὶ βέλος ἀφιεὶς, καὶ λίθους ἀκοντίσας,
συνέχεε τὴν τῶν πολεμίων παρεμβολήν.
ἀγνοοῦντες γὰρ ἀλλήλους ἀνεῖλον (1) ἐκεῖ-
νοι. ἐκ διαφόρων γὰρ ἦσαν ἐκεῖνοι συνει-
λεγμένοι πόλεων. τοῦτο πόῤῥωθεν ὁ Σαοὺλ
θεασάμενος, καὶ διὰ τῆς ἱερατικῆς στολῆς
τὴν νίκην μεμαθηκὼς, ὥρμησε καὶ αὐτὸς
κατὰ τῶν πολεμίων. (2)

ια. Καὶ εἰσῆλθον ἀμφότεροι εἰς
Μεσσὰβ τῶν ἀλλοφύλων. καὶ λέγου-
σιν οἱ ἀλλόφυλοι, ἰδοὺ οἱ Ἑβραῖοι ἐκ-
πορεύονται ἐκ τῶν τρωγλῶν αὐτῶν,
ιβ. οὗ ἐκρύβησαν ἐκεῖ. Καὶ ἀπεκρίθησαν
οἱ ἄνδρες Μεσσὰβ πρὸς Ἰωνάθαν καὶ
πρὸς τὸν αἴροντα τὰ σκεύη αὐτοῦ, [καὶ
λέγουσιν, ἀνάβητε πρὸς ἡμᾶς, καὶ
γνωρίσομεν ἡμῖν ῥῆμα. καὶ εἶπεν Ἰωνά-
θαν πρὸς τὸν αἴροντα τὰ σκεύη αὐ-
τοῦ,] ἀνάβηθι ὀπίσω μου, ὅτι παρέδω-
κεν αὐτοὺς Κύριος εἰς χεῖρας Ἰσραήλ.

** ΙΩΣΗΠΟΥ. Προσιόντων αὐτῷ τῷ
στρατοπέδῳ τῶν πολεμίων, ὑποφαινούσης
ἤδη τῆς ἡμέρας, ἰδόντες οἱ Παλαιστῖνοι,
πρὸς ἀλλήλους ἔλεγον, ἐκ τῶν ὑπονόμων
καὶ τῶν σπηλαίων προϊέναι τοὺς Ἑβραίους.
καὶ πρὸς Ἰωνάθην καὶ τὸν ὁπλοφόρον αὐ-

A τοῦ, δεῦτ' ἔφασαν, ἀνέλθετε πρὸς ἡμᾶς,
ἵνα ἡμᾶς τιμωρησώμεθα τῶν τετολμημέ-
νων ἀξίως.

ιγ. Καὶ ἀνέβη Ἰωνάθαν ἐπὶ τὰς
χεῖρας αὐτοῦ καὶ ἐπὶ τοὺς πόδας αὐτοῦ,
καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ ὀπίσω αὐ-
τοῦ. καὶ ἐπέβλεψαν κατὰ πρόσωπον
Ἰωνάθαν, καὶ ἐπάταξεν ἐν αὐτοῖς·
καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ ἐπεδίδου
B ὀπίσω αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ἀνερπύσαντες μετὰ
πολλῆς ταλαιπωρίας, ἐβιάσαντο τὴν τοῦ
χωρίου φύσιν, ὡς ἀνελθεῖν ἐπὶ τοὺς πο-
λεμίους.

** ΝΕΙΛΟΥ. Ὁ Ἰωνάθαν τῷ Ναὰς
πολεμῶν τῷ Ἀμμωνίτῃ ἐπὶ τεσσάρων πε-
ριπατήσας ἐνίκησεν· ἐπειδὴ τῇ ἀνάγκῃ
τῆς φύσεως ὑπηρέτησε μόνῃ. ἔδει γὰρ τὸν
Γ πρὸς τὸν ἐπὶ τῷ στήθει συρόμενον ὄφιν πο-
λεμοῦντα· τοῦτο γὰρ Ναὰς ἑρμηνεύεται·
σχηματίσασθαι πρὸς ὀλίγον τὴν πρὸς αὐ-
τὸν ὁμοιότητα διὰ τοῦ πορευθῆναι ἐπὶ τεσ-
σάρων· καὶ οὕτω διαναστάντα ἐπὶ τὴν οἰκείαν
ἕξιν χειρώσασθαι τοῦτον μετὰ πολλῆς τῆς
εὐκολίας.

ιδ. Καὶ ἐγενήθη ἡ πληγὴ ἡ πρώ-
τη, ἣν ἐπάταξεν Ἰωνάθαν καὶ ὁ αἴ-
ρων τὰ σκεύη αὐτοῦ, ὡς εἴκοσι ἄνδρες
Δ ἐν βολίσι καὶ ἐν πετροβόλοις καὶ ἐν
κόχλαξι τοῦ πεδίου.

ιε. Καὶ ἐγενήθη ἔκστασις ἐν τῇ πα-
ρεμβολῇ, καὶ ἐν τῷ ἀγρῷ. καὶ πᾶς
ὁ λαὸς ὁ ἐν Μεσσὰβ, καὶ οἱ διαφθεί-
ροντες ἐξέστησαν (3) καὶ αὐτοὶ, καὶ οὐκ
ἤθελον πολεμεῖν· καὶ ἐθάμβησεν ἡ
γῆ, καὶ ἐγένετο ἔκστασις παρὰ Κυρίου.

E ** ΙΩΣΗΠΟΥ. Ταραχῆς καὶ ἐκπλή-
ξεως αὐτοὺς ἐγέμισαν· ὡς τινὰς μὲν φυ-
γεῖν τὰς πανοπλίας ἀποῤῥίψαντας, οἱ δὲ
πολλοὶ μὴ γνωρίζοντες ἑαυτοὺς, διὰ τὸ πολ-
λῶν ἐθνῶν εἶναι, πολεμίους ὑπονοοῦντες ἀλ-
λήλους· καὶ γὰρ εἴκαζον ἀναβῆναι πρὸς αὐ-
τοὺς τῶν Ἑβραίων οὐχὶ τοὺς δύω μόνους· εἰς
μάχην ἐτράποντο. καὶ οἱ μὲν αὐτῶν ἀπέ-
θνησκον κλεινόμενοι· τινὲς δὲ φεύγοντες,
κατὰ πετρῶν ὠθούμενοι κατεκρημνίζοντο.

Z ις. Καὶ εἶδον οἱ σκοποὶ τοῦ Σαοὺλ
ἐν Γαβεὲ (4) Βενιαμὶν, καὶ ἰδοὺ ἡ πα-
ρεμβολὴ τεταραγμένη ἔνθεν καὶ ἔν-
ιζ. θεν. Καὶ εἶπε Σαοὺλ τῷ λαῷ τῷ
μετ' αὐτοῦ, ἐπισκέψασθε δὴ, καὶ ἴδετε
τίς πεπόρευται ἐξ ὑμῶν. καὶ ἐπεσκέ-
ψαντο, καὶ ἰδοὺ οὐχ εὑρίσκετο Ἰωνά-
ιη. θαν καὶ ὁ αἴρων τὰ σκεύη αὐτοῦ. Καὶ
H εἶπε Σαοὺλ τῷ Ἀχιᾷ, προσάγαγε τὸ

(1) Ἀνῄρουν ἐκεῖνοι, ἐκ διαφόρων συνειλεγμένοι πόλεων ὄντες, καὶ ἀλλήλοις ὡς πολεμίοις ἐκέχρηντο. ἡ ἐν Χαλ. ἔκδ.
(2) Ἀλλοφύλων. ἡ αὐτ.
(3) Ἐξέστησαν, καὶ αὐτοὶ οὐκ ἤθελον ποιεῖν· ἡ εἰρημ. ἐκδόσ.
(4) Γαβαά. ἡ αὐτ.

A ἐφοὺδ· ὅτι αὐτὸς ἦρε τὸ ἐφοὺδ ἐν τῇ
ιθ. ἡμέρᾳ ἐκείνῃ ἐνώπιον Ἰσραήλ. Καὶ
ἐγενήθη Σαοὺλ ὡς ἐλάλει πρὸς τὸν
ἱερέα, καὶ ὁ ἦχος ἐν τῇ παρεμβολῇ
τῶν ἀλλοφύλων ἐπορεύετο πορευόμε-
νος καὶ ἐπλήθυνε. καὶ εἶπε Σαοὺλ πρὸς
τὸν ἱερέα, συνάγαγε τὰς χεῖράς σου.
κ. Καὶ ἀνέβη Σαοὺλ καὶ πᾶς ὁ λαὸς ὁ
μετ' αὐτοῦ, καὶ ἔρχονται ἕως τοῦ πο-
B λέμου. καὶ ἰδοὺ ἐγένετο ῥομφαία ἀν-
δρὸς ἐπὶ τὸν πλησίον αὐτοῦ, σύγχυ-
σις μεγάλη σφόδρα.

** ΙΩΣΗΠΟΥ. Τῶν Σαούλου κατασκόπων τεταράχθαι τὸ στρατόπεδον τῶν Παλαιστίνων φρασάντων τῷ βασιλεῖ, Σάουλος ἠρώτα, μή τις εἴη τῶν αὐτοῦ κεχωρισμένος. ἀκούσας δὲ τὸν υἱὸν καὶ σὺν αὐτῷ τὸν ὁπλοφόρον ἀπεῖναι, κελεύει τὸν ἀρχιερέα, λαβόντα τὴν ἀρχιερατικὴν στολήν, προφητεύειν αὐτῷ περὶ τῶν μελλόντων. τοῦ δὲ νίκην ἔσεσθαι καὶ κράτος κατὰ τῶν πολεμίων φράσαντος, ἐπεξέρχεται τοῖς Παλαιστίνοις, καὶ τεταραγμένοις προσβάλλει καὶ φονεύουσιν ἀλλήλους.

κα. Καὶ οἱ δοῦλοι οἱ ὄντες ἐχθὲς
καὶ τρίτην ἡμέραν μετὰ τῶν ἀλλο-
φύλων οἱ ἀναβάντες εἰς τὴν παρεμ-
Δ βολήν, ἐπεστράφησαν καὶ αὐτοὶ εἶναι
μετὰ Ἰσραὴλ τῶν μετὰ Σαοὺλ καὶ Ἰω-
κβ. νάθαν. Καὶ πᾶς Ἰσραὴλ ὁ κρυπτό-
μενος ἐν τῷ ὄρει Ἐφραὶμ, καὶ ἤκουσαν
ὅτι πεφεύγασιν οἱ ἀλλόφυλοι· καὶ
συνάπτουσι καὶ αὐτοὶ ὀπίσω αὐτῶν
εἰς πόλεμον. καὶ ἔσωσε Κύριος ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ τὸν Ἰσραήλ. καὶ ὁ πό-
λεμος διῆλθε τὴν Βαμώθ. καὶ πᾶς
E ὁ λαὸς ἦν μετὰ Σαοὺλ ὡς δέκα χι-
κγ. λιάδες ἀνδρῶν. Καὶ ἦν ὁ πόλεμος
διεσπαρμένος εἰς ὅλην τὴν πόλιν ἐν
τῷ ὄρει Ἐφραίμ.

** ΙΩΣΗΠΟΥ. Προστρέχουσιν αὐτῷ καὶ οἱ πρότερον εἴς τε τοὺς ὑπονόμους καὶ εἰς τὰ σπήλαια συμφυγόντες, ἀκούσαντες ὅτι νικᾷ Σάουλος. γενομένων δὲ ὡς μυρίων ἤδη τῶν Ἑβραίων, διώκει τοὺς πολεμίους κατὰ πᾶσαν ἐσκορπισμένους τὴν χώραν.

κδ. Καὶ Σαοὺλ ἠγνόησεν ἄγνοιαν
μεγάλην ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἀρᾶ-
ται τῷ λαῷ, λέγων, ἐπικατάρατος
ὁ ἄνθρωπος ὃς φάγεται ἄρτον ἕως
ἑσπέρας· καὶ ἐκδικήσω τὸν ἐχθρόν μου.
καὶ οὐκ ἐγεύσατο πᾶς ὁ λαὸς ἄρτου·
καὶ πᾶσα ἡ γῆ ἠρίστα.

** ΙΩΣΗΠΟΥ. Εἴ τε ὑπὸ τῆς ἐπὶ τῇ νίκῃ χαρᾶς οὕτω παραλόγως γενομένης· συμβαίνει γὰρ μὴ κρατεῖν τοῦ λογισμοῦ τοὺς οὕτως εὐτυχήσαντας· εἴθ' ὑπὸ ἀγνοίας, εἰς δεινὸν προσπίπτει καὶ πολλὴν ἔχον κατάμεμψιν ἔργον. βουλόμενος γὰρ ἑαυτῷ τε (1) τιμωρῆσαι, καὶ δίκην ἀπολαβεῖν παρὰ τῶν Παλαιστίνων, ἐπαρᾶται τοῖς Ἑβραίοις· ἵν' εἴ τις, ἀποσχόμενος τοῦ φονεύειν τοὺς ἐχθροὺς φάγοι, καὶ μὴ μέχρις οὗ νὺξ ἐπελθοῦσα τῆς ἀναιρέσεως καὶ τῆς διώξεως αὐτοὺς παύσῃ τῶν πολεμίων, οὗτος ἐπάρατος ᾖ.

* ΘΕΟΩΔΡΙΤΟΥ. Τραπέντας ἐκείνους ἰδών, ἀνοήτως καὶ ἄγαν ἠλιθίως ἀνεθεμάτισε τὸν τροφῆς ἢ ποτοῦ πρὸ τῆς ἑσπέρας μεταλαμβάνοντα.

κε. Καὶ ἰδοὺ δρυμὸς ἦν μελισσῶνος
κς. κατὰ πρόσωπον τοῦ ἀγροῦ. Καὶ εἰσῆλ-
θεν ὁ λαὸς εἰς τὸν μελισσῶνα, καὶ ἰδοὺ
ἐπορεύετο λαλῶν· καὶ ἰδοὺ οὐκ ἦν ὁ
ἐπιστρέφων τὴν χεῖρα αὐτοῦ εἰς τὸ στό-
Γ μα αὐτοῦ, ὅτι ἐφοβήθη ὁ λαὸς τὸν
ὅρκον Κυρίου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Δρυμῶνα παρῄει τὸ στρατόπεδον μελισσῶνα ἔχοντα, καὶ ὁ μελισσὼν κατὰ πρόσωπον τοῦ λαοῦ, καὶ εἰσῆλθεν ὁ λαὸς εἰς τὸν μελισσῶνα, καὶ διεπορεύετο λαλῶν. εἶδες οἷον τὸ βάραθρον; τράπεζα ἐσχεδιασμένη, ἵνα καὶ τὸ εὔκολον τῆς ἐπιχειρήσεως, καὶ τὸ ἡδὺ τῆς τροφῆς, καὶ ἡ τοῦ λήσεσθαι ἐλπὶς εἰς τὴν παράβασιν αὐτοὺς προκαλέσηται τῶν ὅρκων. ὅτε γὰρ λιμὸς, ὅτε κάματος καὶ ὁ καιρός· » πᾶσα γὰρ ἡ γῆ, φησὶν, ἠρίστα· τότε ὤθουν ἐπὶ τὴν παρανομίαν. καὶ ἡ τῶν κηρίων δὲ ὄψις ἔξωθεν αὐτοὺς προεκαλεῖτο ἐκλύουσα τὴν εὐτονίαν· τό, τε γὰρ ἡδὺ καὶ εὐπαράσκευον τῆς τραπέζης, καὶ τὸ δυσφώρατον τῆς κλοπῆς, ἱκανὰ πᾶσαν ἦν δελεάσαι τὴν φιλοσοφίαν. ἐὰν γὰρ κρέα ἦν, ἅπερ ἑψεῖν καὶ ὀπτᾶν ἔδει, οὐκ ἂν οὕτως αὐτῶν ἐγοήτευσε τὴν ψυχὴν, ἐν τῷ μαγειρεύειν αὐτὰ, καὶ πρὸς τροφὴν παρασκευάζειν μελλόντων καὶ βραδυνόντων καὶ καραδοκούντων ἁλώσεσθαι. νυνὶ δὲ οὐδὲν τοιοῦτον ἦν, ἀλλὰ μέλι μόνον, ἔνθα πραγματείας μὲν οὐδεμιᾶς ἔδει τοιαύτης, ἤρκει δὲ ἄκρῳ τῷ δακτύλῳ βάψαντα μετασχεῖν τῆς τραπέζης καὶ λαθεῖν. ἀλλ' ὅμως ἐκεῖνοι κατεῖχον τῆς ἐπιθυμίας, καὶ οὐκ εἶπον πρὸς αὐτοὺς, τί δὲ ἡμῖν μέλει; μὴ γὰρ δὴ ἡμῶν τὶς ὠμόσατο τοῦτο; ἐκεῖνος δώσει δίκην τῶν ἀπερισκέπτων ὅρκων. τίνος γὰρ ἕνεκεν ὤμνυ; ἀλλ' οὐδὲν τούτων ἐνενόησαν, ἀλλὰ μετὰ πολλῆς τῆς εὐλαβείας παρῄεσαν, καὶ τοσούτων ὄντων δελεαζόντων αὐτοὺς, ἐφιλοσόφουν· » καὶ διεπορεύετο ὁ λαὸς λαλῶν. τί ἐστι λαλῶν; τὴν ὀδύνην διὰ τῶν ῥημάτων παραμυθούμενοι διελέγοντο πρὸς ἀλλήλους.

κζ. Καὶ Ἰωνάθαν οὐκ ἀκηκόει ἐν τῷ
Η ὁρκίζειν τὸν πατέρα αὐτοῦ τὸν λαόν·
καὶ ἐξέτεινε τὸ ἄκρον τοῦ σκήπτρου αὐ-
τοῦ τοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ ἔβαψεν
αὐτὸ

(1) Παντελῶς τιμ. ὀρθότερ. ὡς κεῖται ἐν ταῖς σημ. ταῖς ἐν σελ. 326. τοῦ 6. κεφ. τοῦ 6. βιβλ. περὶ Ἰουδ. ἀρχ.

αὐτὸ εἰς τὸ κηρίον τοῦ μέλιτος, καὶ
ἐπέστρεψε τὴν χεῖρα αὐτοῦ εἰς τὸ στό-
μα αὐτοῦ, καὶ ἀνέβλεψαν οἱ ὀφθαλ-
μοὶ αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ὁ τοῦ Σαοὺλ παῖς οὐκ
ἐπακηκοὼς τῆς τοῦ πατρὸς ἀρᾶς, οὐδὲ τῆς
ἐπ' αὐτῇ τοῦ πλήθους ὁμολογίας, ἀποθλί-
ψας τι κηρίον τοῦ μέλιτος, ἤσθιε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ ὁ λαὸς
ἐφιλοσόφησεν ἅπας, ἆρα οὐδὲν ἐγένετο
πλέον; ἆρα ἐφυλάχθη ὁ ὅρκος; οὐδὲ οὕτω
μὲν οὖν, ἀλλὰ παρεβάθη. πῶς καὶ τίνι
τρόπῳ; αὐτίκα ἀκούσεσθε, ἵνα καὶ τὴν τοῦ
Διαβόλου τέχνην καταμάθητε πᾶσαν. ὁ
γὰρ Ἰωνάθαν οὐκ ἀκούσας ἐν τῷ ὁρκίζειν
» τὸν πατέρα αὐτοῦ, ἐξέτεινε τὸ ἄκρον τοῦ
» σκήπτρου αὐτοῦ τοῦ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ
» ἐβάπτισεν εἰς τὸ κηρίον τοῦ μέλιτος, καὶ
» ἐπέστρεψε τὴν χεῖρα αὐτοῦ ἐν τῷ στόματι
» αὐτοῦ, καὶ ἀνέβλεψαν οἱ ὀφθαλμοὶ αὐτοῦ.
ὅρα τίνα πρὸς τὴν ἐπιορκίαν ὤθησεν· οὐχ
ἕνα τῶν στρατιωτῶν, ἀλλ' αὐτὸν τὸν υἱὸν
τοῦ ὀμωμοκότος. οὐ γὰρ ἐπιορκίαν ἐργάσα-
σθαι ἐβούλετο μόνον, ἀλλὰ καὶ παιδοκτονίαν
συνετίθει καὶ κατεσκεύαζε πόῤῥωθεν, καὶ
τὴν φύσιν αὐτὴν καθ' ἑαυτῆς χίσαι ἠπεί-
γετο. καὶ ὅπερ ἐπὶ τοῦ Ἰεφθάε ποτὲ ἐποίη-
σε, τοῦτο καὶ μετὰ ταῦτα ποιήσειν ἤλπισε.
» Καὶ μετ' ὀλίγα. Ἐπειδὴ γὰρ ἔφαγεν, ἀνέβλε-
» ψαν οἱ ὀφθαλμοὶ αὐτοῦ, φησί. πολλὴν
καὶ ἐνταῦθα τοῦ βασιλέως κατηγορεῖ τὴν
ἄνοιαν, δεικνὺς ὅτι σχεδὸν ὁ λιμὸς ἐπήρωσε
τοὺς στρατιώτας ἅπαντας, καὶ πολλὴν τῶν
ὀφθαλμῶν αὐτῶν κατέχεε τὴν ἀχλύν.

** ΝΕΙΛΟΥ. Ὡς ἔοικεν, Ἰωνάθαν κα-
τὰ τὸ πνεῦμα ζηλοῖς τὸν τοῦ Σαοὺλ υἱόν.
ἐκεῖνος μὲν γὰρ καθ' ἱστορίαν φησὶν, ὅτι
ἐγευσάμην τοῦ μέλιτος τῷ ἄκρῳ τοῦ σκή-
πτρου μου, καὶ βλέπουσιν οἱ ὀφθαλμοί μου.
σὺ δέ γε πνευματικῶς τοῦ νοητοῦ μέλιτος
μεταλαβὼν, τῶν μέλιτος γλυκυτέρων ῥη-
μάτων τοῦ κρείττονος, βλέπεις τοῖς τῆς ψυ-
χῆς ὄμμασι τὰ τοῖς πολλοῖς δυσθέατα.

κη. Καὶ ἀπεκρίθη εἷς ἐκ τοῦ λαοῦ,
καὶ εἶπεν, ὁρκίσας ὥρκισεν ὁ πατήρ
σου τὸν λαὸν, λέγων, ἐπικατάρατος
ὁ ἄνθρωπος ὃς φάγεται ἄρτον σήμε-
κθ. ρον. καὶ ἐξελύθη ὁ λαός. Καὶ ἔγνω
Ἰωνάθαν, καὶ εἶπεν, ἀπήλλαχεν ὁ πα-
τήρ μου τὴν γῆν. ἴδε, διότι εἶδον οἱ
ὀφθαλμοί μου ὅτι ἐγευσάμην βρα-
χύ τι τοῦ μέλιτος τούτου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἰδών τις, φησὶ,
» τῶν στρατιωτῶν λέγει· ὁρκίσας ὥρκισεν ὁ
» πατήρ σου τὸν λαὸν ὃς φάγεται ἄρτον σή-
» μερον. καὶ ἐξελύθη ὁ λαός. καὶ εἶπεν Ἰω-
» νάθαν, ἀπήλλαχεν ὁ πατήρ μου τὴν γῆν.
τί ἐστιν ἀπήλλαχεν; ἀπώλεσε, διέφθειρεν
ἅπαντας. παραβαθέντος τοίνυν τοῦ ὅρκου,
πάντες ἐσίγων, καὶ οὐδεὶς τὸν ὑπεύθυνον
εἰς μέσον ἀγαγεῖν ἐτόλμα. οὐ μικρὸν δὲ καὶ
τοῦτο ἔγκλημα λοιπὸν ἐγίνετο. οὐ γὰρ οἱ

A ἐπιορκοῦντες μόνον, ἀλλὰ καὶ οἱ συνειδότες
μὲν, περιστέλλοντες δὲ, κοινωνοῦσι τῶν ἐγ-
κλημάτων.

λ. Ἀλλ' ὅτι εἰ ἔφαγεν ἔσθων ὁ
λαὸς σήμερον τῶν σκύλων τῶν ἐχ-
θρῶν αὐτοῦ ὧν εὗρεν, ὅτι νῦν ἂν μεί-
ζων ἦν ἡ πληγὴ ἐν τοῖς ἀλλοφύλοις.

** ΙΩΣΗΠΟΥ. Γνοὺς, ὅτι μετὰ δει-
νῆς ἀρᾶς ὁ πατὴρ ἀπεῖπε γεύσασθαί τινα
B πρὸ ἡλίου δυσμῶν, ἐσθίων μὲν ἐπαύσατο,
ἔφη δὲ οὐκ ὀρθῶς τοῦτο κωλῦσαι τὸν πα-
τέρα. μετὰ μείζονος γὰρ ἰσχύος ἂν καὶ
προθυμίας διώκοντας, εἰ τροφῆς μετε-
λάμβανον, πολλῷ πλείονας καὶ λαβεῖν τῶν
ἐχθρῶν καὶ φονεῦσαι.

λα. Καὶ ἐπάταξεν ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ ἐκ τῶν ἀλλοφύλων ἐν Μαχ-
μάς. καὶ ἐκοπίασεν ὁ λαὸς σφόδρα.
λβ. Καὶ ἐκλήθη ὁ λαὸς εἰς τὰ σκῦλα.
Γ καὶ ἔλαβεν ὁ λαὸς ποίμνια, καὶ βου-
κόλια, καὶ τέκνα βοῶν, καὶ ἔσφαξεν
ἐπὶ τὴν γῆν, καὶ ἤσθιεν ὁ λαὸς σὺν
τῷ αἵματι.

** ΙΩΣΗΠΟΥ. Πολλὰς κατακόψαντες
μυριάδας τῶν Παλαιστίνων, δείλης ὀψίας ἐπὶ
διαρπαγὴν τοῦ στρατοπέδου τῶν Παλαιστίνων
τρέπονται· καὶ λείαν πολλὴν, καὶ βοσκή-
Δ ματα λαβόντες κατασφάζουσι, καὶ ταῦτ'
ἐν αἵματι κατήσθιον.

λγ. [Καὶ ἀπηγγέλη Σαοὺλ, λέ-
γοντες, ἡμάρτηκεν ὁ λαὸς τῷ Κυρίῳ,
φαγὼν σὺν τῷ αἵματι.] καὶ εἶπε
Σαοὺλ, ἐν Γεθαὶμ κυλίσατέ μοι λί-
λδ. θον ἐνταῦθα μέγαν. Καὶ εἶπε Σαοὺλ,
διασπάρητε ἐν τῷ λαῷ, καὶ εἴπατε
αὐτοῖς προσαγαγεῖν ἐνταῦθα ἕκαστον
E τὸν μόσχον αὐτοῦ, καὶ ἕκαστον τὸ πρό-
βατον αὐτοῦ· καὶ σφαζέτω ἐπὶ του-
του, καὶ οὐ μὴ ἁμάρτητε τῷ Κυρίῳ τοῦ
ἐσθίειν σὺν τῷ αἵματι. καὶ προσήγα-
γε πᾶς ὁ λαὸς ἕκαστος τὸ ἐν τῇ χειρὶ
λε. αὐτοῦ τὴν νύκτα, καὶ ἔσφαζον ἐκεῖ. Καὶ
ᾠκοδόμησεν ἐκεῖ Σαοὺλ θυσιαστήριον
τῷ Κυρίῳ. τοῦτο ἤρξατο Σαοὺλ οἰκο-
Z δομῆσαι θυσιαστήριον τῷ Κυρίῳ.

** ΙΩΣΗΠΟΥ. Ἀπαγγέλλεται τῷ βα-
σιλεῖ ὑπὸ τῶν Γραμματέων, ὅτι τὸ πλῆ-
θος εἰς τὸν Θεὸν ἐξαμαρτάνει θῦσαν, καὶ
πρὶν ἢ τὸ αἷμα καλῶς ἀποπλῦναι καὶ τὰς
σάρκας ποιῆσαι καθαρὰς, ἐσθίον. καὶ ὁ
Σαοῦλος κελεύει κυλισθῆναι λίθον μέγαν
εἰς μέσον, καὶ κηρύσσει θύειν ἐπ' αὐτοῦ τὸν
ὄχλον τὰ ἱερεῖα, καὶ τὰ κρέα μὴ σὺν τῷ
αἵματι δαίνυσθαι. τοῦτο γὰρ οὐκ εἶναι τῷ
H Θεῷ κεχαρισμένον. τοῦτο δὲ πάντων κατὰ
τὴν πρόσταξιν τοῦ βασιλέως ποιησάντων,
ἵστησιν ἐκεῖ βωμὸν ὁ Σαοῦλος, καὶ ὁλοκαύ-
τωσεν ἐκεῖ ἐπ' αὐτοῦ τῷ Θεῷ. τοῦτον πρῶ-
τον βωμὸν κατεσκεύασε.

λς. Καὶ

A λϛ. Καὶ εἶπε Σαοὺλ, καταβῶμεν ὀπίσω τῶν ἀλλοφύλων τὴν νύκτα, καὶ διαρπάσωμεν ἐν αὐτοῖς ἕως διαφαύσῃ ἡ ἡμέρα, καὶ μὴ ὑπολείπωμεν ἐν αὐτοῖς ἄνδρα. καὶ εἶπαν, πᾶν τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου ποίει. καὶ εἶπεν ὁ ἱερεὺς, προσέλθωμεν ἐνταῦθα πρὸς τὸν Θεόν.

B λζ. Καὶ ἐπηρώτησε Σαοὺλ τὸν Θεὸν, εἰ καταβῶ ὀπίσω τῶν ἀλλοφύλων, εἰ παραδώσεις αὐτοὺς εἰς χεῖρας Ἰσραήλ; καὶ οὐκ ἀπεκρίθη αὐτῷ Κύριος ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

ΑΔΗΛΟΥ. Σημείωσον τὸ σχῆμα τῆς ἐρωτήσεως διὰ τὸ κείμενον ἐν τέλει τῶν Κριτῶν, (1) ὅπου ἐπολέμησαν αἱ ἕνδεκα φυλαὶ μετὰ τοῦ Βενιαμίν.

Γ ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα πρᾳότητα καὶ ἐπιείκειαν τοῦ φιλανθρώπου Θεοῦ. οὐ γὰρ σκηπτὸν ἀφῆκεν, οὐδὲ τὴν γῆν ἔσεισεν, ἀλλ' ὃ φίλοι πρὸς φίλους ποιοῦσιν, ἐπειδὰν ὑβρισθῶσι, τοῦτο πρὸς τὸν δοῦλον ὁ δεσπότης ἐποίησε· παρεσιώπησε μόνον, διὰ τῆς σιγῆς φθεγγόμενος, καὶ πᾶσαν ἐνδεικνύμενος αὐτῷ τὴν ὀργήν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ ἀνοήτως ἀνεθεμάτισε, τί δήποτε ὁ Θεὸς τὸν ἀναθεματισμὸν ἐβεβαίωσεν; ἐρομένῳ γὰρ εἰ πολεμητέον, οὐκ ἀπεκρίνατο. Πρῶτον αὐτὸν διελέγχει παραλόγως ἐπαρασάμενον. ἔπειτα διδάσκει, μηδὲ τῶν τοιούτων ἀναθεμάτων καταφρονεῖν. ἐνταῦθα δὲ ὁ μὲν σκοπὸς εὐσεβὴς ἦν· εἰς Θεοῦ γὰρ ὡρίσθη τιμήν· ἀλλ' ἔδει σκοπῆσαι τῶν πολεμούντων τὸν πόνον, καὶ ὅτι ὡς εἰκὸς ἦν τινὰς τῷ πόνῳ τρυχομένους πιεσθῆναι δίψῃ, καὶ βιασθῆναι παραβῆναι τὸν ὅρον· (2) ἢ μηδὲ τὴν ἀρὰν ἀκούσαντας εἰς βρῶσιν τινὸς ἢ πόσιν ἐλθεῖν. καὶ γὰρ ὁ παῖς μετὰ τὴν τοῦ μέλιτος γεῦσιν ἤκουσε τοῦ πατρὸς τὴν ἀρὰν, ἑτέρων ἀπαγγειλάντων. ἀλλ' ὅμως καὶ τὴν τῆς ἀγνοίας ἔχων ἀπολογίαν, ἄχρις αὐτῆς ἐκινδύνευσε τῆς ζωῆς. ἀπηλλάγει δὲ τῆς σφαγῆς διὰ τὴν τοῦ λαοῦ δικαίαν συνηγορίαν, καὶ ἱκετείαν σπουδαίαν.

λη. Καὶ εἶπε Σαοὺλ, προσαγάγετε ἐνταῦθα πάσας γωνίας Ἰσραήλ, καὶ γνῶτε καὶ ἴδετε ἐν τίνι γέγονεν ἡ ἁμαρτία αὕτη σήμερον.

» ** ΙΩΣΗΠΟΥ. Ἀλλ' οὐ δίχα αἰτίας
» εἶπεν ὁ Σάουλος, πυνθανομένοις ἡμῖν φω-
» νὴν οὐ δίδωσιν ὁ Θεός· ὃς πρότερον αὐτὸς
» προεμήνυσε πάντα, καὶ μηδ' ἐπερωτῶ-
» σιν ἔφθανε λέγων· ἀλλ' ἔστι τι λανθά-
» νον ἐξ ἡμῶν ἁμάρτημα πρὸς αὐτὸν αἴτιον
» τῆς σιωπῆς.

λθ. Ὅτι ζῇ Κύριος ὁ σώσας τὸν Ἰσραὴλ, ὅτι ἐὰν ἀποκριθῇ κατὰ Ἰωνάθαν τοῦ υἱοῦ μου, θανάτῳ ἀποθανεῖται. καὶ οὐκ ἦν ὁ ἀποκρινόμενος ἐκ παντὸς τοῦ λαοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες προπέτειαν; ἰδὼν τὸν πρότερον ὅρκον παραβαθέντα, οὐδὲ οὕτω σωφρονίζεται, ἀλλὰ καὶ δεύτερον προστίθησι πάλιν. καὶ σκόπει Διαβόλου κακουργίαν. ἐπειδὴ γὰρ συνεῖδεν ὅτι πολλάκις ὁ παῖς φωραθεὶς, καὶ εἰς μέσον ἐνεχθεὶς, ἀπὸ τῆς ὄψεως αὐτῆς εὐθέως τὸν πατέρα πραῢναι δύναται, καὶ μαλάξαι τὸν τοῦ βασιλέως θυμὸν, δευτέρων πάλιν ὅρκων ἀνάγκῃ προκατέβαλεν αὐτοῦ τὴν γνώμην, διπλῷ τινι δεσμῷ προκατέχων αὐτὸν, καὶ οὐκ ἀφιεὶς τῆς οἰκείας γενέσθαι γνώμης κύριον, ἀλλὰ πανταχόθεν αὐτὸν ὠθῶν εἰς τὴν παράνομον ἐκείνην σφαγήν. καὶ οὔπω τοῦ ἡμαρτηκότος φανέντος, τὴν κρίσιν πεποίηται καὶ τὸν ἁλόντα οὐκ εἰδὼς ἀπεφήνατο, καὶ ὁ πατὴρ ἐγένετο δήμιος, καὶ πρὸ τῆς ἐξετάσεως τὴν καταδικάζουσαν ψῆφον ἐξήνεγκε. τί τούτου γένοιτ' ἂν ἀλογώτερον; ταῦτα τοίνυν εἰπόντος τοῦ Σαοὺλ, μᾶλλον ἔδεισεν ὁ δῆμος, καὶ πάντες ἦσαν ἐν τρόμῳ καὶ φόβῳ πολλῷ. ὁ δὲ Διάβολος ἔχαιρε πάντας ἐν ἀγωνίᾳ κα-
» ταστήσας. οὐ γὰρ ἦν ὁ ἀποκρινόμενος, φη-
Δ » σὶν, ἐκ παντὸς τοῦ λαοῦ. Καὶ μετ' ὀλίγα. Ὅρα δὲ καὶ ἄλλην ἀπὸ τοῦ ὅρκου γενομένην ἐναντίωσιν. δέον γὰρ εἴπερ ἐβούλετο τὸν αἴτιον εὑρεῖν, μηδὲν ἀπειλῆσαι τοιοῦτο, μηδὲ ὅρκῳ καταδῆσαι τὴν τιμωρίαν, ἵν' ἀδεέστεροι γενόμενοι, προχειρότερον εἰς μέσον ἀγάγωσι τὸν ὑπεύθυνον· ὁ δὲ ὑπὸ θυμοῦ καὶ μανίας πολλῆς, καὶ τῆς προτέρας ἀλογίας, πάλιν τοὐναντίον ἤπερ βούλεται ποιεῖ.

E μ. Καὶ εἶπε παντὶ ἀνδρὶ Ἰσραὴλ, ὑμεῖς ἔσεσθε εἰς δουλείαν, καὶ ἐγὼ καὶ Ἰωνάθαν (3) ἐσόμεθα εἰς δούλους. καὶ εἶπεν ὁ λαὸς πρὸς Σαοὺλ, τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου (4) ποίει.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ εἶπε Σαοὺλ,
» ὑμεῖς ἔσεσθε εἰς δουλείαν, καὶ ἐγὼ καὶ Ἰω-
» νάθαν ὁ υἱός μου εἰς δουλείαν. Ὃ δὲ λέγει τοιοῦτόν ἐστιν· οὐδὲν ἕτερον σπουδάζετε, φησὶν, ἀλλ' ἢ τοῖς πολεμίοις ὑμᾶς παραδοῦναι, Z καὶ δούλους ἀντ' ἐλευθέρων ποιῆσαι, τὸν Θεὸν καθ' ἡμῶν παροξύναντες, τῷ μὴ διδόναι τὸν ὑπεύθυνον.

μα. Καὶ εἶπε Σαοὺλ, Κύριε ὁ Θεὸς Ἰσραὴλ, τί ὅτι οὐκ ἀπεκρίθης τῷ δούλῳ σου σήμερον; εἰ ἐν ἐμοὶ ἢ ἐν Ἰωνάθαν τῷ υἱῷ μου ἡ ἀδικία; Κύριε ὁ Θεὸς Ἰσραὴλ δὸς δήλους. καὶ ἐὰν τάδε εἴπῃς (5) ἐν τῷ λαῷ σου Ἰσραὴλ ἡ ἀδικία,

(1) Ἐν κεφ. 20. (2) Ὅρον. τοῦτο γὰρ πέπονθε καὶ Ἰωνάθαν ὁ θαυμάσιος. ἀλλ' ἀγνοῶν παρέβη τὸν τοῦ ἀναθέματος ὅρον. μετὰ γὰρ δὴ τὴν τοῦ μέλιτος, κτ. ἡ ἐν Χάλ. ἔκδ.
(3) Ἰωνάθαν ὁ υἱός μου. αἱ εἰρημ. ἐκδόσ. (4) Ἐνώπιόν σου. αἱ αὐτ.
(5) Εἴπῃ, δὸς δὴ τῷ λαῷ σου Ἰσραὴλ, δὸς δὴ ὁσιότ. αἱ αὐτ.

ἀδικία, δὸς δὴ ὁσιότητα. καὶ κατα-
κληροῦται Ἰωνάθαν καὶ Σαοὺλ, καὶ ὁ
μβ. λαὸς ἐξῆλθε. Καὶ εἶπε Σαοὺλ, βάλ-
λε κλῆρον ἀναμέσον ἐμοῦ καὶ ἀναμέ-
σον Ἰωνάθαν τοῦ υἱοῦ μου. ὃν ἂν κατα-
κληρώσηται Κύριος, ἀποθανέτω. καὶ
εἶπεν ὁ λαὸς πρὸς Σαοὺλ, οὐκ ἔστι τὸ
ῥῆμα τοῦτο. καὶ κατεκράτησε Σαοὺλ
τοῦ λαοῦ, καὶ βάλλουσιν ἀναμέσον αὐ-
τοῦ καὶ ἀναμέσον Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ,
καὶ κατακληροῦται Ἰωνάθαν.

μγ. Καὶ εἶπε Σαοὺλ πρὸς Ἰωνά-
θαν, ἀπάγγειλον δή μοι τί ἐποίησας.
καὶ ἀπήγγειλεν αὐτῷ Ἰωνάθαν, καὶ
εἶπε, γευσάμενος ἐγευσάμην ἐν ἄκρῳ
τῷ σκήπτρῳ τῷ ἐν τῇ χειρί μου βραχὺ
μέλι, καὶ ἰδοὺ ἐγὼ ἀποθνήσκω.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τίνα οὐκ ἂν ἐπέκαμψε; τίνα οὐκ ἂν εἰς οἶκτον ἤνεγκε ταῦτα τὰ ῥήματα; ἐννόησον ὅσον χειμῶνα λοιπὸν ὁ Σαοὺλ ὑπέμεινε, τῶν σπλάγχνων αὐτῷ διακοπτομένων, καὶ ἑκατέρωθεν βαθυτάτου κρημνοῦ φαινομένου· ἀλλ' ὅμως οὐδὲ οὕτως ἐσωφρονίζετο.

μδ. Καὶ εἶπεν αὐτῷ Σαοὺλ, τάδε
ποιήσαι μοι ὁ Θεὸς καὶ τάδε προσθείη,
ὅτι θανάτῳ ἀποθανῇ σήμερον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἰδοὺ τρίτος ὅρκος πάλιν, καὶ οὐδὲ ἁπλῶς τρίτος, ἀλλὰ μετὰ πολλῆς τῆς τοῦ καιροῦ στενοχωρίας. οὐ γὰρ εἶπεν ἁπλῶς, ὅτι ἀποθανῇ, ἀλλὰ σήμερον. ἤπειγε γὰρ ἤπειγεν ὁ Διάβολος συνωθῶν καὶ συνελαύνων αὐτὸν εἰς τὴν παράνομον ταύτην σφαγήν. διόπερ οὐκ ἀφίησιν οὐδὲ προθεσμίαν δοῦναι τῇ ψήφῳ, ἵνα μηδεμία ἀπὸ τῆς μελλήσεως διόρθωσις γένηται τοῦ κακοῦ.

με. Καὶ εἶπεν ὁ λαὸς πρὸς Σαοὺλ,
εἰ σήμερον ἀποθανεῖται ὁ ποιήσας τὴν
σωτηρίαν τὴν μεγάλην ταύτην ἐν
Ἰσραήλ; ζῇ Κύριος, εἰ πεσεῖται τῆς
τριχὸς τῆς κεφαλῆς αὐτοῦ ἐπὶ τὴν
γῆν, ὅτι ἔλεος τοῦ Θεοῦ ἐποίησεν ἐν
τῇ ἡμέρᾳ ταύτῃ. καὶ προσηύξατο ὁ
A λαὸς περὶ Ἰωνάθαν τῇ ἡμέρᾳ ἐκείνῃ,
καὶ οὐκ ἀπέθανε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἰδοὺ καὶ ὁ δῆμος δεύτερον ὤμοσε, καὶ ἀντώμοσε τῷ βασιλεῖ.

** ΙΩΣΗΠΟΥ. Ὁ λαὸς πᾶς ἤλγησε καὶ συνέπαθεν, ὤμοσέ τε μὴ περιόψεσθαι τὸν αἴτιον τῆς νίκης Ἰωνάθην ἀποθανοῦντα. καὶ τὸν μὲν οὕτως ἐξαρπάζουσι τῆς τοῦ πατρὸς ἀρᾶς· αὐτοὶ δὲ εὐχὰς ὑπὲρ τοῦ
B νεανίσκου ποιοῦνται τῷ Θεῷ, ὡς αὐτὸν ἀπολύσαι τοῦ ἁμαρτήματος.

μϛ. Καὶ ἀνέβη Σαοὺλ ἀπὸ ὄπισθεν
τῶν ἀλλοφύλων· καὶ οἱ ἀλλόφυλοι
μζ. ἀπῆλθον εἰς τὸν τόπον αὐτῶν. Καὶ
Σαοὺλ ἔλαχε τοῦ βασιλεύειν ἐπὶ Ἰσ-
ραήλ. καὶ ἐπολέμει κύκλῳ πάντας
τοὺς ἐχθροὺς αὐτοῦ εἰς τὴν Μωὰβ, καὶ
εἰς τοὺς υἱοὺς Ἀμμὼν, καὶ εἰς τοὺς υἱοὺς
Γ Ἐδὼν, (1) καὶ εἰς τὸν Βεθεὼρ, καὶ εἰς
βασιλέα Σουβὰ, (2) καὶ εἰς τοὺς ἀλλο-
φύλους· οὗ ἐὰν ἐπέβλεψεν, ἐσώζετο.
μη. Καὶ ἐποίησε δύναμιν, καὶ ἐπάταξε
τὸν Ἀμαλήκ. καὶ ἐξείλετο τὸν Ἰσραὴλ
ἐκ χειρὸς τῶν καταπατούντων αὐτόν.
μθ. Καὶ ἦσαν υἱοὶ Σαοὺλ, Ἰωνάθαν, καὶ
Ἰεσσοῦ, καὶ Μελχισὰ, καὶ Ἰεσβάαλ. (3)
Δ καὶ ὀνόματα τῶν δύο θυγατέρων αὐ-
τοῦ, ὄνομα τῇ πρωτοτόκῳ αὐτοῦ Με-
ρὸβ, καὶ ὄνομα τῇ δευτέρᾳ Μελχόλ.

ν. Καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ
Ἀχινοὸμ, θυγάτηρ Ἀχιμαάς. καὶ
ὄνομα τῷ ἀρχιστρατήγῳ αὐτοῦ Ἀβεν-
νὴρ, υἱὸς Νὴρ, οἰκείου Σαοὺλ.

** ΙΩΣΗΠΟΥ. Στρατηγὸν δὲ εἶχε τὸν τοῦ θείου παῖδα Ἀβιώαρον. Νῆρος δὲ
E ἐκεῖνος ἐκαλεῖτο.

να. Καὶ Κὶς πατὴρ Σαοὺλ, καὶ Νὴρ
νβ. πατὴρ Ἀβεννὴρ, υἱὸς Ἰαμμείν. (4) Καὶ
ἦν ὁ πόλεμος κραταιὸς ἐπὶ τοὺς ἀλ-
λοφύλους πάσας τὰς ἡμέρας Σαούλ.
καὶ εἶδε Σαοὺλ πάντα ἄνδρα δυνα-
τὸν, καὶ πάντα ἄνδρα υἱὸν δυνάμεως,
καὶ συνήγαγεν αὐτοὺς πρὸς αὐτόν.

ΚΕΦ. ΙΕ.

α. Καὶ εἶπε Σαμουὴλ πρὸς Σαοὺλ,
ἐμὲ ἀπέστειλε Κύριος χρῖ-
σαι σε βασιλέα ἐπὶ Ἰσ-
ραήλ. καὶ νῦν ἄκουε τῆς φωνῆς Κυρίου.

** ΙΩΣΗΠΟΥ. Σαμούηλος παραγενόμενος πρὸς τὸν Σάουλον, πεμφθῆναι πρὸς αὐτὸν ἔφασκεν ὑπὸ τοῦ Θεοῦ· ὅπως αὐτὸν ὑπομνήσῃ, ὅτι βασιλέα προκρίνας αὐτὸν ἁπάντων ὁ Θεὸς ἀπέδειξε, καὶ διὰ τοῦτο πείθεσθαι καὶ καθήκοον αὐτῷ γίνεσθαι, ὡς αὐτοῦ μὲν ἔχοντος τὴν τῶν ἐθνῶν ἡγεμονίαν, τοῦ δὲ Θεοῦ καὶ τὴν κατ' ἐκείνου καὶ τῶν ὅλων πραγμάτων.

β. Τά-

(1) Ἐδώμ. αἱ αὐτ.

(2) Σουβά. αἱ αὐτ.

(3) Τὸ, καὶ Ἰεσβάαλ, οὐ κεῖται ἐν ταῖς εἰρημ. ἐκδόσ. τρεῖς δὲ τοὺς υἱοὺς αὐτοῦ εἶναι Ἰώσηπ. (ἐν κεφ. 6. τοῦ 6. βιβλ. περὶ Ἰουδ. ἀρχ.) ἱστορεῖ λέγων· ἦσαν δὲ παῖδες αὐτῷ τρεῖς μὲν ἄρρενες, Ἰωνάθης καὶ Ἰεσοῦς καὶ Μέλχισος· θυγατέρες δὲ Μερόβη καὶ Μιχάλα.

(4) Ἰαμὶν, υἱοῦ Ἀβιήλ. αἱ εἰρημ. ἐκδόσ.

β. Τάδε εἶπε Κύριος σαβαὼθ, νῦν ἐκδικήσω ἃ ἐποίησεν Ἀμαλὴκ τῷ Ἰσραὴλ, ὡς ἀπήντησεν αὐτῷ ἐν τῇ ὁδῷ ἀναβαίνοντος αὐτοῦ ἐξ Αἰγύπτου.

γ. Καὶ νῦν πορεύου, καὶ πατάξεις τὸν Ἀμαλὴκ καὶ Ἰαρὶμ (1) καὶ πάντα τὰ αὐτοῦ, καὶ οὐ περιποιήσῃ ἐξ αὐτοῦ, καὶ ἐξολοθρεύσεις αὐτόν. καὶ ἀναθεματιεῖς αὐτὸν καὶ πάντα τὰ αὐτοῦ, καὶ οὐ φείσῃ αὐτοῦ· καὶ ἀποκτενεῖς ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, καὶ ἀπὸ νηπίου ἕως θηλάζοντος, καὶ ἀπὸ μόσχου ἕως προβάτου, καὶ ἀπὸ καμήλου ἕως ὄνου.

δ. Καὶ παρήγγειλε Σαοὺλ τῷ λαῷ, καὶ ἐπισκέπτεται αὐτοὺς ἐν Γαλγάλοις τετρακοσίας χιλιάδας ταγμάτων, καὶ τριάκοντα χιλιάδας ταγμάτων τὸν Ἰούδαν.

** ΙΩΣΗΠΟΥ. Ἀθροίζει πᾶσαν τὴν δύναμιν, καὶ ταύτην ἐξαριθμήσας ἐν Γαλγάλοις, εὑρίσκει τῶν Ἰσραηλιτῶν, ἔξω τῆς Ἰούδα φυλῆς, περὶ τεσσαράκοντα μυριάδας. ἡ δὲ γὰρ ἡ φυλὴ καθ' αὐτὴν ἐστὶ στρατιῶται τρισμύριοι.

ε. Καὶ ἦλθε Σαοὺλ ἕως τῶν πόλεων Ἀμαλὴκ, καὶ ἐνήδρευσεν ἐν τῷ χειμάῤῥῳ.

** ΙΩΣΗΠΟΥ. Σάουλος ἐμβαλὼν εἰς τὴν τῶν Ἀμαληκιτῶν χώραν, ἐνέδρας πολλὰς καὶ λόχους ἐπὶ τὸν χείμαῤῥον τίθησιν· ὡς μὴ μόνον ἐκ τοῦ φανεροῦ μαχομένους αὐτοὺς κακῶς ποιεῖν, ἀλλὰ καὶ μὴ προσδοκῶσι κατὰ τὰς ὁδοὺς ἐπιπίπτειν, καὶ κυκλουμένους ἀναιρεῖν.

ϛ. Καὶ εἶπε Σαοὺλ πρὸς τὸν Κιναῖον, ἄπελθε καὶ ἔκκλινον ἐκ μέσου τοῦ Ἀμαληκίτου, μὴ προσθῶ σε μετ' αὐτοῦ, καὶ σὺ ἐποίησας ἔλεος μετὰ τῶν υἱῶν Ἰσραὴλ ἐν τῷ ἀναβαίνειν αὐτοὺς ἐξ Αἰγύπτου. καὶ ἐξέκλινεν ὁ Κιναῖος ἐκ μέσου Ἀμαλήκ.

** ΙΩΣΗΠΟΥ. Νικήσας Σάουλος ἅπαντας τοὺς ἀπὸ Πηλουσίου τῆς Αἰγύπτου καθήκοντας ἕως τῆς ἐρυθρᾶς θαλάσσης, διέφθειρε τὴν τῶν πολεμίων, παραλιπὼν τὸ τῶν Σικιμιτῶν ἔθνος. οὗτοι γὰρ ἐν τῇ Μαδιηνῇ χώρᾳ μέσοι κατῴκηνται. πρὸ δὲ τῆς μάχης πέμψας, παρήγγειλεν αὐτοῖς ἀναχωρεῖν, μὴ τοῖς Ἀμαληκίταις κοινωνήσωσι τῆς συμφορᾶς. συγγενεῖς γὰρ αὐτοὺς ὄντας Ῥαγουήλου τοῦ Μωϋσέως πενθεροῦ, σώζειν αἰτίαν ἔχε.

ζ. Καὶ ἐπάταξε Σαοὺλ τὸν Ἀμαλὴκ ἀπὸ Εὐϊλὰτ ἕως Σοὺρ ἐπὶ προσώπου Αἰγύπτου.

A ** ΙΩΣΗΠΟΥ. Συμβαλὼν αὐτοῖς εἰς μάχην, τρέπεται τοὺς πολεμίους, καὶ διαφθείρει πάντας, φεύγουσιν ἐπακολουθῶν. ὡς δὲ ἐκεῖνο τὸ ἔργον αὐτῷ κατὰ τὴν τοῦ Θεοῦ προφητείαν ἐχώρησε, ταῖς πόλεσι τῶν Ἀμαληκιτῶν προσέβαλε. καὶ τὰς μὲν μηχανήμασι, τὰς δὲ ὀρύγμασιν ὑπονόμοις καὶ τείχεσιν ἔξωθεν ἀντῳκοδομημένοις, τὰς δὲ λιμῷ καὶ δίψει, τὰς δ' ἄλλοις τρόποις ἐκπολιορκήσας καὶ λαβὼν κατὰ κράτος, ἐπὶ

B σφαγὴν γυναικῶν καὶ νηπίων ἐχώρησεν· οὐδὲν ὠμὸν οὐδ' ἀνθρωπίνης σκληρότερον διαπράσσεσθαι φύσεως ἡγούμενος, πρῶτον μὲν, πολεμίους ταῦτα δρῶν· ἔπειτα προστάγματι Θεοῦ, ᾧ τὸ μὴ πείθεσθαι κίνδυνον ἔφερε.

η. Καὶ συνέλαβε τὸν Ἄγαγ βασιλέα Ἀμαλὴκ ζῶντα, καὶ πάντα τὸν λαὸν (2) Ἰαρὶμ ἀπέκτεινεν ἐν στόματι ῥομφαίας.

θ. Καὶ περιεποιήσατο

Γ Σαοὺλ καὶ πᾶς ὁ λαὸς τὸν Ἄγαγ ζῶντα, καὶ τὰ ἀγαθὰ τῶν ποιμνίων, καὶ τῶν βουκολίων, καὶ τῶν ἐδεσμάτων, καὶ τῶν ἀμπελώνων, καὶ πάντων τῶν ἀγαθῶν, καὶ οὐκ ἐβούλοντο αὐτὰ ἐξολοθρεῦσαι· καὶ πᾶν ἔργον ἠτιμωμένον καὶ ἐξουδενημένον ἐξωλόθρευσαν.

** ΙΩΣΗΠΟΥ. Λαμβάνει καὶ τὸν βα-

Δ σιλέα τῶν ἐχθρῶν Ἄγαγον αἰχμάλωτον. οὗ θαυμάσας τὸ κάλλος καὶ τὸ μέγεθος τοῦ σώματος, σωτηρίας ἄξιον ἔκρινεν· οὐκ ἔτι τοῦτο ποιῶν κατὰ βούλησιν Θεοῦ, πάθει δὲ νικώμενος ἰδίῳ, καὶ χαριζόμενος ἀκαίρως περὶ ὧν οὐκ εἶχεν ἀκίνδυνον ἐξουσίαν οἴκτῳ. ὁ γὰρ Θεὸς οὕτως ἐμίσησε τὸ τῶν Ἀμαληκιτῶν ἔθνος, ὡς μηδὲ νηπίων φείσασθαι κελεῦσαι, πρὸς ἃ μᾶλλον ἔλεος γίνεσθαι πέφυκε. Σάουλος δὲ αὐτὸν τὸν βασιλέα,

E καὶ τὸν ἡγεμόνα τῶν εἰς Ἑβραίους κακῶν, ἔσωσε. τῆς μνήμης ὧν ἐπέστειλεν ὁ Θεὸς τὸ τοῦ πολεμίου κάλλος ἐπίπροσθεν ποιησάμενος. συνεξήμαρτε δ' αὐτῷ καὶ τὸ πλῆθος. καὶ γὰρ ἐκεῖνοι τῶν ὑποζυγίων καὶ τῶν βοσκημάτων ἐφείσαντο καὶ διήρπασαν, μὴ τηρεῖν αὐτὰ τοῦ Θεοῦ κελεύσαντος, τά τε ἄλλα χρήματα καὶ τὸν πλοῦτον ἐξεφόρησαν. εἰ δέ τι μὴ σπουδῆς ἄξιον ἦν, ὥστε κτήσασθαι, διέφθειραν.

Z ι. Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Σαμουὴλ, λέγων,

ια. Μεταμεμέλημαι ὅτι ἔχρισα τὸν Σαοὺλ εἰς βασιλέα, ὅτι ἀπεστρέψεν ἀπὸ ὄπισθέν μου, καὶ τοὺς λόγους μου οὐκ ἐφύλαξε. (3) καὶ ἠθύμησε Σαμουὴλ, καὶ ἐβόησε πρὸς Κύριον ὅλην τὴν νύκτα.

ΙΣΙΔΩΡΟΥ. (4) [Πῶς νοητέον, μετα-

H„ μεμέλημαι ὅτι ἔχρισα τὸν Σαοὺλ εἰς βασιλέα;]

(1) Ἱερίμ. αἱ αὐτ. (2) Τὸν λαὸν καὶ Ἱερίμ. αἱ αὐτ. (3) Οὐκ ἐτήρησε. αἱ αὐτ.

(4) Ἐπιστολὴ τριακοστῇ τρίτῃ Θέωνι. καὶ ταῦτα πρόσκειται ἐν τῷ κώδ. ἔστι δὲ ἡ ἐπιστολὴ αὕτη ἡ 439. τοῦ 1. βιβλ.

σιλέα;] Ἡ κακόσχολος κεφαλοτριβὴς (1) τῶν ἀθέων ἀπόνοια οὐδὲν τῶν θείων καταλιμπάνει ἀνύβριστον. ἐπειδὴ τοίνυν καὶ τὰ νῦν προβληθέντα σοι, τῆς αὐτῶν ἐστὶν ἀκαρπίας γεώργιον, (2) ἐκεῖνα παρεὶς, μάνθανε τ' ἀληθῆ. τὸ, μεταμεμέλημαι (3) ὅτι ἔχρισα τὸν Σαοὺλ εἰς βασιλέα, οὐκ ἔστι τῆς θείας προγνώσεως διαβολὴ, οὐδὲ ἀνοίας (4) αὐτῆς· ἄπαγε· ἀλλὰ καὶ οἴκτου (5) καὶ φιλίας ὑπερβολή. ἐπειδὴ, φησὶν, ἄξιοι μὲν ἦσαν Ἑβραῖοι, βασιλέα αἰτήσαντες, καὶ ἐμὲ ἀθετήσαντες, παιδευθῆναι, οὐχ οὕτω δὲ ὡς ἐποίησεν αὐτοῖς βασιλεύσας Σαοὺλ, οἰκτείρων (6) κἀκείνους ὡς δεινὰ πεπονθότας, καὶ τοῦτον ὡς χαλεπὸν αὐτοῖς γεγονότα. τῆς τοίνυν ἐκείνων προαιρέσεως ἡ αἰτία, οὐ τῆς τοῦ δεδωκότος τὸ αἴτημα φιλανθρωπίας.

** ΩΡΙΓΕΝΟΥΣ. Μὴ νομίσῃς συγγένειάν τινα ἔχειν τὴν μεταμέλειαν αὐτοῦ τῇ μεταμελείᾳ τῶν μεταμελουμένων. ὡς γὰρ ἐξαίρετόν τι εἶχεν ὁ λόγος αὐτοῦ, ἐξαίρετόν τι ἡ ὀργὴ αὐτοῦ, ὑπερέχον τι ὁ θυμὸς αὐτοῦ, καὶ οὐδὲν τούτοις συγγενὲς ἦν ὁμωνύμοις· τὸν αὐτὸν τρόπον καὶ ἡ μεταμέλεια αὐτοῦ ὁμώνυμός ἐστι τῇ ἡμετέρᾳ μεταμελείᾳ. ὁμώνυμα γάρ ἐστιν ὧν ὄνομα μόνον κοινόν· ὁ δὲ κατὰ τοὔνομα τῆς οὐσίας λόγος ἕτερος. μόνον οὖν ὄνομα κοινὸν θυμοῦ Θεοῦ καὶ θυμοῦ οὑτινοσοῦν, καὶ μόνον ὄνομα κοινὸν ὀργῆς οὑτινοσοῦν καὶ ὀργῆς Θεοῦ. οὕτω καὶ ἐπὶ μεταμελείᾳ νοητέον. καὶ ζητήσει ὁ δυνάμενος, τί μεταμέλεια ἐργάζεται Θεοῦ, τί εἰργάσατο. τὸν Σαοὺλ καθεῖλε βασιλεύοντα παρανόμως, ἀνέτειλε βασιλέα τῷ λαῷ τὸν κατὰ τὴν καρδίαν τοῦ Θεοῦ. εἶπε γὰρ διὰ τὴν ἀγαθὴν ἐκείνην μεταμέλειαν· εὗρον ἄνδρα κατὰ τὴν καρδίαν μου Δαβὶδ υἱὸν Ἰεσσαί. Καὶ μετ' ὀλίγα. Ὡς ὁ πάντων θυμὸς κακὸν, ὁ δὲ τοῦ Θεοῦ ἐλεγκτικός. καὶ πάντων μὲν ὀργὴ χαλεπὴ, ἡ δὲ καλουμένη τοῦ Θεοῦ, παιδευτική. καὶ πάντων μὲν ἡ μεταμέλεια κατηγορεῖ ἀσθενείας τοῦ πρὸ τῆς μεταλείας· ἐπὶ δὲ τοῦ Θεοῦ, οὐ τοῦ Θεοῦ κατηγορεῖ ἡ μεταμέλεια αὐτοῦ, ἀλλὰ τῶν ἔξω πραγμάτων, ἐφ' οἷς ἡ μεταμέλεια λαμβάνεται.

** ΤΟΥ ΑΥΤΟΥ. Παρακέκλημαι ὅτι ἐβασίλευσα τὸν Σαοὺλ εἰς βασιλέα. Ὥσπερ ἐπ' ἀνθρώπων μὲν χεὶρ, καὶ ποῦς, καὶ ὀφθαλμὸς, καὶ τ' ἄλλα ὀνομάζεται· ἐπὶ δὲ Θεοῦ, χεὶρ μὲν, τὸ δημιουργικόν· ποῦς, τὸ τῆς παρουσίας· ὀφθαλμὸς δὲ, τὸ ἐποπτικόν· οὕτω καὶ θυμὸς Θεοῦ, ἡ τῶν πταιόντων παιδεία λέγεται· μεταμέλεια δὲ, ἡ ἀπὸ πραγμάτων εἰς πρᾶγμα μετάθεσις. ἐκ τῶν ἐφ' ἡμῖν ἔδει συγκαταβατικώτερον ὁμιλεῖν τοὺς Προφήτας βαρυτάτοις τὸν νοῦν, ἵνα

A χωρηθῇ. καὶ πάλιν, εἰ πάντα προεῖδεν ὁ Θεὸς, οὐκ ἀφ' ὧν προεῖδε θυμοῦται, ἢ μεταμελεῖται. οὐ πάθος ἐστὶ Θεοῦ θυμὸς, ἢ μεταμέλεια, ἀλλὰ τοῦ θυμοῦ ἔργον ἡ κόλασις· καὶ τὸ τῆς μεταμελείας, ἀπόστασις μὲν τοῦ προτέρου, μετάθεσις δὲ εἰς ἄλλο. ἢ οὕτως· ἀνάξιον ἑαυτὸν ἐποίησε Σαοὺλ τῆς βασιλείας. ὥστε εἰ φύσιν εἶχε μετανοοῦσαν, μετέγνω ἂν ἐπ' αὐτῷ. ἔδει δὲ αὐτὸν συνιδεῖν, ὡς μία σταγὼν τῆς θείας φιλανθρωπίας B πᾶσαν τὴν ἀγαθότητα τῶν ἀνθρώπων νικᾷ. ὁ δὲ τοῦ Θεοῦ κολάσαι κελεύσαντος, ᾤκτειρεν. οὐ τοσοῦτον μὲν γὰρ αὐτὸν κατέκρινεν ὁ παράνομος ἔλεος τοῦ Ἀγὰγ, ὅσον τῆς ἀπληστίας καὶ φιλοχρηματίας τὸ πάθος. τὰ πίονα γὰρ τῶν ποιμνίων περιεποιήσατο ἑαυτῷ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, μεταμεμέλημαι ὅτι ἔχρισα τὸν Σαοὺλ εἰς βασιλέα; Πολλάκις εἰρήκαμεν, ὅτι μεταΓ μέλεια Θεοῦ ἡ τῆς οἰκονομίας μεταβολή. οἷον, χειροτονηθῆναι προσέταξε τὸν Σαοὺλ διὰ τὸ τοῦ σώματος ἀξιοθέατον· οὐκ ἐπειδήπερ μεγίστοις αὐτὸς ἐπιτέρπεται σώμασιν· αὐτὸς γάρ ἐστιν ὁ καὶ τῶν μικρῶν καὶ τῶν μεγάλων δημιουργός· ἀλλὰ τῷ λαῷ χαριζόμενος τοῖς αἰσθητοῖς καὶ μόνοις ὀφθαλμοῖς κεχρημένῳ. (7) τὸν τοίνυν Δαβὶδ τῶν μειζόνων καὶ πρεσβυτέρων ὁ Θεὸς προκρίνας ἀδελφῶν, καὶ θελήσας βασιΔ λέα χειροτονῆσαι, καὶ τῷ σπέρματι αὐτοῦ φυλάξαι τὴν βασιλείαν, διὰ τὸν ἐξ αὐτοῦ τεχθησόμενον κατὰ σάρκα βασιλέα τῆς κτίσεως, ἀνθρωπίνοις ἐχρήσατο ῥήμασιν ἀνθρώποις διαλεγόμενος· καὶ εἶπε, μεταμεμέλημαι ὅτι ἔχρισα τὸν Σαοὺλ εἰς βασιλέα· ἀντὶ τοῦ, ἑτέρῳ βούλομαι δοῦναι τῆς βασιλείας τὴν ἐξουσίαν, τοῦτο δὲ παῦσαι τῆς δυναστείας διὰ πολλὴν φιλανθρωπίαν.

ιβ. Καὶ ὤρθρισε Σαμουὴλ, καὶ
E ἐπορεύθη εἰς ἀπάντησιν Ἰσραὴλ τῷ
πρωΐ. καὶ ἀπηγγέλη τῷ Σαοὺλ, λέ-
γοντες, ἥκει Σαμουὴλ εἰς Κάρμηλον,
καὶ ἰδοὺ ἀνέστακεν αὐτῷ χεῖρα. καὶ ἐπέ-
στρεψε τὸ ἅρμα, καὶ κατέβη εἰς Γάλ-
γαλα, καὶ ἦλθε Σαμουὴλ πρὸς Σαοὺλ,
καὶ ἰδοὺ αὐτὸς ἀνέφερεν ὁλοκαύτωσιν
Z τῷ Κυρίῳ, τὰ πρῶτα τῶν σκύλων
ιγ. ὧν ἐξήνεγκεν ἐξ Ἀμαλήκ. Καὶ πα-
ρεγένετο Σαμουὴλ πρὸς Σαοὺλ, καὶ
εἶπεν αὐτῷ Σαοὺλ, εὐλογητὸς σὺ τῷ
Κυρίῳ· ἔστησα πάντα ὅσα ἐλάλησε
ιδ. Κύριος. Καὶ εἶπε Σαμουὴλ, καὶ τίς
ἡ φωνὴ τοῦ ποιμνίου τούτου ἐν τοῖς ὠσί-
μου, καὶ ἡ φωνὴ τῶν βοῶν ὧν ἐγὼ
ἀκούω;

Aa 2

(1) Καὶ φαυλοτριβής. αὐτ. (2) Γεώργια. αὐτ. (3) Μεταμέλομαι. αὐτ. (4) Ἀγνοίας. αὐτ.
(5) Ἀλλὰ οἴκτου καὶ φιλανθρωπίας ὑπερ. αὐτ. (6) Οἰκτείρει. αὐτ. οἰκτείρω. ὀρθότερ.
(7) Κεχρημένῳ. ὅτι γὰρ προτιμᾷ πολλάκις καὶ μικρὰ σώματα μεγάλων, καὶ νέους γεγηρακότων, μάρτυς ὁ Ζακχαῖος μικρὸς ὢν, καὶ τὸν Δεσπότην ὑποδεξάμενος. μάρτυς ὁ Σαμουὴλ νέος ὢν, καὶ τῆς θείας ἐπιφανείας ἀξιωθείς. μάρτυς ὁ Δαβὶδ τῶν μειζόνων καὶ πρεσβυτέρων προτιμηθεὶς ἀδελφῶν. τοῦτον ἐθελήσας βασ. κτ. ἡ ἐν Χάλ. ἔκδ. ἐν ᾗ τὰ ἔσχατα ῥήματα, διὰ πολλὴν φιλανθρωπίαν, οὐ κεῖται.

ιε. ἀκούω; Καὶ εἶπε Σαοὺλ, ἐξ Ἀμαλὴκ
ἐνήνεγκα αὐτὰ, ἃ περιεποιήσατο ὁ
λαὸς τὰ κράτιστα τοῦ ποιμνίου, καὶ τῶν
βοῶν, ὅπως τυθῇ τῷ Κυρίῳ Θεῷ, (1)
καὶ τὰ λοιπὰ ἐξωλόθρευσε. (2)

** ΙΩΣΗΠΟΥ. Ἅμ᾽ ἡμέρᾳ Σαμούηλος εἰς Γάλγαλα παραγίνεται πρὸς Σάουλον. θεασάμενος δ᾽ αὐτὸν ὁ βασιλεὺς προστρέχει, καὶ κατασπασάμενος, τῷ Θεῷ, φησὶν, εὐχαριστῶ δόντι μοι τὴν νίκην· ἅπαντα μέντοι γε κεκελευσμένα ὑπ᾽ αὐτοῦ πεπρᾶχθαι. Σαμούηλος δὲ πρὸς τοῦθ᾽ ὑπολαβὼν, πόθεν οὖν ἀκούω θρεμμάτων, εἶπε, καὶ ὑποζυγίων βοῆς ἐν τῷ στρατοπέδῳ; ὁ δὲ τὸν λαὸν ταῦτα εἰς θυσίας ἀπεκρίνατο τετηρηκέναι. τὸ μέντοι γε τῶν Ἀμαληκιτῶν γένος ἅπαν ἐξηφανίσθαι κατὰ τὴν ἐντολήν.

ις. Καὶ εἶπε Σαμουὴλ πρὸς Σαοὺλ,
ἄνες, καὶ ἀπαγγελῶ σοι ἃ ἐλάλησε
Κύριος πρός με τὴν νύκτα. καὶ εἶπεν
αὐτῷ, λάλησον.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἄνες, καὶ ἀπαγγελῶ σοι. Εἰ καὶ Προφήτης, ἀλλ᾽ αἰτεῖ παῤῥησίαν, ὡς πρὸς βασιλέα διαλεγόμενος· ἀναμιμνήσκει δὲ αὐτὸν τῶν πρὸ τῆς βασιλείας αὐτοῦ λόγων.

ιζ. Καὶ εἶπε Σαμουὴλ πρὸς Σαοὺλ,
οὐχὶ μικρὸς εἶ σὺ ἐναντίον (3) αὐτοῦ
ἡγούμενος σκήπτρου φυλῆς Ἰσραήλ;
καὶ ἔχρισέ σε Κύριος εἰς βασιλέα ἐπὶ
ιη. πάντα τὸν Ἰσραήλ. Καὶ ἀπέστειλέ
σε Κύριος ἐν ὁδῷ, καὶ εἶπέ σοι, πορεύ-
θητι, καὶ ἐξολόθρευσον τὸν Ἀμα-
λὴκ τὸν ἡμαρτηκότα εἰς ἐμὲ, καὶ πο-
λεμήσεις αὐτοὺς ἕως συντελέσεις αὐ-
ιθ. τούς. Καὶ ἵνα τί οὐκ ἤκουσας τῆς φω-
νῆς Κυρίου κατὰ πάντα ὅσα ἐλάλη-
σέ σοι, ἀλλ᾽ ὥρμησας τοῦ θέσθαι ἐπὶ
τὰ σκῦλα, καὶ ἐποίησας τὸ πονηρὸν
κ. ἐνώπιον Κυρίου; Καὶ εἶπε Σαοὺλ πρὸς
Σαμουὴλ, διὰ τὸ ἀκοῦσαί με τῆς φω-
νῆς τοῦ λαοῦ, καὶ ἐπορεύθην τῇ ὁδῷ ᾗ
ἀπέστειλέ με Κύριος, καὶ ἤγαγον τὸν
Ἄγαγ βασιλέα Ἀμαλὴκ, καὶ τὸν
κα. Ἀμαλὴκ ἐξωλόθρευσα. Καὶ ἔλα-
βεν ὁ λαὸς τῶν σκύλων ποίμνια καὶ
βουκόλια τὰ πρῶτα τοῦ ἐξολοθρεύ-
ματος, τοῦ θῦσαι (4) ἐνώπιον Κυρίου
Θεοῦ Ἰσραὴλ (5) ἐν Γαλγάλοις.

κβ. Καὶ εἶπε Σαμουὴλ πρὸς Σαοὺλ,
εἰ θελητὸν τῷ Κυρίῳ ὁλοκαυτώματα
καὶ θυσίαι, ὡς τὸ ἀκοῦσαι φωνῆς Κυ-
A ρίου; ἰδοὺ ἀκοὴ ὑπὲρ θυσίαν ἀγαθὴ,
καὶ ἡ ἐπακρόασις ὑπὲρ στέαρ κριῶν.

** ΙΩΣΗΠΟΥ. Ὁ Προφήτης, οὐχὶ θυσίαις, ἔλεγεν, ἥδεσθαι τὸ θεῖον, ἀλλὰ τοῖς ἀγαθοῖς καὶ δικαίοις. οὗτοι δ᾽ εἰσὶν οἱ τῇ βουλήσει καὶ ταῖς ἐντολαῖς αὐτοῦ κατακολουθοῦντες, καὶ μηδὲν ἄλλο πραχθήσεσθαι καλῶς ὑφ᾽ ἑαυτῶν νομίζοντες, ἢ ὅ,τι ἂν ποιήσωσι, τοῦ Θεοῦ κεκελευκότος. καταB φρονεῖσθαι γὰρ οὐχ ὅταν αὐτῷ μὴ θύῃ τὶς, ἀλλ᾽ ὅταν ἀπειθεῖν δοκῇ. παρὰ δὲ τῶν οὐχ ὑποτασσομένων, οὐδ᾽ ἀληθῆ καὶ μόνην τῷ Θεῷ κεχαρισμένην θρησκευόντων θρησκείαν, οὔτ᾽ ἂν πολλὰ καὶ πιμελῆ καταθύσωσιν ἱερεῖα, οὔτ᾽ ἂν κόσμον ἀναθημάτων ἐξ ἀργύρου καὶ χρυσοῦ πεποιημένων προσφέρωσι, δέχεται ταῦτ᾽ εὐμενῶς· ἀλλ᾽ ἀποστρέφεται, καὶ δείγματα τῆς πονηρίας, οὐκ εὐσέβειαν ἡγεῖται. τοῖς δ᾽ ἐν καὶ μόνον τοῦθ᾽ Γ ὅπερ ἂν φθέγξηται καὶ κελεύσῃ ὁ Θεὸς διὰ μνήμης ἔχουσι, καὶ τεθνάναι μᾶλλον ἢ παραβῆναί τι τούτων αἱρουμένοις ἐπιτέρπεται· καὶ οὔτε θυσίαν ζητεῖ παρ᾽ αὐτῶν. καὶ παρὰ θυόντων δὲ, κἂν ᾖ λιτὰ τὰ πενίας, ἥδιον τὴν τιμὴν, μᾶλλον ἢ παρὰ τῶν πλουσιωτάτων δεξιοῦται.

κγ. Ὅτι ἁμαρτία οἰώνισμά ἐστιν, ὀδύνην καὶ πόνους θεραφὶν ἐπάγουσιν.
Δ ὅτι ἐξουδένωσας τὸ ῥῆμα Κυρίου, καὶ ἐξουδενώσει σε Κύριος τοῦ μὴ εἶναι βασιλέα ἐν Ἰσραήλ.

ΣΥΜΜΑΧΟΣ. Ἁμαρτία τῆς μαντείας τὸ προσερίζειν· ἡ δὲ ἀνομία τῶν εἰδώλων τὸ ἀπειθεῖν.

Ο ΑΥΤΟΣ. Ἔστι παραπικρασμὸς ἀδικία, θεραφὶν ὀδύνην καὶ πόνους ἐπάγουσι.

ΑΚΥΛΑΣ. Ἁμαρτία μαντείας, παραπικρασμός.

E ΑΔΗΛΟΥ. Οἰώνισμα μαντειῶν προσερισμὸς, καὶ ἀνωφελὲς, καὶ μορφωμάτων ἐκβιβασμός.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ὅτι ἁμαρτίας οἰώνισμά ἐστι παραπικρασμός. ἀδικία καὶ θεραφεὶν ὀδύνην καὶ πόνους ἐπάγουσι. Σύμμαχος, ὅτι ἁμαρτία τῆς μαντείας τὸ προσερίζειν· ἡ δὲ ἀνομία τῶν εἰδώλων τὸ ἀπειθεῖν. Εἰς ἴσον οὖν ἤγαγε τῇ ἀσεβείᾳ τῷ ἀπειθῆσαι Θεῷ. Φησὶ δέ τις, (6) τὴν ἄνοιαν Z ἴσως τὴν ἐνίων αἰνίττεσθαι, οἰωνὸν ὑποπτευόντων κακὸν τὸ νενικηκότας μὴ κερδᾶναι τὴν λείαν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ θεραφὶμ ὁ Ἀκύλας θεραπεία (7) καὶ ἀνθυφαίρεσις ἡρμήνευσε. τὸ δὲ οἰώνισμα αἰνίττεται, ὡς οἶμαι, τὴν ἐνίων ἄνοιαν. εἰκὸς γάρ τινας οἰωνὸν ὑποπτεῦσαι, τὸν νενικηκότα (8) τὰ λάφυρα μὴ κερδᾶναι. καὶ τὸ θεραφὶμ δὲ ἀντὶ ἐπιστηρήσεως (9) τέθεικεν. ὥσπερ γὰρ
τὸ

(1) Κυρίῳ τῷ Θεῷ σου. αἱ εἰρημ. ἐκδόσ. (2) Ἐξωλόθρευσα. αἱ αὐτ.
(3) Ἐνώπιον. αἱ αὐτ. (4) Θῦσαι, ἄνευ ἄρθρου. αἱ αὐτ. (5) Θεοῦ ἡμῶν. αἱ αὐτ.
(6) Ὁ Θεοδώρητ. ἐν τῷ ἐφεξῆς ὑπομνήμ. (7) Θεραπείαν καὶ ἀνθυφαίρεσιν. ἡ ἐν Χάλ. ἐκδ.
(8) Μὴ κερδᾶναι τὴν λείαν. ἡ αὐτ. (9) Ἐπιτηρήσεως. ἡ αὐτ. ἐπιστερήσεως. αὐτ. ἐν ταῖς σημειώσ.

τὸ ἐφοὺδ ἀνέκειτο τῷ Θεῷ, καὶ δι' αὐτοῦ τοῖς
ἐρωτῶσιν ἐσημαίνετο τὸ πρακτέον· οὕτω διὰ
τοῦ θεραφὶμ [αἱ] τῶν εἰδώλων ἐδηλοῦντο
προῤῥήσεις. κατὰ γὰρ μίμησιν ἐκείνου τοῦ-
το τούτοις ἀνέκειτο. καὶ τοῦτο σαφέστερον ἐν
τῇ τῶν Κριτῶν ἐδηλώσαμεν βίβλῳ. κατὰ
δὲ τὴν τοῦ Ἀκύλα ἔκδοσιν, ἔστι καὶ ἑτέρως
νοῆσαι. θεραπεύει γάρ φησι τὸν Θεὸν τὸ
τὰ προστεταγμένα πληροῦν, οὐχὶ τὸ δῶρα
προσφέρειν. ἄδεκτος γὰρ ἡ παρὰ τὴν αὐ-
τοῦ βουλὴν γενομένη θεραπεία, καὶ πρόξε-
νος συμφορῶν.

κδ. Καὶ εἶπε Σαοὺλ πρὸς Σαμουὴλ,
ἡμάρτηκα ὅτι παρέβην τὸν λόγον Κυ-
ρίου καὶ τὸ ῥῆμά σου, ὅτι ἐφοβήθην τὸν
λαὸν, καὶ ἤκουσα τῆς φωνῆς αὐτῶν.
κε. Καὶ νῦν ἆρον δὴ τὸ ἁμάρτημά μου,
ἀνάστρεψον μετ' ἐμοῦ, καὶ προσκυνήσω
Κυρίῳ τῷ Θεῷ σου.

κς. Καὶ εἶπε Σαμουὴλ πρὸς Σαοὺλ,
οὐκ ἀναστρέφω μετὰ σοῦ, ὅτι ἐξουδένω-
σας τὸ ῥῆμα Κυρίου, καὶ ἐξουδενώσει
σε Κύριος τοῦ μὴ εἶναι βασιλέα ἐν (1)
Ἰσραήλ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ τί δήποτε διὰ
φιλανθρωπίαν αὐτὸν τῆς βασιλείας ἐγύμ-
νωσε; Προῄδει μὲν αὐτοῦ καὶ τὰς ἐσομένας
παρανομίας, τὰς κατὰ τῶν εὐεργετούντων
ἐπιβουλὰς, τὰς τῶν ἱερέων σφαγὰς, τῶν
ὅρκων τὰς παραβάσεις, τὸν πρὸς τὴν ἐγ-
γαστρίμυθον δρόμον. ἀπόχρη δὲ καὶ μόνη
τῆς (2) παρὰ τοῦ Σαμουὴλ ἐντολῆς ἡ παρά-
βασις ἐσχάτην αὐτῷ τιμωρίαν ἐπενεγκεῖν.
ἔδει γὰρ συνιδεῖν τὸν ἠλίθιον, ὡς μία στα-
γὼν τῆς θείας φιλανθρωπίας πᾶσαν τὴν
ἀγαθότητα τῶν ἀνθρώπων ὑπερνικᾷ. ἀλλ'
ὁ δείλαιος, τοῦ Θεοῦ κολάσαι κελεύσαντος,
ᾤκτειρε, καὶ τοῦ Θεοῦ καταψηφισαμένου θά-
νατον, αὐτὸς ἀπένειμεν, ὡς ἐνόμιζε, τὴν
ζωὴν, καὶ τοῦ Θεοῦ κελεύσαντος μηδὲν ἐκ
τῆς λείας κερδᾶναι, αὐτὸς τὰ πλείονα τῶν
ποιμνίων, καὶ τῶν βουκολίων, καὶ τῶν ἄλλων
ἁπάντων τὰ κάλλιστα κομισάμενος ἐπανῆλ-
θε· καὶ αὐτὸς μὲν ἀναθεματίσας μηδένα
μεταλαβεῖν τροφῆς ἢ ποτοῦ, τὸν ἐξ αὐτοῦ
φύντα, καίτοι κατ' ἄγνοιαν παραβεβη-
κότα τὸν ὅρον, ἀνελεῖν ἠβουλήθη· τοῦ Θεοῦ
δὲ τῶν ὅλων τὸν Ἀμαλὴκ ἀναθεματίσαν-
τος, οὐ διὰ τὴν εἰς αὐτὸν ἀσέβειαν, ἀλλὰ
διὰ τὴν εἰς τὸν λαὸν δυσμένειαν, οὐ μικρά
τινα, ἀλλὰ τὰ πλεῖστα τοῦ ἀναθήματος ἔλα-
βε. καὶ οὐδὲ τοῦ Ἄχαρ αὐτὸν ἐσωφρόνισε
τὸ ὑπόδειγμα. οὐ τοίνυν σμικρὸν, ἀλλὰ καὶ
μέγιστον τὸ ἁμάρτημα. ἀνέμνησεν οὖν (3)
αὐτὸν ὁ Προφήτης τῶν πρὸ τῆς βασιλείας
» λόγων, οὕτως εἰπών· οὐχὶ μικρὸς σὺ ἐνώ-
» πιον αὐτοῦ εἰς ἡγούμενον ἐκ σκήπτρου Βενια-
» μὶν τῆς ἐλαχιστοτέρας φυλῆς τοῦ Ἰσραήλ;
A » οὐ ταῦτά φησιν ἔλεγες, ὅτι ἀνὴρ Ἰεμιναῖος 1. Βασ. 9. 21.
» ἐγώ εἰμι, τῆς μικροτέρας φυλῆς παρὰ
» πάσας τὰς φυλὰς τοῦ Ἰσραήλ; ἀλλ' ὅμως
» ἔχρισέ σε ὁ Θεὸς εἰς βασιλέα ἐπὶ πάντα
» Ἰσραὴλ, καὶ ἀπέστειλέ σε Κύριος ἐν ὁδῷ.
εἶτα λέγει οἵας (4) μὲν αὐτῷ δέδωκεν ἐν-
τολὰς, ὅπως δὲ ταύτας παρέβη ὁρμήσας
ἐπὶ τὰ σκῦλα. οὐ τοσοῦτον γὰρ αὐτὸν ὁ πα-
ράνομος κατέκρινεν ἔλεος, ὅσον ἡ (5) τῆς
φιλοχρηματίας ἀπληστία. ἀλλ' ὁ Σαοὺλ τοῖς
B τοῦ Ἀδὰμ ἐχρήσατο ῥήμασιν. ἔφη γὰρ, διὰ
» τὸ ἀκοῦσαί με τῆς φωνῆς τοῦ λαοῦ. οὕτω γὰρ
» κἀκεῖνος εἴρηκεν· ἡ γυνὴ, ἣν δέδωκάς μοι, Γεν. 3. 12.
καὶ ἑξῆς. καὶ ἐπειδὴ εἶπεν εἰς θυσίαν ἐνη-
νοχέναι τὰ βουκόλια καὶ τὰ ποίμνια, ἤκουσε
» παρὰ τοῦ Προφήτου· ἰδοὺ οὐ θέλει Κύριος
» ὁλοκαυτώσεις καὶ θυσίας, ὡς τὸ ἀκοῦσαι
» τῆς φωνῆς αὐτοῦ. ἰδοὺ γὰρ ἀκοὴ ἀγαθὴ
» ὑπὲρ θυσίαν, καὶ ἀκρόασις ὑπὲρ στέαρ
» κριῶν· ὅτι οἰώνισμα ἁμαρτία ἐστὶ, [παρα-
Γ » πικρασμὸς ἀδικία·] καὶ θεραφὶμ ὀδύνην
» καὶ πόνους ἐπάγουσι, καὶ ἑξῆς.

κζ. Καὶ ἀπέστρεψε Σαμουὴλ τὸ
πρόσωπον αὐτοῦ τοῦ ἀπελθεῖν, καὶ
ἐκράτησε Σαοὺλ τοῦ πτερυγίου τῆς δι-
πλοΐδος αὐτοῦ, καὶ διέῤῥηξεν αὐτό.

** ΙΩΣΗΠΟΥ. Σάουλος κατασχεῖν βου-
λόμενος τὸν Σαμούηλον, ἐλλαμβάνεται τῆς
διπλοΐδος, καὶ βιαίας τῆς ὁλκῆς διὰ τὸ
Δ μεθ' ὁρμῆς ἀπεῖναι τὸν Σαμούηλον γενο-
μένης, διασχίζει τὸ ἱμάτιον.

κη. Καὶ εἶπε πρὸς αὐτὸν Σαμουὴλ,
διέῤῥηξε Κύριος τὴν βασιλείαν (6)
ἀπὸ Ἰσραὴλ ἐκ χειρός σου σήμερον,
καὶ δώσει αὐτὴν τῷ πλησίον σου τῷ
ἀγαθῷ ὑπὲρ σέ.

** ΜΑΞΙΜΟΥ. Τὸν γραπτὸν νόμον
E μεταμελεῖται χρίσας βασιλεύειν τοῦ Ἰσ-
ραὴλ ὁ Θεὸς, ὑπὸ Ἰουδαίων σαρκικῶς λαμ-
βανόμενον, καὶ δίδωσι τῷ πνεύματι τὸ κρά-
τος τῆς βασιλείας, τῷ πλησίον τοῦ γράμ-
ματος, καὶ ἀγαθῷ ὑπὲρ τὸ γράμμα. καὶ
» δώσω, φησὶ, τὴν βασιλείαν τῷ πλησίον σου
» τῷ ἀγαθῷ ὑπὲρ σέ. καθὼς γὰρ ὁ Δαβὶδ
ἦν πλησίον τοῦ Σαοὺλ, οὕτω τῷ γράμματι
τοῦ νόμου τὸ πνεῦμα σαφῶς παραπέπηγεν.
ὅπερ μετὰ τὸν θάνατον τοῦ γράμματος
Z πέφυκε διαφαίνεσθαι.

κθ. Καὶ διαιρεθήσεται Ἰσραὴλ εἰς
δύο, καὶ οὐκ ἐπιστρέψει οὐδὲ μετανοή-
σει, ὅτι οὐχ ὡς ἄνθρωπός ἐστι τοῦ με-
τανοῆσαι, αὐτὸς ἀπειλήσει, καὶ οὐκ
ἐμμενεῖ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διδάσκων δὲ (7)
αὐτὸν τοῦ Θεοῦ τὴν ἀποστροφὴν, ἐπάγει·
» οὐκ ἐπιστρέψει, οὐδὲ μετανοήσει ὁ ἅγιος τοῦ
Ἰσραὴλ,

Aa 3

(1) Ἐπὶ τόν. αἱ εἰρημ. ἐκδόσ. (2) Τῆς περὶ τὸν Ἀμαλὴκ ἐντολ. ἡ ἐν Χάλ. ἔκδ. (3) Δέ. ἡ αὐτ.
(4) Ὅσας. ἡ αὐτ. (5) Ἀπληστία, καὶ ἡ πλεονεξία, καὶ τῆς φιλοχρηματίας τὸ πάθος, ᾧ δουλεύσας παρέβη τὴν ἐντολήν. ἀλλ' ὁ Σαοὺλ, κτ. ἡ αὐτ. (6) Βασιλείαν σου. αἱ αὐτ.
(7) Δὲ ἄλυτον τοῦ Θεοῦ τὴν ἀπόφασιν ὁ Προφήτης ἐπήγαγεν· οὐκ ἐπιστρ. κτ. ἡ αὐτ.

» Ἰσραὴλ, ὅτι οὐχ ὡς ἄνθρωπός ἐστι τοῦ με- A
» τανοῆσαι. ἐντεῦθεν καὶ τὸ, μεταμεμέλη-
μαι νοητέον.

λ. Καὶ εἶπε Σαοὺλ, ἡμάρτηκα,
ἀλλὰ δόξασόν με δὴ ἐνώπιον πρεσβυ-
τέρων Ἰσραὴλ καὶ ἐνώπιον λαοῦ μου, καὶ
ἀνάστρεψον μετ᾽ ἐμοῦ, καὶ προσκυνήσω
λα. Κυρίῳ τῷ Θεῷ σου. Καὶ ἀνέστρεψε
Σαμουὴλ ὀπίσω Σαοὺλ, καὶ προσε-
κύνησε τῷ Κυρίῳ. B

✱✱ ΙΩΣΗΠΟΥ. Τιμῆσαι αὐτὸν παρεκάλει, τοῦ πλήθους ὁρῶντος σὺν αὐτῷ παραγενόμενον τὸν Θεὸν προσκυνῆσαι. δίδωσι δὲ τοῦτο Σαμούηλος αὐτῷ, καὶ συνελθὼν προσκυνεῖ τῷ Θεῷ.

λβ. Καὶ εἶπε Σαμουὴλ, προσά-
γαγέ μοι (1) τὸν Ἄγαγ βασιλέα Ἀ-
μαλήκ. καὶ προσῆλθε πρὸς αὐτὸν
Ἄγαγ τρέμων. καὶ εἶπεν Ἄγαγ, εἰ Γ
οὕτω πικρὸς ὁ θάνατος.

✱✱ ΕΦΡΑΙΜ. Ἐπιμεληθῶμεν τῆς ψυχῆς, ποτίζοντες τοῖς δάκρυσιν· ἵν᾽ οὕτω γεωργουμένη, καὶ τοῖς δάκρυσιν ἀρδευομένη, ποιήσῃ τὸν ἐν δικαιοσύνῃ καρπόν. ἵνα μὴ ἀμελήσαντες, εἴπωμεν καὶ ἡμεῖς ἐν τῇ ὥρᾳ τοῦ χωρισμοῦ μετὰ φόβου καὶ τρόμου, ὡς ὁ τῶν Ἀμαληκιτῶν βασιλεὺς, εἰ οὕτω
» πικρὸς ὁ θάνατος;

λγ. Καὶ εἶπε Σαμουὴλ πρὸς Ἄ-
γαγ, καθότι ἠτέκνωσε γυναῖκας ἡ
ῥομφαία σου, οὕτως ἀτεκνωθήσεται
ἐκ γυναικῶν ἡ μήτηρ σου. καὶ ἔσφαξε
Σαμουὴλ τὸν Ἄγαγ ἐνώπιον Κυρίου ἐν
Γαλγάλοις.

A ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τὸν Ἄγαγ ἔσφαξεν ὁ Προφήτης; Ὡς ὁ Φινεὲς τὸν Ζαμβρί. τὸ γὰρ (2) παρὰ Θεοῦ κελευόμενον εὐσεβές.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Εἰ παρεῖδε μέχρι νῦν ὁ Θεὸς τὴν δίκην τοῦ Ἀμαλὴκ, τῆς αὐτοῦ καὶ τοῦτο φιλανθρωπίας, τοσοῦτον εἰς μετάνοιαν ἐκδεδοκότος αὐτοῖς, καὶ πληρωθῆναι τὰς ἁμαρτίας αὐτῶν περιμείναντος· ἀντὶ μετανοίας προστιθέντων αὐταῖς,
B καίτοι τοσαῦτα περὶ τὸν Ἰσραὴλ ἐγεγόνει τὰ θαύματα, δι᾽ ὧν ἐχρῆν ἐπιστρέφεσθαι. εἰ δὲ τῶν πρώτων ἡμαρτηκότων, οὗτοι κολάζονται· πρῶτον μὲν, ἐπὶ τούτων τὸ μέτρον πεπλήρωται τοσαῦτα προσθέντων· ἔπειτα, κρίσεως οὔσης, κἀκεῖνοι τὴν δίκην οὐκ ἔφυγον, καὶ οὗτοι κολασθέντες, εἰς παράδειγμα τοῖς ἄλλοις ἐγένοντο, μετρουμένων πρὸς ἀξίαν καὶ τῶν ἐνταῦθα κολάσεων, καὶ τῶν ἐν τῷ μέλλοντι· εἰ καὶ ὁ
Γ χρόνος διὰ τὴν οἰκονομίαν διάφορος, μηδὲ τούτων ἐνταῦθα τὸ προσῆκον ἀπαιτησάντων. μία γὰρ δίκη πρὸς τὸ παρὸν, πῶς ἂν πρὸς πολλὰς καὶ μεγάλας ἀσεβείας ἀρκέσειεν; ἢ γὰρ ἂν οὐδὲν ὑπῆρχε μακαριώτερον ἐν ἁμαρτωλοῖς τῶν ἐνταῦθα κολαζομένων. κρίνεται δὲ καὶ ἔθνος ὡς ἔθνος, καὶ οἱ κατὰ μέρος πρὸς τὴν ἀξίαν.

λδ. Καὶ ἀπῆλθε Σαμουὴλ εἰς Ἀρ-
Δ μαθαίμ· καὶ Σαοὺλ ἀνέβη εἰς τὸν οἶκον
λε. αὐτοῦ εἰς Γαβαά. Καὶ οὐ προσέθετο
ἔτι Σαμουὴλ ἰδεῖν τὸν Σαοὺλ ἕως ἡμέ-
ρας θανάτου αὐτοῦ, ὅτι ἐπένθει Σα-
μουὴλ ἐπὶ Σαοὺλ, καὶ Κύριος μετε-
μελήθη ὅτι ἐβασίλευσε τὸν Σαοὺλ
ἐπὶ Ἰσραήλ.

ΚΕΦ. ΙϚ.

α. Καὶ εἶπε Κύριος πρὸς Σα-
μουὴλ, ἕως πότε σὺ πεν-
θεῖς ἐπὶ Σαοὺλ, κἀγὼ
ἐξουδένωκα αὐτὸν, μὴ βασιλεύειν ἐπὶ
Ἰσραήλ;

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπετιμήθη
» διὰ τὸ τῆς ἀθυμίας σφοδρόν. ἕως πότε
» γάρ φησι σὺ πενθεῖς ἐπὶ Σαοὺλ, κἀγὼ
» ἀπῶσμαι αὐτόν;

» ✱✱ ΤΟΥ ΑΥΤΟΥ. Τὸ, ἕως πότε, τὸν χρόνον δείκνυσι, καὶ τὴν παραμονὴν τοῦ ἱκετεύοντος. καὶ ἀπεπέμψατο ὁ Θεὸς τὸν χρόνον τῆς ἱκεσίας τοῦ Προφήτου. οὐ γὰρ συνέδραμε τῇ πρεσβείᾳ τοῦ δικαίου ἡ μετάνοια τοῦ βασιλέως.

✱✱ ΜΑΞΙΜΟΥ. Οὐ γὰρ ὄφελος τῆς τοῦ δικαίου δεήσεως, τοῦ ταύτης χρήζοντος πλέον τῶν ἀρετῶν ἡδομένου τοῖς πλημμελήμασιν. ἐπειδὴ καὶ ὁ μέγας ποτὲ Σαμουὴλ ἐπένθει πλημμελοῦντα τὸν Σαοὺλ, ἀλλ᾽ οὐκ ἴσχυσε τὸν Θεὸν ἱλεώσασθαι, μὴ λαβὼν συλλήπτορα τοῦ πένθους τὴν καθήκουσαν τοῦ πλημμελοῦντος διόρθωσιν. διὸ τοῦ ἀνονήτου πένθους ὁ Θεὸς καταπαύων τὸν ἑαυτοῦ θε-
» ράποντα, φησὶ πρὸς αὐτόν· ἕως ποτὲ σὺ
» πενθεῖς ἐπὶ Σαοὺλ, κἀγὼ ἐξουδένωκα αὐτὸν
» τοῦ μὴ βασιλεύειν ἐπὶ Ἰσραήλ;

Z Πλῆσον τὸ κέρας σου ἐλαίου, καὶ δεῦρο ἀποστείλω σε πρὸς Ἰεσσαὶ ἕως Βηθλεὲμ, ὅτι ἑώρακα ἐν τοῖς υἱοῖς αὐτοῦ ἐμοὶ εἰς βασιλέα.

✱✱ ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ.
» Πλῆσον τὸ κέρας σου ἐλαίου, καὶ δεῦρο ἀπο-
» στελῶ σε εἰς Βηθλεὲμ πρὸς Ἰεσσαί· ὅτι ἑώ-
» ρακα ἐν τοῖς υἱοῖς Ἰεσσαὶ ἐμοὶ εἰς βασιλέα.
Κηρύττει Θεὸς τὸ μειράκιον, καὶ τῷ Προφήτῃ περὶ τοῦ Προφήτου διαλέγεται. εἶδον, ὦ
H Προφῆτα, ψυχὴν χάριτος δεκτικήν· εἶδον, ὦ Προφῆτα, ψυχὴν πρὸς τὴν τοῦ πνεύματος ὑποδοχὴν εὐπρεπῆ· ἐκόσμησέ μου τὴν διά-

(1) Προσαγάγετέ μοι τὸν Ἀγάγ. αἱ εἰρημ. ἐκδόσ.

(2) Πᾶν γὰρ τὸ παρὰ τοῦ Θεοῦ. ἡ ἐν Χάλ. ἐκδ.

διάπλασιν πράξεσι, προσέθηκέ μου τῇ τέχ-
νῃ τῆς δημιουργίας τῆς γνώμης τὸ κάλλος.
» τοῦτον ἑώρακα ἐμοὶ εἰς βασιλέα. οὐχ ἁπλῶς
» ἑώρακα, ἀλλ᾽ ἐμοὶ εἰς βασιλέα. ἔχει τὶ μυ-
» στήριον ἡ λέξις κρυπτόμενον. ἑώρακα ἐν τοῖς
» υἱοῖς Ἰεσσαὶ ἐμοὶ εἰς βασιλέα. ἐπειδὴ γὰρ ἐκ
τοῦ Δαβὶδ τὸ κατὰ σάρκα Χριστὸς, ἡ ἀλη-
θὴς βασιλεία, τὰ οὐράνια σκῆπτρα, ἡ σωτή-
ριος γέννησις, ἡ ἀδιάδοχος χάρις· ἑώρα-
» κα, φησὶν, ἐν τοῖς υἱοῖς Ἰεσσαὶ ἐμοὶ εἰς βα-
σιλέα· μονονουχὶ λέγων, ἐμὴν εἶναι τὴν τοῦ
παιδὸς βασιλείαν λογίζομαι. ἀλλ᾽ ὢ τῆς
ἀθανάτου σοφίας, ὢ τῆς ἀῤῥήτου θαυμα-
τουργίας. καὶ κρύπτει τὸν παῖδα. οὐκ εἶπε
σαφῶς, χριέσθω μοι βασιλεὺς ὁ Δαβίδ·
» ἀλλ᾽ ἑώρακα ἐν τοῖς υἱοῖς Ἰεσσαί. ἵνα γὰρ
μὴ φαίνηται χάριτος ἀνθρωπίνης ἡ χρί-
σις, μηδὲ ἐκλογὴ τοῦ Σαμουὴλ ἡ τῆς βα-
σιλείας περίθεσις, κρύπτει τὸν παῖδα τῷ
κοινῷ τῶν παίδων ὀνόματι, καὶ πρὸς δῆ-
μον ἐκπέμπει τὸν χρίοντα. ἐκεῖ, ὦ Προ-
φῆτα, ἐκδέχου τῆς χάριτος τὴν χρίσιν·
μὴ γένηται νῦν ἡ τοῦ βασιλέως μήνυσις
τῆς ἀξίας ἐλάττωσις, μηδὲ νοθεύσῃ τὴν
δόξαν ἡ γνῶσις τοῦ βασιλεύοντος· ὢ παρα-
δόξων πραγμάτων· ὁ Δαβὶδ μετὰ προβά-
των αὐλίζεται, καὶ Θεὸς ἐν οὐρανῷ περὶ βα-
σιλείας βουλεύεται· ὁ Δαβὶδ ποιμαίνει καὶ
μεριμνᾷ, καὶ Θεὸς εὐτρεπίζει τὸν θρόνον.

β. Καὶ εἶπε Σαμουὴλ, πῶς πορευ-
θῶ; καὶ ἀκούσεται Σαοὺλ, καὶ ἀπο-
κτενεῖ με. καὶ εἶπε Κύριος, δάμαλιν
βοῶν λάβε ἐν τῇ χειρί σου, καὶ ἐρεῖς,
θῦσαι τῷ Κυρίῳ ἥκω.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατί ἔδεισεν ὁ Προ-
φήτης, χρῖσαι κελευσθεὶς τὸν προφήτην
Δαβίδ; Ἐπειδὴ οὐ μόνον Προφήτης, ἀλλὰ
καὶ ἄνθρωπος ἦν. εἰ γὰρ ὁ τοῦ Προφήτου
δεσπότης, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν
τῷ πάθει τῇ δειλίᾳ τὴν ἀνθρωπίνην φύσιν
ἔδειξε, τίς οὕτω παθῶν ἐλεύθερος, ὡς τῷ
Προφήτῃ δείσαντι ἐπιμέμψασθαι; (1)

* ΤΟΥ ΑΥΤΟΥ. Τολμῶσί τινες ἐπι-
μέμφεσθαι τῷ Θεῷ, ὡς ψεῦδος τὸν Προ-
» φήτην διδάξαντι. λάβε γάρ φησιν εἰς τὴν
» χεῖρά σου δάμαλιν βοῶν, καὶ ἐρεῖς, θῦσαι τῷ
» Κυρίῳ ἥκω. Ἀλλὰ τοῦτο οὐ ψεῦδος. ἀλη-
θῶς γὰρ ἐπετέλεσε τὴν θυσίαν. ἐῤῥέθη
τοίνυν αὐτῷ, κρύψαι μὲν τὸ ἔργον, εἰπεῖν
δὲ τὸ πάρεργον.

** ΠΡΟΚΟΠΙΟΥ. Ὡς ἄνθρωπος δει-
λιᾷν προΐσχεται. προσετάχθη δὲ προφά-
σει θυσίας χωρεῖν οὐ ψευδῶς. ψεύδεσθαι
γὰρ οὐ διδάσκει Θεός.

γ. Καὶ καλέσεις τὸν Ἰεσσαὶ καὶ τοὺς
υἱοὺς αὐτοῦ εἰς τὴν θυσίαν, καὶ ἐγὼ
γνωρίσω σοι ἃ ποιήσεις· καὶ χρίσεις
ὃν ἂν εἴπω πρὸς σέ.

A * ΠΡΟΚΟΠΙΟΥ. Διατί οὐ λέγει ὀνο-
μαστὶ τὸν Δαβὶδ, ἀλλ᾽ ἕνα τῶν υἱῶν Ἰεσσαί;
Ἵνα μὴ πάθῃ Δαβὶδ ταὐτὰ τῷ Ἰωσὴφ ὑπὸ
τῶν ἀδελφῶν. ὥστε ἡ ἄγνοια μήτηρ ἀσφα-
λείας. ἣ ἠγνόησε τὸ ζητούμενον, τοῦ Θεοῦ
συστέλλοντος πρὸς τὸ μέτριον τὸν Προφή-
την. μόνον γὰρ ἐκείνου ἡ πάντων γνῶσις.

δ. Καὶ ἐποίησε Σαμουὴλ πάντα
ἃ ἐλάλησε Κύριος αὐτῷ. καὶ ἦλθεν
B εἰς Βηθλεὲμ, καὶ ἐξέστησαν οἱ πρεσβύ-
τεροι τῆς πόλεως τῇ ἀπαντήσει αὐτοῦ,
καὶ εἶπον, ἦ εἰρήνη ἡ εἴσοδός σου ὁ βλέ-
πων; Καὶ εἶπεν, εἰρήνη. θῦσαι τῷ
ε. Κυρίῳ ἥκω. ἁγιάσθητε καὶ εὐφράν-
θητε μετ᾽ ἐμοῦ σήμερον. καὶ ἡγίασε τὸν
Ἰεσσαὶ καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἐκάλεσε (2)
τοὺς υἱοὺς αὐτοῦ εἰς τὴν θυσίαν.

ϛ. Καὶ ἐγένετο ἐν τῷ αὐτοὺς εἰσιέ-
Γ ναι, καὶ εἶδε τὸν Ἐλιὰβ, καὶ εἶπεν, ἀλλὰ
καὶ ἐνώπιον Κυρίου ὁ χριστὸς αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Θεασάμενος αὐτοῦ τὸν
πρεσβύτερον τῶν υἱῶν εὐμεγέθη καὶ καλὸν,
εἴκασεν ἐκ τῆς εὐμορφίας τοῦτον εἶναι τὸν
μέλλοντα βασιλεύσειν.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Πα-
ρῆν μὲν ὁ Σαμουὴλ, καὶ τῶν Ἰεσσαὶ παίδων
ὁ χορὸς παρειστήκει, καὶ μετὰ τὴν θυσίαν
Δ πρὸς τὴν χρίσιν παρεσκευάζετο, καὶ ἄγνω-
στος ἦν ἡ κρίσις τῆς χρίσεως, καὶ μέσος ὁ
Σαμουὴλ ἀπορῶν ὃν ἐκλέξηται, καὶ τὴν
θέαν πλανώμενος, καὶ τὴν γνῶσιν οὐκ ἐπιστά-
μενος· εἰς πάντας μὲν πέμπων τὸ βλέμμα,
ποῦ δὲ πέμψει τὸ βέλος ἡ χάρις, ἀπεκδε-
χόμενος. θαυμάζει τὸν ἄνθρωπον ἀνθρω-
πίνοις ὀφθαλμοῖς καταμετρήσας τὸν θεω-
ρούμενον· ἀλλ᾽ ἡ χάρις ἠρνεῖτο τὴν θέαν,
ἐπισταμένη τὴν γνώμην. καὶ Σαμουὴλ θαυ-
E μάζων τὴν θέαν, πρὸς τὴν χάριν ἐφιλο-
» νείκει, λέγων· ἀλλ᾽ ἢ ἐνώπιον Κυρίου χρι-
» στὸς αὐτοῦ; καὶ τὸ κέρας ἐπικλίνων, χρίειν
τὸν ἀδόκιμον ἐβιάζετο· ἀλλὰ τὸ ἔλαιον
ῥεῖν οὐκ ἐπείθετο, μὴ συμπράξῃ πλανω-
μένῳ Προφήτῃ, καὶ ῥέουσα φύσις ἄνω κα-
τείχετο, τοῖς νόμοις ἀκολουθοῦσα τῆς χάρι-
τος, ἄνικμον ἀποπέμπουσα κεφαλὴν, ἣν
ἡ χάρις ἀπέφυγε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν τὸν
Z ψηφισθέντα ὁ Προφήτης ἠγνόησεν; Ὅτι
οὐ Θεὸς ἦν, ἀλλ᾽ ἄνθρωπος. (3) οὐ γὰρ τὸ
πάντα εἰδέναι Προφήτου. ἡ ἄγνοια δὲ τὴν
θείαν ἀπεκάλυπτε ψῆφον. εἰ γὰρ εὐθὺς
ὥρμησεν ἐπὶ τὸν Δαβὶδ, ὑποπτεύθη ἂν ἐκ
προλήψεώς τινος τοῦτο πεποιηκέναι. ἐπει-
δὴ δὲ ἐπὶ τὸν πρῶτον ἦλθε, καὶ τὸν δεύτε-
ρον, καὶ τὸν τρίτον, καὶ τοὺς ἑπτὰ, ἔγνω-
σαν ὡς ὁ Θεὸς ἦν ὁ τούτους μὲν ἀποκρίνων,
ἐκεῖνον δὲ ψηφιζόμενος. εἰ γὰρ καὶ τῆς
H χειροτονίας οὕτω γεγενημένης, ἐγύμνωσαν
οἱ

(1) Νεμεσῆσαι; ἡ ἐν Χάλ. ἔκδ.

(2) Ἐκάλεσεν αὐτούς. αἱ εἰρημ. ἐκδόσ.

(3) Θεοῦ γὰρ τὸ πάντα εἰδέναι· Προφήτου δὲ, τὸ τὰ παρὰ τοῦ Θεοῦ δεικνύμενα. ἄλλως τε καὶ τοῦ Προφήτου ἡ ἄγνοια τὴν θείαν, κτ. ἡ ἐν Χάλ. ἔκδ.

» Ἰσραήλ, ὅτι οὐχ ὡς ἄνθρωπός ἐστι τοῦ με-
» τανοῆσαι. ἐντεῦθεν καὶ τὸ, μεταμεμέλη-
μαι νοητέον.

λ. Καὶ εἶπε Σαοὺλ, ἡμάρτηκα,
ἀλλὰ δόξασόν με δὴ ἐνώπιον πρεσβυ-
τέρων Ἰσραὴλ καὶ ἐνώπιον λαοῦ μου, καὶ
ἀνάστρεψον μετ' ἐμοῦ, καὶ προσκυνήσω
λα. Κυρίῳ τῷ Θεῷ σου. Καὶ ἀνέστρεψε
Σαμουὴλ ὀπίσω Σαοὺλ, καὶ προσε-
κύνησε τῷ Κυρίῳ.

** ΙΩΣΗΠΟΥ. Τιμῆσαι αὐτὸν παρε-
κάλει, τοῦ πλήθους ὁρῶντος σὺν αὐτῷ πα-
ραγενόμενον τὸν Θεὸν προσκυνῆσαι. δίδωσι
δὲ τοῦτο Σαμούηλος αὐτῷ, καὶ συνελθὼν προ-
σκυνεῖ τῷ Θεῷ.

λβ. Καὶ εἶπε Σαμουὴλ, προσά-
γαγέ μοι (1) τὸν Ἄγαγ βασιλέα Ἀ-
μαλήκ. καὶ προσῆλθε πρὸς αὐτὸν
Ἄγαγ τρέμων. καὶ εἶπεν Ἄγαγ, εἰ
οὕτω πικρὸς ὁ θάνατος.

** ΕΦΡΑΙΜ. Ἐπιμεληθῶμεν τῆς ψυ-
χῆς, ποτίζοντες τοῖς δάκρυσιν· ἵν' οὕτω
γεωργουμένη, καὶ τοῖς δάκρυσιν ἀρδευο-
μένη, ποιήσῃ τὸν ἐν δικαιοσύνῃ καρπόν.
ἵνα μὴ ἀμελήσαντες, εἴπωμεν καὶ ἡμεῖς ἐν
τῇ ὥρᾳ τοῦ χωρισμοῦ μετὰ φόβου καὶ τρόμου,
ὡς ὁ τῶν Ἀμαληκιτῶν βασιλεὺς, εἰ οὕτω
» πικρὸς ὁ θάνατος;

λγ. Καὶ εἶπε Σαμουὴλ πρὸς Ἄ-
γαγ, καθότι ἠτέκνωσε γυναῖκας ἡ
ῥομφαία σου, οὕτως ἀτεκνωθήσεται
ἐκ γυναικῶν ἡ μήτηρ σου. καὶ ἔσφαξε
Σαμουὴλ τὸν Ἄγαγ ἐνώπιον Κυρίου ἐν
Γαλγάλοις.

A * ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τὸν Ἄγαγ
ἔσφαξεν ὁ Προφήτης; Ὡς ὁ Φινεὲς τὸν
Ζαμβρί. τὸ γὰρ (2) παρὰ Θεοῦ κελευόμε-
νον εὐσεβές.

** ΠΡΟΚΟΠΙΟΥ. Εἰ παρεῖδε μέχρι
νῦν ὁ Θεὸς τὴν δίκην τοῦ Ἀμαλὴκ, τῆς
αὐτοῦ καὶ τοῦτο φιλανθρωπίας, τοσοῦτον εἰς
μετάνοιαν ἐκδεδοκότος αὐτοῖς, καὶ πληρω-
θῆναι τὰς ἁμαρτίας αὐτῶν περιμείναν-
τος· ἀντὶ μετανοίας προσιθέντων αὐταῖς,
B καίτοι τοσαῦτα περὶ τὸν Ἰσραὴλ ἐγεγόνει
τὰ θαύματα, δι' ὧν ἐχρῆν ἐπιστρέφεσθαι.
εἰ δὲ τῶν πρώτων ἡμαρτηκότων, οὔτοι κο-
λάζονται· πρῶτον μὲν, ἐπὶ τούτων τὸ μέ-
τρον πεπλήρωται τοσαῦτα προσθέντων·
ἔπειτα, κρίσεως οὔσης, κἀκεῖνοι τὴν δίκην
οὐκ ἔφυγον, καὶ οὗτοι κολασθέντες, εἰς πα-
ράδειγμα τοῖς ἄλλοις ἐγένοντο, μετρουμέ-
νων πρὸς ἀξίαν καὶ τῶν ἐνταῦθα κολά-
σεων, καὶ τῶν ἐν τῷ μέλλοντι· εἰ καὶ ὁ
Γ χρόνος διὰ τὴν οἰκονομίαν διάφορος, μηδὲ
τούτων ἐνταῦθα τὸ προσῆκον ἀπαιτησάν-
των. μία γὰρ δίκη πρὸς τὸ παρὸν, πῶς ἂν
πρὸς πολλὰς καὶ μεγάλας ἀσεβείας ἀρκέ-
σειεν; ἢ γὰρ ἂν οὐδὲν ὑπῆρχε μακαριώτε-
ρον ἐν ἁμαρτωλοῖς τῶν ἐνταῦθα κολαζο-
μένων. κρίνεται δὲ καὶ ἔθνος ὡς ἔθνος,
καὶ οἱ κατὰ μέρος πρὸς τὴν ἀξίαν.

λδ. Καὶ ἀπῆλθε Σαμουὴλ εἰς Ἀρ-
Δ μαθαίμ· καὶ Σαοὺλ ἀνέβη εἰς τὸν οἶκον
λε. αὐτοῦ εἰς Γαβαά. Καὶ οὐ προσέθετο
ἔτι Σαμουὴλ ἰδεῖν τὸν Σαοὺλ ἕως ἡμέ-
ρας θανάτου αὐτοῦ, ὅτι ἐπένθει Σα-
μουὴλ ἐπὶ Σαοὺλ, καὶ Κύριος μετε-
μελήθη ὅτι ἐβασίλευσε τὸν Σαοὺλ
ἐπὶ Ἰσραήλ.

ΚΕΦ. ΙϚ.

α. Καὶ εἶπε Κύριος πρὸς Σα-
μουὴλ, ἕως πότε σὺ πεν-
θεῖς ἐπὶ Σαοὺλ, κἀγὼ
ἐξουδένωκα αὐτὸν, μὴ βασιλεύειν ἐπὶ
Ἰσραήλ;

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπετιμήθη
» διὰ τὸ τῆς ἀθυμίας σφοδρόν. ἕως πότε
» γάρ φησι σὺ πενθεῖς ἐπὶ Σαοὺλ, κἀγὼ
» ἀπῶσμαι αὐτόν;

» ** ΤΟΥ ΑΥΤΟΥ. Τὸ, ἕως πότε, τὸν
χρόνον δείκνυσι, καὶ τὴν παραμονὴν τοῦ
ἱκετεύοντος. καὶ ἀπεπέμψατο ὁ Θεὸς τὸν
χρόνον τῆς ἱκεσίας τοῦ Προφήτου. οὐ γὰρ
συνέδραμε τῇ πρεσβείᾳ τοῦ δικαίου ἡ μετά-
νοια τοῦ βασιλέως.

** ΜΑΞΙΜΟΥ. Οὐ γὰρ ὄφελος τῆς
τοῦ δικαίου δεήσεως, τοῦ ταύτης χρήζοντος
πλέον τῶν ἀρετῶν ἡδομένου τῆς πλημμε-
λήμασιν. ἐπειδὴ καὶ ὁ μέγας ποτὲ Σαμουὴλ
ἐπένθει πλημμελοῦντα τὸν Σαοὺλ, ἀλλ' οὐκ
ἴσχυσε τὸν Θεὸν ἱλεώσασθαι, μὴ λαβὼν
συλλήπτορα τοῦ πένθους τὴν καθήκουσαν τοῦ
πλημμελοῦντος διόρθωσιν. διὸ τοῦ ἀνονήτου
πένθους ὁ Θεὸς καταπαύων τὸν ἑαυτοῦ θε-
» ράποντα, φησὶ πρὸς αὐτόν· ἕως ποτὲ σὺ
» πενθεῖς ἐπὶ Σαοὺλ, κἀγὼ ἐξουδένωκα αὐτὸν
» τοῦ μὴ βασιλεύειν ἐπὶ Ἰσραήλ;

Z Πλῆσον τὸ κέρας σου ἐλαίου, καὶ
δεῦρο ἀποστείλω σε πρὸς Ἰεσσαὶ ἕως
Βηθλεὲμ, ὅτι ἑώρακα ἐν τοῖς υἱοῖς
αὐτοῦ ἐμοὶ εἰς βασιλέα.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ.
» Πλῆσον τὸ κέρας σου ἐλαίου, καὶ δεῦρο ἀπο-
» στελῶ σε εἰς Βηθλεὲμ πρὸς Ἰεσσαί· ὅτι ἑώ-
» ρακα ἐν τοῖς υἱοῖς Ἰεσσαὶ ἐμοὶ εἰς βασιλέα.
Κρύπτει Θεὸς τὸ μειράκιον, καὶ τῷ Προφή-
τῃ περὶ τοῦ Προφήτου διαλέγεται. εἶδον, ὦ
H Προφῆτα, ψυχὴν χάριτος δεκτικήν· εἶδον,
ὦ Προφῆτα, ψυχὴν πρὸς τὴν τοῦ πνεύμα-
τος ὑποδοχὴν εὐπρεπῆ· ἐκόσμησέ μου τὴν
διά-

(1) Προσαγάγετέ μοι τὸν Ἀγάγ. αἱ εἰρημ. ἐκδόσ.

(2) Πᾶν γὰρ τὸ παρὰ τοῦ Θεοῦ. ἡ ἐν Χάλ. ἐκδ.

[A] διάπλασιν πράξεσι, προσέθηκέ μου τῇ τέχνῃ τῆς δημιουργίας τῆς γνώμης τὸ κάλλος. τοῦτον ἑώρακα ἐμοὶ εἰς βασιλέα. οὐχ ἁπλῶς ἑώρακα, ἀλλ' ἐμοὶ εἰς βασιλέα. ἔχει τὶ μυστήριον ἡ λέξις κρυπτόμενον. ἑώρακα ἐν τοῖς υἱοῖς Ἰεσσαὶ ἐμοὶ εἰς βασιλέα. ἐπειδὴ γὰρ ἐκ τοῦ Δαβὶδ τὸ κατὰ σάρκα Χριστὸς, ἡ ἀληθὴς βασιλεία, τὰ οὐράνια σκῆπτρα, ἡ σωτήριος γέννησις, ἡ ἀδιάδοχος χάρις· ἑώρακα, φησὶν, ἐν τοῖς υἱοῖς Ἰεσσαὶ ἐμοὶ εἰς βασιλέα· [B] μονονουχὶ λέγων, ἐμὴν εἶναι τὴν τοῦ παιδὸς βασιλείαν λογίζομαι. ἀλλ' ὢ τῆς ἀθανάτου σοφίας, ὢ τῆς ἀῤῥήτου θαυματουργίας. καὶ κρύπτει τὸν παῖδα. οὐκ εἶπε σαφῶς, χριέσθω μοι βασιλεὺς ὁ Δαβίδ· ἀλλ' ἑώρακα ἐν τοῖς υἱοῖς Ἰεσσαί. ἵνα γὰρ μὴ φαίνηται χάριτος ἀνθρωπίνης ἡ χρίσις, μηδὲ ἐκλογὴ τοῦ Σαμουὴλ ἡ τῆς βασιλείας περίθεσις, κρύπτει τὸν παῖδα τῷ κοινῷ τῶν παίδων ὀνόματι, καὶ πρὸς δῆμον [Γ] ἐκπέμπει τὸν χρίοντα. ἐκεῖ, ὦ Προφῆτα, ἐκδέχου τῆς χάριτος τὴν χρίσιν· μὴ γένηται νῦν ἡ τοῦ βασιλέως μήνυσις τῆς ἀξίας ἐλάττωσις, μηδὲ νοθεύσῃ τὴν δόξαν ἡ γνῶσις τοῦ βασιλεύοντος· ὢ παραδόξων πραγμάτων· ὁ Δαβὶδ μετὰ προβάτων αὐλίζεται, καὶ Θεὸς ἐν οὐρανῷ περὶ βασιλείας βουλεύεται· ὁ Δαβὶδ ποιμαίνει καὶ μεριμνᾷ, καὶ Θεὸς εὐτρεπίζει τὸν θρόνον.

β. Καὶ εἶπε Σαμουὴλ, πῶς πορευθῶ; καὶ ἀκούσεται Σαοὺλ, καὶ ἀποκτενεῖ με. καὶ εἶπε Κύριος, δάμαλιν βοῶν λάβε ἐν τῇ χειρί σου, καὶ ἐρεῖς, θῦσαι τῷ Κυρίῳ ἥκω.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ ἔδεισεν ὁ Προφήτης, χρίσαι κελευσθεὶς τὸν προφήτην Δαβίδ; Ἐπειδὴ οὐ μόνον Προφήτης, ἀλλὰ καὶ ἄνθρωπος ἦν. εἰ γὰρ ὁ τοῦ Προφήτου δεσπότης, ὁ Κύριος ἡμῶν Ἰησοῦς Χριστὸς ἐν τῷ πάθει τῇ δειλίᾳ τὴν ἀνθρωπίνην φύσιν ἔδειξε, τίς οὕτω παθῶν ἐλεύθερος, ὡς τῷ Προφήτῃ δείσαντι ἐπιμέμψασθαι; (1)

* ΤΟΥ ΑΥΤΟΥ. Τολμῶσί τινες ἐπιμέμφεσθαι τῷ Θεῷ, ὡς ψεῦδος τὸν Προφήτην διδάξαντι. λάβε γάρ φησιν εἰς τὴν χεῖρά σου δάμαλιν βοῶν, καὶ ἐρεῖς, θῦσαι τῷ Κυρίῳ ἥκω. Ἀλλὰ τοῦτο οὐ ψεῦδος. ἀληθῶς γὰρ ἐπετέλεσε τὴν θυσίαν. ἐῤῥέθη τοίνυν αὐτῷ, κρύψαι μὲν τὸ ἔργον, εἰπεῖν δὲ τὸ πάρεργον.

** ΠΡΟΚΟΠΙΟΥ. Ὡς ἄνθρωπος δειλιᾷν προΐσχεται. προσετάχθη δὲ προφάσει θυσίας χωρεῖν οὐ ψευδῶς. ψεύδεσθαι γὰρ οὐ διδάσκει Θεός.

γ. Καὶ καλέσεις τὸν Ἰεσσαὶ καὶ τοὺς υἱοὺς αὐτοῦ εἰς τὴν θυσίαν, καὶ ἐγὼ γνωρίσω σοι ἃ ποιήσεις· καὶ χρίσεις ὃν ἂν εἴπω πρὸς σέ.

* ΠΡΟΚΟΠΙΟΥ. Διατὶ οὐ λέγει ὀνομαστὶ τὸν Δαβὶδ, ἀλλ' ἕνα τῶν υἱῶν Ἰεσσαί; Ἵνα μὴ πάθῃ Δαβὶδ ταὐτὰ τῷ Ἰωσὴφ ὑπὸ τῶν ἀδελφῶν. ὥστε ἡ ἄγνοια μήτηρ ἀσφαλείας. ἢ ἠγνόησε τὸ ζητούμενον, τοῦ Θεοῦ συστέλλοντος πρὸς τὸ μέτριον τὸν Προφήτην. μόνου γὰρ ἐκείνου ἡ πάντων γνῶσις.

δ. Καὶ ἐποίησε Σαμουὴλ πάντα ἃ ἐλάλησε Κύριος αὐτῷ. καὶ ἦλθεν εἰς Βηθλεὲμ, καὶ ἐξέστησαν οἱ πρεσβύτεροι τῆς πόλεως τῇ ἀπαντήσει αὐτοῦ, καὶ εἶπον, ἢ εἰρήνη ἡ εἴσοδός σου ὁ βλέπων; Καὶ εἶπεν, εἰρήνη. θῦσαι τῷ
ε. Κυρίῳ ἥκω. ἁγιάσθητε καὶ εὐφράνθητε μετ' ἐμοῦ σήμερον. καὶ ἡγίασε τὸν Ἰεσσαὶ καὶ τοὺς υἱοὺς αὐτοῦ, καὶ ἐκάλεσε (2) τοὺς υἱοὺς αὐτοῦ εἰς τὴν θυσίαν.

ς. Καὶ ἐγένετο ἐν τῷ αὐτοὺς εἰσιέναι, καὶ εἶδε τὸν Ἐλιὰβ, καὶ εἶπεν, ἀλλὰ καὶ ἐνώπιον Κυρίου ὁ χριστὸς αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Θεασάμενος αὐτοῦ τὸν πρεσβύτερον τῶν υἱῶν εὐμεγέθη καὶ καλὸν, εἴκασεν ἐκ τῆς εὐμορφίας τοῦτον εἶναι τὸν μέλλοντα βασιλεύσειν.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Παρῆν μὲν ὁ Σαμουὴλ, καὶ τῶν Ἰεσσαὶ παίδων ὁ χορὸς παρειστήκει, καὶ μετὰ τὴν θυσίαν [Δ] πρὸς τὴν χρίσιν παρεσκευάζετο, καὶ ἄγνωστος ἦν ἡ κρίσις τῆς χρίσεως, καὶ μέσος ὁ Σαμουὴλ ἀπορῶν ὃν ἐκλέξηται, καὶ τὴν θέαν πλανώμενος, καὶ τὴν γνῶσιν οὐκ ἐπιστάμενος· εἰς πάντας μὲν πέμπων τὸ βλέμμα, ποῦ δὲ πέμψει τὸ βέλος ἡ χάρις, ἀπεκδεχόμενος. θαυμάζει τὸν ἄνθρωπον ἀνθρωπίνοις ὀφθαλμοῖς καταμετρήσας τὸν θεωρούμενον· ἀλλ' ἡ χάρις ἠρνεῖτο τὴν θέαν, ἐπισταμένη τὴν γνώμην. καὶ Σαμουὴλ θαυ-[Ε]μάζων τὴν θέαν, πρὸς τὴν χάριν ἐφιλονείκει, λέγων· ἀλλ' ἢ ἐνώπιον Κυρίου χριστὸς αὐτοῦ; καὶ τὸ κέρας ἐπικλίνων, χρίειν τὸν ἀδόκιμον ἐβιάζετο· ἀλλὰ τὸ ἔλαιον ῥεῖν οὐκ ἐπείθετο, μὴ συμπράξῃ πλανωμένῳ Προφήτῃ, καὶ ῥέουσα φύσις ἄνω κατείχετο, τοῖς νόμοις ἀκολουθοῦσα τῆς χάριτος, ἄνικμον ἀποπέμπουσα κεφαλὴν, ἣν ἡ χάρις ἀπέφυγε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν τὸν [Ζ] ψηφισθέντα ὁ Προφήτης ἠγνόησεν; Ὅτι οὐ Θεὸς ἦν, ἀλλ' ἄνθρωπος. (3) οὐ γὰρ τὸ πάντα εἰδέναι Προφήτου. ἡ ἄγνοια δὲ τὴν θείαν ἀπεκάλυπτε ψῆφον. εἰ γὰρ εὐθὺς ὥρμησεν ἐπὶ τὸν Δαβὶδ, ὑποπτεύθη ἂν ἐκ προλήψεώς τινος τοῦτο πεποιηκέναι. ἐπειδὴ δὲ ἐπὶ τὸν πρῶτον ἦλθε, καὶ τὸν δεύτερον, καὶ τὸν τρίτον, καὶ τοὺς ἑπτὰ, ἔγνωσαν ὡς ὁ Θεὸς ἦν ὁ τούτους μὲν ἀποκρίνων, ἐκεῖνον δὲ ψηφιζόμενος. εἰ γὰρ καὶ τῆς [Η] χειροτονίας οὕτω γεγενημένης, ἐγύμνωσαν οἱ

(1) Νεμεσῆσαι; ἡ ἐν Χάλ. ἔκδ.

(2) Ἐκάλεσεν αὐτούς. αἱ εἰρημ. ἐκδόσ.

(3) Θεοῦ γὰρ τὸ πάντα εἰδέναι· Προφήτου δὲ, τὸ τὰ παρὰ τοῦ Θεοῦ δεικνύμενα. ἄλλως τε καὶ τοῦ Προφήτου ἡ ἄγνοια τὴν θείαν, κτ. ἡ ἐν Χάλ. ἔκδ.

οἱ ἀδελφοὶ τὸν φθόνον, ἐν τῇ παρατάξει
τὸν Δαβὶδ θεασάμενοι, τί οὐκ ἂν ἔπαθον,
εἰ μὴ τοῦτον ἐγεγόνει τὸν τρόπον;

ζ. Καὶ εἶπε Κύριος πρὸς Σαμουὴλ,
μὴ ἐπιβλέψῃς ἐπὶ τὴν ὄψιν αὐτοῦ,
μηδὲ εἰς τὴν ἕξιν μεγέθους αὐτοῦ, ὅτι
ἐξουδένωκα αὐτόν. ὅτι οὐχ ὡς ἄνθρω-
πος ἐπιβλέψεται, ὄψεται ὁ Θεός·
ὅτι ἄνθρωπος ὄψεται εἰς πρόσωπον,
ὁ δὲ Θεὸς ὄψεται εἰς καρδίαν.

* * ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁ Σαμουὴλ
ἡνίκα ἀπεστάλη χρίσαι τὸν Δαβὶδ· εἶπε,
» Φησὶ, Κύριος πρὸς αὐτόν· μὴ πρόσχες εἰς
» τὴν ὄψιν αὐτοῦ, μηδὲ εἰς τὴν ἕξιν τοῦ μεγέ-
» θους αὐτοῦ, ὅτι ἐξουδένωκα αὐτόν. ὅτι οὐχ
» ὡς ἄνθρωπος ὄψεται ὁ Θεός. ὅτι ἄνθρω-
» πος ὄψεται εἰς πρόσωπον, ὁ δὲ Θεὸς εἰς
καρδίαν. τοῦτο δὲ γίνεται κατὰ πολλὴν τοῦ
Θεοῦ κηδεμονίαν. πῶς καὶ τίνι τρόπῳ; αὐ-
τῶν τε ἕνεκεν τῶν ἁγίων, καὶ τῶν πιστευόν-
των αὐτοῖς. καθάπερ γὰρ καὶ διωγμοὺς
συγχωρεῖ γίνεσθαι, οὕτως αὐτοὺς συγχωρεῖ
πολλὰ καὶ ἀγνοεῖν, ἵνα κατασέλλωνται. διὰ
2. Κορ. 12. 7. τοῦτο καὶ Παῦλος ἔλεγεν· ἐδόθη μοι σκό-
» λοψ τῇ σαρκὶ, ἄγγελος Σατᾶν, ἵνα με κο-
» λαφίζῃ, ἵνα μὴ ὑπεραίρωμαι. καὶ πάλιν,
ἵνα καὶ οἱ ἄλλοι μὴ μεγάλα περὶ αὐτῶν
φαντάζωνται. εἰ γὰρ ἀπὸ σημείων Θεοὺς
αὐτοὺς εἶναι ἐνόμισαν, πολλῷ μᾶλλον, εἰ
διαπαντὸς ἔμενον τὰ πάντα εἰδότες.

* * ΚΛΗΜΕΝΤΟΣ. Τῷ Σαμουὴλ τῷ
προφήτῃ, ὁπότε πέμπεται ἕνα χρίσαι τῶν
υἱῶν Ἰεσσαὶ εἰς βασιλέα, καὶ τὸν πρεσβύ-
τατον τῶν παίδων αὐτοῦ καλὸν καὶ μέγαν
ἰδόντι, ὁπότε τὸ χρίσμα προσέβαλεν ὁ
Σαμουὴλ, ἡσθεὶς ἐπ᾽ αὐτῷ, εἶπε, Φησὶν, ὁ
» Κύριος αὐτῷ· μὴ ἐπιβλέψῃς εἰς τὴν ὄψιν
» αὐτοῦ, καὶ τὸ ὕψος τοῦ μεγέθους αὐτοῦ· ὅτι
» ἀπῶσμαι αὐτόν. ἄνθρωπος μὲν γὰρ εἰς
» ὀφθαλμοὺς ὄψεται, καὶ Κύριος εἰς καρ-
δίαν. καὶ οὐκ ἔχρισε τὸν καλὸν τὸ σῶμα,
ἀλλὰ τὸν καλὸν τὴν ψυχήν. εἰ οὖν τὸ φυ-
σικὸν τοῦ σώματος κάλλος ἔλαττον τοῦ ψυ-
χικοῦ λογίζεται Κύριος, τί περὶ τοῦ νόθου
φρονεῖ, ἅπαν τὸ ψεῦσμα ἄρδην ἐκβαλών;
2. Κορ. 5. 7. διὰ πίστεως γὰρ περιπατοῦμεν, οὐ διὰ εἴδους.

η. Καὶ παρήγαγεν (1) Ἰεσσαὶ τὸν
Ἀμιναδὰβ, καὶ παρῆλθε κατὰ πρό-
σωπον Σαμουήλ. καὶ εἶπεν, οὐδὲ τοῦτον
θ. ἐξελέξατο Κύριος. Καὶ παρήγαγεν
Ἰεσσαὶ [τὸν Σαμά. καὶ εἶπε, καὶ ἐν τού-
ι. τῳ οὐκ ἐξελέξατο Κύριος. Καὶ πα-
ρήγαγεν Ἰεσσαὶ] τοὺς ἑπτὰ υἱοὺς αὐτοῦ
ἐνώπιον Σαμουήλ. καὶ εἶπε Σαμουὴλ
πρὸς Ἰεσσαὶ, οὐκ ἐξελέξατο Κύριος
ἐν τούτοις.

* * ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Πα-
ρῆν ὁ δεύτερος, καὶ τῷ πρώτῳ συνητιμά-
ζετο. ὁ τρίτος τοῖς ἀδελφοῖς ἀδελφὴν τὴν

A ἀποτυχίαν ἔλαβεν. ἡ τάξις ἐκάλει τὸν
ἕτερον, σιωπώσης τῆς χάριτος· ἠκολούθει
ταῖς ὠδῖσιν ἡ κλῆσις, καὶ τὸν οἰκεῖον ἡ χά-
ρις οὐχ ηὕρισκε. τί δεῖ λέγειν; ἀνήλωτος
τῆς γαστρὸς ὁ πλοῦτος, καὶ ὁ τῆς χάριτος
οὐκ ἐτρυγᾶτο καρπός.

ια. Καὶ εἶπε Σαμουὴλ πρὸς Ἰεσσαὶ,
ἐκλέλοιπε τὰ παιδάρια; καὶ εἶπεν
Ἰεσσαὶ, ἔτι ὁ μικρὸς ἰδοὺ ποιμαίνει ἐν
B τῷ ποιμνίῳ. καὶ εἶπε Σαμουὴλ πρὸς
Ἰεσσαὶ, ἀπόστειλον καὶ λάβε αὐτὸν,
ὅτι οὐ μὴ κατακλιθῶμεν ἕως τοῦ ἐλ-
θεῖν αὐτόν.

* * ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ.
Ἠπόρει τοῖς ὁρωμένοις ὁ Σαμουὴλ, τί τὸ
φαινόμενον, λέγων; τί τὸ γενόμενον; ὁ
προστάξας, Θεός· ὁ προσαχθεὶς, τῶν παί-
δων χορός. ἀψευδὴς ὁ κελεύσας, ἡ ψῆφος
Γ τοῖς προσαχθεῖσιν οὐχ ἕπεται, τὸ κέρας οὐ
συντρέχει τῇ θέᾳ· κλέπτει μου τὸ ζητού-
μενον τῶν παίδων ὁ ἀριθμός. πρὸς σὲ λοι-
» πὸν, ὦ πάτερ, ὁ λόγος. ἐκλέλοιπε τὰ
παιδάρια; ἀλλὰ κἂν ἐπιγεύσῃς, οὐ πείθο-
μαι. ἡ γὰρ ἀπόφασις ἐπιζητεῖ τὸν κρυ-
πτόμενον. οἶδεν ὁ δεδωκὼς, κἂν ὁ λαβὼν,
» ὅπερ ἔλαβεν οὐκ ἐπίσταται. ἔστι, φησὶν, ὁ
» μικρότερος, καὶ ἰδοὺ ποιμαίνει ἐν τῷ ποιμνίῳ.
τί πρὸς βασιλείαν ἐπιζητεῖς, τὸν οὐδὲ πρὸς
Δ τὸ ποιμαίνειν ἀρκοῦντα; τί μαθὼν τὸ ἐπι-
τήδευμα, περιάπτειν φιλονικεῖς τὸ ἀξίω-
μα; μικρότερος ὁ περιλειπόμενος· ἀλλ᾽ οὐκ
ἐνίκησε κατὰ (2) Θεοῦ ψῆφον ἡ τοῦ φύσαν-
τος ἄγνοια.

ιβ. Καὶ ἀπέστειλε καὶ εἰσήγαγεν αὐ-
τὸν ἐνώπιον Σαμουήλ. καὶ αὐτὸς πυρ-
ῥάκης μετὰ κάλλους ὀφθαλμῶν, καὶ
ἀγαθὸς ὁράσει Κυρίῳ. καὶ εἶπε Κύριος
E πρὸς Σαμουὴλ, ἀνάστα καὶ χρίσον τὸν
Δαβὶδ, ὅτι αὐτὸς (3) ἀγαθός ἐστι.

* * ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἄ-
γεται παραχρῆμα τὸ μειράκιον ὁ Δαβὶδ,
ὀλίγος τὸν χρόνον, πολὺς τὴν διάνοιαν·
πρᾶος τὸ βλέμμα, τὴν γνώμην πρᾳότε-
ρος· πυρόεις τὴν ὄψιν, λαμπρὸς τὴν ψυ-
χήν· φαιδρότερον φέρων τὸ τῆς ψυχῆς
κάλλος τῆς εὐχροίας τοῦ σώματος. καὶ τί
δεῖ λέγειν; αὐτὸν ἔχω τὸν πλάσαντα μάρ-
Z » τυρα. ἀγαθὸς γάρ φησι τῇ ὁράσει Κυρίου.
ἕλκει εἰς ἔπαινον τοὺς ὀφθαλμοὺς τοῦ ποιή-
σαντος, καὶ μονονουχὶ ταῦτα λέγει πρὸς
τὸν Σαμουὴλ ὁ Θεός· σὺ τεθαύμακας θνη-
τῷ βλέμματι μετρήσας τὸ τοῦ σώματος
μέγεθος· ἐγὼ δὲ τὸ ἐμοὶ μόνῳ φαινόμενον
περιεργάζομαι κάλλος. ὅπου γὰρ εὑρίσκω
ψυχῆς θησαυρὸν, ἐκεῖ πέμπω τὸ θαῦμα
τοῦ βλέμματος.

* ΠΡΟΚΟΠΙΟΥ. Ὁ μὲν Ἡσαῦ πυῤῥά-
H κης ἦν, ὡσεὶ δορὰ δασὺς δὲ, τὴν ἐξ ἁμαρ-
τίας ἔχων νεκρότητα, καὶ φωνῶν κατὰ Ἰα-
κώβ· ὁ δὲ Δαβὶδ πυῤῥάκης μετὰ κάλλους
ὀφθαλ-

(1) Ἐκάλεσεν. αἱ εἰρημ. ἐκδόσ. (2) Ἴσ. τὴν τοῦ Θεοῦ. (3) Οὗτος. αἱ αὐτ.

ὀφθαλμῶν, ἵνα τὸ διορατικὸν δηλώσῃ τοῦ Α
Δαβίδ, (1) καὶ τὸ γοργὸν τῆς ψυχῆς. οὐ
γὰρ σώματος τοῦτο ἔπαινος. ἐξελέξατο δὲ
προπαιδαγωγούμενον ἐν τῇ ποιμαντικῇ, καὶ
διὰ τῆς τῶν λοχευομένων κηδεμονίας ἀν-
θρώπων ἄρχειν ἐκδιδασκόμενον.

ιγ. Καὶ ἔλαβε Σαμουὴλ τὸ κέρας
τοῦ ἐλαίου, καὶ ἔχρισεν αὐτὸν ἐν μέσῳ
τῶν ἀδελφῶν αὐτοῦ. καὶ ἐφήλατο πνεῦ-
μα Κυρίου ἐπὶ Δαβὶδ ἀπὸ τῆς ἡμέ- Β
ρας ἐκείνης, καὶ ἐπάνω. καὶ ἀνέστη Σα-
μουὴλ, καὶ ἀπῆλθεν εἰς Ἀρμαθαίμ.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἐκί-
νησεν εὐθὺς πρὸς τὴν χρίσιν ἡ χάρις τὴν
χεῖρα. οὔπω τὸ κέρας ἐκλίνετο, καὶ τὸ
ἔλαιον κατεπείγετο, καὶ ἡ χρίσις ἐκύρου
τὴν ψῆφον. καὶ βασιλεὺς ἦν ὁ Δαβὶδ προ-
φητικῇ χειρὶ πρὸς βασιλείαν ἐπεκτεινό-
μενος, οὐρανίῳ σφραγίδι τὴν ἀξίαν δεχό- Γ
μενος. καὶ πρῶτος εὐθὺς τῶν ἀδελφῶν ὁ
τελευταῖος ηὑρίσκετο, καὶ ἡ τῆς φύσεως
τάξις παρεχώρει τῇ χάριτι, καὶ ὁ τοῦ νό-
μου τόκος ἐπέκυπτε· καὶ τὴν ἀπόῤῥητα βα-
σιλείας προοίμια. ἀπ' αὐτῆς τῆς φύσεως
τὸ κράτος κατέλαμπεν. ἀδελφοὶ γὰρ τῶν
πρωτείων ἐξίσαντο, καὶ οὓς πρώτους ἡ φύ-
σις ἐγέννησε, πρώτους ὑποκύπτειν ἡ χά-
ρις ἠνάγκαζε.

ιδ. Καὶ πνεῦμα Κυρίου ἀπέστη ἀπὸ Δ
Σαοὺλ, καὶ ἔπνιγεν αὐτὸν πνεῦμα πο-
νηρὸν παρὰ Κυρίου.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἡ
τοῦ πνεύματος χάρις ἐκ τοῦ Σαοὺλ μεταν-
έστατο, πονηρῷ παραχωροῦσα τὴν οἴκησιν
πνεύματι. οἷον γὰρ εὐτρέπισε τῆς ψυχῆς
καταγώγιον ὁ Σαοὺλ, τοιοῦτον ὑπεδέχετο
τὸν οἰκήτορα. ἔδει τῆς τοῦ Δαβὶδ βασι-
λείας ἀνατελλούσης, τὴν τοῦ Σαοὺλ ἀποσβέν- Ε
νυσθαι. ὥσπερ οὖν ὁ ἥλιος ἀνασχὼν ἐλαύνει
τὴν νύκτα, καὶ μερίζει τῇ κλίσει τῶν ἀκτί-
νων τὸ φέγγος παρὰ τοῖς ὅροις τῆς νυκτὸς
εὐπειθῶς· οὕτω τῆς τοῦ Δαβὶδ ἀνατελλού-
σης ἀξίας, ἡ τοῦ Σαοὺλ βασιλεία πρὸς δυσ-
μὰς κατεπείγετο. ἔρημον οὖν τῆς χάριτος,
καὶ ἀοίκητον τὴν τοῦ Σαοὺλ ψυχὴν ὁ Δαί-
μων εὑράμενος, σκηνὴν οἰκείαν αὐτὸ (2)
ἀπειργάσατο, καὶ τὰ τῆς ἐπιδημίας γνω-
ρίσματα τοῖς ἔργοις ἐξέφηνε· τὸ φρονοῦν Ζ
τῶν λογισμῶν ἐξωρίζετο, αἱ τῶν ὀμμάτων
παρεφέροντο κόραι, δαιμονικοῖς ἐκλονεῖτο
παθήμασι. πρὸς ταῦτα ἐφέρετο, πρὸς
ἅπερ ὁ Δαίμων ἐβούλετο.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ,
» πνεῦμα πονηρὸν παρὰ Κυρίου ἔπνιγε τὸν
Σαοὺλ; Τοῦ θείου πνεύματος ἀποστάντος,
χώραν ἔλαβε τὸ παμπόνηρον πνεῦμα· [δι-
δασκόμεθα δὲ ἐντεῦθεν μετὰ τοῦ Δαβὶδ
Ψαλ. 50. 11. βοᾷν· τὸ πνεῦμά σου τὸ ἅγιον μὴ ἀντανέ- Η,
» λῃς ἀπ' ἐμοῦ·] οὕτω καὶ τῆς ἀποστολικῆς

Α χάριτος καταλιπούσης τὸν Ἰούδαν, ἀντει-
σήχθη (3) αὐτῷ ὁ Διάβολος.

* ΠΡΟΚΟΠΙΟΥ. Εἰωθότως δὲ ἐπὶ Θεὸν
ἀναφέρει τὴν αἰτίαν τῆς τοῦ πονηροῦ πνεύ-
ματος ἐνοικήσεως· οὐχ ὅτι αὐτοῦ δεδωκό-
τος, ἀλλ' ὅτι ἀφελομένου τὸ ἅγιον, πάρο-
δος ἐγένετο τῷ πονηρῷ τοῦ τὰ δοκοῦντα
ποιεῖν. τὸ γὰρ θεῖον πνεῦμα ἐν τῇ τῆς βα-
σιλείας χρίσει δεδομένον τῷ Σαοὺλ, εἰκό-
τως ἐν τῇ ταύτης ἀποπτώσει πρὸς τὸν ἀντ'
Β ἐκείνου χειροτονούμενον συναπέπτη, καὶ χώ-
ραν ἔσχε τὸ ἐναντίον. ἄλλως γὰρ, ἐξουσία
κατ' οὐδενὸς αὐτοῖς δέδοται δίχα τῆς θείας
συγχωρήσεως.

ιε. Καὶ εἶπαν οἱ παῖδες Σαοὺλ πρὸς
αὐτὸν, ἰδοὺ δὴ πνεῦμα πονηρὸν παρὰ
ις. Κυρίου πνίγει σε. Εἰπάτωσαν δὴ οἱ
δοῦλοί σου ἐνώπιόν σου, καὶ ζητησάτωσαν
τῷ κυρίῳ ἡμῶν ἄνδρα εἰδότα ψάλλειν
Γ ἐν κινύρᾳ· καὶ ἔσται ἐν τῷ εἶναι τὸ πνεῦ-
μα τὸ πονηρὸν ἐπὶ σοὶ, καὶ ψαλεῖ ἐν
τῇ κινύρᾳ αὐτοῦ, καὶ ἀγαθόν σοι ἔσται
ιζ. καὶ ἀναπαύσει σε. Καὶ εἶπε Σαοὺλ
πρὸς τοὺς παῖδας αὐτοῦ, ἴδετε δή μοι
ἄνδρα ὀρθῶς ψάλλοντα, καὶ εἰσαγά-
γετε αὐτὸν πρός με.

** ΙΩΣΗΠΟΥ. Πρὸς τὸν Δαυΐδην με-
Δ ταβαίνει τὸ θεῖον, καταλιπὸν Σάουλον. καὶ
ὁ μὲν προφητεύειν ἤρξατο, τοῦ θείου πνεύ-
ματος εἰς αὐτὸν μετοικισαμένου· τὸν Σάου-
λον δὲ περιήρχετο πάθη τινὰ καὶ Δαιμό-
νια, πνιγμοὺς αὐτῷ καὶ στραγγάλας ἐπι-
φέροντα, ὡς τοὺς ἰατροὺς ἄλλην μὲν αὐτῷ
θεραπείαν μὴ ἐπινοεῖν· εἰ δέ τίς ἐστιν ἐξᾴ-
δειν δυνάμενος, καὶ ψάλλειν ἐπὶ κινύρᾳ, τοῦ-
τον ἐκέλευσαν ζητήσαντας, ὁπότ' ἂν αὐτῷ
προσίοι τὰ Δαιμόνια καὶ ταράττοι, ποιεῖν
Ε ὑπὲρ κεφαλῆς στάντα ψάλλειν, καὶ τοὺς
ὕμνους ἐπιλέγειν. ὁ δὲ οὐκ ἐμέλλησεν, ἀλλὰ
ζητεῖσθαι προσέταξε τοιοῦτον ἄνθρωπον.

ιη. Καὶ ἀπεκρίθη εἷς τῶν παίδων
αὐτοῦ, καὶ εἶπεν, ἰδοὺ ἑώρακα υἱὸν τῷ
Ἰεσσαὶ Βηθλεεμίτην, καὶ αὐτὸν εἰδό-
τα ψαλμὸν, καὶ ὁ ἀνὴρ συνετὸς, καὶ
πολεμιστὴς, καὶ σοφὸς ἐν λόγῳ, καὶ
ὁ ἀνὴρ ἀγαθὸς τῷ εἴδει, καὶ Κύριος
Ζ μετ' αὐτοῦ.

* ΠΡΟΚΟΠΙΟΥ. Ἡ διὰ μουσικῶν ὀρ-
γάνων λατρεία παρὰ Θεοῦ μὲν οὐ δέδοται,
ἐπενοήθη δὲ τῷ Δαβὶδ εὐσεβέστατα. πόθῳ
γὰρ θείῳ πυρούμενος, τὰ πρὸς ἀσέλγειαν
τοὺς ἀνθρώπους ἐκκαίοντα μετέβαλλεν εἰς
εὐσέβειαν, μέλος ἐνάρθρου φωνῆς ὕμνοις
θείοις ἐγκεράσας· ὡς ἂν τὴν μὲν αἴσθησιν
διεγείροι τὸ μέλος, τὸ δὲ νόημα μετ' αὐτοῦ
τὸν θεῖον πόθον ἀνάπτοι.

Η,, * ΤΟΥ ΑΥΤΟΥ. Καὶ ὁ ἀνὴρ συνετὸς,
» καὶ πολεμιστής. Πῶς ἀνὴρ, καὶ πῶς συνε-
τὸς

(1) Τὰ ἄχρι τοῦδε ταὐτὰ τοῖς τοῦ Ὠριγ. τοῖς ἐν σελ. 480. τοῦ 2. Τόμ. τῆς τοῦ Ῥου. ἐκδόσ.
(2) Ἤτοι αὐτὸν, ἢ αὐτῷ ἀναγνωστ.
(3) Εἰσελήλυθεν εἰς αὐτόν. ἡ ἐν Χάλ. ἐκδ.

τὸς ἐν λόγῳ, πῶς δὲ καὶ πολεμιστὴς ὁ πρόβατα ποιμαίνων; Οὐκ ἄρα ἀφ' ἑαυτοῦ ἐλάλησεν εἰπών, ἀλλὰ τὰ ἐσόμενα, ὡς παρόντα προεῖπε· (1) καὶ μαρτυρεῖ τῷ Δαβὶδ ἅπερ ἔμελλεν εἶναι.

ιθ. Καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους πρὸς Ἰεσσαὶ, λέγων, ἀπόστειλον πρός με τὸν υἱόν σου Δαβὶδ τὸν ἐν τῷ ποιμνίῳ σου.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Μικρᾶς τινὸς προθεσμίας ἐκ τῆς τοῦ Δαίμονος πολυορκίας ἐπιλαβόμενος, ἱκέτης τοῦ Δαβὶδ διὰ τῶν θεραπόντων ἐγίνετο. καὶ πρεσβεῦται πέμπονται παρὰ τοῦ σχήματι βασιλεύοντος πρὸς τὸν ἀληθῶς βασιλεύοντα, ἀντὶ τῶν δωρεῶν τέως τὰς παρακλήσεις προσφέροντες, ἱκεσίαις τὴν ἀξίαν κηρύττοντες, τὸν ἀφανῆ πολέμιον διηγούμενοι Δαίμονα, τὴν βασιλέως συμφορὰν ἐξαγγέλλοντες, τὸ μηκέτι βασιλεύειν ὁμολογοῦντες· λύσον βοῶντες, πολυορκίαν ἀόρατον παῦσον. αἰχμάλωτον αὐτὸν τὶς οὐκ οἶδε γενόμενον; ἐπίσχες πολέμιον τὸν τοῖς ἔργοις μόνον δρῶντα· πολεμοῦντα μὴ βλέποντες, τοῖς πάθεσι τὰ βέλη μανθάνομεν.

κ. Καὶ ἔλαβεν Ἰεσσαὶ γόμορ ἄρτων, καὶ ἀσκὸν οἴνου, καὶ ἔριφον αἰγῶν ἕνα, καὶ ἐξαπέστειλεν ἐν χειρὶ Δαβὶδ τοῦ υἱοῦ

κα. αὐτοῦ πρὸς Σαοὺλ. Καὶ εἰσῆλθε Δαβὶδ πρὸς Σαοὺλ, καὶ παρειστήκει ἐνώπιον αὐτοῦ, καὶ ἠγάπησεν αὐτὸν σφόδρα· καὶ ἐγενήθη αὐτῷ αἴρων σκεύη αὐτοῦ.

κβ. Καὶ ἀπέστειλε Σαοὺλ πρὸς Ἰεσσαὶ, λέγων, παριστάσθω δὴ Δαβὶδ ἐνώπιόν μου, ὅτι εὗρε χάριν ἐν ὀφθαλμοῖς μου.

κγ. Καὶ ἐγενήθη ἐν τῷ εἶναι πνεῦμα πονηρὸν ἐπὶ Σαοὺλ, καὶ ἐλάμβανε

A Δαβὶδ τὴν κινύραν, καὶ ἔψαλλεν ἐν χειρὶ αὐτοῦ, καὶ ἀνέψυχε Σαοὺλ, καὶ ἀγαθὸν ἦν αὐτῷ, καὶ ἀφίστατο ἀπ' αὐτοῦ τὸ πνεῦμα τὸ πονηρόν.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Δέχεται τὴν πρεσβείαν ὁ Δαβὶδ, καὶ ἦν εὐθὺς ἐν ὅπλοις τοῦ πνεύματος. ψαλμὸς γὰρ καὶ λύρα καὶ χάρις κατὰ Δαιμόνων τὰ δόρατα· ἐφθέγγετο μόνον, καὶ ὁ δυσμενὴς

B ἐδεσμεύετο. καὶ τὸ τῆς λύρας μέλος, βέλος κατὰ Δαιμόνων ἐπέμπετο. τὶς οἶδεν ἐν ᾄσμασι τρόπαιον ἐγειρόμενον; καὶ μὴ θαυμάσῃς, εἰ μετὰ τῆς βασιλείας καὶ τὸ κατὰ τῶν Δαιμόνων ἀνεδέξατο κράτος. Χριστοῦ γὰρ τὸ κατὰ σάρκα πατὴρ ὁ Δαβὶδ. καὶ μετὰ τῆς βασιλικῆς ἀξίας τὰς τῆς δεσποτικῆς οἰκονομίας ἐπαγγελίας ἐδέχετο. ὅπου γὰρ μνήμη Χριστοῦ, Δαιμόνων ἀπώλεια· ὅπου σφραγὶς οὐράνιος, ἐκεῖ Δια-

Γ βόλου καθαίρεσις. ἐν τούτῳ πρώτῳ μετὰ τὸν Ἀβραὰμ ὁ Θεὸς τὴν κατὰ Χριστὸν οἰκονομίαν ἐφύτευσε, καὶ μεθ' ὅρκων ὁ Θεὸς
» εὐηγγελίζετο, λέγων· ὤμοσα Δαβὶδ τῷ Ψαλ. 88. 3, 4,
» δούλῳ μου. ἕως τοῦ αἰῶνος ἑτοιμάσω τὸ σπέρ- 36.
» μα σου, καὶ οἰκοδομήσω εἰς γενεὰν καὶ γε-
» νεὰν τὸν θρόνον σου. καὶ πάλιν βεβαιῶν τὸν ὅρκον ταῖς ἐπαγγελίαις προστίθησι· τὸ
» σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα μενεῖ, καὶ ὁ
» θρόνος αὐτοῦ ὡς ὁ ἥλιος ἐναντίον μου. τούτοις συντρέχων ὁ Πέτρος ὁ τῶν Ἀποστόλων

Δ » κορυφαῖος, ἐβόα· ὤμοσε τῷ Δαβὶδ ὁ Θεὸς, Πράξ. 2. 30.
» ἐκ καρποῦ τῆς ὀσφύος αὐτοῦ τὸ κατὰ σάρ-
» κα ἀναστήσειν τὸν Χριστόν. εἰ δὲ τούτου καρπὸς ὁ Χριστὸς, πῶς οὐκ ἔντιμος ἡ ῥίζα;

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς τοῦ Δαβὶδ ψάλλοντος, τὸ πονηρὸν ἡσύχαζε πνεῦμα; Τοῦ θείου πνεύματος τὴν χάριν ὁ Δαβὶδ ἐδέδεκτο. τούτου τοίνυν διὰ τοῦ Δαβὶδ ἐνεργοῦντος, τὸ παμπόνηρον ἡσύχαζε πνεῦμα.

ΚΕΦ. ΙΖ.

α. Καὶ συνάγουσιν οἱ ἀλλόφυλοι τὰς παρεμβολὰς αὐτῶν εἰς πόλεμον, καὶ συνάγονται εἰς Σοκχὼθ τῆς Ἰουδαίας, καὶ παρεμβάλλουσιν ἀναμέσον Σοκχὼθ, καὶ ἀναμέσον Ἀζηκὰ ἐν Σεφερμαΐμ. (2)

β. Καὶ Σαοὺλ καὶ οἱ ἄνδρες Ἰσραὴλ συνάγονται, καὶ παρεμβάλλουσιν ἐν τῇ κοιλάδι, (3) καὶ οὗτοι παρατάσσονται εἰς πόλεμον ἐξ ἐναντίας τῶν ἀλλοφύ-

γ. λων. Καὶ ἀλλόφυλοι ἵστανται ἐπὶ τοῦ ὄρους ἐνταῦθα, καὶ Ἰσραὴλ ἵσταται ἐπὶ τοῦ ὄρους ἐνταῦθα, καὶ ὁ αὐλὼν ἐν μέσῳ αὐτῶν.

** ΙΩΣΗΠΟΥ. Χρόνοις ὕστερον οὐ πολλοῖς οἱ Παλαιστῖνοι πάλιν συνελθόντες, καὶ δύναμιν ἀθροίσαντες μεγάλην, ἐπίασι τοῖς Ἰσραηλίταις, καὶ μεταξὺ Σωχοῦς καὶ Ἀζηκᾶς καταλαμβανόμενοι στρατοπεδεύονται.

Z ἀντεξάγει δ' αὐτοῖς τὴν στρατιὰν καὶ Σάουλος· καὶ ἐπί τινος ὄρους στρατοπεδευσάμενος, ἀναγκάζει τοὺς Παλαιστίνους τὸ μὲν πρῶτον στρατόπεδον καταλιπεῖν, ἐπὶ ὁμοίου δέ τινος ὄρους ἀντικρὺ τοῦ καταληφθέντος ὑπὸ τοῦ Σαούλου στρατοπεδεύσασθαι. διέστησε δὲ ἀπ' ἀλλήλων τὰ στρατόπεδα μέσος αὐλὼν τῶν ὀρῶν ἐφ' ὧν ἦν.

δ. Καὶ ἐξῆλθεν ἀνὴρ δυνατὸς ἐκ τῆς παρατάξεως τῶν ἀλλοφύλων,

H Γολιὰθ ὄνομα αὐτῷ ἐκ Γὲθ, ὕψος αὐτοῦ

(1) Τὰ ἑξῆς ἐν τῷ τῆς Αὐγ. κώδ. οὐ κεῖται. (2) Ἐφερμεν. αἱ εἰρημ. ἐκδόσ.

(3) Κοιλάδι αὗται. αἱ αὐτ. ὡσαύτως καὶ Ἰώσηπ. ἐν κεφ. 9. τοῦ 6. περὶ Ἰουδ. ἀρχ. βιβλ. οὗτοι, καὶ οὗτοι, καὶ παρατάσ. ἡ τοῦ Ἀλδ.

αὐτοῦ πέντε (1) πήχεων καὶ σπιθαμῆς.
ε. Καὶ περικεφαλαία ἐπὶ τῆς κεφαλῆς
αὐτοῦ, καὶ θώρακα ἁλυσιδωτὸν αὐτὸς
ἐνδεδυκώς· καὶ ὁ σταθμὸς τοῦ θώρακος
αὐτοῦ, πέντε χιλιάδες σίκλων χαλ-
ϛ. κοῦ καὶ σιδήρου. Καὶ κνημῖδες χαλκαῖ
ἐπάνω τῶν σκελῶν αὐτοῦ, καὶ ἀσπὶς
χαλκῆ ἀναμέσον τῶν ὤμων αὐτοῦ.
ζ. Καὶ ὁ κοντὸς τοῦ δόρατος αὐτοῦ ὡσεὶ
μέσαυλον ὑφαινόντων, καὶ ἡ λόγχη
αὐτοῦ ἑξακοσίων σίκλων σιδήρου. καὶ
ὁ αἴρων τὰ ὅπλα αὐτοῦ προεπορεύε-
το αὐτοῦ.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Διεδέχετο τῶν Δαιμόνων τὸν πόλεμον τοῦ Γολιὰθ ἡ παράταξις. καὶ πάλιν τὸν ἑαυτῆς στρατιώτην ἡ χάρις ἐστράτευεν· ἵνα μὴ μόνον τοῦ βασιλέως σωτὴρ ὁ Δαβὶδ, ἀλλ' ἤδη καὶ τοῦ παντὸς Ἰσραὴλ εὐεργέτης ἀναδειχθῇ, καὶ τῇ τῶν ὑπηκόων σωτηρίᾳ καὶ τῆς βασιλείας ἡ χειροτονία κηρύττηται. καὶ δὴ παρῆν ὁ Γολιὰθ, πολὺς μὲν τὴν ῥώμην, βαρὺς δὲ τὴν θέαν· μέγα πνέων, καὶ βαίνων ἐφάμιλλα· μεγάλα φθεγγόμενος, καὶ τῇ θέᾳ τὸν φθόγγον πιστούμενος. ὃς δίκην ὄρους φαινόμενος, πρὸ τῆς συμβολῆς φυγάδας τῆς μάχης τοὺς πολεμοῦντας εἰργάσατο· ἀσπίδι καὶ θώρακι καὶ περικεφαλαίᾳ λαμπόμενος, δόρατι χρώμενος ἀναλόγῳ τοῦ σώματος, τοσοῦτον νικῶντι τῶν δοράτων τὰ μέτρα, ὅσον φέρων τῆς τῶν ἀνθρώπων φύσεως τοὺς ὅρους ὑπερηκόντιζε.

η. Καὶ ἀνέστη (2) καὶ ἀνεβόησεν εἰς
τὴν παράταξιν τοῦ Ἰσραὴλ, καὶ εἶπεν
αὐτοῖς, ἵνα τί ἐκπορεύεσθε παρατά-
ξασθαι πόλεμον ἐξ ἐναντίας ἡμῶν;
οὐκ ἐγώ εἰμι ἀλλόφυλος, καὶ ὑμεῖς
Ἑβραῖοι τοῦ Σαοὺλ; ἐκλέξασθε ἑαυ-
τοῖς ἄνδρα, καὶ καταβήτω πρός με.
θ. Καὶ ἐὰν δυνηθῇ πρός με ἐκπολεμῆ-
σαι, καὶ ἐὰν πατάξῃ με, καὶ ἐσόμε-
θα ὑμῖν εἰς δούλους· ἐὰν δὲ ἐγὼ δυνη-
θῶ καὶ πατάξω αὐτὸν, ἔσεσθε ἡμῖν
ι. εἰς δούλους, καὶ δουλεύσετε ἡμῖν. Καὶ
εἶπεν ὁ ἀλλόφυλος, ἰδοὺ ἐγὼ ὠνείδισα
τὴν παράταξιν Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ
ταύτῃ. δότε μοι ἄνδρα, καὶ μονομα-
χήσομεν ἀμφότεροι.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἐν κύκλῳ τὸ τῶν ἀλλοφύλων στήσας στρατόπεδον, τοὺς τοῦ Ἰσραὴλ ἀρίστους προσεκαλεῖτο πρὸς μονομαχίαν, ἆθλον εἶναι τῷ νικῶντι τῆς νίκης τὴν τῶν ἡττηθέντων δουλείαν ἐπαγγελλόμενος. φοβερὸς μὲν ὁρώμενος,

A φθεγγόμενος δὲ φοβερώτερος, καὶ φόβου φόβον περιφέρων διάδοχον.

ια. Καὶ ἤκουσε Σαοὺλ καὶ πᾶς Ἰσ-
ραὴλ τὰ ῥήματα τοῦ ἀλλοφύλου ταῦ-
τα, καὶ ἐξέστησαν καὶ ἐφοβήθησαν
σφόδρα.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ὁ Σαοὺλ ἐν θορύβῳ, ὁ Ἰσραὴλ ἐν δουλείας ἐλπίδι, ὁ φόβος ἐχάλινου τὴν δύναμιν, ἡ θέα B τοὺς ὡπλισμένους ἀφώριζεν· ἀπειλαὶ τὴν ψυχὴν προκατέπληττον· ἔπιπτον ἄνδρες πρὸ τῶν σωμάτων τῷ φρονήματι.

ιβ. (3) Καὶ ἦν Δαβὶδ υἱὸς ἀνθρώ-
που Ἐφραθαίου. (4) καὶ οὗτος ἐκ Βηθ-
λεὲμ Ἰούδα, ὄνομα αὐτῷ Ἰεσσαὶ, καὶ
αὐτῷ ὀκτὼ υἱοί. καὶ ὁ ἀνὴρ ἐν ταῖς
ἡμέραις Σαοὺλ πρεσβύτερος ἐληλυ-
ιγ. θὼς ἐν ἀνδράσι. Καὶ ἐπορεύθησαν
Γ οἱ τρεῖς υἱοὶ Ἰεσσαὶ οἱ μείζονες ὀπίσω
Σαοὺλ εἰς τὸν πόλεμον. (5) καὶ ταῦ-
τα τὰ ὀνόματα τῶν υἱῶν αὐτοῦ τῶν
πορευθέντων εἰς τὸν πόλεμον, Ἐλιὰβ
ὁ πρωτότοκος αὐτοῦ, καὶ ὁ δεύτερος
Ἀμιναδὰβ, καὶ ὁ τρίτος Σαμαά. (6)
ιδ. Δαβὶδ δὲ ὁ μικρότερος, καὶ οἱ τρεῖς οἱ
μείζονες ἐπορεύθησαν ὀπίσω Σαοὺλ.
Δ ιε. Καὶ Δαβὶδ ἀπῆλθε, καὶ ἀνέ-
στρεψεν ἀπὸ τοῦ Σαοὺλ, ποιμαίνων τὰ
πρόβατα τοῦ πατρὸς αὐτοῦ ἐν Βηθ-
λεέμ.

** ΙΩΣΗΠΟΥ. Τοῦ πολέμου συνεστηκότος τοῖς Ἑβραίοις καὶ τοῖς Παλαιστίνοις, ὁ Σάουλος ἀπέστειλε τὸν Δαυΐδην πρὸς τὸν πατέρα Ἰεσσαῖον, ἀρκούμενος αὐτοῦ τοῖς τρισὶν υἱοῖς, οὓς ἐπὶ συμμαχίαν καὶ τοὺς κινδύνους ἔπεμψεν. E ὁ δὲ τὸ μὲν πρῶτον ἐπὶ τὰ ποίμνια πάλιν καὶ τὰς νομὰς τῶν βοσκημάτων παραγίνεται· μετ' οὐ πολὺ δὲ ἔρχεται πρὸς τὸ στρατόπεδον τῶν Ἑβραίων πεμφθεὶς ὑπὸ τοῦ πατρὸς, κομίσαι τε τοῖς ἀδελφοῖς ἐφόδια, καὶ γνῶναι τί πράττουσι.

ις. Καὶ προσῄει ὁ ἀλλόφυλος ὀρ-
θρίζων καὶ ὀψίζων, καὶ ἐστηλώθη τεσ-
ιζ. σαράκοντα ἡμέρας. Καὶ εἶπεν Ἰεσ-
Z σαὶ Δαβὶδ τῷ υἱῷ αὐτοῦ, λάβε δὴ
τοῖς ἀδελφοῖς σου οἰφὶ τοῦ ἀλφίτου (7)
καὶ δέκα ἄρτους τούτους, καὶ διάδρα-
με εἰς τὴν παρεμβολὴν, καὶ δὸς τοῖς
ἀδελφοῖς σου.
ιη. Καὶ τὰς δέκα τρυφαλίδας τοῦ
γάλακτος (8) εἰσοίσεις τῷ χιλιάρχῳ,
καὶ τοὺς ἀδελφούς σου ἐπισκέψῃ εἰς

(1) Τεσσάρων. αἱ αὐτ. ἕξ. ἡ τοῦ Ἀλδ.

(2) Καὶ ἔστη. αἱ αὐτ.

(3) Τὰ ἑξῆς ἄχρι τοῦ λβ'. ἐδ. αἱ εἰρημ. ἐκδόσ. οὐ περιέχουσιν. ὅθεν ἡ τούτων διαίρεσις κατὰ τὴν τοῦ Ἀλδ. γέγονε.

(4) Ἐφραθαίου. ἔτος . . . καὶ ὄνομα. ἡ αὐτ.

(5) Εἰς πόλεμον. καὶ ὄνομα τῶν υἱῶν αὐτοῦ, κτ. ἡ αὐτ.

(6) Σαμμαά. ἡ αὐτ.

(7) Τοῦ ἀλφίτου. ἡ αὐτ.

(8) Τοῦ γάλακτος τούτου. ἡ αὐτ.

εἰρήνην, καὶ ὅσα ἂν χρήζωσι, γνώσῃ.
καὶ τὸ σάββατον ποιήσεις μετ' ἐμοῦ.

» ΑΔΗΛΟΥ. Τί ἐστιν, Ἐσοὺβ αὐτῶν λήψῃ;
Τὸ Ἐσοὺβ Ἑβραίων γλώττῃ ἀναστροφὴ λέ-
γεται καὶ ἡ διαγωγή. διὰ τοῦτο Ἰεσσαὶ πέμ-
» πων τὸν Δαβὶδ, ἔλεγε· καὶ τὸ Ἐσοὺβ αὐ-
» τῶν λήψῃ, τουτέστι τὴν ἀναστροφὴν αὐτῶν
ἀναγγελεῖς μοι, καὶ τί διάγουσι πράττοντες.
» Οἱ Ἑβδομήκοντα, καὶ ὅσα ἂν χρήζωσι, γνώ-
σῃ. τῷ χιλιάρχῳ δὲ προσκομίσαι ἐχρῆν
τι, ὑφ' ὃν τετάχθαι τοὺς τρεῖς αὐτοῦ συνέ-
βαινεν ἀδελφοὺς, ὡς ἂν δι' ἐκείνου γνῴη τὰ
κατ' αὐτούς. (1)

ιθ. Σαοὺλ δὲ αὐτὸς καὶ πᾶς ὁ λαὸς
ἐν τῇ κοιλάδι τῆς δρυὸς πολεμοῦντες
κ. μετὰ τῶν ἀλλοφύλων. Καὶ ὤρθρισε
Δαβὶδ τῷ πρωῒ, καὶ ἀφῆκε τὰ πρό-
βατα φύλακι, καὶ ἔλαβε, καὶ ἀπῆλθε
καθὰ ἐνετείλατο αὐτῷ Ἰεσσαί· καὶ
ἦλθεν εἰς τὴν Κάμπην (2) καὶ τὴν
δύναμιν τὴν ἐκπορευομένην εἰς τὴν
παράταξιν· καὶ ἠλάλαξαν ἐν τῷ
κα. πολέμῳ. Καὶ παρετάξαντο Ἰσραὴλ
καὶ οἱ ἀλλόφυλοι παράταξιν ἐξ ἐναν-
κβ. τίας παρατάξεως. Ἀποθέμενος δὲ (3)
τὰ σκεύη αὐτοῦ ἀφ' ἑαυτοῦ ἐπὶ χεῖρα
τοῦ φύλακος, ἔδραμεν εἰς τὴν παρά-
ταξιν, καὶ ἦλθε καὶ ἠρώτησε τοὺς ἀδελ-
κγ. φοὺς αὐτοῦ εἰς εἰρήνην. Καὶ αὐτοῦ λα-
λοῦντος μετ' αὐτῶν, καὶ ἰδοὺ ὁ ἀνὴρ ὁ
Μεσήλιξ (4) ἀνέβαινε, Γολιὰθ ὁ Φυ-
λιστιαῖος ὄνομα αὐτῷ ἐκ Γὲθ, ἐκ τῶν
παρατάξεων τῶν ἀλλοφύλων, καὶ
ἐλάλησε κατὰ τὰ ῥήματα ταῦτα,
κδ. καὶ ἤκουσε Δαβίδ. Καὶ πᾶς ἀνὴρ
Ἰσραὴλ ἐν τῷ ἰδεῖν (5) τὸν ἄνδρα, καὶ
ἔφυγον ἀπὸ προσώπου αὐτοῦ, καὶ ἐφο-
κε. βήθησαν σφόδρα. Καὶ εἶπεν ἀνὴρ
Ἰσραὴλ, εἰ ἑωράκατε τὸν ἄνδρα τὸν
ἀναβαίνοντα τοῦτον, ὅτι ὀνειδίσαι τὸν
Ἰσραὴλ ἀνέβη; καὶ ἔσται ὁ ἀνὴρ ὃς
ἂν πατάξῃ αὐτὸν, πλουτίσει αὐτὸν
ὁ βασιλεὺς πλοῦτον μέγαν, καὶ τὴν
θυγατέρα αὐτοῦ δώσει αὐτῷ, καὶ τὸν
οἶκον τοῦ πατρὸς αὐτοῦ ποιήσει ἐλεύ-
θερον ἐν τῷ Ἰσραήλ.

κϛ. Καὶ εἶπε Δαβὶδ πρὸς τοὺς ἄν-
δρας τοὺς συνεστῶτας (6) μετ' αὐτοῦ,
λέγων, τί ποιηθήσεται τῷ ἀνδρὶ ὃς
ἂν πατάξῃ τὸν ἀλλόφυλον ἐκεῖνον,

A καὶ ἀφέλῃ ὀνειδισμὸν ἀπὸ Ἰσραήλ; ὅτι τίς ὁ ἀλλόφυλος ὁ ἀπερίτμητος οὗτος, ὅτι ὠνείδισε παράταξιν Θεοῦ ζῶντος;

** ΑΔΗΛΟΥ. (7) Ἦλθεν ὁ Δαβὶδ, εἶδεν ἀστράπτοντα καὶ ἀφόρητον ὄντα τὸν πολέμιον, καὶ πάντας καταπεπληχότας. ὁ ποιμὴν ἐν τῷ πολέμῳ, καὶ οἱ ἐν πολέμῳ μεμελετηκότες οὐδὲ τὴν φωνὴν ἔφερον τοῦ
B πολεμίου· ὁ δὲ δένδρεσι καὶ σικαῖς καὶ πηγαῖς προσομιλῶν, ἐπὶ ταῖς ὄψεσιν αὐτοῦ
» εἱστήκει, καὶ λέγει· τίς ὁ ἀπερίτμητος
» οὗτος, ὃς ὠνείδισε παράταξιν Θεοῦ ζῶντος; Καὶ μετ' ὀλίγα. Περὶ μισθῶν διαλέγεται, οὐχ ἵνα λάβῃ μισθὸν, ἀλλ' ἵνα τούτους εἰς πίστιν ἀγάγῃ.

κζ. Καὶ εἶπεν αὐτῷ ὁ λαὸς κατὰ τὸ ῥῆμα τοῦτο, λέγων, οὕτω ποιηθήσεται τῷ ἀνδρὶ ὃς ἂν πατάξῃ αὐτόν.

Γ κη. Καὶ ἤκουσεν Ἐλιὰβ ὁ ἀδελφὸς αὐτοῦ ὁ μείζων ἐν τῷ λαλεῖν αὐτὸν πρὸς τοὺς ἄνδρας, καὶ ὠργίσθη θυμῷ Ἐλιὰβ ἐν τῷ Δαβὶδ, καὶ εἶπεν, ἵνα τί τοῦτο κατέβης; καὶ ἐπὶ τίνα ἀφῆκας τὰ μικρὰ πρόβατα ἐκεῖνα ἐν τῇ ἐρήμῳ; ἐγὼ οἶδα τὴν ὑπερηφανίαν σου, καὶ τὴν κακίαν τῆς καρδίας
Δ σου, καὶ τὴν πανουργίαν σου, ὅτι ἕνεκεν τοῦ ἰδεῖν τὸν πόλεμον κατέβης.

** ΑΔΗΛΟΥ. Οὕτω καὶ ἐπὶ τοῦ Ἰωσὴφ καὶ τῶν ἀδελφῶν αὐτοῦ ἐγένετο. οἱ μὲν γὰρ φθονήσαντες ἀπὸ ἐλευθερίας εἰς δουλείαν καθίσαντο· ὁ δὲ φθονηθεὶς, βασι-
» λεὺς ἐγένετο. πάλιν οὖν οἱ ἀδελφοί· ἡμεῖς
» οἴδαμεν τὴν ὑπερηφανίαν καὶ τὴν κακίαν
» τῆς καρδίας σου, ὅτι ἕνεκα τοῦ ἰδεῖν σε τὸν
E » πόλεμον κατέβης. τί ἐφθόνησαν; τί ἐβάσκηναν; λόγον ἤκουσαν, ῥημάτων εὐημερίαν οὐκ ἤνεγκαν.

κθ. Καὶ εἶπε Δαβὶδ, τί ἐποίησα νῦν; οὐχὶ ῥῆμά ἐστι;

λ. Καὶ ἀπέστρεψεν ἀπ' αὐτοῦ (8) εἰς τόπον ἕτερον, καὶ εἶπε κατὰ τὸ ῥῆμα τοῦτο, καὶ ἀπεκρίνατο ὁ λαὸς κατὰ τὸ ῥῆμα τοῦ πρώτου.

Z ** ΙΩΣΗΠΟΥ. Καταιδεσθεὶς τὸν ἀδελφὸν, ὑπεχώρησε· καὶ πρός τινας τῶν στρατιωτῶν ἀπελάλησεν, ὅτι θέλει μάχεσθαι τῷ προκαλουμένῳ.

** ΑΔΗΛΟΥ. Ἀπέστη ἀπ' αὐτῶν ὑποτεμνόμενος τὸ ἕλκος, καὶ ἀπῆλθεν εἰς τὸ ἕτερον μέρος τοῦ πολέμου, καὶ λέγει· τί

ἔσται

(1) Ὁ Θεοδώριτ. ἐν τῇ κατὰ τὴν Χάλ. ἐκδόσ. ἀντὶ τούτων, ταῦτα· Τί ἐστι τὸ ἐρσουβὰ αὐτῶν λήψῃ; Ὁ Σύμμαχος ἡρμήνευσεν, ὅσα χρήζουσι, γνώσῃ· τὸν σκοπὸν αὐτῶν μάθῃς. Τὸ δὲ, ὅσα ἂν χρήζωσι, γνώσῃ τῶν Ἑβδομήκ. ἐστὶ, καὶ οὐχὶ τοῦ Συμμάχου, ὡς ὀρθῶς φησὶν ὁ Ἄδηλος. μήτιγε δὲ τοῦ Θεοδωρίτου ἐστὶ καὶ αὐτὸ τὸ τοῦ Ἀδήλου ὅλον ὑπόμνημα, ὀρθότερόν τε καὶ πληρέστερον ὃ ἡ ἐν Παρισ. καὶ ἡ ἐν Χάλ. ἔκδ. περιέχει. (2) Στρογγύλωσιν. ἡ αὐτ. (3) Δὲ Δαβίδ. ἡ αὐτ.
(4) Ὁ Ἀμεσσαῖος. ἡ αὐτ. (5) Αὐτοὺς τόν. ἡ αὐτ. (6) Συνεστηκότας. ἡ αὐτ.
(7) Ἐκ τῶν νόθων τοῦ Χρυσοσ. ὁμιλ. ἐλήφθη τῶν ἐν τῷ 5. Τόμ. τῆς τοῦ Μοντφαυκ. ἐκδόσ. ὡσαύτως καὶ τὰ ἑξῆς 3. τοῦ Ἀδήλου. (8) Παρ' αὐτοῦ ἐναντίον ἑτέρου, καὶ εἶπε. ἡ αὐτ.

ἔσται τῷ ἀνθρώπῳ τῷ αἴροντι τὴν κεφα-
λὴν αὐτοῦ;

λα. Καὶ ἠκούσθησαν οἱ λόγοι οὓς
ἐλάλησε Δαβὶδ, καὶ ἀνηγγέλη ἐνώ-
πιον Σαοὺλ, καὶ παρέλαβον αὐτὸν,
καὶ εἰσήγαγον (1) πρὸς Σαούλ.

λβ. Καὶ εἶπε Δαβὶδ πρὸς Σαοὺλ,
μὴ δὴ συμπεσέτω ἡ καρδία τοῦ κυ-
ρίου μου πρὸς αὐτόν. ὁ δοῦλός σου πο-
ρεύσεται καὶ πολεμήσει μετὰ τοῦ ἀλ-
λοφύλου τούτου.

** ΑΔΗΛΟΥ. Εἶδε τὸν βασιλέα κα-
θήμενον, καταπεπληχότα, δεδοικότα, τρέ-
» μοντα, καὶ λέγει πρὸς αὐτόν· ἵνα τί συνέ-
» πεσε τὸ πρόσωπον τοῦ κυρίου μου; καὶ ἐν τῇ
σήμερον τὴν δουλείαν ὁμολογεῖ. τίς ἐστιν
οὗτος; οὐχὶ πορεύσομαι, καὶ ἀφελῶ τὴν
κεφαλὴν αὐτοῦ;

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ὡς
τὸ πᾶν ἠλέγχετο στράτευμα, καὶ ὁ Σαοὺλ
ἐν κινδύνῳ, τότε προάγει πρὸς μέσον τὸν
ἑαυτῆς στρατιώτην ἡ χάρις, τοῖς ἔργοις
δεικνῦσα τὸν ἀληθῶς βασιλεύσοντα. καὶ
ἁρπάζει τῆς μάχης τὴν πρόκλησιν ὁ Δα-
βὶδ, καὶ προθεραπεύει λόγῳ τὴν ψυχὴν
Σαοὺλ τετρωμένην.

λγ. Καὶ εἶπε Σαοὺλ πρὸς Δαβὶδ,
οὐ μὴ δυνήσῃ (2) πορευθῆναι πρὸς τὸν
ἀλλόφυλον τοῦ πολεμῆσαι μετ' αὐτοῦ,
ὅτι παιδάριον εἶ σὺ, καὶ αὐτὸς ἀνὴρ
πολεμιστὴς ἐκ νεότητος αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατί ὁ Σαοὺλ, πάν-
των τὴν πρὸς τὸν Γολιὰθ μονομαχίαν πα-
ραιτουμένων, ἀποτρέπει τὸν Δαβὶδ προθυ-
μούμενον τοῦτο δρᾶσαι; Μειράκιον ἦν πεν-
τεκαίδεκα ἐτῶν, ἢ ἑκκαίδεκα. ἑβδομηκον-
τούτης [μὲν] γὰρ ἐτελεύτησε, τεσσαράκον-
τα δὲ ἔτη ἐβασίλευσε. τοιγάρτοι τριακον-
τούτης ἦν, ἡνίκα Σαοὺλ ἀνῃρέθη. προείρη-
ται δὲ, (3) ὡς δύω ἔτη ὁ Σαοὺλ ἐβασίλευ-
σεν ἐννόμως, εἶτα τῆς θείας ἐγυμνώθη
χάριτος. τὸν ἄλλον τοίνυν ἅπαντα χρό-
νον, πολεμῶν τῷ Δαβὶδ διετέλεσε.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Δύ-
σελπις ὢν, ἀπιστεῖν μὲν ἤθελε, πιστεύειν δὲ
ἠναγκάζετο· νικώμενος δὲ φόβῳ, τοὺς ἀπὸ
» τῆς ἡλικίας προεβάλλετο λόγους· οὐ μὴ δυ-
» νήσῃ πορευθῆναι πρὸς τὸν ἀλλόφυλον πο-
» λεμῆσαι πρὸς αὐτὸν, ὅτι σὺ παιδάριον εἶ,
» καὶ αὐτὸς ἀνὴρ πολεμιστὴς ἐκ νεότητος αὐτοῦ.
ἠγνόει δὲ ἄρα ὅτι τὸν φόβον δεικνὺς, τὴν
νίκην ἐθαύμασε.

λδ. Καὶ εἶπε Δαβὶδ πρὸς Σαοὺλ,
ποιμαίνων ἦν ὁ δοῦλός σου τῷ πατρὶ

A αὐτοῦ ἐν τῷ ποιμνίῳ· καὶ ὅταν ἤρχε-
το ὁ λέων καὶ ἡ ἄρκος, καὶ ἐλάμβανε
λε. πρόβατον ἐκ τῆς ἀγέλης, Καὶ ἐξε-
πορευόμην ὀπίσω αὐτοῦ καὶ ἐπάταξα
αὐτὸν, καὶ ἐξέσπασα ἐκ τοῦ στόματος
αὐτοῦ· καὶ εἰ ἐπανίστατο ἐπ' ἐμὲ, καὶ
ἐκράτησα τοῦ φάρυγγος αὐτοῦ, καὶ
ἐπάταξα, καὶ ἐθανάτωσα αὐτόν.

B λϛ. Καὶ τὴν ἄρκον ἔτυπτεν ὁ δοῦ-
λός σου καὶ τὸν λέοντα, καὶ ἔσται ὁ
ἀλλόφυλος ὁ ἀπερίτμητος ὡς ἓν τού-
των. οὐχὶ πορεύσομαι καὶ πατάξω αὐ-
τὸν, καὶ ἀφελῶ σήμερον ὄνειδος ἐξ (4)
ἡμῶν Ἰσραήλ; διότι τίς ὁ ἀπερίτμη-
τος οὗτος, ὃς ὠνείδισε παράταξιν Θεοῦ
λζ. ζῶντος; Καὶ εἶπε Δαβὶδ, Κύριος ὃς
ἐξήγαγέ με ἐκ χειρὸς τοῦ λέοντος, καὶ
Γ ἐκ χειρὸς τῆς ἄρκου, αὐτὸς ἐξελεῖ-
ταί με ἐκ χειρὸς τοῦ ἀλλοφύλου τοῦ
ἀπεριτμήτου τούτου. καὶ εἶπε Σαοὺλ
πρὸς Δαβὶδ, πορεύου, καὶ ἔσται Κύ-
ριος μετὰ σοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πάθει (5) τοίνυν
ὅμως ὁ Δαβὶδ τὸν Σαοὺλ θαῤῥῆσαι τῇ νί-
κῃ, (6) ἀναγκασθεὶς ἐξειπεῖν τὰ κατὰ τὰς
ποίμνας ἔργα αὐτοῦ· ὅτι λέοντα καὶ ἄρκτον
Δ » ἐπιόντας, ἀπέπνιξε. καὶ ἔσται, φησὶν, ὁ
» ἀλλόφυλος ὁ ἀπερίτμητος οὗτος, ὡς ἓν τού-
» των. οὐχὶ πορεύσομαι καὶ πατάξω αὐτὸν,
» καὶ ἀφελῶ [σήμερον] ὄνειδος ἀπὸ Ἰσραήλ;
καὶ ἑξῆς. οὐδὲν, φησὶ, θηρίου διενήνοχεν ὁ
δυσσεβείᾳ συζῶν, καὶ τῆς θείας ἐπικουρίας
γεγυμνωμένος. ἐγὼ δὲ ἐκείνῃ πέποιθα τῇ
» ῥοπῇ· τοῦτο γὰρ ἐπήγαγε· Κύριος ὃς ἐξεί-
» λετό με ἐκ στόματος λέοντος, καὶ ἐκ χειρὸς
» τῆς ἄρκτου, αὐτὸς ἐξελεῖταί με ἐκ χειρὸς
Ε » τοῦ ἀλλοφύλου τοῦ ἀπεριτμήτου τούτου. μετὰ
δὲ ταύτης ὁρμήσας (7) τῆς ἐλπίδος, περὶ
δορὰν ἔσχε τὸ κράτος, ἀνελὼν τὸν ὑπε-
» ναντίον τὸν ὑπεραιρόμενον. εἶδε γὰρ αὐ-
» τὸν, [φησὶ,] Γολιὰθ, καὶ ἐξουδένωσεν αὐ-
» τὸν, ὅτι ἦν παιδάριον. καὶ αὐτὸς πυῤῥά-
» κης μετὰ κάλλους ὀφθαλμῶν.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Οὐκ
ἀπέτρεπε λόγοις ὃν ἡ χάρις καθώπλιζε.
» πορεύσομαι γάρ φησι καὶ πατάξω αὐτὸν,
Ζ » καὶ ἀφελῶ σήμερον ὄνειδος ἐξ Ἰσραήλ. διό-
» τι τίς ἐστιν ὁ ἀπερίτμητος οὗτος, ὃς ὠνείδισε
» παράταξιν Θεοῦ ζῶντος; οἷς ἀποτρέπεις
νόμοις, βασιλεῦ, τούτοις πλέον πρὸς τὴν
μάχην παρώξυνας. οὗτος μὲν γὰρ πολε-
μιστὴς, ἐγὼ δὲ πολέμων ἀπείρατος. διὰ
τοῦτο θαῤῥῶ, ὅτι μὴ χερσὶν ἐμαῖς, ἀλλὰ
χάριτι παρατάττομαι. Θεὸς ὀνειδίζεται,

καὶ

(1) Αὐτὸν πρός. ἡ αὐτ. (2) Δυνήσῃ. αἱ εἰρημ. ἐκδόσ. (3) Ὅρα σελ. 353.
(4) Ἐξ Ἰσραήλ; αἱ αὐτ. (5) Πείθει δ' ὅμως. ἡ ἐν Χάλ. ἐκδ.
(6) Τῇ νίκῃ. ἠναγκάσθη γὰρ ἐξειπεῖν, ὅπως ποιμαίνων, λέοντα καὶ ἄρκτον ἐπιοῦσαν ἀπέπνιξεν. καὶ ἔσται, φησὶ, κτ. ἡ αὐτ.
(7) Ὁρμήσας τῆς πίστεως, οὐ διήμαρτε τῆς ἐλπίδος· ἀλλὰ γυμνὸς ὢν, τὸν καθωπλισμένον ἐνίκησε· καὶ ὁ πρόβατα νέμων, τὸν ἐν πολέμοις καὶ τροπαίοις γεγυμνασμένον· καὶ ὁ σμικρὸς ὢν καὶ νέος, τὸν ἐπὶ τοσούτῳ γαυριῶντα μεγέθει. εἶδε γὰρ, κτ. ἡ αὐτ.

A καὶ τίς ου πρὸς μάχην ὁπλίζεται; αὐτὸν ἔχω τὸν ὑβριζόμενον σύμμαχον, αὐτὴν τοῦ πολεμίου τὴν βλάσφημον γλῶτταν ἔχω τῆς νίκης ἐνέχυρον. σώματι καὶ θώρακι πέποιθεν, ἐγὼ δὲ ἀθανάτῳ σκέπῃ τειχίζομαι· ἀσπίδα προβάλλεται, πόσῳ μᾶλλον ὁ θυρεὸν τὸν οὐρανὸν προβαλλόμενος; οὐ φοβοῦμαι πολέμιον ὑπὸ τοῦ Θεοῦ πολεμούμενον. χεῖρα κιχρῶ τῷ παραταττομένῳ δεσπότῃ· ὄργανον ἔσομαι μάχης ὁρώμενον τῷ ἀοράτως τοξεύοντι. ἀσθενὴς ὁ Δαβὶδ, ἀλλ᾽ ἰσχυρὸς ὁ παραταττόμενος· μειράκιον ὁ Δαβὶδ, ἀλλ᾽ αἰώνιος ὁ μαχόμενος· ποιμὴν ὁ φαινόμενος, ἀλλὰ ποιητὴς τοῦ παντὸς ὁ μεταποιούμενος καθωπλισμένος. ἀρκεῖ μοι πρὸς νίκην ἡ πίστις.

λη. Καὶ ἐνέδυσε Σαοὺλ τὸν Δαβὶδ μανδύαν, καὶ περικεφαλαίαν χαλκῆν περὶ τὴν κεφαλὴν αὐτοῦ,

Γ ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι μανδύας; Εἶδός ἐστιν ἐφεστρίδος. οἶμαι δὲ ἢ ἀρκαδίκην εἶναι, ἢ τὸ παρὰ τῶν πολλῶν μαντίον λεγόμενον. (1) καὶ γὰρ τῶν Ἑβδομήκοντα εἰρηκότων περὶ τοῦ μεμηνυκότος τῷ Ἠλὶ τῶν υἱῶν τὴν ἀναίρεσιν, ὅτι διεῤῥηγμένα
» τὰ ἱμάτια εἶχεν, ὁ Ἀκύλας ἔφη, μανδύαν διεῤῥηγμένον. καὶ τῶν Ἀμμανιτῶν ὁ βασιλεὺς τῶν πρὸς αὐτὸν ἀποσταλέντων παρὰ τοῦ μακαρίου Δαβὶδ τοὺς πώγωνας ἐξύρισε,
Δ καὶ τῶν μανδυῶν ἀφεῖλε τὸ ἥμισυ, ἕως τῆς ἀναβολῆς τῶν ἰσχίων αὐτῶν.

✱✱ ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Πείθεται μόλις τοῖς ῥήμασιν ὁ Σαοὺλ, καὶ τὸν φόβον χαλάσας τοῖς οἰκείοις ὅπλοις τὸν Δαβὶδ θωρακίζει, καὶ τὴν βασιλικὴν τοῦ πολέμου στολὴν ἀποδὺς, τῷ Δαβὶδ περιτίθησι, καὶ τέως μετὰ τῶν ὅπλων ὁμολογεῖ καὶ αὐτὸς τὴν τοῦ Δαβὶδ βασιλείαν. ἄκων ὁ Σαοὺλ τῷ τῆς χάριτος ὑπηρέτει βουλήματι,
E καὶ συναπεδύετο τῇ στολῇ τὴν ἀξίαν, κοσμῶν ὅπλοις, ὃν ἡ χάρις προλαβοῦσα κεκόσμηκε.

λθ. Καὶ ἔζωσε τὸν Δαβὶδ θώρακα, καὶ περιεζώσατο Δαβὶδ τὴν ῥομφαίαν αὐτοῦ ἐπάνω τοῦ μανδύου αὐτοῦ· καὶ ἐκοπίασε περιπατήσας ὡς (2) ἅπαξ καὶ δὶς, ὅτι ἄπειρος ἦν. καὶ εἶπε Δαβὶδ πρὸς Σαοὺλ, οὐ μὴ δύνωμαι
Z πορευθῆναι ἐν τούτοις, ὅτι οὐ πεπείραμαι. καὶ ἀφαιροῦσιν αὐτὰ ἀπ᾽ αὐτοῦ.

✱ ΠΡΟΚΟΠΙΟΥ. Ἔδωκε δὲ τὰ ὅπλα Σαοὺλ, καὶ οὐκ ἠδύνατο βαστάσαι Δαβίδ. οὐ συγχωρεῖ γὰρ τοῦτο Θεὸς, ἵνα γυμνὸς νικήσῃ· ἵνα μὴ τὰ ὅπλα μερίσωνται τὴν τῶν κατορθωμάτων νίκην. (3)

✱✱ ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ὁ μὲν Δαβὶδ πολεμικῶς ὁμοῦ καὶ βασιλικῶς

A ἐκεκόσμητο· δείκνυσι δὲ Θεὸς, ὡς Θεοῦ συμπολεμοῦντος, ὅπλων οὐ χρεία· ἀποδύεται τοίνυν τὰ ὅπλα, ὡς ἐμπόδια νίκης· παραιτεῖται τὸν θώρακα, ῥίπτει τὴν περικεφαλαίαν, ἀποτίθεται τὴν ἀσπίδα, ἐλευθεροῖ τὴν χεῖρα τοῦ δόρατος, τὴν τοῦ πολέμου στολὴν ἀποσείεται.

μ. Καὶ ἔλαβε τὴν βακτηρίαν αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ· καὶ ἐξελέξατο
B ἑαυτῷ πέντε λίθους λείους ἐκ τοῦ χειμάῤῥου, καὶ ἔθετο αὐτοὺς ἐν τῷ καδίῳ τῷ ποιμενικῷ τῷ ὄντι αὐτῷ εἰς
μα. συλλογὴν, (4) Καὶ σφενδόνη αὐτοῦ ἐν τῇ χειρὶ αὐτοῦ. καὶ προσῆλθε πρὸς τὸν ἄνδρα τὸν ἀλλόφυλον.

✱✱ ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Στολῇ ποιμενικῇ, καὶ ῥάβδῳ, καὶ πήρᾳ θωρακίζεται, μεθ᾽ ὧν αὐτὸν ἡ χάρις πρὸς
Γ βασιλείαν ἐχειροτόνησε· μονονουχὶ πρὸς αὐτὸν λεγούσης τῆς χάριτος, οὐ χρεία σοι τοιούτων ὅπλων, μεριζομένων τῆς νίκης τὴν εὔκλειαν. ἐμὸν ἔστω καὶ σὸν, ὦ Δαβὶδ, τὸ κατόρθωμα. μὴ τὴν δόξαν τῆς νίκης ἑλκύσῃ τῶν ὅπλων ἡ δύναμις· ποιμήν μοι φαίνου μαχόμενος· μὴ γενέσθω τῶν ὅπλων τὸ τρόπαιον, ἀλλὰ χάριτος. τούτοις τοῖς ῥήμασιν ὁ Δαβὶδ ἀποῤῥήτως στρατηγούμενος, μετὰ τοιούτου σχήματος πρὸς τὸν τῶν
Δ ἀλλοφύλων κατεπείγετο πρόμαχον.

μβ. Καὶ ἐπορεύθη ὁ ἀλλόφυλος πορευόμενος, καὶ ἐγγίζων πρὸς Δαβὶδ, καὶ ὁ ἀνὴρ ὁ αἴρων τὸν θυρεὸν ἔμπροσθεν αὐτοῦ. καὶ ἐπέβλεψεν ὁ ἀλλόφυλος, καὶ εἶδε Γολιὰθ τὸν Δαβὶδ, καὶ ἠτίμασεν αὐτόν· ὅτι αὐτὸς ἦν παιδάριον, καὶ αὐτὸς πυῤῥάκης
E μετὰ κάλλους ὀφθαλμῶν.

✱✱ ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ὁ Γολιὰθ ὁρῶν μειράκιον πολεμεῖν προθυμούμενον, ὀφθαλμῶν κάλλος, παρειῶν ἄνθος, καὶ σχῆμα πολέμων ἀλλότριον, ἐξεχύθη πρὸς γέλωτα, παιδιὰν τῇ παρατάξει τὴν θέαν ἡγούμενος. οὐ γὰρ εἶχε πίστεως ὀφθαλμὸν, ἵνα τὸν ἀόρατον θεωρήσειε σύμμαχον.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ἐμιμοῦντο γὰρ τοὺς
Z τῆς ψυχῆς ὀφθαλμοὺς οἱ τοῦ σώματος. ὀξὺ γὰρ ἑώρων ἐκεῖνοι, καὶ τὸν ἀόρατον ἐθεώ-
» ρουν. ὅθεν ἔλεγεν· ἐγὼ ἔρχομαι πρὸς σὲ
» ἐν ὀνόματι Κυρίου σαβαὼθ, καὶ ἑξῆς.

✱✱ ΜΑΞΙΜΟΥ. Ἐξουδένωσις ἑρμηνευόμενον δηλοῖ τοῦ Δαβὶδ τὸ ὄνομα· ὅς ἐστιν ὁ τοῦ Θεοῦ λόγος καὶ υἱὸς, ὁ δι᾽ ἐμὲ τὴν δουλικὴν μορφὴν ὑποδὺς, καὶ γενόμενος ὄνειδος ἀνθρώπων ἀπιστούντων τῇ ἀληθείᾳ, καὶ ἐξουδένωμα λαοῦ πλήρους ἁμαρτιῶν· ὁ ποιμὴν

(1) Ὀνομαζόμενον. ἡ ἐν Χάλ. ἔκδ.

(2) Τὸ, ὡς, οὐ κεῖται ἐν ταῖς εἰρημ. ἐκδόσ.

(3) Τὰ αὐτὰ καὶ ἐν σελ. 577. τοῦ 5. Τόμ. τοῦ Χρυσοσ. κατὰ τὴν τοῦ Μοντφαυκ. ἔκδ.

(4) Τὸ μά. ἐδ. ἐν μὲν ταῖς εἰρημ. ἐκδόσ. συνῃνωμένον ἐστὶ τῷ μ΄. διῃρημένον δὲ ἐστὶν ἐν τῇ κατὰ τὸ Φραγγοφέρτ. ἐκδόσ. τὸ δὲ ν΄. ἐν τῇ αὐτῇ κεῖται, ἐν δὲ ταῖς εἰρημέναις ἐκδόσ. οὔ.

μὴν ὁ καλὸς, ὁ τιθεὶς τὴν ψυχὴν αὐτοῦ ὑπὲρ τῶν προβάτων· ὁ ἀποκτείνας τὸν λέοντα καὶ τὴν ἄρκον, τὸν θυμὸν, λέγω, καὶ τὴν ἐπιθυμίαν ἐξηλώσας τῆς φύσεως· τὰ σπαράττοντα τῆς ἐν ἡμῖν κατὰ τὸν λόγον θείας εἰκόνος τὴν μορφήν· ὁ πυῤῥάκης διὰ τὸ πάθημα τοῦ θανάτου· μετὰ κάλλους ὀφθαλμῶν, τουτέστι μετὰ δόξης τῶν κατὰ πρόνοιαν καὶ κρίσιν ὑψηλοτέρων λόγων. ὀφθαλμοὶ γὰρ τοῦ λόγου ἡ κρίσις ἂν εἴη καὶ ἡ πρόνοια· δι᾽ ὧν καὶ πάσχων ὑπὲρ ἡμῶν, ποιεῖται τοῦ παντὸς τὴν ἐπισκοπήν· ὁ τοῦ νοητοῦ Γολιὰθ καὶ ὑπερηφάνου, φημὶ δὲ τοῦ Διαβόλου, σφαγεὺς, τοῦ πεντάπηχυν ἔχοντος τὴν ἡλικίαν, διὰ τὴν ἐμπάθειαν τῆς ἐν ἡμῖν πενταπλῆς αἰσθήσεως. ἐπὶ τοσοῦτον γὰρ ἔχει τὸ μέγεθος τῆς κατὰ κακίαν ἡλικίας ὑψούμενον ὁ Διάβολος, ἐφ᾽ ὅσον τοῖς αἰσθητοῖς ἐμπαθῶς ἐν ἡμῖν ἡ τῆς αἰσθήσεως ἀπεκτείνεται δύναμις· ὁ βασιλεὺς τοῦ ἀληθινοῦ Ἰσραὴλ καὶ ὁρῶντος Θεὸν, κἂν Σαοὺλ, ὁ παλαιὸς κατὰ τὸν νόμον λαὸς, μαίνηται, φθόνῳ διὰ τὴν ἀπιστίαν τηκόμενος. οὐ φέρει γὰρ τῆς προσκαίρου δόξης τὴν στέρησιν.

μγ. Καὶ εἶπεν ὁ ἀλλόφυλος πρὸς Ἰσραὴλ, (1) ὡσεὶ κύων ἐγώ εἰμι, ὅτι σὺ ἔρχῃ πρός με ἐν ῥάβδῳ καὶ λίθοις; καὶ εἶπε Δαβὶδ, οὐχὶ, ἀλλὰ καὶ χείρων κυνός. καὶ κατηράσατο ὁ ἀλλόφυλος τὸν Ἰσραὴλ (2) ἐν τοῖς Θεοῖς αὐτοῦ.

μδ. Καὶ εἶπεν ὁ ἀλλόφυλος πρὸς Δαβὶδ, δεῦρο πρός με, καὶ δώσω τὰς σάρκας σου τοῖς πετεινοῖς τοῦ οὐρανοῦ, καὶ τοῖς θηρίοις τῆς γῆς.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Τοῖς Δαίμοσιν ἐπαιρόμενος, λόγοις κατέπληττε, τὰς τῶν κυνῶν γαστέρας τάφον αὐτῷ ποιήσειν ἐπαγγελλόμενος.

με. Καὶ εἶπε Δαβὶδ πρὸς τὸν ἀλλόφυλον, σὺ ἔρχῃ πρός με ἐν ῥομφαίᾳ καὶ ἐν δόρατι καὶ ἐν ἀσπίδι, κᾀγὼ προσάγω (3) πρὸς σὲ ἐν ὀνόματι Κυρίου Σαβαὼθ παρατάξεως Ἰσραὴλ, ἣν ὠνείδισας

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἀντετίθου τοῖς λόγοις ὁ Δαβὶδ κηρύττων τὸν σύμμαχον, δεικνὺς ἐκείνῳ τὸν οὐρανόθεν ἀντίπαλον, προφητεύων τὴν νίκην, καὶ τὸν νικητὴν μαρτυρούμενος. εὐγνώμων οἰκέτης πρὸ τοῦ ἔργου, τὸν τοῦ ἔργου καρπὸν τῷ Δεσπότῃ προσφέρων. σὺ γὰρ ἔρχῃ, φησὶ, πρός με ἐν ῥομφαίᾳ καὶ δόρατι καὶ ἐν ἀσπίδι, ἐγὼ δὲ ἔρχομαι πρὸς σὲ ἐν ὀνόματι Κυρίου Σαβαὼθ Θεοῦ παντοκράτορος Ἰσραήλ. σὺ μὲν εὐτελὲς ὁρᾷς, ὦ πολεμιστὰ, τὸ φαινόμενον, καὶ οἷς ὁρᾷς τὰς τῆς μάχης ἐλπίδας μετρεῖς· ἐγὼ δέ σοι Θεὸν ἀντιτάττω πολέμιον. γνώσῃ Θεοῦ δεξιὰν ἐξ ἀφανοῦς ἀριστεύουσαν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πρὸ τοῦ λίθου ἡ τῆς εὐχῆς δύναμις αὐτὸν ἐχειρώσατο. οὐ γὰρ ἁπλῶς τὸν λίθον ἔῤῥιψεν, ἀλλὰ πρότερον εἰπών· σὺ ἔρχῃ πρός με ἐν τοῖς Θεοῖς σου, ἐγὼ δὲ ἔρχομαι πρὸς σὲ ἐν ὀνόματι Κυρίου Σαβαὼθ, ὃν ὠνείδισας σήμερον· οὕτως ἀφῆκε. καὶ αὕτη τὸν λίθον ἐχειραγώγησεν ἡ φωνὴ, αὕτη τὴν ἀγωνίαν ἐνέβαλε τῷ βαρβάρῳ, αὕτη τὸ θράσος ἐξέκοψε τοῦ πολεμίου.

** ΝΕΙΛΟΥ. Ὅτι μέγα ἐστὶ βοήθημα ἡ εὐχὴ, διδάσκει ὁ μακάριος Δαβίδ. πρὸ γὰρ τοῦ λίθου τῇ εὐχῇ χρησάμενος, τὸν ἔμψυχον πύργον Γολιὰθ κατήνεγκε, τὸν ὀνειδίσαι τολμήσαντα τὴν τοῦ Θεοῦ δύναμιν. ἡ οὖν προσευχὴ τὸν λίθον ἐχειραγώγησε, καὶ ἀγωνίαν τῷ βαρβάρῳ ἐνέβαλε, καὶ τὸ θράσος ἐξέκοψε τοῦ πολεμίου, καὶ τρόπαια ἔστησε κατὰ τῶν πολεμίων.

μς. Σήμερον, καὶ ἀποκλείσει σε Κύριος σήμερον εἰς τὴν χεῖρά μου, καὶ ἀποκτενῶ σε, καὶ ἀφελῶ τὴν κεφαλήν σου ἀπὸ σοῦ, καὶ δώσω τὰ κῶλά σου καὶ τὰ κῶλα παρεμβολῆς ἀλλοφύλων ἐν ταύτῃ τῇ ἡμέρᾳ τοῖς πετεινοῖς τοῦ οὐρανοῦ καὶ τοῖς θηρίοις τῆς γῆς. καὶ γνώσεται πᾶσα ἡ γῆ, ὅτι ἐστὶ Θεὸς ἐν Ἰσραήλ.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Οὐ ταῖς ἐμαῖς ταύταις χερσὶν, ἀλλὰ ταῖς τοῦ Θεοῦ καθοπλίζομαι, καί σου μετὰ τῆς ζωῆς τὴν κεφαλὴν ἀφαιρήσομαι. δεῖ γάρ σε μηδὲ ἃ μετὰ θάνατον ὑπομενεῖς ἀγνοεῖν. ἐπάξω σοι τιμωρίαν μακροτέραν θανάτου. ᾧ γὰρ πιστεύω τὴν νίκην, τούτῳ καὶ τῆς νίκης προλέγω τὸν τρόπον. ὢ φιλοθέων ῥημάτων, καὶ πρὸ τῆς νίκης νενικηκότων.

* ΘΕΟΔΩΡΙΤΟΥ. Προφητεύει δὲ παραταττόμενος, καὶ προαγορεύει τὴν τῆς οἰκουμένης θεογνωσίαν. γνώσεται γάρ φησι πᾶσα ἡ γῆ, ὅτι ἔσται (4) Θεὸς ἐν Ἰσραήλ. καὶ τὸ μὲν στόμα χρησμολογεῖ, ἡ δὲ χεὶρ ἀριστεύει, καὶ λίθῳ τὸν ἀλλόφυλον ἀναιρεῖ· ἐπειδὴ τὸν ἐξ αὐτοῦ κατὰ σάρκα τμηθέντα λίθον ὑμνεῖ. λίθον γάρ φησιν ὃν ἀπεδοκίμασαν οἱ οἰκοδομοῦντες, οὗτος ἐγενήθη εἰς κεφαλὴν γωνίας. Ψαλ. 117.22.

μζ. Καὶ γνώσεται πᾶσα ἡ ἐκκλησία αὕτη, ὅτι οὐκ ἐν ῥομφαίᾳ καὶ δόρατι σώζει Κύριος, ὅτι τοῦ Κυρίου ὁ πόλεμος, καὶ παραδώσει Κύριος ὑμᾶς εἰς χεῖρας ἡμῶν.

μη. Καὶ ἀνέστη ὁ ἀλλόφυλος καὶ ἐπορεύθη καὶ ἤγγισεν εἰς συνάντησιν Δαβὶδ, καὶ ἐτάχυνε Δαβὶδ, καὶ ἔδραμεν

(1) Πρὸς Δαβίδ. αἱ εἰρημ. ἐκδόσ.
(2) Τὸν Δαβίδ. αἱ αὐτ.
(3) Πορεύομαι. αἱ αὐτ.
(4) Ἐστί. ἡ ἐν Χάλ. ἐκδ.

ἔδραμεν εἰς τὴν παράταξιν εἰς ἀπάν- A
τησιν τοῦ ἀλλοφύλου.

** ΙΩΣΗΠΟΥ. Ὁ Παλαιστῖνος ὑπὸ
βάρους τῶν ὅπλων εἰς ὠκύτητα καὶ δρόμον
ἐμποδιζόμενος, βάδην ἐπὶ τὸν Δαυΐδην πα-
ραγίνεται· καταφρονῶν, καὶ πεποιθὼς γυμ-
νὸν ὁμοῦ καὶ παῖδα ἔτι τὴν ἡλικίαν ἀπόνως
ἀναιρήσειν.

μθ. Καὶ ἐξέτεινε Δαβὶδ τὴν χεῖ-
ρα αὐτοῦ εἰς τὸ κάδιον, καὶ ἔλαβεν B
ἐκεῖθεν λίθον ἕνα, καὶ ἐσφενδόνησε,
καὶ ἐπάταξε τὸν ἀλλόφυλον ἐπὶ τὸ
μέτωπον αὐτοῦ, καὶ διέδυ ὁ λίθος διὰ
τῆς περικεφαλαίας εἰς τὸ μέτωπον
αὐτοῦ, καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐ-
τοῦ ἐπὶ τὴν γῆν.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἡ
μὲν οὖν γλῶττα περὶ πίστεως ἐφιλοσόφει
πρὸς ἄπιστον, ἡ δὲ χεὶρ τὴν σφενδόνην ηὐ- Γ
τρέπιζε, τοῖς ἀγῶσιν ὑπηρετοῦσαν τῆς πί-
στεως. ὁ μὲν οὖν λίθος ἐπέμπετο, τὸ δὲ κρά-
νος ἐῤῥήγνυτο, ἡ δὲ κεφαλὴ τὴν πληγὴν
ὑπεδέχετο, καὶ ἡ ψυχὴ τοῦ σώματος ἔφευ-
γε, καὶ νεκρὸς ἔῤῥιπτο Γολιάθ, ἐν ὀξύτητι
τοῦ πάθους κλαπεὶς τοῦ θανάτου τὴν αἴσθη-
σιν. ἔῤῥιπτο τῶν ἀλλοφύλων ὁ πύργος.
τοῦτο λάφυρον πίστεως, τρόπαιον χάριτος,
τῆς ἄνωθεν συμμαχίας τὸ γνώρισμα, βλα- Δ
σφημίας ὁ ἔλεγχος, στήλη νεκρωθείσης
θρασύτητος.

* ΠΡΟΚΟΠΙΟΥ. Λίθῳ δὲ τὸν ἀλλόφυ-
λον ἀναιρεῖ, προμηνύων τὸν ἐξ αὐτοῦ κατὰ
σάρκα λίθον τμηθέντα χειρῶν ἄνευ.

ν. Καὶ ἐκραταιώθη (1) Δαβὶδ
ὑπὲρ τὸν ἀλλόφυλον ἐν τῇ σφενδόνῃ,
καὶ ἐν τῷ λίθῳ, καὶ ἐπάταξε τὸν
ἀλλόφυλον, καὶ ἐθανάτωσεν αὐτόν, E
καὶ ῥομφαία οὐκ ἦν ἐν χειρὶ Δαβίδ.
να. Καὶ ἔδραμε Δαβὶδ ἐπ' αὐτόν, καὶ
ἔλαβε τὴν ῥομφαίαν αὐτοῦ, καὶ ἐξέ-
σπασεν αὐτὴν ἀπὸ (2) τοῦ κολεοῦ αὐ-
τῆς, καὶ ἐθανάτωσεν αὐτόν, καὶ ἀφεῖ-
λε τὴν κεφαλὴν αὐτοῦ. καὶ εἶδον οἱ
ἀλλόφυλοι ὅτι τέθνηκεν ὁ δυνατὸς
αὐτῶν, καὶ ἔφυγον.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ὁ Z
πάντα πιστεύων τῇ χάριτι, μηδὲ ξίφος
πρὸς μάχην ἐπαγόμενος, ἄοπλος πολε-
μιστής, τὸ τοῦ Γολιὰθ ξίφος ἀφελόμενος,
τὸν τοῦ ξίφους δεσπότην ἐμέριζε, πρέπουσαν
ταύτην τῷ ὅπλῳ τὴν χρείαν εὑράμενος.
ἠγνόησεν ἄρα ὁ Γολιὰθ τῷ Δαβὶδ τὰ ὅπλα
χαλκεύων, καὶ τοῦ οἰκείου σφαγέως σκευο-
φόρος γενόμενος, ἐν πολεμίου προσχήματι
τῷ Δαβὶδ ὑπηρέτης ἐρχόμενος.

* ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ τῇ ῥομφαίᾳ
δὲ τὸν ἀλλόφυλον χρησάμενος, ἀπέτεμεν
αὐτοῦ τὴν κεφαλήν, τοῦ ἐξ αὐτοῦ κατὰ σάρ-
κα βεβλαστηκότος (3) προδιαγράφων τὴν
νίκην. σταυρῷ γὰρ ὁ Διάβολος τὸν ἡμέ-
τερον προσηλώσας Δεσπότην, διὰ τοῦ σταυ-
ροῦ (4) καὶ τῆς τυραννίδος ἐξέπεσε. καὶ
ὥσπερ τοῦ Δαβὶδ νενικηκότος, ἡ τοῦ Ἰσραὴλ
στρατιὰ τὸ τῶν ἀλλοφύλων κατηκόντισε
στῖφος, οὕτω τοῦ (5) Θεοῦ καὶ σωτῆρος ἡμῶν
τὸν Διάβολον καταλύσαντος, οἱ πεπιστευ-
κότες εἰς αὐτὸν τὴν τῶν Δαιμόνων ἐτρέ-
ψαντο φάλαγγα.

* ΠΡΟΚΟΠΙΟΥ. Καὶ τῇ ῥομφαίᾳ δὲ
τοῦ ἀλλοφύλου χρησάμενος, αὐτὸν ἀνεῖλεν·
ἵνα τὴν τοῦ Σωτῆρος προδηλώσῃ νίκην. σταυ-
ρῷ γὰρ (6) προσηλώσας τὸν Δεσπότην, διὰ
σταυροῦ τῆς τυραννίδος ἐξέπεσε. καὶ ἵνα
» πληρωθῇ τό, ἐν τοῖς ἔργοις τῶν χειρῶν Ψαλ. 9. 16
» αὐτοῦ συνελήφθη ὁ ἁμαρτωλός.

νβ. Καὶ ἀνίστανται ἄνδρες Ἰσραὴλ
καὶ Ἰούδα, καὶ ἠλάλαξαν, καὶ κατε-
δίωξαν ὀπίσω αὐτῶν ἕως εἰσόδου Γέθ,
καὶ ἕως τῆς πύλης Ἀσκάλωνος. καὶ
ἔπεσον τραυματίαι τῶν ἀλλοφύλων
ἐν τῇ ὁδῷ τῶν πυλῶν καὶ ἕως Γέθ,
νγ. καὶ ἕως Ἀκκαρών. Καὶ ἀνέστρεψαν ἄν-
δρες Ἰσραὴλ ἐκκλίνοντες ὀπίσω τῶν
ἀλλοφύλων, καὶ κατεπάτουν τὰς πα-
ρεμβολὰς αὐτῶν.
νδ. Καὶ ἔλαβε Δαβὶδ τὴν κεφα-
λὴν τοῦ ἀλλοφύλου, καὶ ἀνήνεγκεν αὐ-
τὴν εἰς Ἱερουσαλήμ, καὶ τὰ σκεύη αὐτοῦ
ἔθηκεν ἐν τῷ σκηνώματι αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Μηδέπω τὴν Ἱερου-
σαλὴμ οἰκήσας, πῶς ἐκόμισεν εἰς αὐτὴν
τοῦ ἀλλοφύλου τὴν κεφαλήν; Οἱ Ἰεβουσαῖοι
μὲν κατῴκουν αὐτὴν ἔτι. φοβῆσαι δὲ αὐ-
τοὺς ἐθελήσας ἀπέδειξεν αὐτοῖς τοῦ μεγίστου
ἀριστέως τὴν κεφαλήν. (7) οἱ δὲ (8) ὅτι
μετὰ ταῦτα τοῦτο ἐποίησεν, ὅτε ἐκράτησε
τῆς Ἱερουσαλήμ.

ΙΣΙΔΩΡΟΥ ΠΗΛΟΥΣΙΩΤΟΥ. (9)
Οὐ ῥημάτων ἐπαγγελία, (10) ἀλλὰ πραγ-
μάτων διακονία τὸν τῆς θείας παιδεύσεως
ζηλωτὴν ἀποφαίνει. οὐδὲ γὰρ ὁ ἀρχαῖος ἀν-
τάρτης, ἐπειδὴ τῶν θείων χρησμῶν ἐμέμ-
νητο πειράζων τὸν Κύριον, ἐπαινετὸς ἦν
ἄρα τῆς τούτων μαθήσεως, ἀλλ' ἀπόκρι-
τος καὶ ἀπόκλητος, (11) ὅτι τὴν γνῶσιν
ἔχων, τὴν πρᾶξιν ἀρνεῖται. εἰ τοίνυν μὴ
κοῦφος

(1) Ἐκραταίωσε. ἐν ταῖς σημ. τῆς ἐν Φρανεκ. ἐκδόσ. τῆς Γραφ. (2) Ἐκ. αὐτ.
(3) Βλαστήσαντος. ἡ ἐν Χάλ. ἐκδ. (4) Διὰ σταυροῦ τῆς τυραν. ἡ αὐτ. (5) Τοῦ ἡμετέρου Θεοῦ. ἡ αὐτ.
(6) Γὰρ ὁ Διάβολος. ὁ τῆς Αὐγ. κώδ. τὰ αὐτὰ δέ εἰσι τοῖς τοῦ Θεοδωρίτ.
(7) Τὰ ἑπόμενα ἐν τῇ κατὰ τὴν Χάλ. ἐκδόσ. οὐ κεῖται.
(8) Ἴσ. οἱ δέ φασι. τὸν Ἰώσηπ. δὲ τυχὸν ὑπαινίττεται. αὐτὸς μὲν γὰρ (ἐν βιβλ. 6. κεφ. 6. περὶ Ἰουδ. ἀρχ.) τάδε φησί· τὴν κεφαλὴν τοῦ Γολιάθου Δαυΐδης εἰς τὴν ἰδίαν σκηνὴν ἐκόμισε, καὶ τὴν ῥομφαίαν ἀνέθηκε τῷ Θεῷ. (9) Ἐπιστολὴ ογ΄ Θεοφρονίῳ. καὶ τάδε ἐν τῷ κώδ. πρόσκειται. ἔστι δὲ ἡ ϛπ΄ τοῦ 1. βιβλ. Θεοφρονίῳ. (10) Ἀπαγγελία. αὐτ. (11) Ἀπόβλητος. αὐτ.

A ξίφος φαίνεσθαι βούλει, καὶ ἐπὶ γλώσσης μόνης ἔχειν τὴν παίδευσιν, ἔργῳ ἐπίδειξον ταύτην. οὐδὲ γὰρ τῆς ἔξωθεν ὁπλοφορίας ὁ Γολιὰθ ἀπώνατό τι, τῆς ἔσωθεν ἀσθενῶν βοηθήμασι.

νε. (1) Καὶ ὡς εἶδε Σαοὺλ τὸν Δαβὶδ ἐκπορευόμενον εἰς συνάντησιν τῷ ἀλλοφύλῳ, εἶπε πρὸς Ἀβεννὴρ τὸν ἄρχοντα τῆς δυνάμεως, υἱὸς τίνος ὁ νεανίας (2) οὗτος Ἀβεννήρ; καὶ εἶπεν Ἀβεννὴρ, ζῇ ἡ ψυχή σου βασιλεῦ, εἰ οἶδα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς ἠγνόησεν ὁ Σαοὺλ τὸν Δαβίδ; (3) Ἢ ὅτι μεμηνὼς οὐκ ᾐσθάνετο τῇ κιθάρᾳ χρωμένου· ἢ ὅτι ὁ φθόνος αὐτὸν παρεκίνησεν ἀκριβῶς μαθεῖν (4) ὅθεν ἐστί.

νϛ. Καὶ εἶπεν ὁ βασιλεὺς, ἐπερώτησον σὺ, υἱὸς τίνος ὁ νεανίσκος
νζ. οὗτος. Καὶ ὡς ἐπέστρεψε Δαβὶδ τοῦ
πατάξαι τὸν ἀλλόφυλον, καὶ παρέλαβεν αὐτὸν Ἀβεννὴρ, καὶ εἰσήγαγεν αὐτὸν ἐνώπιον Σαοὺλ· καὶ ἡ κεφα-
B λὴ τοῦ ἀλλοφύλου ἐν τῇ χειρὶ αὐτοῦ.
νη. Καὶ εἶπε πρὸς αὐτὸν Σαοὺλ, υἱὸς τίνος εἶ παιδάριον; καὶ εἶπε Δαβὶδ, υἱὸς δούλου σου Ἰεσσαὶ τοῦ Βηθλεεμίτου.

ΚΕΦ. ΙΗ.

α. Καὶ ἐγένετο ὡς συνετέλεσε λαλῶν πρὸς Σαοὺλ, (5) ἡ ψυχὴ Ἰωνάθαν συνεδέθη τῇ ψυχῇ Δαβὶδ, καὶ ἠγάπησεν αὐτὸν Ἰωνάθαν κατὰ τὴν ψυχὴν αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Φίλους οὐ μέχρις ὀνόματος λέγω, οὐδὲ ἐκ ψιλῆς προσηγορίας, ἀλλ' εἴτις ἠγάπησεν ὡς ἀγαπᾷν ἔδει, εἴτις προσεδέθη τινί. Καὶ μετ' ὀλίγα. Ὁ τοῦ Σαοὺλ υἱὸς Ἰωνάθαν ἐφίλησε τὸν Δα-
Δ
» βὶδ, καὶ συνεδέθη αὐτῷ, φησὶν, ἡ ψυχὴ
2. Βασ. 1. 26. οὕτως, ὡς καὶ θρηνῶν αὐτὸν λέγειν, ἐπέ-
» πεσεν ἐπ' ἐμὲ ἡ ἀγάπησίς σου, ὡς ἡ ἀγά-
» πησις τῶν γυναικῶν· εἰς θάνατον ἐτραυ-
» ματίσθης ἐμοί. τί οὖν; ἐκεῖνος ἄρα ἐφθόνησεν αὐτῷ; οὐδαμῶς· καίτοιγε εἶχεν ἀνάγκην τοῦ φθονεῖν. πῶς; ἀπὸ γὰρ τῶν πραγμάτων ἑώρα τὴν βασιλείαν ἐρχομένην εἰς αὐτὸν, καὶ ὅμως οὐδὲν ἔπαθε τοιοῦτον. οὐκ
E εἶπεν, οὗτός ἐστιν ὁ ἐμὲ ἀποστερήσων τῆς βασιλείας τῆς πατρικῆς, ἀλλὰ συγκατεσκεύαζεν αὐτῷ τὴν ἀρχὴν, καὶ τοῦ πατρὸς οὐκ ἐφείδετο διὰ τὸν φίλον. ἀλλὰ μήτις αὐτὸν πατραλοίαν νομιζέτω. οὐ γὰρ ἠδίκει τὸν πατέρα, ἀλλὰ τὰς ἐπιβουλὰς καὶ τὰς ἀδικίας κατεῖχε. μᾶλλον ἐφείδετο ἢ ἠδίκει. οὐκ ἀφῆκεν αὐτὸν εἰς φόνον ἄδικον ἐκβῆναι· ἠθέλησε καὶ ἀποθανεῖν πολλάκις δι' αὐτόν· οὐ κατηγόρησεν, ἀλλὰ καὶ τὸν πα-
Z τέρα ἐπεστόμισεν· οὐκ ἐφθόνησεν, ἀλλὰ καὶ συγκατεσκεύασεν· οὐ χρημάτων αὐτῷ μετέδωκε μόνον, ἀλλὰ καὶ σωτηρίας. τί λέγω χρημάτων; καὶ τὴν ψυχὴν ὑπὲρ αὐτοῦ προσήκατο. οὐκ ἠδέσθη τὸν γεγεννηκότα διὰ τὸν φίλον, ἐπειδὴ ὁ μὲν ἀδίκοις ἐπεχείρει πράγμασιν, ὁ δὲ οὐδὲν ἑαυτῷ συνῄδει τοιοῦτον. ἐκεῖ μὲν οὖν μετὰ τοῦ δικαίου ἦν ἡ φιλία.

β. Καὶ ἔλαβεν αὐτὸν Σαοὺλ ἐν τῇ
Γ ἡμέρᾳ ἐκείνῃ, καὶ οὐκ ἔδωκεν αὐτῷ ἐπιστρέψαι ἐν τῷ οἴκῳ τοῦ πατρὸς αὐτοῦ.
γ. Καὶ διέθετο Ἰωνάθαν καὶ Δαβὶδ διαθήκην ἐν τῷ ἀγαπᾷν αὐτὸν κατὰ
δ. τὴν ψυχὴν αὐτοῦ. Καὶ ἐξεδύσατο Ἰωνάθαν τὸν ἐπιδύτην, (6) καὶ ἔδωκεν αὐτὸν τῷ Δαβὶδ, καὶ τὸν μανδύαν αὐτοῦ, καὶ ἕως τῆς ῥομφαίας
Δ αὐτοῦ, καὶ ἕως τοῦ τόξου αὐτοῦ, καὶ ἕως τῆς ζώνης αὐτοῦ.

ε. Καὶ ἐξεπορεύετο Δαβὶδ, καὶ (7) πᾶσιν οἷς ἀπέστειλεν αὐτὸν Σαοὺλ συνῆκε· καὶ κατέστησεν αὐτὸν Σαοὺλ ἐπὶ τοὺς ἄνδρας τοῦ πολέμου, καὶ ἤρεσεν ἐν ὀφθαλμοῖς παντὸς τοῦ λαοῦ, καί γε ἐν ὀφθαλμοῖς δούλων Σαοὺλ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὸν δῆμον ἅ-
E παντα καὶ τὴν οἰκείαν τοῦ βασιλέως οἰκειωσάμενος, καὶ κρατῶν ἐν τοῖς πολέμοις πανταχοῦ, καὶ οὐδαμοῦ διαμαρτάνων, καὶ τοιαύτας ἀντὶ τῶν εὐεργεσιῶν ἐκείνων ἀπολαβὼν τὰς ἀμοιβὰς, οὐκ ἐξετραχηλίζετο, οὐδὲ ἐπεθύμει τῆς βασιλείας, οὐδὲ ἠμύνατο τὸν ἐχθρὸν, ἀλλ' ἔμενεν εὐεργετῶν, καὶ τοὺς ὑπὲρ αὐτοῦ πολέμους κατορθῶν.

ϛ. Καὶ ἐγενήθη ἐν τῷ εἰσπορεύε-
Z σθαι αὐτοὺς ἐν τῷ ἐπιστρέφειν Σαοὺλ ἀπὸ τοῦ πατάξαι τὸν ἀλλόφυλον. καὶ ἐξῆλθον αἱ χορεύουσαι εἰς συνάντησιν Δαβὶδ ἐκ πασῶν πόλεων Ἰσραὴλ ἐν τυμπάνοις, καὶ ἐν χαρμοσύνῃ, καὶ ἐν κυμβάλοις.

ζ. Καὶ ἐξῆρχον αἱ γυναῖκες αἱ χορεύουσαι, καὶ ἔλεγον, ἐπάταξε Σαοὺλ ἐν

(1) Τὰ ἑπόμ. ἐδ. ἄχρι τοῦ ϛ'. τοῦ ιη'. κεφ. ἥ τοῦ Ἀλδ. καὶ ἡ ἐν Κομπλ. περιέχουσιν ἐκδόσ. αἱ δὲ εἰρημ. οὔ. (2) Ὁ νεανίσκος. αἱ αὐτ.
(3) Δυοῖν θάτερον νοητέον· ἢ ὅτι κορυβαντιῶν οὐκ ᾐσθάνετο τῇ κινύρᾳ χρωμ. κτ. ἡ ἐν Χάλ. ἔκδ.
(4) Μανθάνειν. ἡ αὐτ. (5) Καὶ ἡ ψυχή. ἥ τε τοῦ Ἀλδ. καὶ ἡ ἐν Κομπλ. ἐκδόσ.
(6) Τὸν ἐπενδύτην τὸν ἐπ' αὐτῷ, καί. αἱ αὐτ. (7) Ἐν πᾶσιν. αἱ αὐτ.

ἐν χιλιάσιν αὐτοῦ, καὶ Δαβὶδ ἐν μυ- A
η. ριάσιν αὐτοῦ. Καὶ πονηρὸν ἐφάνη τὸ
ῥῆμα ἐν ὀφθαλμοῖς Σαοὺλ περὶ τοῦ
λόγου τούτου, καὶ εἶπε, τῷ Δαβὶδ ἔδω-
καν τὰς μυριάδας, καὶ ἐμοὶ ἔδωκαν
θ. (1) τὰς χιλιάδας. Καὶ ἦν Σαοὺλ ὑπο-
βλεπόμενος τὸν Δαβὶδ ἀπὸ τῆς ἡμέ-
ρας ἐκείνης καὶ ἐπέκεινα.

B ΑΔΗΛΟΥ. Πάνυ δὲ ἠλιθίως Σαοὺλ ἐπὶ ταῖς εὐφημίαις ἐδυσχέραινε, τὸ δίκαιον ἐχούσαις, καὶ αὐτῷ μᾶλλον χαριζομέναις διὰ τῶν χιλιάδων μηδὲν συντελέσαντι πρὸς τὴν νίκην, ἢ τῷ Δαβίδ· ἀλλ' οὐδὲ τὰ ᾄσματα συντέθεικε τῷ Δαβίδ, οὐδὲ ἀπὸ τῆς εὐφημίας ὑπερεφρόνει τοῦ κρατοῦντος, ἀλλ' ἔμεινε τὴν τῶν ἀρχομένων τάξιν διατηρῶν. (2) μισόκαλον τῷ ὄντι ὁ φθόνος. ἐπὶ μὲν γὰρ τῇ νίκῃ ἔχαιρεν, ἐπὶ δὲ τῇ τιμῇ λυπεῖται.

Γ ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅρα λοιπὸν ἐνταῦθα τὸ πάθος τοῦ φθόνου ὅσην εἰργάσατο τὴν ἀτοπίαν. ἐπειδὴ γὰρ εἶδεν ὁ βασιλεὺς εὐφημίας πολλῆς ἀπολαύσαντα τὸν δίκαιον τοῦτον, καὶ τὰς χορευούσας κραζούσας, » ἐνίκησε Σαοὺλ ἐν χιλιάσι, καὶ Δαβὶδ ἐν μυριάσιν, οὐκ ἐνεγκὼν πρᾴως τὰ παρ' αὐτῶν ῥηθέντα· καίτοι κατὰ τὸν τοῦ δικαίου λόγον αὐτῷ μᾶλλον ἐχαρίσαντο ἢ τῷ Δαβίδ· ἡττηθεὶς ὑπὸ τοῦ φθόνου, τὸν εὐεργέτην τοῖς ἐναντίοις λοιπὸν ἠμείβετο, Δ καὶ ὃν ἐχρῆν σωτῆρα καὶ εὐεργέτην ἐπιγράφεσθαι, τοῦτον ἀνελεῖν ἐπεχείρει. ὢ μανίας ὑπερβολή, ὢ παραπληξίας ἐπίτασις. τὸν τὴν ζωὴν αὐτῷ χαρισάμενον, καὶ πάντα τὸν στρατὸν αὐτοῦ ἐλευθερώσαντα τῆς τοῦ ἀλλοφύλου μανίας, τοῦτον ὡς πολέμιον λοιπὸν ὑφωρᾶτο, καὶ οὐδὲ ἔναυλος οὖσα ἡ εὐεργεσία περιεγίνετο τοῦ πάθους, ἀλλὰ καθάπερ ὑπὸ μέθης τινός, ὑπὸ τοῦ φθόνου σκοτωθεὶς τὸν τῆς διανοίας λογισμόν, E τὸν εὐεργέτην ὡς πολέμιον ἑώρα.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Πλήττεται τοῖς λόγοις ὁ Σαούλ, καὶ ἦν τὰ τούτων ᾄσματα τῷ βασιλεύοντι τραύματα. καὶ ἦν ὅπλον ἀφανὲς ἐπὶ τῆς ψυχῆς ἀκονώμενον τὸ αὐτὸ τραῦμα, καὶ ὅπλον τῷ φθόνῳ γενόμενον. Καὶ μετ' ὀλίγα. Ἀλλὰ μή σοι φαινέσθω παράδοξον, ἀγαπητέ, εἴ γε Δαβὶδ ὁ τοσοῦτος τὴν χάριν, καὶ Θεῷ ποθούμενος, τοῖς τοῦ φθόνου τόξοις ἐκδέδοται. Z οὐ γὰρ ἀφειδῶν τοῦ δικαίου Θεός, οὔτε τῆς ἑαυτοῦ προνοίας τὸν Δαβὶδ ἀπωθούμενος. (3) ἠδύνατο γὰρ δεῖξαι τὸν φθόνον νεκρόν, τὸν φθονοῦντα νεκρώσας. οὕτω γὰρ καὶ τὸν Νάβαλ ἀνεῖλε Θεὸς τῷ Δαβὶδ χαριζόμενος, θανάτῳ τὸν ὑβριστὴν ἀμυνόμενος. οὕτω τὸν Ἀβεσαλὼμ τῆς εἰς τὸν πατέρα παροινίας τὰς δίκας Θεὸς εἰσεπράξατο, τὸν κατὰ τῆς φύσεως μανέντα, δείξας ὑπὸ τῆς κόμης παρὰ φύσιν κρεμάμενον, καὶ δημίῳ τῷ φυτῷ παραδοὺς αἰχμάλωτον, ξύλον (4) τὸν τύραννον ἔδειξεν. ἀλλὰ συγχωρεῖ τὸν Δαβὶδ τῷ πάθει τοῦ Σαοὺλ προσπαλαίειν, ἵνα φθόνου νικητὴν τὸν ἀθλητὴν ἀπεργάσηται. συγχωρεῖ τὴν πεῖραν, ἵνα στεφανώσῃ τὴν γνώμην.

ι. Καὶ ἐγενήθη ἀπὸ τῆς ἐπαύριον, καὶ ἐπέπεσε (5) πνεῦμα Θεοῦ πονηρὸν ἐπὶ Σαούλ, καὶ προεφήτευσεν ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ. καὶ Δαβὶδ ἔψαλλεν ἐν τῇ χειρὶ αὐτοῦ ὡς καθ' ἑκάστην ἡμέραν. καὶ τὸ δόρυ ἐν τῇ χειρὶ Σαούλ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τό, » πνεῦμα πονηρὸν ἔπαισε τὸν Σαούλ, καὶ » προεφήτευσεν ἐν μέσῳ τοῦ οἴκου αὐτοῦ; Οἱ ψευδοπροφῆται ὑπὸ τοῦ πονηροῦ πνεύματος ἐνεργούμενοι τοῖς κορυβαντιῶσιν ἐοίκασι. τοῦτο καὶ ὁ Σαοὺλ ὑπέμεινεν ὑπὸ τοῦ Δαίμονος ἐνοχλούμενος. τὸ δέ, προεφήτευσεν ὁμωνύμως τέθεικε. καὶ γὰρ καὶ τοὺς ψευδοπροφήτας Προφήτας ὠνόμαζον, καὶ Θεοὺς τοὺς ψευδωνύμους Θεούς. ἀλλ' ἐκεῖνος μὲν τῆς θείας ἐγυμνώθη χάριτος· ὁ δὲ Δαβὶδ [ταύτης φιλοτίμως ἀπήλαυσε· καὶ] ψάλλων τὴν μὲν τοῦ Δαίμονος [ἐκείνου] μανίαν ἐπράϋνε, τὸν δὲ τοῦ Σαοὺλ οὐ κατέπαυε φθόνον.

* ΠΡΟΚΟΠΙΟΥ. Οὐχ ὅτι δὲ πνεύματος ἁγίου τυχών, προεφήτευε. πῶς γὰρ ἐν ταὐτῷ ἦν οἷόν τε πονηροῦ τε καὶ ἁγίου μετέχειν πνεύματος; ἀλλ' ὅτι τὸ πονηρὸν πνεῦμα πνῖγον αὐτόν, παρεσκεύαζε (6) τοιαῦτα λαλεῖν· ὡς ἀφαιρεθήσεται μὲν αὐτὸς τὴν βασιλείαν, μεταστήσεται (7) δὲ εἰς ἐκεῖνον καθ' οὗ ὁ φθόνος. οἷον καὶ ἐπὶ Παῦλον καὶ Σίλλαν ἐγένετο, ἐφ' ὧν ἡ τὸ τοῦ » Πύθωνος ἔχουσα πνεῦμα, ἐβόα· ὅτι δοῦλοι Πράξ. 16. 17.
» τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσί. Θεοῦ γὰρ βουλομένου, ἀναγκάζονται καὶ τὰ Δαιμόνια ὁμολογεῖν τὴν ἀλήθειαν.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Πάλιν ὁ Σαοὺλ ἐν μανίᾳ, καὶ ὁ βασιλεύων ἐν παραφορᾷ, καὶ πάλιν ὁ Δαβὶδ τὴν τῆς ἰατρείας μεταχειρίζεται λύραν, ἀντὶ φαρμάκου ἐπάγων τῷ πάθει τὸ μέλος. ὢ τῆς προφητικῆς ἀγαθότητος· οὐκ ὀργίζεται τῷ φθονοῦντι, οὐ μνησικακεῖ τῷ μισοῦντι, οὐ παρακολάζει κολαζόμενος. καὶ τί δὴ τοῦτο λέγω; οὐδὲ βραδέως ἐπὶ τὴν λύραν ἐλήλυθεν, ἀλλ' ὡς εὐεργέτης ἰώμενος κατεπείγετο, ψαλμὸν ἐγείρων κατὰ τοῦ Δαίμονος σύμμαχον. ἀλλ' οὐκ ἐνίκησε τὴν πονηρίαν χρηστότης.

ια. Καὶ εἶπε (8) Σαοὺλ τὸ δόρυ, καὶ εἶπε πατάξω ἐν Δαβὶδ καὶ ἐν τῷ τοίχῳ. καὶ ἐξέκλινε Δαβὶδ ἀπὸ προσώπου αὐτοῦ δίς.

ΧΡΥΣΟ-

(1) Ἐν ταῖς αὐταῖς μόνον τό, τε θ', ι', καὶ ια'. ἐδ. κεῖται.
(2) Τὰ ἑπόμ. τὰ αὐτὰ τοῖς τοῦ Προκοπ. τοῖς ἐν τῷ τῆς Αὐγ. κώδ.
(3) Ἐλλειπές. ἐννοητέον δὲ τό, τῷ φθόνῳ ἐκδέδωκε.
(4) Ξύλῳ τὸν τύραννον ἔδησεν. ὀρθότερ.
(5) Ἔπεσε. ἡ τοῦ Ἀλδ. καὶ ἡ ἐν Κομπλ. ἐκδ.
(6) Ἐποίει. ὁ τῆς Αὐγ. κώδ.
(7) Βασιλεύσει δὲ ὁ φθονούμενος. ὁ αὐτ.
(8) Ἦρε. αἱ αὐτ.

A ✻✻ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἆρα ἂν ἔχοι τὶς εἰπεῖν μείζονα τούτων πονηρίας ὑπερβολήν; ἆρα δὲ καὶ τὰ μετὰ ταῦτα; ἄρτι τῶν πολεμίων ἀπελαθέντων, καὶ τῆς πόλεως ἑαυτὴν ἀνακτησαμένης, καὶ πάντων ἐπινίκια θυόντων, τὸν εὐεργέτην καὶ σωτῆρα καὶ τῶν ἀγαθῶν ἐκείνων αἴτιον ἀνελεῖν ἐπεχείρισε ψάλλοντα, καὶ οὐδὲ τῆς εὐεργεσίας ἡ ὑπόθεσις τὸν μεμηνότα καὶ παραπαίοντα κατέστειλεν ἐκεῖνον, ἀλλὰ καὶ ἅπαξ καὶ δὶς ἠκόντισε, βουλόμενος ἀνελεῖν. B καὶ τοιαύτας αὐτῷ ἀντὶ τῶν κινδύνων τὰς ἀμοιβὰς ἐδίδου.

✻ ΘΕΟΔΩΡΙΤΟΥ. Ὅσῳ δὲ πλέον εὐηργέτητο, τοσούτῳ πλέον καταφάττειν ἠπείγετο. καὶ τὴν αἰχμὴν ἀφεὶς κατ' αὐτοῦ, καὶ διαμαρτών, ἔγνω μὲν ὅτι Κύριος ἦν μετ' αὐτοῦ, διετέλει δὲ πολεμῶν.

✻✻ ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Μικρὸν τῶν δεσμῶν τοῦ Δαίμονος ἀνεθεὶς ὁ Σαούλ, καὶ τὴν τοῦ πάθους ἀχλὺν ἀποθέμενος, ἐπιγνοὺς τὸν παρόντα, τὸ ξίφος ἐξέπεμψε, μισθὸν ἰατρείας τὸν φόνον δωρούμενος· ὥσπερ διὰ τοῦτο νήψας, ἵνα πάλιν ὑπηρετήσῃ τῷ φθόνῳ. πάλιν ὁ φθόνος ἀλλάττεται, καὶ μεταβαίνει πρὸς νόσον ἡ νόσος, καὶ καλεῖ πάλιν διὰ τοῦ φθόνου τὸν Δαίμονα, καὶ πέμπει κατὰ τοῦ Δαβὶδ τὸ δόρυ, τὴν ὀργὴν ἐνδεικνύμενος. δέχεται δὲ τὴν πληγὴν ὁ τοῖχος στηλιτεύων τὸν ἔλεγχον. οὐ γὰρ ἠμέλησεν ὁ πάντα ὁρῶν ὀφθαλμός, οὐδὲ γέγονε τὸ ξίφος τῆς θείας προνοίας ὀξύτερον. οὕτως ὁ Δαβὶδ ἐξηρπάζετο, καὶ ὁ λίθος τὴν πληγὴν ἐκομίζετο, στήλη τῆς μιαιφόνου χειρὸς διὰ τοῦ πάθους γινόμενος, καὶ φέρων τοῦ φόνου τὰ σύμβολα, ἐν ἀναισθήτῳ φύσει, τῆς τόλμης ὑπάρχων κατήγορος.

ιβ. Καὶ ἐφοβήθη Σαοὺλ ἀπὸ προσ-
ώπου Δαβίδ, ὅτι ἦν Κύριος μετ' αὐ-
ιγ. τοῦ, καὶ ἀπὸ Σαοὺλ ἀπέστη, Καὶ ἀπέ-
στησεν αὐτὸν ἀφ' αὐτοῦ, καὶ κατέστη-
σεν αὐτὸν ἑαυτῷ χιλίαρχον. καὶ ἐξε-
πορεύετο καὶ εἰσεπορεύετο ἔμπροσθεν
τοῦ λαοῦ.

ιδ. Καὶ ἦν Δαβὶδ ἐν πάσαις
ταῖς ὁδοῖς αὐτοῦ συνιῶν, καὶ Κύριος
μετ' αὐτοῦ.

✻ ΘΕΟΔΩΡΙΤΟΥ. Περὶ δὲ τοῦ Δαβὶδ
» ἡ θεία φησὶ Γραφή, ὅτι ἦν συνιῶν ἐν πά-
» σαις ταῖς ὁδοῖς αὐτοῦ· εἶτα, καὶ Κύριος παν-
» τοκράτωρ μετ' αὐτοῦ. οὕτω δὲ τὸ πανάγιον
ὠνόμασε πνεῦμα. ταύτης γὰρ ἦν ἠξιωμένος τῆς χάριτος.

ιε. Καὶ εἶδε Σαοὺλ ὅτι αὐτὸς συνιεῖ
σφόδρα, καὶ εὐλαβεῖτο ἀπὸ προσώ-
ιϛ. που αὐτοῦ. Καὶ πᾶς Ἰσραὴλ καὶ Ἰού-
A δας ἠγάπα τὸν Δαβίδ, ὅτι αὐτὸς
ἐξεπορεύετο καὶ εἰσεπορεύετο πρὸ προ-
σώπου τοῦ λαοῦ.

ιζ. (1) Καὶ εἶπε Σαοὺλ πρὸς Δα-
βίδ, ἰδοὺ ἡ θυγάτηρ μου ἡ μείζων Με-
ρὸβ, αὐτὴν δώσω σοι εἰς γυναῖκα·
πλὴν γίνου μοι εἰς υἱὸν δυνάμεως, καὶ
πολέμει τοὺς πολέμους Κυρίου. καὶ
B Σαοὺλ εἶπε, μὴ ἔστω ἡ χείρ μου ἐπ' αὐ-
τῷ, καὶ ἔσται ἐπ' αὐτῷ χεὶρ ἀλλοφύλων.

✻ ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς (2) καί τοι φθονῶν τῷ Δαβίδ, καὶ λίαν αὐτῷ ἐχθραίνων, τὴν θυγατέρα [αὐτῷ] κατεγγύησεν; Ἐδίδαξεν ἡ ἱστορία τὸν ἐκείνου σκοπόν. εἶπε
» γάρ φησιν ὁ Σαούλ, μὴ ἔστω ἡ χείρ μου ἐπ'
» αὐτόν, [ἀλλ' ἔστω ἐν αὐτῷ ἡ χεὶρ τῶν ἀλ-
» λοφύλων. καὶ πάλιν· δώσω αὐτὴν αὐτῷ,
» καὶ ἔσται αὐτῷ εἰς σκάνδαλον, καὶ ἔσται ἐπ'
Γ » αὐτὸν ἡ χεὶρ τῶν ἀλλοφύλων.] ἐπιβουλῆς εἵνεκα οὐκ ἦν, οὐκ εὐεργεσίας ὁ γάμος.

✻✻ ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἀποτυχὼν τῆς διὰ ξίφους ἐπιβουλῆς, ἐφ' ἑτέραν ἐτράπη· καὶ τὴν θυγατέρα διδόναι τῷ φθονουμένῳ βούλεται, οὐχ ἵνα τιμήσῃ τὸν μισούμενον, ἀλλ' ἵνα τῷ γάμῳ τῆς παιδὸς τὸν φόνον ὠνήσηται· καὶ πρεσβύτας τῆς μνηστείας ἐκπέμπει, προκάλυμμα δόλου τὴν τοῦτου παστάδα ποιούμενος.

Δ

ιη. Καὶ εἶπε Δαβὶδ πρὸς Σαούλ,
τίς ἐγώ εἰμι, καὶ ἡ ζωὴ τῆς συγγενείας
μου (3) ἐν Ἰσραήλ, ὅτι ἔσομαι γαμ-
ιθ. βρὸς τοῦ βασιλέως; Καὶ ἐγενήθη ἐν
τῷ καιρῷ τοῦ δοθῆναι τὴν Μερὸβ θυ-
γατέρα Σαοὺλ τῷ Δαβίδ, καὶ αὐτη
ἐδόθη τῷ Ἐδριὴλ τῷ Μουλαθίτῃ (4)
κ. εἰς γυναῖκα. Καὶ ἠγάπησε Μελχὸλ
E ἡ θυγάτηρ Σαοὺλ τὸν Δαβίδ. καὶ
ἀπηγγέλη τῷ Σαούλ, καὶ ηὐθύνθη
κα. τὸ ῥῆμα ἐν ὀφθαλμοῖς αὐτοῦ. Καὶ
εἶπε Σαούλ, δώσω αὐτὴν αὐτῷ, καὶ
ἔσται αὐτῷ εἰς σκάνδαλον. καὶ ἦν ἐπὶ
Σαοὺλ χεὶρ ἀλλοφύλων. καὶ εἶπε Σαοὺλ
πρὸς Δαβίδ, (5) ἀφαιρέσει ἔσῃ γαμ-
βρός μου σήμερον, ἐπὶ ταῖς δυσὶν ἐπι-
κβ. γαμβρεύσεις, νυμφεύσεις ἐν ἐμοί. Καὶ
Z ἐνετείλατο Σαοὺλ τοῖς παισὶν αὐτοῦ,
λέγων, λαλήσατε ὑμεῖς λάθρα τῷ
Δαβίδ, λέγοντες, ἰδοὺ ὁ βασιλεὺς
θέλει ἐν σοί, καὶ πάντες οἱ παῖδες
αὐτοῦ ἀγαπῶσί σε, καὶ σὺ ἐπιγάμ-
βρευσον τῷ βασιλεῖ.

κγ. Καὶ ἐλάλησαν οἱ παῖδες
Σαοὺλ εἰς τὰ ὦτα Δαβὶδ κατὰ τὰ

(1) Ἐν ταῖς αὐταῖς μόνον τὸ ιζ', ιη', ιθ', καὶ λ' ἐδ. κεῖνται. (2) Τί δήποτε καὶ φθον. ἡ ἐν Χάλ. ἐκδ.
(3) Τῆς συγγενείας τοῦ πατρός μου. αἱ αὐτ. (4) Μολαθίτῃ. αἱ αὐτ.
(5) Τό, ἀφαιρέσει ἔσῃ γαμβρός μου, καὶ τό, νυμφεύσεις ἐν ἐμοί, οὐδὲ ἐν τῇ κατὰ τὴν ἐν Φραγκ. ἐκδόσ. κεῖται, οὐδὲ ἐν ταῖς ἐν αὐτῇ σημειώσ.

ῥήματα ταῦτα. καὶ εἶπε Δαβίδ, εἰ κοῦφον ἐν ὀφθαλμοῖς ὑμῶν ἐπιγαμβρεῦσαι βασιλεῖ; καὶ ἐγὼ ἀνὴρ ταπεινὸς, καὶ οὐχὶ ἔνδοξος.

✱ ΤΟΥ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁ δὲ Δαβὶδ κατὰ τὴν αὐτοῦ πρᾳότητα [τὰ πράγματα κρίνων,] διεκρούετο τὸν γάμον, οὐ διὰ τὸν τῶν πολεμίων φόβον ἢ τὸν κίνδυνον, ἀλλὰ διὰ τὸ νομίζειν ἀνάξιον ἑαυτὸν τῆς πρὸς ἐκεῖνον συγγενείας. καὶ ταυτὶ πρὸς τοὺς δούλους αὐτοῦ λέγει τὰ ῥήματα· εἰ κοῦφόν ἐστιν ἐν ὀφθαλμοῖς ὑμῶν ἐπιγαμβρεῦσαί με τῷ βασιλεῖ; ἐγὼ δὲ ἀνὴρ ταπεινὸς, καὶ οὐκ ἔντιμος. καίτοι ὀφειλὴ τὸ πρᾶγμα ἦν, καὶ μισθὸς καὶ ἀνταπόδοσις τῶν πόνων· [ἀλλ' οὕτως ἦν συντετριμμένην ἔχων τὴν καρδίαν, ὡς μετὰ τοσαῦτα κατορθώματα καὶ λαμπρὰν οὕτω νίκην καὶ ὑπόσχεσιν ὡμολογημένην, ἀνάξιον εἶναι νομίζειν τοῦ λαβεῖν τὸν ὀφειλόμενον αὐτῷ μισθόν. καὶ ταῦτα ἐνόμιζε πάλιν μέλλων κινδυνεύειν.]

✱✱ ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Οὐκ ἐπιτρέχει τῷ δώρῳ, μετριότητι τρόπου τὸν βασιλίδος γάμον ἀποπεμπόμενος.

κδ. Καὶ ἀπήγγειλαν οἱ παῖδες Σαοὺλ αὐτῷ κατὰ τὰ ῥήματα ταῦτα, ἃ ἐλάλησε Δαβίδ.

κε. Καὶ εἶπε Σαοὺλ, τάδε ἐρεῖτε τῷ Δαβίδ, οὐ βούλεται ὁ βασιλεὺς ἐν δόματι, (1) ἀλλ' ἢ ἐν ἑκατὸν ἀκροβυστίαις ἀλλοφύλων ἐκδικῆσαι εἰς ἐχθροὺς τοῦ βασιλέως. καὶ Σαοὺλ ἐλογίσατο αὐτὸν ἐμβαλεῖν εἰς χεῖρας ἀλλοφύλων.

✱✱ ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἐπειδὴ τὰ ἕδνα, δῶρα γυναικῶν, πρὸ γάμου τῆς κόρης, ἀλλοφύλων ἀναίρεσιν ὥριζε, πείθεται τοῖς λόγοις, τῆς συμμαχίας πιστεύων τῇ χάριτι, ἆθλον ἀριστείας τὸν γάμον ποιούμενος. οὐ βούλεται γάρ φησιν ὁ βασιλεὺς ἕδνα, ἀλλ' ἑκατὸν ἀκροβυστίας ἀλλοφύλων. ἐλέγχουσα δὲ τὴν πονηρίαν ἡ Γραφὴ, στηλιτεύει τὸν τρόπον. ἐλογίζετο γάρ φησιν ἐμβαλεῖν τὸν Δαβὶδ εἰς χεῖρας ἀλλοφύλων. οὐχ ἵνα νικητὴν τὸν νυμφίον πρὸ τοῦ γάμου θεάσηται, ἀλλ' ἵνα πρὸ τοῦ θαλάμου ὁ νυμφίος παρανάλωμα γένηται, καὶ φθάσῃ τὸν γάμον ὁ θάνατος, ὅπλον τοῦ φθόνου τοὺς ἀλλοφύλους ποιούμενος. οὐ βούλεται ὁ βασιλεὺς ἕδνα, ἀλλ' ἑκατὸν ἀκροβυστίας ἐζήτησε. πονηρὸς ὁ τρόπος, κακοῦργος ὁ λογισμός. ὑπέλαβε γὰρ ὅτι κεφαλὰς μὲν ἠδύνατο ἂν σχὼν, καὶ τῶν οἰκείων ἀφελὼν, τοῦ φθόνου κλέψαι τὸν κίνδυνον. μορφῆς γὰρ διάκρισιν ἡ φύσις ἐν πολεμίοις καὶ φίλοις οὐκ ἔπλασε. περιτομὴ δὲ μόνη τὸν Ἰσραὴλ τῶν ἀλλοφύλων ἀποτειχίζειν ἠδύνατο, καὶ σημεῖον ἦν διαφορᾶς τοῦ νόμου τὸ γνώρισμα.

✱✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν οὐ κεφαλὰς, ἀλλ' ἀκροβυστίας ᾔτησε; Πονηροῖς χρησάμενος λογισμοῖς, ἐτόπασεν ὅτι τῶν ὁμοφύλων τινὰς ἀνελὼν, οἴσει τούτων τὰς κεφαλάς. τούτου χάριν ἀκροβυστίας κομισθῆναι προσέταξεν. ἡ γὰρ ἀκροβυστία δηλοῖ τὸ ἀλλόφυλον. πάντα δὲ πόρον ἐκίνει τὴν τοῦ εὐεργέτου κατλύων σφαγήν. καὶ οὔτε τὰς εὐεργεσίας ᾐδεῖτο, οὔτε τοὺς ὅρκους ηὐλαβεῖτο. καὶ γὰρ τῷ Ἰωνάθαν ὀμωμόκει, ὅτι δι' αὐτὸν οὐκ ἀποκτενεῖ. ὤμοσε γάρ φησι Σαοὺλ, λέγων, ζῇ Κύριος, εἰ ἀποθανεῖται. 1. Βασ. 19. 6.

✱ ΠΡΟΚΟΠΙΟΥ. Διατὶ μὴ κεφαλὰς ᾔτησεν; Ἐπειδὴ ὑπώπτευσεν, ὅτι τῶν ὁμοφύλων τινὰς ἀνελὼν, οἴσει τὰς κεφαλάς. οὗ δὴ χάριν ἀκροβυστίας ἐπιζητεῖ. ὃ δηλοῖ τὸ ἀλλόφυλον. ἀλλ' ὅμως φθόνῳ δουλεύων ὁ Σαοὺλ τὸν τοῦ Δαβὶδ ἐτήρησε θάνατον. ὅτε δὲ σέσωσται διὰ τῆς Μελχὸλ, ᾖσε τὸν νῦν ψαλμόν· ἐξελοῦμαι ἐκ τῶν ἐχθρῶν μου ὁ Θεός. Ψαλ. 58. 1.

κς. Καὶ ἀπαγγέλλουσιν οἱ παῖδες Σαοὺλ τῷ Δαβὶδ κατὰ τὰ ῥήματα ταῦτα, καὶ ηὐθύνθη ὁ λόγος ἐνώπιον (2) Δαβὶδ, καὶ (3) ἐπιγαμβρεῦσαι τῷ βασιλεῖ.

κζ. Καὶ ἀνέστη Δαβὶδ, καὶ ἐπορεύθη αὐτὸς καὶ οἱ ἄνδρες αὐτοῦ, καὶ ἐπάταξεν ἐν τοῖς ἀλλοφύλοις ἑκατὸν (4) ἄνδρας· καὶ ἀνήνεγκε τὰς ἀκροβυστίας αὐτῶν τῷ βασιλεῖ, καὶ δίδωσιν αὐτῷ τὴν Μελχὸλ θυγατέρα αὐτοῦ εἰς γυναῖκα.

✱ ΠΡΟΚΟΠΙΟΥ. Ὅμοιον τῷ, ἐάν τίς σε ἀγγαρεύσῃ μίλιον ἓν, ὕπαγε μετ' αὐτοῦ δύω. ἐπιτάττεται γὰρ ὁ Δαβὶδ φονεῦσαι ἑκατὸν ἀλλοφύλους, καὶ διακοσίους ἀνεῖλε, καταπατῶν τὴν τοῦ Σαοὺλ ἐπήρειαν, κατὰ τὴν τοῦ λόγου ἔκδοσιν. Ματθ. 5. 41.

κη. Καὶ εἶδε Σαοὺλ ὅτι Κύριος μετὰ Δαβὶδ, καὶ πᾶς Ἰσραὴλ ἀγαπᾷ
κθ. αὐτόν. Καὶ προσέθετο τοῦ εὐλαβεῖσθαι ἀπὸ Δαβὶδ ἔτι. καὶ ἐγένετο
Σαοὺλ ἐχθρὸς (5) τῷ Δαβὶδ πάσας
λ. τὰς ἡμέρας. Καὶ ἐξῆλθον οἱ ἄρχοντες τῶν ἀλλοφύλων· καὶ ἐγένετο ἀφ' ἱκανοῦ ἐξοδίας αὐτῶν, (6) συνετὸς ἦν Δαβὶδ ὑπὲρ πάντας τοὺς δούλους Σαοὺλ, καὶ ἐτιμήθη τὸ ὄνομα αὐτοῦ σφόδρα.

ΚΕΦ.

(1) Ἕδνα. ἡ ἐν Κομπλ. ἔκδ. καὶ ὁ Σελευκ. ἐν τῷ προκειμ. ὑπομν.

(2) Ἐν ὀφθαλμοῖς. αἱ εἰρημ. ἐκδόσ.

(3) Τὸ, καὶ, οὐ κεῖται ἐν αὐτ.

(4) Διακοσίους. ἡ ἐν Κομπλ. ἔκδ. καὶ ὁ Προκόπ. ἐν τῷ προκειμ. ὑπομνήμ.

(5) Ἐχθραίνων. ἡ ἐν Κομπλ. ἔκδ.

(6) Καὶ συνετὸς . . . παρὰ πάντας. ἡ αὐτ.

Κ Ε Φ. Ι Θ.

α. Καὶ ἐλάλησε Σαοὺλ πρὸς
Ἰωνάθαν τὸν υἱὸν αὐτοῦ,
καὶ πρὸς πάντας τοὺς παῖ-
δας αὐτοῦ τοῦ θανατῶσαι τὸν Δαβίδ.
β. Καὶ Ἰωνάθαν ὁ υἱὸς αὐτοῦ ἡρεῖτο τὸν
Δαβὶδ σφόδρα. καὶ ἀπήγγειλεν Ἰω-
νάθαν τῷ Δαβὶδ, λέγων, Σαοὺλ ζη-
τεῖ θανατῶσαί σε. φύλαξαι οὖν αὔ-
ριον τῷ πρωῒ, καὶ κρύβηθι καὶ κάθι-
γ. σον κρυφῇ. Καὶ ἐγὼ ἐξελεύσομαι
καὶ στήσομαι ἐχόμενος τοῦ πατρός μου
ἐν ἀγρῷ οὗ ἐὰν ᾖς ἐκεῖ· καὶ ἐγὼ λα-
λήσω περὶ σοῦ πρὸς τὸν πατέρα μου,
καὶ ὄψομαι ὅ,τι ἂν ᾖ, καὶ ἀπαγγε-
δ. λῶ σοι. Καὶ ἐλάλησεν Ἰωνάθαν περὶ
Δαβὶδ ἀγαθὰ πρὸς Σαοὺλ τὸν πα-
τέρα αὐτοῦ, καὶ εἶπε πρὸς αὐτὸν, μὴ
ἁμαρτησάτω ὁ βασιλεὺς εἰς τὸν δοῦ-
λόν σου Δαβὶδ, ὅτι οὐχ ἡμάρτηκεν εἰς
σὲ, καὶ τὰ ποιήματα αὐτοῦ ἀγαθὰ
ε. σφόδρα. Καὶ ἔθετο τὴν ψυχὴν αὐ-
τοῦ, καὶ ἐπάταξε τὸν ἀλλόφυλον, καὶ
ἐποίησε Κύριος σωτηρίαν μεγάλην,
καὶ πᾶς Ἰσραὴλ εἶδον, καὶ ἐχάρησαν·
καὶ ἵνα τὶ ἁμαρτάνῃς εἰς αἷμα ἀθῷον
ϛ. θανατῶσαι τὸν Δαβὶδ δωρεάν; Καὶ
ἤκουσε Σαοὺλ τῆς φωνῆς Ἰωνάθαν·
καὶ ὤμοσε Σαοὺλ, λέγων, ζῇ Κύριος,
ζ. εἰ ἀποθανεῖται. Καὶ ἐκάλεσεν Ἰω-
νάθαν τὸν Δαβὶδ, καὶ ἀπήγγειλεν
αὐτῷ πάντα τὰ ῥήματα ταῦτα. καὶ
εἰσήγαγεν Ἰωνάθαν τὸν Δαβὶδ πρὸς
Σαοὺλ, καὶ ἦν ἐνώπιον αὐτοῦ ὡς χθὲς
καὶ τρίτην ἡμέραν.

η. Καὶ προσέθετο ὁ πόλεμος γε-
νέσθαι πρὸς Σαοὺλ, καὶ κατίσχυσε Δα-
βὶδ, καὶ ἐπολέμησε τοὺς ἀλλοφύλους,
καὶ ἐπάταξεν ἐν αὐτοῖς πληγὴν με-
γάλην σφόδρα, καὶ ἔφυγον ἐκ προ-
σώπου αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Κατὰ τοῦτον τὸν καιρὸν τῶν Παλαιστίνων στρατευσαμένων πάλιν ἐπὶ τοὺς Ἑβραίους, πέμπει μετὰ στρατιᾶς τὸν Δαυΐδην πολεμήσοντα τοῖς Παλαιστίνοις. καὶ συμβαλὼν, πολλοὺς αὐτῶν ἀπέκτεινε, καὶ νικήσας ἐπάνεισι πρὸς τὸν βασιλέα.

θ. Καὶ ἐγένετο πνεῦμα Θεοῦ πο-
νηρὸν ἐπὶ Σαοὺλ, καὶ αὐτὸς ἐν οἴκῳ
αὐτοῦ καθεύδων, καὶ τὸ δόρυ ἐν τῇ
χειρὶ αὐτοῦ, καὶ Δαβὶδ ἔψαλλεν ἐν
ι. ταῖς χερσὶν αὐτοῦ. Καὶ ἐζήτει Σαοὺλ
πατάξαι τὸ δόρυ εἰς Δαβίδ. καὶ ἀπέ-
στη Δαβὶδ ἐκ προσώπου Σαοὺλ· καὶ
ἐπάταξε τὸ δόρυ εἰς τὸν τοῖχον. καὶ
Δαβὶδ ἀνεχώρησε καὶ ἐξεσπάσθη.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ τῶν πολεμίων ἐκράτησε, καὶ τὴν θυγατέρα ἔλαβε τοῦ βασιλέως, πάλιν ἔψαλλεν ὁ Δα-
» βὶδ, καὶ ἐζήτει Σαοὺλ τοῦ πατάξαι αὐτὸν
B » ἐν τῷ δόρατι, καὶ ἐπάταξε, καὶ ἐξέκλινεν
» ὁ Δαβὶδ, καὶ ἐπάταξε τὸ δόρυ ἐν τῷ τοί-
χῳ. τίνα οὐκ ἂν καὶ τῶν σφόδρα φιλοσοφεῖν ἐπισταμένων εἰς θυμὸν ταῦτα ἐξήνεγκε, καὶ εἰ μηδὲν ἕτερον, τῆς οἰκείας προνοοῦντα ἀσφαλείας ἔπεισεν ἀνελεῖν τὸν ἀδίκως ἐπιβουλεύοντα; οὐδὲ γὰρ φόνος τὸ πρᾶγμα λοιπὸν ἦν, ἀλλὰ καὶ οὕτω τὸ μέτρον τοῦ νόμου τότε ὑπερβαίνειν ἔμελλεν. ἐκεῖνος μὲν
» γὰρ ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ ἐξορύττειν Δευτ. 19. 21.
Γ ἐκέλευεν· οὗτος δὲ εἰ καὶ ἔσφαξεν, ἀντὶ τριῶν φόνων ἕνα εἰργάζετο, τριῶν φόνων οὐδεμίαν εὔλογον ἐχόντων πρόφασιν. ἀλλ' ὅμως οὐδὲν τούτων ἐπεχείρισεν, ἀλλ' ἡρεῖτο φυγεῖν μᾶλλον, καὶ τῆς πατρῴας οἰκίας ἐκπεσεῖν, καὶ πλανήτης εἶναι, καὶ δραπετεύειν, ταλαιπωρούμενος τὴν ἀναγκαίαν πορίζειν τροφὴν, ἢ τῷ βασιλεῖ γενέσθαι σφαγῆς αἴτιος.

** ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ. Τὸ
Δ αἴτιον τῆς τοῦ Σαοὺλ κατὰ τοῦ Δαβὶδ ἐπιβουλῆς, φθόνος ἦν. ἐπειδὴ γὰρ τὴν κατὰ τοῦ ἀλλοφύλου Γολιὰθ ἤρατο νίκην, ὑμνεῖτό τε ἐπὶ τούτῳ παρὰ τοῖς πᾶσι, τούτου χάριν ὡρμᾶτο θανατῶσαι αὐτόν· καὶ μάλιστα
» ὅτε εἶδεν, ὡς Κύριος ἦν μετὰ τοῦ Δαβὶδ, 1. Βασ. 18. 28,
» καὶ αὐτὸς συνῆκε σφόδρα, καὶ πᾶς Ἰσ- 16.
» ραὴλ καὶ Ἰούδας ἠγάπα τὸν Δαβίδ. ἔτι τε μᾶλλον ἐξήφθη τὰ τῆς ζηλοτυπίας, ὡς ἑώρα αὐτὸν κρατοῦντα ἐν πολέμοις, συνερ-
E γείᾳ καὶ βοηθείᾳ Θεοῦ. Καὶ μετ' ὀλίγα. Πάλιν τὸ πνεῦμα τοῦ φθόνου τὸν Σαοὺλ ἔπνιγεν, ὡς ἤδη καὶ αὐτόχειρα ἐθέλειν γενέσθαι τοῦ ἀνδρός. ἐπειρᾶτο γοῦν τῷ δόρατι κατ' αὐτοῦ· ὡς δ' ἠστόχησε τῆς πληγῆς, οὐκ ἔτ' ἐπικεκρυμμένως, ἐκ δὲ τοῦ φανεροῦ ἀποστείλας εἰς τὸν οἶκον τοῦ Δαβὶδ, θανατῶσαι αὐτὸν ὡρμήθη.

ια. Καὶ ἐγενήθη ἐν τῇ νυκτὶ ἐκείνῃ,
καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους εἰς οἶκον
Z Δαβὶδ φυλάξαι αὐτὸν τοῦ θανατῶ-
σαι αὐτὸν πρωΐ. καὶ ἀπήγγειλε τῷ
Δαβὶδ Μελχὸλ ἡ γυνὴ αὐτοῦ, λέ-
γουσα, ἐὰν μὴ σὺ σώσῃς τὴν ψυχήν
σου τὴν νύκτα ταύτην, αὔριον θανα-
ιβ. τωθήσῃ. Καὶ κατάγει ἡ Μελχὸλ
τὸν Δαβὶδ διὰ τῆς θυρίδος, καὶ ἀπῆλ-
θε καὶ ἔφυγε καὶ σώζεται.

H ** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Τοῦ θυμοῦ καταγνοῦσα τοῦ φύσαντος, ἀποπέμπει τὸν ἄνδρα, διὰ φυγῆς αὐτὸν τῆς σφαγῆς ἐξαρπάζουσα, φιλάνδρῳ γνώμῃ νικῶσα τὸν φθόνον τοῦ φύσαντος.

ιγ. Καὶ ἔλαβε Μελχὸλ τὰ κενοτάφια, καὶ ἔθετο ἐπὶ τὴν κλίνην, καὶ ἧπαρ τῶν αἰγῶν ἔθετο πρὸς κεφαλῆς αὐτῶν, καὶ ἐκάλυψεν αὐτὰ ἐν ἱματίῳ.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ὁ Σαοὺλ ἐγρηγορὼς τῷ θυμῷ, τοῦ θανάτου τοὺς ὑπηρέτας ἐξέπεμπεν· ἡ δὲ παῖς τὴν ἀῤῥωστίαν τοῦ ἀνδρὸς προσοφίζεται, οἴκῳ κλέψαι τοῦ πατρὸς τὴν μῆνιν ἐλπίζουσα, καὶ καιρὸν φυγῆς μηχανομένη τῷ φεύγοντι. ἀλλ' ὢ φιλανδρία καὶ σοφία τῆς γυναικός. ἔπεισε καὶ αὐτὴν τὴν κοίτην ἀῤῥωστίᾳ συνυποκρίνεσθαι. ἀνδρὸς γὰρ εἰκόνα διὰ τοῦ σχήματος ἐπὶ τῆς κλίνης μορφώσασα, τῇ πεπλασμένῃ μορφῇ τοὺς ὁρῶντας ἐφάνταζεν. ἧπαρ γὰρ νεοσφαγοῦς αἰγὸς ἐσθήμασιν ὑποκρύψασα, πίστιν ἀληθινὴν παρέσχε τῷ πλάσματι. ἔτι γὰρ σπαῖρον τὸ ἧπαρ, καὶ τοὺς ἐσχάτους ἐκπέμπον παλμοὺς, ἀνδρὸς ἀναπνοὰς ἐσοφίζετο, κλέπτον τῇ θέᾳ τῶν βλεπόντων τὴν αἴσθησιν. τοιαῦτα δραματουργεῖν ἐκ φιλανδρίας ᾔδει τὸ γύναιον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὰ κε-
» νοτάφια, καὶ τὸ ἧπαρ τῶν αἰγῶν; Ὁ Ἀκύ-
» λας τὰ κενοτάφια, μορφώματα ἡρμήνευ-
» σε· καὶ τὸ ἧπαρ τῶν αἰγῶν, τὸ πᾶν (1)
» πλῆθος, καὶ στρογγύλωμα τριχῶν. ἐπειδὴ γὰρ ὀμωμοκὼς ὁ Σαοὺλ, παρέβη τὸν ὅρκον, καὶ τὴν αἰχμὴν τῷ Δαβὶδ ἐπαφῆκε· ἐκκλίνας δὲ ἐκεῖνος τὴν τοῦ δόρατος ῥύμην εἰς τὴν οἰκίαν ἐχώρησε· γνοῦσα δὲ ἡ Μελχὸλ τὰς κατὰ τοῦ ἀνδρὸς ἐπιβουλὰς τοῦ πατρὸς, τούτῳ μὲν συνεβούλευσε τὴν φυγήν· (2) αὐτὴ δὲ τὴν κλίνην εἰς ἀῤῥωστοῦντος ἐσχημάτισε τύπον· ἱματίων μὲν πλῆθος ἐπιβαλοῦσα, στρογγύλωμά τε τριχῶν ὑποθεῖσα τοῖς ἱματίοις, ὥστε μιμεῖσθαι τὴν κεφαλήν. τινὲς δὲ μορφώματα, τοῦ Δαβὶδ νενοήκασι τὴν εἰκόνα, καὶ ταύτην ἔφασαν τοῖς ἱματίοις συγκαλυφθῆναι, πλὴν ἐνίων τοῦ προσώπου μερῶν· τὸ δὲ ἧπαρ τῶν αἰγῶν ὑποτεθῆναι, ἵνα κινούμενον τὸ σχῆμα ἀπεργάσῃ πιθανόν. καὶ γάρ φασι τὸ ἧπαρ τῶν αἰγῶν κινεῖσθαι μέχρι πολλοῦ.

ιδ. Καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους
λαβεῖν τὸν Δαβὶδ, καὶ λέγουσιν ἐνοχ-
ιε. λεῖσθαι αὐτόν Καὶ ἀποστέλλει ἐπὶ τὸν
Δαβὶδ, λέγων, ἀγάγετε αὐτὸν ἐπὶ
τῆς κλίνης πρός με τοῦ θανατῶσαι
αὐτόν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Οὕτω μέντοι διετέλει φονῶν, ὥστε καὶ ἀῤῥωστοῦντα μεμαθηκὼς ἀχθῆναι προσέταξεν αὐτὸν εἰς σφαγήν. ἐπεὶ δὲ ἔγνω τὴν φυγὴν, κατὰ τοὺς θηρεύοντας κύνας ἰχνηλατῶν διετέλει.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Οὐδὲ τὸ δρᾶμα τῆς παιδὸς τὴν τοῦ πατρὸς ἡμέρωσεν ἀγριότητα· ἀλλ' ἀληθεύειν τῆς A ἀῤῥωστίας τὸ ψεῦδος ὑπολαμβάνων, ἄγειν ἐπὶ τῆς κλίνης ἐνεκελεύετο. τί γὰρ φειδόμενος οὐ παρασκευάζω τὸν φόνον; δεσμώτην ἔχω τὸν μισούμενον, θήραμα πρὸς σφαγὴν ἑτοιμότερον.

ις. Καὶ ἔρχονται οἱ ἄγγελοι, καὶ ἰδοὺ τὰ κενοτάφια ἐπὶ τῆς κλίνης, καὶ ἧπαρ τῶν αἰγῶν πρὸς κεφαλῆς αὐτοῦ.

** ΓΡΗΓΟΡΙΟΥ ΝΥΣΣΗΣ. Περιτ- B τὸν, οἶμαι, νῦν παρενθεῖναι τί τὸ ἐν τῇ ἱστορίᾳ ζητούμενον· πῶς εἰπόντος τοῦ λόγου, ὅτι ἐπάταξε Σαοὺλ τὸν Δαβὶδ τῇ λόγχῃ, ἐπάγει ἡ ἱστορία, ὅτι κατὰ τοίχου ἦλθε τὸ δόρυ, ὁ δὲ Δαβὶδ διεσώθη· καὶ ὅτι ἐπὶ τῆς κλίνης τοῦ Δαβὶδ, αὐτὸς μὲν οὐχ εὑρίσκεται, ἀλλ' ἀντ' ἐκείνου κενοτάφια καὶ ἧπαρ αἰγῶν· ὅπερ τοῖς τότε εἰς ἀποτροπιασμὸν θανάτου ἔκ τινος συνηθείας τὸ τοιοῦτον ἐγίνετο, ὥστε τὸν ἄῤῥωστον ὑπεξάγεσθαι μὲν Γ τῆς κλίνης, τὴν δὲ τοῖς τεθνηκόσιν ἐπιβαλλομένην στολὴν ἐπιτιθέναι τῷ κραββάτῳ, καὶ ἧπαρ αἰγῶν. δῆλον γὰρ ἂν εἴη τοῖς φιλοπονωτέροις, ὅτι προφητεία τῆς κατὰ τὸν Κύριον οἰκονομίας ἐστὶν ἡ ἱστορία. Δαίμονες ἦσαν ἐν Σαοὺλ τῷ τυράννῳ. τούτους ἀπελαύνει ὁ εἰς βασιλείας χρισθεὶς τῷ τῆς κιθάρας ὀργάνῳ κατ' αὐτῶν ἐνεργήσας τὴν πτόησιν. ὁ δὲ καταληφθεὶς ὑπὸ τῶν συνόντων αὐτῷ Δαιμόνων, πατάσσει Δ τῇ λόγχῃ τὸν διὰ τῆς κιθάρας τὴν κατὰ τῶν Δαιμόνων ἰσχὺν ἐνδειξάμενον. ἀλλ' ὁ τοῖχος δέχεται ἀντὶ τοῦ Δαβὶδ τὴν πληγήν. ὁ δὲ διασώζεται. μετὰ ταῦτα ὁ ἐπιβουλευθεὶς παρὰ τοῦ Σαοὺλ ζητεῖται ἐπὶ τῆς κλίνης· καὶ ὁ μὲν οὐχ εὑρίσκεται· κενοτάφια δὲ ἀντ' ἐκείνου ἡ κλίνη ἔχει, καὶ ἧπαρ αἰγῶν. φανερὰ δὲ πάντως ἐστὶν ἡ διάνοια αἰνιγμάτων, καὶ τῆς ἱστορίας ἀκολουθία πρὸς τί βλέπει. ὅτι μὲν διὰ τοῦ Δαβὶδ ὁ E ἐκ τοῦ Δαβὶδ προμηνύεται· τὸν δὲ Χριστὸν ὁ χρισθεὶς διασημαίνει· καὶ ὅτι ἡ κιθάρα τὸ ἀνθρώπινόν ἐστιν ὄργανον· ἡ δὲ ἐκ ταύτης ᾠδὴ, ὁ διὰ τοῦ σαρκωθέντος φανερωθεὶς ἡμῖν λόγος, οὗ ἔργον ἐστὶν ἀφανίσαι τὴν ἐκ Δαιμόνων παραφορὰν, ἵνα μηκέτι ὦσιν οἱ Θεοὶ τῶν ἐθνῶν τὰ Δαιμόνια. ἀλλ' ὁ βασιλεὺς ἐκεῖνος ὁ ἐν αὐτῷ τοὺς Δαίμονας ἔχων, ὅταν ὑποχωρήσῃ τὰ πνεύματα τῇ ᾠδῇ, τὸν τὸ ὄργανον ἐπὶ τούτῳ ἁρμοσά- Z μενον πατάσσῃ τῷ δόρατι· τὸ δὲ δόρυ ξύλον ἐστὶ σιδήρῳ καθωπλισμένον· ἀλλὰ δέχεται ἀντ' ἐκείνου ὁ τοῖχος τὸ δόρυ. τοῖχον δὲ νοοῦμεν τὴν γηΐνην οἰκοδομὴν, δι' ἧς τὸ σῶμα καταμανθάνομεν· περὶ ὃ τὸ ξύλον βλέπομεν τοῦ σταυροῦ καὶ τὸν σίδηρον. ὁ δὲ Δαβὶδ ἐκεῖνος ὁ χριστός τε καὶ βασιλεὺς ἔξω τοῦ πάθους ἐστίν. ἡ γὰρ Θεότης ἐν τῷ σταυρῷ τε καὶ τοῖς ἥλοις οὐ γίνεται. Μελχὸλ δὲ ἀκούσαντες τὴν ἐκ τοῦ Σαοὺλ γενο- H μένην, ἢ Δαβὶδ ἐκοινώνησεν, οὐ ξενιζόμεθα πρὸς τὸ ἀκόλουθον βλέποντες. οἴδαμεν γὰρ

(1) Ἱματίων πλῆθος. ἡ ἐν Χάλ. ἔκδ.

(2) Συνεβούλευσεν ἀποδρᾶσαι· καὶ δὴ καὶ καθῆκεν αὐτὸν διὰ τῆς φωταγωγοῦ· αὐτὴ δὲ τὴν κλίνην, κτ. ἡ αὐτ.

γὰρ ὅτι ὁ Θεὸς θάνατον οὐκ ἐποίησεν, ἀλ-
λὰ πατὴρ ἐγένετο τοῦ θανάτου ὁ τῆς κα-
κίας βασιλεὺς, ὁ ἑαυτὸν τῆς ζωῆς στερήσας.
Φθόνῳ γὰρ Διαβόλου ὁ θάνατος εἰσῆλθεν.
'Ρωμ. 5. 14. ἐβασίλευσε δὲ ὁ θάνατος ἀπὸ Ἀδὰμ καὶ
„ ἕως τοῦ νόμου. οὐ βούλεται μηκέτι βασιλεύειν
'Ρωμ. 6. 12. ἐν ἡμῖν ὁ Ἀπόστολος ἐν τῷ θνητῷ ἡμῶν σώ-
ματι. ὁ οὖν ὑπὲρ παντὸς τοῦ θανάτου γεύ-
σάμενος, ἐν τῷ οἴκῳ τῆς ὑπὸ τοῦ νοηθέν-
τος ἡμῖν Σαοὺλ γίνεται· ὄνομα δὲ αὐτῇ
Μελχόλ· τοῦ δὲ ὀνόματος τούτου τὸ σημαι-
νόμενον, βασιλείας ἐστὶ, διὰ τὸ μέχρι τότε
βασιλεύειν τὴν ἁμαρτίαν τῆς φύσεως· ἐν-
ταῦθα δὲ γενόμενος, αὐτὸς μὲν διὰ θυρί-
δος ἐξέρχεται· σημαίνει δὲ ἡ θυρὶς τὴν
ἐπὶ τὸ φῶς πάλιν ἐπάνοδον τοῦ ἑαυτὸν τοῖς
ἐν σκότει καὶ σκιᾷ θανάτου καθημένοις δεί-
ξαντος· τὰ δὲ κενοτάφια αὐτοῦ ἐπὶ τῆς
κλίνης ὁρᾶται. Φησὶ γὰρ καὶ ὁ Ἄγγελος
τοῖς ἐν τῷ μνήματι ζητοῦσι τὸν Κύριον· τί
Λουκ. 24. 5, 6. ζητεῖτε τὸν ζῶντα μετὰ τῶν νεκρῶν; οὐκ
„ ἔστιν ὧδε, ἠγέρθη, ἴδε ὁ τόπος, ἐν ᾧ ἔκειτο.
τὸν τάφον, ἐν ᾧ ἐτάφη, εἶδον οἱ ζητοῦντες
τὸν Κύριον, κενὸν τοῦ ζητουμένου σώματος.
μόνα δὲ ἦν ἐν αὐτῷ τὰ ἐντάφια. οὐκοῦν νοοῦ-
μεν, ὅτι τὴν ἀνάστασιν τοῦ Κυρίου σημαίνει
τὴν ἐπὶ τοῦ τάφου τὰ ἐπὶ τῆς κλίνης τοῦ
Δαβὶδ κενοτάφια, δι' ὧν γίνεται ὁ ἀληθι-
νὸς τοῦ θανάτου ἡμῶν ἀποτροπιασμός. τοῦ
δὲ τρωθέντος τοίχου, ὃν ἀντὶ τοῦ σώματος
ἐνοήσαμεν, αἷμα μὴ ἔχοντος, ὡς μὴ ἄρα
λειφθείη τὸ καιριώτατον τῶν εἰς τὸ μυστή-
ριον νοουμένων, δι' οὗ ἐλυτρώθημεν, τὸ αἷμα
λέγω, τοῦτο ῥητοῖς κενοταφίοις εὑρίσκεται.
μόνον γὰρ ἐν τοῖς σπλάγχνοις τὸ ἧπαρ αἵ-
ματός ἐστι πηγή τε καὶ ἐργαστήριον· οὗ χωρὶς
ἀδύνατόν ἐστι συστῆναι τὴν φύσιν τοῦ αἵμα-
τος. εἰ οὖν ἐκ τοῦ ἥπατος τὸ αἷμα, ἐν δὲ τοῖς
κενοταφίοις τὸ ἧπαρ, οὐδὲ τὸ αἷμα λείπει
τῷ γενομένῳ τῇ φύσει τῶν ἀνθρώπων ἀπο-
τροπιασμῷ τοῦ θανάτου. τὸ δὲ γένος τοῦ ζώου
τούτου, οὗ τὸ ἧπαρ ἐλήφθη, ταῖς ἱλεωτικαῖς
ὑπὲρ τῶν ἁμαρτιῶν θυσίαις ἀποτεταγμέ-
νον ἐστίν. οὐ μόνον δὲ τοῦτο, ἀλλὰ καὶ ἐκ τοῦ
αὐτοῦ γένους καὶ εἰς τὸ Πάσχα παραλαμ-
βάνεται· καὶ ἀποπεμπτικὸν τῆς τοῦ λαοῦ
ἁμαρτίας τὸ ζῷον τοῦτο φησὶ δεῖν ὁ Μωϋ-
σῆς ποιεῖσθαι, ὅτε εἰς διπλῆν ἐνέργειαν με-
ρίζεται. καὶ δύω προτεθέντων χιμάρων
ἐκ διακληρώσεως, τὸ μὲν ἀνατίθεται τῷ
Θεῷ, τὸ δὲ τῇ ἁμαρτίᾳ ἐκπέμπεται ἐπὶ
τὴν ἔρημον. διὰ πάντα οὖν ταῦτα καὶ τὰ
τοιαῦτα τούτου τοῦ ζώου τὸ ἧπαρ εἰς τὴν τοῦ
αἵματος ἔνδειξιν παρελήφθη, δι' οὗ τῶν ἐπι-
θανατίως νενοσηκότων ὁ ἀποτροπιασμὸς
τοῦ θανάτου ἐγένετο, διὰ τῆς ἐκ νεκρῶν
ἀναστάσεως τοῦ Κυρίου ἡμῶν, ἣν σημαίνει
τὸ κενοτάφιον.

ιζ. Καὶ εἶπε Σαοὺλ τῇ Μελχὸλ,
ἵνα τί οὕτω παρελογίσω με, καὶ ἐξα-
πέστειλας τὸν ἐχθρόν μου, καὶ ἐσώθη;
καὶ εἶπε Μελχὸλ τῷ Σαοὺλ, αὐτὸς

A εἶπεν, ἐξαπόστειλόν με, εἰ δὲ μὴ θανα-
ιη. τώσω σε. Καὶ Δαβὶδ ἔφυγε καὶ διε-
σώθη, καὶ παραγίνεται πρὸς Σαμουὴλ
εἰς Ἀρμαθαὶμ, καὶ ἀπήγγειλεν (1) αὐ-
τῷ πάντα ὅσα ἐποίησεν αὐτῷ Σαούλ.
καὶ ἐπορεύθησαν Δαβὶδ καὶ Σαμουὴλ,
καὶ ἐκάθισαν ἐν Ναυὰθ ἐν Ῥαμά.
ιθ. Καὶ ἀπηγγέλη τῷ Σαοὺλ, λέγοντες,
ἰδοὺ Δαβὶδ ἐν Ναυὰθ ἐν Ῥαμά.
B
κ. Καὶ ἀπέστειλε Σαοὺλ ἀγγέλους
λαβεῖν τὸν Δαβὶδ, καὶ ἐλθόντες, εἶδον
τὴν ἐκκλησίαν τῶν Προφητῶν, καὶ
Σαμουὴλ εἱστήκει καθεστηκὼς ἐπ' αὐ-
τούς. (2) καὶ ἐγενήθη ἐπὶ τοὺς ἀγγέ-
λους τοῦ Σαοὺλ πνεῦμα Θεοῦ, καὶ προ-
κα. φητεύουσι. Καὶ ἀπηγγέλη τῷ Σαοὺλ,
καὶ ἀπέστειλεν ἀγγέλους ἑτέρους, καὶ
Γ προεφήτευσαν [καὶ] αὐτοί. [καὶ προ-
σέθετο Σαοὺλ ἀποστεῖλαι ἀγγέλους
τρίτους, καὶ ἐπροφήτευσαν καὶ αὐτοί.]
κβ. Καὶ ἐθυμώθη ὀργῇ Σαοὺλ, καὶ ἐπο-
ρεύθη καὶ αὐτὸς εἰς Ἀρμαθαὶμ, καὶ
ἔρχεται ἕως τοῦ φρέατος τοῦ ἅλω τοῦ
ἐν τῷ ὄρει Σεφὶν, (3) καὶ ἠρώτησε,
καὶ εἶπε, ποῦ Σαμουὴλ καὶ Δαβίδ;
Δ καὶ εἶπαν, ἰδοὺ ἐν Ναυὰθ ἐν Ῥαμά.
κγ. Καὶ ἐπορεύθη ἐκεῖθεν εἰς Ναυὰθ εἰς
Ῥαμά· καὶ ἐγενήθη καὶ ἐπ' αὐτῷ πνεῦ-
μα Θεοῦ, καὶ ἐπορεύετο πορευόμενος
καὶ προφητεύων ἕως τοῦ ἐλθεῖν αὐτὸν
κδ. ἐν Ναυὰθ ἐν Ῥαμά. Καὶ ἐξεδύσατο
τὰ ἱμάτια αὐτοῦ, καὶ προεφήτευσε
καί γε αὐτὸς ἐνώπιον αὐτῶν· καὶ ἔπεσε
γυμνὸς ὅλην τὴν ἡμέραν ἐκείνην καὶ
Ε ὅλην τὴν νύκτα. διὰ τοῦτο ἔλεγον, εἰ
καὶ Σαοὺλ ἐν Προφήταις;

** ΙΩΣΗΠΟΥ. Ὡς ἀπηγγέλθη Σαού-
λῳ παρὰ τῷ Προφήτῃ τυγχάνων ὁ Δαυΐ-
δης, πέμψας ὁπλίτας ἐπ' αὐτὸν, ἄγειν
προσέταξε συλλαμβάνοντας. οἱ δ' ἐλθόν-
τες πρὸς τὸν Σαμούηλον, καὶ καταλαβόν-
τες Προφητῶν ἐκκλησίαν, τοῦ θείου μετα-
λαμβάνουσι πνεύματος, καὶ προφητεύειν
ἤρξαντο. Σάουλος δ' ἀκούσας, ἄλλους ἔπεμ-
Ζ ψεν ἐπὶ τὸν Δαυΐδην. κἀκείνων ταὐτὸ τοῖς
πρώτοις παθόντων, πάλιν ἀπέστειλεν ἑτέ-
ρους. προφητευόντων δὲ καὶ τῶν τρίτων, τε-
λευταῖον ὀργισθεὶς αὐτὸς ἐξώρμησεν. ἐπεὶ
δ' ἐγγὺς ἦν ἤδη, Σαμούηλος πρὶν ἰδεῖν αὐ-
τὸν, προφητεύειν ἐποίησεν. ἐλθὼν δὲ πρὸς
αὐτὸν Σάουλος, ὑπὸ πολλοῦ πνεύματος ἐλαυ-
νόμενος, ἔκφρων γίνεται. καὶ τὴν ἐσθῆτα
περιδύσας αὐτὸν, καταπεσὼν ἔκειτο δι'
ὅλης ἡμέρας τε καὶ νυκτὸς, Σαμουήλου τε
Η καὶ Δαυΐδου βλεπόντων.

** ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε οἱ παρ'
αὐτοῦ πεμφθέντες πρὸς τὸν Δαβὶδ καὶ τὸν
Σαμουὴλ,

(1) Ἀπαγγέλλει. αἱ εἰρημ. ἐκδόσ. (2) Ἐπ' αὐτῶν. αἱ αὐτ. (3) Σεφί. αἱ αὐτ.

Σαμουὴλ, προεφήτευσαν· ὕστερον δὲ καὶ αὐτός; Διάφορα τοῦ Δεσπότου τὰ θήρατρα. τοὺς μὲν γὰρ δι᾽ ἀνθρώπων ἀγρεύει, τοὺς δὲ ἀορασίᾳ θηρεύει. τοῦτο γὰρ ἐπὶ τοῦ Ἐλισσαίου γεγένηται. τούτους δὲ διὰ προφητικῆς ἐζώγρησε χάριτος· καὶ τὸν Δαβὶδ ἀποκτεῖναι κεκώλυκεν. ἀλλ᾽ οὐδὲ τοῦτο τὴν φονικὴν αὐτοῦ κατεπράϋνε γνώμην. ἀπέστειλε γὰρ καὶ δὶς ἐπ᾽ αὐτόν· καὶ πάλιν μεμαθηκὼς τὰ θεῖα δεσμὰ, προσέθετό φησιν ἀποστεῖλαι καὶ ἄλλους· καὶ τούτων δὲ ὡσαύτως ἐπισχεθέντων ὑπὸ τῆς χάριτος, ὕστερον αὐτὸς ἀπελήλυθε, καὶ τετύχηκε καὶ αὐτὸς τῶν τῆς φιλανθρωπίας δεσμῶν· ἀλλὰ προεφήτευσε μὲν, οὐχ ὁμοίως δὲ τοῖς ἄλλοις. ἀνάξιος γὰρ τῆς χάριτος ἦν. οὗ δὴ χάριν γυμνωθεὶς τῆς ἐσθῆτος, πανημέριον ἔκειτο. ἐδήλου δὲ τὸ σχῆμα τὴν τῆς βασιλείας ἀφαίρεσιν.

» * ΠΡΟΚΟΠΙΟΥ. Ἐγένετο ἐπὶ τοὺς ἀγ- A» γέλους Σαοὺλ πνεῦμα Θεοῦ, καὶ προεφήτευσαν. Πῶς οὗτοι προφητεύουσι; πῶς δὲ καὶ Σαοὺλ ὕστερον; Διάφορα τοίνυν τοῦ Δεσπότου τὰ θήρατρα. τοὺς μὲν γὰρ δι᾽ ἀνθρώπων ἀγρεύει, τοὺς δὲ ἀορασίᾳ θηρεύει. ὅπερ ἐπὶ Ἐλισσαίου γεγένηται. τούτους δὲ διὰ προφητικῆς χάριτος τὸν Δαβὶδ ἀποκτεῖναι κεκώλυκε. καὶ Σαοὺλ δὲ μετὰ πάντας ἐλθὼν, τῶν τῆς φιλανθρωπίας τυγχάνει δεσμῶν. προφητεύει μὲν γὰρ οὐχ ὁμοίως τοῖς ἄλ- B λοις. ἀνάξιος γὰρ ὢν τῆς χάριτος, γυμνωθεὶς τῆς ἐσθῆτος, πανημέριος ἔκειτο. ἐδήλου δὲ τὸ σχῆμα τὴν τῆς βασιλείας ἀφαίρεσιν. καὶ δίκας δὲ τίνει, τοῦ προφητικοῦ καταφρονήσας πνεύματος. τῇ γὰρ κατὰ Δαβὶδ ὀργῇ, τὸ θεῖον ὕβρισε πνεῦμα. ἐντεῦθεν δὲ δῆλον, ὡς ὁ κολλώμενος ἁγίοις, ἅγιος ἔσται, κἂν πρότερον ᾖ πονηρὸς, καὶ μάλιστα μὴ παλινδρομῶν ἐπὶ τὰ πρότερα.

ΚΕΦ. Κ.

α. Καὶ ἀπέδρα Δαβὶδ ἐκ Ναυὰθ ἐν Ῥαμὰ, καὶ ἔρχεται ἐνώπιον Ἰωνάθαν, καὶ εἶπε, τί πεποίηκα, καὶ τί τὸ ἀδίκημά μου, καὶ τί ἡμάρτηκα ἐνώπιον τοῦ πατρός σου, ὅτι ἐπιζητεῖ τὴν ψυχήν μου;

β. Καὶ εἶπεν αὐτῷ Ἰωνάθαν, μηδαμῶς σοι, οὐ μὴ ἀποθάνῃς. ἰδοὺ οὐ μὴ ποιήσῃ ὁ πατήρ μου ῥῆμα μέγα, ἢ μικρὸν, καὶ οὐκ ἀποκαλύψει τὸ ὠτίον μου· καὶ τί ὅτι κρύψει ὁ πατήρ μου ἀπ᾽ ἐμοῦ τὸ ῥῆμα τοῦτο;

» * ΠΡΟΚΟΠΙΟΥ. Ἀποκαλύψει τὸ ὠτίον μου. Σύμμαχος, ἐὰν μὴ δηλώσῃ εἰς ἀκοήν μου.

γ. Καὶ ἀπεκρίθη Δαβὶδ τῷ Ἰωνάθαν, καὶ εἶπε, γινώσκων οἶδεν ὁ πατήρ σου, ὅτι εὕρηκα χάριν ἐν ὀφθαλμοῖς σου, καὶ εἶπε, μὴ γνώτω τοῦτο Ἰωνάθαν, μὴ οὐ βούλεται. ἀλλὰ ζῇ Κύριος καὶ ζῇ ἡ ψυχή σου, ὅτι καθὼς εἶπον, ἐμπέπλησται ἀναμέσον ἐμοῦ, καὶ ἀναμέσον τοῦ πατρός σου ἕως θανάτου.

» * ΠΡΟΚΟΠΙΟΥ. Τὸ, ἐμπέπλησται μεταξὺ ἐμοῦ, καὶ ἑξῆς, Ἀκύλας καὶ Σύμμαχος, (1) ὅσον βῆμα ἀναμεταξὺ ἐμοῦ καὶ τοῦ θανάτου.

δ. Καὶ εἶπεν Ἰωνάθαν πρὸς Δαβὶδ, τί ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ τί
ε. ποιήσω σοι; Καὶ εἶπε Δαβὶδ πρὸς Ἰωνάθαν, ἰδοὺ δὴ νεομηνία αὔριον, καὶ ἐγὼ καθίσας οὐ καθήσομαι μετὰ τοῦ βασιλέως φαγεῖν, καὶ ἐξαποστελεῖς με, (2) καὶ κρυβήσομαι ἐν τῷ πεδίῳ ἕως δείλης.

** ΙΩΣΗΠΟΥ. Ἰωνάθης ἐπηρώτα τίνος ἐξ αὐτοῦ βούλεται τυχεῖν. ὁ δὲ, οἶδα » γὰρ, ἔφη, πάντα σε χαρίζεσθαί μοι καὶ » παρέχειν ἐθέλοντα. νουμηνία μὲν εἰς τὴν Δ» ἐπιοῦσάν ἐστιν· ἔθος δ᾽ ἔχω δειπνεῖν σὺν τῷ » βασιλεῖ καθήμενος. εἰ δή σοι δοκεῖ πορευθεὶς ἔξω τῆς πόλεως ἐν τῷ πεδίῳ λανθάνων διαμενῶ. σὺ δ᾽ ἐπιζητήσαντος αὐτοῦ, λέγε πορευθῆναί με εἰς τὴν πατρίδα Βηθλεέμην, ἑορτὴν μου τῆς φυλῆς ἀγούσης, προστιθεὶς, ὅτι σύ μοι συγκεχώρηκας. κἂν μὲν, οἷον εἰκὸς καὶ σύνηθές ἐστι λέγειν ἐπὶ φίλοις ἀποδημοῦσιν, ἐπ᾽ ἀγαθῷ βεβάδικεν εἴπῃ· ἴσθι μηδὲν ὕπουλον παρ᾽ αὐτοῦ εἶναι, E» μηδ᾽ ἐχθρόν· ἂν δ᾽ ὡς ἄλλως ἀποκρίνηται, τοῦτ᾽ ἔσται τεκμήριον τῶν κατ᾽ ἐμοῦ βεβουλευμένων. μηνύσεις δέ μοι τὴν διάνοιαν τὴν τοῦ πατρὸς, οἴκτῳ τε νέμων τοῦτο καὶ φιλίᾳ, δι᾽ ἣν πίστεις τε παρ᾽ ἐμοῦ λαβεῖν ἠξίωκας, αὐτός τε ἐμοὶ δοῦναι, δεσπότης ὢν, οἰκέτῃ σῷ. εἰ δ᾽ εὑρίσκεις τι ἐν ἐμοὶ πονηρὸν, αὐτὸς ἄνελε, καὶ φθάσον τὸν πατέρα.

ς. (3) Ἐὰν ἐπισκεπτόμενος ἐπισκέψηταί με ὁ πατήρ σου, καὶ ἐρεῖς, Z παραιτούμενος παρῃτήσατο ἀπ᾽ ἐμοῦ Δαβὶδ δραμεῖν ἕως Βηθλεὲμ τὴν πόλιν αὐτοῦ (4) ἐπὶ θυσίᾳ τῶν ἡμερῶν ἐκεῖ ὅλῃ τῇ φυλῇ.

» ΑΔΗΛΟΥ. Ὁ παραιτούμενος, ἀντὶ τοῦ, αἰτούμενος.

ζ. Ἐὰν δὲ τάδε εἴπῃ, ἀγαθῶς, εἰρήνη τῷ δούλῳ σου· καὶ ἐὰν σκληρῶς H ἀποκριθῇ σοι, γνῶθι ὅτι συντετέλεσται ἡ κακία παρ᾽ αὐτοῦ.

ΑΔΗΛΟΥ.

(1) Τὸ, Σύμμαχος ἐν τῷ τῆς Αὐγ. κώδ. οὐ κεῖται.
(2) Ἐξαποστελεῖς με. αἱ εἰρημ. ἐκδόσ.
(3) Καὶ ἐάν. αἱ αὐτ.
(4) Αὐτοῦ, ὅτι θυσία. αἱ αὐτ.

» ΑΔΗΛΟΥ. Τὸ, σιωτετέλεσαι, ἀντὶ τοῦ, ἀπήρτισαι.

η. Καὶ ποιήσεις ἔλεος μετὰ τοῦ δού-
λου σου, ὅτι εἰσήγαγες εἰς διαθήκην
Κυρίου τὸν δοῦλόν σου μετὰ σεαυτοῦ. καὶ
εἰ ἔστιν ἀδικία ἐν τῷ δούλῳ σου, θανά-
τωσόν με σὺ, καὶ ἕως τοῦ πατρός σου
ἵνα τί οὕτως εἰσάγεις με;

» ΑΔΗΛΟΥ. Ὅτι εἰς διαθήκην Κυρίου. Τὴν εἰλικρινῆ ἀγάπην, Κυρίου διαθήκην ἐκάλεσε.

θ. Καὶ εἶπεν Ἰωνάθαν πρὸς Δα-
βὶδ, ἵλεώς σοι, μηδαμῶς σοι· ὅτι ἐὰν
γινώσκων γνῶ ὅτι συντετέλεσται ἡ κα-
κία παρὰ τοῦ πατρός μου τοῦ ἐλθεῖν
ἐπὶ σὲ, καὶ ἐὰν μὴ εἰς τὰς πόλεις σου,
ι. ἐγὼ ἀπαγγείλω σοι. (1) Καὶ εἶπε
Δαβὶδ πρὸς Ἰωνάθαν, τίς ἀπαγ-
γελεῖ μοι ἐὰν ἀποκριθῇ ὁ πατήρ σου
ια. σκληρῶς; Καὶ εἶπεν Ἰωνάθαν πρὸς
Δαβὶδ, πορεύου, καὶ μένε εἰς ἀγρόν.
καὶ ἐκπορεύονται ἀμφότεροι εἰς ἀγρόν.
ιβ. Καὶ εἶπεν Ἰωνάθαν πρὸς Δαβὶδ, Κύ-
ριος ὁ Θεὸς Ἰσραὴλ εἶδεν, (2) ὅτι ἀνα-
κρινῶ τὸν πατέρα μου καὶ αὔριον καὶ
εἰς τὴν τρίτην ὡς ἂν ὁ καιρὸς, τρισ-
σῶς, καὶ ἰδοὺ ἀγαθὸν ᾖ περὶ Δαβὶδ,
καὶ οὐ μὴ ἀποστείλω πρὸς σὲ εἰς ἀγρὸν,
ιγ. Τάδε ποιήσαι ὁ Θεὸς τῷ Ἰωνάθαν
καὶ τάδε προσθείη, ὅτι ἀνοίσω τὰ
κακὰ πρὸς (3) σὲ, καὶ ἀποκαλύψω
τὸ ὠτίον σου, καὶ ἀποστελῶ σε, καὶ ἀπε-
λεύσῃ εἰς εἰρήνην, καὶ ἔσται Κύριος με-
τὰ σοῦ καθὼς ἦν μετὰ τοῦ πατρός μου.
ιδ. Καὶ ἐὰν μὲν ἔτι μου ζῶντος, καὶ ποιή-
σεις ἔλεος μετ' ἐμοῦ· καὶ ἐὰν θανά-
ιε. τῳ ἀποθάνω, Οὐκ ἐξαρεῖς ἔλεός σου
ἀπὸ τοῦ οἴκου μου ἕως τοῦ αἰῶνος. καὶ
εἰ μὴ ἐν τῷ ἐξαιρεῖν (4) Κύριον τοὺς
ἐχθροὺς Δαβὶδ ἕκαστον ἀπὸ προσώπου
τῆς γῆς, ἐξαρθῆναι τὸ ὄνομα Ἰωνά-
θαν ἀπὸ τοῦ οἴκου Δαβὶδ, καὶ ἐκζη-
τήσαι (5) Κύριος ἐχθροὺς Δαβίδ.

ιϛ. (6) Καὶ προσέθετο ἔτι Ἰωνάθαν ὀμῶσαι τῷ Δαβὶδ, ὅτι ἠγάπησε ψυχὴν ἀγαπῶντος αὐτόν.

» ✻ ΠΡΟΚΟΠΙΟΥ. Ἠγάπησε ψυχὴν
» ἀγαπῶντος αὐτόν. Ἀκύλας, κατὰ τὴν
» ψυχὴν αὐτοῦ.

» ✻ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἠγάπη-
» σεν αὐτὸν ψυχὴν ἀγαπῶντος αὐτόν; [Ὁ]

A » Ἀκύλας ἔφη, κατὰ τὴν ψυχὴν αὐτοῦ. τοῦ-
» το δὲ καὶ ὁ θεῖος νόμος παρεγγυᾷ· ἀγαπή- Ματθ. 19. 19.
» σεις γὰρ (7) τὸν πλησίον σου ὡς σεαυτόν.

ιη. Καὶ εἶπεν Ἰωνάθαν, αὔριον νεο-
μηνία, καὶ ἐπισκεπήσῃ, ὅτι ἐπισκε-
πήσεται ἡ καθέδρα σου.

» ✻ ΠΡΟΚΟΠΙΟΥ. Τὸ, ἐπισκεπήσεται ἡ
» καθέδρα σου, Σύμμαχος, ζητηθήσεται.

ιθ. Καὶ τρισσεύσεις καὶ ἐπισκεπή-
B σῃ καὶ ἥξεις εἰς τὸν τόπον οὗ ἐκρύβης
ἐκεῖ ἐν τῇ ἡμέρᾳ τῇ ἐργασίμῃ, καὶ
καθήσῃ παρὰ τὸ ἐργὰβ ἐκεῖνο.

» ✻✻ ΠΡΟΚΟΠΙΟΥ. Τρισσεύσεις· Ἀκύ-
» λας, τρεῖς ἡμέρας ἀναμενεῖς. Καὶ μεθ' ἕτερα.
» Τῇ ἡμέρᾳ τῆς ἐργασίας· Ἀκύλας, τοῦ ἔρ-
γου. ἔργον δὲ καλεῖ τὴν πρώτην φυγήν. τὸ
δὲ ἐργὰβ, οἱ Λοιποὶ, λίθον ἐξέδωκαν.

» ✻ ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ, τρισσεύσεις,
Γ ἀντὶ τοῦ, τρεῖς ἡμέρας ἀναμενεῖς. τῇ γὰρ
νουμηνίᾳ τοπάσας ὁ Σαοὺλ [ὡς μὴ κεκα-
θαρμένον μηδὲ] ἡγνισμένον τὸν Δαβὶδ πα-
ραιτήσασθαι τὸ συμπόσιον, [ἐσίγησεν. οὐκ
» ἐλάλησε γάρ φησι Σαοὺλ οὐδὲν ἐν τῇ ἡμέρᾳ
» ἐκείνῃ, ὅτι εἶπε, σύμπτωμά τι φαίνεται,
» μὴ καθαρὸς εἶναι, διότι οὐ κεκάθαρται.]
» τῇ δὲ δευτέρᾳ ἤρετο, τί ὅτι οὐ παρεγένετο
» ὁ υἱὸς Ἰεσσαὶ καὶ χθὲς καὶ σήμερον ἐπὶ τὴν
τράπεζαν; τῇ δὲ τρίτῃ [πρὸ τοῦ ἄστεος] ὁ
Δ Ἰωνάθαν τὰ εἰρημένα μεμήνυκε.

κ. Καὶ ἐγὼ τρισσεύσω ταῖς σχίζαις,
ἀκοντίζων (8) εἰς τὴν Ἀματταρί.

✻ ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ, τρισσεύσω,
ἀντὶ τοῦ, τρεῖς ἀφήσω σχίζας. τὰς δὲ σχί-
ζας, βέλη ὁ Ἀκύλας ἡρμήνευσε. τὴν δὲ
ἀματάραν ἐν τῇ τῶν ἑβραϊκῶν ὀνομάτων
ἑρμηνείᾳ οὕτως εὗρον κειμένην· παρὰ μὲν
Ἕλλησι τάφρον, παρὰ δὲ Ῥωμαίοις φοσ-
E σάτον, παρὰ δὲ Σύροις σκοπὸν, εἰς ὃν οἱ
γυμναζόμενοι τὰ βέλη πέμπουσι. (9) τὸ δὲ
ἀργὸβ, ἐχόμενα τοῦ νοτίου ὁ Ἀκύλας ἡρμή-
νευσεν. ἐγὼ δὲ οἶμαι κοῖλόν τινα οὕτω κε-
» κλῆσθαι τόπον. ἔφη γὰρ ἡ ἱστορία· καὶ Δα-
» βὶδ ἀνέστη ἀπὸ τοῦ ἀργὰβ, καὶ ἔπεσεν ἐπὶ
» πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν.

» ✻ ΠΡΟΚΟΠΙΟΥ. Ἐγὼ τρισσεύσω, ἀντὶ
» τοῦ, ἀφήσω τρία βέλη. τὴν δὲ Ἀματτα-
» ρὶ, (10) Ἀκύλας, εἰς τὸν σκοπὸν, ἢ φυλα-
Z κήν· διττὴ γὰρ ἡ γραφή· Σύμμαχος, εἰς
τὸν τεταγμένον (11) σκοπόν. ἐν δὲ τῇ τῶν
Ἑβραϊκῶν ἑρμηνείᾳ οὕτω κεῖται· παρὰ μὲν
Ἕλλησι, τάφρον· παρὰ δὲ Ῥωμαίοις, φοσ-
σάτον· παρὰ δὲ Σύροις, σκοπὸν, εἰς ὃν γυμ-
ναζόμενοι τὰ βέλη πέμπειν εἰώθεσαν· (12)
τινὲς δὲ κοῖλον τόπον, ὅθεν Δαβὶδ καθε-
ζόμενος ἀνέστη.

ΑΔΗΛΟΥ.

(1) Ἀπαγγελῶ σοι. αἱ αὐτ. (2) Οἶδεν. αἱ αὐτ. (3) Ἐπί. αἱ αὐτ. (4) Ἐξαίρειν. αἱ αὐτ. (5) Ἐκζητῆσαι. αἱ αὐτ. (6) Ἐν τῇ κατὰ τὸ Φραγγοφέρ. ἐκδόσ. ιϛ'. ἐστι. τὸ δὲ ἑξ. ἐδ. τοῦ δὲ τοῦ κεφ. εἰς δύω διῄρηται. (7) Τὸ, γὰρ, περιττόν. οὐ κεῖται δὲ ἐν τῇ κατὰ τὴν Χάλ. ἐκδόσ. (8) Ἀκοντίζων, ἐκπέμπων εἰς. αἱ εἰρημ. ἐκδόσ. (9) Πέμπειν εἰώθασιν. ἡ ἐν Χάλ. ἐκδ. (10) Εἰς τὴν λαμματάραν. ὁ τῆς Αὐγ. κώδ. (11) Σιωτεταγμένον. ὁ αὐτ. (12) Τὰ ἑπόμ. οὐ περιέχει ὁ τῆς Αὐγ. κώδ.

✱✱ ΑΔΗΛΟΥ. Τὸ καλȣ́μενον παρ᾽ Ἕλλησι τάφρος, καὶ παρὰ Ῥωμαίοις φοσσάτον, τȣ̃το παρ᾽ Ἑβραίοις ἀματλαρί.

✱✱ ΙΩΣΗΠΟΥ. Ἀπολύει τὸν Δαυΐδην, εἴς τινα τόπον τȣ̃ πεδίȣ ἀπελθεῖν φράσας· ἐν ᾧ γυμναζόμενος διετέλει. γνȣ̀ς γὰρ τὰ παρὰ τȣ̃ πατρὸς, ἥξειν πρὸς αὐτὸν ἔφησεν ἐκεῖ, μόνον ἐπαγόμενος παῖδα. κἂν » τρία ἀκόντια βαλὼν ἐπὶ τὸν σκοπὸν, κομίσαι τῷ παιδὶ προστάσσω τὰ ἀκόντια, κεῖσθαι γὰρ ἔμπροσθεν αὐτȣ̃, γίνωσκε μηδὲν εἶναι φαῦλον παρὰ τȣ̃ πατρός· ἂν δὲ τἀναντία τȣ́των ἀκȣ́σῃς μȣ λέγοντος, καὶ τὰ ἐναντία παρὰ τȣ̃ βασιλέως προσδόκα.

κα. Καὶ ἰδȣ̀ ἀποστελῶ τὸ παιδά-
ριον, λέγων, δεῦρο, εὗρέ μοι τὴν σχί-
κβ. ζαν. Ἐὰν εἴπω λέγων τῷ παιδαρίῳ,
ὧδε ἡ σχίζα ἀπὸ σȣ̃ καὶ ὧδε, λάβε
αὐτήν· παραγίνȣ, ὅτι εἰρήνη σοὶ, καὶ
ȣ̓κ ἔστιν ȣ̓δὲν, ζῇ Κύριος. ἐὰν δὲ ȣ̃τως
εἴπω τῷ νεανίσκῳ, ἐκεῖ ἡ σχίζα ἀπὸ
σȣ̃ καὶ ἐπέκεινα· πορεύȣ, ὅτι ἐξα-
κγ. πέσταλκέ σε Κύριος. Καὶ τὸ ῥῆμα
ὃ ἐλαλήσαμεν ἐγὼ καὶ σὺ, ἰδȣ̀ Κύ-
ριος μάρτυς ἀναμέσον ἐμȣ̃ κ̀ σȣ̃ ἕως
τȣ̃ αἰῶνος.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε μηνῦσαι βȣληθεὶς Ἰωνάθαν τῷ Δαβὶδ τὰς τȣ̃ πατρὸς ἐπιβȣλὰς, διὰ τῶν βελῶν, ἤγȣν τῶν ἀκοντίων, ἐμήνυσε; Τινές φασι διὰ τὸν συνόντα οἰκέτην, ἵνα μὴ τὰ μηνυόμενα γνῷ. ἀλλ᾽ εὔπετὲς μὲν ἦν αὐτῷ καὶ μόνῳ παραγενέσθαι. ȣ̓κȣ̃ν ἕτερον ἔχει τὸ γεγενημένον σκοπόν. ἵνα γὰρ μὴ δῆλος γένηται τȣ̃ πατρὸς τὴν μιαιφονίαν καταμηνύων τῷ φίλῳ, τὴν τῆς τοξείας ὑποκρίνεται γυμνασίαν. καὶ τοῖς μὲν πρὸς τὸν οἰκέτην λόγοις αἰνιγματωδῶς, (1) τῷ δὲ Δαβὶδ παρεδίδȣ τὴν φυγήν. τὸν ὁπλοφόρον μέντοι μετὰ τῶν ὅπλων εἰς τὴν πόλιν προπέμψας, καὶ τὰ εἰρημένα δεδήλωκε, καὶ φυγεῖν συνεβȣ́λευσε, καὶ τὸ τῆς βασιλείας αὐτῷ διηγόρευσε (2) κράτος, καὶ τὰς τῆς βασιλείας (3) συνθήκας ὅρκοις ἐκράτυνε.

κδ. Καὶ κρύπτεται Δαβὶδ ἐν ἀγ-
ρῷ, καὶ παραγίνεται ὁ μὴν, καὶ ἔρχε-
ται ὁ βασιλεὺς ἐπὶ τὴν τράπεζαν τȣ̃
κε. φαγεῖν. Καὶ ἐκάθισεν ὁ βασιλεὺς
ἐπὶ τὴν καθέδραν αὐτȣ̃ ὡς ἅπαξ καὶ
ἅπαξ ἐπὶ τῆς καθέδρας ἐπὶ τὸν τοῖ-
χον, (4) καὶ προέφθασε τὸν Ἰωνά-
θαν, καὶ ἐκάθισεν Ἀβεννὴρ ἐκ πλα-
γίȣ (5) Σαȣ̀λ, καὶ ἐπεσκέπη ὁ τό-
πος Δαβίδ.

✱✱ ΙΩΣΗΠΟΥ. Τῇ ἐρχομένῃ, νεομηνία δ᾽ ἦν, ἁγνεύσας ὡς ἔθος εἶχεν ὁ βασιλεὺς, ἧκεν ἐπὶ τὸ δεῖπνον. καὶ παρακαθεσθέντων αὐτῷ, τȣ̃ μὲν παιδὸς Ἰωνάθȣ ἐκ δεξιῶν, Ἀβεννήρȣ δὲ τȣ̃ ἀρχιστρατήγȣ ἐκ τῶν ἑτέρων· ἰδὼν τὴν τȣ̃ Δαυΐδȣ καθέδραν κενὴν, ἡσύχασεν, ὑπονοήσας ȣ̓ καθαρεύσαντα αὐτὸν ἀπὸ συνȣσίας ὑστερεῖν.

✱ ΠΡΟΚΟΠΙΟΥ. Ὡς ἅπαξ καὶ ἅπαξ, ἀντὶ τȣ̃, ὥσπερ εἰώθει.

κϛ. Καὶ ȣ̓κ ἐλάλησε Σαȣ̀λ ȣ̓δὲν
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι εἶπε, σύμπτω-
μα φαίνεται, μὴ καθαρὸς εἶναι, ὅτι
ȣ̓ κεκαθάρισται.

ΑΔΗΛΟΥ. Σύμπτωμα, συνάντησις. Σύμμαχος, συγκύρημα.

✱ ΠΡΟΚΟΠΙΟΥ. Σύμπτωμά τι φαίνεται. Ὤετο μὴ κεκαθαρμένον, μηδὲ ἡγνισμένον τὸν Δαβὶδ παραιτήσασθαι τὸ συμπόσιον. διόπερ ἐσίγησε.

κζ. Καὶ ἐγενήθη τῇ ἐπαύριον τȣ̃
μηνὸς τῇ ἡμέρᾳ τῇ δευτέρᾳ, καὶ ἐπε-
σκέπη ὁ τόπος (6) Δαβίδ. καὶ εἶπε
Σαȣ̀λ πρὸς Ἰωνάθαν τὸν υἱὸν αὐτȣ̃,
τί ὅτι ȣ̓ παραγέγονεν ὁ υἱὸς Ἰεσσαὶ καὶ
ἐχθὲς, κ̀ σήμερον ἐπὶ τὴν τράπεζαν;

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Οἱ μισȣ̃ντες καὶ ἀπεχθῶς πρός τινας ἔχοντες, ȣ̓δὲ τὰ ὀνόματα ἀναμνησθῆναι τῶν λελυπηκότων ἀνέχονται. ὁ γȣ̃ν Σαȣ̀λ ἀδικηθεὶς μὲν ȣ̓δὲν, πολλὰ δὲ καὶ μεγάλα τὸν Δαβὶδ ἀδικήσας, ἐπειδὴ αὐτὸν ἀπεστρέφετο καὶ ἐμίσει, ȣ̓δὲ τῆς προσηγορίας αὐτȣ̃ ἀναμνησθῆναι ἠνείχετο, ἀλλὰ συγκαθημένων ἁπάντων, ἐπειδὴ παραγενόμενον ȣ̓κ εἶδε, τί φησιν; ȣ̓κ » εἶπε, πȣ̃ ἐστὶ Δαβίδ; ἀλλὰ πȣ̃ ἐστὶν ὁ υἱὸς Ἰεσσαί; ἀπὸ τȣ̃ πατρὸς αὐτὸν καλέσας. καὶ πάλιν οἱ Ἰȣδαῖοι ἐπὶ τȣ̃ Χριστȣ̃ τὸ αὐτὸ ποιȣ̃σιν. ἐπειδὴ γὰρ αὐτὸν ἀπεστρέφοντο καὶ ἐμίσȣν, ȣ̓κ εἶπον, πȣ̃ ἐστὶν ὁ Χριστός; » ἀλλὰ πȣ̃ ἐστὶν ἐκεῖνος; Ἰωάν. 7. 11.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Τὸν ἅγιον τȣ̃τον διὰ τὴν πολλὴν ἀπέχθειαν ȣ̓χ ὑπέμεινε διὰ τȣ̃ οἰκείȣ καλεῖν ὀνόματος, ἀλλὰ πανηγύρεως » ποτὲ τελȣμένης, ἐπιζητῶν ἔλεγε· πȣ̃ ἐστὶν » ὁ υἱὸς Ἰεσσαί; ȣ̃τω δὲ αὐτὸν ἐκάλεσεν, ὁμȣ̃ μὲν αὐτȣ̃ τὸ ὄνομα μισῶν, ὁμȣ̃ δὲ τῇ τȣ̃ γεγεννηκότος εὐτελείᾳ προσδοκῶν λυμανεῖσθαι τὴν τȣ̃ δικαίȣ δόξαν· ȣ̓κ εἰδὼς, ὅτι λαμπρὸν καὶ ἐπίσημον ȣ̓ περιφάνεια προγόνων, ἀλλὰ ψυχῆς ἀρετὴ ποιεῖν εἴωθε.

κη. Καὶ ἀπεκρίθη Ἰωνάθαν τῷ
Σαȣ̀λ, καὶ εἶπεν αὐτῷ, παρῄτηται
Δαβὶδ παρ᾽ ἐμȣ̃ ἕως εἰς Βηθλεὲμ τὴν
κθ. πόλιν αὐτȣ̃ πορευθῆναι, Καὶ εἶπεν,
ἐξαπόστειλον δή με, ὅτι θυσία τῆς φυ-
λῆς ἡμῶν ἐν τῇ πόλει, καὶ ἐνετείλαν-
το πρός με οἱ ἀδελφοί μȣ. καὶ νῦν εἰ
εὕρηκα

(1) Τῷ Δαβὶδ παραδηλοῖ τὴν σφαγήν· τὸν ὁπλοφόρον δὲ μετὰ, κτ. ἡ ἐν Χάλ. ἔκδ.
(2) Προσηγόρευσε. ἡ αὐτ.
(3) Φιλίας. ἡ αὐτ.
(4) Παρὰ τοῖχον. αἱ εἰρημ. ἐκδόσ.
(5) Πλαγίων. αἱ αὐτ.
(6) Τȣ̃ Δαβίδ. αἱ αὐτ.

εὕρηκα χάριν ἐν ὀφθαλμοῖς σου, διασωθήσομαι δὴ καὶ ὄψομαι τοὺς ἀδελφούς μου. διὰ τοῦτο οὐ παραγέγονεν ἐπὶ τὴν τράπεζαν τοῦ βασιλέως.

λ. Καὶ ἐθυμώθη ὀργῇ Σαοὺλ ἐπὶ Ἰωνάθαν σφόδρα, καὶ εἶπεν αὐτῷ, υἱὲ κορασίων αὐτομολούντων, οὐ γὰρ οἶδα ὅτι μέτοχος εἶ σὺ τῷ υἱῷ Ἰεσσαὶ εἰς τὴν αἰσχύνην σου, καὶ εἰς αἰσχύνην ἀποκαλύψεως μητρός σου;

** ΙΩΣΗΠΟΥ. Οὐ κατέσχε τῆς ὀργῆς Σάουλος, ἀλλὰ βλασφημῶν, ἐξ αὐτομόλων γεγεννημένον, καὶ πολέμιον ἀπεκάλει, καὶ κοινωνὸν τοῦ Δαυίδου καὶ συνεργὸν ἔλεγε, καὶ μηδὲ αὐτὸν αἰδεῖσθαι, μήτε τὴν μητέρα αὐτοῦ, ταῦτα φρονοῦντα· καὶ μὴ βουλόμενον πεισθῆναι τοῦθ᾽, ὅτι μέχρις οὗ περίεστι Δαυίδης, ἐπισφαλῶς αὐτοῖς τὰ τῆς βασιλείας ἔχει.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὸν Δαβὶδ ὁ Ἰωνάθαν ἐφίλει, καὶ ἀκούων τοῦ πατρὸς λέγοντος, υἱὲ κορασίων αὐτομολούντων, γυναικοτραφὲς, οὐκ ᾐσχύνετο· καίτοιγε πολλῆς αἰσχρότητος τὰ ῥήματα γέμει. ὃ γὰρ λέγει, τοῦτό ἐστιν· υἱὲ πορνιδίων ἐπιμαινομένων ἀνδράσιν, ἐπιτρεχόντων τοῖς παριοῦσιν, ἐκνενευρισμένε, καὶ μαλακὲ, καὶ μηδὲν ἔχων ἀνδρὸς, ἀλλ᾽ ἐπ᾽ αἰσχύνῃ σου καὶ τῆς τεκούσης σε μητρὸς ζῶν. τί οὖν; ἤλγησεν ἐπὶ τούτοις, καὶ ἐνεκαλύψατο, καὶ ἀπέστη τοῦ φιλουμένου; τοὐναντίον μὲν οὖν ἅπαν, καὶ ἐκαλλωπίζετο τῷ φίλτρῳ· καίτοιγε ὁ μὲν βασιλεὺς ἦν τότε, καὶ βασιλέως υἱὸς ὁ Ἰωνάθαν, ὁ δὲ φυγὰς καὶ ἀλήτης ὁ Δαβίδ. ἀλλ᾽ οὐδὲ οὕτως ᾐσχύνετο αὐτοῦ τῇ φιλίᾳ. ἡ
1. Κορ. 13. 5. γὰρ ἀγάπη οὐκ ἀσχημονεῖ. καὶ γὰρ τὸ θαυμαστὸν αὐτῆς τοῦτό ἐστιν, ὅτι τὸν ὑβριζόμενον οὐ μόνον οὐκ ἀφίησιν ἀλγεῖν οὐδὲ δάκνεσθαι, ἀλλὰ καὶ χαίρειν παρασκευάζει. διὰ δὴ τοῦτο καὶ ἐκεῖνος μετὰ ταῦτα ἅπαντα, ὥσπερ δὴ στέφανον περικείμενος, οὕτως ἀπελθὼν περιεχύθη τῷ Δαβίδ. οὐ γὰρ οἶδε τί ποτέ ἐστιν αἰσχύνη ἡ ἀγάπη.

λα. Ὅτι πάσας τὰς ἡμέρας ἃς
ὁ υἱὸς Ἰεσσαὶ ζῇ ἐπὶ τῆς γῆς, οὐχ ἑτοι-
μασθήσεται ἡ βασιλεία σου. νῦν οὖν
ἀποστείλας λάβε τὸν νεανίαν, ὅτι υἱὸς
λβ. θανάτου ἐστὶν οὗτος. Καὶ ἀπεκρίθη
Ἰωνάθαν τῷ Σαοὺλ, καὶ εἶπε, ἵνα τί
λγ. ἀποθνήσκει; τί πεποίηκε; Καὶ ἐπῆ-
ρε Σαοὺλ τὸ δόρυ ἐπὶ Ἰωνάθαν τοῦ θα-
νατῶσαι αὐτόν. καὶ ἔγνω Ἰωνάθαν ὅτι
συντετέλεσται ἡ κακία (1) παρὰ τοῦ
πατρὸς αὐτοῦ θανατῶσαι τὸν Δαβίδ.

** ΙΩΣΗΠΟΥ. Μεταπέμψαι αὐτὸν ἔφησεν, ἵνα δῷ δίκην. ὑποτυχόντος δ᾽ Ἰω-
A νάθαν, τί δ᾽ ἀδικοῦντα κολάσαι θέλεις; οὐκ ἔτ᾽ εἰς λόγους καὶ βλασφημίας ὁ Σάουλος ἐξήνεγκεν· ἀλλ᾽ ἁρπάσας τὸ δόρυ ἀνεπήδησεν εἰς αὐτὸν, ἀποκτεῖναι θέλων. καὶ τὸ μὲν ἔργον οὐκ ἔδρασε διακωλυθεὶς ὑπὸ τῶν φίλων· φανερὸς δ᾽ ἐγένετο τῷ παιδὶ, μισῶν τὸν Δαυίδην, καὶ διαχρήσασθαι ποθῶν, ὡς παρὰ μικρὸν δι᾽ ἐκεῖνον αὐτόχειρ καὶ τοῦ παιδὸς γεγονέναι.

B λδ. Καὶ ἀνεπήδησεν Ἰωνάθαν ἀπὸ τῆς τραπέζης ἐν ὀργῇ θυμοῦ, καὶ οὐκ ἔφαγεν ἐν τῇ δευτέρᾳ τοῦ μηνὸς ἄρτον, ὅτι ἐθραύσθη ἐπὶ τὸν Δαβὶδ, ὅτι συνετέλεσεν ἐπ᾽ αὐτὸν ὁ πατὴρ αὐτοῦ.

» * ΠΡΟΚΟΠΙΟΥ. Ὅτι ἐθραύσθη ἐπὶ τὸν Δαβίδ· Ἀκύλας, διεπονήθη· Σύμμαχος, ὠδυνήθη· (2) Θεοδοτίων, ἐλυπήθη, ἀντὶ τοῦ, ἐπεκλάσθη, (3) καὶ ἠλέησεν αὐτὸν ἐπιβουλευόμενον ὑπὸ τοῦ πατρὸς αὐτοῦ.
Γ Συντελέσαι αὐτὸν, τουτέστι πάντως ἀνελεῖν.

** ΙΩΣΗΠΟΥ. Ὁ τοῦ βασιλέως παῖς ἐκπηδήσας ἀπὸ τοῦ δείπνου, καὶ μηδὲν ὑπὸ λύπης προσενέγκασθαι δυνηθεὶς, κλαίων αὐτὸν μὲν τοῦ παρὰ μικρὸν ἀπολέσθαι, τοῦ κατακεκρίσθαι δ᾽ ἀποθανεῖν Δαυίδην, ἐνυκτέρευσε.

λε. Καὶ ἐγενήθη πρωΐ, καὶ ἐξῆλθεν Ἰωνάθαν εἰς ἀγρὸν, καθὼς ἐτά-
Δ ξατο εἰς τὸ μαρτύριον τῷ Δαβὶδ, καὶ παιδάριον μικρὸν μετ᾽ αὐτοῦ.

» * ΠΡΟΚΟΠΙΟΥ. Τὸ δὲ, εἰς τὸ μαρτύριον Δαβὶδ, ἀντὶ, ὅπου ἐπηγγείλατο τὸν Δαβὶδ (4) ἐλθεῖν, παρήγαγεν αὐτόν· (5) Θεοδοτίων, ὑπερέβη. (6)

** ΙΩΣΗΠΟΥ. Ἅμα ἡμέρᾳ, πρὸ τῆς πόλεως εἰς τὸ πεδίον, ὡς γυμνασόμενος μὲν, δηλώσων δὲ τῷ φίλῳ τὴν τοῦ πατρὸς
E διάθεσιν, ὡς συνέθετο, πρόεισι.

λϛ. Καὶ εἶπε τῷ παιδαρίῳ, δράμε,
εὗρέ μοι τὰς σχίζας ἐν αἷς ἐγὼ ἀκον-
τίζω. καὶ τὸ παιδάριον ἔδραμε, καὶ
αὐτὸς ἠκόντισεν ἐν τῇ σχίζῃ, καὶ πα-
λζ. ρήγαγεν αὐτήν. Καὶ ἦλθε τὸ παι-
δάριον ἕως τοῦ τόπου τῆς σχίζης οὗ ἠκόν-
τιζεν Ἰωνάθαν. καὶ ἀνεβόησεν Ἰωνά-
Z θαν ὀπίσω τοῦ νεανίου, καὶ εἶπεν, ἐκεῖ
λη. ἡ σχίζα ἀπὸ σοῦ καὶ ἐπέκεινα. Καὶ
ἐβόησεν Ἰωνάθαν ὀπίσω τοῦ παιδαρίου
αὐτοῦ, λέγων, ταχύνας σπεῦσον, καὶ
μὴ στῇς. καὶ ἀνέλεξε τὸ παιδάριον Ἰω-
νάθαν, (7) καὶ ἤνεγκε τὰς σχίζας πρὸς
λθ. τὸν κύριον αὐτοῦ. Καὶ τὸ παιδάριον
οὐκ ἔγνω οὐδὲν, πάρεξ Ἰωνάθαν καὶ Δα-
μ. βὶδ ἔγνωσαν τὸ ῥῆμα. Καὶ ἔδωκεν
Ἰωνά-

(1) Ἡ κακία αὕτη. αἱ αὐτ. (2) Τὸ, Σύμμαχος ὠδυνήθη, οὐκ ἔχει ὁ τῆς Αὐγ. κώδ.
(3) Ἐπεκλάσθη, ἀντὶ τοῦ, ἐλυπήθη. ὁ αὐτ. (4) Τῷ Δαβίδ. ὁ αὐτ.
(5) Παρήγαγε τὴν σχίζαν. ὁ αὐτ. (6) Ὑπερέβη σχίζαν. Ἀκύλας, βέλη. ὁ αὐτ.
(7) Ἰωνάθαν τὰς σχίζας, καί. αἱ εἰρημ. ἐκδόσ.

Ἰωνάθαν τὰ σκεύη αὐτοῦ ἐπὶ τὸ παιδάριον αὐτοῦ, καὶ εἶπε τῷ παιδαρίῳ αὐτοῦ, πορεύου, εἴσελθε εἰς τὴν πόλιν.

μα. Καὶ ὡς ἀπῆλθε τὸ παιδάριον, καὶ Δαβὶδ ἀνέστη ἀπὸ τοῦ ἐργὰβ, καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ, καὶ προσεκύνησεν αὐτῷ τρὶς, καὶ κατεφίλησεν ἕκαστος τὸν πλησίον αὐτοῦ, καὶ ἔκλαυσεν ἕκαστος ἐν τῷ πλησίον αὐτοῦ, ἕως συντελείας μεγάλης.

» * ΠΡΟΚΟΠΙΟΥ. [Καὶ Δαβὶδ ἀνέστη » ἀπὸ ἐργάβ·] Ἀκύλας, ἐχόμενα τοῦ νοτίου. [ἴσως δὲ κοῖλος τόπος ὑπῆρχεν ἐκεῖ.] οἱ δὲ λοιποὶ, λίθον ἐξέδωκεν.

** ΙΩΣΗΠΟΥ. Ἐν ἐρημίᾳ τῷ Δαυΐδῃ παρῆλθεν εἰς ὄψιν αὐτῷ καὶ λόγους. ἀναφανεὶς δ' οὗτος πίπτει πρὸς τῶν Ἰωνάθου **A** ποδῶν, καὶ προσκυνῶν, σωτῆρα αὐτοῦ τῆς ψυχῆς ἀπεκάλει. ἀνίστησι δ' ἀπὸ τῆς γῆς αὐτόν· καὶ περιπλακέντες ἀλλήλοις, μακρά τε ἠσπάζοντο καὶ δεδακρυμένα, τήν τε ἡλικίαν ἀποθρηνοῦντες αὐτῶν καὶ τὴν ἐφθονημένην ἑταιρείαν, καὶ τὸν μέλλοντα διαχωρισμόν· ὃς οὐδὲν αὐτοῖς ἐδόκει θανάτου διαφέρειν.

μβ. Καὶ εἶπεν Ἰωνάθαν, πορεύου **B** εἰς εἰρήνην, καὶ ὡς ὠμομόκαμεν ἡμεῖς ἀμφότεροι ἐν ὀνόματι Κυρίου, λέγοντες, Κύριος ἔσται μάρτυς ἀναμέσον ἐμοῦ καὶ σοῦ, καὶ ἀναμέσον τοῦ σπέρματός μου, καὶ ἀναμέσον τοῦ σπέρματός σου ἕως αἰῶνος. καὶ ἀνέστη Δαβὶδ καὶ ἀπῆλθε, καὶ Ἰωνάθαν εἰσῆλθεν εἰς τὴν πόλιν.

ΚΕΦ. ΚΑ.

α. Καὶ ἔρχεται Δαβὶδ εἰς Νομβᾶ πρὸς Ἀχιμέλεχ τὸν ἱερέα. καὶ ἐξέστη Ἀχιμέλεχ τῇ ἀπαντήσει αὐτοῦ, καὶ εἶπεν αὐτῷ, τί ὅτι σὺ μόνος, καὶ οὐθεὶς μετὰ σοῦ;

** ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ. Ἡ τῶν Βασιλειῶν γραφὴ Ἀχιμέλεχ περιέχει, ἐναλλαγῆς στοιχείου γενομένης, οὐδὲν δεῖ κινεῖσθαι. παρὰ γὰρ τὴν ὁμοιότητα τοῦ στοιχείου τοῦ Βὴθ παρ' Ἑβραίοις καλουμένου καὶ τοῦ Χὰφ, διαφόρως ἐξεδόθη τοὔνομα. σχεδὸν γὰρ ἓν καὶ ταυτόν ἐστι τὰ δύο στοιχεῖα, βραχυτάτης κεραίας μόνης ἐναλλαττούσης. μέμνηται δὲ καὶ ὁ Σωτὴρ ἐν τοῖς Εὐαγγελίοις τῆς προκειμένης κατὰ τοῦ Δαβὶδ ἱστο-
[Ματθ. 12. 3,] ρίας, λέγων· οὐκ ἀνέγνωτε, τί ἐποίησε **E**
[4.] » Δαβὶδ, ὅτε ἐπείνασε καὶ οἱ μετ' αὐτοῦ; ὡς
» εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ, καὶ τοὺς ἄρ-
» τους τῆς προθέσεως ἔφαγεν, οὓς οὐκ ἐξὸν
» ἦν φαγεῖν, οὐδὲ τοῖς μετ' αὐτοῦ, εἰ μὴ μό-
» νοις τοῖς ἱερεῦσι; τοῦτο μὲν οὖν ἐν τῷ κατὰ Ματθαῖον εἴρηται. ἐπεὶ δὲ ἐν τῷ κατὰ Μάρκον Εὐαγγελίῳ ἀναγέγραπται ὁ Σω-
[Μάρ. 2. 25,] τὴρ εἰρηκώς· οὐδέποτε ἀνέγνωτε τί ἐποίη-
[26.] » σε Δαβὶδ, ὅτε χρείαν ἔσχε, καὶ ἐπείνασεν
» αὐτὸς καὶ οἱ μετ' αὐτοῦ; πῶς εἰσῆλθεν εἰς **Z**
» τὸν οἶκον τοῦ Θεοῦ ἐπὶ Ἀβιάθαρ τοῦ ἀρχιε-
» ρέως, καὶ τοὺς ἄρτους τῆς προθέσεως ἔφαγε· τὶς οὐκ ἂν ἀπορήσειε, πῶς ὁ Σωτὴρ ἐνταῦθα οὐ τοῦ Ἀβιμέλεχ, ἀλλὰ τοῦ Ἀβιάθαρ μέμνηται; πρὸς ὃ εἴποι τὶς ἂν, διώνυμον γεγενῆσθαι τὸν Ἀβιμέλεχ, ὥστ' εἶναι τὸν αὐτὸν τῷ Ἀβιάθαρ. αὐτίκα γοῦν καὶ υἱὸς αὐτῷ Ἀβιάθαρ κεκλημένος ἐμφέρεται τῇ γραφῇ τῶν Βασιλειῶν· ὃς διαφυγὼν ἀπὸ τῶν ἀναιρεθέντων ἱερέων μόνος, τῷ Δαβὶδ **H** συνῆν. ἄλλος δ' ἂν εἴποι, τοῦ μὲν Ἀβιμέλεχ τὴν ἱστορίαν, ὡς ἱερέως μνημονεύειν· ἐνταῦθα δὲ τὸν Σωτῆρα τὸν Ἀβιάθαρ ἀρχιερέα τυγχάνειν κατ' ἐκεῖνο καιροῦ φῆσαι.
» εἰσῆλθε γάρ φησιν ὁ Δαβὶδ εἰς τὸν οἶκον
» τοῦ Θεοῦ ἐπὶ Ἀβιάθαρ τοῦ ἀρχιερέως. καὶ φαίνεται ἡ τῶν ἱστοριῶν γραφὴ τὸν Ἀχιμέλεχ καὶ τοὺς ἱερεῖς τοῦ Θεοῦ ἀνῃρῆσθαι **Δ** φήσασα ὑπὸ τοῦ Σαοὺλ, ἀρχιερέα ἀνῃρημένον οὐχ ἱστορήσασα.

* ΠΡΟΚΟΠΙΟΥ. Ἡ βίβλος τῶν Ψαλμῶν ἐν τῇ ἐπιγραφῇ (1) τοῦ τριακοστοῦ τρίτου ψαλμοῦ, ἀντὶ τοῦ, Ἀχιμέλεχ, Ἀβιμέλεχ ἔχει, (2) ἐναλλαγῆς στοιχείου γενομένης παρὰ τὴν ὁμοιότητα τοῦ στοιχείου τοῦ Βὴθ παρὰ Ἑβραίοις καλουμένου καὶ τοῦ Χάφ. [ὅμοια γὰρ τὰ στοιχεῖα, βραχυτάτης κεραίας μόνης ἐναλλαττούσης.] πῶς δὲ μνησθεὶς ὁ Σωτὴρ ἐν τοῖς Εὐαγγελίοις τῆς ἱστο-
» ρίας ταύτης, (3) ἐπὶ Ἀβιάθαρ τοῦ ἀρχιε- [Μαρκ. 2. 26]
ρέως, φησίν; ἢ τοίνυν Ἀχιμέλεχ διώνυμος ἦν, καὶ Ἀβιάθαρ καλούμενος, ἢ δεῖ λέγειν, ὡς τοῦ μὲν Ἀχιμέλεχ ὡς ἱερέως μεμνῆσθαι τὴν ἱστορίαν, τὸν δὲ Ἀβιάθαρ ἀρχιερέα τυγχάνειν κατ' ἐκεῖνο καιροῦ. φαίνεται δὲ ἡ τῶν Βασιλέων γραφὴ, τὸν μὲν Ἀχιμέλεχ καὶ τοὺς ἱερέας τοῦ Θεοῦ ἀνῃρῆσθαι φήσασα ὑπὸ τοῦ Σαοὺλ, οὐ μὴν ἀρχιερέα.

β. Καὶ εἶπε Δαβὶδ τῷ ἱερεῖ, ὁ βασιλεὺς ἐντέταλταί μοι σήμερον ῥῆμα, καὶ εἶπε, (4) μηδεὶς γνώτω τὸ ῥῆμα τοῦτο περὶ οὗ ἐγὼ ἀποστέλλω σε, καὶ ὑπὲρ οὗ ἐγὼ ἐντέταλμαί σοι. καὶ τοῖς παιδαρίοις διαμεμαρτύρημαι ἐν τῷ τόπῳ τῷ λεγομένῳ, Ἐμμωνείμ.

** ΙΩΣΗΠΟΥ. Πρᾶξιν ἀπόρρητον ἐπιταγῆναι πρὸς τοῦ βασιλέως ἔφη. εἰς ἣν συνοδίας αὐτῷ βουλομένης μαθεῖν οὐκ ἔδει. τοὺς

(1) Ἐν τῷ λγ'. ψαλμῷ. ὁ τῆς Αὐγ. κώδ. περίληψις δὲ τῶν τοῦ Εὐσεβ. εἰσί.
(2) Περιέχει ἐν τῇ προγραφῇ. ὁ αὐτ.
(3) Τῆς προκειμένης ἱστορίας. ὁ αὐτ.
(4) Εἰπέ μοι. αἱ εἰρημ. ἐκδόσ.

τοὺς μέντοι θεράποντας εἰς τόνδε μοι τὸν τόπον ἀπαντᾷν προσέταξα.

γ. Καὶ νῦν εἰ εἰσὶν ὑπὸ τὴν χεῖράσου πέντε ἄρτοι, δὸς εἰς χεῖράς μου τὸ εὑρεθέν.

» ✱✱ ΩΡΙΓΕΝΟΥΣ. [Καὶ νῦν εἰ εἰσὶν » ὑπὸ τὴν χεῖράσου πέντε ἄρτοι.] Προὐδήλου δὲ, καὶ ὅτι ἡ βασιλικὴ φυλὴ καὶ ἡ ἱερατικὴ ἔμελλε συνάπτεσθαι ἐν Χριστῷ τῷ ἱερεῖ ὁμοῦ καὶ βασιλεῖ.

δ. Καὶ ἀπεκρίθη ὁ ἱερεὺς τῷ Δαβὶδ, καὶ εἶπεν, οὐκ εἰσὶν ὑπὸ τὴν χεῖρά μου βέβηλοι ἄρτοι, ὅτι ἀλλ᾽ ἢ ἅγιοι ἄρτοι εἰσίν· εἰ πεφυλαγμένα τὰ παιδάρια πλὴν ἀπὸ γυναικὸς, καὶ φάγονται.

✱✱ ΩΡΙΓΕΝΟΥΣ. Βεβήλους, οὐ τοὺς ἀκαθάρτους λέγει, ἀλλὰ τοὺς οὐχ ἁγίους· » καὶ ὡς Ἀκύλας ἐξέδωκε, λαϊκούς. οὐχ ὅτι βέβηλοι οἱ μὴ ἅγιοι, ἀλλ᾽ ὅτι πρὸς τὸ ἅγιον συγκρινόμενοι. ἓξ δὲ ἄρτους εἶχεν ἡ τράπεζα ἀεὶ ἀλλασσομένους ὑπὲρ τῶν δώδεκα φυλῶν, οὓς ἐνωπίους ἐκάλουν· ὡς ἕκαστον ἐκ δύω φυλῶν προσφέρεσθαι. τὸ γὰρ ἐκ τούτου καλεῖν, τὸ τὰς φυλὰς Ἰσραὴλ εἰς ὁμόνοιαν συνάπτεσθαι. προεσημαίνετο δὲ καὶ τὸ, ἀνὰ δύω πέμπεσθαι τοὺς μαθητὰς ὑπὸ Χριστοῦ κηρύσσειν ἐν ταῖς φυλαῖς Ἰσραήλ· εἶναί τε ἅμα τῶν δώδεκα μαθητῶν ἀριθμόν.

✱ ΠΡΟΚΟΠΙΟΥ. Ἐπισημειώσασθαι δὲ δεῖ, ὡς οἱ ἐπισήμονες τοῦ προτέρου λαοῦ ἧττον ἐφρόντιζον τῶν σωματικῶν τοῦ νόμου παραγγελμάτων. διόπερ ὃ μὴ ἐξῆν κατὰ τὸν Μωσέως νόμον, τοῦτο ἔπραττεν ὁ Δαβὶδ, τοὺς ἄρτους τῆς προθέσεως ἐσθίων. ἀλλὰ καὶ ὁ ἱερεὺς μεταδιδοὺς αὐτῷ καὶ τοῖς σὺν αὐτῷ τῆς ἁγίας καὶ ἱερατικῆς τροφῆς, μεῖζον ἐφρόνει τῆς τῶν πολλῶν διανοίας. πυνθανόμενος δὲ εἰ καθαρεύει (1) τὰ παιδάρια ἀπὸ γυναικὸς, παρίστη ὅτι ἡ καθαρότης καὶ ἡ ἁγνεία ἰσοτίμους ἱερεῦσι ποιεῖ.

ε. Καὶ ἀπεκρίθη Δαβὶδ τῷ ἱερεῖ, καὶ εἶπεν αὐτῷ, ἀλλὰ καὶ ἀπὸ γυναικὸς ἀπεσχήμεθα ἐχθὲς καὶ τρίτην ἡμέραν. ἐν τῷ ἐξελθεῖν (2) εἰς ὁδὸν γέγονε πάντα τὰ παιδάρια ἡγνισμένα, καὶ αὕτη ἡ ὁδὸς βέβηλος, διότι ἁγιασθήσεται σήμερον διὰ τὰ σκεύη μου.

✱ ΠΡΟΚΟΠΙΟΥ. Κατὰ ἐρώτησιν ἀνάγνωθι, τουτέστι· καὶ ταύτην τὴν ὁδὸν καλέσοι ἄν τις βέβηλον, ἥτις ἡγίασται διὰ τὰ σκεύη μου, τουτέστι τὴν ἐξόπλησίν μου, καὶ τὸ ἐπὶ πόλεμόν με ἀπιέναι; δῆλον ἐκ τούτου, ὡς σκευοφόροι ὄντες οἱ παῖδες, καὶ τὰ ὅπλα αὐτοῦ βαστάζοντες, ἡγνίζοντο, ἐξιόντος αὐτοῦ ἐπὶ πόλεμον. (3) ὅτι δὲ τὰ παιδάρια ἠκολούθουν αὐτῷ ὡς σκευοφόροι, δῆ- H

A λον ἐκ πολλῶν, καὶ τέως ἐκ τοῦ τέλους τῆς πρώτης τῶν Βασιλειῶν, ἔνθα φησί· καὶ » εἶπε Σαοὺλ πρὸς τὸν αἴροντα τὰ σκεύη αὐ- 1. Βασ. 31. 4. » τοῦ, σπάσαι τὴν ῥομφαίαν σου καὶ ἀποκέν- » τησόν με ἐν αὐτῇ. καὶ παρὰ τὸ τέλος τῆς δευτέρας φησὶν ἐν τῇ ἀπαριθμήσει τῶν » δυνατῶν τοῦ Δαβίδ· Γελωρὲ ὁ Βηρωθαῖος 2. Βασ. 23. 37. » αἴρων τὰ σκεύη Ἰωὰβ υἱοῦ Σαρουΐα. τοῦτο οὖν λέγει ἐνταῦθα ὁ Δαβίδ· ἡγνισμένοι εἰσὶν οἱ παῖδες, διὰ τὸ σκευοφόρους αὐτοὺς εἶναι, B εἰ καὶ τὰ μάλιστα νῦν διὰ τὸ φεύγειν, ὅπλα οὐκ ἐπεφέρετο.

» ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, εἰ βέβηλος » ἡ ὁδὸς αὕτη, σήμερον ἁγιασθήσεται διὰ τὰ σκεύη μου; Ἐρομένου τοῦ ἱερέως, εἰ [γε] κατ᾽ ἐκείνην τὴν ἡμέραν ἁγνεύει, τρεῖς ἔφη ἡγνευκέναι ἡμέρας. καὶ προσέθηκεν, ὅτι διὰ τὴν προκειμένην ὁδὸν ἀναγκαίως τῆς ἱερᾶς τροφῆς μεταλήψεται, ἵνα ὑπ᾽ αὐτῆς κρατυνθεὶς, τὰ προκείμενα κατορ- Γ θώσῃ. τὸ δὲ βέβηλον οὐκ ἐπὶ τοῦ ἀκαθάρτου τέθεικεν, ἀλλ᾽ ἐπὶ τοῦ μὴ ἱεροῦ. ἀβέβηλον γὰρ καὶ ἅγιον τὸ τοῖς ἱερεῦσιν ἀφωρισμένον. βέβηλον δὲ τὸ τοῖς ἄλλοις ἅπασιν ἀπονενεμημένον. ὅθεν καὶ ὁ Ἀκύλας » οὐχὶ βέβηλον, ἀλλὰ λαϊκὸν εἶπε. τουτέστιν, εἰ καὶ ἱερεὺς οὐκ εἰμὶ, ἀλλὰ προφητικῆς τετύχηκα χάριτος. οἶμαι γὰρ τοῦτο παρα- » δηλοῦν τὸ, ἁγιασθήσεται διὰ τὰ σκεύη μου. σκεύη γὰρ αὐτοῦ καὶ πανοπλία ἡ πνευμα- Δ τικὴ δωρεά.

ϛ. Καὶ ἔδωκεν αὐτῷ Ἀβιμέλεχ ὁ ἱερεὺς τοὺς ἄρτους τῆς προθέσεως, ὅτι ἐκεῖ οὐκ ἦν ἄρτοι, ὅτι ἀλλ᾽ ἢ ἄρτοι τοῦ προσώπου οἱ ἀφῃρημένοι ἐκ προσώπου Κυρίου, παρατεθῆναι ἄρτον θερμὸν ᾗ ἡμέρᾳ ἔλαβεν αὐτούς.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς ἠνέσχετο τῶν E ἀφιερωμένων ἄρτων μετασχεῖν ὁ Δαβίδ; Οὔτε τότε μέμψιν ὑπέμεινεν. ἀλλὰ καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις ἔδειξεν αὐτὸν κατηγορίας ἐλεύθερον. εἰς γὰρ τὴν ὑπὲρ τῶν μαθητῶν ἀπολογίαν τοῦτο εἴρηκε τὸ διήγημα. προδηλοῖ μέντοι, τῶν μόνοις τοῖς ἱερεῦσιν ἀπονενεμημένων [μεταλαβὼν, τὴν] πᾶσι τοῖς εὐσεβέσι προτεθησομένην μυστικὴν τράπεζαν. οὐ γὰρ οἱ ἱερωμένοι μόνοι τοῦ δεσποτικοῦ μεταλαμβάνουσιν αἵμα- Z τός τε καὶ σώματος, ἀλλὰ (4) καὶ τῶν πιστῶν καὶ εὐσεβούντων ἕκαστος.

✱ ΠΡΟΚΟΠΙΟΥ. Τῶν μέντοι τοῖς ἱερεῦσιν ἀπονενεμημένων μεταλαβὼν ὁ Δαβὶδ, προεδήλου τὴν πᾶσι προτεθησομένην τοῖς εὐσεβέσι τράπεζαν μυστικήν. ἧς κοινῇ πάντες μετέχομεν οἱ πιστοί. ἐλεύθερον δὲ τὸν Δαβὶδ τῆς ἐκ τοῦ φαγεῖν κατηγορίας καὶ ὁ Σωτὴρ ἔδειξεν, εἰς τὴν ὑπὲρ τῶν μαθητῶν ἀπολογίαν τοῦτο εἰρηκὼς τὸ διήγημα.

(1) Εἰ καθαρά. ὁ τῆς Αὐγ. κώδ.
(2) Ἐξελθεῖν με. αἱ εἰρημ. ἐκδόσ.
(3) Τὰ ἀπὸ τοῦ, ὅτι δὲ, ἄχρι τοῦ, ὁ Δαβίδ. οὐ περιέχει ὁ τῆς Αὐγ. κώδ.
(4) Ἀλλὰ πάντες οἱ τετυχηκότες τοῦ ἁγίου βαπτίσματος. ἡ ἐν Χάλ. ἐκδ.

ζ. Καὶ ἐκεῖ ἦν ἓν τῶν παιδαρίων A
τῦ Σαῦλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ συνεχό-
μενος Νεσσαρὰν ἐνώπιον Κυρίου, καὶ
ὄνομα αὐτῷ Δωὴκ ὁ Σύρος (1) νέμων
τὰς ἡμιόνους Σαούλ.

» ✱✱ ΩΡΙΓΕΝΟΥΣ. Καὶ ἐκεῖ ἦν ἓν τῶν παιδαρίων. Δηλοῖ ὅτι διὰ νόσον, ἢ δι᾽ ἁμαρτίαν παρέμεινε Δωὴκ ὁ Ἰδουμαῖος ἐνώπιον Κυρίου θεραπευόμενος καὶ ἐξομολογούμενος, ἢ Δαιμόνων, ὡς ὁ Σαοὺλ, οὐ τὰς ἡμιόνους ἔβοσκε. B

» ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, συνεχόμενος
» Νεοσάραν (2) ἐνώπιον Κυρίου; Τοῦτο τὸ ὄνομα, πειράσεως (3) καὶ ἀπειλῆς συνοχὴ, εὗρον ἑρμηνευόμενον ἐν τῷ βιβλίῳ τῶν ἑβραϊκῶν ὀνομάτων. δῆλος τοίνυν ἐστὶν ὁ Δωὴκ ὑπό τινος ἐνοχλούμενος Δαίμονος, ἢ νόσῳ κατεχόμενος· καὶ τούτου χάριν τῇ θείᾳ προσήδρευε (4) σκηνῇ. ἀλλ᾽ ὁ παμπόνηρος οὐ μόνον κατεμήνυσε τῷ Σαοὺλ τὰ παρὰ τοῦ Ἀχιμέλεχ εἰρημένα καὶ δεδομένα, ἀλλὰ καὶ πάντας τοὺς ἱερεῖς κατέκλεινε. Γ

η. Καὶ εἶπε Δαβὶδ πρὸς Ἀχιμέ-
λεχ, ἴδε εἰ ἐστὶν ἐνταῦθα ὑπὸ τὴν
χεῖρά σου δόρυ ἢ ῥομφαία, ὅτι τὴν
ῥομφαίαν μου καὶ τὰ σκεύη οὐκ εἴληφα
ἐν τῇ χειρί μου, ὅτι ἦν τὸ ῥῆμα τοῦ
βασιλέως κατασπεῦδον.

θ. Καὶ εἶπεν ὁ ἱερεὺς, ἰδοὺ ἡ ῥομ-
φαία Γολιὰθ τοῦ ἀλλοφύλου, ὃν ἐπά-
ταξας ἐν τῇ κοιλάδι Ἠλά· καὶ αὕτη
ἐνειλημένη ἐν ἱματίῳ· εἰ ταύτην λή-
ψῃ, σεαυτῷ λάβε, ὅτι οὐκ ἔστιν ἑτέρα
πάρεξ τῆς (5) ἐνταῦθα. καὶ εἶπε Δα-
βὶδ, ἰδοὺ οὐκ ἔστιν ὥσπερ αὕτη· δός
μοι αὐτήν.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ὅτι οὐκ ἔστιν ἑτέρα. E
οὐδὲ γὰρ ἐξῆν ἐν τῇ σκηνῇ τοῦ Θεοῦ ἀποτί-
θεσθαι ὅπλα πολεμικά. αὕτη γὰρ ἀνέ-
κειτο χαριστήριον, εἰς μνήμην τῆς νίκης
τῷ τὴν νίκην δωρησαμένῳ.

ι. Καὶ ἔδωκεν αὐτὴν αὐτῷ. καὶ
ἀνέστη Δαβὶδ, καὶ ἔφυγεν ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ ἐκ προσώπου Σαούλ. καὶ ἦλθε
Δαβὶδ πρὸς Ἀγχοῦς βασιλέα Γέθ.

✱✱ ΙΩΣΗΠΟΥ. Λαβὼν ταύτην ὁ Δαυΐδης, ἔξω τῆς τῶν Ἑβραίων χώρας εἰς Γίτταν διέφυγε τὴν Παλαιστίνων, ἧς Ἀγχοῦς ἐβασίλευε.

ια. Καὶ εἶπαν οἱ παῖδες Ἀγχοῦς
πρὸς αὐτὸν, οὐχὶ οὗτος Δαβὶδ ὁ βα-
σιλεὺς τῆς γῆς; οὐχὶ τούτῳ ἐξῆρχον αἱ
χορεύουσαι, λέγουσαι, ἐπάταξε Σαοὺλ
ἐν χιλιάσιν αὐτοῦ, καὶ Δαβὶδ ἐν μυ-
ιβ. ριάσιν αὐτοῦ; Καὶ ἔθετο Δαβὶδ τὰ
ῥήματα ἐν τῇ καρδίᾳ αὐτοῦ, καὶ ἐφο-
βήθη σφόδρα ἀπὸ προσώπου Ἀγχοῦς
βασιλέως Γέθ.

ιγ. Καὶ ἠλλοίωσε τὸ πρόσωπον
αὐτοῦ, (6) καὶ προσεποιήσατο ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ, καὶ ἐτυμπάνιζεν ἐπὶ
ταῖς θύραις τῆς πόλεως, καὶ παρε-
φέρετο ἐν ταῖς χερσὶν αὐτοῦ, καὶ
ἔπιπτεν ἐπὶ ταῖς θύραις τῆς πόλεως,
καὶ τὰ σίελα αὐτοῦ κατέῤῥει ἐπὶ τὸν
πώγωνα αὐτοῦ.

» ✱ ΠΡΟΚΟΠΙΟΥ. Καὶ προσεποιεῖτο ἐν
» τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ ἐτυμπάνιζεν· Ἀκύ-
Δ » λας, παρείετο, καὶ προσέκρουε.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τὶ δήποτε τὴν ἐπιληψίαν ὁ Δαβὶδ ὑπεκρίνατο; Τοῦ Σαοὺλ ἀποδιδράσκων, κατέφυγεν εἰς τὴν Γέθ. οὐ γὰρ ὑπέλαβε δῆλος ἔσεσθαι. ἐπεὶ δὲ εἶδεν (7) ἐγνωκότας ἐκείνους, ὡς αὐτὸς (8) εἴη ὁ τῶν ἐκείνων ἀνελὼν πρόμαχον, μανίαν ὑποκρινάμενος, τοῦ θανάτου διέφυγε τὸν κίνδυνον.

ιδ. Καὶ εἶπεν Ἀγχοῦς πρὸς τοὺς
παῖδας αὐτοῦ, ἰδοὺ εἴδετε (9) ἄνδρα
ἐπίληπτον, ἵνα τί εἰσηγάγετε αὐτὸν
ιε. πρός με; Μὴ ἐλαττοῦμαι ἐπιλήπτων
ἐγὼ, ὅτι εἰσαγηόχατε αὐτὸν ἐπιλη-
πτεύεσθαι πρός με; εἰ οὗτος (10) εἰσε-
λεύσεται εἰς οἰκίαν.

ΚΕΦ. ΚΒ.

α. αὶ ἀπῆλθεν ἐκεῖθεν Δα-
βὶδ, καὶ διεσώθη, καὶ ἔρ-
χεται εἰς τὸ σπήλαιον τὸ
Ὀδολλάμ. καὶ ἀκούουσιν οἱ ἀδελφοὶ
αὐτοῦ, καὶ ὁ οἶκος τοῦ πατρὸς αὐτοῦ,
καὶ καταβαίνουσι πρὸς αὐτὸν ἐκεῖ.

✱✱ ΙΩΣΗΠΟΥ. Διασωθεὶς οὕτως ἐκ τῆς Γίττης, εἰς τὴν Ἰούδα παραγίνεται φυλήν. καὶ ἐν τῷ πρὸς Ἀδουλλάμῃ πόλει σπηλαίῳ διατρίβων, πέμπει πρὸς τοὺς ἀδελφοὺς, δηλῶν αὐτοῖς ἔνθα εἴη. οἱ δὲ μετὰ πάσης συγγενείας ἧκον πρὸς αὐτόν.

β. Καὶ συνήγοντο πρὸς αὐτὸν πᾶς
ὁ ἐν ἀνάγκῃ, καὶ πᾶς ὁ ὑπόχρεως, καὶ
πᾶς κατώδυνος ψυχῇ, καὶ ἦν ἐπ᾽ αὐ-
τῶν ἡγούμενος, καὶ ἦσαν μετ᾽ αὐτοῦ ὡς
τετρακόσιοι ἄνδρες.

ΙΩΣΗ-

(1) Ἰδουμαῖος. ἡ ἐν Κομπλ. ἔκδ. καὶ ὁ Ὠριγ. ἐν τῷ προκειμ. ὑπομν. (2) Νεασάρ. ἡ ἐν Χάλ. ἔκδ.
(3) Πειρασμὸν ἀπαλὸν συνοχῆς ἑρμηνευόμενον εὗρον ἐν τῷ, κτ. ἡ αὐτ.
(4) Προσεδρεύσας. ἡ αὐτ. (5) Ταύτης. αἱ εἰρημ. ἐκδόσ. (6) Αὐτοῦ ἐνώπιον αὐτοῦ. αἱ αὐτ.
(7) Ἤσθετο. ἡ ἐν Χάλ. ἔκδ. (8) Αὐτὸς αὐτῶν ἀνῃρήκει τὸν πρόμ. ἡ αὐτ.
(9) Ἴδετε. αἱ εἰρημ. ἐκδόσ. (10) Οὗτος οὐκ εἰσελεύσεται. αἱ αὐτ.

** ΙΩΣΗΠΟΥ. Τῶν ἄλλων, ὅσοις ἢ
χρεία ἦν ἢ φόβος ἐκ Σαοὺλ τοῦ βασιλέως,
συνερρύησαν πρὸς αὐτὸν, καὶ ποιεῖν τὰ
ἐκείνῳ δοκοῦντα ἑτοίμως ἔχειν ἔλεγον. ἐγέ-
νοντο δὲ οἱ πάντες ὡς τετρακόσιοι.

» ΑΔΗΛΟΥ. Πᾶς κατώδυνος ψυχῇ. Βού-
λεται εἰπεῖν τὸ ὁμοιοπαθὲς τῷ ὁμοιοπαθεῖ
χαίρειν. πᾶς γὰρ ἀδικούμενος ἢ ἐπιβουλευό-
μενος, καὶ κατώδυνος ψυχῇ κοινωνὸς ἐγίνε-
το Δαβὶδ τῆς φυγῆς. δίκαιον γὰρ ἄνδρα
καὶ παρὰ Θεοῦ τετιμημένον ὁρῶντες ἐλαυ-
νόμενον ὑπὸ Σαοὺλ, καὶ ἀδίκως πάσχοντα,
τὰ αὐτῶν παρεμυθοῦντο κακά. καὶ φεύ-
γοντες καὶ αὐτοὶ τοὺς ἀδικοῦντας, τὴν σὺν
τῷ Δαβὶδ μερίδα ἠσπάζοντο.

** ΝΕΙΛΟΥ. Συνήγοντο πρὸς Δαβὶδ
τὸν χρηστότατον πᾶς ἄνθρωπος ἐν ἀνάγκῃ
» τυγχάνων, καὶ πᾶς ὑπόχρεως, καὶ πᾶσα
» κατώδυνος ψυχὴ, καὶ ἦν ἐπ' αὐτῶν ἡγού-
» μενος ὁ Δαβίδ. Ὅσοι τοίνυν συνέχονται
ταῖς τῶν ῥυπαρῶν ἐνθυμημάτων συνοχαῖς,
καὶ ὑπὸ τῶν λογισμῶν πνίγονται τοῦ φθό-
νου, καὶ τῆς βλασφημίας, καὶ τῆς ἀκη-
δίας, τοῦ μίσους καὶ τῆς ὀξυχολίας, καὶ τῶν
ἄλλων ἀμετρήτων πονηρῶν καὶ βλασφή-
μων ἐννοιῶν· καὶ ὅσοι ἐπίστανται ὑποκειμέ-
νους ἑαυτοὺς χρέεσι πλημμελημάτων πολ-
λῶν, καὶ ὅσοι κατώδυνοι τυγχάνουσι τὰς
ψυχὰς διὰ τὰ αἰσχρὰ ἀνελεύθερα πάθη,
καὶ τὰς ἐπαφὰς τῶν Δαιμόνων, καὶ τὴν
δριμεῖαν πύρωσιν, καὶ τὰ ἄλλα, οὗτοι πάν-
τες κἄν τε κληρικοὶ Ναζωραῖοι καὶ ἀποτε-
ταγμένοι ὑπάρχωσι, προσφευγέτωσαν τῷ
νοουμένῳ Δαβὶδ, τουτέστι Χριστῷ Ἰησοῦ τῷ
φιλανθρωποτάτῳ μετὰ κλαυθμοῦ καὶ λι-
τῶν, ὅπως παρηγορηθῶσι.

γ. Καὶ ἀπῆλθε Δαβὶδ ἐκεῖθεν
εἰς Μασσηφὰ τῆς Μωὰβ, καὶ εἶπε
πρὸς βασιλέα Μωὰβ, γινέσθωσαν
δὴ ὁ πατήρ μου καὶ ἡ μήτηρ μου παρὰ
σοὶ, ἕως ὅτου γνῶ τί ποιήσει μοι ὁ
δ. Θεός. Καὶ παρεκάλεσε τὸ πρόσω-
πον τοῦ βασιλέως Μωὰβ, καὶ κατῴ-
κουν μετ' αὐτοῦ πάσας τὰς ἡμέρας, ὄν-
ε. τος (1) Δαβὶδ ἐν τῇ περιοχῇ. Καὶ εἶπε
Γὰδ ὁ προφήτης πρὸς αὐτὸν, (2) μὴ
κάθου ἐν τῇ περιοχῇ· πορεύου, καὶ ἥξεις
εἰς γῆν Ἰούδα. καὶ ἐπορεύθη Δαβὶδ, καὶ
ἦλθε καὶ ἐκάθισεν ἐν πόλει Σαρίχ.

** ΙΩΣΗΠΟΥ. Θαρρήσας ὡς καὶ χει-
ρὸς αὐτῷ καὶ συνεργίας ἤδη προσγεγενη-
μένης, ἀπάρας ἐκεῖθεν, ἀφικνεῖται πρὸς
τὸν τῶν Μωαβιτῶν βασιλέα· καὶ τοὺς γο-
νεῖς αὐτοῦ εἰς τὴν αὐτοῦ χώραν προσδεξά-
μενον, ἕως ἂν ἀπογνῷ (3) τὸ καθ' αὐτὸν τέ-
λος, ἔχειν παρεκάλει. κατανεύσαντος δ'
αὐτοῦ τὴν χάριν, καὶ πάσης τοὺς γονεῖς τοῦ
Δαυίδου τιμῆς, παρ' ὃν ἐτύγχανον παρ' αὐ-
τῷ χρόνον, ἀξιώσαντος, αὐτὸς δὴ τοῦ Προ-
A φήτου κελεύσαντος αὐτὸν τὴν μὲν ἐρημίαν
ἐκλιπεῖν, πορευθέντα δ' εἰς τὴν κληρου-
χίαν τῆς Ἰούδα φυλῆς ἐν αὐτῇ διάγειν, πεί-
θεται. καὶ παραγενόμενος εἰς Σάριν πό-
λιν, ἐν αὐτῇ κατέμενε.

ς. Καὶ ἤκουσε Σαοὺλ, ὅτι ἔγνωσται
Δαβὶδ, καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ.
καὶ Σαοὺλ ἐκάθητο ἐν τῷ βουνῷ ὑπὸ
τὴν ἄρουραν τὴν ἐν Ῥαμὰ, καὶ τὸ
B δόρυ ἐν τῇ χειρὶ αὐτοῦ, καὶ πάντες πα-
ρειστήκεισαν αὐτῷ οἱ παῖδες αὐτοῦ.

» ** ΩΡΙΓΕΝΟΥΣ. Καὶ Σαοὺλ ἐκάθη-
» το ἐν τῷ βουνῷ. Ὁ Σαοὺλ τοῦ πονηροῦ πνεύ-
ματος τύπον φέρει, ἄρξαντος τοῦ Ἰσραὴλ,
τότε εἰπόντος, οὐκ ἔχομεν βασιλέα. καὶ γὰρ
ὁ πάλαι λαὸς ἐξουδενώσας τὸν Δαβὶδ (4)
βασιλεύοντα αὐτοῦ, ᾔτησε τὸν Σαοὺλ ἄρ-
χοντα αὐτῷ δοθῆναι.

Γ ζ. Καὶ εἶπε Σαοὺλ πρὸς τοὺς παῖ-
δας αὐτοῦ τοὺς παρεστηκότας αὐτῷ,
ἀκούσατε δὴ υἱοὶ Βενιαμὶν, εἰ ἀληθῶς
πᾶσιν ὑμῖν δώσει ὁ υἱὸς Ἰεσσαὶ ἀγροὺς
καὶ ἀμπελῶνας, καὶ πάντας ὑμᾶς
τάξει ἑκατοντάρχους καὶ χιλιάρχους,
η. Ὅτι σύγκλεισθε (5) πάντες ὑμεῖς ἐπ'
ἐμὲ, καὶ οὐκ ἔστιν ὁ ἀποκαλύπτων τὸ
ὠτίον μου, ἐν τῷ διαθέσθαι διαθήκην
Δ τὸν υἱόν μου μετὰ τοῦ υἱοῦ Ἰεσσαὶ, καὶ οὐκ
ἔστι πονῶν περὶ ἐμοῦ ἐξ ὑμῶν, καὶ ἀπο-
καλύπτων τὸ ὠτίον μου, ὅτι ἐπήγειρεν
ὁ υἱός μου τὸν δοῦλόν μου ἐπ' ἐμὲ εἰς ἐχ-
θρὸν, ὡς ἡ ἡμέρα αὕτη.

** ΙΩΣΗΠΟΥ. Συγκαλέσας τοὺς φί-
λους καὶ τοὺς ἡγεμόνας, καὶ τὴν φυλὴν, ἐξ
ἧς αὐτὸς ἦν, πρὸς αὐτὸν ἐπὶ τὸν βουνὸν, οὗ
τὸ βασίλειον εἶχε, καὶ καθίσας ἐπ' Ἀρού-
E ρης· τόπος δὲ ἦν τις οὕτω προσαγορευόμε-
νος· τιμῆς πολιτικῆς περὶ αὐτῶν οὔσης, τῆς
τάξεως καὶ τῶν σωματοφυλάκων, λέγει
» πρὸς αὐτούς· ἄνδρες ὁμόφυλοι, μέμνησθε
» μὲν οἶδ' ὅτι τῶν ἐμῶν εὐεργεσιῶν· ὅτι καὶ
» ἀγρῶν τινὰς ἐποίησα δεσπότας, καὶ τιμῶν
» τῶν ἐν τῷ πλήθει, καὶ τάξεων ἠξίωσα.
» πυνθάνομαι τοιγαροῦν, εἰ μείζονας τούτων
» δωρεὰς καὶ πλείονας παρὰ τοῦ Ἰεσσαίου παι-
» δὸς προσδοκᾶτε. οἶδα γὰρ ὅτι πάντες ἐκεί-
Z » νῳ προσίθεσθε, τοῦ μοῦ παιδὸς Ἰωνάθου αὐ-
» τοῦ τε οὕτω φρονήσαντος, καὶ ὑμᾶς τοιαῦτα
» πείσαντος. οὐ γὰρ ἀγνοῶ τοὺς ὅρκους καὶ τὰς
» συνθήκας τὰς πρὸς Δαυίδην αὐτῷ γεγενη-
» μένας· οὐδὲ ὅτι σύμβουλος μὲν καὶ συνεργὸς
» Ἰωνάθης ἐστὶ τῶν κατ' ἐμοῦ συντεταγμένων.
» μέλει δὲ ὑμῶν οὐδενὶ περὶ τούτων, ἀλλὰ τὸ
» ἀποβησόμενον ἡσυχάζοντες σκοπεῖτε.

θ. Καὶ ἀπεκρίνατο Δωὴκ ὁ Σύ-
H ρος ὁ καθεστηκὼς ἐπὶ τὰς ἡμιόνους αὐ-
τοῦ, (6) καὶ εἶπεν, ἑωράκατε (7) τὸν
υἱὸν

(1) Τοῦ Δαβίδ. αἱ αὐτ. (2) Πρὸς Δαβίδ. αἱ αὐτ. (3) Ἐπιγνῷ. καταλληλότ.
(4) Χριστὸν τὸν Θεὸν νοητέον. (5) Σύγκεισθε. αἱ αὐτ. (6) Ἡμιόνους Σαούλ. αἱ αὐτ.
(7) Ἑώρακα. αἱ αὐτ.

υἱὸν Ἰεσσαὶ παραγινόμενον εἰς Νομβὰ πρὸς Ἀχιμέλεχ υἱὸν Ἀχιτὼβ τὸν
ι. ἱερέα. Καὶ ἠρώτα αὐτῷ διὰ τοῦ Θεοῦ, καὶ ἐπισιτισμὸν ἔδωκεν αὐτῷ, καὶ τὴν ῥομφαίαν Γολιὰθ τοῦ ἀλλοφύλου ἔδω-
ια. κεν αὐτῷ. Καὶ ἀπέστειλεν ὁ βασιλεὺς καλέσαι τὸν Ἀχιμέλεχ υἱὸν Ἀχιτὼβ καὶ πάντας τοὺς υἱοὺς τοῦ πατρὸς αὐτοῦ τοὺς ἱερεῖς τοὺς ἐν Νομβά. καὶ παρεγένοντο πάντες πρὸς τὸν βασιλέα.
ιβ. Καὶ εἶπε Σαοὺλ, ἄκουε δὴ υἱὲ Ἀχιτώβ.
ιγ. καὶ εἶπεν, ἰδοὺ ἐγὼ, λάλει κύριε. Καὶ εἶπεν αὐτῷ Σαοὺλ, ἵνα τί συνέθου κατ' ἐμοῦ σὺ καὶ ὁ υἱὸς Ἰεσσαὶ, δοῦναί σε αὐτῷ ἄρτον καὶ ῥομφαίαν, καὶ ἐρωτᾷν αὐτῷ διὰ τοῦ Θεοῦ θέσθαι αὐτὸν ἐπ' ἐμὲ ὡς (1) ἐχθρὸν, ὡς ἡ ἡμέρα αὕτη;

ιδ. Καὶ ἀπεκρίθη Ἀχιμέλεχ τῷ βασιλεῖ, καὶ εἶπε, καὶ τίς ἐν πᾶσι τοῖς δούλοις σου ὡς Δαβὶδ πιστὸς, καὶ γαμβρὸς τοῦ βασιλέως, καὶ ἄρχων παντὸς παραγγέλματός σου, καὶ ἔνδο-
ιε. ξος ἐν τῷ οἴκῳ σου; Ἦ σήμερον ἦργμαι (2) ἐρωτᾷν αὐτῷ διὰ τοῦ Θεοῦ; μηδαμῶς, μὴ δότω ὁ βασιλεὺς κατὰ τοῦ δούλου αὐτοῦ λόγον, καὶ ἐφ' ὅλον τὸν οἶκον τοῦ πατρός μου, ὅτι οὐκ ᾔδει ὁ δοῦλός σου ἐν πᾶσι τούτοις (3) μικρὸν, ἢ μέγα.

** ΙΩΣΗΠΟΥ. Ὁ ἀρχιερεὺς οὐκ ἐπ' ἄρνησιν ἐτράπη τῶν γεγονότων, ἀλλὰ μετὰ παῤῥησίας ταῦτα παρασχεῖν ὡμολόγει, οὐχὶ Δαυΐδῃ χαριζόμενος, ἀλλ' αὐτῷ. πολέ-
» μιον γὰρ σὸν οὐκ εἰδέναι, ἔφασκε, πιστὸν δὲ
» ἐν τοῖς μάλιστα δοῦλον καὶ χιλίαρχον, καὶ
» τὸ τούτων μεῖζον, γαμβρόν τε ἤδη καὶ συγ-
» γενῆ. ταῦτα δ' οὐκ ἐχθροῖς παρέχειν τοὺς
» ἀνθρώπους, ἀλλὰ τοῖς εὐνοίᾳ καὶ τιμῇ τῇ
» πρὸς αὐτοὺς ἀρίστοις. προφητεῦσαι δὲ οὐ
» νῦν πρῶτον αὐτῷ, ἀλλὰ καὶ πολλάκις καὶ
» ἄλλοτε τοῦτο πεποιηκέναι· φήσαντι δὲ ὑπὸ
» σοῦ πεμφθῆναι κατὰ πολλὴν σπουδὴν ἐπὶ
» πρᾶξιν, τὸ μηδὲν παρασχεῖν ὧν ἐπεζήτει,
» σοὶ μᾶλλον ἀντιλέγειν ἢ ἐκείνῳ περὶ αὐτῶν
» ἐλογιζόμην. διὸ μηδὲν πονηρὸν κατ' ἐμοῦ
» φρονήσεις, μηδὲ πρὸς ἃ νῦν ἀκούεις Δαυΐ-
» δην ἐγχειρεῖν, πρὸς ταῦτα τὴν τότε δοκοῦ-
» σάν μου φιλανθρωπίαν ὑποπτεύσῃς. φίλῳ
» γὰρ καὶ γαμβρῷ σῷ καὶ χιλιάρχῳ παρέ-
» σχον, οὐ πολεμίῳ.

ις. Καὶ εἶπεν ὁ βασιλεὺς, (4) θανάτῳ ἀποθανῇ Ἀβιμέλεχ σὺ, καὶ
ιζ. πᾶς ὁ οἶκος τοῦ πατρός σου. Καὶ εἶπεν ὁ βασιλεὺς τοῖς παρατρέχουσι τοῖς

A ἐφεστηκόσιν ἐπ' αὐτὸν, προσαγάγετε καὶ θανατοῦτε τοὺς ἱερεῖς τοῦ Κυρίου, ὅτι ἡ χεὶρ αὐτῶν μετὰ Δαβὶδ, καὶ ὅτι ἔγνωσαν ὅτι φεύγει αὐτὸς, καὶ οὐκ ἀπεκάλυψαν τὸ ὠτίον μου. καὶ οὐκ ἠβουλήθησαν οἱ παῖδες τοῦ βασιλέως ἐπενεγκεῖν τὰς χεῖρας αὐτῶν ἀπαντῆσαι εἰς τοὺς ἱερεῖς τοῦ Κυρίου.

B ιη. Καὶ εἶπεν ὁ βασιλεὺς τῷ Δωὴκ, ἐπίστρεφε σὺ, καὶ ἀπάντα εἰς τοὺς ἱερεῖς. καὶ ἐπεστράφη Δωὴκ ὁ Σύρος, καὶ ἐθανάτωσε τοὺς ἱερεῖς τοῦ Κυρίου ἐν τῇ ἡμέρᾳ ἐκείνῃ τριακοσίους (5) πέντε
ιθ. ἄνδρας (6) αἴροντας ἐφούδ. Καὶ τὴν Νομβὰ τὴν πόλιν τῶν ἱερέων ἐπάταξεν ἐν στόματι μαχαίρας ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, ἀπὸ νηπίου ἕως θη-
Γ λάζοντος, καὶ μόσχου, (7) καὶ προβάτου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Αὕτη τοῦ Σαοὺλ ἡ μιαιφονία πασῶν τῶν ἄλλων ἁμαρτιῶν δυσσεβεστέρα. τοῦ μὲν γὰρ Θεοῦ προστεταχότος ἄρδην διολέσαι τὸν Ἀμαλὴκ, οὐ μόνον τὸν Ἄγαγ διέσωσεν, ἀλλὰ καὶ ποίμνια, καὶ βουκόλια, καὶ τοὺς ἀμπελῶνας, καὶ τὰ ἄλλα ὅσα ἦν ἀξιόκτητα. τοῦ θυμοῦ δὲ μόνον κεκινηκότος, οὐ μόνον τοὺς ἱερεῖς ἀπέκτεινεν,
Δ ἀλλὰ καὶ τὴν πόλιν αὐτῶν διώλεσεν· οὐ μειράκιον, οὐ βρέφος, οὐ γύναιον διασωθῆναι κελεύσας· αὔτανδρον. ἀξιέπαινοι δὲ τοῦ Σαοὺλ οἱ δορυφόροι. οὐδὲ γὰρ τοῦ βασιλέως προστεταχότος, ἠνέσχοντο τῇ κατὰ τῶν ἱερέων μιαιφονίᾳ μιᾶναι τὰς χεῖρας. ὁ δὲ Δωὴκ τὸν δυσσεβῆ τοῦτον ἐτόλμησε φόνον, καὶ τοὺς πεντήκοντα καὶ τριακοσίους ἱερεῖς κατέσφα-
» ξε. πρόσκειται δὲ τὸ, πάντας αἴροντας
» ἐφούδ, εἰς κατηγορίαν πλείονα τοῦ τετολ-
E μηκότος. οὐ γὰρ Λευῖται ἦσαν, ἀλλ' ἐξ ἀρχιερατικῆς ῥίζης κατῆγον τὸ γένος.

* ΠΡΟΚΟΠΙΟΥ. Δυσσεβεστέρα δὲ τῶν ἄλλων ἡ κατὰ τῶν ἱερέων τοῦ Σαοὺλ αὕτη μιαιφονία. τοῦ μὲν γὰρ Θεοῦ ἄρδην τὸν Ἀμαλὴκ ἀφανίσαι προστεταχότος, παρήκουσε, καὶ περιεποιήσατο. νῦν δὲ τοῦ θυμοῦ κινήσαντος, σὺν τοῖς ἱερεῦσι καὶ τὴν πόλιν διώλεσεν αὔτανδρον· μηδὲ τῇ τῶν δορυφόρων δυσωπηθεὶς θεοσεβείᾳ, μὴ βουλη-
Z θέντων (8) τῇ κατὰ ἱερέων μιαιφονίᾳ μιᾶ-
» ναι τὰς χεῖρας. πρόσκειται δὲ καὶ τὸ, πάν-
» τας αἴροντας ἐφούδ, εἰς μείζονα τοῦ τολμήματος κατηγορίαν. οὐ γὰρ Λευῖται μόνον ἦσαν, ἀλλὰ καὶ ἐξ ἱερατικῆς φυλῆς.

ΙΣΙΔΩΡΟΥ. (9) Εἰ καὶ νέον Δωὴκ ὁ πάμφορος χρόνος ἐξέβρασεν, ἀλλά σε Σαοὺλ γενέσθαι ἱεροκτόνον οὐκ εὔχομαι. ὁ ἱερεὺς γὰρ ἀκατηγόρητον τὴν πρὸς πάντας ἰσότητα ὀφείλει κεκτῆσθαι, οἷα Θεοῦ λειτουρ-

(1) Εἰς. αἱ αὐτ. (2) Ἤργμαι. αἱ αὐτ. (3) Ῥῆμα μικρ. αἱ αὐτ.
(4) Ὁ βασιλεὺς Σαοὺλ. αἱ αὐτ. (5) Καὶ πέντε. αἱ αὐτ. (6) Ἄνδρας, πάντας αἶρον. αἱ αὐτ.
(7) Καὶ ὄνου, καὶ προβ. αἱ αὐτ. (8) Φεισαμένων τῶν ἱερέων. ὁ τῆς Αὐγ. κώδ.
(9) Ἐπιστ. σξ' Καπετωλίῳ. καὶ ταῦτα πρόσκειται ἐν τῷ κώδ. ἔστι δὲ ἡ 388. ἐπιστ. τοῦ 1. βιβλ.

λειτουργὸς τοῦ πᾶσιν ὄντος ἀγαθοῦ. παῦσαι A τοίνυν φλεγμαίνων κατὰ τοῦ γέροντος, δύο λαμπρὰ κατορθώσαντος, καὶ σὲ ἀνομῆσαι κωλύσαντος, καὶ ἄνθρωπον κινδυνεύοντα σώσαντος.

κ. Καὶ διασώζεται υἱὸς εἷς τῷ Ἀβιμέλεχ υἱῷ Ἀχιτὼβ, καὶ ὄνομα αὐτῷ Ἀβιάθαρ, καὶ ἔφυγεν ὀπίσω Δαβίδ.

* ΠΡΟΚΟΠΙΟΥ. Οἰκονομία δὲ Θεοῦ γέγονε διαφυγεῖν τὸν Ἀβιάθαρ. ἵν' ἔχῃ B Δαβὶδ τὸν ἐπερωτῶντα τὸν Θεὸν περὶ ὧν βούλεται.

κα. Καὶ ἀπήγγειλεν Ἀβιάθαρ τῷ Δαβὶδ, ὅτι ἐθανάτωσε Σαοὺλ πάντας τοὺς ἱερεῖς τοῦ Κυρίου.

κβ. Καὶ εἶπε Δαβὶδ τῷ Ἀβιάθαρ, ᾔδειν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι Δωὴκ ὁ Σύρος ἀπαγγέλλων ἀπαγγελεῖ τῷ Σαούλ. ἐγώ εἰμι αἴτιος τῶν ψυχῶν οἴκου τοῦ πατρός σου.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐγὼ, φησὶν, » εἰμὶ ὁ αἴτιος τῶν ψυχῶν ὅλου τοῦ οἴκου τοῦ πατρός σου. Ὥστε συνὼν αὐτῷ διαπαντὸς, οὐδὲν ἕτερον ἀλλ' ἢ τῆς ἀθυμίας ἐκείνης ὑπόμνησις ἦν. βλέπων γὰρ εἰς αὐτὸν, ἀεὶ τῆς ἀπωλείας ἐμέμνητο τῶν ἱερέων· μνημονεύων δὲ τῆς ἀπωλείας, καὶ τῆς τοσαύτης σφαγῆς τὴν αἰτίαν ἀνατιθεὶς ἑαυτῷ, καταδίκου παντὸς ἀθλιώτερον ἐβίου βίον. καὶ γὰρ εἰ μηδὲν ἕτερον τὸ ἐνοχλοῦν ἦν, ἱκανὸν τρῶσαι ψυχὴν καὶ ἀνελεῖν, τὸ ἱερέων σφαγέα λογίζεσθαι τοσούτων ἑαυτόν.

κγ. Κάθου μετ' ἐμοῦ· μὴ φοβοῦ, ὅτι οὗ ἐὰν ζητῶ τῇ ψυχῇ μου τόπον, ζητήσω καὶ τῇ ψυχῇ σου, ὅτι πεφύλαξαι σὺ παρ' ἐμοί.

ΚΕΦ. ΚΓ.

α. Καὶ ἀπηγγέλη τῷ Δαβὶδ,
λέγοντες, ἰδοὺ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν τῇ Κεΐλὰ, καὶ αὐτοὶ διαρπάζουσι, καὶ καταβ.
πατοῦσι τοὺς ἅλω. Καὶ ἐπηρώτησε
Δαβὶδ διὰ τοῦ Κυρίου, λέγων, εἰ πορευθῶ, καὶ πατάξω τοὺς ἀλλοφύλους τούτους; καὶ εἶπε Κύριος, πορεύου, καὶ πατάξεις ἐν τοῖς ἀλλοφύλοις τούτοις, καὶ σώσεις τὴν Κεΐλά.

** ΙΩΣΗΠΟΥ. Κατὰ τοῦτον τὸν καιρὸν ἀκούσας ὁ Δαυΐδης τοὺς Παλαιστίνους ἐμβεβληκότας εἰς τὴν Κιλλανῶν χώραν, καὶ ταύτην διαρπάζοντας, δίδωσιν ἑαυτὸν στρατεύειν ἐπ' αὐτοὺς, εἰ ὁ Θεὸς παρὰ τοῦ Προφήτου πυθόμενος ἐπιτρέπει νίκην. τοῦ δὲ σημαίνειν φήσαντος, ἐξώρμησεν ἐπὶ τοὺς Παλαιστίνους μετὰ τῶν ἑταίρων, καὶ φόνον τε αὐτῶν πολὺν ἐξέχεε, καὶ λείαν ἤλασε, καὶ παραμείνας τοῖς Κιλλανοῖς, ἕως οὗ τὰς ἅλωνας καὶ τὸν καρπὸν συνεῖλον ἀδεῶς.

γ. Καὶ εἶπαν οἱ ἄνδρες τοῦ Δαβὶδ πρὸς αὐτὸν, ἰδοὺ ἡμεῖς ἐνταῦθα ἐν τῇ Ἰουδαίᾳ φοβούμεθα, καὶ πῶς ἔσται ἐὰν πορευθῶμεν εἰς Κεΐλὰ, εἰς τὰς κοιλίας τῶν ἀλλοφύλων εἰσπορευσόμεθα;

ΑΔΗΛΟΥ. Εἰς τὰς κοιλίας, εἰς τὰ στρατόπεδα· Ἑβραῖοι, εἰς τὰ σκῦλα.

δ. Καὶ προσέθετο Δαβὶδ ἐρωτῆσαι ἔτι διὰ τοῦ Κυρίου. καὶ ἀπεκρίθη Κύριος, καὶ εἶπε πρὸς αὐτὸν, ἀνάστηθι καὶ κατάβηθι εἰς Κεΐλὰ, ὅτι ἐγὼ παραδίδωμι τοὺς ἀλλοφύλους εἰς χεῖράς σου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Δηλοῖ δὲ αὐτοῦ τὴν εὐσέβειαν ἡ θεία Γραφή. ἀεὶ γὰρ τοῦ Θεοῦ πυνθανόμενος, καὶ παρετάττετο, καὶ ἡσύχαζε.

ε. Καὶ ἐπορεύθη Δαβὶδ καὶ οἱ ἄν-
Δ δρες οἱ μετ' αὐτοῦ εἰς Κεΐλὰ, καὶ ἐπο-
λέμησαν ἐν τοῖς ἀλλοφύλοις καὶ ἔφυ-
γον ἐκ προσώπου αὐτοῦ, καὶ ἀπήγαγε
τὰ κτήνη αὐτῶν, καὶ ἐπάταξεν ἐν
αὐτοῖς πληγὴν μεγάλην, καὶ ἔσωσε
ς. Δαβὶδ τοὺς κατοικοῦντας Κεΐλά. Καὶ
ἐγένετο ἐν τῷ φεύγειν Ἀβιάθαρ υἱὸν
Ἀχιμέλεχ πρὸς Δαβὶδ, καὶ αὐτὸς
μετὰ Δαβὶδ εἰς Κεΐλὰ κατέβη ἔχων
E ἐφοὺδ ἐν τῇ χειρὶ αὐτοῦ.

ζ. Καὶ ἀπηγγέλη τῷ Σαοὺλ, ὅτι
ἥκει (1) Δαβὶδ εἰς Κεΐλά. καὶ εἶπε
Σαοὺλ, ὅτι πέπρακεν αὐτὸν Κύριος εἰς
χεῖράς μου, ὅτι ἀποκέκλεισται εἰσελθὼν
η. εἰς πόλιν θυρῶν καὶ μοχλῶν. Καὶ
παρήγγειλε Σαοὺλ παντὶ τῷ λαῷ καταβαίνειν εἰς πόλεμον εἰς Κεΐλὰ, συνέ-
Z χειν τὸν Δαβὶδ καὶ τοὺς ἄνδρας αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Σαούλῳ τῷ βασιλεῖ μηνύεται, παρ' αὐτοῖς ὤν. τὸ γὰρ ἔργον καὶ τὸ κατόρθωμα οὐκ ἔμεινε παρ' οἷς ἐγένετο· φήμη δ' ἐπὶ πᾶν, εἴς τε τὰς τῶν ἄλλων ἀκοὰς, καὶ πρὸς τὰς τοῦ βασιλέως διεκομίσθη, αὐτό τε συνιστάνον καὶ τὸν πεποιηκότα. χαίρει δὲ Σάουλος ἀκούσας ἐν Κίλλᾳ τὸν Δαυΐδην· καὶ, Θεὸς ἤδη χερσὶ ταῖς ἐμαῖς ὑπέθετο αὐτὸν εἰπὼν, ἐπεὶ καὶ H συνηνάγκασεν ἐλθεῖν εἰς πόλιν, τείχη καὶ πύλας καὶ μοχλοὺς ἐχούσας, τῷ λαῷ παντὶ προσέταξεν ἐπὶ τὴν Κίλλαν ἐξορμῆσαι· καὶ πολιορ-

(1) Ὁ Δαβίδ. αἱ εἰρημ. ἐκδόσ.

πολιορκήσαντι καὶ ἑλόντι, τὸν Δαυΐδην A
ἀποκτεῖναι.

θ. Καὶ ἔγνω Δαβὶδ, ὅτι τὴν κα-
κίαν περὶ αὐτοῦ οὐ παρασιωπᾷ Σαοὺλ.
καὶ εἶπε Δαβὶδ πρὸς Ἀβιάθαρ, (1)
ι. προσάγαγε τὸ ἐφοὺδ Κυρίου. Καὶ
εἶπε Δαβὶδ, Κύριε ὁ Θεὸς Ἰσραὴλ,
ἀκούων ἀκήκοεν ὁ δοῦλός σου, ὅτι ζητεῖ
Σαοὺλ ἐλθεῖν ἐπὶ Κεϊλὰ διαφθεῖραι
ια. τὴν πόλιν δι' ἐμέ. Εἰ ἀποκλεισθήσε- B
ται; καὶ νῦν εἰ καταβήσεται Σαοὺλ
καθὼς ἤκουσεν ὁ δοῦλός σου; Κύριε ὁ
Θεὸς Ἰσραὴλ ἀπάγγειλον τῷ δούλῳ
σου. καὶ εἶπε Κύριος, καταβήσεται.

ιβ. (2) Καὶ εἶπε Δαβὶδ, εἰ παρα-
δώσουσιν οἱ παρὰ τῆς Κεϊλὰ ἐμὲ καὶ τοὺς
ἄνδρας μου εἰς χεῖρας Σαοὺλ; καὶ εἶπε
ιγ. Κύριος, παραδώσουσι. Καὶ ἀνέστη Δα- Γ
βὶδ καὶ οἱ ἄνδρες οἱ μετ' αὐτοῦ ὡς τε-
τρακόσιοι, καὶ ἐξῆλθον ἐκ Κεϊλὰ, καὶ
ἐπορεύοντο οὗ ἐὰν ἐπορεύοντο. καὶ τῷ
Σαοὺλ ἀπηγγέλη, ὅτι διασέσωσται
Δαβὶδ ἐκ Κεϊλὰ, καὶ ἀνῆκεν ἔτι τοῦ
ἐξελθεῖν.

✱✱ ΙΩΣΗΠΟΥ. Ταῦτα αἰσθόμενος ὁ Δαυΐδης, καὶ μαθὼν παρὰ τοῦ Θεοῦ, ὅτι μείναντα παρ' αὐτοῖς οἱ Κιλλῖται ἐκδώσουσι τῷ Σαούλῳ, παραλαβὼν τοὺς τετρακοσίους, ἀπῆρεν ἀπὸ τῆς πόλεως εἰς τὴν ἔρημον ἐπάνω τῆς Ἐνγεδαῒν λεγομένης. Δ

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Αὐτίκα γοῦν μαθὼν, ὡς ἔπεισιν ὁ Σαοὺλ ἐν τῇ Κεϊλὰ, ἤρετο εἰ ἐκδώσουσιν αὐτὸν οἱ δι' αὐτοῦ σωθέντες· καὶ μαθὼν ὡς ἐκδώσουσιν, εἰς ἕτερον χωρίον
» μετέστη. τὸ δὲ, ἐπορεύοντο [οὗ ἐὰν ἐπορεύοντο.] τὸν πλάνον δηλοῖ. ποτὲ μὲν γὰρ ἐν τῇ Ἰουδαίᾳ, ποτὲ δὲ ἐν τῇ ἐρήμῳ διῆγον. E

ιδ. Καὶ ἐκάθισε Δαβὶδ ἐν Μασε-
ρὲμ ἐν τῇ ἐρήμῳ ἐν τοῖς στενοῖς, καὶ ἐκά-
θητο ἐν τῇ ἐρήμῳ ἐν τῷ ὄρει Ζὶφ, εἰς
τὸ ὄρος τὸ αὐχμῶδες ἐν γῇ αὐχμώδει.
καὶ ἐζήτει αὐτὸν Σαοὺλ πάσας τὰς
ἡμέρας, καὶ οὐ παρέδωκεν αὐτὸν Κύ-
ριος εἰς τὰς χεῖρας αὐτοῦ.

✱✱ ΙΩΣΗΠΟΥ. Ὁ μὲν βασιλεὺς ἀκούσας αὐτὸν πεφευγότα παρὰ τῶν Κιλλιτῶν, ἐπαύσατο τῆς ἐπ' αὐτὸν στρατείας. Δαυΐδης δὲ ἐκεῖθεν ἄρας, εἴς τινα τόπον Καινὴν καλουμένην τῆς Ζιφιώνης παραγίνεται. Z

» ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ, ἐκάθισε
» Δαβὶδ ἐν τῇ ἐρήμῳ ἐν Μεσαράμ, (3) οἱ λοιποὶ ἑρμηνευταὶ, ἐν τοῖς σπηλαίοις τοῖς ὀχυροῖς ἐκδεδώκασι.

ιε. Καὶ εἶδε Δαβὶδ, ὅτι ἐξέρχεται Σαοὺλ τοῦ ζητεῖν αὐτόν· καὶ Δαβὶδ ἦν ἐν τῷ ὄρει τῷ αὐχμώδει ἐν τῇ Καινῇ Ζίφ.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ ἀπεδήμησε, καὶ πόῤῥω τοῦ πολέμου κατέστησεν ἑαυτὸν, τοῦτο μὲν αὐτῷ τὸ πόῤῥω εἶναι, καὶ τὴν ἔχθραν ποιῆσαι φανερὰν εἶχέ τι πλέον εἰς τὸν τοῦ θαῤῥεῖν λόγον· μετὰ δὲ τετρακοσίων ἀνδρῶν πρὸς τοσαύτην ἀναγκαζόμενος παρατάττεσθαι στρατιὰν, ἔτρεμε πλέον ἢ πρότερον. ὁ γὰρ μήτε πόλιν, μήτε φρούριον, μήτε συμμάχους, μήτε προσόδους κεκτημένος, ἐννόησον τίς ἦν πρὸς τὸν ταῦτα ἔχοντα πάντα ἀναγκαζόμενος πολεμεῖν· καὶ πλὴν τῆς ἐρήμου καὶ τῶν ἐκεῖ σπηλαίων, οὐδὲ ὅποι καταφύγοι διωκόμενος εὑρεῖν. καὶ γὰρ Κεΐλα πόλιν οὕτω καλουμένην λαβὼν, εὐθέως αὐτῆς ἀπεπήδησε, τοῦ ἱερέως εἰπόντος, ὅτι αὐτὸν ὁ Θεὸς ἐκεῖ μένοντα, τῶν τοῦ Σαοὺλ οὐχ ὑπεξαρπάσει χειρῶν.

ις. Καὶ ἀνέστη Ἰωνάθαν υἱὸς Σαοὺλ,
καὶ ἐπορεύθη πρὸς Δαβὶδ εἰς Καινὴν,
καὶ ἐκραταίωσε τὰς χεῖρας αὐτοῦ ἐν
ιζ. Κυρίῳ, Καὶ εἶπε πρὸς αὐτὸν, μὴ φο-
βοῦ, ὅτι οὐ μή σε εὕρῃ ἡ χεὶρ Σαοὺλ τοῦ
πατρός μου, καὶ σὺ βασιλεύσεις ἐπὶ
Ἰσραὴλ, καὶ ἔσομαί σοι εἰς δεύτερον,
ιη. καὶ Σαοὺλ ὁ πατήρ μου οἶδεν οὕτω. Καὶ
διέθεντο ἀμφότεροι διαθήκην ἐνώ-
πιον Κυρίου. καὶ ἐκάθητο Δαβὶδ ἐν
Καινῇ, καὶ Ἰωνάθαν ἀπῆλθεν εἰς
οἶκον αὐτοῦ.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ μέντοι Ἰωνάθαν δῆλος ἦν θερμότερον περὶ τὸν Δαβὶδ διακείμενος. καὶ γὰρ τοῦ πατρὸς φονῶντος, καὶ θηρεῦσαι ποθοῦντος, οὐκ ἤνεγκε τοῦ πόθου τὰ κέντρα· ἀλλ' ἔνθα διῆγεν ἀφίκετο, καὶ παραθαῤῥύνας τῇ τῆς βασιλείας προῤῥήσει, (4) αὖθις τὰς συνθήκας ἐκράτυνε. τὴν δὲ Καινὴν, δρυμὸν ὁ Ἀκύλας ἐκάλεσε· Καδ δὲ, (5) βουνόν. τὸ δὲ ἐν τῇ ἐρήμῳ τῇ ἐπηκόῳ, ἐν τοῖς ὁμαλέσι. (6)

ιθ. Καὶ ἀνέβησαν οἱ Ζιφαῖοι ἐκ
τῆς αὐχμώδους πρὸς Σαοὺλ ἐπὶ τὸν βου-
νὸν, λέγοντες, οὐκ ἰδοὺ Δαβὶδ κέκρυπ-
ται παρ' ἡμῖν ἐν Μεσαρὰ ἐν τοῖς στενοῖς
ἐν τῇ Καινῇ ἐν τῷ βουνῷ τοῦ Ἐχελὰθ
κ. τοῦ ἐκ δεξιῶν τοῦ Ἰεσσεβούν; (7) Καὶ
νῦν πᾶν τὸ πρὸς ψυχὴν τοῦ βασιλέως
εἰς κατάβασιν, καταβαινέτω πρὸς
ἡμᾶς· ἀποκεκλεισμένοι εἰσὶν εἰς τὰς
χεῖρας τοῦ βασιλέως.

ΙΩΣΗ-

(1) Πρὸς Ἀβιάθαρ τὸν ἱερέα. αἱ αὐτ. (2) Τὸ ιβ' ἐδ. οὐκ ἐν ταῖς εἰρημ. ἐκδόσ. ἀλλ' ἐν τῇ κατὰ τὸ Φραγγ. κεῖται. (3) Μεσεράμ. ἡ ἐν Χάλ. ἐκδ. (4) Τὰς γεγενημένας συνθήκ. ἡ αὐτ. (5) Γαβαάδ. ἡ αὐτ. ἀνήκει δὲ τοῦτο τῷ, ἐν τῇ Καινῇ ἐν τῷ βουνῷ, τῷ ἐν τῷ ἑπομέν. ἐδ. τὸ δὲ, ἐν τῇ ἐρήμῳ τῇ ἐπηκόῳ, ἀντὶ τοῦ, Μαὼν, τοῦ ἐν τῷ ἑξῆς κδ. ἐδ.
(6) ὁμαλοῖς ἡ αὐτ. (7) Ἰεσσαιμοῦ, αἱ εἰρημ. ἐκδόσ.

A ** ΙΩΣΗΠΟΥ. Οἱ Ζιφηνοὶ χαριζόμενοι τῷ Σαούλῳ, μηνύουσιν αὐτῷ παρ' αὐτοῖς διατρίβειν τὸν Δαυίδην· καὶ παραδώσειν ἔφασαν ἐπ' αὐτὸν ἐλθόντι. καταληφθέντων γὰρ τῶν τῆς Ζιφήνης στενῶν, οὐκ εἶναι φυγεῖν αὐτῷ πρὸς ἄλλους.

κα. Καὶ εἶπεν αὐτοῖς Σαοὺλ, εὐλο-
γημένοι ὑμεῖς τῷ Κυρίῳ, ὅτι ἐπονέ-
κβ. σατε περὶ ἐμοῦ. Πορεύθητε δὴ καὶ
ἑτοιμάσατε ἔτι, καὶ γνῶτε τὸν τόπον
αὐτοῦ οὗ ἔσται ὁ τόπος (1) αὐτοῦ ἐν τά-
χει, ἐκεῖ οὗ εἴπατε, μήποτε πανουργευ-
κγ. σάμενος πανουργεύσηται. Καὶ ἴδετε
καὶ γνῶτε ἐκ πάντων (2) τόπων ὅπου
κρυβήσεται ἐκεῖ, καὶ ἐπιστρέψατε πρός
με εἰς ἕτοιμον, καὶ πορεύσομαι μεθ'
ὑμῶν. καὶ ἔσται εἰ ἔστιν ἐπὶ τῆς γῆς, καὶ
ἐξερευνήσω αὐτὸν ἐν πάσαις χιλιάσιν
κδ. Ἰούδα. Καὶ ἀνέστησαν οἱ Ζιφαῖοι ἐκ
τῆς αὐχμώδους, καὶ ἐπορεύθησαν ἔμ-
προσθεν Σαοὺλ. καὶ Δαβὶδ καὶ οἱ ἄν-
δρες αὐτοῦ ἐν τῇ ἐρήμῳ τῇ Μαὼν καθ'
ἑσπέραν ἐγγὺς (3) τοῦ Μαεσσεβοῦν.
κε. Καὶ ἐπορεύθη Σαοὺλ καὶ οἱ ἄνδρες αὐ-
τοῦ ζητεῖν αὐτόν. καὶ ἀπήγγειλε (4)
τῷ Δαβὶδ, καὶ κατέβη εἰς τὴν πέ-
τραν τὴν ἐν (5) ἐρήμῳ Μαών. [καὶ ἤκου-
σε Σαοὺλ, καὶ κατεδίωξεν ὀπίσω Δα-
κς. βὶδ εἰς τὴν ἔρημον.] Καὶ πορεύονται
A Σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ ἐκ μέρους τοῦ
ὄρους ἐκ τούτου, καὶ ἦν Δαβὶδ καὶ οἱ
ἄνδρες αὐτοῦ ἐκ μέρους τοῦ ὄρους ἐκ τού-
του. καὶ ἦν Δαβὶδ σκεπαζόμενος πο-
ρεύεσθαι ἀπὸ προσώπου Σαοὺλ. καὶ
Σαοὺλ καὶ οἱ ἄνδρες αὐτοῦ παρενέβα-
λον ἐπὶ Δαβὶδ καὶ τοὺς ἄνδρας αὐτοῦ,
συλλαβεῖν αὐτούς.
B κζ. Καὶ ἄγγελος ἦλθε πρὸς Σαοὺλ,
λέγων, σπεῦδε καὶ δεῦρο, ὅτι ἀλλόφυ-
κη. λοι ἐπέθεντο ἐπὶ τὴν γῆν. Καὶ ἀνέ-
στρεψε Σαοὺλ μὴ καταδιώκειν ὀπίσω
Δαβὶδ, καὶ ἐπορεύθη εἰς συνάντησιν
τῶν ἀλλοφύλων· διὰ τοῦτο ἐκλήθη ὁ
τόπος ἐκεῖνος, Πέτρα ἡ μερισθεῖσα.

** ΙΩΣΗΠΟΥ. Ἀντιπεριέσπασαν τὸν Σάουλον ἀπὸ τῆς διώξεως τοῦ Δαυίδου, μέλ-
Γ λοντος ἤδη συλλαμβάνεσθαι, Παλαιστῖνοι, πάλιν ἐπὶ τὴν τῶν Ἑβραίων ἐστρατευκέναι χώραν ἀκουσθέντες. ἐπὶ γὰρ τούτους ἀνέστρεψε, φύσει πολεμίους ὄντας· αὐτοὺς ἀμύνασθαι κρίνας ἀναγκαιότερον, ἢ τὸν ἴδιον σπουδάζοντα λαβεῖν ἐχθρὸν, ὑπεριδεῖν τὴν γῆν κακωθεῖσαν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἔδειξε δὲ καὶ ὁ Θεὸς τὴν οἰκείαν κηδεμονίαν. μέλλοντος γὰρ θηρεύεσθαι τοῦ Δαβὶδ, τῇ τῶν ἀλλοφύλων ἐφόδῳ τὸν κατὰ τοῦ Δαβὶδ ἐπέδησε
Δ δρόμον. τοῦτο γὰρ ἐγνωκὼς, ὑπέστρεψεν (6) ὁ Σαούλ.

ΚΕΦ. ΚΔ.

α. Καὶ ἀνέστη Δαβὶδ ἐκεῖθεν, καὶ
ἐκάθισεν ἐν τοῖς στενοῖς ἐν
β. Γαδδί. Καὶ ἐγενήθη ὡς
ἀνέστρεψε Σαοὺλ ἀπὸ ὄπισθεν τῶν ἀλ-
λοφύλων, καὶ ἀνηγγέλη (7) αὐτῷ,
λέγοντες, ἰδοὺ Δαβὶδ ἐν τῇ ἐρήμῳ
γ. Γαδδί. Καὶ ἔλαβε μεθ' ἑαυτοῦ τρεῖς
χιλιάδας ἀνδρῶν ἐκλεκτοὺς ἐκ παν-
τὸς Ἰσραὴλ, καὶ ἐπορεύθη ζητεῖν τὸν
Δαβὶδ, καὶ τοὺς ἄνδρας αὐτοῦ ἐπὶ πρό-
σωπον τῶν Πετρῶν Σαδεέμ.

** ΙΩΣΗΠΟΥ. Δαυίδης μὲν οὕτως ἐκ παραλόγου τὸν κίνδυνον διαφυγὼν, εἰς τὰ στενὰ τῆς Ἐνγεδήνης ἀφικνεῖται. Σαούλῳ δὲ ἐκβαλόντι τοὺς Παλαιστίνους ἧκον ἀπαγγέλλοντές τινες τὸν Δαυίδην ἐν τοῖς Ἐνγεδηνοῖς διατρίβειν ὅροις. λαβὼν δὲ τρισχιλίους ὁπλίτας ἐπιλέκτους, ἐπ' αὐτὸν ἠπείγετο.

δ. Καὶ ἦλθεν εἰς τὰς ἀγέλας τῶν
ποιμνίων τὰς ἐπὶ τῆς ὁδοῦ, καὶ ἦν ἐκεῖ
σπήλαιον. καὶ Σαοὺλ εἰσῆλθε παρα-
σκευάσασθαι, καὶ Δαβὶδ καὶ οἱ ἄν-
δρες αὐτοῦ ἐσώτερον τοῦ σπηλαίου ἐκά-
θηντο.

** ΙΩΣΗΠΟΥ. Γινόμενος οὖν πόρρω τῶν τόπων, ὁρᾷ παρὰ τὴν ὁδὸν σπήλαιον
E βαθὺ καὶ κοῖλον, εἰς πολὺ καὶ μῆκος ἀνεῳγὸς καὶ πλάτος, ἔνθα συνέβαινε τὸν Δαυίδην μετὰ τῶν τετρακοσίων κεκρύφθαι. ἐπειγόμενος οὖν ὑπὸ τῶν κατὰ φύσιν, εἴσεισιν εἰς αὐτὸ μόνος.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ,
„ εἰσῆλθε Σαοὺλ παρασκευάσασθαι εἰς τὸ σπήλαιον; Σεμνῶς ἡρμηνεύθη παρὰ τῶν Ἑβδομήκοντα. ὁ δὲ Ἀκύλας [αὐτὸ] σαφέ-
Z” στερον εἴρηκεν· εἰσῆλθε γάρ φησιν ἀποκενῶσαι. ὁ δὲ Ἰώσηπος, τὰς φυσικὰς ἐκκρίσεις ποιήσασθαι. μέγιστον μέντοι τὸ σπήλαιον ἦν. εἶχε γὰρ ἔνδον καὶ τὸν Δαβὶδ, καὶ τοὺς σὺν αὐτῷ κεκρυμμένους.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἑσπέρας καταλαβούσης, ἐπειδὴ μήπω πέρας εἶχεν ὁ κίνδυνος, τοῦ μὲν ἡλίου τὰς οἰκείας δυσμὰς κατειληφότος, τοῦ δὲ φθόνου τὴν δύσιν οὐκ ἔχοντος. εἰσέρχεται Δαβὶδ εἴς τι
H παρακείμενον σπήλαιον· εἰσῄει δὲ καὶ ὁ Σαοὺλ ἀγνοίᾳ

(1) Ὁ ποῦς. αἱ αὐτ.
(2) Τῶν τόπων. . . . κρύβεται. αὐτ. ἐν ταῖς σημειώσ.
(3) Ἐκ δεξιῶν τοῦ Ἰεσσαιμοῦ. αἱ αὐτ.
(4) Ἀπήγγειλαν. αἱ αὐτ.
(5) Ἐν τῇ. αἱ αὐτ.
(6) Ἀνέστρεψεν. ἡ ἐν Χαλ. ἐκδ.
(7) Ἀπηγγέλη αὐτῷ, λεγόντων. αἱ εἰρημ. ἐκδόσ.

ἀγνοίᾳ κρατούμενος, καὶ ὑπὸ τῆς ὥρας ὠθούμενος. εἰσελθὼν δὲ ὕπνῳ δεσμεύεται μετὰ τῶν δορυφόρων.

ε. Καὶ εἶπον οἱ ἄνδρες Δαβὶδ πρὸς αὐτὸν, ἰδοὺ ἡ ἡμέρα αὕτη, ἣν εἶπε Κύριος πρὸς σὲ παραδοῦναι τὸν ἐχθρόν σου εἰς χεῖράς σου, καὶ ποιήσεις αὐτῷ ὡς ἀγαθὸν ἐν ὀφθαλμοῖς σου. καὶ ἀνέστη Δαβὶδ, καὶ ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος τοῦ Σαοὺλ λαθραίως.

** ΙΩΣΗΠΟΥ. Θεαθεὶς ὑφ' ἑνὸς τῶν μετὰ Δαυΐδου· καὶ φράσαντος τοῦ θεασαμένου πρὸς τὸν ἐχθρὸν αὐτοῦ παρὰ τοῦ Θεοῦ καιρὸν ἔχειν ἀμύνης, καὶ συμβουλεύοντος τοῦ Σαούλου ἀποτεμεῖν τὴν κεφαλὴν, καὶ τῆς πολλῆς ἄλης αὐτὸν ἀπαλλάξαι καὶ ταλαιπωρίας, ἀναστὰς ἀποτέμνει τὴν πτέρυγα τοῦ ἱματίου μόνον, οὗ ὁ Σάουλος ἀμπείχετο.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Οἱ σὺν τῷ Δαβὶδ φυγάδες ἕτοιμον θήραν τὸν πολεμοῦντα νομίσαντες, τὸν Δαβὶδ παροξύνουσιν· » ἰδοὺ ἡ ἡμέρα αὕτη, ἣν εἶπε Κύριος πρὸς σέ. ἰδοὺ δίδωμι τὸν ἐχθρόν σου εἰς τὰς χεῖράς σου. τίς οὐκ ἂν εὑρὼν τὸν οὕτως ἐχθρὸν ὕπνου γενόμενον θήραμα, μιᾷ πληγῇ τὸν οἰκεῖον οὐκ ἂν ἔλυσε κίνδυνον; ἀλλ' οὐ τοιοῦτος ὁ Δαβίδ. ἀλλὰ τί φησι, » μηδαμῶς ἐμοὶ παρὰ Κυρίου, εἰ ποιήσω τὸ ῥῆμα τοῦτο τῷ κυρίῳ μου τῷ χριστῷ Κυρίου, ἐπενεγκεῖν χεῖρά μου ἐπ' αὐτὸν, ὅτι χριστὸς Κυρίου ἐστί. Καὶ μετ' ὀλίγα. Οὐδὲ Θεοῦ μνήμη πρὸς φόνον τὸν Προφήτην ἀνέστησεν. ἀνθρώπου φόνος Θεοῦ δῶρον οὐ γίνεται, οὐδὲ τούτοις τὸ θεῖον ἀρέσκεται βλέμμα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τῆς δὲ διπλοΐδος τὸ πτερύγιον ἔτεμεν, εἰς ἔλεγχον μὲν τῆς ἐκείνου τιμωρίας, (1) ἀπόδειξιν δὲ τῆς οἰκείας φιλοσοφίας.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες τὰ δίκτυα τεταμένα, καὶ τὸ θήραμα ἐναπειλημμένον, καὶ τὸν κυνηγέτην ἑστῶτα, καὶ πάντας ἐγκελευομένους βαπτίσαι τὸ ξίφος εἰς τὸ τοῦ πολεμίου στῆθος, θέα μοι λοιπὸν τὴν φιλοσοφίαν, θέα τὴν πάλην, τὴν νίκην, τὸν στέφανον. καὶ γὰρ στάδιον ἦν τὸ σπήλαιον ἐκεῖνο, καὶ πάλη θαυμαστή τις ἐγίνετο καὶ παράδοξος. ἐπάλαιε μὲν γὰρ ὁ Δαβὶδ, ἐπύκτευε δὲ ὁ θυμὸς, καὶ ἔπαθλον ὁ Σαοὺλ ἔκειτο, καὶ ἀγωνοθέτης ἦν ὁ Θεός. Καὶ μεθ' ἕτερα. Ἄξιον δὲ καὶ αὐτῆς ἀκοῦσαι τῶν στρατιωτῶν τῆς συμβουλῆς. ἡ γὰρ κακουργία τῆς παραινέσεως τὸ στεῤῥὸν καὶ ἀπερίτρεπτον τῆς τοῦ δικαίου δείκνυσι γνώμης. οὐδὲ γὰρ εἶπον, ἰδοὺ ὁ μυρία σε διαθεὶς κακὰ, ὁ τῆς σφαγῆς ἐπιθυμήσας τῆς σῆς, ὁ περιβαλὼν ἡμᾶς τοῖς ἀνηκέστοις δεινοῖς· ἀλλ' ἐπειδὴ συνεῖδον ὅτι πάντων τούτων ὑπερεώρα, καὶ τῶν εἰς αὐτὸν ἡμαρτημένων οὐ πολὺν ἐποιεῖτο τὸν λόγον, ἄνωθεν αὐτῷ τὴν ψῆφον φέρουσιν, ὁ Θεὸς αὐτὸν παρέ- A δωκε λέγοντες, ἵνα τὴν ἐκεῖθεν αἰδεσθεὶς κρίσιν, ἑτοιμότερον ἐπὶ τὴν σφαγὴν ἔλθῃ. μὴ γὰρ σαυτὸν ἐκδικεῖς, φησί; τῷ Θεῷ διακονῇ καὶ ὑπηρετεῖς, καὶ τὴν ἐκείνου ψῆφον κυροῖς. ἀλλ' ὅσῳ ταῦτα ἔλεγον, τοσούτῳ μᾶλλον ἐφείδετο. ᾔδει γὰρ τοῦτο, ὅτι ὁ Θεὸς αὐτὸν αὐτῷ παρέδωκεν, ἵνα πλείονος εὐδοκιμήσεως αὐτῷ παράσχῃ πρόφασιν. Καὶ μεθ' ἕτερα. Ἵνα μὴ λέγῃς, ὅτι οὐδὲ ἔπαθέ τι τοιοῦτον, οἷον εἰκὸς ἦν, ἀλλ' ἀναι- B σθησία τὸ γινόμενον ἦν, οὐχὶ φιλοσοφία, ὅρα πῶς ἀγριωθεὶς, ἐκαρτέρησεν. ὅτι γὰρ αὐτῷ διανέστη τὰ κύματα τῆς ὀργῆς, καὶ πολλὴ τῶν λογισμῶν ἐκινήθη ἡ ζάλη, καὶ τὸν χειμῶνα ἐχαλίνου τῷ φόβῳ τοῦ Θεοῦ, καὶ τὴν διάνοιαν ἐπιέζετο, ἐκ τῶν γινομένων ἐστὶν ἰδεῖν. » ἀνέστη γάρ φησι, καὶ ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος Σαοὺλ λαθραίως. εἶδες πόσος ἠγέρθη τῆς ὀργῆς ὁ χειμών; ἀλλ' οὐ προῆλθε περαιτέρω, οὐδὲ Γ εἰργάσατο τὸ ναυάγιον. ὁ γὰρ κυβερνήτης ταχέως αἰσθόμενος, ὁ εὐσεβὴς λογισμὸς, γαλήνην ἀντὶ χειμῶνος ἐποίησε.

ϛ. Καὶ ἐγενήθη μετὰ ταῦτα, καὶ ἐπάταξε καρδία Δαβὶδ, (2) ὅτι ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐδίδαξε δὲ ἡμᾶς ἡ ἱστορία τοῦ σώφρονος λογισμοῦ τὴν ἰσχύν. Δ » ἐπάταξε γάρ φησι τὸν Δαβὶδ ἡ καρδία αὐτοῦ, ὅτι ἀφεῖλε τὸ πτερύγιον τῆς διπλοΐδος· ἀντὶ τοῦ, μέχρι τούτου τὴν ἐπιχείρησιν συνεχώρησε, περαιτέρω δὲ προβῆναι κεκώλυκε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. » Ἐπάταξεν αὐτὸν ἡ καρδία αὐτοῦ, καὶ καθάπερ σκιρτῶντα καὶ μαινόμενον ἵππον, τὸν θυμὸν ἀνεχαίτισε. τοιαῦται τῶν ἁγίων αἱ ψυχαὶ, πρὶν ἢ πεσεῖν ἀνίστανται, πρὶν ἢ πρὸς τὴν ἁμαρτίαν ἐλθεῖν ἀναχαιτίζονται, ἐπειδὴ E νήφουσι, καὶ διαπαντός εἰσιν ἐγρηγοροῦσαι.

ζ. Καὶ εἶπε (3) πρὸς τοὺς ἄνδρας αὐτοῦ, μηδαμῶς μοι παρὰ Κυρίου, εἰ ποιήσω τὸ ῥῆμα τοῦτο (4) κυρίῳ τῷ χριστῷ Κυρίου, ἐπενέγκαι τὴν χεῖρά μου ἐπ' αὐτὸν, ὅτι χριστὸς Κυρίου ἐστὶν οὗτος.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. » Τί ἐστι, μηδαμῶς ἐμοὶ παρὰ Κυρίου; Ἀντὶ τοῦ, ἵλεώς μοι Z Κύριος, φησὶ, καὶ αὐτὸς εἰ βουληθείην, μὴ συγχωρῆσαι μοί ποτε τοῦτο ἐργάσασθαι ὁ Θεὸς, μηδὲ ἐπιτρέψειεν εἰς ταύτην ἐλθεῖν τὴν ἁμαρτίαν. ἐπειδὴ γὰρ οἶδε τὴν τοιαύτην φιλοσοφίαν σχεδὸν τὴν ἀνθρωπίνην ὑπερβαίνουσαν φύσιν, καὶ τῆς ἄνωθεν δεομένην ῥοπῆς, καὶ μικροῦ περιτραπέντα πρὸς τὴν σφαγὴν, εὔχεται λοιπὸν ὥστε καθαρὰν τὸν Θεὸν αὐτῷ διατηρῆσαι τὴν χεῖρα. Καὶ μετ' ὀλίγα. » Μή μοι γένοιτο παρὰ Κυρίου H » ἐπενεγκεῖν τὴν χεῖρά μου ἐπ' αὐτὸν, ὡς περὶ υἱοῦ τοῦ πολεμίου διαλεγόμενος, ὡς περὶ γνησίου

(1) Πονηρίας. ἡ ἐν Χάλ. ἔκδ.

(3) Εἶπε Δαβίδ. αἱ αὐτ.

(2) Δαβὶδ αὐτόν. αἱ εἰρημ. ἐκδόσ.

(4) Τῷ κυρίῳ μου. αἱ αὐτ.

γνησίου παιδός. καὶ οὐ μόνον ἐφείσατο, ἀλλὰ καὶ ἀπολογίαν τὴν ὑπὲρ αὐτοῦ συντίθησι. καὶ ὅρα πῶς συνετῶς καὶ σοφῶς. ἐπειδὴ γὰρ τὸν βίον αὐτοῦ διερευνώμενος, οὐδὲν εὕρισκεν ἀγαθὸν, οὐδὲν εἶχεν εἰπεῖν, ὅτι οὐκ ἠδίκημαι παρ' αὐτοῦ, οὐδὲ ἔπαθον κακῶς· ἔμελλον γὰρ ἀντιφθέγγεσθαι τούτοις οἱ στρατιῶται παρόντες, οἱ τῇ πείρᾳ μαθόντες αὐτοῦ τὴν πονηρίαν· περιέρχεται ἑτέρωθεν ζητῶν ἀπολογίαν εὐπρόσωπον εὑρεῖν. εἶτα οὐκ ἔχων ἀπὸ τοῦ βίου, οὐδὲ ἀπὸ τῶν ἔργων τῶν ἐκείνου ποιῆσαι, ἐπὶ τὴν τιμὴν » τὴν ἐκείνου κατέφυγεν, εἰπών· ὅτι χριστὸς Κυρίου ἐστί. τί λέγεις, φησίν; ὅτι μιαρὸς καὶ παμμίαρος, καὶ μυρίων γέμων κακῶν, καὶ τὰ ἔσχατα ἡμᾶς διαθείς; ἀλλὰ βασιλεὺς, ἀλλὰ ἄρχων, ἀλλὰ τὴν προστασίαν τὴν ἡμετέραν ἐνεχειρίσθη. καὶ οὐκ εἶπε, βασιλεὺς, ἀλλὰ τί; ὅτι χριστὸς Κυρίου ἐστὶν, οὐκ ἀπὸ τῆς κάτωθεν τιμῆς, ἀλλ' ἀπὸ τῆς ἄνωθεν ψήφου ποιήσας αἰδέσιμον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐγύμνωσε δὲ κἀνταῦθα τὴν οἰκείαν φιλοσοφίαν ὁ Δαβίδ. τῶν γὰρ σὺν αὐτῷ εἰς καιρὸν (1) ἀνελεῖν τὸν Σαοὺλ πειραθέντων, (2) αὐτὸς κωλύων, » φησί· μηδαμῶς μοι παρὰ Κυρίου, εἰ ποιήσω τὸ ῥῆμα τοῦτο τῷ κυρίῳ μου τῷ χριστῷ Κυρίου, ἐπενεγκεῖν τὴν χεῖρά μου, ὅτι χριστὸς Κυρίου ἐστί.

η. Καὶ ἔπεισε Δαβὶδ τοὺς ἄνδρας αὐτοῦ ἐν λόγοις, καὶ οὐκ ἔδωκεν αὐτοῖς ἀναστάντας θανατῶσαι τὸν Σαούλ. καὶ ἀνέστη Σαοὺλ καὶ κατέβη εἰς τὴν ὁδόν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἰπὼν ὁ συγγραφεὺς τὰ ῥήματα δι' ὧν παρῃτήσατο » τὴν σφαγὴν, ἐπήγαγεν, ὅτι οὐκ ἔδωκεν αὐτοῖς ἀναστῆναι καὶ ἀποκτεῖναι τὸν Σαοὺλ, ὁμοῦ καὶ τὴν ἐκείνων ἐπιθυμίαν τὴν περὶ τὴν σφαγὴν, καὶ τὴν ἀνδρείαν τὴν τούτου δεῖξαι βουλόμενος. καί τοι γε πολλοὶ τῶν ἐχθρῶν, καὶ οἱ δοκοῦντες φιλοσοφεῖν, κἂν αὐτοὶ μὴ καταδέξωνται ἀνελεῖν, ὑφ' ἑτέρων ἀναιρεῖσθαι μέλλοντας οὐκ ἂν ἕλοιντο κωλῦσαι. ὁ δὲ Δαβὶδ οὐχ οὕτως, ἀλλ' ὥσπερ τινὰ παρακαταθήκην λαβὼν, καὶ μέλλων αὐτῆς εὐθύνας διδόναι, οὐ μόνον αὐτὸς οὐχ ἥψατο τοῦ πολεμίου, ἀλλὰ καὶ ἑτέρους βουλομένους ἀνελεῖν ἐκώλυσε, σωματοφύλαξ ἀντὶ πολεμίου γενόμενος καὶ δορυφόρος ἄριστος. ὥστε οὐκ ἄν τις ἁμάρτοι τὸν Δαβὶδ μᾶλλον κινδύνῳ τότε περιπεπτωκέναι εἰπὼν, ἢ τὸν Σαούλ. οὐ γὰρ τὸν τυχόντα ἀγῶνα ὑπέμεινε, παντὶ τρόπῳ σπουδάζων αὐτὸν ἐξελέσθαι τῆς ἐπιβουλῆς τῆς παρ' ἐκείνων· οὐδὲ οὕτως ἐδεδοίκει μέλλων αὐτὸς ἀποσφάττεσθαι, ὡς ἐδεδοίκει μήποτε τῶν στρατιωτῶν τις ἐνδοὺς τῷ θυμῷ, διαφθείρῃ τὸν ἄνθρωπον. διὰ τοῦτο καὶ δικαιολογίαν τοιαύτην συνέθηκε.

A **θ. Καὶ ἐξῆλθε Δαβὶδ ὀπίσω αὐτοῦ ἐκ τοῦ σπηλαίου· καὶ ἐβόησε Δαβὶδ ὀπίσω Σαοὺλ, λέγων, κύριέ μου βασιλεῦ. καὶ ἐπέβλεψε Σαοὺλ εἰς τὰ ὀπίσω αὐτοῦ, καὶ ἔκυψε Δαβὶδ ἐπὶ πρόσωπον αὐτοῦ, (3) καὶ προσεκύνησεν αὐτῷ.**

** ΧΡΥΣΟΣΤΟΜΟΥ. » Καὶ ἐξῆλθε Δαβὶδ ἐκ τοῦ σπηλαίου ὀπίσω Σαοὺλ, καὶ B ἐβόησεν ὀπίσω αὐτοῦ οὕτω λέγων, κύριέ μου βασιλεῦ. καὶ ἀνέβλεψε Σαοὺλ ὀπίσω αὐτοῦ, καὶ ἔκυψε Δαβὶδ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ. Ταῦτα τοῦ σῶσαι τὸν ἐχθρὸν οὐκ ἐλάττονα φέρει κόσμον. οὐδὲ γὰρ τῆς τυχούσης ψυχῆς ἦν τὸ μὴ φυσηθῆναι ταῖς εἰς τὸν πλησίον εὐεργεσίαις, μᾶλλον δὲ τὸ μὴ τὸ τῶν πολλῶν παθεῖν, οἳ καθάπερ ἀνδραπόδων οὕτως ὑπερορῶσι τῶν εὐεργετηθέντων, καὶ τὰς ὀφρῦς Γ ἀνασπῶσιν. ἀλλ' οὐχ ὁ μακάριος Δαβὶδ οὕτως, ἀλλὰ μειζόνως ἐμετρίαζε καὶ μετὰ τὴν εὐεργεσίαν. τὸ δὲ αἴτιον, ὅτι οὐδὲν τῶν κατορθωμάτων τούτων ἐνόμιζε τῆς αὐτοῦ σπουδῆς εἶναι, ἀλλὰ τὸ πᾶν ἀνετίθει τῇ θείᾳ χάριτι. διὰ τοῦτο αὐτὸς σώσας, αὐτὸς προσκυνεῖ τὸν σωθέντα, καὶ βασιλέα καλεῖ πάλιν, καὶ δοῦλον ὀνομάζει ἑαυτὸν, διὰ τοῦ σχήματος ἐκείνου καταστέλλων τὸ φύσημα, καὶ τὸν θυμὸν παραμυθούμενος, καὶ Δ τὴν βασκανίαν ἀναιρῶν.

ι. Καὶ εἶπε Δαβὶδ πρὸς Σαοὺλ, ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ, λεγόντων, ἰδοὺ Δαβὶδ ζητεῖ τὴν ψυχήν σου;

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειράθη δὲ τοῖς ἠπίοις λόγοις τὸν φθόνον ἰάσασθαι καὶ » τὸν θυμὸν κατασβέσαι. ἵνα τί γάρ φησιν ἀκούεις τῶν λόγων τοῦ λαοῦ, λεγόντων, ἰδοὺ Δαβὶδ ζητεῖ τὴν ψυχήν σου εἰς κακά; E καὶ ἑξῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. » Ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ, λεγόντων, ἰδοὺ Δαβὶδ ζητεῖ τὴν ψυχήν σου; καὶ μὴν ἀνωτέρω τοὐναντίον ὁ συγγραφεὺς εἶπεν, (4) ὅτι πᾶς ὁ λαὸς ἦν μετ' αὐτοῦ. καὶ ἤρεσκεν ἐν ὀφθαλμοῖς τῶν δούλων τοῦ βασιλέως· καὶ ὁ τοῦ κρατοῦντος υἱὸς, καὶ τὸ στρατόπεδον ἅπαν μετ' αὐτοῦ ταῖς γνώμαις εἱστήκεσαν. πῶς οὖν ἐνταῦθά φησιν, ὅτι ἦσαν οἱ ἐνδιαβάλλον- Z τες καὶ συκοφαντοῦντες, καὶ τὸν Σαοὺλ παροξύνοντες; ὅτι γὰρ οὐ παρ' ἑτέρων ἀναπεισθεὶς, ἀλλ' αὐτὸς οἴκοθεν τὴν πονηρίαν ταύτην τεκὼν ἐπολέμει τῷ δικαίῳ, καὶ τοῦτο ἐδήλωσεν ὁ τὸ βιβλίον γράψας, εἰπὼν, ὅτι ἐκ τῆς εὐφημίας ὁ φθόνος ἐτίκτετο, καὶ προϊὼν ηὔξατο καθ' ἑκάστην ἡμέραν. τίνος οὖν ἕνεκεν ἐφ' ἑτέρους μεθίστησι τὴν » αἰτίαν, λέγων· ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ σου, λεγόντων, ἰδοὺ Δαβὶδ ζητεῖ τὴν H » ψυχήν σου; Διδοὺς ἐξουσίαν αὐτῷ ἀποκρούσασθαι

(1) Τὸ, εἰς καιρὸν, ψυχρὸν, ἢ καὶ περιττόν. ὃ ἡ ἐν Χάλ. ἔκδ. οὐ περιέχει.

(2) Τὴν μὲν σφαγὴν διεκώλυσεν, εἰρηκώς· μηδαμῶς, κτ. ἡ αὐτ.

(3) Ἐπὶ τὴν γῆν. αἱ εἰρημ. ἐκδόσ.

(4) 1. Βασ. 18. 16.

σασθαι τὴν πονηρίαν. τοῦτο γοῦν καὶ πατέ-
ρες πολλάκις ποιοῦσι ἐπὶ υἱῶν. καὶ λαβόν-
τις ἐκείνων τὸν ἑαυτοῦ υἱὸν διεφθαρμένον,
καὶ πολλὰ εἰργασμένον κακὰ, κἂν πεπει-
κὼς τύχοι ἑαυτὸν, ὅτι οἴκοθεν καὶ παρ'
ἑαυτοῦ πρὸς τὴν πονηρίαν ἐξώκειλεν, ὅμως
ἐφ' ἕτερον μετάγει τὰ ἐγκλήματα πολλά-
κις, οὑτωσὶ λέγων· οἶδα ὅτι οὐ σὸν γέγονε
τὸ ἁμάρτημα· ἕτεροί σε διέφθειραν καὶ
ἠπάτησαν· ἐκείνων ἅπαν ἐστὶ τὸ πλημμέ-
λημα. ὁ γὰρ ταῦτα ἀκούων δυνήσεται μι-
κρὸν ἀπὸ τῆς κακίας διαβλέψας εὐκολώ-
τερον πρὸς ἀρετὴν ἐπανελθεῖν, αἰσχυνό-
μενος καὶ ἐρυθριῶν ἀνάξιος τῆς περὶ αὐτοῦ
δόξης φανῆναι. τοῦτο καὶ Παῦλος ἐποίησε
τοῖς Γαλάταις γράφων. μετὰ τοὺς πολλοὺς
γοῦν καὶ μακροὺς ἐκείνους λόγους καὶ τὰς
ἀφάτους κατηγορίας, ἃς αὐτῶν κατηγόρη-
σε, πρὸς τῷ τέλει τῆς ἐπιστολῆς, βουλό-
μενος αὐτῶν ἀποσκευάσασθαι τὴν κατηγο-
ρίαν, ἵνα μικρὸν ἀναπνεύσαντες ἐκ τῶν
ἐγκλημάτων δυνηθῶσιν εἰς ἀπολογίαν ἐλ-
Γαλ. 5. 10. θεῖν, οὕτω πως φησίν· ἐγὼ πέποιθα εἰς
» ὑμᾶς, ὅτι οὐδὲν ἄλλο φρονήσετε· ὁ δὲ τα-
» ράσσων ὑμᾶς βαστάσει τὸ κρῖμα, ὅστις ἂν ᾖ.
οὕτω καὶ ὁ Δαβὶδ ἐποίησεν ἐνταῦθα. τὸ γὰρ
» εἰπεῖν, ἵνα τί ἀκούεις τῶν λόγων τοῦ λαοῦ λέ-
» γοντος, ἰδοὺ Δαβὶδ ζητεῖ τὴν ψυχήν σου,
ἔδειξεν ἑτέρους ὄντας τοὺς παροξύνοντας,
ἑτέρους τοὺς διαφθείροντας· παντὶ τρόπῳ
σπουδάζων ἀπολογίαν αὐτῷ παρασχεῖν τῶν
ἐγκλημάτων.

ια. Ἰδοὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ ἑωρά-
κασιν οἱ ὀφθαλμοί σου ὡς παρέδωκέ
σε Κύριος (1) εἰς τὰς χεῖράς μου ἐν τῷ
σπηλαίῳ, καὶ οὐκ ἠβουλήθην ἀποκτεῖ-
ναί σε, καὶ ἐφεισάμην σου, καὶ εἶπα,
οὐκ ἐποίσω χεῖρά μου ἐπὶ κύριόν μου,
ὅτι χριστὸς Κυρίου οὗτός ἐστι.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὑπὲρ τῶν
» καθ' ἑαυτὸν ἀπολογούμενός φησι· καὶ ἰδοὺ
» ἑωράκασιν οἱ ὀφθαλμοί σου σήμερον, ὡς
» παρέδωκέ σε Κύριος εἰς τὰς χεῖράς μου ἐν
» τῷ σπηλαίῳ, καὶ οὐκ ἠβουλήθην ἀποκτεῖναί
» σε, καὶ ἐφεισάμην σου, καὶ εἶπον, οὐκ ἐποίσω
» τὴν χεῖρά μου ἐπὶ τὸν κύριόν μου, ὅτι χρι-
» στὸς Κυρίου ἐστίν. Ἐκεῖνοι μὲν οὖν διὰ ῥημά-
των διαβάλλουσι, φησίν· ἐγὼ δὲ διὰ πραγ-
μάτων ἀπολογοῦμαι, καὶ δι' ἔργων ἀπο-
σκευάζομαι τὴν κατηγορίαν. οὐ χρεία μοι
λόγων, αὐτῆς τῶν πραγμάτων τῆς ἐκβά-
σεως παντὸς λόγου σαφέστερον δυναμένης
διδάξαι, τίνες μὲν ἐκεῖνοι, τίς δὲ ἐγώ· καὶ
ὡς συκοφαντία καὶ ψεῦδος ἡ κατ' ἐμοῦ γενο-
μένη διαβολή. καὶ τούτων οὐχ ἕτερον, ἀλλ'
αὐτόν σε καλῶ μάρτυρα τὸν εὖ παθόντα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίς οὐκ ἂν ἀγασθείη
τοῦ Προφήτου τὴν ἀρετήν; πατέρα τὸν ἐπί-
βουλον καλεῖ, καὶ κύριον τῆς βασιλείας, ὁ
τῆς βασιλείας τὴν χειροτονίαν δεξάμενος,

A [καὶ χριστὸν Κυρίου τὸν ἐστερημένον τῆς χά-
ριτος. ᾐσχύνετο γὰρ καὶ λυθεῖσαν τὴν τοῦ
Θεοῦ χειροτονίαν.]

ιβ. Καὶ ἰδοὺ τὸ πτερύγιον τῆς δι-
πλοΐδος σου ἐν τῇ χειρί μου, ἐγὼ ἀφή-
ρηκα καὶ (2) τὸ πτερύγιον τῆς διπλοΐ-
δος σου, καὶ οὐκ ἀπέκταγκά σε· καὶ
γνῶθι καὶ ἴδε σήμερον, ὅτι οὐκ ἔτι (3)
κακία ἐν τῇ χειρί μου οὐδὲ ἀσέβεια καὶ
B ἀθέτησις, καὶ οὐχ ἡμάρτηκα εἰς σὲ,
καὶ σὺ δεσμεύεις τὴν ψυχήν μου λα-
βεῖν αὐτήν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἰς βεβαίωσιν δὲ
τῶν λόγων ἐπέδειξε τὸ πτερύγιον· ἵνα γνοὺς
τὴν φιλανθρωπίαν, (4) αἰδεσθῇ τὴν εὐερ-
» γεσίαν. τοῦτο γὰρ εἶπε· γνῶθι καὶ ἴδε σή-
» μερον, ὅτι οὐκ ἔστιν ἐν τῇ χειρί μου κακία,
» οὐδὲ ἀθέτησις, οὐδὲ ἀσέβεια· καὶ οὐχ ἥμαρ-
Γ » τον εἰς σέ.
» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἰδοὺ τὸ πτερύ-
» γιον τῆς διπλοΐδος ἐν τῇ χειρί μου, ὃ ἐγὼ
» ἀφεῖλον, καὶ οὐκ ἀπέκτεινά σε. Ἄφωνος ὁ
μάρτυς, ἀλλὰ τῶν φωνὴν ἐχόντων σαφέ-
στερος. οὐ γὰρ ἂν εἰ μὴ πλησίον ἐγενόμην,
φησὶ, καὶ τοῦ σώματος ἐγγὺς εἱστήκειν τοῦ
σοῦ, τὸ μέρος ἂν ἔκοψα τοῦ ἱματίου. ὁρᾷς
ὅσον ἀγαθὸν ἐγένετο ἐκ τοῦ κινηθῆναι πα-
ρὰ τὴν ἀρχὴν τὸν Δαβίδ; εἰ μὴ γὰρ ἐκι-
Δ νήθη πρὸς τὴν ὀργὴν, οὐκ ἂν οὔτε τὴν φι-
λοσοφίαν ἐμάθομεν τοῦ ἀνδρός· οὐδὲ γὰρ
ἀπὸ φιλοσοφίας, ἀλλ' ἐξ ἀναισθησίας μᾶλ-
λον ἔδοξεν ἂν πολλοῖς ἡ φειδὼ γενέσθαι·
οὐδ' ἂν ἐξέκοψε τὴν διπλοΐδα· μὴ ἐκκόψας
δὲ, οὐδαμόθεν ἑτέρωθεν εἶχε πιστώσασθαι
τὸν ἐχθρόν. νυνὶ δὲ κινηθεὶς καὶ τεμὼν,
ἀναμφισβήτητον ἀπόδειξιν τῆς αὐτοῦ προ-
νοίας παρέσχετο. ἐπεὶ οὖν οὕτως ἀληθῆ καὶ
ἀνύποπτον μαρτυρίαν παρήγαγεν, αὐτὸν
E λοιπὸν τὸν ἐχθρὸν, καὶ δικαστὴν καὶ μάρ-
τυρα καλεῖ τῆς οἰκείας κηδεμονίας οὑτωσὶ
» λέγων· γνῶθι καὶ ἴδε σήμερον, ὅτι οὐκ ἔστιν
» ἐν τῇ χειρί μου κακία, οὐδὲ ἀθέτησις, καὶ
» σὺ δεσμεύεις τὴν ψυχήν μου τοῦ λαβεῖν αὐ-
τήν. ἐντεῦθεν μάλιστα ἄν τις αὐτὸν θαυ-
μάσειε τῆς μεγαλοψυχίας, ὅτι ἀπὸ τῶν
κατ' ἐκείνην τὴν ἡμέραν συμβάντων τὴν
ἀπολογίαν ποιεῖται μόνον. τοῦτο γὰρ ἠνί-
» ξατο εἰπών· γνῶθι καὶ ἴδε σήμερον. οὐδὲν
Z λέγω τῶν παρελθόντων, φησίν· ἀρκεῖ μοι
πρὸς ἀπόδειξιν ἡ παροῦσα ἡμέρα· καίτοι-
γε πολλὰς καὶ μεγάλας ἔμπροσθεν εὐερ-
γεσίας γεγενημένας εἶχεν ἀριθμεῖν, εἴπερ
ἠβούλετο.

ιγ. Δικάσαι Κύριος ἀναμέσον ἐμοῦ
καὶ σοῦ, καὶ ἐκδικήσαι με Κύριος ἐκ
σοῦ· καὶ ἡ χείρ μου οὐκ ἔσται ἐπὶ σὲ,

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Κρίναι Κύριος
H » ἀνὰ μέσον ἐμοῦ καὶ σοῦ. Τοῦτο εἶπε τὸ ῥῆ-
μα, οὐχὶ κολασθῆναι βουλόμενος τὸν ἄνδρα,
οὐδὲ

(1) Σήμερον εἰς. αἱ αὐτ.
(2) Τὸ, καὶ, οὐ περιέχ. αἱ εἰρημ. ἐκδόσ.
(3) Οὐκ ἔστι. αἱ αὐτ.
(4) Τὴν φιλοσοφίαν. ἡ ἐν Χάλ. ἔκδ.

οὐδὲ τιμωρίαν παρ' αὐτοῦ λαβεῖν, ἀλλὰ φο-
A βῆσαι τῇ μνήμῃ τῆς μελλούσης κρίσεως·
καὶ οὐ φοβῆσαι μόνον, ἀλλὰ καὶ ὑπὲρ τῶν
καθ' ἑαυτὸν ἀπολογήσασθαι. μάλιστα μὲν
γάρ φησιν ἔχω καὶ ἀπὸ τῶν πραγμάτων
ἀποδείξεις· εἰ δὲ ἀπιστεῖς, αὐτὸν καλῶ τὸν
Θεὸν μάρτυρα τὸν τὰ ἀπόῤῥητα τῆς ἑκά-
στου διανοίας εἰδότα, καὶ τὸ συνειδὸς ἐρευ-
νῆσαι δυνάμενον. ταῦτα δὲ ἔλεγε, δεικνὺς
ὅτι οὐκ ἂν ἐτόλμησε καλέσαι τὸν ἀπαρα-
B λόγιστον δικαστὴν, καὶ ἐπ' αὐτοῦ τὴν δίκην
εἰσαγαγεῖν, εἰ μὴ σφόδρα ἦν πεπεικὼς ἑαυ-
τὸν, ὅτι πάσης ἐπιβουλῆς ἦν καθαρός. καὶ
ὅτι οὐ στοχασμὸς τὰ εἰρημένα, ἀλλὰ καὶ ὑπὲρ
τῶν καθ' ἑαυτὸν ἀπολογήσασθαι βουληθεὶς,
κἀκεῖνον σωφρονίσαι θέλων, τῆς δίκης
ἐκείνης ἀνέμνησεν, ἱκανὰ μὲν καὶ τὰ ἤδη
γεγενημένα δηλῶσαι· οὐκ ἔλαττον δὲ ἐκεί-
νων καὶ τὰ μετὰ ταῦτα συμβάντα τοῦτο πι-
στώσασθαι δύνανται.

Γ ιδ. Καθὼς λέγει (1) ἡ παραβολὴ
ἡ ἀρχαία· ἐξ ἀνόμων ἐξελεύσεται
πλημμέλεια. καὶ ἡ χείρ μου οὐκ ἔσται
ιε. ἐπὶ σέ. Καὶ νῦν ὀπίσω τίνος σὺ ἐκ-
πορεύῃ βασιλεὺς Ἰσραήλ; ὀπίσω τί-
νος καταδιώκεις; ὀπίσω κυνὸς τεθ-
νηκότος, ἢ ὀπίσω ψύλλου ἑνός;

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὴν
παραβολὴν, ἐξ ἀνόμων ἐξελεύσεται πλημ-
Δ μέλεια, [καὶ ἡ χείρ μου οὐκ ἔσται ἐπὶ σέ; Τὰ
καθ' ἑαυτὸν τῆς θείας ἐξήρτησε κρίσεως.
εἶπε γὰρ, κρίναι ὁ Θεὸς ἀναμέσον ἐμοῦ καὶ
σοῦ· ἡ δὲ χείρ μου οὐκ ἔσται ἐπὶ σοί. εἶτα προ-
σέθηκε τὴν παραβολήν. δηλοῖ δὲ αὕτη, ὡς
τῶν παρανόμων τὸ ἁμαρτάνειν, φιλοσό-
φων (2) δὲ τὸ φέρειν τὰ πλημμελούμενα.
ἀμέτρῳ δὲ κεχρημένος μετριότητι, κύνα
ὀδωδότα (3) [καὶ ψύλλαν] ἑαυτὸν ὀνομάζει·
E ὅπως τῇ τῆς ἠπιότητος (4) ὑπερβολῇ τὴν
ἀτεράμονα καταμαλάξῃ καρδίαν.

ις. Γένοιτο Κύριος εἰς κριτὴν καὶ
δικαστὴν ἀναμέσον ἐμοῦ καὶ ἀναμέσον
σοῦ, ἴδοι Κύριος καὶ κρίναι τὴν κρίσιν
μου, καὶ δικάσαι μοι ἐκ χειρός σου.

ιζ. Καὶ ἐγένετο, ὡς συνετέλεσε
Δαβὶδ τὰ ῥήματα ταῦτα λαλῶν
πρὸς Σαοὺλ, καὶ εἶπε Σαοὺλ, ἡ φωνή σου
Z αὕτη, τέκνον Δαβίδ; καὶ ἦρε Σαοὺλ
τὴν φωνὴν αὐτοῦ, καὶ ἔκλαυσε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁ μηδ' ἀπὸ ψι-
λοῦ τοῦ ὀνόματος ἀνεχόμενος αὐτὸν καλέ-
σαι ποτὲ, ἀλλὰ καὶ αὐτὴν αὐτοῦ μισῶν τὴν
προσηγορίαν, καὶ εἰς συγγένειαν αὐτὸν ἤγα-
γε, τέκνον αὐτὸν προσειπών. Καὶ μετ' ὀλίγα.
Τὰ ῥήματα ἐκεῖνα τοῦ Δαβὶδ εἰς τὴν διά-
νοιαν εἰσελθόντα τοῦ τεθηριωμένου τούτου,
H πᾶσαν ταύτην εἰργάσαντο τὴν μεταβολὴν,
ἣν καὶ ἀπὸ τῶν ῥημάτων τούτων ἐστὶν ἰδεῖν.

A οὔτε γὰρ εἶπεν, οἱ λόγοι σου οὗτοι, τέκνον Δα-
βὶδ, ἀλλὰ τί; ἡ φωνή σου αὕτη, τέκνον
Δαβίδ. καὶ πρὸς αὐτὸν γὰρ τὸν φθόγγον
διεθερμαίνετο λοιπόν. καὶ καθάπερ πατὴρ
χρονίας ἀκούσας φωνῆς παιδὸς ἐπανελθόν-
τος ποθὲν, οὐχὶ πρὸς τὴν ὄψιν μόνην, ἀλλὰ
καὶ πρὸς τὴν φωνὴν αὐτὴν διεγείρεται·
οὕτω καὶ ὁ Σαοὺλ, ἐπειδὴ τὰ ῥήματα τοῦ
Δαβὶδ εἰσελθόντα, τὴν ἔχθραν ἐξέβαλεν,
ἐπέγνω λοιπὸν τὸν ἅγιον, καὶ πάθος ἀπο-
B θέμενος, πάθος ἐδέξατο. ἐκβαλὼν γὰρ
θυμὸν, ἐδέξατο εὐθυμίαν τε καὶ συμπά-
θειαν. Καὶ μετ' ὀλίγα. Ἡ φωνή σου αὕτη τέκ-
νον Δαβίδ; ποία αὕτη; ἡ τὸν Γολιὰθ κα-
τενεγκοῦσα, καὶ τὴν πόλιν ἐξαρπάσασα τῶν
κινδύνων, καὶ περὶ δουλείας καὶ περὶ θανάτου
κινδυνεύοντας ἅπαντας καὶ πρὸς ἀσφά-
λειαν καὶ πρὸς ἐλευθερίαν ἐπανάγουσα πά-
λιν, ἡ τὴν ἐκείνου καταστέλλουσα μανίαν, ἡ
πολλὰ καὶ μεγάλα αὐτὸν ἐργασαμένη κα-
Γ λά. Καὶ μετ' ὀλίγα. Καὶ τί θαυμάζεις, εἰ θυ-
μὸν καταστέλλει φωνὴ δικαίου, καὶ πολεμίους
καθαιρεῖ, ὅπου γε καὶ δαίμονας ἀπελαύνει.
ἐφθέγγοντο γοῦν μόνον οἱ Ἀπόστολοι, καὶ
πᾶσαι ἐδραπέτευον αἱ ἀντικείμεναι δυνά-
μεις. ἡ φωνὴ τῶν ἁγίων καὶ τὰ στοιχεῖα
πολλάκις ἔστησε, καὶ τὰς ἐνεργείας αὐτῶν
μετέβαλεν. εἶπε γοῦν ὁ Ἰησοῦς τοῦ Ναυῆ μό-
νον, στήτω ὁ ἥλιος καὶ ἡ σελήνη, καὶ ἔστη· οὕτω Ἰησ. ι. ιβ.
καὶ ὁ Μωϋσῆς θάλατταν ἐπέδησε, καὶ ἀνῆ-
Δ κεν· οὕτως οἱ παῖδες οἱ τρεῖς τὴν ἐνέργειαν
τοῦ πυρὸς ἔσβεσαν διὰ τῶν ὕμνων ἐκείνων καὶ
διὰ τῆς φωνῆς. διὰ τοῦτο καὶ πρὸς αὐτὴν
τὴν φωνὴν διαθερμανθεὶς ὁ Σαοὺλ, ἔλεγεν·
ἡ φωνή σου αὕτη, τέκνον Δαβίδ;

ιη. Καὶ εἶπε Σαοὺλ πρὸς Δαβὶδ,
δίκαιος σὺ ὑπὲρ ἐμὲ, ὅτι σὺ ἀνταπέ-
δωκάς μοι ἀγαθὰ, καὶ ἐγὼ ἀνταπέ-
δωκά σοι κακά.

E * ΘΕΟΔΩΡΙΤΟΥ. Αὐτίκα γοῦν πλη-
γεὶς ἐκεῖνος, ὡμολόγησε τὴν εὐεργεσίαν.
εἶπε γὰρ [πρὸς Δαβὶδ,] δίκαιος σὺ ὑπὲρ
ἐμὲ, ὅτι σὺ μὲν ἀνταπέδωκάς μοι ἀγαθὰ,
ἐγὼ δὲ ἀνταπέδωκά σοι κακά. καὶ τὰ ἑξῆς
δὲ τοὺς ἐπαίνους ἔχει.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁρᾷς πῶς καὶ
τῆς οἰκείας κακίας καταγινώσκει, καὶ τὴν
ἀρετὴν ὑμνεῖ τοῦ δικαίου, καὶ μηδενὸς ἀναγ-
κάζοντος ἀπολογεῖται; Καὶ μετ' ὀλίγα. Οὐδὲ
Z γὰρ εἶπεν ἁπλῶς, εἰργάσω εἰς ἐμὲ ἀγαθὰ,
ἀλλ' ἀνταπέδωκάς μοι ἀγαθά· τουτέστιν ἀν-
τὶ τῆς ἐπιβουλῆς, ἀντὶ τῆς σφαγῆς, ἀντὶ
τῶν μυρίων κακῶν ἐκείνων εὐεργεσίαις ἡμᾶς
ἠμείψω μεγάλαις· ἐγὼ δ' οὐδ' οὕτως ἐγενό-
μην βελτίων, ἀλλὰ καὶ μετὰ τὰς εὐεργε-
σίας ἐκείνας ἐπέμεινα τῇ πονηρίᾳ, καὶ οὐδ'
οὕτω μετεβάλου, ἀλλὰ διέμεινας τὸν σεαυτοῦ
διατηρῶν τρόπον, καὶ πάλιν ἡμᾶς ἐπιβου-
λεύοντας εὐεργετῶν.

H ιθ. Καὶ σὺ ἀπήγγειλάς μοι σή-
μερον ἃ ἐποίησάς μοι ἀγαθὰ, ὡς
ἀπέκλει-

(1) Λέγεται. αἱ αὐτ.
(2) Τῶν δὲ φιλοσοφεῖν πεπαιδευμένων. ἡ ἐν Χάλ. ἔκδ.
(3) Τεθνηκότα. ἡ αὐτ.
(4) Ταπεινότητος. ἡ αὐτ.

ἀπέκλεισέ με Κύριος σήμερον εἰς χεῖράς σου, καὶ οὐκ ἀπέκτεινάς με.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ ἑτέραν αὐτῷ μαρτυρεῖ πάλιν ἀρετὴν, ὅτι εὐεργετήσας οὐκ ἐσίγησεν, οὐδ' ὑπερεῖδεν, ἀλλ' ἐλθὼν εἶπεν, οὐ πρὸς ἐπίδειξιν τοῦτο ποιῶν, ἀλλὰ δεῖξαι βουλόμενος, καὶ διὰ τῶν ἔργων αὐτῶν διδάξαι, ὅτι τῶν κηδομένων ἐστὶ καὶ προνοούντων, οὐ τῶν ἐπιβουλευόντων καὶ πονηρευομένων. τὸ γὰρ τὰς ἰδίας εὐεργεσίας λέγειν ἐστὶν, ὅπου τὸ κέρδος ἔχει μέγιστον. ὅταν γὰρ μηδεμιᾶς ὑποθέσεως οὔσης, προσφέρῃ τις αὐτὰς καὶ ἀνακηρύττῃ, τῶν ὀνειδιζόντων οὐδὲν ἄμεινον διακείσεται· ὅταν δὲ βουλόμενος πεῖσαι τὸν διεφθαρμένον καὶ πονηρὰν περὶ αὐτοῦ πρόληψιν ἔχοντα, τοῦτο ποιῇ, κηδεμὼν ἐστι καὶ εὐεργέτης. ὅπερ οὖν καὶ ὁ Δαβὶδ ἐποίησεν, οὐ τῆς παρ' αὐτοῦ δόξης ἐρῶν, ἀλλὰ τὸν ἐῤῥιζωμένον ἐν αὐτῷ θυμὸν ἀνασπάσαι βουλόμενος. καὶ διὰ τοῦτο γοῦν αὐτὸν ἐπῄνεσεν, ὅτι καὶ εὐεργέτησε, καὶ τὴν εὐεργεσίαν εἶπε.

B

κ. Καὶ ὅτι εἰ εὕροι τις τὸν ἐχθρὸν αὐτοῦ ἐν θλίψει, καὶ ἐκπέμψει αὐτὸν ἐν ὁδῷ ἀγαθῇ, καὶ Κύριος ἀνταποτίσει αὐτῷ ἀγαθὰ, καθὼς σὺ πεποίηκας σήμερον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ζητῶν ἀμοιβὴν, καὶ οὐδεμίαν ἔχων τῶν γεγενημένων ἴσην εὑρεῖν, τὸν Θεὸν αὐτὸν αὐτῷ δίδωσιν ὀφειλέτην, οὑτωσὶ λέγων· » ὅτι εἰ εὕροι τις τὸν » ἐχθρὸν αὐτοῦ ἐν θλίψει, καὶ ἐκπέμψει αὐ- » τὸν ἐν ὁδῷ ἀγαθῇ, καὶ Κύριος ἀνταποδῷ » αὐτῷ ἀγαθὰ, καθὼς πεποίηκας σὺ σήμερον. τί γὰρ καὶ εἶχεν ἄξιον ἀποδοῦναι τῶν εὐεργεσιῶν, εἰ καὶ τὴν βασιλείαν ἔδωκε καὶ τὰς πόλεις ἁπάσας; οὐ γὰρ πόλεις ἁπλῶς καὶ βασιλείαν, ἀλλὰ καὶ αὐτὴν αὐτῷ τὴν ψυχὴν ἐχαρίσατο ὁ Δαβίδ. οὗτος δὲ ψυχὴν ἀντιδοῦναι ἑτέραν οὐκ εἶχε. διὰ τοῦτο αὐτὸν τῷ Θεῷ παραπέμπει, καὶ ταῖς ἐκεῖθεν γεραίρει ἀμοιβαῖς, τοῦτόν τ' ἐπαινῶν, καὶ παιδεύων ἅπαντας, ὅτι τότε μείζους ἡμῖν παρὰ τοῦ Θεοῦ κείσονται αἱ ἀντιδόσεις, ὅταν μυρία τοὺς ἐχθροὺς ἀγαθὰ ποιήσαντες, τὰ ἐναντία ἀπολάβωμεν.

κα. Καὶ νῦν ἰδοὺ ἐγὼ γινώσκω, ὅτι βασιλεύων βασιλεύσεις, καὶ στήσεται ἐν χειρί σου ἡ βασιλεία Ἰσραήλ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Μετὰ δὲ τὸν ἔπαινον, τῆς βασιλείας αὐτῷ προσημαίνει τὸ » κράτος. γινώσκω [γὰρ] ἔφη, ὅτι βασι- » λεύων σὺ βασιλεύσεις, καὶ στήσεται ἡ βασι- » λεία Ἰσραὴλ ἐν χειρί σου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ πόθεν γινώσκεις, εἰπέ μοι, τοῦτο; παρὰ σοὶ τὰ στρατόπεδα, παρὰ σοὶ τὰ χρήματα, τὰ ὅπλα, αἱ πόλεις, οἱ ἵπποι, οἱ στρατιῶται, ἅπασα τῆς βασιλικῆς παρασκευῆς ἡ δύναμις· οὗτος δὲ ἔρημος καὶ γυμνὸς, ἄπολις καὶ ἀνέστιος, ἄοικος. πόθεν οὖν ταῦτα λέγεις; εἰπέ μοι.

A Ἀπ' αὐτοῦ μὲν οὖν τοῦ τρόπου. οὐ γὰρ ἂν ὁ γυμνὸς καὶ ἄοπλος καὶ ἔρημος, ἐμοῦ τοῦ καθωπλισμένου καὶ τοσαύτην περιβεβλημένου δύναμιν περιεγένετο, εἰ μὴ τὸν Θεὸν εἶχε μεθ' ἑαυτοῦ· ὁ δὲ τὸν Θεὸν ἔχων μεθ' ἑαυτοῦ, πάντων ἐστὶν ἰσχυρότερος. εἶδες οἷα φιλοσοφεῖ μετὰ τὴν ἐπιβουλὴν ὁ Σαούλ; εἶδες πῶς δυνατὸν ἅπασαν ἀποπτύσαι πονηρίαν καὶ μεταβαλέσθαι, καὶ πρὸς τὸ βέλτιον ἐπανελθεῖν;

κβ. Καὶ νῦν ὄμοσόν μοι ἐν Κυρίῳ, ὅτι οὐκ ἐξολοθρεύσεις τὸ σπέρμα μου ὀπίσω μου, καὶ οὐκ ἀφανιεῖς τὸ ὄνομά μου ἐκ τοῦ οἴκου τοῦ πατρός μου.

» ** ΝΕΙΛΟΥ. Τὸ, ὀπίσω μου, τὸν μέλλοντα χρόνον δηλοῖ. ὡς ὅταν φησὶν ἡ » Γραφὴ, τίς ἀπαγγελεῖ τῷ ἀνθρώπῳ τί Ἐκκλ. 10.14 » ἄρα ἔσται ὀπίσω αὐτοῦ; τουτέστι μετέπειτα.

Γ » καὶ ὁ Σαοὺλ λέγει τῷ Δαβὶδ, ὄμοσόν μοι, » ὅτι οὐ μὴ ἐξολοθρεύσεις τὸ σπέρμα μου ὀπίσω μου, τουτέστι μετὰ ταῦτα· μετὰ τὴν ἐμὴν φησὶν ἀποβίωσιν, μὴ ἐξαφανίσῃς τὰ ἔγγονά μου.

** ΘΕΟΔΩΡΙΤΟΥ. Ἠξίωσε δὲ ἧς ἀπήλαυσε κηδεμονίας [καὶ τὸ γένος] τυ- » χεῖν. ὄμοσον γάρ μοι, φησὶ, κατὰ τοῦ Κυ- » ρίου, ἵνα μὴ ἐξολοθρεύσῃς τὸ σπέρμα μου. » εἶτα μετ' ὀλίγα. καὶ ὤμοσε Δαβὶδ τῷ Σαούλ.

Δ τοσαύτη ἡ τῆς κακίας ἀσθένεια. ὅτι ὁ τοσούτων μυριάδων ἡγούμενος τὸν φυγάδα παρεκάλει, καὶ ὁ μετὰ πλήθους στρατεύων τὸν ἀποδιδράσκοντα μεταδοῦναι φιλανθρωπίας ἱκέτευε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Δέησιν ὁ βασιλεὺς τῷ ἰδιώτῃ προσάγει, καὶ ἱκετηρίαν τίθησιν ὁ τὸ διάδημα περικείμενος, ὑπὲρ τῶν παίδων τῶν ἑαυτοῦ παρακαλῶν τὸν φυγάδα. καὶ τοῦτο τῆς τοῦ Δαβὶδ ἀρετῆς

E τεκμήριον, τὸ περὶ τῶν τοιούτων θαῤῥῆσαι τὸν ἐχθρόν. εἰ δ' ὅρκον ἐπαιτεῖ, οὐκ ἀπιστῶν τῷ τρόπῳ τοῦ Δαβὶδ, ἀλλ' ἐννοῶν ὅσα εἰς αὐτὸν εἰργάσατο κακά. » ὄμοσόν μοι μὴ » ἀφανίσαι τὸ σπέρμα μου ὀπίσω μου. ἐπίτροπον τὸν πολέμιον καταλιμπάνει τῶν ἑαυτοῦ παίδων, καὶ ταῖς ἐκείνου χερσὶν ἐντίθησι τὰ ἔκγονα, μονονουχὶ τῆς δεξιᾶς αὐτῶν λαβόμενος διὰ τῶν ῥημάτων τούτων, καὶ τὸν Θεὸν μεσίτην εἰσάγων.

Z κγ. Καὶ ὤμοσε Δαβὶδ τῷ Σαούλ. καὶ ἀπῆλθε Σαοὺλ εἰς τὸν τόπον αὐτοῦ, καὶ Δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ ἀνέβησαν εἰς τὴν Μεσαρὰ στενήν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εὐθέως ἐπένευσε, καὶ τὴν χάριν ἔδωκε· καὶ τελευτήσαντος τοῦ Σαούλ, οὐ μόνον οὐκ ἀπέκτεινεν, ἀλλὰ καὶ πλέον ὧν ὡμολόγησε, τότε παρέσχε. τὸν γὰρ ἔγγονον τὸν τούτου, χωλὸν

H ὄντα, καὶ πεπηρωμένον τὸ σκέλος, εἰς τὴν οἰκίαν εἰσήγαγε τὴν ἑαυτοῦ, καὶ ὁμοτράπεζον ἐποίησε, καὶ τῆς μεγίστης ἠξίωσε τιμῆς.

ΚΕΦ.

Κ Ε Φ. ΚΕ.

α. Καὶ ἀπέθανε Σαμουὴλ, καὶ
συναθροίζονται πᾶς Ἰσ-
ραὴλ, καὶ κόπτονται αὐ-
τὸν, καὶ θάπτουσιν αὐτὸν ἐν οἴκῳ αὐ-
τοῦ ἐν Ἀρμαθαίμ. καὶ ἀνέστη Δαβὶδ,
καὶ κατέβη εἰς τὴν ἔρημον Μαάν.

** ΙΩΣΗΠΟΥ. Ἀποθνήσκει κατὰ
τοῦτον τὸν καιρὸν καὶ Σαμούηλος ὁ προφή-
της, ἀνὴρ οὐ τῆς τυχούσης ἀπολαύων παρὰ
τοῖς Ἑβραίοις τιμῆς. ἐνεφάνισε γὰρ τὴν
ἀρετὴν αὐτοῦ καὶ τὴν τοῦ πλήθους πρὸς αὐ-
τὸν εὔνοιαν τὸ πένθος, ὃ ἐπὶ πολλὴν χρό-
νον ὁ λαὸς ἤγετο· καὶ ἡ περὶ τὴν ταφὴν
αὐτοῦ καὶ τὴν τῶν νομιζομένων ἀναπλήρω-
σιν φιλοτιμία τε καὶ σπουδή. θάπτουσι δ'
αὐτὸν ἐν τῇ πατρίδι Ῥαμαθᾷ. καὶ ἐπὶ πολ-
λὰς πάνυ ἡμέρας ἔκλαυσαν, οὐ κοινὸν τοῦτο
πάσχοντες ὡς ἐπ' ἀλλοτρίου τελευτῇ, ὡς εἰς
οἰκεῖον δ' ἕκαστος παθών. ἐγένετο δ' ἀνὴρ
δίκαιος καὶ χρηστὸς τὴν φύσιν. καὶ διὰ τοῦτο
μάλιστα φίλος τῷ Θεῷ. ἦρξε δὲ καὶ προέστη
τοῦ λαοῦ μετὰ τὴν τοῦ Ἡλεὶ ἀρχιερέως τε-
λευτὴν, μόνος μὲν ἔτη δώδεκα, μετὰ δὲ τοῦ
Σαούλου τοῦ βασιλέως δέκα πρὸς τοῖς ὀκτώ.

β. Καὶ ἦν ἄνθρωπος ἐν τῇ Μα-
ναὰν, (1) καὶ τὰ ποίμνια αὐτοῦ ἐν τῷ
Καρμήλῳ, καὶ ὁ ἄνθρωπος μέγας σφό-
δρα· καὶ τούτῳ πρόβατα τρισχίλια, καὶ
αἶγες χίλιαι. καὶ ἐγενήθη ἐν τῷ κείρειν
τὸ ποίμνιον αὐτοῦ ἐν τῷ Καρμήλῳ.

** ΙΩΣΗΠΟΥ. Ἦν δέ τις τῶν Ζιφη-
νῶν, ἐκ πόλεως Ἐμμὰ, πλούσιος καὶ πολυ-
θρέμματος. τρισχιλίων μὲν γὰρ αὐτοῦ ποίμ-
νη προβάτων ἐνέμετο, χιλίων δ' αἰγῶν.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ τὰ ποίμνια αὐ-
» τοῦ ἐν τῷ Καρμήλῳ. [Κάρμηλον] ἐνταῦθα
οὐ τὸ ὄρος εἰρηκέναι φησὶν (2) Εὐσέβιος ὁ
Καισαρείας, ἀλλὰ κώμην τινὰ μέχρι καὶ
νῦν οὕτως ὀνομαζομένην, [νοτόθεν τῆς
Ἱερουσαλὴμ κειμένην,] ἐν ᾗ φασὶν ᾠκηκέ-
ναι τὸν Νάβαλ.

γ. Καὶ ὄνομα τῷ ἀνθρώπῳ Νά-
βαλ, καὶ ὄνομα τῇ γυναικὶ αὐτοῦ Ἀβι-
γαία. καὶ ἡ γυνὴ ἀγαθὴ συνέσει καὶ
καλὴ τῷ εἴδει σφόδρα· καὶ ὁ ἄνθρω-
πος σκληρὸς καὶ πονηρὸς ἐν ἐπιτηδεύ-
μασι, καὶ ὁ ἄνθρωπος κυνικός. (3)

** ΙΩΣΗΠΟΥ. Ἦν δὲ Νάβαλος, τοῦτο
γὰρ εἶχεν ὄνομα, σκληρὸς καὶ πονηρὸς τοῖς
ἐπιτηδεύμασιν, ἐκ κυνικῆς (4) ἀσκήσεως πε-
ποιημένος τὸν βίον· γυναικὸς δ' ἀγαθῆς καὶ
σώφρονος, καὶ τὸ εἶδος σπουδαίας λελογχώς.

δ. Καὶ ἤκουσε Δαβὶδ ἐν τῇ ἐρήμῳ,
ὅτι κείρει Νάβαλ ὁ Καρμήλιος τὸ
ε. ποίμνιον αὐτοῦ. Καὶ Δαβὶδ ἀπέστει-
λε (5) δέκα παιδάρια, καὶ εἶπε τοῖς
παιδαρίοις, ἀνάβητε εἰς Κάρμηλον,
καὶ ἀπέλθετε πρὸς Νάβαλ, καὶ ἐρω-
B τήσατε αὐτὸν ἐπὶ τῷ ὀνόματί μου εἰς
εἰρήνην.

ϛ. Καὶ ἐρεῖτε τάδε· εἰς ὥρας καὶ
σὺ ὑγιαίνων καὶ ὁ οἶκός σου, καὶ πάν-
τα τὰ σὰ ὑγιαίνοντα.

** ΙΩΣΗΠΟΥ. Πρὸς τὸν Νάβαλον,
καθ' ὃν ἔκειρε τὰ πρόβατα καιρὸν, πέμ-
ψας ὁ Δαυΐδης ἄνδρας δέκα τῶν σὺν αὐτῷ,
διὰ τούτων αὐτὸν ἀσπάζεται, καὶ συνεύχε-
Γ ται τοῦτο ποιεῖν ἐπ' ἔτη πολλά.

ζ. Καὶ νῦν ἰδοὺ ἀκήκοα ὅτι κείρουσί
σοι νῦν οἱ ποιμένες σου οἳ ἦσαν μεθ'
ἡμῶν ἐν τῇ ἐρήμῳ, καὶ οὐκ ἀπεκωλύ-
σαμεν αὐτοὺς, καὶ οὐκ ἐνετειλάμεθα
αὐτοῖς οὐδὲν πάσας τὰς ἡμέρας ὄντων
η. αὐτῶν ἐν τῷ Καρμήλῳ. Ἐρώτησον
τὰ παιδάριά σου, καὶ ἐροῦσί σε· (6)
Δ καὶ εὑρέτωσαν τὰ παιδάριά σου χάριν
ἐν ὀφθαλμοῖς σου, ὅτι ἐφ' ἡμέραν
ἀγαθὴν ἥκομεν· δὸς δὴ ὃ ἐὰν εὕρῃ ἡ
χείρ σου τοῖς παισί σου, καὶ τῷ υἱῷ σου
τῷ Δαβίδ.

** ΙΩΣΗΠΟΥ. Παρασχεῖν ἐξ ὧν δυ-
νατός ἐστιν αὐτῷ παρεκάλει, μαθόντι πα-
ρὰ τῶν ποιμένων, ὅτι μηδὲν αὐτοὺς ἠδική-
σαμεν, ἀλλὰ φύλακες αὐτῶν τε καὶ τῶν
ποιμνίων γεγόναμεν, πολὺν ἐν τῇ ἐρήμῳ
E διατρίβοντες ἤδη χρόνον. μετανοήσει δ'
οὐδὲν Δαυΐδῃ παρασχόμενος.

θ. Καὶ ἔρχονται τὰ παιδάρια Δα-
βὶδ, καὶ λαλοῦσι τοὺς λόγους τούτους
πρὸς Νάβαλ κατὰ πάντα τὰ ῥήμα-
τα ταῦτα ἐν τῷ ὀνόματι Δαβίδ. καὶ
ι. ἀνεπήδησε, Καὶ ἀπεκρίθη Νάβαλ
τοῖς παισὶ Δαβὶδ, καὶ εἶπε, τὶς ὁ Δα-
Z βὶδ, καὶ τὶς ὁ υἱὸς Ἰεσσαί; σήμερον πε-
πληθυμένοι εἰσὶν οἱ ἀναχωροῦντες ἕκα-
στος ἐκ προσώπου τοῦ κυρίου αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ταῦτα δὲ τῶν πεμφ-
θέντων διακονησάντων (7) πρὸς τὸν Νάβα-
λον, ἀπανθρώπως σφόδρα καὶ σκληρῶς
ἀπήντησεν. ἐρωτήσας γὰρ αὐτοὺς τίς ἐστι
Δαυΐδης, ὡς τὸν υἱὸν ἤκουσεν Ἰεσσαίου, νῦν
ἄρα, εἶπε, μεγαλοφρονοῦσιν ἐφ' ἑαυτοὺς οἱ
δραπέ-

(1) Μαών. αἱ εἰρημ. ἐκδόσ. ὁμοίως καὶ ἐν τῷ 1. ἐδ. ἀντὶ τοῦ Μαάν.
(2) Ἐν τῷ περὶ τοπικ. ὀνομ. σελ. 50. τῆς ἐν Ἀμστελ. ἐκδόσ. (3) Κυνηγός. ἡ τοῦ Ἀλδ. ἐκδ.
(4) Τὸ, ἐκ κυνικῆς ἀσκήσεως πεποιημένος τὸν βίον, ὁ Ῥουφῖν. (ἐν ταῖς σημ. ταῖς ἐν τῷ
13. κεφ. τοῦ 6. βιβλ. περὶ Ἰουδαϊκ. ἀρχαιολ.) ἐκφράζει· habens vitam deteſtabilem, ἔχων βίον ἀποτρόπαιον.
(5) Ἀπέστειλε. αἱ εἰρημ. ἐκδόσ. (6) Ἀπαγγελοῦσί σοι. αἱ αὐτ. (7) Διακομισάντων πάντως ἀναγνωστ.

A δραπέτα κὴ σεμνιώονται, τὲς δεασότας
καταλιπόντες.

ια. Καὶ λήψομαι τὲς ἄρτες μυ
καὶ τὸν οἶνόν μυ καὶ τὰ θύματά μυ,
ἃ τέθυκα τοῖς κέιρυσί μυ τὰ πρόβα-
τα, καὶ δώσω αὐτὰ ἀνδράσι, οἷς ὐκ
ιβ. οἶδα πόθεν εἰσί; Καὶ ἀπεςράφησαν
τὰ παιδάρια Δαβὶδ εἰς ὁδὸν αὐτῶν,
καὶ ἀνέςρεψαν καὶ ἦλθον, καὶ ἀνήγ-
B γειλαν τῷ Δαβὶδ κατὰ πάντα τὰ
ῥήματα ταῦτα.

ιγ. Καὶ εἶπε Δαβὶδ τοῖς ἀνδρά-
σιν αὐτῦ, ζώσαθε ἕκαςος τὴν ῥομ-
φαίαν αὐτῦ. καὶ περιεζώσαντο ἀνὴρ
τὴν μάχαιραν αὐτῦ. (1) καὶ ἀνέβη-
σαν ὀπίσω Δαβὶδ, ὡς τετρακόσιοι
ἄνδρες· καὶ διακόσιοι ἐκάθισαν με-
Γ τὰ τῶν σκεύῶν.

✱✱ ΙΩΣΗΠΟΥ. Ὀργίζεται ὁ Δαυΐ-
ιϛ. δης· καὶ τετρακοσίυς μὲν ὡπλισμένυς αὐ-
τῷ κελεύσας ἕπεσθαι, διακοσίυς δὲ φύλα-
κας τῶν σκεύῶν καταλιπὼν, ἤδη γὰρ εἶχεν
ἑξακοσίυς, ἐπὶ τὸν Νάβαλον ἐβάδιζεν,
ὀμόσας ἐκείνῃ τῇ νυκτὶ τὸν οἶκον αὐτῦ καὶ
τὴν κτῆσιν ὅλην ἀφανίσειν. ὐ γὰρ ἄχθε-
σθαι μόνον ὅτι γέγονεν ἀχάριςος εἰς αὐτὺς,
μηδὲν ἐπιδὺς, πολλῇ φιλανθρωπίᾳ πρὸς
Δ αὐτὸν χρησαμένυς· ἀλλ' ὅτι καὶ προσε-
βλασφήμησε, καὶ κακῶς εἶπε, μηδὲν ὑπ'
αὐτῶν λελυπημένος.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ τοσαύτην ἐπὶ
Σαῦλ ἐπιδειξάμενος μακροθυμίαν, τί δή-
ποτε τὸν Νάβαλ ἀνελεῖν ἐπειράθη; Πολ-
λῆς καὶ ὗτος εὐεργεσίας ἀπήλαυσε. συν-
διατρίβων γὰρ τοῖς τύτυ ποιμέσιν [ἐν τῇ
ἐρήμῳ,] ὐ μόνον τὺς οἰκείυς ἀφελεῖν τὶ
τῶν (2) ἐκείνυ διεκώλυσεν, ἀλλὰ καὶ τὰς
E ἑτέρας (3) βλάβας ἀνέκοπτε. τῦτο γὰρ
οἱ ποιμένες τὴν Ἀβιγαίαν ἐδίδαξαν, [ὅτι
» ἀγαθοὶ ἡμῖν οἱ ἄνδρες σφόδρα, κὶ ὐκ ἀπε-
» κώλυσαν ἡμᾶς, ὐδὲ ἐπιτετάχασιν ἡμῖν πά-
» σας τὰς ἡμέρας, ἃς ἦμεν παρ' αὐτοῖς. καὶ
» ἐν τῷ εἶναι ἡμᾶς ἐν ἀγρῷ, ὡσεὶ τεῖχος
» ἦσαν περὶ ἡμᾶς, καὶ τὴν ἡμέραν καὶ τὴν
» νύκτα, πάσας τὰς ἡμέρας ὄντων ἡμῶν
» μετ' αὐτῶν, καὶ ποιμαινόντων τὰ ποίμνια
ἡμῶν.] καὶ ἡ μὲν (4) εὐεργεσία πολλὴ, ἡ δὲ
Z αἴτησις μικρὰ, (5) [καὶ τὴν σπάνιν τῶν
» ἀναγκαίων μηνύυσα. εὑρέτω γὰρ [φησι]
» χάριν τὰ παιδάρια ἐν ὀφθαλμοῖς συ, ὅτι
» ἐφ' ἡμέραν ἀγαθὴν ἡμεῖς ἥκομεν. δὸς δὴ ὃ
» ἂν εὕρῃ ἡ χείρ συ τοῖς παισὶ τῦ υἱῦ συ Δα-
βίδ. τί διαφέρει ταῦτα τὰ ῥήματα τῶν
[παρὰ τῶν] προσαιτύντων [προσφερομέ-
νων λόγων;] ἀλλ' ὁ θηριώδης [ἀνὴρ] ὐ μό-
νον ὐκ ἔδωκεν, ἀλλὰ καὶ προσεπαρῴνησε.

» τίς γάρ φησι Δαβὶδ, καὶ τίς υἱὸς Ἰεσσαί;
» σήμερον πεπληθυμμένοι εἰσὶν οἱ δῦλοι οἱ
» ἀποδιδράσκοντες [ἕκαςος] ἀπὸ προσώπυ
» τῶν κυρίων αὐτῶν. τῶν εὐεργεσιῶν τοίνυν
ὁ Δαβὶδ μεμνημένος, καὶ τῆς παροινίας
ἀκύσας, ὥρμησεν ὁπλισάμενος. ἐλογίσατο
γὰρ, ὡς ὁ μὲν Σαῦλ εἶχεν ἀφορμὴν τῆς
ἀδικίας τὴν δυναςείαν, καὶ τὸν φθόνον
τῆς βασιλείας· ὗτος δὲ ὐδεμίαν πρόφασιν
ἔχων, ταῖς ἐσχάταις λοιδορίαις κατ' αὐ-
τῦ ἐχρήσατο.

ιδ. Καὶ τῇ Ἀβιγαίᾳ γυναικὶ Νά-
βαλ ἀπήγγειλεν ἓν τῶν παιδαρίων,
λέγων, ἰδὺ Δαβὶδ ἀπέςειλεν ἀγγέ-
λυς ἐκ τῆς ἐρήμυ εὐλογῆσαι τὸν κύ-
ριον ἡμῶν, καὶ ἐξέκλινεν ἀπ' αὐτῶν.

ιε. Καὶ οἱ ἄνδρες ἀγαθοὶ ἡμῖν
σφόδρα, κὶ ὐκ ἀπεκώλυσαν ἡμᾶς, ὐδὲ
ἐνετείλαντο ἡμῖν ὐδὲν πάσας τὰς ἡμέ-
ρας ἃς ἦμεν παρ' αὐτοῖς. Καὶ ἐν τῷ
εἶναι ἡμᾶς ἐν ἀγρῷ, ὡς τεῖχος ἦσαν
περὶ ἡμᾶς καὶ τὴν νύκτα καὶ τὴν ἡμέ-
ραν, πάσας τὰς ἡμέρας ἃς ἦμεν παρ'
αὐτοῖς ποιμαίνοντες τὸ ποίμνιον.

ΙΣΙΔΩΡΟΥ. (6) Τινές σέ φασιν ἐπ'
ἐρημίας ὀχλαγωγεῖν, καὶ ἐν μέσῳ δήμων
ὁπλοφορεῖν, καὶ τῷ Δαβὶδ ἐοικέναι φαν-
τάζεσθαι, αὐτὸ τῦτο πᾶσιν ἐμμανῶς ἐγκα-
λῦντα. ἴσθι δὲ, σχέτλιε κὶ ἐμβρόντητε, ὅτι
ὁ μέγας Δαβὶδ οἰκονομίᾳ Θεῦ σκεπαζόμε-
νος, τὴν τῦ Σαῦλ ἐπιβυλὴν διεδίδρασκεν,
εὐεργετῶν μὲν, ἀθετύμενος δὲ, καὶ ὡς τεῖ-
χος τοῖς γειτονῦσιν αὐτῷ καὶ φαινόμενος
καὶ γινόμενος, ὡς οἱ παῖδες ἐμαρτύρυν τῦ
Νάβαλ. σὺ δὲ ὐ μόνον τοῖς γείτοσι δυσ-
μενὴς εἶ καὶ ἀπάνθρωπος, ἀλλὰ καὶ τοῖς
πόῤῥω ἐπιβυλεύειν σπυδάζεις. ὅρα ὖν μή-
σέ τις θεήλατος διορθώσηται μάςιξ, εἰ μὴ
μεταβάλῃς (7) τῆς φαύλης συ καὶ κακί-
ςης συ γνώμης.

ιζ. Καὶ νῦν γνῶθι καὶ ἴδε σὺ τί
ποιήσεις, ὅτι συντετέλεςαι ἡ κακία
εἰς τὸν κύριον ἡμῶν καὶ εἰς τὸν οἶκον
αὐτῦ, καὶ ὗτος υἱὸς λοιμὸς, καὶ ὐκ
ἔςι λαλῆσαι πρὸς αὐτόν.

ιη. Καὶ ἔσπευσεν Ἀβιγαία κὶ ἔλα-
βε διακοσίυς ἄρτυς, καὶ δύω ἀγγεῖα
οἴνυ, κὶ πέντε πρόβατα πεποιημένα,
καὶ πέντε οἴφι (8) ἀλφίτυ, καὶ γό-
μορ ἓν ςαφίδος, καὶ διακοσίας πα-
λάθας, καὶ ἔθετο ἐπὶ τὺς ὄνυς.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ οἴφι, σάτα ὁ
Ἀκύλας ἡρμήνευσε· τὸ δὲ γόμορ ἰσόμετρον
εἶναι τῷ οἴφι. (9) μεμαθήκαμεν δὲ τῦτο
καὶ

(1) Αὐτῦ, καὶ περιεζώσατο καὶ Δαβὶδ τὴν μάχαιραν αὐτῦ. καί. ἐν ταῖς σημ. τῆς ἐν Φραν. ἐκδόσ.
(2) Τῶν ἐκείνῳ προσηκόντων. ἡ ἐν Χάλ. ἔκδ. (3) Ἑτέρωθεν ἐπιγινομένας διεσκέδασε βλάβας.
τῦτο, κτ. ἡ αὐτ. (4) Ἡ μὲν ὖν εὐεργεσία τοσαύτη. ἡ αὐτ. (5) Μετρία. ἡ αὐτ.
(6) Ἐπιςολὴ σκή Ἡσαΐᾳ. καὶ ταῦτα πρόσκειται ἐν τῷ κώδ. ἔςι δὲ ἡ 482. ἐπις. τῦ 1. βιβλ.
(7) Μεταβάλοιο τῆς φαύλης καί. αὐτ. ὀρθῶς. (8) Οἰφί. αἱ εἰρημ. ἐκδόσ.
(9) Ὑφεὶ μεμαθήκαμεν ἐκ. ἡ ἐν Χάλ. ἔκδ.

καὶ ἐκ τῆς τοῦ [θεσπεσίου] Ἰεζεκιὴλ (1) προφητείας.

ιθ. Καὶ εἶπε τοῖς παιδαρίοις αὐτῆς, προπορεύεσθε ἔμπροσθέν μου, καὶ ἰδοὺ ἐγὼ ὄπισθεν ὑμῶν παραγίνομαι· καὶ τῷ ἀνδρὶ αὐτῆς Νάβαλ οὐκ ἀπήγ-
κ. γειλε. Καὶ ἐγενήθη αὐτῆς ἐπιβεβηκυίας ἐπὶ τὸν (2) ὄνον, καὶ καταβαινούσης ἐν σκέπῃ τοῦ ὄρους, καὶ ἰδοὺ Δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ ἀναβαίνοντες (3) εἰς συνάντησιν αὐτῆς, καὶ ἀπήντησεν αὐτοῖς.

** ΙΩΣΗΠΟΥ. Ἀβιγαία ἐπισάξασα τοὺς ὄνους, καὶ πληρώσασα παντοίων ξενίων, καὶ μηδὲν εἰποῦσα τἀνδρί, ὑπὸ γὰρ μέθης ἀναίσθητος ἦν, ἐπορεύετο πρὸς Δαυΐδην. καταβαινούσης δὲ τὰ στενὰ τοῦ ὄρους ἀπήντησε Δαυΐδης, μετὰ τετρακοσίων ἐπὶ Νάβαλον ἐρχόμενος.

κα. Καὶ Δαβὶδ εἶπεν, ἴσως εἰς ἄδικον ἐφύλαξα τὰ τοῦ Νάβαλ ἐν τῇ ἐρήμῳ, καὶ οὐκ ἐνετειλάμην λαβεῖν ἐκ πάντων τῶν αὐτοῦ οὐθέν, καὶ ἀνταπέδωκέ μοι πονηρὰ ἀντὶ ἀγαθῶν.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἴσως εἰς ἄδικον·
» Ἀκύλας, πλὴν ματήν. Καὶ μεθ' ἕτερα. Οὐδὲν
Ψαλ. 7. 4. » ἧττον ἐναντίον τῷ, εἰ ἀνταπέδωκα τοῖς ἀν-
» ταποδιδοῦσί μοι κακά, τὸ μὴ μόνον αὐτόν, ἀλλὰ καὶ τοὺς αὐτοῦ πάντας ἀνελεῖν κατεπείγεσθαι. πρὸς ὃ ῥητέον, ὡς οὐδὲ ἀνταπέδωκεν, ἐκ τῆς τοῦ Θεοῦ κεκωλυμένος προνοίας, τῆς τὰ τῶν ἁγίων ἀναπληρούσης ἐλ-
Ψαλ. 29. 6, 7. λείματα. διὰ ταῦτα τάχα φησίν· ἐγὼ δὲ
» εἶπον ἐν τῇ εὐθηνίᾳ μου, οὐ μὴ σαλευθῶ εἰς
» τὸν αἰῶνα. Κύριε ἐν τῷ θελήματί σου πα-
» ράσχου τῷ κάλλει μου δύναμιν· ἀπέστρεψας
» δὲ τὸ πρόσωπόν σου, καὶ ἐγενήθην τεταραγμένος. γίνονται γὰρ ἐγκαταλείψεις πρὸς τὸ μὴ τοὺς ἁγίους ἐπαίρεσθαι, ὡς Πέτρῳ παρὰ τὴν ἄρνησιν, καὶ Παύλῳ Ἄγγελος Σατάν. διὸ καὶ τὸ τῇ προνοίᾳ διακονησάμενον γύναιον ὑπερηγάπησεν ὡς εἰκός, ὡς ἐμποδὼν αὐτῷ γενόμενον τοῦ πάθους. Καὶ μετ' ὀλίγα. Ληφθείη δ' ἂν ταῦτα καὶ εἰς τὸν πρῶτον λαὸν τὸν ἀγνώμονα, καὶ κακὰ ἀντ' ἀγαθῶν ἀποδεδωκότα Χριστῷ. ἐξ οὗπερ ἡ τοῦ Θεοῦ λατρεία μετέπεσεν εἰς τὸν νέον Δαβίδ, δι' ὃν παντελῶς οὐκ ἀπώλετο, ἐπὶ τῇ ἀφροσύνῃ συγγνώμην λαβὼν, εἰπόν-
Λουκ. 23. 34. τος τοῦ Χριστοῦ· πάτερ ἄφες αὐτοῖς· οὐ γὰρ
» οἴδασιν ὃ ποιοῦσιν. ἐν οἷς ζητῶν βρῶμα, οὐχ εὗρεν, ὡς οὐδὲ ἐν τῇ συκῇ τῇ τυπούσῃ τὴν Ἰουδαίων συναγωγήν.

κβ. Τάδε ποιήσαι ὁ Θεὸς τῷ Δαβὶδ καὶ τάδε προσθείη, εἰ ὑπολείψο-
Α μαι ἐκ πάντων τῶν τοῦ Νάβαλ ἕως πρωῒ οὐροῦντα πρὸς τοῖχον.

» * ΠΡΟΚΟΠΙΟΥ. Οὐροῦντα πρὸς τοῖχον. Οὐκ οὐρεῖ τις ἔσω, οὐδὲ πρὸς τοῖχον, εἰ μὴ σχολάζοι. τοῦτο οὖν φησιν, ὅτι καὶ τὸν ἀμέριμνον καὶ μηδὲν προσδοκῶντα πα-
» θεῖν· ἢ οὐροῦντα πρὸς τοῖχον, τὸν ἀσθενῶς διακείμενον, καὶ στῆναι δίχα τοῦ ἐρείδεσθαι τῷ τοίχῳ ἀδυνατοῦντα. ἄλλοι δὲ τὸν κύνα
Β εἰρήκασι. τοῦτο γὰρ αὐτῷ ἔθος. ὡς ἂν εἰ ἔλεγεν, ἕως κυνὸς οὐχ ὑπολείψομαι.

κγ. Καὶ ἴδεν Ἀβιγαία τὸν Δαβίδ, καὶ ἔσπευσεν (4) ἐνώπιον Δαβίδ, καὶ ἐπὶ πρόσωπον αὐτῆς, καὶ προσε-
κδ. κύνησεν αὐτῷ ἐπὶ τὴν γῆν. Ἐπὶ τοὺς πόδας αὐτοῦ, καὶ εἶπεν, ἐν ἐμοὶ κύριέ μου ἡ ἀδικία μου, λαλησάτω δὴ ἡ δούλη σου εἰς τὰ ὦτά σου, καὶ ἄκουσον λό-
Γ γον τῆς δούλης σου.

» * ΠΡΟΚΟΠΙΟΥ. Ἐν ἐμοὶ κύριέ μου ἡ
» ἀδικία, ἀντὶ τοῦ, ἐμοί, φησί, λόγισαι. ὡς αὐτῇ ἀδικησάσῃ. ἡ μὴ ἀδικήσασα ταῦτά φησιν, ἵνα ὁ δίκαιος Δαβὶδ ταύτῃ τὰ τοῦ ἠδικηκότος χαρίσηται.

κε. Μὴ δὴ θέσθω ὁ κύριός μου καρδίαν αὐτοῦ ἐπὶ τὸν ἄνθρωπον τὸν λοιμὸν τοῦτον, ὅτι κατὰ τὸ ὄνομα αὐτοῦ
Δ αὐτός ἐστι· Νάβαλ ὄνομα αὐτῷ, καὶ ἀφροσύνη μετ' αὐτοῦ. καὶ ἐγὼ ἡ δούλη σου οὐκ εἶδον τὰ παιδάρια τοῦ κυρίου μου ἃ ἀπέστειλας.

** ΙΩΣΗΠΟΥ. Θεασαμένη αὐτὸν ἡ γυνή, κατεπήδησε, καὶ πεσοῦσα ἐπὶ πρόσωπον προσεκύνει, καὶ τῶν μὲν Ναβάλου λόγων ἐδεῖτο μὴ μνημονεύειν. οὐ γὰρ ἀγνοεῖν αὐτὸν ὅμοιον ὄντα τῷ ὀνόματι. Νάβα-
Ε λος δὲ κατὰ τὴν Ἑβραίων γλῶτταν ἀφροσύνην δηλοῖ. αὐτὴ δ' ἀπελογεῖτο, μὴ θεάσασθαι τοὺς πεμφθέντας ὑπ' αὐτοῦ.

* ΠΡΟΚΟΠΙΟΥ. Τὸ Νάβαλ δὲ ὄνομα μετέβαλεν ἡ Ἀβιγαία. ὅ ἐστι θρηνῶδες ἐπίρρημα. τοιοῦτος γὰρ κἀκεῖνος ἄξιος θρήνου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ Νάβαλ [ὄνομα] εἰς τὴν ἑλλάδα φωνὴν μεταβαλλόμενον, τὴν ἀφροσύνην σημαίνει. τοῦτο γὰρ καὶ ἡ Ἀβιγαία δεδήλωκε, καὶ (5) ἡ βίβλος
Ζ τῶν ἑβραϊκῶν ὀνομάτων. ὁ δὲ Ἀκύλας οὕτως
» ἔφη· Νάβαλ ὄνομα [αὐτῷ,] καὶ ἀπόρ-
» ρευσις μετ' αὐτοῦ. τὴν αὐτὴν δὲ ἔχει διάνοιαν. ὑπορρέοντος (6) γὰρ τοῦ λογικοῦ καὶ σβεννυμένου, τὸ τῆς ἀφροσύνης ἐπιγίνεται πάθος.

κς. Καὶ νῦν κύριέ μου, ζῇ Κύριος καὶ ζῇ ἡ ψυχή σου, καθὼς ἐκώλυσέ σε Κύριος τοῦ μὴ ἐλθεῖν εἰς αἷμα ἀθῴων, ἀλλὰ

(1) Κεφ. 45. ἐδ. 11. (2) Ἐπὶ τὴν. αἱ εἰρημ. ἐκδόσ. (3) Κατέβαινεν. αἱ αὐτ.
(4) Ἔσπευσε καὶ κατεπήδησεν ἀπὸ τῆς ὄνου, καὶ ἔπεσεν ἐνώπιον Δαβὶδ ἐπὶ πρόσ. αἱ αὐτ.
(5) Καὶ τῆς τῶν ἑβραϊκῶν ὀνομάτων ἑρμηνείας ἡ βίβλος. ὁ δὲ, κτ. ἡ ἐν Χαλ. ἔκδ.
(6) Ἀπορρέοντος. ἡ αὐτ. ἐμφαντικώτερ.

ἀλλὰ σώζειν τὴν χεῖρά σου σοί. καὶ νῦν γένοιντο ὡς Νάβαλ οἱ ἐχθροί σου καὶ οἱ ζητοῦντες τῷ κυρίῳ μου κακά.

» ✱✱ ΙΩΣΗΠΟΥ. Συγγίνωσκέ μοι, φησὶ, καὶ τῷ Θεῷ χάριν ἔχε, κωλύοντί σε μιανθῆναι ἀνθρωπίνῳ αἵματι. μένοντα γάρ σε καθαρὸν ἐκεῖνος αὐτὸς ἐκδικήσει παρὰ τῶν πονηρῶν. ἃ γὰρ ἐκδέχεται κακὰ Νάβαλον, ταῦτα καὶ ταῖς τῶν ἐχθρῶν σου κεφαλαῖς συμπέσοι.

» ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ, καθὼς ἐκώλυσέ σε Κύριος τοῦ μὴ ἐλθεῖν (1) εἰς αἷμα ἀθῶον, καὶ σώζειν τὴν χεῖρά σου· (2) ὁ Ἀκύλας, τοῦ μὴ μυσάζειν εἴρηκεν, ἀντὶ τοῦ, ἵνα μὴ μύσους ἐκ τῆς μιαιφονίας ἀναπλησθῇς.

κζ. Καὶ νῦν λάβε τὴν εὐλογίαν ταύτην, ἣν ἐνήνοχεν ἡ δούλη σου τῷ κυρίῳ μου, λάβε, καὶ δώσεις τοῖς παιδαρίοις τοῖς παρεστηκόσι τῷ κυρίῳ μου.

κη. Ἆρον δὴ τὸ ἀνόμημα τῆς δούλης σου, ὅτι ποιῶν ποιήσει Κύριος τῷ κυρίῳ (3) οἶκον πιστὸν, ὅτι πόλεμον τοῦ κυρίου μου Κύριος πολεμήσει, καὶ κακία οὐχ εὑρεθήσεταί ἐν σοὶ πώποτε.

» ✱✱ ΙΩΣΗΠΟΥ. Γενοῦ εὐμενής μοι, κρίνας ἀξίαν τοῦ παρ' ἐμοῦ ταῦτα δέξασθαι, καὶ τὸν θυμὸν καὶ τὴν ὀργὴν τὴν ἐπὶ τὸν ἄνδρα μου καὶ τὸν οἶκον αὐτοῦ εἰς τὴν ἐμὴν τιμὴν ἄφες. πρέπει γὰρ ἡμέρῳ σοι καὶ φιλανθρώπῳ τυγχάνειν, καὶ ταῦτα μέλλοντι βασιλεύειν.

κθ. Καὶ ἀναστήσεται ἄνθρωπος καταδιώκων σε καὶ ζητῶν τὴν ψυχήν σου, καὶ ἔσται ἡ ψυχὴ τοῦ κυρίου μου ἐνδεδεμένη δεσμῷ τῆς ζωῆς παρὰ Κυρίῳ τῷ Θεῷ, καὶ ψυχὴν ἐχθρῶν σου σφενδονήσεις ἐν μέσῳ τῆς σφενδόνης.

» ✱ ΠΡΟΚΟΠΙΟΥ. Καὶ τὴν ψυχὴν, φησὶν, ἐχθρῶν σου σφενδονήσεις. τοιοῦτόν φησι· καὶ ἐὰν ὡς ἐν σφενδόνῃ ποτὲ εὑρεθῇς ἐν μέσῳ τῶν ἐχθρῶν σου, οὐκ ἀποτιναχθήσῃ, οὐδὲ σφενδονηθήσῃ· οἱ μέντοι ἐχθροί σου ἀποτιναχθήσονται.

λ. Καὶ ἔσται ὅταν ποιήσῃ Κύριος τῷ κυρίῳ μου πάντα ὅσα ἐλάλησεν ἀγαθὰ ἐπὶ σὲ, καὶ ἐντελεῖταί σοι Κύριος εἰς ἡγούμενον ἐπὶ Ἰσραὴλ,

» ΑΔΗΛΟΥ. Εἰς ἡγούμενον ἐπὶ Ἰσραήλ. Μᾶλλον διὰ τὸν λόγον τοῦτον ὁ Δαβὶδ ἠγάγετο αὐτὴν μετὰ τὸν τοῦ Νάβαλ θάνατον.

λα. Καὶ οὐκ ἔσται σοι τοῦτο βδελυγμὸς καὶ σκάνδαλον καρδίας τῷ κυρίῳ μου, ἐκχέαι αἷμα ἀθῶον δωρεὰν, καὶ σῶσαι κυρίου μου (4) αὐτῷ· καὶ ἀγα-

A θῶσαι (5) τῷ κυρίῳ μου, καὶ μνησθήσῃ τῆς δούλης σου ἀγαθῶσαι αὐτῇ.

» ✱ ΠΡΟΚΟΠΙΟΥ. Βδελυγμός· Ἀκύλας λυγμὸς ἐξέδωκεν· αἰνίττεται δὲ τὰς τοῦ συνειδότος ἀκίδας· τὸ δὲ, βαροὺχ, Κύριος εὐλογητός.

» ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ τὸ, οὐκ ἔστι (6) σοι βδελυγμὸς καὶ σκάνδαλον καρδίας τῷ κυρίῳ μου· ἀντὶ τοῦ, βδελυγμὸς, νυγμὸς ὁ
B Ἀκύλας ἑρμήνευσεν· (7) αἰνίττεται δὲ τὰς τοῦ συνειδότος ἀκίδας· τὸ δὲ, βαροὺχ, Κύριος εὐλογητός.

λϐ. Καὶ εἶπε Δαβὶδ τῇ Ἀβιγαίᾳ, εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσραὴλ, ὃς ἀπέστειλέ σε σήμερον ἐν ταύτῃ εἰς ἀπάντησίν μου,

λγ. Καὶ εὐλογητὸς ὁ τρόπος σου, καὶ εὐλογημένη σὺ ἡ ἀποκωλύσασά
Γ με σήμερον ἐν ταύτῃ μὴ ἐλθεῖν εἰς αἵματα, καὶ σῶσαι χεῖρά μου ἐμοί.

Καὶ σῶσαι χεῖρά μου. Σύμμαχος, ἐκδικῆσαι.

» ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ ὑπὸ τοῦ Δαβὶδ εἰρημένον, εὐλογημένη σὺ εἶ ἡ ἀποκωλύσασά με σήμερον ἐν τῇ ἡμέρᾳ ταύτῃ τοῦ μὴ εἰσελθεῖν εἰς αἵματα, καὶ σῶσαι τὴν χεῖρά μου ἐμοὶ, ἁμάρτημα γραφικὸν εἶναι
Δ ὑπολαμβάνω. οἱ γὰρ ἄλλοι ἑρμηνευταὶ, μὴ μυσῶσαι εἰρήκασιν, ἀντὶ τοῦ, μὴ μύσους μεταλαχεῖν.

λδ. Πλὴν ὅτι ζῇ Κύριος ὁ Θεὸς Ἰσραὴλ, ὃς ἀπεκώλυσέ με σήμερον (8) κακοποιῆσαί σε, ὅτι εἰ μὴ ἔσπευσας καὶ παρεγένου εἰς ἀπάντησίν μου, τότε εἶπα, εἰ ὑπολειφθήσεται τῷ Νάβαλ ἕως φωτὸς τοῦ πρωῒ οὐρῶν πρὸς τοῖχον.

E » ✱✱ ΙΩΣΗΠΟΥ. Ἀλλὰ σὲ, φησὶν, ὦ γύναι, Θεὸς εὐμενὴς ἤγαγε πρὸς ἡμᾶς τήμερον. οὐ γὰρ ἂν τὴν ἐπερχομένην ἡμέραν εἶδες· ἐμοῦ τὸν οἶκον τὸν Ναβάλου διὰ τῆς δε τῆς νυκτὸς ὀμόσαντος ἀπολέσαι, καὶ μηδένα ὑμῶν ἀπολείψειν ἀπὸ ἀνδρὸς πονηροῦ καὶ ἀχαρίστου πρὸς ἐμὲ καὶ τοὺς ἐμοὺς ἑταίρους γενομένου. νῦν δὲ φθάσασα προέλαβες καταμειλίξασθαί μου τὸν θυμὸν, κηδομένου σου τοῦ Θεοῦ.

Z ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε ὀμωμοκὼς αὐτὸν καὶ τοὺς σὺν αὐτῷ κλείνειν, παρέβη τὸν ὅρκον; Ὁ μὲν ὅρκος τοῦ δικαίου θυμοῦ, ἡ δὲ φειδὼ τοῦ σώφρονος λογισμοῦ. δεξάμενος γὰρ τῆς Ἀβιγαίας τὴν ἱκετείαν, ἔσβεσε τὸν θυμόν. ἄμεινον γὰρ ἦν παραβῆναι τῆς ἀπειλῆς τὸν ὅρκον, ἢ τοσοῦτον ἐργάσασθαι φόνον.

λε. Καὶ ἔλαβε Δαβὶδ ἐκ χειρὸς
H αὐτῆς πάντα ἃ ἔφερεν αὐτῷ, καὶ εἶπεν

(1) Εἰσελθεῖν σε. ἡ αὐτ.
(2) Τὰς χεῖράς σου σοί. ἡ αὐτ.
(3) Τῷ κυρίῳ μου. αἱ εἰρημ. ἐκδόσ.
(4) Κυρίῳ μου. αἱ αὐτ.
(5) Κύριος τῷ κυρίῳ μου. αἱ αὐτ.
(6) Ἔσται. ἡ ἐν Χάλ. ἐκδ.
(7) Εἴρηκεν. ἡ αὐτ.
(8) Τοῦ κακοπ. αἱ αὐτ.

εἶπεν αὐτῇ, ἀνάβηθι εἰς εἰρήνην εἰς
οἶκόν σου· καὶ βλέπε, ἤκουσα τῆς φω-
νῆς σου, καὶ ᾑρέτισα τὸ πρόσωπόν σου.

» * ΠΡΟΚΟΠΙΟΥ. Τὸ δὲ, ᾑρετίσατο τὸ
» πρόσωπόν μου· Σύμμαχος, ἐνετράπην.

λς. Καὶ παρεγενήθη Ἀβιγαία
πρὸς Νάβαλ. καὶ ἰδοὺ αὐτῷ πότος
ἐν τῷ οἴκῳ αὐτοῦ, ὡς πότος βασι-
λέως. καὶ ἡ καρδία Νάβαλ ἀγαθὴ
ἐπ' αὐτόν· καὶ αὐτὸς μεθύων ἕως σφό-
δρα. καὶ οὐκ ἀπήγγειλεν Ἀβιγαία τῷ
Νάβαλ ῥῆμα μικρὸν ἢ μέγα ἕως φω-
λζ. τὸς τοῦ πρωΐ. Καὶ ἐγένετο πρωΐ, ὡς
ἐξένηψεν ἀπὸ τοῦ οἴνου Νάβαλ, καὶ
ἀπήγγειλεν αὐτῷ ἡ γυνὴ αὐτοῦ τὰ
ῥήματα ταῦτα. καὶ ἐναπέθανεν ἡ καρ-
δία αὐτοῦ ἐν αὐτῷ, καὶ αὐτὸς ἐγένετο
λη. ὡς λίθος. Καὶ ἐγένετο ὡσεὶ δέκα
ἡμέραι, καὶ ἐπάταξε Κύριος τὸν Νά-
λθ. βαλ, καὶ ἀπέθανε. Καὶ ἤκουσε Δα-
βὶδ, καὶ εἶπεν, εὐλογητὸς Κύριος, ὃς
ἔκρινε τὴν κρίσιν τοῦ ὀνειδισμοῦ μου ἐκ
χειρὸς Νάβαλ, καὶ τὸν δοῦλον αὐτοῦ
περιεποιήσατο ἐκ χειρὸς κακῶν, καὶ
τὴν κακίαν Νάβαλ ἐπέστρεψε Κύ-
ριος εἰς κεφαλὴν αὐτοῦ. καὶ ἀπέστει-

A λε Δαβὶδ, καὶ ἐλάλησε περὶ Ἀβι-
γαίας, λαβεῖν αὐτὴν ἑαυτῷ εἰς γυ-
μ. ναῖκα. Καὶ ἦλθον οἱ παῖδες Δαβὶδ
πρὸς Ἀβιγαίαν εἰς Κάρμηλον, καὶ
ἐλάλησαν αὐτῇ, λέγοντες, Δαβὶδ
ἀπέσταλκεν ἡμᾶς πρὸς σὲ, λαβεῖν σε
μα. αὐτῷ εἰς γυναῖκα. Καὶ ἀνέστη καὶ
προσεκύνησεν ἐπὶ τὴν γῆν ἐπὶ πρό-
σωπον, καὶ εἶπεν, ἰδοὺ ἡ δούλη σου εἰς
B δούλην (1) νίψαι πόδας παίδων τοῦ κυ-
μβ. ρίου μου. Καὶ ἐτάχυνε καὶ ἀνέστη Ἀβι-
γαία, καὶ ἐπέβη ἐπὶ τὴν ὄνον, καὶ
πέντε κοράσια ἠκολούθουν αὐτῇ, καὶ
ἐπορεύθη ὀπίσω τῶν παίδων Δαβὶδ,
καὶ γίνεται αὐτῷ εἰς γυναῖκα.

μγ. Καὶ τὴν Ἀχιναὰμ (2) ἔλα-
βε Δαβὶδ ἐξ Ἰεσράελ, (3) καὶ ἀμ-
μδ. φότεραι ἦσαν αὐτῷ γυναῖκες. Καὶ
Γ Σαοὺλ ἔδωκε Μελχὸλ τὴν θυγατέρα
αὐτοῦ καὶ (4) τὴν γυναῖκα Δαβὶδ τῷ
Φαλτὶ υἱῷ Ἰωὰς (5) τῷ ἐκ Ῥομμά.

** ΙΩΣΗΠΟΥ. Εἶχε Δαυίδης γυναῖ-
κα πρότερον, ἣν ἐξ Ἀβεσάρου πόλεως ἐγή-
με. Μιχάλαν δὲ τὴν Σαούλου βασιλέως θυ-
γατέρα, τὴν γενομένην τοῦ Δαυίδου γυναῖ-
κα, ὁ πατὴρ τῷ Φελτίᾳ υἱῷ Λίσου συνέζευ-
Δ ξεν, ἐκ πόλεως ὄντι Γεθλᾶς.

ΚΕΦ. ΚϚ.

α. Καὶ ἔρχονται οἱ Ζιφαῖοι ἐκ
τῆς αὐχμώδους πρὸς Σαοὺλ
εἰς τὸν βουνὸν, λέγοντες,
ἰδοὺ Δαβὶδ σκεπάζεται μεθ' ἡμῶν ἐν
τῷ βουνῷ τῷ Ἐχελὰθ, κατὰ πρό-
β. σωπον τοῦ Ἰεσσεμούχ. (6) Καὶ ἀνέστη
Σαοὺλ, καὶ κατέβη εἰς τὴν ἔρημον
Ζὶφ, καὶ μετ' αὐτοῦ τρεῖς χιλιάδες
ἀνδρῶν ἐκλεκτῶν ἐξ Ἰσραὴλ, ζητεῖν
γ. τὸν Δαβὶδ ἐν τῇ ἐρήμῳ Ζίφ. Καὶ
παρενέβαλε Σαοὺλ ἐν τῷ βουνῷ Ἐχε-
λὰθ τῷ ἐπὶ προσώπου τοῦ Ἰεσσεμοὺν
ἐπὶ τῆς ὁδοῦ, καὶ Δαβὶδ ἐκάθισεν
ἐν τῇ ἐρήμῳ. καὶ εἶδε Δαβὶδ, ὅτι
ἥκει Σαοὺλ ὀπίσω αὐτοῦ εἰς τὴν ἔρη-
δ. μον. Καὶ ἀπέστειλε Δαβὶδ κατασκό-
πους, καὶ ἔγνω ὅτι ἥκει Σαοὺλ (7) εἰς
Σεκελάγ.

** ΙΩΣΗΠΟΥ. Μετὰ ταῦτα τινὲς
ἐλθόντες τῶν Ζιφηνῶν, ἀπήγγειλαν τῷ
Σαούλῳ, ὡς εἴη πάλιν Δαυίδης ἐν τῇ χώρᾳ
αὐτῶν, καὶ δύνανται συλλαβεῖν αὐτὸν, βου-
λομένῳ συνεργῆσαι. ὁ δὲ μετὰ τρισχιλίων
ὁπλιτῶν ἐβάδιζεν ἐπ' αὐτόν. καὶ νυκτὸς
ἐπελθούσης, ἐπεστρατοπέδευσεν ἐπί τινι τό-
πῳ, Σεκελὰ λεγομένῳ. Δαυίδης δ' ἀκού-
E σας τὸν Σάουλον ἐπ' αὐτὸν ἥκοντα, πέμ-
ψας κατασκόπους, ἐκέλευσε δηλοῦν αὐτῷ,
ποῦ τῆς χώρας Σάουλος ἤδη προσεληλύθει.

ε. Καὶ ἀνέστη Δαβὶδ λάθρα, καὶ
εἰσπορεύεται εἰς τὸν τόπον οὗ ἐκάθευδεν
ἐκεῖ Σαοὺλ, καὶ ἐκεῖ Ἀβεννὴρ υἱὸς Νὴρ
ἀρχιστράτηγος αὐτοῦ. καὶ Σαοὺλ κα-
θεύδων (8) ἐν λαμπήνῃ, (9) καὶ ὁ λαὸς
Z παρεμβεβληκὼς τὴν κύκλῳ αὐτοῦ.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ,
» Σαοὺλ ἐκάθητο (10) ἐν τῇ λαμπήνῃ; Λαμ-
πήνη μέν ἐστιν εἶδος ἁρμαμάξης, ὥσπερ [αὖ]
καὶ τὸ ἀπήνη. [ὁ δὲ Ἀκύλας οὐκ εἶπε λαμ-
» πίνῃ, ἀλλὰ τῇ στρογγυλώσει.] δηλοῖ δ' ὁ
λόγος, τὸ ἐν μέσῳ τοῦ στρατοῦ κατακεῖσθαι
τὸν βασιλέα. καὶ τοῦτο μᾶλλον ἀληθέστε-
» ρον [εἶναι] νομίζω. εἶπε γάρ φησι Δαβὶδ

(1) Παιδίσκην. αἱ αὐτ. (2) Ἀχιναάμ. αἱ αὐτ. (3) Ἰεζραέλ. αἱ αὐτ.
(4) Τὸ, καὶ, οὐ κεῖται. αὐτ. (5) Ἀμίς. αἱ αὐτ.
(6) Ἰεσσεμοῦ. αἱ αὐτ. ἐν δὲ ἐδ. 19. τοῦ 23. κεφ. καὶ κατωτέρω Ἰεσσεμούν. (7) Ἕτοιμος ἐκ Κεϊλά. αἱ αὐτ.
(8) Ἐκάθευδεν. αἱ αὐτ. (9) Λαμπήνῃ. αἱ αὐτ. καὶ ἐν τοῖς προκειμ. ὑπομνήμ. καὶ κατωτέρω.
(10) Ἐκάθευδεν ἐν τῇ λαμπήνῃ; ἡ ἐν Χαλ. ἔκδ.

πρὸς Ἀβιμέλεχ τὸν Χετταῖον, καὶ πρὸς Ἀβεσσὰ υἱὸν Σαρουΐα, ἀδελφὸν Ἰωὰβ, λέγων, τὶς εἰσελεύσεται μετ' ἐμοῦ εἰς τὴν παρεμβολὴν πρὸς Σαοὺλ; τοιγάρτοι δεδήλωκεν ὁ λόγος, ὡς μεταξὺ τῆς στρατιᾶς ἐκάθευδεν ὁ βασιλεύς.

∗ ΠΡΟΚΟΠΙΟΥ. Λαμπήνη μὲν, εἶδος ἁρμαμάξης, ὡς καὶ ἡ ἀπήνη. ὁ δὲ Ἀκύλας, τῇ στρογγυλώσει, φησίν· ἢ διὰ τὸ σχῆμα τῆς κατασκευῆς, ἢ δηλοῖ τὸ κεκυκλῶσθαι τῷ στρατοπέδῳ τὸν βασιλέα.

ς. Καὶ ἀπεκρίθη Δαβὶδ, καὶ εἶπε πρὸς Ἀχιμέλεχ τὸν Χετταῖον, καὶ πρὸς Ἀβεσσὰ υἱὸν Σαρουΐας ἀδελφὸν Ἰωὰβ, λέγων, τὶς εἰσελεύσεται μετ' ἐμοῦ πρὸς Σαοὺλ εἰς τὴν παρεμβολήν; καὶ εἶπεν Ἀβεσσὰ, ἐγὼ εἰσελεύσομαι μετὰ σοῦ.

ζ. Καὶ εἰσπορεύεται Δαβὶδ καὶ Ἀ-
βεσσὰ εἰς τὸν λαὸν τὴν νύκτα· καὶ ἰδοὺ
Σαοὺλ καθεύδων ἐν λαμπήνῃ, καὶ τὸ
δόρυ ἐμπεπηγὸς εἰς τὴν γῆν πρὸς κε-
φαλῆς αὐτοῦ, καὶ Ἀβεννὴρ καὶ ὁ λαὸς
η. αὐτοῦ καθεύδων (1) κύκλῳ αὐτοῦ. Καὶ
εἶπεν Ἀβεσσὰ πρὸς Δαβὶδ, ἀπέκλει-
σε σήμερον Κύριος τὸν ἐχθρόν σου εἰς
χεῖράς σου, καὶ νῦν πατάξω αὐτὸν τῷ
δόρατι εἰς τὴν γῆν ἅπαξ, καὶ οὐ δευ-
θ. τερώσω αὐτῷ. Καὶ εἶπε Δαβὶδ πρὸς
Ἀβεσσὰ, μὴ διαφθείρῃς αὐτὸν, ὅτι
τὶς ἐποίσει χεῖρα αὐτοῦ ἐπὶ χριστὸν Κυ-
ρίου, καὶ ἀθωωθήσεται;

∗∗ ΤΟΥ ΝΥΣΣΗΣ. Κατελήφθη ὑπὸ τοῦ Σαοὺλ πανστρατιᾷ κυκλώσαντος τὸ γεώλοφον, ἐν ᾧ μετὰ τῶν περὶ αὐτὸν ὁ Δαβὶδ προσφεύγει. καὶ νυκτὸς ἀναβολὴν πρὸς τὸν θάνατον αὐτῷ παρασχομένης· ὑπερέθετο γὰρ ὁ Σαοὺλ ἐπὶ τὸν ὄρθρον τὴν τοῦ διωκομένου σφαγήν· ἐφίσταται τῇ σκηνῇ τοῦ πολεμίου, καὶ καταλαβὼν ἐπί τινος εὐνῆς λελυμένον τῷ ὕπνῳ, οὐ μόνον τὴν ἰδίαν ἐπέσχε χεῖρα σπεύδουσαν ἴσως τῷ θυμῷ χαρίσασθαι, ἀλλὰ καὶ τὸν ὑπασπιστὴν ἤδη κατὰ τοῦ Σαοὺλ πρὸς τὴν σφαγὴν ἐπικύψαντα· πατάξω γάρ φησι, καὶ οὐ δευτερώσω· ἀπάγει τῆς ὁρμῆς τῇ μεγάλῃ ταύτῃ καὶ ἀοιδίμῳ φωνῇ· μὴ διαφθείρῃς, εἰπὼν, πρὸς τὸν τὴν καθ' ἡμῶν διαφθορὰν ἐπειγόμενον. οὐ τοῦτο δὲ μόνον ἐστὶ τὸ θαυμαστὸν ἐν τῷ πράγματι, ὅτι ζωὴν χαρίζεται τῷ κατὰ τῆς ζωῆς αὐτοῦ ἅπαντα πράσσοντι, ἀλλ' ὅτι πρὸς βασιλείαν χρισθεὶς ὁ Δαβὶδ, καὶ εἰδὼς, μὴ ἄλλως μετασχεῖν τοῦ ἀξιώματος, εἰ μὴ ἐκ ποδῶν γένοιτο ὁ Σαοὺλ· κρεῖττον ἔκρινε διὰ τῆς μακροθυμίας κακοπαθεῖν ἐν ἰδιωτικῇ ταπεινότητι, ἢ θυμὸν κατὰ τοῦ λελυπηκότος ἐκπλήσας, ἐπιβιῶναι τῆς βασιλείας.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλ' εἰσῆλθε μὲν θαῤῥαλέως, ἀφείλατο (2) δὲ σωφρόνως· πεπεδημένον [ὕπνῳ] λαβὼν, οὐκ ἀπέκτεινεν· ἀλλὰ καὶ τὸν Ἀβεσσὰ τοῦτο δρᾶσαι βουληθέντα κεκώλυκεν. εἶπε γάρ φησι πρὸς αὐτὸν, μὴ διαφθείρῃς αὐτὸν, ὅτι τὶς ἐποίσει χεῖρας (3) ἐπὶ χριστὸν Κυρίου, καὶ ἀθωωθήσεται;

ι. Καὶ εἶπε Δαβὶδ, ζῇ Κύριος, ἐὰν μὴ Κύριος παίσῃ αὐτὸν, ἢ ἡμέρα αὐτοῦ ἔλθῃ καὶ ἀποθάνῃ, ἢ εἰς πόλεμον καταβῇ καὶ προστεθῇ.

∗ ΠΡΟΚΟΠΙΟΥ. Ἐὰν μὴ Κύριος παίσῃ αὐτὸν, ὡς καὶ τῶν Αἰγυπτίων τὰ πρωτότοκα, καὶ τὸν λαὸν ἐν τῇ ἐρήμῳ, καὶ τὸν Νάβαλ τὸν Καρμήλιον. τὸ δὲ, ἡ ἡμέρα αὐτοῦ ἔλθῃ, τὸν κατὰ φύσιν θάνατον δηλοῖ. οὐ μέντοι ὡρισμένην φησὶν εἶναι τὴν ἡμέραν. τὸ μὲν γὰρ κοινὸν ὥρισται πάντως ἀποθανεῖν· τὸ δὲ καθ' ἕκαστον, οὐκ ἔτι τὸ πότε ἐστί.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, ἐὰν μὴ Κύριος παίσῃ αὐτὸν, ἢ ἡμέρα αὐτοῦ ἔλθῃ καὶ ἀποθάνῃ; Τὸ, Κύριος παίσῃ αὐτὸν, τὴν θεήλατον σημαίνει πληγὴν, [ἣν καὶ τὰ πρωτότοκα τῶν Αἰγυπτίων ὑπέμεινε, καὶ ὁ λαὸς ἐν τῇ ἐρήμῳ πολλάκις, καὶ Νάβαλ ὁ Καρμήλιος.] τὸ δὲ, [ἢ] ἡμέρα αὐτοῦ ἔλθῃ, τὸν κατὰ φύσιν [ἐπαγόμενον] θάνατον, [ὃς γίνεσθαι πέφυκεν, ἢ ἐκ πλησμονῆς, ἢ ἐξ ἐνδείας, ἤ τινος τῶν ἐν ἡμῖν χυμῶν πλεονάσαντος.] ὁ δὲ ἐν πολέμῳ γινόμενος, μᾶλλον βίαιός ἐστιν. ἐῤῥωμένοι γὰρ τὰ σώματα κατακλείνονται.

ια. Μηδαμῶς μοι παρὰ Κυρίου ἐπενεγκεῖν χεῖρά μου ἐπὶ χριστὸν Κυρίου. καὶ νῦν δὴ λάβε τὸ δόρυ ἀπὸ προσκεφαλῆς αὐτοῦ, καὶ τὸν φακὸν τοῦ ὕδατος, καὶ ἀπέλθωμεν (4) καθ' ἑαυτούς.

ιβ. Καὶ ἔλαβε Δαβὶδ τὸ δόρυ, καὶ τὸν φακὸν τοῦ ὕδατος ἀπὸ προσκεφαλῆς αὐτοῦ, καὶ ἀπῆλθον καθ' ἑαυτούς. καὶ οὐκ ἦν ὁ βλέπων, καὶ οὐκ ἦν ὁ γινώσκων, καὶ οὐκ ἦν ὁ ἐξεγειρόμενος, πάντες ὑπνοῦντες, ὅτι θάμβος Κυρίου ἐπέπεσεν ἐπ' αὐτούς.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ μὲν (5) δόρυ καὶ τοῦ ὕδατος τὸν φακὸν εἴληφε (6) Δαβὶδ θαυμασίως, ἵνα τὴν γεγενημένην πάλιν εὐεργεσίαν ἐπιδείξῃ. πανταχοῦ δ' ὁ ξυγγραφεὺς τὴν θείαν κηρύττει προμήθειαν. εἰρηκὼς γὰρ ὅτι πάντες ἐκάθευδον, ἐπήγαγεν, ὅτι θάμβος Κυρίου ἐπέπεσεν ἐπ' αὐτούς.

∗ ΠΡΟΚΟΠΙΟΥ. Ἀντὶ δὲ τοῦ θάμβους, Ἀκύλας, καταφορά· Σύμμαχος, κάρος· Θεοδοτίων, ἔκστασις.

ιγ. Καὶ

(1) Ἐκάθευδε. αἱ αὐτ.
(3) Χεῖρα αὐτοῦ. ἡ αὐτ.
(5) Μέντοι. ἡ ἐν Χάλ. ἔκδ.

(2) Ἐφείσατο. ἡ ἐν Χάλ. ἔκδ.
(4) Ἀπέλθωμεν ἡμεῖς. αἱ εἰρημ. ἐκδόσ.
(6) Εἴληφεν ὁ Δαβὶδ ὁ θαυμάσιος. ἡ αὐτ.

ιγ. Καὶ διέβη Δαβὶδ εἰς τὸ πέ-
ραν, καὶ ἔστη ἐπὶ τὴν κορυφὴν τοῦ ὄρους
μακρόθεν, καὶ πολλὴ ἡ ὁδὸς ἀναμέ-
ιδ. σον αὐτῶν ἦν. Καὶ προσεκαλέσατο
Δαβὶδ τὸν λαὸν, καὶ τῷ Ἀβεννὴρ
ἐλάλησε, λέγων, οὐκ ἀποκριθήσῃ
Ἀβεννήρ; καὶ ἀπεκρίθη Ἀβεννὴρ, καὶ
ιε. εἶπε, τίς εἶ σὺ ὁ καλῶν με; Καὶ εἶπε
Δαβὶδ πρὸς Ἀβεννὴρ, οὐκ ἀνὴρ σύ;
καὶ τίς, ὡς σὺ ἐν Ἰσραήλ; καὶ διατὶ
οὐ φυλάσσεις τὸν κύριόν σου τὸν βασι-
λέα; ὅτι εἰσῆλθεν εἷς τοῦ λαοῦ διαφ-
θεῖραι τὸν κύριόν σου τὸν βασιλέα.

** ΙΩΣΗΠΟΥ. Διαβὰς τὸν χείμαῤ-
ῥον, καὶ ἐπὶ τὴν κορυφὴν ἀνελθὼν τοῦ ὄρους,
ὅθεν ἔμελλεν ἐξακουσθήσεσθαι, ἐμβοήσας
τοῖς στρατιώταις τοῦ Σαοὺλ καὶ τῷ στρα-
τηγῷ Ἀβεννήρῳ, διανίστησιν αὐτοὺς ἐκ τοῦ
ὕπνου, τοῦτόν τε ἐφώνει καὶ τὸν λαόν. ἐπα-
κούσαντος δὲ τοῦ στρατηγοῦ, καὶ τίς ὁ καλέ-
σας αὐτὸν ἐστὶν ἐρομένου, Δαυΐδης εἶπεν,
» ἐγὼ, παῖς μὲν Ἰεσσαίου, φυγὰς δὲ ὑμέτε-
» ρος. ἀλλὰ τὶ δήποτε μέγας τε ὢν, καὶ τὴν
» πρώτην ἔχων παρὰ τῷ βασιλεῖ τιμὴν,
» οὕτως ἀμελῶς τὸ τοῦ δεσπότου φυλάσσεις σῶ-
» μα; καὶ ὕπνος ἡδίων ἐστί σοι τῆς τούτου σω-
» τηρίας καὶ προνοίας;

ιϛ. Καὶ οὐκ ἀγαθὸν τὸ ῥῆμα τοῦ-
το, ὃ πεποίηκας. ζῇ Κύριος, ὅτι υἱοὶ
θανατώσεως ὑμεῖς οἱ φυλάσσοντες
τὸν βασιλέα τὸν κύριον ὑμῶν τὸν χρι-
στὸν Κυρίου. καὶ νῦν ἴδε δὴ τὸ δόρυ τοῦ
βασιλέως, καὶ ὁ φακὸς τοῦ ὕδατος,
ποῦ ἐστὶ τὰ πρὸς κεφαλῆς αὐτοῦ;

» ** ΙΩΣΗΠΟΥ. Θανάτου ταῦτα ἄξια
» καὶ τιμωρίας, οἵγε μικρὸν ἔμπροσθεν εἰσελ-
» θόντας τινὰς ἡμῶν εἰς τὸ στρατόπεδον, ἐπὶ
» τὸν βασιλέα καὶ πάντας τοὺς ἄλλους, οὐκ
» ἐνοήσατε. ζήτησον οὖν τὸ δόρυ τοῦ βασι-
» λέως καὶ τὸν φακὸν τοῦ ὕδατος, καὶ μα-
» θήσῃ πηλίκον ὑμᾶς ἔλαθε κακὸν ἐντὸς
» γενόμενον.
» * ΠΡΟΚΟΠΙΟΥ. Τὸ δὲ, υἱοὶ θανατώ-
σεως ὑμεῖς, ἀντὶ τοῦ, ἄξιοι. τὸ μέντοι δόρυ
καὶ τὸν φακὸν τοῦ ὕδατος πάλιν εἴληφεν ὁ
Δαβὶδ, ἵνα τὴν γεγενημένην αὖθις εὐερ-
γεσίαν ἐπιδείξῃ. (1)
* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀξιάγαστα δὲ καὶ
αὐτὰ τοῦ Προφήτου τὰ ῥήματα. δηλοῖ γὰρ
ἣν πεποίηται τοῦ δυσμενοῦς βασιλέως κηδε-
» μονίαν. ζῇ γὰρ Κύριος, φησὶν, ὅτι υἱοὶ θα-
» νάτου ὑμεῖς, οἱ μὴ φυλάττοντες τὸν κύριον
» ὑμῶν τὸν βασιλέα τὸν χριστὸν Κυρίου· καὶ
πρὸς τούτοις εἰπὼν, ὡς εἰσῆλθέ τις τοῦ λαοῦ
ἀποκτεῖναι τὸν κύριόν μου τὸν βασιλέα, ὑπέ-
δειξε τὸ δόρυ καὶ τὸν φακόν.

Α ιζ. Καὶ ἐπέγνω Σαοὺλ τὴν φωνὴν
Δαβὶδ, καὶ εἶπεν, ἡ φωνή σου αὕτη,
τέκνον Δαβίδ; καὶ εἶπε Δαβὶδ, δοῦ-
λός σου κύριέ μου βασιλεῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ δὲ ὁ Σαοὺλ
ὁ παλίμβουλος καὶ παμπόνηρος, τὴν φωνὴν
» ἐπιγνοὺς, εἴρηκεν· ἡ φωνή σου αὕτη τέκνον
Δαβίδ; ὑπολαβὼν ὁ θεῖος ἐκεῖνος ἀνὴρ,
» εἶπε· φωνή μου κύριε. [δοῦλος σὸς κύριέ μου]
Β βασιλεῦ. καὶ τῆς βασιλικῆς χειροτονίας
γεγενημένης, καὶ τῆς πνευματικῆς χάρι-
τος (2) ἀπολαβὼν, δοῦλον ἑαυτὸν ὠνόμαζε
τοῦ (3) ἑκατέρωθεν γυμνωθέντος.

ιη. (4) Ἵνα τὶ τοῦτο καταδιώκει ὁ
κύριος ὀπίσω τοῦ δούλου αὐτοῦ; ὅτι τὶ
ἡμάρτηκα; καὶ τὶ εὑρέθη ἐν ἐμοὶ
ἀδίκημα;

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα πρᾴως [τῷ
Γ τῆς σφαγῆς] ἐπιμέμφεται [πόθῳ.] ἵνα
» τὶ τοῦτο καταδιώκει ὁ κύριός μου ὁ βασιλεὺς
» ὀπίσω τοῦ δούλου αὐτοῦ; [τὶ ἥμαρτον, ἢ τὶς
» ἐν ἐμοὶ κακία εὑρέθη;]

ιθ. Καὶ νῦν ἀκουσάτω δὴ ὁ κύ-
ριός μου ὁ βασιλεὺς τὸ ῥῆμα τοῦ δούλου
αὐτοῦ, εἰ ὁ Θεὸς ἐπισείει σε ἐπ' ἐμὲ,
ὀσφρανθείη θυσίας σου· εἰ δὲ υἱοὶ ἀν-
θρώπων, ἐπικατάρατοι οὗτοι ἐνώπιον
Δ Κυρίου, ὅτι ἐξέβαλόν με σήμερον, μὴ
ἐστηρίχθαι ἐν κληρονομίᾳ Κυρίου, λέ-
γοντες, πορεύου δούλευε Θεοῖς ἑτέροις.

» * ΘΕΟΔΩΡΙΤΟΥ. [Καὶ νῦν ἀκουσάτω
» δὴ ὁ κύριός μου ὁ βασιλεὺς τὰ ῥήματα τοῦ
» δούλου αὐτοῦ,] εἰ ὁ Θεὸς ἐπισείει [σε] ἐπ'
» ἐμὲ, ὀσφρανθείη θυσίας σου· εἰ δὲ υἱοὶ ἀν-
» θρώπων, ἐπικατάρατοι οὗτοι ἐνώπιον Κυ-
ρίου. εἶτα καὶ τὴν αἰτίαν, δι' ἣν αὐτοὺς ἐπη-
Ε » ράσατο, ἐπάγει· ὅτι ἐξέβαλόν με σήμε-
» ρον, μὴ ἐστηρίχθαι ἐν κληρονομίᾳ Κυρίου,
» λέγοντες, πορεύου, καὶ δούλευε Θεοῖς ἑτέ-
ροις. τοῦτο δὲ οὐ διὰ ῥημάτων ἔλεγον, ἀλλὰ
διὰ πραγμάτων [ἠνάγκαζον δρᾶν.] πάν-
τοθεν γὰρ αὐτὸν ἐξελαύνοντες, ἠνάγκα-
ζον εἰς τὰς τῶν ἀλλοφύλων πόλεις τὰς
ὀχυρὰς καταφεύγειν.
* ΠΡΟΚΟΠΙΟΥ. Πολλὴν δὲ καὶ θαυ-
μασίαν ὁ Δαβὶδ εἶχε τὴν ἀρετὴν, ὅτι το-
Ζ σαῦτα πάσχων, οὐκ ἠμύνατο διωχθεὶς δι'
ὑπερβολὴν πρᾳότητος. ὅθεν μετὰ παῤ-
» ῥησίας φησὶν ἐν ψαλμοῖς· μνήσθητι Κύριε Ψαλ. 131. ε.
» τοῦ Δαβὶδ καὶ πάσης τῆς πρᾳότητος αὐτοῦ.

κ. Καὶ νῦν μὴ πέσοι τὸ αἷμά μου
ἐπὶ τὴν γῆν ἐξ ἐναντίας προσώπου
Κυρίου, ὅτι ἐξελήλυθεν ὁ βασιλεὺς
Ἰσραὴλ ζητεῖν τὴν ψυχήν μου, κα-
θὼς καταδιώκει ὁ νυκτικόραξ ἐν τοῖς
ὄρεσι.

(1) Τοῦτο οὐ κεῖται ἐν τῷ τῆς Αὐγ. κώδ. συνῃνωμένον δ' ἦν τῷ προλαβόντι τοῦ Προκοπ. δῆλον δὲ, ὅτι ἐκ τῶν τοῦ Θεοδωρίτου ἐστί.
(2) Χάριτος μεταστάσης. ἡ ἐν Χάλ. ἐκδ.
(3) Τοῦ γεγυμνωμένου τῆς χάριτος, καὶ τοῦ διψῶντος τοῦ αἵματος. ἡ αὐτ.
(4) Καὶ εἶπεν, ἵνα τί. αἱ εἰρημ. ἐκδόσ.

κα. ὄρεσι. Καὶ εἶπε Σαῦλ, ἡμάρτηκα· A
ἐπίστρεψαι (1) τέκνον Δαβὶδ, ὅτι οὐ
κακοποιήσω σε ἔτι ἀνθ᾽ ὧν ἔντιμος ἡ
ψυχή μου ἐν ὀφθαλμοῖς σου· ἐν τῇ σή-
μερον ἡμέρᾳ μεματαίωμαι καὶ ἠγνόη-
κα σφόδρα.

κβ. Καὶ ἀπεκρίθη Δαβὶδ, καὶ εἶπεν,
ἰδοὺ τὸ δόρυ τοῦ βασιλέως· διελθέτω
ἓν τῶν παιδαρίων καὶ λαβέτω αὐτό. B
κγ. Καὶ Κύριος ἐπιστρέψαι (2) ἑκάστῳ τὰς
δικαιοσύνας αὐτοῦ καὶ τὴν πίστιν αὐτοῦ·
ὡς παρέδωκέ σε Κύριος εἰς χεῖράς μου
σήμερον, καὶ οὐκ ἠθέλησα ἐπενεγκεῖν
χεῖρά μου ἐπὶ χριστὸν Κυρίου.

** ΙΩΣΗΠΟΥ. Ὁ Δαυίδης πέμψαντα ἀπολαβεῖν ἐκέλευσε τὸ δόρυ καὶ τὸν φακὸν τοῦ ὕδατος, ἐπειπών· » ὡς ὁ Θεὸς ἑκατέρῳ τῆς ἰδίας φύσεως καὶ τῶν κατ᾽ αὐτὴν » πεπραγμένων ἔσται δικαστὴς, ὃς, ὅτι καὶ κα- » τὰ τὴν παροῦσαν ἡμέραν ἀποκτεῖναί σε δυ- » νηθεὶς ἀπεσχόμην, οἶδε. Γ

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀπέδωκε δὲ καὶ τὸ δόρυ καὶ τὸν φακὸν, καὶ δικαίῳ κριτῇ τὴν οἰκείαν κρίσιν ἀνέθηκε.

κδ. Καὶ ἰδοὺ καθὼς ἐμεγαλύνθη
ἡ ψυχή σου σήμερον ἐν ταύτῃ ἐν ὀφ-
θαλμοῖς μου, οὕτω μεγαλυνθείη ἡ
ψυχή μου ἐνώπιον Κυρίου, καὶ σκεπά-
σαι με, καὶ ἐξέλοιτό με ἐκ πάσης
θλίψεως.

κε. Καὶ εἶπε Σαοὺλ πρὸς Δαβὶδ,
εὐλογημένος σὺ τέκνον· καὶ ποιῶν
ποιήσεις, καὶ δυνάμενος δυνήσῃ. ἀπῆλ-
θε δὲ Δαβὶδ εἰς τὴν ὁδὸν αὐτοῦ, καὶ
Σαοὺλ ἐπέστρεψεν εἰς τὸν τόπον αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Σάουλος μὲν δεύτερον διαφυγὼν τὰς Δαυίδου χεῖρας, εἰς τὰ βασίλεια καὶ τὴν οἰκίαν ἀπηλλάσσετο· φοβηθεὶς δὲ Δαυίδης, μὴ μείνων αὐτόθι, συλληφθῇ ὑπὸ τοῦ Σαούλου, συμφέρειν ἔκρινεν, εἰς τὴν Παλαιστίνην ἀναβὰς, διατρίβειν ἐν αὐτῇ.

ΚΕΦ. ΚΖ.

α. Καὶ εἶπε Δαβὶδ ἐν τῇ καρδίᾳ
αὐτοῦ, λέγων, νῦν προ-
στεθήσομαι ἐν ἡμέρᾳ μιᾷ
εἰς χεῖρας Σαούλ· καὶ οὐκ ἔστι μοι ἀγα- Δ
θὸν ἐὰν μὴ διασωθῶ εἰς γῆν ἀλλοφύ-
λων, καὶ ἀνῇ ἀπ᾽ ἐμοῦ Σαοὺλ τοῦ ζη-
τεῖν με εἰς πᾶν ὅριον Ἰσραὴλ, καὶ σω-
θήσομαι ἐκ χειρὸς αὐτοῦ.

» * ΠΡΟΚΟΠΙΟΥ. Νῦν προστεθήσομαι » εἰς χεῖρας Σαούλ· Σύμμαχος ἐξέδωκε, πα- » ραπεσοῦμαί ποτέ. τὸ δὲ, ἀνῇ ἀπὸ Σαούλ· » Ἀκύλας, ἀπογνώσεται· Σύμμαχος, ἀπό- » σχηται. E

β. Καὶ ἀνέστη Δαβὶδ καὶ οἱ ἑξακό-
σιοι ἄνδρες οἱ μετ᾽ αὐτοῦ, καὶ ἐπορεύ-
θη πρὸς Ἀγχοῦς υἱὸν Ἀμμαὰχ (3)
γ. βασιλέα Γέθ. Καὶ ἐκάθισε Δαβὶδ
μετὰ Ἀγχοῦς εἰς Γὲθ, αὐτὸς καὶ οἱ
ἄνδρες αὐτοῦ οἱ μετ᾽ αὐτοῦ ἕκαστος καὶ
ὁ οἶκος αὐτοῦ, καὶ Δαβὶδ καὶ ἀμφό-
τεραι αἱ γυναῖκες αὐτοῦ, Ἀχιναὰμ
ἡ Ἰεζραηλῖτις καὶ Ἀβιγαία ἡ γυνὴ Z
Νάβαλ τοῦ Καρμηλίου.

**ΙΩΣΗΠΟΥ. Μετὰ τῶν ἑξακοσίων, οἳ περὶ αὐτὸν ἦσαν, παραγίνεται πρὸς Ἀγχοῦν τὸν Γίττης βασιλέα. μία δ᾽ ἦν αὕτη τῶν πέντε πόλεων. δεξαμένου δ᾽ αὐτὸν τοῦ βασιλέως σὺν τοῖς ἀνδράσι, καὶ δόντος οἰκητήριον, ἔχων ἅμα καὶ τὰς δύω γυναῖκας Ἀχιμὰν καὶ Ἀβιγαίαν, διῆγεν ἐν τῇ Γίττᾳ. H

δ. Καὶ ἀνηγγέλη τῷ Σαοὺλ ὅτι πέ-
φευγε Δαβὶδ εἰς Γὲθ, καὶ οὐ προσέ-
θετο ἔτι ζητεῖν αὐτόν.

** ΙΩΣΗΠΟΥ. Σαούλῳ ταῦτα ἀκούσαντι λόγος οὐκ ἔτ᾽ ἦν πέμπειν ἐπ᾽ αὐτὸν, ἢ βαδίζειν. δὶς γὰρ ἤδη κινδυνεῦσαι παρὰ μικρὸν ἐπ᾽ ἐκείνῳ γενόμενον, συλλαβεῖν αὐτὸν σπουδάσαντα.

ε. Καὶ εἶπε Δαβὶδ πρὸς Ἀγχοῦς,
ἐπειδὴ (4) εὗρεν ὁ δοῦλός σου χάριν ἐν
ὀφθαλμοῖς σου, δότωσαν δή μοι (5) ἐν
μιᾷ τῶν πόλεων τῶν κατὰ ἀγρὸν,
καὶ καθήσομαι ἐκεῖ· καὶ ἵνα τί κά-
θηται ὁ δοῦλός σου ἐν πόλει βασιλευο-
μένῃ μετὰ σοῦ;

** ΙΩΣΗΠΟΥ. Δαυίδῃ οὐκ ἔδοξεν ἐν τῇ πόλει τῶν Γιττῶν μένειν· ἀλλ᾽ ἐδεήθη τοῦ βασιλέως αὐτῶν, ἵν᾽, ἐπειδὴ φιλανθρώπως αὐτὸν ὑπεδέξατο, καὶ τοῦτο χαρίσηται, τόπον τινὰ τῆς χώρας δοὺς αὐτῷ πρὸς κατοίκησιν. αἰδεῖσθαι γὰρ διατρίβων ἐν τῇ πόλει βαρὺς αὐτῷ καὶ φορτικὸς εἶναι.

ς. Καὶ ἔδωκεν αὐτῷ ἐν τῇ ἡμέρᾳ
ἐκείνῃ τὴν Σεκελάγ· διὰ τοῦτο ἐγε-
νήθη Σεκελὰγ τῷ βασιλεῖ τῆς Ἰου-
δαίας ἕως τῆς σήμερον ἡμέρας.

** ΙΩΣΗΠΟΥ. Δίδωσιν αὐτῷ Ἀγχοῦς κώμην τινὰ, Σίκελλαν καλουμένην. ἣν βασιλεύσας ὁ Δαυίδης ἀγαπῶν, ἴδιον κτῆμα ἐτίμησεν εἶναι καὶ οἱ παῖδες αὐτοῦ.

ζ. Καὶ

(1) Ἐπίστρεφε. αἱ αὐτ. (2) Ἐπιστρέψει. αἱ αὐτ. (3) Ἀμμάχ. αἱ αὐτ.
(4) Εἰ δὴ εὕρηκεν. αἱ αὐτ. (5) Τόπον ἐν. αἱ αὐτ.

ζ. Καὶ ἐγενήθη ὁ ἀριθμὸς τῶν ἡμε-
ρῶν ὧν ἐκάθισε Δαβὶδ ἐν ἀγρῷ τῶν
ἀλλοφύλων, τέσσαρας μῆνας.
η. Καὶ ἀνέβαινε Δαβὶδ καὶ οἱ ἄν-
δρες αὐτοῦ, καὶ ἐπετίθεντο ἐπὶ πάντα
τὸν Γεσερὶμ τὸν Ζεγρὶ καὶ ἐπὶ τὸν
Ἀμαληκίτην. καὶ ἰδοὺ ἡ γῆ κατῳκεῖ-
το ἀπὸ ἀνηκόντων τετειχισμένων καὶ
θ. ἕως γῆς Αἰγύπτου. Καὶ ἔτυπτε τὴν
γῆν, καὶ οὐκ ἐζωογόνει ἄνδρα ἢ γυναῖ-
κα. καὶ ἐλάμβανον ποίμνια καὶ βου-
κόλια καὶ ὄνους καὶ καμήλους καὶ ἱμα-
τισμὸν, καὶ ἀνέστρεφον καὶ ἤρχοντο
ι. πρὸς Ἀγχοῦς. Καὶ εἶπεν Ἀγχοῦς πρὸς
Δαβὶδ, ἐπὶ τίνα ἐπέθεσθε σήμερον;
καὶ εἶπε Δαβὶδ πρὸς Ἀγχοῦς, κατὰ
νότον τῆς Ἰουδαίας (1) καὶ κατὰ νό-
τον Ἰεσμεγὰ καὶ κατὰ νότον τοῦ Κενεζί.
ια. Καὶ ἄνδρα καὶ γυναῖκα οὐκ ἐζωογονή-
σαμεν τοῦ εἰσαγαγεῖν εἰς Γὲθ, λέγων,
μὴ ἀναγγείλωσιν εἰς Γὲθ καθ' ἡμῶν,
A λέγοντες, τάδε Δαβὶδ ποιεῖ. καὶ τάδε
τὸ δικαίωμα αὐτοῦ πάσας τὰς ἡμέρας
ἃς ἐκάθητο Δαβὶδ ἐν ἀγρῷ τῶν ἀλ-
ιβ. λοφύλων. Καὶ ἐπιστεύθη Δαβὶδ ἐν
τῷ Ἀγχοῦς σφόδρα, λέγων, ᾔσχυνται
αἰσχυνόμενος ἐν τῷ λαῷ αὐτοῦ ἐν Ἰσ-
ραὴλ, καὶ ἔσται μοι δοῦλος εἰς τὸν αἰῶνα.

** ΙΩΣΗΠΟΥ. Ἐπερχόμενος λάθρα τοῖς πλησιοχώροις τῶν Παλαιστίνων Σερρίταις καὶ Ἀμαληκίταις, διήρπαζεν αὐτῶν τὴν χώραν· καὶ λείαν πολλὴν κτηνῶν καὶ καμήλων λαμβάνων, ὑπέστρεφεν. ἀνθρώπων γὰρ ἀπείχετο, δεδιὼς μὴ καταμηνύσωσιν αὐτὸν πρὸς Ἀγχοῦν τὸν βασιλέα. τὸ μέντοι γε τῆς λείας μέρος αὐτῷ δωρεὰν ἔπεμπε. τοῦ δὲ βασιλέως πυθομένου, τίσιν ἐπιθέμενος τὴν λείαν ἀπήλασε, τοῖς πρὸς τὸν νότον τῶν Ἰουδαίων τεταγμένοις, καὶ ἐν τῇ πεδιάδι κατοικοῦσιν εἰπὼν, πείθει τὸν Ἀγχοῦν φρονῆσαι οὕτως. ἤλπισε γὰρ οὗτος, ὅτι Δαυίδης ἐπολέμησε τὸ ἴδιον ἔθνος, καὶ δοῦλον ἕξειν παρ' ὃν ζῇ χρόνον, ἐν τοῖς αὐτοῦ καταμένοντα.

ΚΕΦ. ΚΗ.

α. Καὶ ἐγενήθη ἐν ταῖς ἡμέραις
ἐκείναις, καὶ συναθροίζον-
ται ἀλλόφυλοι ἐν ταῖς
παρεμβολαῖς αὐτῶν ἐξελθεῖν (2) εἰς
πόλεμον μετὰ Ἰσραήλ. καὶ εἶπεν Ἀγ-
χοῦς πρὸς Δαβὶδ, γινώσκων γνώσῃ,
ὅτι μετ' ἐμοῦ ἐξελεύσῃ εἰς πόλεμον
σὺ, καὶ οἱ ἄνδρες σου.

** ΙΩΣΗΠΟΥ. Κατὰ τὸν αὐτὸν καιρὸν, τῶν Παλαιστίνων ἐπὶ τοὺς Ἰσραηλίτας στρατεύειν διεγνωκότων, καὶ περιπεμψάντων πρὸς τοὺς συμμάχους ἅπαντας, ἵνα συμπαρῶσιν αὐτοῖς εἰς τὸν πόλεμον εἰς Ῥεγγᾶν, (3) ὅθεν ἔμελλον ἀθροισθέντες ἐξορμᾶν ἐπὶ τοὺς Ἑβραίους, ὁ τῶν Γιττῶν βασιλεὺς Ἀγχοῦς συμμαχήσοντα τὸν Δαυίδην αὐτῷ μετὰ τῶν ἰδίων ὁπλιτῶν ἐπὶ τοὺς Ἑβραίους ἠξίου.

β. Καὶ εἶπε Δαβὶδ πρὸς Ἀγχοῦς,
οὕτω νῦν γνώσῃ ἃ ποιήσει ὁ δοῦλός σου.
καὶ εἶπεν Ἀγχοῦς πρὸς Δαβὶδ, οὕτως ἀρ-
χισωματοφύλακα θήσομαί σε πά-
σας τὰς ἡμέρας.

» * ΠΡΟΚΟΠΙΟΥ. Ἀρχισωματοφύλακα δὲ, ἀντὶ τοῦ, φύλακα τῆς κεφαλῆς μου.

** ΙΩΣΗΠΟΥ. Τοῦ δὲ προθύμως ὑποσχομένου, καὶ φήσαντος παραστῆναι καιρὸν, ἐν ᾧ τὴν ἀμοιβὴν αὐτῷ τῆς εὐεργεσίας καὶ τῆς ξενίας ἀποδώσειν· καὶ ποιήσειν αὐτὸν φύλακα τοῦ σώματος μετὰ τὴν νίκην, καὶ τοῦ ἀγῶνος τοῦ πρὸς τοὺς πολεμίους κατὰ νοῦν
Δ χωρήσαντος αὐτοῖς, ἐπηγγείλατο, τῇ τῆς τιμῆς καὶ πίστεως ὑποσχέσει τὸ πρόθυμον αὐτοῦ μάλα αὔξων.

γ. Καὶ Σαμουὴλ ἀπέθανε, καὶ ἐκό-
ψαντο αὐτὸν πᾶς Ἰσραὴλ, καὶ θάπ-
τουσιν αὐτὸν ἐν Ἀρμαθαὶμ ἐν πόλει
αὐτοῦ. καὶ Σαοὺλ περιεῖλε τοὺς ἐγγαστρι-
μύθους καὶ τοὺς γνώστας ἀπὸ τῆς γῆς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὰ περὶ
E τῆς τελευτῆς τοῦ Σαμουὴλ συγγράψας ἔμπροσθεν, πάλιν αὐτῆς ἐμνήσθη; Μέλλων τὰ κατὰ τὴν ἐγγαστρίμυθον διηγεῖσθαι, ἠναγκάσθη πάλιν μνησθῆναι τῆς Σαμουὴλ τελευτῆς.

ΑΔΗΛΟΥ. Οὐχ ἁπλῶς τοῦτο τέθεικεν ἡ Γραφή· ἀλλ' ἐπειδὴ ὁ Σαοὺλ ὁ διώκων τοὺς μάντεις, ζῶντος τοῦ Σαμουὴλ, ἐπεχείρησεν αὐτὸν τὸν Σαμουὴλ κοιμηθέντα δι' ἐγγαστριμύθου ἀναγαγεῖν· ἵνα δείξῃ, ὅτι καὶ ὅτε
Z ἐδίωκε τοὺς μάντεις, οὐ διὰ Θεὸν τοῦτο ἐποίει,
» ἀλλὰ τῷ Σαμουὴλ χαριζόμενος. γνώστας δὲ τοὺς σημειοσκόπους εἶπεν.

** ΙΩΣΗΠΟΥ. Ἔτυχε Σάουλος ὁ τῶν Ἑβραίων βασιλεὺς τοὺς μάντεις καὶ τοὺς ἐγγαστριμύθους, καὶ πᾶσαν τὴν τοιαύτην τέχνην ἐκ τῆς χώρας ἐκβεβληκὼς ἔξω τῶν Προφητῶν.

** ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Ὁπηνίκα ὁ Σαοὺλ ἄριστα προΐστατο τῆς τοῦ λαοῦ
H πολυανδρίας, ἐξῆρε πάντας τοὺς ἐγγαστριμύθους, ἔφη, καὶ τοὺς οὕτω καλουμένους ὀνόματι,

(1) Ἰουδαίας. αἱ αὐτ. καὶ ὁ Ἰώσηπ. ἐν τῷ προκειμ. ὑπομν. (2) Ἐξελθεῖν πολεμεῖν. αἱ αὐτ.
(3) Σωνάμ. ὡς ἐκ τοῦ ἑξῆς δ' ἐδ. δῆλον.

A ματι, γνώστας, ἅτε δὴ λυμεῶνας ἐμφωλεύοντας ἐχθίστους.

δ. Καὶ συναθροίζονται ἀλλόφυλοι, καὶ ἔρχονται καὶ παρεμβάλλουσιν εἰς Σωνάμ· καὶ συναθροίζει Σαοὺλ πάντα ἄνδρα Ἰσραὴλ, καὶ παρεμ-
ε. βάλλουσιν εἰς Γελβουέ. Καὶ εἶδε Σαοὺλ τὴν παρεμβολὴν τῶν ἀλλοφύλων, καὶ ἐφοβήθη, καὶ ἐξέστη ἡ καρδία αὐτοῦ σφόδρα.

** ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Οἱ πέριξ ἀλλογενεῖς ὁμοθυμαδὸν σπουδῇ πολέμου γένεσιν ἀνεκήρυττον, ἀθροισθέντες μὲν ὡς ἔνι μάλιστα, παμπληθεὶ τὰς φάλαγγας ἀντιπαρέταττον, ὅπλα δὲ γυμνώσαντες εἰς μάχην ἐξῄεσαν εὐρώστως. ὁ μέντοιγε σχέτλιος Σαοὺλ, αὐτὸ τὸ τῆς παρεμβολῆς ἐπιτείχισμα πεφραγμένον ἰδὼν αὐτοψεὶ, καὶ τὸ σύμπαν εἰπεῖν, ἐξέστη καταπλαγεὶς, ὡς ἡ θεία διαγορεύει Γραφή.

ς. Καὶ ἐπηρώτησε Σαοὺλ διὰ τοῦ Κυρίου, καὶ οὐκ ἀπεκρίθη αὐτῷ Κύριος ἐν τοῖς ἐνυπνίοις καὶ ἐν τοῖς δήλοις καὶ ἐν τοῖς Προφήταις.

» ** ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Ἠ-
» ρώτα διὰ τοῦ Κυρίου, γνῶναι δηλαδὴ τὰ πρακτέα γλιχόμενος. ὁ δὲ Κύριος οὐκ ἀπεκρίνατο τὸ παράπαν αὐτῷ διὰ τὰς τῆς ἀδι-
» κίας ὑπερβολὰς, οὔτε ἐν ἐνυπνίοις, οὔτε ἐν
» δήλοις, οὔτε ἐν τοῖς Προφήταις.

ζ. Καὶ εἶπε Σαοὺλ τοῖς παισὶν αὐτοῦ, ζητήσατέ μοι γυναῖκα ἐγγαστρίμυθον, καὶ πορεύσομαι πρὸς αὐτὴν, καὶ ζητήσω ἐν αὐτῇ. καὶ εἶπαν οἱ παῖδες αὐτοῦ πρὸς αὐτὸν, ἰδοὺ γυνὴ ἐγγαστρίμυθος ἐν Ἀενδώρ.

** ΙΩΣΗΠΟΥ. Ζητηθῆναι αὐτοῦ κελεύει γύναιόν τι τῶν ἐγγαστριμύθων, καὶ τὰς τῶν τεθνηκότων ψυχὰς ἐκκαλούμενον, ὡς οὕτω γνωσόμενος, εἰ κατὰ νοῦν χωρεῖν αὐτῷ μέλλει τὰ πράγματα. τὸ γὰρ τῶν ἐγγαστριμύθων γένος ἀνάγον τὰς τῶν νεκρῶν ψυχὰς, δι' αὐτῶν προλέγει τοῖς δεομένοις τὰ ἀποβησόμενα.

** ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Ἀλλὰ μὴν ἐκείνῳ γε τὸ θεῖον οὐκ ἐχρηματι- Z

A ζεν οὐδαμῶς ἀθέμιτα δράσαντι. τί δὲ μετὰ ταῦτα πράττει, τῆς ἀνωτάτω γυμνωθεὶς ἐπικουρίας; ἀντὶ τοῦ μᾶλλον ἐξιλεώσασθαι συχνοτέρᾳ δεήσει καὶ καρτερᾷ ψυχολατρείᾳ, τοὐναντίον, ἀποπηδήσας αὔξει μὲν τὰ τῆς ἀποστασίας ἐπιτηδεύματα, τοῖς δὲ παισὶν αὐτοῦ προσέταττε, γυναῖκα ζητήσειν ἐγγαστρίμυθον, ἵνα ἀφίκοιτο πρὸς αὐτὴν, πευσόμενος ὡς ἐν μαντείῳ.

** ΤΟΥ ΑΥΤΟΥ. Ἡ ἐγγαστρίμυθος B ἑρμηνεύεται παρὰ τὸ μῦθον ἐν γαστρὶ πεπλασμένον ἐμφαίνειν· ἡ δὲ τοῦ μύθου σύνθεσις ἐσχημάτισται σκηνοπηγουμένη πιθανῶς εἴσω γαστρὸς, οὐκ ἀλήθειαν, ἀλλὰ τὸ ψεῦδος ἄντικρυς ἐκφωνεῖ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς τὰ κατὰ τὴν ἐγγαστρίμυθον νοητέον; Τινές (1) φασιν, ἀληθῶς αὐτὴν ἀνενηνοχέναι τὸν Σαμουὴλ, τινὲς (2) δ' οὔ. Δαίμονα δέ τινα λαοπλάνον Γ ἔφησαν (3) δεῖξαι τὸ σχῆμα τοῦ Σαμουὴλ, καὶ εἰπεῖν ἃ πολλάκις ἀκήκοε τοῦ Σαμουὴλ εἰρηκότος, ἀγνοῆσαι δὲ τὸν χρόνον τῆς τοῦ Σαοὺλ τελευτῆς. ἐγὼ δὲ τὸ μὲν πρῶτον ἀνόσιον ἡγοῦμαι καὶ δυσσεβές. (4) οὐδὲ γὰρ οὐδὲ τυχόντος ψυχὴν δυνατὸν τὰς ἐγγαστριμύθους, μήτιγε Προφήτου καὶ τηλικούτου ἀνενεγκεῖν; [δῆλον γὰρ ὡς ἐν ἄλλῳ τινὶ χωρίῳ διάγουσιν αἱ ψυχαὶ, προσμένουσαι τὴν τῶν σωμάτων ἀνάστασιν. τοιγάρτοι κομιδῇ δυσσεβὲς τὸ πιστεύειν τοσαύτην ἔχειν Δ τὰς ἐγγαστριμύθους ἰσχύν.] τὸ δέ [γε] δεύτερον, ἀγνοίας (5) μᾶλλον, ἢ δυσσεβείας ἐστί. τὸν ἀνόσιον γὰρ ἐκεῖνον πειραθέντες ἀνατρέψαι λόγον, ψευδῆ τὴν γεγενημένην ὑπέλαβον πρόρρησιν. καὶ τούτου χάριν αὐτὴν τοῖς τοῦ ψεύδους διδασκάλοις ἀνέθεσαν Δαίμοσιν. ἐγὼ δὲ (6) ἐν τοῖς Παραλειπομένοις εὗρον οὕτως εἰρηκότα τὸν (7) συγγρα-
» φέα· καὶ ἀπέθανε Σαοὺλ ἐν ταῖς ἀνομίαις 1. Παραλ. 10. 13. 14.
E » αὐτοῦ, αἷς ἠνόμησε Κυρίῳ κατὰ τὸν λόγον
» Κυρίου· διότι οὐκ ἐφύλαξεν αὐτόν. εἶτα, καὶ
» ὅτι ἐπηρώτησε Σαοὺλ ἐν τῇ ἐγγαστριμύθῳ
» τοῦ ἐκζητῆσαι· καὶ ἀπεκρίνατο αὐτῷ Σα-
» μουὴλ ὁ Προφήτης. καὶ οὐκ ἐξεζήτησεν ἐν
» Κυρίῳ· καὶ ἀπέκτεινεν αὐτόν. δῆλον τοίνυν ἐντεῦθεν, ὡς αὐτὸς ὁ τῶν ὅλων Θεὸς σχηματίσας ὡς ἠβουλήθη τὸ εἶδος τοῦ Σαμουὴλ, (8) ἐξενήνοχε τὴν ἀπόφασιν, οὐ τῆς ἐγγαστριμύθου τοῦτο δρᾶσαι δυνηθείσης, ἄπαγε, ἀλλὰ τοῦ Θεοῦ καὶ διὰ τῶν ἐναντίων ἐξενεγκόν-

(1) Ὁ Ὠριγένης ἐν τῷ ὑπὲρ τῆς ἐγγαστριμύθου λόγ. (ἐν τόμ. 2. σελ. 490. τῆς τοῦ Ῥου. ἐκδόσ.) οὗτινος τὴν δόξαν γενναίως ἐν τῷ κατὰ Ὠριγέν. διαγνως. ἀνασκευάζει ὁ Ἀντιοχ. Εὐστάθ. ἐκ τούτου δὲ τὰ πλεῖστα ἀναλεξάμενοι παρεθήκαμεν. (2) Τινὲς δὲ τοῦτον μὲν τὸν λόγον ἀνέστρεψαν, Δαίμον. κτ. ἡ ἐν Χάλ. ἔκδ.

(3) Ὁ Ἀντιοχ. Εὐστάθ. τόν τε λόγον τοῦ Ὠριγ. ἀνέστρεψε, καὶ Δαίμονα τὸν φανέντα ἔφη. ἐν τῷ εἰρημ. διαγνως. (4) Οὐ πείθομαι γὰρ τὰς νέκυας, οὐδὲ τὴν τυχοῦσαν ἀνάγειν ψυχὴν, μήτοιγε Προφήτου, καὶ τοσούτου Προφήτου. δῆλον, κτ. ἡ ἐν Χάλ. ἔκδ. (5) Ἀνοίας. ἡ αὐτ. (6) Ἀναγνοὺς τῶν Παραλειπομένων τὴν βίβλον, εὗρ. κτ. ἡ αὐτ. (7) Τὴν ἱστορίαν συγγεγραφότα. ἡ αὐτ.

(8) Ἐνίσταται τούτοις ὁ Ἀντιοχείας Εὐστάθιος, λέγων· ἀλλ' οὐδὲ φαίη τις ἂν ἀσεβῶν, ὅτι μαντευομένων ἐκείνων, ὁ Θεὸς ἀνέστησε τὸν Σαμουὴλ, ἐκπειράσαι τὸν ἄδικον ἐθέλων, ἵνα ἐπιγράψῃ τῇ τοῦ Δαίμονος ἐπαγγελίᾳ τὸ δρᾶμα, καὶ διὰ τῆσδε τῆς προφάσεως ἀπάτῃ φθείρῃ τινάς. ἀνάγκη γὰρ ἐξ ἅπαντος φυλάττεσθαι τὸ τῆς μαντείας ἄγος, ὡς ὁ νομοθέτης ἐθέσπισεν. ἀλλ' οὐ μυσαρά τις ἡγεῖται τὰ τῆς οἰωνοσκοπίας αἴτια, καὶ τὰ τῆς ἐγγαστριμύθου μαντεῖα, καὶ σύμβολα κληδόνων; ἀκουέτω πῶς ὀλίγα πρόσθεν
» ὑπερβὰς, ἐδογμάτισε πάλιν· ἐὰν δὲ φησιν εἰσέλθῃς εἰς τὴν γῆν, ἣν Κύριος ὁ Θεός σου δίδωσί σοι, οὐ μα- Δευτ. 18. 9-12
» θήσῃ ποιεῖν κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ἐκείνων. οὐχ εὑρεθήσεται ἐν σοὶ περικαθαίρων τὸν υἱὸν αὐτοῦ

καὶ

A νεγκόντος τὴν ψῆφον. ἀκούομεν γὰρ αὐτοῦ λέγοντος, κἂν ἀπέλθῃ πρὸς τὸν ψευδοπροφήτην, (1) ἐγὼ Κύριος ἀποκριθήσομαι αὐτῷ. οὕτω καὶ διὰ τοῦ Βαλαὰμ ηὐλόγησε τὸν λαὸν, καὶ διὰ τοῦ δυσσεβοῦς μάντεως προηγόρευσε τὰ ἐσόμενα, καὶ τὴν τῆς οἰκουμένης προεθέσπισε σωτηρίαν, οὐ τοῦ μιαροῦ πνεύματος φθεγξαμένου, ἀλλ᾽ ἐνεργήσαντος τοῦ θείου [καὶ παναγίου πνεύματος.] (2) ἡ δὲ πρόῤῥησις ἡ περὶ τοῦ Σαοὺλ ὡς οὐ ψευδὴς, ὧδε δῆλον. προεῖπεν ὁ συγ-
B γραφεὺς, ὅτι ἐν ταῖς ἡμέραις ἐκείναις συναθροίζουσιν οἱ ἀλλόφυλοι τὰς παρεμβολὰς αὐτῶν [τοῦ ἐξελθεῖν εἰς πόλεμον] ἐπὶ Ἰσραήλ. καὶ ἐξέρχονται καὶ παρεμβάλλουσιν εἰς Σωνάμ. καὶ συναθροίζει Σαοὺλ πάντα ἄνδρα Ἰσραὴλ, καὶ παρεμβάλλουσιν εἰς Γελβουέ. καὶ εἶδε Σαοὺλ τὴν παρεμβολὴν τῶν ἀλλοφύλων, καὶ ἐξέστη ἡ καρδία αὐτοῦ σφόδρα, καὶ ἐπηρώτησε Σαοὺλ διὰ τοῦ Κυρίου,
Γ καὶ οὐκ ἀπεκρίθη αὐτῷ Κύριος, καὶ ἐν τοῖς ὕπνοις, καὶ ἐν τοῖς δήλοις, καὶ ἐν τοῖς Προφήταις. δήλους δὲ ἐκάλεσε τὰ διὰ τοῦ Ἐφοὺδ σημαινόμενα. [καὶ εἶπε Σαοὺλ τοῖς παισὶν αὐτοῦ, ζητήσατέ μοι γυναῖκα ἐγγαστρίμυθον.] (3) εἶτα τῶν Ἑβραίων κατὰ τῶν ἀλλοφύλων, ὡς δῆλον, ἐστρατοπεδευκότων, ἄπεισι Σαοὺλ πρὸς τὴν ἐγγαστρίμυθον. [εἶδε γάρ φησι τὴν παρεμβολὴν τῶν ἀλλοφύλων, καὶ ἐφοβήθη καὶ ἐξέστη ἡ καρδία αὐ-
Δ τοῦ σφόδρα. ἀπελθὼν δὲ πρὸς τὴν ἐγγαστρίμυθον,] καὶ δεξάμενος θεόθεν τὴν ἀπόφασιν, ἔπεσε παραυτίκα, οὔτε νύκτα φαγὼν, ἡνίκα λάθρα καταλιπὼν τὸ στρατόπεδον (4) ἧκε πρὸς τὴν ἐγγαστρίμυθον, οὔτε διὰ πάσης ἐκείνης τῆς ἡμέρας. δεξάμενος δ᾽ ὅμως τὴν τοῦ γυναίου παράκλησιν ἐδείπνησε, καὶ διανυκτερεύσας κατέλαβε τὴν παράταξιν. ταῦτα γὰρ σαφῶς ἡ ἱστορία διδάσκει· [καὶ προσήνεγκαν ἐνώπιον
E Σαοὺλ, καὶ ἐνώπιον τῶν παίδων αὐτοῦ, καὶ ἔφαγον, καὶ ἀναστάντες ἀπῆλθον τὴν νύκτα ἐκείνην.] εἶτα τοῦ φωτὸς ἀνασχόντος, γέγονεν ἡ παράταξις. ὥστε ἀληθὴς ἡ πρόῤῥησις, ὅτι αὔριον σὺ ἀποθανῇ, καὶ Ἰωνάθαν ὁ υἱός σου μετὰ σοῦ, καὶ τὴν παρεμβολὴν Ἰσραὴλ (5) δώσει Κύριος εἰς χεῖρας ἀλλοφύλων. (6) οὐδὲν δὲ τῶν εἰρημένων ὁ θεῖος Σαμουὴλ περιὼν τῷ βίῳ προειρήκει, μόνην δὲ τῆς βασιλείας τὴν στέρησιν· τοῦ
Z δέ γε Ἰωνάθαν οὐδεμίαν ἐποιήσατο μνήμην.

A ἐνταῦθα δὲ καὶ αὐτοῦ, καὶ τοῦ Ἰωνάθαν προεῖπε τὸν ὄλεθρον, καὶ τοῦ στρατεύματος (7) τὴν ἧτταν, καὶ τῶν ἀλλοφύλων τὴν νίκην. ἀλλ᾽ ὑποπτεύουσί τινες (8) πλείους ἐν τῷ μεταξὺ διεληλυθέναι ἡμέρας, (9) τῆς Γραφῆς ἀναλαβούσης τὴν περὶ τοῦ πολέμου διήγησιν. καὶ συνιδεῖν οὐκ ἐθέλουσιν, ὅτι καὶ τοῦ Σαμουὴλ τὴν τελευτὴν προειπὼν ὁ ἱστοριογράφος, πάλιν μετὰ πολλὰ ἔφη διηγήματα· καὶ Σαμουὴλ ἀπέθανε, καὶ ἐκόψατο
B αὐτὸν πᾶς Ἰσραὴλ, καὶ θάπτουσιν αὐτὸν ἐν Ἀρμαθὲμ τῇ πόλει αὐτοῦ. ἀναλαμβάνει (10) δὲ τὰ κατὰ τὸν πόλεμον, ἵνα διδάξῃ, ὅπως οἱ σατράπαι τῶν ἀλλοφύλων συμπαρατάξασθαι σφίσι τὸν Δαβὶδ ἐκώλυσαν· ὅπως τε τὴν Κεϊλὰν καταλαβὼν, ἀνάστατον εὗρε [γεγενημένην,] καὶ ὅτι διώξας τοὺς Ἀμαληκίτας κατὰ κράτος ἐνίκησε, καὶ πλὴν ὀλίγων, κατηκόντισεν ἅπαντας, καὶ τὴν λείαν ἅπασαν ἐπανήγαγε, τήν τε
Γ οἰκείαν καὶ τὴν ἐκείνων. (11) πεπληρωκὼς δὲ τὰ διηγήματα ταῦτα, αὐτίκα ἐπὶ τὸν πόλεμον ἀνέρχεται· καὶ ἐδίδαξεν ὅπως Σαοὺλ καὶ Ἰωνάθαν ἀνῃρέθησαν. (12) καὶ δῆλον, ὡς μετὰ τὴν κατὰ τῶν Ἀμαληκιτῶν νίκην τοῦ Δαβὶδ, ὁ Σαοὺλ λιπὼν τὸ στρατόπεδον, ἐπὶ τὴν ἐγγαστρίμυθον τρέχει. εἶτα τῇ ἐπαύριον καταλαμβάνει, καὶ παρατάσσεται, καὶ σφάζεται. ἡ οὖν περὶ τὸν Δαβὶδ μεταξὺ λογηθεῖσα ἱστορία πλάνην ἐμποιεῖ
Δ τοῖς ἀπειροτέροις τῶν ἰδιωμάτων τῆς Γραφῆς, ὡς μετὰ τὸ ἀπὸ τῆς ἐγγαστριμύθου ἐπαναστρέψαι τὸν Σαοὺλ ἐκεῖνα συνέπεσε. διὸ καὶ πλείονα διελθεῖν νομίζουσι χρόνον μεταξὺ τῶν προῤῥήσεων καὶ τῆς σφαγῆς. τὸ δὲ οὐκ ἔστιν ἔχον οὕτως, ἀνάπαλιν δέ. μετὰ γὰρ τὸ πάντα τὰ κατὰ τὸν Δαβὶδ τελεσθῆναι, τότε Σαοὺλ καὶ ἐπὶ τὴν ἐγγαστρίμυθον τρέχει, καὶ ἐκεῖθεν τῇ ἐπαύριον τὸ στρατόπεδον καταλαβὼν τελευτᾷ. μαρτυ-
E ρεῖ δὲ τῷ χρόνῳ καὶ ἡ τῆς δευτέρας ἱστορίας τῶν Βασιλειῶν ἀρχή. ἐγένετο γὰρ [φησι] μετὰ τὸ ἀποθανεῖν Σαοὺλ, καὶ Δαβὶδ ἀνέστρεψε τύπτων τὸν Ἀμαλὴκ, καὶ ἐκάθισε Δαβὶδ ἐν Κεϊλὰ ἡμέρας δύω. καὶ ἐγένετο ἐν τῇ τρίτῃ ἡμέρᾳ, καὶ ἰδοὺ ἀνὴρ ἦλθεν ἐκ τῆς παρεμβολῆς τοῦ λαοῦ τοῦ μετὰ Σαοὺλ, καὶ τὰ ἱμάτια αὐτοῦ διεῤῥωγότα, καὶ γῆ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ. ἀλλὰ γὰρ ἀναγκαῖον οἶμαι πάλιν ἐν κεφαλαίῳ θεῖναι τὰ ῥήμα-
Z τα. Τῆς στρατιᾶς τῶν ἀλλοφύλων ἀθροιζομένης,

2. Βασ. 1. 1. 2.

καὶ τὴν θυγατέρα αὐτοῦ ἐν πυρὶ, καὶ μαντευόμενος μαντείαν, καὶ κληδονιζόμενος καὶ οἰωνιζόμενος φαρμάκοις ἐπαοιδὴν, ἐγγαστρίμυθος, τερατοσκόπος, ἐπερωτῶν τοὺς νεκρούς. ἔστι γὰρ βδέλυγμα Κυρίῳ πᾶς ὁ ποιῶν ταῦτα.

(1) Πρὸς τὸν Προφήτην. αἱ εἰρημ. ἐκδόσ. ἐν κεφ. 14. ἐδ. 4. τοῦ Ἰεζ.

(2) Ἐπειδὴ δέ τινες ψευδῆ τὴν πρόῤῥησιν ὑπειλήφασι, πάρεργα νομίζω καὶ περὶ τούτου βραχέα διεξελθεῖν. προεῖπε, κτ. ἡ ἐν Χάλ. ἔκδ.

(3) Δῆλον τοίνυν ὡς τῶν Ἑβραίων καὶ τῶν ἀλλοφύλων ἐστρατοπεδευκότων, ἐπεζήτησε τὴν ἐγγαστρίμυθον ὁ Σαοὺλ. ἡ αὐτ.

(4) Τῆς ἐγγαστριμύθου πευσόμενος παρεγένετο· οὔτε, κτ. ἡ αὐτ.

(5) Ἰσραὴλ, καὶ σε. ἡ αὐτ.

(6) Τούτων δὲ οὐδὲν ὁ θεῖος, κτ. ἡ αὐτ.

(7) Τοῦ λαοῦ. ἡ αὐτ.

(8) Ὁ Εὐστάθ. οὐ τὸ ὑπόμν. κατωτέρ. κεῖται.

(9) Ἡμέρας· καὶ τὸν συγγραφέα, κατὰ τὸ ἰδίωμα τῆς Γραφῆς, ἀναλαβεῖν τὴν περὶ τοῦ πολέμου διήγησιν. καὶ σηνιδ. ἡ αὐτ.

(10) Ἀνέλαβε δὲ τουτὶ τὸ διήγημα, ἵν᾽, ὡς ἔφην, τὰ κατὰ τὴν ἐγγαστρίμυθον διηγήσηται. οὕτω καὶ τὰ κατὰ τὸν πόλεμον ἀνέλαβεν, ἵνα, κτ. ἡ αὐτ.

(11) Αὐτίκα γοῦν τοῦτο πεπληρωκὼς τὸ διήγημα, ἀνέλαβε τὸν περὶ τοῦ πολέμου τῶν ἀλλοφύλων λόγον· καὶ ἐδιδ. ἡ αὐτ.

(12) Τὰ ἑπόμενα ἄχρι τοῦ, τελευτᾷ, ἐν τῇ αὐτῇ ἐκδόσ. οὐ κεῖται.

ζομένης, εἶδον οἱ σατράπαι σὺν τῷ Ἀγχοῦς τὸν Δαβὶδ, καὶ δυσχεράναντες ἔπεισαν, ὡς πολέμιον, ἀπολῦσαι τὸν Δαβίδ. ἀναστρέψας δὲ, εὗρε πορθηθεῖσαν τὴν Κεϊλάν. εὐθὺς οὖν ὁρμήσας, καὶ τοὺς Ἀμαληκίτας εὑρὼν τοῖς σκύλοις ἐντρυφῶντας, κατὰ κράτος ἐνίκησε, καὶ σὺν τοῖς οἰκείοις τὸν ἐκείνων ἐκομίσατο πλοῦτον. τούτων γινομένων, καταλιπὼν ὁ Σαοὺλ τὸ στρατόπεδον, πρὸς τὴν ἐγγαστρίμυθον ἧκε. δεξάμενος δὲ B τὴν ἀπόφασιν, καὶ μετ' ὀδύνης δεδειπνηκὼς, διὰ πάσης [μὲν] τῆς νυκτὸς ἐποιήσατο τὴν πορείαν, ἕωθεν δὲ κατέλαβε τὸ στρατόπεδον. εἶτα τῆς συμπλοκῆς γενομένης, ἐσφάγη. ἀληθὴς τοίνυν ἡ πρόρρησις· θεία γὰρ ἦν· οὐ διὰ τοῦ Σαμουὴλ, ὡς οἶμαι, γεγενημένη, (1) οὔτε μὴν διά τινος Δαιμονίου φίλου, ἀλλ' ὅπερ ἔφην, Θεοῦ τοῦ ταύτῃ χρήσαντος, οἷς αὐτὸς ἐπίσταται τρόποις. τὸ δὲ γύναιον εἴρηκεν ὃ ἐθεάσατο Γ σχῆμα. καὶ ὁ Σαοὺλ δὲ ἐκ τοῦ σχήματος ἐτόπασεν εἶναι τὸν Σαμουήλ. καὶ ἡ ἱστορία δὲ τὸν ὀφθέντα Σαμουὴλ ὀνομάζει, διὰ τὸ οὕτως ἐκεῖνον νομίσαι· (2) ἐπειδὴ καὶ τοὺς ὀφθέντας τῷ Ἀβραὰμ Ἀγγέλους, καὶ τὸν ἐκείνων δεσπότην, ἄνδρας ὠνόμασε, (3) κατὰ τὴν ὑπόληψιν τοῦ Ἀβραάμ. καὶ γὰρ καὶ τράπεζαν αὐτοῖς ὁ Πατριάρχης ὡς ἀνθρώποις παρέθηκεν. οὕτω καὶ τοὺς οὐκ ὄντας
Ψαλ. 134. 5. Θεοὺς, Θεοὺς ὀνομάζει. [καὶ ὁ Κύριος γὰρ (4)
» ἡμῶν παρὰ πάντας τοὺς Θεούς.] οὕτω καὶ Δ
νῦν (5) τὸν ὀφθέντα ἐν τῷ τοῦ Προφήτου σχήματι, [εἴτε Ἄγγελον, εἴτε φάσμα τοῦ Σαμουὴλ τὸ σχῆμα δεικνύον,] Σαμουὴλ ὀνομάζει. ἐφάνη δ' αὐτῷ ἐν τοιούτῳ σχήματι· ἵνα πιστῶς δεξάμενος τὴν ἀπόφασιν, στένων ἐξέλθῃ τὸν βίον. (6)

η. Καὶ συνεκαλύψατο Σαοὺλ, καὶ περιεβάλετο ἱμάτια ἕτερα, καὶ πορεύεται αὐτὸς καὶ δύω ἄνδρες μετ' αὐ- E τοῦ, καὶ ἔρχονται πρὸς τὴν γυναῖκα νυκτὸς, καὶ εἶπεν αὐτῇ, μάντευσαι δή μοι ἐν τῷ ἐγγαστριμύθῳ, καὶ ἀνάγαγέ μοι ὃν ἂν σοι εἴπω.

» * ΠΡΟΚΟΠΙΟΥ. Ἀντὶ τοῦ, συνεκαλύψατο, Σύμμαχος, μετεσχημάτισεν ἑαυτὸν, εἶπεν. (7) ἐδήλου δὲ τοῦτο τὴν τῆς βασιλείας ἐναλλαγήν.

** ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Z Τῶν χειρίστων ὑπηρετῶν αὐτίκα δὴ μάλα καταμηνυσάντων τὴν ἔμπληκτον, ὁ μὲν Σαοὺλ ἀμελητὶ μετασχηματίσας ἑαυτὸν, καὶ τὰ τῆς ἐσθῆτος ἀμείψας ἐνδύματα, δρομαῖος ᾤχετο, τὴν στρατειὰν ἐκλιπών. ὡς δ' ἀφίκετο πρὸς αὐτὴν ἅμα δυοῖν ἀνδράσι νύκτωρ ἀξιώσας αὐτῇ προσεφέρετο τηνικαῦ-
» τα· μάντευσαι δή μοι λέγων ἐν τῷ ἐγγα-
A » στριμύθῳ, καὶ ἀνάγαγέ μοι, φησὶν, ὃν
» ἂν εἴπω σοι.

** ΙΟΥΣΤΙΝΟΥ. Εἰ εὐσεβεῖ ζήλῳ κινούμενος ὁ Σαοὺλ, τὰς ἐγγαστριμύθους ἀνεῖλε, διατί συνηλάθη, ὥστε παρὰ ἐγγαστριμύθου ζητῆσαι πρόρρησιν; καὶ εἰ τῷ ὄντι ἐκείνη τὸν Σαμουὴλ ἀνήγαγεν, ἐπειδὴ τοῦτό φησιν ἡ Γραφή; καὶ ὅτι ἀληθεύει μὲν αὕτη, τὸ δὲ πρᾶγμα ἀσεβὲς, δῆλον. Ὁ ζήλῳ θείῳ ποιῶν τὶ, οὗτος οὐ θεομαχεῖ. ὑπόνοιαν B δὲ ὁ Σαοὺλ ἐσχηκὼς εἰς τὸν Δαβὶδ, ὡς εἰς αὐτὸν μετέθηκεν ὁ Θεὸς τὴν αὐτοῦ βασιλείαν, παντελῶς ἐμηχανᾶτο ἀναιρεῖν τὸν Δαβὶδ, ἵνα εἰς ἔργον μὴ ἐκβῇ ἐπ' αὐτὸν ἡ θεία ψῆφος. ἀνεῖλε δὲ τὰς ἐγγαστριμύθους, τούτῳ προσδοκήσας διαλλάξαι τὸν Θεὸν, ὥστε ἀναστρέψαι τὴν ἀποδοκιμάσασαν αὐτὸν τῆς βασιλείας οἰκείαν ψῆφον· οὐ τὴν ἀσέβειαν τῶν ἐγγαστριμύθων μισῶν, ἀλλὰ τὴν βασιλείαν φιλῶν. καὶ ἐπειδὴ οὐ προσε- Γ δέξατο ὁ Θεὸς τὸν σκοπὸν αὐτῷ, διὰ τοῦτο αὐτὸν ἐγκατέλιπεν ἐπιδειχθῆναι ὧν οὐκ ἀγαθῷ σκοπῷ ἐποιήσατο τὴν ἀναίρεσιν. τὰ δὲ ἄλλα πάντα ὑπὸ τῆς ἐγγαστριμύθου γεγονότα κατὰ τὴν ἐνέργειαν τοῦ Δαίμονος τοῦ τὰς ὄψεις φαντάσαντος τῶν ὁρώντων τὸν οὐκ ὄντα Σαμουήλ. ἡ δὲ ἀλήθεια τῶν ῥημάτων γέγονεν ἐκ τοῦ Θεοῦ τοῦ δεδωκότος τῷ Δαίμονι ἐν σχήματι τοῦ Σαμουὴλ ὀφθῆναι τῇ ἐγγαστριμύθῳ, καὶ δεῖξαι τοῦ μέλ- Δ λοντος τὴν δήλωσιν. καὶ ἐπειδὴ τοῦ Σαμουὴλ οὐκ ἤκουσεν ὁ Σαοὺλ τοῦ εἰρηκότος αὐτῷ τῆς βασιλείας τὴν ἀφαίρεσιν· ἀλλὰ καὶ μετὰ τὴν θείαν ψῆφον ἀποδοκιμάσασαν αὐτὸν τῆς βασιλείας, ἔτι ἀντεποιεῖτο τῆς βασιλείας δι' αὐτῶν, (8) ἀνάξιον αὐτὸν ἔκρινεν ὁ Θεὸς τῷ διὰ τῶν ἀνακειμένων αὐτῷ προμηνῦσαι αὐτῷ τὰ ἐσόμενα· καθάπερ πεποίηκε καὶ ἐπὶ τὸν Ἀχαὰβ βασιλέα τοῦ Ἰσραὴλ τὸν ἀπιστήσαντα τοῖς τῆς ἀληθείας E Προφήταις, καὶ πιστεύσαντα τοῖς ψευδοπροφήταις. δι' ἣν αἰτίαν ἔπεμψεν αὐτῷ
» πνεῦμα ψευδὲς, καθὼς φησιν ἡ βίβλος 3. Βασ. 22.
τῶν Βασιλειῶν. καὶ πιστεύσας ὁ Ἀχαὰβ καὶ πλανηθεὶς ἀπῆλθεν εἰς τὴν ἔρημον, (9) καὶ ζῶν οὐκ ἀνέκαμψε.

θ. Καὶ εἶπεν ἡ γυνὴ πρὸς αὐτὸν, ἰδοὺ δὴ σὺ οἶδας ὅσα ἐποίησε Σαοὺλ, ὡς ἐξωλόθρευσε Σαοὺλ τοὺς ἐγγαστρι- Z μύθους καὶ τοὺς γνώστας ἀπὸ τῆς γῆς, καὶ ἵνα τί σὺ παγιδεύεις τὴν ψυχήν μου θανατῶσαι αὐτήν;

** ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Ὡς οὖν ἡ γυνὴ τὸν ἔκφρονα Σαοὺλ ἐθεάσατο, πλαττομένη μὴ εἰδέναι τὸν δυνάστην, ἀνθυπέφερεν, ὡς αὐτὸς ἄμεινον ἂν εἴη γινώσκων ὅσα πεποιήκει τοῖς περὶ ταῦτα δεινοῖς ὁ Σαοὺλ·

(1) Τὰ ἑπόμενα οὐ κεῖται ἐν τῇ αὐτῇ ἐκδόσ. ἕως τοῦ, γύναιον. (2) Πεπιστευκέναι. οὕτω καὶ τοὺς. ἡ αὐτ.
(3) Ὠνόμασεν· ἐπειδὴ τοῦτο νενομικὼς ὁ Πατριάρχης, παρατέθεικε τράπεζαν. οὕτω τοὺς οὐκ ὄντ. ἡ αὐτ.
(4) Γάρ φησιν. ἀναγνως. (5) Κἀνταῦθα. ἡ αὐτ. (6) Τοῦ βίου. ὀρθότερ.
(7) Τὰ ἑπόμ. ἐν τῷ τῆς Αὐγ. κώδ. οὐ κεῖται. (8) Δι' αὐτῶν, φησὶν, ἀλλὰ διὰ τίνων; ἢ ὅτι τῶν ἐγγαστριμύθων. (9) Εἰς Ῥεμμὰθ Γαλαάδ. ταύτην δὲ τυχὸν καλεῖ ἔρημον.

A ὁ Σαοὺλ· ὡς ἐξωλόθρευσε τοὺς ἐγγαστριμύθους ἔφη καὶ τοὺς ἐκφωνοῦντας ἀπὸ τῆς γῆς. ἕνεκα δὲ τούτου παγιδεύσασθαι πρὸς αὐτοῦ τὴν ψυχὴν, ἔφασκεν, εἰς θάνατον.

ι. Καὶ ὤμοσεν αὐτῇ Σαοὺλ, λέγων, ζῇ Κύριος, εἰ ἀπαντήσει σοι ἀδι-
ια. κία ἐν τῷ λόγῳ τούτῳ. Καὶ εἶπεν ἡ γυνὴ τῷ Σαοὺλ, τίνα ἀναγάγω σοι; καὶ εἶπε, τὸν Σαμουὴλ ἀνάγαγέ μοι.

B ✱✱ ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Ἐπειδὴ πιστωσάμενος ὅρκῳ διεβεβαιώσατο, μηδὲν αὐτὴν ὑποστῆναι σκαιὸν, αὖθις ἐπιρρωσθεῖσα τῇ κακίᾳ, παρρησιέστερον ἀποκρίνεται δήπουθεν ἡ γυνή. τίνα, φησὶν, ἀνάγω σοι; ποταπὴ καὶ ὁποία ἡ κακοδαίμων ἐτύγχανεν αὕτη γραῦς, ἵνα ὑπόσχηται τὸν Σαμουὴλ ἐκ νεκρῶν ἀνάξαι; καὶ μὴν εἴ γε δὴ, τὸ τῆς ἀξίας ὑπερθεμένους, εἰπεῖν, οὐχ ὅπως οὐκ ἠδύνατο προφητικὴν ἀνάξαι ψυχὴν, ἀλλ' οὐδὲ τῶν ἐπιτυχόντων οὐδενὸς οὐδόλως, ἀλλ' οὐδὲ μύρμηκος ἢ ψύλλας. οὐ γὰρ οἱ Δαίμονες ἐξουσίαν ἔχουσι πνευμάτων τε καὶ ψυχῶν, ἀλλ' ὁ πάντων ὁμοῦ δεσπόζων Θεός. ὥστε τῇ θείᾳ δοτέον φύσει μόνῃ ἐξ ᾅδου μεταπέμπεσθαι, καὶ πάλιν ἀνακαλεῖσθαι ψυχάς.

Γ ✱✱ ΚΥΡΙΛΛΟΥ. Ἀνάγαγέ μοι τὸν Σαμουὴλ, οὐχ ὡς τῆς ἐπῳδῆς, ἤτοι τῆς μάγων τέχνης, τὴν τοῦ ἁγίου ψυχὴν παρενεγκεῖν δυναμένης, ἀλλ' ὡς ἀεὶ τῶν μαντευομένων τῇ τοιᾷδε κεχρημένων φωνῇ.

Δ ἐπυθόμην δὲ ὅτι λόγοις τισὶν ἀποῤῥήτοις καταγοητεύοντες τὰ Δαιμόνια, καὶ ὕδατι κατεπᾴδοντες, εἴδωλα καὶ σκιὰς, καὶ ὡς ἐν ἐσόπτρῳ μορφὰς καταθεῶνταί τινων, τάχα που τῶν Δαιμονίων καταπλαττομένων ἀσείως τὰ τῶν λεγομένων ἀνακομιεῖσθαι σχήματα.

E ιβ. Καὶ εἶδεν ἡ γυνὴ τὸν Σαμουὴλ, καὶ ἀνεβόησε φωνῇ μεγάλῃ· καὶ εἶπεν ἡ γυνὴ πρὸς Σαοὺλ, ἵνα τί παρελογίσω με; καὶ σὺ εἶ Σαούλ.

✱✱ ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Εἴγε δεῖ φιλαλήθως εἰπεῖν ἡ διηγηματικὴ τοῦτο ἔφησε μόνον· ὡς εἶδεν ἡ γυνὴ τὸν Σαμουήλ. οὕτω δὲ ταῦτα ἔγραψεν, (1) ὡς πρὸς εἰδότας περὶ δαιμονώσης ὁμιλῶν. οὐ γάρ

Z ἐστιν ἀμφισβητεῖν, ὅτι δαίμων οὐκ ἀνάγει ψυχὴν οὐδενός· ὃς ὑπὸ τῶν εὐσεβῶν ὁριζόμενος ἀνθρώπων, ἐλαύνεται, πυροῦται, μαστίζεται, καὶ φεύγει, τὸ σκήνωμα προλιπών. ἀλλ' εἶδεν ἡ παραπλὴξ ὡς ἔπρεπεν αὐτῇ τὸ σχῆμα τῆς πεφαντασιοκοπημένης ὄψεως. εἴωθε γοῦν ὁ θὴρ εἰς πολυπροσώπους ἑαυτὸν ἐξαλλάττειν ἰδέας. ἵνα δὲ κατὰ τὸν ἁγιοφανῆ Παῦλον ἀποφθεγξάμενος

2. Κορ. 11. 14. εἴποιμι ἄν· αὐτὸς γὰρ ὁ Σατανᾶς μετα-

H σχηματίζεται εἰς Ἄγγελον φωτός.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ πόθεν ἡ ἐγγαστρίμυθος τὸν Σαοὺλ ἐπέγνω; Εὐπετὲς ἦν

A τῷ λαοπλάνῳ Δαίμονι διδάξαι τίς ὁ διαλεγόμενος. τὸν μέντοι Δαβὶδ μὴ συμπαρατάξασθαι τοῖς ἀλλοφύλοις, θείας οἰκονομίας [εἶναι] ὑπείληφα. οὐ γὰρ ἂν περιεῖδε τὸν λαὸν διολλύμενον· ἀλλὰ πᾶσαν καὶ τοῦ λαοῦ καὶ τοῦ Σαοὺλ ἐποιήσατο πρόνοιαν.

B ✱✱ ΚΥΡΙΛΛΟΥ. Καὶ εἶδεν ἡ γυνὴ τὸν Σαμουήλ. Χαλεπὸν οὐδὲν ἐν ἴσῳ τε καὶ ὁμοίῳ σχήματι τοῦ μακαρίου Σαμουὴλ σκιὰν ὀφθῆναι καὶ εἴδωλον ἐκ δαιμονιώδους ἐνεργείας μεμορφωμένον.

ιγ. Καὶ εἶπεν αὐτῇ Σαοὺλ, (2) μὴ φοβοῦ, εἰπὸν τίνα ἑώρακας. καὶ εἶπεν ἡ γυνὴ πρὸς Σαοὺλ, Θεοὺς ἑώρακα ἀναβαίνοντας ἐκ τῆς γῆς.

✱✱ ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Ὡς ἤρετο τὴν ἐγγαστρίμυθον ὁ Σαοὺλ, τί ἑώρακας εἰπὸν, ἐν πρώτοις ἡ παραπλὴξ ἀνθυ-

Γ πενέγκασα βοᾷ, καὶ Θεοὺς ἑώρακα ἀναβαίνοντας ἐκ τῆς γῆς. ἐπειδὴ γὰρ ἐβούλετο ἐκτραχηλιάσαι παντοίως τὸν ἄνδρα συναρπάσας ὁ Διάβολος, ἐπειρᾶτο δεικνῦναι σαφῶς, ὅτι τὸ Δαιμόνιον ἐπ' ἐξουσίας εἶχεν οὐχὶ μίαν μόνον ἀνάγειν δικαίου ψυχὴν, ἀλλὰ καὶ πάσας ὁμοῦ τὰς τῶν ἁγίων ἀνδρῶν. ὁ δὲ ἐκ τῶν ἐναντίων τὴν τῶν Δαιμόνων ἐνταῦθα στρατειὰν ὁπλίσας, καὶ συνόδον ἐν μιᾷ ῥοπῆς ὥρᾳ συστησάμενος, ἐκόμ-

Δ παζε πεῖσαι καὶ διὰ τοῦδε τοὺς ἅπαντας ἐθέλων, ὡς αὐτὸς εἴη Θεὸς ὁ συναγωγεὺς τῶν ἄλλων. ὅτι δ' οὖν οἰκείᾳ χρώμενος ἀπονοίᾳ θεοποιεῖν εἴωθεν ἑαυτὸν, ὁ μὲν Ἡσαΐας ἀντιπροσώπως ἐλέγχων αὐτὸν, ἱεροφωνίᾳ κηρύττει προφητικῇ· σὺ δὲ εἶπας ἐν τῇ Ἡσ. 14. 13, 14.
καρδίᾳ σου, εἰς οὐρανὸν ἀναβήσομαι, ἐπάνω τῶν ἀστέρων θήσω τὸν θρόνον μου, καθιῶ ἐν ὄρει ὑψηλῷ, ἐπὶ τὰ ὄρη τὰ ὑψηλὰ τὰ πρὸς βοῤῥᾶν, ἀναβήσομαι ἐπάνω τῶν νεφε-

E λῶν, ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. Καὶ μετ' ὀλίγα. Τοιγαροῦν εἴπερ ὁ Δαίμων οἷός τε ἦν ἀνάξαι τοὺς ὀνόματι Θεοὺς ἀνακικλισκομένους, οὐκ ἀνάγκη νοεῖν ὅτι μείζων ἐστὶ τῶν ἀναγομένων ὁ ἀνάγων; εἰ δὲ προὔχει τῶν ὁσίων οὗτος, ἀκόλουθον ὑπολαμβάνειν, ὅτι καὶ τούτου πάλιν αὐτὸς ὁ ἀρχιδαίμων. εἰ δὲ ταῦτά τις ἀποδώσειεν, ἀναντιῤῥήτῳ δυνάμει συνίστησιν, ὡς αὐτός ἐστι Θεὸς Θεῶν, ὁ τοῖς ὑπηρέταις τοῖς ἑαυτοῦ τοιαύτην ἀπονέμων ἐξου-

Z σίαν, ὥστε πνεύματα καὶ ψυχὰς ἐξ ᾅδου μεταπέμπεσθαι δικαίων. ἀλλὰ ταῦτα μὲν οὐδείς πω τῶν εὖ φρονούντων ὁριεῖται τὸ σύνολον, ἵνα μὴ ταῖς ἁγίαις ἐναντία ψηφιεῖται μαρτυρίαις.

✱✱ ΚΥΡΙΛΛΟΥ. Εἴπερ οὖν οἴοιτό τις ἀνακεκλῆσθαι κατὰ τὸ ἀληθὲς τὴν τοῦ Προφήτου ψυχὴν, καὶ τοῖς τοῦ γυναίου λόγοις ἐπιψηφιεῖται τὸ ἀληθὲς, ἐπειδὴ καὶ Θεοὺς ἀναβαίνοντας ἀπὸ τῆς γῆς τεθεᾶσθαί φη-

H σι, καὶ τοῖς τῆς μαντείας ἔθεσι χαριζέσθω τὸ ψεῦδος, ἀλλ' οἰέσθω κατὰ ἀλήθειαν καὶ Θεοὺς εἶναί τινας τῆς τοιαύτης τάξεως τοὺς ἀνα-

(1) Ὁ συγγραφεὺς ἀνόητ.

(2) Ὁ βασιλεύς. αἱ εἰρημ. ἐκδόσ.

ἀναχόντας ἀπὸ τῆς γῆς, καίτοι Θεοῦ κατὰ φύσιν ὄντος ἑνός τε καὶ μόνου.

ιδ. Καὶ εἶπεν αὐτῇ, τί ἔγνως; καὶ εἶπεν αὐτῷ, ἄνδρα ὄρθιον ἀναβαίνοντα ἐκ τῆς γῆς, καὶ οὗτος διπλοΐδα ἀναβεβλημένος. καὶ ἔγνω Σαοὺλ, ὅτι οὗτος Σαμουὴλ, καὶ ἔκυψεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ προσεκύνησεν αὐτῷ.

** ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Ἐπειδὴ τὸ δεύτερον ὁ παραπλὴξ ἤρετο, καὶ » συνάψας εἶπε τῇ γυναικὶ, τί ἔγνως; αὐτίκα πάλιν ἀνθυπενέγκασα πρὸς τὴν ἐρώ» τησιν, ἔφησεν· εἶδον ἄνδρα ὄρθιον ἀναβαί» νοντα ἐκ τῆς γῆς, καὶ οὗτος ἀναβεβλημένος διπλοΐδα. μηδένα δὲ τὸ παράπαν ἰδὼν, ὡς αὐτήκοος ἐγένετο τῶν λόγων, ἔγνω μὲν κατὰ τὴν ἔννοιαν τὴν ἑαυτοῦ τοῦτον εἶναι Σαμουὴλ, ἅτε διαπολιορκούμενος ὑπὸ τοῦ Δαίμονος ἔνδοθεν. ὡς δὲ τῇ τῶν σημείων ὀνομασίᾳ συνηρπάσθη, τηνικαῦτα τὸ πρόσωπον ὑποκλίνας ἐπὶ τῇ γῇ προσεκύνησεν αὐτῷ. πρῶτον μὲν οὖν ὀρθότατα φαίη τις ἂν, εἰ Σαμουὴλ ἐτύγχανεν ἐκεῖνος, ἀλλὰ μὴ μεταμορφωθεὶς ὁ πολύτροπος ὄφις, ἀνθυπενέγκας ἔφρασεν ἂν εὐσεβεῖ λογισμῷ·
Ματθ. 4. 10. Κυρίῳ τῷ Θεῷ σου προσκυνήσεις, καὶ αὐτῷ » μόνῳ λατρεύσεις. δεύτερον δὲ πάλιν εἴποιμι ἂν ὁπηνίκα Σαμουὴλ τοῦ παντὸς ἦρχε λαοῦ, καὶ προφήτης ἐτύγχανεν ἔγκριτος, ὁ Σαοὺλ ἰδιωτεύων ἔτι, καὶ τὰς τοῦ πατρὸς ὄνους ἀναζητῶν, ἀπῄει μὲν ὡς αὐτὸν ἐρωτήσων, οἷα προφήτην, ἕνεκα τῶν ἀπολομένων ὑποζυγίων, οὐδαμοῦ δὲ φαίνεται προσκυνήσας αὐτῷ, καίτοι χρῄζων αὐτοῦ, καὶ προφανῶς ὑποκείμενος, οἷα καθηγεμόνι λαοῦ. πῶς οὖν ὁ τότε μὴ προσκυνήσας ὡς ἰδιώτης ἄρχοντι, νῦν ἐκ τῶν ἐναντίων ὁ βασιλεὺς ἰδιωτεύοντι προσκυνεῖ; τρίτον ἐπὶ τούτοις ἔχω λέγειν. τί δήποτε Θεοὺς ἀναβαίνοντας ἀκούσας, οὐδενὶ τοῦτον προσεκύνησεν, ὅτε δὲ τὸν ἄνδρα ὄρθιον ἀκήκοεν ἀναβεβηκότα, τηνικαῦτα προσκυνήσας ὑπέκυψε; καὶ μὴν ὡς Ὠριγένης ἀπεφήνατο (1) τολμηρῶς, εἴπερ Ἄγγελοί τινες ἦσαν ἐκ τούτων, ἢ χοροὶ Προφητῶν, ἔδει τοῖς κρείττοσιν. οὐκοῦν ἐκ πάντων ὁμοῦ τῶν ἔργων εὐχερῶς ἐστὶν ἰδεῖν, ὅτι τὸν ἡγεμόνα μὲν νοῦν ἐτύφλωττεν ὁ Σαοὺλ ὑπὸ τοῦ Δαίμονος ἐλαυνόμενος· ὁ δὲ Διάβολος εἰς διαφόρους ἐξήλλαττεν αὐτὸν ἰδέας, ὑπὸ τοῦ δυνάστου προσκυνηθῆναι πραγματευόμενος, ἵνα ἐκ τούτου πλείστους ὅσους ἐξαπατήσῃ λεληθότως, ὑποκύπτων αὐτῷ. καί τοι γε δὲ (2) ξένον ἐστὶν εἰπεῖν, ὅπου γε καὶ τὸ τοῦ Χριστοῦ πρόσωπον εἰσιδὼν, ἔργῳ μὲν ἔνδοθεν ἑώρα καὶ πράξει Θεὸν, καὶ φύσει Θεοῦ γνήσιον υἱὸν, ἄνθρωπον δὲ καθαρὸν, ἄχραντον, ἀκηλίδωτον ἐξωτάτω περικείμενον ἐποπτεύων, καὶ ναοῦ χρῆμα περικαλλὲς ἀφιερωμένον ἀσύλητον, οὐδὲν ἧττον ἐκπειράζων αὐτὸν ἀμελητὶ προ-

A σείη, θεομαχῶν εἰωθότως. ὡς δὲ τὰ πρῶτα καὶ τὰ δεύτερα καθ' ἑαυτοῦ προσκαλεσάμενος ἡττήθη, ῥαγεὶς ἀθλίως, αὖθις εἰς ἄλλο μεταλλάξας ἦθος, ὑποδεικνύναι μὲν αὐτῷ πᾶσαν τὴν τοῦδε τοῦ κόσμου περιγραφὴν ἐπεχείρησε καὶ τὰς βασιλείας αὐτῆς, ἀπονοίᾳ δὲ καὶ ψευδηγορίᾳ θρασυνόμενος » ἐκόμπαζε· ταῦτα πάντα σοὶ δώσω, ἐὰν Ματθ. 4. 9. » πεσὼν προσκυνήσῃς μοι. τοιαύτας μὲν οὖν ὁ ἀσεβὴς ἔρρηξε δεῦρο φωνὰς, οἰόμενος εἰς
B ὀργὴν ἐκκαλέσασθαι τὰ τῆς ἀνεξικακίας ἤθη, καὶ διὰ τοῦ τοιοῦδε δοκεῖν ἐπιλαμβάνεσθαι· μακροθυμίᾳ δὲ κατεδίκασε τὸν ἀλάστορα θεοπρεπῶς ὁ Κύριος. ἴδιον γὰρ ἂν εἴη Θεῷ πάντα ἀνεξικάκως φέρειν. εἰ τοίνυν αὐτῷ τῷ Κυρίῳ τοιαῦτα προσοίσαι ῥήματα παρ' οὐδὲν ἡγήσατο, πῶς οὐκ ἔστι σαφὲς, ὅτι προσκυνεῖσθαι βουλόμενος ἴσα Θεῷ, ταῦτα διεπράττετο; τοῦτο μὲν οἶμαι τοῖς εὖ φρονοῦσι καταφωρον ὑπάρχει πᾶσιν, ὅτι διὰ
Γ γυναικὸς ἐμμανοῦς ἠπάτησε τὸν ἔκφρονα δυνάστην ὑποκύψαι αὐτῷ παρὰ τὸ δέον.

ιε. Καὶ εἶπε Σαμουὴλ, ἵνα τί παρηνώχλησάς με ἀναβῆναι; καὶ εἶπε Σαοὺλ, θλίβομαι σφόδρα, καὶ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν ἐμοὶ, καὶ ὁ Θεὸς ἀφέστηκεν ἀπ' ἐμοῦ, καὶ οὐκ ἐπακήκοέ μου ἔτι καὶ ἐν χειρὶ τῶν Προφη-
Δ τῶν καὶ ἐν τοῖς ἐνυπνίοις καὶ ἐν τοῖς δήλοις· καὶ νῦν κέκληκά σε γνωρίσαι μοι τί ποιήσω.

** ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Ὡς οὖν ὁ Σαοὺλ ὑπεκλίθη τῷ φάσματι προσκυνήσας, αὖθις ὑποκρίνεται πεποιθέναι βίαν ὁ δολομήτης εἰς τὸ σχῆμα τοῦ Σαμουὴλ ἀμείψας ἑαυτόν. εἶτα μετὰ εἰρωνείας ἀποκρί» νεται σκυθρωπότερον· ἵνα τί παρηνώχ» λησάς με, φάσκων, ἀναβῆναι; ταῦτα δὲ
E πλαττόμενος ἀπαρεμφάτως ἐβούλετο σημαίνειν, ὅτι καὶ ἄκοντα τὸν Προφήτην ὁ Δαίμων ἠδύνατο μεταπέμπεσθαι, καὶ κατ' αὐτοῦ τοιαύτην ἔχειν ἐξουσίαν. εἶτα τοσοῦτον ἀμβλυωποῦσί τινες, ὡς οὐ δύνασθαι νοεῖν, ὅτι τοὺς Δαίμονας ἐν τῷ θείῳ φυγαδεύουσιν ὀνόματι πάντες οἱ τὰ τοῦ Χριστοῦ φρονοῦντες εἰλικρινῶς, οὐχὶ δὲ τοὐναντίον ὡς ὑποκείμενοι τούτοις ἄκοντες ἀναβαίνουσιν ἐξ ᾅδου μεταπεμπόμενοι πρὸς αὐτῶν. Καὶ μετ' ὀλίγα.
Z Μεταμορφωσάμενος, ἠγόρευε τῷ Σαοὺλ ὁ » δολομήτης, ἵνα τί παρηνώχλησάς με φήσας; ὑπῃνίττετο γὰρ, ὅτι παρὰ βούλησιν ἄκων ἀνέβαινεν. οὐ θέλων, ἀλλ' ἀνάγκῃ καὶ βίᾳ καθάπερ ὑπ' αὐτοῦ μεταπεμφθῆναι τοῦ κρείττονος ἐπιταχθείς. ὁ δὲ δυνάστης ἀν» θυπενέγκας ἔφη· θλίβομαι σφόδρα, καὶ » οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν ἐμοὶ, καὶ ὁ Θεὸς » ἀφέστηκε, φησὶν, ἀπ' ἐμοῦ, καὶ οὐκ ἀκήκοέ» μου ἔτι οὔτ' ἐν χειρὶ τῶν Προφητῶν, οὔτε ἐν
H » ἐνυπνίοις, καὶ νῦν κέκληκά σε γνωρίσαι» μοι τί ποιήσω· πάλιν οὖν ἀποκριτέον· εἰ Σαμουὴλ ὁ περίβλεπτος ἐτύγχανε προφήτης,

(1) Ὅπου εἴρηται ἐν τῇ 1. σημ. τῇ ἐν σελ. 467.

(2) Οὐ ξένον, τῇ ἐννοίᾳ κατάλλ.

της, οὐκ ἂν ἐσωφρόνισε τὸν ἄνδρα νουθετῶν· οὐκ ἂν εἶπεν αὐτῷ τὸ πρῶτον· εἰπέ μοι σχέτλιε πάντων ἀνθρώπων, εἰ περιέστηκαν οἱ ἀλλογενεῖς εἰς πόλεμον ἀντιπαρατατλόμενοι συσαδὸν, εἴπερ ὁ Θεὸς ἀφέστηκεν ἀπὸ σοῦ, καὶ τὸ παράπαν οὐκ ἐπακήκοέ σου· οὔτε δὲ Προφῆται πρεσβεύοντες ὑπὲρ σοῦ κατήδεισαν, οὔτε ὄναρ οὔτε ὕπαρ ἀπεκαλύφθη σοι τὸ δέον, οὐ ταύτῃ μᾶλλον ὤφελες ἐξιλεούμενος κλιθῆναι Θεῷ, καὶ πενήτων ἐλεημοσύναις ἀπολούσασθαι τὰ τῶν ἐγκλημάτων αἴτια· μήτιγε δὴ καταφεύγειν ἐπὶ μάντιν ἐγγαστρίμυθον καὶ μανιώδη, μαντικῇ τὰ τῆς εὐσεβείας ἀντικαταλλάττεσθαι σύμβολα, καὶ καθ᾽ ἑαυτοῦ τὸ πάθος αὐξῆσαι διπλῶς· ἢ γὰρ οὐ διανοητέον ὅτι τὰ τοιάδε μιάσματα ῥητῶς ἀπηγόρευσεν ὁ Θεὸς ἐν τῷ Λευϊτικῷ διὰ Μωϋσέως;

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐγκαλούμενος »περὶ τῆς ἐγγαστριμύθου, ἔλεγε· θλίβομαι, »καὶ οἱ ἀλλόφυλοι πολεμοῦσιν ἐν ἐμοί. διὰ δὴ τοῦτο μάλιστα ἐκολάζετο. δέον γὰρ εἰπεῖν, ἥμαρτον, καὶ παρηνόμησα· ὁ δὲ τοῦτο μὲν οὐκ εἶπε, περιήρχετο δὲ προφάσεις ἀλόγους ζητῶν.

ιϛ. Καὶ εἶπε Σαμουὴλ, ἵνα τί ἐπερωτᾷς με, καὶ Κύριος ἀφέστηκεν ἀπὸ σοῦ, καὶ γέγονε μετὰ τοῦ πλησίον σου;

** ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Θεωρητέον πῶς αὐτὰ τὰ συνεκτικὰ παρεὶς ἐγκλήματα, πλάττεται μὲν ὑποκρίσει δεικτικωτέρᾳ φθέγγεσθαι· μηδὲν δὲ προγνώσεως ἄξιον εἰπὼν, ἐκεῖνα δεύτερον τεχνασμένως ὅσα περιὼν ὁ Σαμουὴλ ἔτι προὔλεγε συνενεχθῆναι τῷ Σαοὺλ, ἅπερ ὡς ἤδη γεγονότα προανεφώνει προφητεύων. ἀλ»λά γε μὴν ὅ γε φήσας αὐτῷ, τί με ἐπερωτᾷς, διαῤῥήδην ὁμολογεῖ ταῦτα ἃ καὶ πρότερον εἰρήκει. διαυτολογεῖ δὲ τὰ πρῶτα διὰ τῶν ἔπειτα βεβαιῶν ἐπὶ προσχήματι γοωδῶς. Ὠριγένης δὲ τοὐναντίον αὐτὰ τὰ πάλαι τῷ Προφήτῃ προαναφωνηθέντα ῥήματα παραλαβὼν ἐπὶ λέξεως, ὡς ἄρτια καὶ καινὰ προφητείας ἀποφθέγματα διορίζεται. διάτοι τοῦτο βούλεται τὸν Σαμουὴλ ἀνῆχθαι, καίτοι τῆς Γραφῆς ἄντικρυς ἐλεγχούσης αὐτὸν, ὥς γε συνομολογεῖ καὶ αὐτὸς ἐν μέρει τοπικῶς.

ιζ. Καὶ πεποίηκε Κύριός σοι, καθὼς ἐλάλησεν ἐν χειρί μου, καὶ διαῤῥήξει Κύριος τὴν βασιλείαν σου ἐκ χειρός σου, καὶ δώσει αὐτὴν τῷ πλησίον
ιη. σου τῷ Δαβὶδ, Διότι οὐκ ἤκουσας τῆς φωνῆς Κυρίου, καὶ οὐκ ἔπλησας θυμὸν ὀργῆς αὐτοῦ ἐν Ἀμαλὴκ, διὰ τοῦτο τὸ ῥῆμα τοῦτο ἐποίησε Κύριός σοι τῇ ἡμέρᾳ ταύτῃ.

** ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Προετίθη πάλιν ὁπηνίκα τῷ δυνάστῃ διε»λέγετο τὸ φάσμα· διαῤῥήξει Κύριος τὴν »βασιλείαν ἐκ χειρός σου, καὶ δώσει αὐτὴν »τῷ πλησίον σου τῷ Δαβὶδ, διότι οὐκ ἤκου»σας τῆς φωνῆς Κυρίου, καὶ οὐκ ἔπλησας θυ»μὸν ὀργῆς αὐτοῦ ἐν Ἀμαλήκ· διὰ τὸ ῥῆμα »τοῦτο ἐποίησε Κύριος τοῦτό σοι τῇ ἡμέρᾳ »ταύτῃ. καὶ δώσει Κύριος τὸν Ἰσραὴλ μετὰ »σοῦ εἰς χεῖρας ἀλλοφύλων. εἰ δέ τις ἀκριβῶσαι βούλοιτο τὸ σαφὲς, ἐπανίτω μὲν ἐπὶ τὴν τοῦ γράμματος ἱστορίαν ὀλίγῳ πρόσθεν ἀναδραμών. αὐτὸ δὲ τὸ χωρίον ἀναπτύξας, ἔνθα τὸν Ἀμαλὴκ ἡττήσας ἐσφετερίσατο τὰ κράτιστα τῶν σκύλων, καὶ τὰς ἐκ τούτων ᾤετο δεῖν ἀναφέρειν ὁλοκαυτώσεις ὡς ἀπαρχάς· ἀκριβολογίᾳ δὲ τρανωτέρᾳ ζητῶν ἐπιστημόνως, εὑρήσειεν ἂν ὡς ἅπαντα τὰ ῥήματα ταῦτα κατ᾽ ἐκεῖνο καιροῦ προεῖπεν ἐπὶ λέξεως ὁ Σαμουήλ. ἔφη γὰρ ὅτι »καὶ διέῤῥηξε Κύριος ἐκ χειρὸς αὐτοῦ τὴν 1. Βασ. 15. 28. βασιλείαν, ὁπότε καὶ τὸ τοῦ διπλοΐδίου πτερύγιον ἐπιλαβόμενος ὁ δυνάστης ἐδίχασε. προὔλεγε δὲ αὐτῷ πρὸς ἐπὶ τούτοις μὲν, ὡς ἤμελλεν ἡ βασιλεία δοθήσεσθαι τῷ πλησίον αὐτοῦ τῷ μᾶλλον ὑπὲρ αὐτὸν ἀγαθῷ· προεφήτευε δὲ καί τινα τρόπον ἔδει τὸν Ἰσραὴλ ἕνεκα τούτου διασχισθήσεσθαι καὶ μηκέτι ἐπιστρέψαι. ταῦτα δὲ φήσας, ὁμοῦ τοῖς ἔργοις ἐβεβαίου τὰ λεκτέα. μετ᾽ οὐ πολὺ γὰρ ἐκ θείας ἀποσταλεὶς ἐπικρίσεως, ἔχρισε βασιλέα τὸν Δαβίδ. ἄρ᾽ οὖν οὐδὲν ἀπήγγειλε ξένον ὁ διὰ τῆς ἐγγαστριμύθου λεγόμενος ἀνῆχθαι. τὰ δὲ ὑπὸ τοῦ Σαμουὴλ εἰρημένα πρότερον, ὡς ἴδια μὲν ἐσχημάτιζε προσωποποιῶν ἀπάτῃ· πιθανῇ δὲ τεχνοποιΐᾳ ταυτολογῶν ὑπεκρίνατο δὴ προφητικῶς ὁμιλεῖν. ἀλλ᾽ ὥσπερ ἀγύρται μάντεις ἐπὶ πλουσίων ἱστάμενοι θύρας ἐπειγόμενοι, τὰ μὲν ἤδη παροδεύσαντα τοῦ βίου πράγματα πολυτρόπως ἀνιχνεύουσι λεληθότως, αὐτὰ δὲ τὰ πρὸ πολλοῦ γεγονότα λέγειν αὐτοσχεδίως ὑπονοούμενοι, παραχρῆμα μὲν ἐκπλήττουσι τοὺς αὐτηκόους, εἰς εὐήθη δὲ πίστιν αὐτοὺς ἀπαγόμενοι, περὶ τῶν μελλόντων ἅπερ ἐθέλουσι πλάττουσιν· οὕτως ἄρα καὶ τὸ τῆς ἐγγαστριμύθου φάσμα μεταμορφούμενον, αὐτὰ μὲν ἐξηγόρευσε τὰ προφητικὰ τοῦ Σαμουὴλ ἀποφθέγματα· τῷ δὲ δοκεῖν ᾤετο προφητεύειν, οὐδὲν ἐπιστάμενος. ἀλλὰ τὰ μὲν ἀλλότρια προὔτατεν ὡς ἴδια καὶ κατέπληττε τὸν ἀλάστορα, διὰ δὲ τούτων εὐχερῶς ὑπεσύλα καὶ τὸν νοῦν ἔκλεπτεν ἐκείνου.

ιθ. Καὶ παραδώσει Κύριος τὸν Ἰσραὴλ μετὰ σοῦ εἰς χεῖρας ἀλλοφύλων, καὶ αὔριον σὺ καὶ οἱ υἱοί σου μετὰ σοῦ πεσοῦνται, καὶ τὴν παρεμβολὴν Ἰσραὴλ δώσει Κύριος εἰς χεῖρας ἀλλοφύλων.

* ΠΡΟΚΟΠΙΟΥ. [Ἔμφασιν δὲ τοῦ Δαιμόνιον εἶναι τὸ φθεγγόμενον εἴποι τὶς ἂν τὴν ἄγνοιαν τῆς τοῦ Σαοὺλ τελευτῆς.] Οὐ γὰρ αὔριον, ἀλλὰ μεθ᾽ ἡμέρας φαίνεται τεθνηκώς· εἰ μὴ ἄρα τὸ αὔριον τὸ τὴν τελευτὴν εἶναι πλησίον δηλοῖ, ἤγουν (1) προληπτι-

(1) Ἡ γοῦν, ὀρθότερ. ὡσαύτ. καὶ κατωτέρ.

ληπτικώτερον ἡ Γραφὴ τὰ κατὰ τὸν Δα- A βὶδ καὶ τὸν Ἀμαλὴκ φθάσασα διηγήσατο πρὸ τῆς τοῦ Σαοὺλ (1) τελευτῆς, ὡς ἂν εἴποιεν οἱ ὄντως ὀφθῆναι λέγοντες Σαμουὴλ, ἤγουν ὑπὸ θείας ἐνεργείας σχῆμά τι παραπλήσιον.

** ΚΥΡΙΛΛΟΥ. Ἐρεῖ δ' οὖν οἶμαί τις, καίτοι λελάληκεν ἀληθῆ φιλοπευστοῦντος τοῦ Σαοὺλ ἐσόμενα. Οὐ μικρὸς δὲ ἡμῖν δεδαπάνηται λόγος ἀπελέγχων, ὅτι οὐκ ἐν ἀκαθάρτοις πνεύμασιν ἡ ἀλήθεια. οὐ γὰρ οὖν. B ἀνάρμοστον γὰρ χρῆμά τι καὶ ἀσυμφυὲς, φῶς καὶ σκότος, Χριστὸς καὶ Βελίαλ. τοῖςγε μὴν παροτρύνουσι καὶ καταλυπεῖν εἰωθόσιν ἀποκαλύπτει Θεὸς καὶ δι' ὧν ἥκιστα χρὴ ἔσθ' ὅτε τὰ ἐσόμενα, ἐνηχούντων κατὰ τὸ εἰκὸς ἁγίων Ἀγγέλων εἰς ἀνθρώπινον νοῦν. ἅπερ ἂν εἰ μάθοιεν οἱ φιλοπευστεῖν ᾑρημένοι, κατακείσονται λίαν, καὶ ἀπαρχὴν ὥσπερ τινὰ τῆς σφίσιν ἐπηρτημένης Γ ὀργῆς τε καὶ δίκης ὑπομένουσι τὴν πρόγνωσιν. ἁγίοις μὲν γὰρ Προφήταις ἐπαναπαύεται καὶ ἀνακοινοῦται πολλάκις οὐχὶ δὴ μόνα τὰ σκυθρωπὰ, καὶ οἷς περ ἄν τις ἐπισυννάσας καθίσει δακρύων, ἀλλὰ καὶ ὅσα πρὸς εὐθυμίας καὶ εὐημερίας ἔσται τισίν. ἀνοσίοις δὲ καὶ ἐναγεστάτοις φιλομάντεσι τὰ σφίσιν αὐτοῖς ἐσόμενα διεκκαλύπτει κακά.

** ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Καὶ σὺ, φησὶν, αὔριον, καὶ ὁ υἱός σου Ἰωνάθαν (2) Δ μετ' ἐμοῦ· καὶ τὴν παρεμβολὴν Ἰσραὴλ δώσει Κύριος εἰς χεῖρας ἀλλοφύλων. ἀλλὰ ταῦτα μὲν ἐῴκει λέγων ὁ Δαίμων ὡς ἴδια· ζητητέον δὲ πότερον ἀληθῆ προὔλεγεν ὡς ᾤετο, καὶ πότερον ἀποστοχοῦ (3) καὶ συγκυρίας ἀπήγγειλε· καὶ πρὸς ἐπὶ τούτοις εἰ προεγνωκέναι ἠδύνατό τινα. Πρῶτον μὲν οὐ φαίνεται τῇ ἑξῆς ἡμέρᾳ διαφθαρεὶς ὁ Σαοὺλ, ὡς ἔφασκε τὸ φάσμα φθεγγόμενον. εἰ γὰρ ἀκούσας τῶν λόγων ἐκ τῆς ἄγαν ἀθυμίας E οὐκ ἔφαγεν ἄρτον ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν νύκτα, φησὶν, ἐκείνην, ὡς ἡ θεία διαγορεύει Γραφή· μετὰ δὲ τοῦτο παραινοῦσα πάλιν ἡ γυνὴ προὔτρεπεν ἐδωδῆς ἅψασθαι, προκειμένης ὁδοῦ, πρόδηλον ὅτι τῇ δευτέρᾳ δήπουθεν ἡμέρᾳ μετὰ τὴν πάννυχον καὶ πανήμερον ἐκείνην ἀσιτείαν ἔπεισε μὲν αὐτὸν εἰς τοὔδαφος ἐρριμμένον ἐκλύτως ἀναστῆναι καὶ καθεσθῆναι κοσμιώτερον ἐπὶ τοῦ δίφρου. τὸ δὲ μοσχάριον ὅπερ εἶχε γαλα- Z θηνὸν ἀμελητὶ λαβοῦσα σφάττει· ὀψοποιοῦσα δὲ καὶ πέττουσα τοὺς ἀζύμους, ἡτρέπιζεν ἐδωδάς. ἐπειδὴ δὲ προσέφερεν αὐτῷ καὶ τοῖς ἀμφ' αὐτὸν ἀριστοποιήσασα σπουδαίως, ὁ μὲν αὐτόθι σιτίων ἐλάβετο προτραπείς· ἀνάγκη δὲ νοεῖν ὡς εἰς ἄλλας ἀφίκετο νυκτερινὰς ὥρας, εἴπερ ᾤχετο νυκτὸς ἐκεῖθεν ἐξορμήσας. ὥστε τοῦτο μὲν αὐτοτελῶς ἐλέγχεται ψευσάμενος ὁ Δαίμων. οὐ γὰρ ὡς H εἶπεν, αὔριον ἔσῃ σὺ μετ' ἐμοῦ, γέγονεν οὕτως, ὁπηνίκα τὴν ἑξῆς αὐτόσε διέτρι-

A ψεν ἡμέραν ἄσιτος· εἶτα τῇ δευτέρᾳ τῆς ἐδωδῆς ἁψάμενος ἐβάδιζεν εἰς τὸ στρατόπεδον. οὐχὶ δὲ τοῦτο μόνον ἁλίσκεται παρὰ τὸ γεγονὸς εἰρηκὼς, ἀλλὰ καὶ τὸν Ἰωνάθαν ἔφη μονώτατον ὁμοῦ τῷ πατρὶ καταλῆξαι πρὸς αὐτόν. ἐκ δὲ τῶν ἐναντίων ἡ διηγηματικὴ τοῦ γράμματος διαγορεύει φωνὴ, τὸν Σαοὺλ ἅμα τρισὶν ἀπεσφάχθαι παισὶν, ἀλλ' οὐχ ἑνὶ μόνῳ, ὡς ἔφησεν ἐκεῖνος. οὐκοῦν ἀπορίᾳ προγνώσεως οὐδὲν ἀληθὲς ἐξεῖπεν B ὁ Δαίμων. οὐ γὰρ ἂν ἐναντία τῶν γεγονότων ἀπήγγειλεν. ἀλλὰ τὰ τῷ Σαμουὴλ εἰρημένα πρότερον, ὡς ἔφην, ὑποκλέψας, ὀλίγα ἄττα προσετίθη τούτοις, ἐκ τῶν εἰκότων ὁμοιότροπα συμπλέξας. οὕτως ἄρα καὶ θάνατον ἠπείλει τῷ δυνάστῃ ταῖς ἐκείνου φωναῖς ἀποχρώμενος. ἀλλ' ἔτι γε καὶ τὴν τοῦ Ἰσραὴλ ἐκδοῦναι παρεμβολὴν ὑπισχνεῖτο τῷ τὸν Προφήτην ἐμβριθῶς εἰρηκέναι διασχισθήσεσθαι τὸν λαόν. ὁρῶν οὖν ἐπιτετει- Γ χισμένα πολέμου μηχανήματα, καὶ τὸν τοῦ λαοῦ προεστῶτα περιδεῆ, προσέτι δὲ καὶ καταλειφθέντα πρὸς αὐτοῦ τοῦ Θεοῦ, δι' ὧν ὁ δυνάστης ὡμολόγει, στοχαζόμενος ὅτι δεῦρο περαιοῦται τὸ τοῦ Προφήτου κήρυγμα, πρὸς τὰς ἐνεστώσας ὑπεκρίνατο κινήσεις ἀναφωνεῖν. ὅσα μέντοι προσέθηκεν ἴδια καθ' ἑαυτὰ, φανερῶς ἑάλω ψευσάμενος. οὔτε γὰρ τὴν τοῦ θανάτου δεδύνηται προειπεῖν ἡμέραν, οὔτε τὰς τῶν υἱέων τοῦ Σαοὺλ ἀναιρέσεις, Δ ὧν ἐπὶ ὀνόματος ἐμνημόνευσεν ἡ Γραφή.

κ. Καὶ ἔσπευσε Σαοὺλ καὶ ἔπεσεν ἑστηκὼς ἐπὶ τὴν γῆν, καὶ ἐφοβήθη σφόδρα ἀπὸ τῶν λόγων Σαμουὴλ, καὶ ἰσχὺς ἐν αὐτῷ οὐκ ἦν ἔτι. οὐ γὰρ ἔφαγεν ἄρτον ὅλην τὴν ἡμέραν καὶ ὅλην τὴν νύκτα ἐκείνην.

** ΕΥΣΤΑΘΙΟΥ ΑΝΤΙΟΧΕΙΑΣ. Ἀπαραλήπτῳ τάξεως ἀκολουθίᾳ προσθεὶς E ἔφησεν ὁ συγγραφεύς· ὅτι, καὶ ἔσπευσε Σαοὺλ καὶ ἔπεσεν ἑστηκὼς ἐπὶ τὴν γῆν, καὶ ἐφοβήθη σφόδρα, λέγων, ἀπὸ τῶν λόγων Σαμουήλ. ἐκείνους γὰρ οἶδε τοῦ Σαμουὴλ εἶναι τοὺς λόγους, οὓς προεφήτευε μὲν αὐτῷ σώματι καὶ γλώττῃ παρών. τὸ δὲ φάσμα τούτους ἀνεξελέξατο τοὺς . . . καὶ προὔφερεν ὡς ἰδίους. ὧν ὁ δυνάστης ὑπομνησθεὶς, καὶ τὰ τοῦ πολέμου σύμβολα θεωρῶν ἄντικρυς ἱδρυμένα περιδεὴς ἐγεγόνει, τὸ πέρας αὐ- Z τῶν ἐννοῶν.

κα. Καὶ εἰσῆλθεν ἡ γυνὴ πρὸς Σαοὺλ, καὶ εἶδεν ὅτι ἔσπευσε σφόδρα, καὶ εἶπε πρὸς αὐτὸν, ἰδοὺ δὴ ἤκουσεν ἡ δούλη σου τῆς φωνῆς σου, καὶ ἐθέμην τὴν ψυχήν μου τῇ χειρί σου, καὶ ἤκουσα κβ. τοὺς λόγους οὓς ἐλάλησάς μοι. Καὶ νῦν ἄκουσον δὴ καὶ σὺ φωνὴν τῆς δού- H λης σου, καὶ παραθήσω ἐνώπιόν σου ψωμὸν ἄρτου, καὶ φάγῃ, (4) καὶ ἔσται ἐν σοὶ

(1) Λαοῦ. ὁ τῆς Αὐγ. κώδ. (2) Τὸ, ὁ υἱός σου Ἰωνάθαν, καὶ παρὰ Θεοδωρίτ. ἐν σελ. 469. οὐδὲ ἐν ταῖς εἰρημ. δὲ ἐκδόσ. οὐδὲ ἐν ταῖς ἐν αὐτ. σημειώσ. κεῖται. (3) Ἴσ. ἀπὸ σκοποῦ. (4) Φάγε. αἱ αὐτ.

κγ. σοὶ ἰσχὺς, ὅτι πορεύῃ ἐν ὁδῷ. Καὶ οὐκ
ἐβούλετο φαγεῖν. καὶ παρεβιάζοντο
αὐτὸν οἱ παῖδες αὐτοῦ καὶ ἡ γυνὴ, καὶ
ἤκουσε τῆς φωνῆς αὐτῶν, καὶ ἀνέστη
ἀπὸ τῆς γῆς, καὶ ἐκάθισεν ἐπὶ τὸν
κδ. δίφρον. Καὶ τῇ γυναικὶ ἦν δάμαλις
A νομὰς ἐν τῇ οἰκίᾳ· καὶ ἔσπευσε καὶ ἔθυ-
σεν αὐτήν· καὶ ἔλαβεν ἄλευρα καὶ ἐφύ-
κε. ρασε, καὶ ἔπεψεν ἄζυμα, Καὶ προσή-
γαγεν ἐνώπιον Σαοὺλ, καὶ ἐνώπιον τῶν
παίδων αὐτοῦ· καὶ ἔφαγον καὶ ἀνέστη-
σαν καὶ ἀπῆλθον τὴν νύκτα ἐκείνην.

ΚΕΦ. ΚΘ.

α. Καὶ συναθροίζουσιν οἱ ἀλλόφυλοι πάσας τὰς παρεμβολὰς αὐτῶν εἰς Ἀφεκὰ, καὶ Ἰσραὴλ παρενέβαλεν ἐν Ἀενδὼρ τῇ ἐν Ἰεζραέλ.

β. Καὶ (1) σατράπαι τῶν ἀλλοφύλων παρεπορεύοντο εἰς ἑκατοντάδας καὶ χιλιάδας, καὶ Δαβὶδ καὶ οἱ ἄνδρες αὐτοῦ παρεπορεύοντο ἐπ' ἐσχάτων μετὰ Ἀγχοῦς.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ οἱ σατράπαι
» τῶν ἀλλοφύλων παρεπορεύοντο. ἐπανάληψις.

** ΙΩΣΗΠΟΥ. Κατεστρατοπεδευκότων τῶν Παλαιστίνων, ὡς προεῖπον, καὶ κατὰ ἔθνη καὶ βασιλείας καὶ σατράπας ἐναριθμούντων τὴν δύναμιν, τελευταῖος βασιλεὺς παρῆλθεν Ἀγχοῦς μετὰ τῆς ἰδίας στρατιᾶς· μετ' αὐτὸν δ' ὁ Δαυΐδης μετὰ τῶν ἑξακοσίων ὁπλιτῶν εἵπετο.

γ. Καὶ εἶπον οἱ σατράπαι τῶν ἀλλοφύλων, τίνες οἱ διαπορευόμενοι οὗτοι; καὶ εἶπεν Ἀγχοῦς πρὸς τοὺς στρατηγοὺς τῶν ἀλλοφύλων, οὐχ οὗτος Δαβὶδ ὁ δοῦλος Σαοὺλ βασιλέως Ἰσραήλ; γέγονε μεθ' ἡμῶν ἡμέρας τοῦτο δεύτερον ἔτος, καὶ οὐχ εὕρηκα ἐν αὐτῷ οὐθὲν ἀφ' ἧς ἡμέρας ἐνέπεσε πρός με καὶ ἕως τῆς ἡμέρας ταύτης.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἐνέπεσε πρός με·
» Σύμμαχος, προσέφυγέ μοι.

δ. Καὶ ἐλυπήθησαν ἐπ' αὐτῷ οἱ σατράπαι τῶν ἀλλοφύλων, καὶ λέγουσιν αὐτῷ, ἀπόστρεψον τὸν ἄνδρα, καὶ ἀποστραφήτω εἰς τὸν τόπον αὐτοῦ, οὗ κατέστησας αὐτὸν ἐκεῖ, καὶ μὴ ἐρχέσθω μεθ' ἡμῶν εἰς τὸν πόλεμον, καὶ μὴ γινέσθω ἐπίβουλος τῆς παρεμβολῆς· καὶ ἐν τίνι διαλλαγήσεται οὗτος τῷ κυρίῳ αὐτοῦ; οὐχὶ ἐν ταῖς κεφαλαῖς τῶν ἀνδρῶν ἐκείνων;

» * ΠΡΟΚΟΠΙΟΥ. Ἐλυπήθησαν· Ἀκύ-
» λας, παρωξύνθησαν· Σύμμαχος, ὠργίσθη-
» σαν· Θεοδοτίων, ἐθυμώθησαν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Διαφθονούμενοι αὐτῷ οἱ σατράπαι, καὶ διαβαλεῖν πρὸς τὸν βασιλέα βουλόμενοι, ἐξέπεμπον αὐτὸν τῆς στρατιᾶς, ὡς ἄχρηστον αὐτοῖς καὶ ἐπί-
» βουλον καὶ προδότην ἐσόμενον. ἐθυμώθη-
» σαν γάρ φησιν ἐπ' αὐτῷ οἱ σατράπαι τῶν
» ἀλλοφύλων, καὶ λέγουσιν αὐτῷ, ἀπόστρε-
» ψον τὸν ἄνδρα, καὶ τὰ ἑξῆς.

** ΙΩΣΗΠΟΥ. Θεασάμενοι αὐτὸν οἱ στρατηγοὶ τῶν Παλαιστίνων· πόθεν εἴησαν ἥκοντες οἱ Ἑβραῖοι, καὶ τίνων καλεσάν-
Γ των ἠρώτων τὸν βασιλέα· ὁ δὲ Δαυΐδην ἔλεγεν εἶναι, τὸν φυγόντα Σάουλον τὸν ἑαυτοῦ δεσπότην, καὶ πρὸς αὐτὸν ἐλθόντα δέξασθαι. καὶ νῦν τῆς χάριτος ἀμοιβὴν ἐκτίσαι βουλόμενον καὶ τιμωρήσασθαι τὸν Σάουλον, συμμαχεῖν αὐτοῖς. ἐμέμφθη δὲ ὑπὸ τῶν στρατηγῶν, ἄνδρα παρειληφὼς ἐπὶ συμμαχίᾳ πολέμιον· καὶ ἀποπέμπειν συνεβούλευον, μὴ καὶ λάθῃ μέγα δι' αὐ-
Δ τὸν κακὸν τοὺς φίλους ἐργασάμενος. καιρὸν γὰρ αὐτῷ παρέξειν τοῦ καταλλαγῆναι πρὸς τὸν δεσπότην, κακώσοντα τὴν ἡμετέραν δύναμιν.

ε. Οὐχ οὗτός ἐστι Δαβὶδ, ᾧ ἐξῆρ-
χον ἐν χοροῖς, λέγοντες, ἐπάταξε
Σαοὺλ ἐν χιλιάσιν αὐτοῦ, καὶ Δαβὶδ ἐν
ϛ. μυριάσιν αὐτοῦ; Καὶ ἐκάλεσεν Ἀγ-
χοῦς τὸν Δαβὶδ, καὶ εἶπεν αὐτῷ, ζῇ
E Κύριος, ὅτι εὐθὺς σὺ καὶ ἀγαθὸς ἐν
ὀφθαλμοῖς μου, καὶ ἡ ἔξοδός σου καὶ ἡ
εἴσοδός σου ἐν ἐμοὶ ἐν τῇ παρεμβολῇ,
καὶ ὅτι οὐχ εὕρηκα κατὰ σοῦ κακίαν
ἀφ' ἧς ἡμέρας ἥκεις πρός με ἕως τῆς
σήμερον ἡμέρας· καὶ ἐν ὀφθαλμοῖς
ζ. τῶν σατραπῶν οὐκ ἀγαθὸς σύ. Καὶ
νῦν ἀνάστρεφε καὶ πορεύου εἰς εἰρήνην,
καὶ οὐ μὴ ποιήσῃς κακίαν ἐν ὀφθαλμοῖς
Z τῶν σατραπῶν τῶν ἀλλοφύλων.

η. Καὶ εἶπε Δαβὶδ πρὸς Ἀγχοῦς, τί πεποίηκά σοι καὶ τί εὗρες ἐν τῷ δούλῳ σου ἀφ' ἧς ἡμέρας ἤμην ἐνώπιόν σου καὶ ἕως τῆς ἡμέρας ταύτης, ὅτι οὐ μὴ ἔλθω πολεμῆσαι τοὺς ἐχθροὺς τοῦ κυρίου μου τοῦ βασιλέως;

* ΠΡΟΚΟΠΙΟΥ. Ἐφύλαξε δὲ τὸ σχῆ-
H μα τῆς πρὸς ἀλλοφύλους εὐνοίας καὶ μέχρι τοῦ ἐπιστρατεῦσαι ἐπὶ τὸν Ἰσραὴλ, οὐχ ὡς πολεμήσων, ἀλλ' ἴσως τούτοις συνεπιθησόμενος·

(1) Οἱ σατρ. αἱ αὐτ.

μενος· ὅπερ καὶ ὑπώπτευσαν· ἢ προσδοκῶν
τὴν διὰ Θεοῦ κώλυσιν. ὅπερ καὶ γέγονε.

θ. Καὶ ἀπεκρίθη Ἀγχοῦς πρὸς
Δαβὶδ οἶδα ὅτι ἀγαθὸς σὺ ἐν ὀφ-
θαλμοῖς μου, ἀλλ᾽ οἱ σατράπαι τῶν
ἀλλοφύλων λέγουσιν, οὐχ ἥξει μεθ᾽
ι. ἡμῶν εἰς τὸν πόλεμον. Καὶ νῦν ὄρ-
θρισον τὸ πρωῒ σὺ καὶ οἱ παῖδες τοῦ
κυρίου σου οἱ ἥκοντες μετὰ σοῦ, καὶ πο-
ρεύεσθε εἰς τὸν τόπον οὗ κατέστησα
ὑμᾶς ἐκεῖ, καὶ λόγον λοιμὸν μὴ θῇς
ἐν τῇ καρδίᾳ σου, ὅτι ἀγαθὸς σὺ ἐνώ-
A πιον ἐμοῦ· καὶ ὀρθρίσατε ἐν τῇ ὁδῷ
καὶ φωτισάτω ὑμῖν, καὶ πορεύθητε;

ια. Καὶ ὤρθρισε Δαβὶδ αὐτὸς καὶ
οἱ ἄνδρες αὐτοῦ ἀπελθεῖν καὶ φυλάσ-
σειν τὴν γῆν τῶν ἀλλοφύλων. καὶ οἱ
ἀλλόφυλοι ἀνέβησαν πολεμεῖν ἐν (1)
Ἰεζραήλ.

∗ ΠΡΟΚΟΠΙΟΥ. Θείας καὶ τοῦτο προνοίας. ἢ γὰρ ἐγίνετο κατὰ τοῦ λαοῦ Ἰσραὴλ B ἐμφυλίου αἵματος ἐμπιπλάμενος, ἢ οὐκ ἂν περιεῖδε τὸν λαὸν ἀπολλύμενον, ἀλλὰ πᾶσαν καὶ τοῦ λαοῦ καὶ τοῦ Σαοὺλ ἐποιήσατο πρόνοιαν, ὃν ἔδει παθεῖν.

ΚΕΦ. Λ.

α. Καὶ ἐγενήθη εἰσελθόντος Δα-
βὶδ καὶ τῶν ἀνδρῶν αὐτοῦ
τὴν Σεκελὰγ (2) τῇ ἡμέ-
ρᾳ τῇ τρίτῃ, καὶ Ἀμαλὴκ ἐπέθετο
ἐπὶ τὸν νότον καὶ ἐπὶ Σεκελὰγ, καὶ
ἐνεπύρισαν αὐτὴν ἐν πυρί.

∗∗ ΙΩΣΗΠΟΥ. Δαυΐδης μὲν, ὡς ἐκέλευσεν ὁ τῶν Γιττῶν βασιλεὺς, ἧκεν εἰς Σίκελλαν. καθ᾽ ὃν δὲ καιρὸν ἐξ αὐτῆς συμμαχήσων τοῖς Παλαιστίνοις ἀπῆλθε, τὸ τῶν Ἀμαληκιτῶν ἔθνος ἐπελθὸν αἱρεῖ τὴν Δ Σίκελλαν κατὰ κράτος· καὶ ἐμπρήσαντες, καὶ πολλὴν λείαν ἄλλην ἔκ τε αὐτῆς ἐκείνης καὶ τῆς ἄλλης τῶν Παλαιστίνων χώρας λαβόντες ἀνεχώρησαν.

β. Καὶ τὰς γυναῖκας καὶ πάντα
τὰ ἐν αὐτῇ ἀπὸ μικροῦ ἕως μεγάλου
οὐκ ἐθανάτωσαν ἄνδρα ἢ (3) γυναῖκα,
ἀλλ᾽ ᾐχμαλώτευσαν, καὶ ἀπῆλθον
E εἰς τὴν ὁδὸν αὐτῶν.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε συνεχώρησεν ὁ Θεὸς, καὶ τὰς γυναῖκας αὐτῶν ἐξανδραποδισθῆναι, καὶ τὰ παιδία; Ἵνα ἀλύοντες, τοῖς Ἀμαληκίταις ἐπιστρατεύσωσι, καὶ τὴν πανωλεθρίαν αὐτοῖς κατὰ τὴν θείαν ἐπενέγκωσι πρόῤῥησιν. πρὸς δὲ τούτοις, καὶ ἵνα λείαν πλείστην λαβὼν πέμψῃ τοῖς ὁμοφύλοις, καὶ εἰς εὔνοιαν αὐτοὺς ἐφελκύσηται πλείονα.

γ. Καὶ ἦλθε Δαβὶδ καὶ οἱ ἄνδρες
αὐτοῦ εἰς τὴν πόλιν, καὶ ἰδοὺ ἐμπεπύ-
ρισο ἐν πυρὶ, αἱ δὲ γυναῖκες αὐτῶν
καὶ αἱ θυγατέρες αὐτῶν ᾐχμαλωτευ-
δ. μένοι. Καὶ ἦρε Δαβὶδ καὶ οἱ ἄνδρες
αὐτοῦ τὴν φωνὴν αὐτῶν, καὶ ἔκλαυ-
σαν ἕως ὅτου οὐκ ἦν ἐν αὐτοῖς ἰσχὺς ἔτι
ε. κλαίειν. Καὶ ἀμφότεραι αἱ γυναῖκες
Δαβὶδ ᾐχμαλωτεύθησαν, Ἀχιναὰμ
ἡ Ἰεζραηλίτις, καὶ Ἀβιγαία ἡ γυνὴ
ς. Νάβαλ τοῦ Καρμηλίου. Καὶ ἐθλί-
Γ βη Δαβὶδ ἕως σφόδρα, ὅτι εἶπεν ὁ
λαὸς λιθοβολῆσαι αὐτὸν, ὅτι κατώ-
δυνος ψυχὴ παντὸς τοῦ λαοῦ ἑκάστου
ἐπὶ τοὺς υἱοὺς αὐτοῦ καὶ ἐπὶ τὰς θυγα-
τέρας αὐτοῦ. καὶ ἐκραταιώθη Δαβὶδ
ἐν Κυρίῳ Θεῷ αὐτοῦ.

∗∗ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀνεχώρησε μετὰ πολλῆς τῆς ὕβρεως καὶ τῆς ἀθυμίας. ἐλθὼν δὲ οἴκοι, τοσαῦτα εὗρε κακὰ, ὡς Δ μικροῦ δεῖν καὶ ἀποπνιγῆναι τῇ λύπῃ. τὰ γὰρ τότε συμβεβηκότα δεινὰ ἦν μὲν ἱκανὰ καὶ προμελετηθέντα τὴν ἐκείνου σκοτῶσαι ψυχήν. τοῦ δὲ ἀπροσδοκήτου προσεθέντος καὶ παρ᾽ ἐλπίδας, διπλάσια τῶν ὄντων ἐφαίνετο, καὶ οὐκ ἔτι ἦν φορητά. ἀπῄει μὲν γὰρ ὡς ἀναπαυσόμενος οἴκοι, καὶ τῆς ἀθυμίας ἐκείνης εὑρήσων παραμυθίαν τὰ παιδία καὶ τὰς γυναῖκας· ἐπιστὰς δὲ ἄφνω, ἤκουε μὲν ὅτι οὗτοι παρὰ τοῖς πολεμίοις δουλεύουσιν, E ἐθεώρει δὲ πῦρ καὶ καπνὸν, καὶ αἷμα καὶ νεκροὺς, καὶ πρὶν ἢ τούτοις ἀλγῆσαι, καὶ τὴν αἰχμαλωσίαν ὀδύρασθαι, θηρίων χαλεπώτερον ἐπέπεσον οἱ τὴν πόλιν οἰκοῦντες αὐτῷ, ἀπὸ τῆς ἐκείνου κεφαλῆς ἕκαστος τῶν οἰκείων κακῶν εὑρέσθαι παραμυθίαν ζητῶν. καὶ καθάπερ ἐναντίων ἀνέμων εἰς τὴν θάλασσαν ἐμπεσόντων, πολὺς καὶ ἄγριος ἀπὸ τῆς μάχης ἐκείνης γίνεται ὁ χειμών· οὕτω καὶ τότε καὶ ἀθυμίας καὶ φόβου τὴν τοῦ δικαίου Z διακοπτόντων ψυχὴν, πολλὴ ἦν ἡ ζάλη καὶ ὁ θόρυβος, τῶν παθῶν τούτων ὑπ᾽ ἀλλήλων κρατούντων καὶ κρατουμένων συνεχῶς.

ζ. Καὶ εἶπε Δαβὶδ πρὸς Ἀβιάθαρ
τὸν ἱερέα υἱὸν Ἀβιμέλεχ, προσάγαγε
τὸ ἐφούδ.

∗∗ ΙΩΣΗΠΟΥ. Παρεκάλεσε τὸν ἀρχιερέα Ἀβιάθαρον ἐνδύσασθαι τὴν ἱερατικὴν στολὴν, καὶ ἐπερωτῆσαι τὸν Θεὸν, καὶ H προφητεῦσαι, εἰ διώξαντι τοὺς Ἀμαληκίτας δίδωσι καταλαβεῖν, καὶ σῶσαι μὲν τὰς γυναι-

(1) Ἐπί. αἱ αὐτ. (2) Σεκελάκ. αἱ αὐτ. Σικελὰγ δὲ κατωτέρ. ἐν τῷ κς´ ἐδ.
(3) Ἄνδρα καί. αἱ αὐτ.

γυναῖκας καὶ τὰ τέκνα, τιμωρήσασθαι δὲ
τοὺς ἐχθρούς.

η. Καὶ ἐπηρώτησε Δαβὶδ διὰ τοῦ
Κυρίου, λέγων, εἰ καταδιώξω ὀπίσω
τοῦ γεδδοὺρ τούτου; εἰ καταλήψομαι
αὐτούς; καὶ εἶπεν αὐτῷ, καταδίωκε,
ὅτι καταλαμβάνων καταλήψῃ αὐ-
τούς, καὶ ἐξαιρούμενος ἐξαιρῇ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ σύστρεμμα, γεδδοὺρ (1) ὁ Ἑβραῖος καλεῖ, ὃ ἑτέρωθι ἑρμηνεύεται πειρατήριον. καλεῖται δὲ οὕτω τὸ λῃστρικὸν σύστημα.

θ. Καὶ ἐπορεύθη Δαβὶδ αὐτὸς καὶ
οἱ ἑξακόσιοι ἄνδρες μετ' αὐτοῦ, καὶ ἔρ-
χονται ἕως τοῦ χειμάῤῥου Βοσόρ, καὶ οἱ
ι. περισσοὶ ἔστησαν. Καὶ κατεδίωξεν ἐν
τετρακοσίοις ἀνδράσιν· ὑπέστησαν δὲ
διακόσιοι ἄνδρες οἵτινες ἐκάθισαν πέ-
ια. ραν τοῦ χειμάῤῥου τοῦ Βοσόρ. Καὶ εὑρί-
σκουσιν ἄνδρα Αἰγύπτιον ἐν ἀγρῷ, καὶ
λαμβάνουσιν αὐτόν, καὶ ἄγουσιν αὐ-
τὸν πρὸς Δαβίδ· καὶ διδόασιν αὐτῷ
ἄρτον καὶ ἔφαγε, καὶ ἐπότισαν αὐ-
ιβ. τὸν ὕδωρ. Καὶ διδόασιν αὐτῷ κλάσ-
μα παλάθης καὶ ἔφαγε, καὶ κατέστη
τὸ πνεῦμα αὐτοῦ ἐν αὐτῷ, ὅτι οὐ βε-
βρώκει ἄρτον, καὶ οὐ πεπώκει ὕδωρ
τρεῖς ἡμέρας καὶ τρεῖς νύκτας.

** ΙΩΣΗΠΟΥ. Τοῦ ἀρχιερέως διώκειν κελεύσαντος, ἐκπηδήσας μετὰ τῶν ἑξακοσίων ὁπλιτῶν εἵπετο τοῖς πολεμίοις. παραγενόμενος δ' ἐπί τινα χείμαῤῥον, Βάσελον λεγόμενον, καὶ πλανωμένῳ τινὶ περιπεσὼν, Αἰγυπτίῳ μὲν τὸ γένος, ὑπ' ἐνδείας καὶ λιμοῦ παρειμένῳ· τρισὶ γὰρ ἡμέραις ἐν τῇ ἐρημίᾳ πλανώμενος ἄσιτος διεκαρτέρησε· πρῶτον αὐτὸν ποτῷ καὶ τροφῇ παραστησάμενος καὶ ἀναλαβὼν, ἐπύθετο τίνος τε εἴη καὶ πόθεν.

ιγ. Καὶ εἶπεν αὐτῷ Δαβὶδ, πό-
θεν εἶ, καὶ τίνος εἶ σύ; καὶ εἶπε τὸ
παιδάριον τὸ Αἰγύπτιον, ἐγώ εἰμι δοῦ-
λος ἀνδρὸς Ἀμαληκίτου, καὶ κατέ-
λιπέ με ὁ κύριός μου, ὅτι ἠνωχλήθην
ἐγὼ σήμερον τριταῖος.

» * ΠΡΟΚΟΠΙΟΥ. Τὸ δὲ ἠνωχλήθην
» ἐγὼ, ὁ Ἀκύλας, ἀντὶ τοῦ, ἠῤῥώστησα τρι-
ταῖος, (2) ὅς ἐστι τρεῖς ἡμέρας.

** ΙΩΣΗΠΟΥ. Γένος μὲν ἐσήμαινεν, Αἰγύπτιος ὤν· καταλειφθῆναι δὲ ὑπὸ τοῦ δεσπότου κατ' ἀῤῥωστίαν ἕπεσθαι μὴ δυνάμενον.

ιδ. Καὶ ἡμεῖς ἐπεθέμεθα ἐπὶ νότον
τοῦ Χελεθὶ, καὶ ἐπὶ τὰ τῆς Ἰουδαίας μέ-
ρη, καὶ ἐπὶ νότον Γελβουὲ, (3) καὶ τὴν
ιε. Σεκελὰγ ἐνεπυρίσαμεν ἐν πυρί. Καὶ
εἶπεν αὐτῷ Δαβὶδ εἰ κατάξεις με ἐπὶ
τὸ γεδδοὺρ τοῦτο; καὶ εἶπεν, ὄμοσον
δή μοι κατὰ τοῦ Θεοῦ μὴ θανατῶσαί
με, καὶ μὴ παραδοῦναί με εἰς χεῖρας τοῦ
κυρίου μου, καὶ κατάξω σε ἐπὶ τὸ γεδ-
ις. δοὺρ τοῦτο. Καὶ κατήγαγεν αὐτὸν ἐκεῖ,
καὶ ἰδοὺ οὗτοι διακεχυμένοι ἐπὶ πρόσω-
πον πάσης τῆς γῆς, ἐσθίοντες καὶ πί-
Β νοντες καὶ ἑορτάζοντες ἐν πᾶσι τοῖς
σκύλοις τοῖς μεγάλοις, οἷς ἔλαβον
ἐκ γῆς ἀλλοφύλων καὶ ἐκ γῆς Ἰούδα.

** ΙΩΣΗΠΟΥ. Ἐδήλου αὐτὸν τῶν καταπρησάντων καὶ διηρπακότων ἄλλα τε τῆς Ἰουδαίας καὶ τὴν Σίκελλαν εἶναι. χρησάμενος οὖν ὁ Δαυΐδης τούτῳ ἐπὶ τοὺς Ἀμαληκίτας ὁδηγῷ, καὶ καταλαβὼν αὐτοὺς ἐπὶ γῆς ἐῤῥιμμένους, καὶ τοὺς μὲν ἀριστῶντας, τοὺς
Γ δὲ καὶ μεθύοντας ἤδη καὶ λελυμένους ὑπὸ τοῦ οἴνου, καὶ τῶν λαφύρων καὶ τῆς λείας ἀπολαύοντας, ἐπιπεσὼν αἰφνιδίως, πολὺν αὐτῶν φόνον εἰργάσατο.

ιζ. Καὶ ἦλθεν ἐπ' αὐτοὺς Δαβὶδ,
καὶ ἐπάταξεν αὐτοὺς ἀπὸ ἑωσφόρου
ἕως δείλης καὶ τῇ ἐπαύριον, καὶ οὐκ
ἐσώθη ἐξ αὐτῶν ἀνὴρ, ὅτι ἀλλ' ἢ τε-
Δ τρακόσια παιδάρια, ἃ ἦν ἐπιβεβη-
κότα ἐπὶ τὰς καμήλους, καὶ ἔφυγον.

» * ΠΡΟΚΟΠΙΟΥ. Ἀπὸ ἑωσφόρου· Ἀκύ-
» λας, σκοτομήνης· Σύμμαχος, ἀφ' οὗ συ-
» νεσκότασε.

** ΙΩΣΗΠΟΥ. Διέμειναν οἱ σὺν τῷ Δαυΐδῃ καὶ αὐτοὶ ἀναιροῦντες ἀπὸ πρώτης ὥρας ἕως ἑσπέρας, ὡς μὴ περιλειφθῆναι τῶν Ἀμαληκιτῶν πλείονας ἢ τετρακοσίους. καὶ αὐτοὶ δὲ δρομάσι καμήλοις ἐπιβάντες
Ε διέφυγον.

ιη. Καὶ ἀφείλατο Δαβὶδ πάντα
ἃ ἔλαβον οἱ Ἀμαληκῖται, καὶ ἀμ-
φοτέρας τὰς γυναῖκας αὐτοῦ ἐξεί-
ιθ. λατο. Καὶ οὐ διεφώνησεν αὐτοῖς ἀπὸ
μικροῦ ἕως μεγάλου, καὶ ἀπὸ τῶν σκύ-
λων, καὶ ἕως υἱῶν καὶ θυγατέρων, καὶ
ἕως πάντων ὧν ἔλαβον αὐτῶν, τὰ
κ. πάντα ἐπέστρεψε Δαβίδ. Καὶ ἔλα-
βε Δαβὶδ πάντα τὰ ποίμνια, καὶ τὰ
βουκόλια, καὶ ἀπήγαγεν ἔμπροσθεν
τῶν σκύλων· καὶ τοῖς σκύλοις ἐκείνοις
ἐλέγετο, ταῦτα τὰ σκῦλα Δαβίδ.

κα. Καὶ παραγίνεται Δαβὶδ πρὸς
τοὺς διακοσίους ἄνδρας τοὺς ὑπολειφ-
θέντας τοῦ πορεύεσθαι ὀπίσω Δαβίδ,
Η καὶ ἐκάθισεν αὐτοὺς ἐν τῷ χειμάῤῥῳ
τοῦ Βοσόρ, καὶ ἐξῆλθον εἰς ἀπάντη-

(1) Γαδδέρ. ἡ ἐν Χάλ. ἔκδ. γαδδοὺδ. αὐτ. ἐν ταῖς σημ.
(2) Τὰ ἀκόλουθα οὐ περιέχει ὁ τῆς Αὐγ. κώδ.
(3) Χελέβ. αἱ εἰρημ. ἐκδόσ. Γελβουέ. ἡ τοῦ Ἄλδ.

σιν Δαβὶδ καὶ εἰς ἀπάντησιν τοῦ λαοῦ
τοῦ μετ' αὐτοῦ· καὶ προσήγαγε Δα-
βὶδ ἕως τοῦ λαοῦ, καὶ ἠρώτησαν αὐ-
κβ. τὸν τὰ εἰς εἰρήνην. Καὶ ἀπεκρίθη
πᾶς ἀνὴρ λοιμὸς καὶ πονηρὸς τῶν ἀν-
δρῶν τῶν πολεμιστῶν τῶν πορευθέντων
μετὰ Δαβὶδ, καὶ εἶπαν, ὅτι οὐ κατε-
δίωξαν μεθ' ἡμῶν, οὐ δώσομεν αὐτοῖς
ἐκ τῶν σκύλων ὧν ἐξειλόμεθα, ὅτι
ἀλλ' ἢ ἕκαστος τὴν γυναῖκα αὐτοῦ, καὶ
τὰ τέκνα αὐτοῦ ἀπαγέσθωσαν, καὶ
κγ. ἀποστρεφέτωσαν. Καὶ εἶπε Δαβὶδ;
οὐ ποιήσετε οὕτω, μετὰ τὸ παραδοῦναι
τὸν Κύριον ἡμῖν, καὶ φυλάξαι ἡμᾶς,
καὶ παρέδωκε Κύριος τὸν γεδδοὺρ τὸν
ἐπελθόντα (1) ἐφ' ἡμᾶς εἰς χεῖρας
κδ. ἡμῶν. Καὶ τὶς ὑπακούσεται (2) ὑμῶν
τῶν λόγων τούτων; ὅτι οὐχ ἥττους ἡμῶν
εἰσὶ, διότι κατὰ τὴν μερίδα τοῦ κα-
ταβαίνοντος εἰς τὸν πόλεμον, οὕτως
ἔσται ἡ μερὶς τοῦ καθημένου ἐπὶ τὰ
κε. σκεύη, κατὰ τὸ αὐτὸ μεριοῦνται. Καὶ
ἐγενήθη ἀπὸ τῆς ἡμέρας ἐκείνης καὶ
ἐπάνω, καὶ ἐγενήθη (3) εἰς πρόσαγμα
καὶ εἰς δικαίωμα τοῦ Ἰσραὴλ ἕως τῆς
ἡμέρας ταύτης.

** ΙΩΣΗΠΟΥ. Ὡς δὲ ἀναστρέφοντες ἧκον ἐπὶ τὸν τόπον, ἔνθα διακοσίους μὴ δυναμένους αὐτοῖς ἕπεσθαι, καταλελοίπεσαν ἐπὶ τῶν σκευῶν· οἱ μὲν τετρακόσιοι τῆς μὲν ἄλλης ὠφελείας τε καὶ λείας οὐκ ἠξίουν αὐτοὺς ἀπομερίζειν, οὐ συνακολουθήσαντας, ἀλλὰ μαλακισθέντας περὶ τὴν δίωξιν, ἀγαπήσειν δὲ σεσωσμένας τὰς γυναῖκας ἀπολαμβάνοντας ἔλεγον· Δαυΐδης δὲ πονηρὰν καὶ ἄδικον αὐτῶν ταύτην ἀπέφηνε τὴν γνώμην. εἶναι γὰρ ἀξίους, τοῦ Θεοῦ παρασχόντος αὐτοῖς ἀμύνασθαι μὲν τοὺς πολεμίους, κομίσασθαι δὲ πάντα τὰ αὐτῶν, πᾶσιν ἐξ ἴσου τοῖς στρατευσαμένοις μερίζεσθαι τὴν ὠφέλειαν· καὶ ταῦτ' ἐπὶ φυλακῇ τῶν σκευῶν μεμενηκότων. καὶ ἐξ ἐκείνου νόμος οὗτος ἐκράτησε παρ' αὐτοῖς, ἵνα ταὐτὰ τοῖς μαχομένοις λαμβάνωσιν οἱ τὰ σκεύη φυλάττοντες.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τοὺς δὲ διακοσίους ἄνδρας, ἀτονήσαντας ἐκ τοῦ δρόμου, μεμενηκέναι φησὶν ὁ Ἀκύλας· οἷς πονηροί τινες οὐκ ἠβουλήθησαν νεῖμαι τὴν προσήκουσαν μοῖραν. ἀλλ' ὁ δικαιότατος βασιλεὺς οὐ μόνον τότε δέδωκεν, ἀλλὰ καὶ νόμον τέθεικεν, ὥστε τοὺς σκευοφόρους τῶν ἴσων τοῖς παρατατομένοις μεταλαγχάνειν.

κς. Καὶ ἦλθε Δαβὶδ εἰς Σικελὰγ,
καὶ ἀπέστειλε τοῖς πρεσβυτέροις Ἰούδα
τῶν σκύλων (4) τῶν πλησίον αὐτοῦ,
Γ λέγων, ἰδοὺ ὑμῖν εὐλογία ἀπὸ τῶν
κζ. σκύλων τῶν ἐχθρῶν Κυρίου, Τοῖς ἐν
Βαιθσὸρ, (5) καὶ τοῖς ἐν Ῥαμὰ νότου,
κη. καὶ τοῖς ἐν Ἰόθορ, (6) Καὶ τοῖς ἐν
Ἀροὴρ, καὶ τοῖς ἐν Ἀμαδὶ, καὶ τοῖς
κθ. ἐν Σαφὶ, καὶ τοῖς ἐν Ἐσθιὲ, Καὶ τοῖς
ἐν Γὲθ, καὶ τοῖς ἐν Κινὰν, καὶ τοῖς
ἐν Σαφὲκ, καὶ τοῖς ἐν Κιμὰθ, (7) καὶ
τοῖς ἐν Καρμήλῳ, καὶ τοῖς ἐν ταῖς
Δ πόλεσι τοῦ Ἱεραμεὴλ, (8) καὶ τοῖς ἐν
λ. ταῖς πόλεσι τοῦ Κενεζὶ, Καὶ τοῖς ἐν
Ἱεριμοὺθ, καὶ τοῖς ἐν Βηρσαβεὲ, καὶ
λα. τοῖς ἐν Ἐκβὲ, (9) Καὶ τοῖς ἐν Χε-
βρὼν, καὶ εἰς πάντας τοὺς τόπους οὓς
διῆλθε Δαβὶδ ἐκεῖ αὐτὸς καὶ οἱ ἄν-
δρες αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Γενόμενος ἐν Σικέλλᾳ Δαυΐδης, διέπεμψε πᾶσι τοῖς ἐν τῇ Ἰούδα φυλῇ συνήθεσι καὶ φίλοις ἀπομοίρας τῶν λαφύρων.

ΚΕΦ. ΛΑ.

α. Καὶ οἱ ἀλλόφυλοι ἐπολέμουν
ἐπὶ Ἰσραήλ· καὶ ἔφυ-
γον (10) ἄνδρες Ἰσραὴλ
ἐκ προσώπου τῶν ἀλλοφύλων, καὶ πίπ-
τουσι τραυματίαι ἐν τῷ ὄρει τῷ Γελ-
β. βουαί. Καὶ συνάπτουσιν οἱ ἀλλόφυ-
λοι τῷ Σαοὺλ καὶ τοῖς υἱοῖς αὐτοῦ, καὶ
τύπτουσιν ἀλλόφυλοι τὸν Ἰωνάθαν, καὶ
τὸν Ἀμιναδὰβ, καὶ τὸν Μελχισουὲ
υἱοὺς Σαούλ.

** ΙΩΣΗΠΟΥ. Τῶν Παλαιστίνων συμβαλόντων, καὶ καρτερᾶς μάχης γενομένης, Z νικῶσι μὲν οἱ Παλαιστῖνοι, καὶ πολλοὺς ἀναιροῦσι τῶν ἐναντίων. Σαοῦλος δὲ ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς καὶ οἱ παῖδες αὐτοῦ γενναίως ἀγωνιζόμενοι, καὶ πάσῃ προθυμίᾳ χρώμενοι, ὡς ἐν μόνῳ τῷ καλῶς ἀποθανεῖν καὶ παραβόλως διακινδυνεῦσαι τοῖς πολεμίοις τῆς ὅλης αὐτοῖς δόξης ἀποκειμένης· οὐδὲν γὰρ τούτου περιοσότερον εἶχον· ἐπιστρέφουσι πᾶσαν εἰς αὐτοὺς τὴν τῶν ἐχθρῶν φάλαγγα, καὶ περικυκλωθέντες ἀποθνήσκουσι, πολλοὺς τῶν Παλαιστίνων καταβαλόντες. ἦσαν δὲ οἱ Σαούλου παῖδες, Ἰωνάθης, καὶ Ἀμινάδαβος, καὶ Μελχισός.

γ. Καὶ

(1) Τὸν ἐπερχόμενον. αἱ αὐτ. (2) Ἐπακούσεται. αἱ αὐτ. (3) Ἐγένετο. αἱ αὐτ.
(4) Καὶ τοῖς πλησίον. αἱ αὐτ. (5) Βαιθσούρ. αἱ αὐτ. (6) Γεδέρ. αἱ αὐτ.
(7) Θημάθ. αἱ αὐτ. (8) Ἱερεμεήλ. αἱ αὐτ. (9) Νομβέ. αἱ αὐτ. (10) Οἱ ἄνδρες. αἱ αὐτ.

γ. Καὶ βαρύνεται ὁ πόλεμος ἐπὶ A
Σαοὺλ, καὶ εὑρίσκουσιν αὐτὸν οἱ ἀκον-
τισταὶ ἄνδρες τοξόται, καὶ ἐτραυμα-
τίσθη εἰς τὰ ὑποχόνδρια.

Τὰ ὑποχόνδρια· Θεοδοτίων, μέρος τὸ
ἐγγὺς τοῦ ἥπατος.

** ΙΩΣΗΠΟΥ. Τρέπεται τὸ τῶν Ἑ-
βραίων πλῆθος, καὶ ἀκοσμία καὶ σύγχυ-
σις γίνεται καὶ φόνος, ἐπικειμένων τῶν
πολεμίων. Σάουλος δὲ φεύγει τὸ καρ- B
τερὸν ξῖφος ἔχων περὶ αὐτόν. καὶ τῶν
Παλαιστίνων ἐπιπεμψάντων ἀκοντιστὰς καὶ
τοξότας, πάντας μὲν ἀποβάλλει, πλὴν
ὀλίγων.

δ. Καὶ εἶπε Σαοὺλ πρὸς τὸν αἴρον-
τα τὰ σκεύη αὐτοῦ, σπάσαι τὴν ῥομ-
φαίαν σου καὶ ἀποκέντησόν με ἐν αὐ-
τῇ, μήποτε ἔλθωσιν οἱ ἀπερίτμητοι
οὗτοι καὶ ἀποκεντήσωσί με καὶ ἐμπαί- Γ
ξωσιν ἐν ἐμοί. καὶ οὐκ ἐβούλετο ὁ αἴρων
τὰ σκεύη αὐτοῦ, ὅτι ἐφοβήθη σφό-
δρα. καὶ ἔλαβε Σαοὺλ τὴν ῥομφαίαν
ε. αὐτοῦ, καὶ ἔπεσεν ἐπ᾽ αὐτήν. Καὶ
εἶδεν ὁ αἴρων τὰ σκεύη αὐτοῦ ὅτι τέ-
θνηκε Σαοὺλ, καὶ ἔπεσε καὶ αὐτὸς
ἐπὶ τὴν ῥομφαίαν αὐτοῦ, καὶ ἀπέ-
θανε μετ᾽ αὐτοῦ. Δ

** ΙΩΣΗΠΟΥ. Λαμπρῶς ἀγωνισά-
μενος, καὶ πολλὰ τραύματα λαβὼν, ὡς
μηκέτι διακαρτερεῖν μηδὲ ἀντέχειν ταῖς
πληγαῖς, ἀποκτεῖναι μὲν αὐτὸν ἠσθένει,
κελεύει δὲ τὸν ὁπλοφόρον, σπασάμενον τὴν
ῥομφαίαν, κατ᾽ αὐτοῦ διελάσαι, πρὶν ζῶν-
τα συλλαβεῖν αὐτὸν τοὺς πολεμίους. μὴ τολ-
μῶντος δὲ τοῦ ὁπλοφόρου κτεῖναι τὸν δεσπό-
την, αὐτὸς τὴν ἰδίαν σπασάμενος μάχαι-
ραν, καὶ στήσας ἐπὶ τὴν ἀκμὴν, ῥίπτει κατ᾽ E
αὐτῆς αὐτόν· καὶ μὴ δυνάμενος ὤσασθαι,
μηδ᾽ ἐπερείσας διαβαλεῖν αὐτοῦ τὸν σίδη-
ρον, περιστρέφεται. καὶ νεανίσκου (1) τινὸς
ἑστῶτος, πυθόμενος τίς εἴη, καὶ μαθὼν ὡς
Ἀμαληκίτης ἐστὶ, παρεκάλεσεν ἐπερείσαν-
τα τὴν ῥομφαίαν, διὰ τὸ μὴ ταῖς χερσὶν
αὐτὸν τοῦτο δύνασθαι ποιῆσαι, παρασχεῖν
αὐτῷ τελευτὴν ὁποίαν αὐτὸς βούλεται.
ποιήσας δὲ τοῦτο, καὶ περιελόμενος τὸν
περὶ τὸν βραχίονα αὐτοῦ χρυσὸν καὶ τὸν Z
βασιλικὸν στέφανον, ἐκ ποδῶν ἐγένετο. θεα-
σάμενος δ᾽ ὁ ὁπλοφόρος τὸν Σάουλον ἀνῃ-
ρημένον, ἀπέκτεινεν ἑαυτόν.

ς. Καὶ ἀπέθανε Σαοὺλ, καὶ οἱ
τρεῖς υἱοὶ αὐτοῦ, καὶ ὁ αἴρων τὰ σκεύη
αὐτοῦ, καὶ πάντες οἱ ἄνδρες αὐτοῦ, ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ κατὰ τὸ αὐτό.

** ΙΩΣΗΠΟΥ. Διεσώθη δ᾽ οὐδεὶς τῶν
σωματοφυλάκων τοῦ βασιλέως, ἀλλὰ πάν- H
τες ἔπεσον περὶ τὸ καλούμενον Γελβουὲ
ὄρος.

ζ. Καὶ εἶδον οἱ ἄνδρες Ἰσραὴλ οἱ
ἐν τῷ πέραν τῆς κοιλάδος καὶ οἱ ἐν
τῷ πέραν τοῦ Ἰορδάνου, ὅτι ἔφυγον
οἱ ἄνδρες Ἰσραὴλ, καὶ ὅτι τέθνηκε
Σαοὺλ καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ καταλεί-
πουσι τὰς πόλεις αὐτῶν καὶ φεύγουσι·
καὶ ἔρχονται οἱ ἀλλόφυλοι καὶ κατοι-
κοῦσιν ἐν αὐταῖς.

** ΙΩΣΗΠΟΥ. Ἀκούσαντες τῶν Ἑ-
βραίων οἱ τὴν κοιλάδα πέραν τοῦ Ἰορδάνου
κατοικοῦντες, καὶ οἱ ἐν τῷ πεδίῳ τὰς πό-
λεις ἔχοντες, ὅτι Σάουλος πέπτωκε, καὶ οἱ
παῖδες αὐτοῦ καὶ τὸ σὺν αὐτῷ πλῆθος ἀπό-
λωλε· καταλιπόντες τὰς ἑαυτῶν πόλεις,
εἰς ὀχυρωτάτας κατέφυγον. οἱ δὲ Παλαι-
στῖνοι τὰς καταλελειμμένας ἐρήμους εὑρόν-
τες, κατῴκησαν.

η. Καὶ ἐγενήθη τῇ ἐπαύριον, καὶ
ἔρχονται οἱ ἀλλόφυλοι ἐκδιδύσκειν
τοὺς νεκροὺς, καὶ εὑρίσκουσι τὸν Σαοὺλ
καὶ τοὺς τρεῖς υἱοὺς αὐτοῦ πεπτωκότας
θ. ἐπὶ τὰ ὄρη Γελβουέ. Καὶ ἀποστρέ-
φουσιν αὐτὸν, καὶ ἐξέδυσαν τὰ σκεύη
αὐτοῦ, καὶ ἀποκόπτουσι τὴν κεφαλὴν
αὐτοῦ, καὶ ἀποστέλλουσιν αὐτὰ εἰς γῆν
ἀλλοφύλων, κύκλῳ εὐαγγελιζόμε-
νοι τοῖς εἰδώλοις αὐτῶν καὶ τῷ λαῷ
αὐτῶν.

** ΙΩΣΗΠΟΥ. Τῇ ἐπιούσῃ σκυλεύον-
τες οἱ Παλαιστῖνοι τοὺς τῶν πολεμίων νε-
κροὺς, ἐπιτυγχάνουσι τοῖς τοῦ Σαούλου καὶ
τῶν παίδων αὐτοῦ σώμασι, καὶ σκυλεύσαν-
τες ἀποτέμνουσιν αὐτῶν τὰς κεφαλάς· καὶ
κατὰ πᾶσαν περιήγγειλαν τὴν χώραν πέμ-
ψαντες ὅτι πεπτώκασιν οἱ πολέμιοι.

ι. Καὶ ἀνέθηκαν τὰ σκεύη αὐτοῦ
εἰς τὸ Ἀσταρτεῖον, καὶ τὸ σῶμα αὐτοῦ
κατέπηξαν ἐν τῷ τοίχει Βαιθσάμ.

* ΠΡΟΚΟΠΙΟΥ. Εἰς τὸ Ἀσταρτεῖον, εἰς
τὸ ἱερὸν τῆς Ἀστάρτης. λέγουσι δὲ εἶναι
ταύτην τὴν Ἀφροδίτην.

** ΙΩΣΗΠΟΥ. Τὰς μὲν πανοπλίας
αὐτῶν ἀνέθηκαν εἰς τὸ Ἀσταρτεῖον ἱερὸν,
τὰ δὲ σώματα ἀνεσταύρωσαν πρὸς τὰ τείχη
τῆς Βηθσὰν πόλεως. ἣ νῦν Σκυθόπολις
καλεῖται.

ια. Καὶ ἀκούουσιν οἱ κατοικοῦντες
Ἰάβεις τῆς Γαλααδίτιδος ἃ ἐποίη-
ιβ. σαν οἱ ἀλλόφυλοι τῷ Σαούλ. Καὶ
ἀνέστησαν πᾶς ἀνὴρ δυνάμεως, καὶ
ἐπορεύθησαν ὅλην τὴν νύκτα, καὶ
ἔλαβον τὸ σῶμα Σαοὺλ καὶ τὸ σῶμα
Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ ἀπὸ τοῦ τοίχους
Βαιθσάμ, καὶ φέρουσιν αὐτοὺς εἰς Ἰά-
βεις, (2) καὶ κατακαίουσιν αὐτοὺς ἐκεῖ.
ιγ. Καὶ λαμβάνουσι τὰ ὀστᾶ αὐτῶν, καὶ
θάπτου-

(1) Περὶ τούτου τὸ ι. τῆς 2. τῶν Βασ. διαλαμβάνει. κεφ.

(2) Ἰαβίς. αἱ αὐτ.

A θάπτουσιν ὑπὸ τὴν ἄρουραν τὴν ἐν Ἰαβεις, καὶ νηστεύουσιν ἑπτὰ ἡμέρας.

** ΙΩΣΗΠΟΥ. Ἐπεὶ ἤκουσαν οἱ ἐν Ἰαβισῷ πόλει τῆς Γαλααδίτιδος κατοικοῦντες, ὅτι λελώβηται τὸν Σαοὺλ νεκρὸν καὶ τοὺς τῶν παίδων αὐτοῦ, δεινὸν ἡγησάμενοι περιϊδεῖν ἀκηδεύτους, ἐξελθόντες οἱ ἀνδρειότατοι καὶ τόλμῃ διαφέροντες· ἡ δὲ πόλις αὕτη καὶ σώμασιν ἀλκίμους καὶ ψυχαῖς φέρει· καὶ δι' ὅλης τῆς νυκτὸς ὁδεύσαντες, ἦλθον εἰς τὴν Βηθσὰν, καὶ προσελθόντες τῷ τείχει τῶν πολεμίων, καὶ καθελόντες τὸ σῶμα Σαοὺλ καὶ τῶν παίδων αὐτοῦ, κομίζουσιν εἰς Ἰαβισὸν, μηδὲ τῶν πολεμίων αὐτοὺς κωλῦσαι δυνηθέντων, ἢ τολμησάντων διὰ τὴν ἀνδρείαν. οἱ δὲ Ἰαβισηνοὶ, πανδημεὶ κλαύσαντες, θάπτουσι τὰ σώματα ἐν τῷ καλλίστῳ τῆς χώρας τόπῳ, Ἀρούρης λεγομένῳ. καὶ πένθος ἐφ' ἡμέραις ἑπτὰ σὺν γυναιξὶ καὶ τέκνοις ἐπ' αὐτοῖς ἤγαγον, κοπτόμενοι καὶ θρηνοῦντες τὸν βασιλέα καὶ τοὺς παῖδας αὐτοῦ, μήτε ποτοῦ, μήτε τροφῆς γευσάμενοι. (1)

B * ΘΕΟΔΩΡΙΤΟΥ. Ἰστέον μέντοι, ὡς ὁ Ἀκύλας τῷ Ἑβραίῳ ἑπόμενος, οὐ διεῖλεν ἀπὸ τῆς πρώτης τὴν δευτέραν τῶν Βασιλειῶν ἱστορίαν, ἀλλὰ μίαν τὰς δύο πεποίηκε.

ΤΕΛΟΣ ΣΥΝ ΘΕΩι ΤΗΣ ΠΡΩΤΗΣ ΤΩΝ ΒΑΣΙΛΕΙΩΝ.



ΒΑΣΙ-

(1) Τῆς τῶν σωμάτων κατακαύσεως οὐδόλως μέμνηται ὁ Ἰώσηπος. Φασὶ δέ τινες (ὁ Μενστέριος ἐν τόμ. 2. σελ. 2377. τῶν καλουμ. ἱερῶν Κριτικῶν) τὸ, κατακαίουσι, σημαίνειν τὸ, ἀρώμασιν ἀλείφουσιν· ἄλλοι δὲ, (αὐτ. ὃ καὶ πιθανώτερον ἔοικε) τὰς μὲν σάρκας τοὺς Ἰαβισηνοὺς, ὡς σκωληκιώσας, κατακαῦσαι, ἀτόπου δόξαντος τὸν τοῦ βασιλέως νεκρὸν τοῖς σκώληξι συνθάψαι, τὰ δὲ ὀστᾶ ἐντίμῳ παραδοῦναι ταφῇ. τοῦτο δὲ οὗτοι πεποιήκασι τῆς εὐεργεσίας ἧς παρὰ τοῦ Σαοὺλ ἀπήλαυσαν, τοῦ Ναὰς αὐτοὺς ἀπαλλάξαντος, τοῦ πάντα δεξιὸν ὀφθαλμὸν αὐτῶν ἐξορύξαι (1. Βασ. κεφ. 11.) ἀπειλήσαντος.



ΒΑΣΙΛΕΙΩΝ ΔΕΥΤΕΡΑΣ.

** ΑΘΑΝΑΣΙΟΥ. Ἐν τῇ δευτέρᾳ πάλιν, Δαβὶδ διεδέξατο τὴν βασιλείαν. καὶ κατ' ἀρχὰς μὲν ὁ υἱὸς Σαοὺλ Μεμφιβοσὲθ ἐφιλονείκει, θέλων βασιλεύειν· ὕστερον δὲ πάντες προσετέθησαν τῷ Δαβίδ. πάντας δὲ τοὺς πολέμους περιεγένετο Δαβίδ· τὴν μὲν τοῦ Οὐρίου γυναῖκα τὴν Βηρσαβεὲ ἔλαβεν· ὁ δὲ υἱὸς αὐτοῦ Ἀβσαλὼμ ἐδίωξεν αὐτόν. καὶ μετ' οὐ πολὺ συστάντος πολέμου, ἀνῃρέθη ὁ Ἀβσαλώμ. εἶτα τὸν λαὸν ἀριθμήσας, κεκίνηκεν ὀργὴν θείαν καθ' ἑαυτοῦ. ἀλλὰ μετὰ ταῦτα παρακληθέντος τοῦ Θεοῦ, ἡ ὀργὴ ἐπαύθη. καὶ εἰς τοῦτο λήγει καὶ τὸ δεύτερον βιβλίον τῶν Βασιλειῶν, γηράσαντος τοῦ Δαβίδ.

ΚΕΦ. Α.

α. αὶ ἐγένετο μετὰ τὸ
ἀποθανεῖν Σαοὺλ, καὶ
Δαβὶδ ἀνέστρεψε τύ-
πτων τὸν Ἀμαλὴκ,
καὶ ἐκάθισε Δαβὶδ
ἐν Σικελὰγ ἡμέρας δύω.

** ΙΩΣΗΠΟΥ. Συνέβη ταύτην γενέσθαι τὴν μάχην, (1) καθ' ἣν ἡμέραν καὶ Δαυΐδης τοὺς Ἀμαληκίτας νικήσας, εἰς Σίκελλαν ὑπέστρεψε.

β. Καὶ ἐγενήθη τῇ ἡμέρᾳ τῇ τρί-
τῃ, καὶ ἰδοὺ ἀνὴρ ἦλθεν ἐκ τῆς πα-
ρεμβολῆς ἐκ τοῦ λαοῦ Σαοὺλ, καὶ τὰ
ἱμάτια αὐτοῦ διεῤῥωγότα, καὶ γῆ ἐπὶ
τῆς κεφαλῆς αὐτοῦ· καὶ ἐγένετο ἐν
τῷ εἰσελθεῖν αὐτὸν πρὸς Δαβὶδ, καὶ
ἔπεσεν ἐπὶ τὴν γῆν καὶ προσεκύνη-
γ. σεν αὐτῷ. Καὶ εἶπεν αὐτῷ Δαβὶδ,
πόθεν σὺ παραγίνῃ; καὶ εἶπε πρὸς
αὐτὸν, ἐκ τῆς παρεμβολῆς Ἰσραὴλ
δ. ἐγὼ διασέσωσμαι. Καὶ εἶπεν αὐτῷ
Δαβὶδ, τίς ὁ λόγος οὗτος; ἀπάγ-
γειλόν μοι. καὶ εἶπεν, ὅτι ἔφυγεν ὁ
λαὸς ἐκ τοῦ πολέμου, καὶ πεπτώκασι
πολλοὶ ἐκ τοῦ λαοῦ καὶ ἀπέθανον, καὶ
Σαοὺλ καὶ Ἰωνάθαν ὁ υἱὸς αὐτοῦ ἀπέ-
ε. θανε. Καὶ εἶπε Δαβὶδ τῷ παιδα-
ρίῳ τῷ ἀπαγγέλλοντι αὐτῷ, πῶς
οἶδας ὅτι τέθνηκε Σαοὺλ καὶ Ἰωνά-
θαν ὁ υἱὸς αὐτοῦ;

A ** ΙΩΣΗΠΟΥ. Ἤδη αὐτοῦ δύω ἡμέρας ἔχοντος ἐν τῇ Σικέλλᾳ, τῇ τρίτῃ παραγίνεται διασωθεὶς ἐκ τῆς μάχης τῆς πρὸς Παλαιστίνους ὁ τὸν Σαοῦλον ἀνελὼν, τήν τε ἐσθῆτα περιεῤῥηγμένος, καὶ τὴν κεφαλὴν τέφρᾳ περιχεάμενος. καὶ προσκυνήσας αὐτὸν, πυνθανομένῳ πόθεν ἥκει τοιοῦτος, ἀπὸ τῆς τῶν Ἰσραηλιτῶν μάχης ἔλεγε. γενέσθαι δ' ἀτυχὲς τὸ τέλος αὐτῆς ἐδήλου, πολλῶν μὲν ἀναιρεθεισῶν τοῖς
B Ἑβραίοις μυριάδων, πεσόντος δὲ καὶ τοῦ βασιλέως αὐτῶν Σαούλου μετὰ τῶν τέκνων.

ς. Καὶ εἶπε τὸ παιδάριον τὸ ἀπαγ-
γέλλων αὐτῷ, περιπτώματι περιέπε-
σον (2) ἐν τῷ ὄρει Γελβουὲ, καὶ ἰδοὺ
Σαοὺλ ἐπεστήρικτο ἐπὶ τὸ δόρυ αὐτοῦ,
καὶ ἰδοὺ τὰ ἅρματα καὶ οἱ ἱππάρχαι
συνῆψαν αὐτῷ.

Γ » * ΠΡΟΚΟΠΙΟΥ. Περιπτώματι περιέ-
» πεσεν, ἀντὶ τοῦ, ἡττήθη ὁ Ἰσραήλ. τὸ, συ-
» νῆψαν αὐτῷ· Ἀκύλας, κατέλαβον.

** ΙΩΣΗΠΟΥ. Ταῦτα σημαίνειν ἔφασκεν αὐτὸς παρατυχὼν τῇ τροπῇ τῶν Ἑβραίων καὶ τῷ βασιλεῖ πεφευγότι παρών· ὃν καὶ κτεῖναι, μέλλοντα ὑπὸ τῶν πολεμίων λαμβάνεσθαι, παρακληθεὶς αὐτὸς ὡμολόγει. τῇ ῥομφαίᾳ γὰρ αὐτὸν ἐπιπεσόντα, διὰ τὴν τῶν τραυμάτων ὑπερβολὴν αὐτὸν
Δ ἀσθενῆσαι κατεργάσασθαι.

ζ. Καὶ ἐπέβλεψεν ἐπὶ τὰ ὀπίσω
αὐτοῦ, καὶ εἶδέ με, καὶ ἐκάλεσέ με. καὶ
η. εἶπα, ἰδοὺ ἐγώ. Καὶ εἶπέ μοι, τίς εἶ
σύ;

(1) Ἐν ᾗ δηλαδὴ πεφόνευται ὁ Σαοὺλ.

(2) Περιέπεσαν. ἐν ταῖς σημ. τῆς ἐν Φρανεκ. ἐκδόσ. περιέπεσον. ὁ Προκόπ. ἐν τῷ προκειμ. ὑπομν.

σύ; καὶ εἶπα, Ἀμαληκίτης ἐγώ εἰμι. A
θ. Καὶ εἶπε πρός με, ἐπίστηθι δὴ ἐπάνω μου καὶ θανάτωσόν με, ὅτι κατέσχε με σκότος δεινὸν, καὶ ἔτι ἡ ψυχή μου ἐν ἐμοί.

ι. Καὶ ἐπέστην ἐπ' αὐτὸν καὶ ἐθανάτωσα αὐτὸν, ὅτι ᾔδειν ὅτι οὐ ζήσεται μετὰ τὸ πεσεῖν αὐτόν. καὶ ἔλαβον τὸ βασίλειον τὸ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ, καὶ τὸν χλιδόνα τὸν ἐπὶ B τὸν (1) βραχίονα αὐτοῦ, καὶ ἐνήνοχα αὐτὰ τῷ κυρίῳ μου ὧδε.

✱✱ ΙΩΣΗΠΟΥ. Σύμβολα αὐτοῦ τῆς ἀναιρέσεως ἐπεδείκνυε, τόν τε περὶ τοῖς βραχίοσι χρυσὸν τοῦ βασιλέως καὶ τὸν στέφανον, ἃ περιδύσας τὸν Σαοὺλ νεκρὸν κομίσειεν αὐτῷ.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι χλιδών; Κόσμος ἐστὶ χρυσοῦς, ἢ τοῖς βραχίοσι περι- Γ τιθέμενος, ἢ τοῖς καρποῖς τῶν χειρῶν. τοῦ-
» το κἀνταῦθα δεδήλωκε, καὶ τὸν χλιδόνα
» τὸν ἐπὶ τοῦ βραχίονος αὐτοῦ. ὅθεν ὁ Ἀκύ-
» λας βραχιάλιον αὐτὸ κέκληκε.

ια. Καὶ ἐκράτησε Δαβὶδ τῶν ἱματίων αὐτοῦ, καὶ διέῤῥηξεν αὐτά· καὶ πάντες οἱ ἄνδρες οἱ μετ' αὐτοῦ διέῤῥη-
ιβ. ξαν τὰ ἱμάτια αὐτῶν. Καὶ ἐκόψαντο καὶ ἔκλαυσαν καὶ ἐνήστευσαν ἕως δεί- Δ λης ἐπὶ Σαοὺλ καὶ Ἰωνάθαν τὸν υἱὸν αὐτοῦ καὶ ἐπὶ τὸν λαὸν Ἰούδα καὶ ἐπὶ τὸν οἶκον Ἰσραὴλ, ὅτι ἐπλήγησαν ἐν ῥομφαίᾳ.

✱✱ ΙΩΣΗΠΟΥ. Δαυΐδης δὲ μηκέτ' ἀπιστεῖν ἔχων, ἀλλ' ἐναργῆ τεκμήρια τοῦ Σαοὺλ θανάτου βλέπων, καταῤῥηγνύει μὲν τὴν ἐσθῆτα, κλαίων δὲ καὶ ὀδυρόμενος μετὰ τῶν ἑταίρων ὅλην διεκαρτέρησε τὴν ἡμέ- E ραν. ἐποίει δὲ αὐτῷ τὴν λύπην χαλεπωτέραν καὶ ὁ Σαοὺλ παῖς Ἰωνάθης, πιστότατός τε ὢν φίλος αὐτῷ καὶ σωτηρίας αἴτιος γεγενημένος.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν ὁ Προφήτης ἐπένθησε; Πολλὰ τὸν θρῆνον εἰργάσατο· τοῦ Ἰωνάθαν ὁ πόθος, ἡ περὶ τὸν λαὸν φιλοστοργία, τῶν δυσσεβῶν ἀλλοφύλων ἡ νίκη· ἔτι καὶ ἡ τοῦ Σαοὺλ σφαγή. ὃν γὰρ ἠδεῖτο ζῶντα, πολλῷ μᾶλλον ἠλέει Z τεθνηκότα. τοῦτο δὲ καὶ ἡ ἱστορία διδάσκει·
» καὶ ἐκόψαντο, καὶ ἔκλαυσαν, καὶ ἐνήστευ-
» σαν [ἕως δείλης ἐπὶ Σαοὺλ καὶ ἐπὶ Ἰωνά-
» θαν τὸν υἱὸν αὐτοῦ καὶ ἐπὶ τὸν λαὸν Ἰούδα
» καὶ ἐπὶ τὸν οἶκον Ἰσραὴλ, ὅτι ἐπλήγησαν
» ἐν ῥομφαίᾳ.]

ιγ. Καὶ εἶπε Δαβὶδ τῷ παιδαρίῳ τῷ ἀπαγγέλλοντι αὐτῷ, πόθεν εἶ σύ; καὶ εἶπεν, υἱὸς ἀνδρὸς παροίκου H
ιδ. Ἀμαληκίτου ἐγώ εἰμι. Καὶ εἶπεν αὐτῷ Δαβὶδ, πῶς οὐκ ἐφοβήθης ἐπενεγκεῖν χεῖρά σου διαφθεῖραι τὸν χριστὸν Κυρίου;

ιε. Καὶ ἐκάλεσε Δαβὶδ ἓν τῶν παιδαρίων αὐτοῦ, καὶ εἶπε, προσελθὼν ἀπάντησον αὐτῷ. καὶ ἐπάταξεν αὐτὸν, καὶ ἀπέθανε.

✱✱ ΙΩΣΗΠΟΥ. Τοσαύτην δὲ ἐπεδείξατο τὴν ἀρετὴν καὶ τὴν πρὸς Σαοὺλον εὔνοιαν, ὡς μὴ μόνον ἐπὶ τεθνηκότι χαλεπῶς ἐνεγκεῖν, πολλάκις ὑπ' αὐτοῦ κινδυνεύσας ἀφαιρεθῆναι τὸν βίον, ἀλλὰ καὶ τὸν ἀποκτείναντα κολάσαι. Φήσας γὰρ πρὸς αὐτὸν, ὡς αὐτὸς αὐτοῦ γένοιτο κατήγορος ἀνελὼν τὸν βασιλέα, καὶ μαθὼν ὡς εἴη πατρὸς Ἀμαληκίτου γένος, ἐκέλευσεν αὐτὸν ἀπολέσθαι.

ΘΕΟΔΩΡΙΤΟΥ. Τινὲς ἐπιμέμφονται τῷ Δαβὶδ, ὡς πεφονευκότι τὸν μεμηνυκότα τὸν θάνατον τοῦ Σαοὺλ. Θαυμάζειν οὖν, ἀλλ' οὐ ψέγειν, καὶ διὰ τοῦτο προσήκει τὸν Προφήτην καὶ βασιλέα. δυσμενοῦς γὰρ ἀνδρὸς ἀκούσας σφαγὴν ἐθρήνησε· καὶ οὐ μόνον ἐθρήνησεν, ἀλλὰ καὶ πικρῶς ὠλοφύρατο. ὁ δὲ μεμηνυκὼς μηδὲν ἠδικημένος ἐπετώθαζε τῷ θανάτῳ. καὶ ταῦτα οὐ μόνον τοῦ Σαοὺλ πεπληγότος, ἀλλὰ καὶ τοῦ Ἰωνάθαν, ὃς ἀξιέπαινος ἦν, καὶ πλείστου στρατοῦ σὺν ἐκείνοις. ἔπειτα καὶ ψεῦδος τοῖς λόγοις προσέθηκεν, ἑαυτὸν σφαγέα τοῦ Σαοὺλ ὀνομάσας. πρὸς δὲ τούτοις καὶ Ἀμαληκίτης ἦν, καθ' οὗ ὁ τῶν ὅλων Κύριος πάλαι τοῦ θανάτου τὴν ψῆφον ἐξενήνοχεν. ἀξιάγαστα δὲ καὶ αὐτὰ τοῦ Προφήτου τὰ ῥή-
» ματα· πῶς γάρ φησιν οὐκ ἐφοβήθης ἐπε-
» νεγκεῖν τὴν χεῖρά σου διαφθεῖραι τὸν χρι-
» στὸν Κυρίου; καὶ ἑξῆς.

✱ ΠΡΟΚΟΠΙΟΥ. Εὖγε φιλοσόφου ψυχῆς. δυσμενοῦς γὰρ ἀκούσας σφαγὴν, πικρῶς ὠλοφύρετο· ὁ δὲ μεμηνυκὼς, οὐδὲν ἠδικημένος ἐπετώθαζε τῷ θανάτῳ· καὶ ταῦτα σὺν αὐτῷ πεπληγότος Ἰωνάθαν, καὶ πλείστου στρατοῦ. καὶ πλάττεται μάτην εἶναι σφαγεύς· ἦν δὲ καὶ Ἀμαληκίτης, καθ' οὗ πάλαι θανατικὴ ψῆφος ἐξηνέχθη παρὰ Θεοῦ. μάτην οὖν τινὲς ἐγκαλοῦσι τῷ Δαβὶδ περὶ τούτου.

ιϛ. Καὶ εἶπεν αὐτῷ Δαβὶδ, τὸ αἷμά σου ἐπὶ τὴν κεφαλήν σου, ὅτι τὸ στόμα σου ἀπεκρίθη κατὰ σοῦ, λέγον, ὅτι ἐγὼ ἐθανάτωσα τὸν χριστὸν Κυρίου.

ιζ. Καὶ ἐθρήνησε Δαβὶδ τὸν θρῆνον τοῦτον ἐπὶ Σαοὺλ καὶ ἐπὶ Ἰωνάθαν τὸν υἱὸν αὐτοῦ.

✱ ΠΡΟΚΟΠΙΟΥ. Ζητητέον δὲ εἰ κατὰ φιλόσοφον τὸ θρηνεῖν, καὶ τίνας αὐτῷ θρηνητέον, καὶ εἰ διὰ τοὺς τεθνηκότας θρηνήσειεν, ἢ δι' αὐτὸν, (2) ὡς οἱ τὸν κοπετὸν ἐπὶ τῷ φόνῳ ποιήσαντες.

ΙΩΣΗ-

(1) Τοῦ βραχίονος. αἱ εἰρημ. ἐκδόσ.

(2) Αὐτόν. ὀρθότερ.

** ΙΩΣΗΠΟΥ. Ἔγραψε δὲ καὶ θρήνους καὶ ἐπιταφίους ἐπαίνους Σαούλου καὶ Ἰωνάθου, ὅσοι καὶ μέχρις ἐμοῦ διαμένουσι.

ιη. Καὶ εἶπε τοῦ διδάξαι τοὺς υἱοὺς Ἰούδα. ἰδοὺ γέγραπται ἐπὶ βιβλίου τοῦ εὐθοῦς.

ΑΔΗΛΟΥ. Οὐ μόνον γὰρ ἐθρήνησεν, ἀλλὰ καὶ θρῆνον συνέγραψε, καὶ ἀπέστειλε ταῖς φυλαῖς, ὥστε κἀκείνους θρηνεῖν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ποῖόν ἐστι τὸ βιβλίον τὸ εὐθές; Δῆλόν ἐστι κἀντεῦθεν, ὡς ἐκ πολλῶν προφητικῶν βιβλίων ἡ τῶν Βασιλειῶν ἱστορία συνεγράφη. εἰπὼν γὰρ ὁ συγγραφεὺς τὰ περὶ τοῦ θρήνου, προστέθεικεν,
» ἰδοὺ γέγραπται ἐπὶ βιβλίου τοῦ εὐθοῦς.

ιθ. Στήλωσαι (1) Ἰσραὴλ ὑπὲρ τῶν τεθνηκότων ἐπὶ τὰ ὕψη σου τραυ-
κ. ματιῶν· πῶς ἔπεσον δυνατοί; Μὴ ἀπαγγείλητε ἐν Γὲθ, καὶ μὴ εὐαγγελίσησθε ἐν ταῖς ἐξόδοις Ἀσκάλωνος, μήποτε εὐφρανθῶσι θυγατέρες ἀλλοφύλων, μήποτε ἀγαλλιάσωνται θυγατέρες ἀπεριτμήτων.

» * ΠΡΟΚΟΠΙΟΥ. Στήλωσον Ἰσραήλ·
Ἀκύλας, ἀκρίβασαι.

» * ΤΟΥ ΑΥΤΟΥ. Στήλωσον Ἰσραὴλ,
ἀντὶ τοῦ, ὡς στήλην ἐφ' ὑψηλοῦ ἱσταμένην ἔχε τὸ γεγονὸς πτῶμα· ἀντὶ τοῦ, μέμνησο τῆς νῦν πληγῆς, καὶ ζήτει τὴν αἰτίαν τῆς θεομηνίας.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, ἀκ-
» ρίβασαι Ἰσραὴλ περὶ τῶν τεθνηκότων σου
τραυματιῶν; Μὴ σμικράν τινα, φησὶ, καὶ τὴν τυχοῦσαν ὑπολάβῃς τὴν γεγενημένην εἶναι πληγήν· ἀλλὰ λόγισαι τίνες οἱ πεπτωκότες. (2) βασιλεὺς γὰρ αὐτὸς, καὶ βασιλέως υἱὸς, καὶ τῶν ὁμοφύλων οἱ ἄριστοι ἔπεσον. ὅτι δὲ σφόδρα αὐτὸν ἠνία τὸ πά-
» θος, τὰ ἑξῆς μαρτυρεῖ. μὴ ἀπέλθητε
» γάρ φησιν εἰς Γὲθ, μηδὲ εὐαγγελίσησθε ἐν
» ταῖς ὁδοῖς Ἀσκάλωνος, ὅπως μὴ εὐφραν-
» θῶσι θυγατέρες ἀλλοφύλων, [μηδὲ γαυ-
» ριάσωσι θυγατέρες ἀπεριτμήτων.]

κα. Ὄρη τὰ ἐν Γελβουὲ μὴ καταβάτω δρόσος καὶ ὑετὸς ἐφ' ἡμᾶς, καὶ ἀγροὶ ἀπαρχῶν, ὅτι ἐκεῖ προσωχθίσθη θυρεὸς δυνατῶν· θυρεὸς Σαοὺλ οὐκ ἐχρίσθη ἐν ἐλαίῳ.

» * ΠΡΟΚΟΠΙΟΥ. Ἀγροὶ ἀπαρχῶν· Ἀ-
» κύλας, ἀφαιρεμάτων· Θεοδοτίων, θανάτου.

» * ΤΟΥ ΑΥΤΟΥ. Προσωχθίσθη θυ-
» ρεός· Ἀκύλας, ἀπεβλήθη.

» * ΤΟΥ ΑΥΤΟΥ. Ὄρη τὰ Γελβουέ.
Δηλώσειε δ' ἄν τις καὶ ὑψηλότερον, Χριστοῦ θρηνοῦντος τὸν πρῶτον λαὸν, καὶ τοὺς ἀστειοτέρους τοὺς ἐν αὐτῷ, καὶ τῆς νομικῆς λα-
A τρείας τὸ παρὰ τοὺς ἐθνικοὺς ὑψηλόν. ἔλε-
» γε γὰρ, Ἱερουσαλὴμ, Ἱερουσαλὴμ, ἡ ἀπο- Ματθ. 23. 37, 38.
» κτείνουσα τοὺς Προφήτας. θάνατος γὰρ αὐ-
τῶν ἡ τῶν ἐξ οὐρανοῦ δωρεῶν ἐρημία, κατὰ
» τὸ, ἰδοὺ, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τοῖς ὄρεσιν ἐπηράσατο τοῖς Γελβουέ; Δηλοῖ καὶ τοῦτο τὴν τῆς ὀδύνης ὑπερβολήν. καθάπερ γὰρ οἱ μόριόν τι τοῦ σώματος κακῶς διακείμενοι, ἢ τοῖς τοίχοις, ἢ τῇ κλίνῃ προσαράττουσι τὰς χεῖρας διὰ τὰς τῆς ἀλγηδόνος ἀκίδας· οὕτως ὁ θεῖος ἀνὴρ ὑπὸ τῆς πολλῆς ἀθυμίας φλεγόμενος, τοῖς ἀψύχοις ὄρεσιν ἐπηρᾶτο.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὄρη τὰ Γελ-
» βουὲ μὴ πέσοι ἐφ' ὑμᾶς μήτε δρόσος, μήτε
» ὑετός· ὄρη θανάτου, ὅτι ἐκεῖ ἐξήρθη σκέ-
πη δυνατῶν. Ὅπερ πατέρες ποιοῦσι πολλάκις, καὶ τὴν οἰκίαν ἀποστρέφονται, καὶ τὸν στενωπὸν ἀηδῶς ὁρῶσι, δι' οὗ τὸν υἱὸν προέπεμψαν, τοῦτο καὶ οὗτος ἐποίησε, καὶ κατηρᾶτο τοῖς ὄρεσι τοῖς τὴν σφαγὴν δεξαμένοις. μισῶ καὶ τὸν τόπον αὐτὸν διὰ τοὺς ἐκεῖ πεσόντας νεκροὺς, φησί. μηκέτι τοίνυν βραχῆτε τοῖς ἄνωθεν ὑετοῖς. ἐβράχητε γὰρ ἅπαξ κακῶς τῷ τῶν φίλων μου αἵματι.

κβ. Ἀφ' αἵματος τραυματιῶν καὶ ἀπὸ στέατος δυνατῶν, ὡς (3) τόξον Ἰωνάθαν οὐκ ἀπεστράφη κενὸν, (4) καὶ ῥομφαία Σαοὺλ οὐκ ἀνέκαμψε κενή.

κγ. Σαοὺλ καὶ Ἰωνάθαν οἱ ἠγαπημένοι καὶ ὡραῖοι οὐ διακεχωρισμένοι ἐν τῇ ζωῇ αὐτῶν, καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐ διεχωρίσθησαν. ὑπὲρ ἀετοὺς κοῦφοι, καὶ ὑπὲρ λέοντας ἐκραταιώθησαν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Συνεχῶς αὐ-
E τῶν περιστρέφει τὰ ὀνόματα, οὑτωσὶ λέγων·
» Σαοὺλ καὶ Ἰωνάθαν οἱ ἠγαπημένοι καὶ ὡραῖοι
» οὐ κεχωρισμένοι ἐν τῇ ζωῇ αὐτῶν, καὶ ἐν τῷ
» θανάτῳ αὐτῶν οὐ διεχωρίσθησαν. Ἐπειδὴ
γὰρ τὰ σώματα μὴ παρόντα περιπλέξασθαι οὐκ εἶχε, περιπλέκεται αὐτῶν ταῖς προσηγορίαις, τὴν οἰκείαν ὀδύνην, ὡς οἷόν τε, τούτοις καταπραΰνων, καὶ τὸ τῆς συμφορᾶς παραμυθούμενος μέγεθος. ἐπειδὴ γὰρ πολλοῖς ἐδόκει τὸ πεσεῖν ἀμφοτέρους
Z ἐν ἡμέρᾳ μιᾷ ἀνήκεστον εἶναι κακὸν, αὐτὸ
δὴ τοῦτο εἰς ὑπόθεσιν παραμυθίας ἔλαβε.
» τῷ γὰρ εἰπεῖν, ἐν τῇ ζωῇ αὐτῶν οὐ κεχω-
» ρισμένοι, καὶ ἐν τῷ θανάτῳ αὐτῶν οὐκ ἐχω-
ρίσθησαν, οὐδὲν ἕτερον ἢ τοῦτο παρασκευάζοντος ἦν· οὐ γάρ ἐστι, φησὶν, εἰπεῖν, ὅτι ὀρφανίαν ὁ παῖς ἐθρήνησεν, οὐδ' ἀπαιδίαν ὁ πατὴρ ὠδύρατο, ἀλλ' ὃ μηδενὶ συνέβη, συνέβη, φησὶν, ἐκείνοις. ὁμοῦ γὰρ καὶ κατὰ μίαν ἡμέραν τῆς ζωῆς ἀπεῤῥάγησαν, καὶ
H οὐ καταληφθεὶς θάτερος. ἢ γὰρ ἂν ἀβίω-
τον

(1) Στήλωσον. αἱ αὐτ. ἀκρίβασαι. αὐτ. ἐν ταῖς σημ. καὶ παρὰ Ἀκύλ. καὶ Θεοδωρίτ.
(2) Ὅτι βασιλ. ἡ ἐν Χάλ. ἔκδ.
(3) Τὸ, ὡς, οὐ κεῖται ἐν ταῖς εἰρημ. ἐκδόσ.
(4) Κενὸν εἰς τὰ ὀπίσω. αἱ αὐτ.

A τον ἑαυτῷ εἶναι τὸν βίον ἐνόμισε τῇ διαςάσει θατέρε.

κδ. Θυγατέρες Ἰσραὴλ ἐπὶ Σαὺλ κλαύσατε, τὸν ἐνδιδύσκοντα ὑμᾶς κόκκινα μετὰ κόσμε ὑμῶν, τὸν ἀναφέροντα κόσμον χρυσῦν ἐπὶ τὰ σώματα ὑμῶν.

B κε. Πῶς ἔπεσαν δυνατοὶ ἐν μέσῳ τε͂ πολέμε, Ἰωνάθαν εἰς θάνατον ἐτραυματίσθης.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐκ ἐγένετο αὐτῷ καιρὸς ἀποδοῦναι τὰς ἀμοιβάς. προανηρπάσθη γὰρ ἐκεῖνος τῆς ἀρχῆς τε͂ Δαβὶδ, καὶ πρὶν ἢ τὸν εὖ παθόντα ἐλθεῖν εἰς τὴν βασιλείαν, ὁ εὖ ποιῶν ἀπώλετο. τί οὖν; ἐν οἷς ἦν δυνατὸν καὶ ἐξῆν, ἴδωμεν πῶς ἐπε-
» δείκνυτο τὴν φιλίαν ὁ δίκαιος. καλὸς ἐμοὶ,
» φησὶν, Ἰωνάθας, εἰς θάνατον ἐτραυματίσθης ἐμοί. ἆρα τοῦτο μόνον; οὐ μικρὸν
Γ γὰρ καὶ τοῦτο· πλὴν ἀλλὰ καὶ τὸν υἱὸν ἐκείνε, καὶ τὸν ἔγγονον πολλάκις κινδύνων ἐξήρπασεν, ἀπομνημονεύων τε͂ πατρὸς τὴν χάριν. καὶ διετέλει καθάπερ υἱε͂ τινὸς ἔγγονα διατηρῶν καὶ διαφυλάττων.

κς. Ἀλγῶ ἐπὶ σὲ, ἀδελφέ με Ἰωνάθαν, ὡραιώθης μοι σφόδρα, ἐθαυμασώθη ἡ ἀγάπησίς σε ἐμοὶ ὑπὲρ
Δ ἀγάπησιν γυναικῶν.

✱✱ ΒΑΣΙΛΕΙΟΥ. Δαβὶδ καὶ ἐν μέλεσιν ἡμῖν θρηνῶν τε͂ φίλε κατέλιπεν Ἰωνάθαν· ᾧ συναπεθρήνησε καὶ τὸν ἐχθρὸν ἑαυτε͂.
» ἀλγῶ ἐπὶ σοὶ, ἀδελφέ με Ἰωνάθαν. καὶ,
» θυγατέρες Ἰσραὴλ θρηνήσατε ἐπὶ Σαὺλ. τὸν μὲν γὰρ θρηνεῖ, ὡς ἐναποθανόντα τῇ ἁμαρτίᾳ· τὸν δὲ Ἰωνάθαν, ὡς μέχρι παντὸς αὐτῷ κοινωνήσαντα τε͂ βίε.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τινὲς κωμῳδοῦσι τὸ
» περὶ [τε͂] Ἰωνάθαν εἰρημένον, ἔπεσεν ἡ
» ἀγάπη σε ἐπ' ἐμὲ, ὡς ἡ ἀγάπησις τῶν γυναικῶν. Ὡς ἠλίθιοι τοῦτο πάσχεσιν. ἔδει γὰρ αὐτὲς συνιδεῖν, ὡς δεῖξαι βεληθεὶς τῆς φιλοςοργίας τὸ θερμόν τε καὶ γνήσιον, τὴν εἰκόνα παρήγαγε. τοσαύτη γὰρ ἡ τε͂ ἀνδρὸς περὶ τὴν γυναῖκα διάθεσις, ὡς (1) πατέρα ἢ μητέρα δευτέρες ποιεῖν εἰς ἀγάπησιν. ὥσπερ τοίνυν ὁ ἔννομος γάμος τὲς συναφθέντας σάρκα μίαν ποιεῖ, ἕτως ἡ εἰλικρινὴς διάθεσις τῶν ἀγαπησάντων ἓν ποιεῖ τὰς ψυχάς.

✱ ΠΡΟΚΟΠΙΟΥ. Ἵνα δείξῃ τῆς φιλοςοργίας τὸ θερμόν τε καὶ γνήσιον. τοιαύτη γὰρ ἡ τε͂ ἀνδρὸς περὶ τὴν γυναῖκα διάθεσις, ὡς τὸν περὶ τε͂ γάμε νόμον εἰπεῖν,
» ἀντὶ τέτε καταλείψει ἄνθρωπος τὸν πα- Γεν. 2. 24.
» τέρα αὐτε͂, καὶ τὰ ἑξῆς. τοῦτο καὶ ὁ Ἐλκανᾶ δεδήλωκε, τὴν Ἄνναν ψυχαγωγῶν.
» οὐκ ἀγαθός σοι γὰρ ἐγὼ ὑπὲρ δέκα τέκνα; 1. Βασ. 1. 8.
ὃ οὖν ἐπὶ τῶν γαμέντων εἰς σάρκα μίαν, τοῦτο ἐπὶ τῶν ἀγαπώντων εἰς ψυχὴν μίαν.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐ πατέρα εἶπεν, οὐ μητέρα, οὐ τέκνον, οὐκ ἀδελφὸν, οὐ
» φίλον, ἀλλὰ τί; ἔπεσεν ἐπ' ἐμὲ ἡ ἀγάπη-
» σίς σε, φησὶν, ὡς ἀγάπησις τῶν γυναικῶν. ὄντως γὰρ ὄντως πάσης τυραννίδος αὕτη ἡ ἀγάπη τυραννικωτέρα. αἱ μὲν γὰρ ἄλλαι σφοδραί· αὕτη δὲ ἡ ἐπιθυμία ἔχει καὶ τὸ σφοδρὸν καὶ τὸ ἀμάραντον. ἔνεςι γάρ τις ἔρως ἐμφωλεύων τῇ φύσει, καὶ λανθάνων ἡμᾶς συμπλέκει ταῦτα τὰ σώματα.

κζ. Πῶς ἔπεσον δυνατοὶ, καὶ ἀπώλοντο σκεύη πολεμικά;

ΚΕΦ. Β.

α. Καὶ ἐγένετο μετὰ ταῦτα καὶ ἐπηρώτησε Δαβὶδ ἐν Κυρίῳ, λέγων, εἰ ἀναβῶ εἰς μίαν τῶν πόλεων Ἰέδα; καὶ εἶπε Κύριος πρὸς αὐτὸν, ἀνάβηθι. καὶ εἶπε Δαβὶδ, ποῦ ἀναβῶ; καὶ εἶπεν, εἰς Χεβρών.

✱✱ ΙΩΣΗΠΟΥ. Ἤρετο τὸν Θεὸν διὰ
Z τε͂ Προφήτε, τίνα δίδωσιν αὐτῷ κατοικῆσαι πόλιν τῆς Ἰέδα καλεμένης φυλῆς. φήσαντος δὲ αὐτε͂ διδόναι Χεβρῶνα, καταλιπὼν τὴν Σίκελλαν, εἰς ἐκείνην παραγίνεται, τάς τε γυναῖκας εἰσαγόμενος τὰς αὐτε͂· δύω δὲ ἦσαν· καὶ τὲς ὁπλίτας σὺν αὐτῷ.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν ὁ Θεὸς τὸν Δαβὶδ πρῶτον εἰς τὴν Χεβρὼν ἀνελθεῖν προσέταξε; Τὸ μὲν ἀληθὲς αὐτὸς ὁ κελεύσας ἐπίςαται· ἐγὼ δὲ οἶμαι διὰ τὸ τὲς Πατριάρχας παρ' ἐκείνην τὴν πόλιν καὶ ζῶντας οἰκῆσαι, καὶ τελευτήσαντας ταφῆναι. ἔτι δὲ καὶ ὅτι ἐκ τῆς Ἰέδα φυλῆς ἦν ὁ [θειότατος] Δαβίδ. ταύτης δὲ τῆς φυλῆς κατ' ἐκεῖνον τὸν καιρὸν μητρόπολις ἦν ἡ Χεβρών. τὴν γὰρ Ἱερεσαλὴμ οἱ Ἰεβεσαῖοι κατεῖχον ἔτι. ἡ δὲ τε͂ Ἰέδα φυλὴ τὸν Δαβὶδ, ὡς φυλέτην, πλέον τῶν ἄλλων ἠγάπα. ὅτι δὲ τῶν ἄλλων ἐπρώτευ-
» σεν ἡ Χεβρὼν ἡ ἱςορία διδάσκει. ἀνῆλθον
» γάρ φησι, καὶ κατῴκησαν ἐν ταῖς πόλεσι Χεβρών. ὅτι δὲ καὶ τὸ ἕτερον ἀληθὲς, δη-
» λοῖ τὰ ἑξῆς. καὶ ἔρχονται γάρ φησιν οἱ
» ἄνδρες Ἰέδα, καὶ χρίεσιν ἐκεῖ τὸν Δαβὶδ
» τε͂ βασιλεύειν ἐπὶ τὸν οἶκον Ἰέδα.

β. Καὶ

» (1) Ὡς τὸν περὶ τε͂ γάμε νόμον εἰπεῖν, ἀντὶ τέτε καταλείψει ἄνθρωπος τὸν πατέρα αὐτε͂, καὶ Γεν. 2. 24.
» τὴν μητέρα αὐτε͂, καὶ προσκολληθήσεται πρὸς τὴν γυναῖκα αὐτε͂, καὶ ἔσονται οἱ δύο εἰς σάρκα μίαν.
» τοῦτο καὶ ὁ Ἐλκανᾶ δεδήλωκε, τὴν Ἄνναν ψυχαγωγῶν. οὐκ ἀγαθός σοι γὰρ ἐγώ ἔφη ὑπὲρ δέκα τέκνα; 1. Βασ. 1. 8.
ὥσπερ τοίνυν τὲς νόμῳ γάμε συνελθόντας ἡ συνάφεια σάρκα μίαν ἀποτελεῖ, ἕτω τῶν εἰλικρινῶς ἀγαπώντων ἑνοῖ τὰς ψυχὰς ἡ διάθεσις. ἡ ἐν Χαλ. ἐκδ.

β. Καὶ ἀνέβη ἐκεῖ Δαβὶδ εἰς Χε- A
βρὼν, καὶ ἀμφότεραι αἱ γυναῖκες
αὐτοῦ, Ἀχινόομ ἡ Ἰεζραελίτις, καὶ
Ἀβιγαία ἡ γυνὴ Νάβαλ τοῦ Καρ-
γ. μηλίου, Καὶ οἱ ἄνδρες οἱ μετ᾽ αὐτοῦ
ἕκαστος, καὶ ὁ οἶκος ὁ μετ᾽ αὐτοῦ, καὶ
κατῴκουν ἐν ταῖς πόλεσι Χεβρών.

δ. Καὶ ἔρχονται οἱ ἄνδρες τῆς Ἰου-
δαίας, καὶ χρίουσι τὸν Δαβὶδ ἐκεῖ τοῦ B
βασιλεύειν ἐπὶ τὸν οἶκον Ἰούδα. καὶ
ἀπήγγειλαν τῷ Δαβὶδ, λέγοντες,
ὅτι οἱ ἄνδρες Ἰάβεις τῆς Γαλααδίτι-
δος ἔθαψαν τὸν Σαοὺλ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ, χρίουσιν, ἀν-
τὶ τοῦ, χειροτονοῦσι, τέθεικεν. ἐκεχρίκει
γὰρ αὐτὸν τῷ θείῳ ἐλαίῳ Σαμουὴλ ὁ προ-
φήτης.

ε. Καὶ ἀπέστειλε Δαβὶδ ἀγγέλους Γ
πρὸς τοὺς ἡγουμένους Ἰάβεις τῆς Γα-
λααδίτιδος, καὶ εἶπε πρὸς αὐτοὺς Δα-
βὶδ, εὐλογημένοι ὑμεῖς τῷ Κυρίῳ,
ὅτι ἐποιήσατε τοῦτο τὸ ἔλεος ἐπὶ τὸν
κύριον ὑμῶν, ἐπὶ Σαοὺλ τὸν χριστὸν
Κυρίου, καὶ ἐθάψατε αὐτὸν καὶ Ἰω-
ϛ. νάθαν τὸν υἱὸν αὐτοῦ. Καὶ νῦν ποιή-
σαι Κύριος μεθ᾽ ὑμῶν ἔλεος καὶ ἀλή-
θειαν· καί γε ἐγὼ ποιήσω μεθ᾽ ὑμῶν Δ
τὰ ἀγαθὰ ταῦτα, (1) ὅτι ἐποιήσα-
ζ. τε τὸ ῥῆμα τοῦτο. Καὶ νῦν κραταιού-
σθωσαν αἱ χεῖρες ὑμῶν, καὶ γίνεσθε εἰς
υἱοὺς δυνατοὺς, ὅτι τέθνηκεν ὁ κύριος
ὑμῶν Σαοὺλ, καί γε ἐμὲ κέχρικεν ὁ
οἶκος Ἰούδα ἐφ᾽ ἑαυτοὺς εἰς βασιλέα.

η. Καὶ Ἀβεννὴρ υἱὸς Νὴρ ὁ ἀρχι-
στράτηγος τοῦ Σαοὺλ ἔλαβε τὸν Ἰεβο- E
σθὲ (2) υἱὸν Σαοὺλ καὶ ἀνεβίβασεν αὐ-
τὸν ἐκ τῆς παρεμβολῆς εἰς Μαναὲμ,
θ. Καὶ ἐβασίλευσεν αὐτὸν ἐπὶ τὴν Γα-
λααδίτιν, καὶ ἐπὶ τὸν (3) Θασιρὶ, καὶ
ἐπὶ τὸν Ἰεζραὴλ, καὶ ἐπὶ τὸν Ἐφραὶμ,
καὶ ἐπὶ τὸν Βενιαμὶν, καὶ ἐπὶ πάντα
Ἰσραήλ.

** ΙΩΣΗΠΟΥ. Ὁ τοῦ Σαούλου μὲν ἀρ-
χιστράτηγος Ἀβέννηρος, Νήρου δὲ παῖς, Z
ἀνὴρ δραστήριος καὶ ἀγαθὸς τὴν φύσιν, ὡς
ἔγνω πεσόντα τὸν βασιλέα καὶ τὸν Ἰωνά-
θην καὶ τοὺς δύω τοὺς ἄλλους αὐτοῦ παῖδας,
ἐπειχθεὶς εἰς τὴν παρεμβολὴν, καὶ τὸν
περιλειπόμενον ἐξαρπάσας υἱὸν αὐτοῦ· Ἰέ-
βοσθος δὲ ἐκαλεῖτο· διαβιβάζει πρὸς τοὺς
πέραν τοῦ Ἰορδάνου· καὶ παντὸς ἀποδείκ-
νυσι τοῦ πλήθους βασιλέα, πάρεξ τῆς Ἰούδα
φυλῆς. βασίλειον δὲ ἐποίησεν αὐτῷ γῆν,
κατὰ μὲν τὴν ἐπιχώριον γλῶτταν Μανα- H
λὶν, κατὰ δὲ τὴν Ἑλλήνων Παρεμβολὰς
λεγομένην.

A * ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ Ἀβεννὴρ ἀν-
τεχειροτόνησε τὸν Μεμφιβοσθὲ τὸν υἱὸν τοῦ
Σαοὺλ, ὃν οἱ ἄλλοι ἑρμηνευταὶ Ἰσβαὰλ ὀνο-
μάζουσι. καὶ καταλιπὼν τὴν Ῥαμὰ καὶ τὴν
Γαβαὼν, τὰ τοῦ Σαοὺλ οἰκητήρια, διέβη τὸν
Ἰορδάνην, καὶ τὰς καλουμένας Παρεμβο-
λὰς βασιλικὴν ἀπέφηνε πόλιν.

ι. Υἱὸς τεσσαράκοντα ἐτῶν Ἰεβο-
σθὲ υἱὸς Σαοὺλ, ὅτε ἐβασίλευσεν ἐπὶ
B τὸν Ἰσραὴλ, καὶ δύω ἔτη ἐβασίλευσε,
πλὴν τοῦ οἴκου Ἰούδα, οἳ ἦσαν ὀπίσω
ια. Δαβίδ. Καὶ ἐγένοντο αἱ ἡμέραι ἃς
Δαβὶδ ἐβασίλευσεν ἐν Χεβρὼν ἐπὶ
τὸν οἶκον Ἰούδα, ἑπτὰ ἔτη καὶ μῆνας ἕξ.

ιβ. Καὶ ἐξῆλθεν Ἀβεννὴρ υἱὸς Νὴρ,
καὶ οἱ παῖδες Ἰεβοσθὲ υἱοῦ Σαοὺλ ἐκ
ιγ. Μαναὲμ εἰς Γαβαών. Καὶ Ἰωὰβ υἱὸς
Γ Σαρουΐα, καὶ οἱ παῖδες Δαβὶδ ἐξῆλ-
θον ἐκ Χεβρὼν, καὶ συναντῶσιν αὐ-
τοῖς ἐπὶ τὴν κρήνην τὴν Γαβαὼν ἐπὶ
τὸ αὐτὸ, καὶ ἐκάθισαν οὗτοι ἐπὶ τὴν
κρήνην ἐντεῦθεν, καὶ οὗτοι ἐπὶ τὴν
κρήνην ἐντεῦθεν.

** ΙΩΣΗΠΟΥ. Ὥρμησε ἐκεῖθεν Ἀβέν-
νηρος μετὰ στρατιᾶς ἐπιλέκτου συμβαλεῖν
τοῖς ἐκ τῆς Ἰούδα φυλῆς προαιρούμενος, ὀρ-
Δ γισθεὶς ὅτι ἐβασίλευσε Δαυΐδην. ἀπήντησε
δὲ αὐτῷ πεμφθεὶς ὑπὸ Δαυΐδου Ἰώαβος, ὁ
Σαρουΐας μὲν παῖς, πατρὸς δὲ Σουρὶ, ἐκ δὲ
τῆς ἀδελφῆς Δαυΐδου γεγονὼς, ἀρχιστρά-
τηγος ὢν αὐτοῦ μετὰ καὶ τῶν ἀδελφῶν
Ἀβεσσαίου καὶ Ἀσαήλου καὶ πάντων τῶν
Δαυΐδου ὁπλιτῶν. καὶ περιτυχὼν ἐπί τινος
κρηνίδος ἐν Γαβαῷ πόλει, παρατάσσεται
πρὸς μάχην.

ιδ. Καὶ εἶπεν Ἀβεννὴρ πρὸς Ἰωὰβ,
E ἀναστήτωσαν δὴ τὰ παιδάρια, καὶ παι-
ξάτωσαν ἐνώπιον ἡμῶν. καὶ εἶπεν Ἰωὰβ,
ιε. ἀναστήτωσαν. Καὶ ἀνέστησαν καὶ πα-
ρῆλθον ἐν ἀριθμῷ τῶν παίδων Βενια-
μὶν δώδεκα τῶν υἱῶν Ἰεβοσθαὶ υἱοῦ Σαοὺλ,
ιϛ. καὶ δώδεκα τῶν παίδων Δαβίδ. Καὶ
ἐκράτησεν ἕκαστος τῇ χειρὶ τὴν κεφα-
λὴν τοῦ πλησίον αὐτοῦ, καὶ μάχαιρα
Z αὐτοῦ εἰς πλευρὰν τοῦ πλησίον αὐτοῦ,
καὶ πίπτουσι κατὰ τὸ αὐτό. καὶ ἐκ-
λήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου, Με-
ρὶς τῶν ἐπιβούλων, ἥ ἐστιν ἐν Γαβαών.
ιζ. Καὶ ἐγένετο ὁ πόλεμος σκληρὸς ὥστε
λίαν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ. καὶ ἔπταισεν
Ἀβεννὴρ καὶ ἄνδρες Ἰσραὴλ ἐνώπιον
παίδων Δαβίδ.

** ΙΩΣΗΠΟΥ. Τοῦ Ἀβεννήρου φήσαν-
H τος πρὸς αὐτὸν, μαθεῖν βούλεσθαι πότερος
αὐτῶν ἀνδρειοτέρους στρατιώτας ἔχει, συν-
τίθεται παρ᾽ ἀμφοτέρων δυωκαίδεκα μα-
χησο-

(1) Τὸ ἀγαθὸν τοῦτο. αἱ εἰρημ. ἐκδόσ. (2) Ἐν ἄλλοις Ἰεβοσθαί. ὁ αὐτ. κώδ. (3) Τὴν. αἱ αὐτ.

χησομένους συμβαλεῖν. προσελθόντες τοίνυν εἰς τὸ μεταξὺ τῶν παρατάξεων οἱ πρὸς τὴν μάχην ὑφ' ἑκατέρων τῶν στρατηγῶν ἐξειλεγμένοι, καὶ τὰς αἰχμὰς ἐπ' ἀλλήλους ἀφέντες, σπῶνται τὰς μαχαίρας, καὶ τῶν κεφαλῶν ἐκλαμβανόμενοι, κατέχοντες αὐτοὺς, ἔπαιον εἰς τὰς πλευρὰς καὶ τὰς λαγόνας ἀλλήλους ταῖς ῥομφαίαις, ἕως οὗ πάντες ὥσπερ ἐκ συνθήματος ἀπώλοντο. πεσόντων δὲ τούτων, συνέῤῥηξε καὶ ἡ λοιπὴ στρατιά· καὶ καρτερᾶς μάχης γενομένης, ἡττήθησαν οἱ τοῦ Ἀβεννήρου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ ὑπὸ τοῦ Ἀβεννὴρ εἰρημένον, ἀναστήτωσαν τὰ παιδάρια ἐνώπιον ἡμῶν, καὶ παιξάτωσαν; Ἀγῶνα πολεμικὸν τοῖς τῶν νέων ἀρίστοις προτέθεικε. παίγνιον δὲ καὶ παιδιὰν τὴν τούτων προσηγόρευσε συμπλοκὴν, τῇ κοινῇ καὶ μεγίστῃ παρατάξει παρεξετάζων τὴν μερικήν. ἰσάριθμοι δὲ τῶν φυλῶν ἐξ ἑκατέρας συνελέγησαν φάλαγγος. ἡ σφαγὴ δὲ τούτων οὐκ ἔπαυσε τὴν συμπλοκὴν, [ἀλλ' ἠρέθισε.]

ιη. Καὶ ἐγένοντο ἐκεῖ τρεῖς υἱοὶ Σα-
ρουΐα, Ἰωὰβ, καὶ Ἀβεσσὰ, καὶ Ἀσαήλ.
καὶ Ἀσαὴλ κοῦφος τοῖς ποσὶν αὐτοῦ,
ιθ. ὡσεὶ μία δορκὰς ἐν ἀγρῷ. Καὶ κα-
τεδίωξεν Ἀσαὴλ ὀπίσω Ἀβεννὴρ, καὶ
οὐκ ἐξέκλινε τοῦ πορευθῆναι εἰς τὰ δε-
ξιὰ οὐδὲ εἰς τὰ ἀριστερὰ κατόπισθεν
κ. Ἀβεννήρ. Καὶ ἐπέβλεψεν Ἀβεννὴρ
εἰς τὰ ὀπίσω αὐτοῦ, καὶ εἶπεν, εἰ σὺ
εἶ αὐτὸς Ἀσαήλ; καὶ εἶπεν, ἐγώ εἰμι.
κα. Καὶ εἶπεν αὐτῷ Ἀβεννὴρ, ἔκκλινον
σὺ εἰς τὰ δεξιὰ ἢ εἰς τὰ ἀριστερὰ, καὶ
κάτασχε σεαυτῷ ἓν τῶν παιδαρίων,
καὶ λάβε σεαυτῷ τὴν πανοπλίαν αὐ-
τοῦ. καὶ οὐκ ἠθέλησεν Ἀσαὴλ ἐκκλῖ-
κβ. ναι ἐκ τῶν ὄπισθεν αὐτοῦ. Καὶ προσέ-
θετο ἔτι Ἀβεννὴρ λέγων τῷ Ἀσαὴλ,
ἀπόστηθι ἀπ' ἐμοῦ, ἵνα μὴ πατάξω σε
εἰς τὴν γῆν· καὶ πῶς ἀρῶ τὸ πρόσω-
κγ. πόν μου ἐπὶ Ἰωάβ; Καὶ ποῦ ἐστι ταῦ-
τα; ἐπίστρεφε πρὸς Ἰωὰβ τὸν ἀδελ-
φόν σου. καὶ οὐκ ἐβούλετο τοῦ ἀποστῆ-
ναι. καὶ τύπτει αὐτὸν Ἀβεννὴρ ἐν τῷ
ὀπισθίῳ τοῦ δόρατος ἐπὶ τὴν ψόαν, καὶ
διεξῆλθε τὸ δόρυ ἐκ τῶν ὀπίσω αὐτοῦ,
καὶ πίπτει ἐκεῖ καὶ ἀποθνήσκει ὑποκά-
τω αὐτοῦ. καὶ ἐγένετο πᾶς ὁ ἐρχόμε-
νος ἕως τοῦ τόπου οὗ ἔπεσεν ἐκεῖ Ἀσαὴλ
καὶ ἀπέθανε, καὶ ἀφίστατο.

** ΙΩΣΗΠΟΥ. Τραπέντας οὐκ ἀνίει διώκων ὁ Ἰώαβος, ἀλλ' αὐτός τε ἐπέκειτο παρακελευόμενος τοὺς ὁπλίτας ἐκ ποδὸς ἕπεσθαι, καὶ μὴ κάμνειν ἀναιροῦντας. οἱ δὲ ἀδελφοὶ προθύμως ἠγωνίσαντο, καὶ ὁ διαφανέστερος τῶν ἄλλων μάλιστα ὁ νεώτερος Ἀσάηλος ἐπί τε ποδῶν ὠκύτητι κλέος εἶχεν· οὐ γὰρ ἀνθρώπους ἐνίκα μόνους, ἀλλὰ καὶ ἵππον καταστάντα εἰς ἅμιλλαν λέγουσι παραδραμεῖν· ὃς καὶ τὸν Ἀβέννηρον ἐδίωκεν, ὑπὸ ῥύμης καὶ τῆς ἐπ' ὀρθὸν φορᾶς εἰς οὐδέτερον ἐγκλιθεὶς τῶν μερῶν. ἐπιστραφέντος δὲ τοῦ Ἀβεννήρου, καὶ κατασοφίσασθαι τὴν ὁρμὴν αὐτοῦ πειρωμένου, καὶ ποτὲ μὲν εἰπόντος, ἑνὸς τῶν ἑαυτοῦ στρατιωτῶν, ἀφέμενος τῆς διώξεως, ἀφελέσθαι τὴν πανοπλίαν· πάλιν δὲ, ὡς οὐκ ἔπειθε τοῦτο ποιεῖν, κατασχεῖν αὐτὸν καὶ μὴ διώκειν παραινοῦντος, μὴ κτείνας αὐτὸν ἀπολέσῃ τὴν πρὸς τὸν ἀδελφὸν αὐτοῦ παῤῥησίαν· οὐ προσιέμενον δὲ τοὺς λόγους, ἀλλ' ἐπιμείναντα τῇ διώξει, φεύγων ὡς εἶχε, τὸ δόρυ πλήξας εἰς τοὐπίσω καιρίως, παραχρῆμα ἀπέκτεινεν. οἱ δὲ μετ' αὐτοῦ διώκοντες τὸν Ἀβέννηρον, ὡς ἦλθον ἐπὶ τὸν τόπον οὗ κεῖσθαι συνέβαινε τὸν Ἀσάηλον, περιστάντες τὸν νεκρὸν, οὐκ ἔτι τοὺς πολεμίους ἐδίωκον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τῆς δὲ τροπῆς γενομένης, καὶ τῆς μὲν τοῦ Ἀβεννὴρ στρατιᾶς κατὰ τάχος φευγούσης, τῆς δὲ τοῦ Ἰωὰβ κατὰ κράτος διωκούσης, ὁ Ἀσαὴλ ὁ νεώτατος ἀδελφὸς τοῦ Ἰωὰβ [ὠκύτατος ὢν, καὶ] τοῖς ὀξυτάτοις ἐν τοῖς ποσὶν ἁμιλλώμενος ζώοις, οὐδένα μὲν τῶν ἄλλων ἐδίωκεν, ἐγλίχετο δὲ μόνον κατακοντίσαι τὸν Ἀβεννήρ. ὁ δὲ καὶ διωκόμενος, πρᾴως ἄγαν καὶ φιλικῶς παρῄνεσε, τὸν θυμὸν εἰς ἄλλον τινὰ κενῶσαι [τῶν φευγόντων στρατιωτῶν] καὶ μηδὲ τοῦτον ἀνελεῖν, ἀλλὰ μόνον λαβεῖν τὴν σκύλην παρεγγύησεν, ἵνα ἔχῃ τινὰ τοῦ πόνου καρπόν. ἀπειθοῦντα δὲ ἰδὼν, ἡμέρως ἠπείλησεν, εἰπών· ἀπόστηθι, ἀπόστηθι ἀπ' ἐμοῦ, ἵνα μὴ πατάξω σε εἰς γῆν· καὶ πῶς ἀρῶ τὸ πρόσωπόν μου πρὸς Ἰωὰβ τὸν ἀδελφόν σου; ἐπεὶ δὲ εἶδε τῆς αὐτοῦ σφαγῆς ὀρεγόμενον, τῷ σαυρωτῆρι πλήξας, καὶ τὸν δρόμον ἔπαυσε, καὶ τὴν ζωὴν προσαφεῖλε.

κδ. Καὶ κατεδίωξεν Ἰωὰβ καὶ Ἀ-
βεσσὰ ὀπίσω Ἀβεννὴρ, καὶ ὁ ἥλιος
ἔδυνε. καὶ αὐτοὶ ἦλθον ἕως τοῦ βουνοῦ
Ἐμμὰτ, ὅ ἐστιν ἐπὶ προσώπου Γὰγ, (1)
κε. ὁδὸν ἔρημον Γαβαών. Καὶ συναθροί-
ζονται οἱ υἱοὶ Βενιαμὶν (2) ὀπίσω Ἀ-
βεννὴρ, καὶ ἐγενήθησαν εἰς συνάν-
τησιν μίαν, καὶ ἔστησαν ἐπὶ κεφαλὴν
βουνοῦ ἑνός.

** ΙΩΣΗΠΟΥ. Ὁ Ἰώαβος αὐτὸς καὶ ὁ ἀδελφὸς αὐτοῦ Ἀβεσσαῖος παραδραμόντες τὸ πτῶμα, καὶ τῆς πλείονος ἐπὶ τὸν Ἀβέννηρον σπουδῆς αἰτίαν τὴν ὑπὲρ τοῦ τετελευτηκότος ὀργὴν λαβόντες, ἀπίστῳ τάχει καὶ προθυμίᾳ χρώμενοι, μέχρι τόπου τινὸς, Ἀμμάταν καλοῦσιν, ἐδίωξαν τὸν Ἀβέννηρον, ἤδη περὶ δυσμὰς ὄντος ἡλίου. ἀναβὰς δὲ ἐπί τινα βουνὸν, ὅς ἐστιν ἐπ' ἐκείνῳ

(1) Γαί. αἱ αὐτ.

(2) Οἱ ὀπίσ. αἱ αὐτ.

ἐκείνῳ τῷ τόπῳ μετὰ τῆς Βενιαμίτιδος φυλῆς αὐτὸς τε κατεσκέπετο καὶ τὸν Ἀβέννηρον.

κς. Καὶ ἐκάλεσεν Ἀβεννὴρ Ἰωὰβ, καὶ εἶπε, μὴ εἰς νῖκος καταφάγεται ἡ ῥομφαία; ἢ οὐκ οἶδας ὅτι πικρὰ ἔσται εἰς τὰ ἔσχατα; καὶ ἕως πότε οὐ μὴ εἴπῃς τῷ λαῷ ἀποστῆναι ἀπὸ ὄπισθεν τῶν ἀδελφῶν ἡμῶν;

* ΠΡΟΚΟΠΙΟΥ. Μὴ εἰς νῖκος καταφάγεται ἡ ῥομφαία; Οὐ δίκαιον, φησὶ, τοὺς νικῶντας πανωλεθρίαν ἐπάγειν τοῖς ἡττωμένοις ζητεῖν. πολλάκις γὰρ οἱ νικῶντες ἡττῶνται, καὶ οἱ διώκοντες φεύγουσι. διό φησιν, ὅτι πικρὰ ἔσται τὰ ἔσχατα. ὑπέμνησε δὲ καὶ τῆς συγγενείας, καὶ πέπεικε. (1) τὸ δὲ, πικρὰ ἔσται τὰ ἔσχατα· ὅτι τοῖς ἀδελφοῖς πολεμεῖν μεταμέλον ἔχει.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, μὴ εἰς νῖκος καταφάγεται ἡ ῥομφαία; Οἱ τοῦ Ἀβεννὴρ στρατιῶται φεύγοντες, εἴς τινα λόφον κατέφυγον. ὁ δὲ Ἰωὰβ σὺν τοῖς ὑπηκόοις προσβαλεῖν ἐπεχείρει. πάλιν τοίνυν συνετῶς καὶ πρᾴως ὁ Ἀβεννὴρ ἀνέμνησε τὸν ἀρχιστράτηγον τῶν τοῦ πολέμου μεταβολῶν. τοῦτο γὰρ ὁ λόγος δηλοῖ, μὴ εἰς νῖκος καταφάγεται ἡ ῥομφαία; οὐκ οἶδας ὅτι πικρὰ τὰ ἔσχατα; καὶ ἕως πότε οὐ μὴ εἴπῃς τῷ λαῷ ἀποστρέφειν ἀπὸ ὄπισθεν τῶν ἀδελφῶν αὐτῶν; καὶ τῆς συγγενείας ἀνέμνησεν, ἵνα τὴν δυσμένειαν παύσῃ, καὶ τῶν πολέμων τὰς ἀνελπίστους ἐδήλωσε μεταβολάς. πολλάκις γὰρ οἱ νικῶντες ἡττῶνται, καὶ οἱ διώκοντες φεύγουσιν. ἄλλως τε οὐδὲ δίκαιόν φησι τοὺς νικῶντας θεασαμένους

A τροπὴν, πανωλεθρίαν ἐπαγαγεῖν τοῖς ἡττημένοις ζητεῖν. τοῦτο γὰρ δηλοῖ τὸ, μὴ εἰς νῖκος καταφάγεται ἡ ῥομφαία;

κζ. Καὶ εἶπεν Ἰωὰβ, ζῇ Κύριος, ὅτι εἰ μὴ ἐλάλησας, διότι τότε ἐκ πρωΐόθεν ἀνέβη ἂν ὁ λαὸς ἕκαστος κατόπισθεν τοῦ ἀδελφοῦ αὐτοῦ.

κη. Καὶ ἐσάλπισεν Ἰωὰβ τῇ σάλπιγγι, καὶ ἀπέστησαν πᾶς ὁ λαὸς, καὶ οὐ κατεδίωξαν ὀπίσω τοῦ Ἰσραὴλ, καὶ οὐ προσέθεντο ἔτι τοῦ πολεμεῖν. B

* ΘΕΟΔΩΡΙΤΟΥ. Τούτοις εἶξε τοῖς λόγοις ὁ Ἰωάβ· καὶ τῇ σάλπιγγι σημάνας, τὴν δίωξιν ἔπαυσε.

κθ. Καὶ Ἀβεννὴρ καὶ οἱ ἄνδρες αὐτοῦ ἀπῆλθον εἰς δυσμὰς ὅλην τὴν νύκτα ἐκείνην, καὶ διέβαινον τὸν Ἰορ-
Γ δάνην, καὶ ἐπορεύθησαν ὅλην τὴν παρατείνουσαν, καὶ ἔρχονται εἰς τὴν
λ. παρεμβολήν. Καὶ Ἰωὰβ ἀνέστρεψεν ὄπισθεν ἀπὸ τοῦ Ἀβεννὴρ, καὶ συνήθροισε πάντα τὸν λαὸν, καὶ ἐπεσκέπησαν τῶν παίδων Δαβὶδ ἐννεακαί-
λα. δεκα ἄνδρες, καὶ Ἀσαήλ. Καὶ οἱ παῖδες Δαβὶδ ἐπάταξαν τῶν υἱῶν Βενιαμὶν τῶν ἀνδρῶν Ἀβεννὴρ τριακοσίους
λβ. καὶ ἑξήκοντα ἄνδρας παρ' αὐτοῦ. Καὶ αἴρουσι τὸν Ἀσαὴλ, καὶ θάπτουσιν αὐτὸν ἐν τῷ τάφῳ τοῦ πατρὸς αὐτοῦ ἐν Βηθλεέμ. καὶ ἐπορεύθη Ἰωὰβ καὶ οἱ ἄνδρες αὐτοῦ ὅλην τὴν νύκτα, καὶ διέφαυσεν αὐτοῖς εἰς Χεβρών.

ΚΕΦ. Γ.

α. Καὶ ἐγένετο ὁ πόλεμος ἐπὶ πολὺ ἀναμέσον τοῦ οἴκου Σαοὺλ καὶ ἀναμέσον τοῦ οἴκου Δαβίδ. καὶ ὁ οἶκος Δαβὶδ ἐπορεύετο καὶ ἐκραταιοῦτο, καὶ οἶκος Σαοὺλ ἐπορεύετο καὶ ἠσθένει.

** ΙΩΣΗΠΟΥ. Ἤρξατο ἐξ ἐκείνου τοῦ χρόνου τοῖς Ἑβραίοις ἐμφύλιος πόλεμος, καὶ διέμεινεν ἄχρι πολλοῦ· τῶν μὲν μετὰ Δαυΐδε, κρειττόνων ἀεὶ γινομένων καὶ πλέον ἐν τοῖς κινδύνοις φερομένων· τῶν δὲ Σαούλου παίδων καὶ τῶν ὑπηκόων αὐτοῦ κατὰ πᾶσαν σχεδὸν ἡμέραν ἐλαττουμένων.

β. Καὶ ἐτέχθησαν τῷ Δαβὶδ υἱοὶ ἐν Χεβρὼν ἕξ· καὶ ἦν ὁ πρωτότοκος αὐτοῦ Ἀμνὼν τῆς Ἀχινοὸμ (2) τῆς Ἰεζραε-
γ. λίτιδος, Καὶ ὁ δεύτερος αὐτοῦ Δαλουΐα τῆς Ἀβιγαίας τῆς Καρμηλίας, καὶ ὁ τρίτος Ἀβεσσαλὼμ υἱὸς Μοχὶ (3)

E θυγατρὸς Θολμὴ βασιλέως Γεσσὴρ,
δ. Καὶ ὁ τέταρτος Ὀρνία υἱὸς Ἀγγὶ, (4) καὶ ὁ πέμπτος Σαφατία τῆς Ἀβιτάλ.

* ΠΡΟΚΟΠΙΟΥ. Ὁ τέταρτος Ὀρνία· Ἀκύλας, Ἀδωνίας.

** ΝΕΙΛΟΥ. Εἰ τὸν Δαβὶδ διασύρεις δέκα ἐσχηκότα γυναῖκας, γίνωσκε, ὅτι οὐ διὰ φιληδονίαν, ἀλλὰ διὰ παιδοποιΐαν εἶχεν αὐτάς. καὶ ἔδειξέ γε τοῦτο μετὰ τὸ μιγῆναι ταύταις τὸν πατραλοίαν Ἀβεσσαλὼμ, μηκέτι συνελθεῖν πρὸς αὐτὰς ἑλόμενος, μηδὲ πρὸς ἄλλην τινά. εἰς ὕστερον δὲ συγκοιμωμένης αὐτῷ τῆς Σωμανίτιδος διὰ τὸ ἄγαν κατεψύχθαι αὐτὸν καὶ χρῄζειν θερμότητος, οὐδόλως κατεδέξατο γνῶναι αὐτήν. ὅπερ μεγίστης ἀπαθείας ὑπάρχει δεῖγμα. Z

ε. Καὶ ὁ ἕκτος Ἰεθεραὰμ τῆς Ἐγλὰ γυναικὸς Δαβίδ. οὗτοι ἐτέχθη-
ς. σαν τῷ Δαβὶδ ἐν Χεβρών. Καὶ ἐγένετο ἐν τῷ εἶναι τὸν πόλεμον ἀναμέσον οἴκου

(1) Τὰ ἑπόμ. οὐ περιέχει ὁ τῆς Αὐγ. κώδ.
(3) Μααχὰ αἱ εἰρημ. ἐκδόσ.
(2) Ἀνωτέρ. ἐν τῷ 2. ἐδ. τοῦ 2. κεφ. Ἀχινόομ.
(4) Ἀγγιθ. αἱ αὐτ.

οἴκου Σαοὺλ καὶ ἀναμέσον οἴκου Δαβίδ,
καὶ Ἀβεννὴρ ἦν κρατῶν τοῦ οἴκου Σαούλ.

ζ. Καὶ τῷ Σαοὺλ παλλακὴ Ῥεσφὰ
θυγάτηρ Ἰώλ· καὶ εἶπεν Ἰεβοσθαὶ υἱὸς
Σαοὺλ πρὸς Ἀβεννὴρ, τί ὅτι εἰσῆλθες
πρὸς τὴν παλλακὴν τοῦ πατρός μου;

» * ΠΡΟΚΟΠΙΟΥ. Τί ὅτι εἰσῆλθες πρὸς
» τὴν παλλακὴν τοῦ πατρός μου; Οὐ γὰρ ἐξῆν
ταῖς παλλακίσι τῶν βασιλέων συγγενέσθαι
τοὺς μὴ ὄντας βασιλεῖς. διὸ καὶ Ἀβεσσα-
λὼμ ταῖς τοῦ πατρὸς ἐμίγη, θέλων κρα-
τῦναι τὴν βασιλείαν. καὶ Ἀδωνίας ἀνῄρη-
ται τυραννικὸν φρονήσας, ὅτι ἠθέλησε μι-
γῆναι τῇ τοῦ πατρὸς παλλακῇ.

η. Καὶ ἐθυμώθη σφόδρα Ἀβεν-
νὴρ περὶ τοῦ λόγου τούτου τῷ Ἰεβοσθαί·
καὶ εἶπεν Ἀβεννὴρ πρὸς αὐτὸν, μὴ κε-
φαλὴ κυνὸς ἐγώ εἰμι; ἐποίησα ἔλεος
σήμερον μετὰ τοῦ οἴκου Σαοὺλ τοῦ πα-
τρός σου, καὶ περὶ ἀδελφῶν καὶ περὶ
γνωρίμων, καὶ οὐκ ηὐτομόλησα εἰς τὸν
οἶκον Δαβὶδ, καὶ ἐπιζητεῖς ἐπ᾽ ἐμὲ σὺ
θ. ὑπὲρ ἀδικίας γυναικὸς σήμερον; Τά-
δε ποιήσαι ὁ Θεὸς τῷ Ἀβεννὴρ καὶ τά-
δε προσθείη αὐτῷ, ὅτι καθὼς ὤμοσε
Κύριος τῷ Δαβὶδ, οὕτω ποιήσω αὐτῷ
ι. ἐν τῇ ἡμέρᾳ ταύτῃ, Περιελεῖν τὴν
βασιλείαν ἀπὸ τοῦ οἴκου Σαοὺλ, καὶ
τοῦ ἀναστῆσαι τὸν θρόνον Δαβὶδ ἐπὶ
τὸν Ἰσραὴλ καὶ ἐπὶ τὸν Ἰούδαν ἀπὸ
ια. Δὰν καὶ ἕως Βηρσαβεέ. Καὶ οὐκ ἠδυ-
νάσθη ἔτι Ἰεβοσθὲ ἀποκριθῆναι τῷ
Ἀβεννὴρ ῥῆμα, ἀπὸ τοῦ φοβεῖσθαι αὐ-
ιβ. τόν. Καὶ ἀπέστειλεν Ἀβεννὴρ ἀγγέ-
λους πρὸς Δαβὶδ εἰς Θαιλὰμ οὗ ἦν,
παραχρῆμα, λέγων, διάθου διαθή-
κην σου μετ᾽ ἐμοῦ, καὶ ἰδοὺ ἡ χείρ μου με-
τὰ σοῦ ἐπιστρέψαι πρὸς σὲ πάντα τὸν
ιγ. οἶκον Ἰσραήλ. Καὶ εἶπε Δαβὶδ, κα-
λῶς ἐγὼ διαθήσομαι πρὸς σὲ διαθή-
κην· πλὴν λόγον ἕνα αἰτοῦμαι ἐγὼ
παρὰ σοῦ, λέγων, οὐκ ὄψῃ τὸ πρόσω-
πόν μου, ἐὰν μὴ ἀγάγῃς τὴν Μελχὸλ
θυγατέρα Σαοὺλ παραγενομένου σου
ἰδεῖν τὸ πρόσωπόν μου.

ιδ. Καὶ ἐξαπέστειλε Δαβὶδ πρὸς
Ἰεβοσθὲ υἱὸν Σαοὺλ ἀγγέλους, λέγων,
ἀπόστειλον (1) τὴν γυναῖκά μου Μελ-
χὸλ, ἣν ἔλαβον ἐν ἑκατὸν ἀκροβυ-
στίαις ἀλλοφύλων.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τοῦ νόμου διαγορεύον-
τος, τὴν ἀφισαμένην τοῦ ἀνδρὸς γυναῖκα,
καὶ ἑτέρῳ συναπτομένην, μὴ ἐπανιέναι πρὸς
τὸν πρότερον ἄνδρα, πῶς ὁ μακάριος Δα-
βὶδ ἠνέσχετο τὴν Μελχὸλ πάλιν ἀναλα-
A βεῖν γημαμένην ἑτέρῳ; Ὁ νόμος τὴν πα-
ρὰ τοῦ ἀνδρὸς ἀπολυομένην, καὶ συναπτο-
μένην ἑτέρῳ, μὴ ἐπὶ τὸν πρότερον ἀνα-
στρέφειν ἐθέσπισε. τοῦτο γὰρ καὶ διὰ Ἰερεμίου
τοῦ προφήτου δεδήλωκεν ὁ Θεός. ἔφη δὲ
» οὕτως· ἐὰν ἀπολύσῃ ἀνὴρ τὴν γυναῖκα αὐ- Ἱερ. 3. 1.
» τοῦ, καὶ πορευθῇ, καὶ γένηται ἀνδρὶ ἑτέ-
» ρῳ, μὴ ἀνακάμπτουσα ἀνακάμψει πρὸς αὐ-
» τὸν ἔτι; οὐ μιαινομένη μιανθήσεται ἡ γυνὴ
» ἐκείνη; σὺ δὲ ἐξεπόρνευσας εἰς ποιμένας
B » πολλοὺς, καὶ ἀνέκαμπτες πρός με, λέγει
Κύριος. ἀλλ᾽ ὁ βασιλεὺς Δαβὶδ οὐκ ἀπολε-
λύκει τὴν Μελχόλ· ὁ δὲ ἐκείνης πατὴρ
παρανόμως αὐτὴν τοῦ ὁμοζύγου ἀποστήσας,
ἐδεδώκει ἑτέρῳ. βία τοίνυν, οὐ γάμος ἦν ἡ
πρὸς ἐκεῖνον συνάφεια. τοῦτο γὰρ καὶ ὁ
» θεῖος Ἀπόστολος ἔφη· ἄρα οὖν ζῶντος τοῦ Ῥωμ. 7. 3.
» ἀνδρὸς μοιχαλὶς χρηματίζει, ἐὰν γένηται
» ἀνδρὶ ἑτέρῳ. ἄκουσα δὲ αὕτη συνήφθη ἑτέ-
ρῳ. οὐ τοίνυν Δαβὶδ παρέβη τὸν νόμον,
Γ ἀλλ᾽ ὁ ταύτην ἑτέρῳ συνάψας. οὐδὲ γὰρ
γάμος ὁ παρανόμως γεγενημένος· τῇ δὲ
τοῦ πατρὸς βίᾳ συγγνοὺς ὁ Δαβὶδ ἀνέλαβε
τὴν γυναῖκα.

ιε. Καὶ ἀπέστειλεν Ἰεβοσθὲ, καὶ ἔλα-
βεν αὐτὴν παρὰ τοῦ ἀνδρὸς αὐτῆς πα-
ις. ρὰ Φιλτιὴλ (2) υἱοῦ Σελλήμ. Καὶ
ἐπορεύετο ὁ ἀνὴρ αὐτῆς μετ᾽ αὐτῆς
Δ κλαίων ὀπίσω αὐτῆς ἕως Βαρακίμ.
καὶ εἶπε πρὸς αὐτὸν Ἀβεννὴρ, πορεύου,
ιζ. ἀνάστρεφε. καὶ ἀνέστρεψε. Καὶ εἶπεν
Ἀβεννὴρ πρὸς τοὺς πρεσβυτέρους Ἰσ-
ραὴλ, λέγων, χθὲς καὶ τρίτην ἐζη-
τεῖτε τὸν Δαβὶδ βασιλεύειν ἐφ᾽ ὑμῶν.
ιη. Καὶ νῦν ποιήσατε, ὅτι Κύριος ἐλά-
λησε περὶ Δαβὶδ, λέγων, ἐν χειρὶ
τοῦ δούλου μου Δαβὶδ σώσω τὸν Ἰσραὴλ
E ἐκ χειρὸς ἀλλοφύλων, καὶ ἐκ χειρὸς
ιθ. πάντων τῶν ἐχθρῶν αὐτῶν. Καὶ ἐλά-
λησεν Ἀβεννὴρ καίγε ἐν τοῖς ὠσὶ Βενι-
αμίν· καὶ ἐπορεύθη Ἀβεννὴρ τοῦ λα-
λῆσαι εἰς τὰ ὦτα τοῦ Δαβὶδ εἰς Χε-
βρὼν πάντα ὅσα ἤρεσεν ἐν ὀφθαλ-
κ. μοῖς παντὸς τοῦ οἴκου Βενιαμίν. Καὶ
ἦλθεν Ἀβεννὴρ πρὸς Δαβὶδ εἰς Χε-
βρὼν, καὶ μετ᾽ αὐτοῦ εἴκοσι ἄνδρες.
Z καὶ ἐποίησε Δαβὶδ τῷ Ἀβεννὴρ καὶ
τοῖς ἀνδράσι τοῖς μετ᾽ αὐτοῦ πότον.
κα. Καὶ εἶπεν Ἀβεννὴρ πρὸς Δαβὶδ, ἀνα-
στήσομαι δὴ καὶ πορεύσομαι καὶ συνα-
θροίσω πρὸς τὸν κύριόν μου τὸν βασι-
λέα πάντα Ἰσραὴλ, καὶ διαθήσομαι
μετὰ σοῦ διαθήκην, καὶ βασιλεύσεις
ἐπὶ πᾶσιν οἷς ἐπιθυμεῖ ἡ ψυχή σου. καὶ
H ἀπέστειλε Δαβὶδ τὸν Ἀβεννὴρ, καὶ
κβ. ἐπορεύθη ἐν εἰρήνῃ. Καὶ ἰδοὺ (3) παῖ-
δες Δαβὶδ καὶ Ἰωὰβ παρεγίνοντο ἐκ
τῆς

(1) Ἀπόστειλόν μοι. αἱ αὐτ.   (2) Φαλτιήλ. αἱ αὐτ.   (3) Οἱ παῖδες. αἱ αὐτ.

τῆς ἐξοδίας, καὶ σκῦλα πολλὰ ἔφε- A
ρον μεθ' ἑαυτῶν. καὶ Ἀβεννὴρ οὐκ ἦν
μετὰ Δαβὶδ ἐν Χεβρὼν, ὅτι ἀπε-
στάλκει αὐτὸν, καὶ ἀπεληλύθει ἐν
κγ. εἰρήνῃ. Καὶ Ἰωὰβ καὶ πᾶσα ἡ στρα-
τιὰ αὐτοῦ ἤλθοσαν, καὶ ἀπηγγέλη
τῷ Ἰωὰβ, λέγοντες, ἥκει Ἀβεννὴρ
υἱὸς Νὴρ πρὸς Δαβὶδ, καὶ ἀπέσταλ-
κεν αὐτὸν, καὶ ἀπελήλυθεν (1) ἐν εἰρήνῃ.
κδ. Καὶ εἰσῆλθεν Ἰωὰβ πρὸς τὸν βασι-
λέα, καὶ εἶπε, τί τοῦτο ἐποίησας; ἰδοὺ
ἦλθεν Ἀβεννὴρ πρὸς σὲ, καὶ ἵνα τί
ἐξαπέσταλκας αὐτὸν, καὶ ἀπελήλυθεν
κε. ἐν εἰρήνῃ; Ἢ οὐκ οἶδας τὴν κακίαν Ἀ-
βεννὴρ υἱοῦ Νὴρ, ὅτι ἀπατῆσαί σε πα-
ρεγένετο, καὶ γνῶναι τὴν ἔξοδόν σου, καὶ
κς. γνῶναι ἅπαντα ὅσα σὺ ποιεῖς; Καὶ
ἀνέστρεψεν Ἰωὰβ ἀπὸ τοῦ Δαβὶδ, καὶ
ἀπέστειλεν ἀγγέλους (2) ὀπίσω Ἀβεννὴρ,
καὶ ἐπιστρέφουσιν αὐτὸν ἀπὸ τοῦ φρέα-
τος τοῦ Σεειρὰμ, καὶ Δαβὶδ οὐκ ᾔδει.

κζ. Καὶ ἐπέστρεψαν (3) τὸν Ἀβεν-
νὴρ εἰς Χεβρὼν, καὶ ἐξέκλινεν αὐτὸν
Ἰωὰβ ἐκ πλαγίων τῆς πύλης λαλῆ-
σαι πρὸς αὐτὸν, ἐνεδρεύων. καὶ ἐπά-
ταξεν αὐτὸν ἐκεῖ ἐπὶ τὴν ψύαν, καὶ
ἀπέθανεν ἐν τῷ αἵματι Ἀσαὴλ τοῦ
ἀδελφοῦ Ἰωάβ.

** ΙΩΣΗΠΟΥ. Ὑπαντήσας αὐτῷ πρὸς τῇ πύλῃ ὁ Ἰώαβος, καὶ δεξιωσάμενος ὡς μάλιστ' εὔνους καὶ φίλος· ὑποκρίνονται γὰρ ἱκανῶς πολλάκις εἰς τὸ ἀνύποπτον τῆς ἐπιβουλῆς τὰ τῶν ἀληθῶς ἀγαθῶν οἱ πράγμασιν ἐγχειροῦντες ἀτόποις· ἀποσπᾷ μὲν τῶν οἰκείων αὐτὸν, ὡς ἐν ἀποῤῥήτῳ διαλεξόμενος, παραγαγὼν δὲ εἰς τὸ ἐρημότερον τῆς πύλης μόνος αὐτὸς ὢν σὺν Ἀβεσσαίῳ τῷ ἀδελφῷ, σπασάμενος τὴν μάχαιραν, ὑπὸ τὴν λαγόνα παίει. καὶ τελευτᾷ μὲν Ἀβέννηρος, τοῦτον ἐνεδρευθεὶς τὸν τρόπον ὑπὸ Ἰωάβου· ὡς μὲν αὐτὸς ἔλεγε, τιμωρήσαντος Ἀσαήλῳ τῷ ἀδελφῷ, ὃν διώκοντα βαλὼν Ἀβέννηρος ἀπέκτεινεν ἐν τῇ πρὸς τῇ Χεβρῶνι μάχῃ· ὡς δὲ τ' ἀληθὲς εἶχε, δείσαντος περὶ τῆς στρατηγίας καὶ τῆς παρὰ τῷ βασιλεῖ τιμῆς, μὴ τούτων μὲν αὐτὸς ἀφαιρεθείη, λάβοι δὲ παρὰ Δαβίδου τὴν πρώτην τάξιν Ἀβέννηρος. ἐκ τούτων ἄν τις κατανοήσειεν ὅσα καὶ πηλίκα τολμῶσιν ἄνθρωποι πλεονεξίας ἕνεκα καὶ ἀρχῆς, καὶ τοῦ μηδενὶ τούτων παραχωρῆσαι. κτήσασθαι γὰρ αὐτὰ ποθοῦντες, διὰ μυρίων κακῶν λαμβάνουσι· καὶ δείσαντες ἀποβαλεῖν, πολλῷ χείροσι τὸ βέβαιον αὐτοῖς τῆς παραμονῆς περιποιοῦσι.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκα τὸν Ἀβεννὴρ ἀνεῖλεν ὁ Ἰωάβ; Πρόφασιν μὲν εἶχε τοῦ Ἀσαὴλ τὴν σφαγὴν, ἀληθῆ δὲ αἰτίαν τὸν φθόνον. ᾔδει γὰρ ὡς τῆς στρατηγικῆς ἄξιος νομισθήσεται τιμῆς, πάντα τῷ βασιλεῖ προσάγων τὸν Ἰσραήλ. ἡ φιλαρχία τοίνυν εἰς τὴν μιαιφονίαν αὐτὸν ἐξώπλισε.

κη. Καὶ ἤκουσε Δαβὶδ μετὰ ταῦ-
τα, καὶ εἶπεν, ἀθῶός εἰμι ἐγὼ καὶ ἡ
βασιλεία μου ἀπὸ Κυρίου, ἀπὸ νῦν καὶ
B ἕως αἰῶνος ἀπὸ τῶν αἱμάτων Ἀβεν-
κθ. νὴρ υἱοῦ Νήρ. Καταντησάτωσαν εἰς
κεφαλὴν Ἰωὰβ καὶ ἐπὶ πάντα οἶκον
τοῦ πατρὸς αὐτοῦ, καὶ μὴ ἐκλίποι ἐκ
τοῦ οἴκου Ἰωὰβ γονοῤῥυὴς, καὶ λεπρὸς,
καὶ κρατῶν σκυτάλην, καὶ πίπτων
ἐν ῥομφαίᾳ, καὶ ἐλαττούμενος ἄρτοις.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ βασιλεὺς ἄριστος ὢν, καὶ τὸν ἀδίκως ἀνῃρημένον ἐθρήνησε, Γ καὶ τὸν ἀδίκως ἀνῃρηκότα πολλαῖς „ὑπέβαλε καὶ παντοδαπαῖς ἀραῖς. ἀθῶος „γάρ φησιν ἐγὼ καὶ ἡ βασιλεία μου ἀπὸ Κυ„ρίου, ἀπὸ τοῦ νῦν καὶ ἕως τοῦ αἰῶνος. αἷμα „Ἀβεννὴρ υἱοῦ Νὴρ ἐπὶ κεφαλὴν Ἰωὰβ, καὶ „ἐπὶ πάντα τὸν οἶκον αὐτοῦ, καὶ μὴ ἐκλίποι „ἐκ τοῦ οἴκου Ἰωὰβ γονοῤῥυὴς, καὶ λεπρὸς, „καὶ κρατῶν σκυτάλην, καὶ πίπτων ἐν ῥομ„φαίᾳ, καὶ ἐλαττούμενος ἄρτων. γονοῤῥυὴς δὲ καὶ λεπρὸς κατὰ τὸν νόμον ἀκάθαρτοι, Δ καὶ τῆς κοινῆς πολιτείας κεχωρισμένοι. σκυτάλῃ δὲ χρῶνται οἱ τὸ σῶμα πεπηρωμένοι. ὅθεν ὁ Ἀκύλας τυφλὸν τὸν τοιοῦτον ὠνόμασεν. ἐπηράσατο τοίνυν τῷ ἐκείνου γένει παντοδαπὴν ἀσθένειαν σώματος, καὶ πενίαν ἐσχάτην, καὶ διὰ ξίφους σφαγήν. (4) ὕστερον δὲ καὶ τοῦτον ἀναιρεθῆναι προσέταξεν.

λ. Ἰωὰβ δὲ καὶ Ἀβεσσὰ ὁ ἀδελ-
E φὸς αὐτοῦ διαπαρετηροῦντο τὸν Ἀβεν-
νὴρ, ἀνθ' ὧν ἐθανάτωσε τὸν Ἀσαὴλ
τὸν ἀδελφὸν αὐτῶν ἐν Γαβαὼν, ἐν τῷ
λα. πολέμῳ. Καὶ εἶπε Δαβὶδ πρὸς Ἰωὰβ
καὶ πρὸς πάντα τὸν λαὸν (5) αὐτοῦ,
διαῤῥήξατε τὰ ἱμάτια ὑμῶν, καὶ πε-
ριζώσασθε σάκκους, καὶ κόπτεσθε ἔμ-
προσθεν Ἀβεννήρ. καὶ ὁ βασιλεὺς Δα-
λβ. βὶδ ἐπορεύετο ὀπίσω τῆς κλίνης. Καὶ
Z θάπτουσι τὸν Ἀβεννὴρ ἐν Χεβρών. καὶ
ἦρεν ὁ βασιλεὺς τὴν φωνὴν αὐτοῦ καὶ
ἔκλαυσεν ἐπὶ τοῦ τάφου αὐτοῦ, καὶ
ἔκλαυσε πᾶς ὁ λαὸς ἐπὶ Ἀβεννήρ.

λγ. Καὶ ἐθρήνησεν ὁ βασιλεὺς
ἐπὶ Ἀβεννὴρ, καὶ εἶπεν, εἰ κατὰ τὸν
θάνατον Νάβαλ ἀποθανεῖται Ἀ-
λδ. βεννήρ; Αἱ χεῖρές σου οὐκ ἐδέθησαν, οἱ
H πόδες σου οὐκ ἐν πέδαις· οὐ προσήγα-
γες ὡς Νάβαλ, ἐνώπιον υἱῶν ἀδικίας
ἔπεσας

(1) Ἀπῆλθεν. αἱ αὐτ. (2) Πρὸς Ἀβεννὴρ ὀπίσω. αἱ αὐτ. (3) Ἐπέστρεψε. αἱ αὐτ.
(4) Καὶ μέντοι καὶ τελευτῶν αὐτὸν ἀναιρεθ. ἢ ἐν Χάλ. ἐκδ. (5) Τὸν μεθ' αὐτ. αἱ αὐτ.

ἔπεσας. καὶ προσέθεντο (1) πᾶς ὁ A λαὸς τοῦ κλαῦσαι αὐτόν.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, εἰ κατὰ θάνατον Νάβαλ ἀποθανεῖται Ἀβεννήρ; Ἐκεῖνος, φησὶν, ὡς ἀπηνὴς, καὶ ἄδικος, καὶ ἀχάριστος, μάλα δικαίως ὑπεβλήθη θεηλάτῳ πληγῇ. ὁ δὲ Ἀβεννὴρ, καὶ ἐν συμβολαίοις (2) ἴσος, καὶ ἐν πολέμοις ἀνδρεῖος. » τοῦτο γὰρ ἐπήγαγεν· αἱ χεῖρές σου οὐκ ἐδέθησαν, οὐδὲ οἱ πόδες σου ἐν πέδαις· ἐνώπιον υἱοῦ ἀδικίας ἔπεσας. οὐ παραταττόμενος, φησὶν, ἡττήθης, οὐδ' ὡς δορυάλωτος ἐπεδήθης· ἀλλ' ὑπόκρισις σοὶ φιλίας ἐπήνεγκε τὴν πληγήν. ὁ μὲν οὖν βασιλεὺς ἀλγήσας, ἐθρήνησεν· ὁ δὲ θρῆνος, τοῦ λαοῦ τὴν εὔνοιαν ηὔξησε.

λε. Καὶ ἦλθε πᾶς ὁ λαὸς περι-
δειπνῆσαι τὸν Δαβὶδ ἄρτοις ἔτι οὔσης
ἡμέρας. καὶ ὤμοσε Δαβὶδ, λέγων,
τάδε ποιήσαι μοι ὁ Θεὸς καὶ τάδε
προσθείη, ὅτι ἐὰν μὴ δύῃ ὁ ἥλιος, οὐ
μὴ γεύσομαι ἄρτου ἢ ἀπὸ παντὸς τι-
λς. νός. Καὶ ἔγνω πᾶς ὁ λαὸς, καὶ ἤρε-
σεν ἐνώπιον αὐτῶν πάντα ὅσα ἐποίη-
λζ. σεν ὁ βασιλεὺς ἐνώπιον τοῦ λαοῦ. Καὶ
ἔγνω πᾶς ὁ λαὸς καὶ πᾶς Ἰσραὴλ ἐν
τῇ ἡμέρᾳ ἐκείνῃ, ὅτι οὐκ ἐγένετο πα-
ρὰ τοῦ βασιλέως τοῦ θανατῶσαι τὸν
Ἀβεννὴρ υἱὸν Νήρ.

** ΙΩΣΗΠΟΥ. Οὕτως αὐτὸν ὁ Ἀβεννήρου συνέχεε θάνατος, ὡς μηδὲ τροφὴν ἀναγκαζόντων αὐτὸν τῶν ἑταίρων λαβεῖν· ἀλλ' ὤμοσε γεύσασθαι μηδενὸς ἄχρις ἡλίου δυσμῶν. ταῦτ' εὔνοιαν αὐτῷ παρὰ τοῦ πλήθους ἐγέννησεν. οἵ τε γὰρ πρὸς τὸν Ἀβεννήρον φιλοστόργως διακείμενοι σφόδρα, αὐτοῦ τὴν πρὸς αὐτὸν τιμὴν ἀποθανόντα καὶ φυλακὴν τῆς πίστεως ἠγάπησαν· ὅτι πάντων αὐτὸν ἀξιώσειε τῶν νομιζομένων ὡς συγγενῆ καὶ φίλον, ἀλλ' οὐχ ὡς ἐχθρὸν γενόμενον ὑβρίσειεν ἀκόσμῳ ταφῇ καὶ ἠμελημένῃ τότε. ἀλλ' ὡς πᾶν ἐπὶ χρηστῷ καὶ ἡμέρῳ τὴν φύσιν ἔχαιρε, τὴν αὐτὴν ἑκάστου λογιζομένου πρόνοιαν εἰς αὐτὸν τοῦ βασιλέως ἐν τοῖς ὁμοίοις, ὁποίων τυγχάνοντα τὸν Ἀβεννήρου νεκρὸν ἑώρα. πρὸς τούτοις οὖν μάλιστα Δαβίδην γλίχεσθαι δόξης ἀγαθῆς ποιούμενον πρόνοιαν ἦν εἰκὸς, ὡς οὐδεὶς ὑπενόησεν ὑπ' αὐτοῦ φονευθῆναι τὸν Ἀβέννηρον.

λη. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς B τοὺς παῖδας αὐτοῦ, οὐκ οἴδατε, ὅτι ἡγούμενος μέγας πέπτωκεν ἐν τῇ ἡμέρᾳ ταύτῃ ἐν τῷ Ἰσραήλ;

** ΙΩΣΗΠΟΥ. Ἔλεξε δὲ καὶ πρὸς τὸ πλῆθος, ὡς αὐτῷ μὲν οὐχ ἡ τυχοῦσα γένοιτο λύπη, ἀνδρὸς ἀγαθοῦ τετελευτηκότος, οὐ μικρὰ δὲ τοῖς Ἑβραίων πράγμασι βλάβη, στερηθέντων αὐτοῦ καὶ σώζειν βουλαῖς τε ἀρίσταις καὶ ῥώμῃ χειρῶν ἐν τοῖς πολεμικοῖς ἔργοις δυναμένου.

Γ

λθ. Καὶ ὅτι ἐγώ εἰμι σήμερον συγγενὴς, καὶ καθεσταμένος ὑπὸ τοῦ βασιλέως; οἱ δὲ ἄνδρες οὗτοι υἱοὶ Σαρουΐα (3) σκληρότεροί μου εἰσίν. ἀνταποδῷ Κύριος τῷ ποιοῦντι τὰ πονηρὰ κατὰ τὴν κακίαν αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Θεὸς μὲν, εἶπεν, ᾧ μέλει πάντων, οὐκ ἐάσει τοῦτον ὑμῖν ἀνεκ- Δ δίκητον. ἐπιστάσθω δὲ, ὡς οὐδὲν ἐγὼ Ἰώαβον καὶ Ἀβεσσαῖον τοὺς Σαρουΐας παῖδας ποιεῖν ἱκανός εἰμι, πλέον ἐμοῦ δυναμένους, ἀλλ' ἀποδώσει τὴν ὑπὲρ τῶν τετολμημένων αὐτοῖς ἀμοιβὴν τὸ θεῖον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὶ δήποτε μετὰ τὴν ἄδικον σφαγὴν οὐκ ἀνεῖλε τὸν Ἰωάβ; » Αὐτὸς ἐν τοῖς λόγοις δεδήλωκεν. οὗτοι γάρ, » φησιν οἱ ἄνδρες οἱ υἱοὶ Σαρουΐα σκληρότεροί μου εἰσιν. ὅθεν αὐτοὺς τῷ Θεῷ παρέδω- E » κεν· ἀνταποδῷ Κύριος τῷ ποιοῦντι τὰ πο- » νηρὰ κατὰ τὴν κακίαν αὐτοῦ. ἔνθα γὰρ αὐτῷ ῥᾴδιον χρήσασθαι τῷ δικαίῳ θυμῷ, οὐδεμίαν ποιεῖται φειδώ.

ΚΕΦ. Δ.

α. Καὶ ἤκουσεν Ἰεβοσθὲ υἱὸς
Σαοὺλ, ὅτι τέθνηκεν Ἀ-
βεννὴρ ἐν Χεβρὼν, καὶ ἐξε-
λύθησαν αἱ χεῖρες αὐτοῦ, καὶ πάντες οἱ
β. ἄνδρες Ἰσραὴλ παρείθησαν. Καὶ δύω
ἄνδρες ἡγούμενοι συστρεμμάτων τῷ Ἰε-
βοσθὲ υἱῷ Σαούλ· ὄνομα τῷ ἑνὶ Βαανὰ,
καὶ ὄνομα τῷ δευτέρῳ Ῥηχὰβ, υἱοὶ
Ῥεμμὼν τοῦ Βηρωθαίου ἐκ τῶν υἱῶν Βε-
νιαμίν· ὅτι καὶ Βηρὼθ ἐλογίζετο τοῖς
γ. υἱοῖς Βενιαμίν. Καὶ ἀπέδρασαν οἱ Βη-
ρωθαῖοι εἰς Γεθαὶμ, καὶ ἦσαν ἐκεῖ πα-
ροικοῦντες ἕως τῆς ἡμέρας ταύτης.

** ΙΩΣΗΠΟΥ. Ἀκούσας τὴν τελευτὴν αὐτοῦ ὁ Σαούλου παῖς Ἰέβοσθος, οὐ πρᾴως Z ἤνεγκεν, ἀνδρὸς ἐστερημένος συγγενοῦς, καὶ τὴν βασιλείαν αὐτῷ παρασχόντος. ἀλλ' ὑπερεπάθησε, καὶ λίαν αὐτὸν ὠδύνησεν ὁ Ἀβεννήρου θάνατος. οὐκ ἐπεβίωσε δὲ οὐδὲ αὐτὸς πολὺν χρόνον, ἀλλ' ὑπὸ τῶν Ἱερέμμωνος υἱῶν· Βαναόθα, τῷ δὲ ἑτέρῳ Θάννος ὄνομα ἦν· ἐπιβουλευθεὶς ἀπέθανεν. οὗτοι γὰρ ὄντες τὸ μὲν γένος Βενιαμῖται, τοῦ δὲ πρώτου τάγματος, λογισάμενοι δὲ, ὡς ἂν ἀποκτείνωσι τὸν Ἰέβοσθον, μεγάλων παρὰ H Δαβίδου τεύξονται δωρεῶν, καὶ στρατηγίας, ἤ τινος ἄλλης πίστεως τὸ ἔργον αὐτοῖς ἔσται, παρὰ τὸ δωμάτιον μόνον εὑρόντες μεσημβρίζοντα

(1) Συνήχθη. αἱ αὐτ. (2) Συμβουλαῖς. ἡ ἐν Χάλ. ἔκδ. (3) Σαρουίας. αἱ αὐτ.

βρίζοντα καὶ κοιμώμενον τὸν Ἰέβοσθον, καὶ A
μήτε τοὺς φύλακας παρόντας, μήτε τὴν
θυρωρὸν ἐγρηγορυῖαν, ἀλλὰ καὶ αὐτὴν ὑπό-
τε τοῦ κόπου καὶ τῆς ἐργασίας, ἣν μετε-
χειρίζετο, καὶ τοῦ καύματος εἰς ὕπνον κα-
ταπεσοῦσαν, παρελθόντες εἰς τὸ δωμάτιον,
ἐν ᾧ συνέβαινε κατακεκοιμῆσθαι τὸν Σαού-
λου παῖδα, κτείνουσιν αὐτόν.

δ. Καὶ τῷ Ἰωνάθαν υἱῷ Σαοὺλ υἱὸς
πεπληγὼς τοὺς πόδας υἱὸς ἐτῶν πέν- B
τε, καὶ οὗτος ἐν τῷ ἐλθεῖν τὴν ἀγγελίαν
Σαοὺλ καὶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ ἐξ Ἰσ-
ραὴλ, καὶ ἦρεν αὐτὸν ἡ τιθηνὸς αὐτοῦ,
καὶ ἔφυγε. καὶ ἐγένετο ἐν τῷ σπεύδειν
αὐτὴν ἀναχωρεῖν, καὶ ἔπεσε καὶ ἐχώλα-
νε, (1) καὶ ὄνομα αὐτῷ Μεμφιβοσθέ.

ε. Καὶ ἐπορεύθησαν οἱ υἱοὶ Ῥεμ-
μὼν τοῦ Βηρωθαίου, Ῥηχὰβ καὶ Βαανὰ,
καὶ εἰσήλθοσαν ἐν τῷ καύματι τῆς Γ
ἡμέρας εἰς οἶκον Ἰεβοσθὲ, καὶ αὐτὸς
ἐκάθευδεν ἐν τῇ κοίτῃ τῆς μεσημ-
ϛ. βρίας. Καὶ ἰδοὺ ἡ θυρωρὸς τοῦ οἴκου
ἐκάθαιρε πυροὺς, καὶ ἐνύσταξε καὶ ἐκά-
θευδε· καὶ Ῥηχὰβ καὶ Βαανὰ οἱ ἀδελ-
ζ. φοὶ διέλαθον. Καὶ εἰσῆλθον εἰς τὸν
οἶκον. καὶ Ἰεβοσθὲ ἐκάθευδεν ἐπὶ τῆς
κλίνης αὐτοῦ ἐν τῷ κοιτῶνι αὐτοῦ. καὶ Δ
τύπτουσιν αὐτὸν, (2) καὶ ἀφαιροῦσι τὴν
κεφαλὴν αὐτοῦ· καὶ ἔλαβον τὴν κε-
φαλὴν αὐτοῦ, καὶ ἀπῆλθον ὁδὸν τὴν
κατὰ δυσμὰς ὅλην τὴν νύκτα.

✱✱ ΝΕΙΛΟΥ. Τί δὲ καὶ ἡ κατὰ τὸν
Ἰεβουθὲ ἱστορία ἡμᾶς οὐ παιδεύει; δηλαδὴ
μὴ πεφορτισμένως ἐπέχεσθαι τῶν σωμα-
τικῶν, μηδὲ τῇ αἰσθήσει τὴν ἑαυτῶν ἐγ-
χειρίζειν φυλακήν. οὗτος γὰρ βασιλεύς ὢν, E
καὶ ἐν τῷ ταμείῳ ἀναπαυόμενος, τῇ ἑαυτοῦ
γυναικὶ, (3) φησὶ, θυρωρεῖν ἐπέτρεψεν.
ἐλθόντες δὲ οἱ περὶ τὸν Ῥαχὰν, καὶ εὑρόν-
τες αὐτὴν πυροὺς καθαίρουσαν, καὶ νυστά-
ζουσαν, διαλαθόντες εἰσῆλθον, καὶ ἀνεῖ-
λον τὸν Ἰεβουθὲ, καὶ αὐτὸν εὑρόντες κα-
θεύδοντα. πάντα γὰρ ὑπνοῖ καὶ νοῦς καὶ
ψυχὴ καὶ διάνοια καὶ αἴσθησις, τῶν σωμα-
τικῶν κρατούντων. τὸ γὰρ τὴν θυρωρὸν
κεκαθαρκέναι πυροὺς δείκνυσι τὸ ἐπιμελῶς Z
προσηχολῆσθαι τὴν διάνοιαν τοῖς σωμα-
τικοῖς, καὶ οὐ παρέργως, ἀλλὰ μετά τινος
σπουδῆς τὴν τούτων ἐπιτηδεῦσαι καθαρότη-
τα. ὅτι γὰρ οὐκ ἐν ἱστορίας εἴδει τοῦτο διδάσ-
κει ἡ Γραφὴ, δῆλον ἐκεῖθεν· πῶς γὰρ βα-
σιλεὺς γυναῖκα θυρωρὸν εἶχεν, ὀφείλων
παρὰ πλήθους δορυφορεῖσθαι στρατιωτῶν,
καὶ πᾶσαν περὶ αὐτὸν τὴν τοῦ ἀξιώματος
ἔχειν σκηνήν; ἢ πῶς οὕτως ἐνδεὴς, ὡς δι'
αὐτῆς καθαίρειν τοὺς πυρούς; ἀλλὰ πολλά- H
κις τῇ ἱστορίᾳ μίγνυται τὸ παράλογον, διὰ
τὴν τῶν σημαινομένων ἀλήθειαν. ὁ γὰρ
ἑκάστου νοῦς καθάπερ βασιλεὺς ἔσω που δια-
τρίβει, θυρωρὸν τῶν αἰσθήσεων ἔχων τὴν
διάνοιαν· ἥτις ὅταν τοῖς σωματικοῖς ἑαυ-
τὴν ἐγχειρίσῃ· σωματικὸν δὲ τὸ καθαί-
ρειν πυρούς· εὐχερῶς διαλαθόντες οἱ ἐπί-
βουλοι θανατοῦσι τὸν νοῦν.

η. Καὶ ἤνεγκαν τὴν κεφαλὴν Ἰε-
βοσθὲ τῷ Δαβὶδ εἰς Χεβρὼν, καὶ εἶπαν
πρὸς τὸν βασιλέα, ἰδοὺ ἡ κεφαλὴ Ἰε-
βοσθὲ υἱοῦ Σαοὺλ τοῦ ἐχθροῦ σου, ὃς ἐζή-
τει τὴν ψυχήν σου, καὶ ἔδωκε Κύριος
τῷ κυρίῳ ἡμῶν τῷ βασιλεῖ ἐκδίκησιν
τῶν ἐχθρῶν αὐτοῦ, ὡς ἡ ἡμέρα αὕτη,
ἐκ Σαοὺλ τοῦ ἐχθροῦ σου καὶ ἐκ τοῦ σπέρ-
θ. ματος αὐτοῦ. Καὶ ἀπεκρίθη Δαβὶδ
τῷ Ῥηχὰβ καὶ τῷ Βαανὰ ἀδελφῷ
αὐτοῦ υἱοῖς Ῥεμμὼν τοῦ Βηρωθαίου, καὶ
εἶπεν αὐτοῖς, ζῇ Κύριος, ὃς ἐλυτρώ-
σατο τὴν ψυχήν μου ἐκ πάσης θλί-
ι. ψεως, Ὅτι ὁ ἀπαγγείλας μοι ὅτι
τέθνηκε Σαοὺλ, καὶ αὐτὸς ἦν ὡς εὐαγ-
γελιζόμενος ἐνώπιόν μου, καὶ κατέσχον
αὐτὸν καὶ ἀπέκτεινα αὐτὸν ἐν Σικε-
ια. λὰγ, ᾧ ἔδει με δοῦναι εὐαγγέλια. Καὶ
νῦν ἄνδρες πονηροὶ ἀπεκτάγκασιν ἄν-
δρα δίκαιον ἐν τῷ οἴκῳ αὐτοῦ ἐπὶ τῆς
κοίτης αὐτοῦ. καὶ νῦν ἐκζητήσω τὸ
αἷμα αὐτοῦ ἐκ χειρὸς ὑμῶν, καὶ ἐξο-
λοθρεύσω ὑμᾶς ἐκ τῆς γῆς.

ιβ. Καὶ ἐνετείλατο Δαβὶδ τοῖς
παιδαρίοις αὐτοῦ, καὶ ἀποκτείνουσιν αὐ-
τοὺς, καὶ κολοβοῦσι τὰς χεῖρας αὐτῶν
καὶ τοὺς πόδας αὐτῶν, καὶ ἐκρέμασαν
αὐτοὺς ἐπὶ τῆς κρήνης ἐν Χεβρὼν, καὶ
τὴν κεφαλὴν Ἰεβοσθὲ ἔθαψαν ἐν
τῷ τάφῳ Ἀβεννὴρ υἱοῦ Νὴρ.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Αὐτίκα γοῦν τοὺς
τὸν Μεμφιβοσθὲ πεφονευκότας, καὶ τὴν
ἐκείνου κομίσαντας κεφαλὴν, ἀκρωτηριά-
σας ἐσταύρωσε· καίτοι νενομικότας (4) διὰ
τῆς ἀναιρέσεως ἐκείνου πᾶσαν αὐτῷ προσά-
γειν τοῦ Ἰσραὴλ τὴν βασιλείαν. ἀλλ' ἐκείνους
μὲν οὕτως ἀνεῖλε· τὴν δὲ τοῦ δυσμενοῦς βασι-
λέως κεφαλὴν ἐντίμως ταφῇ παρέδωκε.

✱✱ ΝΕΙΛΟΥ. Τοὺς τοῦ Ἰεβοσθὲ ἀναιρέ-
τας ὁ μακάριος φονεύσας Δαβὶδ, καὶ χεῖ-
ρας τούτων καὶ πόδας ἀποκόψας, ἐπὶ τῆς
κρήνης καὶ ἐπὶ τοῦ ὕδατος ἐκρέμασε. ση-
μαίνει διὰ τούτων, ὅτι τῷ κατὰ Χριστὸν γι-
νομένῳ βαπτίσματι ἀκρωτηριάζονται καὶ
ἀναιροῦνται οἱ πρὸ τῆς πίστεως ἡμᾶς δουλω-
σάμενοι, καὶ τὰς ψυχὰς ἡμῶν ἀποκτείναν-
τες Δαίμονες.

ΚΕΦ.

(1) Ἐχωλάνθη. αἱ αὐτ. (2) Καὶ θανατοῦσιν αὐτὸν, καὶ ἀφ. αἱ αὐτ.

(3) Θυρωρὸν αὐτὴν εἶναί φησιν ἡ θεία Γραφὴ, ὡσαύτως καὶ ὁ Ἰώσηπος. πόθεν δ' ὁ Νεῖλος παρέ-
λαβε καὶ γυναῖκα αὐτοῦ εἶναι, ἄδηλον. (4) Πᾶσαν αὐτῷ προσάγειν τοῦ Ἰσραὴλ τὴν βασι-
λείαν τῇ τοῦ βασιλεύσαντος ἐκείνων σφαγῇ. ἀλλ' ἐκείν. κτ. ἡ ἐν Χάλ. ἔκδ.

ΚΕΦ. Ε.

α. Καὶ παραγίνονται πᾶσαι αἱ Φυλαὶ Ἰσραὴλ πρὸς Δαβὶδ εἰς Χεβρὼν, λέγοντες, (1) ἰδοὺ ὀστᾶ σου καὶ σάρκες σου ἡμεῖς.

β. Καὶ ἐχθὲς καὶ τρίτης ὄντος Σαοὺλ βασιλέως ἐφ' ἡμᾶς, σὺ ἦσθα εἰσάγων καὶ ἐξάγων τὸν Ἰσραήλ. καὶ εἶπε Κύριος πρὸς σὲ, σὺ ποιμανεῖς τὸν λαόν μου τὸν Ἰσραήλ.

** ΙΩΣΗΠΟΥ. Ἧκον ἅπαντες οἱ τοῦ λαοῦ τῶν Ἑβραίων πρῶτοι πρὸς Δαυΐδην εἰς Χεβρῶνα, οἵτε χιλίαρχοι καὶ ἡγεμόνες αὐτῶν, καὶ παρεδίδοσαν αὐτοὺς, τήν τε εὔνοιαν ἣν ἔτι καὶ Σαούλου ζῶντος εἶχον πρὸς αὐτὸν ὑπομιμνήσκοντες, καὶ τὴν τιμὴν ἣν γενόμενον τότε χιλίαρχον τιμῶντες οὐ διέλιπον· ὅτι τε βασιλεὺς ὑπὸ τοῦ Θεοῦ διὰ Σαμουήλου τοῦ προφήτου χειροτονηθείη.

** ΚΥΡΙΛΛΟΥ. Πλειστάκις τὸ γράμμα τὸ ἱερὸν Δαβὶδ ὀνομάζει τὸν Κύριον ἡμῶν Ἰησοῦν τὸν Χριστὸν, ἅτε δὴ καὶ ἐκ σπέρματος αὐτοῦ κατὰ σάρκα γεγεννημένον. γέγραπται τοίνυν· καὶ παραγίνονται πᾶσαι αἱ Φυλαὶ Ἰσραὴλ πρὸς Δαβὶδ εἰς Χεβρὼν, καὶ εἶπαν αὐτῷ, ἰδοὺ ὀστᾶ σου καὶ σάρκες σου ἡμεῖς. καὶ χθὲς καὶ τρίτην ὄντος Σαοὺλ βασιλέως ἐφ' ἡμᾶς, σὺ ἦσθα ὁ εἰσάγων καὶ ἐξάγων τὸν Ἰσραήλ. καὶ εἶπε Κύριος πρὸς σὲ, σὺ ποιμανεῖς τὸν λαόν μου τὸν Ἰσραήλ. σὺ ἔσῃ ἡγούμενος ἐπὶ τὸν Ἰσραήλ. συνιεὶς ὅπως διωμολογήκασιν ἐναργῶς, καὶ ὀστᾶ καὶ σάρκες εἰσὶν αὐτοῦ; (2) οἱ γάρ τοι τὴν πίστιν τὴν εἰς Χριστὸν προσιέμενοι τῆς μετὰ σαρκὸς οἰκονομίας οὐκ ἀγνοοῦσι τὸν τρόπον· ὁμολογοῦσι δὲ μᾶλλον, ὅτι Θεὸς ὢν Φύσει, γέγονεν ἄνθρωπος. οὕτω γὰρ ἂν εἶεν αὐτοῦ καὶ ὀστᾶ καὶ σάρκες, κατά γε Φημὶ τὸ ἐν ἀνθρωπότητι συγγενές. προσεπάγουσι δὲ ὅτι καὶ βασιλεύοντος τοῦ Σαοὺλ, αὐτὸς ἦν ὁ ἄγων καὶ Φέρων τὸν Ἰσραήλ. ἦν γὰρ καὶ πρὸ τῆς ἐνανθρωπήσεως ὡς Θεὸς τὸ κατὰ πάντων οὐσιωδῶς ἀνημμένος κράτος, ταλαντεύων τε τὰ ἀνθρώπινα, καὶ ἀῤῥήτοις νεύμασι πρὸς τὸ εἶναι συνέχων τοὺς τῆς παρ' αὐτοῦ θεσπίσμασιν εὖ μάλα κατεζευγμένους. ὅτι δὲ κατ' εὐδοκίαν καὶ θέλησιν τοῦ Θεοῦ καὶ πατρὸς βεβασίλευκεν ἐπὶ τὸν Ἰσραὴλ ἀραρότως πιστεύουσι, λέγοντες· Κύριος εἶπε πρὸς σὲ, σὺ ποιμανεῖς τὸν λαόν μου τὸν Ἰσραήλ, καὶ ἔσῃ εἰς ἡγούμενον. οὕτω που Φησὶ καὶ ὁ θεσπέσιος Πέτρος· σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ τοῦ ζῶντος. (Ματθ. 16. 16.) καὶ μὴν καὶ Ναθαναὴλ, ᾧ καὶ αὐτὸς τὸ εἰλικρινὲς καὶ γνήσιον προσμεμαρτύρηκεν ὁ Χριστός· σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ, Φησὶ, σὺ βασιλεὺς εἶ τοῦ Ἰσραήλ. (Ἰωάν. 1.) ἔφη δέ που καὶ αὐτὸς διὰ τῆς τοῦ ψάλλοντος λύρας· ἐγὼ δὲ κατεστάθην βασιλεὺς ὑπ' αὐτοῦ· (Ψαλ. 2. 6.) δῆλον δὲ ὅτι τοῦ Θεοῦ καὶ πατρός· ἐπὶ Σιὼν ὄρος τὸ ἅγιον αὐτοῦ, διαγγέλλων τὸ πρόσταγμα Κυρίου. πλὴν οὐκ ἀσυνήθες
B ἦν τὸ βασιλεύειν αὐτῷ. Θεὸς γὰρ ὢν Φύσει, καὶ σύνθρονος τῷ γεννήσαντι, πᾶσαν ὑπὸ πόδας ἔχει τὴν κτίσιν.

γ. Καὶ ἔρχονται πάντες οἱ πρεσβύτεροι Ἰσραὴλ πρὸς τὸν βασιλέα εἰς Χεβρὼν, καὶ διέθετο αὐτοῖς ὁ βασιλεὺς Δαβὶδ διαθήκην ἐν Χεβρὼν ἐνώπιον Κυρίου· καὶ χρίουσι τὸν Δα-
Γ βὶδ εἰς βασιλέα ἐπὶ πάντα Ἰσραήλ·

δ. Υἱὸς τριάκοντα ἐτῶν Δαβὶδ ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ τεσσαράκοντα

ε. ἔτη ἐβασίλευσεν. Ἑπτὰ ἔτη καὶ ἓξ μῆνας ἐβασίλευσεν ἐν Χεβρὼν ἐπὶ τὸν Ἰούδαν, καὶ τριάκοντα (3) ἔτη ἐβασίλευσεν ἐπὶ πάντα Ἰσραὴλ καὶ Ἰούδαν ἐν Ἱερουσαλήμ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν ὁ Δαβὶδ τρίτον ἐχρίσθη; Τῆς μὲν βασιλικῆς
Δ χρίσεως διὰ τοῦ Σαμουὴλ ἠξιώθη· τὰς δὲ τοῦ λαοῦ χειροτονίας, χρίσεις ἡ ἱστορία καλεῖ. προτέρα μὲν γὰρ αὐτὸν ἐχειροτόνησεν ἡ Ἰούδα Φυλή. ἑπτὰ δὲ ἔτεσιν ὕστερον καὶ αἱ ἄλλαι Φυλαὶ κατεδέξαντο βασιλέα. τοῦτο δὲ καὶ ἡ ἱστορία δεδήλωκε· καὶ χρίουσι τὸν Δαβὶδ εἰς βασιλέα ἐπὶ πάντα Ἰσραήλ. εἶτα ἐπήγαγε· τριάκοντα ἐτῶν ἐν τῷ βασιλεύειν αὐτὸν Δαβὶδ, καὶ τεσσαράκοντα
E ἔτη ἐβασίλευσεν· ἐν Χεβρὼν καὶ ἐπὶ Ἰούδαν ἔτη ἑπτὰ καὶ μῆνας ἕξ· καὶ τριάκοντα (4) ἔτη καὶ μῆνας ἓξ ἐπὶ πάντα Ἰσραὴλ καὶ Ἰούδαν ἐν Ἱερουσαλήμ.

** ΚΥΡΙΛΛΟΥ. Λέγεται δὲ κεχειροτονῆσθαι βασιλεὺς, διά τοι τὸ κατανεῦσαι λοιπὸν τῆς ἑαυτοῦ βασιλείας ἐπαφεῖναι τὸν ζυγὸν τοῖς ἔξω ποτὲ καὶ ὑφ' ἑτέρῳ κειμένοις. κεκράτηκε γὰρ τῶν ἐπὶ τῆς γῆς ἐκ πλεονεξίας ὁ Σατανᾶς. ὁμολογήσαντες δὲ
Z τὴν πίστιν, δέχονται παρ' αὐτοῦ διαθήκην ἐν Χεβρών. καὶ τί τὸ ἐν Χεβρών ἐστι; δηλοῖ τοιγαροῦν ἡ λέξις τὴν ἕνωσιν. ἐν Χριστῷ δὲ τὰ πάντα γεγόνασιν ἓν, καὶ συνήφθη μὲν τὰ ἄνω τοῖς κάτω, καὶ τοῖς ἄνω τὰ κάτω. συνδεδραμήκασι δὲ πρὸς ἑνότητα καὶ ὁμοψυχίαν διὰ τῆς πίστεως οἵ τε ἐξ αἵματος Ἰσραὴλ, καὶ μὴν καὶ οἱ πάλαι τῶν εἰδώλων θεραπευταί. πλὴν ὅτι καὶ γαῦρον αὐτῷ τὸν

(1) Καὶ εἶπαν αὐτῷ. αἱ εἰρημ. ἐκδόσ.

(2) Οὕτω μὲν ἐν Τόμ. 6. σελ. 282. ὀρθότερ. δὲ οὕτως· ἐναργῶς, ὅτι ὀστᾶ καὶ σάρκες εἰσὶν αὐτοῦ.

(3) Τριάκοντα τρία. αἱ εἰρημ. ἐκδόσ. ὁ δὲ Ἰώσηπ. (ἐν Βιβλ. 7. κεφ. 15. περὶ Ἰουδαϊκ. ἀρχαιολ.) οὕτω· ἔτη μὲν βιώσας ἑβδομήκοντα, βασιλεύσας δὲ ἑπτὰ μὲν ἐν Χεβρῶνι τῆς Ἰούδα Φυλῆς καὶ μῆνας ἕξ, ἐν Ἱεροσολύμοις δὲ ἁπάσης τῆς χώρας τρία καὶ τριάκοντα.

(4) Καὶ ἐν Ἱερουσαλὴμ τριάκοντα καὶ δύω ἔτη καὶ μῆνας ἓξ ἐπὶ πάντα Ἰσραὴλ καὶ Ἰούδαν. ἡ ἐν Χάλ. ἐκδ. ὀρθῶς.

τὸν αὐχένα, τῶν ἐξ Ἰσραὴλ ἐπανατείναντές τινες, κακοὶ κακῶς διολώλασιν, ἐξ αὐτῶν οὐδὲν ἧττον τῶν ἐφεξῆς εἰσόμεθα.

ς. Καὶ ἀπῆλθε Δαβὶδ καὶ πάντες οἱ ἄνδρες οἱ μετ' αὐτοῦ εἰς Ἱερουσαλὴμ πρὸς τὸν Ἰεβουσαῖον τὸν κατοικοῦντα τὴν γῆν. καὶ ἐῤῥέθη τῷ Δαβὶδ, οὐκ εἰσελεύσῃ ὧδε, ὅτι ἀντέστησαν οἱ τυφλοὶ καὶ χωλοὶ, λέγοντες, ὅτι οὐκ εἰσελεύσεται Δαβὶδ ὧδε.

** ΙΩΣΗΠΟΥ. Τῶν κατοικούντων τὴν πόλιν Ἰεβουσαίων· γένος δ' εἰσὶν οὗτοι Χαναναίων· ἀποκλεισάντων αὐτῷ τὰς πύλας, καὶ τοὺς πεπηρωμένους τὰς ὄψεις καὶ τὰς βάσεις, καὶ πᾶν τὸ λελωβημένον στησάντων ἐπὶ χλεύῃ τοῦ βασιλέως ἐπὶ τοῦ τείχους, καὶ λεγόντων κωλύειν αὐτὸν εἰσελθεῖν τοὺς ἀναπήρους· ταῦτα δὲ ἔπραττον καταφρονοῦντες τῇ τῶν τειχῶν ὀχυρότητι· ὀργισθεὶς, πολιορκεῖν ἤρξατο τὰ Ἱεροσόλυμα.

** ΚΥΡΙΛΛΟΥ. Ἄθρει δὴ οὖν, ἄθρει τῶν ἀνθισταμένων αὐτῷ πληθύν. χωλοὶ δὲ ἦσαν καὶ τυφλοί. μεμνήμεθα δ' εἰπόντος Χριστοῦ περί τε τῶν Γραμματέων καὶ Φα-
Ματθ. 15. 14. ρισαίων· ἄφετε αὐτούς· τυφλοί εἰσιν ὁδηγοὶ τυφλῶν. καὶ μὴν καὶ διὰ φωνῆς τοῦ
Ψαλ. 17. 45. Δαβὶδ περὶ αὐτῶν· υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι, υἱοὶ ἀλλότριοι ἐπαλαιώθησαν καὶ ἐχώλαναν ἀπὸ τῶν τρίβων αὐτῶν. ἀπαράδεκτον γὰρ ἐποιοῦντο Χριστὸν οἱ μήτε ὀρθοποδεῖν εἰδότες, μήτε μὴν εἰς νοῦν καὶ καρδίαν τὸ νοητὸν καὶ θεῖον εἰσοικισάμενοι φῶς.

ζ. Καὶ κατελάβετο Δαβὶδ τὴν περιοχὴν Σιών· αὕτη ἡ πόλις τοῦ Δαβίδ.

η. Καὶ εἶπε Δαβὶδ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, πᾶς τύπτων Ἰεβουσαῖον, ἁπτέσθω ἐν παραξιφίδι καὶ τοὺς τυφλοὺς καὶ τοὺς χωλοὺς τοὺς μισοῦντας ψυχὴν Δαβίδ. διὰ τοῦτο ἐροῦσι, τυφλοὶ καὶ χωλοὶ οὐκ εἰσελεύσονται εἰς οἶκον Κυρίου.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ, ἁπτέσθω ἐν παραξιφίδι, ὁ Σύμμαχός φησιν, ὃς ἂν τύψῃ Ἰεβουσαῖον, καὶ κατακρατήσῃ ἐπάλξεως· ὁ δὲ Ἀκύλας, πᾶς πατάσσων Ἰεβουσαῖον καὶ ἅψεται ἐν κρουνισμῷ. δηλοῖ δὲ τὸ δεῖν σφοδρῶς πατάξαι καὶ πρὸς αἵματος ἔκχυσιν. (1)

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, πᾶς ὁ τύπτων Ἰεβουσαῖον, ἁπτέσθω ἐν παραξιφίδι; Ἑβραῖός τις εἶπε τὸ, πᾶς τύπτων Ἰεβουσαῖον ἁπτέσθω ἐν παραξιφίδι, ἐκδεδοκέναι τὸν Ἀκύλαν, ἁπτόμενος ἐν τῷ κρουνῷ. τοῦτο λέγων, ὅτι φειδόμενος ὁ Δα-

A βὶδ τοῦ τείχους τῆς πόλεως, διὰ τοῦ ὁλκοῦ τοῦ ὕδατος ἐπέταττε τοῖς ὁπλίταις εἴσω παρελθεῖν τῆς πόλεως. οἱ γὰρ Ἰεβουσαῖοι μέχρις ἐκείνου τοῦ καιροῦ κατεῖχον τὴν Ἱερουσαλήμ. παραυτίκα γοῦν τοῦ ἐμφυλίου πολέμου παυσαμένου, κατὰ τούτων ἐστράτευσε πρῶτον ὁ βασιλεύς. ἐκεῖνοι δὲ καταφρονοῦντες τῆς στρατιᾶς, τοὺς τὸ σῶμα πεπηρωμένους ἐπὶ τὸ τεῖχος ἀναβιβάσαντες ἐπιτωθάζειν ἐκέλευον, καὶ λέγειν, ὡς οὐκ εἰσε-
B λεύσεται Δαβὶδ εἰς τὴν πόλιν. ἑλὼν τοιγαροῦν τὴν ἀκρόπολιν· ταύτην γὰρ λέγει περιοχήν· ἤλαυνε κατὰ κράτος τοὺς πολεμίους, εἰς ἀνδρείαν παραθήγων τοὺς στρατιώτας, καὶ πάντας ἄρδην κατακοντίζειν κελεύων, κατὰ τὴν ἀρχῆθεν τοῦ Θεοῦ γεγενημένην ἀπόφασιν.

** ΩΡΙΓΕΝΟΥΣ. Ἰεβουσαῖοι φιλόπτωχον τὸν Δαβὶδ, (2) ὑπέβαλον ἀπὸ τοῦ τείχους ὑβρίζειν αὐτὸν τοὺς χωλοὺς καὶ τυφλούς.
Γ ὁ δὲ κρατήσας τὴν Ἱερουσαλὴμ, οὐ μόνον οὐκ ἐκάκωσεν αὐτοὺς, ἀλλ' ἔννομον ἔθετο τοῖς αὐτοῦ στρατιώταις, εἴ τις ἀνέλοι τυφλὸν Ἰεβουσαῖον ἢ χωλὸν, ἁπτέσθω ἐν παραξιφίδι· εἴτουν ἀναιρείσθω. εἰ γὰρ καὶ ἐμίσουν τὴν ψυχὴν Δαβὶδ, ἀλλὰ φειδοῦς ἔτυχον.

θ. Καὶ ἐκάθισε Δαβὶδ ἐν τῇ περιοχῇ, καὶ ἐκλήθη αὕτη ἡ πόλις τοῦ Δαβίδ. καὶ ᾠκοδόμησεν αὐτὴν πό-
Δ λιν κύκλῳ ἀπὸ τῆς ἄκρας, καὶ τὸν οἶκον αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ἐκβαλὼν τοὺς Ἰεβουσαίους ἐκ τῆς ἄκρας, καὶ αὐτὸς ἀνοικοδομήσας τὰ Ἱεροσόλυμα, πόλιν αὐτὴν Δαυΐδου προσηγόρευσε, καὶ τὸν ἅπαντα χρόνον ἐν αὐτῇ διέτριβε βασιλεύων.

* ΘΕΟΔΩΡΙΤΟΥ. Νενικηκὼς δὲ, καὶ τῶν ἀλλογενῶν ἐλευθερώσας τὴν πόλιν,
E Δαβὶδ αὐτὴν προσηγόρευσε πόλιν. οὕτω δὲ τὴν Σιὼν ὀνομάζει, τουτέστι τὴν ἄνω πόλιν. τοῦτο γὰρ καὶ ἡ ἱστορία φησί· καὶ ἐκάθισε Δαβὶδ ἐν τῇ περιοχῇ, καὶ ἐκλήθη αὕτη ἡ πόλις Δαβίδ. καὶ ᾠκοδόμησε τὴν πόλιν κύκλῳ ἀπὸ τῆς ἄκρας, καὶ τὸν οἶκον αὐτοῦ.

ι. Καὶ ἐπορεύετο Δαβὶδ πορευόμενος καὶ μεγαλυνόμενος, καὶ Κύριος
Z παντοκράτωρ μετ' αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα διδάσκει τὴν τοῦ Θεοῦ συμμαχίαν· καὶ ἐπορεύετο Δαβὶδ πορευόμενος καὶ μεγαλυνόμενος, καὶ Κύριος παντοκράτωρ μετ' αὐτοῦ. οὗτος δὲ ὁ λόγος τῶν τὸ πανάγιον πνεῦμα σμικρύνειν πειρωμένων ἐλέγχει τὴν βλασφημίαν. Κύριος γὰρ παντοκράτωρ ὠνομάσθη πολλάκις.

ια. Καὶ ἀπέστειλε Χειρὰμ βασι-
H λεὺς Τύρου ἀγγέλους πρὸς Δαβὶδ, καὶ

(1) Τῷ διὰ τῶν ὑποκειμένων φαράγγων ἐπὶ τὴν ἄκραν ἀναβάντι καὶ ταύτην ἑλόντι στρατηγίαν ἅπαντος τοῦ λαοῦ δώσειν ἐπηγγείλατο. Ἰώσηπ. ἐν βιβλ. 7. κεφ. 3. περὶ Ἰουδ. ἀρχ.

(2) Ἐλλειπές ἐστι. καὶ μήτι γε ἐλλείπει τὸ, ὑπολαβόντες, ἢ νομίσαντες, ἢ ἄλλο τι ὅμοιον.

ξύλα κέδρινα, καὶ τέκτονας ξύλων, A
καὶ τέκτονας λίθων, καὶ ᾠκοδόμησαν
οἶκον τῷ Δαβίδ.

** ΙΩΣΗΠΟΥ. Πέμψας πρὸς αὐτὸν καὶ Εἴραμος ὁ Τυρίων βασιλεὺς, φιλίαν καὶ συμμαχίαν συνέθετο. ἔπεμψε δὲ αὐτῷ καὶ δωρεὰς, ξύλα κέδρινα, καὶ τεχνίτας, ἄνδρας τέκτονας καὶ οἰκοδόμους, οἳ κατασκευάσειαν βασίλειον ἐν Ἱεροσολύμοις.

** ΚΥΡΙΛΛΟΥ. Ὅτι δὲ προσκεκρουκότων αὐτῷ τῶν ἐξ Ἰσραὴλ, εἰσεπαικέ τε καὶ προσελήφθη τῶν ἐθνῶν ἡ πληθὺς, καὶ Χριστὸν ἐπεγράψατο Κύριον καὶ βασιλέα, σαφηνιεῖ πάλιν τὰ γεγραμμένα. καὶ γάρ φησιν, » ἀπέστειλε Χειρὰμ ὁ βασιλεὺς Τύρου » ἀγγέλους πρὸς Δαβὶδ, καὶ ξύλα κέδρινα, » καὶ τέκτονας λίθων, καὶ ᾠκοδόμησαν οἶκον τῷ Δαβίδ. ἦν μὲν γὰρ ἀλλογενὴς ὁ Χειρὰμ, καὶ οὐκ ἀπό γε τῆς Ἰουδαίων πληθύος· εἰδωλολάτρης δὲ μᾶλλον, καὶ ἐκ τῆς τῶν πλανωμένων ἀγέλης, ἀλλ' ᾠκοδόμησεν οἶκον τῷ Δαβίδ. ἐγήγερται γὰρ ἡ Ἐκκλησία Χριστοῦ, καὶ οὐ καθ' ἕνα τόπον ἢ χώραν, ἀλλ' ἐν πάσῃ τῇ ὑπ' οὐρανὸν, οἰκοδομούντων ὥσπερ αὐτὴν τῶν ποτὲ μὲν τῇ κτίσει λελατρευκότων, καὶ ἀχλύϊ κατεσκοτισμένων διαβολικῇ, πιστευσάντων δὲ μετὰ τοῦτο καὶ πεφωτισμένων, καὶ τὸν ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα Χριστὸν ἐν παντὶ πεποιημένων θαύματι.

ιβ. Καὶ ἔγνω Δαβὶδ, ὅτι ἡτοί-
μασε Κύριος αὐτὸν εἰς βασιλέα ἐπὶ
Ἰσραὴλ, καὶ ὅτι ἐπήρθη ἡ βασιλεία
αὐτοῦ διὰ τὸν λαὸν τοῦ (1) Ἰσραήλ.
ιγ. Καὶ ἔλαβε Δαβὶδ ἔτι γυναῖκας καὶ
παλλακὰς ἐν (2) Ἱερουσαλὴμ μετὰ τὸ
ἐλθεῖν αὐτὸν ἐκ Χεβρών· καὶ ἐγένον-
το τῷ Δαβὶδ ἔτι υἱοὶ καὶ θυγατέρες. E
ιδ. Καὶ ταῦτα τὰ ὀνόματα τῶν γεννη-
θέντων αὐτῷ ἐν Ἱερουσαλήμ· Σαμ-
μοὺς, καὶ Σωβὰβ, καὶ Ναθὰν, (3)
ιε. καὶ Σαλαμὼν, Καὶ Ἰεβάαρ, καὶ Ἐλι-
σουὲ, καὶ Ἐλφαλὰτ, Ναγαὶβ, καὶ
ις. Ναφὲκ, καὶ Ἰεφιὲ, Καὶ Ἐλισαμὰς,
ιζ. καὶ Ἐλιδαὲ, καὶ Ἐλιφαλάθ. (4) Καὶ
ἤκουσαν οἱ ἀλλόφυλοι ὅτι κέχρισαι
Δαβὶδ βασιλεὺς ἐπὶ Ἰσραὴλ, καὶ Z
ἀνέβησαν πάντες οἱ ἀλλόφυλοι ζη-
τεῖν τὸν Δαβίδ. καὶ ἤκουσε Δαβὶδ,
καὶ κατέβη εἰς τὴν περιοχήν.

ιη. Καὶ οἱ ἀλλόφυλοι παραγίνον-
ται, καὶ συνέπεσον εἰς τὴν κοιλάδα
τῶν Τιτάνων.

** ΙΩΣΗΠΟΥ. Γνόντες δὲ οἱ Παλαιστῖνοι τὸν Δαυΐδην βασιλέα ὑπὸ τῶν Ἑβραίων ἀποδεδειγμένον, στρατεύουσιν ἐπ' αὐτὸν εἰς Ἱεροσόλυμα· καὶ καταλαβόμενοι τὴν κοιλάδα τῶν Γιγάντων καλουμένην· τόπος δέ ἐστιν οὐ πόῤῥω τῆς πόλεως· ἐν αὐτῇ στρατοπεδεύονται.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Κοιλάδα Τιτάνων τίνα λέγει; Τοὺς γίγαντας Τιτᾶνας (5) ὠνόμαζον. ὁ δὲ Ἑβραῖος, Ῥαφαεὶμ αὐτοὺς κέκληκεν. ἔσχε δὲ τοιούτους ἄνδρας ἡ Χεβρὼν καὶ ἡ Γέθ. ἐκ τούτων ἦν καὶ [ὁ] Γολιὰθ, καὶ ἄλλοι τινὲς, ὧν ὁ συγγραφεὺς ἐμνήσθη τῶν ἀριστέων, τοῦ Δαβὶδ τὰς ἀνδραγαθίας συγγράφων. εἰκὸς τοίνυν ἐν τῷδε τῷ χωρίῳ πάλαι τινὰ τούτων γενέσθαι παράταξιν, καὶ λαβεῖν ἐκ τούτων τὴν ἐπωνυμίαν τὸν τόπον.

ιθ. Καὶ ἠρώτησε Δαβὶδ διὰ Κυ-
Γ ρίου, λέγων, εἰ ἀναβῶ πρὸς τοὺς ἀλ-
λοφύλους, καὶ παραδώσεις αὐτοὺς εἰς
τὰς χεῖράς μου; καὶ εἶπε Κύριος πρὸς
Δαβὶδ, ἀνάβαινε, ὅτι παραδιδοὺς
παραδώσω τοὺς ἀλλοφύλους εἰς τὰς
χεῖράς σου.

** ΙΩΣΗΠΟΥ. Ὁ τῶν Ἰουδαίων βασιλεὺς· οὐδὲν γὰρ ἄνευ προφητείας καὶ τοῦ κελεῦσαι τὸν Θεὸν, καὶ περὶ τῶν ἐσομένων λαβεῖν ἐγγυητὴν ἐκεῖνον ἑαυτῷ, ποιεῖν ἐπέτρεπεν· ἐκέλευσε τὸν ἀρχιερέα, τί δοκεῖ τῷ Θεῷ, καὶ ποδαπὸν ἔσται τὸ τῆς μάχης τέλος προλέγειν αὐτῷ. προφητεύσαντος δὲ νίκην καὶ κράτος, ἐξάγει τὴν δύναμιν ἐπὶ τοὺς Παλαιστίνους.

κ. Καὶ ἦλθε Δαβὶδ ἐκ τῶν ἐπά-
νω διακόπτων, (6) καὶ ἔκοψε τοὺς ἀλ-
λοφύλους ἐκεῖ. καὶ εἶπε Δαβὶδ, διέ-
E κοψε Κύριος τοὺς ἐχθρούς μου ἐνώπιόν
μου, ὡς διακόπτεται ὕδατα· διὰ τοῦ-
το ἐκλήθη τὸ ὄνομα τοῦ τόπου ἐκείνου,
κα. ἐπάνω Διακοπτῶν. (7) Καὶ κατα-
λιμπάνουσιν ἐκεῖ τοὺς Θεοὺς αὐτῶν, καὶ
ἔλαβεν αὐτοὺς Δαβὶδ καὶ οἱ ἄνδρες
αὐτοῦ, καὶ εἶπε κατακαῦσαι αὐτοὺς ἐν
κβ. πυρί. Καὶ προσέθεντο ἔτι ἀλλόφυ-
λοι τοῦ ἀναβῆναι, καὶ συνέπεσον ἐν
Z τῇ κοιλάδι τῶν Τιτάνων.

κγ. Καὶ ἐπηρώτησε Δαβὶδ διὰ
Κυρίου. καὶ εἶπε Κύριος, οὐκ ἀναβήσῃ
εἰς συνάντησιν αὐτῶν, ἀποστρέφου ἀπ'
αὐτῶν, καὶ παρέσῃ αὐτοῖς ἐξ ἐναν-
κδ. τίας (8) τοῦ Κλαυθμῶνος. Καὶ ἔσται
ἐν τῷ ἀκοῦσαί σε τὴν φωνὴν τοῦ συγ-
κλεισμοῦ

(1) Αὐτοῦ Ἰσρ. αἱ εἰρημ. ἐκδόσ. (2) Ἐξ. αἱ αὐτ.

(3) Νάθαν καὶ Σαλωμὼν, καὶ Ἐβεὰρ, καὶ Ἐλισουὲ, καὶ Ναφέκ. αἱ αὐτ.

(4) Ἐλιφαλὰθ, Σαμαὲ, Ἰεσιβὰθ, Νάθαν, Γαλαμαὰν, Ἰεβαὰρ, Θεησοῦς, Ἐλιφαλὰτ, Ναγὲδ, Ναφὲκ, Ἰανάθαν, Λεασαμὺς, Βααλιμὰθ, Ἐλιφαάθ. Καὶ, κτ. αἱ αὐτ. (5) Καὶ Τιτᾶν. ἡ ἐν Χάλ. ἔκδ.

(6) Διακοπῶν. αἱ αὐτ. (7) Διακοπῶν. αἱ αὐτ. (8) Πλησίον. αἱ αὐτ.

A κλαυσμοῦ ἀπὸ τοῦ ἄλσους τοῦ κλαυθμῶνος, τότε καταβήσῃ πρὸς αὐτοὺς, ὅτι τότε ἐξελεύσεται Κύριος ἔμπροσθέν σου κόπτων (1) ἐν τῷ πολέμῳ τῶν ἀλλοφύλων.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε ποτὲ μὲν κελεύει τῷ Δαβὶδ ὁ Θεὸς συμπλακῆναι τοῖς ἀλλοφύλοις, ποτὲ δὲ κωλύει; Ὡς πάνσοφος παιδοτρίβης αὐτὸν γυμνάζει πρὸς ἀρετήν, καὶ πείθει μὴ τῇ οἰκείᾳ δυνάμει θαῤῥεῖν, ἀλλὰ τὴν αὐτοῦ προσμένειν ἐπικουρίαν. ὅθεν αὐτῷ καὶ σημεῖα δίδωσι τῆς οἰκείας ἐπιφανείας. ὅταν γάρ φησιν ἴδῃς αὐτομάτως ἀνέμου δίχα τὰ ἄλση κινούμενα, τότε κατάβηθι εἰς τὸν πόλεμον· ὅτι
» τότε ἐξελεύσεται Κύριος ἔμπροσθέν σου τύ-
» πτειν ἐν τῷ πολέμῳ τοὺς ἀλλοφύλους.

ΑΔΗΛΟΥ. Κλαυθμῶνος ὁ τόπος ὠνόμασται, διὰ τὸν Ἄγγελον (2) ἐκεῖ ἐπιφανῆναί ποτε χρηματίζοντα, καὶ τῶν θείων εὐεργεσιῶν ἀναμιμνήσκοντα, καὶ τὰς παρανομίας ἐλέγχοντα, ὡς ἐκ πάσης τῶν ἐλέγχων συναισθήσεως κλαυθμὸν ποιῆσαι τοῖς ἀκούουσι πολύν. ὅθεν ὁ τόπος ὠνόμασται.

B κε. Καὶ ἐποίησε Δαβὶδ καθὼς ἐνετείλατο αὐτῷ Κύριος, καὶ ἐπάταξε τοὺς ἀλλοφύλους ἀπὸ Γαβαὼν ἕως τῆς γῆς Γαζηρά.

ΚΕΦ. Ϛ.

α. Καὶ συνήγαγεν ἔτι Δαβὶδ πάντα νεανίαν ἐξ Ἰσραὴλ, ὡς ἑβδομήκοντα χιλιάδας.

β. Καὶ ἀνέστη καὶ ἐπορεύθη Δαβὶδ καὶ πᾶς ὁ λαὸς ὁ μετ᾽ αὐτοῦ καὶ ἀπὸ τῶν ἀρχόντων Ἰούδα ἐν ἀναβάσει τοῦ ἀναγαγεῖν ἐκεῖθεν τὴν κιβωτὸν τοῦ Θεοῦ, ἐφ᾽ ἣν ἐπεκλήθη τὸ ὄνομα Κυρίου τῶν δυνάμεων καθημένου ἐπὶ χερουβεὶμ (3) ἐπ᾽ αὐτῆς.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἀπὸ τῶν ἀρχόντων
» Ἰούδα· Ἀκύλας, ἀπὸ τῶν ἱερέων.

** ΙΩΣΗΠΟΥ. Ἔδοξε Δαυΐδῃ συμβουλευσαμένῳ μετὰ τῶν γερόντων καὶ ἡγεμόνων καὶ χιλιάρχων, μεταπέμψασθαι τῶν ὁμοφύλων ἐξ ἁπάσης τῆς χώρας πρὸς αὐτὸν ἐν ἀκμῇ τῆς ἡλικίας, ἔπειτα τοὺς ἱερεῖς καὶ Λευΐτας· καὶ πορευθέντες εἰς Καριαθιαρεὶμ μετακομίσαι τὴν τοῦ Θεοῦ κιβωτὸν ἐξ αὐτῆς εἰς Ἱεροσόλυμα, καὶ θρησκεύειν ἐν αὐτῇ λοιπὸν ἔχοντας αὐτὴν θυσίαις καὶ ταῖς ἄλλαις τιμαῖς, αἷς χαίρει τὸ θεῖον.

γ. Καὶ ἐπεβίβασαν τὴν κιβωτὸν Κυρίου ἐφ᾽ ἅμαξαν καινὴν, καὶ ἦραν αὐτὴν ἐξ οἴκου Ἀμιναδὰβ τοῦ ἐν τῷ βουνῷ. καὶ Ὀζὰ καὶ οἱ ἀδελφοὶ αὐτοῦ υἱοὶ Ἀμιναδὰβ ἦγον τὴν ἅμαξαν σὺν
δ. τῇ κιβωτῷ, Καὶ οἱ ἀδελφοὶ αὐτοῦ ἐπορεύοντο ἔμπροσθεν τῆς κιβωτοῦ.

** ΙΩΣΗΠΟΥ. Συνελθόντος τοῦ λαοῦ παντὸς, καθὼς ἐβουλεύσαντο, παραγίνεται ὁ βασιλεὺς ἐπὶ τὴν κιβωτόν· ἣν βαστάσαντες ἐκ τῆς Ἀμιναδάβου οἰκίας οἱ ἱερεῖς, καὶ ἐπιθέντες ἐφ᾽ ἅμαξαν καινὴν, ἕλκειν ἀδελφοῖς τε καὶ παισὶν ἐπέτρεψαν μετὰ βοῶν.

Γ ε. Καὶ Δαβὶδ καὶ οἱ υἱοὶ Ἰσραὴλ παίζοντες ἐνώπιον Κυρίου ἐν ὀργάνοις ἡρμοσμένοις ἐν ἰσχύϊ, καὶ ἐν ᾠδαῖς, καὶ ἐν κινύραις, καὶ ἐν νάβλαις, καὶ ἐν τυμπάνοις, καὶ ἐν κυμβάλοις, καὶ ἐν αὐλοῖς.

** ΙΩΣΗΠΟΥ. Προῆγεν ὁ βασιλεὺς καὶ πᾶν σὺν αὐτῷ τὸ πλῆθος, ὑμνοῦντες τὸν Θεὸν, καὶ ᾄδοντες πᾶν εἶδος μέλους ἐπιχώριον
Δ σύν τε ἤχῳ ποικίλῳ κρουσμάτων τε καὶ ὀρχήσεων καὶ ψαλμῶν, ἔτι δὲ καὶ σάλπιγγος καὶ κυμβάλων, κατάγοντες τὴν κιβωτὸν εἰς Ἱεροσόλυμα.

** ΩΡΙΓΕΝΟΥΣ. Τὰ ἡρμοσμένα ὄρ-
» γανα ἐν ἰσχύϊ καὶ ᾠδαῖς εἶχεν ἐν αὐτοῖς τὴν μουσικὴν συμφωνίαν· ἥτις τοσοῦτον δύναται, ὡς δύο μόνων μετὰ τῆς πρὸς τὴν θείαν μουσικὴν καὶ πνευματικὴν συμφωνίας αἴτησιν προσαγόντων τῷ ἐν τοῖς οὐρανοῖς πατρὶ
E περὶ οὑτινοσοῦν, τὸν πατέρα διδόναι τὰ αἰτήματα τοῖς μετὰ τοῦ συμφωνεῖν ἐπὶ γῆς· ὅπερ ἐστὶ παραδοξότατον· αἰτήσασιν ἅπερ αἰτήσαιεν ἂν οἱ τὴν εἰρημένην συμφωνίαν συμφωνήσαντες.

ϛ. Καὶ παραγίνονται ἕως ἅλωνος (4) Ἀχώρ. καὶ ἐξέτεινεν Ὀζὰ τὴν χεῖρα αὐτοῦ ἐπὶ τὴν κιβωτὸν τοῦ Θεοῦ κατασχεῖν αὐτὴν, καὶ ἐκράτησεν αὐ-
Z τὴν, ὅτι περιέσπασεν αὐτὴν ὁ μόσχος.

** ΙΩΣΗΠΟΥ. Ὡς ἄχρι τῆς Χειδῶνος ἅλωνος· τόπου τινὸς οὕτω καλουμένου· προῆλθον, τελευτᾷ Ὀζᾶς κατ᾽ ὀργὴν Θεοῦ. τῶν βοῶν γὰρ ἐπινευσάντων τὴν κιβωτὸν, ἐκτείναντα τὴν χεῖρα, καὶ κατασχεῖν θελήσαντα, ὅτι μὴ ὢν ἱερεὺς ἥψατο ταύτης, ἀποθανεῖν ἐποίησε.

H ζ. Καὶ ἐθυμώθη ὀργῇ Κύριος τῷ Ὀζᾷ, καὶ ἔπαισεν αὐτὸν ἐκεῖ ὁ Θεὸς, καὶ

(1) Κόπτειν. αἱ αὐτ.
(2) Τὸ 2. τῶν Κριτ. κεφ. τὰ περὶ τούτου διαλαμβάνει.
(3) Τῶν χερουβίν. αἱ εἰρημ. ἐκδόσ.
(4) Ἅλω Ναχώρ. αἱ αὐτ.

καὶ ἀπέθανεν ἐκεῖ παρὰ τὴν κιβωτὸν (1) Κυρίου ἐνώπιον τοῦ Θεοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκεν ὁ Ὀζᾶν θεηλάτῳ πληγῇ ἐτελεύτησε; Τινὲς μὲν προπετείας αὐτὸν δοῦναι δίκας εἶπον, ὡς ἐπαμῦναι πειραθέντα τῇ κιβωτῷ, ἥτις παντὸς τοῦ λαοῦ προστατοῦσα, τῆς ἑτέρων ἐπικουρίας οὐκ ἔχρῃζεν. Ἰώσηππος δέ φησιν, ἐπειδὴ Λευΐτης (2) οὐκ ὢν ἐτόλμησεν ἅψασθαι τῆς κιβωτοῦ, τὴν τιμωρίαν ἐδέξατο. τοῦτο δὲ ψευδὲς ἄντικρυς. τοῦ γὰρ Ἀμιναδὰβ υἱὸς ἦν, ᾧ παρέδοσαν τὴν κιβωτὸν οἱ ἐν Βερσάμυς, ἀφεθεῖσαν ὑπὸ τῶν ἀλλοφύλων. τῆς Λευϊτικῆς δὲ ἦν οὗτος φυλῆς. καὶ
1. Βασ. 7. 1. τοῦτο ἡ ἱστορία διδάσκει. ἡγίασε γάρ φησι
» τὸν υἱὸν αὐτοῦ Ἐλεάζαρ φυλάσσειν τὴν κι-
» βωτὸν τῆς διαθήκης Κυρίου. ὅτι δὲ καὶ οὗτος τοῦ Ἀμιναδὰβ ἦν υἱὸς, ἡ ἱστορία διδάσκει·
» καὶ ἐπεβίβασαν τὴν κιβωτὸν τοῦ Θεοῦ ἐπὶ
» ἅμαξαν καινὴν, καὶ ἦραν αὐτὴν ἐξ οἴκου
» Ἀμιναδὰβ τοῦ ἐν τῷ βουνῷ. καὶ Ὀζᾶν καὶ
» οἱ ἀδελφοὶ αὐτοῦ [οἱ υἱοὶ Ἀμιναδὰβ ἦγον
» τὴν ἅμαξαν σὺν τῇ κιβωτῷ τοῦ Θεοῦ. καὶ
» Ὀζᾶν καὶ οἱ ἀδελφοὶ αὐτοῦ] ἐπορεύοντο [ἔμ-
» προσθεν καὶ] ἐκ πλαγίων τῆς κιβωτοῦ. οὐκ ἐξ ἄλλης τοιγαροῦν ἦν φυλῆς, ὡς ὁ Ἰώσηππος ἔφη, ἀλλὰ καὶ Λευΐτης ἦν· οὔτε μὴν διὰ προπέτειαν τὴν τιμωρίαν ἐδέξατο· κλιθείσης γὰρ τῆς ἁμάξης, ἐχρῆν προσερεῖσαι τὴν χεῖρα· ἀλλ' ἑτέρας παρανομίας ἔτισε δίκας. τοῦ γὰρ Θεοῦ προστεταχότος, τοὺς ἱερεῖς ἐπ' ὤμων φέρειν τὴν κιβωτὸν, παρὰ τὸν νόμον ἐφ' ἁμάξης ἐκόμισαν. ἐξηπάτησε δὲ αὐτοὺς τὸ παρὰ τῶν ἀλλοφύλων οὕτως ἐκπεμφθεῖσαν μηδὲν λυμήνασθαι. ἀλλ' ἐχρῆν συνιδεῖν, ὡς οὔτε τὸν νόμον ᾔδεισαν οἱ ἀλλόφυλοι, καὶ ἱερεῖς οὐ παρῆσαν, ἵνα κατὰ τὸν νόμον αὐτὴν μετενέγκωσιν. ὅτι δὲ τοῦτο ἀληθὲς, τὰ ἑξῆς διδάσκει. τοῦ γὰρ Ὀζᾶν πεπτωκότος, δείσας ὁ βασιλεὺς, οὐκ εἰς τὰ βασίλεια τὴν κιβωτὸν εἰσενήνοχεν, ἔνθα καὶ τὴν θείαν κατεσκευάκει σκηνὴν, ἀλλ' εἰς τὸν οἶκον Ἀβεδδαρά. ἐπειδὴ δὲ εἶδε παντοδαπῆς εὐλογίας ἐν τρισὶ μησὶ τὴν οἰκείαν πλησθεῖσαν ἐκείνην, εὐθὺς αὐτὴν εἰς τὰ βασίλεια μετεκόμισεν, οὐχ ἁμάξῃ χρησάμενος, ἀλλὰ τοῖς ἱερεῦσι κατὰ
» τὸν νόμον. ἦσαν γὰρ, φησὶ, μετ' αὐτῶν οἱ
» αἴροντες τὴν κιβωτὸν Κυρίου ἑπτὰ χοροὶ,
» καὶ θῦμα μόσχου καὶ ἀρνός· καὶ Δαβὶδ ἀνε-
» κρούετο ἐν ὀργάνοις ἡρμοσμένοις ἐνώπιον
» Κυρίου· καὶ αὐτὸς ἐνδεδυμένος στολὴν ἔξαλλον· οὕτω δὲ τὴν ποικίλην ὠνόμασε. σαφέστερον δὲ τοῦτο ἐδίδαξεν ἡ βίβλος τῶν Πα-
1. Παραλ. 15. 15. ραλειπομένων. ἦραν γάρ φησι τὴν κιβω-
» τὸν, ὡς ἐνετείλατο Μωϋσῆς ἐν λόγῳ Κυρίου
» Θεοῦ Ἰσραὴλ, ἐπ' ἀναφορεῦσι κατὰ τὴν
» Γραφὴν, ἐν ὤμοις αὐτῶν.

* ΠΡΟΚΟΠΙΟΥ. (3) Ἀλλ' εἰ τοῦτο, πῶς μόνος Ὀζᾶν ἔπαθε, καὶ μὴ πάντες οἱ Λευΐ-
A ται; τί δὲ μὴ ἐξ ἀρχῆς, ἀλλὰ νῦν, στηρίζειν ἐπιχειρῶν; Ἡ τοίνυν αὐτὸς εἰσηγήσατο τὸ ἐφ' ἁμάξης βαλεῖν· διὸ καὶ μόνος ἐπαμύνειν ἠξίωσεν· ὅθεν τάχα καὶ προέταξεν αὐτὸν τῶν ἀδελφῶν ἡ Γραφὴ, καὶ πέπονθε κακῶς, ὅτε τὸ ἀποβὰν ἐκ τοῦ βαλεῖν ἐφ' ἁμάξης τεθέαται παρὰ τὸ σφάλμα παιδεύσαντος αὐτὸν τοῦ Θεοῦ· ἢ καὶ ἄλλως, ὑπῆρχεν ἀνάξιος.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πόῤῥω που τοῦ
B τὰ τῶν ἱερέων διορθοῦν τὸν ἀρχόμενον ἑστηκέναι χρή. τῆς γὰρ κιβωτοῦ ποτε ἀναγομένης, ἐπειδή τινες τῶν ἀρχομένων περιτρεπομένην καὶ καταπίπτειν μέλλουσαν ἰδόντες ἀνώρθωσαν, ἐν αὐτῷ τῷ χωρίῳ δίκην ἔδοσαν, ὑπὸ τοῦ Κυρίου πληγέντες, καὶ νεκροὶ μείναντες· καίτοιγε οὐδὲν ἄτοπον ἐποίουν. οὐδὲ γὰρ ἀνέτρεπον τὴν κιβωτὸν, ἀλλ' ἀνατρέπεσθαι μέλλουσαν καὶ καταπίπτειν, ἀνώρθουν. ἀλλ' ἵνα ἐκ πολλῆς περιουσίας μάθῃς
Γ τῶν ἱερέων τὸ ἀξίωμα, καὶ πῶς οὐ θέμις τὸν ὑποτεταγμένον καὶ ἐν τάξει λαϊκῶν ὄντα, τοιαῦτα ἐπανορθοῦν, ἀπέκλεινεν αὐτοὺς ἐν μέσῳ τῷ πλήθει, τοὺς ἄλλους πάντας ἐκ πολλῆς φοβῶν τῆς ὑπερβολῆς, καὶ πείθων μηδέ ποτε τοῖς τῆς ἱερωσύνης προσιέναι ἀδύτοις. εἰ γὰρ δὴ μέλλοιεν ἕκαστοι ἐπὶ προφάσει τοῦ τὰ κακῶς γινόμενα διορθοῦν, εἰς τὸ τῆς ἱερωσύνης εἰσάγειν ἑαυτοὺς ἀξίωμα, οὔτε πρόφασις ἐπιλείψει διορθώσεώς ποτε,
Δ οὔτε ἄρχοντα, οὔτε ἀρχόμενον διαγνωσόμεθα, ἀναμεμιγμένων πάντων ἀλλήλοις.

η. Καὶ ἠθύμησε Δαβὶδ ὑπὲρ οὗ διέκοψε Κύριος διακοπὴν ἐν τῷ Ὀζᾷ, καὶ ἐκλήθη ὁ τόπος ἐκεῖνος, Διακοπὴ Ὀζᾷ ἕως τῆς ἡμέρας ταύτης.

** ΙΩΣΗΠΟΥ. Ὁ μὲν βασιλεὺς καὶ ὁ λαὸς ἐδυσφόρησαν ἐπὶ τῷ θανάτῳ τοῦ Ὀζᾶ· ὁ δὲ τόπος, ἐν ᾧ ἐτελεύτησεν, ἔτι
E νῦν, Ὀζᾶ Διακοπὴ καλεῖται.

θ. Καὶ ἐφοβήθη Δαβὶδ τὸν Κύριον ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, λέγων, πῶς εἰσελεύσεται πρός με ἡ κιβωτὸς Κυ-
ι. ρίου; Καὶ οὐκ ἐβούλετο Δαβὶδ τοῦ ἐκκλῖναι πρὸς αὐτὸν τὴν κιβωτὸν διαθήκης Κυρίου εἰς τὴν πόλιν Δαβίδ· καὶ ἀπέκλινεν αὐτὴν Δαβὶδ εἰς οἶκον Ἀ-
ια. βεδδαρὰ τοῦ Γεθθαίου. (4) Καὶ ἐκάθισεν ἡ κιβωτὸς Κυρίου εἰς οἶκον Ἀβεδδαρὰ τοῦ Γεθθαίου μῆνας τρεῖς· καὶ εὐλόγησε Κύριος ὅλον τὸν οἶκον Ἀβεδδαρὰ, καὶ πάντα τὰ αὐτοῦ ἕνεκεν τῆς κιβωτοῦ τοῦ Θεοῦ.

** ΙΩΣΗΠΟΥ. Δείσας ὁ Δαυΐδης, καὶ λογισάμενος μὴ ταὐτὸ πάθῃ τῷ Ὀζᾷ δεξάμενος τὴν κιβωτὸν παρ' αὐτὸν ἐν τῇ πό-
H λει· ἐκείνου, διότι μόνον ἐξέτεινε τὴν χεῖρα πρὸς

(1) Τοῦ Κυρ. αἱ αὐτ. (2) Οὐ Λευΐτης, φησὶν ὁ Ἰώσηπ. ἀλλ' ἱερεὺς, ὡς ἐκ τοῦ προλαβόντος ὑπομνήμ. δῆλον. (3) Συνῃωρημένον τοῦτο τῷ ἀνωτέρῳ τοῦ Θεοδωρίτ. ἐν τῷ τῆς Αὐγ. κώδ. ἔνστασις γάρ ἐστι καὶ λύσις, παρ' αὐτοῦ τοῦ Προκοπίου τυχὸν προτεθεῖσαι. (4) Γεθαίου. αἱ εἰρημ. ἐκδόσ.

πρὸς αὐτὴν, οὕτως ἀποθανόντος· οὐκ εἰσ- A
δέχεται μὲν αὐτὴν πρὸς ἑαυτὸν εἰς τὴν πόλιν· ἀλλ' ἐκνεύσας εἴς τι χωρίον ἀνδρὸς δικαίου, Ὠβεδάμου ὄνομα, Λευΐτου τὸ γένος, παρ' αὐτῷ τὴν κιβωτὸν τίθησιν. ἐπιμένει δ' ἐπὶ τρεῖς ὅλους μῆνας αὐτόθι, καὶ τὸν οἶκον τοῦ Ὠβεδάμου ηὔξησέ τε καὶ πολλῶν αὐτῷ μετέδωκεν ἀγαθῶν.

ιβ. Καὶ ἀπηγγέλη τῷ βασιλεῖ Δαβὶδ, λέγοντες, εὐλόγησε Κύριος τὸν οἶκον Ἀβεδδαρὰ, καὶ πάντα τὰ αὐτοῦ ἕνεκεν τῆς κιβωτοῦ τοῦ Θεοῦ. καὶ ἐπορεύθη Δαβὶδ, καὶ ἀνήγαγε τὴν κιβωτὸν (1) Κυρίου ἐκ τοῦ οἴκου Ἀβεδδαρὰ εἰς τὴν πόλιν Δαβὶδ ἐν εὐφροσύνῃ. B

✱✱ ΙΩΣΗΠΟΥ. Ἀκούσας ὁ βασιλεὺς ὅτι ταῦτα συμβέβηκεν Ὠβεδάμῳ, ὃς ἐκ τῆς προτέρας πενίας καὶ ταπεινότητος ἀθρόως εὐδαίμων καὶ ζηλωτὸς γέγονε παρὰ πᾶσι τοῖς ὁρῶσι καὶ πυνθανομένοις τὴν οἰκίαν αὐτοῦ, θαρσήσας, ὡς οὐδενὸς κακοῦ πειραθησόμενος, τὴν κιβωτὸν πρὸς αὐτὸν μετακομίζει. Γ

✱✱ ΚΥΡΙΛΛΟΥ. Ὠκοδόμητο μὲν ὁ οἶκος τῷ Δαβὶδ δι' ἀλλογενοῦς τοῦ Χειρὰμ· ἀνεκόμιζε δὲ τὴν κιβωτὸν εἰς αὐτὸν παρ' ἑτέροις οὖσαν, καὶ ἔξωπος κειμένην ὁ θεσπέσιος Δαβίδ. καὶ ἐπορεύθη γάρ φησι, καὶ
» ἀνήγαγε τὴν κιβωτὸν τοῦ Θεοῦ ἐκ τοῦ οἴκου Δ
» Ἀβεδδαρὰ εἰς τὴν πόλιν Δαβὶδ ἐν εὐφροσύνῃ. κατασημαίνει δ' ἂν ἡ κιβωτὸς τὸν διὰ Μωσέως ὠδίνουσα νόμον, τοὺς ὑπὸ νόμον καὶ σκιάν. οἱ πάλαι μὲν ἦσαν τυφλοὶ καὶ χωλοὶ, ἐπειδὰν δὲ τὴν πίστιν εἰσοικισάμενοι προσκυνῶσιν αὐτῷ, τότε καὶ αὐτοὶ μεθ' ἡμῶν εἰσκομισθήσονται μὲν εἰς τὸν οἶκον Δαβὶδ, τουτέστι Χριστὸν, ἁπάσης δὲ ἀρετῆς ἥξουσι κατ' εὐθὺ, καὶ οἷον ὀρθῷ ποδὶ καὶ ἐρηρεισμένῳ τὴν τῆς εἰς αὐτὸν εὐσεβείας διελάσωσι τρίβον, ἐπιφωνοῦντος αὐτοῖς τοῦ θε- E
Ἑβρ. 12. 12. σπεσίου Παύλου· διὸ τὰς παρειμένας χεῖρας
» καὶ τὰ παραλελυμένα γόνατα ἀνορθώσατε.

ιγ. Καὶ ἦσαν μετ' αὐτοῦ αἴροντες τὴν κιβωτὸν Κυρίου ἑπτὰ χοροὶ, καὶ
ιδ. θῦμα μόσχος καὶ ἄρνες. Καὶ Δαβὶδ ἀνεκρούετο ἐν ὀργάνοις ἡρμοσμένοις ἐνώπιον Κυρίου, καὶ ὁ Δαβὶδ ἐνδεδυ- Z
ιε. κὼς στολὴν ἔξαλλον. Καὶ Δαβὶδ καὶ πᾶς ὁ οἶκος Ἰσραὴλ ἀνήγαγον τὴν κιβωτὸν τοῦ Κυρίου μετὰ κραυγῆς καὶ μετὰ φωνῆς σάλπιγγος.

ις. Καὶ ἐγένετο τῆς κιβωτοῦ παραγινομένης ἕως πόλεως Δαβὶδ, καὶ Μελχὸλ ἡ θυγάτηρ Σαοὺλ διέκυπτε διὰ τῆς θυρίδος, καὶ εἶδε τὸν βασιλέα Δαβὶδ ὀρχούμενον, καὶ ἀνακρουόμενον H ἐνώπιον Κυρίου, καὶ ἐξουδένωσεν αὐτὸν ἐν τῇ καρδίᾳ αὐτῆς.

✱ ΠΡΟΚΟΠΙΟΥ. Ὠργίζετο δὲ Δαβὶδ, τῇ εὐρύθμῳ κινήσει τοῦ σώματος τὴν ἔνδον δημοσιεύων διάθεσιν, ἅμα δὲ παιδεύων ἡμᾶς μὴ ἐπαισχύνεσθαι τὸν σταυρόν. τότε μὲν γὰρ ὄρχησις ὠνειδίζετο, νῦν δὲ σταυρός· ἐστιν ὁ χλευαζόμενος. ἀλλὰ τῷ μὲν Δαβὶδ ἐδόθη τῆς εὐλαβείας μισθὸς ἡ πολυτεκνία· τοῦτο γὰρ (2) τῷ νόμῳ μέγα ἦν ἀγαθόν· τῇ δὲ Μελχὸλ τῆς ἀπιστίας μισθὸς ἀτεκνία.

ιζ. Καὶ εἰσήνεγκαν τὴν κιβωτὸν Κυρίου, καὶ ἀπέθηκαν αὐτὴν εἰς τὸν τόπον αὐτῆς εἰς μέσον τῆς σκηνῆς, ἣς ἔπηξεν αὐτῇ Δαβίδ. καὶ ἀνήνεγκε
ιη. Δαβὶδ ὁλοκαυτώματα ἐνώπιον Κυρίου, καὶ εἰρηνικάς. Καὶ συνετέλεσε Δαβὶδ συναναφέρων τὰς ὁλοκαυτώσεις καὶ τὰς εἰρηνικὰς, καὶ εὐλόγησε τὸν λαὸν ἐν ὀνόματι Κυρίου τῶν δυνάμεων.

ιθ. Καὶ διεμέρισε παντὶ τῷ λαῷ εἰς πᾶσαν τὴν δύναμιν τοῦ Ἰσραὴλ ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ, καὶ ἀπὸ ἀνδρὸς ἕως γυναικὸς, ἑκάστῳ κολλυρίδα ἄρτου, καὶ ἐσχαρίτην, καὶ λάγανον ἀπὸ τηγάνου. καὶ ἀπῆλθε πᾶς ὁ λαὸς ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ.

✱✱ ΚΛΗΜΕΝΤΟΣ. Ἐν τῇ πόλει τῇ ἑαυτοῦ τὴν ἁγίαν ἱδρύων κιβωτὸν ἐν μέσῃ τῇ σκηνῇ, παντὶ τῷ ὑπηκόῳ εὐφροσύνην
» ποιήσας λαῷ ἐναντίον τοῦ Κυρίου, διεμέρι-
» σεν εἰς πᾶσαν τὴν δύναμιν τοῦ Ἰσραὴλ ἀπὸ
» ἀνδρὸς ἕως γυναικὸς ἑκάστῳ κολλυρίδα ἄρ-
» του, καὶ ἐσχαρίτην, καὶ λάγανον ἀπὸ τηγάνου. αὐτάρκης αὕτη ἡ τροφὴ καὶ Ἰσραηλιτική· ἡ δὲ ἐθνικὴ, περιττή.

κ. Καὶ ἐπέστρεψε Δαβὶδ εὐλογῆσαι τὸν οἶκον αὐτοῦ. καὶ ἐξῆλθε Μελχὸλ (3) θυγάτηρ Σαοὺλ εἰς ἀπάντησιν Δαβὶδ, καὶ εὐλόγησεν αὐτὸν, καὶ εἶπε, τί δεδόξασαι σήμερον ὁ βασιλεὺς Ἰσραὴλ, ὃς ἀπεκαλύφθη σήμερον ἐν ὀφθαλμοῖς παιδισκῶν τῶν δούλων αὐτοῦ, καθὼς ἀποκαλύπτεται ἀποκαλυφθεὶς εἷς τῶν ὀρχουμένων;
κα. Καὶ εἶπε Δαβὶδ πρὸς Μελχὸλ, ἐνώπιον Κυρίου ὀρχήσομαι. καὶ εὐλογητὸς Κύριος ὃς ἐξελέξατό με ὑπὲρ τὸν πατέρα σου καὶ ὑπὲρ πάντα τὸν οἶκον αὐτοῦ, τοῦ καταστῆσαί με εἰς ἡγούμενον ἐπὶ τὸν λαὸν αὐτοῦ ἐπὶ τὸν Ἰσραὴλ, καὶ παίξομαι καὶ ὀρχήσομαι ἐνώπιον Κυ-
κβ. ρίου, Καὶ ἀποκαλυφθήσομαι ἔτι οὕτω, καὶ ἔσομαι ἀχρεῖος ἐν ὀφθαλμοῖς σου, καὶ μετὰ τῶν παιδισκῶν, ὧν εἶπάς με μὴ δοξασθῆναι.

ΠΡΟΚΟ-

(1) Τοῦ Κυρ. αἱ αὐτ. (2) Ὁ τῷ νόμῳ. ὁ τῆς Αὐγ. κώδ. (3) Ἡ θυγάτ. αἱ αὐτ.

A ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἀποκαλυφθήσομαι ἔτι οὕτω, καὶ ἔσομαι ἀχρεῖος· Ἀκύλας, καὶ ἀτιμασθήσομαι ἔτι, ὑπὲρ τοῦτο, καὶ ἔσομαι ταπεινός.

** ΙΩΣΗΠΟΥ. Παραστᾶσα αὐτῷ Μιχάλα ἡ γυνὴ, Σαούλου δὲ θυγάτηρ, τάτε ἄλλα αὐτῷ κατηύχετο, καὶ παρὰ τοῦ Θεοῦ γίνεσθαι ᾔτει πάνθ' ὅσα παρασχεῖν αὐτῷ δυνατὸν, εὐμενεῖ τυγχάνοντι· καὶ δὴ κατεμέμψατο, ὡς ἀκοσμήσειεν ὀρχούμενος ὁ
B τηλικοῦτος βασιλεὺς, καὶ γυμνούμενος ὑπὸ τῆς ὀρχήσεως καὶ ἐν δούλοις καὶ θεραπαινίσιν. ὁ δ' οὐκ αἰδεῖσθαι ταῦτα ποιήσας εἰς τὸ τῷ Θεῷ κεχαρισμένον ἔφασκεν· ὃς αὐτὸν καὶ τοῦ πατρὸς αὐτῆς καὶ τῶν ἄλλων ἁπάντων προετίμησε, παίζειν τε πολλάκις καὶ χορεῦσαι μηδένα τοῦ δόξαι ταῖς θεραπαινίσιν αἰσχρὸν καὶ αὐτῇ τὸ γινόμενον ποιησάμενος λόγον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατί κατεγέλασεν
Γ ἡ Μελχὸλ τοῦ Δαβίδ; Ὠήθη βασιλέως ἀλλότριον τὸ δημοσίᾳ χορεύειν. οὐ γὰρ ᾔδει τοῦ θείου πόθου τὰ κέντρα. ὅθεν ὁ βασιλεὺς σφοδρότερον ἐπετίμησεν αὐτῇ. ἐνώπιον γάρ φησι Κυρίου ὀρχήσομαι καὶ παίξομαι. ζῇ Κύριος ὃς ἐξελέξατό με ὑπὲρ τὸν πατέρα σου καὶ ὑπὲρ πάντα τὸν οἶκον αὐτοῦ, [τοῦ καταστῆσαί με εἰς ἡγούμενον ἐπὶ πάντα τὸν λαὸν αὐτοῦ τὸν Ἰσραήλ. καὶ τὰ ἑξῆς δὲ τὴν αὐτὴν ἔχει διάνοιαν.]

κγ. Καὶ τῇ Μελχὸλ θυγατρὶ Σαοὺλ οὐκ ἐγένετο παιδίον ἕως τῆς ἡμέρας τοῦ ἀποθανεῖν αὐτήν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα ἐδίδαξεν ἡ ἱστορία, ὅτι τῇ Μελχὸλ οὐκ ἐγένετο παιδίον ὅλως. (1) ἀλλ' οὐ μόνον διὰ ταύτην τὴν αἰτίαν στεῖρα γέγονεν, (2) ἀλλ' ὥστε μηδένα ἐξ ἐκείνου βασιλεῦσαι τοῦ σπέρματος. εἰκὸς γὰρ ἦν τὸν λαὸν, τὸν ἑκατέρωθεν συγγενείᾳ λάμποντα προτιμῆσαι τῶν ἄλλων.

ΚΕΦ. Ζ.

α. Καὶ ἐγένετο ὅτε ἐκάθισεν ὁ βασιλεὺς ἐν τῷ οἴκῳ αὐτοῦ, καὶ Κύριος κατεκληρονόμησεν αὐτὸν κυκλόθεν ἀπὸ πάντων ἐχθρῶν αὐτοῦ κύκλῳ,

β. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Νάθαν τὸν προφήτην, ἰδοὺ δὴ ἐγὼ κατοικῶ ἐν οἴκῳ κεδρίνῳ, καὶ ἡ κιβωτὸς τοῦ Θεοῦ κάθηται ἐν μέσῳ τῆς σκηνῆς.

** ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ. Ἐν μέσῳ τῆς σκηνῆς, ἢ ἐν μέσῳ δέῤῥεως, ὡς ἡ ἑβραϊκὴ λέξις σημαίνει.

** ΙΩΣΗΠΟΥ. Ὁρῶν ὁ βασιλεὺς κατὰ πᾶσαν τὰ πράγματα αὐτῷ σχεδὸν ἡμέραν ἀμείνω γινόμενα ἐκ τῆς τοῦ Θεοῦ βουλήσεως, ἐνόμιζεν ἐξαμαρτάνειν αὐτὸν, εἰ μένων αὐτὸς ἐν οἴκοις ἐκ κέδρου πεποιημένοις, ὑψηλοῖς τε καὶ καλλίστην τὴν ἄλλην κατασκευὴν ἔχουσι, περιορᾷ τὴν κιβωτὸν ἐν σκηνῇ κειμένην, καὶ ἐβούλετο τῷ Θεῷ κατασκευάσαι ναὸν, ὡς Μωϋσῆς προεῖπε. καὶ περὶ τούτων Ναθάνᾳ τῷ προφήτῃ διαλεχθείς· ἐπεὶ ποιεῖν ὅτιπερ ὥρμηται προσέταξεν αὐτὸν, ὡς τοῦ Θεοῦ πρὸς ἅπαντ' αὐτῷ συνεργοῦ παρόντος, εἶχεν ἤδη περὶ τὴν τοῦ ναοῦ κατασκευὴν προθυμότερον.

γ. Καὶ εἶπε Νάθαν πρὸς τὸν βασιλέα, πάντα ὅσα ἂν ἐν τῇ καρδίᾳ σου, βάδιζε καὶ ποίει, ὅτι Κύριος μετὰ σοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Προφήτης ὢν ὁ Νάθαν, πῶς ἠγνόησε τὸ βούλημα τοῦ Θεοῦ, καὶ τῷ Δαβὶδ οἰκοδομῆσαι τὸν θεῖον οἶκον προσέταξε; Καὶ ἤδη ἔφην, ὡς οὐ πάντα προῄδεσαν οἱ Προφῆται, ἀλλ' ἅπερ ἡ θεία χάρις αὐτοῖς ἀπεκάλυπτεν. οὕτως ὁ Σαμουὴλ ἠγνόει τίνα χρῖσαι προσήκει· οὕτως ὁ Ἐλισσαῖος τὸ τῆς Σωμανίτιδος πάθος· ἄφες 4.Βασ. 4.27.
Δ γὰρ αὐτὴν ἔφη, ὅτι κατώδυνος ἡ ψυχὴ αὐτῆς, καὶ Κύριος ἀπέκρυψεν ἀπ' ἐμοῦ· οὕτω καὶ ὁ Νάθαν ἐπαινέσας τὸν τοῦ βασιλέως σκοπὸν, ἐνόμισεν ἀρέσκειν τῷ τῶν ὅλων Θεῷ. ὅθεν εἶπε, πάντα ὅσα ἐν τῇ καρδίᾳ σου, βάδιζε καὶ ποίει, ὅτι ὁ Θεὸς μετὰ σοῦ.

δ. Καὶ ἐγένετο ἐν τῇ νυκτὶ ἐκείνῃ ῥῆμα Κυρίου πρὸς Νάθαν, λέγων,
ε. Πορεύου, καὶ εἶπον πρὸς τὸν δοῦλόν μου
E Δαβὶδ, τάδε λέγει Κύριος, οὐ σὺ οἰκοδομήσεις οἶκον τοῦ κατοικῆσαί με.
ϛ. Ὅτι οὐ κατῴκησα (3) ἐν οἴκῳ ἀφ' ἧς ἡμέρας ἀνήγαγον τοὺς υἱοὺς Ἰσραὴλ ἐκ γῆς Αἰγύπτου ἕως τῆς ἡμέρας ταύτης, καὶ ἤμην ἐμπεριπατῶν ἐν καταλύματι
ζ. καὶ ἐν σκηνῇ, Ἐν πᾶσιν οἷς διῆλθον ἐν παντὶ Ἰσραήλ. εἰ λαλῶν ἐλάλη-
Z σα πρὸς μίαν φυλὴν (4) Ἰσραὴλ, ὧν ἐνετειλάμην ποιμαίνειν τὸν λαόν μου Ἰσραὴλ, λέγων, ἵνα τί οὐκ ᾠκοδομήκατέ μοι οἶκον κέδρινον;

** ΙΩΣΗΠΟΥ. Τοῦ Θεοῦ κατ' ἐκείνην τὴν νύκτα τῷ Ναθάνᾳ φανέντος, καὶ φράσαι κελεύσαντος τῷ Δαυίδῃ, ὡς τὴν μὲν προαίρεσιν αὐτοῦ καὶ τὴν ἐπιθυμίαν ἀποδέχεται, μηδενὸς μὲν πρότερον εἰς νοῦν βα-
H λομένου ναὸν αὐτῷ κατασκευάσαι, τούτου δὲ ταύτην διάνοιαν λαβόντος, (5) οὐκ ἐπιτρέπει

(1) Παιδίον, ἕως τῆς ἡμέρας τοῦ ἀποθανεῖν αὐτήν. ἡ ἐν Χάλ. ἔκδ.
(2) Μεμένηκεν. ἡ αὐτ.
(3) Κατῴκηκα. αἱ εἰρημ. ἐκδόσ.
(4) Τοῦ Ἰσρ. αἱ αὐτ.
(5) Τὰ ἑπόμ. τὸ 22. κεφ. τῆς 1. τῶν Παραλειπ. περιέχει.

πεὶ δὲ πολλοὺς πολέμους ἠγωνισμένῳ καὶ φόνῳ τῶν ἐχθρῶν μεμιασμένῳ ποιῆσαι ναὸν αὐτῷ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ νύκτωρ δὲ ἐπιφανεὶς ὁ [δεσπότης] Θεὸς, [ταῦτα] ἔφη πρὸς [τὸν] Νάθαν· πορεύου καὶ εἰπὲ τῷ δούλῳ μου Δαβὶδ, τάδε λέγει Κύριος, οὐ σὺ οἰκοδομήσεις μοι οἶκον τοῦ κατοικῆσαί με. ὅτι οὐ κατῴκηκα ἐν οἴκῳ ἀφ' ἧς ἡμέρας ἀνήγαγον τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου καὶ ἕως τῆς ἡμέρας ταύτης. καὶ πρῶτον μὲν ἐψυχαγώγησεν αὐτὸν τῇ τῆς δουλείας προσηγορίᾳ· εἰπὲ γάρ φησι τῷ Δαβὶδ τῷ δούλῳ μου· ἄκρα δὲ τιμὴ τὸ δοῦλον ὀνομασθῆναι Θεοῦ· ἔπειτα τὸ ἀνενδεὲς τῆς οἰκίας ἐδίδαξε φύσεως. οὐ κατῴκηκα γάρ φησιν ἐν οἴκῳ. τὸ δὲ, ἀφ' ἧς ἡμέρας ἀνήγαγον τοὺς υἱοὺς Ἰσραὴλ ἐξ Αἰγύπτου, ἀντὶ τοῦ, πάντα χρόνον ὃν συνεγενόμην ὑμῖν ἔν τε τῇ ἐρήμῳ καὶ ἐν ταύτῃ τῇ γῇ. ὅτι γὰρ οὐδὲ πρὸ τούτου τοῦ χρόνου νεὼν εἶχεν, αἱ πάλαι διδάσκουσιν ἱστορίαι. εἶτα τὴν ἄπειρον δεικνὺς φιλανθρωπίαν, ἐπήγαγε· καὶ ἤμην ἐμπεριπατῶν ἐν καταλύματι καὶ ἐν σκηνῇ, ἐν πᾶσιν οἷς διῆλθον ἐν παντὶ Ἰσραήλ. καὶ προσέθηκεν, ὡς οὐδενὶ τῶν Κριτῶν τῶν ἐκ διαφόρων φυλῶν, ἢ προσέταξεν οἰκοδομῆσαι νεὼν, ἢ ἐνεκάλεσεν ὡς τοῦτο μὴ δεδρακότι. τοῦτο γὰρ εἶπεν· εἰ λαλῶν ἐλάλησα πρὸς μίαν φυλὴν τοῦ Ἰσραὴλ, οἷς (1) ἐνετειλάμην ποιμαίνειν τὸν λαόν μου τὸν Ἰσραὴλ, λέγων, τί ὅτι οὐκ ᾠκοδομήκατέ μοι οἶκον κέδρινον;

** ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ. Τὴν μὲν προαίρεσιν τῆς εὐσεβείας ἀποδέχεται ὁ Θεός· οὐ μὴν ἐπιτρέπει τὸν οἶκον γενέσθαι. μὴ γὰρ δεῖσθαι Θεὸν ὄντα οἴκου αἰσθητοῦ, μηδὲ ἐξ ἀψύχων λίθων οἰκοδομῆς συστησομένου· ἀλλ' εἰ ἄρα ἐχρῆν Θεὸν οἰκεῖν ἐπὶ γῆς, ἐκ σπέρματος αὐτοῦ τοῦ Δαβὶδ προελεύσεσθαι τὸν ὑποδεξόμενον αὐτοῦ τὴν Θεότητα, ὃς καὶ οἰκοδομήσει τῷ Θεῷ ἐπάξιον ἱερὸν οἶκον καὶ ναὸν ἅγιον, οὗ τὸν θρόνον εἰς τὸν σύμπαντα διαρκέσειν αἰῶνα. ἐδήλου δὲ ἄρα τὸν Χριστὸν αὐτοῦ τὸν ἐκ σπέρματος Δαβὶδ κατὰ σάρκα γεννησόμενον, καὶ τὴν δι' αὐτοῦ καθ' ὅλης τῆς οἰκουμένης συστησομένην Ἐκκλησίαν.

** ΠΡΟΚΟΠΙΟΥ. Οἶκον προσευχῆς κατασκευάζειν οὐκ ἐᾷ τὸν Δαβὶδ, τοὺς ἐν αὐτῷ προσεύχεσθαι μέλλοντας φιλανθρωπίαν διδάσκων. οἱ γὰρ τὸν Προφήτην ὁρῶντες οὐκ ἐπιτραπέντα τὴν οἰκοδομὴν, διὰ τὸ φόνων ἅψασθαι, εἰ καὶ δικαίως, καθαρὰς ἔχειν ἐπαιδεύοντο τὰς χεῖρας. ὅλως δὲ προείλετο τὸν Δαβὶδ ὁ Θεὸς, περὶ μὲν τὰς γυναῖκας ἀρχαίως βεβιωκότα, καὶ τῷ πράγματι χρώμενον ἀδεῶς πρὸ τῆς χάριτος, τῆς δὲ κατὰ νόμον λατρείας, εὐχῶν τε καὶ ψαλμῳδίας καὶ τῆς πρὸς Θεὸν ἀγάπης τῆς τε τοῦ λαοῦ σωτηρίας πολλὴν πεποιημένον πρόνοιαν. καὶ πρὸς μὲν φίλους πιστὸν, εὐγνώμονα δὲ πρὸς εὐεργέτας, καὶ περὶ τοὺς ἀδι-

A κοῦντας οὐ χαλεπόν· ἔτι δὲ καὶ φιλόπτωχον, εἰ καί τις ἄλλος πώποτε. ὧν ἕνεκα κατὰ τὴν καρδίαν εἶναι λέγεται τοῦ Θεοῦ. εἰ δέ που θνητὸς ὢν, ἐσφάλη· ἐμέμψατο μὲν ὁ Δεσπότης, οὐκ ἀπεστράφη δὲ τὸν, πλὴν ὀλίγων, καλόν. ὡς γὰρ ἐν ζυγῷ δικαίῳ πλείονα πολλῷ τῶν ἐλαττωμάτων εὗρε τὰ κατορθώματα.

η. Καὶ νῦν τάδε ἐρεῖς τῷ δούλῳ μου

B τῷ Δαβὶδ, τάδε λέγει Κύριος παντοκράτωρ, ἔλαβόν σε ἐκ τῆς μάνδρας ἀπὸ ὄπισθεν τῶν προβάτων, τοῦ εἶναί σε εἰς ἡγούμενον ἐπὶ τὸν λαόν μου ἐπὶ

θ. τὸν Ἰσραὴλ, Καὶ ἤμην μετὰ σοῦ ἐν πᾶσιν οἷς ἐπορεύου, καὶ ἐξωλόθρευσα πάντας τοὺς ἐχθρούς σου ἀπὸ προσώπου σου, καὶ ἐποίησά σε ὀνομαστὸν κατὰ τὸ ὄνομα τῶν μεγάλων τῶν ἐπὶ

Γ τῆς γῆς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἔπειτα τῷ τῆς εὐνοίας ὀνόματι χρησάμενος, καὶ δοῦλον αὐτοῦ προσαγορεύσας, ἀνέμνησε μὲν αὐτὸν τῆς προβατείας καὶ τῆς ἄλλης πενίας, ἔδειξε δὲ τῆς βασιλείας τὸ ὕψος καὶ τὴν τῆς ἄλλης κηδεμονίας φιλοτιμίαν. ἤμην γάρ φησι μετὰ σοῦ ἐν πᾶσιν οἷς ἐπορεύου, καὶ ἐξωλόθρευσα πάντας τοὺς ἐχθρούς σου ἀπὸ προσώπου σου, καὶ ἐποίησά σοι ὄνομα μέγα κα-

Δ τὰ τὸ ὄνομα τῶν μεγάλων τῶν ἐπὶ τῆς γῆς. ταῦτα δὲ εἰς τὴν τῆς εὐσεβείας καὶ εὐνομίας βεβαίωσιν εἴρηκεν, ἵνα τῶν εὐεργεσιῶν μεμνημένος θεραπεύῃ τὸν εὐεργέτην.

ι. Καὶ θήσομαι τόπον τῷ λαῷ μου τῷ Ἰσραὴλ, καὶ καταφυτεύσω αὐτὸν, καὶ κατασκηνώσει καθ' ἑαυτὸν, καὶ οὐ μεριμνήσει οὐκ ἔτι· καὶ οὐ προσθήσει υἱὸς ἀδικίας τοῦ ταπεινῶσαι αὐ-

E τὸν, καθὼς ἀπ' ἀρχῆς,

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὑπέσχετο δὲ καὶ τοῦ λαοῦ προμηθεῖσθαι. θήσομαι γάρ φησι τόπον τῷ λαῷ μου Ἰσραὴλ, καὶ καταφυτεύσω αὐτὸν, καὶ κατασκηνώσει καθ' ἑαυτόν. κατὰ τὸν θεῖον γὰρ πολιτευόμενος νόμον, τῶν ἄλλων ἐθνῶν ἐκεχώριστο. τὸ δὲ, οὐ προσθήσει υἱὸς ἀδικίας τοῦ ταπεινῶσαι αὐτὸν, τὰ ἑξῆς ἑρμηνεύει. καθὼς ἀπ' ἀρχῆς,

Z φησὶ, καὶ ἀπὸ τῶν ἡμερῶν ὧν ἔταξα Κριτὰς ἐπὶ τὸν λαόν μου Ἰσραήλ. ἐπειδὴ γὰρ ἐν τῷ καιρῷ τῶν Κριτῶν, ποτὲ μὲν Ἀμμανίταις καὶ Μωαβίταις, ποτὲ δὲ Μαδιηναίοις καὶ ἀλλοφύλοις ἐδούλευον, (2) ὑπέσχετο αὐτοῖς ἀκεραίαν σώζειν τὴν βασιλείαν, καὶ τῶν συχνῶν τούτων ἀπαλλάξειν μεταβολῶν.

ια. Καὶ ἀπὸ τῶν ἡμερῶν ὧν ἔταξα κριτὰς ἐπὶ τὸν λαόν μου Ἰσραήλ·

H καὶ ἀναπαύσω σε ἀπὸ πάντων τῶν ἐχθρῶν σου. καὶ ἀναγγελεῖ σοι Κύριος, ὅτι οἶκον οἰκοδομήσεις αὐτῷ.

ΘΕΟΔΩ-

(1) Ὧ. ἢ ἐν Χαλ. ἐκδ.

(2) Ἐδούλευσαν. ἡ αὐτ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα τὸν λογικὸν καὶ σωτήριον καὶ θεῖον αὐτοῖς οἰκοδομήσειν ναὸν ἐπηγγείλατο. » καὶ ἀπαγγελεῖ σοι γάρ » φησι Κύριος, ὅτι οἰκοδομήσει οἶκον ἑαυτῷ. ὅτι δὲ τὴν ἐκ τῆς ἁγίας παρθένου σάρκα αὐτὸς ᾠκοδόμησε, καὶ αὐτὴν ναὸν προσηγόρευσε, καὶ Ἰωάννης ἐδίδαξεν ἐν τοῖς Εὐαγγελίοις, τὴν Ἰουδαίων ἐρώτησιν καὶ τοῦ δεσπότου Χριστοῦ τὴν ἀπόκρισιν τῇ συγγραφῇ τῶν ἱερῶν Εὐαγγελίων ἐντεθεικώς. τῶν

Ἰωάν. 2. 18, 19, 21, 22. γὰρ Ἰουδαίων εἰρηκότων, τί σημεῖον δεικνύεις » ἡμῖν, ὅτι ταῦτα ποιεῖς; ὑπολαβὼν ὁ Κύριος, » ἔφη· λύσατε τὸν ναὸν τοῦτον, καὶ ἐν τρι» σὶν ἡμέραις ἐγερῶ αὐτόν. τοπασάντων δὲ τῶν Ἰουδαίων περὶ τοῦ ἀψύχου ταῦτα εἰρῆσθαι ναοῦ, ὁ Εὐαγγελιστὴς ἐπήγαγεν· αὐ» τὸς δὲ ἔλεγε περὶ τοῦ ναοῦ τοῦ σώματος αὐτοῦ. » καὶ ὅτε ἠγέρθη ἐκ τῶν νεκρῶν, ἔγνωσαν » οἱ μαθηταὶ αὐτοῦ, ὅτι τοῦτο εἶπεν ὁ Ἰησοῦς, » καὶ ἐπίστευσαν τῇ Γραφῇ καὶ τῷ λόγῳ ᾧ » εἶπεν ὁ Ἰησοῦς. ὁ δὲ θεῖος Ἀπόστολος καὶ τῶν πιστῶν τὸν σύλλογον, οἶκον Θεοῦ προσηγό-

Ἑβρ. 3. 6. » ρευσε. Χριστὸς γάρ φησιν ὡς υἱὸς ἐπὶ τὸν » οἶκον αὐτοῦ, οὗ οἶκός ἐσμεν ἡμεῖς. ταῦτα » προηγόρευσεν ὁ Προφήτης· καὶ ἀπαγγελεῖ » σοι Κύριος, ὅτι οἶκον οἰκοδομήσει ἑαυτῷ.

ιβ. Καὶ ἔσται ἐὰν πληρωθῶσιν αἱ
ἡμέραι σου, καὶ κοιμηθήσῃ μετὰ τῶν
πατέρων σου, καὶ ἀναστήσω τὸ σπέρμα
σου μετὰ σέ, ὃς ἔσται ἐκ τῆς κοιλίας
σου, καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐ-
ιγ. τοῦ. Αὐτὸς οἰκοδομήσει οἶκον τῷ ὀνό-
ματί μου, καὶ ἀνορθώσω τὸν θρόνον
ιδ. αὐτοῦ ἕως εἰς τὸν αἰῶνα. Ἐγὼ ἔσομαι
αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι
εἰς υἱόν. καὶ ἐὰν ἔλθῃ ἡ ἀδικία αὐτοῦ,
καὶ ἐλέγξω αὐτὸν ἐν ῥάβδῳ ἀνδρῶν,
ιε. καὶ ἐν ἀφαῖς υἱῶν ἀνθρώπων· Τὸ δὲ
ἔλεός μου οὐκ ἀποστήσω ἀπ' αὐτοῦ, κα-
θὼς ἀπέστησα ἀφ' ὧν ἀπέστησα ἐκ
ις. προσώπου μου. Καὶ πιστωθήσεται ὁ οἶ-
κος αὐτοῦ, καὶ ἡ βασιλεία αὐτοῦ ἕως
αἰῶνος ἐνώπιόν μου· καὶ ὁ θρόνος αὐτοῦ
ἔσται ἀνωρθωμένος εἰς τὸν αἰῶνα.

» ** ΙΩΣΗΠΟΥ. Μετὰ τὸν θάνατον αὐ» τοῦ, γηράσαντος καὶ μακρὸν ἀνύσαντος βίον, » ἔσεσθαι τὸν ναὸν ὑπὸ τοῦ παιδὸς τοῦ μετ' αὐ» τὸν τὴν βασιλείαν παραληψομένου, κλη» θησομένου δὲ Σολομῶνος. οὗ προστήσεσθαι καὶ » προνοήσειν ὡς πατὴρ υἱοῦ κατεπηγγέλλετο, » τὴν μὲν βασιλείαν τέκνων ἐκγόνοις φυλά» ξων καὶ παραδώσων, αὐτὸν δὲ τιμωρήσων, » ἂν ἁμαρτὼν τύχῃ, νόσῳ καὶ γῆς ἀφορίᾳ.

» ** ΚΥΡΙΛΛΟΥ. Καὶ ἀναστήσω ἐκ τοῦ » σπέρματός σου μετὰ σέ, ὃς ἔσται ἐκ τῆς κοι» λίας σου· καὶ ἑτοιμάσω τὴν βασιλείαν αὐ» τοῦ. αὐτὸς οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου. » καὶ ἀνορθώσω τὸν θρόνον αὐτοῦ ἕως εἰς τὸν » αἰῶνα. καὶ ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα,

A » καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. οἶμαι φαίη τὶς ἄν, οὐκ ἐπί γε τῷ Ἐμμανουήλ, εἰρῆσθαι δὲ μᾶλλον ἐπὶ Σολομῶντι ταυτί. Παῦλός γε μὴν ὁ σοφώτατος τοῖς οὕτως ἐθέλουσι νοεῖν ἀντιτάξεται γενικῶς. δέχεται γὰρ ἐπὶ Χριστῷ τὰς φωνάς. καὶ αὐτὸν εἶναί φησι πρὸς ὃν εἴρηται παρὰ τοῦ Θεοῦ καὶ πατρός, » ὅτι ἔσομαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται » μοι εἰς υἱόν. Ἑβρ. 1. 5.

* ΘΕΟΔΩΡΙΤΟΥ. Περὶ δὲ τοῦ χειρο-

B » ποιήτου νεὼ οὕτως ἔφη· καὶ ἔσται ὡς ἂν πλη» ρωθῶσιν αἱ ἡμέραι σου, καὶ κοιμηθήσῃ μετὰ » τῶν πατέρων σου, καὶ ἀναστήσω τὸ σπέρμα» σου μετὰ σὲ [ὃς ἔσται ἐκ τῆς κοιλίας σου, καὶ » ἑτοιμάσω τὴν βασιλείαν αὐτοῦ.] οὗτος οἰκο» δομήσει οἶκον τῷ ὀνόματί μου. ταῦτα περὶ τοῦ Σολομῶντος εἰπών, ἀναμίγνυσι τῇ προῤ» ῥήσει τὰ περὶ τοῦ δεσπότου Χριστοῦ. ἀνορθώ» σω γάρ ἔφη τὸν θρόνον αὐτοῦ ἕως εἰς τὸν » αἰῶνα. καὶ ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα,

Γ » καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. ὅτι δὲ ταῦτα περὶ τοῦ δεσπότου Χριστοῦ ἐῤῥέθη, μάρτυς ὁ θεῖος Ἀπόστολος οὕτως εἰπὼν ἐν τῇ πρὸς » Ἑβραίους ἐπιστολῇ· τίνι γάρ ποτε τῶν Ἀγ- Ἑβρ. 1. 5. » γέλων αὐτοῦ εἶπεν· υἱός μου εἶ [σύ,] ἐγὼ σή» μερον γεγέννηκά σε; καὶ πάλιν, ἐγὼ ἔσο» μαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσται μοι εἰς υἱόν. εἶτα διδάσκει πόσης διὰ τοῦτον τὸν υἱὸν οἱ κατὰ σάρκα αὐτοῦ προπάτορες, [καὶ] παρανομοῦντες, ἀπολαύουσι προνοίας. ἁμαρ-

Δ τάνοντας γάρ φησιν ἐλέγξω καὶ παιδεύσω· » τὸ δὲ ἔλεός μου οὐκ ἀποστήσω ἀπ' αὐτῶν, κα» θὼς ἀπέστησα ἀφ' ὧν ἀπέστησα. τὸ δέ, ἐν » ἀφαῖς υἱῶν ἀνθρώπων, ἀντὶ τοῦ, ταῖς διὰ τῶν ἀνθρώπων παιδείαις τέθεικεν· ἐπεὶ διὰ χειρῶν καὶ ἡ ἀφή, καὶ ἡ ἀνθρωπίνη σφαγή. [καὶ] τὰ ἑξῆς δὲ πάλιν ἥκιστα μὲν τοῖς τοῦ Ἰσραὴλ βασιλεῦσιν ἁρμόττει, ἐπὶ δὲ μόνου τοῦ Χριστοῦ τὸ ἀληθὲς αὐτῶν δείκνυ» ται. πιστωθήσεται γάρ φησιν ὁ οἶκος αὐτοῦ,

E » καὶ ἡ βασιλεία αὐτοῦ [ἕως αἰῶνος ἐνώπιόν » μου·] καὶ ὁ θρόνος αὐτοῦ ἔσται ἀνωρθωμένος εἰς τὸν αἰῶνα. ὁ δὲ Σολομὼν οὐδὲ μακρότερον βίον τῶν ἄλλων ἀνθρώπων ἔσχεν, οὐδὲ εἰς τὸ τοῦ πατρὸς ἔφθασε γῆρας. καὶ τοὺς ἐκ τούτου δὲ ἅπαντας κοινὸν διεδέξατο τέλος. ἀνάγκη τοίνυν δυοῖν θάτερον· ἢ τῷ δεσπότῃ ταῦτα προσαρμόσαι Χριστῷ, ἢ ψευδῆ φάναι τοῦ Θεοῦ τῶν ὅλων τὴν πρόῤῥησιν. (1) οὗτινος τί ἂν εἴη δυσσεβέστερον ἢ

Z ἀνοσιώτερον; ἀνάγκη τοίνυν, κἂν μὴ θέλωσιν οἱ Ἰουδαῖοι τὸ ἕτερον δέξασθαι.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ ἐν τῇ α' τῶν Παραλειπομένων εἴρηται παραπλήσια, δι' ὧν σαφῶς ἡ περὶ Χριστοῦ παρίσταται προφη» τεία. διόπερ ἔλεγον οἱ Ἰουδαῖοι Χριστῷ, ἡμεῖς Ἰωάν. 12. 34. » ἠκούσαμεν ἐν τοῦ νόμου, ὅτι ὁ Χριστὸς μένει » εἰς τὸν αἰῶνα· ᾧ ἡτοίμασε τὸν θρόνον οἰκοδομήσαντι οἶκον τὸν ἐκ λίθων ζώντων πνευματικὸν εἰς ἱεράτευμα ἅγιον τῷ ὀνόμα-

H τι τοῦ πατρός· καὶ τούτου τὸν θρόνον ἀνώρθωσεν ἕως εἰς τὸν αἰῶνα ὁ Θεός. καὶ ὁ Ἀπόστολος δὲ ἐκ τῶν προκειμένων εἴληφε

ῥητῶν

(1) Ἀλλὰ τοῦτο δυσσεβὲς καὶ ἀνόσιον. ἀνάγκ. κτ. ἡ ἐν Χάλ. ἔκδ.

'Εβρ. 1. 5. » ῥητῶν ἐν τῇ πρὸς Ἑβραίȣς τὸ, ἐγὼ ἔσο- A
» μαι αὐτῷ εἰς πατέρα, καὶ αὐτὸς ἔσαι μοι
εἰς ὑὸν, καὶ τὰ περὶ τȣ̃ διαιωνίζοντος θρό-
νȣ. πάντα γὰρ ἐπὶ τȣ̃ Σολομῶντος ȣ̉κ
ἁρμόσει λεχθῆναι. πῶς γὰρ εἰς αἰῶνα ὁ
τȣ́τȣ θρόνος ἀνώρθωται; εἰ γὰρ τῇ δια-
δοχῇ τῶν ἐκγόνων ἐρεῖς, ἔδει τȣ̃το πρὸ Σο-
λομῶντος εἰρῆσθαι Δαβίδ. δεύτερον, πῶς
'Ωσ. 3. 4. » πληρȣ̃ται τὸ, ἡμέρας πολλὰς καθήσονται
» ὑοὶ Ἰσραὴλ, ȣ̉κ ὄντος βασιλέως, ȣ̉δὲ ὄν-
» τος ἄρχοντος; εἰ γὰρ ἀληθὲς, ȣ̉κ ἔσαι B
τότε ἀνωρθωμένος· πῶς ȣ̉̃ν εἰς τὸν αἰῶνα;
ἀλλ' εἰ περὶ Χρισȣ̃ ταῦτα, πῶς ἁρμόσει τὸ,
» καὶ ἐὰν ἔλθῃ ἡ ἀδικία αὐτȣ̃, ἐλέγξω αὐ-
» τὸν ἐν ῥάβδῳ ἀνδρῶν; μήποτε ȣ̉̃ν ὥσπερ
ἀναλαμβάνων τὰ ἡμέτερα πάθη, φησὶν,
αὐτὸς πεπονθέναι καὶ πεπεινηκέναι καὶ δε-
'Ησ. 53. 4. » διψηκέναι; καὶ φέρειν εἴρηται τὰς ἀσθε-
Κολ. 2. 15. » νείας ἡμῶν, καὶ ἐνδύσασθαι τὰς ἀρχὰς καὶ
» ἐξȣσίας, ἵνα ὕσερον αὐτὰς ἐκδυσάμενος,
» ἐν παῤῥησίᾳ θριαμβεύσῃ ἐν τῷ ξύλῳ. καὶ Γ
Ψαλ. 21. 1. ἐν τῷ εἰκοσῷ πρώτῳ ψαλμῷ τὸ, μακρὰν
» ἀπὸ τῆς σωτηρίας μȣ οἱ λόγοι τῶν παρα-
» πτωμάτων μȣ. ἐν δὲ τῷ ἑξηκοσῷ ὀγδόῳ, ὁ
Ψαλ. 68 9, 5. ζῆλος τȣ̃ οἴκȣ σȣ καταφάγεταί με. λέγει
» δὲ καὶ ὁ Θεός· σὺ ἔγνως τὴν ἀφροσύνην μȣ
» καὶ αἱ πλημμέλειαί μȣ ἀπὸ σȣ̃ ȣ̉κ ἀπεκρύ-
» βησαν. ȣ̃τω τὸ, καὶ ἐὰν ἔλθῃ ἡ ἀδικία
αὐτȣ̃· καί τοι ȣ̉δὲ ἐνταῦθα εἴρηται, ἐὰν
» ἀδικήσῃ, ἀλλ' ἐὰν ἔλθῃ ἡ ἀδικία αὐτȣ̃.
ἡμεῖς δὲ οἱ αὐτȣ̃, καὶ ἡμεῖς ἡ ἀδικία, πρὸς Δ
'Εφεσ. 5. 8. ȣ̃ς εἴρηται· ἦτε ποτὲ σκότος. καὶ ἐπεὶ ὑπὲρ
ἡμῶν ἀπέθανε, δύναται ἐπὶ τȣ́τῳ ἀναφέ-
» ρεσθαι τὸ, καὶ ἐὰν ἔλθῃ ἡ ἀδικία αὐτȣ̃,
» καὶ ἐλέγξω αὐτὸν ἐν ῥάβδῳ ἀνδρῶν, καὶ
» ἐν ἁφαῖς ὑῶν ἀνθρώπων. ὅπερ αὐτὸν ὡς
φύσει Θεὸν, καὶ ὡς ἀναμάρτητον κατὰ τὸ
ἀνθρώπινον, ἀλλότριον ἀνδρῶν καὶ ὑῶν ἀν-
θρώπων ὑπέφηνε.

ιζ. Κατὰ πάντας τȣ̀ς λόγȣς τȣ́- E
τȣς, καὶ κατὰ πᾶσαν τὴν ὅρασιν ταύ-
την, ȣ̃τως ἐλάλησε Νάθαν πρὸς Δα-
ιη. βίδ. Καὶ εἰσῆλθεν ὁ βασιλεὺς Δα-
βὶδ, καὶ ἐκάθισεν ἐνώπιον Κυρίȣ, καὶ
εἶπε, τίς εἰμι ἐγὼ, κύριέ μȣ Κύριε, καὶ
τὶς ὁ οἶκός μȣ, ὅτι ἠγάπηκάς με ἕως
τȣ́των;

** ΙΩΣΗΠΟΥ. Μαθὼν ταῦτα παρὰ
τȣ̃ Προφήτȣ Δαυΐδης, καὶ περιχαρὴς γενό-
μενος ἐπὶ τῷ τοῖς ἐκγόνοις αὐτȣ̃ τὴν ἀρχὴν
διαμένȣσαν ἐγνωκέναι βεβαίως, καὶ τὸν οἶ-
κον αὐτȣ̃ λαμπρὸν ἐσόμενον καὶ περιβόη-
τον, πρὸς τὴν κιβωτὸν παραγίνεται, καὶ
πεσὼν ἐπὶ πρόσωπον, ἤρξατο προσκυνεῖν,
καὶ περὶ πάντων εὐχαρισεῖν τῷ Θεῷ, ὧν τε
αὐτῷ παρέσχηκεν ἤδη, ἐκ ταπεινȣ̃ καὶ ποιμέ-
νος εἰς τηλικȣ̃τον μέγεθος ἡγεμονίας τε καὶ
δόξης ἀναγαγὼν, ὧν τε τοῖς ἐγγόνοις αὐτȣ̃
καθυπέσχετο, καὶ τῆς προνοίας ἣν Ἑβραίων H
καὶ τῆς τȣ́των ἐλευθερίας ἐποιήσατο.

A * ΘΕΟΔΩΡΙΤΟΥ. Τȣ́των ἀκȣ́σας ὁ
βασιλεὺς, τὸν μεγαλόδωρον Κύριον ὕμνη-
σε· καὶ πρῶτον ὡμολόγησε τὴν οἰκείαν εὐ-
» τέλειαν. τίς εἰμι ἐγὼ, κύριέ μȣ Κύριε, καὶ
» τὶς ὁ οἶκος τȣ̃ πατρός μȣ, ὅτι ἠγάπησάς
» με ἕως τȣ́τȣ; δηλοῖ δὲ ὁ λόγος τῶν δω-
ρεῶν τὸ μέγεθος.

ιθ. Καὶ κατεσμικρύνθην μικρὸν (1)
ἐνώπιόν σȣ, κύριέ μȣ Κύριε, καὶ ἐλά-
B λησας ὑπὲρ τȣ̃ οἴκȣ τȣ̃ δȣ́λȣ σȣ εἰς
μακράν. ȣ̃τος δὲ ὁ νόμος τȣ̃ ἀνθρώ-
πȣ, κύριέ μȣ Κύριε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα τὸ παντοδύ-
ναμον τȣ̃ Δεσπότȣ διδάσκων, ἐπήγαγε· καὶ
» κατεσμίκρυνται τὰ μικρὰ ταῦτα ἐνώπιόν
» σȣ, κύριέ μȣ Κύριε. ἐθαύμασά φησι τὴν
τῶν ἐπηγγελμένων ὑπερβολὴν, εἰς ἐμαυ-
τὸν ἀποβλέψας· μικρὰ δὲ ταῦτα τῇ σῇ
δυνάμει παραβαλλόμενα.
Γ
κ. Καὶ τὶ προσθήσει Δαβὶδ ἔτι τȣ̃
λαλῆσαι πρὸς σέ; καὶ νῦν σὺ οἶδας
κα. τὸν δȣ̃λόν σȣ, κύριέ μȣ Κύριε, Καὶ
διὰ τὸν λόγον σȣ (2) πεποίηκας, καὶ
κατὰ τὴν καρδίαν σȣ ἐποίησας πᾶ-
σαν τὴν μεγαλωσύνην ταύτην, γνω-
κβ. ρίσαι τῷ δȣ́λῳ σȣ, Ἕνεκεν τȣ̃ μεγα-
λυνθῆναί σε, (3) κύριέ μȣ Κύριε· ὅτι
Δ ȣ̉κ ἔσιν ὡς σὺ, καὶ ȣ̉κ ἔσι Θεὸς πλὴν
σȣ̃ ἐν πᾶσιν οἷς ἠκȣ́σαμεν ἐν τοῖς ὠσὶν
κγ. ἡμῶν. Καὶ τὶς ὡς ὁ λαός σȣ Ἰσραὴλ
ἔθνος ἄλλο ἐν τῇ γῇ; ὡς ὡδήγησεν
αὐτὸν ὁ Θεὸς τȣ̃ λυτρώσασθαι αὐτῷ
λαὸν, τȣ̃ θέσθαι σε ὄνομα, τȣ̃ ποιῆ-
σαι μεγαλωσύνην καὶ ἐπιφάνειαν,
τȣ̃ ἐκβαλεῖν σε ἐκ προσώπȣ τȣ̃ λαȣ̃
E σȣ, ȣ̃ς ἐλυτρώσω σεαυτῷ ἐξ Αἰγύ-
κδ. πτȣ, ἔθνη καὶ σκηνώματα; Καὶ ἡτοί-
μασας σεαυτῷ τὸν λαόν σȣ Ἰσραὴλ
εἰς λαὸν ἕως αἰῶνος, καὶ σὺ Κύριε ἐγέ-
νȣ αὐτοῖς εἰς Θεόν.

κε. Καὶ νῦν, κύριέ μȣ Κύριε, τὸ
ῥῆμα ὃ ἐλάλησας περὶ τȣ̃ δȣ́λȣ σȣ
καὶ τȣ̃ οἴκȣ αὐτȣ̃, πίσωσον ἕως αἰῶ-
κς. νος, καθὼς ἐλάλησας, Καὶ μεγα-
Z λυνθείη τὸ ὄνομά σȣ ἕως αἰῶνος, λέ-
κζ. γων· Κύριος παντοκράτωρ Θεὸς ἐπὶ
τὸν Ἰσραὴλ, καὶ νῦν καθὼς ἐλάλη-
σας μεγαλυνθείη τὸ ὄνομά σȣ ἕως
αἰῶνος, λέγει Κύριος παντοκράτωρ
Θεὸς Ἰσραὴλ, ἀπεκάλυψας τὸ ὠτίον
τȣ̃ δȣ́λȣ σȣ, λέγων, οἶκον οἰκοδομή-
σω σοι· διὰ τȣ̃το εὗρεν ὁ δȣ̃λός σȣ
H τὴν καρδίαν ἑαυτȣ̃ τȣ̃ προσεύξασθαι
πρὸς σὲ τὴν προσευχὴν ταύτην.

(1) Κατεσμίκρυνται τὰ μικρὰ ταῦτα. ἡ τȣ̃ Ἀλδ. ἔκδ. καὶ ὁ Θεοδώριτ.
(2) Διὰ τὸν δȣ̃λόν σȣ. αἱ εἰρημ. ἐκδόσ.
(3) Μεγαλυνθῆναί σε. αἱ αὐτ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἔπειτα τὸν ὕμνον ἐκλείνας, καὶ βεβαιωθῆναι τὰς ἐπαγγελίας ἀντιβολήσας, ἐπήγαγε· καὶ νῦν, κύριέ μου Κύριε, τὸ ῥῆμα ὃ ἐλάλησας ὑπὲρ τοῦ δούλου σου, καὶ ὑπὲρ τοῦ οἴκου αὐτοῦ, πιστωθήτω ἕως αἰῶνος· καὶ ὅτι τὴν ἐπαγγελίαν ἐκείνην ἱκετεύει βεβαιωθῆναι, τὰ ἐπαγόμενα μαρτυρεῖ· ὅτι σὺ Κύριε παντοκράτωρ ὁ Θεὸς Ἰσραὴλ, ἀπεκάλυψας τὸ ὠτίον τοῦ δούλου σου, λέγων, οἶκον οἰκοδομήσω σοι. σὺ, φησὶν, ἀγνοοῦντα ἐδίδαξας, ὅτι τὸν οἶκον ἐκεῖνον οἰκοδομήσεις, δι' οὗ περίβλεπτος ἔσομαι πᾶσιν ἀνθρώποις.

A ταύτην ἐμπεδωθῆναι τὴν ἐπαγγελίαν παρακαλῶ.

κη. Καὶ νῦν, κύριέ μου Κύριε, σὺ εἶ ὁ Θεὸς, καὶ οἱ λόγοι σου ἔσονται ἀληθινοὶ, καὶ ἐλάλησας ὑπὲρ τοῦ δούλου σου

κθ. τὰ ἀγαθὰ ταῦτα. Καὶ νῦν ἄρξαι καὶ εὐλόγησον τὸν οἶκον τοῦ δούλου σου, τοῦ εἶναι εἰς τὸν αἰῶνα ἐνώπιόν σου, ὅτι B σὺ κύριέ μου Κύριε ἐλάλησας, καὶ ἀπὸ τῆς εὐλογίας σου εὐλογηθήσεται ὁ οἶκος τοῦ δούλου σου εἰς τὸν αἰῶνα.

ΚΕΦ. Η.

α. Καὶ ἐγένετο μετὰ ταῦτα, καὶ ἐπάταξε Δαβὶδ τοὺς ἀλλοφύλους, καὶ ἐτροπώσατο αὐτούς. καὶ ἔλαβε Δαβὶδ τὴν ἀφωρισμένην ἐκ χειρὸς (1) ἀλλοφύλων.

* ΠΡΟΚΟΠΙΟΥ. Ἀκύλας τὴν ἀφωρισμένην, χαλινὸν ὑδραγωγίου ἐξέδωκε.

** ΙΩΣΗΠΟΥ. Ἄρας ἐκ τῶν Ἱεροσολύμων ἐπὶ τοὺς Παλαιστίνους ἧκε. κρατήσας δ' αὐτῶν τῇ μάχῃ, πολλὴν τῆς χώρας ἀποτεμόμενος, καὶ προσορίσας τῇ τῶν Ἑβραίων, ἐπὶ τοὺς Μωαβίτας τὸν πόλεμον μετήγαγε.

ϛ. Καὶ ἐπάταξε Δαβὶδ τὴν Μωὰβ, καὶ διεμέτρησεν αὐτοὺς ἐν χοινίοις, κοιμήσας αὐτοὺς ἐπὶ τὴν γῆν· καὶ ἐγένετο τὰ δύω χοινίσματα τοῦ θανατῶσαι, καὶ τὰ δύω χοινίσματα ἐζώγρησε. καὶ ἐγένετο Μωὰβ τῷ Δαβὶδ εἰς δούλους φέροντας ξένια.

** ΙΩΣΗΠΟΥ. Τὰ μὲν δύω μέρη τῆς στρατιᾶς αὐτῶν τῇ μάχῃ νικήσας, διέφθειρε· τὸ δὲ λειπόμενον, αἰχμάλωτον ἔλαβε, φόρους τε αὐτοῖς ἐπιτάξας κατ' ἔτος τελεῖν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, ἐπάταξε Δαβὶδ τὴν Μωὰβ, καὶ διεμέτρησεν αὐτοὺς ἐν σχοινίῳ, κοιμήσας αὐτοὺς ἐπὶ τὴν γῆν; Τοσοῦτον ἦν τῆς νίκης τὸ κράτος, καὶ τῶν ζωγρηθέντων τὸ πλῆθος, ὡς μὴ ἀνασχέσθαι τούτους ἀριθμῷ ὑπολαβεῖν. ἐκέλευσε γὰρ αὐτοὺς ἐπὶ τῆς γῆς καταβληθῆναι πρηνεῖς, τριχῇ διελὼν· καὶ τὰς μὲν δύω μοίρας κατέκτεινε, τὴν δὲ μίαν ἐζώγρησε, καὶ φόρον φέρειν ἐκέλευσε.

γ. Καὶ ἐπάταξε Δαβὶδ τὸν Ἀδραζὰρ υἱὸν Ῥαὰβ, βασιλέως (2) τοῦ Σουβὰ, πορευομένου αὐτοῦ ἐπιστῆσαι τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν ποταμὸν Εὐφράτην.

** ΙΩΣΗΠΟΥ. Εἶτα ἐπὶ τὸν Ἀδραζαρον τὸν Ἀράου μὲν υἱὸν, βασιλέα δὲ τῆς Σωφηνῆς ἐστράτευσε· καὶ συμβαλὼν αὐτῷ Γ παρὰ τὸν Εὐφράτην ποταμὸν, τῶν μὲν πεζῶν αὐτοῦ διέφθειρεν ὡς δισμυρίους, τῶν δὲ ἱππέων ὡς ἑπτακισχιλίους. ἔλαβε δὲ αὐτοῦ καὶ ἅρματα χίλια. καὶ τὰ πλείω μὲν αὐτῶν ἠφάνισεν, ἑκατὸν δὲ μόνα προσέταξεν αὐτῷ φυλαχθῆναι.

δ. Καὶ προκατελάβετο Δαβὶδ τῶν αὐτοῦ χίλια ἅρματα, καὶ ἑπτὰ χιλιάδας ἱππέων, καὶ εἴκοσι χιλιάδας ἀνδρῶν πεζῶν. καὶ παρέλυσε Δαβὶδ Δ πάντα τὰ ἅρματα, καὶ ὑπελείπετο ἐξ αὐτῶν ἑκατὸν ἅρματα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὰ ἅρματα τῶν Σύρων τὰ πλεῖστα διέλυσεν; Ὁ θεῖος παρακελεύεται νόμος, μὴ πολλοῖς ἵπποις κεχρῆσθαι τοὺς βασιλέας, ἵνα μὴ αὐτοῖς, ἀλλὰ τῇ θείᾳ δυνάμει θαρρῶσι. τοῦτον πληρῶν (3) τὸν νόμον, τὰ πλεῖστα τῶν ἁρμάτων διέλυσεν. ἔστι δὲ καὶ ἐν τοῖς ψαλμοῖς [αὐτοῦ] ἀκοῦσαι μελῳδοῦντος, [καὶ E λέγοντος·] οὐ σώζεται βασιλεὺς διὰ πολλὴν δύναμιν, [καὶ γίγας οὐ σωθήσεται ἐν πλήθει ἰσχύος αὐτοῦ. ψευδὴς ἵππος εἰς σωτηρίαν, ἐν δὲ πλήθει δυνάμεως αὐτοῦ οὐ σωθήσεται.] Ψαλ. 32. 16, 17.

ε. Καὶ παραγίνεται Συρία Δαμασκοῦ βοηθῆσαι τῷ Ἀδραζὰρ βασιλεῖ Σουβὰ, καὶ ἐπάταξεν ὁ Δαβὶδ ἐν τῷ Σύρῳ εἴκοσι καὶ δύω χιλιάδας ἀνδρῶν. Z

** ΙΩΣΗΠΟΥ. Ἀκούσας δὲ ὁ Δαμασκοῦ καὶ Σύρων βασιλεὺς Ἄδαδος, ὅτι πολεμεῖ Δαυΐδης τὸν Ἀδράζαρον, φίλος ὢν αὐτῷ, μετὰ δυνάμεως ἧκεν ἰσχυρᾶς συμμαχήσων, ἀπαλλάξαι δὲ ὡς προσεδόκα. καὶ συμβαλὼν πρὸς τῷ Εὐφράτῃ ποταμῷ, πταίσας δὲ τῇ μάχῃ, πολλοὺς ἀπέβαλε τῶν στρατιωτῶν. ἔπεσον γὰρ ὑπὸ τῶν H Ἑβραίων ἀναιρούμενοι τῆς Ἀδάδου δυνάμεως δισμύριοι, οἱ δὲ λοιποὶ πάντες ἔφυγον. μέμνηται δὲ τούτου τοῦ βασιλέως καὶ Νικο-

(1) Τῶν ἀλλοφ. αἱ αὐτ. (2) Βασιλέα Σουβά. αἱ αὐτ. (3) Τηρῶν. ἡ ἐν Χάλ. ἔκδ.

Νικόλαος (1) ἐν τῇ τετάρτῃ τῶν ἱστοριῶν,
» λέγων οὕτως· μετὰ δὲ ταῦτα πολλῷ χρόνῳ
» ὕστερον τῶν ἐγχωρίων τὶς Ἄδαδος ὄνομα
» πλεῖον ἰσχύσας Δαμασκοῦ τε καὶ τῆς ἄλ-
» λης Συρίας ἔξω Φοινίκης ἐβασίλευσε. πό-
» λεμον δὲ ἐξενέγκας πρὸς Δαυίδην βασι-
» λέα τῆς Ἰουδαίας, καὶ πολλαῖς μάχαις κρι-
» θεὶς, ὑστάτῃ τε παρὰ τὸν Εὐφράτην, ἐν
» ᾗ ἡττᾶτο, ἄριστος ἔδοξεν εἶναι βασιλέων
» ῥώμῃ καὶ ἀνδρείᾳ.

ς. Καὶ ἔθετο Δαβὶδ Φρουρὰς (2) ἐν Συρίᾳ τῇ κατὰ Δαμασκὸν, καὶ ἐγένετο Συρία (3) τῷ Δαβὶδ εἰς δούλους φέροντας ξένια. καὶ ἔσωσε Κύριος τὸν Δαβὶδ ἐν πᾶσιν οἷς ἐπορεύετο.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πεπλήρωκε δὲ καὶ Ἰσαὰκ τοῦ πατριάρχου τὴν εὐλογίαν τὴν
Γεν. 27. 29. τῷ Ἰακὼβ δοθεῖσαν. γίνου γὰρ ἔφη κύριος
» τοῦ ἀδελφοῦ σου. αὐτὸς δὲ τὴν Ἰδουμαίαν ἐπάταξε, καὶ ἔθετο φρουρὰν ἐν αὐτῇ.

ζ. Καὶ ἔλαβε Δαβὶδ τοὺς χλιδῶνας τοὺς χρυσοῦς, οἳ ἦσαν ἐπὶ τῶν παίδων τῶν Ἀδραζὰρ βασιλέως Σουβὰ, καὶ ἤνεγκεν αὐτὰ εἰς Ἱερουσαλήμ. καὶ ἔλαβεν αὐτὰ Σουσακὶμ βασιλεὺς Αἰγύπτου, ἐν τῷ ἀναβῆναι αὐτὸν εἰς Ἱερουσαλὴμ ἐν ἡμέραις Ῥοβοὰμ υἱοῦ Σολομῶντος. (4)

* ΘΕΟΔΩΡΙΤΟΥ. Τοὺς μέντοι χλιδῶ-
» νας τῶν Σύρων τοὺς χρυσοῦς, κλοιοὺς ὁ Ἀκύ-
» λας ἡρμήνευσεν· Ἐμὰθ (5) δὲ, τὴν ἐπιφάνειαν τῆς Συρίας.

** ΙΩΣΗΠΟΥ. Δαυίδης στρατευσάμενος ἐπὶ Δαμασκὸν καὶ τὴν ἄλλην Συρίαν, πᾶσαν αὐτὴν ὑπήκοον ἐποιήσατο, καὶ φρουρὰς ἐν τῇ χώρᾳ καταστήσας, καὶ φόρους αὐτοῖς τελεῖν ὁρίσας, ὑπέστρεψε· καὶ τάς τε χρυσᾶς φαρέτρας καὶ τὰς πανοπλίας, ἃς οἱ τοῦ Ἀδάδου σωματοφύλακες ἐφόρουν, ἀνέθηκε τῷ Θεῷ εἰς Ἱεροσόλυμα. ἃς ὕστερον ὁ τῶν Αἰγυπτίων βασιλεὺς Σούσακος στρατεύσας ἐπὶ τὸν υἱωνὸν αὐτοῦ Ῥοβόαμον ἔλαβε, καὶ πολὺν ἄλλον ἐκ τῶν Ἱεροσολύμων ἐξεφόρησε πλοῦτον.

η. Καὶ ἐκ τῆς Μετεβὰκ καὶ ἐκ τῶν ἐκλεκτῶν πόλεων τοῦ Ἀδραζὰρ ἔλαβεν ὁ βασιλεὺς Δαβὶδ χαλκὸν πολὺν σφόδρα. ἐν αὐτῷ ἐποίησε Σολομὼν τὴν θάλασσαν τὴν χαλκῆν, καὶ τοὺς στύλους, καὶ τοὺς λουτῆρας, καὶ πάντα τὰ σκεύη.

** ΙΩΣΗΠΟΥ. Ὁ τῶν Ἑβραίων βασιλεὺς, τοῦ Θεοῦ συμπνέοντος αὐτῷ, καὶ τοὺς πολέμους συγκατορθοῦντος, καὶ ταῖς καλ-
A λίστοις τῶν Ἀδραζάρου πόλεων ἐπεστράτευσε, Βετταίᾳ καὶ Μάχωνι· καὶ λαβὼν αὐτὰς, κατὰ κράτος διήρπασε. χρυσὸς δὲ ἐν αὐταῖς ηὑρέθη πάμπολυς καὶ ἄργυρος, ἔτι δὲ καὶ χαλκὸς, ὃν τοῦ χρυσοῦ κρείττονα ἔλεγον· ἐξ οὗ καὶ ὁ Σολομὼν τὸ μέγα σκεῦος, θάλασσαν δὲ καλούμενον ἐποίησε, καὶ τοὺς καλλίστους ἐκείνους λουτῆρας, ὅτε τῷ Θεῷ τὸν ναὸν κατεσκεύασε.

B
θ. Καὶ ἤκουσε Θοοὺ ὁ βασιλεὺς Ἡμὰθ, ὅτι ἐπάταξε Δαβὶδ πᾶσαν
ι. τὴν δύναμιν Ἀδραζὰρ, Καὶ ἀπέστειλε Θοοὺ Ἰεδδουρὰν (6) υἱὸν αὐτοῦ πρὸς τὸν βασιλέα Δαβὶδ ἐρωτῆσαι αὐτὸν τὰ εἰς εἰρήνην, καὶ εὐλογῆσαι αὐτὸν ὑπὲρ οὗ ἐπολέμησε τὸν Ἀδραζὰρ, καὶ ἐπάταξεν αὐτὸν, ὅτι ἀντικείμενος ἦν τῷ Ἀδραζάρ· καὶ ἐν ταῖς χερσὶν αὐτοῦ
Γ ἦσαν σκεύη ἀργυρᾶ, καὶ σκεύη χρυ-
ια. σᾶ, καὶ σκεύη χαλκᾶ. Καί γε (7) αὐτὰ ἡγίασεν ὁ βασιλεὺς Δαβὶδ τῷ Κυρίῳ, μετὰ τοῦ ἀργυρίου καὶ μετὰ
ιβ. τοῦ χρυσίου οὗ ἡγίασεν, (8) Ἐκ τῆς Ἰδουμαίας, καὶ ἐκ τῆς Μωὰβ, καὶ ἐκ τῶν υἱῶν Ἀμμὼν, καὶ ἐκ τῶν ἀλλοφύλων, καὶ ἐξ Ἀμαλὴκ, καὶ ἐκ τῶν
Δ σκύλων Ἀδραζὰρ υἱοῦ Ῥαὰβ βασι-
ιγ. λέως Σουβά. Καὶ ἐποίησε Δαβὶδ ὄνομα. καὶ ἐν τῷ ἀνακάμπτειν αὐτὸν ἐπάταξε τὴν Ἰδουμαίαν ἐν Γεβελὲμ εἰς (9) χιλιάδας.

ιδ. Καὶ ἔθετο ἐν τῇ Ἰδουμαίᾳ φρουρὰς, ἐν πάσῃ τῇ Ἰδουμαίᾳ· (10) καὶ ἐγένοντο πάντες οἱ Ἰδουμαῖοι δοῦλοι τῷ Δαβίδ. καὶ ἔσωσε Κύριος τὸν Δαβὶδ ἐν πᾶσιν οἷς ἐπορεύθη.

E
» * ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ, ἐν πάσῃ τῇ
» Ἰδουμαίᾳ ἔθηκεν ἐστηλωμένους, δηλοῖ ὡς ἐν ἑκάστῃ πόλει κατέστησε τοὺς φρουρούς. οὓς γάρ τινες καλοῦσιν ἐγκαθέτους, ἐστηλωμέ-
» νους ὠνόμασεν. εἶτα ἐπήγαγε· καὶ ἐγένοντο
» πάντες οἱ Ἰδουμαῖοι δοῦλοι τῷ Δαβίδ. ἐπέθηκε τοίνυν τῇ προγονικῇ προῤῥήσει τὸ τέλος.

» ** ΠΡΟΚΟΠΙΟΥ. Ἐν πάσῃ τῇ Ἰδου-
Z » μαίᾳ ἔθηκεν ἐστηλωμένους. Πεπλήρωται νῦν τὸ πρὸς Ἰακὼβ ἐπαγγελθὲν ὑπὸ Ἰσαάκ.
» γίνου γάρ ἔφη κύριος τοῦ ἀδελφοῦ σου. πατά- Γεν. 27. 29.
ξας γὰρ, ὑπόφορον τὴν Ἰδουμαίαν ἐποίησεν. ἐστηλωμένους δέ φησι τοὺς ἐγκαταστάντας φρουρούς. οὓς νῦν τινὲς ἐγκαθέτους φασί.

ιε. Καὶ ἐβασίλευσε Δαβὶδ ἐπὶ Ἰσραήλ. καὶ ἦν Δαβὶδ ποιῶν κρίμα

(1) Τουτέστιν ὁ Δαμασκηνὸς ὁ τοῦ Αὐγούστου καὶ Ἡρώδου φίλος. ἐν ταῖς σημειώσ. ταῖς ἐν σελ. 375. τοῦ 1. Τόμ. τῆς ἐν Ἀμστελ. ἐκδόσ. (2) Φρουράν. αἱ αὐτ. (3) Ὁ Σύρος. αἱ αὐτ. (4) Σαλωμῶντος. αἱ αὐτ. (5) Ἡμάθ. ἐν τῷ Θ' ἐδ. (6) Τὸν υἱόν. αἱ αὐτ. (7) Καὶ ταῦτα. αἱ αὐτ. (8) Ἐκ πασῶν τῶν πόλεων ὧν κατεδυνάστευσεν, ἐκ τῆς Ἰδουμ. αἱ αὐτ. (9) Εἰς Ὀκτωκαίδεκα χιλ. αἱ αὐτ. (10) Ἰδουμαίᾳ ἔθηκεν ἐστηλωμένους. αὐτ. ἐν ταῖς σημ. καὶ παρὰ Θεοδωρίτ. καὶ Προκοπ.

μα καὶ δικαιοσιώιω ἐπὶ πάντα τὸν A
λαὸν αὐτῦ.

⁎ ΘΕΟΔΩΡΙΤΟΥ. Μέλλων δ' ὁ συγγραφεὺς τἰὼ παρανομίαν διηγεῖσθαι, ἣ περιπέπτωκεν ὁ θεῖος ἀνὴρ, (1) πρῶτον αὐτῦ καταλέγει τὰς ἀρετάς· ἵνα γνῶμεν, ὡς ἐ γνώμης ἰὼ, ἀλλὰ περιςάσεως τὸ πλημ-
» μέλημα. ἰὼ γάρ φησι Δαβὶδ ποιῶν κρίμα
» καὶ δικαιοσιώιω εἰς πάντα τὸν λαὸν αὐτῦ.

ις. Καὶ Ἰωὰβ ὑὸς Σαρϋία ἐπὶ τῆς B
ςρατιᾶς· καὶ Ἰωσαφὰτ ὑὸς Ἀχιλὰδ
ἐπὶ τῶν ὑπομνημάτων·

» ⁎⁎ ΠΡΟΚΟΠΙΟΥ. Ἐπὶ τῶν ὑπομνη-
» μάτων· Ἀκύλας, ἀναμιμνήσεων.

⁎ ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα λέγει τὺς ἄρχοντας, ὅτι ὁ δεῖνα μὲν τἰὼ δε τἰὼ ἀρχἰὼ, ὁ δεῖνα δὲ τἰὼ δε ἐπιςεύθη.

ιζ. Καὶ Σαδὼκ ὑὸς Ἀχιτὼβ καὶ
Ἀχιμέλεχ ὑὸς Ἀβιάθαρ ἱερεῖς· καὶ
ιη. Σϋβὰ ὁ γραμματεύς· Καὶ Βανέας (2)
ὑὸς Ἰωδαὲ σύμβϋλος· καὶ ὁ Χελεθθὶ, καὶ ὁ Φελτὶ, (3) ὑοὶ Δαβὶδ αὐλάρχαι ἦσαν.

⁎ ΘΕΟΔΩΡΙΤΟΥ. Ἐμνήσθη δὲ καὶ τῶν ἱερέων, τῦ Σαδὼκ καὶ τῦ Ἀβιάθαρ. ἐνταῦθα δὲ οἶμαι γραφικὸν εἶναι ἁμάρτημα. ὐ γὰρ Ἀχιμέλεχ ὑὸς Ἀβιάθαρ, ἀλλ' Ἀβιάθαρ ὑὸς Ἀχιμέλεχ. τὸν δὲ Φελεθὶ καὶ τὸν Χερεθὶ, τὺς σφενδονίτας καὶ τὺς τοξότας καλεῖ.

ΚΕΦ. Θ.



α. Καὶ εἶπε Δαβὶδ, εἰ ἔςιν ἔτι Γ
ὑπολελειμμένος ἐν τῷ οἴκῳ Σαϋλ, καὶ ποιήσω μετ'
αὐτῦ ἔλεος ἕνεκεν Ἰωνάθαν;

⁎ ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ περὶ τὺς ἐχθρὺς φιλάνθρωπος, ὐκ ἄρα ἠμέλλεν ἀμνημονεῖν (4) τῶν φίλων. ὅθεν ἤρετο, εἰ ἔςι
» τὶς ἔτι ὑπολελειμμένος τῷ οἴκῳ Σαϋλ, καὶ
» ποιήσω ἔλεος μετ' αὐτῦ ἕνεκεν Ἰωνάθαν.
» διὰ γὰρ τἰὼ περὶ τῦτον εὔνοιαν παρεώρα
τἰὼ ἐκείνυ δυσμένειαν.

β. Καὶ ἐκ τῦ οἴκυ Σαϋλ ἰὼ παῖς,
καὶ ὄνομα αὐτῷ Σιβά· καὶ καλῦσιν
αὐτὸν πρὸς Δαβίδ. καὶ εἶπε πρὸς αὐτὸν
ὁ βασιλεὺς, εἰ σὺ εἶ Σιβά; καὶ
γ. εἶπεν, ἐγὼ δῦλος σός. Καὶ εἶπεν ὁ
βασιλεὺς, εἰ ὑπολέλειπται ἐκ τῦ οἴκυ
Σαϋλ ἔτι ἀνὴρ, καὶ ποιήσω μετ' αὐτῦ
ἔλεος Θεῦ; καὶ εἶπε Σιβὰ πρὸς τὸν
βασιλέα, ἔτι ἐςὶν ὑὸς τῷ Ἰωνάθαν
δ. πεπληγὼς τὺς πόδας. Καὶ εἶπεν ὁ
βασιλεὺς, πῦ ὗτος; καὶ εἶπε Σιβὰ
πρὸς τὸν βασιλέα, ἰδὺ ἐν οἴκῳ Μαχὶρ
ὑῦ Ἀμιὴλ ἐκ τῆς Λαδάβαρ. (5)
ε. Καὶ ἀπέςειλεν ὁ βασιλεὺς Δαβὶδ,
καὶ ἔλαβεν αὐτὸν ἐκ τῦ οἴκυ Μαχὶρ
ς. ὑῦ Ἀμιὴλ ἐκ τῆς Λαδάβαρ. Καὶ
παραγίνεται Μεμφιβοσθὲ ὑὸς Ἰωνάθαν
ὑῦ Σαϋλ πρὸς τὸν βασιλέα Δαβὶδ,
καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτῦ,
καὶ προσεκιώησεν αὐτῷ. καὶ εἶπεν αὐτῷ
Δαβὶδ, Μεμφιβοσθέ; καὶ εἶπεν,
ἰδὺ ὁ δῦλός συ.
ζ. Καὶ εἶπεν αὐτῷ Δαβὶδ, μὴ φοβῦ,
ὅτι ποιῶν ποιήσω μετὰ σῦ ἔλεος
διὰ Ἰωνάθαν τὸν πατέρα συ, καὶ ἀπο- H
καταςήσω σοι πάντα ἀγρὸν Σαϋλ
πατρὸς τῦ πατρός συ, καὶ σὺ φαγῇ ἄρτον
ἐπὶ τῆς τραπέζης μυ διαπαντός.

⁎ ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα πάσης ἀξιοῖ τὸν Μεμφιβαὰλ θεραπείας, πάντων μὲν αὐτὸν ἀποφῄνας εἶναι τὸν τῦ Σαϋλ κτημάτων δεσπότἰὼ· σιωεῖναι δὲ αὐτῷ κελεύσας, καὶ ὁμοδίαιτον εἶναι διlωεκῶς.

η. Καὶ προσεκιώησεν αὐτῷ Μεμ-
Δ φιβοσθὲ, καὶ εἶπε, τίς εἰμι ὁ δῦλός
συ, ὅτι ἐπέβλεψας ἐπὶ τὸν κιώα τὸν
θ. τεθνηκότα τὸν ὅμοιον ἐμοί; Καὶ ἐκάλεσεν
ὁ βασιλεὺς Σιβὰ τὸ παιδάριον
Σαϋλ, καὶ εἶπε πρὸς αὐτὸν, πάντα
ὅσα ἐςὶ τῷ Σαϋλ καὶ ὅλῳ τῷ οἴκῳ αὐ-
ι. τῦ δέδωκα τῷ ὑῷ τῦ κυρίυ συ. Καὶ
ἐργᾷ αὐτῷ τἰὼ γἰὼ σὺ, καὶ οἱ ὑοί συ,
E καὶ οἱ δῦλοί συ, καὶ εἰσοίσεις τῷ ὑῷ
τῦ κυρίυ συ ἄρτυς, καὶ φάγονται·
καὶ Μεμφιβοσθὲ ὑὸς τῦ κυρίυ συ φάγεται
ἄρτον διαπαντὸς ἐπὶ τῆς τραπέζης
μυ. καὶ τῷ Σιβὰ ἦσαν πεντε-
ια. καίδεκα ὑοὶ, καὶ εἴκοσι δῦλοι. Καὶ
εἶπε Σιβὰ πρὸς τὸν βασιλέα, κατὰ
πάντα ὅσα ἐντέταλται ὁ κύριός μυ ὁ
βασιλεὺς τῷ δύλῳ αὐτῦ, ὗτω ποιήσει
ὁ δῦλός συ. καὶ Μεμφιβοσθὲ ἤσθιεν
Z ἐπὶ τῆς τραπέζης Δαβὶδ καθὼς εἷς
ιβ. τῶν ὑῶν τῦ βασιλέως. Καὶ τῷ Μεμφιβοσθὲ
ὑὸς μικρὸς ἰὼ, καὶ ὄνομα αὐτῷ
Μιχά. καὶ πᾶσα ἡ κατοίκησις τῦ οἴκυ
ιγ. Σιβὰ δῦλοι τῦ Μεμφιβοσθέ. Καὶ
Μεμφιβοσθὲ κατῴκει ἐν Ἰερυσαλὴμ,
ὅτι ἐπὶ τῆς τραπέζης τῦ βασιλέως
αὐτὸς διαπαντὸς ἤσθιε, καὶ αὐτὸς ἰὼ
H χωλὸς ἀμφοτέροις τοῖς ποσὶν αὐτῦ.

ΚΕΦ.

(1) Ἀναγκαῖον ᾠήθη πρῶτον ἐπιδεῖξαι τἰὼ τῦ ἀνδρὸς ἀρετἰὼ· ἵνα κτ. ἡ ἐν Χαλ. ἐκδ.
(2) Βαναίας. αἱ εἰρημ. ἐκδόσ.
(3) Φελετὶ, καὶ οἱ ὑοί. αἱ αὐτ.
(4) Ἀμνημονήσειν. ἡ ἐν Χαλ. ἐκδ.
(5) Λοδάβαρ. αἱ αὐτ.

ΚΕΦ. Ι.

α. Καὶ ἐγένετο μετὰ ταῦτα καὶ
ἀπέθανε βασιλεὺς υἱῶν
Ἀμμὼν, καὶ ἐβασίλευ-
β. σεν Ἀννὼν υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. Καὶ
εἶπε Δαβὶδ, ποιήσω ἔλεος μετὰ Ἀν-
νὼν υἱοῦ Νάας, (1) ὃν τρόπον ἐποίησεν ὁ
πατὴρ αὐτοῦ μετ' ἐμοῦ ἔλεος, καὶ ἀπέ- B
στειλε Δαβὶδ παρακαλέσαι αὐτὸν ἐν
χειρὶ τῶν δούλων αὐτοῦ περὶ τοῦ πα-
τρὸς αὐτοῦ· καὶ παρεγένοντο οἱ παῖ-
δες Δαβὶδ εἰς τὴν γῆν υἱῶν Ἀμμών.
γ. Καὶ εἶπον οἱ ἄρχοντες υἱῶν Ἀμμὼν
πρὸς Ἀννὼν τὸν κύριον αὐτῶν, μὴ πα-
ρὰ τὸ δοξάζειν Δαβὶδ τὸν πατέρα σου
ἐνώπιόν σου, ἀπέστειλέ σοι παρακαλοῦν- Γ
τας; οὐχ ἵνα ἐρευνήσωσι τὴν πόλιν
καὶ κατασκοπήσωσιν αὐτὴν τοῦ κα-
τασκέψασθαι αὐτὴν ἀπέστειλε Δα-
βὶδ τοὺς παῖδας αὐτοῦ πρὸς σέ;

** ΙΩΣΗΠΟΥ. Τελευτήσαντος κατ' ἐκεῖνον τὸν καιρὸν τοῦ τῶν Ἀμμανιτῶν βασιλέως Νάασου· φίλος δὲ ἦν οὗτος αὐτῷ· καὶ διαδεξαμένου τὴν βασιλείαν αὐτοῦ τοῦ παιδὸς, πέμψας Δαυίδης πρὸς αὐτὸν παρεμυθήσατο· πρᾴως τε φέρειν ἐπὶ τῷ θανάτῳ τοῦ πατρὸς παραινῶν, καὶ τὴν αὐτὴν φιλίαν μένειν, ἣ πρὸς ἐκεῖνον ἦν, τοῦτο προσδοκᾶν. οἱ δὲ τῶν Ἀμμανιτῶν ἄρχοντες κακοήθως, οὐ κατὰ τὸν τοῦ Δαυίδου τρόπον ταῦτ' ἐδέξαντο, καὶ παρώτρυναν τὸν βασιλέα, λέγοντες, κατασκόπους πεπομφέναι τῆς χώρας Δαυίδην, καὶ τῆς αὐτῶν δυνάμεως, ἐπὶ προφάσει φιλανθρωπίας· φυλάττεσθαί τε συνεβούλευον, καὶ μὴ προσέχειν τοῖς λόγοις αὐτοῦ, μὴ καὶ σφαλεὶς, ἀπαρηγορήτῳ συμφορᾷ περιπέσῃ.

δ. Καὶ ἔλαβεν Ἀννὼν τοὺς παῖ-
δας Δαβὶδ, καὶ ἐξύρησε τοὺς πώγω-
νας αὐτῶν, καὶ ἀπέκοψε τοὺς μανδύας
αὐτῶν ἐν τῷ ἡμίσει ἕως τῶν ἰσχίων αὐ-
τῶν, καὶ ἐξαπέστειλεν αὐτούς.

* ΠΡΟΚΟΠΙΟΥ. Τοὺς μανδύας· ἢ τὰ καλούμενα ἀρκαδικὰ, ἢ τὰ μαντικά. ὁ δὲ Ἀκύλας, χιτῶνας, φησί. Z

** ΙΩΣΗΠΟΥ. Ταῦτ' οὖν δόξας πιθανότερα λέγειν τοὺς ἄρχοντας ἢ τ' ἀληθὲς εἶχεν, ὁ τῶν Ἀμμανιτῶν βασιλεὺς Νάασης τοὺς παρὰ τοῦ Δαυίδου πεμφθέντας πρέσβεις χαλεπῶς περιύβρισε. ξυρήσας γὰρ αὐτῶν τὰ ἡμίση τῶν γενείων, καὶ τὰ ἡμίση τῶν ἱματίων περιτεμὼν, ἔργοις ἀπέλυσε κομίσοντας, οὐ λόγοις, τὰς ἀποκρίσεις.

ε. Καὶ ἀνήγγειλαν τῷ Δαβὶδ ὑπὲρ H
τῶν ἀνδρῶν, καὶ ἀπέστειλεν εἰς ἀπάν-
τησιν αὐτῶν, ὅτι ἦσαν οἱ ἄνδρες ἠτι-
μωμένοι σφόδρα. καὶ εἶπεν ὁ βασι-
λεὺς, καθίσατε ἐν Ἱεριχὼ ἕως τοῦ
ἀνατεῖλαι τοὺς πώγωνας ὑμῶν, καὶ
ἐπιστραφήσεσθε.

ς. Καὶ εἶδον οἱ υἱοὶ Ἀμμὼν ὅτι κα-
τῃσχύνθησαν ὁ λαὸς Δαβίδ· καὶ ἀπέ-
στειλαν οἱ υἱοὶ Ἀμμὼν, καὶ ἐμισθώσαν-
το τὴν Συρίαν Βαιθραὰμ, καὶ τὴν
Συρίαν Σουβὰ, καὶ Ῥοὼβ, εἴκοσι χι-
λιάδας πεζῶν, καὶ τὸν βασιλέα Ἀμα-
λὴκ χιλίους ἄνδρας, καὶ Ἰστὼβ δώδε-
κα χιλιάδας ἀνδρῶν.

** ΙΩΣΗΠΟΥ. Συνιέντες οἵ τε ἀναγκαῖοι καὶ ἡγεμόνες ὅτι παρεσπονδήκασι, καὶ δίκην ὑπὲρ τούτων ὀφείλουσι, προπαρασκευάζονται εἰς τὸν πόλεμον· καὶ πέμψαντες πρὸς Σύρον τὸν τῶν Μεσοποταμιτῶν βασιλέα χίλια τάλαντα, σύμμαχον αὐτὸν ἐπὶ τούτῳ γενέσθαι τῷ μισθῷ παρεκάλεσαν καὶ Σουβάν. ἦσαν δὲ τοῖς βασιλεῦσι τούτοις πεζῶν δύω μυριάδες. προσεμισθώσαντο δὲ καὶ τὸν ἐκ τῆς Μεχᾶς καλουμένης χώρας βασιλέα, καὶ τέταρτον Ἴστοβον ὄνομα· καὶ τούτους ἔχοντας μυρίους καὶ δισχιλίους ὁπλίτας.

ζ. Καὶ ἤκουσε Δαβὶδ, καὶ ἀπέστει-
λε τὸν Ἰωὰβ καὶ πᾶσαν τὴν δύνα-
η. μιν τοὺς δυνατούς. Καὶ ἐξῆλθον οἱ
υἱοὶ Ἀμμὼν καὶ παρετάξαντο πόλε-
μον παρὰ τὸν πυλῶνα τῆς πόλεως,
καὶ Συρία Σουβὰ καὶ Ῥοὼβ καὶ Ἰστὼβ
καὶ Ἀμαλὴκ μόνοι ἐν ἀγρῷ.

** ΙΩΣΗΠΟΥ. Οὐ κατεπλάγη δὲ τὴν συμμαχίαν καὶ τὴν τῶν Ἀμμανιτῶν δύναμιν ὁ Δαυίδης. τῷ Θεῷ δὲ πεποιθὼς ἐν τῷ δικαίως αὐτοῖς, ἀνθ' ὧν ὑβρίσθη, πολεμεῖν μέλλειν, Ἰώαβον τὸν ἀρχιστράτηγον, δοὺς αὐτῷ τῆς στρατιᾶς τὸ ἀκμαιότατον, ἐξ αὐτῆς ἔπεμψεν ἐπ' αὐτούς. ὁ δὲ πρὸς τῇ μητροπόλει τῶν Ἀμμανιτῶν Ῥαβαθᾶ κατεστρατοπεδεύσατο. τῶν δὲ πολεμίων ἐξελθόντων, καὶ παραταξαμένων οὐχ ὁμοῦ, διχῇ δέ· τὸ μὲν γὰρ ἐπικουρικὸν ἐν τῷ πεδίῳ καθ' αὐτὸ ἐτάχθη, τὸ δὲ τῶν Ἀμμανιτῶν στράτευμα πρὸς ταῖς πύλαις, ἀντικρὺ τῶν Ἑβραίων· ἰδὼν τοῦτο Ἰώαβος ἀντιμηχανᾶται.

θ. Καὶ εἶδεν Ἰωὰβ ὅτι ἐγενήθη
πρὸς αὐτὸν ἀντιπρόσωπον τοῦ πολέ-
μου ἐκ τοῦ κατὰ πρόσωπον τοῦ πολέμου
ἐξ ἐναντίας καὶ ἐκ τοῦ ὄπισθεν, καὶ ἐπε-
λέξατο ἐκ πάντων τῶν νεανίσκων (2)
Ἰσραὴλ, καὶ παρετάξαντο ἐξ ἐναν-
τίας

(1) Νάας. αἱ αὐτ.

(2) Νεανιῶν. αἱ αὐτ.

ι. τίας Συρίας. Καὶ τὸ κατάλοιπον
τοῦ λαοῦ ἔδωκεν ἐν χειρὶ Ἀβεσσὰ τοῦ
ἀδελφοῦ αὐτοῦ, καὶ παρετάξαντο ἐξ
ια. ἐναντίας υἱῶν Ἀμμών, Καὶ εἶπεν,
ἐὰν κραταιωθῇ Συρία ὑπὲρ ἐμὲ, καὶ
ἔσεσθέ μοι εἰς σωτηρίαν· καὶ ἐὰν οἱ
υἱοὶ Ἀμμὼν κραταιωθῶσιν ὑπὲρ σὲ,
ιβ. καὶ ἐσόμεθα σῶσαί σε. Ἀνδρίζου καὶ
κραταιωθῶμεν ὑπὲρ τοῦ λαοῦ ἡμῶν καὶ
περὶ τῶν πόλεων τοῦ Θεοῦ ἡμῶν, καὶ
Κύριος ποιήσει τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Τοὺς μὲν ἀνδρειοτάτους ἐπιλεξάμενος, ἀντιπαρατάσσεται τῷ Σύρῳ καὶ τοῖς μετ' αὐτοῦ βασιλεῦσι, τὸ δ' ἄλλο (1) παραδοὺς Ἀβεσσαίῳ τῷ ἀδελφῷ, τοῖς Ἀμμανίταις ἐκέλευσεν ἀντιπαρατάξασθαι, εἰπών· „ἂν τοὺς Σύρους ἴδῃ βιαζομένους αὐτὸν „καὶ πλέον δυναμένους, μεταγαγόντα „τὴν φάλαγγα βοηθεῖν αὐτῷ· τὸ δ' αὐτὸ „τοῦτο ποιήσειν καὶ αὐτὸς, ἂν ὑπὸ τῶν Ἀμ„μανιτῶν αὐτὸν καταπονούμενον θεάσηται. προπεμψάμενος οὖν τὸν ἀδελφὸν, καὶ παρακαλέσας εὐψύχως καὶ μετὰ προθυμίας ἅπαντα δράσειν, αἰσχύνην φοβουμένους προτρεπούσης (2) ἀγωνίσασθαι, τὸν μὲν ἀπέλυσε τοῖς Ἀμμανίταις μαχησόμενον, αὐτὸς δὲ τοῖς Σύροις συνέβαλε.

ιγ. Καὶ προσῆλθεν Ἰωὰβ καὶ ὁ
λαὸς αὐτοῦ μετ' αὐτοῦ εἰς πόλεμον
πρὸς Συρίαν, καὶ ἔφυγον ἀπὸ προ-
ιδ. σώπου αὐτοῦ. Καὶ οἱ υἱοὶ Ἀμμὼν εἶδον
ὅτι ἔφυγε Συρία, καὶ ἔφυγον ἀπὸ
προσώπου Ἀβεσσὰ, καὶ εἰσῆλθον εἰς
τὴν πόλιν. καὶ ἀνέστρεψεν Ἰωὰβ ἀπὸ
τῶν υἱῶν Ἀμμὼν, καὶ παρεγένετο εἰς
Ἱερουσαλήμ.

** ΙΩΣΗΠΟΥ. Πρὸς ὀλίγον ἀνισχόντων αὐτῶν καρτερῶς, πολλοὺς μὲν αὐτῶν ἀπέκτεινεν Ἰώαβος, ἅπαντας δ' ἠνάγκασεν εἰς φυγὴν τραπῆναι. τοῦτο ἰδόντες οἱ Ἀμμανῖται, καὶ δείσαντες τὸν Ἀβεσσαῖον καὶ τὴν μετ' αὐτοῦ στρατιὰν, οὐκ ἔμειναν· ἀλλὰ μιμησάμενοι τοὺς συμμάχους, εἰς τὴν πόλιν ἔφυγον. κρατήσας οὖν τῶν πολεμίων ὁ Ἰώαβος, εἰς Ἱεροσόλυμα πρὸς τὸν βασιλέα λαμπρῶς ὑπέστρεψε.

ιε. Καὶ εἶδε Συρία ὅτι ἔπταισεν
ἔμπροσθεν Ἰσραὴλ, καὶ συνήχθησαν
ἐπὶ τὸ αὐτό.

A ις. Καὶ ἀπέστειλεν Ἀδραζὰβ, καὶ
συνήγαγε τὴν Συρίαν τὴν ἐκ τοῦ πέ-
ραν τοῦ ποταμοῦ Χαλλαμὰκ, καὶ πα-
ρεγένοντο εἰς Αἰλάμ· καὶ Σωβὰκ ἄρ-
χων τῆς δυνάμεως Ἀδραζὰρ ἔμπρο-
σθεν αὐτῶν.

** ΙΩΣΗΠΟΥ. Τοῦτο τὸ πταῖσμα τοὺς Ἀμμανίτας οὐκ ἔπεισεν ἠρεμεῖν, οὐδὲ μαθόντας τοὺς κρείττονας ἡσυχίαν ἄγειν· ἀλ- B λὰ πέμψαντες πρὸς Χαλαμὰν τὸν τῶν πέραν Εὐφράτου Σύρων βασιλέα, μισθοῦνται τοῦτον ἐπὶ συμμαχίαν, ἔχοντα μὲν ἀντιστρατηγὸν Σάβεκον, πεζῶν δὲ μυριάδας ὀκτὼ, καὶ ἱππέων μυρίους.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς τοῦ Ἀδραζὰρ (3) τὴν πανωλεθρίαν προειρηκὼς, [πάλιν] ἥκειν αὐτὸν εἶπεν εἰς συμμαχίαν τῶν Ἀμμανιτῶν; Τοῦ Ἀδραζὰρ ἧτταν εἶπε, σφαγὴν οὐκ εἶπε. συνᾴδει δὲ τὰ νῦν εἰρημένα Γ „τοῖς ἔμπροσθεν. ἀπέστειλε γάρ φησιν Ἀδρα„ζὰρ, καὶ ἐξήγαγε τὸν Σύρον, τὸν ἐν τῷ πέ„ραν τοῦ ποταμοῦ Χαμαλαάκ. (4) εἰ δὲ δύναμιν εἶχεν οἰκείαν, οὐκ ἂν ἑτέρας ἐδεήθη.

ιζ. Καὶ ἀπηγγέλη τῷ Δαβὶδ, καὶ
συνήγαγε τὸν πάντα Ἰσραὴλ, καὶ
διέβη τὸν Ἰορδάνην, καὶ παρεγένετο
ιη. εἰς Ἐλάμ. (5) Καὶ ἔφυγε Συρία ἀπὸ
προσώπου Ἰσραήλ. καὶ ἀνεῖλε Δαβὶδ
Δ ἐκ τῆς Συρίας ἑπτακόσια ἅρματα,
καὶ τεσσαράκοντα χιλιάδας ἱππέων,
καὶ τὸν Σωβὰκ τὸν ἄρχοντα τῆς δυ-
νάμεως αὐτοῦ ἐπάταξε, καὶ ἀπέ-
θανεν ἐκεῖ.

** ΙΩΣΗΠΟΥ. Γνοὺς ὁ τῶν Ἑβραίων βασιλεὺς, πάλιν ἐπ' αὐτὸν τοὺς Ἀμμανίτας τοσαύτην δύναμιν συνηθροικότας, οὐκ ἔτι διὰ στρατηγῶν αὐτοῖς πολεμεῖν ἔκρινεν· E ἀλλ' αὐτὸς σὺν ἁπάσῃ τῇ δυνάμει διαβὰς τὸν Ἰορδάνην ποταμὸν, καὶ ὑπαντήσας αὐτοῖς εἰς μάχην ἐνίκησε.

ιθ. Καὶ εἶδον πάντες οἱ βασιλεῖς
οἱ δοῦλοι Ἀδραζὰρ ὅτι ἔπταισαν ἔμ-
προσθεν Ἰσραὴλ, καὶ ηὐτομόλησαν
μετὰ Ἰσραὴλ, καὶ ἐδούλευσαν αὐτοῖς.
καὶ ἐφοβήθη Συρία τοῦ σῶσαι ἐπὶ τοὺς
υἱοὺς Ἀμμών.

Z ** ΙΩΣΗΠΟΥ. Οἱ Μεσοποταμῖται τοιούτου γενομένου τοῦ τέλους τῆς μάχης, αὐτοὺς Δαυίδῃ παρέδοσαν, καὶ δῶρα ἔπεμψαν αὐτῷ.



ΚΕΦ.

(1) Τοὺς δ' ἄλλους ἀναγνωσ. ἄλλως γὰρ ἀνοητέον τὸ μέρος. (2) Προτρέπουσαν. ἄλλως γὰρ ἀσύντακτον.
(3) Ἀδρααζάρ. ἡ ἐν Χάλ. ἔκδ. (4) Χαλαμά. ἡ αὐτ. (5) Αἰλάμ. αἱ εἰρημ. ἐκδόσ.

ΚΕΦ. ΙΑ.

α. Καὶ ἐγένετο, ἐπιστρέψαντος
τοῦ ἐνιαυτοῦ εἰς τὸν καιρὸν
τῆς ἐξοδίας τῶν βασι-
λέων, καὶ ἀπέστειλε Δαβὶδ τὸν Ἰωὰβ,
καὶ τοὺς παῖδας αὐτοῦ μετ' αὐτοῦ, καὶ
τὸν πάντα Ἰσραὴλ, καὶ διέφθειραν
τοὺς υἱοὺς Ἀμμών· καὶ περιεκάθισαν
περὶ Ῥαββάθ. καὶ Δαβὶδ ἐκάθισεν
ἐν Ἱερουσαλήμ.

** ΙΩΣΗΠΟΥ. Ὁ μὲν ὥρᾳ χειμῶνος
ἀνέστρεψεν εἰς Ἱεροσόλυμα· ἀρχομένου δὲ
τοῦ ἔαρος, ἔπεμψε τὸν ἀρχιστράτηγον Ἰώα-
βον πολεμήσοντα τοῖς Ἀμμανίταις. ὁ δὲ
τήν τε γῆν ἅπασαν αὐτῶν ἐπερχόμενος
διέφθειρε, καὶ αὐτοὺς εἰς τὴν μητρόπολιν
συγκλείσας, Ῥαβαθὰν ἐπολιόρκει.

β. Καὶ ἐγένετο πρὸς ἑσπέραν, καὶ
ἀνέστη Δαβὶδ ἀπὸ τῆς κοίτης αὐτοῦ,
καὶ περιεπάτει ἐπὶ τοῦ δώματος τοῦ
βασιλέως, καὶ εἶδε γυναῖκα λουομέ-
νην ἀπὸ τοῦ δώματος, καὶ ἡ γυνὴ καλὴ
τῷ εἴδει σφόδρα.

** ΙΩΣΗΠΟΥ. Συνέπεσε Δαυΐδῃ πταῖσ-
μα δεινὸν ὄντι φύσει δικαίῳ καὶ θεοσεβεῖ,
καὶ τοὺς πατρίους νόμους ἰσχυρῶς φυλάσσον-
τι. θεασάμενος γὰρ, δείλης ὀψίας, ἀπὸ
τοῦ στέγους τῶν βασιλείων, ἐν ᾧ περιπατεῖν
» κατ' ἐκεῖνο τῆς ὥρας ἦν ἔθος, εἶδε γυναῖκα
» λουομένην ἐν τῇ αὐτῆς οἰκίᾳ ψυχρῷ ὕδα-
τι, καλλίστην τὸ εἶδος καὶ πασῶν διαφέρου-
σαν· ὄνομα αὐτῇ ἦν Βεεθσαβή.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὅσον μέντοι ὀνίνησι
συμφορὰ, καὶ θλῖψις, καὶ μέριμνα, καὶ
ἐκ τῆσδε τῆς ἱστορίας μανθάνομεν. διωκό-
μενος γὰρ ὑπὸ τοῦ Σαοὺλ ὁ θεῖος προφήτης
Δαβὶδ, πᾶσαν κατώρθου φιλοσοφίαν· [καὶ
παρατατλόμενος δὲ, καὶ ταῖς φροντίσι τῶν
πολέμων ἐνασχολῶν τὴν διάνοιαν, κατὰ
τοὺς θείους ἐπολιτεύετο νόμους.] ἀνακωχῆς
δὲ ὀλίγης τυχὼν, τὸν ὄλισθον ἐκεῖνον ὑπέ-
» μεινεν. ἐγένετο γάρ φησιν ἐν τῷ καιρῷ τῆς
» δείλης, καὶ ἀνέστη Δαβὶδ ἀπὸ τῆς κοίτης
» αὐτοῦ, καὶ περιεπάτησεν (1) ἐπὶ τοῦ δώμα-
» τος τοῦ οἴκου τῶν βασιλείων, καὶ εἶδεν ἀπὸ
» τοῦ δώματος γυναῖκα λουομένην, καὶ ἡ γυνὴ
» καλὴ τῇ ὄψει σφόδρα. πολὺς ὁ πόλεμος
καὶ σφοδρὸς, ἄνεσις, καὶ τρυφὴ, καὶ βα-
σιλεία, καὶ ἐξουσία, καὶ σώματος ὥρα, καὶ
μετὰ τροφῆς κόρον ἡ προσβολή· ὅτε καὶ
τοῖς ἀσκοῦσιν ὁ σπινθὴρ ὑποτύφεται, οἷον
ἀρδείαν ἐλαίου δεχόμενος τὴν τροφήν. δῆ-
λος δέ ἐστι καὶ σφοδρότερον κατὰ φύσιν
ἐσχηκὼς τῆς ἐπιθυμίας τὸ πάθος. οὐ γὰρ
ἂν πλείοσιν ἐχρήσατο γυναιξὶ, μὴ τῆς φύ-
σεως τοῦτο δρᾶσαι βιασαμένης. ἀλλ' ἐκεῖνο
μὲν οὐδεὶς ἐκώλυσε νόμος, τοῦτο δέ γε ἄντι-
κρυς ὁ θεῖος ἀπηγόρευσε νόμος. διακύψας
τοίνυν ἁπλοϊκῶς, οὐ περιέργως εἶδε τὸ γύ-
ναιον λουόμενον· ἀλλ' οὐκ ἔφυγε τὴν θέαν,
ὡς ὀλεθρίαν· ἀλλὰ καταθελχθεὶς τῷ τῆς
ὥρας δελέατι, τὸ τῆς ἁμαρτίας κατέπιεν
ἄγκιστρον.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Εὐω-
χηθείς ποτε βασιλικῶς ὁ Δαβὶδ, καὶ λαμ-
Β πρᾷ τραπέζῃ τὸν νοῦν χαυνωθεὶς, μεσημ-
βρινοῖς περιπάτοις ἐτέρπετο. τότε δὴ τό-
τε τῶν λογισμῶν τὴν νευρὰν χαλασθεῖ-
σαν ὁ δυσμενὴς θεασάμενος, τὸν τῶν πα-
θῶν ἡνίοχον νοῦν οὐκ ἀκριβῶς τὰς ἡνίας
διεζωσμένον, ἢ μικρόν τι μέρος ἐκ τῶν ὀμ-
μάτων, γυμνωθέντα τὸν ἀριστέα τῶν ὅπλων,
ἔλαθε πλήξας, αὐτοῖς τοῖς ὄμμασι τοῦ δι-
καίου χρησάμενος, καὶ συναρπάσας τῆς
ὁδοῦ τῆς ἀρετῆς, πρὸς τὸν τῆς μοιχείας
Γ ἐμβάλλει κρημνόν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τὸ βλέπειν
ἀνέγκλητον. οὐδεὶς γὰρ ἂν ὀφθαλμοὺς ἐγ-
καλέσειεν ὅτι τὰ βλεπόμενα βλέπουσιν·
ἀλλ' ἔχει τὸ ἀνέγκλητον ἔγκλημα, πρὸς
ἁμαρτίαν ὁδεῦσαν. οὐ γὰρ εἶδε τὴν μορφὴν,
καὶ παρεῖδεν, ἀλλ' ὥσπερ προσηλώθη τῷ
κάλλει, ἐνέπηξε τὸ βλέμμα τῷ σώματι,
ἐβάπτισε τῇ θεωρίᾳ τὰς κόρας· οὐκ ἔτι κό-
ρας εἶχεν ἐν ὀφθαλμοῖς, ἀλλὰ πόρνας.
Δ τοσοῦτον κακὸν καὶ βλέμματος ὁρμὴ, ἐὰν
ἀχαλίνωτον ἀφῇς.

** ΙΣΙΔΩΡΟΥ. Πάσας μὲν, εἰ οἷόν τε,
ὁμιλίας γυναικῶν ἐκτρέπεσθαι χρὴ, ὡς
ἐχούσας τινὰ πρὸς χαύνωσιν ἐπιτήδευσιν.
εἰ δὲ τοῦτο ἀδύνατον διὰ περιστάσεις χρειῶν,
ἢ οἰκονομίας πτωχῶν, κάτω νεύοντας δια-
λέγεσθαι. τοῖς γὰρ πλείοσιν, ἢ καὶ πᾶσι
σχεδὸν τοῖς ἡττηθεῖσι κάλλους γυναικῶν, διὰ Ἱερ. 9. 21.
τῶν θυρίδων ἀνέβη ὁ θάνατος. ὃς καὶ τοῦ
Ε" μεγάλου προφήτου καὶ βασιλέως ἐκράτησεν,
ὅτε πρὸς τὸ λουτρὸν ἐκεῖνο τὸ θανατηφό-
ρον ἀπέβλεψε.

γ. Καὶ ἀπέστειλε Δαβὶδ, καὶ ἐζή-
τησε τὴν γυναῖκα, καὶ εἶπεν, οὐχὶ
αὕτη Βηρσαβεὲ θυγάτηρ Ἐλιὰβ ἡ
δ. γυνὴ Οὐρίου τοῦ Χετταίου; Καὶ ἀπέ-
στειλε Δαβὶδ ἀγγέλους, καὶ ἔλαβεν
Ζ αὐτὴν, καὶ εἰσῆλθε πρὸς αὐτὴν, καὶ
ἐκοιμήθη μετ' αὐτῆς· καὶ αὕτη ἁγια-
ζομένη ἀπὸ ἀκαθαρσίας αὐτῆς, καὶ
ε. ἀπέστρεψεν εἰς τὸν οἶκον αὐτῆς. Καὶ
ἐν γαστρὶ ἔλαβεν ἡ γυνή· καὶ ἀπο-
στείλασα ἀπήγγειλε τῷ Δαβὶδ, καὶ
εἶπεν, ἐγώ εἰμι ἐν γαστρὶ ἔχω.

** ΙΩΣΗΠΟΥ. Ἥττηταί τε τοῦ κάλλους
τῆς γυναικὸς, καὶ τῆς ἐπιθυμίας κατα-
Η σχεῖν οὐ δυνάμενος, μεταπεμψάμενος αὐ-
τὴν συνέρχεται. γενομένης δὲ ἐγκύου τῆς
γυναικὸς, καὶ πεμψάσης πρὸς τὸν βασι-
λέα

(1) Περιεπάτει. ἡ ἐν Χάλ. ἐκδ.

λέα, ὅπως τῷ ἁμαρτήματι σκέψηταί τινα τοῦ λαθεῖν ὁδόν· ἀποθανεῖν γὰρ αὐτὴν κατὰ τοὺς πατρίους καθήκει νόμους μεμοιχευμένην· μετακαλεῖται τὸν Ἰωάβου μὲν ὁπλοφόρον ἐκ τῆς πολιορκίας, ἄνδρα δὲ τῆς γυναικὸς, Οὐρίαν ὄνομα.

ς. Καὶ ἀπέστειλε Δαβὶδ πρὸς Ἰωὰβ, λέγων, ἀπόστειλον πρός με τὸν Οὐρίαν τὸν Χετταῖον. καὶ ἀπέστειλεν Ἰωὰβ τὸν Οὐρίαν πρὸς Δαβίδ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ταύτην μὲν αὐτῷ τὴν ἁμαρτίαν ἡ ἐπιθυμία προὐξένησε, τὴν δὲ ἑτέραν ἡ αἰδώς. κύειν γὰρ τὴν γυναῖκα μεμαθηκὼς, ὑπαιδεῖτο (1) μὲν τὸν ἔλεγχον, πᾶσαν δὲ μηχανὴν ἐκίνησεν, ὥστε τῇ δευτέρᾳ μὴ περιπεσεῖν ἀδικίᾳ. μετεπέμψατο γὰρ τὸν Οὐρίαν, ὑπολαβὼν ὅτι διὰ χρόνου τὴν πόλιν καταλαβὼν συνελθεῖν ἐπιθυμήσει τῇ γυναικί. [ἐπεὶ δὲ ἐκεῖνος τὴν σωφροσύνην καὶ τὴν ἀνδρείαν καὶ τὴν περὶ αὐτὸν εὔνοιαν ἔδειξεν· ἐν γὰρ τοῖς προδόμοις τῶν βασιλείων μετὰ τῶν σωματοφυλάκων τὸν ὕπνον ἐδέξατο· μετεπέμψατο μὲν αὐτὸν τῇ ὑστεραίᾳ· ἐμέμψατο δὲ ὅτι τὸ σῶμα τῆς προσηκούσης οὐκ ἠξίωσε παραμυθίας.] καὶ προὐτρέψατο πρὸς τὴν οἰκίαν ἀπελθεῖν· καὶ οὐχ ἅπαξ, ἀλλὰ καὶ δίς. καὶ οὐκ ἔπεισεν. εἶπε γὰρ οὐ δίκαιον ὑπολαμβάνω, τοῦ στρατηγοῦ καὶ τῆς στρατιᾶς πάσης ἐν πολέμῳ καὶ πολιορκίᾳ ταλαιπωρούντων, ἐμέ τινα τῷ σώματι προσενεγκεῖν θεραπείαν· καὶ τόνδε τὸν λόγον ἐβεβαίωσεν ὅρκῳ. ἀλλ᾽ ὁ βασιλεὺς πάλιν ἐπιμεῖναι αὐτὸν προστάξας, ἑστίασε, καὶ ταῖς συχναῖς φιλοτησίαις πέραν τοῦ μέτρου πιεῖν κατηνάγκασεν· ἵνα τὴν ἐπιθυμίαν ἀρδεύσας ὁ οἶνος, αὐτὸν ἐρεθίσῃ πρὸς κοινωνίαν. ἐπειδὴ δὲ οὐκ ἔπειθε· [πάλιν γὰρ ἐκεῖνος ἐν τῷ προδόμῳ τῶν βασιλείων σὺν τοῖς βασιλικοῖς ἐκαθεύδησε δορυφόροις·] ὑπὸ τῆς αἰσχύνης κεντούμενός τε καὶ βιαζόμενος, τὰ πρὸς τὸν στρατηγὸν ὑπηγόρευσε γράμματα. ὁ δὲ τῶν γεγραμμένων μηδὲν ἐπιστάμενος ἀπῄει, τὸ ξίφος φέρων τῆς οἰκείας σφαγῆς. εἶτα μετὰ τὴν ἐκείνου τελευτὴν, καὶ τὸ πένθος τῆς γυναικὸς, ὁ γάμος ἐγένετο.

ζ. Καὶ παραγίνεται Οὐρίας καὶ εἰσῆλθε πρὸς αὐτὸν, καὶ ἐπηρώτησε Δαβὶδ εἰς (2) εἰρήνην Ἰωὰβ, καὶ εἰς εἰρήνην τοῦ λαοῦ, καὶ εἰς εἰρήνην τοῦ πολέμου.

» **ΠΡΟΚΟΠΙΟΥ. Καὶ εἰ ὑγιαίνει ὁ
» πόλεμος. ἄλλη ἔκδοσις, καὶ εἰς εἰρήνην τοῦ
» πολέμου.

η. Καὶ εἶπε Δαβὶδ τῷ Οὐρίᾳ, κατάβηθι εἰς τὸν οἶκόν σου, καὶ νίψαι τοὺς πόδας σου. καὶ ἐξῆλθεν Οὐρίας ἐξ οἴκου τοῦ βασιλέως, καὶ ἐξῆλθεν ὀπίσω αὐτοῦ ἄρσις τοῦ βασιλέως.

A **ΙΩΣΗΠΟΥ. Βαστάσας ἐκ τοῦ δείπνου μέρη (3) προσδίδωσιν αὐτῷ, καὶ κελεύει πρὸς τὴν γυναῖκα ἀπελθόντα ἀναπαύσασθαι σὺν αὐτῇ.

θ. Καὶ ἐκοιμήθη Οὐρίας παρὰ
τῇ θύρᾳ τοῦ οἴκου τοῦ βασιλέως μετὰ
τῶν δούλων τοῦ κυρίου αὐτοῦ, καὶ οὐ κα-
ι. τέβη εἰς τὸν οἶκον αὐτοῦ. Καὶ ἀπήγ-
γειλαν τῷ Δαβὶδ, λέγοντες, ὅτι οὐ
B κατέβη Οὐρίας εἰς τὸν οἶκον αὐτοῦ.
καὶ εἶπε Δαβὶδ πρὸς Οὐρίαν, οὐχὶ ἐξ
ὁδοῦ σὺ ἔρχῃ; τί ὅτι οὐ κατέβης εἰς τὸν
ια. οἶκόν σου; Καὶ εἶπεν Οὐρίας πρὸς Δα-
βὶδ, ἡ κιβωτὸς, καὶ Ἰσραὴλ καὶ Ἰού-
δας κατοικοῦσιν ἐν σκηναῖς, καὶ ὁ κύ-
ριός μου Ἰωὰβ, καὶ οἱ δοῦλοι τοῦ κυρίου
μου ἐπὶ πρόσωπον τοῦ ἀγροῦ παρεμ-
Γ βάλλουσι, καὶ ἐγὼ εἰσελεύσομαι εἰς
τὸν οἶκόν μου τοῦ φαγεῖν, καὶ πιεῖν, καὶ
κοιμηθῆναι μετὰ τῆς γυναικός μου;
πῶς; ζῇ ἡ ψυχή σου, εἰ ποιήσω τὸ ῥῆ-
ιβ. μα τοῦτο. Καὶ εἶπε Δαβὶδ πρὸς Οὐ-
ρίαν, κάθισον ἐνταῦθα καὶ (4) σήμε-
ρον, καὶ αὔριον, καὶ τῇ τρίτῃ ἐξαπο-
στελῶ σε. καὶ ἐκάθισεν Οὐρίας ἐν Ἱε-
ρουσαλὴμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ καὶ τῇ
ιγ. ἐπαύριον. Καὶ ἐκάλεσεν αὐτὸν Δα-
βὶδ, καὶ ἔφαγεν ἐνώπιον αὐτοῦ, καὶ
ἔπιε, καὶ ἐμέθυσεν αὐτὸν, καὶ ἐξῆλ-
θεν ἑσπέρας τοῦ κοιμηθῆναι ἐπὶ τῆς
κοίτης αὐτοῦ μετὰ τῶν δούλων τοῦ κυ-
ρίου αὐτοῦ, καὶ εἰς τὸν οἶκον αὐτοῦ οὐ
ιδ. κατέβη. Καὶ ἐγένετο πρωῒ, καὶ ἔγρα-
ψε Δαβὶδ βίβλον πρὸς Ἰωὰβ, καὶ
ιε. ἀπέστειλεν ἐν χειρὶ Οὐρίου. Καὶ ἔγρα-
E ψεν ἐν τῷ βιβλίῳ, λέγων, εἰσάγαγε
τὸν Οὐρίαν ἐξ ἐναντίας τοῦ πολέμου
τοῦ κραταιοῦ, καὶ ἀποστραφήσεσθε ἀπὸ
ὄπισθεν αὐτοῦ, καὶ πληγήσεται καὶ
ις. ἀποθανεῖται. Καὶ ἐγενήθη ἐν τῷ φυ-
λάσσειν Ἰωὰβ ἐπὶ τὴν πόλιν, καὶ ἔθη-
κε τὸν Οὐρίαν εἰς τὸν τόπον οὗ ᾔδει ὅτι
ιζ. ἄνδρες δυνάμεως ἐκεῖ. Καὶ ἐξῆλ-
Z θον (5) ἄνδρες τῆς πόλεως, καὶ ἐπο-
λέμουν μετὰ Ἰωάβ. καὶ ἔπεσον ἀπὸ
τοῦ λαοῦ ἐκ τῶν δούλων Δαβὶδ, καὶ
ἀπέθανον, (6) καίγε Οὐρίας ὁ Χετ-
ιη. ταῖος ἀπέθανε. Καὶ ἀπέστειλεν Ἰωὰβ,
καὶ ἀπήγγειλε τῷ Δαβὶδ πάντας τοὺς
λόγους τοῦ πολέμου λαλῆσαι πρὸς τὸν
ιθ. βασιλέα, Καὶ ἐνετείλατο τῷ ἀγγέ-
λῳ, λέγων, ἐν τῷ συντελέσαι σε πάν-
τας

(1) Ὑπείδετο. ἡ αὐτ.

(2) Εἰ ὑγιαίνει Ἰωὰβ, καὶ εἰ ὑγιαίνει ὁ λαὸς, καὶ εἰ ὑγιαίνει ὁ πόλεμος. ἡ ἐν Κομπλ. ἔκδ.

(3) Τὸ, ἄρσις, μέρη τοῦ δείπνου καλῶς ἑρμηνεύει ὁ Ἰώσηπ.

(4) Καίγε σήμερον, καὶ αὔριον ἔξαπος. αἱ εἰρημ. ἐκδόσ.

(5) Οἱ ἄνδ. αἱ αὐτ.

(6) Καὶ ἀπέθανε καίγε Οὐρίας ὁ Χετταῖος. αἱ αὐτ.

τας τοὺς λόγους τοῦ πολέμου λαλῆσαι
κ. πρὸς τὸν βασιλέα, Καὶ ἔσαι ἐὰν
ἀναβῇ ὁ θυμὸς τοῦ βασιλέως, καὶ εἴπῃ
σοι, τί ὅτι ἠγγίσατε πρὸς τὴν πόλιν
πολεμῆσαι; οὐκ ᾔδειτε ὅτι τοξεύουσιν
κα. ἐπάνωθεν τοῦ τείχους; Τίς ἐπάταξε
τὸν Ἀβιμέλεχ υἱὸν Ἱεροβάαλ υἱοῦ
Ἰωάς; οὐχὶ γυνὴ ἔῤῥιψεν ἐπ' αὐτὸν
κλάσμα μύλου ἐπάνωθεν τοῦ τείχους,
καὶ ἀπέθανεν ἐν Θαμασί; ἵνα τί προ-
σηγάγετε πρὸς τὸ τεῖχος; καὶ ἐρεῖς,
καίγε ὁ δοῦλός σου Οὐρίας ὁ Χετταῖος
κβ. ἀπέθανε. Καὶ ἐπορεύθη ὁ ἄγγελος
Ἰωὰβ πρὸς τὸν βασιλέα εἰς Ἱερουσα-
λὴμ, καὶ παρεγένετο καὶ ἀπήγγειλε
τῷ Δαβὶδ πάντα ὅσα ἐλάλησεν αὐ-
τῷ Ἰωὰβ, πάντα τὰ ῥήματα τοῦ
πολέμου. καὶ ἐθυμώθη Δαβὶδ πρὸς
Ἰωὰβ, καὶ εἶπε πρὸς τὸν ἄγγελον,
ἵνα τί προσηγάγετε πρὸς τὴν πόλιν
τοῦ πολεμῆσαι; οὐκ ᾔδειτε ὅτι πλη-
γήσεσθε ἀπὸ τοῦ τείχους; τίς ἐπάταξε
τὸν Ἀβιμέλεχ υἱὸν Ἱεροβάαλ; οὐχὶ
γυνὴ ἔῤῥιψεν ἐπ' αὐτὸν κλάσμα μύ-
λου ἀπὸ τοῦ τείχους καὶ ἀπέθανεν ἐν
Θαμασί; ἵνα τί προσηγάγετε πρὸς
κγ. τὸ τεῖχος; Καὶ εἶπεν ὁ ἄγγελος πρὸς
Δαβὶδ, ὅτι ἐκραταιώθησαν (1) ἐφ'
ἡμᾶς οἱ ἄνδρες, καὶ ἐξῆλθον ἐφ'

A ἡμᾶς εἰς τὸν ἀγρὸν, καὶ ἐγενήθημεν
ἐπ' αὐτοὺς ἕως τῆς θύρας τῆς πύλης.
κδ. Καὶ ἐτόξευσαν οἱ τοξεύοντες πρὸς τοὺς
παῖδάς σου ἐπάνωθεν τοῦ τείχους, καὶ
ἀπέθανον ἀπὸ τῶν παίδων τοῦ βασι-
λέως, καίγε ὁ δοῦλός σου Οὐρίας ὁ
κε. Χετταῖος ἀπέθανε. Καὶ εἶπε Δαβὶδ
πρὸς τὸν ἄγγελον, τάδε ἐρεῖς πρὸς
B Ἰωὰβ, μὴ πονηρὸν ἔστω ἐν ὀφθαλ-
μοῖς σου τὸ ῥῆμα τοῦτο, ὅτι ποτὲ μὲν
οὕτω ποτὲ δὲ οὕτω φέρεται (2) ἡ μά-
χαιρα. κραταίωσον τὸν πόλεμόν σου
πρὸς τὴν πόλιν, καὶ κατάσπασον αὐ-
κϛ. τὴν, καὶ κραταίωσον αὐτόν. Καὶ ἤκου-
σεν ἡ γυνὴ Οὐρίου ὅτι ἀπέθανεν Οὐ-
ρίας ὁ ἀνὴρ αὐτῆς, καὶ ἐκόψατο ἐπὶ
τὸν ἄνδρα αὐτῆς.

Γ κζ. Καὶ διῆλθε τὸ πένθος, καὶ ἀπέ-
στειλε Δαβὶδ, καὶ συνήγαγεν αὐτὴν
εἰς τὸν οἶκον αὐτοῦ, καὶ ἐγενήθη αὐτῷ
εἰς γυναῖκα, καὶ ἔτεκεν αὐτῷ υἱόν.
καὶ πονηρὸν ἐφάνη τὸ ῥῆμα ὃ ἐποίησε
Δαβὶδ ἐν ὀφθαλμοῖς Κυρίου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλ' οὐκ εἴασε τὸ
πάθος ἀνίατον ὁ τῶν ψυχῶν ἰατρὸς, οὐδὲ
Δ τὴν ἄδικον τελευτὴν παρεῖδεν· οὐδὲ διὰ τὴν
ἄλλην ἀρετὴν τοῦ Δαβὶδ τὸν ἠδικηκότα (3)
» εἴασεν ἀτιμώρητον. ἐφάνη γάρ φησι τὸ
» πρᾶγμα πονηρὸν ἐνώπιον Κυρίου.

ΚΕΦ. ΙΒ.

α. Καὶ ἀπέστειλε Κύριος (4) Νά-
θαν τὸν προφήτην πρὸς
Δαβίδ. καὶ εἰσῆλθε πρὸς
αὐτὸν, καὶ εἶπεν αὐτῷ, δύω ἦσαν ἄν-
δρες ἐν πόλει μιᾷ, εἷς πλούσιος, καὶ
β. εἷς πένης. Καὶ τῷ πλουσίῳ ἦν ποί-
μνια καὶ βουκόλια πολλὰ σφόδρα.
γ. Καὶ τῷ πένητι οὐδὲν ἀλλ' ἢ ἀμνὰς μία
μικρὰ, ἣν ἐκτήσατο καὶ περιεποιήσατο,
καὶ ἐξέθρεψεν αὐτὴν, καὶ ἡδρύνθη
μετ' αὐτοῦ καὶ μετὰ τῶν υἱῶν αὐτοῦ ἐπὶ
τὸ αὐτὸ, ἐκ τοῦ ἄρτου αὐτοῦ ἤσθιε,
καὶ ἐκ τοῦ ποτηρίου αὐτοῦ ἔπινε, καὶ
ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδε, καὶ ἦν
αὐτῷ ὡς θυγάτηρ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπέμφθη τοίνυν Νάθαν ὁ προφήτης τῇ κατηγορίᾳ περιθεὶς εὐπρεπὲς προσωπεῖον. ἑτέρως γὰρ ἐν τοῖς ἄλλοις θεωροῦμεν τὴν ἁμαρτίαν, καὶ ἄλλως θεωροῦμεν τὰ οἰκεῖα κακά. ὅθεν οὐκ

ὁμοίως ἡμῖν αὐτοῖς καὶ τοῖς ἄλλοις δικάζο-
μεν. ἐπὶ μὲν γὰρ ἄλλων δικαίως (5) τὴν
E ψῆφον ἐκφέρομεν· [πολλάκις δὲ καὶ ὠμο-
τέραν τὴν πληγὴν ἐπιφέρομεν·] αὐτοὶ δὲ
πλημμελοῦντες, ἢ παντάπασι τὴν αἴσθη-
σιν τῆς διανοίας ἐκβάλλομεν, ἢ ὁρῶντες
τὴν ἁμαρτίαν, συγγνώμην ὀρέγομεν. τού-
του χάριν ὁ Προφήτης τὸ τοῦ πλουσίου καὶ τοῦ
πένητος συντέθεικε δρᾶμα· καὶ τοῦ μὲν τὸν
πλοῦτον διέγραψε, τοῦ δὲ τὴν ἐσχάτην πε-
» νίαν ἐλεεινῶς ἐτραγῴδησεν. οὐκ ἦν γὰρ αὐ-
» τῷ, φησὶν, ἄλλο οὐδὲν, ἀλλ' ἢ μία ἀμνὰς
Z » μικρὰ, ἣν ἐκτήσατο καὶ περιεποιήσατο,
» καὶ ἐξέθρεψε· καὶ συνανεστράφη μετ' αὐ-
» τοῦ καὶ μετὰ τῶν τέκνων αὐτοῦ ἐπὶ τὸ αὐτὸ,
» ἐκ τοῦ ἄρτου αὐτοῦ ἤσθιε, καὶ ἐκ τοῦ ποτηρίου
» αὐτοῦ ἔπινε, καὶ ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευ-
» δε, καὶ ἦν αὐτῷ ὡς θυγάτηρ αὐτοῦ. (6)
καὶ καλῶς τὸ δρᾶμα συνθεὶς, καὶ τὰ τοῦ
δράματος ἐπὶ λεπτῷ διεξελθὼν, ἵνα δείξῃ
τὴν ὑπερβολὴν τῆς παρανομίας.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁ Προφήτης
H ἔρχεται πρὸς τὸν Προφήτην. οὕτω καὶ ἐπὶ
τὸν

(1) Ἐκραταίωσαν. αἱ αὐτ. (2) Φάγεται. αἱ αὐτ. (3) Ἠδικημένον εἴασεν ἀνεκδίκητον. ἡ ἐν Χαλ. ἐκδ. (4) Τὸν Νάθ. αἱ αὐτ. (5) Δικαίαν. ἡ αὐτ.
(6) Ταῦτα πάντα διέξεισι, δεῖξαι βουλόμενος τὴν τῆς παρανομίας ὑπερβολήν. ἡ αὐτ.

τὸν ἰατρὸν γίνεται· ὅταν ἰατρὸς ἀσθενήσῃ, ἄλλου ἰατροῦ ἐν χρείᾳ γίνεται. τὸ αὐτὸ καὶ ἐνταῦθα. Προφήτης ἦν ὁ ἡμαρτηκὼς, καὶ Προφήτης ἦν ὁ τὰ φάρμακα ἐπικομιζόμενος. ἔρχεται οὖν πρὸς αὐτὸν ὁ Νάθαν, καὶ οὐκ εὐθὺς ἀπὸ θυρῶν ἐλέγχει αὐτὸν, καὶ λέγει· παράνομε καὶ ἐναγέστατε, μοιχὲ καὶ φονεῦ, τοσαύτας τιμὰς ἐδέξω παρὰ τοῦ Θεοῦ, καὶ σὺ τὰς ἐντολὰς αὐτοῦ κατεπάτησας. οὐδὲν τοιοῦτον εἶπεν ὁ Νάθαν, ἵνα μὴ ἀναισχυντότερον αὐτὸν ἀπεργάσηται. δημοσιευόμενα γὰρ τὰ ἁμαρτήματα, εἰς ἀναισχυντίαν προκαλεῖται τὸν ἡμαρτηκότα. ἄρχεται οὖν πρὸς αὐτὸν, καὶ δρᾶμα δίκης ὑφαίνει. καὶ τί φησι; βασιλεῦ δίκη μοι ἐστὶ πρὸς σέ. ἦν τις πλούσιος, καὶ ἦν τις πένης. εἶχε δὲ ὁ πλούσιος βουκόλια καὶ ἀγέλας. ἦν δὲ καὶ ὁ πένης ἔχων ἀμνάδα μίαν, » ἥτις ἐκ τοῦ ποτηρίου αὐτοῦ ἔπινε, καὶ ἐκ τῆς τραπέζης αὐτοῦ ἤσθιε, καὶ ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδεν. ἐνταῦθα τὸ γνήσιον τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα δείκνυσι.

** ΒΑΣΙΛΕΙΟΥ. Γέγονε μοιχεία καὶ φόνος καὶ ἐπιθυμία ἀλλοτρίας γυναικός. ἥμαρτεν ὁ δίκαιος ἄνθρωπος, καὶ ὁ Θεὸς κριτὴν αὐτὸν ἐποίησε τῆς ἰδίας ἁμαρτίας. ἐπειδὴ γὰρ οὐ βλέπομεν δοκὸν ἐν ὀφθαλμῷ ἡμῶν, κάρφος δὲ ἐν ἀλλοτρίῳ, εἰσάγει αὐτῷ τὴν δίκην αὐτοῦ ὡς ἀλλοτρίαν, καί φησιν· » ὅτι δύω ἄνδρες ἦσαν ἐν πόλει μιᾷ, ὁ μὲν πλούσιος, ὁ δὲ πένης. τῷ πλουσίῳ ὑπῆρχε πολλὰ, τῷ δὲ πένητι ἀμνὰς μία, ἣ καὶ ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδε· τοῦτο δὲ γυναικὸς μυστήριον· μετ' αὐτοῦ ἤσθιε, καὶ ἐκ τοῦ ποτηρίου αὐτοῦ ἔπινε.

** ΤΟΥ ΑΥΤΟΥ. Πῶς ἐπὶ τοῦ ἀμπελῶνος δικάζεται κατὰ τοῦ ἀμπελῶνος; ἢ διὰ τὸ ἀναντίῤῥητον τῶν ἐλέγχων αὐτοῖς βούλεται καθ' ἑαυτῶν δικασταῖς ὁ λόγος χρήσασθαι; ὃ καὶ ὁ Νάθαν ἐπὶ τοῦ Δαβὶδ ἐποίησεν, αὐτὸν δικαστὴν καθίσας τοῦ ἰδίου ἀδικήματος. τὴν δὲ ὑπερβολὴν τῆς φιλανθρωπίας συνίστησι τὸ εἰς ἰσότιμον κρίσιν τὸν Θεὸν τοῖς ἑαυτοῦ οἰκέταις συγκαταβαίνειν· ὅμως δὲ καὶ τοῦ δικαίου ἀπόδειξιν ἔχει, ὡς οὐδὲ οὐδὲν τῶν καταδικαζομένων ἐχόντων ἀντιλέγειν τῇ ἐναργείᾳ τοῦ δικαίου.

** ΤΟΥ ΑΥΤΟΥ. Πολλάκις χρήσιμος ἡμῖν καὶ ὁ τοῦ Προφήτου τρόπος τῆς ἐπιπλήξεως. ὃς τῷ Δαβὶδ ἁμαρτόντι, οὐ παρ' ἑαυτοῦ ἐπήγαγε τὸν ὅρον τῆς καταδίκης, ἀλλ' ὑποβολῇ προσώπου χρησάμενος, αὐτὸν ἐκεῖνον τοῦ ἰδίου δικαστὴν ἐκάθισεν ἁμαρτήματος· ὥστε αὐτὸν καθ' ἑαυτοῦ προεξενεγκόντα τὴν κρίσιν, μηδὲν ἔτι μέμψασθαι τὸν ἐλέγξαντα.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἔρχεται πρὸς τὸν Δαβὶδ ὁ Ναθὰν, καὶ μῦθον ὑφαίνει σοφῶς, καὶ κρύπτει τῶν λόγων τὸν ἔλεγχον, καὶ περισκέπει τῷ διηγήματι τὸν σίδηρον· ὑπὸ τὴν γλῶτταν φέρει τὸ φάρμακον, καὶ πλανᾷ τὴν αἴσθησιν, ἵνα

A κινήσῃ πρὸς αἴσθησιν. ἀπάγγειλόν μοι, φησὶ, τὴν κρίσιν ταύτην, ὦ βασιλεῦ. λόγῳ ζωγραφεῖ δικαστήριον, καὶ καθίζει δικαστὴν » κατὰ τοῦ Δαβὶδ τὸν Δαβίδ. δύω ἄνδρες ἦσαν ἐν πόλει μιᾷ, εἷς πλούσιος, καὶ ὁ ἕτερος πένης. καὶ ἦν τῷ πλουσίῳ ποίμνια καὶ βουκόλια πολλὰ σφόδρα. καὶ τῷ πένητι οὐκ ἦν, ἀλλ' ἢ ἀμνὰς μικρὰ, ἣν ἐκτήσατο καὶ περιεποιήσατο, καὶ ἐξέθρεψεν αὐτὴν, καὶ συνετράφη μετ' αὐτοῦ καὶ μετὰ τῶν τέκνων B αὐτοῦ, ἀπὸ τοῦ ἄρτου αὐτοῦ ἤσθιε, καὶ ἀπὸ τοῦ ποτηρίου αὐτοῦ ἔπινε, καὶ ἐν τῷ κόλπῳ αὐτοῦ ἐκάθευδε, καὶ ἦν αὐτῷ ὡς θυγάτηρ. τρέφει τῷ λόγῳ τὸν πόθον, ἵνα τὴν ἀδικίαν αὐξήσῃ· πλατύνει τοῦ πένητος τὴν στοργὴν, ἵνα διεγείρῃ τὸν Δαβὶδ πρὸς ὀργήν.

δ. Καὶ ἦλθε πάροδος τῷ ἀνδρὶ τῷ πλουσίῳ, καὶ ἐφείσατο λαβεῖν ἐκ τῶν Γ ποιμνίων αὐτοῦ, καὶ ἐκ τῶν βουκολίων αὐτοῦ, τοῦ ποιῆσαι τῷ ξένῳ ὁδοιπόρῳ τῷ ἐλθόντι πρὸς αὐτὸν, καὶ ἔλαβε τὴν ἀμνάδα τοῦ πένητος, καὶ ἐποίησε (1) τῷ ἀνδρὶ τῷ εἰσελθόντι πρὸς αὐτόν.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἦλθεν ὁδοιπόρος πρὸς τὸν ἄνδρα τὸν πλούσιον. καλῶς ὁδοιπόρος, ξένος, ἀλλότριος. ξένῳ γὰρ νῦν ὁδοιπόρῳ τῷ πάθει Δαβὶδ Δ περιπέπτωκεν, ἀμελετήτῳ κατενήνεκται πταίσματι. ἦλθεν ὁδοιπόρος. αἰφνιδίῳ γὰρ » βέλει τοξεύεται. καὶ ἐφείσατο λαβεῖν ἐκ τοῦ ποιμνίου, καὶ ποιῆσαι τῷ ἀνδρὶ τῷ ξένῳ τῷ ἥκοντι πρὸς αὐτὸν, καὶ ἔλαβε τὴν ἀμνάδα τοῦ πένητος, καὶ ἔθυσεν αὐτὴν τῷ ἀνδρὶ τῷ ἥκοντι.

** ΒΑΣΙΛΕΙΟΥ. Ἦλθε, φησὶ, ξένος τῷ πλουσίῳ. καλῶς δὲ ὅτι ξένος. οὐ γὰρ ἐν E τούτοις εἶχε συνήθειαν ὁ Δαβίδ. ἦλθεν οὖν αὐτῷ ξένος. ἐάσας, φησὶ, τῷ ξένῳ ἀφ' ὧν εἶχε θύσαι, τὴν μίαν ἀμνάδα, φησὶ, τοῦ πένητος ἀφαρπάσας θύει.

** ΠΡΟΚΟΠΙΟΥ. Ξένον καλεῖ τὸν πονηρὸν λογισμὸν, ὡς ἔξωθεν ἡμῖν προσβάλλοντα, καὶ μὴ κατὰ φύσιν ὄντα ἐν ἡμῖν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐν δὲ τοῖς ἑξῆς ἀπολογίαν τινὰ συνυφαίνει τοῖς λόγοις. Z ὁδοιπόρον γὰρ τὴν κακὴν ἐπιθυμίαν ὠνόμασεν· ὡς νῦν μὲν παρὰ τοῦτον, νῦν δὲ παρ' ἐκεῖνον φοιτῶσαν· ξένον δὲ πάλιν αὐτὴν προσηγόρευσεν, ὡς ἀήθη τοῦ Δαβὶδ, καὶ γνώριμον οὐδεπώποτε γεγενημένην. τοῦτο γὰρ αὐτὸν καὶ τῆς συγγνώμης μεταλαχεῖν παρεσκεύασεν. οὐ γὰρ πονηροῖς ἐπιτηδεύμασιν ἐνετράφη, οὐδὲ ἐκ γνώμης, ἀλλ' ἐκ περιστάσεως ἐδέξατο τὴν πληγήν· καὶ ῥαθυμίας ἦν οὐ κακοηθείας ἡ ἁμαρτία. ἀλλ' H ἐν τοῖς ἑξῆς τὴν κατηγορίαν ηὔξησεν. ἔδει γὰρ ἐκ τῶν οἰκείων θύσαι, [καὶ] μὴ τὴν ἀλλοτρίαν καὶ μόνην ἀμνάδα.

ΑΔΗΛΟΥ.

(1) Ἐποίησεν αὐτὴν τῷ ἀνδρὶ τῷ ἐλθόντι. αἱ αὐτ.

** ΑΔΗΛΟΥ. (1) Ὁ μὲν πόθος τὴν γυναῖκα, ὡς ἀμνάδα ἔθυσεν· ὁ δὲ θυμὸς τὸν ἄνδρα ἐφόνευσεν. ὅτι δὲ ὡς ἀμνάδα τὴν γυναῖκα ἔθυσεν, ἐπειδὴ ἡ μοιχεία τῆς σωφροσύνης θάνατος. διὰ τοῦτο γὰρ αὐτὴν καὶ ἀμνάδα εἶπεν ἡ Γραφὴ, ὅτι ἄσπιλον καὶ ἄμωμον τῷ ἀνδρὶ τὸ σῶμα ἐφύλαττεν. ἔλεγε γὰρ Νάθαν ὁ προφήτης ἐν τῇ παραβολῇ· ἦλθε δὲ ὁδοιπόρος πρὸς τὸν ἄνδρα τὸν πλούσιον, καὶ ἐφείσατο, καὶ ἔλαβε τὴν ἀμνάδα τοῦ ἀνδρὸς τοῦ πένητος, καὶ ἔσφαξεν· ἀμνάδα τὴν ὕπανδρον διὰ τὴν
Ἑβρ. 13. 4. ἀμίαντον κοίτην καλῶν. τίμιος γὰρ ὁ γάμος, καὶ ἡ κοίτη ἀμίαντος. σφαγὴν δὲ τὴν μοιχείαν λέγει. ἐπειδὴ σφαγὴ καὶ φόνος ἡ ὕβρις τῷ σώφρονι.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐλθόντος ξένου τινὸς, ἐφείσατο ὁ πλούσιος τῶν ἰδίων, καὶ λαβὼν τὴν ἀμνάδα τοῦ πένητος, ἔσφαξεν αὐτήν. ἴδες πῶς ἐνταῦθα ὑφαίνει τὸ δρᾶμα, τῷ σπόγγῳ ἐπικεκρυμμένον ἔχων τὸ σιδήριον;

ε. Καὶ ἐθυμώθη ὁ Δαβὶδ ὀργῇ σφόδρα τῷ ἀνδρὶ, καὶ εἶπε Δαβὶδ πρὸς Νάθαν, ζῇ Κύριος, ὅτι υἱὸς θα-
ϛ. νάτου ὁ ἀνὴρ ὁ ποιήσας τοῦτο. Καὶ τὴν ἀμνάδα ἀποτίσει ἑπταπλασίονα, ἀνθ᾽ ὧν ὅτι ἐποίησε τὸ ῥῆμα τοῦτο, καὶ περὶ οὗ οὐκ ἐφείσατο.

** ΒΑΣΙΛΕΙΟΥ. Ὅσον ἂν πέσῃ ὁ ἰσχυρὸς, ταχεῖαν ἔχει τὴν ἀνάστασιν. ἀγανακτεῖ ὁ Δαβίδ. ἰδοὺ γὰρ Δαβὶδ καὶ πεσών. ζῇ Κύριος, ἄξιος θανάτου ἐστὶν ὁ ποιήσας τοῦτο. ἀπεφήνατο αὐτὸς καθ᾽ ἑαυτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Νομίζων κατὰ ἄλλου ἀποφαίνεσθαι, ὀξυτάτην ἐπήγαγε τὴν ἀπόφασιν. τοιοῦτοι γὰρ οἱ ἄνθρωποι· κατὰ τῶν ἄλλων ἡδέως τὰς ἀποφάσεις καὶ ἀποτόμως ποιοῦνται καὶ ἐκδιδόασι. καὶ τί φησιν ὁ Δαβίδ; ζῇ Κύριος, ἄξιος θανάτου ὁ τοιοῦτος, καὶ ἀποδώσει τὴν ἀμνάδα τετραπλασίονα.

** ΠΡΟΚΟΠΙΟΥ. Υἱὸς θανάτου. Τοῦτο μὲν ὑπερβολικόν· τὸ δὲ ἀποτίσαι τετραπλασίονα, κατὰ νόμον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Οὕτω τῆς γραφῆς ἐν ἀλλοτρίῳ γεγενημένης προσώπῳ, ὁ δικαστὴς δικαίαν τὴν ψῆφον ἐξήνεγκε. ζῇ γὰρ ἔφη Κύριος, ὅτι ἄξιος ὁ ἀνὴρ θανάτου ὁ τοῦτο ποιήσας. καὶ τὴν ἀμνάδα ἀποτίσει τετραπλασίονα, ἀνθ᾽ ὧν ἐποίησε τὸ πρᾶγμα τοῦτο, καὶ ὑπὲρ οὗ οὐκ ἐφείσατο.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἤκουσε Δαβὶδ κατὰ τοῦ Δαβὶδ τὸ διήγημα. καὶ ἐθυμώθη Δαβὶδ σφόδρα. καὶ εἶπε, ζῇ Κύριος, ὅτι ἄξιος ὁ ἀνὴρ ὁ ποιήσας τοῦτο θανάτου. καὶ τὴν ἀμνάδα ἀποτίσει τετραπλασίονα. ἔπαθεν ὡς ἐπ᾽ ἀλλοτρίοις, τοῖς οἰκείοις ἐγκλήμασι. βασιλικῶς ἀποφαίνεται, καὶ φέρει τὴν ψῆφον κατὰ τοῦ Δαβὶδ, ὁ Δαβίδ. ἄξιος θανάτου ἐστίν. ἠκόνησε καθ᾽ ἑαυτῆς ἡ γλῶττα τὸ ξίφος.

ζ. Καὶ εἶπε Νάθαν πρὸς Δαβὶδ, σὺ εἶ ὁ ἀνὴρ ὁ ποιήσας τοῦτο. τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραὴλ, ἐγώ εἰμι ὁ χρίσας σε εἰς βασιλέα ἐπὶ Ἰσραὴλ, καὶ ἐγὼ ἐῤῥυσάμην σε ἐκ χειρὸς Σαούλ,

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐκ ἐμάλαξε πολλαῖς ὥραις τὴν πληγὴν, ἀλλ᾽ εὐθὺς ἐκφαίνει, καὶ ὀξυτάτην ἐπήγαγε τὴν τομὴν, ἵνα μὴ κλέψῃ τὴν αἴσθησιν τοῦ πόνου. σὺ εἶ βασιλεῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ δὲ ὁ κατηγορούμενος καθ᾽ ἑαυτοῦ τὴν ἀπόφασιν ἐξενήνοχε, τότε λοιπὸν ῥίψας ὁ Προφήτης τὸ προσωπεῖον, γυμνὸν τὸ πρόσωπον ἔδειξε τοῦ κατηγορουμένου. ἔφη γὰρ, τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραὴλ, ἐγὼ ἔχρισά σε εἰς βασιλέα ἐπὶ Ἰσραὴλ, καὶ ἐγὼ ἐξειλόμην σε ἐκ χειρὸς Σαοὺλ, καὶ ἔδωκά σοι πάντα τὰ τοῦ κυρίου σου, καὶ τὰς γυναῖκας αὐτοῦ εἰς τὸν κόλπον σου, καὶ ἔδωκά σοι τὸν οἶκον Ἰσραὴλ καὶ Ἰούδα.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἐκκαλύπτει τὸ ἀπόῤῥητον, δείκνυσιν αὐτῷ τὸ τοῦ λόγου ἔσοπτρον, γυμνοῖ τὸν κατάκριτον, σαφηνίζει τὸ πλάσμα, παρίστησι· σὺ εἶ βασιλεῦ ὁ ποιήσας τοῦτο, μονονουχὶ λέγων· ἀπεφήνω βασιλικῶς βασιλεῦ, ὁ θυμὸς τοῦ δικαίου συνήγορος. ἀλλ᾽ ἐβουλόμην μὴ κατὰ σοῦ τὴν ψῆφον ἐκφέρεσθαι. ἐπίγνωθί σου τὴν πρᾶξιν. ὅρα τίς ὑπὸ τὴν σὴν ἀπόφασιν ὁ κείμενος. ἐβουλόμην εἶναί σε δικαστὴν, οὐ κατάδικον· ἀποφαίνεσθαι, μὴ εὐθύνεσθαι. ἤκουσας τὸν λόγον· ἐκίνησέ σε πρὸς ὀργὴν ἡ διήγησις. ἀλλὰ σὺ τῶν λόγων ἐργάτης, σὺ τοσούτῳ θυμῷ τὰς ὕλας ὑπέβαλες, σὺ τῆς ἀλλοτρίας ἀμνάδος ὁ σφαγεὺς, βασιλεῦ· σὺ πένητος τὴν μόνην ἀφεῖλες παραμυθίαν· σὺ καὶ τὴν κλῆσιν ἀφεῖλου, καὶ τὸν κλησάμενον ἀνεῖλες. ὁρᾷς σου τὴν αἵμασι γεγραμμένην ἐπιστολήν· ὅρα τῶν πραγμάτων ᾑμαγμένον τὸ ξίφος.

η. Καὶ ἔδωκά σοι τὸν οἶκον τοῦ κυρίου σου, καὶ τὰς γυναῖκας τοῦ κυρίου σου ἐν τῷ κόλπῳ σου, καὶ ἔδωκά σοι τὸν οἶκον Ἰσραὴλ καὶ Ἰούδα· καὶ εἰ μικρόν ἐστι, προσθήσω σοι κατὰ ταῦτα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα ἐδήλωσε τῆς φιλοτιμίας τὸ ἄμετρον· καὶ εἰ ὀλίγα (2) ἐστὶ, προσθήσω σοι καθὼς ταῦτα. πρὸ τῆς τομῆς ἡ θεραπεία, [πρὸ τῆς τιμωρίας ἡ ψυχαγωγία.] καὶ εἰ ὀλίγα σοι ἐστὶ, προσθήσω σοι καθὼς ταῦτα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐ πάντες ὁμοίως κολασθήσονται. ἀλλ᾽ οἱ μὲν καὶ μετὰ

τῆς

(1) Ἐκ τῆς ἑρμηνείας ἐλήφθη τῆς εἰς τὸν 4. ψαλ. τῆς ἐν τῷ 5. τῶν Χρυσοσ. Τόμ. ἣν ὁ Μοντφαυκόν, οὐ μόνον τοῖς νόθοις συνέταξεν, ἀλλὰ καὶ φωτὸς ἀναξίαν παραλόγως ἔκρινε.

(2) Ὀλίγα σοι ἐστὶ, προσθήσω καθ. ἡ ἐν Χάλ. ἔκδ.

τῆς εὐεργεσίας μείναντες κακοὶ, μειζόνως τιμωρηθήσονται· οἱ δὲ μετὰ πενίας, οὐχ οὕτω. καὶ ὅτι τοῦτό ἐστιν ἀληθὲς, ἄκουσον τί φησι τῷ Δαβίδ· οὐχὶ ἔδωκά σοι πάντα τὰ τοῦ κυρίου σου;

θ. Τί ὅτι ἐφαύλησας τὸν λόγον Κυρίου, τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφθαλμοῖς αὐτοῦ; τὸν Οὐρίαν τὸν Χετταῖον ἀπέκτεινας ἐν ῥομφαίᾳ, καὶ τὴν γυναῖκα αὐτοῦ ἔλαβες σεαυτῷ εἰς γυναῖκα, καὶ αὐτὸν ἀπέκτεινας ἐν ῥομφαίᾳ υἱῶν Ἀμμών.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἔπειτα τῆς κατηγορίας ὁ ἔλεγχος. καὶ τί ὅτι ἐξουδένωσας τὸν Κύριον τοῦ ποιῆσαι τὸ πονηρὸν ἐνώπιον αὐτοῦ; κατεφρόνησάς μου τῶν νόμων, οὐκ ᾠήθης ἐφορᾷν με τῶν ἀνθρώπων τὰς πράξεις. τὸν Οὐρίαν τὸν Χετταῖον ἐπάταξας ἐν ῥομφαίᾳ, καὶ τὴν γυναῖκα αὐτοῦ ἔλαβες σεαυτῷ εἰς γυναῖκα, [καὶ αὐτὸν ἀπέκτεινας ἐν ῥομφαίᾳ τῶν υἱῶν Ἀμμών.] τὸν οὕτως εὔνουν περὶ σὲ γεγενημένον τοῖς πολεμίοις ἐξέδωκας, [καὶ] δι' ἡδονὴν ὀλίγην δύο νόμους πεπάτηκας.

ι. Καὶ νῦν οὐκ ἀποστήσεται ῥομφαία ἐκ τοῦ οἴκου σου ἕως αἰῶνος, ἀνθ' ὧν ὅτι ἐξουδένωσάς με, καὶ ἔλαβες τὴν γυναῖκα Οὐρίου τοῦ Χετταίου, τοῦ εἶναί σοι εἰς γυναῖκα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα ἡ τιμωρία. καὶ νῦν οὐκ ἀρθήσεται ῥομφαία ἐκ τοῦ οἴκου σου εἰς τὸν αἰῶνα, ἕνεκεν τούτου οὗ ἐξουδένωσάς με, καὶ ἔλαβες τὴν γυναῖκα Οὐρίου τοῦ Χετταίου σεαυτῷ εἰς γυναῖκα. αἰνίττεται δὲ ὁ λόγος, ὅτι πλέον ὁ δεσπότης Θεὸς ἐχαλέπηνεν ἐπὶ τῷ γάμῳ, ἢ τῇ προγεγενημένῃ μοιχείᾳ. ἐκεῖνο μὲν γὰρ ἐπιθυμίας ἦν σφοδροτάτης, κάρον ἐργασαμένης τῷ λογισμῷ· τοῦτο δὲ καὶ αὐτοῦ τοῦ λογισμοῦ τὴν συγκατάθεσιν ἔχει, ὃν ἐχρῆν μετὰ τὸν ἄδικον φόνον θρηνεῖν καὶ στένειν, οὐ γάμῳ συναινεῖν παρανόμῳ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ νῦν οὐκ ἐξαρθήσεται ῥομφαία ἐκ τοῦ οἴκου σου εἰς τὸν αἰῶνα. Τὸν ἀλλότριον οἶκον ῥομφαίᾳ ἐδιχοτόμησας, τὴν κατὰ σοῦ ῥομφαίαν χαλκεύσω ἐν τῷ οἴκῳ σου.

ια. Τάδε λέγει Κύριος, ἰδοὺ ἐγὼ ἐξεγερῶ ἐπὶ σὲ κακὰ ἐκ τοῦ οἴκου σου, καὶ λήψομαι τὰς γυναῖκάς σου κατ' ὀφθαλμούς σου, καὶ δώσω τῷ πλησίον σου, καὶ κοιμηθήσεται μετὰ τῶν γυναικῶν σου ἐναντίον τοῦ ἡλίου τούτου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα τὰς χαλεπὰς ἀπειλεῖ τιμωρίας, αἳ λαμπρότερον ἔδειξαν τοῦ θαυμαστοῦ βασιλέως τὸ κλέος. αἱ γὰρ θεήλατοι πληγαὶ τὴν νόσον ἐκείνην ἐξήλασαν, καὶ τὴν προτέραν ὑγείαν ἀπέδοσαν. τούτου γὰρ δὴ χάριν αὐτὰς ὁ τῶν ψυχῶν ἰατρὸς προσενήνοχε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἰδοὺ ἐγὼ ἐξεγερῶ ἐπὶ σὲ κακὰ ἐκ τοῦ οἴκου σου· Οὐκ ἔξωθέν ποθεν, ἀλλ' ἐκ τοῦ οἴκου σου· ὅθεν ἡ πηγὴ τῆς ἁμαρτίας, ἐκεῖθεν ἡ πληγὴ τῆς τιμωρίας.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ λήψομαι τὰς γυναῖκας, καὶ δώσω τῷ πλησίον σου· Ὅμοιον τῷ, παρέδωκεν αὐτοὺς ὁ Θεὸς εἰς πάθη ἀτιμίας, (Ῥωμ. 1. 26.) τοῦ Θεοῦ δηλοῦν τὴν συγχώρησιν· ὅπουγε καὶ Ἰακὼβ τὴν Σίκημα παρὰ γνώμην αὐτοῦ κατασπραφεῖσαν ὑπὸ Συμεὼν καὶ Λευῒ τῶν παίδων, οἷς ἐπηράσατο, κληρονομίαν ἀφιεὶς Ἰωσήφ, ἣν ἔλαβον, φησὶ, τῷ τόξῳ μου, (Γεν. 48. 22.) τὸ τῶν υἱῶν αὐτοῦ καὶ παρὰ γνώμην γεγονὸς οἰκειούμενος ἔργον.

ιβ. Ὅτι σὺ ἐποίησας κρύβδην, κἀγὼ ποιήσω τὸ ῥῆμα τοῦτο ἐναντίον παντὸς Ἰσραὴλ, καὶ ἀπέναντι τούτου τοῦ ἡλίου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Προσέθεικε δὲ ταῖς ἀπειλαῖς· ὅτι σὺ μὲν ἐποίησας ἐν κρυπτῷ, ἐγὼ δὲ ποιήσω τὸ ῥῆμα τοῦτο ἐνώπιον παντὸς τοῦ λαοῦ τούτου. λαθεῖν γάρ φησιν ἠθέλησας τὸν φόνον, ἐγὼ δὲ πᾶσι κατάδηλον τὴν ἁμαρτίαν σου ποιήσω.

ιγ. Καὶ εἶπε Δαβὶδ τῷ Νάθαν, ἡμάρτηκα τῷ Κυρίῳ. καὶ εἶπε Νάθαν πρὸς Δαβὶδ, καὶ Κύριος παρεβίβασε (1) τὸ ἁμάρτημά σου· οὐ μὴ ἀποθάνῃς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τούτων ὁ Δαβὶδ ἀκούσας τῶν λόγων, οὐκ ἐδυσφόρησεν ὡς ὑπ' ἀνδρὸς πένητος ἐλεγχόμενος. ᾔδει γὰρ τὸν δι' αὐτοῦ φθεγγόμενον, καὶ ἐβόησε· ἡμάρτηκα τῷ Κυρίῳ. ἀλλ' εὐθὺς ὁ Προφήτης τὴν τῆς ἁμαρτίας ὁμολογίαν δεξάμενος, καὶ τῇ τοῦ Δεσπότου θαῤῥήσας φιλανθρωπίᾳ, ἐπήγαγε· καὶ Κύριος ἀφείλετο τὸ ἁμάρτημά σου· οὐ μὴ ἀποθάνῃς. διπλοῦν ὤφειλε θάνατον, (2) καὶ ὡς ἀνδροφόνος, καὶ ὡς μοιχός. ἀλλ' ἔλυσε τοῦ θανάτου τὴν ψῆφον ἡ τῆς ἁμαρτίας ὁμολογία.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἥμαρτον τῷ Κυρίῳ. οὐκ εἶπε, τίς γὰρ εἶ ὁ ἐλέγχων με; τίς δέ σε ἀπέστειλε παῤῥησιάζεσθαι; ποίᾳ δὲ τόλμῃ τοῦτο πεποίηκας; οὐδὲν τοιοῦτον εἶπεν, ἀλλὰ συνέγνω τὴν ἁμαρτίαν. καὶ τί φησιν; ἡμάρτηκα τῷ Κυρίῳ. τί οὖν ὁ Νάθαν πρὸς αὐτόν; καὶ Κύριος ἀφῆκε τὸ ἁμάρτημά σου. ἑαυτὸν κατεδίκασας, ἐγώ σοι συγχωρῶ τὴν καταδίκην. εὐγνωμόνως ὡμολόγησας, ἔλυσας τὴν ἁμαρτίαν· σεαυτῷ τὴν καταδίκην ἐπεσπάσω, ἐγὼ ἔλυσα τὴν ἀπόφασιν. ἴδες πῶς ἐπληρώθη τὸ γεγραμμένον· λέγε σὺ τὰς ἀνομίας σου πρῶτος, ἵνα δικαιωθῇς; (Ἡσ. 43. 26.)

ΤΟΥ

(1) Ἀφείλετο. ἡ ἐν Κομπλ. ἔκδ. καὶ οἱ ὑπομνηματ. (2) Θάνατον. καὶ γὰρ ὁ μοιχὸς καὶ ὁ ἀνδροφόνος ἀνῃροῦντο κατὰ τὸν νόμον. ἀλλ' ἔλυσε κτ. ἡ ἐν Χαλ. ἔκδ.

** ΤΟΥ ΑΥΤΟΥ. Τῷ μακαρίῳ Δαβὶδ δεξαμένῳ τὸν ἔλεγχον τῆς ἁμαρτίας διὰ τοῦ ἁγίου Νάθαν τοῦ προφήτου, καὶ εὐθέως πρὸς τῇ ἀπειλῇ ἐπιδειξαμένῳ τὴν γνησίαν ἐπιστροφὴν, καὶ εἰπόντι· ἥμαρτον τῷ Κυρίῳ· εὐθέως ῥῆμα ἐν μιᾷ ῥοπῇ προενεχθὲν γνησίως, ὁλόκληρον ἤνεγκε τῷ μετανοήσαντι τὴν σωτηρίαν. εὐθὺς γὰρ ἡ διόρθωσις κατέλαβε τὴν ἀπόφασιν. Φησὶ γοῦν πρὸς αὐτὸν ὁ Νάθαν· καὶ Κύριος ἀφῆκε τὴν ἁμαρτίαν σου. ὅρα δέ μοι τὸν Θεὸν βραδὺν εἰς τιμωρίαν, καὶ ταχὺν εἰς σωτηρίαν. καί μοι πρῶτον ἐννόησον, ὅπως τὸν ἔλεγχον ὁ Φιλάνθρωπος μετὰ πολλοὺς προσήγαγε χρόνους. ἥμαρτεν ὁ Δαβίδ· ἐκυοφόρησεν ἡ γυνὴ, καὶ οὐδεὶς ἔλεγχος τῇ ἁμαρτίᾳ παρηκολούθησεν· ἀλλὰ μετὰ τὸ ἀποτεχθῆναι τὸ βρέφος τὸ ἐκ τῆς ἁμαρτίας, ἀποστέλλεται ὁ ἰατρὸς τῆς ἁμαρτίας. διατί δὲ ἁμαρτήσαντα εὐθέως οὐ διωρθώσατο; ἐπειδὴ εἶδεν ἐν ταῖς ἀκμαῖς τῶν ἁμαρτημάτων τυφλώττουσαν τὴν ψυχὴν τῶν ἁμαρτανόντων· διότι ἐκκεκώφωται τὰ ὦτα τῶν βεβαπτισμένων ἐν τῷ βάθει τῆς ἁμαρτίας. ὑπερτίθεται οὖν φλεγμαίνοντι τῷ πάθει προσάγειν τὴν βοήθειαν, καὶ μετὰ τοσοῦτον χρόνον ὁ ἔλεγχος προέρχεται· καὶ ἐν μιᾷ καιροῦ ῥοπῇ ἡ μετάνοια καὶ ἡ ἄφεσις. καὶ Κύριος ἀφῆκε τὴν ἁμαρτίαν σου.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἐνταῦθά μοι βλέπε τὴν τοῦ Δαβὶδ φιλοσοφίαν. οὐ γὰρ ὡς βασιλεὺς ἐλεγχθεὶς ἠγανάκτησεν, οὐδὲ πρὸς τὴν ἀξίαν ἰδὼν ἐτραχύνθη, οὐδὲ μισεῖ τὸν τὴν παρανομίαν γυμνώσαντα, οὐδὲ πρὸς θυμὸν ἤχθη βασιλεὺς ὑπὸ ἀνδρὸς ἰδιώτου κατηγορούμενος· ἀλλὰ γνωρίσας τὴν ἁμαρτίαν, καταβάλλει τὴν παῤῥησίαν, τῆς ἀξίας ἐπιλαθόμενος. ἐκκρύπτει, καὶ οὐ κρύπτει. κύπτει πρὸς τὴν γῆν, καὶ τὴν γνώμην συστέλλεται, καὶ τὸ ἕλκος ὀδύρεται, καὶ μετὰ δακρύων ἀναβοᾷ τὴν ἁμαρτίαν κηρύττων· ἡμάρτηκα τῷ Κυρίῳ. οὐ χρῄζω τῶν ἔξωθεν ἐλέγχων, ἐμαυτοῦ κατήγορος γίνομαι. ἐγὼ μάρτυς τοῦ πταίσματος. οὐκ ἀρνοῦμαι πρᾶξιν, ἣν τὸ συνειδὸς στηλιτεύει, οὐκ ἐπάγω τὴν ἄρνησιν, τῆς ἁμαρτίας ἐπαύξησιν. τί οὖν τῆς ὁμολογίας τὸ κέρδος; Κύριος ἀφείλετο τὸ ἀνόμημά σου, ὁ τοῦ νόμου δεσπότης. ὁ μὲν γὰρ νόμος τὸ ξίφος ἐγύμνωσεν. οἶδε γὰρ τῆς μοιχείας τὸ ἐπιτίμιον, καὶ φόνῳ τὸν φόνον ἀμύνεται. ἀλλὰ Κύριος ἀφείλετο τὸ ἀνόμημά σου. ἐνίκησε τὸ χρέος ἡ χάρις, ἔπαυσε τὴν τιμωρίαν φιλανθρωπία. δικαστὴς εἰς ἰατρὸν μεταβέβληται, ἀντὶ σιδήρου τῷ τῆς μετανοίας ἀρκεῖται φαρμάκῳ. ὢ μεγάλης καὶ γοργῆς ἀγαθότητος. συνέδραμε τῇ ὁμολογίᾳ τῆς ἁμαρτίας ἡ λύσις τῆς τιμωρίας· ἔδειξεν ὅση τῆς μετανοίας ἡ ἐνέργεια.

** ΝΕΙΛΟΥ. Προσδέχεται ὁ Κύριος καὶ στόμα κατὰ τὸν Δαβὶδ, λέγων· ἡμάρ-

A τηκα τῷ Κυρίῳ ἐνώπιον αὐτοῦ ποιήσας τὸ πονηρόν. πολλὰ δὲ ὅλως ἐστὶ γινόμενα ὑπὸ τῶν ἡμαρτηκότων, μικρὰ μὲν δοκοῦντα εἶναι, μεγάλην δὲ σωτηρίαν περιποιοῦντα τοῖς μεταμελομένοις ἐπὶ ταῖς ἰδίαις ἁμαρτίαις. Καὶ μετ' ὀλίγα. Καὶ σὺ τοίνυν πρεσβύτα μὴ ἐξουθένει, μᾶλλον δὲ προσλαμβάνου, καὶ θάλπε καρδίαν συντετριμμένην καὶ τεταπεινωμένην, καὶ ἀνάκτα καὶ σῶζε, μὴ μόνον καρποὺς κατορθωμάτων βαρυτετιμη-
B μένους παρὰ τῶν ἐπταικότων ἀπαιτῶν, καὶ ἐπιζητῶν δι' ἔργων ἀσκητικῶν, ἀλλὰ καὶ λόγους δεχόμενος τῶν κατανενυγμένων ἐπὶ τῇ αὐτῶν ἁμαρτίᾳ, καὶ μετὰ πλείστης ταπεινώσεως ἐξαγορευόντων σοι τὰ κακῶς πεπραγμένα.

ιδ. Πλὴν ὅτι παροξύνων παρώξυνας τοὺς ἐχθροὺς Κυρίου ἐν τῷ ῥήματι τούτῳ, καί γε ὁ υἱός σου ὁ τεχ-
Γ θείς σοι θανάτῳ ἀποθανεῖται.

* ΘΕΟΔΩΡΙΤΟΥ. Παντοδαπαῖς δὲ αὐτὸν, οἷα δὴ πάνσοφος ἰατρὸς, παιδείαις ὑπέβαλε. τοῦτο γὰρ καὶ ἡ ἱστορία διδάσκει. εἰρηκὼς γὰρ ὁ Προφήτης, οὐ μὴ ἀποθάνῃς, ἐπήγαγε· πλὴν [ὅτι] παροργίζων παρώργισας ἐν τοῖς ὑπεναντίοις τὸν Κύριον ἐν τῷ λόγῳ τούτῳ. τοῦτο δὲ σαφέστερον ὁ Ἀκύλας (1) ἡρμήνευσε, παροξύνων παρώξυνας τοὺς ἐχθροὺς Κυρίου. γυμνωθεὶς γὰρ
Δ τῆς θείας κηδεμονίας, παρεσκεύασε τοὺς ἀλλοφύλους νικᾷν, καὶ μέγα φρονεῖν κατὰ τοῦ τῶν ὅλων Θεοῦ.

ιε. Καὶ ἀπῆλθε Νάθαν εἰς τὸν οἶκον αὐτοῦ. καὶ ἔθραυσε Κύριος τὸ παιδάριον ὃ ἔτεκεν ἡ γυνὴ Οὐρίου τοῦ Χετταίου τῷ Δαβὶδ, καὶ ἠῤῥώστησε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πρῶτον μέντοι τὸ μοιχίδιον παιδίον ἐπάταξεν ὁ Θεός. ὁ δὲ
E Οὐρίας ἔοικεν ἐκ τῶν ἀλλοφύλων ὁρμώμενος, προσήλυτος γεγενῆσθαι. Χετταῖον γὰρ αὐτὸν προσαγορεύει. καὶ ἔδειξεν ὡς ἀδικούμενον οὐδένα περιορᾷ ὁ Θεὸς, ἀλλὰ κἂν ἀλλόφυλος ὁ ἀδικούμενος ᾖ, ὁ δὲ ἀδικῶν Ἑβραῖος, ἐκείνῳ μὲν ἐπαμύνει, τὸν δὲ ἀδικοῦντα κολάζει.

ις. Καὶ ἐζήτησε Δαβὶδ τὸν Θεὸν περὶ τοῦ παιδαρίου, καὶ ἐνήστευσε Δα-
Z βὶδ νηστείαν, καὶ εἰσῆλθε καὶ ηὐλίσθη καὶ ἐκοιμήθη ἐν σάκκῳ ἐπὶ τῆς γῆς.
ιζ. Καὶ ἀνέστησαν οἱ πρεσβύτεροι τοῦ οἴκου αὐτοῦ ἐπ' αὐτὸν τοῦ ἐγεῖραι αὐτὸν ἀπὸ τῆς γῆς, καὶ οὐκ ἠθέλησε, καὶ οὐ συνέφαγεν αὐτοῖς ἄρτον.

ιη. Καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ τῇ ἑβδόμῃ, καὶ ἀπέθανε τὸ παιδάριον. καὶ ἐφοβήθησαν οἱ δοῦλοι Δαβὶδ ἀπαγ-
H γεῖλαι αὐτῷ, ὅτι τέθνηκε τὸ παιδάριον,

(1) Οὐχ ὁ Ἀκύλας, ἀλλ' οἱ Ἑβδομήκ. κατά τε τὸν τοῦ Ἡγεμόν. κώδ. καὶ τὴν τοῦ Ἄλδ. ἔκδ. ἡ δὲ τοῦ Ἀκύλ. ἑρμηνεία· ὅτι διασύρων διέσυρας τοὺς ἐχθροὺς Κυρίου. ἐν ταῖς εἰς τὸν Θεοδώριτ. σημειώσ. ταῖς ἐν τῇ κατὰ τὴν Χάλ. ἐκδόσ.

ριον, ὅτι εἴπαν, ἰδοὺ ἐν τῷ ἔτι τὸ παι-
δάριον ζῆν ἐλαλήσαμεν πρὸς αὐτὸν,
καὶ οὐκ εἰσήκουσε τῆς φωνῆς ἡμῶν· καὶ
πῶς εἴπωμεν πρὸς αὐτὸν ὅτι τέθνηκε
τὸ παιδάριον, καὶ ποιήσει κακά;

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὶ δήποτε τὸ ἀρτιγενὲς παιδίον θανάτῳ παρέδωκεν ὁ Θεός; Ἔμελλεν εἶναι ζῶν τῆς παρανομίας ἔλεγχος, καὶ τοῦ δυσσεβοῦς βασιλέως ὄνειδος. τοῦ Προφήτου τοίνυν ὁ Θεὸς κηδόμενος, τοῦ ζῆν (1) αὐτὸ ὁ Δεσπότης ἐξήγαγε.

* ΠΡΟΚΟΠΙΟΥ. Ἔλεγχος γὰρ τῆς παρανομίας ἐγίνετο ζῶν. δυσσεβοῦς οὖν βασιλέως κηδόμενος ὁ Θεὸς, τὸ τούτου παρήνεγκεν ὄνειδος, (2) ἤτοι μοιχίδιον. τοσοῦτος δὲ ὁ καταβληθεὶς τῆς μετανοίας καρπὸς, ὡς καὶ προπάτορα αὐτὸν τῆς κατὰ σάρκα γεννήσεως ἑαυτοῦ ἐκ ταύτης γεγενῆσθαι τῆς γυναικός.

ιθ. Καὶ συνῆκε Δαβὶδ, ὅτι οἱ
παῖδες αὐτοῦ ψιθυρίζουσι, καὶ ἐνόησε
Δαβὶδ ὅτι τέθνηκε τὸ παιδάριον. καὶ
εἶπε Δαβὶδ πρὸς τοὺς παῖδας αὐτοῦ, εἰ
τέθνηκε τὸ παιδάριον; καὶ εἶπαν τέθ-
κ. νηκε. Καὶ ἀνέστη Δαβὶδ ἐκ τῆς γῆς,
καὶ ἐλούσατο, καὶ ἠλείψατο, καὶ ἤλ-
λαξε τὰ ἱμάτια αὐτοῦ, καὶ εἰσῆλθεν
εἰς τὸν οἶκον τοῦ Θεοῦ, (3) καὶ προσε-
κύνησεν αὐτῷ, καὶ εἰσῆλθεν εἰς τὸν
οἶκον αὐτοῦ, καὶ ᾔτησεν ἄρτον φα-
γεῖν, καὶ παρέθηκαν αὐτῷ ἄρτον, καὶ
ἔφαγε.

** ΙΩΣΗΠΟΥ. Συνεὶς ὅτι τέθνηκεν ὁ παῖς, προσφωνήσας ἕνα τῶν οἰκετῶν, καὶ μαθὼν τἀληθὲς, ἀνίσταται, καὶ λουσάμενος, καὶ λαβὼν ἐσθῆτα λευκὴν, εἰς τὴν σκηνὴν τοῦ Θεοῦ παραγίνεται· καὶ κελεύσας δεῖπνον αὐτῷ παρατεθῆναι, πολλὴν ἐπὶ τῷ παραλόγῳ τοῖς τε συγγενέσι καὶ τοῖς οἰκέταις ἔκπληξιν παρέσχεν· ὅτι μηδὲν τούτων ἐπὶ νοσοῦντι τῷ παιδὶ ποιήσας, πάνθ' ὁμοῦ τετελευτηκότι ἔπραττε.

κα. Καὶ εἶπαν οἱ παῖδες αὐτοῦ πρὸς
αὐτὸν, τὶ τὸ ῥῆμα τοῦτο ὃ ἐποίησας
ἕνεκα τοῦ παιδαρίου; ἔτι ζῶντος ἐνή-
στευες καὶ ἔκλαιες καὶ ἠγρύπνεις, καὶ
ἡνίκα ἀπέθανε τὸ παιδάριον, ἀνέστης
κβ. καὶ ἔφαγες ἄρτον καὶ πέπωκας; Καὶ
εἶπε Δαβὶδ, ἐν τῷ τὸ παιδάριον ἔτι
ζῆν ἐνήστευσα καὶ ἔκλαυσα, ὅτι εἶπα,
τὶς οἶδεν εἰ ἐλεήσει με Κύριος, καὶ ζή-
κγ. σεται τὸ παιδάριον; Καὶ νῦν τέθνη-
κεν, ἵνα τὶ τοῦτο ἐγὼ νηστεύω; μὴ δυ-
νήσομαι ἐπιστρέψαι αὐτὸν ἔτι; ἐγὼ
A πορεύομαι (4) πρὸς αὐτὸν, καὶ αὐτὸς
κδ. οὐκ ἀναστρέψει πρός με. Καὶ παρεκά-
λεσε Δαβὶδ Βηρσαβεὲ τὴν γυναῖκα
αὐτοῦ, καὶ εἰσῆλθε πρὸς αὐτὴν, καὶ
ἐκοιμήθη μετ' αὐτῆς, καὶ συνέλαβε
καὶ ἔτεκεν υἱὸν, καὶ ἐκάλεσε τὸ ὄνομα
αὐτοῦ Σαλωμὼν, καὶ Κύριος ἠγάπη-
σεν αὐτόν.

κε. Καὶ ἀπέστειλεν ἐν χειρὶ Νάθαν
B τοῦ προφήτου, καὶ ἐκάλεσε τὸ ὄνομα
αὐτοῦ Ἰεδδεδὶ, ἕνεκεν Κυρίου.

** ΙΩΣΗΠΟΥ. Συνελθὼν τῇ γυναικὶ Βεεθσαβῇ, ἔγκυον αὐτὴν ἐποίησε· καὶ γενόμενον ἄῤῥεν παιδίον Σολομῶνα προσηγόρευσε, Ναθάνα τοῦ προφήτου κελεύσαντος.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὶ ἑρμηνεύεται τὸ
» Ἰεδδεδί; (5) Ὁ Ἀκύλας, ἕνεκεν Κυρίου (6)
» ἡρμήνευσεν· ὁ δὲ Σύμμαχος, εἰς βασιλέα
Γ » ἀφωρισμένον.

κς. Καὶ ἐπολέμησεν Ἰωὰβ ἐν Ῥαβ-
βὰθ υἱῶν Ἀμμὼν, καὶ κατέλαβε τὴν
κζ. πόλιν τῆς βασιλείας. Καὶ ἀπέστει-
λεν Ἰωὰβ ἀγγέλους πρὸς Δαβὶδ, καὶ
εἶπεν, ἐπολέμησα ἐν Ῥαββὰθ, καὶ
κατελαβόμην τὴν πόλιν τῶν ὑδά-
κη. των. Καὶ νῦν συνάγαγε τὸ κατά-
Δ λοιπον τοῦ λαοῦ, καὶ παρέμβαλε ἐπὶ
τὴν πόλιν, καὶ προκαταλαβοῦ αὐ-
τὴν, ἵνα μὴ προκαταλάβωμαι ἐγὼ
τὴν πόλιν, καὶ κληθῇ τὸ ὄνομά μου
κθ. ἐπ' αὐτήν. Καὶ συνήγαγε Δαβὶδ
πάντα τὸν λαὸν, καὶ ἐπορεύθη εἰς
Ῥαββὰθ, καὶ ἐπολέμησεν ἐν αὐτῇ,
καὶ κατελάβετο αὐτήν.

** ΙΩΣΗΠΟΥ. Ἰώαβος τῇ πολιορκίᾳ
E τοὺς Ἀμμανίτας ἰσχυρῶς ἐκάκου, τῶν τε ὑδάτων αὐτοὺς ἀποτεμνόμενος, καὶ τῆς τῶν ἄλλων εὐπορίας, ὡς πάνυ ταλαιπωρεῖν ἐνδείᾳ ποτοῦ καὶ τροφῆς. ἐξ ὀλίγου γὰρ φρέατος ἤρτηντο· καὶ τούτῳ, ὥστε μὴ τελέως αὐτοὺς ἐπιλιπεῖν τὴν πηγὴν, οὐ δαψιλέστερον χρώμενοι. γράφει δὲ τῷ βασιλεῖ ταῦτα δηλῶν, καὶ παρακαλῶν αὐτὸν ἐπὶ τὴν αἵρεσιν τῆς πόλεως ἐλθεῖν, ἵνα τὴν νίκην αὐτὸς ἐπιγράφῃ. ταῦτ' Ἰωάβου γράψαν-
Z τος, ἀποδεξάμενος αὐτὸν τῆς εὐνοίας καὶ τῆς πίστεως ὁ βασιλεὺς, παραλαβὼν τὴν σὺν αὐτῷ δύναμιν, ἧκεν ἐπὶ τὴν Ῥαβαθᾶς πόρθησιν· καὶ κατὰ κράτος ἑλὼν, διαρπάσαι τοῖς στρατιώταις ἐφῆκε.

λ. Καὶ ἔλαβε τὸν στέφανον Μελ-
χὸλ (7) τοῦ βασιλέως αὐτῶν ἀπὸ τῆς
κεφαλῆς αὐτοῦ, καὶ ὁ σταθμὸς αὐτοῦ
τάλαντον χρυσίου, καὶ λίθου τιμίου,
καὶ

(1) Ζῆν αὐτὸ οὐκ εἴασεν ὁ Δεσπότης. ἡ αὐτ. (2) Τὰ ἑπόμ. οὐ περιέχει ὁ τῆς Αὐγ. κώδ. (3) Εἰς τὸν οἶκον αὐτοῦ, καὶ ᾔτησεν. αἱ εἰρημ. ἐκδόσ. (4) Πορεύσομαι. αἱ αὐτ. (5) Ἰεδδίδει. ἡ ἐν Χάλ. ἐκδ. (6) Κεῖται μὲν τὸ, ἕνεκεν Κυρίου, ἐν τῇ τοῦ Ἀκύλα ἐκδόσ. ἀλλ' οὐ τὸ Ἰεδδεδὶ ἀναπλύσσον. αὐτ. ἐν ταῖς σημ. (7) Μελχόμ. αἱ εἰρημ. ἐκδόσ.

καὶ ἦν ἐπὶ τῆς κεφαλῆς Δαβὶδ, καὶ σκῦλα τῆς πόλεως ἐξήνεγκε πολλὰ σφόδρα.

** ΙΩΣΗΠΟΥ. Τὸν τοῦ βασιλέως τῶν Ἀμμανιτῶν λαμβάνει στέφανον, ἕλκοντα χρυσοῦ τάλαντον, καὶ πολυτελῆ λίθον ἔχοντα ἐν μέσῳ σαρδόνυχα. ἐφόρει δὲ αὐτὸν ἐπὶ τῆς κεφαλῆς διαπαντὸς Δαυΐδης. πολλὰ δὲ καὶ ἄλλα σκῦλα λαμπρὰ καὶ πολύτιμα ηὗρεν ἐν τῇ πόλει.

** ΦΩΤΙΟΥ. Τὸν Δαβὶδ ἅπαξ ἴσμεν χρισθέντα, δεύτερον δὲ ἀναγορευθέντα εἰς βασιλέα· καὶ χρισθέντα μὲν ὑπὸ Σαμουὴλ τοῦ προφήτου, ἀναῤῥηθέντα δὲ πρότερον μὲν ψήφῳ τῆς Ἰούδα φυλῆς ἐν Χεβρὼν, ἔπειτα δὲ μεταγενέστερον ἐτῶν παρὰ τῶν ὑπολοίπων φυλῶν τὴν φθάσασαν κρίσιν συμφώνοις γνώμαις ἐπικροτησασῶν· κοινότερον δὲ τὰ λόγια καὶ τὴν προτέραν καὶ τὴν ὑστέραν ὑπὸ τοῦ πλήθους ἀνάῤῥησιν, χρίσιν ὀνομάζει· βασίλειον μέντοι στέφανον φαίνεται περιθέμενος Δαβὶδ, ἡνίκα προπολεμήσαντος Ἰωὰβ ἐν Ῥεμὰθ τῶν υἱῶν Ἀμμῶν τὴν βασιλίδα πόλιν, ἐγγύς τε ἐγκαταστήσαντος τοῦ ἁλῶναι, ἐπιστὰς ὁ βασιλεὺς τέλος ἐπέθηκε τῇ πολιορκίᾳ. τότε γὰρ λάφυρον ἔχων τὸν στέφανον τοῦ Μελχὼλ· ἐβασίλευε δὲ καὶ αὐτὸς τῶν ἑαλωκότων· ἅτε δὴ κατ'
A αὐτοῦτε καὶ παντὸς τοῦ πλήθους ἀδήριτον καὶ λαμπρὰν αὐτῷ περιπεποιημένος τὴν νίκην, τῇ ἰδίᾳ περιῆψε κεφαλῇ, λίθῳ μὲν τιμίῳ περιηνθισμένον, ἕλκοντα δὲ σταθμὸν εἰς τάλαντον χρυσίου.

λα. Καὶ τὸν λαὸν τὸν ὄντα ἐν αὐτῇ ἐξήγαγε, καὶ ἔθηκεν ἐν τῷ πρίονι, καὶ ἐν τοῖς τριβόλοις τοῖς σιδηροῖς, καὶ ὑποτομεῦσι σιδηροῖς, καὶ διήγαγεν
B αὐτοὺς διὰ τοῦ πλινθίου. (1) καὶ οὕτως ἐποίησε πάσαις ταῖς πόλεσιν υἱῶν Ἀμμών. καὶ ἐπέστρεψε Δαβὶδ καὶ πᾶς ὁ λαὸς εἰς Ἱερουσαλήμ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τινὲς (2) ἀπήνειαν τοῦ Δαβὶδ ἐν ταῖς τῶν Ἀμμανιτῶν τιμωρίαις κατηγοροῦσιν. Ἀναμεμνῆσθαι δεῖ ὧν κατὰ τοῦ Ἰσραὴλ τετολμήκασι. τοὺς δεξιοὺς γὰρ αὐτῶν ὀφθαλμοὺς ἐξώρυττον· καὶ τὰς ἄλ-
Γ λας δὲ αὐτῶν ὠμότητας οἱ Προφῆται διδάσκουσι. τὴν ἴσην τοίνυν ὧν ἐτόλμησαν ἔτισαν ποινήν.

* ΠΡΟΚΟΠΙΟΥ. Καὶ διέπρισεν ἐν πρίοσιν. Οὐκ ὠμότητος τὸ ἔργον, ἀλλὰ δικαίας ποινῆς. τῶν γὰρ Ἰσραηλιτῶν, ὡς ἔγνωμεν, Ἀμμανῖται τοὺς δεξιοὺς ἐξώρυττον ὀφθαλμούς· καὶ τὰς ἄλλας δὲ τούτων ὠμότητας οἱ Προφῆται διδάσκουσι.

ΚΕΦ. ΙΓ.

α. Καὶ ἐγενήθη μετὰ ταῦτα καὶ τῷ Ἀβεσσαλὼμ υἱῷ Δαβὶδ ἀδελφὴ καλὴ τῷ εἴδει σφόδρα, καὶ ὄνομα αὐτῇ Θάμαρ, (3) καὶ ἠγάπησεν αὐτὴν Ἀμνὼν υἱὸς Δα-
β. βίδ. Καὶ ἐθλίβετο Ἀμνὼν ὥστε ἀῤῥωστεῖν διὰ Θάμαρ τὴν ἀδελφὴν αὐτοῦ, ὅτι παρθένος ἦν αὕτη, καὶ ὑπέρογκον ἐν ὀφθαλμοῖς Ἀμνὼν τοῦ ποιῆσαι αὐτῇ τί.

γ. Καὶ ἦν τῷ Ἀμνὼν ἑταῖρος, καὶ ὄνομα αὐτῷ Ἰωναδὰβ, υἱὸς Σαμαὰ τοῦ ἀδελφοῦ Δαβίδ. καὶ Ἰωναδὰβ ἀνὴρ σοφὸς σφόδρα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν Ἰωναδὰβ τοῦ Σαμαὰ τὸν υἱὸν τί δήποτε φρόνιμον ὠνόμασε, τοιαύταις χρησάμενον συμβουλαῖς; Καὶ τὸν ὄφιν ὁ Μωσῆς φρονιμώτατον τῶν θηρίων ἔφησε πάντων. (4) ὥστε οὐκ ἀεὶ τὸ φρόνιμον παρὰ τῇ θείᾳ Γραφῇ ἔπαινον συνεισάγει. σοφοὶ γάρ εἰσι, [φησὶ] τοῦ κακοποιῆσαι. (Ἱερ. 4. 22.) καὶ, τὰ μωρὰ τοῦ κόσμου, ἐξελέξατο ὁ Θεὸς, ἵνα καταισχύνῃ τοὺς σοφούς. (1. Κορ. 1. 27.)
καὶ ὁ Σολομὼν ἐσοφίσατο ὑπὲρ πάντας σοφοὺς Αἰγύπτου. (3. Βασ. 4. 30.) δυσσεβεῖς δὲ ἦσαν οἱ Αἰγύπτου σοφοί. καὶ πολλὰ τοιαῦτα. νῦν δ' ἡ Γραφὴ, οὐ τὴν συμβουλὴν Ἰωναδὰβ ἐπῄνεσεν, ἀλλὰ τὰς φρένας ὡς εὖ ἐχούσας (5) συνορᾷν τὸ πρακτέον, (6) εἰ καὶ μὴ αὐτὸς πρὸς τὸ δέον τῇ φύσει ἐχρήσατο· ἀλλὰ τῇ τοῦ
E Ἀμνὼν ἀκολασίᾳ συνέπραξε, καὶ τῆς τολμηθείσης παρανομίας (7) ὡς σύμβουλος ἐκοινώνησεν. εἰ ἐθεώρεις γάρ φησι κλέπτην, συνέτρεχες αὐτῷ, καὶ μετὰ μοιχοῦ τὴν μερίδα σου ἐτίθεις. (Ψαλ. 49. 18.)

δ. Καὶ εἶπεν αὐτῷ, τί σοι ὅτι οὕτως ἀσθενὴς εἶ, υἱὲ τοῦ βασιλέως, τὸ πρωΐ; οὐκ ἀπαγγελεῖς μοι; καὶ εἶπεν αὐτῷ Ἀμνὼν, Θάμαρ τὴν ἀδελφὴν Ἀβεσ-
Z σαλὼμ τοῦ ἀδελφοῦ μου ἐγὼ ἀγαπῶ.
ε. Καὶ εἶπεν αὐτῷ Ἰωναδὰβ, κοιμήθητι ἐπὶ τῆς κοίτης σου καὶ μαλακίσθητι, καὶ εἰσελεύσεται ὁ πατήρ σου (8) ἰδεῖν σε, καὶ ἐρεῖς πρὸς αὐτὸν, ἐλθέτω δὴ Θάμαρ ἡ ἀδελφή μου, καὶ ψωμισάτω με, καὶ ποιησάτω κατ' ὀφθαλμοὺς μου βρώματα, ὅπως ἴδω καὶ φάγω

(1) Ἴσ. πλινθείου, εἴτουν τοῦ τόπου, ἐν ᾧ αἱ πλίνθοι πλάττονται. τὸ γὰρ πλινθίον παρατάξεως εἶδος. παρὰ Σουίδ. (2) Ὡς ἀπηνῆ τὸν Δαβὶδ ἐπιμέμφονται, τοιαύταις τιμωρίαις τοὺς Ἀμμανίτας κολάσαντα. Ἀναμ. ἡ ἐν Χάλ. ἔκδ. (3) Θημάρ. αἱ αὐτ. (4) Τοιγάρτοι ἰστέον, ὡς οὐ πανταχῇ τὸ φρόνιμος ἐπὶ ἐπαίνου τάττειν εἴωθεν ἡ θεία Γραφή. σοφ. ἡ αὐτ. (5) Ὡς ἐπιτηδείως ἐχηκύας πρὸς τὸ συνορ. ἡ αὐτ. (6) Ἀλλ' οὐκ ἐχρήσατο εἰς δέον τῇ φύσει. ἡ αὐτ. (7) Μετέλαχεν. ἡ αὐτ. (8) Τοῦ ἰδ. αἱ αὐτ.

ϛ. γω ἐκ τῶν χειρῶν αὐτῆς. Καὶ ἐκοι-
μήθη Ἀμνὼν καὶ ἠῤῥώστησε· καὶ εἰσῆλ-
θεν ὁ βασιλεὺς ἰδεῖν αὐτόν. καὶ εἶπεν
Ἀμνὼν πρὸς τὸν βασιλέα, ἐλθέτω
δὴ Θάμαρ ἡ ἀδελφή μου πρός με, καὶ
κολλυρισάτω ἐν ὀφθαλμοῖς μου δύω
κολλυρίδας, καὶ φάγομαι ἐκ τῆς χει-
ζ. ρὸς αὐτῆς. Καὶ ἀπέστειλε Δαβὶδ πρὸς
Θάμαρ εἰς τὸν οἶκον, λέγων, πορεύ-
θητι δὴ εἰς τὸν οἶκον Ἀμνὼν τοῦ ἀδελ-
φοῦ σου, καὶ ποίησον αὐτῷ βρῶμα.

η. Καὶ ἐπορεύθη Θάμαρ εἰς τὸν
οἶκον Ἀμνὼν τοῦ ἀδελφοῦ αὐτῆς, καὶ
αὐτὸς κοιμώμενος· καὶ ἔλαβε τὸ σταῖς
καὶ ἐφύρασε, καὶ ἐκολλύρισε κατ' ὀφ-
θαλμοὺς αὐτοῦ, καὶ ἥψησε τὰς κολ-
λυρίδας.

** ΙΩΣΗΠΟΥ. Ἐμβλέποντος τ' ἀδελ-
φοῦ φυράσασα τὸ ἄλευρον, καὶ πλάσασα
κολλυρίδας, καὶ τηγανίσασα, προσήνεγ-
κεν αὐτῷ.

θ. Καὶ ἔλαβε τὸ τήγανον καὶ κα-
τεκένωσεν ἐνώπιον αὐτοῦ, καὶ οὐκ ἠθέ-
λησε φαγεῖν. καὶ εἶπεν Ἀμνὼν, ἐξα-
γάγετε πάντα ἄνδρα ἐνώπιόν μου. (1)
καὶ ἐξήγαγον πάντα ἄνδρα ἀπὸ ἐπά-
ι. νωθεν αὐτοῦ. Καὶ εἶπεν Ἀμνὼν πρὸς
Θάμαρ, εἰσένεγκέ μοι τὸ βρῶμα εἰς
τὸ ταμιεῖον, καὶ φάγομαι ἐκ τῶν χει-
ρῶν σου. (2) καὶ ἔλαβε Θάμαρ τὰς
κολλυρίδας ἃς ἐποίησε, καὶ εἰσήνεγ-
κε τῷ Ἀμνὼν ἀδελφῷ αὐτῆς εἰς τὸ
ια. ταμιεῖον. (3) Καὶ προσήγαγεν αὐτῷ
τοῦ φαγεῖν, καὶ ἐπελάβετο αὐτῆς,
καὶ εἶπεν αὐτῇ, δεῦρο, κοιμήθητι μετ'
ἐμοῦ ἀδελφή μου.

ιβ. Καὶ εἶπεν αὐτῷ, μὴ ἀδελφέ
μου, μὴ ταπεινώσῃς με, διότι οὐ ποιη-
θήσεται οὕτως ἐν Ἰσραὴλ, μὴ ποιήσῃς
ιγ. τὴν ἀφροσύνην ταύτην. Καὶ ἐγὼ
ποῦ ἀποίσω τὸ ὄνειδός μου; καὶ σὺ ἔσῃ
ὡς εἷς τῶν ἀφρόνων ἐν Ἰσραήλ. καὶ νῦν
λάλησον δὴ πρὸς τὸν βασιλέα, ὅτι
οὐ μὴ κωλύσῃ με ἀπὸ σοῦ.

** ΙΩΣΗΠΟΥ. Ἀνακραγοῦσα ἡ παῖς,
ἀλλὰ μὴ σύγε τοῦτο βιάσῃ με, μηδὲ ἀσεβή-
σῃς, εἶπεν, ἀδελφὲ, τοὺς νόμους παραβὰς,
καὶ δεινῇ περιβαλὼν σαυτὸν αἰσχύνῃ. παῦ-
σαι δὲ οὕτως ἀδίκου καὶ μιαρᾶς ἐπιθυμίας,
ἐξ ἧς ὄνειδος καὶ κακοδοξίαν ὁ οἶκος ἡμῶν
κερδανεῖ. συνεβούλευέ τε περὶ τούτου δια-
λεχθῆναι τῷ πατρί· συγχωρήσειν γὰρ
ἐκεῖνον. ταῦτα δὲ ἔλεγε, βουλομένη τὴν

A ὁρμὴν αὐτοῦ τῆς ὀρέξεως πρὸς τὸ παρὸν
διαφυγεῖν.

ιδ. Καὶ οὐκ ἠθέλησεν Ἀμνὼν ὑπα-
κοῦσαι τῆς φωνῆς αὐτῆς· καὶ ἐκρα-
ταίωσεν ὑπὲρ αὐτὴν, καὶ ἐταπείνω-
σεν αὐτὴν, καὶ ἐκοιμήθη μετ' αὐτῆς.

ιε. Καὶ ἐμίσησεν αὐτὴν Ἀμνὼν μῖ-
σος μέγα σφόδρα, ὅτι μέγα τὸ μῖ-
B σος ὃ ἐμίσησεν αὐτὴν ὑπὲρ τὴν ἀγά-
πην ἣν ἠγάπησεν αὐτὴν, ὅτι μείζων
ἡ κακία ἡ ἐσχάτη ἢ ἡ πρώτη. καὶ εἶπεν
αὐτῇ Ἀμνὼν, ἀνάστηθι καὶ πορεύου.
ιϛ. Καὶ εἶπεν αὐτῷ Θάμαρ, μὴ ἀδελφὲ,
ὅτι μεγάλη ἡ κακία ἡ ἐσχάτη ὑπὲρ
τὴν πρώτην ἣν πεποίηκας μετ' ἐμοῦ,
τοῦ ἐξαποστεῖλαί με. καὶ οὐκ ἠθέλησεν
ιζ. Ἀμνὼν ἀκοῦσαι τῆς φωνῆς αὐτῆς. Καὶ
Γ ἐκάλεσε τὸ παιδάριον αὐτοῦ τὸν προε-
στηκότα τοῦ οἴκου αὐτοῦ, καὶ εἶπεν αὐ-
τῷ, ἐξαποστείλατε δὴ ταύτην ἀπ' ἐμοῦ
ἔξω, καὶ ἀπόκλεισον τὴν θύραν ὀπί-
σω αὐτῆς.

** ΙΩΣΗΠΟΥ. Μῖσος εὐθέως μετὰ
τὴν διακόρησιν εἰσέρχεται τὸν Ἀμνῶνα, καὶ
προσλοιδορησάμενος ἐκέλευσεν ἀναστᾶσαν
ἀπιέναι. τῆς δὲ χείρω τὴν ὕβριν καὶ διὰ τοῦ-
Δ το ἀποκαλούσης, εἰ βιασάμενος αὐτὸς, μηδὲ
ἄχρι νυκτὸς ἐπιτρέποι μεῖναι, ἀλλὰ παρα-
χρῆμα ἀπαλλάττεσθαι κελεύσειεν ἡμέρᾳ
καὶ φωτὶ, ἵνα καὶ μάρτυσι τῆς αἰσχύνης
περιπέσῃ, προσέταξεν αὐτὴν ἐκβαλεῖν
τῷ οἰκέτῃ.

ιη. Καὶ ἐπ' αὐτῆς ἦν χιτὼν καρ-
πωτὸς, ὅτι οὕτως ἐνεδιδύσκοντο αἱ θυ-
γατέρες τοῦ βασιλέως αἱ παρθένοι
E τοὺς ἐπενδύτας αὐτῶν. καὶ ἐξήγαγεν
αὐτὴν ὁ λειτουργὸς αὐτοῦ ἔξω, καὶ ἀπέ-
ιθ. κλεισε τὴν θύραν ὀπίσω αὐτῆς. Καὶ
ἔλαβε Θάμαρ σποδὸν, καὶ ἐπέθηκεν
ἐπὶ τὴν κεφαλὴν αὐτῆς· καὶ τὸν
χιτῶνα τὸν καρπωτὸν τὸν ἐπ' αὐτῆς
διέῤῥηξε· καὶ ἐπέθηκε τὰς χεῖρας αὐ-
τῆς ἐπὶ τὴν κεφαλὴν αὐτῆς, καὶ ἐπο-
Z ρεύθη πορευομένη καὶ κράζουσα.

** ΙΩΣΗΠΟΥ. Περιαλγὴς ἐπὶ τῇ ὕβρει
καὶ τῇ βίᾳ γενομένῃ, περιῤῥήξασα τὸν χι-
τωνίσκον· ἐφόρουν γὰρ αἱ τῶν ἀρχαίων
παρθένοι χειροδέτους (4) ἄχρι τῶν σφυρῶν
πρὸς τὸ μὴ βλέπεσθαι χιτῶνας· καὶ σπο-
δὸν καταχεαμένη τῆς κεφαλῆς, ἀπῄει διὰ
τῆς πόλεως μέσης βοῶσα καὶ ὀδυρομένη
τὴν βίαν.

H * ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν δὲ χιτῶνα τὸν
ἀστραγαλωτὸν, ὁ μὲν Ἀκύλας καρπωτὸν
ὠνόμα-

(1) Ἀπὸ ἐπάνωθέν μου. αἱ αὐτ.
(2) Ἐκ τῆς χειρός σου. αἱ αὐτ.
(3) Εἰς τὸν κοιτῶνα. αἱ αὐτ.
(4) Χειριδωτές. ἐν ταῖς σημ. ταῖς ἐν τῇ 384. σελ. τοῦ ι.
Τόμ. τῆς κατὰ τὸ Ἀμστελοδ. ἐκδόσ.

ὠνόμασεν, (1) ἀντὶ τȣ̃, καρπȣ̀ς ἐνυφασ-
μένȣς ἔχοντα· οἱ δὲ νυ̃ν αὐτὸν καλȣ̃σι πλȣ-
μαρικόν· ὁ δὲ Ἰώσηπος, τὸν μέχρις ἀςρα-
γάλων διήκοντα.

κ. Καὶ εἶπε πρὸς αὐτὴν Ἀβεσσα-
λὼμ ὁ ἀδελφὸς αὐτῆς, μὴ Ἀμνὼν ὁ
ἀδελφός σȣ ἐγένετο μετὰ σȣ̃; καὶ
νυ̃ν ἀδελφή μȣ κώφευσον, ὅτι ἀδελ-
φός σȣ ἐςί· μὴ θῆς τὴν καρδίαν σȣ
τȣ̃ λαλῆσαι κατὰ τὸ ῥῆμα τȣ̃το. καὶ
ἐκάθισε Θάμαρ χηρεύȣσα ἐν τῷ οἴ-
κῳ Ἀβεσσαλὼμ τȣ̃ ἀδελφȣ̃ αὐτῆς.

κα. Καὶ ἤκȣσεν ὁ βασιλεὺς Δα-
βὶδ πάντας τȣ̀ς λόγȣς τȣ́τȣς, καὶ
ἐθυμώθη σφόδρα, καὶ ȣ̓κ ἐλύπησε
τὸ πνεῦμα Ἀμνὼν τȣ̃ υἱȣ̃ αὐτȣ̃, ὅτι
ἠγάπα αὐτὸν, ὅτι πρωτότοκος αὐτȣ̃
κβ. ἦν. Καὶ ȣ̓κ ἐλάλησεν Ἀβεσσαλὼμ
πρὸς (2) Ἀμνὼν ἀπὸ πονηρȣ̃ ἕως ἀγα-
θȣ̃, ὅτι ἐμίσει Ἀβεσσαλὼμ τὸν Ἀμνὼν
ἐπὶ λόγȣ ȣ̃ ἐταπείνωσε Θάμαρ τὴν
ἀδελφὴν αὐτȣ̃.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἡ μέντοι κατὰ τὴν
Θάμαρ ὑπόθεσις ἀρχή τίς ἐςι καὶ ῥίζα τῶν
τῆς βασιλικῆς οἰκίας συμφορῶν. ἤλγησε
μὲν γὰρ ὁ βασιλεὺς τὴν παρανομίαν μα-
θὼν, φιλοςόργως δὲ ὡς περὶ πρωτότοκον
υἱὸν τὸν Ἀμνὼν διακείμενος, τῆς πονηρᾶς
πράξεως ȣ̓κ εἰσέπραξε δίκας. ὁ δὲ ὁμογά-
ςριος αὐτῆς ἀδελφὸς, καὶ ἄλλως αὐθάδης
καὶ θρασὺς ὢν, αὐτίκα μὲν ἔκρυψε τὴν
ὀργὴν, δύω δὲ διεληλυθότων ἐτῶν, εἰς τὴν
τῶν προβάτων κȣρὰν τȣ̀ς ἀδελφȣ̀ς συγκα-
λέσας, κατέκτεινε τὸν Ἀμνών.

κγ. Καὶ ἐγένετο εἰς διετηρίδα ἡμε-
ρῶν, καὶ ἦσαν κείροντες τῷ Ἀβεσσαλὼμ
ἐν Βελασὼρ τῇ ἐχόμενα Ἐφραὶμ,
καὶ ἐκάλεσεν Ἀβεσσαλὼμ πάντας
κδ. τȣ̀ς υἱȣ̀ς τȣ̃ βασιλέως. Καὶ ἦλθεν
Ἀβεσσαλὼμ πρὸς τὸν βασιλέα, καὶ
εἶπεν, ἰδȣ̀ δὴ κείρȣσι τῷ δȣ́λῳ σȣ, πο-
ρευθήτω δὴ ὁ βασιλεὺς καὶ οἱ παῖδές
κε. σȣ (3) μετὰ τȣ̃ δȣ́λȣ σȣ. Καὶ εἶπεν
ὁ βασιλεὺς πρὸς Ἀβεσσαλὼμ, μὴ δὴ
υἱέ μȣ, ȣ̓ μὴ πορευθῶμεν πάντες ἡμεῖς,
καὶ ȣ̓ μὴ βαρυνθῶμεν (4) ἐπὶ σέ. καὶ
κατεβιάζετο αὐτὸν, καὶ ȣ̓κ ἠθέλησε
τȣ̃ πορευθῆναι, καὶ εὐλόγησεν αὐτόν.
κϛ. Καὶ εἶπεν Ἀβεσσαλὼμ, καὶ εἰ μὴ, πο-
ρευθήτω δὴ μεθ' ἡμῶν Ἀμνὼν ὁ ἀδελ-
φός μȣ. καὶ εἶπεν αὐτῷ ὁ βασιλεὺς,
κζ. ἵνα τί πορευθῇ μετὰ σȣ̃; Καὶ κατε-
βιάσατο (5) αὐτὸν Ἀβεσσαλὼμ, καὶ
ἀπέςειλε μετ' αὐτȣ̃ τὸν Ἀμνὼν καὶ

A πάντας τȣ̀ς υἱȣ̀ς τȣ̃ βασιλέως. καὶ
ἐποίησεν Ἀβεσσαλὼμ πότον κατὰ τὸν
κη. πότον τȣ̃ βασιλέως, Καὶ ἐνετείλατο
Ἀβεσσαλὼμ τοῖς παιδαρίοις αὐτȣ̃,
λέγων, ἴδετε ὡς ἂν ἀγαθυνθῇ ἡ καρ-
δία Ἀμνὼν ἐν τῷ οἴνῳ, καὶ εἴπω, (6)
πατάξατε τὸν Ἀμνὼν, καὶ θανατώ-
σατε αὐτόν· μὴ φοβηθῆτε, ὅτι ȣ̓χὶ
B ἐγὼ ἐντέλλομαι ὑμῖν; ἀνδρίζεσθε καὶ
κθ. γίνεσθε εἰς υἱȣ̀ς δυνάμεως. Καὶ ἐποίη-
σαν τὰ παιδάρια Ἀβεσσαλὼμ τῷ
Ἀμνὼν, καθὰ ἐνετείλατο αὐτοῖς Ἀ-
βεσσαλώμ. καὶ ἀνέςησαν πάντες οἱ
υἱοὶ τȣ̃ βασιλέως, καὶ ἐκάθισεν (7)
ἀνὴρ ἐπὶ τὴν ἡμίονον αὐτȣ̃, καὶ ἔφυ-
λ. γον. Καὶ ἐγένετο, αὐτῶν ὄντων ἐν
τῇ ὁδῷ, καὶ ἡ ἀκοὴ ἦλθε πρὸς Δα-
Γ βὶδ, λεγόντων, ἐπάταξεν Ἀβεσσα-
λὼμ πάντας τȣ̀ς υἱȣ̀ς τȣ̃ βασιλέως,
καὶ ȣ̓ κατελείφθη ἐξ αὐτῶν ȣ̓δὲ εἷς.
λα. Καὶ ἀνέςη ὁ βασιλεὺς καὶ διέῤῥηξε τὰ
ἱμάτια αὐτȣ̃ καὶ ἐκοιμήθη ἐπὶ τὴν
γῆν, καὶ πάντες οἱ παῖδες αὐτȣ̃ οἱ
περιεςῶτες αὐτῷ διέῤῥηξαν τὰ ἱμά-
λβ. τια αὐτῶν. Καὶ ἀπεκρίθη Ἰωναδὰβ
Δ υἱὸς Σαμαὰ ἀδελφȣ̃ Δαβὶδ, καὶ εἶπε,
μὴ εἰπάτω ὁ κύριός μȣ ὁ βασιλεὺς
ὅτι πάντα τὰ παιδάρια τȣ̀ς υἱȣ̀ς τȣ̃
βασιλέως ἐθανάτωσεν, ὅτι Ἀμνὼν
μονώτατος ἀπέθανεν, ὅτι ἐπὶ ςόμα-
τος Ἀβεσσαλὼμ ἦν κείμενος ἀπὸ τῆς
ἡμέρας ἧς ἐταπείνωσε Θάμαρ τὴν
λγ. ἀδελφὴν αὐτȣ̃. Καὶ νυ̃ν μὴ θέσθω
ὁ κύριός μȣ ὁ βασιλεὺς ἐπὶ τὴν καρ-
E δίαν αὐτȣ̃ ῥῆμα, λέγων, ὅτι πάντες
οἱ υἱοὶ τȣ̃ βασιλέως ἀπέθανον· ὅτι
ἀλλ' ἢ Ἀμνὼν μονώτατος ἀπέθανε.
λδ. Καὶ ἀπέδρα Ἀβεσσαλώμ. καὶ ἦρε τὸ
παιδάριον ὁ σκοπὸς τȣ̀ς ὀφθαλμȣ̀ς
αὐτȣ̃, καὶ εἶδε· καὶ ἰδȣ̀ λαὸς πολὺς
πορευόμενος ἐν τῇ ὁδῷ τῇ Ὡρὰμ ὄπι-
σθεν αὐτȣ̃ ἐκ πλευρᾶς τȣ̃ ὄρȣς ἐν τῇ
Z καταβάσει· καὶ παρεγένετο ὁ σκο-
πὸς καὶ ἀπήγγειλε τῷ βασιλεῖ, καὶ
εἶπεν, ἄνδρας ἑώρακα ἐκ τῆς ὁδȣ̃ τῆς
λε. Ὡρὰμ ἐκ μέρȣς τȣ̃ ὄρȣς. Καὶ εἶπεν
Ἰωναδὰβ πρὸς τὸν βασιλέα, ἰδȣ̀ οἱ
υἱοὶ τȣ̃ βασιλέως πάρεισι· κατὰ τὸν
λόγον τȣ̃ δȣ́λȣ σȣ, ȣ̃τως ἐγένετο.
λϛ. Καὶ ἐγένετο ἡνίκα συνετέλεσε λα-
λῶν, καὶ ἰδȣ̀ οἱ υἱοὶ τȣ̃ βασιλέως ἦλ-
H θον, καὶ ἐπῆραν τὴν φωνὴν αὐτῶν καὶ
ἔκλαυ-

(1) Ἡρμήνευσαν. ἡ ἐν Χάλ. ἔκδ. (2) Μετά. αἱ εἰρημ. ἐκδόσ. (3) Οἱ παῖδες αὐτȣ̃. αἱ αὐτ.
(4) Καταβαρυνθῶμεν. αἱ αὐτ. (5) Ἐβιάσατο. αἱ αὐτ. (6) Πρὸς ὑμᾶς, πατάξ. αἱ αὐτ.
(7) Ἐπεκάθισαν. αἱ αὐτ.

ἔκλαυσαν, καίγε ὁ βασιλεὺς καὶ πάν-
τες οἱ παῖδες αὐτοῦ, καὶ (1) ἔκλαυσαν
κλαυθμὸν μέγαν σφόδρα.
λζ. Καὶ Ἀβεσσαλὼμ ἀπέδρα, καὶ
ἀπῆλθε πρὸς Σολμὶ (2) υἱὸν Ἐμιοὺδ
βασιλέα Γεδσοὺρ εἰς γῆν Χαμααχάδ.
καὶ ἐπένθησεν ὁ βασιλεὺς Δαβὶδ ἐπὶ
τὸν υἱὸν αὐτοῦ πάσας τὰς ἡμέρας.

✱✱ ΙΩΣΗΠΟΥ. Φεύγει Ἀβεσσάλωμος εἰς Γεσούραν πρὸς τὸν πάππον τὸν πρὸς μητρὸς, δυναστεύοντα τῆς ἐκεῖ χώρας, καὶ τρισὶν ὅλοις ἔτεσι παρ᾽ αὐτῷ καταμένει.

A ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα πρὸς τὸν πάππον ἀπέδρα τὸν πρὸς μητρός. Μαχαὰ (3) γὰρ ἡ μήτηρ αὐτοῦ, θυγάτηρ ἦν τοῦ Θολμὶ, ὃς τῆς Γεσσὶρ ἐβασίλευσεν. ὁ δὲ βασιλεὺς ἐπὶ πλεῖστον ἐθρήνησεν ἀμφοτέρους, καὶ τὸν ἀνῃρηκότα καὶ τὸν ἀναιρεθέντα.

λη. Καὶ Ἀβεσσαλὼμ ἀπέδρα, καὶ
ἐπορεύθη εἰς Γεδσοὺρ, καὶ ἦν ἐκεῖ ἔτη
λθ. τρία. Καὶ ἐκόπασε τὸ πνεῦμα τοῦ
B βασιλέως τοῦ ἐξελθεῖν ὀπίσω Ἀβεσ-
σαλὼμ, ὅτι παρεκλήθη ἐπὶ Ἀμνὼν,
ὅτι ἀπέθανε.

ΚΕΦ. ΙΔ.

α. Καὶ ἔγνω Ἰωὰβ υἱὸς Σαρουΐα
ὅτι ἡ καρδία τοῦ βασιλέως
β. ἐπὶ Ἀβεσσαλώμ. Καὶ
ἀπέστειλεν Ἰωὰβ εἰς Θεκωὲ, καὶ ἔλα-
βεν ἐκεῖθεν γυναῖκα σοφὴν, καὶ εἶπε
πρὸς αὐτὴν, πένθησον δὴ, καὶ ἔνδυ-
σαι ἱμάτια πενθικὰ, καὶ μὴ ἀλείψῃ
ἔλαιον, καὶ ἔσῃ ὡς γυνὴ πενθοῦσα
γ. ἡμέρας πολλὰς ἐπὶ τεθνηκότα, Καὶ
ἐλεύσῃ πρὸς τὸν βασιλέα, καὶ λα-
λήσεις πρὸς αὐτὸν κατὰ τὸ ῥῆμα τοῦ-
το. καὶ ἔθετο Ἰωὰβ τοὺς λόγους ἐν
τῷ στόματι αὐτῆς.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τριῶν δὲ διεληλυθότων ἐτῶν, καὶ τῆς κατὰ τοῦ ἀνῃρηκότος ὀργῆς τῷ χρόνῳ σβεσθείσης, μηχανᾶταί τι τοιοῦτον ὁ στρατηγός· ὑπέθετο γυναικί τινι συνετῇ δρᾶμα διαπλάσας, εἰς οἶκτον ἑλκύσαι τὸν βασιλέα δυνάμενον.

δ. Καὶ ἦλθεν ἡ γυνὴ ἡ Θεκωΐτις
πρὸς τὸν βασιλέα, καὶ ἔπεσεν ἐπὶ
πρόσωπον αὐτῆς ἐπὶ τὴν γῆν καὶ προ-
σεκύνησεν αὐτῷ, καὶ εἶπε, σῶσον βα-
ε. σιλεῦ, σῶσον. Καὶ εἶπε πρὸς αὐτὴν
ὁ βασιλεὺς, τί ἐστί σοι; ἡ δὲ εἶπε, καὶ
μάλα γυνὴ χήρα ἐγώ εἰμι, καὶ ἀπέ-
ϛ. θανεν ὁ ἀνήρ μου. Καίγε τῇ δούλῃ σου
δύο υἱοὶ, καὶ ἐμαχέσαντο ἀμφότεροι
ἐν τῷ ἀγρῷ, καὶ οὐκ ἦν ὁ συλήσων (4)
ἀναμέσον αὐτῶν· καὶ ἔπαισεν ὁ εἷς τὸν
ἕνα ἀδελφὸν αὐτοῦ, καὶ ἐθανάτωσεν
ζ. αὐτόν. Καὶ ἰδοὺ ἐπανέστη ὅλη ἡ πατριὰ
πρὸς τὴν δούλην σου, καὶ εἶπαν, δὸς τὸν
παίσαντα τὸν ἀδελφὸν αὐτοῦ, καὶ θα-
νατώσομεν αὐτὸν ἀντὶ τῆς ψυχῆς τοῦ
ἀδελφοῦ αὐτοῦ οὗ ἀπέκτεινε, καὶ ἐξα-
Γ ροῦμεν καίγε τὸν κληρονόμον ὑμῶν. καὶ
σβέσουσι τὸν ἄνθρακά μου τὸν κατα-
λειφθέντα, ὥστε μὴ θέσθαι τῷ ἀνδρί
μου κατάλειμμα καὶ ὄνομα ἐπὶ προ-
σώπου τῆς γῆς.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ἡ δὲ τῷ βασιλεῖ (5) πρόσεισι κατὰ τὰς ὑποθήκας τοῦ στρατηγοῦ, καὶ χήρα μὲν εἶναί φησι, δύο δὲ παίδων γενέσθαι μήτηρ. οἵτινες εἰς ἔριν ἐμπεσόν-
Δ τες, ἐκεῖθεν δὲ εἰς χαλεπὴν μάχην, οὐκ ἔχοντες τὸν αὐτοὺς διαλύοντα, εἰς ἄκρον διήκον κακοῦ. καὶ ὁ μὲν ἔπληξεν, ὁ δὲ πίπτει νεκρός. ἀλλ᾽ οἱ τὴν ἔριν αὐτῶν διαλῦσαι οὐκ ἐθελήσαντες, νῦν ἐκδοθῆναι θανάτῳ βιάζονται καὶ τὸν ἕτερον. εἰ δὲ τοῦτο γένοιτο, ἐγὼ μὲν πρὸς τῇ χηρείᾳ, καὶ τὴν ἀπαιδίαν ὀλοφυρομένη διατελέσω. σβεσθήσεται δὲ παντάπασιν ὁ τοῦ γένους σπινθὴρ, καὶ τοῦ ἀνδρός μου ἡ μνήμη παραδοθήσεται λήθῃ.
E τὸν βασιλέα δὲ διὰ τῶν λόγων τούτων ᾐνίττετο, μήτε τὸν Ἀμνὼν κολάσαντα, μήτε τοῦ Ἀβεσσαλὼμ τὴν ἀθυμίαν ἀποσκεδάσαντα, (6) ἀλλ᾽ εἰς ἀνήκεστα τὸ πάθος ἐλθεῖν συγχωρήσαντα.

η. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς τὴν
γυναῖκα, βάδιζε ὑγιαίνουσα εἰς τὸν οἶ-
θ. κόν σου, κἀγὼ ἐντελοῦμαι περὶ σοῦ. Καὶ
εἶπεν ἡ γυνὴ ἡ Θεκωΐτις πρὸς τὸν βα-
Z σιλέα, ἐπ᾽ ἐμὲ ἡ ἀνομία, κύριέ μου βα-
σιλεῦ, καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου,
καὶ ὁ βασιλεὺς καὶ ὁ θρόνος αὐτοῦ ἀθῷος.
ι. Καὶ εἶπεν ὁ βασιλεὺς, τὶς ὁ λαλῶν
πρὸς σὲ, καὶ ἄξεις αὐτὸν πρός με, (7) καὶ
οὐ προσθήσει ἔτι ἅψασθαι αὐτοῦ;

ΘΕΟΔΩ-

(1) Τὸ, καὶ, οὐ κεῖται. αὐτ. (2) Θολμί. αἱ αὐτ. (3) Μααχά. ἡ ἐν Χάλ. ἔκδ.

(4) Ὁ ἐξαιρούμενος. αἱ αὐτ. (5) Προσελθοῦσα κατὰ τὰς ὑποθήκας τοῦ στρατηγοῦ, χήρα μὲν ἔφησεν εἶναι, δύο δὲ μόνους παῖδας γεγεννηκέναι· τούτους δὲ εἰς ἄνδρας τελέσαντας, εἰς ἔριν χαλεπὴν ἐμπεσεῖν, ἐκ δὲ τῆς ἔριδος τεχθῆναι διαμάχην. διαλῦσαι δὲ ταύτην οὐδενὸς ἐθελήσαντος, θάτερον ὑπὸ θατέρου πληγέντα, τοῦ βίου τὸ τέλος καταλαβεῖν. ἀλλ᾽ οἱ τὴν ἔριν ἐκείνην διαλῦσαι μὴ βουληθέντες, νῦν ἀθροισθέντες ἐκδοθῆναι, φησὶν, ἀπαιτοῦσι τὸν ἕτερον. εἰ δὲ τοῦτο, κτ. ἡ ἐν Χάλ. ἔκδ.

(6) Διασκεδάσαντα· ἀνηκέστου δὲ τοῦ πράγματος γεγονότος, διακενῆς ὀργιζόμενον. ἡ αὐτ.

(7) Πρὸς ἐμέ. αἱ εἰρημ. ἐκδόσ.

* ΘΕΟΔΩΡΙΤΟΥ. (1) Ἐπεὶ δὲ προστάζειν ὑπέσχετο ὁ βασιλεὺς τῷ στρατηγῷ παύσειν τὴν ὁρμὴν τῶν ἐπιζητούντων καὶ τὸν ἕτερον υἱόν· πάλιν ἡ γυνὴ θεραπευτικοῖς ἐχρήσατο λόγοις, κατακηλοῦσα τοῦ τοιούτου (2) βασιλέως τὴν ἀκοήν.

ια. Καὶ εἶπεν ἡ γυνή, μνημονευ-
σάτω δὴ ὁ βασιλεὺς τοῦ Κυρίου Θεοῦ
αὐτοῦ ἐν τῷ πληθυνθῆναι ἀγχιστέα
τοῦ αἵματος τοῦ διαφθεῖραι, καὶ οὐ μὴ
ἐξάρωσι τὸν υἱόν μου. καὶ εἶπε, ζῇ Κύ-
ριος, εἰ πεσεῖται ἀπὸ τῆς τριχὸς τοῦ
ιβ. υἱοῦ σου ἐπὶ τὴν γῆν. Καὶ εἶπεν ἡ γυνή,
λαλησάτω δὴ ἡ δούλη σου πρὸς τὸν κύ-
ριόν μου βασιλέα ῥῆμα. καὶ εἶπε, λά-
ιγ. λησον. Καὶ εἶπεν ἡ γυνή, ἵνα τί ἐλο-
γίσω τοῦτο ἐπὶ λαὸν Θεοῦ; ἢ ἐκ στό-
ματος τοῦ βασιλέως ὁ λόγος οὗτος ὡς
πλημμέλεια, τοῦ μὴ ἐπιστρέψαι τὸν
βασιλέα τὸν ἐξωσμένον αὐτοῦ;

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ δὲ ὤμοσεν
» ὁ βασιλεύς· ζῇ Κύριος, εἰ πεσεῖται ἀπὸ
» τῶν τριχῶν τοῦ υἱοῦ σου ἐπὶ τὴν γῆν· εὐθὺς
ἐπήγαγεν ἡ γυνή, ὡς οὐχ οἷόν τε τὸν υἱὸν
αὐτῆς διαφυγεῖν τὴν σφαγήν, μὴ πρότε-
ρον τοῦ υἱοῦ τοῦ βασιλέως ἐκ τῆς φυγῆς ἐπα-
νελθόντος. ἐκεῖνο γὰρ ἔσται, φησί, τούτου
παράδειγμα. εἰ δὲ ἐκεῖνο μὴ γένοιτο, ἀντι-
λέξουσιν οἱ φυλέται, εὔλογον αἰτίαν ἔχον-
τες τὴν τοῦ υἱοῦ τοῦ βασιλέως φυγήν. τοῦτο
» γὰρ λέγει· καὶ εἶπεν ἡ γυνή, ἵνα τί ἐλο-
» γίσθη οὕτως ἐπὶ λαὸν Κυρίου; καὶ ἐκ τοῦ πα-
» ρελθεῖν τὸν βασιλέα τὸν λόγον τοῦτον, τοῦ
» ἐγκρατεύσασθαι τοῦ μὴ ἀποστρέψαι τὸν βα-
» σιλέα τὸν ἀπωσμένον ἀπ' αὐτοῦ; ὅτι τέθ-
νηκεν ὁ υἱός. (3) πῶς δύνασαί φησι τὸν υἱόν
μου τῆς σφαγῆς ἀπαλλάξαι, μὴ ἐπανάγων
σου τὸν υἱόν;

ιδ. Ὅτι θανάτῳ ἀποθανούμεθα,
καὶ ὥσπερ τὸ ὕδωρ τὸ καταφερόμενον
ἐπὶ τῆς γῆς ὃ οὐ συναχθήσεται, καὶ
λήψεται ὁ Θεὸς ψυχήν, καὶ λογιζό-
μενος λογισμοὺς τοῦ ἐξῶσαι ἀπ' αὐτοῦ
ἐξωσμένον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα περὶ τοῦ τεθ-
νηκότος ψυχαγωγεῖ, ὅτι τέθνηκεν ὁ υἱός· (4)
» καὶ ὥσπερ τὸ ὕδωρ τὸ ἐκχεόμενον ἐπὶ τὴν
» γῆν οὐ συναχθήσεται, καὶ οὐκ ἐλπιεῖ ἐπ'
» αὐτῷ ψυχή. ἀναστῆσαι γάρ φησιν αὐτὸν οὐ
δύνασαι, τί δήποτε καὶ τοῦτον σπεύδεις ἀναι-
ρήσειν, ἵνα ἐστερημένος τῶν δύο βιοτεύσῃς;

ιε. Καὶ νῦν ὃ ἦλθον λαλῆσαι πρὸς
τὸν βασιλέα τὸν κύριόν μου τὸ ῥῆμα
τοῦτο, ὅτι ὄψεταί με ὁ λαός, καὶ ἐρεῖ
ἡ δούλη σου, λαλησάτω δὴ πρὸς τὸν
A κύριον τὸν βασιλέα, εἴπως ποιήσει ὁ
βασιλεὺς τὸ ῥῆμα τῆς δούλης αὐτοῦ,
ιϛ. Ὅτι ἀκούσεται ὁ βασιλεύς. καὶ ἐξε-
λεῖται τὴν δούλην αὐτοῦ ἐκ χειρὸς τοῦ
ἀνδρὸς τοῦ ζητοῦντος ἐξᾶραί με καὶ τὸν
υἱόν μου κατὰ τὸ αὐτὸ ἀπὸ κληρονο-
ιζ. μίας Θεοῦ. Καὶ ἐρεῖ ἡ δούλη σου, γενη-
θήτω δὴ ὁ λόγος τοῦ κυρίου μου τοῦ βα-
σιλέως εἰς θυσίαν· ὅτι καθὼς Ἄγ-
B γελος Θεοῦ, οὕτως ὁ κύριός μου ὁ βα-
σιλεύς, τοῦ ἀκούειν τὸ ἀγαθὸν καὶ τὸ
πονηρόν· καὶ κύριος ὁ Θεός σου ἔσται
μετὰ σοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Οὕτω τὸν περὶ τοῦ
Ἀβεσσαλὼμ παρεμβαλοῦσα λόγον, πάλιν
περὶ τοῦ οἰκείου δοκεῖ διαλέγεσθαι πάθους·
ἵνα μὴ δόξῃ ταῦτα ἐξεπίτηδες εἰρηκέναι.
» καὶ νῦν ὑπὲρ ὧν ἥκω λαλῆσαι πρὸς τὸν
Γ » βασιλέα τὸν λόγον τοῦτον, καὶ ὄψεταί με
» ὁ λαός, καὶ ἐρεῖ ἡ δούλη σου, λαλησάτω δὴ
» ἡ δούλη σου πρὸς τὸν κύριόν μου τὸν βασιλέα,
» ὅπως (5) ποιήσῃ ὁ βασιλεὺς τὸ ῥῆμα τῆς
» παιδίσκης αὐτοῦ· ὅτι ἀκούσεται ὁ βασιλεύς,
» καὶ ἐξελεῖταί με ἐκ χειρὸς τοῦ ἀνδρὸς τοῦ
» ζητοῦντος ἐξολοθρεῦσαί με, καὶ τὸν υἱόν μου
» κατὰ τὸ αὐτὸ ἐκ τῆς κληρονομίας Κυρίου.
» καὶ ἐρεῖ ἡ δούλη σου, γενηθήτω δὴ ὁ λόγος
» τοῦ κυρίου μου τοῦ βασιλέως εἰς θυσίαν· ὅτι
Δ » καθὼς ὁ Ἄγγελος Κυρίου, οὕτω καὶ ὁ κύ-
» ριός μου ὁ βασιλεύς, τοῦ εἰσακούειν τὸ κα-
» λὸν καὶ τὸ πονηρόν· καὶ Κύριος ὁ Θεός σου
» μετὰ σοῦ ἔσται.

ιη. Καὶ ἀπεκρίθη ὁ βασιλεύς, καὶ
εἶπε πρὸς τὴν γυναῖκα, μὴ δὴ κρύ-
ψῃς ἀπ' ἐμοῦ (6) ὃ ἐγὼ ἐπερωτῶ σε.
καὶ εἶπεν ἡ γυνή, λαλησάτω ὁ κύ-
ιθ. ριός μου ὁ βασιλεύς. Καὶ εἶπεν ὁ βα-
E σιλεύς, μὴ ἡ χεὶρ Ἰωὰβ ἐν παντὶ τού-
τῳ μετὰ σοῦ; καὶ εἶπεν ἡ γυνὴ τῷ
βασιλεῖ, ζήτω (7) ἡ ψυχή σου κύριέ
μου βασιλεῦ, εἰ ἔστιν εἰς τὰ δεξιὰ ἢ
εἰς τὰ ἀριστερὰ ἐκ πάντων ὧν ἐλάλη-
σεν ὁ κύριός μου ὁ βασιλεύς, ὅτι ὁ δοῦ-
λός σου Ἰωὰβ αὐτὸς ἐνετείλατό μοι,
καὶ αὐτὸς ἔθετο ἐν τῷ στόματι τῆς δού-
Z λης σου πάντας τοὺς λόγους τούτους·
κ. Ἕνεκεν τοῦ περιελθεῖν τὸ πρόσωπον
τοῦ ῥήματος τούτου, ἐποίησεν ὁ δοῦλός
σου Ἰωὰβ τὸν λόγον τοῦτον. καὶ ὁ κύ-
ριός μου ὁ βασιλεὺς σοφὸς καθὼς σο-
φία Ἀγγέλου (8) Θεοῦ, τοῦ γνῶναι πάν-
τα τὰ ἐν τῇ γῇ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τούτων παρὰ τῆς γυναικὸς εἰρημένων, συνῆκεν ὁ βασιλεὺς

 τοῦ

(1) Τούτοις δὲ ὅμως καταθελχθέντος τοῖς λόγοις τοῦ βασιλέως, καὶ προστάξειν ὑπισχνουμένου τῷ στρατηγῷ παύσειν τῶν φυλετῶν τὴν ὁρμήν· πάλιν, κτ. ἡ ἐν Χάλ. ἔκδ.

(2) Τό, τοιούτου, οὐ κεῖται αὐτ. (3) Ὁ υἱός σου. ἡ αὐτ. (4) Ὁ υἱός σου. ἡ αὐτ.

(5) Εἴπως. ἡ αὐτ. (6) Ῥῆμα, ὅ. αἱ αὐτ. (7) Ζῇ. αἱ αὐτ. (8) Τοῦ Θεοῦ. αἱ αὐτ.

τοῦ δράματος τὴν ὑπόθεσιν, καὶ ἤρετο τὴν γυναῖκα, εἰ (1) Ἰωὰβ ὑπέθετο ταῦτα. ἡ δὲ ὁμολογήσασα τούτων ἕκαστον τὸν Ἰωὰβ » ὑποθέσθαι· ὅπως, φησὶ, κυκλώσῃ τὸ πρό- » σωπον τοῦ λόγου τούτου, ὃ ἐποίησεν Ἰωὰβ τὸν » λόγον τοῦτον. ἐξ εὐθείας, φησὶν, οὐκ ἦν ἱκετεῦσαί σε. ὅθεν ὑπέθετο χρήσασθαί με τῷ κύκλῳ τῶν λόγων τούτων, ἵνα ἐν τῷ πεπλασμένῳ πάθει, τὸ οἰκεῖον ἰδὼν, ἣν ἔμελλες ἐπιτιθέναι θεραπείαν ἐμοὶ, ταύτην ἐπιθῇς σαυτῷ. καὶ ἧς μεταδώσειν ἐπικουρίας ὑπέσχου τῷ ἐμῷ παιδὶ, ταύτης τῷ σῷ μεταδῷς.

κα. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς
Ἰωὰβ, ἰδοὺ δὴ ἐποίησά σοι κατὰ τὸν
λόγον τοῦτον. πορεύου, ἐπίστρεψον τὸ
κβ. παιδάριον τὸν Ἀβεσσαλώμ. Καὶ ἔπε-
σεν Ἰωὰβ ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ τὴν
γῆν, καὶ προσεκύνησε, καὶ εὐλόγησε
τὸν βασιλέα. καὶ εἶπεν Ἰωὰβ, σήμε-
ρον ἔγνω ὁ δοῦλός σου ὅτι εὗρον χάριν
ἐν ὀφθαλμοῖς σου κύριέ μου βασιλεῦ,
ὅτι ἐποίησεν ὁ κύριός μου ὁ βασιλεὺς
κγ. τὸν λόγον τοῦ δούλου αὐτοῦ. Καὶ ἀνέ-
στη Ἰωὰβ, καὶ ἐπορεύθη εἰς Γεδσοὺρ,
καὶ ἤγαγε τὸν Ἀβεσσαλὼμ εἰς Ἱερου-
σαλήμ.
κδ. Καὶ εἶπεν ὁ βασιλεὺς, ἀποστρα-
φήτω εἰς τὸν οἶκον αὐτοῦ, καὶ τὸ πρό-
σωπόν μου μὴ βλεπέτω. καὶ ἀπέστρε-
ψεν Ἀβεσσαλὼμ εἰς τὸν οἶκον αὐτοῦ, καὶ
τὸ πρόσωπον τοῦ βασιλέως οὐκ εἶδε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τούτοις εἴξας τοῖς λόγοις ὁ βασιλεὺς, ἐπανελθεῖν μὲν τὸν Ἀβεσσαλὼμ παρηγγύησεν, ἰδεῖν δὲ αὐτὸν διεκώλυσεν. ὕστερον δὲ καὶ τοῦτο δέδρακε, τοῦ Ἰωὰβ δεξάμενος τὴν παράκλησιν.

κε. Καὶ ὡς Ἀβεσσαλὼμ οὐκ ἦν
ἀνὴρ ἐν παντὶ Ἰσραὴλ αἰνετὸς σφό-
δρα, ἀπὸ ἴχνους ποδὸς αὐτοῦ καὶ ἕως
κορυφῆς αὐτοῦ οὐκ ἦν ἐν αὐτῷ μῶμος.
κϛ. Καὶ ἐν τῷ κείρεσθαι αὐτὸν τὴν κεφα-
λὴν αὐτοῦ, καὶ ἐγένετο ἀπὸ τέλους
ἡμερῶν εἰς ἡμέρας ὧν (2) ἂν ἐκείρετο,
ὅτι κατεβαρύνετο ἐπ᾽ αὐτὸν, καὶ κει-
ρόμενος ἵστη τὴν τρίχα τῆς κεφαλῆς
αὐτοῦ διακοσίους σίκλους ἐν τῷ σίκλῳ
τῷ βασιλικῷ.

** ΙΩΣΗΠΟΥ. Οὐκ ἐπεβέβλαπτο εἰς τὸ κάλλος ὑπό τε τῆς λύπης, καὶ τοῦ μὴ τυγχάνειν τῆς προσηκούσης ἐπιμελείας υἱῷ βασιλέως· ἀλλ᾽ ἔτι ἐξεῖχε καὶ διέπρεπε A πάντας τῷ τε εἴδει καὶ τῷ μεγέθει τοῦ σώματος, καὶ τοὺς ἐν πολλῇ τρυφῇ διαιτωμένους ὑπερέβαλε. τοσοῦτον μέντοι γε ἦν τὸ βάθος τῆς κόμης αὐτῷ, ὡς μόλις αὐτὴν ἡμέραις ἀποκείρειν ὀκτὼ, σταθμὸν ἕλκουσαν σίκλους διακοσίους. οὗτοι δέ εἰσι πέντε μναῖ.

κζ. Καὶ ἐτέχθησαν τῷ Ἀβεσσα-
λὼμ τρεῖς υἱοὶ, καὶ θυγάτηρ μία, καὶ
τὸ ὄνομα αὐτῆς Θήμαρ. (3) αὕτη ἦν
B γυνὴ καλὴ τῷ εἴδει σφόδρα· καὶ γίνε-
ται γυνὴ τῷ Ῥοβοὰμ υἱῷ Σαλωμὼν,
κη. καὶ τίκτει αὐτῷ τὸν Ἀβιά. Καὶ ἐκά-
θισεν Ἀβεσσαλὼμ ἐν τῇ Ἱερουσαλὴμ
δύο ἔτη ἡμερῶν, καὶ τὸ πρόσωπον τοῦ
κθ. βασιλέως οὐκ εἶδε. Καὶ ἀπέστειλεν
Ἀβεσσαλὼμ πρὸς Ἰωὰβ τοῦ ἀποστεῖ-
λαι αὐτὸν πρὸς τὸν βασιλέα, καὶ οὐκ
ἠθέλησεν ἐλθεῖν πρὸς αὐτόν· καὶ ἀπέ-
Γ στειλεν ἐκ δευτέρου πρὸς αὐτὸν, καὶ οὐκ
λ. ἠθέλησε παραγενέσθαι. Καὶ εἶπεν
Ἀβεσσαλὼμ πρὸς τοὺς παῖδας αὐτοῦ,
ἴδετε δὴ, ἡ μερὶς ἐν ἀγρῷ τοῦ Ἰωὰβ
ἐχόμενά μου, καὶ αὐτῷ ἐκεῖ κριθαὶ,
πορεύεσθε καὶ ἐμπρήσατε αὐτὴν ἐν
πυρί. καὶ ἐνέπρησαν αὐτὴν οἱ δοῦλοι
Ἀβεσσαλὼμ τὴν μερίδα Ἰωὰβ ἐν πυ-
Δ ρί. καὶ παρεγένοντο (4) οἱ δοῦλοι Ἰωὰβ
πρὸς αὐτὸν διεῤῥηχότες τὰ ἱμάτια
αὐτῶν, καὶ εἶπαν, ἐνέπρησαν οἱ δοῦλοι
λα. Ἀβεσσαλὼμ τὴν μερίδα ἐν πυρί. Καὶ
ἀνέστη Ἰωὰβ, καὶ ἦλθε πρὸς Ἀβεσσα-
λὼμ εἰς τὸν οἶκον, καὶ εἶπε πρὸς αὐ-
τὸν, ἵνα τί ἐνέπρησαν οἱ παῖδές σου
λβ. τὴν μερίδα τὴν ἐμὴν ἐν πυρί; Καὶ
εἶπεν Ἀβεσσαλὼμ πρὸς Ἰωὰβ, ἰδοὺ
E ἀπέστειλα πρὸς σὲ, λέγων, ἧκε ὧδε,
καὶ ἀποστελῶ σε πρὸς τὸν βασιλέα,
λέγων, ἵνα τί ἦλθον ἐκ Γεδσούρ;
ἀγαθόν μοι ἦν τοῦ ἔτι εἶναί με ἐκεῖ·
καὶ νῦν ἰδοὺ τὸ πρόσωπον τοῦ βασι-
λέως οὐκ εἶδον. εἰ δέ ἐστιν ἐν ἐμοὶ ἀδι-
λγ. κία, καὶ θανατωθήσομαι. Καὶ εἰσῆλ-
θεν Ἰωὰβ πρὸς τὸν βασιλέα, καὶ
ἀπήγγειλεν αὐτῷ. καὶ ἐκάλεσε τὸν
Z Ἀβεσσαλώμ. καὶ εἰσῆλθε πρὸς τὸν
βασιλέα, καὶ προσεκύνησεν αὐτῷ,
καὶ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ ἐπὶ
τὴν γῆν κατὰ πρόσωπον τοῦ βασι-
λέως. καὶ κατεφίλησεν ὁ βασιλεὺς
τὸν Ἀβεσσαλώμ.



ΚΕΦ.

(1) Γνώμῃ τοῦ Ἰωὰβ τοῖς δὲ τοῖς λόγοις ἐχρήσατο. ἡ δὲ συνωμολόγησε τούτων, κτ. ἡ αὐτ.
(2) Ὡς. αἱ αὐτ. (3) Θημάρ. αἱ αὐτ. (4) Παραγίνονται. αἱ αὐτ.

Κ Ε Φ. Ι Ε.

α. Καὶ ἐγένετο μετὰ ταῦτα καὶ
ἐποίησεν ἑαυτῷ Ἀβεσσα-
λὼμ ἅρματα, καὶ ἱππεῖς,
καὶ πεντήκοντα ἄνδρας προτρέχοντας
β. ἔμπροσθεν αὐτοῦ. Καὶ ὤρθρισεν Ἀ-
βεσσαλὼμ, καὶ ἔστη ἀνὰ χεῖρα τῆς ὁδοῦ
τῆς πύλης. καὶ ἐγένετο πᾶς ἀνὴρ ᾧ
ἐγένετο κρίσις, ἦλθε πρὸς τὸν βασι-
λέα εἰς κρίσιν, καὶ ἐβόησε πρὸς αὐ-
τὸν Ἀβεσσαλὼμ, καὶ εἶπεν αὐτῷ, ἐκ
ποίας πόλεως σὺ εἶ; καὶ εἶπεν ὁ ἀνὴρ,
ἐκ μιᾶς Φυλῆς Ἰσραὴλ ὁ δοῦλός σου.
γ. Καὶ εἶπε πρὸς αὐτὸν Ἀβεσσαλὼμ, ἰδοὺ
οἱ λόγοι σου ἀγαθοὶ καὶ εὔκολοι, καὶ
ὁ ἀκούων οὐκ ἔστι σοι παρὰ τοῦ βασι-
δ. λέως. Καὶ εἶπεν Ἀβεσσαλὼμ, τίς
με καταστήσει κριτὴν ἐν τῇ γῇ, καὶ
ἐπ᾿ ἐμὲ ἐλεύσεται πᾶς ἀνὴρ ᾧ ἐὰν ᾖ
ἀντιλογία καὶ κρίσις, καὶ δικαιώσω
ε. αὐτόν; Καὶ ἐγένετο ἐν τῷ ἐγγίζειν ἄν-
δρα τοῦ προσκυνῆσαι αὐτὸν, καὶ ἐξέ-
τεινε τὴν χεῖρα αὐτοῦ, καὶ ἐπελαμ-
βάνετο αὐτοῦ, καὶ κατεφίλει αὐτόν.

** ΙΩΣΗΠΟΥ. Ὁ Ἀβεσάλωμος τοιού-
των αὐτῷ τῶν παρὰ τοῦ βασιλέως ἀπο-
βάντων, πολλοὺς μὲν ἵππους ἐν ὀλίγῳ πάνυ
χρόνῳ, πολλὰ δὲ ἅρματα ἐκέκλητο, καὶ
ὁπλοφόροι περὶ αὐτὸν ἦσαν πεντήκοντα.
καὶ καθ᾿ ἑκάστην ἡμέραν ὄρθριος πρὸς τὰ
βασίλεια παρεγίνετο, καὶ τοῖς ἐπὶ τὰς κρί-
σεις ἥκουσι, καὶ ἐλαττουμένοις πρὸς ἡδονὴν
ὁμιλῶν, ὡς παρὰ τὸ μὴ συμβούλους ἀγα-
θοὺς εἶναι τῷ πατρὶ, τάχα δὲ αὐτῶν καὶ
ἀδίκως ἐπταικότων περὶ τὴν κρίσιν, εὔνοιαν
αὐτῷ παρὰ πάντων κατεσκεύαζε, λέγων·
ὡς αὐτὸς ἂν εἰ ταύτην εἶχε τὴν ἐξουσίαν,
πολλὴν αὐτοῖς ἐβράβευσεν εὐνομίαν.

ϛ. Καὶ ἐποίησεν Ἀβεσσαλὼμ κα-
τὰ τὸ ῥῆμα τοῦτο παντὶ Ἰσραὴλ τοῖς
παραγινομένοις εἰς κρίσιν πρὸς τὸν
βασιλέα, καὶ ἰδιοποιεῖτο Ἀβεσσαλὼμ
τὴν καρδίαν τῶν υἱῶν Ἰσραήλ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Κακοῦργος ἦν ὁ
Ἀβεσσαλὼμ, καὶ πάντας ἰδιοποιεῖτο. ὅρα
οὖν ὅση ἦν ἡ κακουργία· περιϊὼν, φησὶν,
ἔλεγε, μὴ ἔστι σοι κρίσις; οἰκειώσασθαι ἕκα-
στον βουλόμενος.

ζ. Καὶ ἐγένετο ἀπὸ τέλους τεσσα-
ράκοντα ἐτῶν, καὶ εἶπεν Ἀβεσσαλὼμ
πρὸς τὸν πατέρα αὐτοῦ, πορεύσομαι
δὴ, καὶ ἀποτίσω τὰς εὐχάς μου, ἃς
η. ηὐξάμην τῷ Κυρίῳ ἐν Χεβρών· Ὅτι
εὐχὴν ηὔξατο ὁ δοῦλός σου ἐν τῷ οἰκεῖν-

με ἐν Γεδσοὺρ ἐν Συρίᾳ, λέγων, ἐὰν
ἐπιστρέψῃ με ὁ Κύριος εἰς Ἱερουσαλὴμ,
θ. καὶ λατρεύσω τῷ Κυρίῳ. Καὶ εἶπεν
αὐτῷ ὁ βασιλεὺς, βάδιζε εἰς εἰρήνην.
ι. καὶ ἀναστὰς ἐπορεύθη εἰς Χεβρών. Καὶ
ἀπέστειλεν Ἀβεσσαλὼμ κατασκόπους
Β ἐν πάσαις Φυλαῖς Ἰσραὴλ, λέγων,
ἐν τῷ ἀκοῦσαι ὑμᾶς τὴν Φωνὴν τῆς κε-
ρατίνης, καὶ ἐρεῖτε, βεβασίλευκε βα-
ια. σιλεὺς Ἀβεσσαλὼμ ἐν Χεβρών. Καὶ
μετὰ Ἀβεσσαλὼμ ἐπορεύθησαν δια-
κόσιοι ἄνδρες ἐξ Ἱερουσαλὴμ κλητοί·
καὶ πορευόμενοι τῇ ἁπλότητι αὐτῶν,
καὶ οὐκ ἔγνωσαν πᾶν ῥῆμα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλὰ τεσσάρων διε-
Γ ληλυθότων ἐτῶν, τῇ χρηστότητι τῶν λόγων
προκατασκευάσας τὴν τυραννίδα, τῇ σκή-
ψει μὲν τῆς θυσίας εἰς τὴν Χεβρὼν ἀπε-
λήλυθεν. ἐκεῖ δὲ τὴν πατρικὴν ἥρπασε
βασιλείαν. ἐμελέτησε δὲ καὶ τοῦ πατρὸς
τὴν σφαγήν. τοῦτο μαθὼν ὁ βασιλεὺς,
κατέλιπε τὴν μητρόπολιν, ἀρίστην ἡγού-
μενος στρατηγίαν καὶ τὴν εἰς καιρὸν γενο-
μένην Φυγήν.

ιβ. Καὶ ἀπέστειλεν Ἀβεσσαλὼμ καὶ
Δ ἐκάλεσε τὸν Ἀχιτόφελ τὸν Γωλα-
μωναῖον τὸν σύμβουλον τοῦ Δαβὶδ ἐκ
τῆς πόλεως αὐτοῦ τῆς Γαλαμωνὰ (1)
ἐν τῷ θυσιάζειν αὐτὸν τὰς θυσίας.
καὶ ἐγένετο σύστρεμμα ἰσχυρόν· καὶ ὁ
λαὸς πορευόμενος καὶ πολὺς μετὰ Ἀ-
ιγ. βεσσαλώμ. Καὶ παρεγένετο ὁ ἀπαγ-
γέλλων πρὸς Δαβὶδ, λέγων, ἐγενή-
Ε θη ἡ καρδία ἀνδρῶν Ἰσραὴλ ὀπίσω
ιδ. Ἀβεσσαλώμ. Καὶ εἶπε Δαβὶδ πᾶσι
τοῖς παισὶν αὐτοῦ τοῖς μετ᾿ αὐτοῦ ἐν
Ἱερουσαλὴμ, ἀνάστητε καὶ Φύγωμεν,
ὅτι οὐκ ἔστιν ἡμῖν σωτηρία ἀπὸ προσώ-
που Ἀβεσσαλώμ· ταχύνατε τοῦ πο-
ρευθῆναι, ἵνα μὴ ταχύνῃ καὶ κατα-
λάβῃ ἡμᾶς, καὶ ἐξώσῃ ἐφ᾿ ἡμᾶς τὴν
Ζ κακίαν, καὶ πατάξῃ τὴν πόλιν ἐν στό-
ιε. ματι ῥομφαίας. Καὶ εἶπον οἱ παῖ-
δες τοῦ βασιλέως πρὸς τὸν βασιλέα,
κατὰ πάντα ὅσα αἱρεῖται ὁ κύριος
ἡμῶν ὁ βασιλεὺς, ἰδοὺ οἱ παῖδές σου.
ιϛ. Καὶ ἐξῆλθεν ὁ βασιλεὺς καὶ πᾶς ὁ
οἶκος αὐτοῦ τοῖς ποσὶν αὐτῶν. καὶ ἀφῆ-
κεν ὁ βασιλεὺς τὰς δέκα γυναῖκας
τὰς παλλακὰς αὐτοῦ Φυλάσσειν τὸν
ιζ. οἶκον. Καὶ ἐξῆλθεν ὁ βασιλεὺς καὶ
Η πάντες οἱ παῖδες αὐτοῦ πεζοὶ, καὶ ἔστη-
σαν (2) ἐπὶ τῆς ἐλαίας ἐν τῇ ἐρήμῳ.
ιη. Καὶ

(1) Ἐκ Γωλά. αἱ αὐτ.

(2) Ἔστησαν ἐν οἴκῳ τῷ μακράν. Καὶ, κτ. αἱ αὐτ.

ιη. Καὶ πάντες οἱ παῖδες αὐτοῦ ἀνὰ
χεῖρα αὐτοῦ παρῆγον, καὶ πᾶς ὁ Χε-
ρεθθὶ καὶ πᾶς ὁ Φελεθθὶ, καὶ ἔστη-
σαν ἐπὶ τῆς ἐλαίας ἐν τῇ ἐρήμῳ. καὶ
πᾶς ὁ λαὸς παρεπορεύετο ἐχόμενος
αὐτοῦ, καὶ πάντες οἱ περὶ αὐτὸν, καὶ
πάντες οἱ ἁδροὶ, καὶ πάντες οἱ μαχη-
ταὶ ἑξακόσιοι ἄνδρες· καὶ παρῆσαν
ἐπὶ χεῖρα αὐτοῦ. καὶ πᾶς ὁ Χελεθθὶ,
καὶ πᾶς ὁ Φελεθθὶ, καὶ πάντες οἱ Γετ-
θαῖοι (1) ἑξακόσιοι ἄνδρες οἱ ἥκοντες
πεζοὶ ἐκ Γὲθ παρεπορεύοντο κατὰ
ιθ. πρόσωπον τοῦ βασιλέως. Καὶ εἶπεν ὁ
βασιλεὺς πρὸς Ἐθθὶ τὸν Γετθαῖον,
ἵνα τὶ πορεύσῃ καὶ σὺ μεθ' ἡμῶν; ἐπί-
στρεφε, καὶ οἴκει μετὰ τοῦ βασιλέως,
ὅτι ξένος εἶ σὺ, καὶ ὅτι μετῴκησας σὺ
κ. ἐκ τοῦ τόπου σου. Εἰ ἐχθὲς παραγέ-
γονας, καὶ σήμερον κινήσω σε μεθ'
ἡμῶν (2) πορευθῆναι; καὶ ἐγὼ πορεύ-
σομαι οὗ ἐὰν πορευθῶ. πορεύου καὶ ἀνά-
στρεφε καὶ ἀπόστρεψον τοὺς ἀδελφούς
σου μετὰ σοῦ, καὶ Κύριος ποιήσει μετὰ
κα. σοῦ ἔλεος καὶ ἀλήθειαν. Καὶ ἀπεκρί-
θη Ἐθθὶ τῷ βασιλεῖ, καὶ εἶπε, ζῇ
Κύριος καὶ ζῇ ὁ κύριός μου ὁ βασιλεὺς,
ὅτι εἰς τὸν τόπον οὗ ἐὰν ᾖ ὁ κύριός μου
ὁ βασιλεὺς, καὶ ἐὰν εἰς θάνατον καὶ
ἐὰν εἰς ζωὴν, ὅτι ἐκεῖ ἔσται ὁ δοῦλός σου.
κβ. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἐθθὶ,
δεῦρο, καὶ διάβαινε μετ' ἐμοῦ. καὶ πα-
ρῆλθεν ὁ Ἐθθὶ ὁ Γετθαῖος καὶ ὁ βα-
σιλεὺς, καὶ πάντες οἱ παῖδες αὐτοῦ
καὶ πᾶς ὁ ὄχλος ὁ μετ' αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἠκολούθησε δὲ αὐτῷ καὶ τῶν ἀσπιδοφόρων καὶ δορυφόρων πλῆθος· (3) καὶ δὴ καὶ Ἰεθθὶ ὁ Γετθαῖος σὺν ἑξακοσίοις λογάσιν, ἄρτι (4) προσήλυτος μετὰ τῶν ὑπηκόων γενόμενος, καὶ τὴν οἰκείαν πατρίδα λιπών. ὃν ὁ βασιλεὺς ἀναστρέφειν ἐπεχείρει, ἵνα μὴ πρὶν καλῶς οἰκῆσαι, πάλιν γένηται μετανάστης. ἀλλ' οὐκ ἔπειθεν. ὁ μὲν γὰρ βασιλεύς φησιν· οὐ
» πορεύσῃ σὺ μεθ' ἡμῶν, ἀνάστρεφε καὶ κά-
» θισον μετὰ τοῦ βασιλέως, ὅτι ἀλλότριος
» εἶ, (5) ὅτι μετῴκηκας ἐκ τοῦ οἴκου σου· εἰ
» ἐχθὲς παραγέγονας σὺ, καὶ σήμερον κινή-
A » σω σε τοῦ πορεύεσθαι μεθ' ἡμῶν; ἐγὼ δὲ
» πορεύομαι οὗ ἐὰν πορεύσομαι. ἐμὲ, φησὶν, ἀνάγκη μετανιστεύειν, σὲ δὲ οὐ δίκαιον ἀρτίως ἀφιγμένον σὺν ἡμῖν ὑπομένειν καὶ τὸν
» πόνον. (6) ὁ δὲ, ζῇ Κύριος, φησὶ, καὶ ζῇ ἡ
» ψυχή σου κύριέ μου βασιλεῦ, ὅτι εἰς τὸν τό-
» πον οὗ ἐὰν ᾖ ὁ κύριός μου ὁ βασιλεὺς, ἐάν-
» τε εἰς θάνατον ἐάντε εἰς ζωὴν, ἐκεῖ ἔσται ὁ δοῦλός σου. ἄξιον δὲ θαυμάσαι τοῦ Δαβὶδ τὴν πρᾳότητα. καὶ διωκόμενος γὰρ καὶ πο-
B λεμούμενος ὑπὸ τοῦ μιαροῦ παιδὸς, οὐ πατραλοίαν, οὐκ ἀδελφοκτόνον, ἀλλὰ βασιλέα ὠνόμαζε· καὶ πάλιν, αὐτὸς πολλῆς βοηθείας δεόμενος, τῆς τοῦ προσηλύτου θεραπείας (7) ἐφρόντιζε, καὶ ὑποστρέφειν αὐτὸν συνεβούλευεν, εἰ καὶ τὸ εὔνουν ἐκείνου ἐπὶ πλέον ἐξεκαλύπτετο. καὶ γὰρ συνείπετο. τούτων ἕκαστον εἰς ἡμετέραν διδασκαλίαν προεγράφη· ἵνα μάθωμεν, ὡς οὐ χρὴ εὖ μὲν πράττουσι συνεῖναι τοῖς φίλοις, (8)
Γ ἐᾶν δὲ δυσπραγοῦσι.

κγ. Καὶ πᾶσα ἡ γῆ ἔκλαιον φωνῇ
μεγάλῃ. καὶ πᾶς ὁ λαὸς παρεπο-
ρεύοντο ἐν τῷ χειμάῤῥῳ τῶν Κέδρων·
καὶ ὁ βασιλεὺς διέβη τὸν χειμάῤῥουν
Κέδρων. καὶ πᾶς ὁ λαὸς καὶ ὁ βα-
σιλεὺς παρεπορεύοντο ἐπὶ πρόσωπον
κδ. ὁδοῦ τὴν ἔρημον. Καὶ ἰδοὺ καί γε Σα-
δὼκ ὁ ἱερεὺς καὶ πάντες οἱ Λευῖται
Δ μετ' αὐτοῦ, αἴροντες τὴν κιβωτὸν τῆς
διαθήκης Κυρίου ἀπὸ Βαιθὰρ· καὶ ἔστη-
σαν τὴν κιβωτὸν τοῦ Θεοῦ. καὶ ἀνέ-
βη Ἀβιάθαρ ἕως ἐπαύσατο ὁ λαὸς
διελθεῖν ἐκ τῆς πόλεως.

κε. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς τὸν
Σαδὼκ, ἐπίστρεψον τὴν κιβωτὸν τοῦ
Θεοῦ εἰς τὴν πόλιν. ἐὰν εὕρω χάριν
E ἐν ὀφθαλμοῖς Κυρίου, καὶ ἐπιστρέψει-
με, καὶ δείξει μοι αὐτὴν καὶ τὴν εὐπρέ-
κς. πειαν αὐτῆς. Καὶ ἐὰν οὕτως εἴπῃ, οὐκ
ἠθέλησα ἐν σοὶ, ἰδοὺ ἐγώ εἰμι, ποιεί-
τω μοι κατὰ τὸ ἀγαθὸν ἐν ὀφθαλ-
κζ. μοῖς αὐτοῦ. Καὶ εἶπεν ὁ βασιλεὺς τῷ
Σαδὼκ τῷ ἱερεῖ, σὺ ἐπιστρέψεις (9) εἰς
τὴν πόλιν ἐν εἰρήνῃ, καὶ Ἀχιμάας ὁ
Z υἱός σου, καὶ Ἰωνάθαν ὁ υἱὸς Ἀβιάθαρ οἱ
κη. δύω υἱοὶ ὑμῶν μεθ' ὑμῶν. Ἴδετε, ἐγώ
εἰμι αὐλιζόμενος ἐν Ῥαβὼθ (10) τῆς
ἐρήμου,

(1) Οἱ ἑξακ. αἱ αὐτ. (2) Μεθ' ἡμῶν; καί γε μεταναστήσεις τὸν τόπον σου. χθὲς ἡ ἔξέλευσίς σου, καὶ σήμερον μετακινήσω σε μεθ' ἡμῶν τοῦ πορευθῆναι; καὶ ἐγὼ, κτ. αἱ αὐτ.

(3) Ἠκολούθησε δὲ καὶ Ἰεθ. ἡ ἐν Χάλ. ἐκδ.

(4) Ἄρτι μὲν τὴν οἰκείαν πατρίδα καταλιπὼν, προσήλυτος δὲ μετὰ τῶν ὑπηκόων γενόμενος. τοῦτον ὁ βασιλεὺς πεῖσαι μὲν ἐπεχείρησεν, ἀναστρέψαι, ἵνα μὴ εὐθὺς αὐτοῖς συνοικήσας, πάλιν γένηται μετανάστης.
» τί γάρ φησι πορεύσῃ σὺ μεθ' ἡμῶν; κτ. ἡ αὐτ. (5) Ἀλλότριος σὺ, καὶ ὅτι. ἡ αὐτ.

(6) Τὰ ἀπὸ τοῦ, ὁ δὲ, ἄχρι τοῦ, ἄξιον, κατωτέρω κεῖται ἐν τῇ αὐτ. ἐκδόσ.

» (7) Σωτηρίας ἐφρόντιζε. ἀνάστρεφε γάρ φησι, καὶ ἀπόστρεψον τοὺς ἀδελφούς σου μετὰ σοῦ, καὶ Κύριος
» ποιήσει μετὰ σοῦ ἔλεος καὶ ἀλήθειαν. ἀλλ' ὅσῳ τὴν περὶ αὐτὸν ὁ βασιλεὺς ἐδείκνυ κηδεμονίαν, τοσούτῳ ἐκεῖ-
» νος μείζονα τὴν εὔνοιαν ἀπεδείκνυτο. ζῇ γάρ φησι Κύριος καὶ ζῇ ἡ ψυχή σου κύριέ μου βασιλεῦ, ὅτι εἰς τὸν τόπον
» οὗ ἐὰν ᾖ ὁ κύριός μου ὁ βασιλεὺς, ἐάν τε εἰς θάνατον ἐάν τε εἰς ζωὴν, ἐκεῖ ἔσται ὁ δοῦλός σου. τούτων, κλ. ἡ αὐτ.

(8) Δυσπραγίᾳ δὲ περιπεσόντας ἐᾶν. ἡ αὐτ. (9) Ἐπιστρέφεις. αἱ αὐτ. (10) Ἀραβώθ. αἱ αὐτ.

ἐρήμου, ἕως τοῦ ἐλθεῖν ῥῆμα παρ' ὑμῶν
κθ. τοῦ ἀπαγγεῖλαί μοι. Καὶ ἀπέστρεψε Σαδὼκ καὶ Ἀβιάθαρ τὴν κιβωτὸν τοῦ Θεοῦ εἰς Ἱερουσαλὴμ, καὶ ἐκάθισεν ἐκεῖ.
λ. Καὶ Δαβὶδ ἀνέβαινε τὴν ἀνάβασιν τοῦ ὄρους τῶν ἐλαιῶν ἀναβαίνων καὶ κλαίων, καὶ τὴν κεφαλὴν ἐπικεκαλυμμένος, καὶ αὐτὸς ἐπορεύετο ἀνυπόδετος. καὶ πᾶς ὁ λαὸς (1) μετ' αὐτοῦ ἐπεκάλυψεν ἀνὴρ τὴν κεφαλὴν αὐτοῦ· καὶ ἀνέβαινον ἀναβαίνοντες καὶ κλαίοντες.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τοὺς ἱερέας καὶ τὴν κιβωτὸν ἀκολουθῆσαι (2) κεκώλυκε; Καὶ εὐσεβὴς ὢν καὶ προφήτης, ᾔδει τί πέπονθεν ἡ κιβωτὸς εἰς ἐπικουρίαν τῶν παρανόμων ληφθεῖσα. ἐκεῖνοι μὲν γὰρ ἀνῃρέθησαν, αὕτη δὲ δορυάλωτος παρεδόθη τοῖς ἀλλοφύλοις. ταῦτα δεδιδαγμένος, » πρὸς Σαδὼκ φησὶ τὸν ἱερέα· ἀπόστρεψον » τὴν κιβωτὸν τοῦ Θεοῦ εἰς τὴν πόλιν, καὶ κα- » θισάτω εἰς τὸν τόπον αὐτῆς. ἐὰν εὕρω χά- » ριν ἐνώπιον Κυρίου, καὶ ἐπιστρέψῃ με, καὶ » ὄψομαι αὐτὴν καὶ τὴν εὐπρέπειαν αὐτῆς. » καὶ ἐὰν εἴπῃ μοι, οὐ τεθέληκά σε, ἰδοὺ ἐγὼ, » ποιείτω μοι τὸ ἀρεστὸν ἐνώπιον αὐτοῦ. οὐ δύναμαι, [φησὶ,] μετ' ἐμαυτοῦ τὸν κατήγορον περιφέρειν. ἔνδοθεν ἀκούω φθεγγομένου τοῦ νόμου, οὐ μοιχεύσεις, οὐ φονεύσεις. ἐγὼ δὲ τοὺς δύο νόμους πεπάτηκα. ὅταν ὁ νομοθέτης καθαρίσῃ μου τὸν τῆς ψυχῆς ὀφθαλμὸν, τότε ἰδεῖν δυνήσομαι τὴν εὐπρέπειαν αὐτῆς· εἰ δὲ μὴ, (3) Δεσπότης ἐστὶν, ἐγὼ δὲ οἰκέτης, ἐμαυτὸν ὑποτιθεὶς ταῖς παιδείαις. ταῦτα δὲ δακρύων ἔλεγεν [ὁ θεῖος ἀνὴρ,] καὶ τὸ πένθιμον περικείμενος σχῆμα. ἐκεκάλυπτο μὲν γὰρ τὴν κεφαλὴν, γυμνοῖς δὲ τοῖς ποσὶ [κεχρημένος] ἐβάδιζεν· ἐκοινώνει δὲ τοῦ πένθους καὶ ἡ στρατιά. (Ἐξόδ. 20. 13, 14.)

λα. Καὶ ἀπηγγέλη τῷ Δαβὶδ, λέγοντες, καὶ Ἀχιτόφελ ἐν τοῖς συστρεφομένοις μετὰ Ἀβεσσαλώμ. καὶ εἶπε Δαβὶδ, διασκέδασον τὴν βουλὴν Ἀχιτόφελ, Κύριε ὁ Θεός μου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Οὕτω φεύγων, ἔγνω τοῦ Ἀχιτόφελ τὴν προδοσίαν. ἀλλ' εὐθὺς πρὸς τὸν οἰκεῖον Δεσπότην κατέφυγεν, οὐ κεραυνοῖς αὐτὸν βληθῆναι παρακαλέσας, ἀλλὰ ματαίαν ἀποφανθῆναι τὴν συμ- » βουλὴν αὐτοῦ. Κύριε γάρ φησιν ὁ Θεός μου » ματαίωσον δὴ τὴν βουλὴν Ἀχιτόφελ. τὸ δὲ, » ματαίωσον, ὁ Ἀκύλας ἀφρόνησον εἴρηκεν, ἀντὶ τοῦ, δεῖξον ἄφρονα καὶ ἀσύνετον.

ΑΔΗΛΟΥ. Ἐδεδίει δὲ μάλιστα τῶν ἄλλων τὸν Ἀχιτόφελ, διὰ τὸ πικρὰς ἀεὶ A εἰσφέρειν γνώμας, καὶ οὐδὲς εἰδέναι ἀνευρεῖν ἐφ' ἑκάστῳ πράγματι, καὶ εἶναι στρατηγικώτατον.

λβ. Καὶ ἦν Δαβὶδ ἐρχόμενος ἕως τοῦ Ῥὼς, οὗ προσεκύνησεν ἐκεῖ τῷ Θεῷ· καὶ ἰδοὺ εἰς ἀπάντησιν αὐτῷ Χουσὶ ὁ ἀρχιεταῖρος Δαβὶδ διεῤῥηχὼς τὸν χιτῶνα αὐτοῦ, καὶ γῆ ἐπὶ τῆς κεφαλῆς αὐτοῦ.

B * ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ Ῥὼς, εἰς τὴν » ἄκραν λέγει. ἀνελθὼν γάρ φησιν εἰς τὴν Ῥὼς, τουτέστιν εἰς τὴν ἄκραν· λέγει δὲ τὸν ἐλαιῶνα, ἀφ' οὗ ἀνελήφθη ὁ Χριστός. προσεκύνησε δὲ ἐκεῖ τῷ Κυρίῳ, εἰς τὴν σκηνὴν ὡς εἰκὸς ἀποβλέψας, καὶ τὴν κιβωτὸν τὴν ἐν αὐτῇ κειμένην.

λγ. Καὶ εἶπεν αὐτῷ Δαβὶδ, ἐὰν διαβῇς μετ' ἐμοῦ, καὶ ἔσῃ ἐπ' ἐμὲ εἰς
λδ. βάσταγμα. Καὶ ἐὰν ἐπὶ τὴν πόλιν ἐπιστρέψῃς, καὶ ἐρεῖς τῷ Ἀβεσσαλὼμ, διεληλύθασιν οἱ ἀδελφοί σου, καὶ ὁ βασιλεὺς κατόπισθέν μου διελήλυθεν ὁ πατήρ σου· καὶ νῦν παῖς σου εἰμὶ βασιλεῦ, ἔασόν με ζῆσαι· παῖς τοῦ πατρός σου ἤμην τότε, καὶ νῦν ἐγὼ δοῦλος σός· καὶ διασκεδάσῃς μοι τὴν βου-
λε. λὴν Ἀχιτόφελ. Καὶ ἰδοὺ ἐκεῖ μετὰ
Δ σοῦ Σαδὼκ καὶ Ἀβιάθαρ οἱ ἱερεῖς. καὶ ἔσται πᾶν ῥῆμα ὃ ἐὰν ἀκούσῃς ἐκ στόματος τοῦ βασιλέως, καὶ ἀπαγγελεῖς τῷ Σαδὼκ καὶ Ἀβιάθαρ τοῖς ἱερεῦσιν.
λς. Ἰδοὺ ἐκεῖ μετ' αὐτῶν δύο υἱοὶ αὐτῶν, Ἀχιμάας υἱὸς (4) Σαδὼκ, καὶ Ἰωνάθαν υἱὸς τῷ Ἀβιάθαρ· καὶ ἀποστελεῖτε ἐν χειρὶ αὐτῶν πρός με πᾶν ῥῆμα ὃ
λζ. ἐὰν ἀκούσητε. Καὶ εἰσῆλθε Χουσὶ ὁ
E ἑταῖρος Δαβὶδ εἰς τὴν πόλιν, καὶ Ἀβεσσαλὼμ ἄρτι εἰσεπορεύετο εἰς Ἱερουσαλήμ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τινὲς οὐκ ἐπαινοῦσι τοῦ Χουσὶ τὸ ψεῦδος. Καὶ τῶν ἀγαθῶν καὶ τῶν ἐναντίων τὸν σκοπὸν ἐξετάζειν προσήκει. οὕτω γὰρ κρίνοντες εὑρήσομεν καὶ κατηγορουμένην τὴν ἀλήθειαν. ὁ γὰρ Ἡρώδης διὰ » τοὺς ὅρκους, φησὶ, καὶ τοὺς συνανακειμένους, Z ἀπέκτεινε τὸν Ἰωάννην. ἀλλ' οὐδεὶς οὕτως ἠλίθιος, ὡς ἐπαινέσαι τὴν ἐπὶ σφαγῇ γεγενημένην ἀλήθειαν. ἄμεινον γὰρ ἦν μὴ ὀμόσαι· ἐπεὶ δὲ ὤμοσε, τὸ ψεῦδος αἱρετώτερον τῆς σφαγῆς. καὶ ἐνταῦθα τοίνυν ἡ ὑπόκρισις, οὐκ ἐπὶ κέρδει χρημάτων, οὐδὲ ἐπὶ λύμῃ ἑτέρων, ἀλλ' ἐπὶ ζήλῳ προφήτου καὶ βασιλέως εὐσεβοῦντος ἐγένετο. (Ματθ. 14. 9.)

ΚΕΦ.

(1) Ὁ μετ'. αἱ αὐτ. (2) Ἀκολουθεῖν. ἡ ἐν Χάλ. ἔκδ.
(3) Ἐὰν δὲ με παντάπασι τῆς οἰκείας κηδεμονίας γυμνώσῃ, Δεσπ. (4) Τῷ Σαδ. αἱ αὐτ.

ΚΕΦ. Ιϛ.

α. Καὶ Δαβὶδ παρῆλθε βρα-
χύτι ἀπὸ τῆς Ῥῶς, καὶ
ἰδοὺ Σιβὰ τὸ παιδάριον
Μεμφιβουθὲ (1) εἰς ὑπάντησιν αὐτοῦ·
καὶ ζεῦγος ὄνων ἐπισεσαγμένων, καὶ
ἐπ' αὐτοῖς διακόσιοι ἄρτοι, καὶ οἰφὶ
σταφίδος, καὶ οἰφὶ παλαθῶν, καὶ ἑκα-
β. τὸν φοίνικες, καὶ νέβελ οἴνου. Καὶ
εἶπεν ὁ βασιλεὺς πρὸς Σιβὰ, τί ταῦ-
τά σοι; καὶ εἶπε Σιβὰ, τὰ ὑποζύγια
τῇ οἰκίᾳ τοῦ βασιλέως τοῦ ἐπικαθῆ-
σθαι, καὶ οἱ ἄρτοι καὶ οἱ φοίνικες εἰς
βρῶσιν τοῖς παιδαρίοις, καὶ ὁ οἶνος
πιεῖν τοῖς ἐκλελυμένοις ἐν τῇ ἐρήμῳ.

γ. Καὶ εἶπεν ὁ βασιλεὺς, ποῦ ὁ
υἱὸς τοῦ κυρίου σου; καὶ εἶπε Σιβὰ πρὸς
τὸν βασιλέα, ἰδοὺ κάθηται ἐν Ἱερου-
σαλὴμ, ὅτι εἶπε, σήμερον ἐπιστρέψου-
σί μοι ὁ οἶκος Ἰσραὴλ τὴν βασιλείαν
δ. τοῦ πατρός μου. Καὶ εἶπεν ὁ βασιλεὺς
τῷ Σιβὰ, ἰδού σοι πάντα ὅσα ἐστὶ τῷ
Μεμφιβοσθέ. καὶ εἶπε Σιβὰ προσκυ-
νήσας, εὕροιμι χάριν ἐν ὀφθαλμοῖς
σου κύριέ μου βασιλεῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. (2) Τί δήποτε μέμφονταί τινες τῷ Δαβὶδ, ὡς τοῦ Σιβὰ δεξαμένῳ τοὺς λόγους; Πολλάκις εἶπον, ὡς οὐχ ἅπαντα ἐγίνωσκον οἱ Προφῆται· οὗτος δὲ καὶ πιθανοῖς ἐχρήσατο λόγοις. αὐτὸς μὲν γὰρ ἀφίκετο πρὸς τὸν βασιλέα, (3) ἐκεῖνον δὲ ἔφη τὴν βασιλείαν φαντάζεσθαι. πρὸς δὲ τούτοις, καὶ δῶρα προσήνεγκε, τὴν οἰκείαν ἐπιδεικνύμενος εὔνοιαν. ὕστερον δὲ τοῦ Μεμφιβάαλ τοὺς λόγους δεξάμενος, ἀμφοτέροις μὲν τὴν κλῆσιν διένειμεν, ἐκεῖνον δὲ πάλιν τῆς αὐτῆς κηδεμονίας ἠξίωσε. καὶ τοῦ λιμοῦ γενομένου, καὶ τῶν Γαβαωνιτῶν ἑπτὰ τῶν τοῦ Σαοὺλ συγγενῶν αἰτησάντων, οὐκ ἐξέδωκε τὸν Μεμφιβάαλ, ἀλλὰ τὰς πρὸς τὸν Ἰωνάθαν γεγενημένας συνθήκας ἐπλήρωσε.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ μειώσας δὲ τὴν οὐσίαν, καθεῖλε τὸ φρόνημα τοῦ μὴ τυραννίδα φαντάζεσθαι. ἴσως καὶ μαθὼν τοιοῦτόν τι πεφαντάσθαι τὸν νέον, εἰ καὶ τὴν ἀπολογίαν ὡς ἀγαθὸς παρεδέξατο. οὐ γὰρ ἂν τὸν δεσπότου καταψευδόμενον σὺν αὐτῷ μερι.. τὴν (4) εἰργάσατο· δέον καὶ τιμωρήσασθαι.

ε. Καὶ ἦλθεν ὁ βασιλεὺς Δαβὶδ
ἕως Βαουρίμ. καὶ ἰδοὺ ἐκεῖθεν ἀνὴρ ἐξε-
πορεύετο ἐκ συγγενείας οἴκου Σαοὺλ, καὶ
ὄνομα αὐτῷ Σεμεῒ υἱὸς Γηρά· ἐξῆλ-
θεν ἐκπορευόμενος καὶ καταρώμενος
ϛ. Καὶ λιθάζων ἐν λίθοις τὸν Δαβὶδ,
καὶ πάντας τοὺς παῖδας τοῦ βασιλέως
Δαβίδ. καὶ πᾶς ὁ λαὸς ἦν, καὶ πάν-
τες οἱ δυνατοὶ ἐκ δεξιῶν καὶ ἐξ εὐω-
ζ. νύμων τοῦ βασιλέως. Καὶ οὕτως εἶπε
B Σεμεῒ ἐν τῷ καταράσασθαι αὐτὸν,
ἔξελθε ἀνὴρ αἱμάτων καὶ ἀνὴρ ὁ πα-
η. ράνομος. Ἐπέστρεψεν ἐπὶ σὲ Κύριος
πάντα τὰ αἵματα τοῦ οἴκου Σαοὺλ,
ἀνθ' ὧν ἐβασίλευσας ἀντ' αὐτοῦ· καὶ
ἔδωκε Κύριος τὴν βασιλείαν ἐν χειρὶ
Ἀβεσσαλὼμ τοῦ υἱοῦ σου· καὶ ἰδοὺ σὺ ἐν
τῇ κακίᾳ σου, ὅτι ἀνὴρ αἱμάτων σύ.
θ. Καὶ εἶπεν Ἀβεσσὰ ὁ τοῦ Σαρουΐα πρὸς
Γ τὸν βασιλέα, ἵνα τί καταρᾶται ὁ
κύων ὁ τεθνηκὼς οὗτος τὸν κύριόν μου
τὸν βασιλέα; διαβήσομαι δὴ καὶ ἀφε-
ι. λῶ τὴν κεφαλὴν αὐτοῦ. Καὶ εἶπεν
ὁ βασιλεὺς πρὸς Ἀβεσσὰ, τί ἐμοὶ
καὶ ὑμῖν υἱοὶ Σαρουΐα; (5) καὶ ἄφετε αὐ-
τὸν, καὶ οὕτω καταράσθω, ὅτι Κύριος
εἶπεν αὐτῷ καταράσασθαι τὸν Δα-
Δ βίδ· καὶ τίς ἐρεῖ πρὸς αὐτὸν, τί ἐποίη-
ια. σας οὕτω; Καὶ εἶπε Δαβὶδ πρὸς Ἀ-
βεσσὰ καὶ πρὸς πάντας τοὺς παῖδας
αὐτοῦ, ἰδοὺ ὁ υἱός μου ὁ ἐξελθὼν ἐκ
τῆς κοιλίας μου ζητεῖ τὴν ψυχήν μου,
ἴδε (6) καὶ νῦν ὁ υἱὸς τοῦ Ἰεμενίου. ἄφε-
τε αὐτὸν καταράσασθαι, (7) ὅτι εἶ-
ιβ. πεν αὐτῷ Κύριος. Εἴπως ἴδοι Κύριος
ἐν τῇ ταπεινώσει μου, καὶ ἐπιστρέψει
E μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ
τῇ ἡμέρᾳ ταύτῃ.

** ΕΦΡΑΙΜ. Ὅτε ἀπεδίδρασκε Δαβὶδ ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ υἱοῦ αὐτοῦ, οὐχὶ ἐξελθὼν Σεμεῒ ἐλοιδόρει τὸν βασιλέα Δαβὶδ ἐνώπιον πάντων τῶν συμπορευομένων αὐτῷ; μὴ κατὰ μόνας ἐλοιδόρει τῷ βασιλεῖ, ἵνα εἴπῃ τὶς, ὅτι ἕνεκα τούτου ἤνεγκε τὴν ὕβριν μακροθύμως; ἀλλ' οὐ μόνον
Z ἐλοιδόρει, ἀλλὰ καὶ ἐκατηρᾶτο, καὶ ἐλίθαζε τὸν βασιλέα, ὥστε καὶ λέγειν τινὰ
„ τῶν γνησίων φίλων τῷ βασιλεῖ· ἵνα τί κα-
„ ταρᾶται ὁ κύων ὁ τεθνηκὼς οὗτος τὸν κύ-
„ ριόν μου τὸν βασιλέα; διαβήσομαι καὶ ἀφε-
„ λῶ τὴν κεφαλὴν αὐτοῦ. ὁ δὲ βασιλεὺς εἶπε
„ πρὸς αὐτόν· τί ἐμοὶ καὶ ὑμῖν υἱοὶ Σαρουΐας;
„ ἄφετε αὐτῷ οὕτω καταρᾶσθαί με, ὅτι Κύ-
„ ριος εἶπεν αὐτῷ καταράσασθαι τὸν Δαβίδ·
„ καὶ τίς ἐρεῖ αὐτῷ, ὅτι ἐποίησας οὕτω; καὶ
H „ πάλιν εἶπεν· εἴπως ἴδοι Κύριος τὴν ταπεί-
νωσίν-

(1) Μεμφιβοσθέ. αἱ αὐτ. καὶ ἐν τῷ δ' ἐδ. (2) Μέμφονταί τινες. ἡ ἐν Χαλ. ἔκδ.
(3) Πρὸς τὸν θεῖον Δαβίδ. ἡ αὐτ. (4) Ἴσ. μερισμόν. (5) Σαρουΐας. αἱ αὐτ.
(6) Ψυχήν μου, καὶ προσέτι νῦν. αἱ αὐτ. εἰ δὲ καὶ νῦν οὗτος ὁ υἱός. ἡ ἐν Κομπλ. ἔκδ. (7) Καταρᾶσθαι. αἱ αὐτ.

νωσίν μου, καὶ ἀντιστρέψει μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ ἐν τῇ ἡμέρᾳ ταύτῃ. ὁρᾷς ἀγαπητὲ, ὅτι ἐν ταπεινοφροσύνῃ ἐδούλευσαν οἱ δίκαιοι τῷ Κυρίῳ. καὶ εἰ βασιλεὺς καὶ προφήτης ὑπάρχων τοσαύτην ἐνεδείξατο σπουδὴν καὶ ταπεινοφροσύνην, ποταποὺς δεῖ ὑπάρχειν τοὺς πτωχοὺς καὶ ἁμαρτωλούς;

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀξιάγαστα δὲ τοῦ Δαβὶδ καὶ τὰ περὶ Σεμεῒ πρὸς τὸν Ἀβεσσὰ εἰρημένα. [ἐκείνου γὰρ αὐτὸν λίθοις βάλλοντος, καὶ τὸν χοῦν αὐτοῦ καταχέοντος, καὶ λόγοις ἑτέροις καὶ ἔργοις προπηλακίζοντος, καὶ ἄνδρα αἱμάτων καὶ παράνομον ἀποκαλοῦντος,] ὁ μὲν Ἀβεσσὰ [ὑποστράτηγος ὢν,] τὴν παροινίαν ἐκείνου τὴν κατὰ τοῦ βασιλέως μὴ φέρων, ἵνα τί καταρᾶται, ἔφη, ὁ κύων ὁ ἐπικατάρατος οὗτος τὸν κύριόν μου τὸν βασιλέα; διελεύσομαι δὴ καὶ ἀφελῶ τὴν κεφαλὴν αὐτοῦ. ὁ δὲ πάντων ἀνθρώπων πρᾳότατος φησὶ, τί ἐμοὶ καὶ σοὶ υἱὲ Σαρουΐα; ἄφετε αὐτὸν, διότι καταρᾶταί με, ὅτι Κύριος εἶπεν αὐτῷ καταλογεῖν τὸν Δαβίδ· καὶ τίς ἐρεῖ αὐτῷ, τί πεποίηκας οὕτως; ἱμάς ἐστιν οὗτος [φησὶ] τοῦ Θεοῦ καὶ ῥάβδος. οὐχ ὁρῶ τὸν ἱμάντα, ἀλλὰ τὸν μαστιγοῦντα. ταῖς ἐμαυτοῦ παρανομίαις ἐπιγράφομαι τὰς συμφοράς· οὐχ ἅπτομαι τῆς ῥάβδου, ἵνα μὴ παροξύνω τὸν παίοντα. συμφωνεῖ δὲ τούτοις καὶ τὰ ἑξῆς. εἶπε γάρ φησι Δαβὶδ πρὸς Ἀβεσσὰ καὶ πρὸς πάντας τοὺς παῖδας αὐτοῦ, ἰδοὺ ὁ υἱός μου ὁ ἐξελθὼν ἐκ τῆς κοιλίας μου ζητεῖ τὴν ψυχήν μου. εἰ δὲ καὶ νῦν οὗτος ὁ υἱὸς τοῦ Ἰεμιναίου, ἄφετε αὐτὸν, καὶ καταράσθω, ὅτι Κύριος εἴρηκεν αὐτῷ, εἴπως (1) εἰδὼς τὴν ταπείνωσίν μου, καὶ ἀνταποδώσει μοι Κύριος ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ ἐν τῇ ἡμέρᾳ ταύτῃ. οὗτος, φησὶν, ἐκ τῆς τοῦ Σαοὺλ συγγενείας ἐστὶ, παλαιὰν ἔχων πρός με τὴν δυσμένειαν· καὶ εἰκὸς τινὰς εἰπεῖν, ὅτι καιρὸν εὑρὼν, ἐγύμνωσε τὴν ἀπέχθειαν. τὸν υἱόν μου, τὸν ἐκ τῶν σπλάγχνων μου, [τὸν ὑπ' ἐμοῦ καὶ σπαρέντα, καὶ τραφέντα, καὶ εἰς τοῦτο ἡλικίας ἐλάσαντα καὶ τιμῆς,] τίς ἐκπεπολέμωκέ μοι; δῆλον τοίνυν ὡς ἡ ψῆφος ἄνωθεν ἐπενήνεκται. εἶτα [καὶ οἷς προεῖπον ἐπιφέρει τὸ πέρας.] ἐγὼ δὲ φέρω καὶ τοὺς παροινοῦντας, καὶ τοὺς φονῶντας, ἵνα ταύτῃ πραΰνω τὴν θείαν ὀργήν. (2) ἀλλ' ὁ μὲν Δαβὶδ οὕτως εἶπεν. εἰδέναι δὲ χρὴ, ὡς οὐ τῆς θείας ἐστὶν ἐνεργείας, οὔτε τοῦ Ἀμνὼν ἡ παράνομος συνουσία, οὔτε τοῦ Ἀβεσσαλὼμ ἡ ἀδελφοκτονία, καὶ ἡ κατὰ τοῦ πατρὸς μανία, ἀλλὰ τῆς θείας προνοίας ἡ οἰκία γυμνωθεῖσα, σκάφος ἀκυβέρνητον ἐμιμήσατο, (3) καὶ τῶν πονηρῶν Δαιμόνων τὰς τρικυμίας ἐδέξατο. (4)

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἵνα μάθῃς, ὅτι οὐκ ἀσθενείας, ἀλλ' ἀνεξικακίας ἦν ἡ φιλοσοφία, τοῦ στρατηγοῦ τότε ἀξιοῦντος ἐπιτραπῆναι διαβῆναι, καὶ τὴν κεφαλὴν ἀποτεμεῖν τὴν ἐκείνου, οὐ μόνον οὐκ ἐπέτρεψεν ὁ Δαβὶδ, ἀλλὰ καὶ ἐδυσχέρανε, λέγων· τί ἐμοὶ καὶ σοὶ υἱὲ Σαρουΐας; ἄφετε αὐτὸν καταρᾶσθαι· ὅπως ἴδοι τὴν ταπείνωσίν μου Κύριος, καὶ ἀνταποδῷ μοι ἀγαθὰ ἀντὶ τῆς κατάρας αὐτοῦ τῆς ἐν τῇ ἡμέρᾳ ταύτῃ. ὅπερ οὖν καὶ ἐγένετο. ὁρᾷς πῶς οἶδεν ὁ δίκαιος, ὅτι τὸ φέρειν γενναίως τὰς λοιδορίας, ἀφορμὴ πλείονος εὐδοκιμήσεως γίνεται;

B ** ΙΣΙΔΩΡΟΥ. Ὁ Σεμεῒ ὁ ἀθυρόγλωττος ἐκεῖνος ἀνδροκτόνον τὸν μελῳδὸν ἀπεκάλει, διωκόμενον ὑπὸ τοῦ υἱοῦ, ἀπὸ τῆς συμφορᾶς τὴν πονηρὰν ταύτην περὶ αὐτοῦ φέρων ψῆφον. μὴ τοίνυν μηδ' αὐτὸς πάντων καταψηφίζου τῶν ἐν συμφοραῖς· ἀλλά τινας νόμιζε καὶ διὰ στεφάνους ὑπομένειν.

** ΒΑΣΙΛΕΙΟΥ. Ὁ μέγας Δαβὶδ πρᾴως ἠνείχετο τῆς παροινίας τοῦ Σεμεεΐ. οὐ γὰρ ἐδίδου καιρὸν τῇ ὀργῇ κινηθῆναι, πρὸς τὸν Θεὸν μεταφέρων τὴν ἔννοιαν· ὅτι Κύριος εἶπε, φησὶ, τῷ Σεμεεῒ καταρᾶσθαι τὸν Δαβίδ. διόπερ ἀκούων, αἱμάτων ἀνὴρ, καὶ ἀνὴρ παράνομος, οὐκ ἐχαλέπαινεν, ἀλλ' ἑαυτὸν ἐταπείνου, ὡς κατὰ τὴν ἀξίαν αὐτῷ τῆς ὕβρεως ἀπαντώσης.

ιγ. Καὶ ἐπορεύθη Δαβὶδ καὶ πάν-
τες οἱ ἄνδρες αὐτοῦ ἐν τῇ ὁδῷ· καὶ Σε-
μεῒ (5) ἐκ πλευρᾶς τοῦ ὄρους ἐχόμενα
Δ αὐτοῦ πορευόμενος καὶ καταρώμενος
καὶ λιθάζων ἐν λίθοις ἐκ πλαγίων
ιδ. αὐτοῦ καὶ τῷ χοῒ πάσσων. Καὶ ἦλθεν
ὁ βασιλεὺς καὶ πᾶς ὁ λαὸς μετ' αὐ-
τοῦ ἐκλελυμένοι, καὶ ἀνέψυξαν ἐκεῖ.
ιε. Καὶ Ἀβεσσαλὼμ καὶ πᾶς ἀνὴρ Ἰσραὴλ
εἰσήλθοσαν εἰς Ἱερουσαλὴμ, καὶ Ἀχι-
ις. τόφελ μετ' αὐτοῦ. Καὶ ἐγενήθη ἡνί-
E κα ἦλθε Χουσὶ ὁ ἀρχιεταῖρος Δαβὶδ
πρὸς Ἀβεσσαλὼμ, καὶ εἶπε Χουσὶ πρὸς
ιζ. Ἀβεσσαλὼμ, ζήτω ὁ βασιλεύς. Καὶ
εἶπεν Ἀβεσσαλὼμ πρὸς Χουσὶ, τοῦτο
τὸ ἔλεός σου μετὰ τοῦ ἑταίρου σου; ἵνα
τί οὐκ ἀπῆλθες μετὰ τοῦ ἑταίρου σου;
ιη. Καὶ εἶπε Χουσὶ πρὸς Ἀβεσσαλὼμ, οὐχὶ,
ἀλλὰ κατόπισθεν οὗ ἐξελέξατο Κύριος
καὶ ὁ λαὸς οὗτος καὶ πᾶς ἀνὴρ Ἰσραὴλ,
Z αὐτῷ ἔσομαι, καὶ μετ' αὐτοῦ καθή-
ιθ. σομαι. Καὶ τὸ δεύτερον, τίνι ἐγὼ
δουλεύσω; οὐχὶ ἐνώπιον τοῦ υἱοῦ αὐτοῦ;
καθάπερ ἐδούλευσα ἐνώπιον τοῦ πα-
κ. τρός σου, οὕτως ἔσομαι ἐνώπιόν σου. Καὶ
εἶπεν Ἀβεσσαλὼμ πρὸς Ἀχιτόφελ,
φέρετε αὐτοῖς (6) βουλὴν τί ποιήσω-
κα. μεν. Καὶ εἶπεν Ἀχιτόφελ πρὸς Ἀ-
βεσσαλὼμ, εἴσελθε πρὸς τὰς παλλα-
H κὰς τοῦ πατρός σου, ἃς κατέλιπε φυ-
λάσ-

(1) Ὅπως ἴδοι. ἡ ἐν Χάλ. ἔκδ.
(2) Ταῦτα μὲν οὖν ὁ θεῖος οὗτος εἶπεν ἀνήρ. εἰδέναι, κτ. ἡ αὐτ.
(3) Ἐμιμεῖτο. ἡ αὐτ.
(4) Ἐδέχετο. ἡ αὐτ.
(5) Ἐπορεύετο ἐκ πλευ. αἱ αὐτ.
(6) Ἑαυτοῖς. αἱ αὐτ.

λάσειν τὸν οἶκον αὐτοῦ, καὶ ἀκούσεται
πᾶς Ἰσραὴλ, ὅτι κατῄσχυνας τὸν πα-
τέρα σου, καὶ ἐνισχύσουσιν αἱ χεῖρες πάν-
κβ. των τῶν μετὰ σοῦ. Καὶ ἔπηξαν τῷ
Ἀβεσσαλὼμ σκηνὴν ἐπὶ τὸ δῶμα,
καὶ εἰσῆλθεν Ἀβεσσαλὼμ πρὸς τὰς
παλλακὰς τοῦ πατρὸς αὐτοῦ κατ᾽ ὀφ-
θαλμοὺς παντὸς Ἰσραήλ.

κγ. Καὶ ἡ βουλὴ Ἀχιτόφελ, ἣν
ἐβουλεύσατο ἐν ταῖς ἡμέραις ταῖς
πρώταις, ὃν τρόπον ἐπερωτήσῃ τὶς ἐν
λόγῳ τοῦ Θεοῦ, οὕτω πᾶσα ἡ βουλὴ
τοῦ Ἀχιτόφελ καίγε τῷ Δαβὶδ καί-
γε τῷ Ἀβεσσαλώμ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς ἐχρῆτο συμβούλῳ τῷ Ἀχιτόφελ ὁ θεῖος Δαβὶδ πονηρὰ συμβουλεύοντι; Οἱ παμπόνηροι ἄνδρες κρύ-
A πτουσι τὴν πονηρίαν συνόντες τοῖς ἀγαθοῖς. εὑρόντες δὲ (1) χαίροντας τοῖς τοιούτοις, ἀπογυμνοῦσιν ἑαυτούς. τοιοῦτος ἦν καὶ ὁ Ἀχιτόφελ. καὶ γὰρ τῷ θείῳ Δαβὶδ πρὸς τὸν ἄριστον αὐτοῦ σκοπὸν τὰς εἰσηγήσεις προσέφερε, καὶ τῷ Ἀβεσσαλὼμ τὰ τῷ τρόπῳ κατάλληλα συνεβούλευε.

** ΠΡΟΚΟΠΙΟΥ. Πῶς ὁ Δαβὶδ ἐχρῆτο τούτῳ συμβούλῳ, πονηρὰ συμβουλεύοντι; Ἀλλὰ δῆλον ὡς τοῖς παροῦσιν ἡρμόττετο,
B καὶ πρὸς τὸν ἑκατέρου τρόπον ἐποιεῖτο τὰς συμβουλάς. πρὸς μὲν τὸν ἀγαθὸν κρύπτων, πρὸς δὲ τὸν φαῦλον καὶ χαίροντα κακοῖς τὴν πονηρίαν δεικνύς. καὶ τὸν Δαβὶδ ἀποκλείνειν ἠπείγετο, δεδιὼς μὴ συνάξῃ πρὸς διαλλαγὰς ἀμφοτέρους ἡ φύσις, καὶ τίσῃ δίκας τῆς προδοσίας. ὅμως τὴν δίκην οὐκ ἔφυγε· παῖδα μὲν ὁπλίσας κατὰ πατρὸς, αὐτὸς δὲ ὑφ᾽ ἑαυτοῦ δεξάμενος τὴν πληγήν.

ΚΕΦ. ΙΖ.

α. Καὶ εἶπεν Ἀχιτόφελ πρὸς
Ἀβεσσαλὼμ, ἐπιλέξω δὴ
ἐμαυτῷ δώδεκα χιλιάδας
ἀνδρῶν, καὶ ἀναστήσομαι καὶ καταδιώξω
β. ὀπίσω Δαβὶδ τὴν νύκτα. Καὶ ἐπε-
λεύσομαι ἐπ᾽ αὐτὸν, καὶ αὐτὸς κοπιῶν
καὶ ἐκλελυμένος χερσὶ, καὶ ἐκστήσω
αὐτὸν, καὶ φεύξεται πᾶς ὁ λαὸς ὁ
μετ᾽ αὐτοῦ, καὶ πατάξω τὸν βασιλέα
γ. μονώτατον· Καὶ ἐπιστρέψω πάντα
τὸν λαὸν πρὸς σὲ, ὃν τρόπον ἐπιστρέ-
φει ἡ νύμφη πρὸς τὸν ἄνδρα αὐτῆς.
πλὴν ψυχὴν ἑνὸς ἀνδρὸς σὺ ζητεῖς,
δ. καὶ παντὶ τῷ λαῷ ἔσται εἰρήνη. Καὶ
εὐθὺς ὁ λόγος ἐν ὀφθαλμοῖς Ἀβεσ-
σαλὼμ, καὶ ἐν ὀφθαλμοῖς πάντων
τῶν πρεσβυτέρων Ἰσραήλ.

ε. Καὶ εἶπεν Ἀβεσσαλὼμ, καλέ-
σατε δὴ καίγε τὸν Χουσὶ τὸν Ἀραχὶ,
καὶ ἀκουσόμεθα (2) τὶ ἐν τῷ στόματι
αὐτοῦ, καίγε αὐτοῦ.

* ΠΡΟΚΟΠΙΟΥ. Σημειωτέον δὲ, ὅτι ἐνταῦθα μὲν υἱὸν Ἀραχὶ λέγει τὸν Χουσὶ, ἐν δὲ τῇ ἐπιγραφῇ τοῦ ἑβδόμου ψαλμοῦ, υἱὸν Ἰεμενεί. μήποτε οὖν, ἐπειδὴ μεγάλην ἀριστείαν καὶ ἀνδραγαθίαν ἐκ τοῦ περὶ τῆς φιλίας σχηματισμοῦ ἐνεδείξατο, διὰ τοῦτο υἱὸς Ἰεμενεί, τουτέστιν υἱὸς δεξιᾶς; πανσόφως δὲ ὁ Δαβὶδ τῷ συνετῷ τὸν συνετὸν ἀντέστησε. σύνεσις γὰρ ἰσχυροτέρα δυνάμεως· ἡ δὲ δύναμις ἄνευ συνέσεως ἀπολύειν οἶδε τοὺς ταύτῃ ἐπιθαρσήσαντας.

ς. Καὶ εἰσῆλθε Χουσὶ πρὸς Ἀβεσ-
σαλὼμ, καὶ εἶπεν Ἀβεσσαλὼμ πρὸς
αὐτὸν, λέγων, κατὰ τὸ ῥῆμα τοῦτο
ἐλάλησεν Ἀχιτόφελ. εἰ ποιήσομεν
κατὰ τὸν λόγον αὐτοῦ; εἰ δὲ μὴ, σὺ
ζ. λάλησον. Καὶ εἶπε Χουσὶ πρὸς Ἀ-
Δ βεσσαλὼμ, οὐκ ἀγαθὴ αὕτη ἡ βουλὴ,
ἣν ἐβουλεύσατο Ἀχιτόφελ τὸ ἅπαξ
η. τοῦτο. Καὶ εἶπε Χουσὶ, σὺ οἶδας τὸν
πατέρα σου καὶ τοὺς ἄνδρας αὐτοῦ, ὅτι
δυνατοί εἰσι σφόδρα καὶ κατάπικροι
τῇ ψυχῇ αὐτῶν, ὡς ἄρκος ἠτεκνωμέ-
νη ἐν ἀγρῷ, καὶ ὡς σῦς (3) τραχεῖα
ἐν τῷ πεδίῳ· καὶ ὁ πατήρ σου ἀνὴρ πο-
E λεμιστὴς, καὶ οὐ μὴ καταλύσῃ τὸν λαόν.
θ. Ἰδοὺ γὰρ αὐτὸς νῦν κέκρυπται ἐν ἑνὶ
τῶν βουνῶν ἢ ἐν ἑνὶ τῶν τόπων. καὶ ἔσται
ἐν τῷ ἐπιπεσεῖν αὐτοῖς ἐν ἀρχῇ, καὶ
ἀκούσῃ ὁ ἀκούων, καὶ εἴπῃ, ἐγενήθη ἡ
θραῦσις ἐν τῷ λαῷ τῷ ὀπίσω Ἀβεσ-
ι. σαλώμ. Καίγε αὐτὸς υἱὸς δυνάμεως,
οὗ ἡ καρδία καθὼς ἡ καρδία τοῦ λέον-
Z τος, τηκομένη τακήσεται, ὅτι οἶδε
πᾶς Ἰσραὴλ, ὅτι δυνατὸς ὁ πατήρ
σου, καὶ υἱοὶ δυνάμεως πάντες οἱ με-
ια. τὰ αὐτοῦ. Οὕτω συμβουλεύων ἐγὼ
συνεβούλευσα, καὶ συναγόμενος συ-
ναχθήσεται πρὸς (4) σὲ πᾶς Ἰσραὴλ
ἀπὸ Δὰν (5) ἕως Βηρσαβεὲ, ὡς ἡ ἄμ-
μος ἡ ἐπὶ τῆς θαλάσσης εἰς πλῆθος·
καὶ τὸ πρόσωπόν σου πορευόμενον ὀπί-
ιβ. σω (6) αὐτῶν. Καὶ ἥξομεν πρὸς αὐ-
τὸν

(1) Δέ τινα τοῖς αὐτῶν ἐπιτηδεύμασι χαίροντα, γυμνοῦσι ταύτην, καὶ τὰ πρόσφορα τοῖς ἀκούουσι φθέγγονται. τοιοῦτος ἦν καὶ οὗτος. καὶ γὰρ, κτ. ἡ ἐν Χάλ. ἔκδ. (2) Ἀκούσωμεν. αἱ εἰρημ. ἐκδόσ. (3) Ὗς. αἱ αὐτ. (4) Ἐπί. αἱ αὐτ. (5) Καὶ ἕως. αἱ αὐτ. (6) Ἐν μέσῳ. αἱ αὐτ.

τὸν εἰς ἕνα τῶν τόπων ἓ ἐὰν εὕρωμεν
αὐτὸν ἐκεῖ, καὶ παρεμβαλῦμεν ἐπ'
αὐτὸν, ὡς πίπτει ἡ δρόσος ἐπὶ τὴν
γῆν, καὶ ὐχ ὑπολειψόμεθα ἐν αὐτῷ
καί γε (1) τοῖς ἀνδράσι τοῖς μετ' αὐτῦ
ιγ. καί γε ἕνα. Καὶ ἐὰν εἰς πόλιν συ-
ναχθῇ, κ) λήψονται (2) πᾶς Ἰσραὴλ
πρὸς τὴν πόλιν ἐκείνην χοινία, καὶ
συρῦμεν αὐτὴν ἕως εἰς τὸν χειμάῤῥυν,
ἕως μὴ καταλειφθῇ ἐκεῖ μηδὲ λίθος.

ιδ. Καὶ εἶπεν Ἀβεσαλὼμ, καὶ πᾶς
ἀνὴρ ὑὸς Ἰσραὴλ, ἀγαθὴ ἡ βυλὴ Χυ-
σὶ τῦ Ἀραχὶ ὑπὲρ τὴν βυλὴν Ἀχι-
τόφελ. καὶ Κύριος ἐνετείλατο δια-
σκεδάσαι τὴν βυλὴν Ἀχιτόφελ τὴν
ἀγαθὴν, ὅπως ἂν ἐπαγάγῃ Κύριος
ἐπὶ Ἀβεσαλὼμ τὰ κακὰ πάντα.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ἐδίδαξε δὲ ἡ θεία
Γραφὴ, ὡς ὁ Θεὸς συνέπραξε τῷ Χυσί.
» Κύριος γάρ φησιν ἐνετείλατο τῦ διασκεδά-
» σαι τὴν βυλὴν Ἀχιτόφελ τὴν ἀγαθὴν,
ἀντὶ τῦ, τὴν τῇ τυραννίδι συμφέρυσαν.
Ψαλ. 7. 14, τύτυ χάριν ἔψαλλεν ὁ Δαβίδ· ἰδὺ ὠδίνησεν
15. » ἀδικίαν, συνέλαβε πόνον, [καὶ ἔτεκεν ἀνο-
» μίαν· λάκκον ὤρυξε, κ) ἀνέσκαψεν αὐτὸν,
» κ) ἐμπεσεῖται εἰς βόθρον, ὃν εἰργάσατο.]

ιε. Καὶ εἶπε Χυσὶ ὁ τῦ Ἀραχὶ
πρὸς Σαδὼκ κ) Ἀβιάθαρ τὺς ἱερεῖς,
ὕτω καὶ ὕτω συνεβυλεύσατο Ἀχι-
τόφελ τῷ Ἀβεσαλὼμ κ) τοῖς πρεσ-
βυτέροις Ἰσραήλ· καὶ ὕτω καὶ ὕτω
ις. συνεβύλευσα ἐγώ. Καὶ νῦν ἀπο-
στείλατε ταχὺ καὶ ἀπαγγείλατε τῷ
Δαβὶδ, λέγοντες, μὴ αὐλισθῇς τὴν
νύκτα ἐν Ἀραβὼθ τῆς ἐρήμυ, καί γε
διαβαίνων σπεῦσον, μήποτε καταπί-
σῃ τὸν βασιλέα, κ) πάντα τὸν λαὸν
τὸν μετ' αὐτῦ.

ιζ. Καὶ Ἰωνάθαν καὶ Ἀχιμάας
εἱστήκεισαν ἐν τῇ πηγῇ Ρωγὴλ, καὶ
ἐπορεύθη ἡ παιδίσκη, καὶ ἀπήγγει-
λεν (3) αὐτοῖς, καὶ αὐτοὶ πορεύονται
καὶ ἀπαγγέλλυσι τῷ (4) Δαβίδ· ὅτι
ὐκ ἠδύναντο ὀφθῆναι τῦ εἰσελθεῖν
ιη. εἰς τὴν πόλιν. Καὶ εἶδεν αὐτὺς παι-
δάριον, καὶ ἀπήγγειλε τῷ Ἀβεσα-
λώμ. κ) ἐπορεύθησαν οἱ δύο ταχέως,
καὶ εἰσῆλθον εἰς οἶκον ἀνδρὸς ἐν Βαυ-
ρίμ· καὶ αὐτῷ λάκκος ἐν τῇ αὐλῇ,
καὶ κατέβησαν ἐκεῖ.

✱✱ ΙΩΣΗΠΟΥ. Οἱ ἀρχιερεῖς ἐξεπίτη-
δες τὺς ὑὺς ἔξω τῆς πόλεως κεκρυμμένυς
εἶχον, ὅπως διακομίσωσι πρὸς τὸν Δαυΐ-

Α δην τὰ πραττόμενα. πέμψαντες ὖν πιστὴν
θεραπαινίδα πρὸς αὐτὺς φέρυσαν τὰ βε-
βυλευμένα ὑπὸ Ἀβεσαλώμυ, προσέταξαν
μετὰ σπυδῆς ταῦτα Δαυΐδῃ σημαίνειν. οἱ
δ' ὐδὲν εἰς ἀναβολὰς καὶ μέλλησιν ὑπερέ-
θεντο. λαβόντες δὲ τὰς τῶν πατέρων ἐν-
τολὰς, εὐσεβεῖς ἅμα καὶ πιστοὶ γίνονται
διάκονοι· καὶ τῆς ὑπηρεσίας τὸ τάχος καὶ
τὴν ὀξύτητα κρίναντες ἄριστον εἶναι, ἠπεί-
γοντο συμβαλεῖν Δαυΐδῃ. γενομένυς δ' αὐ-
Β τὺς ἀπὸ σταδίων τῆς πόλεως δύο θεῶνταί
τινες ἱππεῖς, κ) διαβάλλυσι πρὸς τὸν Ἀβε-
σάλωμον. ὁ δ' εὐθὺς ἔπεμψε τὺς συλληψο-
μένυς. νοήσαντες δὲ τῦτο οἱ τῶν ἀρχιε-
ρέων παῖδες ἐκτραπέντες τῆς ὁδῦ, παρα-
χρῆμα εἰς κώμην τινὰ τῶν Ἱεροσολύμων
ὐκ ἄπωθεν ἑαυτὺς ἔδωκαν. Βαχυρὴς ἦν
ὄνομα τῇ κώμῃ.

ιθ. Καὶ ἔλαβεν ἡ γυνὴ, καὶ διε-
Γ πέτασε τὸ ἐπικάλυμμα ἐπὶ τὸ πρό-
σωπον τῦ λάκκυ, καὶ ἔψυξεν ἐπ' αὐ-
τῷ ἀραφὼθ, (5) καὶ ὐκ ἐγνώσθη ῥῆ-
κ. μα. Καὶ ἦλθον οἱ παῖδες Ἀβεσα-
λὼμ πρὸς τὴν γυναῖκα εἰς τὴν οἰ-
κίαν, καὶ εἶπον, πῦ Ἀχιμάας καὶ Ἰω-
νάθαν; καὶ εἶπεν αὐτοῖς ἡ γυνὴ, πα-
ρῆλθον μικρὸν τῦ ὕδατος. καὶ ἐζήτη-
σαν, καὶ ὐχ εὗρον, καὶ ἀνέστρεψαν εἰς
Δ Ἱερυσαλήμ.

» ✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἔψυχε παλάθας·
» Ἀκύλας, καὶ Σύμμαχος, πιστάνας.

✱✱ ΙΩΣΗΠΟΥ. Γυναικὸς ἐδεήθησάν
τινος κρύψαι, καὶ παρασχεῖν αὐτοῖς τὴν
ἀσφάλειαν. ἡ δὲ καθιμήσασα τὺς νεανίσ-
κυς εἰς φρέαρ, καὶ πλάκας ἄνωθεν ἐρίων
ἐπιβαλῦσα, ὡς ἧκον οἱ διώκοντες αὐτὺς,
κ) περὶ αὐτῶν ἀνέκριναν εἰ θεάσαιτο. ἰδεῖν
μὲν ὐκ ἠρνήσατο· μείναντας γὰρ παρ' αὐ-
Ε τῇ πάλιν ἀπελθεῖν.

κα. Ἐγένετο δὲ μετὰ τὸ ἀπελ-
θεῖν αὐτὺς, κ) ἀνέβησαν ἐκ τῦ λάκ-
κυ, καὶ ἐπορεύθησαν. καὶ ἀπήγγει-
λαν τῷ βασιλεῖ Δαβὶδ, καὶ λέγυ-
σιν αὐτῷ, ἀνάστητε καὶ διάβητε τα-
χέως τὸ ὕδωρ, ὅτι τάδε βεβύλευται
κβ. καθ' ὑμῶν Ἀχιτόφελ. Καὶ ἀνέστη
Ζ Δαβὶδ κ) πᾶς ὁ λαὸς μετ' αὐτῦ, καὶ
διέβησαν τὸν Ἰορδάνην ἕως τῦ φωτὸς
τὸ πρωΐ, ἕως ἑνὸς ὐκ ἔλαθεν ὃς ὐ
διέβη τὸν Ἰορδάνην.

κγ. Καὶ Ἀχιτόφελ εἶδεν ὅτι ὐκ
ἐγενήθη ἡ βυλὴ αὐτῦ, καὶ ἐπέσαξε
τὴν ὄνον αὐτῦ καὶ ἀνέστη καὶ ἀπῆλθεν
εἰς τὸν οἶκον αὐτῦ, (6) καὶ ἀπήγξα-
το, καὶ ἀπέθανε, καὶ ἐτάφη ἐν τῷ
Η τάφῳ τῦ πατρὸς αὐτῦ.

(1) Καὶ τοῖς. αἱ αὐτ. (2) Λήψεται. αἱ αὐτ. (3) Ἀνήγγειλαν. αἱ αὐτ.
(4) Τῷ βασιλεῖ Δαβ. αἱ αὐτ. (5) Παλάθας. ἡ ἐν Κομπλ. ἔκδ.
(6) Εἰς τὴν πόλιν αὐτῦ· καὶ ἐνετείλατο τῷ οἴκῳ αὐτῦ· καὶ ἀπήγξ. αἱ αὐτ.

ΑΔΗΛΟΥ. Ὁ μέντοι Ἀχιτόφελ παρευδοκιμηθεὶς, καὶ τοῦ σκοποῦ ἐκπεσὼν, καὶ μὴ οἷός τε ὢν φέρειν τὸν φθόνον, ἀγχόνῃ ἑαυτὸν παραδίδωσι. A

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Δεδιὼς γὰρ μὴ συναγάγῃ πάλιν αὐτοὺς ἡ φύσις, εἶτα τῶν καταλλαγῶν γενομένων, δίκας ἀπαιτηθῇ προδοσίας, τὴν ἐσχάτην ἐκείνην παρανομίαν ὑπέθετο, ὥστε μηδεμίαν παρεῖσδυσιν γενέσθαι καταλλαγῶν. ἔτισε [δὲ] παραυτίκα ποινὴν τῆς ἀνοσίας καὶ πονηρᾶς ἐκείνης εἰσηγήσεως. [καὶ] ἐπειδὴ κατὰ τοῦ πατρὸς ὥπλισε τὸν υἱὸν, αὐτὸς πάλιν καθ' ἑαυτοῦ τὰς χεῖρας καθώπλισε· καὶ ταύταις ἐμβαλὼν τῷ τραχήλῳ τὸν βρόχον, τρισάθλιον ὑπέμεινε τέλος. ἱκανὸς γὰρ ὢν προϊδεῖν τῶν πραττομένων τὸ τέλος, μὴ δεχθείσης τῆς εἰσηγήσεως, ἐν τῷ Δαβὶδ ἐσομένην τὴν νίκην συνεῖδε. δείσας οὖν τὴν προδοσίαν, αὐτοχειρίᾳ τὴν τιμωρίαν ἐδέξατο, βρόχῳ τὸ ζῆν ἀπορραγείς.

κδ. Καὶ Δαβὶδ παρεγένετο εἰς Μαναΐμ· καὶ Ἀβεσσαλὼμ διέβη τὸν Ἰορδάνην καὶ αὐτὸς καὶ πᾶς ἀνὴρ Ἰσραὴλ μετ' αὐτοῦ.

∗ ΠΡΟΚΟΠΙΟΥ. Μαναΐμ· Θεοδοτίων, παρεμβολάς.

κε. Καὶ τὸν Ἀμεσσαῒ κατέστησεν Ἀβεσσαλὼμ ἀντὶ Ἰωὰβ ἐπὶ τῆς δυνάμεως, καὶ Ἀμεσσαῒ υἱὸς ἀνδρὸς, καὶ ὄνομα αὐτῷ Ἰέθερ ὁ Ἰεζραηλίτης· οὗτος εἰσῆλθε πρὸς Ἀβιγαίαν θυγατέρα Ἰεσσαὶ ἀδελφὴν Σαρουΐα μητρὸς Ἰωάβ.

κς. Καὶ παρενέβαλεν Ἀβεσσαλὼμ, καὶ πᾶς ἀνὴρ Ἰσραὴλ εἰς τὴν γῆν Γαλαάδ.

∗∗ ΙΩΣΗΠΟΥ. Ἀβεσάλωμος ἀθροίσας μεγάλην στρατιὰν τῶν Ἑβραίων ἐπὶ τὸν πατέρα, καὶ διαβὰς τὸν Ἰορδάνην ποταμὸν, οὐ πόῤῥω κατέζευξε τῶν παρεμβολῶν ἐν τῇ Γαλαδιτῶν χώρᾳ, καταστήσας στρατηγὸν πάσης δυνάμεως Ἀμεσσὰν εἰς τὴν B Ἰωάβου τάξιν τοῦ συγγενοῦς αὐτοῦ. πατρὸς μὲν γὰρ ἦν Ἰεθάρσου, μητρὸς δ' Ἀβιγαίας· αὕτη δὲ καὶ Σαρουΐα ἡ Ἰωάβου μήτηρ ἀδελφαὶ ἦσαν Δαβίδου.

κζ. Καὶ ἐγένετο ὅτε εἰσῆλθε Δαβὶδ εἰς Μαναΐμ, καὶ Οὐεσβὶ υἱὸς Νάας ἐκ Ῥαββὰθ υἱῶν Ἀμμὼν, καὶ Μαχεὶρ υἱὸς Ἀμιλιὴλ (1) ὁ ἐκ Λοδαβὰρ, καὶ Βερζελλὶ ὁ Γαλααδίτης ὁ ἐκ Ῥογελ-
κη. λὶμ, Ἤνεγκαν δέκα κοίτας ἀμφι-
Γ τάπους, καὶ λέβητας δέκα, καὶ σκεύη κεράμου, καὶ πυροὺς, καὶ κριθὰς, καὶ ἄλευρον, καὶ ἄλφιτον, καὶ κύαμον, καὶ φακὸν,

κθ. Καὶ μέλι, καὶ βούτυρον, καὶ πρόβατα, καὶ σαπφὼθ (2) βοῶν. καὶ προσήνεγκαν τῷ Δαβὶδ, καὶ τῷ λαῷ τῷ μετ' αὐτοῦ φαγεῖν· ὅτι ἦν ὁ λαὸς Δ πεινῶν καὶ ἐκλελυμένος καὶ διψῶν ἐν τῇ ἐρήμῳ.

∗ ΠΡΟΚΟΠΙΟΥ. Τὸ, σαπφθὼν βοῶν· Θεοδοτίων, Γαλαθινὰ μοσχάρια.

ΚΕΦ. ΙΗ.

α. Καὶ ἐπεσκέψατο Δαβὶδ πάντα τὸν λαὸν τὸν μεθ' ἑαυτοῦ, καὶ κατέστησεν ἐπ' αὐ-
β. τῶν χιλιάρχους καὶ ἑκατοντάρχους. Καὶ ἀπέστειλε Δαβὶδ τὸν λαὸν τὸ τρίτον ἐν χειρὶ Ἰωὰβ, καὶ τὸ τρίτον ἐν χειρὶ Ἀβεσσὰ υἱοῦ Σαρουΐα ἀδελφοῦ Ἰωὰβ, καὶ τὸ τρίτον ἐν χειρὶ Ἐθθὶ τοῦ Γετθαίου. καὶ εἶπε Δαβὶδ πρὸς τὸν λαὸν, ἐξελθὼν ἐξελεύσομαι καί γε ἐγὼ μεθ' ὑμῶν.

γ. Καὶ εἶπαν, οὐκ ἐξελεύσῃ, ὅτι ἐὰν φυγῇ φύγωμεν, οὐ θήσουσιν ἐφ' ἡμᾶς καρδίαν, καὶ ἐὰν ἀποθάνωσι (3) τὸ ἥμισυ ἡμῶν, οὐ θήσουσιν (4) ἐφ' ἡμᾶς καρδίαν, ὅτι σὺ ὡς ἡμεῖς δέκα χιλιάδες· καὶ νῦν ἀγαθὸν, ὅτι ἔσῃ ἡμῖν ἐν τῇ πόλῃ εἰς βοήθειαν. (5)

» ∗ ΠΡΟΚΟΠΙΟΥ. Οὐ στήσεται ἐν ἡμῖν E καρδία; κατ' ἐρώτησιν. ἐὰν ζῇς, φησὶν, οὐκ ἐσόμεθα πάντες εὔψυχοι; εἰ δὲ κατὰ ἀπόφασιν· ἐὰν ἀποθάνῃς δηλονότι, ἀθυμήσομεν. καὶ ἐὰν ἐκ μέρους, φησὶν, ἀποθάνωμεν, οὐχ ἱκανοὶ πρὸς παραμυθίαν οἱ σεσωσμένοι.

∗∗ ΙΩΣΗΠΟΥ. Βουλόμενον συνεκστρατεύειν αὐτὸν οὐκ εἴασαν οἱ φίλοι, γνώμῃ » καταχόντες σοφωτάτῃ. νικηθέντες μὲν » γὰρ σὺν αὐτῷ πᾶσαν ἀποβαλεῖν ἐλπίδα Z» χρηστὴν, ἔφασκον· ἂν δὲ ἡττηθέντες ἐνὶ » μέρει τῆς δυνάμεως τῷ λοιπῷ πρὸς αὐτὸν » φύγωσιν, ἀμείνονα παρασκευάσειν αὐτὸν » ἰσχύν. ὑπονοήσειν δὲ καὶ τοὺς πολεμίους εἰκὸς » εἶναι ἄλλο μετ' αὐτοῦ στράτευμα εἶναι.

» ∗ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, (6) καὶ νῦν » ἀφαιρεθήσεται ἐξ ἡμῶν ἡ γῆ δέκα χιλιάσι; Κοινωνῆσαι τῆς συμπλοκῆς βουληθέντα τὸν βασιλέα διεκώλυσεν ὁ στρατηγὸς, καὶ δεδιὼς μήτι πάθῃ· εἰκὸς γὰρ ἦν κατ' αὐτοῦ

(1) Ἀμιήλ. αἱ αὐτ. (2) Σαφώθ. αἱ αὐτ. (3) Ἀποθάνωμεν. αἱ αὐτ.
(4) Στήσεται ἐν ἡμῖν καρδία. ἡ ἐν Κομπλ. ἔκδ. (5) Βοήθεια τοῦ βοηθεῖν. αἱ αὐτ.
(6) Καὶ νῦν ἀφαιρεθ. κτ. τοῦ Θεοδοτίωνος εἶναί φησι τὴν ἔκδοσιν ταύτην ὁ Μοντφαυκόν. ἐν ταῖς σημειώσ. τῆς κατὰ τὴν Χάλ. ἐκδόσ.

A αὐτοῦ μόνου χωρῆσαι τοὺς δυσμενεῖς· καὶ
ἀγωνιῶν μὴ νικήσας οἰκτείρῃ τὸν τύραννον.
ἔφασαν τοίνυν, ὅτι ἐὰν ἡττηθέντες ἀπο-
δράσωμεν, τὴν σὴν ζωὴν ἔχομεν ἅπασαν (1)
παραψυχήν. ἐὰν δέ τι σὺ πάθῃς, χωρήσει
κατὰ πάντων ἡ συμφορά. σὺ γὰρ μόνος
μυρίαις μυριάσιν ὑπερέχεις πάντων ἡμῶν.
ταύτην γὰρ τὴν ἔννοιαν ὁ Σύμμαχος τέ-
θεικε· καὶ σὺ ὡς ἡμεῖς δέκα χιλιάσι.

δ. Καὶ εἶπεν αὐτοῖς ὁ βασιλεὺς,
B τὸ ἀρεστὸν ἐνώπιον ὑμῶν ποιήσω. καὶ
ἔστη ὁ βασιλεὺς ἀνὰ χεῖρας (2) τῆς
πύλης· καὶ πᾶς ὁ λαὸς ἐξεπορεύετο
εἰς ἑκατοντάδας καὶ εἰς χιλιάδας.

ε. Καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ
Ἰωὰβ καὶ τῷ Ἀβεσσὰ καὶ τῷ Ἐθθὶ,
λέγων, Φείσασθέ μου τοῦ παιδαρίου τοῦ
Ἀβεσσαλώμ. καὶ πᾶς ὁ λαὸς ἤκουσεν
Γ ἐντελλομένου τοῦ βασιλέως πᾶσι τοῖς
ἄρχουσιν ὑπὲρ Ἀβεσσαλώμ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τοῖς τε ἐξιοῦσι
στρατηγοῖς ἐπέσκηπτεν ὑπὲρ τοῦ τυράννου
πολλὰ, καὶ ἀνελεῖν αὐτὸν ἐπειγομένους ἐπεῖ-
χε, λέγων· Φείσασθε τοῦ παιδαρίου Ἀβεσ-
σαλώμ· καὶ πεσόντα ἐπένθει, καὶ ἀνεκα-
λεῖτο τὸν ἐχθρὸν μετὰ οἰμωγῶν καὶ δα-
κρύων πικρῶν.

Δ ς. Καὶ ἐξῆλθε πᾶς ὁ λαὸς εἰς τὸν
δρυμὸν ἐξ ἐναντίας Ἰσραήλ. καὶ ἐγέ-
νετο ὁ πόλεμος ἐν τῷ δρυμῷ Ἐφραίμ.
ζ. Καὶ ἔπταισεν ἐκεῖ ὁ λαὸς Ἰσραὴλ ἐνώ-
πιον τῶν παίδων Δαβὶδ, καὶ ἐγένετο
ἡ θραῦσις μεγάλη ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
εἴκοσι χιλιάδες ἀνδρῶν.

η. Καὶ ἐγένετο ἐκεῖ ὁ πόλεμος διε-
E σπαρμένος ἐπὶ πρόσωπον ὅλου τοῦ δρυ-
μοῦ· καὶ ἐπλεόνασεν ὁ δρυμὸς τοῦ κα-
ταφαγεῖν ἐκ τοῦ λαοῦ, ὑπὲρ οὓς κατέ-
φαγεν ἐν τῷ λαῷ ἡ μάχαιρα ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ.

** ΝΕΙΛΟΥ. Ἐν δρυμῷ καταληφθεὶς
ὑπὸ τοῦ πολεμίου υἱοῦ Ἀβεσσαλὼμ, ἐπεὶ μὴ
εἶχε στρατὸν ἀναλογοῦντα τῇ ἐπιτιθεμένῃ
δυνάμει· ὀλιγοστὸς γὰρ πάντη πρὸς μάχην
Z ἠναγκάζετο συμμίξαι τῷ ἔθνει· αὐτοῖς
τοῖς ξύλοις τοῦ ἄλσους κατὰ τῶν παρανό-
μως ἐπιστρατευσάντων συμμάχοις ἐχρήσα-
το, ἕκαστον φυτὸν ὁπλισάμενος πρὸς ἄμυ-
ναν τῶν ἐπελθόντων τῆς ἀγωνιζομένης δυ-
νάμεως· καὶ τοῦτο δι' αὐτῶν ἐργασάμενος,
ὅπερ ἂν εἰργάσατο πλῆθος ἐμπείρου πολε-
μίου χειρός. ἐπλεόνασε γάρ φησι καταφα-
γεῖν ὁ δρυμὸς, ὑπὲρ οὓς κατέφαγεν ἡ μά-
χαιρα. μία μὲν γὰρ μετὰ τὴν τροπὴν τοῦ
H πολέμου φεύγοντα δρῦς ἀνήρπασε τὸν πα-
τραλοίαν δραξαμένη τῆς κόμης, καὶ τῆς
φερούσης αὐτὸν καθελοῦσα ἡμιόνου, καθά-
A περ στρατηγὸς νίκης σύμβολον κατεῖχεν
αἰχμάλωτον μείρακα, ἐπὶ περιόπτου θριαμ-
βεύουσα τῆς ἀλόγου τόλμης τὸν ἀλάστορα.

θ. Καὶ συνήντησεν Ἀβεσσαλὼμ
ἐνώπιον τῶν παίδων Δαβίδ· καὶ Ἀβεσ-
σαλὼμ ἐπιβεβηκὼς ἐπὶ τοῦ ἡμιόνου
αὐτοῦ, καὶ εἰσῆλθεν ἡ (3) ἡμίονος ὑπὸ
δάσους (4) τῆς δρυὸς τῆς μεγάλης, καὶ
περιεπλάκη ἡ κεφαλὴ αὐτοῦ ἐν τῇ
B δρυῒ, καὶ ἐκρεμάσθη ἀναμέσον τῆς γῆς
καὶ ἀναμέσον τοῦ οὐρανοῦ, καὶ ἡ ἡμίονος
ὑποκάτω αὐτοῦ παρῆλθε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ δίκαιος κρι-
τὴς τῷ μὲν Δαβὶδ ταύτας ἐπενεχθῆναι
τὰς συμφορὰς συνεχώρησε, τὴν γεγενη-
μένην παρανομίαν ἰώμενος· ἐκεῖνον δὲ τὸν
ἀλιτήριον δίκας ἀξίας εἰσέπραξεν. ἐλαύ-
νοντι γὰρ ἐν τῷ δρυμῷ παρεσκεύασεν ὑπὸ
Γ φυτὸν εἰσελθεῖν, ὃ δύω κλάδους εἶχεν ἐπι-
κλινεῖς ἐγκαρσίως βεβλαστηκότας, οὐ πολὺ
διεστῶτας ἀλλήλων. ἐκεῖθεν παριούσης τῆς
ἡμιόνου, ἐνεπάρη μὲν μεταξὺ τῶν κλάδων
ἡ κεφαλὴ, ἐξηρτήθη δὲ ἅπας. διήλασε δὲ
τὴν ἡμίονον τῶν φύλλων ὁ κτύπος. μεμέ-
νηκε δὲ ἐκεῖνος ἐξηρτημένος, ἥδιστον θέα-
μα τοῖς εὐσεβέσι γενόμενος, καὶ τῆς πάν-
τα πρυτανευούσης προνοίας τὴν ψῆφον
ἐπιδεικνύς.

Δ ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὥσπερ τὰ ἐν
τοῖς θεάτροις θηρία ἄλλοις μὲν ὑπέρχον-
ται, ὑπὸ ἄλλων δὲ φονεύονται· οὕτω καὶ ὁ
Ἀβεσσαλὼμ τῷ Δαβὶδ ἐπελθὼν, ὑπὸ τοῦ
Ἰωὰβ ἐφονεύετο, καὶ ἐπὶ δένδρου ὑψηλοῦ
ἐκρέματο ὁ κατὰ τοῦ πατρὸς ὑψούμενος,
κατείχετο δὲ ὑπὸ φυτοῦ ὁ τῇ ῥίζῃ μαχόμε-
νος, καὶ ὁ κλάδος ὑπὸ τοῦ κλάδου ἐδέδετο,
τῆς πατρικῆς διαθέσεως ἀποκλώμενος, καὶ
ἀπὸ τῆς κεφαλῆς ἐκρατεῖτο ὁ τὴν κεφα-
E λὴν τοῦ γεννήσαντος λαβεῖν ἐπειγόμενος,
καὶ ὡς καρπὸς ἀπὸ τοῦ φυτοῦ ἐκρέματο ὁ
τὸν γεωργὸν τῆς φύσεως τεμεῖν βουλόμε-
νος, καὶ εἰς τὴν καρδίαν ἐτοξεύετο, ἐκεῖ
φονευόμενος, ὅπου τὸν φόνον ἐμελέτησε.
καὶ ἦν ἰδεῖν τότε παράδοξον θέαμα· ὡς
γὰρ ἐπὶ τὴν ἡμίονον ἐλαύνων, ἀπὸ τῆς κό-
μης τῶν τριχῶν, ἀπὸ τῆς κόμης τοῦ δένδρου
κατείχετο, καὶ ἡ κόμη τῆς κόμης κατεῖχε
τὸν τύραννον, ἐκεῖ αὐτὸν κονδυλίζουσα,
Z ὅπου τὸ πατρικὸν διάδημα φορέσαι ἐσπούδα-
ζεν. ἦν οὖν θεάσασθαι μέσον οὐρανοῦ καὶ γῆς
Ἀβεσσαλὼμ κρεμάμενον. ὁ οὐρανὸς αὐτὸν
οὐκ ἐδέχετο. εἰ γὰρ τὸν πρῶτον ἀντάρτην
ἔῤῥιψε τὸν Διάβολον, πῶς ἂν τὸν δεύτε-
ρον ἀντάρτην ἐδέξατο; ἡ γῆ αὐτὸν ἀπε-
στρέφετο, μὴ φέρουσα μιαίνεσθαι πατραλοίου
βήμασιν. εἰ γὰρ τὸν Δαθὰν κατὰ Μωσέως
λαλήσαντα κατέπιε, καὶ τὸ στόμα αὐτῆς
ἤνοιξε κατὰ τοῦ κακῶς τὸ στόμα ἀνοίξαν-
H τος, πῶς εἶχε βαστάσαι πόδας κατὰ γο-
νέως τρέχοντας; ὡς οὖν ἐπὶ τοῦ δένδρου ὑψη-
λὸς ἐκρέματο, ἐπῆλθεν αὐτῷ Ἰωὰβ ὁ ἀρ-
χιστρά-

(1) Ἀποχρῶσαν παραψ. ἡ αὐτ. (2) Χεῖρα. αἱ αὐτ. (3) Ὁ. αἱ αὐτ. (4) Τὸ δάσος. αἱ αὐτ.

χιστράτηγος, καὶ τρεῖς ἀκίδας εἰς τὴν καρ-
δίαν τοῦ ἀκαρδίου ἐνέπηξεν, ἐκεῖ αὐτὸν πλήτ-
των, ὅπου τῆς ἀνομίας ἡ θήκη. καὶ ὡς ὑψη-
λὸς ἐπὶ τοῦ δένδρου ἐκρέματο, καλὸν ἐπι-
Ψαλ. 36. 35. τάφιον αὐτῷ ὁ Δαβὶδ ὑπέψαλλεν· εἶδον
» τὸν ἀσεβῆ ὑπερυψούμενον καὶ ἐπαιρόμενον,
» ὡς τὰς κέδρους τοῦ λιβάνου, καὶ παρῆλθον,
» καὶ ἰδοὺ οὐκ ἦν.

** ΜΑΞΙΜΟΥ. Ἡ Ἀβεσσαλὼμ ἡμίονος ἐπὶ ψόγῳ λαμβάνεται, ἐφ᾽ ἧς καθίσας ἐξῆλθε τὸν θάνατον ἐπιζητῶν τοῦ γεννήσαντος, δηλοῦντος ἐν τούτοις τοῦ πνεύματος, ὡς ὁ κενοδοξίᾳ τινὶ δι᾽ ἀρετὴν ἢ γνῶσιν τρωθεὶς, τὴν κόμην ματαίως διατρέφει τῆς οἰήσεως, ἐπιτετεχνασμένην τε καὶ μικτὴν, ὥσπερ ἡμίονον, πρὸς ἀπάτην τῶν θεωμένων τὴν ἠθικὴν ἐπιδείκνυται πολιτείαν· ἐφ᾽ ἧς αἰωρούμενος οἴεται τὸν γεννήσαντα διὰ τῆς διδασκαλίας τοῦ λόγου πατέρα χειρώσασθαι, πᾶσαν βουλόμενος τὴν τῷ πατρὶ προσοῦσαν θεόθεν δόξαν τῆς ἀρετῆς καὶ τῆς γνώσεως, ὡς ὑπερήφανος, εἰς ἑαυτὸν τυραννικῶς ἐφελκύσασθαι. ἀλλ᾽ ὁ τοιοῦτος ἐξελθὼν εἰς τὸ πλάτος τῆς ἐν πνεύματι φυσικῆς θεωρίας πρὸς τὸν ὑπὲρ ἀληθείας λογικὸν πόλεμον, διὰ τὴν ζῶσαν αἴσθησιν τῷ δάσει τῆς δρυὸς τῶν ὑλικῶν θεαμάτων, κρατεῖται τῆς κόμης, αὐτὴν ἔχων δεσμοῦσαν τὸν νοῦν πρὸς θάνατον τὴν διάκονον οἴησιν, τὴν κρεμοῦσαν αὐτὸν ἀναμέσον τοῦ οὐρανοῦ καὶ ἀναμέσον τῆς γῆς. οὐ γὰρ ἔχει γνῶσιν ὁ κενόδοξος, καθάπερ οὐρανὸν ἀνέλκουσαν αὐτὸν τῆς καλαισπώσης οἰήσεως· οὐδ᾽ αὖ πάλιν γῆν, τὴν ἐν τῇ ταπεινώσει λέγω βάσιν τῆς πράξεως, καθέλκουσαν αὐτὸν τῆς ἀνασπώσης αὐτὸν φυσιώσεως· ὃν πενθεῖ καὶ θανόντα διὰ φιλανθρωπίαν, ὡς φιλόθεος, ὁ γεννήσας διδάσκαλος, μιμήσει Θεοῦ, μὴ βουλόμενος τὸν θάνατον τοῦ ἁμαρτωλοῦ, ὡς τὸ ἐπιστρέψαι καὶ ζῆν αὐτόν.

ι. Καὶ εἶδεν ἀνὴρ εἷς, καὶ ἀπήγγειλε
τῷ Ἰωὰβ, καὶ εἶπεν, ἰδοὺ ἑώρακα τὸν
Ἀβεσσαλὼμ κρεμάμενον ἐν τῇ δρυΐ.
ια. Καὶ εἶπεν Ἰωὰβ τῷ ἀνδρὶ τῷ ἀπαγ-
γείλαντι αὐτῷ, καὶ ἰδοὺ ἑώρακας· καὶ
τί ὅτι οὐκ ἐπάταξας αὐτὸν ἐκεῖ εἰς
τὴν γῆν, καὶ ἐγὼ ἔδωκα ἄν σοι πεν-
τήκοντα σίκλους ἀργυρίου καὶ παρα-
ιβ. ζώνην μίαν; Εἶπε δὲ ἀνὴρ τῷ Ἰωὰβ,
καὶ ἐὰν σὺ παριστᾷς ἐπὶ τὰς χεῖράς
μου χιλίους σίκλους ἀργυρίου, οὐ μὴ ἐπι-
βάλω (1) χεῖρά μου ἐπὶ τὸν υἱὸν τοῦ βα-
σιλέως, ὅτι ἐν τοῖς ὠσὶν ἡμῶν ἐνετεί-
λατο ὁ βασιλεὺς σοὶ καὶ τῷ Ἀβεσσᾷ
καὶ τῷ Ἐθθὶ, λέγων, φυλάξατέ
μοι τὸ παιδάριον τὸν Ἀβεσσαλὼμ,
ιγ. Μὴ ποιῆσαι ἐν τῇ ψυχῇ αὐτοῦ ἄδικον.
καὶ πᾶς ὁ λόγος οὐ λήσεται ἀπὸ τοῦ
βασιλέως, καὶ σὺ στήσῃ ἐξ ἐναντίας.
ιδ. Καὶ εἶπεν Ἰωὰβ, τοῦτο ἐγὼ ἄρ-
ξομαι, οὐχ οὕτω μενῶ ἐνώπιόν σου. καὶ
ἔλαβεν Ἰωὰβ τρία βέλη ἐν τῇ χειρὶ
αὐτοῦ, καὶ ἔπηξεν (2) αὐτὰ ἐν τῇ καρ-
δίᾳ Ἀβεσσαλὼμ, ἔτι αὐτοῦ ζῶντος ἐν
ιε. τῇ καρδίᾳ τῆς δρυός. Καὶ ἐκύκλω-
B σαν δέκα παιδάρια αἴροντα τὰ σκεύη
Ἰωὰβ, καὶ ἐπάταξαν τὸν Ἀβεσσα-
ις. λὼμ, καὶ ἐθανάτωσαν αὐτόν. Καὶ
ἐσάλπισεν Ἰωὰβ ἐν κερατίνῃ, καὶ ἀπέ-
στρεψεν ὁ λαὸς τοῦ μὴ διώκειν ὀπίσω
Ἰσραὴλ, ὅτι ἐφείσατο (3) Ἰωὰβ τοῦ
ιζ. λαοῦ. Καὶ ἔλαβεν Ἰωὰβ τὸν Ἀβεσ-
σαλὼμ, καὶ ἔῤῥιψεν αὐτὸν εἰς χάσμα
Γ μέγα ἐν τῷ δρυμῷ, καὶ ἐπέστησεν ἐπ᾽
αὐτὸν σωρὸν λίθων μέγαν σφόδρα.
καὶ πᾶς Ἰσραὴλ ἔφυγον ἀνὴρ εἰς τὸ
σκήνωμα αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τοῦτό τις τῶν ἄλλων στρατιωτῶν θεασάμενος, οὐκ ἐτόλμα πληγὴν τῷ διὰ τῆς κόμης πεδηθέντι ἐπενεγκεῖν. ἐδεδίει γὰρ τοῦ βασιλέως τὸν νόμον. ὁ δὲ στρατηγὸς, τὸν πατέρα τῇ εὐσπλαγχνίᾳ
Δ κεχρῆσθαι γινώσκων (4) καταλιπὼν, ἐν τῇ μυσαρωτάτῃ καρδίᾳ τὰ βέλη κατέπηξεν. εἶτα καθελὼν, [καὶ] εἰς τὴν παρακειμένην φάραγγα ῥίψας, τὸν λαὸν ἅπαντα καταλεῦσαι προσέταξεν, ὥστε γενέσθαι αὐτῷ τάφον τὴν τιμωρίαν.

* ΠΡΟΚΟΠΙΟΥ. Οὐκ ἔστι δὲ αἰτιάσασθαι (5) τὸν Ἰωὰβ παρακούσαντα τοῦ Δαβὶδ εἰπόντος φείσασθαι τοῦ μειρακίου, καὶ ἀνελόντα τὸν Ἀβεσσαλώμ. αὐτὸς γὰρ ὁ
E Θεὸς προλαβὼν ἐκρέμασεν (6) αὐτὸν ἐν τοῖς τῆς δρυὸς κλάδοις, οἷα κακοῦργον βασανιζόμενον. (7) ὅπερ θεασάμενος Ἰωὰβ, τὸν μὲν πατέρα κεχρῆσθαι τῇ φιλανθρωπίᾳ κατέλιπεν, αὐτὸς δὲ ἔχρησε τῷ Θεῷ τὴν κατὰ τοῦ Ἀβεσσαλὼμ δεξιὰν, καὶ ἐπὶ τῇ μυσαρωτάτῃ καρδίᾳ τὰ βέλη κατέπηξε.

ιη. Καὶ Ἀβεσσαλὼμ δὲ ἔτι ζῶν
ἔλαβε καὶ ἔστησεν ἑαυτῷ στήλην ἐν ᾗ
Z ἐλήφθη, καὶ ἐστήλωσεν αὐτὴν λα-
βεῖν τὴν στήλην τὴν ἐν τῇ κοιλάδι τοῦ
βασιλέως, ὅτι εἶπεν, ὅτι οὐκ ἔστιν αὐ-
τῷ υἱὸς ἕνεκα τοῦ ἀναμνῆσαι τὸ ὄνομα
αὐτοῦ. καὶ ἐκάλεσε τὴν στήλην ἐπὶ
τῷ ὀνόματι αὐτοῦ, καὶ ἐκάλεσεν αὐ-
τὴν, Χεὶρ Ἀβεσσαλὼμ ἕως τῆς ἡμέ-
ρας ταύτης.

ΙΩΣΗ-

(1) Τὴν χεῖρ. αἱ αὐτ. (2) Ἐνέπηξεν. αἱ αὐτ. (3) Ἐφείδετο. αἱ αὐτ.

(4) Τὸ, γινώσκων, ἐν τῇ κατὰ τὴν Χάλ. ἐκδόσ. οὐ κεῖται. ἔστι δὲ περιττὸν, καὶ εἰ μὴ τὸ, καὶ, προστεθῇ, ὅλως ἀσυύτακτον.

(5) Οὐκ αἰτιατέον. ὁ τῆς Αὐγ. κώδ. (6) Ξύλῳ αὐτὸν ἀνήρτησεν. ὁ αὐτ.

(7) Τοῦτο τῶν τὶς στρατιωτῶν ἰδὼν, οὐκ ἐτόλμα πληγὴν τῷ διὰ τῆς κόμης πεδηθέντι ἐπαγαγεῖν. ᾔδει γὰρ τὸν τοῦ βασιλέως νόμον. Ἰωὰβ δὲ, κτ. ὁ αὐτ.

** ΙΩΣΗΠΟΥ. Ἔστησεν Ἀβεσάλωμος ἐν τῇ κοιλάδι τῇ βασιλικῇ στήλην λίθου μαρμαρίνου, δύω σταδίους ἀπέχουσαν Ἱεροσολύμων, ἣν προσηγόρευσεν ἰδίαν χεῖρα, λέγων· ὡς καὶ τῶν τέκνων αὐτῷ διαφθαρέντων, ἐν τῇ στήλῃ μενεῖ τὸ ὄνομα. τέκνα γὰρ ἦσαν αὐτῷ τρία μὲν ἄῤῥενα, θυγάτηρ δὲ μία Θαμάρα τοὔνομα, ὡς προειρήκαμεν. συνοικησάσης δ' αὐτῆς τῷ Δαυίδου υἱωνῷ Ῥοβοάμῳ, γίνεται παῖς ὁ διαδεξάμενος τὴν βασιλείαν Ἀβίας.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε ἄνω μὲν (1) ὁ συγγραφεὺς εἴρηκεν, ὅτι τρεῖς ἔσχεν υἱοὺς Ἀβεσσαλώμ, μίαν δὲ θυγατέρα· νῦν δὲ τοὐναντίον δεδήλωκεν, ὅτι στήλην ᾠκοδόμησεν, ὡς υἱὸν οὐκ ἔχων, τὴν διὰ ταύτης αὐτῷ μηχανώμενος μνήμην; Ἑκάτερον ἀληθές. εἰκὸς γὰρ αὐτὸν καὶ παιδοποιῆσαι, καὶ ἀποβαλεῖν τοὺς παῖδας. Ἰώσηπος δὲ ἔφη, τοῦτο αὐτὸν δεδρακέναι, ὡς τῶν παίδων μὲν ἐπὶ πολὺ διαρκεῖν οὐ δυναμένων, τῆς δὲ οἰκοδομίας μᾶλλον φυλαττούσης τὴν μνήμην.

ιθ. Καὶ Ἀχιμάας υἱὸς Σαδὼκ εἶπε
πρὸς Ἰωὰβ, δράμω δὴ καὶ εὐαγγε-
λιῶ τῷ βασιλεῖ, ὅτι ἔκρινεν αὐτῷ Κύ-
κ. ριος ἐκ χειρὸς ἐχθρῶν αὐτοῦ. Καὶ εἶπεν
αὐτῷ Ἰωὰβ, οὐκ ἀνὴρ εὐαγγελίας σὺ
ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ εὐαγγελιεῖ
ἐν ἡμέρᾳ ἄλλῃ· ἐν δὲ τῇ ἡμέρᾳ ταύτῃ
οὐκ εὐαγγελιεῖ, οὗ ἕνεκεν ὁ υἱὸς τοῦ βα-
κα. σιλέως τέθνηκε. Καὶ εἶπεν Ἰωὰβ τῷ
Χουσὶ, βαδίσας ἀπάγγειλον τῷ βα-
σιλεῖ ὅσα εἶδες. καὶ προσεκύνησε Χου-
κβ. σὶ τῷ Ἰωὰβ, καὶ ἐξῆλθε. Καὶ προ-
σέθετο ἔτι Ἀχιμάας υἱὸς Σαδὼκ, καὶ
εἶπε πρὸς Ἰωὰβ, καὶ ἔστω, ὅτι δρά-
μω δὴ καί γε ἐγὼ ὀπίσω τοῦ Χουσί. καὶ
εἶπεν Ἰωὰβ, ἵνα τί σὺ τοῦτο τρέχεις
υἱέ μου; δεῦρο, οὐκ ἔστι σοι εὐαγγέλια
κγ. εἰς ὠφέλειαν πορευομένῳ. Καὶ εἶπεν
Ἀχιμάας, τί γὰρ ἐὰν δράμω; καὶ
εἶπεν Ἰωὰβ, δράμε. καὶ ἔδραμεν Ἀχι-
μάας τὴν ὁδὸν τοῦ Κεχρὰ, (2) καὶ ὑπε-
κδ. ρέβη τὸν Χουσί. Καὶ Δαβὶδ ἐκάθη-
το ἀναμέσον τῶν δύω πυλῶν. καὶ ἐπο-
ρεύθη ὁ σκοπὸς εἰς τὸ δῶμα τῆς πύ-
λης πρὸς τὸ τεῖχος, καὶ ἐπῆρε τοὺς ὀφ-
θαλμοὺς αὐτοῦ, καὶ εἶδε· καὶ ἰδοὺ ἀνὴρ
κε. τρέχων μόνος ἐνώπιον αὐτοῦ. Καὶ ἀνε-
βόησεν ὁ σκοπὸς καὶ ἀπήγγειλε τῷ
βασιλεῖ. καὶ εἶπεν ὁ βασιλεὺς, εἰ μό-
νος ἐστὶν, εὐαγγέλια ἐν τῷ στόματι αὐ-
τοῦ. καὶ ἐπορεύετο πορευόμενος καὶ ἐγ-
κϛ. γίζων. Καὶ εἶδεν ὁ σκοπὸς ἄνδρα ἕτε-
ρον τρέχοντα. καὶ ἐβόησε πρὸς τῇ πύ-
λῃ, καὶ εἶπεν, ἰδοὺ ἀνὴρ ἕτερος τρέχων
μόνος. καὶ εἶπεν ὁ βασιλεὺς, καί γε
κζ. οὗτος εὐαγγελιζόμενος. Καὶ εἶπεν ὁ
σκοπὸς, ἐγὼ ὁρῶ τὸν δρόμον τοῦ πρώ-
του ὡς δρόμον Ἀχιμάας υἱοῦ Σαδώκ.
καὶ εἶπεν ὁ βασιλεὺς, ἀνὴρ ἀγαθὸς
B οὗτος καί γε εἰς εὐαγγελίαν ἀγαθὴν
κη. ἐλεύσεται. Καὶ ἐβόησεν Ἀχιμάας,
καὶ εἶπε πρὸς τὸν βασιλέα, εἰρήνη.
καὶ προσεκύνησε τῷ βασιλεῖ ἐπὶ προ-
σώπου αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ εἶπεν,
εὐλογητὸς Κύριος ὁ Θεός σου, ὃς ἀπέ-
κλεισε τοὺς ἄνδρας τοὺς ἐπαραμένους
τὴν χεῖρα αὐτῶν ἐπὶ τῷ κυρίῳ μου τῷ
κθ. βασιλεῖ. Καὶ εἶπεν ὁ βασιλεὺς, εἰρή-
Γ νη τῷ παιδαρίῳ τῷ Ἀβεσσαλώμ; καὶ
εἶπεν Ἀχιμάας, εἶδον τὸ πλῆθος τὸ
μέγα εὐφραινόμενον ἐν τῷ ἀποστεῖλαι
Ἰωὰβ τὸν δοῦλον τοῦ βασιλέως (3) τὸν
λ. δοῦλόν σου, καὶ οὐκ ἔγνων τί ἐκεῖ. Καὶ
εἶπεν ὁ βασιλεὺς, ἐπίστρεψον, καὶ πα-
ράστηθι ὧδε. καὶ ἀπεστράφη (4) ὀπίσω
λα. αὐτοῦ. Καὶ ἰδοὺ (5) Χουσὶ ὀπίσω αὐτοῦ
Δ παρεγένετο, καὶ εἶπε τῷ βασιλεῖ, εὐαγ-
γελισθήτω ὁ κύριός μου ὁ βασιλεὺς,
ὅτι ἔκρινέ σοι Κύριος σήμερον ἐκ χειρὸς
λβ. πάντων τῶν ἐπεγειρομένων ἐπὶ σέ. Καὶ
εἶπεν ὁ βασιλεὺς πρὸς τὸν Χουσὶ, εἰ
εἰρήνη τῷ παιδαρίῳ τῷ Ἀβεσσαλώμ;
καὶ εἶπεν ὁ Χουσὶ, γένοιντο ὡς τὸ παι-
δάριον οἱ ἐχθροὶ τοῦ κυρίου μου τοῦ βα-
E σιλέως, καὶ πάντες ὅσοι ἐπανέστησαν
ἐπ' αὐτὸν εἰς κακά.

λγ. Καὶ ἐταράχθη ὁ βασιλεὺς,
καὶ ἀνέβη εἰς τὸ ὑπερῷον τῆς πύλης,
καὶ ἔκλαυσε· καὶ οὕτως εἶπεν ἐν τῷ
κλαίειν αὐτὸν, υἱέ μου Ἀβεσσαλὼμ, υἱέ
μου, υἱέ μου Ἀβεσσαλώμ· τίς δῴη τὸν
θάνατόν μου ἀντὶ σοῦ; ἐγὼ ἀντὶ σοῦ
Z Ἀβεσσαλὼμ, υἱέ μου, υἱέ μου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκεν τοσοῦτον ἐθρήνησεν ὁ Δαβὶδ τὸν μιαρώτατον παῖδα; Καὶ φιλόπαις ἦν καὶ φιλάνθρωπος. τεκμήριον δὲ τούτου καὶ τὸ ἐπὶ τοῦ Σαοὺλ γενόμενον πένθος. ἐνταῦθα δὲ καὶ ἡ φύσις μείζους τὰς ὀδύνας εἰργάσατο. πρὸς δὲ τούτοις, ἐθρήνησεν ὡς εὐσεβὴς τὸν διὰ μεταμελείας ἰαθῆναι μηκέτι δυνάμενον. μετὰ
H γὰρ δὴ τὴν τελευτὴν ἀνίατος ἡ τῆς ἁμαρτίας πληγή.

ΧΡΥΣΟ-

(1) Ἐν κεφ. 14. ἐδ. 27. (2) Κουχάρ. αἱ αὐτ. (3) Τὸ, τὸν δοῦλον τοῦ βασιλέως, οὐ κεῖται ἐν ταῖς αὐτ. (4) Ἐπεστράφη. αἱ αὐτ. (5) Ὁ Χουσί. αἱ αὐτ.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τίς δώσει μοι A
» θάνατον ἀντὶ σοῦ; Τί λέγεις, ὦ μακάριε,
καὶ πάντων ἀνθρώπων πρᾳότατε; ἀνελεῖν-
σε ἐσπούδαζεν ὁ παῖς, καὶ μυρίοις σε περιέ-
βαλε κακοῖς· καὶ ὅτε ἐκ μέσου γέγονε, καὶ
τὸ τρόπαιον ἔστη, τότε εὔχῃ σφαγῆναι;
ναί, φησιν. οὐ γὰρ ἐμοὶ νενίκηκε τὸ στρατό-
πεδον, ἀλλ' ἔτι πολεμοῦμαι σφοδρότερον ἢ
πρότερον, καὶ τὰ σπλάγχνα μοι διακόπτε-
ται νῦν μειζόνως.

ΚΕΦ. ΙΘ.

α. Καὶ ἀνηγγέλη τῷ Ἰωὰβ, λέ- B
γοντες, ἰδοὺ ὁ βασιλεὺς
κλαίει καὶ πενθεῖ ἐπὶ Ἀ-
β. βεσσαλώμ. Καὶ ἐγένετο ἡ σωτηρία
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ εἰς πένθος παντὶ
τῷ λαῷ, ὅτι ἤκουσεν ὁ λαὸς ἐν τῇ ἡμέ-
ρᾳ ἐκείνῃ, λεγόντων, ὅτι λυπεῖται ὁ
γ. βασιλεὺς ἐπὶ τῷ υἱῷ αὐτοῦ. Καὶ διε-
κλέπτετο ὁ λαὸς ἐν τῇ ἡμέρᾳ ἐκείνῃ (1)
εἰσελθεῖν εἰς τὴν πόλιν, καθὼς δια- Γ
κλέπτεται ὁ λαὸς οἱ αἰσχυνόμενοι ἐν
δ. τῷ αὐτοὺς φεύγειν ἐν τῷ πολέμῳ. Καὶ
ὁ βασιλεὺς ἔκρυψε τὸ πρόσωπον αὐ-
τοῦ· καὶ ἔκραξεν ὁ βασιλεὺς φωνῇ
μεγάλῃ, λέγων, υἱέ μου Ἀβεσσαλὼμ,
ε. Ἀβεσσαλὼμ υἱέ μου. Καὶ εἰσῆλθεν
Ἰωὰβ πρὸς τὸν βασιλέα εἰς τὸν οἶκον,
καὶ εἶπε, κατῄσχυνας σήμερον τὰ πρό-
σωπα πάντων τῶν δούλων σου τῶν ἐξαι-
ρουμένων σε σήμερον καὶ τὴν ψυχὴν τῶν
υἱῶν σου, καὶ τῶν θυγατέρων σου, καὶ
τὴν ψυχὴν τῶν γυναικῶν σου, καὶ τῶν
ϛ. παλλακῶν σου, Τοῦ ἀγαπᾷν τοὺς μι-
σοῦντάς σε, καὶ μισεῖν τοὺς ἀγαπῶν-
τάς σε· ὅτι ἀπήγγειλας σήμερον, ὅτι
οὐκ εἰσίν σουσιν (2) ἄρχοντες, οὐδὲ παῖ-
δες, ὅτι ἔγνωκας σήμερον, ὅτι εἰ Ἀ- E
βεσσαλὼμ ἔζη, καὶ πάντες ἡμεῖς σήμε-
ρον νεκροὶ, ὅτι τοῦτο εὐθὲς ἦν ἐν ὀφ-
ζ. θαλμοῖς σου. Καὶ νῦν ἀναστὰς ἔξελθε
καὶ λάλησον εἰς τὰς καρδίας τῶν δού-
λων σου, ὅτι ἐν Κυρίῳ ὤμοσα, ὅτι εἰ
μὴ ἐκπορεύσῃ σήμερον, εἰ αὐλισθήσε-
ται ἀνὴρ μετὰ σοῦ τὴν νύκτα ταύτην.
καὶ ἐπίγνωθι σεαυτῷ, ὅτι κακόν σοι
τοῦτο ὑπὲρ πᾶν τὸ κακὸν τὸ ἐπελθόν- Z
η. σοι ἐκ νεότητός σου ἕως τοῦ νῦν. Καὶ
ἀνέστη ὁ βασιλεὺς καὶ ἐκάθισεν ἐν τῇ
πύλῃ. καὶ πᾶς ὁ λαὸς ἀνήγγειλαν,
λέγοντες, ἰδοὺ ὁ βασιλεὺς κάθηται
ἐν τῇ πύλῃ. καὶ εἰσῆλθε πᾶς ὁ λαὸς
κατὰ πρόσωπον τοῦ βασιλέως εἰς τὴν
πύλην. καὶ Ἰσραὴλ ἔφυγεν ἀνὴρ εἰς
θ. τὰ σκηνώματα αὐτοῦ. Καὶ ἦν πᾶς H
ὁ λαὸς διακρινόμενος ἐν πάσαις φυ-
λαῖς Ἰσραὴλ, λέγοντες, ὁ βασιλεὺς
Δαβὶδ ἐῤῥύσατο ἡμᾶς ἀπὸ πάντων
τῶν ἐχθρῶν ἡμῶν, καὶ αὐτὸς ἐξείλε-
το ἡμᾶς ἐκ χειρὸς ἀλλοφύλων· καὶ
νῦν πέφευγεν ἀπὸ τῆς γῆς, καὶ ἀπὸ
τῆς βασιλείας αὐτοῦ, καὶ ἀπὸ Ἀβεσ-
ι. σαλώμ. Καὶ Ἀβεσσαλὼμ, ὃν ἐχρί-
σαμεν ἐφ' ἡμᾶς, (3) ἀπέθανεν ἐν τῷ
πολέμῳ. καὶ νῦν ἵνα τί ὑμεῖς κωφεύε-
τε τοῦ ἐπιστρέψαι τὸν βασιλέα; καὶ
τὸ ῥῆμα παντὸς Ἰσραὴλ ἦλθε πρὸς
ια. τὸν βασιλέα. Καὶ ὁ βασιλεὺς Δα-
βὶδ ἀπέστειλε πρὸς Σαδὼκ καὶ πρὸς
Ἀβιάθαρ τοὺς ἱερεῖς, λέγων, λαλή-
σατε πρὸς τοὺς πρεσβυτέρους Ἰούδα,
λέγοντες, ἵνα τί γίνεσθε ἔσχατοι τοῦ
ἐπιστρέψαι τὸν βασιλέα εἰς τὸν οἶκον
αὐτοῦ; καὶ λόγος παντὸς Ἰσραὴλ ἦλ-
θε πρὸς τὸν βασιλέα εἰς τὸν οἶκον αὐ-
ιβ. τοῦ. Ἀδελφοί μου ὑμεῖς, καὶ ὀστᾶ μου
καὶ σάρκες μου ὑμεῖς· καὶ ἵνα τί γί-
νεσθε ἔσχατοι τοῦ ἐπιστρέψαι τὸν βασι-
λέα εἰς τὸν οἶκον αὐτοῦ;

ιγ. Καὶ τῷ Ἀμεσαῒ ἐρεῖτε, οὐχὶ
ὀστοῦν μου καὶ σάρξ μου σύ; καὶ νῦν τάδε
ποιήσαι μοι ὁ Θεὸς, καὶ τάδε προσθείη,
εἰ μὴ ἄρχων δυνάμεως ἔσῃ ἐνώπιον ἐμοῦ
πάσας τὰς ἡμέρας ἀντὶ Ἰωάβ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τῷ Ἀ-
βεσσᾷ τὴν στρατηγίαν ἐπηγγείλατο, τοῦ
Ἰωὰβ ὑπὲρ αὐτοῦ πολλοὺς ὑπομείναντος πό-
νους καὶ κινδύνους; Τὸ θρασὺ τοῦ Ἰωὰβ ἀεὶ
μισῶν διετέλεσεν. ἠνέχετο δὲ αὐτοῦ διά τε
τὴν εὔνοιαν, ἣν εἶχε, καὶ ὑφορώμενος μή τι
νεώτερον βουλεύσηται κατ' αὐτοῦ. θεασά-
μενος δὲ τὸν Ἀβεσσᾶ· ἀδελφιδοῦς δὲ αὐτοῦ
καὶ οὗτος ἐτύγχανεν· ὃν στρατηγὸν ὑπὸ τοῦ
τυράννου πάσης χειροτονηθέντα [τῆς] στρα-
τιᾶς, ἀπέστειλεν, ὑποσχόμενος αὐτῷ παρα-
δώσειν τὴν τοῦ Ἰωὰβ στρατηγίαν. τοῦτο μα-
θὼν Ἰωὰβ, καὶ τοῦ φθόνου τὴν ἀκίδα δεξά-
μενος, καὶ πληττόμενος ἐπὶ τοῖς μεμηνυ-
μένοις, ἐπήνεγκεν αὐτῷ τὴν σφαγὴν, εὔ-
νοιαν καὶ φιλίαν ὑποκρινάμενος.

» ** ΠΡΟΚΟΠΙΟΥ. Εἰ μὴν ἀρχιστράτη-
γος ἔσῃ μοι. Εἰ γὰρ καὶ πολλοὺς ὑπὲρ Δα-
βὶδ ὁ Ἰωὰβ ὑπέμεινε κινδύνους, ἀλλ' ἐμίσει
τοῦτο τὸ θράσος· ἠνείχετο δὲ διά τε τὴν εἰς
αὐτὸν εὔνοιαν, ἣν ἐκεῖνος ἐφύλαττε, καὶ
δεδιὼς

(1) Τοῦ εἰσελ. αἱ αὐτ. ἡ ἐν Κομπλ. ἔκδ.

(2) Γραφικόν ἐστιν ἁμάρτημα, ἀντὶ τοῦ, οὐκ εἰσὶ σοὶ ἄρχ. ὡς ἔχει

(3) Ἡμῶν. αἱ αὐτ.

δεδιὼς ἅμα μήτι βουλεύσῃ νεώτερον· νῦν δὲ καιρὸν εὑρὼν, τὴν στρατηγίαν ἐπαγγέλλεται τῷ Ἀμεσσᾷ, ὃν ἀπέδειξεν Ἀβεσσαλὼμ στρατηγόν· ἦν δὲ καὶ αὐτὸς ἀδελφιδοῦς τοῦ Δαβίδ· ὃ μαθὼν Ἰωὰβ προσχήματι φιλίας τοῦτον ἀπέκτεινε.

ιδ. Καὶ ἔκλινε τὴν καρδίαν παν-
τὸς ἀνδρὸς Ἰούδα ἕως (1) ἀνδρὸς ἑνός.
καὶ ἀπέστειλαν πρὸς τὸν βασιλέα, λέ-
γοντες, ἐπιστράφηθι σὺ καὶ πάντες οἱ
ιε. δοῦλοί σου. Καὶ ἐπέστρεψεν ὁ βασιλεὺς,
καὶ ἦλθεν ἕως τοῦ Ἰορδάνου. καὶ ἄνδρες
Ἰούδα ἦλθον εἰς Γάλγαλα τοῦ πορεύ-
θῆναι εἰς ἀπάντησιν τοῦ βασιλέως,
διαβιβάσαι τὸν βασιλέα τὸν Ἰορδά-
ις. νην. Καὶ ἐτάχυνε Σεμεῒ υἱὸς Γηρὰ
υἱοῦ τοῦ Ἰεμενὶ ἐκ Βαουρὶμ, καὶ κατέβη
μετὰ ἀνδρὸς Ἰούδα εἰς ἀπάντησιν τοῦ
ιζ. βασιλέως Δαβὶδ, Καὶ χίλιοι ἄνδρες
μετ᾽ αὐτοῦ ἐκ τοῦ Βενιαμὶν, καὶ Σιβὰ
τὸ παιδάριον οἴκου Σαοὺλ, καὶ πεντε-
καίδεκα υἱοὶ αὐτοῦ μετ᾽ αὐτοῦ, καὶ εἴκοσι
δοῦλοι αὐτοῦ μετ᾽ αὐτοῦ· καὶ κατεύθυ-
ναν τὸν Ἰορδάνην ἔμπροσθεν τοῦ βασι-
ιη. λέως, Καὶ ἐλειτούργησαν (2) λειτουρ-
γίαν τοῦ διαβιβάσαι τὸν βασιλέα. καὶ
διέβη ἡ διάβασις τοῦ ἐξεγεῖραι τὸν οἶ-
κον τοῦ βασιλέως, καὶ τοῦ ποιῆσαι τὸ
εὐθὲς ἐν ὀφθαλμοῖς αὐτοῦ. καὶ Σεμεῒ
υἱὸς Γηρὰ ἔπεσεν ἐπὶ πρόσωπον αὐτοῦ
ἐνώπιον τοῦ βασιλέως, διαβαίνοντος
αὐτοῦ τὸν Ἰορδάνην,

** ΙΩΣΗΠΟΥ. Οὗτοι σὺν τῇ Ἰούδα φυλῇ τὸν ποταμὸν ἐγεφύρωσαν, ἵνα ῥᾷστα διαβῇ μετὰ τῶν ἰδίων ὁ βασιλεύς.

ιθ. Καὶ εἶπε πρὸς τὸν βασιλέα,
μὴ δὴ λογιζέσθω ὁ κύριός μου ἀνομίαν,
καὶ μὴ μνησθῇς ὅσα ἠδίκησεν ὁ παῖς
σου ἐν τῇ ἡμέρᾳ ᾗ ὁ κύριός μου ὁ βασι-
λεὺς ἐξεπορεύετο ἐξ Ἱερουσαλὴμ, τοῦ
θέσθαι τὸν βασιλέα εἰς τὴν καρδίαν
κ. αὐτοῦ. Ὅτι ἔγνω ὁ δοῦλός σου ὅτι ἐγὼ
ἥμαρτον, καὶ ἰδοὺ ἐγὼ ἦλθον σήμερον
πρότερος παντὸς Ἰσραὴλ καὶ οἴκου Ἰω-
σὴφ, τοῦ καταβῆναί με εἰς ἀπαντὴν
κα. τοῦ κυρίου μου τοῦ βασιλέως. Καὶ ἀπε-
κρίθη Ἀβεσσὰ υἱὸς Σαρουΐα, καὶ εἶπε,
μὴ ἀντὶ τούτου οὐ θανατωθήσεται Σε-
μεῒ, ὅτι κατηράσατο τὸν χριστὸν Κυ-
κβ. ρίου; Καὶ εἶπε Δαβὶδ, τί ἐμοὶ καὶ ὑμῖν
υἱοὶ Σαρουΐα, ὅτι γίνεσθέ μοι σήμερον
εἰς ἐπίβουλον; εἰ σήμερον θανατωθή-
σεται (3) ἀνὴρ ἐξ Ἰσραήλ· ὅτι οὐκ οἶδα
εἰ σήμερον βασιλεύσω ἐγὼ ἐπὶ τὸν Ἰσ-
κγ. ραήλ. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Σε-
μεῒ, οὐ μὴ ἀποθάνῃς. καὶ ὤμοσεν αὐ-
κδ. τῷ ὁ βασιλεύς. Καὶ ἰδοὺ Μεμφιβο-
σθὲ υἱὸς Ἰωνάθαν υἱοῦ Σαοὺλ κατέβη εἰς
ἀπάντησιν τοῦ βασιλέως, καὶ οὐκ ἐθε-
ραπεύσατο τοὺς πόδας αὐτοῦ, οὐδὲ ὠνυ-
χίσατο, οὐδὲ ἐποιήσατο τὸν μύστακα
αὐτοῦ, καὶ τὰ ἱμάτια αὐτοῦ οὐκ ἔπλυ-
Β νεν ἀπὸ τῆς ἡμέρας ἧς ἀπῆλθεν ὁ βα-
σιλεὺς, ἕως τῆς ἡμέρας ἧς αὐτὸς πα-
κε. ρεγένετο ἐν εἰρήνῃ. Καὶ ἐγένετο ὅτε
εἰσῆλθεν εἰς Ἱερουσαλὴμ εἰς ἀπάντη-
σιν τοῦ βασιλέως, καὶ εἶπεν αὐτῷ ὁ
βασιλεὺς, τί ὅτι οὐκ ἐπορεύθης μετ᾽
κς. ἐμοῦ Μεμφιβοσθέ; Καὶ εἶπε πρὸς αὐ-
τὸν Μεμφιβοσθὲ, κύριέ μου βασιλεῦ,
ὁ δοῦλός μου παρελογίσατό με, ὅτι εἶ-
Γ πεν ὁ παῖς σου αὐτῷ, ἐπίσαξόν μοι τὴν
ὄνον, καὶ ἐπιβῶ ἐπ᾽ αὐτὴν, καὶ πο-
ρεύσομαι μετὰ τοῦ βασιλέως, ὅτι χω-
κζ. λὸς ὁ δοῦλός σου. Καὶ ἐμεθώδευσεν (4)
ἐν τῷ δούλῳ σου πρὸς τὸν κύριόν μου τὸν
βασιλέα. καὶ ὁ κύριός μου ὁ βασιλεὺς
ἐποίησε τὸ καλὸν ἐνώπιον αὐτοῦ ὡς
ἄγγελος τοῦ Θεοῦ, καὶ ποίησον τὸ ἀγα-
κη. θὸν ἐν ὀφθαλμοῖς σου. Ὅτι οὐκ ἦν
Δ πᾶς ὁ οἶκος τοῦ πατρός μου, ἀλλ᾽ ἢ
ὅτι ἄνδρες θανάτου τῷ κυρίῳ μου τῷ
βασιλεῖ, καὶ ἔθηκας τὸν δοῦλόν σου ἐν
τοῖς ἐσθίουσι τὴν τράπεζάν σου· καὶ τί
ἐστι μοι ἔτι δικαίωμα, καὶ τοῦ κεκρα-
κθ. γέναι με ἔτι πρὸς τὸν βασιλέα; Καὶ
εἶπεν αὐτῷ ὁ βατιλεὺς, ἵνα τί λα-
λεῖς ἔτι τοὺς λόγους σου; εἶπον, σὺ καὶ
λ. Σιβὰ διελεῖσθε τὸν ἀγρόν. Καὶ εἶπε
Ε Μεμφιβοσθὲ πρὸς τὸν βασιλέα, καί-
γε τὰ πάντα λαβέτω μετὰ τὸ πα-
ρεγενέσθαι τὸν κύριόν μου τὸν βασιλέα
λα. ἐν εἰρήνῃ εἰς τὸν οἶκον αὐτοῦ. Καὶ Βερ-
ζελλὶ ὁ Γαλααδίτης κατέβη ἐκ Ῥω-
γελλὶμ, καὶ διέβη μετὰ τοῦ βασιλέως
τὸν Ἰορδάνην προπέμψαι αὐτὸν τὸν
λβ. Ἰορδάνην. Καὶ Βερζελλὶ ἀνὴρ πρεσ-
Ζ βύτης σφόδρα, υἱὸς ὀγδοήκοντα ἐτῶν,
καὶ αὐτὸς διέθρεψε τὸν βασιλέα ἐν
τῷ οἰκεῖν αὐτὸν ἐν Μαναῒμ, ὅτι ἀνὴρ
λγ. μέγας ἦν σφόδρα. Καὶ εἶπεν ὁ βα-
σιλεὺς πρὸς Βερζελλὶ, σὺ διαβήσῃ
μετ᾽ ἐμοῦ, καὶ διαθρέψω τὸ γῆράς σου
λδ. μετ᾽ ἐμοῦ εἰς Ἱερουσαλήμ. Καὶ εἶπε
Βερζελλὶ πρὸς τὸν βασιλέα, πόσαι
Η ἡμέραι ἐτῶν ζωῆς μου, ὅτι ἀναβήσο-
μαι μετὰ τοῦ βασιλέως εἰς Ἱερουσα-
λήμ;

(1) Ὡς. αἱ αὐτ. (2) Τὴν λειτ. αἱ αὐτ. (3) Θανατωθήσεταί τις. αἱ αὐτ.
(4) Μεθώδευσαν. αἱ αὐτ.

λε. λήμ; Υἱὸς ὀγδοήκοντα ἐτῶν εἰμὶ ἐγὼ
σήμερον· μὴ γνώσομαι ἀναμέσον ἀγα-
θοῦ καὶ ἀναμέσον πονηροῦ; εἰ γνώσεται
ὁ δοῦλός σου ἔτι ὃ φάγομαι καὶ (1) ὃ πίο-
μαι; ἢ ἀκούσομαι ἔτι φωνὴν ᾀδόντων
καὶ ᾀδουσῶν; καὶ ἵνα τὶ ἔσται ὁ δοῦλός-
σου εἰς φόρτον ἐπὶ τὸν κύριόν μου τὸν
λϛ. βασιλέα; Ὡς βραχὺ διαβήσεται ὁ
δοῦλός σου τὸν Ἰορδάνην μετὰ τοῦ βα-
σιλέως· καὶ ἵνα τὶ ἀνταποδίδωσί μοι ὁ
βασιλεὺς τὴν ἀνταπόδοσιν ταύτην;
λζ. Καθισάτω δὴ ὁ δοῦλός σου, καὶ ἀπο-
θανοῦμαι ἐν τῇ πόλει μου παρὰ τῷ τά-
φῳ τοῦ πατρός μου καὶ τῆς μητρός μου.
καὶ ἰδοὺ ὁ δοῦλός σου Χαμαὰμ ὁ υἱός μου
διαβήσεται μετὰ τοῦ κυρίου μου τοῦ βα-
σιλέως· καὶ ποίησον αὐτῷ τὸ ἀγα-
λη. θὸν ἐν ὀφθαλμοῖς σου. Καὶ εἶπεν ὁ
βασιλεὺς, μετ' ἐμοῦ διαβήτω ὁ Χα-
μαὰμ, καὶ ἐγὼ ποιήσω αὐτῷ τὸ ἀγα-
θὸν ἐν ὀφθαλμοῖς μου, καὶ πάντα ὅσα
λθ. ἂν ἐκλέξῃ ἐπ' ἐμοὶ ποιήσω σοι. Καὶ
διέβη πᾶς ὁ λαὸς τὸν Ἰορδάνην, καὶ
ὁ βασιλεὺς διέβη, καὶ κατεφίλησεν
ὁ βασιλεὺς τὸν Βερζελλὶ, καὶ εὐλό-
γησεν αὐτὸν, καὶ ἐπέστρεψεν εἰς τὸν
μ. τόπον αὐτοῦ. Καὶ διέβη ὁ βασιλεὺς
εἰς Γάλγαλα, καὶ Χαμαὰμ διέβη
μετ' αὐτοῦ. καὶ πᾶς ὁ λαὸς Ἰούδα δια-
βαίνοντες μετὰ τοῦ βασιλέως, καί γε
μα. τὸ ἥμισυ τοῦ λαοῦ Ἰσραήλ. Καὶ ἰδοὺ
πᾶς ἀνὴρ Ἰσραὴλ παρεγένετο πρὸς
τὸν βασιλέα, καὶ εἶπαν, πρὸς τὶ ὅτι
ἔκλεψάν σε οἱ ἀδελφοὶ ἡμῶν ἀνὴρ Ἰού-
δα, καὶ διεβίβασαν τὸν Ἰορδάνην
τὸν βασιλέα καὶ τὸν οἶκον αὐτοῦ, καὶ
πάντες ἄνδρες Δαβὶδ μετ' αὐτοῦ;
μβ. Καὶ ἀπεκρίθη πᾶς ἀνὴρ Ἰούδα πρὸς
ἄνδρα Ἰσραὴλ, καὶ εἶπαν, διότι ἐγ-
γίζει πρός με ὁ βασιλεύς· καὶ ἵνα τὶ
οὕτως ἐθυμώθη περὶ τοῦ λόγου τούτου;
μὴ βρώσει ἐφάγομεν (2) παρὰ τοῦ
A βασιλέως, ἢ δόμα δέδωκεν, ἢ ἄρσιν
ἦρεν ἡμῖν;

μγ. Καὶ ἀπεκρίθη ἀνὴρ Ἰσραὴλ
πρὸς ἄνδρας Ἰούδα, καὶ εἶπε, δέκα χεῖ-
ρές μοι ἐν τῷ βασιλεῖ, καὶ πρωτότο-
κος ἐγὼ ἢ σὺ, καίγε ἐν τῷ Δαβίδ
εἰμι ὑπὲρ σέ. καὶ ἵνα τὶ τοῦτο ὕβρι-
σάς με, καὶ οὐκ ἐλογίσθη ὁ λόγος μου
B πρῶτος ἐμοὶ τοῦ Ἰούδα ἐπιστρέψαι τὸν
βασιλέα ἐμοί; καὶ ἐσκληρύνθη ὁ λό-
γος ἀνδρὸς Ἰούδα ὑπὲρ τοῦ λόγου (3)
ἀνδρὸς Ἰσραήλ.

** ΙΩΣΗΠΟΥ. Ταῦτα τῶν τῆς Ἰούδα φυλῆς ἡγεμόνων εἰπόντων, οἱ τῶν ἄλλων „ ἄρχοντες οὐκ ἡσύχασαν· ἀλλ' ἡμεῖς μὲν, „ ἔφασαν, ὦ ἀδελφοὶ, θαυμάζομεν ὑμᾶς αὐ- „ τῶν ἀποκαλοῦντας μόνων συγγενῆ τὸν βα- Γ „ σιλέα. ὁ γὰρ τὴν ἁπάντων ἐξουσίαν παρὰ „ τοῦ Θεοῦ λαβὼν, πάντων ἡμῶν εἶναι συγ- „ γενὴς κρίνεται. καὶ διὰ τοῦτο μὲν λαὸς ἅπας „ ἕνδεκα μοίρας ἔχει, μίαν δὲ ἡμεῖς, (4) καὶ „ πρεσβύτεροί ἐσμεν, καὶ οὐκ ἐποιήσατε δί- „ καια, κρύφα καὶ λεληθότως ἐλθόντες πρὸς „ τὸν βασιλέα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, „ δέκα μοι χεῖρες ἐν τῷ βασιλεῖ; Ἔριδος γενομένης καὶ διαμάχης, καὶ τὴν φυλὴν τοῦ Δ Ἰούδα τῶν ἄλλων φυλῶν αἰτιασαμένων, ὅτι δὴ προλαβοῦσα ὑπήντησε τῷ βασιλεῖ, ὑπολαβόντες ἔφασαν [αὐτοὶ] φυλέτην αὐτῶν εἶναι τὸν βασιλέα, καὶ μᾶλλον αὐτοῖς προσήκειν διὰ τὴν πλησιαιτέραν συγγένειαν. τούτου χάριν εἰρήκασιν οἱ τῶν ἄλλων φυλῶν, δέκα χεῖρας εἶναι (5) ἐν τῷ βασιλεῖ, καὶ ταύτας αὐτοὺς ἔχειν. ἡ γὰρ Βενιαμῖτις τῇ Ἰούδα συνῆπτο. προσέθηκαν δὲ, ὅτι καὶ τὰ τῶν πρωτοτόκων ἔχουσι πρεσβεῖα, διά τε E τὸν Ῥουβὶμ, ὡς φύσει πρωτότοκον, καὶ διὰ τὸν Ἰωσὴφ, ὡς διὰ τὴν ἀρετὴν τοῦδε τοῦ κλήρου τετυχηκότα. διπλῆν γὰρ μοῖραν οἱ πρωτότοκοι τῆς πατρῴας κληρονομίας ἐλάμβανον. διὸ καὶ ὁ πατριάρχης πρὸς τὸν Ἰωσὴφ „ ἔφη, Ἐφραὶμ καὶ Μανασσῆς ὡς Ῥουβὶμ καὶ Γεν. 48. 5. „ Συμεὼν ἔσονταί μοι. αὐτίκα γοῦν καὶ Μωσῆς ὁ μέγας, καὶ Ἰησοῦς ὁ τοῦ Ναυῆ, ὁ τούτου διάδοχος, διπλοῦν αὐτοῖς ἀπένειμαν κλῆρον.

ΚΕΦ. Κ.

α. Καὶ ἐκεῖ ἐπικαλούμενος υἱὸς
παράνομος, καὶ ὄνομα αὐ-
τῷ Σαβεὲ, υἱὸς Βοχορὶ (6)
Ἰεμινὶ, καὶ ἐσάλπισεν ἐν τῇ κερατίνῃ,
καὶ εἶπεν, οὐκ ἔστιν ἡμῖν μερὶς ἐν Δα-
βὶδ, οὐδὲ κληρονομία ἡμῖν ἐν τῷ υἱῷ
Ἰεσσαί. ἀνὴρ εἰς τὰ σκηνώματά σου
β. Ἰσραήλ. Καὶ ἀνέβη πᾶς ἀνὴρ Ἰσ-
ραὴλ ἀπὸ ὄπισθεν Δαβὶδ ὀπίσω Σα-
βεὲ υἱοῦ Βοχορί· καὶ ἀνὴρ Ἰούδα ἐκολλή-
θη τῷ βασιλεῖ αὐτῶν, ἀπὸ τοῦ Ἰορ-
δάνου καὶ ἕως Ἱερουσαλήμ.

** ΙΩΣΗΠΟΥ. Ἀνήρ τις πονηρὸς, καὶ στάσει χαίρων, ὄνομα Σαβαῖος, υἱὸς Βοχο- H ρίου, τῆς Βενιαμίτιδος φυλῆς, στὰς ἐν μέσῳ πρὸς τὸ πλῆθος, μέγα βοήσας, εἶπεν·

οὐτ'

(1) Ἢ πίομαι. αἱ αὐτ. (2) Ἐφάγαμεν ἐκ τοῦ. αἱ αὐτ. (3) Τὸν λόγον. αἱ αὐτ.
(4) Ὑμεῖς ὀρθότερ. (5) Ἔχειν ἐν τῷ βασιλεῖ. ἡ γὰρ κτ. ἡ ἐν Χάλ. ἔκδ. (6) Ἀνὴρ Ἰεμ. αἱ αὐτ.

„ οὔτ᾽ ἔχει τὶς ἡμῶν παρὰ Δαυίδῃ μοίρας,
„ οὔτε κλῆρον παρὰ τῷ Ἰεσσαίου παιδί. καὶ
μετὰ τοὺς λόγους σαλπίσας κέρατι, σημαί-
νει πόλεμον πρὸς τὸν βασιλέα. καὶ πάν-
τες ἠκολούθησαν ἐκείνῳ, Δαυίδην καταλι-
πόντες. μόνη δ᾽ αὐτῷ παρέμεινεν ἡ Ἰούδα
φυλὴ, καὶ κατέστησεν αὐτὸν εἰς τὸ ἐν Ἱε-
ροσολύμοις βασίλειον.

γ. Καὶ εἰσῆλθε Δαβὶδ εἰς τὸν οἶ-
κον αὐτοῦ εἰς Ἱερουσαλήμ. καὶ ἔλαβεν
ὁ βασιλεὺς τὰς δέκα γυναῖκας τὰς
παλλακὰς αὐτοῦ, ἃς ἀφῆκε φυλάσ-
σειν τὸν οἶκον, καὶ ἔδωκεν αὐτὰς ἐν
οἴκῳ φυλακῆς, καὶ διέθρεψεν αὐτὰς,
καὶ πρὸς αὐτὰς οὐκ εἰσῆλθε, καὶ ἦσαν
συνεχόμεναι ἕως ἡμέρας θανάτου αὐ-
τῶν χῆραι ζῶσαι.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν Δα-
βὶδ καθεῖρξε τὰς παλλακὰς παρὰ γνώμην
τῷ δυσσεβεῖ τυράννῳ συγγενομένας; Ἀνό-
σιον ὑπέλαβε συνελθεῖν αὐταῖς μετὰ τὴν
μυσαρὰν τοῦ παιδὸς συνουσίαν. τοῦτο γὰρ καὶ
ὁ νόμος ἄντικρυς ἀπηγόρευσεν. ἑτέρῳ δὲ
οὐ συνῆψεν, ἵνα μὴ καὶ τοῦτο πρόφασις γέ-
νηται τυραννίδος. ἄλλως τε δὲ οὐδὲ γάμος
Ῥωμ. 7. 3. „ ἦν ὁ τοιοῦτος. ζῶντος γὰρ τοῦ ἀνδρὸς μοι-
„ χαλὶς χρηματίζει, ἐὰν γένηται ἀνδρὶ ἑτέ-
ρῳ, ἡ φησὶν ὁ θεῖος Ἀπόστολος. εἰ δὲ καὶ
ὁ νόμος ἐπέτρεπε τὸν ἀπεχθανόμενον τῇ
γυναικὶ βιβλίον ἀποστασίου διδόναι· ἀλλ᾽ ἐν-
ταῦθα οὐ μῖσος ἐχώριζεν, ἀλλ᾽ ἡ τοῦ παιδὸς
παράνομος συνουσία. τούτου χάριν εἰς ἑτέ-
ραν αὐτὰς μετέστησεν οἰκίαν, πάσης ἀξιῶν
θεραπείας.

δ. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἀ-
μεσσαῒ, βόησόν μοι τὸν ἄνδρα Ἰούδα
ε. τρεῖς ἡμέρας, σὺ δὲ αὐτοῦ στῆθι. Καὶ
ἐπορεύθη Ἀμεσσαῒ τοῦ βοῆσαι τὸν Ἰού-
δαν, καὶ ἐχρόνισεν ἀπὸ τοῦ καιροῦ οὗ
ἐτάξατο αὐτῷ Δαβίδ.

** ΙΩΣΗΠΟΥ. Ἀποδείκνυσι τὸν Ἀ-
μεσσὰν στρατηγὸν, καὶ τὴν τάξιν αὐτῷ ἐφ᾽
ἧς Ἰώαβος ἦν, δίδωσιν· ἐκέλευσέ τε στρα-
τιὰν ὅσην δύναται συναγαγόντα ἐκ τῆς Ἰού-
δα φυλῆς, μεθ᾽ ἡμέρας τρεῖς ὡς αὐτὸν ἐλ-
θεῖν, ἵνα παραδοὺς αὐτῷ πᾶσαν τὴν δύναμιν
ἐκπέμψῃ πολεμήσοντα τὸν υἱὸν Βοχορίου.

ϛ. Καὶ εἶπε Δαβὶδ πρὸς Ἀμεσσαῒ,
νῦν κακοποιήσει ἡμᾶς Σαβεὲ υἱὸς Βο-
χορὶ ὑπὲρ Ἀβεσσαλώμ. καὶ νῦν σὺ
λάβε μετὰ σεαυτοῦ τοὺς παῖδας τοῦ
κυρίου σου, καὶ καταδίωξον ὀπίσω αὐ-
τοῦ, μήποτε ἑαυτῷ εὕρῃ πόλεις ὀχυ-
ρὰς, καὶ σκιάσει τοὺς ὀφθαλμοὺς ἡμῶν.
ζ. Καὶ ἐξῆλθον ὀπίσω αὐτοῦ Ἀβεσσὰ (1)
καὶ οἱ ἄνδρες Ἰωὰβ, καὶ ὁ Χερεθθὶ,
καὶ ὁ Φελεθθὶ, καὶ πάντες οἱ δυνα-

Α τοὶ, καὶ ἐξῆλθον ἐξ Ἱερουσαλὴμ διῶ-
ξαι ὀπίσω Σαβεὲ τοῦ (2) Βοχορί.

η. Καὶ αὐτὸς (3) παρὰ τῷ λίθῳ
τῷ μεγάλῳ τῷ ἐν Γαβαών· καὶ Ἀ-
μεσσαῒ εἰσῆλθεν ἔμπροσθεν αὐτοῦ. (4)
καὶ Ἰωὰβ περιεζωσμένος μανδύαν τὸ
ἔνδυμα αὐτοῦ, καὶ ἐπ᾽ αὐτῷ περιεζωσ-
μένος μάχαιραν ἐζευγμένην ἐπὶ τῆς
Β ὀσφύος αὐτοῦ ἐν κολεῷ αὐτῆς. καὶ ἡ
θ. μάχαιρα ἐξῆλθε καὶ ἔπεσε. Καὶ εἶπεν
Ἰωὰβ τῷ Ἀμεσσαῒ, εἰ ὑγιαίνεις σὺ
ἀδελφέ; καὶ ἐκράτησεν ἡ χεὶρ ἡ δε-
ξιὰ Ἰωὰβ τοῦ πώγωνος Ἀμεσσαῒ τοῦ
ι. καταφιλῆσαι αὐτόν. Καὶ Ἀμεσσαῒ
οὐκ ἐφυλάξατο τὴν μάχαιραν τὴν ἐν
χειρὶ Ἰωάβ· καὶ ἔπαισεν αὐτὸν ἐν αὐ-
τῇ Ἰωὰβ εἰς τὴν ψόαν, καὶ ἐξεχύθη
Γ ἡ κοιλία αὐτοῦ ἐπὶ τὴν γῆν, καὶ οὐκ
ἐδευτέρωσεν αὐτῷ, καὶ ἀπέθανε. καὶ
Ἰωὰβ (5) καὶ ὁ ἀδελφὸς αὐτοῦ ἐδίωξαν
ια. ὀπίσω Σαβεὲ υἱοῦ Βοχορί. Καὶ ἀνὴρ
ἔστη ἐπ᾽ αὐτὸν τῶν παιδαρίων Ἰωὰβ,
καὶ εἶπε, τὶς ὁ βουλόμενος Ἰωὰβ, καὶ
τὶς τοῦ Δαβὶδ, ὀπίσω Ἰωάβ;

** ΙΩΣΗΠΟΥ. Περιζωσάμενος μά-
Δ χαιραν, καὶ θώρακα ἐνδεδυμένος Ἰώαβος,
προσιόντος ἀσπάσασθαι τοῦ Ἀμεσσᾶ, φιλο-
τέχνως τὴν μάχαιραν αὐτομάτως ἐκ τῆς
θήκης ἐποίησεν ἐκπεσεῖν· βαστάσας δὲ αὐ-
τὴν ἀπὸ τῆς γῆς, καὶ τῇ ἑτέρᾳ τὸν Ἀμεσ-
σὰν ἐγγὺς γενόμενον, ὡς καταφιλήσων τοῦ
γενείου λαβόμενος, οὐ προειδόμενον εἰς τὴν
γαστέρα πλήξας ἀπέκτεινεν. ἀσεβὲς ἔργον
διαπραξάμενος, καὶ παντελῶς ἀνόσιον, ἀγα-
θὸν νεανίαν καὶ συγγενῆ καὶ μηδένα ἀδική-
Ε σαντα ζηλοτυπήσας τῆς στρατηγίας καὶ τῆς
παρὰ τῷ βασιλεῖ πρὸς αὐτὸν ἰσοτιμίας.
διὰ ταύτην γὰρ τὴν αἰτίαν καὶ τὸν Ἀβέ-
νηρον ἐφόνευσεν. ἀλλ᾽ ἐκεῖνο μὲν αὐτοῦ τὸ
παρανόμημα πρόφασις εὐπρεπὴς συγγνω-
στὸν ἐδόκει ποιεῖν, ὁ ἀδελφὸς Ἀσαῆλος ἐκ-
δεδικῆσθαι νομιζόμενος· τοῦ δὲ Ἀμεσσᾶ φόνου
οὐδὲν τοιοῦτον εἶχε παρακάλυμμα. ἀποκτεί-
νας δὲ τὸν στρατηγὸν, ἐδίωκε τὸν Σαβαῖον,
καταλιπὼν ἕνα πρὸς τῷ νεκρῷ, βοᾶν ἐντει-
Ζ λάμενος πρὸς τὴν στρατιὰν, ὅτι τέθνηκε
μὲν Ἀμεσσᾶς δικαίως καὶ μετ᾽ αἰτίας κολα-
ζόμενος· εἰ δὲ φρονεῖτε τὰ τοῦ βασιλέως,
ἕπεσθε αὐτοῦ τῷ στρατηγῷ Ἰωάβῳ, καὶ Ἀβεσ-
σαίῳ τῷ τούτου ἀδελφῷ.

ιβ. Καὶ Ἀμεσσαῒ τεθνηκὼς πεφυρ-
μένος ἐν τῷ αἵματι ἐν μέσῳ τῆς τρί-
βου. καὶ εἶδεν ἀνὴρ, ὅτι εἱστήκει πᾶς ὁ
λαὸς, καὶ ἀπέστρεψε τὸν Ἀμεσσαῒ ἐκ
Η τῆς τρίβου εἰς τὸν ἀγρόν· καὶ ἐπέῤῥι-
ψεν ἐπ᾽ αὐτὸν ἱμάτιον, καθ᾽ ὅτι εἶδεν

Pp 3 ὅτι

(1) Ἀβεσσαΐ. αἱ αὐτ. (2) Υἱοῦ Βοχορί. αἱ αὐτ. (3) Αὐτοί. αἱ αὐτ.
(4) Αὐτῶν. αἱ αὐτ. (5) Καὶ Ἀβεσσαῒ ὁ ἀδελ. αἱ αὐτ.

ὅτι πᾶς ὁ ἐρχόμενος ἐπ' αὐτῷ ἵσταται. A
ιγ. Καὶ ἐγένετο, ὅτε μετέστη ἐκ τῆς τρί-
βου, παρῆλθε πᾶς ἀνὴρ ὀπίσω Ἰωὰβ
τοῦ διῶξαι ὀπίσω Σαβεὲ υἱοῦ Βοχορί.
ιδ. Καὶ διῆλθεν ἐν πάσαις φυλαῖς Ἰσ-
ραὴλ εἰς Ἔβελ καὶ εἰς Βαιθμαχά·
καὶ πάντες ἐν Χαῤῥὶ, καὶ πᾶσαι αἱ
πόλεις ἐξεκκλησιάσθησαν, καὶ ἦλθον
ιε. κατόπισθεν αὐτοῦ. Καὶ παρεγενήθη-
σαν καὶ ἐπολιόρκουν ἐπ' αὐτὸν τὴν Ἔ- B
βελ καὶ τὴν Βαιθμαχά· καὶ ἐξέχεαν
πρόσχωμα πρὸς τὴν πόλιν, καὶ ἔστη ἐν
τῷ προτειχίσματι. καὶ πᾶς ὁ λαὸς
ὁ μετὰ Ἰωὰβ ἐνοοῦσαν καταβαλεῖν
ιϛ. τὸ τεῖχος. Καὶ ἐβόησε γυνὴ σοφὴ
ἐκ τοῦ τείχους, καὶ εἶπεν, ἀκούσατε ἀκού-
σατε, εἴπατε πρὸς Ἰωὰβ, ἔγγισον ἕως
ιζ. ὧδε, καὶ λαλήσω πρὸς αὐτόν. Καὶ Γ
προσήγγισε πρὸς αὐτήν. καὶ εἶπεν ἡ
γυνὴ, εἰ σὺ εἶ Ἰωάβ; ὁ δὲ εἶπεν, ἐγώ.
εἶπε δὲ αὐτῷ, ἄκουσον τοὺς λόγους τῆς
δούλης σου. καὶ εἶπεν Ἰωὰβ, ἀκούων (1)
ἐγώ εἰμι.

ιη. Καὶ εἶπε λέγουσα, λόγον ἐλά-
λησαν ἐν πρώτοις, λέγοντες, ἠρωτη-
μένος ἠρωτήθη ἐν τῇ Ἔβελ καὶ ἐν τῇ
Δὰν εἰ ἐξέλιπον ἃ ἔθεντο οἱ πιστοὶ τοῦ Δ
Ἰσραήλ. ἐρωτῶντες ἐπερωτήσουσιν ἐν
ιθ. Ἔβελ, καὶ οὕτως εἰ ἐξέλιπον. Ἐγώ
εἰμι εἰρηνικὰ τῶν στηριγμάτων Ἰσραήλ·
σὺ δὲ ζητεῖς θανατῶσαι πόλιν καὶ μη-
τρόπολιν ἐν Ἰσραήλ. καὶ ἵνα τί κα-
ταποντίζεις κληρονομίαν Κυρίου;

» * ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, εἰ ἐξέ-
» λιπον ἃ διέθεντο οἱ πιστοὶ τοῦ Ἰσραήλ; Ὁ
Σαβεὲ τυραννήσας, εἶτα φυγὼν, εἰς τὴν E
Ἔβελ (2) κατέφυγε πόλιν. ἔστι δὲ αὕτη
πόλις τῆς Παλαιστίνης, Ἀβιλὰ (3) νῦν ὀνο-
μαζομένη. τοῦ στρατηγοῦ τοίνυν πολιορκεῖν
ἐπιχειροῦντος, ἀνέμνησεν αὐτὸν ἡ σοφω-
τάτη γυνὴ τῶν θείων νόμων. ὁ γὰρ θεῖος
ἐκέλευσε νόμος πρεσβείᾳ κεχρῆσθαι πρό-
τερον, (4) καὶ μὴ πειθομένην, τότε πόλεμον
» συνάπτειν. διὰ τοῦτο ἔφη· εἰ ἐξέλιπον ἃ
» διέθεντο οἱ πιστοὶ τοῦ Ἰσραὴλ, τουτέστιν εἰ (5)
παραβῆναι χρὴ τὰ διηγορευμένα τοῖς νό- Z
» μοις. εἶτα, ἐγώ εἰμι, φησὶν, εἰρηνικὴ τῶν
» στηριγμάτων Ἰσραήλ. τί καταποντίζεις κλη-
» ρονομίαν Κυρίου; ἐπειδὴ σύ φησι οὐκ ἐχρή-
σω τῷ θείῳ νόμῳ (6) διαπρεσβευσάμενος,
ἐγώ σε διδάσκω, ὡς πολεμικὸν οὐκ ἔχει ἡ
πόλις σκοπὸν, ἀλλ' εἰρήνης ὀρέγεται. μὴ

A τοίνυν ἀνάστατον ἀποφήνῃς πόλιν, οὐκ ἀλ-
λόφυλον, ἀλλ' ὁμόφυλον, καὶ ὑπὸ τὸν αὐ-
τὸν τελοῦσαν Θεὸν καὶ δεσπότην.

κ. Καὶ ἀπεκρίθη Ἰωὰβ, καὶ εἶπεν,
ἵλεώς μοι, (7) εἰ καταποντιῶ καὶ εἰ
κα. διαφθερῶ. Οὐχ οὕτως ὁ λόγος, ὅτι
ἀνὴρ ἐξ ὄρους Ἐφραὶμ, Σαβεὲ υἱὸς
Βοχορὶ ὄνομα αὐτῷ, καὶ ἐπῆρε τὴν
χεῖρα αὐτοῦ ἐπὶ τὸν βασιλέα Δαβίδ.
B δότε μοι μόνον αὐτὸν, καὶ ἀπελεύσο-
μαι ἀπάνωθεν τῆς πόλεως. καὶ εἶπεν
ἡ γυνὴ πρὸς Ἰωὰβ, ἰδοὺ ἡ κεφαλὴ
αὐτοῦ ῥιφήσεται πρὸς σὲ διὰ τοῦ τεί-
κβ. χους. Καὶ εἰσῆλθεν ἡ γυνὴ πρὸς πάν-
τα τὸν λαὸν, καὶ ἐλάλησε πρὸς πᾶ-
σαν τὴν πόλιν ἐν τῇ σοφίᾳ αὐτῆς,
ἀφελεῖν τὴν κεφαλὴν Σαβεὲ υἱοῦ Βο-
Γ χορί· καὶ ἀφαιροῦσι τὴν κεφαλὴν Σα-
βεὲ υἱοῦ Βοχορὶ, καὶ ῥίπτουσιν αὐτὴν
πρὸς Ἰωάβ. καὶ Ἰωὰβ ἐσάλπισεν ἐν
τῇ πόλει τῇ κερατίνῃ, καὶ διεσπάρησαν
ἀπὸ τῆς πόλεως (8) ἀνὴρ εἰς τὰ σκη-
νώματα αὐτοῦ. καὶ Ἰωὰβ ἐπέστρεψεν
εἰς Ἱερουσαλὴμ πρὸς τὸν βασιλέα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τούτων ἀκούσας τῶν
λόγων ὁ στρατηγὸς ἔφη, μήτε πολέμου, μή-
Δ τε πολιορκίας ἐρᾶν, μόνον δὲ ἐθέλειν χει-
ρώσασθαι τὸν κατὰ τοῦ βασιλέως τυραννί-
δι χρησάμενον. μαθοῦσα τοίνυν τὴν αἰτίαν
τῆς πολιορκίας ἡ σοφωτάτη γυνὴ, τοὺς ἡγου-
μένους τῆς πόλεως ἔπεισε, μὴ περιθεῖναι
τῇ πόλει τοῦ πολέμου τὸν κίνδυνον, ἀλλ'
ἀναμνησθῆναι τῆς τοῦ βασιλέως εὐσεβείας
καὶ εὐνομίας, καὶ τῆς ἐν πολέμοις ἀνδρα-
γαθίας, καὶ ὡς διὰ τοὺς ἐκείνου πόνους εἰρή-
νης στεῤῥᾶς ἀπολαύουσι. τούτοις χρησαμένη
E τοῖς λόγοις, τοῦ τυράννου τὴν κεφαλὴν εἰς
τὸ στρατόπεδον ἔῤῥιψε, καὶ τὴν πολυορ-
κίαν διέλυσε.

κγ. Ὁ δὲ Ἰωὰβ ἐπὶ πάσῃ τῇ δυ-
νάμει Ἰσραήλ· καὶ Βαναίας υἱὸς Ἰω-
δαὲ ἐπὶ τοῦ Χερεθθὶ, καὶ ἐπὶ τοῦ Φε-
λεθθί.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἐπὶ τοῦ πλιν-
» θίου, (9) καὶ ἐπὶ τοὺς δυνατούς; Πλινθίον
Z οἶμαι καλεῖσθαι, ὃ παρὰ τοῖς ἔξω [συγ-
γραφεῦσι] πλαίσιον ὀνομάζεται. εἶδος δὲ
τοῦτο στρατιωτικῆς παρατάξεως τετράγω-
νον ἐχούσης τὸ σχῆμα. ὥσπερ τοίνυν ὁ [νῦν]
παρὰ Ῥωμαίοις Μάγιστρος ὀνομαζόμενος
τῶν περὶ τὸν βασιλέα πεζαιτέρων, ἀσπι-
δηφόρων φημὶ καὶ δορυφόρων, τὴν ἡγε-
μονίαν

(1) Ἀκούω. αἱ αὐτ. (2) Ἀβέλ. ἡ ἐν Χάλ. ἔκδ. (3) Ἀβελᾶ. ἡ αὐτ.
(4) Εἶθ' οὕτω τοῖς ἀντιλέγουσι παρατάττεσθαι. τοῦτο ἔφη καὶ αὕτη· εἰ, κτ. ἡ αὐτ.
(5) Μὴ παραβ. ἡ αὐτ. (6) Κατὰ τὸν θεῖον νόμον οὐκ ἐχρήσω τῇ πρεσβείᾳ, ἐγώ σε, κτ. ἡ αὐτ.
(7) Ἵλεώς μοι ἵλεώς μοι. αἱ εἰρημ. ἐκδόσ. (8) Ἀπ' αὐτοῦ ἀνήρ. αἱ αὐτ.
(9) Τὸ, πλινθίον, ἐν οὐδεμιᾷ τῆς Γραφῆς ἐκδόσει εὕρηται. κεῖται δὲ μόνον ἐν τοῖς τοῦ Ὠριγένους Ἑξαπλοῖς, ὡς τὸ εἰς αὐτὰ λεξικὸν τὸ ἐν τέλει τοῦ 2. Τόμου τῆς τοῦ Θρομίου συμφων. διαλαμβάνει. ἔτι δὲ καὶ ἐν τῷ 31. ἐδ. τοῦ 12. κεφ. τῆς 2. τῶν Βασ. κἀν τῷ 46. τοῦ 3. τῆς 3.

μονίαν πεπίστευται· οὕτως ὁ Βαναίας τῶν βασιλικῶν σωματοφυλάκων ἡγεῖτο, τῆς ἄλλης στρατιᾶς τελούσης ὑπὸ τὸν στρατηγὸν Ἰωάβ.

κδ. Καὶ Ἀδωρὰμ ἐπὶ τοῦ φόρου· καὶ Ἰωσαφὰτ υἱὸς Ἀχιλοὺθ ἀναμιμνήσκων.

** ΙΩΣΗΠΟΥ. Καθίστησι Βαναίαν ὁ βασιλεὺς ἐπὶ τῶν σωματοφυλάκων καὶ τῶν ἑξακοσίων, Ἀδώραμον δὲ ἐποίησεν ἐπὶ τῶν φόρων, καὶ Σαβάθην καὶ Ἀχίλαιον ἐπὶ τῶν ὑπομνηματογράφων· Σουσὰν δὲ γραμ- A ματέα, Σάδωκον δὲ καὶ Ἀβιάθαρον ἀπέφηνεν ἱερεῖς.

κε. Καὶ Σουσὰ γραμματεύς· καὶ
κς. Σαδὼκ καὶ Ἀβιάθαρ ἱερεῖς· Καί γε Ἴρας (1) ὁ Ἰαρὶν ἦν ἱερεὺς τοῦ Δαβίδ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τό, » Σαδὼκ καὶ Ἀβιάθαρ ἱερεῖς, καὶ Ἰωδαὲ [ὁ » Ἰεθὲρ ἦν] ἱερεὺς τῷ Δαβίδ; Ὁ Σαδὼκ καὶ ὁ Ἀβιάθαρ τὴν ἀρχιερατικὴν εἶχον ἀξίαν· B οὗτος δὲ ἱερεὺς ὤν, ἔνδον ἐν τοῖς βασιλείοις διῆγε, τῇ θείᾳ κιβωτῷ προσεδρεύων, καὶ τὰς βασιλικὰς ἱερουργῶν θυσίας.

ΚΕΦ. ΚΑ.

α. Καὶ ἐγένετο λιμὸς ἐν ταῖς ἡμέραις Δαβὶδ τρία ἔτη, ἐνιαυτὸς ἐχόμενος ἐνιαυτοῦ. καὶ ἐζήτησε Δαβὶδ τὸ πρόσωπον Κυρίου. καὶ εἶπε Κύριος, ἐπὶ Σαοὺλ καὶ ἐπὶ τὸν οἶκον αὐτοῦ ἡ ἀδικία (2) ἐν θανάτῳ αἱμάτων αὐτοῦ, περὶ οὗ ἐθα-
β. νάτωσε τοὺς Γαβαωνίτας. Καὶ ἐκάλεσεν ὁ βασιλεὺς Δαβὶδ τοὺς Γαβαωνίτας, καὶ εἶπε πρὸς αὐτούς· καὶ οἱ Γαβαωνῖται οὐχ υἱοὶ Ἰσραήλ εἰσιν, ὅτι ἀλλ' ἢ ἐκ τοῦ ἐλλείμματος τοῦ Ἀμορραίου, καὶ οἱ υἱοὶ Ἰσραὴλ ὤμοσαν αὐτοῖς, καὶ ἐζήτησε Σαοὺλ πατάξαι αὐτοὺς ἐν τῷ ζηλῶσαι αὐτὸν τοὺς υἱοὺς
γ. Ἰσραὴλ καὶ Ἰούδα. Καὶ εἶπε Δαβὶδ πρὸς τοὺς Γαβαωνίτας, τί ποιήσω ὑμῖν, καὶ ἐν τίνι ἐξιλάσομαι, καὶ εὐλογήσετε τὴν κληρονομίαν Κυρίου;

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τοῦ Σαοὺλ τοὺς Γαβαωνίτας ἀνῃρηκότος, μετὰ τὴν ἐκείνου τελευτὴν ὁ λαὸς ἐπαιδεύθη; Ἅπας ὁ λαὸς ἐπεποιήκει τὰς πρὸς τοὺς Γαβαωνίτας συνθήκας. ἐκοινώνησε δὲ τῶν ὅρκων καὶ Ἐλεάζαρ ὁ ἱερεύς, καὶ Ἰησοῦς ὁ προφήτης. ἔδει τοίνυν τῶν ὀμωμοκότων τοὺς ἀπογόνους τὰς γεγενημένας μὴ παραβῆναι σπονδάς· πεῖσαι δὲ καὶ τὸν παρανομοῦντα βασιλέα φυλάξαι τὸν ὅρκον. τούτου χάριν καὶ μετὰ τὴν ἐκείνου τελευτὴν λιμῷ (3) παιδεύονται. διδάσκει δὲ διὰ τούτων ἡμᾶς ὁ πάνσοφος ἅπαντα πρυτανεύων, ὡς κἂν παραυτίκα μακροθυμήσας μὴ ἐπενέγκῃ τὴν [ὑπὲρ τῶν παραβεβασμένων νόμων] ποινήν, ἀλλ' οὖν ὕστερον δίκας ἀξίας εἰσπράττεται. (4) καὶ γὰρ καὶ τότε μετὰ τεσσαράκοντα ἔτη λιμῷ τοὺς παρανενομηκότας ἐτιμωρήσατο. ἀγνοῶν δὲ τὴν αἰτίαν ὁ βασιλεὺς τῆς θεηλάτου πληγῆς, τὸν δίκαιον ἤρετο δικαστήν. γνοὺς δὲ (5) ὡς τῆς ἀδίκου τῶν Γαβαωνιτῶν Γ ἀναιρέσεως εὐθύνας εἰσπράττεται, αὐτοῖς ἐχρήσατο τοῖς ἠδικημένοις κριταῖς. καί » φησι (6) πρὸς τοὺς Γαβαωνίτας, τί ποιή- » σω ὑμῖν, καὶ ἐν τίνι ἐξιλάσομαι, καὶ εὐλο- » γήσετε τὴν κληρονομίαν Κυρίου; ἀλλὰ τούτων οὐκ ἐπακούουσιν οἱ Ἰουδαῖοι τῶν λόγων· ὅτι τῆς Χαναναίων εὐλογίας τὸ σπέρμα τοῦ Ἀβραὰμ ἐδεήθη. ἀλλ' ἐπὶ τοῖς προγόνοις μόνον μέγα φρονοῦσι, καὶ συνιδεῖν οὐκ ἐθέλουσιν, ὡς ἀρετὴ πολλῷ περιφανεστέρα προ- Δ » γονικῆς συγγενείας· καὶ κρινεῖ, κατὰ τὸν » θεῖον Ἀπόστολον, ἡ ἐκ πίστεως ἀκροβυστία, » τὸν νόμον πληροῦσα, τὸν διὰ γράμματος » καὶ περιτομῆς παραβάτην νόμου. ὥσπερ δὲ (7) οἱ τηνικάδε Ἰσραηλῖται ἡμαρτηκότες, τῆς Χαναναίων ἐδεήθησαν εὐλογίας· οὕτω καὶ οἱ τὸν Δεσπότην ἐσταυρωκότες, τῆς προγονικῆς ἐξέπεσον συγγενείας, (8) καὶ τῆς τῶν πεπιστευκότων ἐθνῶν προσδέονται διδασκαλίας. κἀκεῖνο δὲ πρὸς τούτοις ἐπισημήνασθαι δεῖ, E ὡς ὁ Σαοὺλ ζήλῳ χρησάμενος μετὰ τῶν ἄλλων Χαναναίων τοὺς Γαβαωνίτας κατέκλεινε. τοῦτο γὰρ ἡ θεία δι- » δάσκει Γραφή. οὐκ ἦσαν γάρ [φησιν] οἱ » Γαβαωνῖται ἐκ τῶν υἱῶν Ἰσραήλ. ὅτι ἀπὸ » τῶν καταλοίπων τῶν Ἀμορραίων ἦσαν, καὶ » οἱ υἱοὶ Ἰσραὴλ ὤμοσαν αὐτοῖς μὴ ἀπολέσαι » αὐτούς, καὶ ἐζήτησε Σαοὺλ τοῦ πατάξαι αὐ- » τοὺς ἐν τῷ ζηλῶσαι αὐτὸν τοὺς υἱοὺς Ἰσραὴλ καὶ Ἰούδα. διδάσκει τοίνυν ἡμᾶς ὁ λόγος, Z μὴ παραβαίνειν τὰς ἐπὶ Θεοῦ μεθ' ὅρκων γινομένας συνθήκας, κἂν εἰς ἄλλων ὠφέλειαν ἡ παράβασις γίγνηται.

Ῥωμ. β. 27.

δ. Καὶ εἶπαν αὐτῷ οἱ Γαβαωνῖται, οὐκ ἔστιν ἡμῖν ἀργύριον καὶ χρυσίον μετὰ Σαοὺλ καὶ μετὰ τοῦ οἴκου αὐτοῦ, καὶ οὐκ ἔστιν ἡμῖν ἀνὴρ θανατῶ-
ε. σαι ἐκ παντὸς Ἰσραήλ. Τί ὑμεῖς λέγετε,

(1) Ἰράς. αἱ αὐτ. (2) Ἀδικία. ἄνευ ἄρθρου. αὐτ. (3) Τοῦ λιμοῦ τὴν παιδείαν ὑπέμειναν. ἡ ἐν Χάλ. ἔκδ. (4) Ὥσπερ ἀμέλει καὶ τότε, τεσσαράκοντα ἤδη διεληλυθότων ἐτῶν, ἐπέδησε μὲν τῶν νεφῶν τὰς ὠδῖνας· τῷ δὲ τῆς ἀκαρπίας πάθει τὴν γῆν περιέβαλεν· ἐκόλασε δὲ λιμῷ τοὺς ταύτης οἰκήτορας. ἀγνοῶν δέ, κτ. ἡ αὐτ. (5) Τοίνυν. ἡ αὐτ. (6) Εἶπε γάρ φησι πρός. ἡ αὐτ. (7) Τοίνυν. ἡ αὐτ. (8) Εὐλογίας. αἱ αὐτ.

γετε, καὶ ποιήσω ὑμῖν; καὶ εἶπαν πρὸς
τὸν βασιλέα, ὁ ἀνὴρ ὃς συνετέλεσεν
ἡμᾶς καὶ ἐδίωξεν ἡμᾶς, καὶ ἐλογίσα-
το ἐξολοθρεῦσαι ἡμᾶς, ἀφανίσωμεν
αὐτὸν, τοῦ μὴ ἑστάναι αὐτὸν ἐν παντὶ
ς. ὁρίῳ Ἰσραήλ. Δότε ἡμῖν ἑπτὰ ἄν-
δρας ἐκ τῶν υἱῶν αὐτοῦ, καὶ ἐξιλά-
σωμεν (1) αὐτοὺς τῷ Κυρίῳ ἐν βουνῷ
Σαοὺλ ἐκλεκτοὺς Κυρίου. καὶ εἶπεν ὁ
βασιλεὺς, ἐγὼ δώσω.

* ΘΕΟΔΩΡΙΤΟΥ. Οἱ μέντοι Γαβαω-
νῖται ἑπτὰ ᾔτησαν ἄνδρας τῆς Σαοὺλ συγ-
γενείας, ἰσαρίθμους ταῖς ἡμέραις ἐν αἷς ὁ
» χρόνος ἀνακυκλεῖται. οὐκ ἔστι γὰρ ἡμῖν, φη-
» σὶν, (2) ἀργύριον οὐδὲ χρυσίον μετὰ Σαοὺλ
» καὶ μετὰ τοῦ οἴκου αὐτοῦ. καὶ οὐκ ἔστιν ἡμῖν
» θανατῶσαι ἄνδρα ἐκ παντὸς Ἰσραήλ. ὁ
» ἀνὴρ ὁ συντελέσας ἡμᾶς, καὶ διώξας ἡμᾶς,
» καὶ ὃς παρελογίσατο ἐξολοθρεῦσαι ἡμᾶς,
» ἀφανίσομεν αὐτὸν, τοῦ μὴ καθίστασθαι αὐ-
» τὸν ἐν παντὶ ὁρίῳ Ἰσραήλ. καὶ δοθήτωσαν
» ἡμῖν ἑπτὰ ἄνδρες ἐκ τῶν υἱῶν αὐτοῦ, καὶ ἐξι-
» λασόμεθα ἐν αὐτοῖς τῷ Κυρίῳ ἐν τῷ βουνῷ
» τοῦ Σαοὺλ ἐκλεκτοὺς τῷ Κυρίῳ. ἡ δὲ τῶν
Γαβαωνιτῶν μητρόπολις, Γαβαὼν ἐκαλεῖ-
το· μεταβαλλόμενον δὲ τοῦτο τὸ ὄνομα εἰς
τὴν ἑλλάδα γλῶσσαν, βουνὸς ὀνομάζεται.

ζ. Καὶ ἐφείσατο ὁ βασιλεὺς ἐπὶ
Μεμφιβοσθὲ υἱὸν Ἰωνάθαν υἱοῦ Σαοὺλ
διὰ τὸν ὅρκον Κυρίου τὸν ἀναμέσον αὐ-
τῶν, καὶ ἀναμέσον Δαβὶδ, καὶ ἀνα-
η. μέσον Ἰωνάθαν υἱοῦ Σαούλ. Καὶ ἔλα-
βεν ὁ βασιλεὺς τοὺς δύω υἱοὺς Ῥεσφὰ
θυγατρὸς Ἀϊὰ παλλακῆς Σαοὺλ, οὓς
ἔτεκε τῷ Σαοὺλ, τὸν Ἑρμονθὶ (3)
καὶ τὸν Μεμφιβοσθὲ, καὶ τοὺς πέντε
υἱοὺς τῆς Μελχὸλ θυγατρὸς Σαοὺλ,
οὓς ἔτεκε τῷ Ἐσδριὴλ υἱῷ Βερζελλὶ τῷ
Μωουλαθί.

θ. Καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ τῶν
Γαβαωνιτῶν, καὶ ἐξηλίασαν αὐτοὺς
ἐν τῷ ὄρει ἔναντι Κυρίου· καὶ ἔπεσον
ἐκεῖ οἱ ἑπτὰ ἐπὶ τὸ αὐτό· (4) αὐτοὶ δὲ
ἐθανατώθησαν ἐν ἡμέραις θερισμοῦ ἐν
πρώτοις, ἐν ἀρχῇ θερισμοῦ κριθῶν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐν ἐκείνῳ τοίνυν
τῷ χωρίῳ τοὺς ἐκδοθέντας αὐτοῖς ἀνεσκο-
λόπισαν ἄνδρας, ἐν ᾧ τὰς παρανόμους ἐκεῖ-
» νος ἐτόλμησε σφαγάς. τὸ γὰρ, ἐξηλία-
» σαν, ὁ Ἀκύλας, ἀνέπηξαν φησίν. οὗτοι δὲ
ἦσαν δύω μὲν τοῦ Σαοὺλ υἱοὶ νόθοι, πέντε
δὲ υἱωνοὶ αὐτοῦ.

** ΜΑΞΙΜΟΥ. Τὸν σωματικὸν νοῦν
τῆς Γραφῆς ἀφανίζει παντελῶς ὁ πράξει
διὰ τῆς φυσικῆς θεωρίας ἀποκλείων τὴν
γενομένην ἐκ τοῦ γραπτοῦ νόμου πρὸς τὴν
ἄστατον ὕλην καὶ ῥέουσαν τῇ ψυχῇ φιλή-

A δονον σχέσιν καὶ φιλοσώματον, κατασφάτ-
των ὡς τέκνα τοῦ Σαοὺλ καὶ ἔκγονα τὴν χα-
μαίζηλον τοῦ νόμου διάνοιαν, διὰ μέσης τῆς
φυσικῆς θεωρίας, ὡς ἐν ὄρει τῷ ὕψει τῆς
γνώσεως, καὶ φανερὰν ποιούμενος ἐνώπιον
Κυρίου, δι' ἐξομολογήσεως δηλαδὴ, τὴν πρὸς
σῶμα τοῦ νόμου προτέραν ἐκδοχήν. τοῦτο
» γὰρ τὸ, ἐξηλιάσαι, νοεῖσθαι δύναται τοῖς
» φιλομαθέσιν, ἔναντι Κυρίου. καὶ ἐξηλίασαν
» αὐτοὺς, φησὶν, ἐν τῷ ὄρει ἔναντι Κυρίου· εἰς
B φῶς ἀγαγόντες, διὰ τῆς γνώσεως δηλαδὴ,
τὴν κατὰ τὸ γράμμα πεπλανημένην πρό-
ληψιν· ὅπερ ἐστὶ, φανερῶσαι κατὰ τὸ ὕψος
τῆς θεωρίας τὸ γράμμα τοῦ νόμου νεκρὸν
διὰ τῆς ἐν πνεύματι γνώσεως.

ι. Καὶ ἔλαβε Ῥεσφὰ θυγάτηρ
Ἀϊὰ τὸν σάκκον, καὶ ἔστρωσεν αὐτὸν
αὐτῇ (5) ἐπὶ τὴν πέτραν ἐν ἀρχῇ θε-
ρισμοῦ κριθῶν, ἕως ἔσταξαν ἐπ' αὐτοὺς
Γ ὕδατα Θεοῦ ἐξ οὐρανοῦ· καὶ οὐκ ἔδωκε
τὰ πετεινὰ τοῦ οὐρανοῦ καταπαῦσαι ἐπ'
αὐτοὺς ἡμέρας, καὶ τὰ θηρία τοῦ ἀγροῦ
ια. νυκτός. Καὶ ἀπηγγέλη τῷ Δαβὶδ
πάντα ὅσα ἐποίησε Ῥεσφὰ θυγάτηρ
Ἀϊὰ παλλακὴ Σαούλ. καὶ ἐξελύθη-
σαν, καὶ κατέλαβεν αὐτοὺς Δὰν υἱὸς
Ἰωὰ ἐκ τῶν ἀπογόνων τῶν γιγάντων.
ιβ. Καὶ ἐπορεύθη Δαβὶδ, καὶ ἔλαβε τὰ
Δ ὀστᾶ Σαοὺλ, καὶ τὰ ὀστᾶ Ἰωνάθαν τοῦ
υἱοῦ αὐτοῦ παρὰ τῶν ἀνδρῶν υἱῶν Ἰαβὶς
Γαλαὰδ, οἳ ἔκλεψαν αὐτοὺς ἐκ τῆς
πλατείας Βαιθσὰν, ὅτι ἔστησαν αὐ-
τοὺς ἐκεῖ οἱ ἀλλόφυλοι ἐν ἡμέρᾳ ᾗ
ἐπάταξαν οἱ ἀλλόφυλοι τὸν Σαοὺλ
ιγ. ἐν Γελβουέ. Καὶ ἀνήνεγκεν ἐκεῖθεν
τὰ ὀστᾶ Σαοὺλ καὶ τὰ ὀστᾶ Ἰωνάθαν
E τοῦ υἱοῦ αὐτοῦ, καὶ συνήγαγε τὰ ὀστᾶ
τῶν ἐξηλιασμένων.

ιδ. Καὶ ἔθαψε τὰ ὀστᾶ Σαοὺλ καὶ
τὰ ὀστᾶ Ἰωνάθαν τοῦ υἱοῦ αὐτοῦ καὶ πάν-
των τῶν ἐξηλιασθέντων ἐν γῇ Βενια-
μὶν ἐν τῇ πλευρᾷ ἐν (6) τάφῳ Κὶς τοῦ
πατρὸς αὐτοῦ. καὶ ἐποίησαν πάντα
ὅσα ἐνετείλατο ὁ βασιλεύς· καὶ ἐπή-
κουσεν ὁ Θεὸς τῇ γῇ μετὰ ταῦτα.

Z * ΘΕΟΔΩΡΙΤΟΥ. Ὕστερον δὲ καὶ του-
τους ταφῆς ἠξίωσεν ὁ εὐσεβὴς βασιλεύς.
τῆς δε [τῆς] τιμωρίας γεγενημένης, ἵλεως
ὁ Δεσπότης ἐγένετο, καὶ τῶν νεφῶν λύ-
σας τὰς ὠδῖνας, τῇ γῇ τοὺς συνήθεις καρ-
ποὺς ἀναδοθῆναι προσέταξε. μανθάνομεν
δὲ διὰ τούτων, ὡς ὁ Θεὸς γένους οὐκ οἶδε δια-
φορὰν, ἀλλὰ τοῖς ἠδικημένοις, κἂν ἀλλό-
φυλοι εἶεν, δικαίως ἐπαμύνει.

H ιε. Καὶ ἐγενήθη ἔτι πόλεμος τοῖς
ἀλλοφύλοις μετὰ Ἰσραήλ. καὶ κα-
τέβη

(1) Ἐξηλιάσωμεν. αἱ εἰρημ. ἐκδόσ.
(2) Ἔφασαν. ἡ αὐτ.
(3) Ἑρμωνοί. αἱ αὐτ.
(4) Καὶ αὐτοί. αἱ αὐτ.
(5) Αὐτῇ. αἱ αὐτ.
(6) Τῷ τάφ. αἱ αὐτ.

τέβη Δαβὶδ καὶ οἱ παῖδες αὐτοῦ μετ᾽ A
αὐτοῦ, καὶ ἐπολέμησαν μετὰ τῶν ἀλ-
ις. λοφύλων· καὶ ἐξελύθη Δαβίδ. Καὶ
Ἰεσβὶ ὃς (1) ἦν ἐκ τῶν ἀπογόνων τῶν
γιγάντων, καὶ ὁ σταθμὸς τοῦ δόρατος
αὐτοῦ, τριακοσίων σίκλων ὁλκῆς, (2)
καὶ αὐτὸς περιεζωσμένος κορύνην, καὶ
ιζ. διενοεῖτο τοῦ πατάξαι τὸν Δαβίδ. Καὶ
ἐβοήθησεν αὐτῷ Ἀβεσσὰ υἱὸς Σαρουΐα,
καὶ ἔσωσεν αὐτὸν Ἀβεσσὰ, καὶ ἐπά-
B ταξε τὸν ἀλλόφυλον καὶ ἐθανάτωσεν
αὐτόν. τότε ὤμοσαν οἱ ἄνδρες Δα-
βὶδ, λέγοντες, οὐκ ἐξελεύσῃ ἔτι μεθ᾽
ἡμῶν εἰς πόλεμον, καὶ οὐ μὴ σβέσῃς
τὸν λύχνον Ἰσραήλ.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Πόθεν ὁ Δαβὶδ παρατατλόμενος ἐξελύθη; Πρεσβύτης ἦν· ἐνίκα δὲ τῇ προθυμίᾳ τοῦ σώματος τὴν ἀσθένειαν. πολὺν δὲ πόνον ὑπομείνας ἐν τῇ συμπλοκῇ· πρόμαχος γὰρ τῆς φάλαγγος ἦν· διελύθη, τὸν πόνον οὐκ ἐνεγκών. ἀναιρεθῆναι δὲ κινδυνεύσας ὑπὸ τοῦ προμάχου τῶν ἀλλοφύλων, παρὰ δόξαν ἐσώθη, τοῦ Ἀβεσσᾶ προασπίσαντος, καὶ τὸν μέγιστον ἐκεῖνον πολέμιον κτείναντος. κἀντεῦθεν τοίνυν ἔστι μαθεῖν, ὡς γίγαντας ὠνόμαζον τοὺς μείζονα σώματα ἔχοντας. καὶ γὰρ οὗτος ἀπόγονος ἦν γιγάντων, ὡς ὁ ἱστοριογράφος ἐδίδαξε. τοῦ δὲ βασιλέως τὸν κίνδυνον μεμαθηκὼς ὁ στρατὸς, ὤμοσε μηκέτι συγχωρήσειν αὐτῷ, μηκέτι (3) συμπλοκῆς κοινωνήσειν. καὶ δίκαιον γὰρ καὶ συμφέρον εἶξαι τῷ γήρᾳ, καὶ ἔνδον καθήμενον διατάττειν τὴν στρατιάν.

ιη. Καὶ ἐγενήθη μετὰ ταῦτα ἔτι
πόλεμος ἐν Γαζὲλ (4) μετὰ τῶν ἀλ-
λοφύλων, τότε ἐπάταξε Σοβολαὶ (5)
ὁ Ἀσωνθὶ τοὺς ἐπισυνηγμένους ἀπο-
ιθ. γόνους τῶν γιγάντων. Καὶ ἐγένετο
ἔτι πόλεμος ἐν Ῥὸβ μετὰ τῶν ἀλλο-
φύλων. καὶ ἐπάταξεν Ἐλεανὰν υἱὸς
Ἀρωρὶ ὁ Βηθλεεμίτης τὸν Γολιὰθ
τὸν Γετθαῖον· καὶ τὸ ξύλον τοῦ δόρα-
τος αὐτοῦ ὡς ἀντίον ὑφαινόντων.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ ἱστοριογράφος καὶ ἄλλων ἐμνήσθη γιγάντων, οὓς διὰ ῥώμην καὶ μέγεθος σώματος οὕτως οἱ τότε ὠνόμαζον, καὶ οὔτε ὡς δυσσεβεῖς, καθάτινες ἔφασαν, οὔτε ὡς πολὺν βιώσαντας χρόνον.

κ. Καὶ ἐγένετο ἔτι πόλεμος ἐν Γέθ.
καὶ ἦν ἀνὴρ ἐκ Μαδὼν, καὶ οἱ δάκτυ-
Γ λοι τῶν χειρῶν αὐτοῦ, καὶ οἱ δάκτυ-
λοι τῶν ποδῶν αὐτοῦ ἓξ καὶ ἓξ, εἰκοσι-
τέσσαρες ἀριθμῷ· καίγε αὐτὸς ἐτέχ-
θη τῷ Ῥαφά.

∗ ΠΡΟΚΟΠΙΟΥ. Ἀνὴρ ἐκ Γάδης· Ἀκύλας, ἀντίδικος, ἤγουν ἀντιλογίας· ὁ δὲ Σύμμαχος, πρόμετρος.

κα. Καὶ ὠνείδισε τὸν Ἰσραὴλ, καὶ
Δ ἐπάταξεν αὐτὸν Ἰωναδὰβ (6) υἱὸς Σα-
κβ. μὰ τοῦ ἀδελφοῦ Δαβίδ. Οἱ τέσσα-
ρες οὗτοι ἐτέχθησαν ἀπόγονοι τῶν γι-
γάντων τῷ Ῥαφᾶ ἐν Γὲθ, καὶ ἔπε-
σον ἐν χειρὶ Δαβὶδ, καὶ ἐν χειρὶ τῶν
δούλων αὐτοῦ.

ΚΕΦ. ΚΒ.

α. Καὶ ἐλάλησε Δαβὶδ τῷ Κυ-
ρίῳ τοὺς λόγους τῆς ᾠδῆς
ταύτης, ἐν ᾗ ἡμέρᾳ ἐξεί-
λετο αὐτὸν Κύριος ἐκ χειρὸς πάντων
τῶν ἐχθρῶν αὐτοῦ, καὶ ἐκ χειρὸς Σαοὺλ.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Μετὰ τούτους δὲ τοὺς πολέμους ἐπινίκιον τῷ Θεῷ συντέθεικεν ὕμνον ὁ θεῖος Δαβίδ. καὶ ἔστι σύμφωνος τῷ ἑπτακαιδεκάτῳ ψαλμῷ. μᾶλλον δὲ αὐτός ἐστιν, ὀλίγας ἔχων ὀνομάτων ἐναλλαγάς. ἐγὼ δὲ μετὰ τῶν ἄλλων ψαλμῶν καὶ τοῦτον ἑρμηνεύσας, περιττὸν ὑπέλαβον δευτέραν ἑρμηνείαν ποιήσασθαι.

β. Καὶ εἶπε· Κύριε πέτρα μου, καὶ
ὀχύρωμά μου, καὶ ἐξαιρούμενός με ἐμοὶ,

γ. Ὁ Θεός μου, Φύλαξ μου ἔσαι
μοι, πεποιθὼς ἔσομαι ἐπ᾽ αὐτῷ· ὑπε-
ρασπιστής μου, καὶ κέρας σωτηρίας μου,
E ἀντιλήπτωρ μου, καὶ καταφυγὴ (7)
σωτηρίας μου, ἐξ ἀδίκου σώσεις με.

∗∗ ΑΔΗΛΟΥ. (8) Τὸ μὲν ὑπερασπιστὴς ἐκ μεταφορᾶς εἶπε τῶν τὰς ἀσπίδας προτιθέντων, καὶ ῥυομένων βέλους. κέρας δὲ σωτηρίας ἀπὸ μεταφορᾶς τῶν σωζομένων ζώων διὰ τῆς τῶν κεράτων ἀμύνης· ἢ διὰ τοῦ κέρως, τὴν ἰσχὺν ἐσήμανε.

∗∗ ΘΕΟΔΩΡΙΤΟΥ. Ὑπερασπιστὴν, ὡς
„ πρόμαχον ἐν καιρῷ γεγενημένον. κέρας
Z „ σωτηρίας καὶ ἀντιλήπτορα, ὡς τῇ αὐτοῦ προ-
μηθείᾳ περισωθείς. τὸ δὲ κέρας σωτηρίας
τέθεικεν ἐκ μεταφορᾶς τῶν ζώων τῶν τοῖς
κέρασι τοὺς πολεμίους ἀμυνομένων. κέρας
„ δὲ λέγεται καὶ ἡ βασιλεία. καὶ δώσει γὰρ 1. Βασ. 2. 10.
„ ἰσχὺν τοῖς βασιλεῦσιν ἡμῶν, καὶ ὑψώσει
„ κέρας χριστοῦ αὐτοῦ· ἀντὶ τοῦ τὴν βασιλείαν
τοῦ Χριστοῦ αὐτοῦ.

ΑΣΤΕ-

(1) Ὅς. αἱ αὐτ. (2) Ὁλκῇ χαλκοῦ, καί. αἱ αὐτ.
(3) Τὸ, μηκέτι, περιττόν. οὐ περιέχει δὲ ἡ ἐν Χάλ. ἔκδ. (4) Γέθ. αἱ αὐτ.
(5) Σεβοχαὶ ὁ Ἀσατωθὶ τὸν Σὲφ ἐν τοῖς ἐγγόνοις τοῦ Ῥαφά. αἱ αὐτ. (6) Ἰωνάθαν. αἱ αὐτ.
(7) Καταφυγή μοι. αἱ αὐτ. (8) Τοῦτό τε καὶ πάντα τὰ ἑπόμ. τὰ ἐν τῷδε τῷ κεφ. ὑπομνήμ. ἐκ τῆς εἰς τοὺς ψαλμ. σειρ. ἐλήφθη. ἔνια δὲ καὶ ἐκ τῶν τοῦ Θεοδωρίτ. ὑπομνημ. τῶν εἰς τὸν 17. ψαλ.

Α **ΑΣΤΕΡΙΟΥ. Κέρας δὲ σωτηρίας ὁ
Λουκ. 1. 69. Χριστός. διὸ καὶ Ζαχαρίας εἶπε· καὶ ἤγει-
» ρε κέρας σωτηρίας ἐν οἴκῳ Δαβὶδ παιδὸς
αὐτοῦ. κέρας δέ, ἐπεὶ ἀπὸ τῶν πατέρων καὶ
Ῥωμ. 9. 5. ἀρχόντων τοῦ λαοῦ γεγέννηται. ὧν οἱ πατέ-
» ρες, καὶ ἐξ ὧν ὁ Χριστὸς τὸ κατὰ σάρκα.
1. Βασ. 2. 10. κέρας δὲ καὶ ἡ βασιλεία. καὶ ὑψώσει κέρας
» χριστοῦ αὐτοῦ.

δ. Αἰνετὸν ἐπικαλέσομαι Κύριον, καὶ ἐκ τῶν ἐχθρῶν μου σωθήσομαι.

**ΘΕΟΔΩΡΙΤΟΥ. Ἐνταῦθα διδασκόμεθα χάριν μὲν ὁμολογεῖν ὑπὲρ τῶν ὑπηργμένων ἀγαθῶν, αἰτεῖν δὲ πάλιν τὰ ἐνδέοντα. τοῦτο γάρ φησι ποιῶν, κρείττων ἔσομαι τῶν δυσμενῶν.

ε. Ὅτι περιέσχον με συντριμμοὶ θανάτου, καὶ χείμαρροι ἀνομίας ἐξεθάμβησάν με. (1)

**ΘΕΟΔΩΡΙΤΟΥ. Χειμάρρους δὲ ἀνομίας, τὰς ἀδίκους καὶ ἀθρόας τῶν ἐχθρῶν προσβολάς. καθάπερ γὰρ ὁ χειμάρρους τὰς τῶν ὑδάτων συρροίας ἐντεῦθεν κἀκεῖθεν φερομένας δεχόμενος, ἐξαπιναίως προσβάλλει· οὕτω καὶ ὁ Σαοὺλ καὶ οἱ ἄλλοι πολέμιοι ταῖς ἐφόδοις ἐχρῶντο.

**ΑΝΩΝΥΜΟΥ. Χειμάρρους ἀνομίας ἐρεῖς τὰ ῥεύματα τῆς κακίας.

**ΔΙΔΥΜΟΥ. Ἢ καὶ χείμαρροι ἀνομίας, διὰ τὸ εἰς ἀνομίαν ἔρχεσθαι τοὺς μὴ γενναίως ὑφισταμένους τὰ πειρατήρια.

**ΑΣΤΕΡΙΟΥ. Χείμαρροι ἀνομίας οἱ λογισμοὶ τῆς ἐπιθυμίας, αἱ ἀρχαὶ τῶν κακῶν. ἐὰν οὖν ἡ ψυχὴ ὡς ἐπὶ πέτραν, τὸν φόβον τοῦ Θεοῦ, τεθεμελίωται, οἱ χείμαρροι τῆς ἀνομίας ταύτην ἐκταράττουσιν, οὐ μὴν καταστρέφουσιν.

ς. Ὠδῖνες ᾅδου περιεκύκλωσάν με, προέφθασάν με θανάτου σκληρότητες.

**ΘΕΟΔΩΡΙΤΟΥ. Ὠδίνας θανάτου καὶ ᾅδου καλεῖ τοὺς θανατηφόρους κινδύνους. καθάπερ γὰρ αἱ ὠδῖνες παρ' αὐτὸν γίνονται τὸν τόκον, οὕτως οἱ μέγιστοι κίνδυνοι τῷ θανάτῳ πελάζουσιν.

**ΑΝΩΝΥΜΟΥ. Ὁ Χριστὸς καθὸ ἄνθρωπος, φησὶ ταῦτα. τούτῳ γὰρ ὁ θάνατος ὠδίνας ἔτεκε. Καὶ μετ' ὀλίγα. Ὠδῖνες ᾅδου περεκύκλωσαν, οἰηθέντες (2) αὐτὸν καταλαβεῖν· οὐ μὴν υἱὸς ᾅδου ἐγένετό ποτε. προέφθανον δὲ αὐτόν, ἤγουν προῆγον καὶ αἱ πρὸς θάνατον ἁμαρτίαι, τουτέστι παγίδες, ἀλλ' αὐτὸν οὐκ ἑάλωσαν.

**ΔΙΔΥΜΟΥ. Ὠδῖνες θανάτου καὶ ᾅδου τὰ πρὸς θάνατον ἁμαρτήματα.

**ΑΣΤΕΡΙΟΥ. Λέγοι δ' ἂν καὶ ὡς αἱ
Ψαλ. 50. 5. κυοφοροῦσαί με συνέλαβον ἁμαρτίαι. ἰδοὺ
» γὰρ ἐν ἀνομίαις συνελήφθην, καὶ ἐν ἁμαρ-
» τίαις ἐκύσσησέ με ἡ μήτηρ μου. ἐπὰν γάρ
τις ἐν ἀνομίαις συλληφθῇ, τέως ἐν τῇ κοι-
λίᾳ τοῦ Διαβόλου κρατεῖται ὡς ἔμβρυον.
ἐὰν οὖν μετανοήσῃ, ζῶν ἀπὸ τῆς κοιλίας
τοῦ Διαβόλου, ὡς Ἰωνᾶς ἀπὸ τῆς κοιλίας
τοῦ κήτους, ἐξέρχεται· εἰ δὲ μή, νεκρὸς καὶ
υἱὸς θανάτου ἐξέρχεται. ἐπεὶ οὖν καὶ ὁ Δα-
βὶδ ἐν ἁμαρτίαις συλληφθείς, τῇ τε μοι-
χείᾳ καὶ τῷ φόνῳ, μετενόησε, καὶ τοὺς δεσμοὺς
τῆς ἁμαρτίας αὐτοῦ διέρρηξεν ὁ Θεός, ὡς λέ-
» γειν· σὺ διέρρηξας τοὺς δεσμούς μου. ὁμολο- Ψαλ. 115. 16.
γῶν δὲ τὰς ὀλεθρίας ὠδίνας, φησί· περιέ-
Β » σχον με ὠδῖνες θανάτου, ἀλλ' οὐ κατέσχον με. Ψαλ. 17. 4.

ζ. Ἐν τῷ θλίβεσθαί με ἐπικαλέσομαι τὸν Κύριον, καὶ πρὸς τὸν Θεόν μου βοήσομαι, (3) ἐπακούσεται ἐκ ναοῦ ἁγίου αὐτοῦ φωνῆς μου, καὶ ἡ κραυγή μου ἐν τοῖς ὠσὶν αὐτοῦ.

**ΘΕΟΔΩΡΙΤΟΥ. Ὑπὸ τοσούτων μέντοι πολιορκούμενος συμφορῶν, πάσης ἀνθρωπίνης καταφρονήσας ἐπικουρίας, τὴν
Γ θείαν ἐπεκαλεσάμην ῥοπήν, καὶ τῆς ἐλπίδος οὐκ ἐψεύσθην. παραυτίκα γάρ μου τὰς ἱκετείας ἐδέξατο. ναὸν δὲ ἐνταῦθα, οὐ τὸν χειροποίητον λέγει· οὐδὲ γὰρ ᾠκοδόμητο τηνικαῦτα· ὁ Σολομὼν γὰρ αὐτὸν ἐδείματο μετὰ ταῦτα· ἀλλὰ τὸν οὐρανὸν προσηγόρευσεν οὕτως.

**ΩΡΙΓΕΝΟΥΣ. Ἐν μέσαις ταῖς θλίψεσι, καὶ ἀκμαζούσαις αὐταῖς, ἐπικλητέον τὸν Κύριον, καὶ κρακτέον πρὸς Θεόν.
Δ οὕτω γὰρ ἡμῶν ἐπακούσεται ἐκ τοῦ ναοῦ αὐτοῦ λόγων, καὶ ἀπὸ τοιαύτης διαθέσεως ἡμῶν ἡ εὐχὴ μετὰ παρρησίας ἐλεύσεται, ὡς εἰς οἰκεῖον τόπον, εἰς τὰ λεγόμενα ὦτα αὐτοῦ. μήποτε δὲ καὶ ὁπλιζόμεθα κατὰ τῶν ἐχθρῶν ἐν αὐτῷ τῷ αἰνεῖν καὶ ἐπικαλεῖσθαι τὸν Κύριον.

η. Καὶ ἐταράχθη καὶ ἐσείσθη ἡ γῆ, καὶ τὰ θεμέλια τοῦ οὐρανοῦ συνεταράχ-
Ε θησαν καὶ διεσπαράχθησαν, (4) ὅτι ἐθυμώθη Κύριος αὐτοῖς.

**ΘΕΟΔΩΡΙΤΟΥ. Ταῦτα δὲ ἅπαντα τέθεικεν, οὐχ ὡς πάντως οὕτω γεγενημένα, ἀλλ' ὡς οὕτω τῇ πίστει νενοημένα. οὐ μόνον δὲ τιμωρούμενος ὁ Θεός, ἀλλὰ καὶ δεδιττόμενος τοὺς ἀνθρώπους πολλάκις τοιαῦτα πεποίηκε, καὶ βρονταῖς, καὶ κτύποις, καὶ σεισμοῖς ἐκπλήττων, καὶ πυρί. οὕτω καὶ τὸν Ἰσραὴλ δεδίξασθαι θελήσας, τὸ Σινᾶ ὄρος πυρὶ
Ζ καπνιζόμενον ἔδειξε. διὰ τούτων τοίνυν καὶ ὁ παρὼν Προφήτης τὴν τοῖς πολεμίοις ἐπενεχθεῖσαν τιμωρίαν ἐμήνυσε. διδάσκει δὲ καὶ τοὺς ἄλλους ἀνθρώπους, μὴ τὰ ὅμοια δρᾶν, ἵνα μὴ τὰ ὅμοια πάθωσιν.

**ΩΡΙΓΕΝΟΥΣ. Τῷ μὲν ἑστηκότι ἕστη-
κεν ὁ Θεός, τῷ δὲ σαλευομένῳ σαλεύεται. ὡς
» Μωϋσεῖ λέγεται· στῆθι ἐναντίον Φαραώ. ὅτε Ἐξόδ. 8. 20.
μέντοιγε Ἀδὰμ παρήκουσε τοῦ Θεοῦ, μᾶλλον
» δὲ τῆς γυναικὸς ἤκουσε, τότε ἤκουσε τοῦ Θεοῦ Γεν. 3. 8.
Η περιπατοῦντος. οὐκ ἔτι γὰρ αὐτῷ ἕστηκεν ὁ
Θεός. καὶ ὡς ἀγαθὸς δὲ ὁ κρίνων οὐχ ἕστηκε.
σαλευο-

(1) Ἐθάμβησάν με. αἱ αὐτ.
(2) Οἰηθεῖσαι. τὸ γὰρ οἰηθέντες ἀσύντακτον.
(3) Καὶ ἐπακ. αἱ αὐτ.
(4) Ἐσπαράχθησαν. αἱ αὐτ.

σαλευομένου δὲ Θεοῦ, ἔντρομος γίνεται οὐχ οὐρανὸς ἀλλὰ γῆ.

θ. Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, καὶ πῦρ ἐκ στόματος αὐτοῦ κατέδεται· ἄνθρακες ἐξεκαύθησαν ἀπ' αὐτοῦ.

** ΑΔΗΛΟΥ. Πάντα ἐν ταραχῇ καὶ κλόνῳ κατέστη, ὡς τοῦ κοινοῦ Δεσπότου ὀργιζομένου. καὶ ἰδοὺ, φησὶν, ἰδεῖν τὴν μὲν ὀργὴν τοῦ Θεοῦ μιμουμένην πῦρ, οὗ προέτρεχε καπνὸς, μηνύων τῆς ὀργῆς τὴν ἐπίτασιν. καπνὸς γὰρ προτρέχων σημαίνει τοῦ πυρὸς
B
» τὴν ἔκκαυσιν. Καὶ μετ' ὀλίγα. Ἀνέβη καπνὸς, σύμβολον ἐμπρησμοῦ τῆς ἀπάτης παρὰ τοῦ πῦρ ἐλθόντος βαλεῖν ἐπὶ γῆς· ἀφ' οὗ πυρὸς καὶ (1) ἄνθρακες ἀνήφθησαν οἱ Ἀπόστολοι ἐμπιπρόντες τὴν ἀπιστίαν.

» ** ΔΙΔΥΜΟΥ. Ἀνέβη καπνὸς ἐν ὀργῇ αὐτοῦ, τῆς μοχθηρᾶς ὕλης δαπανωμένης, ἀναλογίαν ἐχούσης πρὸς τὰ ἐποικοδομούμενα ἐπὶ τῷ Χριστοῦ θεμελίῳ ὄντι ὑπὸ
Γ
1. Κορ. 3. 12. φαύλων ἀνθρώπων, ξύλα, χόρτον, καλάμην. φαῦλαι δὲ ταῦτα πράξεις καὶ γνῶμαι. οἱ δὲ ἄνθρακες ποτὲ μὲν κολάσεις σημαίνουσιν, ὡς ἐν τῷ·
Ῥωμ. 12. 20. ἐὰν πεινᾷ ὁ ἐχθρός
» σου, ψώμιζε αὐτόν· ἐὰν διψᾷ, πότιζε αὐ-
» τόν. τοῦτο γὰρ ποιῶν, ἄνθρακας πυρὸς σω-
» ρεύσεις ὑπὸ (2) τὴν κεφαλὴν αὐτοῦ. καὶ τῷ,
Ψαλ. 139. 10. πεσοῦνται ἐπ' αὐτοῖς ἄνθρακες πυρὸς, καὶ
» καταβαλεῖς αὐτούς. οὗτοι ἔσονταί σοι βοήθεια. ποτὲ δὲ τοὺς διαπύρους τοῦ Θεοῦ λόγους,
Δ
καθαίροντας τοὺς τῆς ψυχῆς λογισμούς. καὶ
Ἡσ. 6. 6. » δῆλον ἐξ Ἡσαΐου, φήσαντος· καὶ ἀπεστάλη
» ἐν τῶν Σεραφὶμ, καὶ ἔλαβεν ἄνθρακα τῇ
» λαβίδι ἀπὸ τοῦ θυσιαστηρίου. πυροῖ τοίνυν εἰς φαιδρότητα τοὺς λογισμοὺς τῆς ἑτοίμου πρὸς τοῦτο ψυχῆς· ἁμαρτωλοὺς δὲ καθαίρει, τὰς πράξεις αὐτῶν καταφλέγων. τὸ δὲ πῦρ, εἰ μὴ δέξωνται τοῦτο, καταφλέξει τὸ πῦρ αὐτοὺς τὸ αἰώνιον.

ι. Καὶ ἔκλινεν οὐρανὸν (3) καὶ κατέβη, καὶ γνόφος ὑποκάτω τῶν ποδῶν αὐτοῦ.
E

** ΘΕΟΔΩΡΙΤΟΥ. Ἐνταῦθα τοῦ Θεοῦ τὴν ἐπιφάνειαν διηγούμενος, ἱκανὸν τοῖς ἀκροαταῖς ἐντίθησι δέος. ἀλλ' ὅμως οὔτε κατάβασιν, οὔτε ἀνάβασιν τῆς θείας ἡμεῖς ἐπιστάμεθα φύσεως. ἀπερίγραπτον γὰρ τὸ θεῖον, πανταχοῦ παρὸν, περιέχον τὰ πάντα. τὸ διάφορον δὲ τῶν οἰκονομιῶν διὰ τούτων ἐκπαιδευόμεθα. ποτὲ μὲν γὰρ προσηνέστερον φαίνεται τοῖς ἀνθρώποις, ποτὲ δὲ
Z
μεγαλοπρεπέστερον· ἔστι δ' ὅτε καὶ φόβον ἐνθεῖναι βουλόμενος, παράδοξά τινα δείκνυ-
» σι καὶ ἀήθη. τὸ τοίνυν, ἔκλινεν οὐρανοὺς καὶ κατέβη, νοήσωμεν ὅτι τὴν οἰκείαν ἐπιφάνειαν ἔδειξε· γνόφον δὲ ὑπὸ τοὺς πόδας, τὸ τῆς παρουσίας ἀόρατον· τὴν δὲ τῶν Χερουβὶμ ἐπίβασιν, καὶ τὴν τῶν ἀνέμων πτῆσιν, τὸ τῆς ἐπιφανείας ὀξύ.

** ΑΔΗΛΟΥ. Ἐὰν μὲν ἐπὶ τῆς οἰκο-
H
» νομίας λάβοις τὸ, ἔκλινεν, ἴσον ἐστὶ τῷ,

A » ἐταπείνωσεν ἑαυτόν. ἔκλινε γὰρ οὐρανοὺς, Φιλιπ. 2. 8.
ἵνα συνάψῃ τὴν γῆν τῷ οὐρανῷ· καὶ ἐπεδήμησεν ἐν γῇ διὰ σαρκὸς, ἣν καὶ γνόφον ἐκάλεσε. τέθειται γὰρ ἡ σὰρξ ὡς γνόφος μέσον ἡμῶν, ὥσπερ ἐπὶ Μωσέως τὸ κάλυμμα, ἵνα μὴ ῥᾳδίως ἴδῃ σκοτεινὴ φύσις κάλλος ἀπόθετον, μηδὲ ῥᾳδίως κτησαμένη, ῥᾳδίως καὶ ἀποβάλῃ διὰ τὴν εὐκολίαν τῆς κτήσεως.

» ** ΗΣΥΧΙΟΥ. Ἔκλινεν οὐρανοὺς, ἵνα τὴν γῆν τῷ οὐρανῷ συνάψῃ, καὶ τοῖς κάτω
B
πρὸς τὰ ἄνω κοινωνίαν χαρίσηται. οὐκ ἂν δὲ τοῦτο ἐγένετο, εἰ μὴ καταβὰς τοῦτον τὸν τρόπον, ἐπεδήμει τῇ γῇ, καθ' ὃν ἠδύνατο δέχεσθαι, τουτέστιν ἐν σαρκὶ, ἥντινα γνόφον ὑπὸ τοὺς πόδας ἐκάλεσε.

** ΔΙΔΥΜΟΥ. Ἡ δὲ κατάβασις τῇ τοῦ Σωτῆρος ἀκόλουθος οἰκονομίᾳ. κατέβη
» δὲ οὐ τοπικῶς, ἀλλ' ἐν μορφῇ Θεοῦ ὑπάρχων, Φιλιπ. 2. 6, 7.
» μορφὴν δούλου λαβών. τὸ δὲ ἀσαφὲς καὶ λανθάνων τῆς τοῦ Θεοῦ γνώσεως, διὰ τοῦ
Γ
γνόφου παρίσταται· εἰς τοῦτον γὰρ καὶ Μωϋσῆς, ὡς ἦν ἀνθρώπῳ δυνατὸν, εἰσελήλυθε. τοιαύτη καὶ ἡ δεῦρο ἐπιδημία, τῷ μὴ δι' ὅλων ἐγνῶσθαι τοῖς γενητοῖς.

ια. Καὶ ἐπεκάθισεν (4) ἐπὶ Χερουβεὶμ καὶ ἐπετάσθη, καὶ ὤφθη ἐπὶ πτερύγων ἀνέμων.

** ΘΕΟΔΩΡΟΥ. Ὅταν ἀπὸ τοῦ σχη-
Δ
ματισμοῦ ἴδῃ τινὰ ἀπρέπειαν ὑπερφαινομένην, ἢ ταπεινότητα, τῇ παρενθέσει τῶν ἐν μέσῳ πάλιν αὔξει τὸν λόγον. οἷον, εἶπεν, ὅτι κατέβη ἐκ τῶν οὐρανῶν, καὶ εἶχε γνόφον ὑπὸ τοὺς πόδας αὐτοῦ. ἐπειδὴ τοίνυν ταπεινή τις ἐντεῦθεν ὑπεφαίνετο ἡ παρου-
» σία, παρενέθηκε τὸ, ἐπέβη ἐπὶ Χερουβὶμ, δεικνὺς αὐτὸν ὡς βασιλέα ἐφ' ἅρματος ὀχούμενον, καὶ οὕτω παραγενόμενον.

** ΔΙΔΥΜΟΥ. Τὸ δὲ Χερουβ ἑρμη-
E
νεύεται πληθυσμὸς γνώσεως. τοῖς οὖν λογικοῖς τούτοις ζώοις, ἢ καὶ ταῖς τοιαύταις ψυχαῖς ἐπιβὰς ὁ Θεὸς, ἵπταται διὰ τῆς ὀξυτάτης νοήσεως. ἀνέμους δὲ, εἰ μὲν τοὺς αἰσθητοὺς λάβοις, τῷ λόγῳ τῆς προνοίας ἐπιβαίνει τούτων Θεὸς, ἄγων αὐτοὺς ὡς βού-
» λεται· ἐξάγων γάρ ἐστιν ἀνέμους ἐκ θησαυ- Ψαλ. 134. 7.
ρῶν αὐτοῦ· εἰ δὲ τοὺς πνεύματι μετεωριζομένους, καὶ ὡς ἀνέμους πνοὰς ἐκπέμποντας, σοφοὺς ἄνδρας νοήσεις, καὶ τούτων ταῖς
Z
πτέρυξι, τουτέστι ταῖς ὑψιπέτεσι νοήσεσιν ὁ Θεὸς ἐπιβαίνων ἵπταται πανταχοῦ. καὶ ἀνέμους δὲ διδασκαλίας, περὶ ἑτεροδόξων λέ-
» γων εἶπεν ὁ Ἀπόστολος· ἵνα μηκέτι ὦμεν Ἐφεσ. 4. 14.
» νήπιοι, κλυδωνιζόμενοι, καὶ περιφερόμενοι
» παντὶ ἀνέμῳ τῆς διδασκαλίας, ἐν τῇ κυ-
» βείᾳ τῶν ἀνθρώπων, ἐν πανουργίᾳ πρὸς
» τὴν μεθοδείαν τῆς πλάνης.

** ΑΔΗΛΟΥ. Ἐπέβη δὲ καὶ ἐπὶ Χερουβὶμ ἐν τῇ ἀναλήψει, ὡς ἐν ταῖς Πράξεσι
H
γέγραπται. (5) πτέρυγας δὲ ἀνέμων, τὴν νεφέλην φησὶν, ἥτις αὐτὸν ὑπέλαβε.

(1) Πῦρ καὶ ἄνθρακες, ἢ καὶ πυρὸς ἄνθρακες, ἀνάγν. (2) Ἐπὶ, ἀνάγν. (3) Οὐρανούς. αἱ αὐτ. (4) Ἐπέβη. ἡ ἐν Κομπλ. ἔκδ. (5) Ἐν κεφ. 1. ἐδ. 9.

ιβ. Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ· κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ σκότος ὑδάτων, ἐπαχύνθη (1) νεφέλαις ἀέρων.

** ΑΔΗΛΟΥ. Εἴη δ' ἂν καὶ κύκλῳ αὐτοῦ ἡ σκηνὴ αὐτοῦ ἡ Ἐκκλησία, ἐν ᾗ ἐπεσκήνωσε. κύκλῳ δὲ, διὰ τὸ ἐπαγγείλασθαι ἐν μέσῳ εἶναι αὐτῶν δυοῖν καὶ τριῶν τῶν ἐν τῷ αὐτοῦ ἐπισυνηγμένων ὀνόματι. ὅρα δὲ πῶς σχηματίζει τὸν λόγον εἰς κάλλος. εἰ- B πὼν γὰρ γνόφον, καὶ ἰδὼν ἀπρέπειαν διὰ τοῦ ὀνόματος, ἐπήγαγεν, ἐπέβη, δεικνὺς ὡς βασιλέα ἡνιοχούμενον. πάλιν δὲ ἀποκρυφὴν εἰπὼν, ἐπήγαγε, κύκλῳ αὐτοῦ. ὅτι τὸ σκότος, φησὶ, κατὰ τῶν ἐχθρῶν προεβέβλητο, περὶ αὐτὸν δὲ φῶς ἦν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πολλαχοῦ τῆς Γραφῆς αἱ νεφέλαι τοὺς Προφήτας σημαίνουσι. τὸ οὖν ἐν αὐταῖς ὕδωρ πρὸ τῆς τοῦ Σωτῆρος σαφηνείας σκοτεινὸν εἶναι λέγεται. Γ ὅταν δὲ λαλήσαντος τοῦ Θεοῦ ἐν υἱῷ πληρωθῇ νόμος καὶ Προφῆται ἀπὸ τῆς τηλαυγήσεως καὶ τῆς ἐπιλάμψεως, ἐνώπιον αὐτοῦ συνελεύσονται νεφέλαι, φαναὶ γενόμεναι διὰ τὸ παρεῖναι τὸν ὑπ' αὐτῶν προαναφωνηθέντα. ἢ τὴν ἀφανῆ καὶ λανθάνουσαν διατριβὴν λέγει, ἣν σὺν ἀνθρώποις εἰς ἔτι καὶ νῦν ποιεῖται μετὰ τὴν ἀνάληψιν. σκηνὴ δὲ τὴν Ἐκκλησίαν δηλοῖ, τῶν σκο- Δ τεινῶν οἱονεὶ νεφελῶν εἰς φῶς διὰ σαφήνειαν προσελθουσῶν, οὐδεμιᾶς ἀπολογίας ἀπολείπεται πρόφασις τοῖς ἁμαρτάνουσιν.

ιγ. Ἀπὸ τοῦ φέγγους ἐναντίον αὐτοῦ ἐξεκαύθησαν ἄνθρακες πυρός.

** ΘΕΟΔΩΡΙΤΟΥ. Καθάπερ γάρ φησι τῇ πυκνότητι τῶν νεφῶν ζοφώδης γινόμενος ὁ ἀὴρ, τῆς ἀστραπῆς ἐκπέμπει τὴν αἴγλην· οὕτως ἀόρατος ὢν ὁ τῶν ὅλων E Θεὸς, καὶ τοῦ νοεροῦ φωτὸς τὰς ἀκτῖνας ἀφίησι, καὶ τῷ κολαστικῷ πυρὶ κολάζει τοὺς πονηρίᾳ συζῶντας.

ιδ. Καὶ ἐβρόντησεν ἐξ οὐρανοῦ Κύριος, καὶ ὁ ὕψιστος ἔδωκε φωνὴν αὐτοῦ.

** ΑΔΗΛΟΥ. Πῶς ἐβρόντησεν ὁ ἀνωτέρω κλίνας τοὺς οὐρανοὺς καὶ καταβὰς, εἰ μὴ πάντως ἀνεληλύθει; ὃ διὰ τοῦ, ἐπέβη ἐπὶ Χερουβὶμ καὶ ἐπετάσθη, ὑπεδήλου. Z Ἢ τότε, ὅτε τὸν Παράκλητον ἀπέστειλε, βροντῆς ὀνομασθείσης τοῦ τότε γενομένου ἤχου· ὅτε καὶ ἔδωκε τὴν φωνὴν αὐτοῦ, διαμερίσας τὰς γλώττας διὰ τοῦ Παρακλήτου.

** ΔΙΔΥΜΟΥ. Ἐκβάσεως τετυχηκότων τῶν περὶ Χριστοῦ προφητευομένων, ὁ Θεὸς εὐθὺς οὐρανόθεν βροντᾷ. τοῦτο μὲν, τῷ τῇ ἐκβάσει μεγαλοφώνους δεδεῖχθαι τὰς προφητείας· τοῦτο δὲ, τῷ θεολογίας ὕψος τὸν Θεὸν ταῖς διανοίαις περὶ τοῦ μονο-
Ματθ. 17. 5. γενοῦς ἐμβαλεῖν υἱοῦ, καὶ λέγειν· οὗτός ἐστιν H ὁ υἱός μου ὁ ἀγαπητὸς, ἐν ᾧ εὐδόκησα. τοι-
Ματθ. 16.17. γαροῦν οὐχ αἷμα καὶ σὰρξ αὐτοῖς ἀπεκάλυψεν, ἀλλ' ὁ πατὴρ ὁ οὐράνιος, τὸν ἴδιον υἱὸν παρασκευάσας πρὸς ὑποδοχὴν τῆς θείας βροντῆς ἐν γῇ σωματικῶς γεγονέναι, καὶ τὴν ἰδίαν ψυχὴν νόμῳ θνητότητος προέσθαι ὑπὸ (2) τοῦ πλάσματος, ὡς ἂν ἐκ τῆς οὐρανόθεν ἐρχομένης βροντῆς μετεωρισθέντες τῶν γηΐνων, προσπελάσωσι τῷ οὐρανίῳ, τὴν εἰκόνα τοῦ ἐπουρανίου φοροῦντες.

ιε. Καὶ ἀπέστειλε βέλη, καὶ ἐσκόρ- B πισεν αὐτούς· καὶ ἤστραψεν ἀστραπὴν, καὶ ἐξέστησεν αὐτούς.

** ΑΔΗΛΟΥ. Ἀπέστειλεν οἷα βέλη τοὺς μαθητὰς πρὸς διασκορπισμὸν τῶν ἀπίστων· ἢ κατὰ ῥητὸν εἰσάγει αὐτὸν ὡσανεὶ στρατηγὸν εἰς συμμαχίαν αὐτοῦ. βέλη δὲ πάντα τὰ βαλλόμενα λέγει, χάλαζαν, ἄνθρακας, ἔτι πέφυκε βάλλεσθαι. καὶ ἀστραπὰς δέ φησι συνέπεμπεν, ὡς μὴ δύνασθαι αὐ- Γ τοὺς ἀτενίζειν πρὸς αὐτόν.

** ΔΙΔΥΜΟΥ. Τοῖς ἐναντίως διακειμένοις ἐξαποστέλλει βέλη, συνταράξαι δυνάμενα τοὺς ὁμονοοῦντας ἐν τῷ κακῷ. λέγει δὲ νῦν βέλη τοὺς προαναφωνουμένους περὶ κολάσεως λόγους. ταράττονται γὰρ ταῖς περὶ αὐτῆς ἀπειλαῖς.

** ΘΕΟΔΩΡΙΤΟΥ. Ταῦτα καὶ ἐφ' ἡμῖν πολλάκις ἐγένετο. ἐν γὰρ τοῖς ἔναγχος γεγενημένοις πολέμοις, καὶ τοὺς ἀρκτῴους Βαρ- Δ βάρους ἐπελθόντας ἡμῖν, χαλάζῃ καὶ πυρὶ κατηνάλωσε, καὶ τοὺς ἀπὸ τῆς ἕω πρώην ἐπιστρατεύσαντας Πέρσας, καὶ ἀναιμωτὶ τὰς ἡμετέρας πόλεις παραλαβεῖν προσδοκήσαντας ταύταις ἐπέδησε ταῖς πέδαις, καὶ περαιτέρω προβῆναι κεκώλυκε· καὶ τοὺς μὲν θανάτῳ παρέπεμψε, τοὺς δὲ τῶν γεγενημένων ἀγγέλους ἐξέπεμψε.

ιϛ. Καὶ ὤφθησαν αἱ πηγαὶ... ιϛ. Καὶ ὤφθησαν ἀφέσεις θα- E λάσσης, καὶ ἀπεκαλύφθησαν θεμέλια τῆς οἰκουμένης ἐν τῇ ἐπιτιμήσει Κυρίου, ἀπὸ πνοῆς πνεύματος θυμοῦ αὐτοῦ.

** ΩΡΙΓΕΝΟΥΣ. Ἀγαθὸν καὶ τὸ ἀποκαλυφθῆναι τὰ θεμέλια τῆς οἰκουμένης, ἵνα θεωρηθῇ ἡ ἁγία Τριὰς, ἥτις ἄρχεται τῶν κτισμάτων. πῶς τὰ τούτων ποιητικὰ, κἂν σκυθρωπὰ εἶναι δοκῇ, εὐλόγως τὶς αἰ- Z τιάσεται, τὴν χάλαζαν, καὶ τοὺς ἄνθρακας πυρὸς, καὶ τὰ βέλη, καὶ τὰς ἀστραπὰς, καὶ ἐπιτιμήσεις τοῦ Θεοῦ, καὶ τὴν ἐμπνευσιν τοῦ πνεύματος τῆς ὀργῆς αὐτοῦ; ἅμα δὲ τήρει, ὅτι ἡ ἐπιτίμησις θεραπεία τίς ἐστι τοῦ ἐπιτιμωμένου, ἐπιπλησσομένου, ἵνα παύσηται ἐνεργῶν τὰ χείρονα. ὅθεν πυρετὸν, καὶ ἀνέμους, καὶ θάλασσαν ἐπιτιμώμενα ὑπὸ Ἰησοῦ ἀκούων, νόει ἀξίως τῆς Ἰησοῦ χρηστότητος. Ἢ οὕτως· οἰκουμένην συνίστησι νοήματα, καὶ λόγοι, καὶ πράξεις, ἐποι- H κοδομούμενα ταῖς ἕξεσί τε καὶ διαθέσεσιν. ὅταν οὖν σκορπίσας τοὺς φαύλους τοῖς βέλεσι συνταράξῃ καὶ ταῖς ἀστραπαῖς, τῶν κρυπτῶν

(1) Ἐπάχυνεν ἐν νεφ. αἱ εἰρημ. ἐκδόσ.

(2) Ὑπέρ. ὀρθότερ.

πλῶν τῶν ἀνθρώπων φανερουμένων, φωτίζοντος τοῦ Θεοῦ τὰ κρυπτὰ τοῦ σκότους, καὶ θεμέλια τῆς οἰκουμένης ἀνακαλύψει, τοὺς ἀσεβεῖς διὰ κολάσεων ἐπιτιμῶν. Θεμέλια δὲ οἰκουμένης καὶ ἄνδρες θεῖοι διὰ τὸ εὔτονον, ἐφ' οἷς ἐποικοδομοῦνται οἱ κατὰ Χριστὸν πολιτευόμενοι. καὶ οὗτοι δὲ ἀνακαλύπτονται, ἐπιτιμήσεως γενομένης κατὰ τῶν πονηρῶν, μηδαμῶς ἁπτομένης αὐτῶν τῆς κολάσεως. οὐ παραυτίκα δὲ κολάζει ὁ Θεὸς τοὺς ἁμαρτάνοντας· προαναφωνεῖ δὲ τῆς ὀργῆς τὰς κολάσεις. καὶ τοῦτό ἐστι τὸ ἐμπνέειν αὐτὸν πνεῦμα τῆς ὀργῆς αὐτοῦ.

** ΑΘΑΝΑΣΙΟΥ. Θεμέλια τῆς οἰκουμένης καὶ τὴν τοῦ Μωϋσέως τοῦ πανσόφου γραφὴν νοήσεις. κρηπῖδα γὰρ πίστεως καὶ θεογνωσίας ἐν αὐτῇ, καὶ προτεθειμένην εὑρήκαμεν, τὸ Χριστοῦ μυστήριον ἐν τύποις ὠδίνουσαν ἅμα τοῖς Προφήταις.

ιζ. Ἀπέστειλεν ἐξ ὕψους καὶ ἔλαβέ με, εἵλκυσέ με ἐξ ὑδάτων πολλῶν.

** ΘΕΟΔΩΡΙΤΟΥ. Προφανῶς, φησὶ, τὴν περὶ ἐμὲ κηδεμονίαν τοῖς ἐμοῖς ἔδειξε πολεμίοις. τοῦτο γὰρ εἶπεν, εἰρηκώς· ἐξαπέστειλεν ἐξ ὕψους, καὶ ἔλαβέ με· ἀντὶ τοῦ, πέπεικεν ἅπαντας ὡς οὐρανόθεν μοι τὴν ἐπικουρίαν παρέσχε. ταύτης δέ με τῆς προμηθείας ἠξίωσε, τὸ τῶν πολεμίων ἰσχυρὸν θεασάμενος.

** ΑΔΗΛΟΥ. Περιφανῆ, φησὶ, τὴν πρός με κηδεμονίαν τοῖς πολεμίοις ὑπέδειξεν, ὡς νομίσαι πάντας οὐρανόθεν εἶναί μοι τὴν ἐπικουρίαν. ὑδάτων δὲ πολλῶν, ἢ τῶν βιωτικῶν περιστάσεων, ἢ τῶν πολεμίων καὶ τῶν ἐκεῖθεν συμφορῶν, ἢ τῶν ταραχωδῶν καὶ ἁλμυρῶν πραγμάτων τοῦ βίου, ἢ ἀντικειμένων Δυνάμεων συγκεχυμένων καὶ τεταραγμένων.

** ΑΝΩΝΥΜΟΥ. Αὐτὸς ἐξ ὕψους ἔλαβέ με, τὸν παραβάντα προσλαβόμενος ἀπὸ πολλῶν ὑδάτων τοῦ ἀνθρωπίνου βίου. Καὶ μετ' ὀλίγα. Ἴσως δὲ καὶ τὰ τῆς ἀθεότητος δόγματα ὕδωρ ἐστὶ πολὺ, οὐ δυνάμενον σβέσαι τὴν ἀγάπην.

ιη. Ἐῤῥύσατό με ἐξ ἐχθρῶν μου ἰσχύος, ἐκ τῶν μισούντων με, ὅτι ἐκραταιώθησαν ὑπὲρ ἐμέ.

** ΑΔΗΛΟΥ. Ἐχθρῶν δυνατῶν, τάχα μὲν τῶν ἐν ὑπεροχαῖς ἀνθρώπων, τάχα δὲ τῶν ἀοράτων ῥύσεταί με, ὅτι ὑπὲρ ἐμὲ κεκραταίωνται.

** ΑΝΩΝΥΜΟΥ. Ἐχθροὶ δυνατοὶ οἵτε ἀόρατοι, καὶ ἄνθρωποι οἱ διὰ ψευδωνύμου γνώσεως τὴν ἀπάτην ἐργαζόμενοι.

ιθ. Προέφθασάν με ἐν ἡμέρᾳ θλίψεώς μου· καὶ ἐγένετο Κύριος ἀντιστή-
κ. ριγμά μου, Καὶ ἐξήγαγέ με εἰς πλατυσμὸν, καὶ ἐξείλετό με, ὅτι εὐδόκησεν ἐν ἐμοί.

** ΘΕΟΔΩΡΙΤΟΥ. Ἐνταῦθα αἰνίττεσθαί μοι δοκεῖ τὴν τοῦ Ἀβεσσαλὼμ ἐπανάστασιν, μετὰ τὴν ἁμαρτίαν γεγενημένην. Καὶ μετ' ὀλίγα. Καὶ ἐγένετο Κύριος ἀντιστήριγμά μου, καὶ ἐξήγαγέ με εἰς πλατυσμόν. ὠθούμενόν με, φησὶ, καὶ καταβαλλόμενον ὑπήρεισεν ὁ Θεὸς, καὶ τὴν στενοχωρίαν εὐρυχωρίαν εἰργάσατο, ἀντὶ τοῦ προσδοκωμένου θανάτου τὴν ζωὴν χαρισάμενος. τοῦτο δὲ καὶ ἐν ἑτέρῳ λέγει ψαλμῷ· ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, καὶ ὁ Κύριος ἀντελάβετό μου. (Ψαλ. 117. 18.) ῥύσεταί με, ὅτι ἠθέλησέ με. (Ψαλ. 17. 19.) ἐλπίζω δὲ ὅτι καὶ εἰς τὸν ἔπειτα χρόνον τῆς αὐτῆς ἀξιώσει με βοηθείας, καὶ κρείττων ἔσομαι τῶν δυσμενῶν, κἂν μάλιστα πλείστην ἔχωσι δύναμιν.

** ΑΔΗΛΟΥ. Ἢ τὰς συμφορὰς λέγων, ἢ τὴν ἐπὶ τῇ ἁμαρτίᾳ τῆς ψυχῆς ἀσθένειαν, δι' ἣν πρὸς ἁμαρτίαν ὠλίσθησε· καίτοι φησὶν, ὁ Κύριος στηριγμός μου γενόμενος, εἰς πλάτος ἐξήγαγέ με ἐκ τῆς διὰ τὴν θλίψιν στενοχωρίας, καὶ εὐρυχωρίαν μοι πραγμάτων, καὶ εὐθυμίαν παρέσχετο, καὶ οἷον ὠθούμενον ὑπήρεισε. καὶ ἀλλαχοῦ γὰρ λέγει· ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν, (Ψαλ. 117. 13.) καὶ ἑξῆς. ἐν κακώσεως γὰρ ἡμέρᾳ τὸν καταφεύγοντα πρὸς αὐτὸν ἀντιστηρίζει ὁ Θεὸς, ὡς ἂν μὴ κλονηθεὶς καταπέσῃ. πλατύνεται δὲ τοῖς ἐν θλίψει, οὐκ ἔξω γενόμενος φύσεως, ἀλλὰ γενναίως φέρων.

** ΩΡΙΓΕΝΟΥΣ. Οἱ θλιβόμενοι καὶ μὴ στενοχωρούμενοι, ἴστωσαν ἐξαχθησόμενοι ἀπὸ τῆς θλίψεως, καὶ εἰς ἅγιον τοῦ Θεοῦ πλατυσμὸν ἀχθήσεσθαι. ἐν γὰρ ἡμέρᾳ κακώσεως τὸν πρὸς αὐτὸν καταφεύγοντα ἀντιστηρίζει Θεὸς, ὡς ἂν μὴ κλονηθεὶς καταπέσῃ. καὶ ἀντιστηρίζων ἐκφέρει εἰς πλάτος τὸν στενούμενον ταῖς θλίψεσι κατὰ τὸ, ἐν θλίψει ἐπλάτυνάς με. (Ψαλ. 4. 1.) ὅπερ γίνεται, οὐ πάντως ἀπαλλαττομένου, γενναίως δὲ φέροντος.

κα. Καὶ ἀνταπέδωκέ μοι Κύριος κατὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ τὴν καθαριότητα τῶν χειρῶν μου ἀν-
κβ. ταποδώσει μοι. Ὅτι ἐφύλαξα τὰς ὁδοὺς Κυρίου, καὶ οὐκ ἠσέβησα ἀπὸ τοῦ Θεοῦ μου.

** ΘΕΟΔΩΡΙΤΟΥ. Οὐκ ἄδικον, φησὶ, ποιεῖταί μου πρόνοιαν, ἀλλὰ καὶ τὸν ἐμὸν σκοπὸν ἐπιστάμενος, καὶ εἰδὼς ὅτι ἐμοὶ σπουδὴ πάσας αὐτοῦ φυλάττειν τὰς ἐντολάς. ἐπειδὴ γὰρ πολλὴν ἔδειξε περὶ αὐτὸν τοῦ Θεοῦ γεγενημένην κηδεμονίαν, δείκνυσι ταύτης τὸ δίκαιον, προτρέπων εἰς ἀρετὴν τοὺς ἀκούοντας, καὶ διδάσκων ὡς οὐχ οἷόν τε ταύτης ἡμᾶς τυχεῖν, μὴ γνησίαν εὔνοιαν περὶ τὸν Θεὸν κτησαμένους. οὐδὲ γὰρ τὸν τῶν οἰκείων κατορθωμάτων κατάλογον γυμνῶσαι πᾶσιν ὁ Προφήτης ἠθέλησεν, ἀλλ' ὑποθέσθαι πῶς οἷόν τε τῆς θείας ἀπολαῦσαι προνοίας.

** ΑΔΗΛΟΥ. Δικαιοσύνην, τὴν καθόλου πρακτικὴν ἀρετὴν, καθαριότητα δὲ χειρῶν, τὰς πρακτικὰς λέγει ἐνεργείας, ἀμολύντους γενομένας, τῷ ἀπὸ βελτίστης

ἕξεως εἶναι. οὐκ ἀλαζονεύεται δὲ, ἀνατι-
θεὶς τὰς ὧν κατώρθωσεν αἰτίας Θεῷ· οὐδοὺς
γὰρ λέγει τὰς ἐντολάς. ἀλλὰ μὴν οὐδὲ ἀσε-
βεῖ ὁ περὶ τῶν τῆς ἀληθείας δογμάτων ὀρ-
θῶς διειληφώς. ἢ οὐδὲ ἀναμάρτητον ἑαυ-
τὸν ἐνταῦθα μαρτυρεῖ, ἀλλ᾽ ὅτι τῇ τῶν
ἐπιβουλευόντων συγκρίσει, καθαρωτέρας
αὐτοῦ εἶχε τὰς χεῖρας.

** ΑΝΩΝΥΜΟΥ. Ὁ ἐπαίρων ὁσίας
Ψαλ. 140. 2. χεῖρας, καὶ θαῤῥῶν εἰπεῖν· ἔπαρσις τῶν
» χειρῶν μου, θυσία ἑσπερινή· καὶ καθαριό-
τητα χειρῶν ὁμολογήσει ἔχειν.

κγ. Ὅτι πάντα τὰ κρίματα αὐ-
τοῦ κατεναντίον μου, καὶ τὰ δικαιώμα-
τα αὐτοῦ οὐκ ἀπέστησαν ἀπ᾽ ἐμοῦ.

** ΑΔΗΛΟΥ. Πάντα τὰ κρίματα εἶπε,
διὰ τὸ διττῶς λέγεσθαι τὸ κρῖμα· πῇ μὲν
Παροιμ. 1. 3. ἐπὶ τῆς δικαιοσύνης, ὡς καὶ τὸ, κρῖμα κα-
τευθύνειν· πῇ δὲ ἐπὶ κατακρίσεως, ὡς ἐπὶ
Ῥωμ. 3. 8. » τοῦ, ὧν τὸ κρῖμα ἔνδικόν ἐστι. πάντα οὖν ἐνώ-
πιόν ἐστι τοῦ θεοφιλοῦς.

** ΑΝΩΝΥΜΟΥ. Θεωροῦντος, ὡς ἕκα-
στον κρίσει γίνεται, λόγος. ἔστι δέ τινα κρί-
ματα τοῦ Θεοῦ περὶ ἑκάστου τῶν ἁμαρτανομέ-
νων. ἐπὰν οὖν τὰ περὶ πάντων τῶν ἁμαρ-
τημάτων κρίματα πάντα πρὸ ὀφθαλμῶν
Ψαλ. 17. 22. τὶς ἔχῃ, ἐρεῖ· πάντα τὰ κρίματα αὐτοῦ
» ἐνώπιόν μου. καὶ ἄλλως. Οὐδὲν ὁ ταῦτα λέ-
γων ἑαυτοῦ καταγινώσκει. ὅθεν καὶ ἐπὶ τὸν
Ἑβρ. 4. 15. Σωτῆρα αὐτὰ δεῖ ἀναφέρεσθαι, τὸν πεπει-
» ραμένον κατὰ πάντα καθ᾽ ὁμοιότητα, χω-
» ρὶς ἁμαρτίας.

κδ. Καὶ ἔσομαι ἄμωμος αὐτῷ, καὶ
προφυλάξομαι ἀπὸ τῆς ἀνομίας μου.

** ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ πῶς δυνατὸν
» τοῦτο κατορθῶσαι; Καὶ φυλάξομαι ἀπὸ
» τῆς ἀνομίας μου. ἀπεχόμενος, φησὶν, ἐκεί-
νων ἃ κακῶς εἰργασάμην, ἄμωμος εἰς τὸν
ἐπιόντα γενήσομαι χρόνον. οὕτως ὁ μέγας
Δαβὶδ τῶν οἰκείων κατορθωμάτων μνημο-
νεῦσαι βιασθεὶς, ἵνα δείξῃ τῆς τοῦ Θεοῦ προ-
μηθείας τὸ δίκαιον, οὐκ ἠνέσχετο τὴν γεγε-
νημένην κρύψαι παρανομίαν.

** ΑΔΗΛΟΥ. Ὁ διὰ δόξαν ἔχων τὸ
ἄμωμον, ἢ ἑτέρως, οὐκ ἔστι μετὰ τοῦ Θεοῦ,
ὥσπερ οἱ διὰ Θεὸν τὸ ἀγαθὸν ἐργαζόμενοι.
ἀμώμους δὲ φυλάττει ἡ πρὸς Θεὸν ἕνωσις·
ἧς ὁ χωρισθεὶς γίνεται μωμητός. ἐπαγ-
γέλλεται δὲ καὶ φυλάξασθαι ἀπὸ τῆς ἀνο-
μίας, ἢ τῆς γεγενημένης αὐτῷ, ἢ τοῦ θε-
λητικοῦ· ὃ διαπαντὸς ὀφείλει φυλάττεσθαι.
Ῥωμ. 8. 7. » τὸ γὰρ τῆς σαρκὸς φρόνημα, ἔχθρα ὂν
» πρὸς Θεὸν, ἀνομία ἀνθρώπου ἐστὶν, ἀφ᾽ ἧς
φυλάττεται ὁ πνεύματι τὰς πράξεις τοῦ
σώματος θανατῶν.

κε. Καὶ ἀποδώσει μοι Κύριος κα-
τὰ τὴν δικαιοσύνην μου, καὶ κατὰ
τὴν καθαριότητα τῶν χειρῶν μου ἀπέ-
ναντι τῶν ὀφθαλμῶν αὐτοῦ.

A ** ΘΕΟΔΩΡΙΤΟΥ. Τότε δή φησιν,
ὅταν παντελῶς ἄμωμος γένωμαι, τελείων
τεύξομαι τῶν ἀγαθῶν. πάντα γὰρ ἐφορᾷ
ὁ τῶν ὅλων Θεός· καὶ πρὸς τὰς ἀγαθὰς
πράξεις· ταύτας γὰρ ὠνόμασε χειρῶν κα-
θαρότητα· καὶ τὸν εὐσεβῆ τῆς διανοίας
σκοπὸν ποιεῖται τὰς ἀντιδόσεις.

** ΑΔΗΛΟΥ. Ἀνθ᾽ ὧν, φησὶν, ἀντα-
» ποδώσει Κύριος κατὰ τὴν δικαιοσύνην μου,
δικαιοσύνην μὲν λέγων τὸν εὐσεβῆ σκοπὸν,
B καθαριότητα δὲ χειρῶν τὰς ἀγαθὰς πρά-
ξεις· ἢ δικαιοσύνην τὴν ἐκ πίστεως. τοῖς
γὰρ πιστεύουσιν ὀρθῶς εἰς δικαιοσύνην ἡ πί-
στις λογίζεται. συζεύγνυει δὲ καθαρότητα
τοῖς ἀμολύντως ἐνεργουμένοις τῆς πίστεως
ἔργοις, ὧν χωρὶς ἡ πίστις νεκρά. Καὶ μετ᾽ ὀλίγα.
Οὐ γὰρ ἀνθρώπων, φησὶν, ὀφθαλμοῖς
ἐσπούδαζον τὴν καθαριότητα δεικνῦναι, οὐδ᾽
ὥστε ἀρέσκειν τοῖς πολλοῖς, ἀλλ᾽ ἀντικρὺ τῶν
τοῦ Θεοῦ ὀφθαλμῶν πᾶσαν ἐποιούμην σπου-
Γ δὴν τῆς ἑαυτοῦ (1) καθαρότητος.

κϛ. Μετὰ ὁσίου ὁσιωθήσῃ, καὶ
κζ. μετὰ ἀνδρὸς ἀθώου ἀθῷος ἔσῃ· Καὶ
μετὰ ἐκλεκτοῦ ἐκλεκτὸς ἔσῃ, καὶ με-
τὰ στρεβλοῦ στρεβλωθήσῃ.

** ΘΕΟΔΩΡΙΤΟΥ. Πρὸς τὰς γνώ-
μας τῶν ἀνθρώπων ἁρμόττεις τὰς ἀντιδό-
σεις, ὦ Δέσποτα. τοῖς γὰρ ὁσίοις παρέχεις
τὰ τῆς ὁσιότητος ἄξια· καὶ τοῖς ἀθώοις
Δ καὶ τῆς ἁμαρτίας ἀπηλλαγμένοις, τὰ πρό-
σφορα· καὶ τοῖς ἐκλεκτοῖς καὶ τελείοις, τὰ
τέλεια· τοῖς δὲ τοῦ εὐθέως ἐκτραπεῖσι, καὶ
τὴν ἐναντίαν ὁδεύουσι, κατάλληλον παρα-
σκευάζεις εὑρεῖν τῆς ὁδοῦ τὸ τέλος.

** ΑΘΑΝΑΣΙΟΥ. Εἰκότως κατηξίω-
σάς με τῆς σῆς εὐεργεσίας, φησίν· ἐπει-
δήπερ δίκαιος ὢν, οἶδας μετὰ ὁσίου ὁσιοῦ-
σθαι. εἰ γὰρ ἤμην ἐναπομείνας τῇ ἁμαρτίᾳ,
καὶ παντελῆ διαστροφὴν ὑπομείνας, οἶδα ὅτι
E καὶ σὺ αὐτὸς ὁ μέγας κριτὴς τῇ ἐμῇ ἁμαρ-
τίᾳ κατάλληλον ἐπήγαγες τὸ σαυτοῦ κρῖ-
μα. ἐπειδὴ δὲ ἐφύλαξα τὰς ὁδούς σου, τοῦ-
του χάριν ὁ μετὰ ὁσίου ὁσιούμενος, καὶ μετὰ
ἀθώου ἀθωούμενος, οὐ κατὰ τὴν ἐν καιρῷ
τινὶ γεγενημένην μοι διαστροφὴν ἡρμώσω·
κατὰ δὲ τὴν μετὰ ταῦτα ζωὴν, καὶ τὸν
ἐν δικαιοσύνῃ βίον τὴν ἀμοιβήν μοι παρέ-
ξεις ἐν τῷ σῷ δικαστηρίῳ.

κη. Ὅτι σὺ λαὸν ταπεινὸν σώ-
Z σεις, καὶ ὀφθαλμοὺς ὑπερηφάνων ta-
πεινώσεις.

** ΕΥΣΕΒΙΟΥ. (2) Καὶ ἄλλως ἀνωτέρω
τὸν λόγον ἀναγαγόντες, σκοπήσωμεν, μή-
ποτε προφητικῶς λαὸν μὲν ταπεινὸν, τὸν
χορὸν αἰνίττεται τὸν ἀποστολικόν· ὑπερη-
φάνους δὲ, τοὺς ἐξάρχοντας τῶν ἐκ περιτο-
μῆς· οὓς ἀλαζονευσαμένους κατὰ τοῦ Σωτῆ-
ρος ἐταπείνωσεν ὁ Θεὸς, λαὸν σώσας τὸν
H πιστὸν ἐξ ἀρετῶν ἐγνωσμένον.

** ΘΕΟΔΩΡΙΤΟΥ. Τοὺς μὲν ἢ μετρίῳ
φρονήματι κεχρημένους, ἢ ἐκ περιστάσεως
τετα-

(1) Ἐμαυτοῦ ἀνάγν. (2) Τοῦ Καισαρείας. ἄλλως πως δὲ ἔχει τοῦτο καὶ τὰ ἑξῆς τοῦ Εὐσεβ. ἢ τὰ εἰς τὸν 17. ψαλ. ὑπομνήμ. αὐτοῦ, τὰ ὑπὸ τοῦ Μοντφαυκον. ἐν Παρισ. ἐκδοθέντα.

τεταπεινωμένους, σωτηρίας ἀξιοῖς, καὶ πε-
ριφανεῖς ἀποφαίνεις· τοὺς δὲ τὰς ὀφρῦς
αἴροντας, καὶ τύφῳ δουλεύοντας, κύπτειν
εἰς γῆν ἀναγκάζεις, καὶ τῆς φύσεως λο-
γίζεσθαι τὴν εὐτέλειαν.

κθ. Ὅτι σὺ φωτιεῖς λύχνον μου Κύριε, καὶ ὁ Κύριός μου ἀναλάμψει μοι ἐν σκότει.

✻✻ ΕΥΣΕΒΙΟΥ. Περὶ δὲ τοῦ λύχνου,
Ψαλ. 131. 17. Δαβὶδ λέγει ἐν ρλά ψαλμῷ, ἐξανετελῶ κέ-
» ρας τῷ Δαβὶδ, ἡτοίμασα λύχνον τῷ χρι-
στῷ μου, δηλῶν τὸν ἐξ αὐτοῦ καταγόμενον
κατὰ σάρκα Χριστόν. λύχνος γὰρ ἦν ἑνώ-
σει Θεοῦ φωτιζόμενος, καὶ πᾶσιν ἐκλάμ-
πων. νῦν οὖν λέγει πρὸς Κύριον, ὅτι φῶς
ὑπάρχων ἀληθινὸν, ἀποῤῥήτως ἑνωθεὶς
τῷ λύχνῳ τῷ ἐξ ἐμοῦ γεννησομένῳ, φω-
τιεῖς αὐτὸν, καὶ τὸ ἐν ἐμοὶ δήποτε σκότος
γενόμενον παντελῶς ἀνελεῖς, ὡς μηδὲ τού-
του μνήμην ἔξειν ἐμέ.

✻✻ ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ σκότος
πολλάκις τὰς θλίψεις ἐκάλεσεν, εἰκότως
φῶς ὀνομάζει τὴν τούτων ἀπαλλαγήν. ταύ-
της δέ φησιν ἀπολαύω παρὰ σοῦ τῆς προ-
νοίας· ἐπειδὴ ὁ λύχνος ὁ τὸ ἀληθινὸν ὑπο-
δεξάμενος φῶς· καλεῖ δὲ οὕτω τὴν τοῦ δού-
λου μορφήν· ἐμός τε ἐστὶ, καὶ ἐκ τῆς ἐμῆς
ὀσφύος πλασθήσεται. τοῦτο δὲ καὶ ἐν ἑτέρῳ
Ψαλ. 131. 17. λέγει ψαλμῷ· ἐκεῖ ἐξανατελῶ κέρας τῷ
» Δαβὶδ, ἡτοίμασα λύχνον τῷ χριστῷ μου.

✻✻ ΑΔΗΛΟΥ. Νοῦς λέγεται λύχνος
εἶναι ψυχῆς, ὡς φωτὸς δεκτικός. οὐ γὰρ
αὐτός ἐστι κατ' οὐσίαν φῶς. σκότος δὲ ταύ-
της τὸ θυμικὸν καὶ ἐπιθυμητικόν· ἃ δὴ
φωτίζεται ὑπὸ τοῦ νοῦ, δεξαμένου τὰς θείας
αὐγάς· ἐπιστήμης μὲν οὐ τυγχάνοντα δεκτι-
κά· καὶ γάρ εἰσιν ἄλογα· σὺν ἐπιστήμῃ δὲ
τοῦ νοῦ μὴ φωτισθέντος, πολύ γε μᾶλλον οὐδὲ
Ματθ. 6. 23. ταῦτα. καὶ τοῦτό ἐστι τό· εἰ οὖν τὸ φῶς τὸ
» ἐν σοὶ σκότος ἐστίν. ἀναλογεῖ γὰρ ὁ μὲν
νοῦς ὀφθαλμῷ, τὰ δὲ ἄλογα σώματι. τά-
χα δὲ καὶ οἱ περιλαμφθέντες ἀληθείᾳ πα-
ρὰ Κυρίου, λύχνον ἔχουσιν ἡμμένον· τὰς δὲ
πράξεις κατ' ὀρθὸν ἄγοντες λόγον, ἐκ τοῦ
παρὰ τοῦ νοῦ πεφωτίσθαι, καὶ τὸ σκότος
αὐτῶν ἔχουσι φωτιζόμενον. καὶ οἱ τὰ νοητὰ
καθὰ δὴ θεωρήσαντες, λύχνον ἔχουσι ὑπὸ
Κυρίου πεφωτισμένον. καὶ οἱ ὡς δεῖ τὰ αἰ-
σθητὰ θεώμενοι, φωτίζονται τὴν αἴσθη-
σιν, ἢ (1) τῷ ἄλογον εἶναι, καθ' ἑαυτὴν
σκότος ἐστίν.

λ. Ὅτι ἐν σοὶ ῥυσθήσομαι ἀπὸ πειρατηρίου, καὶ ἐν τῷ Θεῷ μου ὑπερβήσομαι τεῖχος.

✻✻ ΕΥΣΕΒΙΟΥ. Δυναμωθεὶς παρὰ
σοῦ, τοῦ ἐν οὐρανοῖς ἐπιβήσομαι τείχους. ἔν-
θα σὺν ἀσφαλείᾳ τῆς παρὰ σοῦ τεύξομαι
σωτηρίας. ἢ τεῖχος τὰ τῶν ἐχθρῶν ὀχυ-
ρώματα λέγει, δι' ὧν με πειρῶνται περι-
στοιχίζεσθαι.

A ✻✻ ΑΔΗΛΟΥ. Εἰ καὶ συμφοραί μοι
ἀπαντήσειαν ἀνυπέρβλητοι ὥσπερ τεῖχος,
ἀνώτερον θήσεις τῇ σαυτοῦ βοηθείᾳ. περι-
στάσεων γὰρ οὐκ ἔστι ῥυσθῆναι πικρῶν, ἢ ἐν
τῷ Θεῷ γεγονότα. γίνεται δέ τις ἐν Θεῷ,
μετέχων αὐτοῦ.

λα. Ὁ ἰσχυρὸς ἄμωμος ἡ ὁδὸς αὐτοῦ. τὸ ῥῆμα Κυρίου πεπυρωμένον· ὑπερασπιστής ἐστι πᾶσι τοῖς πεποιθόσιν ἐπ' αὐτῷ.

B

✻✻ ΘΕΟΔΩΡΙΤΟΥ. Δικαίως ἰθύνεις
τὰ σύμπαντα. καὶ τούτου χάριν θαῤῥῶ. τοῦ-
το δὲ παρὰ τῶν ἀψευδῶν σου λογίων μεμά-
θηκα· πεπυρωμένα γὰρ, τὰ δόκιμα λέγει
καὶ ψεύδους ἀπηλλαγμένα· οὐκ ἐγὼ δὲ μό-
νος, ἀλλὰ καὶ πάντες οἱ ταύτην εἰς αὐ-
τὸν ἔχοντες τὴν ἐλπίδα, τῆς αὐτῆς ἀπο-
λαύσονται βοηθείας.

✻✻ ΩΡΙΓΕΝΟΥΣ. Ἄμωμος ὁδὸς ὁ Χρι-
Γ » στός ἐστιν, ὁ εἰπών· ἐγώ εἰμι ἡ ὁδός. ἐπεὶ δὲ Ἰωάν. 14. 6.
τὰ λόγια Κυρίου πεπυρωμένα ἐστὶν. οἱ ἀκούον-
» τες αὐτῶν, λέγουσιν· οὐχὶ ἡ καρδία ἡμῶν Λουκ. 24. 32.
» καιομένη ἦν ἐν ἡμῖν; καὶ πνεύματι δὲ ζέουσι, Ῥωμ. 12. 11.
καὶ ἀλλότριον Θεοῦ οὐ παραδέχονται πῦρ,
ὅπερ ἐστὶν ἐν τοῖς βέλεσι τοῦ πονηροῦ. ἀλλ'
» ὁ εἰπὼν Κύριος, πῦρ ἦλθον βαλεῖν εἰς τὴν Λουκ. 12. 49.
γῆν, πεπυρωμένα εἶχε λόγια. διό φησι,
» καὶ τί θέλω, εἰ ἤδη ἀνήφθη;

✻✻ ΑΔΗΛΟΥ. Αὐταί φησι τοῦ Θεοῦ αἱ
Δ πράξεις καθαραὶ καὶ ἄμεμπτοι δικαίως ἰθύ-
νοντος πάντα, τῷ βοηθεῖν τοῖς καταπονου-
μένοις καὶ ταπεινοῦν τοὺς ὑπερηφάνους. καὶ
τὰ περὶ τούτων λόγια αὐτοῦ, ὡς τὸ πεπυ-
ρωμένον ἀργύριον, καθαρὰ πάσης μέμ-
ψεως καὶ ψεύδους, βεβασανισμένα, δεδοκι-
» μασμένα. ὅτι ὑπερασπιστής ἐστι πάντων τῶν
ἐπ' αὐτῷ ἠλπικότων. Ἢ καὶ τὴν πρὸς Θεὸν
ἄγουσαν ὁδὸν ἄμωμον λέγει, ἥτις ἐστὶν ἀρε-
» τή. τὸ δὲ, ὑπερασπιστὴς, ἀνδρός ἐστι φωνὴ
E τῆς ἰδίας ἀσθενείας ἐπῃσθημένου πρὸς ἐχ-
θροὺς δυνατοὺς, καὶ καταφεύγοντος εἰς Θεόν·
» ὡς ἐπὶ τοῦ, δίκασον Κύριε, πρὸς ὃν καὶ λέ- Ψαλ. 34. 1.
» λεκται· ὅπλῳ κυκλώσει σε. Ψαλ. 90. 4.

λβ. Ὅτι τίς Θεὸς πλὴν (2) τοῦ Κυρίου; καὶ τίς κτίστης (3) πλὴν τοῦ Θεοῦ ἡμῶν;

✻✻ ΘΕΟΔΩΡΙΤΟΥ. Οὐδὲ γὰρ ἔστι
Θεὸς ἕτερος, ἵνα ὁ μὲν τούτῳ, ὁ δὲ ἐκείνῳ
Z παράσχῃ τὴν αἴτησιν.

✻✻ ΑΔΗΛΟΥ. Ὁ γὰρ τοῦ Θεοῦ λόγος
μόνος Θεὸς ἀληθὴς, διὸ καὶ μονογενὴς, διὰ
τὸ μόνος εἶναι ὡς ὁ πατὴρ Θεός. οἱ γὰρ
ἄλλοι, παρουσίᾳ Θεοῦ λόγου, Θεοὶ κατα-
σκευάζονται. ἐκείνους γὰρ εἶπε Θεοὺς πρὸς
οὓς ὁ λόγος γέγονε τοῦ Θεοῦ. ὁ δὲ Σωτὴρ
ποιητὴς Θεῶν, οὐ μεθέξει Θεός. εἰπὼν δὲ
περὶ Χριστοῦ, ὡς φύσει Θεὸς, νῦν λέγων·
» ἢ τίς Θεός; μόνον λέγει εἶναι κατ' αὐτὸν
H τὸν πατέρα. ἡμῖν δὲ εἷς Θεὸς ὁ πατὴρ καὶ
εἷς Κύριος Ἰησοῦς Χριστός. ἴσως δὲ καὶ ἐκ πα-
ραλλήλου τοὺς δύω προσήνεγκατο στίχους.

ΑΝΩΝΥ-

(1) Ἡ τῷ ἄλογος, ἀνάγν. (2) Πλὴν Κυρίου. αἱ αὐτ. (3) Ἔσται πλήν. αἱ αὐτ.

A ✱✱ ΑΝΩΝΥΜΟΥ. Κατὰ τȣτο μόνος Θεός ἐστιν ἀληθινὸς ὁ Θεὸς καὶ πατήρ. εἰ μὴ ἄρα τὸ, τίς, ἐπὶ τȣ σπανίȣ πολλάκις κείμενον, ἐπὶ τὸν μονογενῆ ἀνοίσει.

λγ. Ὁ ἰσχυρὸς ὁ κραταιῶν με δυνάμει, καὶ ἔθετο ἄμωμον τὴν ὁδόν μȣ.

✱✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τῇ αὐτȣ δυνάμει ῥωσθεὶς κἀγὼ, τὴν εὐθεῖαν τρίβον ὁδεύειν ἐπείγομαι.

✱✱ ΕΥΣΕΒΙΟΥ. Οὐδὲ γὰρ ἀπρακτȣ̃ντας ἡμᾶς ὁ Δεσπότης ἀπολιμπάνει, ȣ̓δὲ τὰ πρὸς σωτηρίαν ἡμῶν καθυφίησι διὰ τῶν πρὸς τȣ̀ς ἐχθρȣ̀ς τȣ̀ς ἡμετέρȣς γυμνάζων ἀγώνων. ὅτε καὶ δυναμοῖ τὴν ἀνθρωπίνην
» ἡμῶν ἰσχύν. ὡς δὲ εἴρηται, ὁ Θεὸς, ἄμωμος
» ἡ ὁδὸς αὐτȣ̃· ȣ̔́τω καθ' ὁμοίωσιν, κἀμὲ, φησὶ, παρεσκεύασε παντοίοις μαθήμασιν, ἄμωμον τȣ̃ βίȣ μȣ ποιῶν τὴν ὁδόν.

λδ. Τιθεὶς τȣ̀ς πόδας μȣ ὡς ἐλάφων, καὶ ἐπὶ τὰ ὑψηλὰ ἱστῶν με.

✱✱ ΘΕΟΔΩΡΙΤΟΥ. Καθάπερ γὰρ τοῖς ἐλάφοις ἔδωκε κατὰ φύσιν τὰ ἰοβόλα θηρία καταπατεῖν· ȣ̔́τω με κρείττονα καὶ ὑψηλότερον τῶν πολεμίων ἀπέφηνε.

✱✱ ΑΔΗΛΟΥ. Ἀβλαβῆ μοι τὴν περὶ τὰ πρακτέα ἐτίθει ὁδόν. εἰ δὲ καὶ φεύγειν ἔδει, διὰ τὰ ἀνθρώπινα, δρομικώτατόν με κατὰ τὰς ἐλάφȣς ἐποίει, καὶ τῶν ἐπιβȣλευόντων ἀνώτερον, ἐπιτευκτικὸν εἶναι κατὰ τὴν μάχην διδάσκων.

✱✱ ΕΥΣΕΒΙΟΥ. Ἐλάφοις γε μὴν ἀπεικάζει τȣ̀ς ἁγίȣς ἡ θεία Γραφή. ἑρπετῶν γὰρ νοητῶν εἰσὶν ἀναιρετικοὶ, κατὰ τὴν ἔλαφον ἀναιρȣ̃σαν αὐτὰ καὶ διώκȣσαν. ἀλλὰ καὶ ὀρειβατὲς τὸ ζῶον καὶ δρομικόν. ȣ̔́τως οἱ ἅγιοι τὰ ἄνω σκοπȣ̃ντες, καὶ ȣ̓ τὰ ἐπὶ γῆς, πόθῳ τῆς τῶν ȣ̓ρανῶν βασιλείας.

λε. Διδάσκων χεῖράς μȣ εἰς πόλεμον, καὶ κατάξας τόξον χαλκȣ̃ν ἐν βραχίονί μȣ.

» ✱✱ ΘΕΟΔΩΡΙΤΟΥ. Διδάσκων χεῖ-
» ράς μȣ εἰς πόλεμον. Εἰς εὐχὴν γὰρ ταύτας ἐκτείνων, περιγίνομαι τῶν δυσμενῶν.

✱✱ ΑΔΗΛΟΥ. Τὸ εὔτονον διὰ τȣ̃ χαλκȣ̃ ἐσήμανε.

λϛ. Καὶ ἔδωκάς μοι ὑπερασπισμὸν σωτηρίας μȣ, καὶ ἡ ὑπακοή σȣ ἐπλήθυνέ με.

✱✱ ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ἐπαίδευσας ἡμαρτηκότα, καὶ καταπεπτωκότα ἀνώρθωσας, καὶ ἐδίδαξας ὅσον ἡ ἁμαρτία κακὸν, καὶ τῆς σωτηρίας ἠξίωσας.

λζ. Πλατυνεῖς τὰ διαβήματά μȣ ὑποκάτω μȣ, καὶ ȣ̓κ ἐσαλεύθη (1) τὰ σκέλη μȣ.

✱✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ἐν τῇ στενοχωρίᾳ τῆς θλίψεως ἔδωκας τὴν εὐρυχωρίαν τῆς παρακλήσεως· ὑφ' ἧς ψυχαγωγȣ́μενος, μέχρι τȣ̃ παρόντος διήρκεσα.

✱✱ ΑΔΗΛΟΥ. Διαβήματα λέγει, καθὸ ἐκ κακίας πρὸς ἀρετὴν διαβαίνει τίς. ἃ κατ' ἀρχὰς μὲν ἐπίπονά ἐστι τῷ τὴν τεθλιμμένην ὁδεύοντι, τῇ δὲ προκοπῇ πλατύνεται. τῷ γὰρ μετὰ τȣ̀ς τῆς ἀρετῆς πόνȣς ἀνάπαυλαν δέχεσθαι, ἰσχυροποιεῖται τὰ ἴχνη.

λη. Διώξω ἐχθρȣ̀ς, (2) καὶ ἀφα-
B νιῶ αὐτȣ̀ς, καὶ ȣ̓κ ἀποστρέψω ἕως συν-
λθ. τελέσω αὐτȣ́ς. Καὶ θλάσω αὐτȣ̀ς, καὶ ȣ̓ μὴ ἀναστῶσι, καὶ πεσȣ̃νται ὑπὸ τȣ̀ς πόδας μȣ.

✱✱ ΘΕΟΔΩΡΙΤΟΥ. Οὕτως ὑπὸ τῆς σῆς προνοίας ῥωσθεὶς, ἐλπίζω πάντων περιγενήσεσθαι τῶν δυσμενῶν· καὶ μὴ πρότερον ἀποστῆναι, ἕως ἂν αὐτȣ̀ς αὖθις ὑπηκόȣς ἐργάσομαι. τȣ̃το γὰρ παρεδήλωσεν
Γ» εἰρηκὼς, πεσȣ̃νται ὑπὸ τȣ̀ς πόδας μȣ.

✱✱ ΑΔΗΛΟΥ. Ὡς διὰ μυρίων εὐεργετηθεὶς ὑπὸ τȣ̃ Θεȣ̃, θάρσος ἔλαβε καταδιῶξαι τȣ̀ς ἐχθρȣ́ς. τέλος δὲ τῆς διώξεως ἡ ἐκείνων εἰς τὸ παντελὲς ἔκλειψις.

μ. Καὶ ἐνισχύσεις με δυνάμει εἰς πόλεμον, κάμψεις τȣ̀ς ἐπανισταμένȣς (3) ἐπ' ἐμὲ ὑποκάτω μȣ.

✱✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ἐμοὶ μὲν ἀνδρείαν
Δ ἐδωρήσω καὶ ῥώμην· τῶν δὲ πολεμίων ἐπέδησας τὴν ὁρμήν. καὶ τȣ̃τό ἐστι καὶ ἐπὶ τȣ̃ Γολιὰθ, καὶ ἐπὶ τȣ̃ Σαȣ̀λ γεγενημένον. τὸν μὲν γὰρ, τὸν τȣ̃ πράττειν καιρὸν εἰς ἀνοήτȣς ἀναλίσκοντα λόγȣς τῇ σφενδόνῃ κατήνεγκε· τὸν δὲ, ὕπνῳ πεδηθέντα ῥαδίως διέφυγεν. ȣ̔́τω καὶ τῶν Γεθθαίων ἐξέφυγε τὰς ἐπιβȣλάς.

μα. Καὶ τȣ̀ς ἐχθρȣ́ς μȣ ἔδωκάς μοι νῶτον, τȣ̀ς μισȣ̃ντάς με, καὶ ἐθα-
E νάτωσας αὐτȣ́ς.

» ✱✱ ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ τȣ̀ς ἐχθρȣ́ς
» μȣ ἔδωκάς μοι νῶτον, ἀντὶ τȣ̃, εἰς φυγὴν ἔτρεψας. ἴδιον γὰρ τῶν φευγόντων τὸ διδόναι τὰ νῶτα.

» ✱✱ ΑΔΗΛΟΥ. Τὸ δὲ, ἔδωκάς μοι νῶτον, ἀντὶ τȣ̃, φυγάδας καταστήσας μȣ τȣ̀ς ἐχθρȣ̀ς, ἔδωκάς μοι κατὰ νῶτον βαλεῖν αὐτȣ́ς. μισȣ̃ντας δὲ, οἷον τὸν Ἀχιτόφελ,
Z τὸν Σαȣ̀λ, καὶ ἑτέρȣς. καὶ ὁ σπȣδαῖος δὲ διὰ παῤῥησίας ἐνώπιον Κυρίȣ παρίσταται· ὁ δὲ φαῦλος δι' ἰδίαν κακίαν ὀπίσω ἐκβάλλεται. ἐπεὶ γὰρ ἔστρεψε πρὸς Θεὸν νῶτα, καὶ ȣ̓χὶ πρόσωπον, νῶτον ἕξει καὶ αὐτὸς δι' ἀποστροφῆς. δῆλον ὡς αἱ μοχθηραὶ δυνάμεις εἰς πρόσωπον ἐρχόμεναι βλάπτȣσιν, εἰς νῶτον δὲ ῥιφθεῖσαι, ȣ̓δὲν δυνήσονται, κατὰ τὸ,
» ἐπὶ τὸν νῶτόν μȣ ἐτέκταινον οἱ ἁμαρτωλοί. Ψαλ. 128. 3.

μβ. Βοήσονται, καὶ ȣ̓κ ἔστι βοη-
H θὸς, πρὸς Κύριον, καὶ ȣ̓κ ἐπακȣ́σεται (4) αὐτῶν.

ΘΕΟΔΩ-

(1) Ἐσαλεύθησαν. αἱ αὐτ.
(3) Ἐπισταμένȣς. ἡ τȣ̃ Ἀλδ. ἐκδ.
(2) Ἐχθρȣ́ς μȣ. αἱ αὐτ.
(4) Ἐπήκȣσεν. αἱ αὐτ.

A ** ΘΕΟΔΩΡΙΤΟΥ. Οὔτε γὰρ ἀλλόφυλοι τοὺς οἰκείους καλοῦντες εἰς ἐπικουρίαν Θεοὺς, τῆς παρ' αὐτῶν προνοίας ἀπέλαυσαν· οὔτε ὁ Σαοὺλ, καὶ Ἀβεσσαλὼμ, καὶ ὁ Σεμεεὶ, καὶ οἱ λοιποὶ τῶν Ἰσραηλιτῶν πολέμιοι τὸν Θεὸν ἐσχήκασι σύμμαχον.

μγ. Καὶ ἐλέανα αὐτοὺς ὡς χοῦν γῆς, ὡς πηλὸν ἐξόδων ἐλέπτυνα αὐτούς.

** ΑΔΗΛΟΥ. Ὡς ἄν τις πηλὸν ἐν πλατείᾳ καταπατοίη, οὕτω διαβήσομαι κατ' B αὐτῶν.

μδ. Καὶ ῥύσῃ με ἐξ ἀντιλογιῶν λαοῦ μου, φυλάξεις με εἰς κεφαλὴν ἐθνῶν. λαὸς ὃν οὐκ ἔγνω ἐδούλευσέ μοι.

** ΘΕΟΔΩΡΙΤΟΥ. Ἔχει δὲ καὶ πρόῤῥησιν περὶ τοῦ σωτῆρος Χριστοῦ. ἐξέλου με γάρ φησιν ἐκ λαοῦ, ἔθου με εἰς φῶς ἐθνῶν. λαὸς ὃν οὐκ ἔγνων ἐδούλευσέ μοι· εἰς ἀκοὴν Γ ὠτίου ὑπήκουσέ μου. εἰς φῶς δὲ ἐθνῶν γέγονεν οὐχ ὁ Δαβὶδ, ἀλλ' ὁ ἐκ Δαβὶδ κατὰ σάρκα, ὁ τοῦ Δαβὶδ καὶ κύριος καὶ υἱός. εἰ δὲ καὶ ὁ Δαβὶδ γέγονεν εἰς φῶς ἐθνῶν, δηλονότι τῇ μελῳδίᾳ καταυγάζων τοὺς τῷ δεσπότῃ πεπιστευκότας Χριστῷ. ἁπάσαις γὰρ ταῖς κατὰ τὴν οἰκουμένην Ἐκκλησίαις ἡ πνευματικὴ τοῦ Δαβὶδ ὑμνῳδία τὰς τῶν εὐσεβῶν φωτίζει ψυχάς.

Δ ** ΤΟΥ ΑΥΤΟΥ. Ἐντεῦθεν προθεσπίζει τὴν κατὰ τοῦ Σωτῆρος Ἰουδαίων μανίαν, καὶ τὴν τῶν ἐθνῶν σωτηρίαν. καὶ παρακαλεῖ μηδεμίαν ἔχειν κοινωνίαν εἰς τὴν ἐκείνων ἀντιλογίαν. Καὶ μετ' ὀλίγα. Καὶ μὴν οὐκ ἴσμεν τὸν Δαβὶδ τῶν ἐθνῶν βασιλεύσαντα. οὐκοῦν διὰ τοῦ ἐξ αὐτοῦ κατὰ σάρκα τεχθέντος ἡ προφητεία πληροῦται. ὁ γὰρ ἐκ Δαβὶδ κατὰ σάρκα τεχθεὶς, Δαβὶδ καὶ αὐτὸς ὀνομαζόμενος κατὰ τὸν θεῖον Ἰεζεκιὴλ, (1) ὁ δεσπότης λέγω Χριστὸς, πάντων E ἐβασίλευσε τῶν ἐθνῶν. ἀεὶ μὲν ὡς Θεὸς τῶν ἁπάντων δεσπόζων, μετὰ δὲ τὴν ἐνανθρώπησιν, καὶ τὴν ἐθελούσιον τῶν εἰς αὐτὸν πεπιστευκότων δουλείαν δεξάμενος.

** ΩΡΙΓΕΝΟΥΣ. Ὁ εἰς σημεῖον ἀντιλεγόμενον γενόμενος ταῦτά φησι Χριστὸς, ὃν ὁ Θεὸς κατέστησεν εἰς κεφαλὴν ἐθνῶν. κεφαλὴ γὰρ τῆς Ἐκκλησίας ὁ Χριστός.

** ΑΔΗΛΟΥ. Ἐπεὶ τὸν Δαβὶδ οὐκ ἴσμεν βασιλέα ἐθνῶν γεγενημένον, ἀνάγοιτο Z ἂν ταῦτα εἰς τὸ τοῦ Σωτῆρος πρόσωπον· ἀποστρεφομένου μὲν δι' ἀπείθειαν Ἰουδαίους, αἰτοῦντος δὲ τὰ ἔθνη εἰς κληρονομίαν. καὶ τὸ, λαὸς ὃν οὐκ ἔγνων, ἐπὶ Χριστοῦ. οὐ γὰρ ἀγνοίας ἐστὶ σημαντικόν· πάντα γὰρ οἶδεν ὡς Θεός· ἀλλὰ κατὰ οἰκειότητα· οἷον, μὴ ᾠκειωμένοι· καὶ γὰρ ἀγνοοῦντα τὸν ἀληθῆ Θεὸν τὰ ἔθνη, ἠγνοοῦντο· γνόντες δὲ, ἐγνώσθησαν. διόπερ οὐκ εἶπεν, ὃν οὐ γινώσκω· ὁ γὰρ ἐπὶ τῆς κακίας ἐνεργῶν, οὐ γινώσκεται· H ἀλλ' οὐκ ἔγνων πάλαι, νῦν δὲ δῆλον ὅτι γινώσκω.

(1) Ἐν κεφ. 34. ἐδ. 24. καὶ 37, 24.

A *με. Εἰς ἀκοὴν ὠτίου ὑπήκουσέ μοι, υἱοὶ ἀλλότριοι ἐψεύσαντό μοι.*

** ΑΔΗΛΟΥ. Ἔμφασιν ἔχει τὸ, εἰς ἀκοὴν ὠτίου, τοῦ τὸν ἀκούοντα Θεοῦ μὴ θνητῇ χρῆσθαι ἀκοῇ, ἀλλ' ὠτίῳ ἐκ προσθήκης γινομένῳ τῷ ἔχοντι, ὡς ἐπὶ τοῦ, προσέθηκέ μοι ὠτίον. Ἡσ. 50. 4.

** ΘΕΟΔΩΡΙΤΟΥ. Ἐκ προσώπου ταῦτα προαγορεύει τοῦ δεσπότου Χριστοῦ. λέγει B δὲ, ὅτι οἱ μήτε νομοθέτην, μήτε Προφήτην ἐμὸν δεξάμενοι πώποτε, ῥᾳδίως μάλα κληθέντες ὑπήκουσαν, καὶ τὴν ἐμὴν δεσποτείαν ἠγάπησαν.

μς. Υἱοὶ ἀλλότριοι ἀποῤῥιφήσονται, καὶ σφαλοῦσιν ἐκ τῶν συγκλεισμῶν αὐτῶν.

** ΑΔΗΛΟΥ. Υἱοὺς δὲ ἀλλοτρίους τοὺς Ἰουδαίους φησίν· οἳ τὰς προφητικὰς ῥήσεις Γ ἑτέρως ἢ ὡς προσῆκε νενοηκότες, καὶ τῇ τοῦ γράμματος παχύτητι παρακαθεσθέντες, καὶ μὴ ἀκολουθοῦντες τῷ πνεύματι πεπαλαίωνται, καὶ ἀπὸ τῶν τῆς σωτηρίας τρίβων ἐχώλαναν. ἢ οἱ ὑποταγέντες τῷ Δαβὶδ ἀλλόφυλοι, υἱοὶ ἀλλότριοι ὄντες, χρόνῳ τῆς οἰκείας καταγνόντες δεισιδαιμονίας, πρὸς τὸν ἀληθῆ Θεὸν μετέστησαν.

** ΘΕΟΔΩΡΙΤΟΥ. Οἱ δὲ υἱοὶ προσαγορευθέντες, καὶ ἐν τάξει γραφέντες, ἀλ-Δ λοτρίους σφᾶς αὐτοὺς πεποιήκασιν, ἀγνώμονες περὶ τὰς εὐεργεσίας γενόμενοι, καὶ περὶ τὴν πίστιν χωλεύσαντες, καὶ τὴν εὐσεβῆ τρίβον καταλιπόντες. οὕτω καὶ διὰ Ἰερεμίου τοῦ προφήτου φησὶν ὁ Θεός· πῶς Ἱερ. 2. 21. ἐστράφης μοι εἰς πικρίαν ἡ ἄμπελος ἡ ἀλλοτρία; ἐγὼ δὲ ἐφύτευσα ἄμπελον καρποφόρον πᾶσαν ἀληθινήν. καὶ τὸ μὲν, οἰκείαν δείκνυσι φυτουργίαν· τὸ δὲ, τὴν ἐκείνων ἀχαριστίαν ἐλέγχει.

E *μζ. Ζῇ Κύριος, καὶ εὐλογητὸς ὁ Φύλαξ μου, καὶ ὑψωθήσεται ὁ Θεός μου ὁ σωτήρ μου.*

* ΘΕΟΔΩΡΙΤΟΥ. Μνημονεύσας τῆς Ἰουδαίων ἀντιλογίας, αἰνίττεται τὸ πάθος, καὶ τὴν μετὰ τὸ πάθος ἀνάστασιν. καὶ ἐπειδὴ οἱ Ἰουδαῖοι εἰώθασι τὸν ἐσταυρωμένον νεκρὸν καλεῖν, αὐτὸς βοᾷ, ζῇ Κύριος. καὶ οὐ μόνον ζῇ, ἀλλὰ καὶ εἰς οὐρανοὺς ἀνελήλυθε, Z καὶ τοῖς βουλομένοις παρέχει τὴν σωτηρίαν.

** ΑΔΗΛΟΥ. Ζῶν λέγεται ὁ Θεὸς, οὐ ζωῆς μεταλαμβάνων, ἀλλὰ ταύτην παρέχων. εὐκαίρως δὲ ἀναπεφώνηκε τὸ, ζῇ Κύριος. μνημονεύσας γὰρ τῆς τοῦ λαοῦ ἀντιλογίας, τοῦ, ἆρον, ἆρον· καὶ ὅτι νεκρὸν καλοῦσι Ἰωάν. 19. 15. τὸν σταυρωθέντα, αὐτὸς βοᾷ, ζῇ Κύριος, καὶ εὐλογητὸς, ἀντὶ τοῦ, ἄξιος εὐφημεῖσθαι. καὶ εἰ καὶ ἐταπείνωσεν ἑαυτὸν, ἀλλ' ὑψηλός ἐστιν. ὑψοῦται δὲ Θεὸς, αἴσθησιν ἡμῶν λαμ-H βανόντων τοῦ μεγέθους αὐτοῦ, καὶ μεγάλα φρονούντων περὶ αὐτοῦ. ὧν γὰρ μεγάλα τὰ ἔργα, μεγάλοι καὶ αὐτοί. καὶ ἐπεὶ ὑψηλὸν ἔργον

ἔργον ἡ σωτηρία ἡμῶν, ἀνάγκη ὑψηλὸν A
εἶναι καὶ τὸν ταύτης αἴτιον.

μη. Ἰσχυρὸς Κύριος ὁ διδοὺς ἐκδική-
σεις ἐμοὶ, καὶ παιδεύων λαοὺς ὑποκά-
μθ. τω μου, Καὶ ἐξαγαγών με ἐξ ἐχθρῶν
μου· καὶ ἐκ τῶν ἐπεγειρομένων ἐπ' ἐμὲ
ὑψώσεις με. ἐξ ἀνδρὸς ἀδικημάτων
ῥύσῃ με.

** ΑΔΗΛΟΥ. Ἐκδικήσεις ἐπῆχθαι
μὲν λέγει καὶ κατὰ τῶν αὐτῷ ἐπαναστάν- B
των, ὡς καὶ ὑψηλότερον ἐκείνων γενέσθαι.
προφητεύει δὲ καὶ ὑπὸ Χριστοῦ τῷ ἀπειθοῦν-
τι λαῷ δοθῆναι. εἶεν δ' ἂν καὶ ὀργίλοι ἐχ-
θροὶ ὁ ἰουδαϊκὸς λαὸς, Σαμαρείτην αὐτὸν
καλῶν. ἀνὴρ δὲ ἄδικος ὁ Ἰούδας, ὡς ἐναν-
τίοις τὸν διδάσκαλον ἀμειψάμενος· ἢ ὁ Πι-
λάτος, ὡς ἀναιτίως κολάσας.

** ΘΕΟΔΩΡΙΤΟΥ Ὁ ταῦτα τοίνυν
ἐργασάμενος μακροῖς ὕστερον χρόνοις, ῥύσῃ
κἀμὲ τῶν ἀδίκως με πολεμούντων· καὶ ὃν Γ
ὑπέταξάς μοι λαὸν ἀποφανεῖς εὐπειθῆ.

ν. Διὰ τοῦτο ἐξομολογήσομαί σοι
ἐν ἔθνεσι Κύριε, καὶ τῷ ὀνόματί σου
να. ψαλῶ. Μεγαλύνων τὰς σωτηρίας
τοῦ βασιλέως αὐτοῦ, καὶ ποιῶν ἔλεος
τῷ χριστῷ αὐτοῦ τῷ Δαβὶδ, καὶ τῷ
σπέρματι αὐτοῦ ἕως αἰῶνος.

** ΑΔΗΛΟΥ. Διὰ τοῦτο, ἤτοι διὰ τὰς
εἰς ἐμὲ εὐεργεσίας, εὐχαριστήσω σοι ἐπὶ Δ
πάντων, εἴτε Ἰουδαίων, εἴτε ἐθνῶν, καὶ
ὑμνήσω τὸ ὄνομά σου. σὺ γὰρ εἶ ὁ τὰς μεγά-
λας παραδοξοποιΐας καὶ σωτηρίας ἐνεργῶν,
καὶ πολλῇ φιλανθρωπίᾳ χρησάμενος πρὸς
ὃν ἔχρισας, ἐμέ· ἐπαγγειλάμενος δὲ καὶ
τοῖς ἐξ ἐμοῦ πᾶσι καλῶς χρήσεσθαι. ἐπεὶ
γὰρ ᾔδει ἐκ πνεύματος ἁγίου, ὡς αἱ ἐπαγ-
γελίαι οὐκ ἐν αὐτῷ μόνον περιγράφονται,
ἀλλὰ καὶ εἰς τὸ σπέρμα αὐτοῦ διαμένουσιν,
αἰνιττόμενος τὸν Χριστὸν, οὕτως εἶπεν. ἡ γὰρ

ἔκβασις τῶν πραγμάτων οὕτως ἔδειξεν· ὅτι A
τὸ στόμα τοῦ Δαβὶδ τὸ εὐλογημένον καὶ ἁγιά-
ζον τὰ ἔθνη, οὐκ εἰς ἄλλον ἦν, ἀλλ' εἰς τὸν
» τοῦ παντὸς Κύριον. οὐ γὰρ σώζεται τὸ, ἕως
αἰῶνος ἐκείνοις, τοῦ θανάτου αὐτοὺς ἐλέγ-
ξαντος, ὡς οὐδεὶς ἦν εἰς αἰῶνας εὐλογημέ-
νος, ἀλλ' οὐδὲ ἐθνῶν ἐβασίλευσεν ὁ Δαβὶδ,
εἰ καὶ διὰ τῶν ἰδίων ὕμνων ἐν πᾶσι τοῖς ἔθ-
νεσι ψάλλει τῷ Θεῷ.

** ΘΕΟΔΩΡΙΤΟΥ. Σύ με γὰρ χρίσας
B εἰς βασιλέα, οὐ μόνον σώζεις, ἀλλὰ καὶ περί-
βλεπτον ἀποφαίνεις. ταύτης δὲ τῆς προ-
νοίας οὐκ ἐμὲ μόνον, ἀλλὰ καὶ τοὺς ἐμοὺς
ἀξιώσεις παῖδας· ἀλλὰ καὶ ἕως αἰῶνος τῷ
σπέρματί μου φυλάξεις τὴν περιφάνειαν.
τοῦτο δὲ ἰουδαϊκῶς μὲν νοούμενον, τὴν προ-
φητείαν ἐλέγχει. μέχρι γὰρ τῆς αἰχμα-
λωσίας τοῦ Δαβὶδ τὸ γένος εἰς βασιλείαν
διήρκεσε· μετὰ δὲ τὴν ἐκεῖθεν ἐπάνοδον
μόνος Ζοροβάβελ ἡγεμονεύσας, τῆς ἡγε-
Γ μονίας οὐ κατέλιπε κληρονόμους. εἰ τοίνυν
ἀληθὴς ἡ προφητεία, ὥσπερ οὖν ἀληθής·
τὸ γὰρ τῆς ἀληθείας αὐτὴν ἀπεκάλυψε
πνεῦμα· λείπεται νοεῖν τὸ σπέρμα τοῦ Δα-
βὶδ τὸ αἰώνιον ἔχον τὴν περιφάνειαν, τὸν
ἐκ Δαβὶδ κατὰ σάρκα γεννηθέντα δεσπό-
την Χριστὸν, αἰώνιον ἔχοντα βασιλείαν καὶ
δόξαν· καὶ ἔχοντα μὲν ταύτην πρὸ τῶν
αἰώνων, ὡς ποιητὴν καὶ Θεόν· εἰληφότα
δὲ πάλιν ὡς ἄνθρωπον ἐπὶ ἐσχάτου τῶν
Δ ἡμερῶν. διὸ δὴ καὶ διὰ τοῦ θεσπεσίου Ἰεζε-
» κιὴλ ὁ τῶν ὅλων ἔφη Θεός· δώσω αὐτοῖς Ἰεζ. 37, 24.
» Δαβὶδ τὸν βασιλέα αὐτῶν· καὶ πάλιν, καὶ 34, 24.
» Δαβὶδ ὁ βασιλεὺς ἐν μέσῳ αὐτῶν. Δαβὶδ
δὲ αὐτὸν ὠνόμαζεν, ὡς ἐκ τῆς τοῦ Δαβὶδ
ὀσφύος κατὰ σάρκα βλαστήσαντα. τοῦτο δὲ
» καὶ ὁ μακάριος Ἡσαΐας βοᾷ· ἔσται ἡ ῥίζα Ἡσ. 11, 10.
» τοῦ Ἰεσσαὶ, καὶ ὁ ἀνιστάμενος ἄρχειν ἐθνῶν,
» ἐπ' αὐτῷ ἔθνη ἐλπιοῦσι. ταῦτα μεμαθηκὼς
» ὁ μακάριος Ματθαῖος, οὕτω τῆς εὐαγγελι-
E » κῆς ἤρξατο συγγραφῆς· βίβλος γενέσεως Ματθ. 1, 1.
» Ἰησοῦ Χριστοῦ, υἱοῦ Δαβίδ.

ΚΕΦ. ΚΓ.

α. Καὶ οὗτοι οἱ λόγοι Δαβὶδ οἱ
ἔσχατοι. πιστὸς Δαβὶδ υἱὸς
Ἰεσσαὶ, καὶ πιστὸς ἀνὴρ ὃν
ἀνέστησεν ὁ Κύριος ἐπὶ χριστὸν Θεοῦ Ἰα-
κὼβ, καὶ εὐπρεπεῖς ψαλμοὶ Ἰσραήλ.
β. Πνεῦμα Κυρίου ἐλάλησεν ἐν ἐμοὶ, καὶ
γ. ὁ λόγος αὐτοῦ ἐπὶ γλώσσης μου. Λέγει
ὁ Θεὸς Ἰσραὴλ, ἐμοὶ ἐλάλησε Φύ-
λαξ Ἰσραὴλ παραβολήν· εἶπον ἐν
ἀνθρώπῳ, πῶς κραταιώσετε (1) φό-
βον Θεοῦ,

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ δὲ οἱ Ἰου-
δαῖοι Προφήτην αὐτὸν ὀνομάζειν οὐ βούλον-
ται, ὡς ἐναργῶς ἅπαντα (2) [τὰ] περὶ

τοῦ Σωτῆρος ἡμῶν καὶ τῆς τῶν ἐθνῶν κλή-
σεως (3) προθεσπίσαντα, ἀκουσάτωσαν αὐ-
» τοῦ λέγοντος· Δαβὶδ υἱὸς Ἰεσσαὶ, πιστὸς ἀνὴρ
» ὃν ἀνέστησεν ὁ Θεὸς (4) Ἰακώβ. καὶ ὡραῖος
Z » ὁ ψαλμὸς τοῦ Ἰσραήλ. πνεῦμα Κυρίου ἐλά-
» λησεν ἐν ἐμοὶ, καὶ ὁ λόγος αὐτοῦ ἐπὶ γλώσ-
» σης μου. εἶπεν ὁ Θεὸς Ἰακὼβ ἐν ἐμοὶ λαλῆ-
σαι. εἰ δὲ καὶ πνεῦμα Κυρίου ἐλάλησεν ἐν
αὐτῷ, καὶ ὁ Θεὸς Ἰακὼβ εὐδόκησεν ἐν αὐτῷ
λαλῆσαι, Προφήτης ἄρα ἐστὶ, καὶ Προφή-
της μέγιστος· ἐπειδὴ τὰ ἄδηλα καὶ τὰ κρύφια
τῆς σοφίας αὐτοῦ ἐδήλωσεν αὐτῷ ὁ Θεός.

δ. Καὶ ἐν φωτὶ Θεοῦ πρωΐας; καὶ
H ἀνατέλλει ὁ ἥλιος τὸ πρωῒ, καὶ οὐκ
ἐσκότασεν ἐκ φέγγους, καὶ ὡς ἐξ ὑετοῦ
χλόης

(1) Κραταιώσητε. αἱ αὐτ.
(3) Πίστεως. ἡ αὐτ.
(2) Ἐναργῶς ἄγαν. ἡ ἐν Χάλ. ἔκδ.
(4) Χριστὸν ὁ Θεὸς Ἰακ. ἡ αὐτ.

ε. χλόης ἀπὸ γῆς. Οὐ γὰρ ȣ̃τος ὁ
οἶκός μȣ μετὰ ἰσχυρȣ̃, διαθήκην γὰρ
αἰώνιον ἔθετό μοι ἑτοίμην ἐν παντὶ
καιρῷ πεφυλαγμένην· ὅτι πᾶσα σω-
τηρία μȣ καὶ πᾶν Φύλαγμα (1) ἐν
Κυρίῳ, ὅτι ȣ̓ μὴ βλαςήσῃ ὁ παράνο-
ϛ. μος. Ὥσπερ ἄκανθα ἐξωσμένη πάν-
τες αὐτοὶ, ὅτι ȣ̓ χειρὶ ληΦθήσονται,
ζ. Καὶ ἀνὴρ ȣ̓ κοπιάσει ἐν αὐτοῖς· καὶ
πλῆρες σιδήρȣ, καὶ ξύλον δόρατος,
καὶ ἐν πυρὶ καύσει, καὶ καυθήσονται
εἰς αἰσχύνην αὐτῶν.

η. Ταῦτα τὰ ὀνόματα τῶν δυ-
νατῶν τȣ̃ Δαβίδ· Ἰεβοσθὲ ὁ Χανα-
ναῖος ἄρχων τȣ̃ τρίτȣ ἐςίν· Ἀδινὼν
ὁ Ἀσωναῖος, ȣ̃τος ἐσπάσατο τὴν ῥομ-
Φαίαν αὐτȣ̃ ἐπὶ ὀκτακοσίȣς ςρατιώ-
τας εἰσάπαξ.

✱✱ ΙΩΣΗΠΟΥ. Δυνατοὶ ἦσαν ȣ̃τοι, καὶ χώρας ὑπάγεσθαι, καὶ μεγάλων ἐθνῶν κρατῆσαι. Πρῶτος μὲν ȣ̓ν Ἰέσσαιμος υἱὸς Ἀχεμαίȣ. ὃς πολλάκις εἰς τὴν παράταξιν ἐμπηδῶν τῶν πολεμίων, ȣ̓ πρὶν ἀνεπαύετο μαχόμενος, πρὶν ἐννεακοσίȣς (2) αὐτῶν κατέβαλε.

θ. Καὶ μετ᾽ αὐτὸν Ἐλεάζαρ υἱὸς
πατραδέλΦȣ αὐτȣ̃ (3) ἐν τοῖς τρισὶ
δυνατοῖς· ȣ̃τος ἦν μετὰ Δαβὶδ ἐν
Σαῤῥὰν ἐν τῷ ὀνειδίσαι αὐτὸν ἐν τοῖς
ἀλλοΦύλοις. καὶ οἱ ἀλλόΦυλοι συ-
νήχθησαν ἐκεῖ εἰς πόλεμον, καὶ ἀνέ-
βησαν ἀνὴρ Ἰσραὴλ πρὸ προσώπȣ
ι. αὐτȣ̃, Καὶ αὐτὸς ἀνέςη καὶ ἐπάτα-
ξεν ἐν τοῖς ἀλλοΦύλοις, ἕως ȣ̃ ἐκο-
πίασεν ἡ χεὶρ αὐτȣ̃, καὶ προσεκολλή-
θη ἡ χεὶρ αὐτȣ̃ εἰς τὴν μάχαιραν. καὶ
ἐποίησε Κύριος σωτηρίαν μεγάλην
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ· καὶ ὁ λαὸς ἐπέςρε-
ψεν ὀπίσω αὐτȣ̃ πλὴν ἐκδιδύσκειν.

✱✱ ΙΩΣΗΠΟΥ. Μετ᾽ αὐτὸν ἦν Ἐλεάζαρος υἱὸς Δωδείȣ, ὃς ἦν μετὰ τȣ̃ βασιλέως ἐν Ἀρασάμῳ. ȣ̃τός ποτε τῶν Ἰσραηλιτῶν καταπλαγέντων τὸ πλῆθος τῶν Παλαιςίνων, καὶ Φυγόντων, μόνος ἔμεινε· καὶ συμπεσὼν τοῖς πολεμίοις, ἀπέκτεινεν αὐτῶν πολλȣ̀ς, ὡς ὑπὸ τȣ̃ αἵματος προσκολληθῆναι τὴν ῥομΦαίαν αὐτȣ̃ τῇ δεξιᾷ, καὶ τȣ̀ς Ἰσραηλίτας ἰδόντας τετραμμένȣς ὑπ᾽ αὐτȣ̃ τȣ̀ς Παλαιςίνȣς, καταβάντας ἀπὸ τῶν ὀρέων, διώκειν, καὶ θαυμαςὴν καὶ διαβόητον τότε νίκην ἄρασθαι, τȣ̃ μὲν Ἐλεαζάρȣ κτείνοντος, ἑπομένȣ δὲ τȣ̃ πλήθȣς καὶ σκυλεύοντος τȣ̀ς ἀναιρȣμένȣς.

ια. Καὶ μετ᾽ αὐτὸν Σαμαίας (4)
υἱὸς Ἀγαθὰ (5) ὁ Ἀρȣκαῖος. καὶ οἱ
A ἀλλόΦυλοι συνήχθησαν εἰς Θηρία·
καὶ ἦν ἐκεῖ μερὶς ἀγρȣ̃ πλήρης Φακȣ̃·
καὶ ὁ λαὸς ἔΦυγεν ἐκ προσώπȣ ἀλ-
ιβ. λοΦύλων. Καὶ ἐςηλώθη ἐν μέσῳ τῆς
μερίδος, καὶ ἐξείλατο αὐτὴν, καὶ ἐπά-
ταξε τȣ̀ς ἀλλοΦύλȣς. καὶ ἐποίησε
Κύριος σωτηρίαν μεγάλην.

✱✱ ΙΩΣΗΠΟΥ. Τρίτος δὲ ἦν Ἰλȣ̃ μὲν υἱὸς, Σεβὰς δὲ ὄνομα. καὶ ȣ̃τος ἐν τοῖς πρὸς
B Παλαιςίνȣς ἀγῶσιν, εἰς τόπον Σιαγόνα λεγόμενον αὐτῶν παραταξαμένων, ὡς οἱ Ἑβραῖοι πάλιν τὴν δύναμιν Φοβηθέντες, ȣ̓κ ἔμειναν, ὑπέςη μόνος ὡς ςράτευμα καὶ τάξις· καὶ τȣ̀ς μὲν αὐτῶν κατέβαλε, τȣ̀ς δὲ ȣ̓ καρτερήσαντας αὐτȣ̃ τὴν ἰσχὺν καὶ τὴν βίαν, ἀλλ᾽ εἰς Φυγὴν ἀποςραΦέντας, ἐδίωξε. ταῦτα μὲν ἔργα χειρῶν καὶ μάχης οἱ τρεῖς ἐπεδείξαντο.

ιγ. Καὶ κατέβησαν τρεῖς ἐκ (6)
Γ τῶν τριάκοντα ἀρχόντων, καὶ ἦλθον
εἰς Κασωὰ πρὸς Δαβὶδ εἰς τὸ σπή-
λαιον Ὀδολλάμ· καὶ τὰ θηρία (7)
τῶν ἀλλοΦύλων παρενέβαλον ἐν τῇ
ιδ. κοιλάδι ῬαΦαΐμ. Καὶ Δαβὶδ τότε
ἐν τῇ περιοχῇ, καὶ τὸ ὑπόςεμα τῶν
ἀλλοΦύλων τότε ἐν Βηθλεέμ.

ιε. Καὶ ἐπεθύμησε Δαβὶδ, καὶ
Δ εἶπε, τὶς ποτιεῖ με ὕδωρ ἐκ τȣ̃ λάκκȣ
τȣ̃ ἐν Βηθλεὲμ τȣ̃ ἐν τῇ πύλῃ; τὸ
δὲ σύςεμα τῶν ἀλλοΦύλων τότε ἐν
Βηθλεέμ.

✱✱ ΙΩΣΗΠΟΥ. Τῆς τῶν ἐχθρῶν παρεμβολῆς ἐν τῇ κοιλάδι κειμένης, ἣ μέχρι πόλεως Βηθλεὲμ διατείνει, ςαδίȣς Ἱεροσολύμων ἀπεχȣ́σης εἴκοσι, ὁ Δαυΐδης τοῖς ἑταίροις καλὸν ὕδωρ, εἶπεν, ἔχομεν ἐν τῇ
E πατρίδι μȣ. καὶ μάλιςα τὸ πρὸς τῷ λάκκῳ, τὸ πρὸς τῇ πύλῃ, θαυμάζων, εἰ τὶς ἐξ αὐτȣ̃ πιεῖν αὐτὸ κομίσειε, μᾶλλον ἐθελήσειν, ἢ πολλὰ χρήματα διδοίη.

ιϛ. Καὶ διέῤῥηξαν οἱ τρεῖς δυνατοὶ
τὴν παρεμβολὴν τῶν ἀλλοΦύλων,
καὶ ὑδρεύσαντο ὕδωρ ἐκ τȣ̃ λάκκȣ τȣ̃
ἐν Βηθλεὲμ τȣ̃ ἐν τῇ πύλῃ· καὶ ἔλα-
βον, καὶ παρεγένοντο πρὸς Δαβὶδ,
Z καὶ ȣ̓κ ἠθέλησε πιεῖν αὐτό· καὶ ἔσπει-
ιζ. σεν αὐτὸ τῷ Κυρίῳ, Καὶ εἶπεν, ἵλεώς
μοι Κύριε τȣ̃ ποιῆσαι τȣ̃το, εἰ αἷμα
τῶν ἀνδρῶν τῶν πορευθέντων ἐν ταῖς
ψυχαῖς αὐτῶν πίομαι. καὶ ȣ̓κ ἠθέ-
λησε πιεῖν αὐτό. ταῦτα ἐποίησαν οἱ
τρεῖς δυνατοί.

✱✱ ΙΩΣΗΠΟΥ. Ταῦτ᾽ ἀκȣ́σαντες οἱ τρεῖς ἄνδρες ȣ̃τοι, παραχρῆμα ἐκδραμόν-
H τες, καὶ διὰ μέσȣ τȣ̃ τῶν πολεμίων ὁρμήσαντες

(1) Θέλημα. αἱ αὐτ. (2) Ὀκτακοσίȣς, συνῳδὰ τῇ ΓραΦῇ. ἐν ταῖς σημειώσ. ταῖς ἐν σελ. 401. τȣ̃ 1. Τόμ. τῆς ἐν Ἀμςελ. ἐκδόσ. (3) Υἱὸς Δȣδὶ τȣ̃ ἐν. αἱ αὐτ. (4) Σαμαία. αἱ αὐτ. (5) Ἄσα ὁ Ἀρȣχαῖος. αἱ αὐτ. (6) Ἀπό. αἱ αὐτ. (7) Καὶ τὸ τάγμα. αἱ αὐτ.

σαντες στρατοπέδου, ἧκον εἰς Βηθλεέμ, καὶ A
τοῦ ὕδατος ἀρυσάμενοι, πάλιν διὰ τῆς πα-
ρεμβολῆς ὑπέστρεψαν πρὸς τὸν βασιλέα·
ὡς τοὺς Παλαιστίνους καταπλαγέντας αὐτῶν
τὸ θράσος καὶ τὴν εὐψυχίαν, ἠρεμῆσαι,
καὶ μηδὲν ἐπ' αὐτοὺς τολμῆσαι, καταφρο-
νήσαντας τῆς ὀλιγότητος. κομισθέντος δὲ
τοῦ ὕδατος, οὐκ ἔπιεν ὁ βασιλεὺς, κινδύνῳ
καὶ αἵματι, φήσας, ἀνθρώπων αὐτὸ κε-
κομίσθαι, καὶ διὰ τοῦτο μὴ προσήκειν αὐ-
τῷ πιεῖν. ἔσπεισε δὲ ἀπ' αὐτοῦ τῷ Θεῷ, καὶ B
περὶ τῆς σωτηρίας τῶν ἀνδρῶν ηὐχαρί-
στησεν αὐτῷ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὅσον μέντοι ὤνη-
σεν αὐτὸν ἡ παιδεία, ἡ ἱστορία διδάσκει. τῇ
γὰρ πείρᾳ μαθὼν, ὅσων ἡ ἐπιθυμία πρό-
ξενος συμφορῶν, ὠρέχθη μὲν ὕδατος ψυ-
χροῦ, ἀνεμνήσθη δὲ τοῦ ἐν Βηθλεέμ. τρεῖς
δὲ τῶν (1) ἐν μάχαις ἀριστέων ἐσπούδασαν,
ἀγνοοῦντος τοῦ βασιλέως, τὴν αὐτοῦ πληρῶ- Γ
σαι ἐπιθυμίαν. ὡς δὲ τὸ ὕδωρ τοὺς πολε-
μίους διακόψαντες ἐκόμισαν, ἐθαύμασε μὲν,
καὶ ἀπεδέξατο τῆς τε περὶ αὐτὸν σπουδῆς καὶ
εὐτολμίας τοὺς ἄνδρας, οὐκ ἠνέσχετο δὲ μετα-
σχεῖν· ἀλλ' εὐσεβεῖ λογισμῷ τῆς ἐπιθυμίας
κρατήσας, καὶ αἷμα αὐτὸ τῶν κεκμηκότων
ὀνομάσας, διὰ τὸ ῥιψοκινδύνως ἐπὶ θερα-
πείᾳ αὐτοῦ προσενεγκεῖν αὐτοὺς διὰ μέσον
τῶν πολεμίων, σπονδὴν αὐτὸ προσήγαγεν
ὑπὲρ αὐτῶν τῷ σεσωκότι Θεῷ. εἰς τοσαύ-
την αὐτὸν ἡ παιδεία φιλοσοφίαν ἤγαγε. Δ

** ΝΕΙΛΟΥ. Ὡς τὸν ὀφιόδηκτον θροοῖ
καὶ σχοῖνος σπειρηδὸν ἐῤῥιμμένη, τοῦ φόβου
πλάσσοντος τὴν ὄψιν πρὸς τὴν ὑπόνοιαν,
καὶ τὴν ἔννοιαν παραπέμποντος τῇ πείρᾳ·
οὕτω μετὰ τὴν ἁμαρτίαν τοῦτον καὶ αἱ μὴ
κεκωλυμέναι τῶν ἐπιθυμιῶν χρήσεις κατέ-
πληττον, δεδοικότα μήπου τὶς αὐταῖς πρὸς
ἁμαρτίαν τοῦ ἐχθροῦ δόλος ἐγκέκρυπται,
δέλεαρ ἀπάτης προσιθέντος τὰ ἐφειμένα, E
πρός τι τῶν ἀπηγορευμένων ἑλκύσαι μη-
χανωμένου. καθάπερ εἵλκυσε πάλαι τῇ
ὄψει τῆς γυναικὸς, πρὸς τὸ ἔνεδρον ἀγα-
γὼν τῆς ἀθεμίτου μοιχείας. καὶ τοῦτο δῆλον,
ἐξ ὧν ἐπιθυμήσας ἐν πολέμῳ τοῦ ἐν Βηθ-
λεὲμ ὕδατος, οὐκ ἠνέσχετο κομισθέντος πιεῖν.
καὶ τὸ μετ' ἐπιθυμίας δίψος ὁμολογήσας, καὶ
τὸ ἐγκρατὲς ἐπιδειξάμενος, εἰ μὴ κολάσοι
τὸ ἀδεὲς τῆς ἐπιθυμίας, ὁδὸν εὔκολον πρὸς
πᾶσαν ἡδονὴν ἀνοίξειν αὐτῇ λογισάμενος. Z

ιη. Καὶ Ἀβεσσὰ ἀδελφὸς Ἰωὰβ
υἱὸς Σαρουΐα ἄρχων οὗτος ἐν τοῖς τρι-
σὶ, καὶ οὗτος (2) ἐξήγειρε τὸ δόρυ αὐ-
τοῦ ἐπὶ τριακοσίους τραυματίας· καὶ
ιθ. αὐτῷ ὄνομα ἐν τοῖς τρισὶν, Ἐκ τῶν
A τριῶν ἐκείνων ἔνδοξος, καὶ ἐγένετο αὐ-
τοῖς εἰς ἄρχοντα, καὶ ἕως τῶν τριῶν
οὐκ ἦλθε.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, οὗτος
» ἦν ὀνομαστὸς ἐν τοῖς τρισὶν, ὑπὲρ τοὺς δύο
» ἔνδοξος, καὶ ἦν αὐτοῖς εἰς ἄρχοντα, καὶ
» ἕως τῶν τριῶν οὐκ ἤρχετο; Τῶν τριῶν καὶ
τὴν ῥώμην καὶ τὴν ἀνδρείαν ἐπῄνεσε. τὸν
δὲ Ἀβεσσὰ τῶν δύο μὲν εἴρηκε κρείττονα,
τοῦ πρώτου δὲ ἥττονα. ἐκεῖνος γὰρ ἐννακο-
B σίους ἀνῄρει παρατατόμενος, ἑξακοσίους δὲ
οὗτος. πρῶτος δὲ τῶν τριῶν, οὐ κατὰ τὸ ἔρ-
γον, ἀλλὰ κατὰ τὴν ἀρχήν.

κ. Καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἀνὴρ
αὐτὸς πολλοστὸς ἔργοις, ἀπὸ Καβα-
σαὴλ, (3) καὶ αὐτὸς ἐπάταξε τοὺς δύο
υἱοὺς Ἀριὴλ τοῦ Μωάβ· καὶ αὐτὸς κα-
τέβη καὶ ἐπάταξε τὸν λέοντα ἐν μέ-
Γ σῳ τοῦ λάκκου ἐν τῇ ἡμέρᾳ τῆς χιόνος.
κα. Καὶ αὐτὸς ἐπάταξε τὸν ἄνδρα τὸν
Αἰγύπτιον, ἄνδρα ὁρατὸν, ἐν δὲ τῇ
χειρὶ τοῦ Αἰγυπτίου δόρυ ὡς ξύλον δια-
βάθρας· καὶ κατέβη πρὸς αὐτὸν ἐν
ῥάβδῳ, καὶ ἥρπασε τὸ δόρυ ἐκ τῆς
χειρὸς τοῦ Αἰγυπτίου, καὶ ἀπέκτεινεν
αὐτὸν ἐν τῷ δόρατι αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Πέμπτος Βαναίας ὁ
ἱερεὺς τῷ γένει. προκληθεὶς γὰρ ὑπ' ἀδελ-
Δ φῶν διασήμων ἐν τῇ Μωαβίτιδι χώρᾳ, κατ'
ἀρετὴν ἐκράτησεν αὐτῶν. καὶ πάλιν αὐτὸν
ἀνδρὸς Αἰγυπτίου τὸ γένος, θαυμαστοῦ τὸ μέ-
γεθος, προκαλεσαμένου, γυμνὸς ὡπλισμέ-
νον, τῷ δόρατί τε ἐκείνου βαλὼν, ἀπέκτεινε.
περιελόμενος γὰρ αὐτὸν ἄκοντα, καὶ ζῶντα
ἔτι καὶ μαχόμενον σκυλεύσας, τοῖς ἰδίοις
αὐτὸν ὅπλοις διεχρήσατο. προσαριθμήσαι
δὲ ἄν τις αὐτοῦ καὶ τοῦτο ταῖς προειρημέναις
E πράξεσιν, ἢ ὡς πρῶτον αὐτῶν κατ' εὐψυ-
χίαν, ἢ ὡς ὅμοιον. νίφοντος γὰρ τοῦ Θεοῦ,
λέων εἴς τινα λάκκον ὀλισθὼν ἐνέπεσε. στε-
νοῦ δὲ ὄντος τοῦ στομίου, δῆλος ἦν ἀφανὴς
ἐσόμενος, ἐμφραγέντος αὐτοῦ τῇ χιόνι. πό-
ρον οὖν οὐδένα βλέπων ἐξόδου καὶ σωτηρίας,
ἐβρυχᾶτο. τοῦ δὲ θηρὸς ἀκούσας ὁ Βαναίας·
ὥδευε γὰρ τότε· καὶ πρὸς τὴν βολὴν ἐλ-
θὼν, καταβὰς εἰς τὸ στόμιον, πλήξας αὐ-
τὸν μαχόμενον τῷ μετὰ χεῖρας ξύλῳ, πα-
Z ραχρῆμα ἀπέκτεινε.

κβ. Ταῦτα ἐποίησε Βαναίας υἱὸς
Ἰωδαὲ, καὶ αὐτῷ ὄνομα ἐν τοῖς τρι-
κγ. σὶ (4) δυνατοῖς, Ἐκ τῶν τριῶν ἔνδο-
ξος, καὶ πρὸς τοὺς τρεῖς οὐκ ἦλθε· καὶ
ἔταξεν αὐτὸν Δαβὶδ πρὸς τὰς ἀκοὰς
αὐτοῦ.

(1) Τῶν ἀριστεύειν εἰωθότων ἐν μάχαις τῶν ἀλλοφύλων, περὶ τὴν Βηθλεὲμ ἐστρατοπεδευκότων, ἐσπούδασαν, καὶ μὴ προστεταχότος τοῦ βασιλέως κομίσαι τὸ ὕδωρ. καὶ μέσην διελθόντες τῶν πολεμίων τὴν στρατιὰν, καὶ τὸ ὕδωρ ἀνιμήσαντο, καὶ κατὰ τάχος ἀνέστρεψαν, οὐδενὸς τῶν ἀλλοφύλων προσβαλεῖν ἐπιχειρήσαντος. ἔδεισαν γὰρ αὐτῶν τὴν τῆς εὐτολμίας ὑπερβολήν. ἀλλ' ὁ πάντα ἄριστος βασιλεὺς οὐκ ἠνέσχετο τοῦ ὕδατος ἐκείνου τοῦ ποθουμένου μεταλαχεῖν· ἀλλ' εὐσεβεῖ λογισμῷ τῆς ἐπιθυμίας ἐκράτησεν· αἷμα γὰρ αὐτὸ τῶν κομισάντων ὠνόμασεν· ἐπειδὴ τοῦ βασιλέως τὴν θεραπείαν τῆς οἰκείας προτιμήσαντες σωτηρίας, ῥιψοκινδύνως διέκοψαν τῶν πολεμίων τὴν φάλαγγα, καὶ παραδόξως ἐσώθησαν. ὅθεν αὐτὸ σπονδὴν προσεκόμισε τῷ σεσωκότ. κλ. ἡ ἐν Χάλ. ἐκδ. (2) Αὐτός. αἱ αὐτ. (3) Καβεσσήλ. αἱ αὐτ. (4) Τοῖς δυν. αἱ αὐτ.

αὐτȣ̃. καὶ ταῦτα τὰ ὀνόματα τῶν δυνατῶν Δαβὶδ τȣ̃ βασιλέως.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἰστέον δὲ καὶ τȣ̃το, ὡς Βανέας υἱὸς Ἰωδαὲ ἀδελφιδȣ̃ς ἦν τȣ̃ βασιλέως. ἔκγονον γὰρ αὐτὸν ἐκάλεσε τȣ̃ Ἰεσσαὶ, υἱὸν δὲ Ἰωδαὲ τȣ̃ υἱȣ̃ Ἰεσσαί. καὶ τȣ́τȣ δὲ τὴν ἀνδραγαθίαν πολλάκις εἰπὼν,
» προσέθηκεν, ὅτι ὑπὲρ τȣ̀ς τρεῖς ἔνδοξος
» ἦν, καὶ πρὸς τȣ̀ς τρεῖς ȣ̓κ ἤρχετο. τῆς γὰρ τῶν τριῶν λειπόμενος ῥώμης, ἔνδοξος ἦν, ὡς τὴν φυλακὴν τȣ̃ βασιλέως πεπιστευμέ-
» νος. κατέστησε γὰρ αὐτὸν, φησὶ, Δαβὶδ
» ἐπὶ τὴν φυλακὴν αὐτȣ̃.

κδ. Ἀσαὴλ ἀδελφὸς Ἰωάβ· ȣ̂τος
ἐν τοῖς τριάκοντα· Ἐλκανὰν (1) υἱὸς
Δȣδὶ πατραδέλφȣ αὐτȣ̃ ἐκ Βηθ-
κε. λεέμ· Σεμὼθ ὁ Ἀρωδὶ, Ἐλικὰ ὁ
κς. κζ. Ἀρωδί· Χελλῆς ὁ Φαλλωνί· (2) Ἰρὰ
υἱὸς Ἐκκὴς ὁ Θεκωΐτης· Ἀβιέζερ ὁ
Ἀναθωθίτης, Σαβȣχαὶ ὁ Ἀσωθί-
της· Ἐλλὼν ὁ Ἀλωνίτης· Μοορὲ (3)
κη. ὁ Νετοφαθίτης· Ἐλὰ υἱὸς Βαανὰ ὁ
κθ. Νετοφαθίτης· Ἐθθὶ υἱὸς Ῥιβὰ ἐκ
Γαβαὰ (4) Βενιαμὶν, Βαναίας ὁ Φα-
A ραθωνίτης, Οὐριὲ (5) ἐκ Ναχμγαίας,
Ἀριὴλ υἱὸς τȣ̃ Ἀραβωθίτȣ, Ἀζμὼθ (6)
λβ. ὁ Βαρσαμίτης, Ἐλεασὰ (7) υἱὸς ὁ Ἀ-
λγ. λαβωνίτης, (8) Βασαὶ ὁ Γωϋνὶ, Ἰω-
νάθαν (9) υἱὸς Σαμὰ ὁ Ἀρωρίτης,
Ἀχιὰν υἱὸς Σαραιὰ, ὁ Ἀραθυρίτης,
Ἀλιφὰτ υἱὸς Μαλχὰ, Ἀχὶ ὁ Μεθυ-
λδ. ραθί· Ἐλιὰβ υἱὸς Ἀχιτόφελ τȣ̃ Γε-
λε. λωνίτȣ· Ἀσαραὶ (10) ὁ Καρμήλιος
λς. τȣ̃ Οὐρὲ υἱὸς Ἀσβί· Ἰεβάαλ (11) υἱὸς
Νάθαν (12) Μαβαὰν υἱὸς Ἀγαρὶν, Ἐ-
λὴχ ὁ Ἀμμανίτης, Γελωραὶ ὁ Βηθω-
ραῖος· υἱοὶ Ἀσὰν Ἰωνάθαν, Σαμνὰν ὁ
Ἀρωδίτης, Ἀμνὰν υἱὸς Ἀρὰ ὁ Ἀραρί-
της, Ἀλιφαρὲτ υἱὸς τȣ̃ Ἀσαβίτȣ υἱὸς
τȣ̃ Μαχαλχανὶ, Φαρὰ ὁ Ἀραχαῖος,
Γαὰλ υἱὸς Νάθαν· πολὺς δυνάμεως
λζ. υἱὸς Γαλααδί· Ἐλὶθ (13) ὁ Ἀμμα-
Γ νίτης· Γελωρὰ (14) ὁ Βηρωθαῖος ὁ
αἴρων τὰ σκεύη Ἰωὰβ υἱȣ̃ Σαρȣΐα·
λη. Ἴρας ὁ Ἐθιραῖος· Γαρὶβ (15) ὁ Εὐ-
λθ. θενναῖος· Καὶ Οὐρίας ὁ Χετταῖος·
οἱ πάντες τριάκοντα καὶ ἑπτά.

ΚΕΦ. ΚΔ.

α. Καὶ προσέθετο ὀργὴν Κύ-
ριος ἐκκαῦσαι ἐν Ἰερȣσα-
λὴμ, (16) καὶ ἔπεισε τὸν
Δαβὶδ ἐν αὐτοῖς, λέγων, πορεύθητι
καὶ ἀρίθμησον τὸν Ἰσραὴλ καὶ τὸν Ἰȣ́δαν.

** ΜΑΞΙΜΟΥ. Ἐπειδὴ ἐν ταῖς Βασι-
» λείαις γέγραπται, ὅτι ὁ Θεὸς ἐπέσεισε τὸν
» Δαβὶδ ἀριθμῆσαι τὸν λαόν· ἐν δὲ ταῖς Πα-
1. Παραλ. 21. 1. ραλειπομέναις, τὸν Διάβολον λέγει, πῶς
δειχθήσεται ἡ θεία Γραφὴ ἑαυτῇ συμφω-
2. Κορ. 4. 4. νȣ̃σα; Ἐπειδὴ ὁ Ἀπόστολος Θεὸν τȣ̃ αἰῶνος τȣ́τȣ λέγει τὸν Διάβολον, κατὰ τȣ̃το ἐκληπτέον τὸ τῶν Βασιλειῶν. ἢ καὶ ἄλλως· Ἐπειδὴ χωρὶς τῆς τȣ̃ Θεȣ̃ προνοίας ȣ̓δὲν γίνεται, ἀλλ᾽ εἴτε κατ᾽ εὐδοκίαν, εἴτε κατ᾽ οἰκονομίαν, εἴτε κατὰ συγχώρησιν τὰ πάντα γίνονται· τὸ ἐν ταῖς Βασιλείαις γε-
» γραμμένον, ὅτι ὁ Θεὸς ἐπέσεισεν, ἀντὶ τȣ̃, παρεχώρησε, νοεῖν ἐστὶν εὐσεβές· ἐν δὲ ταῖς Παραλειπομέναις, τὸν Διάβολον τὸν ἐνεργήσαντα, καὶ αἴτιον γενόμενον.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ προσέθετο ὀρ-
» γὴ Θεȣ̃, τȣ̃ θυμωθῆναι ἐν Ἰσραήλ. Οὐκ εἶπεν ἐν Δαβὶδ, ἀλλ᾽ ἐν Ἰσραήλ. τοιγάρτοι πρόφασις ἦν τῆς τιμωρίας ὁ γενόμενος
» ἀριθμός. ἔπεισε (17) γάρ φησι τὸν Δαβὶδ
» εἰς αὐτȣ̀ς, λέγων, πορεύθητι, ἀρίθμησον
» τὸν Ἰσραὴλ καὶ τὸν Ἰȣ́δαν, ἀλλ᾽ ȣ̓ διὰ λόγων ἐκελεύσθη· ἢ γὰρ ἂν, εὐθύνας τῆς ἀριθμήσεως εἰσπραττόμενος εἶπεν, ὡς αὐ-
E τὸς ἐκέλευσας ἀριθμηθῆναι. ἀλλ᾽ (18) ἐνέδωκε, πεπλημμεληκέναι ὁμολογήσας. ȣ̓ τοίνυν λόγῳ προσέταξε, (19) τὸ δὲ συγχωρῆσαι τȣ́τῳ χρήσασθαι τῷ λογισμῷ τὸν Δαβὶδ ἐῤῥέθη τὴν ἀπαρίθμησιν προστάξαι. ὡς γὰρ ὢν δεσπότης καὶ Θεὸς, ἐμποδὼν γίνεται τοῖς ȣ̓ συνοίσειν μέλλȣσι λογισμοῖς. καὶ γὰρ βȣληθέντα (20) τὸν θεῖον οἰκοδομῆσαι ναὸν διὰ τȣ̃ προφήτȣ Νάθαν κωλύει, (21) καὶ τὸν παῖδα προαγορεύει
Z ἀνοικοδομῆσαι. ὅτι δὲ ȣ̓κ ἐξ ἐνεργείας, ἀλλ᾽ ἐκ συγχωρήσεως ὁ (22) τῆς ἀριθμήσεως αὐτῷ γέγονε λογισμὸς, σαφέστερον ἡ τῶν

(1) Ἐλεανάν. αἱ αὐτ. (2) Κελωθί. αἱ αὐτ. (3) Νοορέ. αἱ αὐτ. (4) Υἱὸς Βεν. αἱ αὐτ.
(5) Οὐρὶ ἐκ Νααλγαίας. ἡ τȣ̃ Ἀλδ. ἔκδ. (6) Ζαώρ. ἡ αὐτ. (7) Ἐμασȣ̀ ὁ Σαλαβωνίτης· υἱοὶ Ἀσὰν, Ἰωνάθαν. αἱ εἰρημ. ἐκδόσ. (8) Ὀλαβωνίτης. ἡ τȣ̃ Ἀλδ. (9) Ἰωνάθαν· Σαμνὼν ὁ Ἀρωδίτης· Ἀμνὰν υἱὸς Ἀραὶ Σαμαρȣΐτης· Ἀλιφαλὲθ υἱὸς τȣ̃ Ἀσβίτȣ, υἱὸς τȣ̃ Μαχαχαχί. αἱ αὐτ.
(10) Ἀσαραί. αἱ αὐτ. (11) Γάαλ. αἱ αὐτ. (12) Ναθανά· πολυδυνάμεως· αἱ αὐτ. ὡς τὰ μεταξὺ λείπει. (13) Ἐλιὲ ὁ Ἀμμανίτης. εἶτα ἀντὶ 30. ἐδ. τάδε· Ἀδροὶ ἀπὸ χειμάῤῥων· Γαδαβιὴλ υἱὸς τȣ̃ Ἀραβωθαίȣ. αὐτ. (14) Γελωρὲ ὁ Βηθωραῖος. αἱ αὐτ. (15) Γηράβ ὁ Ἐθεναῖος· Οὐρ. αἱ αὐτ. (16) Ἐν Ἰσραὴλ, καὶ ἐπέσεισε τόν. αἱ αὐτ. (17) Ἐπέσεισε. ἡ ἐν Χάλ. ἔκδ.
(18) Ἀλλὰ τȣ̃το μὲν ȣ̓κ ἔφη· πεπλημμεληκέναι δὲ ὡμολόγησεν. ȣ̓ τοίν. κτ. ἡ αὐτ.
(19) Προσέταξε τὸν Ἰσραὴλ ἀριθμῆσαι, ἀλλ᾽ ἐνδέδωκε τȣ́τῳ χρήσασθαι τῷ λογισμῷ τὸν Δαβίδ. ἵλεως γὰρ ὢν ὁ Δεσπότ. ἡ αὐτ. (20) Βȣλευσαμένῳ. ἡ αὐτ. (21) Δεδήλωκε μηδὲν τοιȣ̃τον βȣλεύσασθαι, ἀλλὰ τῷ παιδὶ τὴν τῆς οἰκοδομῆς φυλάξαι φροντίδα. ὅτι δὲ, κτ. ἡ αὐτ. (22) Ὁ τοιȣ̃τος αὐτῷ. ἡ αὐτ.

Παραλειπομένων ἐδίδαξε βίβλος. (1) καὶ
α. Παραλ. 21. 1. ἀνέστη Σατὰν ἐπὶ Ἰσραὴλ, [καὶ ἐπέσεισε τὸν Δαβὶδ τοῦ ἀριθμῆσαι τὸν Ἰσραήλ. καὶ οὐκ εἶπεν, ἀνέστη Σατὰν ἐπὶ Δαβὶδ, ἀλλ' ἐπὶ τὸν Ἰσραήλ.] Σατὰν δὲ τὸν ἀντικείμενον, ἢ ἀποστάτην ἡ τῶν Ἑβραίων γλῶσσα καλεῖ. (2) καὶ γὰρ ἐναντίος ἦν καὶ ἀντικείμενος ὁ τῆς ἀριθμήσεως λογισμὸς ταῖς πρὸς Ἀβραὰμ ἐπαγγελίαις τοῦ Θεοῦ, αἳ μετὰ τῶν ἄλλων καὶ ἀριθμοῦ κρεῖττον γενέσθαι τὸ σπέρμα αὐτοῦ διηγόρευον. διὰ μέντοι τὴν τοῦ Δαβὶδ τιμωρίαν εἰς τοιοῦτον ἦλθε λογισμόν. » ἀνέστη γάρ φησι Σατὰν ἐπὶ Ἰσραὴλ, καὶ ἔπεισεν (3) αὐτοὺς τὸν Δαβὶδ, λέγων, πορεύθητι, ἀρίθμησον τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν. διὸ ἀριθμήσας, ὕστερον καὶ μεταμελεῖται. ἐπάταξε γάρ φησι Δαβὶδ τὴν καρδίαν αὐτοῦ, καὶ εἶπεν· ἡμάρτηκα τῷ Κυρίῳ. καὶ νῦν Κύριε περίελε τὴν ἀδικίαν τοῦ δούλου σου, ὅτι ἐματαιώθην σφόδρα. » ἐξ ὧν μάλιστα καταφανὲς, ὡς οὐ προστάξεως ἦν Θεοῦ, οὐδὲ θείας ἐνεργείας, ἀλλὰ μόνης συγχωρήσεως τὸ ἀριθμῆσαι Δαβὶδ τὸν λαὸν, ὑπὸ τῶν ἐναντίων λογισμῶν ἐκνικηθέντα. τὴν οὖν θείαν συγχώρησιν, ἐντολὴν ἐκάλεσεν· ἐπειδὴ κωλῦσαι δυνάμενος οὐκ ἐκώλυσε· παιδεῦσαι δὲ διὰ τούτου τοὺς παρανόμους βουλόμενος, πρῶτον μὲν τῆς πρὸς τοὺς πατέρας ἐπαγγελίας ἀνέμνησεν, ἔπειτα ὡς ἐξ ἑνὸς τοῦ Ἰακὼβ τοσαῦται μυριάδες ἐγένοντο, ὅσης τε εὐεργεσίας ἀπήλαυσαν, καὶ ὅτι ἀεὶ πονηρὰν ἀντεπεδείξαντο γνώμην. διὸ καὶ αὐτὸς καὶ τὴν ἐξαρίθμησιν συγχωρεῖ, καὶ τὴν τιμωρίαν τοῖς ἐπὶ πολλοῖς αὐτὴν παρανόμοις ἔργοις ὀφείλουσιν ἐπάγει.

** ΠΡΟΚΟΠΙΟΥ. Ὀργὴν Θεοῦ λέγει τὸν Διάβολον ἡ Γραφή. διὸ Σατὰν αὐτὴν ἐν Παραλειπομένοις φησί. καὶ εἴπερ ἡ ὀργὴ εἶπε, καὶ οὐκ αὐτὸς, ἑτέρα παρ' αὐτὸν ἡ εἰποῦσα ὀργή. » καὶ ὡς νῦν, ἐπέσεισεν ἡ ὀργὴ
α. Παραλ. 21. 1. λέγεται Κυρίου· οὕτως ἐκεῖ, ἐπέσεισε Σατάν. εἰ δὲ τοῦ ἁμαρτεῖν αἴτιον τὸ ἐπισεῖσαι, τὸ αἴτιον ἄρα τοῦ ἁμαρτεῖν ἐστὶν ὁ Διάβολος, δι' ἀμφοτέρων ὀνομαζόμενος τῶν προσηγοριῶν, καὶ πείθων ἁμαρτάνειν τοὺς ἀγίους ἁμαρτίαν, ἐφ' ᾗ παρέπεται δίκη.

A β. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἰωὰβ ἄρχοντα τῆς ἰσχύος τὸν μεθ' ἑαυτοῦ, (4) δίελθε δὴ πάσας τὰς φυλὰς Ἰσραὴλ καὶ Ἰούδα, ἀπὸ Δὰν (5) ἕως Βηρσαβεὲ, καὶ ἐπίσκεψαι τὸν λαὸν, καὶ γνώσομαι τὸν ἀριθμὸν τοῦ λαοῦ.
γ. Καὶ εἶπεν Ἰωὰβ πρὸς τὸν βασιλέα, καὶ προσθείη Κύριος ὁ Θεός σου πρὸς τὸν λαόν σου ὥσπερ αὐτοὺς ἑκατονταπλασίως, B καὶ οἱ ὀφθαλμοὶ τοῦ κυρίου μου τοῦ βασιλέως ὁρῶντες· καὶ ὁ κύριός μου ὁ βασιλεὺς ἵνα τί βούλεται
δ. ἐν τῷ λόγῳ τούτῳ; Καὶ ὑπερίσχυσεν ὁ λόγος τοῦ βασιλέως πρὸς Ἰωὰβ καὶ πρὸς τοὺς ἄρχοντας τῆς δυνάμεως. καὶ ἐξῆλθεν Ἰωὰβ καὶ οἱ ἄρχοντες τῆς ἰσχύος ἐνώπιον τοῦ βασιλέως ἐπισκέψασθαι Γ τὸν λαὸν τὸν Ἰσραήλ.

** ΙΩΣΗΠΟΥ. Ὁ βασιλεὺς Δαυΐδης βουλόμενος γνῶναι πόσαι μυριάδες εἰσὶ τοῦ λαοῦ, τῶν Μωϋσέως ἐντολῶν ἐκλαθόμενος, ὃς προεῖπεν· (6) ἐὰν ἐξαριθμηθῇ τὸ πλῆθος, ὑπὲρ ἑκάστης κεφαλῆς αὐτοῦ τῷ Θεῷ τελέσειν ἡμίσικλον· προσέταξεν Ἰωάβῳ τῷ στρατηγῷ, πορευθέντι πάντα τὸν ὄχλον ἐξαριθμῆσαι. τοῦ δὲ οὐκ ἀναγκαῖον εἶναι φήσαντος τοῦτο ποιήσειν, οὐκ ἐπείσθη· προ- Δ σέταξε δὲ, μηδὲν μελλήσαντι βαδίζειν ἐπὶ τὴν ἐξαρίθμησιν τῶν Ἑβραίων.

ε. Καὶ διέβησαν τὸν Ἰορδάνην, καὶ παρενέβαλον ἐν Ἀροὴρ ἐκ δεξιῶν τῆς πόλεως τῆς ἐν μέσῳ τῆς φάραγγος
ς. Γὰδ καὶ Ἐλιέζερ. Καὶ ἦλθον εἰς Γαλαὰδ καὶ εἰς τὴν (7) Θαβασὼν, καὶ εἰς Ἐθὼν, καὶ εἰς Ἀδασαὶ, καὶ παρε- E γένοντο εἰς Δανιδὰν, καὶ ἐκύκλωσαν
ζ. εἰς Σιδῶνα. Καὶ ἦλθον εἰς Ἀμαρρὰψ (8) Τύρου, καὶ εἰς πάσας τὰς πόλεις τοῦ Εὐαίου καὶ τοῦ Χαναναίου· καὶ πορεύονται ἐπὶ νότον Ἰούδα καὶ εἰς Βηρ-
η. σαβεὲ, Καὶ περιώδευσαν ἐν πάσῃ τῇ

(1) Λέγει δὲ οὕτω· καί. ἡ αὐτ.

(2) Καλεῖ. ἐπειδὴ τοίνυν ἐναντίος ταῖς θείαις ἐπαγγελίαις ὁ τοιοῦτος ἦν λογισμός· τῷ γὰρ Ἀβραὰμ ὁ τῶν ὅλων ἔφη Θεὸς, ποιήσω τὸ σπέρμα σου ὡς τὴν ἄμμον τὴν παρὰ τὸ χεῖλος τῆς θαλάσσης, ἥτις οὐκ ἀριθμηθήσεται ἀπὸ τοῦ πλήθους· τούτου χάριν Σατᾶν τὸν τοιοῦτον ὠνόμασε λογισμὸν, ὡς ἐναντίον τῇ ὑποσχέσει τῇ θείᾳ· ἀλλὰ διὰ τὴν τοῦ Ἰσραὴλ τιμωρίαν ὁ τοιοῦτος ἐγένετο λογισμός. ἀνέστη γὰρ, κτ. ἡ αὐτ. Γεν. 15, 5. 26, 4.

(3) Ἐπέσεισε τὸν Δαβὶδ, τοῦ ἀριθμῆσαι τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν. οὕτω κἀνταῦθα, προσέθετο ὀργὴ τοῦ Θεοῦ, τοῦ θυμωθῆναι ἐπὶ Ἰσραήλ. καὶ ἐπέσεισε τὸν Δαβὶδ εἰς αὐτοὺς, λέγων, πορεύθητι ἀρίθμησον τὸν Ἰσραὴλ καὶ τὸν Ἰούδαν. εἰ δὲ αὐτὸς προσέταξε, τί δήποτε χαλεπαίνει; οὐκοῦν τὴν θείαν συγχώρησιν διὰ τούτων δεδήλωκεν. εἰ δὲ ὁ Δεσπότης Θεὸς τοῦτο προσετετάχει γενέσθαι, τί δήποτε μεταμελεῖται ὁ Δαβὶδ τὴν θείαν πεπληρωκὼς ἐντολήν; ἐπάταξε γάρ φησιν ἡ καρδία Δαβὶδ αὐτὸν μετὰ ταῦτα, ὅτι ἠρίθμησε τὸν λαόν. καὶ εἶπε Δαβὶδ ἡμάρτηκα τῷ Κυρίῳ τοῦ ποιῆσαι τὸ ῥῆμα τοῦτο. καὶ νῦν Κύριε περίελε τὴν ἀδικίαν τοῦ δούλου σου, ὅτι ἐματαιώθη σφόδρα. δῆλον τοίνυν, ὡς τὴν συγχώρησιν ἐκάλεσεν ἐντολήν. ἐπειδὴ κωλῦσαι δυνάμενος, οὐκ ἐκώλυσε· παιδεῦσαι διὰ τούτου τοὺς παρανόμους βουλόμενος. καὶ πρῶτον μὲν αὐτοὺς ἠθέλησε τῆς πρὸς τοὺς πατέρας γεγενημένης ἐπαγγελίας ἀναμνῆσαι, καὶ δεῖξαι ταύτης τὸ ἀληθές. ἔπειτα διδάξαι, ὡς ἐξ ἑνὸς τοῦ Ἰακὼβ τοσαῦται μυριάδες ἐγένοντο, καὶ ὅτι τοσαύτης τετυχηκότες εὐεργεσίας, ἀεὶ πονηρὰν ἐπεδείξαντο γνώμην. τούτου χάριν ἀριθμηθῆναι συνεχώρησε πρῶτον, εἶθ' οὕτως ἐκόλασεν. ἡ αὐτ.

(4) Μετ' αὐτοῦ. αἱ αὐτ. (5) Καὶ ἕως. αἱ αὐτ. (6) Ἐν κεφ. 30. ἐδ. 12. τῆς Ἐξόδ.

(7) Εἰς γῆν. αἱ αὐτ. (8) Μαρψάρ. αἱ αὐτ.

A τῇ γῇ· καὶ παρεγένοντο ἀπὸ τέλους
ἐννέα μηνῶν καὶ εἴκοσι ἡμερῶν εἰς Ἱε-
ρουσαλήμ.
θ. Καὶ ἔδωκεν Ἰωὰβ τὸν ἀριθμὸν
τῆς ἐπισκέψεως τοῦ λαοῦ τῷ βασιλεῖ.
καὶ ἦν Ἰσραήλ, ἐννεακόσιαι (1) χιλιά-
δες ἀνδρῶν δυνάμεως σπωμένων ῥομ-
φαίαν· καὶ ἀνὴρ Ἰούδα, τετρακόσιαι (2)
χιλιάδες ἀνδρῶν μαχητῶν.
** ΙΩΣΗΠΟΥ. Ἦν τῶν ἄλλων Ἰσ-
B ραηλιτῶν ἀριθμὸς ἐννενήκοντα μυριάδες,
ὅπλα βαστάζειν καὶ στρατεύεσθαι δυναμένων·
ἡ δὲ Ἰούδα φυλὴ καθ' ἑαυτὴν τεσσαράκον-
τα μυριάδες ἦσαν.
ι. Καὶ ἐπάταξε καρδία Δαβὶδ
αὐτὸν μετὰ τὸ ἀριθμῆσαι τὸν λαόν.
καὶ εἶπε Δαβὶδ πρὸς Κύριον, ἡμάρ-
τηκα σφόδρα ποιήσας τὸ ῥῆμα τοῦτο.
Γ καὶ νῦν Κύριε περίελε τὴν ἀνομίαν
τοῦ δούλου σου, ὅτι ἐματαιώθην σφό-
ια. δρα. Καὶ ἀνέστη Γὰδ (3) τὸ πρωΐ. καὶ
λόγος Κυρίου ἐγένετο πρὸς Γὰδ τὸν
προφήτην τὸν ὁρῶντα, λέγων,
ιβ. Πορεύθητι, καὶ λάλησον πρὸς
Δαβίδ, λέγων, τάδε λέγει Κύριος,
τρία ἐγὼ αἴρω (4) ἐπὶ σέ, καὶ ἔκλεξαι
Δ σεαυτῷ ἓν ἐξ αὐτῶν, καὶ ποιήσω σοι.
ιγ. Καὶ εἰσῆλθε Γὰδ πρὸς Δαβίδ, καὶ
ἀνήγγειλεν αὐτῷ, καὶ εἶπεν αὐτῷ, ἔκ-
λεξαι σεαυτῷ (5) ὃ θέλεις γενέσθαι
σοι, εἰ ἔλθῃ σοι τρία ἔτη λιμὸς ἐν τῇ
γῇ σου, ἢ τρεῖς μῆνας φεύγειν σε ἔμ-
προσθεν τῶν ἐχθρῶν σου. καὶ ἔσονται
καταδιώκειν σε, ἢ γενέσθαι τρεῖς ἡμέ-
ρας θάνατον ἐν τῇ γῇ σου. νῦν οὖν γνῶ-
E θι καὶ ἴδε τί ἀποκριθῶ τῷ ἀποστεί-
λαντί με ῥῆμα.
* ΘΕΟΔΩΡΙΤΟΥ. Γὰδ δὲ τὸν προ-
φήτην πρὸς τὸν ἀριθμήσαντα πέπομφε,
τρεῖς αἱρέσεις προτείνας· (6) ἢ λιμὸν τρισὶ
συμμετρούμενον ἔτεσιν, ἢ πολεμίων ἔφο-
δον τοσούτοις (7) μησὶ κατὰ κράτος διω-
κόντων, ἢ τὸν ἐκ τοῦ λοιμοῦ θάνατον ἐν
ἴσαις (8) ἡμέραις. ταῦτα δὲ εἰπὼν ὁ Προ-
Z φήτης [τῷ προφήτῃ καὶ βασιλεῖ,] ἤπειξε
» λαβεῖν τὴν ἀπόκρισιν. καὶ νῦν γάρ φησι
» γνῶθι [καὶ ἴδε] τί ἀποκριθῶ ῥῆμα τῷ ἀπο-
» στείλαντί με.

ιδ. Καὶ εἶπε Δαβὶδ πρὸς Γάδ, στενά μοι πάντοθεν σφόδρα ἐστὶ καὶ τὰ τρία. ἐμπεσοῦμαι δὴ εἰς χεῖρας Κυρίου, ὅτι πολλοὶ οἱ οἰκτιρμοὶ αὐτοῦ σφόδρα, εἰς δὲ χεῖρας ἀνθρώπων οὐ μὴ ἐμπέσω.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ σοφὸς (9) καὶ δίκαιος βασιλεὺς λογισάμενος ὡς τὸν λιμὸν αὐτὸς διαφυγεῖν δυνήσεται, [πολλὴν] ὡς βασιλεὺς ἔχων ἀποκείμενον σῖτον, (10) οἱ πένητες δὲ μᾶλλον ἁλώσονται· καὶ ἐν τῷ πολέμῳ πάλιν δυνατὸν αὐτὸν εἶναι διαφυγεῖν, (11) καὶ πολλῶν ὑπὲρ αὐτοῦ πολεμούντων, καὶ τοῖς ὀχυρωτέροις ἀναφυγόντα· οὐκ ᾠήθη δίκαιον τῆς οἰκείας σωτηρίας φροντίσαι, ἀλλὰ συμμετασχεῖν τῶν ἐπιφερομένων κολάσεων τῷ λαῷ. τοιοῦτος δὲ (12) ὁ θάνατος, καὶ μάλιστα ὁ ἐκ τοῦ λοιμοῦ ἐπὶ πάντας ὁμοῦ ἕρπων. τούτου χάριν καὶ ταύτην τὴν τιμωρίαν τῶν ἄλλων προείλετο, [ἧς αὐτός ἐστιν ὁ κολάζων διανομεύς.] εἶπε
» γάρ φησι Δαβὶδ πρὸς Γάδ, στενά μοι σφό-
» δρα [ἐστὶ] καὶ τὰ τρία πάντοθεν· πλὴν
» ἐμπεσοῦμαι εἰς χεῖρας Κυρίου, ὅτι πολλοὶ οἱ
» οἰκτιρμοὶ αὐτοῦ σφόδρα, εἰς [δὲ] χεῖρας ἀν-
» θρώπων οὐκ ἐμπεσοῦμαι.

ιε. Καὶ ἐξελέξατο ἑαυτῷ Δαβὶδ τὸν θάνατον. καὶ αἱ (13) ἡμέραι θερισμοῦ πυρῶν· καὶ ἔδωκε Κύριος ὁ Θεὸς θάνατον ἐν Ἰσραὴλ ἀπὸ πρωΐθεν ἕως ὥρας ἀρίστου, καὶ ἤρξατο ἡ θραῦσις ἐν τῷ λαῷ. καὶ ἀπέθανον ἀπὸ τοῦ λαοῦ Κυρίου ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεέ, ἑβδομήκοντα χιλιάδες ἀνδρῶν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τοῦ Δαβὶδ ἀριθμήσαντος τὸν λαόν, ὁ λαὸς ἐδέξατο (14) τὴν τιμωρίαν; Οἰκείας παρανομίας δίκην (15) ἔτισεν ὁ λαός. λιπὼν (16) γὰρ τὸν εὐσεβῆ βασιλέα, τυράννῳ [δυσσεβεῖ καὶ] πατραλοίᾳ [παιδὶ] συνεστράτευσε, [φονῶντι] κατὰ πατρὸς [εὐσεβοῦς καὶ προφήτου, καὶ παρὰ τοῦ τῶν ὅλων Θεοῦ τῆς βασιλείας δεξαμένου τὴν χειροτονίαν.] αὔξει δὲ αὐτῶν τὴν κατηγορίαν, τὸ τὸν μὲν Σαοὺλ καταψηφισθέντα ὑπὸ Θεοῦ, [καὶ τῆς θείας χάριτος γυμνωθέντα,] μὴ καταλιπεῖν ἕως [τοῦ] βίου [τὸ τέρμα κατέλαβε. καὶ ταῦτα τοῦ Δαβὶδ ὑπὸ Προφήτου χρισθέντος·] τὸν δὲ μυρίων αὐτοῖς ἀγαθῶν γενόμενον πρόξενον, καὶ τῶν ἀλλοφύλων καταλύσαντα τὸ θράσος, καὶ τοὺς (17) μὲν πανωλεθρίᾳ διαφθείραντα, τοὺς δὲ φόρους φέρειν ἀναγκάσαντα,

(1) Ὀκτακόσιαι. αἱ αὐτ. (2) Πεντακόσιαι. αἱ αὐτ. (3) Δαβίδ. αἱ αὐτ. (4) Αἴρω. αἱ αὐτ.
(5) Σεαυτῷ γενέσθαι. αἱ αὐτ. (6) Προστῆσαι. ἡ ἐν Χάλ. ἔκδ. (7) Ἐπὶ μησὶ τρισί. ἡ αὐτ.
(8) Ἐν τρισὶν ἡμέραις γινόμενον. ἡ αὐτ. (9) Σοφώτατος καὶ δικαιότατος. ἡ αὐτ.
(10) Κατὰ μόνων δὲ τῶν πενήτων ἡ τιμωρία χωρήσει· καὶ ἐν τῷ, κτ. ἡ αὐτ.
(11) Διαφυγεῖν τῶν πολεμίων τὰς χεῖρας, πρῶτον μὲν τοῖς ὀχυρωτάτοις καὶ δυσαλώτοις φρουρίοις χρησάμενον, ἔπειτα δὲ καὶ τοῖς ἀριστεῦσιν ἐκείνοις περιφρατΐόμενον. οὐκ ᾠήθ. κτ. ἡ αὐτ.
(12) Δὲ ὁ λοιμός, διαφορὰν πλουσίου καὶ πένητος οὐκ εἰδώς, οὐδὲ δειλοῦ καὶ ἀνδρείου, οὐδὲ δούλου καὶ δεσπότου, οὐδὲ ἰδιώτου καὶ βασιλέως· ἀλλὰ κατὰ πάντων ὁμοίως χωρῶν. τούτου χάρ. κτ. ἡ αὐτ.
(13) Καὶ ἡμέραι. αἱ αὐτ. (14) Ἀνεδέξατο. ἡ αὐτ. (15) Δίκας. ἡ αὐτ. (16) Καταλιπών. ἡ αὐτ.
(17) Τὸν μὲν Ἀμαλὴκ παραδόντα πανωλεθρίᾳ, Ἰδουμαίους δέ, καὶ Ἀμμανίτας, καὶ Σύρους ἑκατέρους καὶ χειρωσάμενον καὶ δουλωσάμενον, καὶ φέρειν ἀναγκάσαντα φόρους, καὶ προφητικῆς ἀπολαύσαντα χάριτ. κτ. ἡ αὐτ.

κάσαντα, καὶ προφητικῆς ἠξιωμένον χάριτος, μὴ μόνον καταλιπεῖν, ἀλλὰ καὶ ἀντιπαρατάξασθαι, καὶ συμπράξαι (1) κατ' αὐτοῦ παιδὶ μιαιφόνῳ. τούτων οὖν αὐτοὺς ὁ δίκαιος κριτὴς εἰσεπράξατο δίκας, καὶ διὰ τοῦ Δαβὶδ [εἰσεπράξατο] ἐπειδὴ τοῦτον (2) ἠδίκησαν.

* ΤΟΥ ΑΥΤΟΥ. Καὶ ἐξελέξατο ἑαυτῷ Δαβὶδ τὸν θάνατον. καὶ τῆς ἐλπίδος οὐκ ἐψεύσθη. (3) τὸν γὰρ ἐν ἡμέραις τρισὶν ἀπειληθέντα θάνατον, ἓξ συνεπέραναν ὧραι. ἀριθμουμένων δὲ τῶν νυκτῶν ταῖς ἡμέραις, τὸ δωδεκατημόριον τῆς ἀπειλῆς εὑρίσκεται τῷ λαῷ ἐπενεχθέν. οὕτως ὁ Φιλάνθρωπος Κύριος μείζοσι κέχρηται μὲν ταῖς ἀπειλαῖς, τοὺς ἁμαρτάνοντας δεδιττόμενος· πολλῷ δὲ τῶν ἀπειλῶν ἐλάττους ἐπιφέρει τὰς τιμωρίας. καὶ γὰρ ἐννεακοσίων χιλιάδων τοῦ Ἰσραὴλ εὑρεθεισῶν, καὶ τοῦ Ἰούδα τετρακοσίων χιλιάδων, (4) τῶν τὴν στρατεύσιμον ἡλικίαν ἐχόντων, (5) δηλονότι χωρὶς τῶν προώρων καὶ ἐξώρων, τῶν τε γυναικῶν δὴ καὶ τῶν Λευϊτῶν καὶ τῆς Βενιαμίτιδος Φυλῆς· μεταμεληθεὶς γὰρ ὁ βασιλεὺς, οὐκ ἠρίθμησε ταύτας· μόναι χιλιάδες ἀνῃρέθησαν ἑβδομήκοντα· καὶ ταῦτα πάντων ἐν ἀκαρεῖ χρόνου διαφθαρῆναι δυναμένων. οὐδὲ γὰρ ἐδεῖτο χρόνου ὁ τιμωρὸς Ἄγγελος. [ἐν ἀκαρεῖ γὰρ ἀνεῖλε καὶ τὰ τῶν Αἰγυπτίων πρωτότοκα, καὶ τὰς ἑκατὸν ὀγδοήκοντα πέντε χιλιάδας τῶν Ἀσσυρίων. τῆς Φιλανθρωπίας τοίνυν, ἀλλ' οὐ τῆς ἀδυναμίας ὁ χρόνος.]

** ΚΥΡΙΛΛΟΥ. Ἀπὸ πρωῒ, τουτέστιν ἐκ πρώτων τοῦ παρόντος αἰῶνος καιρῶν κατενεμήθη θάνατος τοὺς ἐπὶ τῆς γῆς, μέχρις ὥρας ἀρίστου, τουτέστιν ἕως καιρὸς τραπέζης. ὅτε γὰρ ἡμῖν ἐνέστη καιρὸς τῆς ἁγίας τραπέζης, δῆλον δὲ ὅτι τῆς ἐν Χριστῷ καὶ μυστικῆς, ἐφ' ᾗ τὸν ἄρτον ἐσθίομεν τὸν ἐξ οὐρανοῦ καὶ ζωοποιὸν, ὁ πάλαι δεινὸς καὶ δυσάντητος κατηργήθη θάνατος, παρακεκλημένου Θεοῦ. καὶ δεδυσώπηται μόλις ὁ ὀλοθρευτής.

** ΜΑΞΙΜΟΥ. Ἑβδομήκοντα χιλιάδες πίπτουσιν οἱ εὑρεθέντες μετὰ Ἀβεσσαλὼμ, οἱ τὸ πάθος ἔχοντες τῆς οἰήσεως καὶ τῆς ὑπερηφανίας. κατὰ δὲ τὴν θεωρίαν, τοῦτο σημαίνει· ὅτι πᾶς Δαβὶδ ὁ μὴ κατὰ διάθεσιν, ἀλλὰ κατὰ συναρπαγὴν ἐπάρσεως ἀπογεννήσας λογισμὸν, μεταγνοὺς αἰτεῖται τὸν Θεὸν, καὶ θνήσκουσιν οἱ περὶ τὰ χρονικὰ καὶ πρόσκαιρα λογισμοί. ὁ γὰρ ἑβδομηκοστὸς ἀριθμὸς τὴν χρονικὴν κίνησιν σημαίνει, διὰ τὸν ἑβδομαδικὸν κύκλον. διὰ τοῦτο τοίνυν παραιτήσασθαι ἄμεινον τὸ ἀπὸ τῶν ἐχθρῶν Δαιμόνων διώκεσθαι, καὶ μὴ λιμὸν τοῦ ἀκοῦσαι λόγον Θεοῦ.

ΙΣΙΔΩΡΟΥ. (6) Τί θαυμάζεις, ὅτι δι' ἑνὸς ἁμαρτίαν καὶ μόνου ὅλη μαστίζεται πόλις; ὅπερ καὶ ἐπὶ Δαβὶδ γενόμενον ἔγνως. ὅταν γὰρ ἐπὶ τῇ εὐθηνίᾳ τῶν πραγμάτων ὁ ἔξαρχος ὑπερηφανεύηται, εἰς ἀθυμίαν αὐτοῦ καὶ κατάκρισιν τὸ ὑπήκοον ἐλαττοῦται, οὐκ ἀδίκως παιδευόμενον, ἀλλ' ἑκάστου τῆς ἰδίας πράξεως τὰ ἐπίχειρα παραλαμβάνοντος, καὶ τῆς θείας μακροθυμίας ἀποτυγχάνοντος, διὰ τὰς τοῦ ἄρχοντος ψήφους. μὴ τοίνυν ἐπαπόρει (7) ταῖς Εὐσεβίου τοῦ, ὡς οἴεται, ἐπισκόπου φαυλότησιν, εἰ δι' ἐκεῖνον καὶ τὸ θυσιαστήριον λειτουργῶν, καὶ ἡ πόλις οἰκητόρων χηρεύει. οἱ γὰρ ἀκρίτως τὸν ἀνάξιον προβαλλόμενοι, δίκαιοί εἰσι καὶ τοὺς πόνους τῶν καρπῶν αὐτῶν φαγεῖν, ἀρετὴν ἀτιμάσαντες, καὶ κακίαν οὕτω προφανῆ προστησάμενοι.

ιϛ. Καὶ ἐξέτεινεν ὁ Ἄγγελος τοῦ Θεοῦ τὴν χεῖρα αὐτοῦ εἰς Ἱερουσαλὴμ τοῦ διαφθεῖραι αὐτὴν, καὶ παρεκλήθη (8) Κύριος ἐπὶ τῇ κακίᾳ, καὶ εἶπε τῷ Ἀγγέλῳ τῷ διαφθείροντι ἐν τῷ λαῷ, πολὺ ἱκανὸν νῦν, ἄνες τὴν χεῖρά σου. καὶ ὁ Ἄγγελος Κυρίου ἦν ἑστηκὼς παρὰ τῇ ἅλῳ Ὀρνᾶ τοῦ Ἰεβουσαίου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Αὐτίκα γοῦν τῆς Ἱερουσαλὴμ ἐπιβὰς ὁ Ἄγγελος, ὤφθη τῷ Δαβὶδ, τὴν ῥομφαίαν ἔχων γυμνὴν, ἵνα τὴν συγγνώμην αἰτήσῃ.

* ΤΟΥ ΑΥΤΟΥ. Τὸ δὲ μετεμελήθη Κύριος, περιττὸν ἑρμηνεύειν. πολλάκις γὰρ αὐτοῦ εἰρήκαμεν τὴν διάνοιαν, καὶ ὅτι τὴν τῆς οἰκονομίας σημαίνει μεταβολήν.

** ΚΥΡΙΛΛΟΥ. Ἐπείπερ ἤθελε καὶ τοῖς τὴν ἁγίαν οἰκοῦσι πόλιν, τὴν νοητὴν Ἱερουσαλὴμ, τὴν διαφθείρουσαν ἐπαφεῖναι χεῖρα, Θεοῦ παρακεκλημένου, τότε δὴ μόλις εἴργεται. ἄνες γὰρ νῦν, φησὶν, ἱκανόν ἐστιν. ἁγία δὲ πόλις ἡ Ἐκκλησία, ἧς εἶεν ἂν οἰκήτορες οἱ διὰ τοῦ ζῶντος ἄρτου τελειούμενοι πρὸς ἁγιασμόν. τῆς οὕτω σεπτῆς καὶ ἀξιαγάστου πόλεως καὶ ὁ θεῖος Δαβὶδ διαμέμνηται, λέγων· δεδοξασμένα ἐλαλήθη περὶ σοῦ ἡ πόλις τοῦ Θεοῦ. (Ψαλ. 86. 3) κατῴκησε γὰρ ἐν ἡμῖν Χριστὸς, ὅς ἐστι ζωὴ καὶ ζωοποιός. τοιγάρτοι καὶ ἀποσοβεῖ Θεὸς τῶν ἡγιασμένων τὸν ὀλοθρευτὴν, ὡς οὐκ ἔτι νικᾶν ὀφείλοντα μετὰ τὴν ἀνάδειξιν τοῦ καιροῦ τῆς ἁγίας τραπέζης· ἦν ὁ τοῦ ἀρίστου καιρὸς ὑπαινίττεται.

ιζ. Καὶ

(1) Συμπράξαι μιαιφόνῳ καὶ δυσσεβεῖ καὶ παρανόμῳ παιδί. τούτων, κτ. ἡ αὐτ.
(2) Ἐπειδὴ αὐτόν. ἡ αὐτ.
(3) Τριῶν γὰρ ἡμερῶν ὁ Θεὸς θάνατον ἀπειλήσας, ἐν ἓξ μόναις ὥραις τὸν θάνατον ἐπήνεγκε. συναριθμουμ. κτ. ἡ αὐτ.
(4) Δηλονότι τῶν. ἡ αὐτ.
(5) Ἀγόντων, καὶ τῶν προώρων καὶ τῶν ἐξώρων, καὶ μέντοι καὶ γυναικῶν ἐξῃρημένων, προσέτι δὲ καὶ τῶν Λευϊτῶν, καὶ τῆς Βενιαμίτιδος Φυλῆς· μεταμεληθέντος γὰρ τοῦ βασιλέως, οὐκ ἠριθμήθησαν· ἑβδομήκοντα χιλιάδες ὑπὸ τοῦ Ἀγγέλου ἀνῃρέθησαν μόναι. καὶ ταῦτ. κτ. ἡ αὐτ.
(6) Διονυσίου ἐπιστολὴ Θεοδοσίῳ μονάζοντι γράφει ὁ κώδ. ψευδῶς. ἔστι γὰρ ἡ 39. τοῦ 1. βιβλ. τοῦ Ἰσιδώρου.
(7) Ἐπισυνηγόρει. αὐτ. οὐ πάνυ προσφυῶς. καταλληλότατα δὲ ὁ ἡμέτερ. κώδ.
(8) Μετεμελήθη. ἡ ἐν Κομπλ. ἔκδ.

ιζ. Καὶ εἶπε Δαβὶδ πρὸς Κύριον,
ἐν τῷ ἰδεῖν αὐτὸν τὸν Ἄγγελον τὸν
τύπτοντα ἐν τῷ λαῷ, καὶ εἶπεν, ἰδοὺ
ἐγώ εἰμι ἡμάρτηκα· καὶ ἐγώ εἰμι ὁ ποι-
μὴν ἐκακοποίησα· καὶ οὗτοι τὰ πρό-
βατα τί ἐποίησαν; γενέσθω δὴ ἡ χείρ
σου ἐν ἐμοὶ, καὶ ἐν τῷ οἴκῳ τοῦ πα-
τρός μου.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Ἀξιάγαστα δὲ καὶ αὐ-
» τὰ τοῦ βασιλέως τὰ ῥήματα. ἰδοὺ γάρ φη-
» σιν ἐγὼ ἥμαρτον, καὶ ἐγὼ ὁ ποιμὴν ἐκακο-
» ποίησα, καὶ οὗτοι τὸ ποίμνιον τί ἐποίησαν;
» γενέσθω ἡ χείρ σου ἐπ᾽ ἐμὲ (1) καὶ ἐπὶ τὸν
» οἶκον τοῦ πατρός μου. ἀγνοῶν τὴν αἰτίαν,
οἰκείαν ἁμαρτίαν τὸ γεγενημένον ἐκάλεσε·
καὶ αὐτῷ καὶ τῷ γένει τὴν δικαίαν ἐπενεχ-
θῆναι ψῆφον ἱκέτευσε, λόγοις χρησάμε-
νος ποιμένος ἀληθινοῦ, [καὶ τὸν υἱὸν αὐτοῦ
καὶ Κύριον μιμησάμενος, ὃς τὴν ψυχὴν
αὐτοῦ ἔθηκεν ὑπὲρ τῶν προβάτων.]

∗∗ ΧΡΥΣΟΣΤΟΜΟΥ. Πάντων σφατ-
» τομένων, ἔλεγεν· ἐγὼ ὁ ποιμὴν ἥμαρτον,
» ἐγὼ ὁ ποιμὴν ἐκακοποίησα· καὶ οὗτοι τὸ
» ποίμνιον τί ἐποίησαν; διὰ τοῦτο καὶ ἐν τῇ
αἱρέσει τῶν τιμωριῶν ἐκείνων, οὐ λιμὸν εἵλε-
το, οὐ δίωξιν ἐχθρῶν, ἀλλὰ τὸν παρὰ τοῦ
Θεοῦ πεμπόμενον θάνατον· δι᾽ οὗ προσεδό-
κα τοὺς μὲν ἄλλους ἐν ἀσφαλείᾳ καταστήσειν,
αὐτὸν δὲ πρὸ τῶν ἄλλων ἁπάντων κατε-
νεχθήσεσθαι. ἐπειδὴ δὲ τοῦτο οὐκ ἐγένετο,
» θρηνεῖ καὶ λέγει· ἐν ἐμοὶ ἡ χείρ σου· εἰ δὲ
» οὐκ ἀρκεῖ, καὶ ἐν τῷ οἴκῳ τοῦ πατρός μου.
» ἐγὼ γάρ φησιν ὁ ποιμὴν ἥμαρτον· ὡσανεὶ
ἔλεγεν, ὅτι εἰ καὶ οὗτοι ἥμαρτον, ἐγὼ ὑπεύ-
θυνος ἤμην τῇ τιμωρίᾳ ὁ μὴ διορθούμενος.
ὅταν δὲ καὶ ἐμὸν τὸ ἁμάρτημα ᾖ, ἐγὼ δί-
καιος ἂν εἴην δοῦναι τὴν τιμωρίαν. καὶ γὰρ
αὐξῆσαι τὸ ἔγκλημα θέλων, τὸ τοῦ ποιμέ-
νος ἔθηκεν ὄνομα. οὕτω γοῦν τὴν ὀργὴν ἔστη-
σεν, οὕτω τὴν ἀπόφασιν ἀνεκαλέσατο. το-
Παροιμ. 18. 17. σοῦτόν ἐστιν ἐξομολόγησις. δίκαιος γὰρ ἑαυ-
» τοῦ κατήγορος ἐν πρωτολογίᾳ. τοσοῦτον κη-
δεμονία καὶ συμπάθεια ποιμένος ἀρίστου. καὶ
γὰρ ἐσπαράττετο αὐτοῦ τὰ σπλάγχνα πι-
πτόντων ἐκείνων, καθάπερ παίδων γνησίων
ἀναιρουμένων. διὸ καὶ ἐπ᾽ αὐτὸν τὴν ὀργὴν
ἐλθεῖν ἠξίου. καὶ ἐν ἀρχῇ δὲ σφαγῆς τοῦτο
ἐποίησεν ἄν, εἰ μὴ καὶ βαδίζουσαν αὐτὴν
ὁδῷ καὶ πρὸς αὐτὸν ἥξειν ἤλπιζεν. ὅτε
γοῦν εἶδε τοῦτο μὲν μὴ γινόμενον, ἐκείνους δὲ
ἐπινεμομένην τὴν συμφορὰν, οὐκ ἔτι ἤνεγ-
κεν, ἀλλ᾽ ἀνήφθη μᾶλλον, ἢ ἐπὶ τοῦ Ἀμ-
νὼν τοῦ πρωτοτόκου. τότε γὰρ θάνατον οὐκ
ᾔτησε, νῦν δὲ ἀξιοῖ πρὸ τῶν ἄλλων πεσεῖν.
τοιοῦτον εἶναι χρὴ τὸν ἄρχοντα, καὶ μᾶλ-
λον ταῖς ἑτέρων, ἢ ταῖς οἰκείαις ἀλγεῖν
συμφοραῖς.

ΙΣΙΔΩΡΟΥ. (2) Ὁ μὲν Ἀβεσσαλὼμ δί-
κην παρὰ τῆς θείας ἀπῃτήθη δίκης, ἐπὶ

A καθαιρέσει τοῦ οἰκείου πατρὸς προσποιησά-
μενος ἀγαθὸς εἶναι δικαστὴς, καὶ τοὺς ὑπη-
κόους διὰ ταύτης τῆς κολακείας οἰκειωσά-
μενος. ἐμνᾶτο γὰρ ἀρχὴν καὶ δορυφόρους
συνεκρότει, καὶ ὑψηλὴν τυραννίδα ἐπύργου.
οἱ δὲ συνδραμόντες καὶ μονονουχὶ συγκα-
τασκευάσαντες τὴν τυραννίδα· ἀπέβλε-
πον γὰρ τοῦ μὲν εἰς τὴν ἀρχὴν, τοῦ δὲ εἰς
τὴν τελευτήν· δίκην, εἰ καὶ μὴ παραχρῆ-
μα· ἐλυπήθη γὰρ ἂν ὁ Δαβὶδ τῶν ὑπη-
B κόων, μᾶλλον δὲ τῆς βασιλικῆς ἀξίας ἀπο-
στερούμενος· ἀλλὰ μικρὸν ὕστερον ἀπῃτήθη-
σαν. ὁ γὰρ λοιμὸς αὐτοὺς ἐπενείματο, οὐχ ἕρ-
πων, οὐδὲ κατὰ βραχὺ προϊὼν, ἀλλ᾽ ἀθρόως
καὶ ἡβηδὸν ἅπαν τὸ ἔθνος καταβοσκόμενος.
εἰ γὰρ καὶ ἄλλην αἰτίαν ἐπέθηκε τῇ τοιαύ-
τῃ σφαγῇ, ἀλλ᾽ ἡ ῥίζα τῆς τιμωρίας ἐξ
ἐκείνου μὲν τοῦ πλάσματος ἔφυ, μετ᾽ οὐ πολὺ
δὲ καρπὸν ἤνεγκε, τουτέστιν εἰς ἔργον ἐχώ-
ρησεν· ὅτε καὶ τὸν βασιλέα ἐπὶ τῷ παρὰ
Γ τὴν θείαν γνώμην ἀριθμῆσαι τὸν λαὸν,
ἐχρῆν δοῦναι δίκην. ἐκείνων γὰρ ἀναιρουμέ-
νων, ἔργῳ μὲν ὑπὲρ οἰκείας, λόγῳ δὲ ὑπὲρ
τῆς τοῦ βασιλέως ἁμαρτίας, καὶ αὐτὸς ἐν
μεγίστῃ καθειστήκει συμφορᾷ. ἐβούλετο γὰρ
εὐκλεῶς τεθνάναι, ἢ ἀκλεῶς ζῆν, τῶν ὑπη-
κόων στερηθείς. εἰ δέ τις ἀπιστεῖ, ἀκουέτω αὐ-
» τοῦ, λέγοντος· γενέσθω ἐπ᾽ ἐμὲ ἡ χείρ σου,
» καὶ ἐπὶ τὸν οἶκον τοῦ πατρός μου. οὐ γὰρ ἄλ-
λοι ὑπὲρ ἄλλου ἐκολάσθησαν, ὡς ἐνόμισας·
Δ ἀλλ᾽ ἑκάστῳ τὸ πρόσφορον ἀπενεμήθη. οἱ
μὲν γὰρ τῆς πρὸ βραχέως γεγενημένης
ἁμαρτίας, ὁ δὲ τῆς παραχρῆμα ἀπῃτήθη
δίκην, τῆς ἀδεκάστου ψήφου καιρὸν εὑρούσης
ἐπιτήδειον, ἐν ᾧ κἀκείνους καὶ τοῦτον δίκην
εἰσπράξεται.

∗∗ ΚΥΡΙΛΛΟΥ. Ἐξείλετο ἡμᾶς ὁ Χρι-
στὸς, ὡς ἐν προσώπῳ νοούμενος τοῦ Δαβίδ.
ἐπειδὰν γὰρ ἐθεᾶτο δαπανῶντα τὸν θάνα-
τον τοὺς ἐπὶ τῆς γῆς, παράκλητος γέγο-
E νεν ὑπὲρ ἡμῶν πρὸς τὸν πατέρα. προσε-
κόμισε γὰρ ἑαυτὸν ὑπὲρ ἡμῶν, καὶ ὑπέ-
θηκεν ἑκὼν τῷ θανάτῳ. δεδυσώπηκέ τε
τὸν ὀλοθρευτὴν, ἑαυτοῦ λέγων εἶναι τὴν
ἁμαρτίαν. οὐχ ὅτι πεποίηκε τὴν ἁμαρτίαν,
» ἀλλ᾽ ὅτι κατὰ τὰς Γραφὰς, αὐτὸς τὰς Ἡσ. 53. 4.
» ἁμαρτίας ἡμῶν αἴρει, καὶ περὶ ἡμῶν ὀδυ-
» νᾶται, καὶ ἐν τοῖς ἀνόμοις ἐλογίσθη, καί-
» τοι μὴ εἰδὼς ἁμαρτίαν. καὶ γέγονεν ὑπὲρ Γαλ. 3. 13.
» ἡμῶν κατάρα. χρῆναι δέ φησι τὸν ποιμέ-
Z να μᾶλλον ἢ τὰ πρόβατα παθεῖν. ὡς γὰρ
ποιμὴν ἀγαθὸς τὴν ψυχὴν αὐτοῦ τέθεικεν
ὑπὲρ τῶν προβάτων.

ιη. Καὶ ἦλθε Γὰδ πρὸς Δαβὶδ
ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ εἶπεν αὐτῷ,
ἀνάβηθι, καὶ στῆσον τῷ Κυρίῳ θυ-
σιαστήριον ἐν τῷ ἅλωνι Ὀρνὰ τοῦ Ἰε-
βουσαίου.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Δεξάμενος δὲ τὴν
H ἱκετείαν ὁ ἀγαθὸς Κύριος, ἐν ἐκείνῳ τῷ
τόπῳ

(1) Ἐν ἐμοὶ, καὶ ἐν τῷ οἴκῳ τοῦ. ἡ ἐν Χάλ. ἔκδ.

(2) Διονυσίου ἐπιστολὴ Οὐρσενουφίῳ ἀναγνώστῃ. οὕτω ψευδῶς γράφει ὁ κώδ. ἔστι γὰρ ἡ 219. ἐπιστ. τοῦ 3. βιβλ. τοῦ Ἰσιδώρ.

τόπῳ θυσιαστήριον οἰκοδομηθῆναι προσέ-
ταξεν, ἐν ᾧ τὴν τιμωρίαν ὁ θεῖος ἐκώλυ-
σεν ἔλεος.

ιθ. Καὶ ἀνέβη Δαβὶδ κατὰ τὸ
ῥῆμα Γὰδ τοῦ προφήτου, ὃν τρόπον
κ. ἐνετείλατο (1) Κύριος. Καὶ διέκυψεν
Ὀρνὰ, καὶ εἶδε τὸν βασιλέα καὶ τοὺς
παῖδας αὐτοῦ παραπορευομένους ἐπά-
νω αὐτοῦ. καὶ ἐξῆλθεν Ὀρνὰ, καὶ προ-
σεκύνησε τῷ βασιλεῖ ἐπὶ πρόσωπον
κα. αὐτοῦ ἐπὶ τὴν γῆν. Καὶ εἶπεν Ὀρνὰ,
τί ὅτι ἦλθεν ὁ κύριός μου ὁ βασιλεὺς
πρὸς τὸν δοῦλον αὐτοῦ; καὶ εἶπε Δα-
βὶδ, κτήσασθαι παρὰ σοῦ τὸν ἅλωνα
τοῦ οἰκοδομῆσαι θυσιαστήριον τῷ Κυ-
ρίῳ, καὶ συσχεθῇ ἡ θραῦσις ἐπάνω-
κβ. θεν τοῦ λαοῦ. Καὶ εἶπεν Ὀρνὰ πρὸς
Δαβὶδ, λαβέτω καὶ ἀνενεγκάτω ὁ
κύριός μου ὁ βασιλεὺς τῷ Κυρίῳ τὸ
ἀγαθὸν ἐν ὀφθαλμοῖς αὐτοῦ. ἰδοὺ οἱ
βόες εἰς ὁλοκαύτωμα, καὶ οἱ τροχοὶ
κγ. καὶ τὰ σκεύη τῶν βοῶν εἰς ξύλα. Τὰ
πάντα ἔδωκεν Ὀρνὰ τῷ βασιλεῖ. καὶ
εἶπεν Ὀρνὰ πρὸς τὸν βασιλέα, Κύ-
κδ. ριος ὁ Θεός σου εὐλογήσαι σε. Καὶ
εἶπεν ὁ βασιλεὺς πρὸς Ὀρνὰ, οὐχὶ,
ὅτι ἀλλ' ἢ κτώμενος κτήσομαι παρὰ
σοῦ ἐν ἀλλάγματι, καὶ οὐκ ἀνοίσω τῷ
Κυρίῳ Θεῷ μου ὁλοκαυτώματα δω-
ρεάν. καὶ ἐκτήσατο Δαβὶδ τὸν ἅλω-
να καὶ τοὺς βόας ἐν ἀργυρίῳ πεντή-
κοντα σίκλων.

* ΘΕΟΔΩΡΙΤΟΥ. Παραυτίκα τοίνυν δραμὼν ὁ βασιλεὺς, ᾔτησεν Ὀρνὰν (2) τὸν Ἰεβουσαῖον ἀποδόσθαι τὴν ἅλω. ἐκείνου δὲ προῖκα δώσειν ὑπισχνουμένου (3) καὶ τὴν ἅλω, καὶ τὰς βοῦς, καὶ τῶν ἀρότρων τὰ ξύλα· ἵνα ἐν ἐκείνῃ μὲν δομήσηται τὸν βωμὸν, τούτους δὲ ἱερεύσῃ, τοῖς δὲ ξύλοις ἀνάψῃ (4) τὸ πῦρ· δίκαιον εἶπεν ὁ βασιλεὺς, μὴ ἐξ ἀλλοτρίων (5) δῶρα προσενέγκαι, ἀλλ' ἐξ οἰκείων. ταῦτα παρ' αὐτοῦ μεμαθηκὼς ὁ υἱὸς αὐτοῦ Σολομὼν, παραινεῖ λέγων·
Παροιμ. 3. 9. τίμα τὸν Κύριον ἀπὸ σῶν δικαίων πόνων,
» [καὶ ἀπάρχου αὐτῷ ἀπὸ σῶν καρπῶν δικαιο-
σύνης.] ἃ (6) πληρῶν ὁ Δαβὶδ, [πριάμενος τὸν βωμὸν ᾠκοδόμησε, καὶ τὴν θυσίαν προσήνεγκε, καὶ] τὸν Θεὸν ἱλεώσατο.

κε. Καὶ ᾠκοδόμησεν ἐκεῖ Δαβὶδ
θυσιαστήριον Κυρίῳ, καὶ ἀνήνεγκεν ὁλο-
καυτώσεις καὶ εἰρηνικάς. καὶ προσέ-
θηκε Σαλομὼν (7) θυσιαστήριον ἐπ'
ἐσχάτων, ὅτι μικρὸν ἦν ἐν πρώτοις.
καὶ ἐπήκουσε Κύριος τῇ γῇ, καὶ συνε-
σχέθη ἡ θραῦσις ἐπάνωθεν Ἰσραήλ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἰστέον δὲ, ὡς ἐν ἐκείνῳ τῷ χωρίῳ τὸν ναὸν ᾠκοδόμησε Σολομών.
» τοῦτο γὰρ καὶ ἡ ἱστορία διδάσκει. προσέθηκε
» γάρ φησι Σολομὼν ἐπὶ τὸ θυσιαστήριον ἐπ'
» ἐσχάτων, ὅτι μικρὸν ἦν ἐν πρώτοις. μετὰ
γὰρ (8) ταῦτα Ὀρνὰν, ἢ Ἀδωνίαν· διώνυμος γὰρ ἦν· συνέγραψεν ὁ ἱστοριογράφος· ὅπως μὲν ἐμελέτησε τυραννίδα· ὅπως δὲ συμπόσιον λαμπρὸν ἐπετέλεσε, πρωτοκλήτους ἔχων [τοῦ συμποσίου] τὸν στρατηγὸν Ἰωὰβ, καὶ τὸν ἱερέα Ἀβιάθαρ· ἐτέλεσε δὲ τὸ συσσίτιον παρά τινα πηγὴν, πρὸ τοῦ ἄστεος ἀναβλύζουσαν, παρ' ἣν βασιλικὸς ἐπετέθη (9) παράδεισος. οὕτω γὰρ ὁ Ἰώσηπος ἔφη. (10) καὶ ὁ Σύμμαχος δὲ τὴν Ἀῒν, πηγὴν ἡρμήνευσεν. Ἀῒν (11) δὲ αὐτὴν καὶ ὁ Σύρος λέγει. (12).

** ΚΥΡΙΛΛΟΥ. Κατὰ θείαν ὑπόμνησιν ὁ θεσπέσιος Δαβὶδ, ἔνθα τὸν Ἄγγελον τὸν ὀλοθρευτὴν ἀπρακτοῦντα ἤδη καὶ ἑστηκότα τεθέαται· εἶδε γὰρ αὐτὸν παρὰ τὴν ἅλω, φησίν· ἐκεῖ διαπήξας θυσιαστήριον, ὁλοκαυτώματα καὶ εἰρηνικάς· θυσιῶν δὲ τῶν κατὰ τὸν νόμον εἴδη τε καὶ τρόποι ταυτί· προσαγήοχε τῷ Θεῷ. καὶ διὰ μὲν τῆς ἅλω νοήσεις τὴν Ἐκκλησίαν, εἰς ἣν ἀφιγμένος, ἔστη τε λοιπὸν καὶ κατηργήθη θάνατος, καὶ τὴν πάλαι δεινήν τε καὶ διαφθείρουσαν χεῖρα συνέστειλεν ὁ ὀλοθρευτής. οἶκος γάρ ἐστι τῆς κατὰ φύσιν ζωῆς, τουτέστι Χριστοῦ. ἅλω δὲ εἶναι φαμὲν, ὡς ἐξ ὁμοιώσεως καὶ εἰκόνος τὴν Ἐκκλησίαν, ἐφ' ἣν δραγμάτων, ἤγουν ἀσταχύων, συλλέγονται δίκην οἱ τῆς ἀπὸ κόσμου ζωῆς διὰ τοῦ λόγου τῶν ἁγίων κειρόμενοι θεριστῶν, τουτέστιν Ἀποστόλων τε καὶ Εὐαγγελιστῶν· ἵνα καὶ εἰς τὰς ἄνω συγκομισθεῖεν αὐλὰς, καὶ καθάπερ εἰς ἀποθήκην δεσποτικὴν, εἰς τὴν ἐπουράνιον Ἱερουσαλὴμ, οἷά τις σῖτος εἰσφέροιντο καθαρὸς, κατὰ τὴν τῶν ἀχρειοτέρων καὶ περιττῶν ἀπόθεσιν πραγμάτων τε ἅμα καὶ φρονημάτων, ἅπερ ὡς ἐν εἴδει τῶν ἀχύρων νοεῖται. εἴρηται δέ που παρὰ Χριστοῦ τοῖς
» ἁγίοις Ἀποστόλοις· οὐχὶ ὑμεῖς λέγετε ὅτι Ἰωάν. 4. 35.
» τετράμηνός ἐστι, καὶ ὁ θερισμὸς ἔρχεται; 36.
» ἰδοὺ, λέγω ὑμῖν, ἐπάρατε τοὺς ὀφθαλμοὺς
» ὑμῶν, καὶ θεάσασθε τὰς χώρας, ὅτι λευ-
» καί εἰσι πρὸς θερισμὸν ἤδη. ὁ θερίζων μι-
» σθὸν λαμβάνει, καὶ συνάγει καρπὸν εἰς ζωὴν
» αἰώνιον. καὶ πάλιν· ὁ μὲν θερισμὸς πολὺς, Ματθ. 9. 37.
» οἱ δὲ ἐργάται ὀλίγοι. δεήθητε οὖν τοῦ Κυ- 38.
» ρίου τοῦ θερισμοῦ, ἵνα ἐκβάλῃ ἐργάτας εἰς
θερισ-

(1) Αὐτῷ Κύρ. αἱ εἰρημ. ἐκδόσ. (2) Ὀρνίαν. ἡ ἐν Χάλ. ἔκδ. (3) Ὑποσχομένου. ἡ αὐτ.
(4) Προσενέγκῃ. ἡ αὐτ. ἀπροσφυῶς. (5) Τῷ Θεῷ δῶρα προσφέρειν. ἡ αὐτ.
(6) Ταῦτα πληρῶν ὁ βασιλεὺς, πριάμ. ἡ αὐτ. (7) Ἐπὶ τὸ θυσιαστήριον ἐπ' ἐσχάτῳ. αἱ αὐτ.
(8) Μετὰ ταῦτα τὰ κατὰ Ὀρνίαν ἡ αὐτ. ὀρθῶς. διότι τὸ, γὰρ, περιττόν. ἃ δέ φησι περὶ τοῦ Ὀρνίου τῷ 1. κεφ. τῆς 3. τῶν Βασίλ. προσήκει. (9) Ἐτεθήλει. ἡ αὐτ. καταλλήλως.
(10) Ἐν βιβλ. 7. κεφ. 14. περὶ Ἰουδ. ἀρχ. ἔχεις δὲ τὰ τούτου ῥήματα ἐν τῇ ἑξῆς 650. σελ.
(11) Ἀϊνά. ἡ αὐτ. (12) Καλεῖ. ἡ αὐτ.

A θερισμὸν αὐτοῦ. θερισμὸν οἶμαι τὸν νοητὸν,
τὴν τῶν μελλόντων πιστεύειν ὀνομάζων πλη-
θύν· ἁγίους δὲ θεριστὰς εἶναι λέγων, τοὺς
εἰς νοῦν καὶ γλῶτταν τὸν θεῖον ἔχοντας λό-
Ἑβρ. 4. 12. γον, ὅς ἐστι ζῶν τε καὶ ἐνεργὴς, καὶ τομώ-
» τατος ὑπὲρ πᾶσαν μάχαιραν δίστομον, καὶ
» διϊκνούμενος ἄχρι μερισμοῦ ψυχῆς τε καὶ
» πνεύματος, ἁρμῶν τε καὶ μυελῶν. ὀνόματι δὲ
τῆς ἅλω καὶ ὁ μακάριος Βαπτιστὴς κατεδή-
λου τὴν Ἐκκλησίαν, ὡδί που λέγων περὶ Χρι-
Λουκ. 3. 16, 17. στοῦ· ἐγὼ μὲν ὕδατι βαπτίζω ὑμᾶς· ἔρχεται
» δὲ ὁ ἰσχυρότερός μου, οὗ οὐκ εἰμὶ ἱκανὸς λῦσαι
» τὸν ἱμάντα τῶν ὑποδημάτων αὐτοῦ· αὐτὸς
» ὑμᾶς βαπτίσει ἐν πνεύματι ἁγίῳ, καὶ πυρί.
» οὗ τὸ πτύον ἐν τῇ χειρὶ αὐτοῦ, καὶ διακαθα-
» ριεῖ τὴν ἅλωνα αὐτοῦ, καὶ συνάξει τὸν σῖτον
» αὐτοῦ εἰς τὴν ἀποθήκην, τὸ δὲ ἄχυρον κα-
» τακαύσει πυρὶ ἀσβέστῳ. ταύτην οὖν ἄρα τὴν
ἅλω τὴν νοητὴν, φημὶ δὴ τὴν Ἐκκλησίαν,
ἐξεπρίατο Χριστὸς πεντήκοντα σίκλων, του-
τέστιν οὐκ ἐλαφρῶν τιμημάτων. ἑαυτὸν γὰρ
δέδωκεν ὑπὲρ αὐτῆς, καὶ ἔπηξεν ἐν αὐτῇ
τὸ θυσιαστήριον. καὶ ἐπείπερ αὐτός ἐστιν ὁ
ἱερουργός· γέγονε γὰρ ἀρχιερεύς· καὶ αὐ-
τὸς τὸ θῦμα προσεκόμισεν ἑαυτὸν, ὡς ἐν
εἴδει καὶ τύπῳ τοῦ ἀλοῶντος μόσχου, καὶ γέ-
γονεν ὁλοκαύτωμα καὶ εἰρηνικὴ θυσία. λέ-
λυται γὰρ τὸ μεσολαβοῦν ἐν Χριστῷ, καὶ οἱ
πάλαι διεστηκότες τε καὶ ἀφωρισμένοι διὰ
τὴν ἁμαρτίαν, συνεισδυόμεθα δι᾽ αὐτοῦ τε
B καὶ ἐν αὐτῷ τῷ Θεῷ καὶ πατρὶ, τὴν ἀρχαίαν
» ἐκείνην καταλύσαντες ἔχθραν. αὐτὸς γάρ- Ἐφεσ. 2. 14.
» ἐστιν ἡ εἰρήνη ἡμῶν, κατὰ τὰς Γραφάς.
» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ προσέθηκε Σα-
» λομὼν ἐπὶ τὸ θυσιαστήριον ἐπ᾽ ἐσχάτων, ὅτι
» μικρὸν ἦν ἐν πρώτοις. Ὑποδηλοῖ τὴν κα-
τὰ καιροὺς ἐσομένην τοῦ Εὐαγγελίου προκο-
πήν. καὶ ἡ Ἐκκλησία γὰρ διαπαντὸς ἐκ
μικροτέρας εὐρύνεται, καὶ προστίθενται
πλείους.

ΤΕΛΟΣ ΤΗΣ ΔΕΥΤΕΡΑΣ ΤΩΝ ΒΑΣΙΛΕΙΩΝ.





ΒΑΣΙΛΕΙΩΝ ΤΡΙΤΗΣ ΣΟΛΟΜΩΝ.

** ΑΘΑΝΑΣΙΟΥ. Ἐν μὲν οὖν τῇ τρίτῃ πάλιν περιέχεται, ὅτι γηράσαντος τοῦ Δαβίδ, ἐπαίρει ἑαυτὸν Ἀδωνίας ὁ υἱὸς αὐτοῦ, καὶ χωρὶς τοῦ πατρὸς ἀναγορεύει ἑαυτὸν βασιλέα· καὶ τοῦτο μαθὼν ὁ Δαβίδ, ἀποστέλλει Ναθὰν τὸν προφήτην, καὶ Σαδὼκ τὸν ἱερέα, καὶ Βανέαν υἱὸν Ἰωδαὲ, καὶ ἐντέλλεται αὐτοῖς, καὶ χρίουσι τὸν Σαλομῶνα εἰς βασιλέα, ἔτι ζῶντος τοῦ Δαβίδ. ὁ μὲν οὖν Ἀδωνίας εὐθὺς καταλύεται, ὁ δὲ Σαλομὼν διαδεξάμενος, οἰκοδομεῖ τὸν οἶκον τοῦ Κυρίου, καὶ τὸ τεῖχος Ἱερουσαλὴμ ἐν ἑπτὰ ἔτεσιν. ἦσαν δὲ αὐτῷ ἀπὸ τῶν προσηλύτων αἴροντες μὲν ἄρσιν, ἑβδομήκοντα χιλιάδες, λατόμοι δὲ πάλιν ἀπὸ τῶν προσηλύτων, μυριάδες ὀκτὼ, ἐπιστατοῦντας δὲ τοῖς ἔργοις εἶχε τρισχιλίους εἴκοσι. καὶ εἰς μὲν τὴν τροφὴν αὐτῶν, καὶ τὰ δέοντα, δώδεκα ἦσαν οἱ χορηγοῦντες ἕκαστον μῆνα. καὶ ἦν τὸ καθ' ἡμέραν αὐτοῦ τοῦτο, λ' κόροι σεμιδάλεως, ξ' κόροι ἀλεύρου κεκοπανισμένου, μόσχοι ἐκλεκτοὶ δέκα, βόες δὲ νομάδες εἴκοσι, πρόβατα ρ', ἐκτὸς ἐλάφων, καὶ δορκάδων, καὶ ὀρνίθων ἐκλεκτῶν σιτευτῶν. ἀγέλην δὲ εἶχε, θηλειῶν μὲν ἵππων τοκάδων, μυριάδας τέσσαρας, ἵππων δὲ εἰς ἅρματα, χιλιάδας ιβ', πλοῦτον δὲ εἶχε πολύν. ἐν γὰρ τῷ ἑνὶ ἐνιαυτῷ τοῦ κομισθέντος αὐτῷ χρυσίου ἦν ὁ σταθμὸς τάλαντα χξς', χωρὶς τῶν φόρων τῶν ὑποτεταγμένων. καὶ ἡ βασίλισσα Σαβὰ ἐλθοῦσα πρὸς αὐτὸν, δέδωκεν αὐτῷ χρυσίου τάλαντα ρκ', καὶ λίθον τίμιον, καὶ ἡδύσματα ἀμύθητα. μετὰ δὲ θάνατον Σαλομῶνος διεδέξατο ὁ υἱὸς αὐτοῦ Ῥοβοὰμ τὴν βασιλείαν, καὶ ἐπ' αὐτοῦ ἐσχίσθη ἡ ἀρχή. καὶ δέκα μὲν φυλαὶ... ἀπῆλθον εἰς Σαμάρειαν· δύο δὲ ἔμειναν ἐν Ἱερουσαλὴμ, ἡ Ἰούδα καὶ Βενιαμίν. εἰσὶν οὖν τὰ ἐμπεριεχόμενα τούτῳ τῷ τρίτῳ βιβλίῳ πράξεις καὶ ἔτη βασιλέων τούτων, Σαλομῶνος βασιλέως πάντων ὁμοῦ· μετὰ δὲ τὴν διαίρεσιν τῆς βασιλείας, ὡς εἴρηται, τῶν μὲν ἐν Ἰουδαίᾳ βασιλέων τῶν δύο φυλῶν, Ῥοβοὰμ, Ἀβιοὺ, Ἀσᾶ, καὶ Ἰωσαφάτ· τῶν δὲ ἐν Σαμαρείᾳ βασιλέων τῶν δέκα φυλῶν, Ἱεροβοὰμ, Ναβὰθ, Βαασᾶ, Ἠλὰθ, Ζαμβρὶ, καὶ Ἀχαάβ. καὶ περὶ Προφητῶν δὲ διαλαμβάνει τούτων· Ναθὰν, καὶ Γὰδ, καὶ Ἀχιὰ τοῦ Σηλωνίτου, καὶ τοῦ ἐπικαλεσαμένου ἐπὶ τὸ θυσιαστήριον τῆς Σαμαρείας, καὶ περὶ Ἠλιοὺ, καὶ Ἐλισσαίου, τοῦ προφητεύσαντος τῷ Ἀχαὰβ περὶ τοῦ υἱοῦ Ἄδερ, καὶ τοῦ πατάξαντος αὐτὸν, καὶ ἐλέγξαντος τὸν Ἀχαάβ. καὶ ὅτι ἦσαν υἱοὶ τῶν Προφητῶν καθ' ἑαυτοὺς ἀναχωροῦντες. ἔστι δὲ ἐν τούτῳ τῷ βιβλίῳ πῶς Ἠλίας ἐπροφήτευσε, καὶ οὐκ ἔβρεξεν ἐπὶ ἔτη τρία, καὶ ὅτι οἱ κόρακες ἔφερον αὐτῷ διὰ ῥήματα Κυρίου, πρωΐας μὲν ἄρτους, δείλης δὲ κρέα. ἐν δὲ τῇ Σαρεφθὰ τῆς Σιδωνίας πεποίηκε, διὰ ῥήματα Κυρίου, μὴ ἐκλεῖψαι τῆς χήρας τὴν ὑδρίαν τοῦ ἀλεύρου, καὶ τὸν καμψάκην τοῦ ἐλαίου μὴ ἐλαττονηθῆναι. καὶ τὸν μὲν υἱὸν αὐτῆς ἀποθανόντα ἤγειρεν εὐξάμενος· τοὺς δὲ Προφήτας τοῦ Βάαλ ἐποίησεν ἀναιρεθῆναι, ὄντας τὸν ἀριθμὸν, υν'. (1) καὶ τῇ μηλωτῇ δὲ ἐπάταξε τὸν Ἰορδάνην, καὶ διῃρέθη ἔνθα καὶ ἔνθα τὸ ὕδωρ, καὶ διέβη τῷ ποδὶ τὸν ποταμόν. λήγει δὲ ἡ βίβλος αὕτη εἰς τὸν θάνατον τοῦ Ἀχαὰβ βασιλέως Ἰσραὴλ, καὶ εἰς τὸν θάνατον Ἰωσαφὰτ βασιλέως Ἰούδα, καὶ εἰς τὴν ἀρχὴν βασιλείας Ὀχοζίου υἱοῦ Ἀχαὰβ, καὶ εἰς τὴν ἀρχὴν Ἰωρὰμ, υἱοῦ Ἰωσαφὰτ βασιλέως Ἰούδα.

ΚΕΦ. Α.

α. αὶ ὁ βασιλεὺς Δαβὶδ πρεσβύτης σφόδρα προβεβηκὼς ἐν ἡμέραις, καὶ περιέβαλον αὐτὸν ἱματίοις, καὶ οὐκ ἐθερμαίνετο. A

** ΙΩΣΗΠΟΥ. Πρεσβύτερος ὢν ἤδη, καὶ τοῦ σώματος αὐτῷ ψυχομένου διὰ τὸν χρόνον, δυσριγὴς ὑπῆρχεν, ὡς μηδ' ὑπὸ τῆς ἐπιβολῆς ἐκ πολλῶν ἱματίων γενομένης ἀναθερμαίνεσθαι.

* ΠΡΟΚΟΠΙΟΥ. Ζητήσεις, εἶπε τὸ,
» πρεσβύτερος, ἐπὶ φαύλου ὑπὸ τοῦ προσώπου τῆς Γραφῆς εἴρηται, ἢ ἐπὶ ἁγίου· καὶ εἰ
» τὸ, προβεβηκὼς ἡμέραις, λέγεται· καὶ εἰ διαφέρει πρεσβύτερος καὶ πρεσβύτης.

Καὶ

(1) Τὸ τῆς μηλωτῆς οὐχ ἡ τρίτη, ἀλλ' ἡ τετάρτη τῶν Βασιλ. περιέχει.

A β. Καὶ εἶπαν οἱ παῖδες αὐτοῦ, ζητησάτωσαν τῷ κυρίῳ ἡμῶν τῷ βασιλεῖ παρθένον νεάνιδα, καὶ παραστήσεται τῷ βασιλεῖ, καὶ ἔσται αὐτὸν θάλπουσα, καὶ κοιμηθήσεται μετ' αὐτοῦ, καὶ θερμανθήσεται ὁ κύριος ἡμῶν ὁ βασιλεύς.

** ΙΩΣΗΠΟΥ. Συνελθόντων τῶν ἰατρῶν, καὶ συμβουλευσάντων, ὅπως ἐξ ἁπάσης τῆς χώρας εὐειδὴς ἐπιλεχθεῖσα παρθένος, συγκαθεύδῃ τῷ βασιλεῖ· τοῦτο γὰρ αὐτῷ πρὸς τὸ ῥῖγος ἔσεσθαι βοήθημα, θαλπούσης αὐτὸν τῆς κόρης· εὑρίσκεται ἐν πόλει γυνὴ μία πασῶν τὸ εἶδος ἀρίστη γυναικῶν, Ἀβησάκη τοὔνομα, ἣ συγκοιμωμένη μόνον τῷ βασιλεῖ, συνεθέρμαινεν αὐτόν. ὑπὸ γὰρ γήρως ἦν πρὸς τὰ ἀφροδίσια καὶ γυναικὸς ὁμιλίαν ἀσθενής.

** ΠΡΟΚΟΠΙΟΥ. Τὸ τῆς παρθένου ἀκμαῖον ἐπενόησαν, ὥστε ζώσης καὶ ζεούσης νεότητος σάρκα παραμυθεῖσθαι τοῦ Δαβίδ. ἱματίων μὲν γὰρ φύσις τηρεῖν πέφυκε τοῦ σώματος τὴν ζέσιν, ἀλλὰ καὶ πλείονα ποιεῖν ἣν εὗρεν, οὐδὲν δὲ τὸ ψυχρὸν ὠφελεῖν. ἡ δέ γε ζέουσα σὰρξ τῆς προσούσης θέρμης τῷ ταύτης δεκτικῷ μεταδίδωσι.

γ. Καὶ ἐζήτησαν νεάνιδα καλὴν ἐκ παντὸς ὁρίου Ἰσραήλ. καὶ εὗρον τὴν Ἀβισαὰκ (1) τὴν Σουμανίτιν, (2) καὶ ἤνεγκαν αὐτὴν πρὸς τὸν βασιλέα.
δ. Καὶ ἡ νεᾶνις καλὴ τῷ εἴδει σφόδρα· καὶ ἦν θάλπουσα τὸν βασιλέα, καὶ ἐλειτούργει αὐτῷ· καὶ ὁ βασιλεὺς οὐκ ἔγνω αὐτήν.

» ** ΕΠΙΦΑΝΙΟΥ. Καὶ ἐγήρασε Δα-
» βίδ, καὶ ἔσκεπον αὐτὸν ἱματίοις, καὶ οὐκ
» ἐθερμαίνετο. καὶ εἶπον τῷ βασιλεῖ, ζητη-
» θήτω παρθένος καλή. καὶ εὑρέθη Ἀβισὰκ
» ἡ Σουμανῖτις. καὶ φησίν, ἠνέχθη τῷ βα-
» σιλεῖ, καὶ συνεκοιμᾶτο αὐτῷ, καὶ συνέθαλ-
» πεν αὐτόν· καὶ οὐκ ἔγνω αὐτὴν Δαβίδ, τὴν σὺν αὐτῷ, τὴν σύσσωμον, καὶ σύμπλουρον. ἆρα ποίαν εἴδησιν λέγει, τὴν δι' ὁράσεως, ἢ τὴν διὰ πράξεως;

** ΤΟΥ ΑΥΤΟΥ. Τὴν σύσσωμον καὶ σύμπλουρον πῶς οὐκ ᾔδει; Ἀλλ' ἐνταῦθα εἴδησιν, οὐ τὴν δι' ἐννοίας διηγεῖται, ἀλλὰ τὴν διὰ χρήσεως. καὶ γὰρ καὶ ἐπὶ τοῦ Ἰακώβ· ὅτι μὲν γὰρ ἑπτὰ ἔτη ἐτύγχανε ποιμαίνων μετὰ Ῥαχὴλ καὶ Λείας, καὶ ᾔδει αὐτάς. ὅτε δὲ περὶ τῆς συναφείας τῆς τοῦ σεμνοῦ αὐτῶν γάμου διηγεῖται, φησίν· ἔγνω
Γεν. 29. 23. Λείαν τὴν γυναῖκα αὐτοῦ. ὅτι ἡ μὲν πρώτη εἴδησις δι' ἐννοίας ἦν καὶ δι' ὁράσεως, ἡ δὲ δευτέρα γνῶσις καὶ εἴδησις περὶ χρήσεως καὶ ἐνεργείας.

ε. Καὶ Ἀδωνίας υἱὸς Ἀγγὶθ ἐπήρετο, (3) λέγων, βασιλεύσω. καὶ ἐποίησεν ἑαυτῷ ἅρμα (4) καὶ ἱππεῖς, καὶ πεντήκοντα ἄνδρας παρατρέχειν ἔμπροσθεν αὐτοῦ.

» * ΠΡΟΚΟΠΙΟΥ. Καὶ Ὀρνίας (5) υἱὸς
» Δαβὶδ Ἀδωνίας. καὶ γὰρ ἦν διώνυμος.

** ΙΩΣΗΠΟΥ. Ὁ τέταρτος υἱὸς Δαυίδου, νεανίας εὐειδὴς καὶ μέγας, ἐκ γυναι-
B κὸς αὐτῷ Αἰγιθῆς γεγονώς, Ἀδωνίας δὲ προσαγορευόμενος, ἐμφερὴς ὢν Ἀβεσσαλώμῳ τὴν διάνοιαν, αὐτὸς ὡς βασιλεὺς ὢν ὑπῆρτο, καὶ πρὸς τοὺς φίλους ἔλεγεν, ὡς τὴν ἀρχὴν αὐτὸν δεῖ παραλαβεῖν. κατεσκεύασε δὲ ἅρματα πολλὰ καὶ ἵππους, καὶ πεντήκοντα ἄνδρας τοὺς προδρόμους.

ς. Καὶ οὐκ ἀπεκώλυσεν αὐτὸν ὁ πατὴρ αὐτοῦ οὐδέποτε, λέγων, διατὶ
Γ σὺ ἐποίησας; καί γε αὐτὸς ὡραῖος τῇ ὄψει σφόδρα, καὶ αὐτὸν ἔτεκεν ὀπίσω
ζ. Ἀβεσσαλώμ. Καὶ ἐγένοντο οἱ λόγοι αὐτοῦ μετὰ Ἰωὰβ τοῦ υἱοῦ Σαρουΐα, (6) καὶ μετὰ Ἀβιάθαρ τοῦ ἱερέως, καὶ
η. ἐβοήθουν ὀπίσω Ἀδωνίου. Καὶ Σαδὼκ ὁ ἱερεύς, καὶ Βαναίας υἱὸς Ἰωδαέ, καὶ Νάθαν ὁ προφήτης, καὶ Σεμεΐ, καὶ Ῥηΐ, (7) καὶ υἱοὶ δυνατοὶ τοῦ Δαβὶδ
Δ οὐκ ἦσαν ὀπίσω Ἀδωνίου.

θ. Καὶ ἐθυσίασεν Ἀδωνίας πρόβατα καὶ μόσχους καὶ ἄρνας παρὰ τὸν λίθον τὸν Ζωελέθ, ὃς ἦν ἐχόμενος τῆς πύλης (8) Ῥωγήλ· καὶ ἐκάλεσε πάντας τοὺς ἀδελφοὺς αὐτοῦ, καὶ πάντας τοὺς ἁδροὺς Ἰούδα παῖδας τοῦ βασιλέως.

** ΙΩΣΗΠΟΥ. Τοῦ Ἀδωνίου παρα-
E σκευασαμένου δεῖπνον ἔξω τῆς πόλεως, παρὰ τὴν πηγὴν τὴν ἐν τῷ βασιλικῷ παραδείσῳ, καὶ πάντας καλέσαντος τοὺς ἀδελφοὺς χωρὶς Σολομῶνος, παραλαβόντος δὲ καὶ τὸν στρατηγὸν Ἰώαβον, καὶ Ἀβιάθαρον, καὶ τοὺς ἄρχοντας τῆς Ἰούδα φυλῆς, τοὺς δὲ περὶ τὸν ἀρχιερέα Σάδωκον καὶ Νάθαναν τὸν προφήτην, καὶ τὸν ἐπὶ τῶν σωματοφυλάκων Βαναίαν, καὶ πάντας τοὺς ἐκ τῆς ἐναντίας αἱρέσεως οὐκ ἐκάλεσεν ἐπὶ
Z τὴν ἑστίασιν.

* ΠΡΟΚΟΠΙΟΥ. Μήποτε, πρόβατα μὲν τὰ ἐκ ποιμνίου καὶ ἐξ αἰπολίου, ἄρνας δὲ τὰ ἐκ ποιμνίου, καὶ μόνα μιᾶς ἡλικίας.

» * ΤΟΥ ΑΥΤΟΥ. Ὃς ἦν ἐχόμενος τῆς
» πύλης Ῥωγήλ, τὸν ἐχόμενον Ἀΐν. Τὸ συσσίτιον ἐπετέλεσε παρά τινα πηγὴν πρὸ τοῦ ἄστεος, ἀναβλύζουσαν· παρ' ἣν βασιλικὸς ἐτεθήλει παράδεισος. οὕτω γὰρ Ἰώσηππος ἔφη. καὶ ὁ Σύμμαχος δὲ τὴν Ἀΐν, πηγὴν
H ἡρμήνευσεν, ὡς καὶ ὁ Σύρος καλεῖ.

(1) Ἀβισάγ. αἱ εἰρημ. ἐκδόσ. (2) Σωμανίτιν. αἱ αὐτ. Σουναμίτιν. ἡ ἐν Κομπλ. ἔκδ.
(3) Ἐπήρετο. αἱ αὐτ. (4) Ἅρματα. αἱ αὐτ. (5) Ὀρνίας υἱὸς Ἀγγὲθ Δαβὶδ Ἀδων. ὁ τῆς Αὐγ. κώδ.
(6) Σαρουΐας. αἱ αὐτ. (7) Ῥησί. αἱ αὐτ. (8) Τῆς πηγῆς Ῥωγ. ἡ τοῦ Ἀλδ. ἔκδ.

ι. Καὶ Νάθαν τὸν προφήτην, καὶ
Βαναίαν, καὶ τοὺς δυνατούς, καὶ τὸν Σα-
λομὼν ἀδελφὸν αὐτοῦ οὐκ ἐκάλεσε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τινὲς (1) ἀνοήτως ὑπέλαβον ἀλγῆσαι τὸν Νάθαν, ὡς μὴ κληθέντα εἰς τὸ συσσίτιον· καὶ τούτου χάριν ποιῆσαι (2) τὴν Βηρσαβεὲ τὰ γεγενημένα μηνῦσαι τῷ βασιλεῖ. Ἀνοήτως ἄγαν τήνδε τὴν ὑποψίαν ἐσχήκασιν. ὁ γὰρ Προφήτης τοῦ Θεοῦ τὴν ψῆφον εἰδώς, δι' αὐτοῦ γὰρ 2.Βασ. 7. 12, 13. ἐδήλωσε τῷ βασιλεῖ, οὐ σὺ οἰκοδομήσεις μοι οἶκον [τοῦ κατοικῆσαι ἐν αὐτῷ·] ἀλλ' ἰδοὺ υἱὸς τίκτεταί σοι. [οὗτος ἔσται ἀνὴρ ἀναπαύσεως, καὶ ἀναπαύσω αὐτὸν ἀπὸ πάντων τῶν ἐχθρῶν αὐτοῦ κυκλόθεν.] Σαλομὼν ὄνομα αὐτῷ· [καὶ εἰρήνην καὶ ἡσυχίαν δώσω ἐπὶ Ἰσραὴλ ἐν ταῖς ἡμέραις αὐτοῦ.] οὗτος οἰκοδομήσει οἶκον τῷ ὀνόματί μου. ταῦτα εἰδὼς ὁ Προφήτης, καὶ θεασάμενος τὸν Ὀρνίαν παρὰ τὴν θείαν βουλὴν τὴν βασιλείαν ἁρπάσαντα, ἀνέμνησε διὰ τῆς Βηρσαβεὲ τὸν βασιλέα τῆς θείας προῤῥήσεως. εἶτα εἰσελθών, τοὺς ἐκείνης ἐβεβαίωσε λόγους.

ια. Καὶ εἶπε Νάθαν πρὸς Βηρσα-
βεὲ μητέρα Σαλομών, λέγων, οὐκ ἤκου-
σας (3) ὅτι ἐβασίλευσεν Ἀδωνίας υἱὸς
Ἀγγίθ, καὶ ὁ Κύριος ἡμῶν Δαβὶδ οὐκ
ιβ. ἔγνω; Καὶ νῦν δεῦρο, συμβουλεύσω-
σοι συμβουλίαν, καὶ ἐξελοῦ τὴν ψυ-
χήν σου, καὶ τὴν ψυχὴν τοῦ υἱοῦ σου Σα-
ιγ. λομών. Δεῦρο εἴσελθε πρὸς τὸν βα-
σιλέα Δαβίδ, καὶ ἐρεῖς πρὸς αὐτόν,
λέγουσα, οὐχὶ σὺ κύριέ μου βασιλεῦ
ὤμοσας τῇ δούλῃ σου, λέγων, ὅτι Σα-
λομὼν ὁ υἱός σου βασιλεύσει μετ' ἐμέ,
καὶ αὐτὸς καθιεῖται ἐπὶ τοῦ θρόνου μου;
ιδ. καὶ τί ὅτι ἐβασίλευσεν Ἀδωνίας; Καὶ
ἰδοὺ ἔτι σοῦ λαλούσης ἐκεῖ μετὰ τοῦ βα-
σιλέως, καὶ ἐγὼ εἰσελεύσομαι ὀπίσω-
ιε. σου, καὶ πληρώσω τοὺς λόγους σου. Καὶ
εἰσῆλθε Βηρσαβεὲ πρὸς τὸν βασιλέα
εἰς τὸ ταμεῖον. καὶ ὁ βασιλεὺς πρεσ-
βύτης σφόδρα· καὶ Ἀβισαὰκ ἡ Σου-
μανῖτις ἦν λειτουργοῦσα τῷ βασιλεῖ.
ιϛ. Καὶ ἔκυψε Βηρσαβεέ, καὶ προσεκύ-
νησε τῷ βασιλεῖ. καὶ εἶπεν ὁ βασι-
ιζ. λεὺς τί ἐστί σοι; Ἡ δὲ εἶπε, κύριέ μου
βασιλεῦ, σὺ ὤμοσας ἐν Κυρίῳ τῷ
Θεῷ σου τῇ δούλῃ σου, λέγων, ὅτι Σα-
λομὼν ὁ υἱός σου βασιλεύσει μετ' ἐμέ,
καὶ αὐτὸς καθιεῖται ἐπὶ τοῦ θρόνου μου.
ιη. Καὶ νῦν ἰδοὺ Ἀδωνίας ἐβασίλευσε, καὶ
ιθ. σὺ κύριέ μου βασιλεῦ οὐκ ἔγνως. Καὶ
ἐθυσίασε μόσχους καὶ ἄρνας καὶ πρό-

A βατα εἰς πλῆθος, καὶ ἐκάλεσε πάν-
τας τοὺς υἱοὺς τοῦ βασιλέως, καὶ Ἀβιά-
θαρ τὸν ἱερέα, καὶ Ἰωὰβ τὸν ἄρχον-
τα τῆς δυνάμεως· καὶ τὸν Σαλομὼν
κ. τὸν δοῦλόν σου οὐκ ἐκάλεσε. Καὶ σὺ
κύριέ μου βασιλεῦ, οἱ ὀφθαλμοὶ παν-
τὸς Ἰσραὴλ πρὸς σέ, (4) ἀπαγγεῖλαι
αὐτοῖς τίς καθήσεται ἐπὶ τοῦ θρόνου
B τοῦ κυρίου μου τοῦ βασιλέως μετ' αὐτόν.
κα. Καὶ ἔσται ὡς ἂν κοιμηθῇ ὁ κύριός μου ὁ
βασιλεὺς μετὰ τῶν πατέρων αὐτοῦ,
καὶ ἔσομαι ἐγὼ καὶ ὁ υἱός μου Σαλομὼν
κβ. ἁμαρτωλοί. Καὶ ἰδοὺ ἔτι αὐτῆς λα-
λούσης μετὰ τοῦ βασιλέως, καὶ Νά-
κγ. θαν ὁ προφήτης εἰσῆλθε. Καὶ ἀνηγ-
γέλη τῷ βασιλεῖ, ἰδοὺ Νάθαν ὁ προ-
φήτης. καὶ εἰσῆλθε κατὰ πρόσωπον
Γ τοῦ βασιλέως, καὶ προσεκύνησε τῷ
βασιλεῖ κατὰ πρόσωπον αὐτοῦ ἐπὶ
κδ. τὴν γῆν. Καὶ εἶπε Νάθαν, κύριέ
μου βασιλεῦ σὺ εἶπας, Ἀδωνίας βα-
σιλεύσει ὀπίσω μου, καὶ αὐτὸς καθή-
κε. σεται ἐπὶ τοῦ θρόνου μου; Ὅτι κατέ-
βη σήμερον, καὶ ἐθυσίασε μόσχους καὶ
ἄρνας καὶ πρόβατα εἰς πλῆθος, καὶ
ἐκάλεσε πάντας τοὺς υἱοὺς τοῦ βασι-
Δ λέως, καὶ τοὺς ἄρχοντας τῆς δυνά-
μεως, καὶ Ἀβιάθαρ τὸν ἱερέα. καὶ
ἰδού εἰσιν ἐσθίοντες καὶ πίνοντες ἐνώπιον
αὐτοῦ, καὶ εἶπαν, ζήτω ὁ βασιλεὺς
κϛ. Ἀδωνίας. Καὶ ἐμὲ αὐτὸν τὸν δοῦλόν
σου, καὶ Σαδὼκ τὸν ἱερέα, καὶ Βαναίαν
υἱὸν Ἰωδαέ, καὶ Σαλομὼν τὸν δοῦλόν
κζ. σου οὐκ ἐκάλεσεν. Εἰ διὰ τοῦ κυρίου μου
E τοῦ βασιλέως γέγονε τὸ ῥῆμα τοῦτο,
καὶ οὐκ ἐγνώρισας (5) τὸ ῥῆμα τοῦτο
τῷ δούλῳ σου τίς καθήσεται ἐπὶ τὸν
θρόνον τοῦ κυρίου μου τοῦ βασιλέως μετ'
κη. αὐτόν; Καὶ ἀπεκρίθη ὁ βασιλεὺς
Δαβίδ, καὶ εἶπε, καλέσατέ μοι τὴν
Βηρσαβεέ. καὶ εἰσῆλθεν ἐνώπιον τοῦ
κθ. βασιλέως, καὶ ἔστη ἐνώπιον αὐτοῦ. Καὶ
ὤμοσεν ὁ βασιλεύς, καὶ εἶπε, ζῇ Κύ-
Z ριος ὃς ἐλυτρώσατο τὴν ψυχήν μου ἐκ
λ. πάσης θλίψεως, Ὅτι καθὼς ὤμο-
σά σοι ἐν Κυρίῳ Θεῷ Ἰσραήλ, (6) ὅτι
Σαλομὼν ὁ υἱός σου βασιλεύσει μετ'
ἐμέ, καὶ αὐτὸς καθήσεται ἐπὶ τοῦ θρό-
νου μου ἀντ' ἐμοῦ, ὅτι οὕτω ποιήσω τῇ
λα. ἡμέρᾳ ταύτῃ. Καὶ ἔκυψε Βηρσαβεὲ
ἐπὶ πρόσωπον ἐπὶ τὴν γῆν, καὶ προ-
H σεκύνησε τῷ βασιλεῖ, καὶ εἶπε, ζήτω ὁ
κύριός-

A. K.

(1) Τινὲς ὑπολαμβάνουσιν ἀλγ. ἡ ἐν Χαλ. ἐκδ.
(2) Παρασκευάσαι τὴν Βηρσ. ἡ αὐτ.
(3) Οὐκ ἤκουσας. αἱ αὐτ.
(4) Πρὸς σέ. ἀπάγγειλαι. αἱ αὐτ.
(5) Ἐγνώρισας τῷ δούλῳ σου. αἱ αὐτ.
(6) Λέγων, ὅτι. αἱ αὐτ.

κύριός μου ὁ βασιλεὺς (1) εἰς τοὺς αἰῶ-
λβ. νας. Καὶ εἶπεν ὁ βασιλεὺς Δαβὶδ,
καλέσατέ μοι Σαδὼκ τὸν ἱερέα, καὶ
Νάθαν τὸν προφήτην, καὶ Βαναίαν
υἱὸν Ἰωδαέ. καὶ εἰσῆλθον ἐνώπιον τοῦ
βασιλέως.

λγ. Καὶ εἶπεν ὁ βασιλεὺς αὐτοῖς,
λάβετε μεθ' ὑμῶν τοὺς δούλους τοῦ κυ-
ρίου ὑμῶν, καὶ ἐπιβιβάσατε τὸν υἱόν μου
Σαλομὼν ἐπὶ τὴν ἡμίονον τὴν ἐμὴν,
καὶ καταγάγετε αὐτὸν εἰς τὸν Γηὼν,

** ΙΩΣΗΠΟΥ. Κελεύει παραλαβεῖν Ναθάναν τε τὸν προφήτην καὶ τοὺς περὶ τὴν αὐλὴν ὁπλίτας ἅπαντας, καὶ ἀναβιβάσαντας τὸν υἱὸν αὐτοῦ Σολομῶνα ἐπὶ τὴν βασιλικὴν ἡμίονον, ἔξω τῆς πόλεως ἀγαγεῖν ἐπὶ τὴν πηγὴν τὴν λεγομένην Γιών.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν Γηὼν τίνα καλεῖ; Γηὼν μὲν ὁ Νεῖλος ὠνόμασται. εἷς γὰρ τῶν ποταμῶν ἐστὶ τῶν τεσσάρων, (2) ὡς Ἱερεμίας φησί· „καί σοι καὶ τῇ γῇ Αἰγύπτου, „τοῦ πιεῖν ὕδωρ Γηών; (Ἱερ. 2. 18.) ἐπωνόμασαν δὲ καὶ τὸν Σιλοὰμ Γηών· ἢ ὡς ἄγαν σμικρὸν εἰρωνικῶς· ἢ ὅτι (3) καὶ αὐτὸς ἐξ ἀφανῶν ἔξεισιν ὑπονόμων, ὥσπερ ὁ Νεῖλος. (4) τάξει δὲ κέχρηται προτάξας Σαδὼκ τὸν ἱερέα, εἶτα Νάθαν τὸν προφήτην, καὶ μετὰ ταῦτα Βαναίαν υἱὸν Ἰωδαὲ τὸν στρατηγὸν, ἔχοντα σφενδονίτας καὶ τοξότας, τὸν Χερεθθὶ καὶ Φελεθθί.

** ΜΑΞΙΜΟΥ. Ἡμίονος ἐστὶ κατὰ τὸν ἐπαινούμενον λόγον ἡ παντελῶς κατὰ κακίαν ἄγονος ἕξις. διὸ πάνυ τῷ πνεύματι τῆς Γραφῆς προσφυῶς τε καὶ πρεπόντως ὁ βασιλεύειν λαχὼν τοῦ Ἰσραὴλ, οὐχ ἵππῳ, ἀλλ' ἡμιόνῳ καθέζεσθαι προσετάγη· τοῦ λόγου δηλοῦντος, ὅτι δεῖ τὸν θεωρητικὸν νοῦν βασιλεύοντα τῶν ἐν τοῖς οὖσι νοημάτων τε καὶ θεαμάτων καὶ τῶν οἰκείων κινημάτων, ἕξιν ἄγονον ἔχειν κακίας, τουτέστι κακίαν μήτε συλλαμβάνουσαν παντελῶς, μήτε τίκτουσαν· ἐφ' ἧς αὐτὸν δεῖ περὶ θεωρίαν κινούμενον φέρεσθαι, μήπως πνευματικὴν ποιούμενος τὴν τῶν ὄντων διάσκεψιν, λαθὼν περιπέσῃ τινὶ τῶν παραφθείρειν διά τινος τῶν αἰσθητῶν πεφυκότων πονηρῶν πνευμάτων τὴν ἁγνὴν τῆς καρδίας διάθεσιν.

λδ. Καὶ χρισάτω αὐτὸν ἐκεῖ Σα-
δὼκ ὁ ἱερεὺς, καὶ Νάθαν ὁ προφήτης
εἰς βασιλέα ἐπὶ Ἰσραὴλ, καὶ σαλ-
πίσατε κερατίνῃ, καὶ ἐρεῖτε, ζήτω ὁ
λε. βασιλεὺς Σαλομών. Καὶ ἀναβήσε-
σθε ὀπίσω αὐτοῦ, καὶ εἰσελεύσεται καὶ
καθήσεται ἐπὶ τοῦ θρόνου μου, καὶ αὐ-

A τὸς βασιλεύσει ἀντ' ἐμοῦ· καὶ ἐγὼ
ἐνετειλάμην τοῦ εἶναι εἰς ἡγούμενον ἐπὶ
λς. Ἰσραὴλ καὶ Ἰούδαν. Καὶ ἀπεκρίθη
Βαναίας υἱὸς Ἰωδαὲ, καὶ εἶπε τῷ βα-
σιλεῖ, γένοιτο οὕτω· πιστώσαι Κύριος
ὁ Θεὸς τοῦ κυρίου μου τοῦ βασιλέως.
λζ. Καθὼς ἦν Κύριος μετὰ τοῦ κυρίου μου
τοῦ βασιλέως, οὕτως εἴη μετὰ Σαλο-
μὼν, καὶ μεγαλῦναι τὸν θρόνον αὐτοῦ
B ὑπὲρ τὸν θρόνον τοῦ κυρίου μου τοῦ βα-
λη. σιλέως Δαβίδ. Καὶ κατέβη Σαδὼκ
ὁ ἱερεὺς, καὶ Νάθαν ὁ προφήτης, καὶ
Βαναίας υἱὸς Ἰωδαὲ, καὶ ὁ Χερεθθὶ,
καὶ ὁ Φελεθθὶ, καὶ ἐπεκάθισαν τὸν
Σαλομὼν ἐπὶ τὴν ἡμίονον τοῦ βασι-
λέως Δαβὶδ, καὶ ἀπήγαγον αὐτὸν
λθ. εἰς τὸν Γηών. Καὶ ἔλαβε Σαδὼκ ὁ
Γ ἱερεὺς τὸ κέρας τοῦ ἐλαίου ἐκ τῆς σκη-
νῆς, καὶ ἔχρισε τὸν Σαλομὼν, καὶ
ἐσάλπισε τῇ κερατίνῃ, καὶ εἶπε πᾶς
ὁ λαὸς, ζήτω ὁ βασιλεὺς Σαλομών.
μ. Καὶ ἀνέβη πᾶς ὁ λαὸς ὀπίσω αὐτοῦ,
καὶ ἐχόρευον ἐν χοροῖς καὶ εὐφραινό-
μενοι εὐφροσύνην μεγάλην, καὶ ἐῤ-
μα. ῥάγη ἡ γῆ ἐν τῇ φωνῇ αὐτῶν. Καὶ
ἤκουσεν Ἀδωνίας καὶ πάντες οἱ κλητοὶ
Δ αὐτοῦ, καὶ αὐτοὶ συνετέλεσαν τοῦ (5)
φαγεῖν. καὶ ἤκουσεν Ἰωὰβ τὴν φωνὴν
τῆς κερατίνης, καὶ εἶπε, τίς ἡ φωνὴ
μβ. τῆς πόλεως ἠχούσης; Ἔτι αὐτοῦ λα-
λοῦντος, καὶ ἰδοὺ Ἰωνάθαν υἱὸς Ἀβιά-
θαρ τοῦ ἱερέως ἦλθε. καὶ εἶπεν Ἀδω-
νίας, εἴσελθε, ὅτι ἀνὴρ δυνάμεως εἶ
μγ. σὺ, καὶ ἀγαθὰ εὐαγγέλισαι. Καὶ
ἀπεκρίθη Ἰωνάθαν, καὶ εἶπε τῷ Ἀδω-
E νίᾳ, καὶ μάλα ὁ κύριος ἡμῶν ὁ βασι-
λεὺς Δαβὶδ ἐβασίλευσε τὸν Σαλο-
μδ. μὼν, Καὶ ἀπέστειλε μετ' αὐτοῦ ὁ βα-
σιλεὺς τὸν Σαδὼκ τὸν ἱερέα, καὶ Νά-
θαν τὸν προφήτην, καὶ Βαναίαν υἱὸν
Ἰωδαὲ, καὶ τὸν Χερεθθὶ, καὶ τὸν Φε-
λεθθὶ, καὶ ἐπεκάθισαν αὐτὸν ἐπὶ
με. τὴν ἡμίονον τοῦ βασιλέως· Καὶ ἔχρι-
Z σεν αὐτὸν Σαδὼκ ὁ ἱερεὺς, καὶ Νά-
θαν ὁ προφήτης εἰς βασιλέα ἐν τῷ
Γηὼν, καὶ ἀνέβησαν ἐκεῖθεν εὐφραι-
νόμενοι, καὶ ἤχησεν ἡ πόλις. αὕτη ἡ
μς. φωνὴ ἣν ἠκούσατε. Καὶ ἐκάθισε Σα-
λομὼν ἐπὶ θρόνου τῆς βασιλείας.

μζ. Καὶ εἰσῆλθον οἱ δοῦλοι τοῦ βα-
σιλέως εὐλογῆσαι τὸν κύριον ἡμῶν τὸν
βασι-

(1) Δαβὶδ εἰς τὸν αἰῶνα. αἱ αὐτ. (2) Τεσσάρων. καὶ τοῦτο σαφῶς αὐτὸς ὁ Θεὸς διὰ Ἱερεμίου ἐδίδαξεν εἰπών. καὶ νῦν τί σοι, καὶ τῇ ὁδῷ Αἰγύπτ. ἡ ἐν Χάλ. ἔκδ. (3) Ἐπειδή. ἡ αὐτ.

(4) Χρίσαι δὲ τὸν Σολομῶντα προσετάχθησαν Σαδὼκ ὁ ἀρχιερεὺς, καὶ Νάθαν ὁ προφήτης. προτέτακται τοῦ προφήτου μὲν ὁ ἀρχιερεὺς, τοῦ στρατηγοῦ δὲ ὁ προφήτης. συναπεστάλησαν δὲ καὶ οἱ σφενδονῖται καὶ τοξόται. τούτους γὰρ καλεῖ Χερεθὶ καὶ Φελεθί. ἡ αὐτ. (5) Συνετέλεσαν φαγεῖν. αἱ αὐτ.

βασιλέα Δαβὶδ, λέγοντες, ἀγαθύ-
ναι ὁ Θεὸς τὸ ὄνομα Σαλομὼν τοῦ υἱοῦ
σου ὑπὲρ τὸ ὄνομά σου, καὶ μεγαλῦναι
τὸν θρόνον αὐτοῦ ὑπὲρ τὸν θρόνον σου.
καὶ προσεκύνησεν ὁ βασιλεὺς ἐπὶ τὴν
μη. κοίτην αὐτοῦ. Καί γε οὕτως εἶπεν ὁ
βασιλεὺς, εὐλογητὸς Κύριος ὁ Θεὸς
Ἰσραὴλ, ὃς ἔδωκε σήμερον ἐκ τοῦ σπέρ-
ματός μου καθήμενον ἐπὶ τοῦ θρόνου
μου, καὶ οἱ ὀφθαλμοί μου βλέπουσι.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε καὶ οἱ ἄρχοντες τὸν βασιλέα τὸν νέον ἐπὶ τοῦ πατρὸς εὐλογοῦντες, εὐκλεέστερον γενέσθαι τοῦ πατρὸς καὶ περιφανέστερον ηὔξαντο; ἀγα-
» θῦναι γὰρ ἔφασαν Κύριος τὸ ὄνομα τοῦ υἱοῦ
» Σολομῶντος ὑπὲρ τὸ ὄνομά σου, καὶ μεγα-
» λῦναι τὸν θρόνον αὐτοῦ ὑπὲρ τὸν θρόνον
σου. Ἤδεσαν ὡς οὐδεὶς πατρικὴν ἔχων φιλοστοργίαν, ἐζηλοτύπησε παῖδα· (1) οἱ γὰρ τοιοῦτοι καὶ λαμπροτέρους εὔχονται τοὺς παῖδας ἰδεῖν. τοιγαροῦν καὶ Δαβὶδ οὕτως ἐφήσθη τοῖς ὑπὸ τῶν ἀρχόντων εἰρημένοις, ὅτι καὶ τοῦ γήρως αὐτὸν ἀναστῆναι κωλύοντος, κατακεκλιμένος προσεκύνησε τὸν Θεὸν, τὸν ταῖς ὑποσχέσεσι δεδωκότα τὸ πέρας. εὐλο-
» γητὸς γάρ φησι Κύριος ὁ Θεὸς Ἰσραὴλ, ὃς
» ἔδωκε σήμερον ἐκ τοῦ σπερματός μου καθή-
A » μενον ἐπὶ τοῦ θρόνου μου, καὶ οἱ ὀφθαλμοί
» μου βλέπουσι.

μθ. Καὶ ἐξέστησαν, καὶ ἐξανέστη-
σαν πάντες οἱ κλητοὶ τοῦ Ἀδωνίου,
καὶ ἀπῆλθεν ἀνὴρ εἰς τὴν ὁδὸν αὐτοῦ.
ν. Καὶ Ἀδωνίας ἐφοβήθη ἀπὸ προσώ-
που Σαλομὼν, καὶ ἀνέστη καὶ ἀπῆλθε
καὶ ἐπελάβετο τῶν κεράτων τοῦ θυ-
να. σιαστηρίου. Καὶ ἀνηγγέλη τῷ Σαλο-
B μὼν, λέγοντες, ἰδοὺ Ἀδωνίας ἐφοβή-
θη τὸν Σαλομὼν, καὶ κατέχει τῶν
κεράτων τοῦ θυσιαστηρίου, λέγων, ὀμο-
σάτω μοι σήμερον ὁ βασιλεὺς Σαλο-
μὼν, εἰ οὐ θανατώσει τὸν δοῦλον αὐτοῦ
νβ. ἐν ῥομφαίᾳ. Καὶ εἶπε Σαλομὼν, ἐὰν
γένηται εἰς υἱὸν δυνάμεως, εἰ πεσεῖται
τῶν τριχῶν αὐτοῦ ἐπὶ τὴν γῆν· καὶ
Γ ἐὰν κακία εὑρεθῇ ἐν αὐτῷ, (2) θα-
νγ. νάτῳ θανατωθήσεται. Καὶ ἀπέστει-
λεν ὁ βασιλεὺς Σαλομὼν, καὶ κα-
τήνεγκαν αὐτὸν ἀπάνωθεν τοῦ θυ-
σιαστηρίου. καὶ εἰσῆλθε, καὶ προσε-
κύνησε τῷ βασιλεῖ Σαλομών. καὶ
εἶπεν αὐτῷ Σαλομὼν, δεῦρο εἰς τὸν
οἶκόν σου.

ΚΕΦ. Β.

α. Καὶ ἤγγισαν αἱ ἡμέραι Δα-
βὶδ ἀποθανεῖν αὐτὸν, καὶ
ἐνετείλατο τῷ Σαλομὼν
υἱῷ αὐτοῦ, λέγων,

β. Ἐγώ εἰμι πορεύομαι ἐν ὁδῷ πά-
σης τῆς γῆς. καὶ ἰσχύσεις, καὶ ἔσῃ εἰς
γ. ἄνδρα, Καὶ φυλάξεις τὴν φυλακὴν
Κυρίου τοῦ Θεοῦ σου τοῦ πορεύεσθαι ἐν
ταῖς ὁδοῖς αὐτοῦ, φυλάσσειν τὰς ἐν-
τολὰς αὐτοῦ καὶ τὰ δικαιώματα καὶ
τὰ κρίματα τὰ γεγραμμένα ἐν τῷ
νόμῳ Μωϋσέως· ἵνα συνιῇς ἃ ποιήσεις
κατὰ πάντα ὅσα ἂν ἐντέλωμαί σοι·

» * ΠΡΟΚΟΠΙΟΥ. Καὶ κραταιωθήσῃ,
» καὶ ἔσῃ εἰς ἄνδρα. Ὡς ὄντος ἐπὶ Σολομῶντι τοῦ γενέσθαι εἰς ἄνδρα, ταῦτά φησι. πρῶτον δὲ ἐνισχύει ὁ ἐσόμενος εἰς ἄνδρα.

* ΤΟΥ ΑΥΤΟΥ. Τουτέστι μηδὲ τὸ τυχὸν τῶν γεγραμμένων παραβῆναι τολμή-
» σῃς· ὅπως συνιῇς. ἐὰν γὰρ μὴ τὰ προγεγραμμένα σχῶμεν, οὐ συνίεμεν ἃ ποιήσομεν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τῷ μὲν ἐν Θεῷ τοῦτον τὸν ὕμνον προσήνεγκε, τῷ δὲ διαδόχῳ τῆς βασιλείας παιδὶ φυλάττειν ἀκήρατον τὴν εὐσέβειαν παρεγγύησε. πρῶτον δὲ τὸ
» κοινὸν ἐπέδειξε τέλος. ἐγὼ γὰρ ἔφη πο-
» ρεύσομαι ἐν ὁδῷ πάσης τῆς γῆς, καὶ κρα-
» ταιωθήσῃ, καὶ ἔσῃ εἰς ἄνδρα δυνάμεως, καὶ
» φυλάξεις τὴν φυλακὴν τοῦ Θεοῦ Ἰσραὴλ,
» τοῦ πορεύεσθαι ἐνώπιον αὐτοῦ φυλάσσειν τὴν
E » ὁδὸν αὐτοῦ· καὶ τὰ προστάγματα αὐτοῦ, ἀκρι-
» βάσματα αὐτοῦ, καὶ τὰ κρίματα αὐτοῦ, ἐν-
» τολὰς αὐτοῦ, καὶ τὰ μαρτύρια αὐτοῦ, κα-
» θὼς γέγραπται ἐν τῷ νόμῳ Μωσέως. μηδὲ τὸ τυχὸν τῶν γεγραμμένων παραβῆναι τολμήσῃς. τοῦτο γὰρ δηλοῖ τὰ ἀκριβάσματα, καὶ τὰ κρίματα, καὶ τὰ μαρτύρια, καὶ ἐντολὰς καὶ προστάγματα. ἐδίδαξε δὲ καὶ τὸ ἐντεῦθεν φυόμενον κέρδος· ὅπως
» εὐοδωθῇ πάντα ἃ ποιήσεις, καὶ πανταχῇ
Z » οὗ ἐὰν ἐπιβλέψῃς ἐκεῖ.

δ. Ἵνα στήσῃ τὸν λόγον αὐτοῦ Κύ-
ριος ὃν ἐλάλησε περὶ ἐμοῦ, λέγων,
ἐὰν φυλάξωσιν οἱ υἱοί σου τὴν ὁδὸν αὐ-
τῶν πορεύεσθαι ἐνώπιόν μου ἐν ἀλη-
θείᾳ, ἐν ὅλῃ καρδίᾳ αὐτῶν, καὶ ἐν
ὅλῃ ψυχῇ αὐτῶν, λέγων, οὐκ ἐξολο-
θρευθήσεταί σοι ἀνὴρ ἀπάνωθεν τοῦ
H θρόνου Ἰσραήλ.

ΘΕΟΔΩ-

(1) Παῖδας· καὶ ὡς ἴδιον πατέρων τὸ βούλεσθαι τοὺς παῖδας καὶ ἑαυτῶν λαμπροτέρους ὁρᾶν. Ἄρειος γὰρ, καὶ οἱ τότε παῖδες ταύτην μόνοι νοσοῦσι τὴν ἄνοιαν. ὁ δέ γε Δαβὶδ οὕτω τοῖς παρὰ τῶν ἀρχόντων εἰρημένοις ἐφήσθη, ὅτι, κτ. ἡ ἐν Χάλ. ἔκδ.

(2) Ἐν αὐτῷ, θανατωθήσεται. αἱ εἰρημ. ἐκδόσ.

A ✻ ΘΕΟΔΩΡΙΤΟΥ. Τούτων γάρ φησι
παρὰ σοῦ γενομένων, (1) ἐμπεδώσει ὁ ἀγα-
θὸς ἡμῶν Κύριος τὴν παρ' αὐτοῦ πρὸς ἐμὲ
» γεγενημένην ὑπόσχεσιν· ὅτι οὐ μὴ ἐξαρθή-
» σεταί σοι ἀνὴρ ἀπὸ τοῦ θρόνου Ἰσραήλ.

ε. Καίγε (2) ὅτι σὺ ἔγνως ὅσα
ἐποίησέ μοι Ἰωὰβ υἱὸς Σαρουΐα, ὅσα
ἐποίησε τοῖς δυσὶν ἄρχουσι τῶν δυνά-
μεων Ἰσραὴλ, τῷ Ἀβεννὴρ υἱῷ Νὴρ, καὶ
τῷ Ἀμεσσαῒ υἱῷ Ἰέθερ, καὶ ἀπέκτεινεν
αὐτοὺς, καὶ ἔταξε τὰ αἵματα πολέ-
μου ἐν εἰρήνῃ, καὶ ἔδωκεν αἷμα ἀθῷον
ἐν τῇ ζωῇ (3) αὐτοῦ τῇ ἐν τῇ ὀσφύϊ αὐ-
τοῦ, καὶ ἐν τῷ ὑποδήματι αὐτοῦ τῷ
5. ἐν τῷ ποδὶ αὐτοῦ. Καὶ ποιήσεις κατὰ
τὴν σοφίαν σου, καὶ οὐ κατάξεις τὴν
πολιὰν αὐτοῦ ἐν εἰρήνῃ εἰς ᾅδου.

✻✻ ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν αὐ-
Γ τὸς μὴ κολάσας τὸν Ἰωὰβ, τῷ παιδὶ τοῦτο
δρᾶσαι προσέταξε; Πρῶτον μὲν ᾐδέσθη αὐ-
τὸν, ἅτε τῶν πόνων καὶ κινδύνων γενόμε-
νον κοινωνόν· ἔπειτα δὲ αὐτοῦ καὶ τὸ θρασὺ
ὑφωρᾶτο. τοῦτο γὰρ ἐδήλωσε δι' ὧν εἰρήκει,
2. Βασ. 3. 39. ὅτι υἱοὶ Σαρουΐα σκληρότεροί μου εἰσί. πρὸς
δὲ τούτοις, μαθὼν συγκατασκευάζοντα αὐ-
τὸν τῷ Ὀρνίᾳ τὴν τυραννίδα, ἔδεισε μὴ
τῇ συνήθει κακοηθείᾳ χρησάμενος, κατα-
φρονήσῃ τῆς τοῦ Σολομῶντος νεότητος, καὶ
Δ δυοῖν θάτερον δράσῃ· ἢ εὐνοίας προσωπείῳ
χρησάμενος ἀνέλῃ λαθὼν, ὥσπερ δὴ τὸν
Ἀβεννὴρ καὶ τὸν Ἀβεσσᾶ κατέκτεινεν· ἢ
προφανῶς ἀντιπαρατάξηται, καὶ διέλῃ
τὸν Ἰσραήλ.

✻✻ ΩΡΙΓΕΝΟΥΣ. Οἱονεὶ Θεοῦ μιμητὴς
γενόμενος κατὰ τὸ ἐπιβάλλον τοῖς καιροῖς
ὁ Δαβὶδ, ἐντέλλεται περὶ τοῦ Ἰωὰβ τῷ Σο-
λομῶντι κολάσαι αὐτὸν διὰ τὰ ἡμαρτημέ-
να εἰς Ἀβεννὴρ, υἱὸν Νὴρ, καὶ ἀποκτεῖναι
E διὰ τὰ ἐπταισμένα. εἶτα ἐπιφέρει· καὶ οὐ
» κατάξεις (4) αὐτοῦ τὴν πολιὰν ἐν εἰρήνῃ εἰς
ᾅδου. δῆλον δὲ ὅτι, ὡς καὶ ὁ Ἑβραῖος ἡμῖν
ἀπήγγειλε, τὸ διὰ τοῦ κολασθῆναι αὐτὸν ἐν
εἰρήνῃ κοιμηθήσεσθαι, οὐκ ἔτι ὀφειλομένης
αὐτῷ κολάσεως καὶ βασάνου, διὰ τὸ ἐντεῦ-
θεν ἤδη ἀπειληφέναι αὐτὸν, μετὰ τὴν ἐν-
τεῦθεν ἀπαλλαγήν.

ζ. Καὶ τοῖς υἱοῖς Βερζελλὶ τοῦ Γα-
Z λααδίτου ποιήσεις ἔλεος, καὶ ἔσονται
ἐν τοῖς ἐσθίουσι τὴν τράπεζάν σου· ὅτι
οὕτως ἤγγισάν μοι ἐν τῷ ἀποδιδράσ-
κειν ἀπὸ προσώπου Ἀβεσσαλὼμ τοῦ
ἀδελφοῦ σου.

✻✻ ΘΕΟΔΩΡΙΤΟΥ. Ἐδίδαξε δὲ αὐτὸν
καὶ τοῦ Βερσελλῆ τὴν εὔνοιαν, καὶ τοὺς ἐκεί-
νου παῖδας πάσης ἀξιωθῆναι κηδεμονίας
ἐκέλευσεν, ὀφείλειν αὐτῷ τοῦτο χρέος ὁμο-
λογῶν.

A η. Καὶ ἰδοὺ μετὰ σοῦ Σεμεῒ υἱὸς Γη-
ρὰ υἱὸς (5) Ἰεμενὶ ἐκ Βαουρὶμ, καὶ αὐτὸς
κατηράσατό με κατάραν ὀδυνηρὰν τῇ
ἡμέρᾳ ᾗ ἐπορευόμην εἰς παρεμβολάς·
καὶ αὐτὸς κατέβη εἰς ἀπαντήν μου εἰς
τὸν Ἰορδάνην, καὶ ὤμοσα αὐτῷ ἐν Κυ-
ρίῳ, λέγων, εἰ θανατώσω σε ἐν ῥομ-
θ. φαίᾳ. Καὶ οὐ μὴ ἀθῳώσῃς αὐτὸν, ὅτι
B ἀνὴρ σοφὸς εἶ σὺ, καὶ γνώσῃ ἃ ποιή-
σεις αὐτῷ, καὶ κατάξεις τὴν πολιὰν
αὐτοῦ ἐν αἵματι εἰς ᾅδου.

✻✻ ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ τῷ Σεμεῒ
δεδωκὼς τὴν συγγνώμην, τῷ Σολομῶντι κο-
λάσαι τοῦτον προσέταξε; Τυραννικὸν ᾔδει
τὸν ἄνδρα, καὶ ἄγαν θρασύν· καὶ τῆς τοῦ
παιδὸς προμηθούμενος σωτηρίας, ἐδίδαξεν
αὐτὸν ἃ τετόλμηκεν, ἵνα τὴν τοῦ ἀνδρὸς
φυλάττηται πονηρίαν. ᾔδει δὲ καὶ ὡς Προ-
Γ φήτης, ὅτι τοῦ Σολομῶντος παραβαίνων
τὰς ἐντολὰς διαφθαρήσεται. μιαρὸς γὰρ
ἦν ὁ ἀνὴρ, καὶ στάσεων ἀρχηγός.

ι. Καὶ ἐκοιμήθη Δαβὶδ μετὰ τῶν
πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν πόλει
Δαβίδ.

» ✻✻ ΠΡΟΚΟΠΙΟΥ. Τὸ, ἐκοιμήθη, πρῶ-
τον ἐπὶ Δαβὶδ εἴρηται, δηλοῦν τελευτήν.
ἐπιστήσεις δὲ, εἰ διὰ Χριστὸν ταῦτα γέγρα-
Δ » πται, ὃς ἀναπεσὼν ἐκοιμήθη ὡς λέων, καὶ Γεν. 49. 9.
» ὡς σκύμνος. διόπερ εἴρηται, ἐγὼ ἐκοιμή- Ψαλ. 3. 5.
» θην καὶ ὕπνωσα, καὶ τὰ ἑξῆς.

✻ ΘΕΟΔΩΡΙΤΟΥ. Τίς ἐστιν ἡ πόλις Δα-
βίδ; Τὴν Σιὼν ἡ θεία Γραφὴ πόλιν προ-
σαγορεύει Δαβίδ. οὕτω δὲ καὶ ἡ ἄνω πόλις
ἐκέκλητο. πᾶσα δὲ νῦν Ἱερουσαλὴμ ὀνομά-
ζεται. ἐν ταύτῃ φησὶν ὁ Ἰώσηπος (6) καὶ
αὐτὸν ἀξιωθῆναι ταφῆς, καὶ τοὺς μετ' αὐ-
τὸν βασιλεῖς. τὸ δὲ μνῆμα παρὰ τὴν Σι-
E λοὰμ εἶναι, ἀντροειδὲς ἔχον τὸ σχῆμα, καὶ
τὴν βασιλικὴν δηλοῦν πολυτέλειαν. ἔφη δὲ
καὶ πολὺν αὐτῷ συγκατορυγῆναι χρυσὸν
παρὰ τοῦ παιδὸς Σολομῶντος. καὶ τοῦτο
γενέσθαι δῆλον ἐκ τῶν ὕστερον γενομένων.
Ὑρκανὸν γὰρ τὸν ἀρχιερέα, πολιορκουμέ-
νης τῆς πόλεως ὑπὸ Ἀντιόχου τοῦ Δημη-
τρίου παιδὸς, ἀνοῖξαι τὸ μνῆμα, καὶ τά-
λαντα ἐκεῖθεν ἐκφορῆσαι τρισχίλια.

ια. Καὶ αἱ ἡμέραι ἃς ἐβασίλευσε
Z Δαβὶδ ἐπὶ τὸν Ἰσραὴλ, τεσσαρά-
κοντα ἔτη· ἐν Χεβρὼν ἐβασίλευσεν
ἑπτὰ ἔτη, καὶ ἐν Ἱερουσαλὴμ ἐβασί-
λευσε τριάκοντα τρία ἔτη.

✻ ΘΕΟΔΩΡΙΤΟΥ. Δαβὶδ μέντοι ὁ βα-
σιλεὺς ἑβδομηκοντούτης γενόμενος, ἐδέξατο
τοῦ βίου τὸ πέρας. τριακοντούτης μὲν γὰρ
ἐβασίλευσε, τεσσαράκοντα δὲ βασιλεύων
ἐξήνυσεν ἔτη.

ιβ. Καὶ

(1) Γινομένων. ἡ ἐν Χαλ. ἐκδ. (2) Καίγε σύ. αἱ αὐτ. (3) Ζώνῃ. αἱ αὐτ.
(4) Οὕτως ἐν τῇ Φιλοκαλ. ἀκαταλλήλως μὲν τῇ τοῦ Ὠριγένους ἐννοίᾳ· τὸ γὰρ, κατάξεις, κατάλληλον· συμφώνως δὲ ταῖς τῆς Γραφ. ἐκδόσ. (5) Τοῦ Ἰεμινί. αἱ αὐτ.
(6) Ἐν βιβλ. 7. κεφ. 15. περὶ Ἰουδ. Ἀρχ.

ιβ. Καὶ Σαλομὼν ἐκάθισεν ἐπὶ
τοῦ θρόνου Δαβὶδ τοῦ πατρὸς αὐτοῦ υἱὸς
ἐτῶν δώδεκα, καὶ ἡτοιμάσθη ἡ βασι-
ιγ. λεία αὐτοῦ σφόδρα. Καὶ εἰσῆλθεν
Ἀδωνίας υἱὸς Ἀγγὶθ πρὸς Βηρσαβεὲ
μητέρα Σαλομὼν, καὶ προσεκύνησεν
αὐτῇ. ἡ δὲ εἶπεν, εἰρήνη ἡ εἴσοδός σου;
ιδ. καὶ εἶπεν, εἰρήνη. Καὶ εἶπε, λόγος
μοι πρὸς σέ. καὶ εἶπεν αὐτῷ, λάλη-
ιε. σον. Καὶ εἶπεν αὐτῇ, σὺ οἶδας, ὅτι
ἐμὴ ἦν ἡ βασιλεία, καὶ ἐπ' ἐμὲ ἔθετο
πᾶς Ἰσραὴλ τὸ πρόσωπον αὐτοῦ εἰς
βασιλέα, καὶ ἐστράφη ἡ βασιλεία,
καὶ ἐγένετο τῷ ἀδελφῷ μου, ὅτι πα-
ις. ρὰ Κυρίου ἐγενήθη αὐτῷ. Καὶ νῦν
αἴτησιν μίαν ἐγὼ αἰτοῦμαι παρὰ σοῦ,
μὴ ἀποστρέψῃς τὸ πρόσωπόν σου. καὶ
ιζ. εἶπεν αὐτῷ Βηρσαβεὲ, λάλει. Καὶ
εἶπεν αὐτῇ, εἶπον δὴ πρὸς Σαλομὼν
τὸν βασιλέα, ὅτι οὐκ ἀποστρέψει τὸ
πρόσωπον αὐτοῦ ἀπὸ σοῦ, καὶ δώσει
μοι τὴν Ἀβισαὰκ τὴν Σουμανίτιν εἰς
ιη. γυναῖκα. Καὶ εἶπε Βηρσαβεὲ, κα-
λῶς· ἐγὼ λαλήσω περὶ σοῦ τῷ βα-
ιθ. σιλεῖ. Καὶ εἰσῆλθε Βηρσαβεὲ πρὸς
τὸν βασιλέα Σαλομὼν λαλῆσαι αὐ-
τῷ περὶ Ἀδωνίου. καὶ ἐξανέστη (1) εἰς
ἀπάντησιν αὐτῇ, καὶ κατεφίλησεν αὐ-
τὴν, καὶ ἐκάθισεν ἐπὶ τοῦ θρόνου αὐ-
τοῦ. καὶ ἐτέθη θρόνος τῇ μητρὶ τοῦ βα-
σιλέως, καὶ ἐκάθισεν ἐκ δεξιῶν αὐτοῦ.
κ. Καὶ εἶπεν αὐτῷ, αἴτησιν μίαν μικρὰν
αἰτοῦμαι ἐγὼ παρὰ σοῦ, μὴ ἀποστρέ-
ψῃς τὸ πρόσωπόν σου. καὶ εἶπεν ὁ βα-
σιλεὺς πρὸς αὐτὴν, (2) αἴτησαι μῆ-
κα. τερ ἐμὴ, ὅτι οὐκ ἀποστρέψω σε. Καὶ
εἶπε, δοθήτω δὴ Ἀβισαὰκ ἡ Σουμα-
νίτις τῷ Ἀδωνίᾳ τῷ ἀδελφῷ σου εἰς
κβ. γυναῖκα. Καὶ ἀπεκρίθη ὁ βασιλεὺς
Σαλομὼν, καὶ εἶπε τῇ μητρὶ αὐτοῦ,
καὶ ἵνα τί (3) ᾔτησαι τὴν Ἀβισαὰκ
τὴν Σουμανίτιν τῷ Ἀδωνίᾳ; καὶ αἴτη-
σαι αὐτῷ τὴν βασιλείαν, ὅτι οὗτος
ἀδελφός μου, ὁ μέγας ὑπὲρ ἐμὲ, καὶ
αὐτῷ Ἀβιάθαρ ὁ ἱερεὺς, καὶ αὐτῷ
Ἰωὰβ υἱὸς Σαρουΐα ὁ ἀρχιστράτηγος
κγ. ἑταῖρος. Καὶ ὤμοσεν ὁ βασιλεὺς Σα-
λομὼν κατὰ τοῦ Κυρίου, λέγων, τά-
δε ποιήσαι μοι ὁ Θεὸς καὶ τάδε προ-
σθείη, ὅτι κατὰ τῆς ψυχῆς ἑαυτοῦ (4)
ἐλάλησεν Ἀδωνίας τὸν λόγον τοῦτον.
κδ. Καὶ νῦν ζῇ Κύριος ὃς ἡτοίμασέ με καὶ
ἔθετό με ἐπὶ τὸν θρόνον Δαβὶδ τοῦ
A πατρός μου, καὶ αὐτὸς ἐποίησέ μοι οἶ-
κον καθὼς ἐλάλησε Κύριος, ὅτι σή-
μερον θανατωθήσεται Ἀδωνίας.

κε. Καὶ ἐξαπέστειλεν ὁ βασιλεὺς
Σαλομὼν ἐν χειρὶ Βαναίου υἱοῦ Ἰωδαὲ,
καὶ ἀνεῖλεν αὐτὸν, καὶ ἀπέθανεν Ἀ-
δωνίας ἐν τῇ ἡμέρᾳ ἐκείνῃ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Νεμεσῶσί τινες τῷ Σολομῶντι, [ὡς] ἀποκτείναντι τὸν ἀδελ-
B φόν. Διάφοροι τῶν ἀνθρώπων οἱ βίοι. οἱ μὲν γὰρ τὴν ἄκραν φιλοσοφίαν ἀσκοῦσιν· οἱ δὲ τὴν καλουμένην πολιτικὴν ἀρετήν. ἄλλοι βασιλείαν, ἢ στρατηγίαν ἰθύνουσι. χρὴ τοίνυν ἐξετάζειν ἕκαστον πρὸς ἣν πολιτείαν ἣν μέτεισι. τοιγάρτοι τὸν Σολομῶντα οὐ προφητικὴν ἀπαιτητέον, οὐδ' ἀποστολικὴν τελειότητα, ἀλλὰ τὴν τοῖς βασιλεῦσιν ἁρμόττουσαν. ᾔδει δὲ αὐτὸν τὸν Ὀρνίαν
Γ ἐφιέμενον τυραννίδος. καὶ γὰρ ἐπειράθη τὴν βασιλείαν ἁρπάσαι. τῷ μὲν οὖν προτέρῳ συνέγνω τολμήματι, καὶ σωτηρίας ἀξιώσειν ὑπέσχετο σωφρονεῖν ἀνεχόμενον. ἐπειδὴ δὲ ᾔτησε καὶ τὴν σύνευνον τοῦ πατρὸς, οὐκ ἐπέδωκε μὲν τὴν αἴτησιν, τυραννίδος οὖσαν ὁδόν· τῇ δὲ βασιλείᾳ τὸ ἀστασίαστον μηχανώμενος, ἀναιρεθῆναι τὸν Ὀρνίαν προσέταξε.

κς. Καὶ τῷ Ἀβιάθαρ τῷ ἱερεῖ εἶ-
Δ πεν ὁ βασιλεὺς, εἰς Ἀναθὼθ ἀπό-
τρεχε σὺ εἰς ἀγρόν σου, ὅτι ἀνὴρ θα-
νάτου εἶ σὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ, καὶ
οὐ θανατώσω σε, ὅτι ἦρας τὴν κιβω-
τὸν διαθήκης Κυρίου ἐνώπιον τοῦ πα-
τρός μου, καὶ ὅτι ἐκακουχήθης ἐν πᾶ-
κζ. σιν οἷς ἐκακουχήθη ὁ πατήρ μου. Καὶ
ἐξέβαλε τὸν Ἀβιάθαρ τοῦ μὴ εἶναι
E ἱερέα τοῦ Κυρίου, πληρωθῆναι τὸ ῥῆ-
μα Κυρίου, ὃ ἐλάλησεν ἐπὶ τὸν οἶκον
Ἠλὶ ἐν Σηλῶ. (5)

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν τὸν Ἀβιάθαρ τῆς ἀρχιερωσύνης ἐγύμνωσεν; Ἐκοινώνησε μὲν τῷ Ὀρνίᾳ τῆς τυραννίδος. τοῦτο γὰρ δηλοῖ καὶ τοῦ Σολομῶντος τὰ ῥήματα. » ἀπότρεχε γάρ φησιν εἰς τὸν ἀγρόν σου, καὶ εἰς τὸν οἶκόν σου, ὅτι ἀνὴρ θανάτου εἶ σὺ ἐν τῇ ἡμέρᾳ ταύτῃ· καὶ οὐ θανατώσω-
Z » σε, ὅτι ἦρας τὴν κιβωτὸν διαθήκης Κυρίου ἐνώπιον Δαβὶδ τοῦ πατρός μου· καὶ ὅτι ἐκακουχήθης ἐν πᾶσιν οἷς ἐκακουχήθη ὁ πατήρ μου. ὑπέκειτο μὲν οὖν, ὡς ἔφην, καὶ τῇ κατηγορίᾳ τῆς τυραννίδος· πλὴν ὁ Σολομὼν καὶ τῆς θείας προῤῥήσεως γέγονεν ὑπουργός. τῷ γὰρ Ἠλεὶ καὶ διὰ τοῦ πανευφήμου Σαμουὴλ, καὶ μέντοι καὶ δι' ἄλλου Προφήτου προηγόρευσεν ὁ Θεὸς τοῦ γένους τὴν ἀτιμίαν. τοῦτο δὲ καὶ ἡ ἱστορία δεδήλωκε.
H » λέγει γὰρ οὕτω· καὶ ἐξέβαλε Σολομὼν τὸν » Ἀβιάθαρ, τοῦ μὴ εἶναι [εἰς] ἱερέα Κυρίου, τοῦ

(1) Ὁ βασιλεὺς εἰς. αἱ εἰρημ. ἐκδόσ.
(2) Αὐτῇ. αἱ αὐτ.
(3) Τί σύ. αἱ αὐτ.
(4) Αὐτοῦ. αἱ αὐτ.
(5) Σηλώμ. αἱ αὐτ.

» τοῦ πληρωθῆναι τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλη-
» σεν ἐν Σηλὼμ ἐπὶ τὸν οἶκον Ἠλεί.

κη. Καὶ ἡ ἀκοὴ ἦλθεν ἕως Ἰωὰβ,
ὅτι Ἰωὰβ ἦν κεκλικὼς ὀπίσω Ἀδω-
νίου, καὶ ὀπίσω Σαλομὼν οὐκ ἔκλινε.
καὶ ἔφυγεν Ἰωὰβ εἰς τὸ σκήνωμα τοῦ
Κυρίου, καὶ κατέχε τῶν κεράτων τοῦ
κθ. θυσιαστηρίου. Καὶ ἀπηγγέλη τῷ Σα-
λομὼν, λέγοντες, ὅτι ἔφυγεν Ἰωὰβ
εἰς τὴν σκηνὴν τοῦ Κυρίου, καὶ ἰδοὺ κα-
τέχει τῶν κεράτων τοῦ θυσιαστηρίου. καὶ
ἀπέστειλε Σαλομὼν ὁ βασιλεὺς πρὸς
Ἰωὰβ, λέγων, τί γέγονέ σοι, ὅτι πέ-
φευγας εἰς τὸ θυσιαστήριον; καὶ εἶπεν
Ἰωὰβ, ὅτι ἐφοβήθην ἀπὸ προσώπου-
σου, καὶ ἔφυγον πρὸς Κύριον. καὶ ἀπέ-
στειλε Σαλομὼν ὁ βασιλεὺς τὸν Βα-
ναίαν υἱὸν Ἰωδαὲ, λέγων, πορεύου καὶ
λ. ἄνελε αὐτὸν, καὶ θάψον αὐτόν. Καὶ
ἦλθε Βαναίας υἱὸς Ἰωδαὲ πρὸς Ἰωὰβ
εἰς τὴν σκηνὴν τοῦ Κυρίου, καὶ εἶπεν
αὐτῷ, τάδε λέγει ὁ βασιλεὺς, ἔξελ-
θε. καὶ εἶπεν Ἰωὰβ, οὐκ ἐκπορεύσο-
μαι, (1) ὅτι ὧδε ἀποθανοῦμαι. καὶ ἀπέ-
στρεψε Βαναίας υἱὸς Ἰωδαὲ, καὶ εἶπε
τῷ βασιλεῖ, λέγων, τάδε λελάλη-
κεν Ἰωὰβ, καὶ τάδε ἀποκέκριταί μοι.

λα. Καὶ εἶπεν αὐτῷ ὁ βασιλεὺς,
πορεύου, καὶ καθὼς εἴρηκε ποίησον
αὐτῷ, καὶ ἄνελε αὐτὸν, καὶ θάψεις
αὐτὸν, καὶ ἐξαρεῖς σήμερον τὸ αἷμα
ὃ δωρεὰν ἐξέχεεν Ἰωὰβ ἀπ' ἐμοῦ καὶ
ἀπὸ τοῦ οἴκου τοῦ πατρός μου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὸν Ἰωὰβ
τῷ Θεῷ προσφεύγοντα (2) κατέκτεινεν;
Ὁ τοῦ Θεοῦ νόμος τοῦτο [γενέσθαι] διηγό-
ρευσε. τὸν προσφεύγοντα [γὰρ] ἀνδροφό-
νον ἀναιρεῖσθαι προσέταξε.

λβ. Καὶ ἀπέστρεψε (3) Κύριος τὸ
αἷμα τῆς ἀδικίας αὐτοῦ εἰς κεφαλὴν
αὐτοῦ, ὡς ἀπήντησε τοῖς δυσὶν ἀνθρώ-
ποις τοῖς δικαίοις καὶ ἀγαθοῖς ὑπὲρ
αὐτὸν, καὶ ἀπέκτεινεν αὐτοὺς ἐν ῥομ-
φαίᾳ, καὶ ὁ πατήρ μου Δαβὶδ οὐκ ἔγνω
τὸ αἷμα αὐτῶν, τὸν Ἀβεννὴρ υἱὸν Νὴρ
ἀρχιστράτηγον Ἰσραὴλ, καὶ τὸν Ἀ-
μεσσὰ υἱὸν Ἰέθερ ἀρχιστράτηγον Ἰούδα.
λγ. Καὶ ἐπεστράφησαν (4) τὰ αἵματα αὐ-

A τῶν εἰς κεφαλὴν τοῦ σπέρματος αὐτοῦ
εἰς τὸν αἰῶνα· καὶ τῷ Δαβὶδ καὶ τῷ
σπέρματι αὐτοῦ καὶ τῷ οἴκῳ αὐτοῦ καὶ
τῷ θρόνῳ αὐτοῦ γένοιτο εἰρήνη ἕως
αἰῶνος παρὰ Κυρίου.

λδ. Καὶ ἀνέβη Βαναίας υἱὸς Ἰω-
δαὲ, καὶ ἀπήντησε τῷ Ἰωὰβ, καὶ
ἐθανάτωσεν αὐτὸν, καὶ ἔθαψεν αὐ-
B τὸν ἐν τῷ οἴκῳ αὐτοῦ ἐν τῇ ἐρήμῳ.

** ΙΣΙΔΩΡΟΥ. Ὅτι παράνομος οὐ δια-
φεύξεται τὴν δίκην, ἀλλ' ἢ ἐνταῦθα, ἢ
ἐκεῖθεν τηρηθήσεται· πολλοὶ δὲ κἀνταῦθα
κἀκεῖσε ἐτιμωρήθησαν, οὐχ ὁ ἡμέτερος λο-
γισμὸς ὑποβάλλει, ἀλλὰ καὶ τὰ θεῖα λό-
για. τοὺς μὲν οὖν πολλοὺς παραλείψω· ἑνὸς
δὲ ἐπιμνησθήσομαι, δόξαντος σοφίᾳ τινὶ
καὶ πανουργίᾳ κατεσκευακέναι τὸ διαφεύ-
γειν τὴν δίκην, καὶ μὴ δυνηθέντος. ὁ Ἰωὰβ,
Γ ὁ τοῦ Δαβὶδ στρατηγὸς, γνώμῃ μὲν στρατη-
γικῇ καὶ ῥώμῃ καὶ δόρατι διαπρέπων, φθό-
νῳ τε καὶ δόλῳ τοὺς συστρατηγήσαντας ἀνε-
λὼν, οὐκ ἔλαθεν εἰς τέλος τὴν δίκην. νομί-
σας γὰρ τέχνῃ τινὶ καὶ μεθόδῳ διακρούεσθαι
ταύτην, τὸν Ἀδωνίαν βασιλειῶντα φίλον
οὐκ ἀπεστρέψατο· ἀλλὰ συνέπραξεν εἰς τὴν
χειροτονίαν, προσδοκῶν μὴ μόνον ἀποφεύ-
ξεσθαι τὴν τιμωρίαν ὧν ἔπραξε φόνων, εἰ
προεξευμενίσαιτο τὸν βασιλεύοντα, ἀλλὰ
Δ καὶ χάριν ἀπολήψεσθαι· ὃς δὴ διὰ τοῦτο
μᾶλλον τετιμώρηται. ὅπερ γὰρ φοβούμε-
νος γενέσθαι συνέπραξε τῷ τυράννῳ, τοῦ-
το ἡ κατασκευὴ αὐτῷ προὐξένησε. καὶ δι' ὧν
ᾤετο φεύγειν τὰς ἀρὰς τοῦ Δαβὶδ, διὰ τού-
των αὐτὰς εἰς ἔργον ἤγαγε· καὶ τὸ σόφισ-
μα παγὶς ἐγίνετο. καὶ ὅπερ ἔφυγε μὴ πα-
θεῖν, φεύγων ἔπαθε· καὶ τὸ ἀποτρεπτι-
κὸν τῶν λυπηρῶν, κατασκευαστικὸν ηὑρί-
σκετο τῶν συμφορῶν. εἰ τοίνυν οὐκ ἔστι δια-
E δρᾶναι τὴν δίκην, πῶς ὦ (5) πᾶσαν ὠμότη-
τα καὶ ἀγριότητα κατὰ ψυχὴν ὡπλισμένοι,
δόλοις καὶ μηχαναῖς καὶ στρατηγίαις, νομί-
ζετε τὰς, ἐφ' οἷς ἐπλημμελήσατε, διαδι-
δράσκειν τιμωρίας;

λε. Καὶ ἔδωκεν ὁ βασιλεὺς τὸν
Βαναίαν υἱὸν Ἰωδαὲ ἀντ' αὐτοῦ ἐπὶ τὴν
στρατηγίαν. καὶ ἡ βασιλεία κατωρ-
θοῦτο ἐν Ἱερουσαλήμ. καὶ τὸν Σαδὼκ
Z τὸν ἱερέα ἔδωκεν ὁ βασιλεὺς (6) ἀντὶ
Ἀβιάθαρ. καὶ ἔδωκε Κύριος τῷ Σα-
λομὼν φρόνησιν καὶ σοφίαν πολλὴν
σφόδρα, καὶ πλάτος καρδίας, ὡς ἡ
ἄμμος ἡ παρὰ τὴν θάλασσαν.



(1) Ἐκπορεύομαι. αἱ αὐτ. (2) Προσπεφευγότα. ἡ ἐν Χάλ. ἔκδ.
(3) Ἐπέστρεψε. αἱ αὐτ. (4) Ἐπεστράφη. αἱ αὐτ. (5) Οἱ, ὀρθότερ.
(6) Εἰς ἱερέα πρῶτον ἀντὶ Ἀβιάθαρ. καὶ Σαλωμὼν υἱὸς Δαβὶδ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ καὶ Ἰούδα ἐν Ἱερουσαλήμ. καὶ ἔδωκε, κτ. αἱ αὐτ.

ΚΕΦ. Γ.

α. Καὶ ἐπληθύνθη ἡ φρόνησις
Σαλωμὼν σφόδρα ὑπὲρ
τὴν φρόνησιν πάντων
τῶν (1) υἱῶν ἀρχαίων, καὶ ὑπὲρ πάν-
τας φρονίμους Αἰγύπτου. καὶ ἔλαβε
τὴν θυγατέρα Φαραὼ, καὶ εἰσήγα-
γεν αὐτὴν εἰς πόλιν Δαβὶδ ἕως συν-
τελέσαι αὐτὸν οἰκοδομῆσαι τὸν οἶκον
αὐτοῦ, καὶ τὸν οἶκον Κυρίου ἐν πρώτοις,
καὶ τὸ τεῖχος Ἱερουσαλὴμ κυκλόθεν. ἐν
ἑπτὰ ἔτεσιν ἐποίησε καὶ συνετέλεσε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, » ἐπλήθυνεν ἡ σοφία Σολομῶντος ὑπὲρ τὴν » φρόνησιν πάντων τῶν υἱῶν ἀρχαίων, καὶ » ὑπὲρ πάντας τοὺς φρονίμους Αἰγύπτου; Ἐκ παραλλήλου δεῖξαι αὐτοῦ τὴν σοφίαν ὁ ἱστοριογράφος ἠθέλησε. τούτου χάριν καὶ τῶν πάλαι γεγενημένων σοφῶν ἀορίστως ἐμνήσθη· καὶ τοὺς Αἰγυπτίους προσέθηκεν, ὡς δοκοῦντας παρὰ πᾶσιν εἶναι σοφούς. καὶ γὰρ ὡς Ἕλληνες ἱστοροῦσι, καὶ Φερεκύδης ὁ Σύρος, καὶ Πυθαγόρας ὁ Σάμιος, καὶ Ἀναξαγόρας ὁ Κλαζομένιος, καὶ Πλάτων ὁ Ἀθηναῖος, πρὸς τούτους ἐξεδήμησαν, καὶ θεολογίαν, καὶ φυσιολογίαν ἀκριβεστέραν μαθήσεσθαι παρὰ τούτων ἐλπίσαντες. καὶ ἡ θεία δὲ Γραφὴ τὰ κατὰ τὸν Μωϋσῆν ἱστοροῦσα [τὸν νομοθέτην,] ἐπαιδεύθη, φησὶν, ἐν πάσῃ σοφίᾳ Αἰγυπτίων. τούτους, φησὶν, ἅπαντας ὁ Σολομὼν ἀπέκρυψεν, ἅτε δὴ θεόθεν τῆς σοφίας τὸ δῶρον δεξάμενος. τῷ δὲ τῆς σοφίας ἐπαίνῳ συνῆψε κατηγορίαν. τὸν γὰρ περὶ τοῦ γάμου κείμενον νόμον παρέβη, ὃς ταῖς ἀλλοφύλοις κωλύει συνάπτεσθαι γυναιξίν. αὐτὸς γὰρ πρῶτος ἔλαβε γυναῖκα [τοῦ] Φαραὼ τὴν θυγατέρα.

** ΙΩΣΗΠΟΥ. Ἤδη τὴν βασιλείαν βεβαίως ἔχων ὁ Σολομὼν, καὶ τῶν ἐχθρῶν κεκολασμένων, ἄγεται τὴν Φαραῶθου τοῦ τῶν Αἰγυπτίων βασιλέως θυγατέρα. καὶ κατασκευάσας τὰ τείχη τῶν Ἱεροσολύμων πολλῷ μείζω καὶ ὀχυρώτερα τῶν πρόσθεν ὄντων, διεῖπε τὰ πράγματα λοιπὸν ἐπὶ πολλῆς εἰρήνης, μηδὲν ὑπὸ τῆς νεότητος πρός τε δικαιοσύνην καὶ φυλακὴν τῶν νόμων, καὶ μνήμην ὧν ὁ πατὴρ τελευτῶν ἐπέστειλε, βλαπτόμενος.

Καὶ ἦσαν τῷ Σαλωμὼν ἑβδομή-
κοντα χιλιάδες (2) λατόμων ἐν τῷ
ὄρει, καὶ ὀγδοήκοντα χιλιάδες αἴρον-
τες ἄρσιν. καὶ ἐποίησε Σαλωμὼν τὴν
θάλασσαν, καὶ τὰ ὑποστηρίγματα, καὶ
τοὺς λουτῆρας τοὺς μεγάλους, καὶ τοὺς
στύλους, καὶ τὴν κρήνην τῆς αὐλῆς,
καὶ τὴν θάλασσαν τὴν χαλκῆν. καὶ
ᾠκοδόμησε τὴν ἄκραν καὶ τὰς ἐπάλ-
ξεις αὐτῆς, καὶ διέκοψε τὴν πόλιν Δα-
βίδ. οὕτω θυγάτηρ Φαραὼ ἀνέβαι-
B νεν ἐκ τῆς πόλεως Δαβὶδ εἰς τὸν οἶκον
αὐτῆς, ὃν ᾠκοδόμησεν αὐτῇ· τότε
ᾠκοδόμησε τὴν ἄκραν. καὶ Σαλωμὼν
ἀνέφερε τρεῖς ἐν τῷ ἐνιαυτῷ ὁλοκαυ-
τώσεις καὶ εἰρηνικὰς ἐπὶ τὸ θυσιαστή-
ριον ὃ ᾠκοδόμησε τῷ Κυρίῳ, καὶ ἐθυ-
μία ἐνώπιον Κυρίου, καὶ συνετέλεσε
τὸν οἶκον Κυρίου. (3) καὶ οὗτοι οἱ ἄρ-
χοντες οἱ καθεσάμενοι (4) ἐπὶ τὰ ἔρ-
Γ γα τοῦ Σαλωμὼν, τρεῖς χιλιάδες καὶ
ἑξακόσιοι ἐπιστάται τοῦ λαοῦ τῶν ποιούν-
των τὰ ἔργα. καὶ ᾠκοδόμησε τὴν Ἀ-
σοὺρ, καὶ τὴν Μαγδὼ, καὶ τὴν Γά-
ζερ, (5) καὶ τὴν Βαιθωρὼν τὴν ἐπά-
νω, καὶ τὴν Βααλάθ. πλὴν μετὰ
τὸ οἰκοδομῆσαι αὐτὸν τὸν οἶκον (6)
Κυρίου, καὶ τὸ τεῖχος Ἱερουσαλὴμ κύ-
Δ κλῳ, μετὰ ταῦτα ᾠκοδόμησε τὰς
πόλεις ταύτας. καὶ ἐν τῷ ἔτι Δαβὶδ
ζῆν, ἐνετείλατο τῷ Σαλωμὼν, λέγων,
ἰδοὺ (7) Σεμεῒ υἱὸς Γηρὰ υἱὸς σπέρμα-
τος τοῦ Ἰεμενὶ ἐκ Χεβρών. καὶ (8) οὗτος
κατηράσατό με κατάραν ὀδυνηρὰν
ἐν (9) ἡμέρᾳ ἐπορευόμην εἰς παρεμβο-
λάς· καὶ αὐτὸς κατέβη εἰς ἀπάντη-
σίν μου εἰς τὸν Ἰορδάνην, καὶ ὤμοσα
E αὐτῷ κατὰ τοῦ Κυρίου, λέγων, εἰ θα-
νατώσω σε ἐν ῥομφαίᾳ. καὶ νῦν μὴ
ἀθωώσῃς αὐτὸν, ὅτι ἀνὴρ φρόνιμος
σύ· καὶ γνώσῃ ἃ ποιήσεις αὐτῷ, καὶ
κατάξεις τὴν πολιὰν αὐτοῦ ἐν αἵμα-
τι εἰς ᾅδου.

λς. (10) Καὶ ἀποστείλας ὁ βασι-
λεὺς ἐκάλεσε τὸν Σεμεῒ, καὶ εἶπεν
Z αὐτῷ, οἰκοδόμησον σεαυτῷ οἶκον ἐν
Ἱερουσαλὴμ καὶ κάθου ἐκεῖ, καὶ οὐκ
λζ. ἐξελεύσῃ ἐκεῖθεν οὐδαμοῦ. Καὶ ἔσται
ἐν τῇ ἡμέρᾳ τῆς ἐξόδου σου καὶ διαβήσῃ
τὸν χείμαῤῥον (11) τῶν Κέδρων, γινώ-
σκων γνώσῃ ὅτι θανάτῳ ἀποθανῇ·
τὸ αἷμά σου ἔσται ἐπὶ τὴν κεφαλήν σου.
καὶ

(1) Πάντων υἱῶν. αἱ αὐτ. (2) Αἴροντες ἄρσιν, καὶ ὀγδοήκοντα χιλιάδες λατόμων ἐν τῷ ὄρει. αἱ αὐτ. (3) Τὸν οἶκον. καὶ οὗτοι. αἱ αὐτ. (4) Καθεσαμένοι. αἱ αὐτ. (5) Γαζὲρ, καὶ τὴν Βαιθωρὼν ἐπάνω, καὶ τὰ Βαλλάθ. αἱ αὐτ. (6) Τοῦ Κυρ. αἱ αὐτ. (7) Μετὰ σοῦ Σεμεΐ. αἱ αὐτ. (8) Χεβρών. οὗτος. αἱ αὐτ. (9) Ἐν ᾗ ἡμέρ. αἱ αὐτ. (10) Τὰ ἑξῆς 11. ἐδ. ἐν τῷ τέλει τοῦ προλαβόντος κεφαλ. κεῖται ἐν τῇ κατὰ τὴν Κομπλ. ἐκδόσει, τῇ ἑπομένῃ τῇ τοῦ ἑβραϊκοῦ διαιρέσει. (11) Χείμαῤῥον Κέδρ. αἱ αὐτ.

καὶ ὥρκισεν αὐτὸν ὁ βασιλεὺς ἐν τῇ
λη. ἡμέρᾳ ἐκείνῃ. Καὶ εἶπε Σεμεῒ πρὸς
τὸν βασιλέα, ἀγαθὸν τὸ ῥῆμα ὃ ἐλά-
λησας κύριέ μου βασιλεῦ· οὕτω ποιή-
σει ὁ δοῦλός σου. καὶ ἐκάθισε Σεμεῒ ἐν
λθ. Ἱερουσαλὴμ ἔτη τρία. Καὶ ἐγενήθη
μετὰ τρία ἔτη, καὶ ἀπέδρασαν δύο
δοῦλοι τοῦ Σεμεῒ πρὸς Ἀγχὶς υἱὸν Μαα-
χὰ βασιλέα Γέθ. καὶ ἀπηγγέλη τῷ
Σεμεῒ, λέγοντες, ἰδοὺ οἱ δοῦλοί σου ἐν
μ. Γέθ. Καὶ ἀνέστη Σεμεῒ καὶ ἐπέσαξε
τὴν ὄνον αὐτοῦ, καὶ ἐπορεύθη ἐν Γὲθ
πρὸς Ἀγχὶς τοῦ ἐκζητῆσαι τοὺς δούλους
αὐτοῦ. καὶ ἐπορεύθη Σεμεῒ, καὶ ἤγαγε
μα. τοὺς δούλους αὐτοῦ ἐκ Γέθ. Καὶ ἀπηγ-
γέλη τῷ Σαλομὼν, λέγοντες, ὅτι
ἐπορεύθη Σεμεῒ ἐξ Ἱερουσαλὴμ εἰς
Γὲθ, καὶ ἀνέστρεψε τοὺς δούλους αὐτοῦ.
μβ. Καὶ ἀπέστειλεν ὁ βασιλεὺς καὶ ἐκά-
λεσε τὸν Σεμεῒ, καὶ εἶπε πρὸς αὐτὸν,
οὐχὶ ὥρκισά σε κατὰ τοῦ Κυρίου, καὶ
ἐπεμαρτυράμην σοι, λέγων, ἐν ᾗ ἂν
ἡμέρᾳ ἐξέλθῃς ἐξ Ἱερουσαλὴμ, καὶ
πορευθῇς εἰς δεξιὰ ἢ εἰς ἀριστερὰ, γι-
νώσκων γνώσῃ ὅτι θανάτῳ ἀποθα-
νῇ; καὶ εἶπάς μοι, ἀγαθὸν τὸ ῥῆμα ὃ
μγ. ἤκουσα. Καὶ τί ὅτι οὐκ ἐφύλαξας τὸν
ὅρκον Κυρίου, καὶ τὴν ἐντολὴν ἣν ἐνε-
μδ. τειλάμην κατὰ σοῦ; Καὶ εἶπεν ὁ βα-
σιλεὺς πρὸς Σεμεῒ, σὺ ἔγνως πᾶσαν
τὴν κακίαν σου ἣν οἶδεν ἡ καρδία σου,
ἃ ἐποίησας Δαβὶδ τῷ πατρί μου, καὶ
ἀνταπέδωκε Κύριος τὴν κακίαν σου
με. εἰς κεφαλήν σου. Καὶ ὁ βασιλεὺς
Σαλομὼν εὐλογημένος, καὶ ὁ θρόνος
Δαβὶδ ἔσται ἕτοιμος ἐνώπιον Κυρίου
εἰς τὸν αἰῶνα.
μς. Καὶ ἐνετείλατο ὁ βασιλεὺς
Σαλομὼν τῷ Βαναίᾳ υἱῷ Ἰωδαὲ, καὶ
ἐξῆλθε καὶ ἀνεῖλεν αὐτὸν, καὶ ἀπέθανε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ Σεμεῒ αὐτὸς ἐφ᾽ ἑαυτὸν εἵλκυσε τοῦ θανάτου τὴν ψῆφον. τὴν γὰρ μητρόπολιν οἰκεῖν ὑποσχόμενος, καὶ ὅρκῳ τὴν ὑπόσχεσιν κρατύνας, παρέβη τὸν ὅρκον, καὶ παρὰ τὰς συνθήκας ἐκδημῆσαι τετόλμηκε.

Καὶ ἦν βασιλεὺς Σαλομὼν φρόνιμος σφόδρα καὶ σοφός. καὶ Ἰούδα καὶ Ἰσραὴλ πολὺς σφόδρα, ὡς ἡ ἄμμος ἡ ἐπὶ τῆς θαλάσσης εἰς πλῆθος, ἐσθίοντες καὶ πίνοντες καὶ εὐφραινόμενοι. (1) καὶ Σαλομὼν ἦν ἐξουσιάζων (2) πάσαις ταῖς βασιλείαις, ἀπὸ τοῦ ποταμοῦ γῆς Φυλιστιαίων, καὶ ἕως ὁρίου Αἰγύπτου. καὶ ἦσαν προσφέροντες δῶρα, καὶ ἐδούλευον τῷ Σαλομὼν πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. καὶ Σαλομὼν ἤρξατο διανοίγειν (3) τὰ δυναστεύματα τοῦ Λιβάνου. καὶ αὐτὸς ᾠκοδόμησε τὴν Θερμὲ ἐν τῇ ἐρήμῳ. καὶ ταῦτα τὰ δέοντα τῷ Σαλομὼν ἐν ἡμέρᾳ μιᾷ· τριάκοντα κόροι σεμιδάλεως, καὶ ἑξήκοντα κόροι ἀλεύρου κεκοπανισμένου, δέκα μόσχοι ἐκλεκτοὶ, καὶ εἴκοσι βόες νομάδες, καὶ ἑκατὸν πρόβατα, ἐκτὸς ἐλάφων καὶ δορκάδων καὶ ὀρνίθων ἐκλεκτῶν νομάδων· ὅτι ἦν ἄρχων ἐν παντὶ πέραν τοῦ ποταμοῦ ἀπὸ Ῥαφὶ ἕως Γάζης ἐν πᾶσι τοῖς βασιλεῦσι πέραν τοῦ ποταμοῦ. καὶ ἦν αὐτῷ εἰρήνη ἐκ πάντων τῶν μερῶν αὐτοῦ κυκλόθεν. καὶ κατῴκει Ἰούδας καὶ Ἰσραὴλ πεποιθότες, ἕκαστος ὑπὸ τὴν ἄμπελον αὐτοῦ καὶ ὑπὸ τὴν συκῆν αὐτοῦ, ἐσθίοντες καὶ πίνοντες καὶ ἑορτάζοντες ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ πάσας τὰς ἡμέρας Σαλομών.

Καὶ οὗτοι οἱ ἄρχοντες (4) Σαλομών· Ἀζαρίου υἱὸς Σαδὼκ τοῦ ἱερέως, καὶ Ὀρνὶ (5) υἱὸς Νάθαν ἄρχων τῶν ἐφεστηκότων· καὶ Κεεδρὰμ (6) ἐπὶ τὸν οἶκον αὐτοῦ· καὶ Σαβὰ (7) γραμματεὺς, καὶ Βασὰ υἱὸς Ἀχιθαλὰμ ἀναμιμνήσκων, καὶ Ἀβὶ υἱὸς Ἰωὰβ ἀρχιστράτηγος, καὶ Ἀχιρὲ υἱὸς Ἐδραῒ ἐπὶ τὰς ἄρσεις, καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἐπὶ τῆς αὐλαρχίας καὶ ἐπὶ τοῦ πλινθίου, (8) καὶ Ζαχοὺρ (9) υἱὸς Νάθαν ὁ σύμβουλος. καὶ ἦσαν τῷ Σαλομὼν τεσσαράκοντα χιλιάδες τοκάδες ἵπποι εἰς ἅρματα, καὶ δώδεκα χιλιάδες ἱππέων. καὶ ἦν ἄρχων ἐν πᾶσι τοῖς βασιλεῦσιν ἀπὸ τοῦ ποταμοῦ καὶ ἕως γῆς ἀλλοφύλων καὶ ἕως ὁρίων Αἰγύπτου. καὶ Σαλομὼν υἱὸς Δαβὶδ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ καὶ Ἰούδαν ἐν Ἱερουσαλήμ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, Ἀχικὰμ υἱὸς Θαρὰκ ἐπὶ τὰς ἄρσεις; Ἄρχων ἦν τῶν μετακομιζόντων (10) τὰς ἄρσεις καὶ ξύλα. τούτους δὲ τῶν Παραλειπομένων ἡ βίβλος νωτοφόρους ἐκάλεσεν· ὠμοφόρους δὲ αὐτοὺς οἱ νῦν ὀνομάζουσιν. ἡ μέντοι ἱστορία δηλοῖ, ὡς πέρας ἔλαβε τοῦ Θεοῦ ἡ ὑπόσχεσις. ἐπηγγείλατο

(1) Καὶ χαίροντες. αἱ αὐτ. (2) Ἄρχων ἐν πάσ. αἱ αὐτ. (3) Ἀνοίγειν. αἱ αὐτ.
(4) Τοῦ Σαλ. αἱ αὐτ. (5) Ὀρνίου. αἱ αὐτ. (6) Καὶ ἔδραμεν ἐπὶ τὸν οἶκ. αἱ αὐτ.
(7) Σουβά. αἱ αὐτ. (8) Τὴν τοῦ πλινθίου ἑρμηνείαν ὅρα ἐν τῷ 23. ἐδ. τοῦ 20. κεφ. τῆς 2. τῶν Βασιλ.
(9) Καχούρ. αἱ αὐτ. (10) Τοὺς λίθους καὶ τὰ ξύλ. ἡ ἐν Χάλ. ἔκδ.

λατο γὰρ δώσειν τῷ Ἰσραὴλ ἀπὸ τοῦ ποτα-
μοῦ Αἰγύπτου, ἕως τοῦ ποταμοῦ τοῦ μεγάλου
» Εὐφράτου. Ἦν γάρ φησιν ἄρχων ὁ Σολο-
» μῶν ἐπὶ πᾶσι τοῖς βασιλεῦσιν ἀπὸ τοῦ πο-
» ταμοῦ, καὶ ἕως γῆς ἀλλοφύλων, καὶ ἕως
» ὁρίων Αἰγύπτου.

β. Πλὴν ὁ λαὸς ἦσαν θυμιῶντες
ἐπὶ τοῖς ὑψηλοῖς, ὅτι οὐκ ᾠκοδομήθη
γ. οἶκος τῷ Κυρίῳ ἕως τοῦ νῦν. Καὶ ἠγά-
πησε Σαλομὼν τὸν Κύριον, πορεύε-
σθαι ἐν τοῖς προστάγμασι Δαβὶδ τοῦ
πατρὸς αὐτοῦ, πλὴν ἐν τοῖς ὑψηλοῖς
δ. ἔθυε καὶ ἐθυμία. Καὶ ἀνέστη καὶ ἐπο-
ρεύθη εἰς Γαβαὼν θῦσαι ἐκεῖ, ὅτι αὕ-
τη ὑψηλοτάτη, καὶ μεγάλη. χιλίαν
ὁλοκαύτωσιν ἀνήνεγκε Σαλομὼν ἐπὶ
ε. τὸ θυσιαστήριον ἐν Γαβαών. Καὶ ὤφ-
θη Κύριος τῷ Σαλομὼν ἐν ὕπνῳ τὴν
νύκτα, καὶ εἶπε Κύριος τῷ (1) Σαλο-
μὼν, αἴτησαί τι αἴτημα σεαυτῷ.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, καὶ ὁ
» λαὸς ἦσαν θυμιῶντες καὶ θύοντες ἐν τοῖς
ὑψηλοτάτοις; Οὐκ εἰδωλοθυσίαν (2) αὐ-
τῶν ἐνταῦθα κατηγορεῖ, ἀλλὰ ὅτι παρὰ
τὸν νόμον ἐν τοῖς ὑψηλοτάτοις χωρίοις τῷ
Θεῷ θυσίας προσέφερον. ὁ γὰρ νόμος ἐν
ἑνὶ τόπῳ λατρεύειν προσέταξε. συγγνώ-
μης δ' ὅμως ἀπήλαυσαν, (3) ἐπειδήπερ ὁ
θεῖος νεὼς οὐδέπω ἐδεδόμητο. τοῦτο γὰρ καὶ
» ἡ ἱστορία δεδήλωκεν. ἦσαν γὰρ θυμιῶντες
» καὶ θύοντες ἐν τοῖς ὑψηλοτάτοις, ὅτι οὐκ
» ᾠκοδομήθη ὁ οἶκος τῷ ὀνόματι Κυρίου ἕως
τοῦ νῦν. ὥστε οὖν ἐντεῦθεν νοητέον τὰ περὶ
τῶν ἄλλων βασιλέων ἱστορούμενα, ὅτι ἐξῆ-
ραν τὰ ἄλση, καὶ τὰς στήλας τοῦ Βάαλ
συνέτριψαν. πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆραν.
καὶ γὰρ Ἀσὰ καὶ Ἰωσαφὰτ, καὶ ἄλλοι τινὲς,
τὸ τοῖς Δαίμοσι θύειν ἐκώλυσαν, καὶ τὰ
ἐκείνων τεμένη κατέλυσαν· οὐ μὴν ἐπαύ-
σαντο [τοῦ] ἐν τοῖς ὑψηλοῖς [τῷ Θεῷ τὰς]
θυσίας προσφέρειν. (4) μόνος δὲ Ἰωσίας
καὶ Ἐζεκίας εἰς τὴν τελειότητα ἧκεν. ὅτι
δὲ ἐν τοῖς ὑψηλοῖς τῷ Θεῷ [τῶν ὅλων τὰς]
θυσίας προσέφερον, τὰ ἑξῆς μαρτυρεῖ.
» ἠγάπησε γάρ φησι Σολομὼν τὸν Κύριον,
» τοῦ πορεύεσθαι ἐν τοῖς προστάγμασι Δαβὶδ
» τοῦ πατρὸς αὐτοῦ· πλὴν ἐν τοῖς ὑψηλοῖς
» ἔθυε καὶ ἐθυμία, τουτέστιν οὐ πρὸ τῆς σκη-
» νῆς, οὐδὲ πρὸ τῆς κιβωτοῦ, κατὰ τὸν θεῖον
νόμον. ὅτι δὲ οὐ τοῖς εἰδώλοις, ἀλλὰ τῷ
Θεῷ τότε τὰς ἑκατόμβας [καὶ χιλιόμβας]
προσέφερε, σαφῶς ἡμᾶς ἡ ἱστορία διδάσκει.
» ἐπορεύθη γάρ φησι Σολομὼν εἰς Γαβαὼν
» θῦσαι ἐκεῖ, ὅτι αὕτη ὑψηλοτάτη καὶ με-
» γάλη, χιλίαν ὁλοκαύτωσιν δεχομένη. καὶ

A » ἀνήνεγκεν ὁ Σολομὼν ἐπὶ τὸ θυσιαστήριον
» τὸ ἐν Γαβαὼν, καὶ ὤφθη Κύριος τῷ Σολο-
» μῶντι [ἐν ὕπνῳ τὴν νύκτα·] καὶ εἶπεν αὐ-
» τῷ, αἴτησαι αἴτημα σεαυτῷ. (5) εἰ δὲ τοῖς
εἰδώλοις ἔθυεν, οὐκ ἂν ὤφθη Κύριος, οὐκ ἂν
ἀνταπέδωκεν αὐτῷ παντοδαπὰς δωρεάς·
σοφίας τε χάριν, ὅσην ἡ φύσις ἐδέχετο,
πλοῦτόν τε καὶ δυναστείαν, καὶ εἰρήνην, (6)
καὶ βασιλείαν ὑπὲρ πάντας τοὺς τηνικάδε
βασιλέας ἐχαρίσατο· [ὥστε τούτου τὸ κλέος
B πᾶσαν τὴν οἰκουμένην διαδραμεῖν.]

ς. Καὶ εἶπε Σαλομὼν, σὺ ἐποίη-
σας μετὰ τοῦ δούλου σου Δαβὶδ τοῦ πα-
τρός μου ἔλεος μέγα, καθὼς διῆλθεν
ἐνώπιόν σου ἐν ἀληθείᾳ καὶ ἐν δικαιο-
σύνῃ καὶ ἐν εὐθύτητι καρδίας μετὰ
σοῦ, καὶ ἐφύλαξας αὐτῷ τὸ ἔλεος τὸ
μέγα τοῦτο, δοῦναι τὸν υἱὸν αὐτοῦ ἐπὶ
Γ τὸν θρόνον αὐτοῦ, ὡς ἡ ἡμέρα αὕτη.
ζ. Καὶ νῦν Κύριε ὁ Θεός μου, σὺ ἔδωκας
τὸν δοῦλόν σου ἀντὶ Δαβὶδ τοῦ πατρός-
μου. καὶ ἐγώ εἰμι παιδάριον μικρὸν, καὶ
οὐκ οἶδα τὴν ἔξοδόν μου καὶ τὴν εἴσο-
η. δόν μου. Ὁ δὲ δοῦλός σου ἐν μέσῳ τοῦ
λαοῦ σου, ὃν ἐξελέξω λαὸν πολὺν, ὃς
θ. οὐκ ἀριθμηθήσεται. Καὶ δώσεις τῷ
δούλῳ σου καρδίαν ἀκούειν καὶ διακρίνειν
Δ τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοῦ συ-
νιεῖν ἀναμέσον ἀγαθοῦ καὶ κακοῦ· ὅτι
τίς δυνήσεται κρίνειν τὸν λαόν σου τὸν
ι. βαρὺν τοῦτον; Καὶ ἤρεσεν ἐνώπιον
Κυρίου, ὅτι ᾐτήσατο Σαλομὼν τὸ ῥῆ-
ια. μα τοῦτο. Καὶ εἶπε (7) πρὸς αὐτὸν,
ἀνθ' ὧν ᾐτήσω παρ' ἐμοῦ τὸ ῥῆμα τοῦ-
το, καὶ οὐκ ᾐτήσω σεαυτῷ πολλὰς ἡμέ-
Ε ρας, καὶ οὐκ ᾐτήσω πλοῦτον, οὐδὲ ᾐτήσω
ψυχὰς ἐχθρῶν σου, ἀλλ' ᾐτήσω σεαυ-
ιβ. τῷ σύνεσιν τοῦ εἰσακούειν κρίμα, Ἰδοὺ
πεποίηκα κατὰ τὸ ῥῆμά σου· ἰδοὺ δέ-
δωκά σοι καρδίαν φρονίμην καὶ σοφήν·
ὡς σὺ οὐ γέγονεν ἔμπροσθέν σου, καὶ με-
τὰ σὲ οὐκ ἀναστήσεται ὅμοιός σοι.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀξιάγαστα δὲ αὐτοῦ
καὶ τὰ τῆς προσευχῆς ῥήματα. ἀναμνή-
Ζ σας γὰρ τῶν ὑπαρξάντων ἀγαθῶν τῷ πα-
τρὶ, καὶ τὸν τούτων χορηγὸν ἀνυμνήσας,
τὴν ὑπὲρ αὐτοῦ ἱκετείαν προσήνεγκε. καὶ
» νῦν κύριέ μου Κύριε, σὺ ἔδωκας τὸν δοῦλόν-
» σου ἀντὶ Δαβὶδ τοῦ πατρός μου. καὶ ἐγώ-
» εἰμι παιδάριον μικρὸν, καὶ οὐκ οἶδα τὴν εἴσο-
» δόν μου καὶ τὴν ἔξοδόν μου. καὶ ὁ δοῦλός σου
» ἐν μέσῳ τοῦ λαοῦ σου, ὃν ἐξελέξω λαὸν πο-
λύν,

(1) Πρός. αἱ αὐτ. (2) Εἰδωλολατρείαν. ἡ ἐν Χάλ. ἔκδ. (3) Ἀπήλαυον. ἡ αὐτ.

(4) Τῷ μέντοι Ἐζεκίᾳ καὶ τῷ Ἰωσίᾳ ταύτην τὴν τελειότητα μεμαρτύρηκεν ἡ θεία Γραφή. ὅτι δὲ, κτ. ἡ αὐτ. (5) Οὐκ ἂν δὲ εἰ τοῖς εἰδώλοις τὰς θυσίας προσενηνόχει, ὁ Θεὸς αὐτῷ ἀνταπέδωκε τὰς παντοδαπὰς δωρεάς. τούτων γὰρ ἁπάντων ὁμοῦ τῶν κατὰ τὸν βίον ἢ ὄντων ἢ δοκούντων ἀγαθῶν τὴν σοφίαν προελομένου, δέδωκεν ὁ μεγαλόδωρος σοφίας μὲν χάριν, κτ. ἡ αὐτ.

(6) Καὶ τὴν ἐν εἰρήνῃ βασιλ. ἡ αὐτ. (7) Κύριος πρός. αἱ εἰρημ. ἐκδόσ.

» λὴν, ὡς τὴν ἄμμον τῆς θαλάσσης, [ἢ οὐ
» διαριθμηθήσεται ἀπὸ τοῦ πλήθους, καὶ οὐ
» διηγηθήσεται· καὶ δώσεις τῷ δούλῳ σου καρ-
» δίαν φρονίμην, τοῦ ἀκούειν καὶ διακρίνειν
» τὸν λαόν σου ἐν δικαιοσύνῃ, καὶ τοῦ συνιέναι
» ἀναμέσον ἀγαθοῦ καὶ κακοῦ.] διὰ δὲ τούτων
[καὶ] τῆς φύσεως ἔδειξε τὴν ἀσθένειαν, καὶ
τῆς ἡλικίας τὸ ἀτελὲς, καὶ τῆς δοθείσης
ἐξουσίας τὸ μέγεθος, καὶ τὸ τῆς κρίσεως
ἐπικίνδυνον, καὶ τὸ τῆς φρονήσεως ἀναγ-
καῖον, καὶ τὸ συνετὸν τῆς αἰτήσεως. ὅθεν
ὁ δεσπότης Θεὸς ἐπαινέσας τὴν αἴτησιν, καὶ
ταύτην δέδωκε, καὶ τὰ ἄλλα προσέθηκε.
τοῦτο καὶ ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις ὁ Δεσπό-
Ματθ. 6. 33. της ἐνομοθέτησεν. αἰτεῖτε γάρ φησι τὴν
» βασιλείαν τοῦ Θεοῦ, καὶ τὴν δικαιοσύνην αὐ-
» τοῦ, καὶ (1) ταῦτα προστεθήσεται ὑμῖν.

ιγ. Καὶ ἃ οὐκ ᾐτήσω δέδωκά σοι
καὶ πλοῦτον καὶ δόξαν, ὡς σὺ οὐ γέγο-
νεν ἀνὴρ ὅμοιός σοι ἐν βασιλεῦσι.

* ΠΡΟΚΟΠΙΟΥ. Σύμφωνον τὸ, αἰτεῖ-
Ματθ. 6. 33. τε δὲ τὴν βασιλείαν τοῦ Θεοῦ, καὶ ταῦτα
» πάντα προστεθήσεται ὑμῖν.

ιδ. Καὶ ἐὰν πορευθῇς ἐν τῇ ὁδῷ
μου φυλάσσειν τὰς ἐντολάς μου καὶ τὰ
προστάγματά μου, ὡς ἐπορεύθη Δα-
βὶδ ὁ πατήρ σου, καὶ πληθυνῶ τὰς
ἡμέρας σου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ταύτας μέντοι τῷ
Σολομῶντι τὰς δωρεὰς δεδωκὼς ὁ Θεὸς,
πάσης αὐτὸν ἀξιώσειν προμηθείας ὑπέσχε-
» το. ἐὰν πορευθῇς γάρ φησιν ἐν τῇ ὁδῷ μου,
» τοῦ φυλάσσειν τὰς ἐντολάς μου καὶ τὰ προ-
» στάγματά μου, ἐν οἷς ἐπορεύθη Δαβὶδ ὁ πα-
» τήρ σου, καὶ μακρυνῶ τὰς ἡμέρας σου.

ιε. Καὶ ἐξυπνίσθη Σαλομὼν, καὶ
ἰδοὺ ἐνύπνιον. καὶ ἀνέστη καὶ παραγίνε-
ται ἐν Ἱερουσαλὴμ, καὶ ἔστη κατὰ πρό-
σωπον (2) κιβωτοῦ διαθήκης Κυρίου ἐν
Σιὼν, καὶ ἀνήγαγεν ὁλοκαυτώσεις, καὶ
ἐποίησεν εἰρηνικὰς, καὶ ἐποίησε πό-
τον μέγαν ἑαυτῷ καὶ πᾶσι τοῖς παι-
σὶν αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ,
» ἐξυπνίσθη Σολομὼν, καὶ ἰδοὺ ἐνύπνιον; Δια-
ναστάς φησι, τοῦ ὀνείρατος ἀνεμνήσθη· καὶ
συνιεὶς θείαν οὖσαν τὴν ἀποκάλυψιν, ἐπα-
νῆλθε μὲν εἰς τὴν μητρόπολιν, πρὸ δὲ
τῆς θείας κιβωτοῦ χαριστήριον θυσίαν προ-
σήνεγκε.

* ΠΡΟΚΟΠΙΟΥ. Τουτέστι μνησθεὶς τοῦ ὀνεί-
ρατος, ἀπιὼν Θεῷ προσήγαγε χαριστήρια.

ις. Τότε ὤφθησαν δύω γυναῖκες
πόρναι τῷ βασιλεῖ, καὶ ἔστησαν ἐνώ-
ιζ. πιον αὐτοῦ. Καὶ εἶπεν ἡ γυνὴ ἡ μία,
ἐν ἐμοὶ κύριέ μου, ἐγὼ καὶ ἡ γυνὴ αὕ-
τη ᾠκοῦμεν ἐν οἴκῳ ἑνὶ, καὶ ἐτέκομεν

ιη. ἐν τῷ οἴκῳ. Καὶ ἐγενήθη ἐν τῇ ἡμέ-
ρᾳ τῇ τρίτῃ τεκούσης μου, καὶ ἔτεκε
καὶ ἡ γυνὴ αὕτη. καὶ ἡμεῖς κατὰ τὸ
αὐτό· καὶ οὐκ ἔστιν οὐδεὶς μεθ' ἡμῶν πά-
ιθ. ρεξ ἀμφοτέρων ἡμῶν ἐν τῷ οἴκῳ. Καὶ
ἀπέθανεν ὁ υἱὸς τῆς γυναικὸς ταύτης
τὴν νύκτα, ὡς ἐπεκοιμήθη ἐπ' αὐτόν.
κ. Καὶ ἀνέστη μέσης τῆς νυκτὸς, καὶ ἔλα-
βε τὸν υἱόν μου ἐκ τῶν ἀγκαλῶν μου,
B καὶ ἐκοίμησεν αὐτὸν ἐν τῷ κόλπῳ αὐ-
τῆς, καὶ τὸν υἱὸν αὐτῆς τὸν τεθνηκό-
κα. τα ἐκοίμησεν ἐν τῷ κόλπῳ μου. Καὶ
ἀνέστην τὸ πρωῒ θηλάσαι τὸν υἱόν μου,
καὶ ἐκεῖνος ἦν τεθνηκώς· καὶ ἰδοὺ κα-
τενόησα αὐτὸν πρωῒ, καὶ ἰδοὺ οὐκ ἦν
κβ. ὁ υἱός μου ὃν ἔτεκον. Καὶ εἶπεν ἡ γυνὴ
ἡ ἑτέρα, οὐχὶ, ἀλλὰ ὁ υἱός μου ὁ ζῶν, ὁ
Γ δὲ (3) ὁ υἱός σου ὁ τεθνηκώς. καὶ ἐλά-
κγ. λησαν ἐνώπιον τοῦ βασιλέως. Καὶ
εἶπεν ὁ βασιλεὺς αὐταῖς, σὺ λέγεις,
οὗτος ὁ υἱός μου ὁ ζῶν, καὶ ὁ υἱὸς ταύτης
ὁ τεθνηκώς· καὶ σὺ λέγεις, οὐχὶ, ἀλλ'
ἢ ὁ υἱός μου ὁ ζῶν, καὶ ὁ υἱός σου ὁ τεθνη-
κδ. κώς. Καὶ εἶπεν ὁ βασιλεὺς, λάβετέ
μοι μάχαιραν. καὶ προσήνεγκαν τὴν
κε. μάχαιραν ἐνώπιον τοῦ βασιλέως. Καὶ
Δ εἶπεν ὁ βασιλεὺς, διέλετε τὸ παιδίον
τὸ θηλάζον τὸ ζῶν εἰς δύω, καὶ δότε
τὸ ἥμισυ αὐτοῦ ταύτῃ, καὶ τὸ ἥμισυ
κς. αὐτοῦ ταύτῃ. Καὶ ἀπεκρίθη ἡ γυνὴ
ἧς ἦν ὁ υἱὸς ὁ ζῶν, καὶ εἶπε πρὸς τὸν βα-
σιλέα, ὅτι ἐταράχθη ἡ μήτρα αὐτῆς
ἐπὶ τῷ υἱῷ αὐτῆς, καὶ εἶπεν, ἐν ἐμοὶ κύ-
ριε, δότε αὐτῇ τὸ παιδίον, καὶ θανάτῳ
E μὴ θανατώσητε αὐτό. καὶ αὕτη εἶπε,
μήτε ἐμοὶ, μήτε αὐτῇ ἔστω, διέλετε.
κζ. Καὶ ἀπεκρίθη ὁ βασιλεὺς, καὶ εἶπε,
δότε τὸ παιδίον τὸ ζῶν τῇ γυναικὶ τῇ
εἰπούσῃ, δότε αὐτῇ αὐτὸ, καὶ θανάτῳ
μὴ θανατώσητε αὐτὸ, αὕτη ἡ μήτηρ
κη. αὐτοῦ. Καὶ ἤκουσαν πᾶς Ἰσραὴλ τὸ
κρίμα τοῦτο ὃ ἔκρινεν ὁ βασιλεὺς, καὶ
ἐφοβήθησαν ἀπὸ προσώπου τοῦ βασι-
Z λέως, ὅτι εἶδον ὅτι φρόνησις Θεοῦ ἐν
αὐτῷ τοῦ ποιεῖν δικαίωμα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ κατὰ τὰς δύω
ἑταιρίδας διήγημα τίνος χάριν τέθεικεν ὁ
τὴν ἱστορίαν γράψας; Ἐπιδεῖξαι τὴν τοῦ
βασιλέως βουληθεὶς σοφίαν. σοφωτάτης
γὰρ τῷ ὄντι διανοίας, [τὸ] τὰ λανθάνον-
τα δεῖξαι, [καὶ τὰ κεκρυμμένα δηλῶσαι,]
καὶ προσενεγκεῖν τῇ φύσει τὴν βάσανον,
καὶ αὐτῇ τῆς δίκης ἐπιτρέψαι τὴν ψῆφον.
H αὐτίκα γοῦν ἡ μὲν μήτηρ ἐδείχθη, ἡ δὲ οὐ
μήτηρ ἠλέγχθη.

ΚΕΦ.

(1) Καὶ τὰ λοιπὰ πάντα προς. ἡ αὐτ.
(2) Τοῦ θυσιαστηρίου τοῦ κατὰ πρόσωπον κιβωτοῦ. αἱ αὐτ.
(3) Ὁ δὲ υἱός σου. αἱ αὐτ.

ΚΕΦ. Δ.

α. Καὶ ἦν ὁ βασιλεὺς Σαλο-
μὼν βασιλεύων ἐπὶ Ἰσ-
β. ραήλ. Καὶ οὗτοι οἱ ἄρχον-
τες οἳ ἦσαν αὐτοῦ· Ἀζαρίας υἱὸς Σα-
γ. δὼκ ὁ ἱερεύς. Ἐλιάφελ (1) καὶ Ἀχιὰ
υἱὸς Σιβὰ γραμματεῖς· καὶ Ἰωσαφὰτ
υἱὸς Ἀχιλὶδ (2) ἀναμιμνήσκων.
δ. Καὶ Βαναίας υἱὸς Ἰωδαὲ ἐπὶ
τῆς στρατιᾶς· καὶ Σαδὼκ καὶ Ἀβιά-
θαρ ἱερεῖς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Παύσας τὸν Ἀβιάθαρ, πῶς αὐτὸν πάλιν συνέταξε τῷ Σαδώκ; Τὴν ἀρχὴν ἀφείλετο, οὐ τῆς ἱερωσύνης ἐγύμνωσε. τὴν γὰρ τῆς ἱερωσύνης ἀξίαν οὐκ ἐκ χειροτονίας, ἀλλ' ἐκ γονικῆς εἶχε (3) διαδοχῆς.

ε. Καὶ Ὀρνὶ υἱὸς Νάθαν ἐπὶ τῶν
καθεσταμένων· καὶ Ζαβοὺθ υἱὸς Νάθαν
ϛ. ἱερεὺς ἑταῖρος τοῦ βασιλέως. Καὶ
Ἀχισὰρ ἦν οἰκονόμος· καὶ Ἐλιὰκ ὁ
οἰκονόμος· καὶ Ἐλιὰβ υἱὸς Σὰφ ἐπὶ
τῆς στρατιᾶς· (4) καὶ Ἀδωνιρὰμ υἱὸς
ζ. Ἀβδὼ ἐπὶ τῶν φόρων. Καὶ τῷ Σα-
λομὼν δώδεκα καθεσταμένοι ἐπὶ πάν-
τα Ἰσραὴλ, χορηγεῖν τῷ βασιλεῖ καὶ
τῷ οἴκῳ αὐτοῦ· μῆνα ἐν τῷ ἐνιαυτῷ
η. ἐγίνετο ἐπὶ τὸν ἕνα χορηγεῖν. Καὶ
ταῦτα τὰ ὀνόματα αὐτῶν· Βεὲν υἱὸς
θ. Ὢρ ἐν ὄρει Ἐφραὶμ εἷς. Υἱὸς Δα-
κὰρ ἐν Μακὲς, καὶ ἐν Σαλαβὶμ, καὶ
Βαιθσαμὺς, καὶ Αἰλὼν ἕως Βηθανὰν
ι. εἷς. Υἱὸς Ἐσδ (5) ἐν Ἀραθὼθ, αὐτοῦ
ια. Σεχὼ (6) καὶ πᾶσα ἡ γῆ Ὀφέρ. Υἱοῦ
Ἀμιναδὰβ πᾶσα Νεφθαδὼρ, Τα-
φὰθ (7) θυγάτηρ Σαλομὼν ἦν αὐ-
ιβ. τῷ εἰς γυναῖκα, εἷς. Βαανὰ (8) υἱὸς
Ἀβιλοὺδ τὴν Θαανὰχ, καὶ Μαγεδδὼ,
καὶ πᾶς ὁ οἶκος Σὰν ὁ παρὰ Ἐσασαρ-
θὰν (9) ὑποκάτω τοῦ Ἰεζράελ, καὶ ἐκ
Βηθσὰν ἕως Ἀβελμαουλὰ, ἕως Με-
ιγ. βερλαϊεκμαὰμ, (10) εἷς. Υἱὸς Γά-
βερ ἐν Ῥαμὼθ (11) Γαλαὰδ, τούτῳ
σχοίνισμα Ἐργὰβ ἡ ἐν τῇ Βασὰν, ἑξή-
κοντα πόλεις μεγάλαι τειχήρεις καὶ
ιδ. μοχλοὶ χαλκοῖ, εἷς. Αἰναδὰμ (12) υἱὸς
ιε. Ἀδδωμαανάμ. Ἀχιμάας ἐν Νεφ-
Β θαλὶμ, καὶ οὗτος ἔλαβε τὴν Μασε-
μὰθ θυγατέρα Σαλομὼν εἰς γυναῖ-
ις. κα, εἷς. Βαναίας υἱὸς Χουσὶ ἐν Ἀσὴρ
ιζ. καὶ ἐν Βααλὼθ, εἷς. Ἰωσαφὰτ υἱὸς
ιη. Φαρροὺ (13) ἐν Ἰσάχαρ. Σεμεῒ υἱὸς
ιθ. Ἠλὰ ἐν τῷ Βενιαμίν. Γάβερ υἱὸς
Ἀδαῒ ἐν τῇ Γαλαὰδ γῇ Σηὼν βασι-
λέως τοῦ Ἀμορραίου καὶ Ὢγ βασι-
λέως τοῦ Βασὰν, καὶ Νασὲκ (14) εἷς
Γ ἐν γῇ Ἰούδα.
κζ. (15) Καὶ ἐχορήγουν οἱ καθεστά-
μενοι οὕτω τῷ βασιλεῖ Σαλομών· καὶ
πάντα τὰ διαγγέλματα ἐπὶ τὴν
τράπεζαν τοῦ βασιλέως ἕκαστος μῆνα
αὐτοῦ, οὐ παραλλάσσουσι λόγον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὰ χορηγούμενα τῇ τραπέζῃ τοῦ βασιλέως τίνες ἀνήλισκον; Οὐχ οἱ θεράποντες μόνοι, ἀλλὰ καὶ τῶν σωματοφυλάκων τὸ πλῆθος· ἀσπιδηφόροι, καὶ δορυφόροι, καὶ οἱ συνεσθίοντες ἄρχοντες. Δ

κη. Καὶ τὰς κριθὰς, καὶ τὸ ἄχυ-
ρον τοῖς ἵπποις καὶ τοῖς ἅρμασιν ἦρον
εἰς τὸν τόπον οὗ ἐὰν ᾖ ὁ βασιλεὺς, ἕκα-
κθ. στος κατὰ τὴν τάξιν (16) αὐτοῦ. Καὶ
ἔδωκε Κύριος σοφίαν καὶ φρόνησιν τῷ
Σαλομὼν πολλὴν σφόδρα καὶ χύμα
Ε καρδίας, ὡς ἡ ἄμμος ἡ παρὰ τὴν
λ. θάλασσαν. Καὶ ἐπληθύνθη σοφία
Σαλομὼν σφόδρα ὑπὲρ τὴν φρόνησιν
πάντων ἀρχαίων ἀνθρώπων, καὶ ὑπὲρ
πάντας φρονίμους Αἰγύπτου.
λα. Καὶ ἐσοφίσατο ὑπὲρ πάντας
ἀνθρώπους· καὶ ἐσοφίσατο ὑπὲρ Γαι-
θὰν τὸν Ἰεζραηλίτην, (17) Ἡμὰν, καὶ
τὸν

(1) Ἐλιάφ. αἱ αὐτ. (2) Ἀχιλέδ. αἱ αὐτ. (3) Εἶχον. ἡ ἐν Χάλ. ἐκδ.
(4) Πατριᾶς. αἱ αὐτ. (5) Ἐθὶ ἐν Ἀραβὼθ. αἱ αὐτ. (6) Συχὼ. αἱ αὐτ.
(7) Τεφάθ. αἱ αὐτ. (8) Βανὰ υἱὸς Ἀφιλοὺθ τὴν Ἰθααναχ. αἱ αὐτ.
(9) Σεσαθάν. αἱ αὐτ. (10) Μαεβὲρ Λουκάμ. αἱ αὐτ. (11) Ῥαβώθ. αἱ αὐτ.
(12) Ἀχιναδὰβ υἱὸς Σαδδὼ Μαναίμ. αἱ αὐτ. (13) Φουασέδ. αἱ αὐτ. (14) Νασέφ. αἱ αὐτ.
(15) κ΄. Ἰούδα καὶ Ἰσραὴλ πολλοὶ ὡς ἡ ἄμμος ἡ ἐπὶ τῆς θαλάσσης εἰς πλῆθος, ἔσθοντες καὶ πίνοντες καὶ εὐφραινόμενοι. κα. Καὶ Σαλωμὼν ἦν ἐξουσιάζων ἐν πᾶσι τοῖς βασιλείοις, ἀπὸ τοῦ ποταμοῦ γῆς ἀλλοφύλων καὶ ἕως ὁρίου Αἰγύπτου * προσεγγίσοντες δῶρα, καὶ δουλεύοντες τῷ Σαλωμὼν πάσας ἡμέρας ζωῆς αὐτοῦ. κβ. Καὶ ταῦτα τὰ δέοντα Σαλωμών· ἐν ἡμέρᾳ μιᾷ τριάκοντα κόροι σεμιδάλεως, καὶ ἑξήκοντα κόροι ἀλεύρου κεκοπανισμένου, κγ. Καὶ δέκα μόσχοι ἐκλεκτοὶ, καὶ εἴκοσι βόες νομάδες, καὶ ἑκατὸν πρόβατα, ἐκτὸς ἐλάφων, καὶ δορκάδων ἐκλεκτῶν σιτευτά. κδ. Ὅτι ἦν ἄρχων πέραν τοῦ ποταμοῦ, καὶ ἦν αὐτῷ εἰρήνη ἐκ πάντων τῶν μερῶν κυκλόθεν. κε. Καὶ κατῴκει Ἰούδας καὶ Ἰσραὴλ πεποιθότες ἕκαστος ὑπὸ τὴν ἄμπελον αὐτοῦ, καὶ ὑπὸ τὴν συκῆν αὐτοῦ, ἐσθίοντες καὶ πίνοντες, ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεὲ πάσας τὰς ἡμέρας Σαλωμών. κϛ. Καὶ ἦν τῷ Σαλωμὼν τεσσαράκοντα χιλιάδες τοκάδες ἵππων εἰς ἅρματα, καὶ δώδεκα χιλιάδες ἱππέων. ταῦτα ἐν τῇ κατὰ τὴν ἐν Φρανεκ. ἐκδόσ. καὶ ἐν ταῖς ἐν αὐτῇ σημειώσ. ἃ δὴ πάντα ἐν τῷ μϛ΄. ἐδ. τοῦ προλαβόντος ἐμπεριέχεται κεφαλ.
(16) Συνταξιν. αἱ αὐτ. (17) Τὸν Ζαρίτην. αἱ αὐτ.

τὸν Χαλχὰλ, καὶ τὸν Δαρδὰ υἱοὺς Ἀμάδ. (1)

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνες οἱ περὶ τὸν Ἀδὰμ (2) καὶ Αἱμὰν, οὓς ἀπέκρυψε Σολομὼν τῇ σοφίᾳ; Κατ' ἐκεῖνον τὸν καιρὸν ἦσάν τινες ἐπὶ σοφίᾳ ἐπίσημοι· ὅθεν αὐτῶν καὶ ὀνομαστὶ ἐμνήσθη. ὁ δὲ Αἰθὰμ καὶ Αἱμὰν τῶν ψαλμῳδῶν (3) ἦσαν, ἐν κινύραις, καὶ ναύλαις, καὶ κυμβάλοις τὸν Θεὸν ἀνυμνοῦντες.

** ΦΩΤΙΟΥ. Ἐν μὲν οὖν τῷ, ἐσοφίσατο Σολομὼν ὑπὲρ πάντας ἀνθρώπους, καὶ ὑπὲρ Γεθὰν τὸν Ἰσραηλίτην, καὶ ἑξῆς, πρῶτον μὲν ἐκεῖνό φαμεν, ὡς οὐκ Ἰσραηλίτην εὕρομέν που γεγραμμένον, ὡς αὐτοὶ τὸ ῥῆμα παρέθεσθε· εἰ μή πω καὶ αὐτὴν ἡμῶν τὴν μνήμην προσαφείλοντο αἱ θλίψεις· ἀλλ' ἀντὶ τοῦ Ἰσραηλίτην, Ζαραΐτην ἀνέγνωμεν. Ἰσραηλῖται μὲν γὰρ τὸ ἰουδαῖον ἅπαν φῦλον, καὶ κοινὴν ἕλκει τὴν κλῆσιν τὸ ἔθνος, κοινότητι δὲ χαρακτηρίζειν τινὰς, εἰς ἣν ἅπαντας συναναφέρει τὸ γένος, οὐκ ἔστι δικαίαν λαβὴν ἐκφυγεῖν. ἀλλὰ τοῦτο μὲν ὀρθῶς ἂν εἴη ἔχον, εἰ ἀντὶ τοῦ Ἰσραηλίτης, Ζαραΐτης μεταληφθείη. τὸν δὲ Αἰθὰν, ἔνια τῶν ἀντιγράφων Γαιθὰν ὀνομάζει, διωνύμῳ τάχα κλήσει τὸν αὐτὸν ὑποδηλοῦντα. τὸ μέντοι ἑξῆς τοῦ χωρίου καὶ εἰς δύω σχίζεται ἐδάφη, καὶ διπλῇ ποικίλεται θεωρίᾳ. εἰ μὲν γὰρ ἐν, καὶ Χαλκὰδ καὶ Κάρδαλα, τὸ ἔδαφος ἀναπτύσσει, παλαιοὺς ἄνδρας ἐπὶ σοφίᾳ γεγενημένους ὑποφαίνει, οἳ κατὰ τὴν Αἴγυπτον προεφήτευσαν, οὔπω Μωσέως εἰς αὐγὰς ἡλίου προελθόντος. γονῆς δ' ἄρα εἶεν οὗτοι τοῦ Ζαρὰ, ὃς ἐκ τῆς Θάμαρ ἐγεγέννητο τῷ Ἰούδᾳ· ἐν ᾗ δὲ αὐτοῖς μετὰ τῆς προφητείας καὶ τῆς ἄλλης σοφίας, καὶ περὶ ποίησιν ᾠδῶν ἡ φύσις λαχοῦσα τὴν εὐκληρίαν, ὡς καί τινας τῶν ψαλμῶν εἰς τὸ ἐκείνων ὄνομα τὴν ἐπιγραφὴν ἀναφέρειν. Φησὶ τοιγαροῦν ἡ θεία Γραφὴ, ὡς οὐ μόνον τῶν ἄλλων ἀνθρώπων, ἀλλὰ καὶ τούτων Σολομὼν ἐκράτει τῇ σοφίᾳ. εἰ δὲ κατὰ θάτερον τῶν λογισμῶν εἶδος ἀποκρύψασθαι μὲν λέγοιτο Σολομὼν ἀνθρώπους πάντας, σοφίσασθαι δὲ καὶ ὑπὲρ Αἰθὰν καὶ ὑπὲρ Αἱμὰν, ἐκεῖνο προσῆκεν εἰδέναι, ὡς Αἰθάν τε καὶ Αἱμὰν οὐκ ἐν μνήμῃ, καθάπερ οἱ περὶ Χαλκὰδ, κατέλιπον τὴν αὐτῶν σωζομένην δόξαν· ἀλλ' ὑπὸ τοὺς αὐτοὺς χρόνους, ἐν οἷς καὶ Σολομὼν ἐπὶ σοφίᾳ πάντας κατέπληττε θαύματι, καὶ αὐτοί· τοῦτο μὲν μεγέθει φύσεως, τοῦτο δὲ σοφίας πλούτῳ· τῶν ὁμογενῶν ἁπάντων ὑπερέχοντες ὡρῶντο. καὶ τί ἄλλο, ἢ τὴν δόξαν, δι' ὧν ἔφερον τὰ δεύτερα τῷ βασιλεῖ, περιφανεστέραν ἀνεκήρυττόν τε καὶ τοῖς πέρασι περιηχεῖν κράτος ἦσαν ἄμαχον ἐμπεριειληφότες; ψαλμῳδοὶ δὲ, πρὸς οἷς ἐθαυμάζοντο τοῖς ἄλλοις, ἐχρημάτιζον καὶ οὗτοι διὰ κινύρας καὶ νάβλας καὶ κυμβάλων τὰ τοῦ Θεοῦ θαυμάσια μελῳδοῦντες. ἦν δὲ τῷ μὲν Αἰθὰμ πρόγονος, οἶμαι, ὁ Μεραρὶ, ὃς εἰς ἀρίθμησιν τῶν παίδων τοῦ Λευὶ τρίτην ἀνεπλήρου τάξιν· ὁ δὲ Αἱμὰν, παῖς μὲν ἦν Ἰωὴλ, υἱδοῦς δὲ τοῦ προφήτου Σαμουήλ· ὃν τὰ λόγια εἰς τὴν Κορὲ συνάπτει συγγένειαν· ἀνεψιαδοὶ δὲ Μωσέως τοῦ νομοθέτου οἱ περὶ Κορέ. ὥστε καὶ τῷ Αἱμὰν ἐκεῖθεν ἡ σωματικὴ ἀποῤῥοὴ τοῦ γένους.

λβ. Καὶ ἐλάλησε Σαλομὼν τρισχιλίας παραβολὰς, καὶ ἦσαν ᾠδαὶ αὐτοῦ πεντακισχίλιαι.

** ΙΠΠΟΛΥΤΟΥ. Καὶ ποῦ πᾶσα ἡ πλουσία αὕτη γνῶσις; ποῦ δὲ τὰ μυστήρια ταῦτα; ποῦ αἱ βίβλοι; ἀναφέρονται γὰρ μόναι αἱ Παροιμίαι, καὶ ἡ Σοφία, καὶ ὁ Ἐκκλησιαστὴς, καὶ τὸ Ἆσμα τῶν Ἀσμάτων. τί οὖν ψεύδεται ἡ Γραφή; μὴ γένοιτο. ἀλλὰ πολλὴ μέν τις ὕλη γέγονε τῶν γραμμάτων, ὡς δηλοῖ τὸ λέγειν, Ἆσμα τῶν Ἀσμάτων. σημαίνει γὰρ, ὅτι ὃ περιεῖχον αἱ πεντακισχίλιαι ᾠδαὶ ἐν τῷ ἑνὶ διηγήσατο. ἐν δὲ ταῖς ἡμέραις Ἐζεκίου τὰ μὲν τῶν βιβλίων ἐξελέγησαν, τὰ δὲ περιώφθησαν. ὅθεν φησὶν ἡ Γραφή· αὗται αἱ παροιμίαι Σολομῶντος αἱ ἀδιάκριτοι, ἃς ἐγράψαντο οἱ φίλοι Ἐζεκίου τοῦ βασιλέως. Παροιμ. κε. α. πόθεν δὲ ἐξελέξαντο; ἀλλ' ἢ ἐκ τῶν βιβλίων τῶν ἐγκειμένων ἐν αἷς λέγει ταῖς τρισχιλίαις παραβολαῖς, καὶ πεντακισχιλίαις ᾠδαῖς. ἐξ αὐτῶν οὖν τούτων οἱ φίλοι Ἐζεκίου σοφοὶ ὑπάρχοντες ἐξελέξαντο τὰ πρὸς οἰκοδομὴν τῆς Ἐκκλησίας, τάς τε βίβλους τοῦ Σολομῶντος, τὰς περὶ τῶν παραβολῶν καὶ ᾠδῶν, ἐν αἷς περὶ φυτῶν καὶ παντοίων ζώων φυσιολογίας, χερσαίων, πετεινῶν τε καὶ νηκτῶν, καὶ ἰαμάτων πάθους παντὸς γραφείσας αὐτῷ ἀφανεῖς ἐποίησεν Ἐζεκίας, διὰ τὸ τὰς θεραπείας τῶν νοσημάτων ἐνθεν κομίζεσθαι τὸν λαὸν, καὶ περιορᾷν αὐτὸν παρὰ Θεῷ τὰς ἰάσεις.

λγ. Καὶ ἐλάλησε περὶ τῶν ξύλων ἀπὸ τῆς κέδρου τῆς ἐν τῷ Λιβάνῳ, καὶ ἕως τῆς ὑσσώπου τῆς ἐκπορευομένης διὰ τοῦ τοίχου· καὶ ἐλάλησε περὶ τῶν πετεινῶν καὶ περὶ τῶν ἑρπετῶν καὶ περὶ τῶν ἰχθύων.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, ἐλάλησε περὶ τῶν ξύλων, ἀπὸ τῆς κέδρου τῆς ἐν τῷ Λιβάνῳ, [καὶ] ἕως τῆς ὑσσώπου τῆς ἐκπορευομένης ἐκ τοῦ τοίχου, καὶ τὰ ἑξῆς; Καὶ τὰς φύσεις, καὶ τὰς δυνάμεις, καὶ τῶν βοτανῶν, καὶ τῶν δένδρων, καὶ μέντοι καὶ τῶν ἀλόγων ζώων πεφυσιολογηκέναι αὐτὸν εἴρηκεν· (4) ὡς ἐντεῦθεν ὁρμᾶσθαι καὶ τοὺς τὰς ἰστορικὰς βίβλους συγγεγραφότας, καὶ ἐρανίσασθαι πάμπολλα· καὶ τῶν θερμῶν καὶ τῶν ψυχρῶν, καὶ μέντοι καὶ τῶν ξηρῶν καὶ τῶν ὑγρῶν συνθεῖναι τὰς τάξεις. καὶ ἥδε τῆσδε τῆς βοτάνης ποσῶ

(1) Μάλ. αἱ αὐτ. (2) Αἰθάμ. ἡ ἐν Χάλ. ἔκδ. καὶ κατωτέρ. (3) Ψαλτωδῶν. ἡ αὐτ.
(4) Ἐντεῦθεν οἶμαι καὶ τοὺς τὰς ἰατρικὰς βίβλους συγγεγραφότας ἐρανίσασθ. ἡ ἐν Χάλ. ἔκδ.

ποσῷ (1) τινὶ μέτρῳ θερμοτέρα ἢ ψυχροτέρα· καὶ τοῦδε τοῦ ζώου τόδε τὸ μόριον τίνος πάθους ἀλεξιφάρμακον. οἷον ἡ τῆς ὑαίνης χολὴ, [ἢ] τὸ λεόντειον στέαρ, ἢ τὸ ταύρειον αἷμα, ἢ τῶν ἐχιδνῶν αἱ σάρκες. περὶ τούτων γὰρ οἱ σοφοὶ τῶν ἰατρῶν συγγεγράφασιν, ἐκ τῶν τοῦ Σολομῶντος συγγεγραμμένων, ὡς οἶμαι, τῶν πρώτων εἰληφότες τὰς ἀφορμάς.

λδ. Καὶ παρεγίνοντο πάντες οἱ
B λαοὶ ἀκοῦσαι τῆς σοφίας Σαλομών·
καὶ ἐλάμβανε δῶρα παρὰ πάντων
τῶν βασιλέων τῆς γῆς, ὅσοι ἤκουον
τὴν σοφίαν αὐτοῦ. καὶ ἔλαβε Σαλομὼν (2) θυγατέρα Φαραὼ αὐτῷ εἰς
γυναῖκα, καὶ εἰσήγαγεν αὐτὴν εἰς
A τὴν πόλιν Δαβὶδ, ἕως συντελέσαι
αὐτὸν τὸν οἶκον Κυρίου, καὶ τὸν οἶκον
αὐτοῦ, (3) καὶ τὸ τεῖχος Ἱερουσαλήμ.
τότε ἀνέβη Φαραὼ βασιλεὺς Αἰγύπτου, καὶ προκατελάβετο τὴν Γαζὲρ,
καὶ ἐνεπύρισεν αὐτὴν, καὶ τὸν Χανὰν (4)
τὸν κατοικοῦντα ἐν Μέργαβ· (5) καὶ
ἔδωκεν αὐτὰς Φαραὼ ἀποστολὰς θυγατρὶ αὐτοῦ γυναικὶ Σαλομών. καὶ
B Σαλομὼν ᾠκοδόμησε τὴν Γαζέρ.

„ * ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, καὶ ἔδωκεν „ αὐτὰς Φαραὼ ἀποστολὰς τῇ θυγατρὶ αὐτοῦ γυναικὶ Σολομῶντος; Ἃς εἷλε πόλεις προῖκα αὐτῇ δέδωκε, τῷ Σολομῶντι κατεγγυήσας.

ΚΕΦ. Ε.

α. Καὶ ἀπέστειλε Χιρὰμ βασιλεὺς Τύρου τοὺς παῖδας
αὐτοῦ (6) πρὸς Σαλομών.
ἤκουσε γὰρ, ὅτι αὐτὸν ἔχρισαν εἰς βασιλέα, ἀντὶ Δαβὶδ τοῦ πατρὸς αὐτοῦ·
ὅτι ἀγαπῶν ἦν Χιρὰμ τὸν Δαβὶδ
πάσας τὰς ἡμέρας.

„ * ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, „ ἀπέστειλε Χιρὰμ βασιλεὺς Τύρου τοὺς παῖδας αὐτοῦ, χρίσαι τὸν Σολομῶντα ἀντὶ Δαβὶδ τοῦ πατρὸς αὐτοῦ; Χρίσιν νῦν τὴν χειροτονίαν ἐκάλεσεν. (7) οὐ γὰρ ὡς ἀλλόφυλος ἔχρισε τὸν Δαβὶδ τὸν βασιλέα· ἀλλ' ὡς πατρόφιλος, σύμψηφος ἐγένετο τῆς βασιλείας.

β. Καὶ ἀπέστειλε Σαλομὼν πρὸς
γ. Χιρὰμ, λέγων, Σὺ οἶδας τὸν πατέρα μου Δαβὶδ, ὅτι οὐκ ἠδύνατο οἰκοδομῆσαι οἶκον τῷ ὀνόματι Κυρίου Θεοῦ
μου ἀπὸ προσώπου τῶν πολέμων τῶν
κυκλωσάντων αὐτὸν, ἕως τοῦ δοῦναι
Κύριον αὐτοὺς ὑπὸ τὰ ἴχνη τῶν ποδῶν
δ. αὐτοῦ. Καὶ νῦν ἀνέπαυσε Κύριος ὁ
Θεός μου ἐμοὶ κυκλόθεν, οὐκ ἔστιν ἐπίβουλος, καὶ οὐκ ἔστιν ἀπάντημα πονη-
ε. ρόν. Καὶ ἰδοὺ ἐγὼ λέγω οἰκοδομῆσαι
οἶκον τῷ ὀνόματι Κυρίου Θεοῦ μου, καθὼς ἐλάλησε Κύριος πρὸς Δαβὶδ τὸν
πατέρα μου, λέγων, ὁ υἱός σου ὃν δώσω
ἀντὶ σοῦ ἐπὶ τὸν θρόνον σου, οὗτος οἰκο-
ϛ. δομήσει τὸν οἶκον τῷ ὀνόματί μου. Καὶ
νῦν ἔντειλαι, καὶ κοψάτωσάν μοι ξύλα ἐκ τοῦ Λιβάνου. καὶ ἰδοὺ οἱ δοῦλοί
μου μετὰ τῶν δούλων σου, καὶ τὸν μισθὸν δουλείας σου δώσω σοι κατὰ πάντα ὅσα ἂν εἴπῃς, ὅτι οὐκ ἔστιν ἡμῖν εἰδὼς
ζ. ξύλα κόπτειν καθὼς οἱ Σιδώνιοι. Καὶ
ἐγενήθη καθὼς ἤκουσε Χιρὰμ τῶν λόγων Σαλομὼν, ἐχάρη σφόδρα, καὶ
εἶπεν, εὐλογητὸς ὁ Θεὸς σήμερον, ὃς
Δ ἔδωκε τῷ Δαβὶδ υἱὸν φρόνιμον ἐπὶ τὸν
η. λαὸν τὸν πολὺν τοῦτον. Καὶ ἀπέστειλε
πρὸς Σαλομὼν, λέγων, ἀκήκοα περὶ
πάντων ὧν ἀπέσταλκας πρός με. ἐγὼ
ποιήσω πᾶν θέλημά σου· ξύλα κέ-
θ. δρινα καὶ πεύκινα Οἱ δοῦλοί μου κατάξουσιν αὐτὰ ἐκ τοῦ Λιβάνου εἰς τὴν
θάλασσαν, ἐγὼ θήσομαι αὐτὰ σχεδίας, ἕως τοῦ τόπου οὗ ἐὰν ἀποστείλῃς
E πρός με, καὶ ἐκτινάξω αὐτὰ ἐκεῖ, καὶ
σὺ ἀρεῖς· καὶ ποιήσεις τὸ θέλημά μου,
τοῦ δοῦναι ἄρτους τῷ οἴκῳ μου.

** ΙΩΣΗΠΟΥ. Διαμένει ἄχρι τῆς τήμερον τὰ τῶν ἐπιστολῶν τούτων ἀντίγραφα, οὐκ ἐν τοῖς ἡμετέροις μόνον σωζόμενα βιβλίοις, ἀλλὰ καὶ παρὰ Τυρίοις· ὥστ' εἴ τις θελήσειε τὸ ἀκριβὲς μαθεῖν, δεηθεὶς τῶν ἐπὶ τῶν Τυρίων γραμματοφυλακίων δημο-
Z σίων, εὕροι συμφωνοῦντα τοῖς εἰρημένοις ὑφ' ἡμῶν τὰ παρ' ἐκείνοις.

ι. Καὶ ἦν Χιρὰμ διδοὺς τῷ Σαλομὼν κέδρους καὶ πεύκας καὶ πᾶν θέλημα αὐτοῦ.

ια. Καὶ Σαλομὼν ἔδωκε τῷ Χιρὰμ εἴκοσι χιλιάδας κόρων πυροῦ καὶ μαχεὶρ τῷ οἴκῳ αὐτοῦ, καὶ εἴκοσι χιλιάδας

βαὶθ

(1) Ὅσῳ. ἡ αὐτ. (2) Τὴν θυγατ. αἱ εἰρημ. ἐκδόσ. (3) Ἑαυτοῦ. αἱ αὐτ.
(4) Χαναναίτην. αἱ αὐτ. (5) Μεργαάβ. αἱ αὐτ. (6) Χρῖσαι τὸν Σαλομὼν ἀντὶ Δαβὶδ, κτ. αἱ εἰρημ. ἐκδόσ. σύμφωνον δὲ τὸ τοῦ ἡμετέρου κώδ. τῷ Ἑβραϊκῷ· ᾧ δὴ εἰ ὁ Θεοδώριτος ἐνέτυχεν, οὐκ ἂν τὴν προκειμένην προὐτίθετο ἀπορίαν. (7) Οὐχ ὅτι ὁ ἀλλόφυλος ἔχριε τοῦ Ἰσραὴλ τὸν βασιλέα· ἀλλ' ὡς πατρῷος φίλος, σύμψ. ἡ ἐν Χάλ. ἐκδ.

βαὶθ ἐλαίου κεκοπανισμένου. κατὰ A
τοῦτο ἐδίδου (1) Χιρὰμ κατ' ἐνιαυτόν.

** ΙΩΣΗΠΟΥ. Ὁ βασιλεὺς Σολομὼν, ὡς ἐκομίσθη τὰ παρὰ τοῦ Τυρίων βασιλέως γράμματα, τήν τε προθυμίαν αὐτοῦ καὶ τὴν εὔνοιαν ἐπῄνεσε, καὶ οἷς ἠξίωσε, τούτοις αὐτὸν ἠμείψατο· σίτου μὲν αὐτῷ κατ' ἔτος πέμψας δισμυρίους κόρους, καὶ τοσούτους ἐλαίου βάδους. ὁ δὲ βάδος δύναται χωρῆσαι ξέστας ἑβδομήκοντα δύο.

B * ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ, μαχεὶρ τί σημαίνει; Μέτρον ἑρμηνεύεται. ἔδωκε γάρ φησιν ὁ Σολομὼν τῷ Χιρὰμ εἴκοσι χιλιάδας κόρων πυροῦ μαχεὶρ τῷ οἴκῳ αὐτοῦ, καὶ εἴκοσι χιλιάδας βαὶθ (2) ἐλαίου κεκομμένου. τὸ δὲ βαὶθ, οἱ ἄλλοι βαδὸν (3) ἡρμήνευσαν. ὁ δὲ βαδὸς μέτρον ἐστὶ Παλαιστίνων, ἑβδομήκοντα ξέστας (4) καὶ τέσσαρας χοῦς χωρῶν, ὥς φησιν Ἰώσηπος.

ιβ. Καὶ Κύριος ἔδωκε σοφίαν τῷ Γ
Σαλομὼν καθὼς ἐλάλησεν αὐτῷ. καὶ
ἦν εἰρήνη ἀναμέσον Χιρὰμ καὶ ἀναμέσον Σαλομὼν, καὶ διέθεντο διαθήκην ἀναμέσον αὐτῶν.
ιγ. Καὶ ἀνήνεγκεν ὁ βασιλεὺς φόρον ἐκ παντὸς Ἰσραὴλ, καὶ ἦν ὁ φόρος τριάκοντα χιλιάδες ἀνδρῶν.
ιδ. Καὶ ἀπέστειλεν αὐτοὺς εἰς τὸν Λίβανον, δέκα χιλιάδες ἐν τῷ μηνὶ ἀλλασσόμενοι· μῆνα ἦσαν ἐν τῷ Λιβάνῳ, καὶ δύο μῆνας ἐν οἴκῳ αὐτῶν. καὶ Ἀδωνιρὰμ ἐπὶ τοῦ φόρου.

** ΙΩΣΗΠΟΥ. Ἡ μὲν οὖν Εἰράμου φιλία καὶ Σολομῶντος ἀπὸ τούτων ἔτι μᾶλλον ηὔξησε, καὶ διαμένειν ὤμοσαν εἰς ἅπαν. ὁ δὲ βασιλεὺς ἐπέταξε παντὶ τῷ λαῷ φόρον, ἐργάτας τρισμυρίους, οἷς ἄπονον τὴν ἐργασίαν κατέστησε, μερίσας αὐτὴν συνετῶς. E μυρίους γὰρ ἐποίησε κόπτοντας ἐπὶ μῆνα ἕνα ἐν τῷ Λιβάνῳ ὄρει· δύο δὲ μῆνας ἀναπαύεσθαι παραγενομένους ἐπὶ τὰ οἰκεῖα, μέχρις οὗ πάλιν οἱ δισμύριοι τὴν ἐργασίαν ἀναπληρώσωσι κατὰ τὸν ὡρισμένον χρόνον. ἔπειθ' οὕτω συνέβαινε τοῖς πρώτοις μυρίοις διὰ τετάρτου μηνὸς ἀπαντᾷν ἐπὶ τὸ ἔργον. γεγόνει δὲ ἐπίτροπος τοῦ φόρου τούτου Ἀδώραμος.

A ιε. Καὶ ἦν τῷ Σαλομὼν ἑβδομήκοντα χιλιάδες αἴροντες ἄρσιν, καὶ
ὀγδοήκοντα χιλιάδες λατόμων ἐν τῷ
ιϛ. ὄρει, Χωρὶς τῶν ἀρχόντων τῶν καθεσαμένων ἐπὶ τῶν ἔργων τοῦ (5) Σαλομὼν, τρεῖς χιλιάδες καὶ ἑξακόσιοι ἐπιστάται οἱ ποιοῦντες τὸ ἔργον. (6)

** ΙΩΣΗΠΟΥ. Ἦσαν ἐκ τῶν παροίκων, οὓς Δαυΐδης καταλελοίπει, τῶν μὲν B παρακομιζόντων τὴν λιθείαν καὶ τὴν ἄλλην ὕλην, ἑπτὰ μυριάδες· τῶν δὲ λατομούντων ὀκτάκις μύριοι. τούτων δ' ἐπιστάται τρισχίλιοι καὶ τριακόσιοι.

** ΩΡΙΓΕΝΟΥΣ. Παρατηρητέον, ὅτι οἱ μὲν ἀναγεγραμμένοι αἴρειν ἄρσιν, ἑβδομάδος εἰσὶ συγγενεῖς· οἱ δὲ λατόμοι, καὶ ἐκτυποῦντες τοὺς λίθους, πρὸς τὸ ἁρμονίους αὐτοὺς γενέσθαι τῷ ναῷ, ὀγδοάδι προσῳκειῶνται· οἱ δὲ ἐπιστάται ἑξακόσιοι Γ τυγχάνοντες, τῷ τοῦ ἓξ τελείῳ ἀριθμῷ οἱονεὶ ἐφ' ἑαυτὸν πολλαπλασιαζομένῳ συνάπτονται.

ιζ. Καὶ ἐνετείλατο ὁ βασιλεὺς Σαλομὼν, καὶ αἴρουσι λίθους μεγάλους τιμίους εἰς τὸν θεμέλιον τοῦ οἴκου, καὶ λί-
ιη. θους ἀπελεκήτους. Καὶ ἐπελέκησαν οἱ δοῦλοι Σαλομὼν καὶ οἱ δοῦλοι Χιράμ.

Δ ** ΙΩΣΗΠΟΥ. Προσετάχει λίθους μὲν αὐτοὺς τέμνειν μεγάλους, εἰς τοὺς τοῦ ναοῦ θεμελίους· ἁρμόσαντας δὲ πρῶτον καὶ συνδήσαντας ἐν τῷ ὄρει, κατακομίζειν οὕτως εἰς τὴν πόλιν. ἐγένετο δὲ ταῦτα οὐ παρὰ τῶν οἰκοδόμων τῶν ἐγχωρίων μόνον, ἀλλὰ καὶ ὧν ὁ Εἴραμος ἔπεμψε τεχνιτῶν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ λίθοις ἀπελεκήτοις τὸν ναὸν ᾠκοδόμησε, ποῦ τοσούτων ἐδεῖτο λατόμων; Αὐτὸν τὸν νεὼν ἐξ ἀπελεκήτων E ᾠκοδόμησε λίθων, τῆς θείας προνοίας τοιούτους αὐτοφυεῖς εὑρεθῆναι θελησάσης λίθους· ὥστε μηδενὸς εἰς ἁρμονίαν δεηθῆναι σιδήρου, [ἀλλ' ὑπὲρ πᾶσαν οἰκοδομικὴν τέχνην ἀλλήλοις συναρμοσθῆναι·] τοῖς δὲ τμητοῖς λίθοις τὸν τοῦ ἱεροῦ περίβολον ἐδομήσατο, καὶ τὰ βασίλεια, καὶ τὸ τῆς μητροπόλεως τεῖχος, καὶ τὰς ἄλλας πόλεις, ἃς ὀχυρωτέρας ἀπέφηνεν.

ΚΕΦ. Ϛ.



α. Ἐν τῷ ἔτει τῷ τετάρτῳ ἐθεμελίωσε τὸν οἶκον Κυρίου ἐν μηνὶ Ζιοῦ, μηνὶ δευτέρῳ.

** ΙΩΣΗΠΟΥ. Τῆς οἰκοδομίας τοῦ ναοῦ Σολομὼν ἤρξατο, τέταρτον ἔτος ἤδη τῆς βασιλείας ἔχων, μηνὶ δευτέρῳ, ὃν Μακεδόνες μὲν Ἀρτεμίσιον καλοῦσιν, Ἑβραῖοι δὲ Ἰάρ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε οὐκ εὐθὺς βασιλεύσας, ἀλλ' ἐν τῷ τετάρτῳ ἔτει τῆς οἰκοδομίας ἤρξατο; Τὰς ὕλας ηὐτρέπισε πρότερον· εἶθ' οὕτω κατέπηξε τὰ θεμέλια. τοῦτο καὶ ὁ ἱστοριογράφος διδά-
H „ σκει, (7) λέγων· καὶ ἡτοίμασε τοὺς λίθους

καὶ

(1) Σολομὼν τῷ Χιράμ. αἱ αὐτ. (2) Βέθ. ἡ ἐν Χάλ. ἔκδ. (3) Βάτον. ἡ αὐτ.
(4) Ἑβδομήκοντα καὶ τέσσαρας χόας χωρεῖν, ὡς Ἰώσηπος ἔφησεν. ἡ αὐτ.
(5) Τῷ. αἱ αὐτ. (6) Τὰ ἔργα. αἱ αὐτ. (7) Ἐδίδαξε· καὶ ἡτοιμ. ἡ ἐν Χαλ. ἔκδ.

» καὶ τὰ ξύλα, τρισὶν ἔτεσιν εἰς τὴν οἰκο-
» δομὴν τοῦ ναοῦ. (1)

λη'. Ἐν ἑνδεκάτῳ ἐνιαυτῷ ἐν μηνὶ
Βουλ, (2) οὗτος μὴν ὄγδοος, συνετε-
λέσθη ὁ οἶκος εἰς πάντα λόγον αὐτοῦ,
καὶ εἰς πᾶσαν διάταξιν αὐτοῦ.

** ΩΡΙΓΕΝΟΥΣ. Ἵνα καὶ τὴν ἑτοι-
μασίαν συγκαταταξώμεν τῷ χρόνῳ τῆς
οἰκοδομῆς, ἕνδεκα ἔτη τὰ πάντα οὐ συμ-
πληροῦται εἰς τὴν οἰκοδομὴν τοῦ ναοῦ. πῶς
Ἰωάν. 2. 20. οὖν οἱ Ἰουδαῖοι λέγουσι, τεσσαράκοντα καὶ ἓξ
» ἔτεσιν ᾠκοδομήθη ὁ ναὸς οὗτος; εἰ μὴ ἄρα
τὶς βιασάμενος, φιλοτιμήσηται παραστῆσαι
τὸν τεσσαράκοντα καὶ ἓξ ἐτῶν πληρούμενον
χρόνον, ἀφ' οὗ ὁ Δαβὶδ φησὶ πρὸς Νάθαν
τὸν προφήτην, βουλευσάμενος περὶ τῆς οἰ-
2. Βασ. 7. 2. κοδομῆς τοῦ ναοῦ· ἰδοὺ ἐγὼ κατοικῶ ἐν οἴκῳ
» κεδρίνῳ, καὶ ἡ κιβωτὸς τοῦ Θεοῦ κάθηται
» ἐν μέσῳ τῆς σκηνῆς. εἰ γὰρ κεκώλυται,
ὡς ἀνὴρ αἱμάτων οἰκοδομῆσαι αὐτὸν, ἔοι-
κέ γε ἠσχολῆσθαι περὶ τὴν συναγωγὴν τῆς
ὕλης τοῦ ναοῦ.

Καὶ ᾠκοδόμησεν αὐτὸν ἑπτὰ ἔτε-
σι. (3) Καὶ ἡτοίμασε τὰ ξύλα καὶ
τοὺς λίθους τρία ἔτη. καὶ ἐγενήθη ἐν
τῷ τεσσαρακοστῷ καὶ τετρακοσιοστῷ (4)
τῆς ἐξόδου υἱῶν Ἰσραὴλ ἐξ Αἰγύπτου,
τῷ ἔτει τῷ τετάρτῳ ἐν μηνὶ (5) δευ-
τέρῳ βασιλεύοντος τοῦ βασιλέως Σα-
λομὼν ἐπὶ Ἰσραήλ. (6) καὶ ᾠκοδόμει
τὸν οἶκον τῷ Κυρίῳ.

** ΩΡΙΓΕΝΟΥΣ. Τὰ τῆς ἑτοιμασίας τῶν λίθων αἰρομένων καὶ εὐτρεπιζομένων εἰς τὴν οἰκοδομὴν τρισὶν ἔτεσιν ἐπιτελούμενα ἐμφαίνειν μοι δοκεῖ τοῦ ἐν αἰωνίῳ τῇ Τριάδι συγγενοῦς διαστήματος τὸν ὅλον χρόνον. ταῦτα δὲ ἔσται, ὅταν εἰρήνη τελειωθῇ μετὰ ἔτη τῆς οἰκονομίας τῶν κατὰ τὴν ἀπ' Αἰγύπτου ἔξοδον πραγμάτων τετρακόσια (7) καὶ τριάκοντα, καὶ τῶν κατὰ τὴν Αἴγυπτον οἰκονομηθέντων μετὰ Ἰησοῦ, καὶ λ' (8) ἔτη τῆς πρὸς τὸν Ἀβραὰμ ἀπὸ Θεοῦ διαθήκης, ὡς εἶναι ἀπὸ τοῦ Ἀβραὰμ ἐπὶ τὴν ἀρχὴν τῆς οἰκοδομῆς τοῦ ναοῦ σαββατικοὺς ἀριθμοὺς δύω, τὸν ἑπτακόσια καὶ ἑβδομήκοντα.

β. Καὶ ὁ οἶκος ὃν ᾠκοδόμησεν ὁ
βασιλεὺς Σαλομὼν τῷ Κυρίῳ, τεσ-
σαράκοντα πηχῶν μῆκος αὐτοῦ, καὶ

A εἴκοσι ἐν πήχει πλάτος αὐτοῦ, καὶ πέν-
τε καὶ εἴκοσι ἐν πήχει τὸ ὕψος αὐτοῦ.
γ. Καὶ τὸ αἰλὰμ κατὰ πρόσωπον τοῦ
ναοῦ, εἴκοσι ἐν πήχει μῆκος αὐτοῦ κατὰ
πρόσωπον εἰς τὸ ὕψος τοῦ οἴκου· δέκα
πήχεις πλάτος αὐτοῦ κατὰ πρόσω-
πον τοῦ οἴκου, καὶ ᾠκοδόμησε τὸν οἶκον,
δ. καὶ συνετέλεσεν αὐτόν. Καὶ ἐποίησε
B τῷ οἴκῳ θυρίδας διακρυπτομένας (9)
ε. κρυπτάς. Καὶ ἔδωκεν ἐπὶ τὸν τοῖχον
τοῦ οἴκου μέλαθρα κυκλόθεν τῷ ναῷ
καὶ τῷ Δαβὶρ, καὶ ἐποίησε πλευρὰς
ϛ. κυκλόθεν. Ἡ πλευρὰ ἡ ὑποκάτω
πέντε πήχεων τὸ πλάτος αὐτῆς, καὶ
τὸ μέσον ἓξ πήχεων τὸ πλάτος, καὶ
ἡ τρίτη ἑπτὰ ἐν πήχει τὸ πλάτος αὐ-
τῆς· ὅτι διάστημα ἔδωκε τῷ οἴκῳ κυ-
Γ κλόθεν ἔξωθεν τοῦ οἴκου, ὅπως μὴ ἐπι-
λαμβάνωνται τῶν τοίχων τοῦ οἴκου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐν κεφαλαίῳ δὲ τοῦ
νεὼ τὴν οἰκοδομὴν ἐκφράσω· (10) μῆκος
αὐτοῦ πήχεις ἑξήκοντα, εἴκοσι δὲ τὸ εὖρος.
ἐτέτραπτο δὲ οὐ πρὸς ἕω· ἵνα οἱ προσευχό-
μενοι μὴ τὸν ἥλιον ἀνατέλλοντα, (11) ἀλλὰ
τὸν τοῦ ἡλίου δεσπότην προσκυνῶσι. (12) λέ-
γει δὲ ἡ Γραφὴ τεσσαράκοντα πήχεις ἔχειν
Δ τὸ μῆκος τὸν ναὸν, ἀλλ' οὐκ ἐναντιοῦται. χω-
ρὶς γὰρ τῶν λεγομένων ἅγια ἁγίων, ἃ καὶ
Δαβὶρ ὀνομάζει, ὁ ἄλλος ναὸς τεσσαρά-
κοντα πηχῶν ἦν. αὐτὰ δὲ τὰ ἅγια ἁγίων
ἄλλων εἴκοσι πήχεων ἦν. ὥστε τὸ σύμπαν
μῆκος εἰς ἑξήκοντα πήχεις συγκεφαλαιοῦ-
ται. συνῳκοδόμητο δὲ τῷ νεῷ καὶ ἔξωθεν
οἰκίσκοι ἕτεροι, ὥστε καὶ τὴν οἰκοδομὴν συ-
νέχειν, καὶ μηδένα τῶν Λευϊτῶν προσψαύειν
τοῖς τοῦ νεὼ τοίχοις. μόνοις γὰρ τοῖς ἱερεῦ-
E σιν εἰσιτητὸν ἦν εἰς τὸν πρῶτον ναὸν εἰς
τὸν καλούμενον ἅγια. εἰς (13) γὰρ τὰ ἅγια
τῶν ἁγίων οὐδὲ τούτοις ἐπιβαίνειν ἐξῆν. μό-
νος γὰρ ὁ ἀρχιερεὺς τῶν ἀψαύστων κατα-
τολμᾷν ἐπετέτακτο· καὶ οὐδὲ οὗτος ἀεὶ, ἀλλ'
ἐν τῷ ἑβδόμῳ μηνὶ τῇ ἡμέρᾳ τοῦ ἱλασμοῦ.
ἐν δέ γε τοῖς οἰκίσκοις ἐκείνοις, τοῖς ἐν κύ-
κλῳ τοῦ νεὼ δεδομημένοις τὰ τῆς θείας λει-
τουργίας ἀπετίθετο σκεύη. τοῦ δὲ νεὼ τὸ
προπύλαιον, ὅπερ Αἰλὰμ ὠνόμασαι τῇ Ἑ-
Z βραίων φωνῇ, ἰσόμετρον μὲν εἶχε τῷ πλά-
τει τοῦ νεὼ τὸ μῆκος, δέκα δὲ πηχῶν τὸ
εὖρος.

(1) Τοῦ οἴκου. ἡ αὐτ. (2) Βαάλ, οὗτος ὁ μὴν ὁ ὄγδ. αἱ αὐτ.

(3) Τὸ, Καὶ ᾠκοδόμησεν αὐτὸν ἑπτὰ ἔτεσιν, οὐ κεῖται ἐν ταῖς εἰρημ. ἐκδόσ. τὰ δὲ ἀπὸ τοῦ, Καὶ ἡτοίμ. ἄχρι τοῦ, τρία ἔτη, τὸ ιη' ἐδ. εἰσι τοῦ προλαβόντος κεφ. τὰ δὲ ἑξῆς ἐν τῇ ἀρχῇ τοῦδε τοῦ κεφ. κεῖται ἄνευ τινὸς ἀριθμοῦ ἐν ταῖς αὐτ. ἐν δὲ τῇ Ἑβραϊκ. ἐκδόσ. τὸ α'. ἐδ. ἐστὶ τοῦ ϛ. κεφ. (4) Ἔτει. αἱ αὐτ.

(5) Τῷ δευτ. αἱ αὐτ. (6) Τὰ ἑξῆς οὐ κεῖται ὅλως ἐν ταῖς εἰρημ. ἐκδόσ. ἀλλ' ἐν τῇ Ἑβραϊκ.

(7) Τετρακόσια καὶ τεσσαράκοντα ἀνάγν. (8) Ἀνάγν. υ'.

(9) Παρακυπτομένας. αἱ αὐτ. Διαπαρακυπτομένας. ἡ τοῦ Ἀλδ.

(10) Τούτου τὸ μῆκος ἑξήκοντα πήχεων ἦν, εἴκοσι, κτ. ἡ ἐν Χάλ. ἐκδ. (11) Ἀνίσχοντα. ἡ αὐτ.

(12) Θαυμαζέτω δὲ μηδεὶς, εἰ τῆς θείας Γραφῆς τεσσαράκοντα πήχεων τὸ μῆκος, εἴκοσι δὲ τὸ εὖρος εἰρηκυίας, τὸ μῆκος ἑξήκοντα εἶπον ἐγώ. μετ' ὀλίγα γὰρ τῶν ἄλλων εἴκοσι ἐπιμέμνηται, τὰ ἅγια τῶν ἁγίων ἐπιδεικνῦσα. ταῦτα καὶ Δαβεὶρ ὀνομάζει. ἐκεῖν τεσσαράκοντα μὲν πήχεων ὁ ἄλλος ναὸς ἦν, εἴκοσι δὲ τῶν ἁγίων τὰ ἅγια. συνῳκοδομ. κτ. ἡ αὐτ. (13) Εἰς δὲ τὸ ἄδυτον καὶ ἀνάκτορον, ἅπερ ἅγια τῶν ἁγίων ὠνόμασαν, οὐδὲ τούτοις ἐπιβαίνειν ἐξῆν. μόνος γὰρ, κτ. ἡ αὐτ.

A εὖρος. Φωταγωγοὺς δὲ ὁ νεὼς εἶχεν, ἔνδοθεν μὲν εὐρείας, ἔξωθεν δὲ ἄγαν στενὰς, διατρήτοις [δὲ] λίθοις κεκαλυμμένας. τοῦ- » το γὰρ δηλοῖ τὸ, ἐποίησε τῷ οἴκῳ θυρίδας » δικτυωτὰς καὶ κρυπτάς. μέλαθρα δὲ καλεῖ τοὺς οἰκίσκους, τοὺς ἐν κύκλῳ τοῦ νεὼ δεδομημένους. θαυμαζέτω δὲ μηδεὶς, εἰ πενταπήχεις μὲν οἱ ἐπίπεδοι ἦσαν, ἑξαπήχεις δὲ οἱ διόροφοι, ἑπταπήχεις δὲ οἱ τριόροφοι. οἱ τοῖχοι γὰρ ἦσαν εὐρύτεροι κάτω, ὥστε φέ- B ρειν τῆς οἰκοδομίας τὸ βάρος. ἀφαιρουμένου δὲ κατὰ μέρος τοῦ εὔρους, προσετέθη τοῖς μὲν διορόφοις ὁ πῆχυς, τοῖς δὲ τριορόφοις οἱ δύω. τοῦτο δὲ καὶ ὁ ἱστοριογράφος ἐδίδαξεν. » ὅτι διάστημα ἔδωκε τῷ τοίχῳ κυκλόθεν τοῦ » οἴκου, ὅπως μὴ ἐπιλάβωνται τῶν τοίχων τοῦ » οἴκου. Ἰώσηπος μέντοι φησὶ, (1) καὶ αὐτὸν τὸν νεὼν διόροφον γεγενῆσθαι, καὶ πᾶν τὸ ὕψος ἑκατὸν εἴκοσι πήχεις εἶναι. τοῦτο δὲ καὶ τῶν Παραλειπομένων ἡ βίβλος δεδήλωκε. (2)

Γ ζ. Καὶ ὁ οἶκος ἐν τῷ οἰκοδομεῖσθαι αὐτὸν λίθοις ὁλοκλήροις ἀκροτόμοις ἀπηρτισμένοις ἀργοῖς ᾠκοδομήθη· καὶ σφύρα καὶ πέλεκυς καὶ πᾶν σκεῦος σιδήρου οὐκ ἠκούσθη ἐν τῷ οἴκῳ ἐν τῷ οἰκοδομεῖσθαι αὐτόν.

** ΙΩΣΗΠΟΥ. Ἡ ὅλη τοῦ ναοῦ οἰκοδομία κατὰ πολλὴν τέχνην ἐκ λίθων ἀκροτόμων ἐγένετο, συντεθέντων ἁρμονίως πά- Δ νυ καὶ λείως, ὡς μήτε σφύραν, μήτε ἄλλου τινὸς ἐργαλείου τεκτονικοῦ τοῖς κατανοοῦσιν ἐργασίαν δηλοῦσθαι, ἀλλὰ δίχα τῆς τούτων χρήσεως πᾶσαν ἡρμόσθαι τὴν ὕλην προσφυῶς· ὡς ἑκούσιον τὴν ἁρμονίαν αὐτῆς δοκεῖν μᾶλλον, ἢ τῆς τῶν ἐργαλείων ἀνάγκης.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, » σφύρα καὶ πέλυξ καὶ πᾶν σκεῦος σιδηροῦν » οὐκ ἠκούσθη ἐν τῷ οἰκοδομεῖσθαι αὐτόν; Καὶ E ἤδη ἔφην, ὅτι τὸν νεὼν ἐξ αὐτοφυῶν ᾠκοδόμησε λίθων. τοὺς δὲ τμητοὺς λίθους, δι' ὧν τοῦ ναοῦ τὸν περίβολον κατεσκεύασεν, ἐν τῷ ὄρει ξεσθῆναι, καὶ ἀλλήλοις προσαρμοσθῆναι (3) προσέταξεν, ἵνα μηδεμιᾶς ἐργασίας προσδεηθῶσιν.

** ΕΦΡΑΙΜ. Οὐκ ἐκ σπέρματος ἐπεισαχθέντος ἡ Παρθένος ἐγέννησε· μὴ γένοιτο· ἀλλὰ τὴν ἑαυτῆς οὐσίαν ἀκίνητον προέχρησε. καὶ ἡ σοφία δι' ἀλαξεύτων λί- Z θων τὸν οἶκον ἑαυτῇ ᾠκοδόμησεν. οὐκ ἠκούσθη σιδήρου φωνὴ ἐν τῇ οἰκοδομῇ. οὐδὲ γὰρ ἐπὶ τῆς Μαρίας ἀνὴρ ἐλειτούργησεν, ἀλλὰ μόνη Παρθένος. αὐτοφυεῖς ἦσαν οἱ λίθοι, ὑπ' ἀνθρώπων μὴ κατασκευασθέντες· οὕτω καὶ ἐν τῇ Μαρίᾳ ἡ πρόσληψις αὐτογενὴς παρείληπται, ἐκ τῆς φύσεως ἡμῶν ἐκλεγεῖσα διὰ Παρθένου σεμνῆς. ὡς ἀπὸ τῆς γῆς ληφθέντες οἱ λίθοι· ηὐξήθη ἡ πρόσληψις διὰ τῆς φύσεως, καὶ ἡ Θεότης ἀῤῥύ- H πωτος ἔμεινε διὰ τὴν φύσιν τὴν ἄχραντον. δίχα σιδήρου ὁ ναὸς ᾠκοδομήθη, δίχα φθορᾶς καὶ πόνου ὁ Χριστὸς γεγέννηται. μόνη ἡ γῆ ἐλειτούργησεν, ὡς καὶ μόνη ἡ Παρθένος συνείληφεν. οὐκ ἐτμήθη ἡ πέτρα, οὐδὲ ᾐσθάνθη τεμνομένων τῶν λίθων ἡ γῆ· καὶ ἡ Παρθένος οὐκ ἐκινήθη, οὐδὲ ἐξ ἡδυπαθείας συνέλαβεν. οὐκ ἄλλοθεν ἡ γῆ τοὺς λίθους λαβοῦσα παρέσχετο, ἀλλ' αὐτὴ ἀπόνως καὶ ἀπείρως ἐξ αὐτῆς αὐτοὺς ἔδωκεν· οὕτω καὶ ἐν τῇ Παρθένῳ οὐκ ἐπεισήχθη ἡ πρόσληψις, ἀλλ' ἀπ' αὐτῆς εἴληπται· ἐπεὶ τροφὸς ἂν ἦν, καὶ οὐ μήτηρ, ἢ φύλαξ παρακαταθήκης, καὶ οὐ πηγὴ τῆς ἀρίστου τεκνογονίας.

** ΩΡΙΓΕΝΟΥΣ. Ἐχρῆν τὸν ἅγιον ἐν εἰρήνῃ κατασκευαζόμενον οἶκον τῷ Θεῷ ᾠκοδομῆσθαι χωρὶς σφύρας, καὶ πελέκεως, καὶ παντὸς σιδηροῦ σκεύους, ἵνα μηδὲν ἀκουσθῇ θορυβῶδες ἐν τῷ ναῷ τοῦ Θεοῦ. πάλιν δὲ ἀπορῶ πρὸς τοὺς τῇ λέξει δουλεύοντας, πῶς δυνατὸν ὀγδοήκοντα χιλιάδων λατόμων τυγχανόντων, λίθοις ἀκροτόμοις ἀργοῖς ᾠκοδομῆσθαι τὸν οἶκον τοῦ Θεοῦ. σφύρας καὶ πελέκεως καὶ παντὸς σκεύους σιδηροῦ οὐκ ἀκουσθέντος ἐν τῷ οἴκῳ αὐτοῦ, ἐν τῷ οἰκοδομεῖσθαι αὐτόν; ἀλλὰ μήποτε οἱ λατομούμενοι λίθοι ζῶντες ἀψοφητὶ καὶ ἀταράχως λατομοῦνται ἔξω που κατὰ τὸν ναὸν, ἵνα ἕτοιμοι ἔλθωσιν ἐπὶ τὸ ἁρμόζον αὐτοῖς τῆς οἰκοδομῆς χωρίον.

** ΤΟΥ ΑΥΤΟΥ. Οἶκος δὲ ἡ Ἐκκλησία τοῦ Θεοῦ, ἐν ᾗ οὐ δεῖ ἀκουσθῆναι σφύραν. σφύρα δὲ πάσης γῆς ὁ Διάβολος· καὶ ἔστιν ὁ μὴ φροντίζων αὐτῆς, οἱονεί τις ὕλη τυπτομένη παρ' αὐτῆς καὶ μὴ πάσχουσα. ἰδοὺ » γάρ φησιν Ἀμὼς ἀνὴρ ἑστηκὼς ἐπὶ τοίχους ᾿Αμ. 7. 7.
» ἀδαμαντίνου, καὶ ἐν τῇ χειρὶ αὐτοῦ ἀδάμας· ὃς ἀδάμας ὑπ' οὐδεμιᾶς συντριβήσεται σφύρας. κἂν ἐφεστήκει γοῦν ὁ Διάβολος σφύρα, καὶ ὑποκείμενος ὁ Δράκων ὥσπερ ἄκμων ἀνήλατος, οὐδὲν ὁ ἐν τῇ χειρὶ Κυρίου, καὶ ὑπὸ τὴν ἐπισκοπὴν αὐτοῦ ἀδάμας πείσεται. τεῖχος γὰρ ὁ ἅγιος ἀδαμάντινον, καὶ ἐν χειρὶ Κυρίου μένον ἀπαθὲς, κἂν μέσος ληφθείη τῆς τε σφύρας καὶ τοῦ δράκοντος. ὅσῳ δὲ τύπτεται, λαμπροτέραν αὐτοῦ τὴν ἀρετὴν ἐπιδείκνυσιν. ὁ γὰρ Διάβολος οἷά τις λίθων ἀγνοῶν φύσιν, διὰ πολλῶν δοκιμάζει πληγῶν τὸν οἷον ἀδάμαντα, Θεοῦ μόνου τὴν τούτου φύσιν εἰδότος.

η. Καὶ ὁ πυλὼν τῆς πλευρᾶς αὐτῆς (4) ὑποκάτωθεν ὑπὸ τὴν ὠμίαν τοῦ οἴκου τὴν δεξιὰν, καὶ ἑλικτὴ ἀνάβασις εἰς τὸ μέσον, καὶ ἐκ τῆς μέσης ἐπὶ τὰ τριόροφα.

** ΙΩΣΗΠΟΥ. Ἐφιλοτέχνησεν ὁ βασιλεὺς ἄνοδον εἰς τὸν ὑπερῷον οἶκον διὰ τοῦ εὔρους τοῦ τοίχου. οὐ γὰρ εἶχε θύραν μεγάλην κατὰ τῆς ἀνατολῆς, ὡς εἶχεν ὁ κάτωθεν οἶκος. ἀλλ' ἐκ τῶν πλευρῶν ἦσαν αἱ εἴσοδοι διὰ μικρῶν πάνυ θυρῶν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ἐνταῦθα δὲ ἠνίξατο ὁ συγγραφεὺς, ὡς ὑπερῷα εἶχεν ὁ ναός.

(1) Ἐν βιβλ. 8. κεφ. 3. περὶ ἰουδαϊκ. ἀρχ.
(2) Διδάσκει. ἡ αὐτ.
(3) Συναρμοσθῆναι. ἡ αὐτ.
(4) Τῆς ὑποκάτ. αἱ αὐτ.

» ναός. ἑλικὴ γὰρ ἦν ἡ ἀνάβασις, φησὶν,
εἰς τὴν μέσην, καὶ ἐκ τῆς μέσης ἐπὶ τὰ
τριόροφα. εὐρύτατος γὰρ ὁ τοῖχος ὢν,
κοχλιοειδῆ (1) τὴν ἀνάβασιν εἶχε. τοῦτο
γὰρ εἶπεν ἑλικήν.

** ΩΡΙΓΕΝΟΥΣ. Καὶ ἀνάβασις δέ-
τις περὶ τὸν οἶκον τοῦ Θεοῦ μὴ γεγωνιωμέ-
νη, ἀνακλάσεις εὐθειῶν ἔχουσα. γέγραπται
» γάρ· καὶ ἑλικὴ ἀνάβασις εἰς τὸ μέσον, καὶ
» ἐκ τῆς μέσης ἐπὶ τὰ τριόροφα. ἑλικοειδῆ
γὰρ ἐχρῆν εἶναι τὴν ἐν τῷ ναῷ τοῦ Θεοῦ
ἄνοδον, τῆς ἕλικος ἀναβάσει τὸν ἰσαίτα-
τον κύκλον μιμουμένης.

θ. Καὶ ᾠκοδόμησε τὸν οἶκον καὶ
συνετέλεσεν αὐτόν· καὶ ἐκοιλοστάθ-
μησε τὸν οἶκον κέδροις.

** ΙΩΣΗΠΟΥ. Διέλαβε τὸν ναὸν καὶ
ἔνδοθεν καὶ ἔξωθεν ξύλοις κεδρίνοις, ἀλύ-
σεσι παχείαις συνδεδεμένοις· ὥστ' ἀντ' ὀχυ-
ρωμάτων καὶ ῥώμης τοῦτο αὐτοῖς εἶναι.

* ΘΕΟΔΩΡΙΤΟΥ. Σανίσι δὲ αὐτὸν κε-
δρίναις ἐνεκάλυψεν (2) ἅπαντα. καὶ πά-
λιν χρυσῷ τὰς σανίδας κατέκρυψε.

ι. Καὶ ᾠκοδόμησε τοὺς ἐνδέσμους δι'
ὅλου τοῦ οἴκου πέντε ἐν πήχει τὸ ὕψος
αὐτοῦ, καὶ συνεῖχε τὸν ἔνδεσμον ἐν ξύ-
λοις κεδρίνοις.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐνδέσμους δὲ τὰς
ἱμαντίας ἐκάλεσεν. ἔφη δὲ ταύτας ἐκ κέ-
δρου κατεσκευάσθαι. καὶ κατὰ πέντε λί-
θων (3) τιθεὶς ἱμαντίας, καὶ ταύταις ἅπα-
σαν τὴν οἰκοδομίαν δεθῆναι.

** ΩΡΙΓΕΝΟΥΣ. Ἵνα οὗτος ὁ οἶκος
βέβαιος ᾖ, ὡς ἔνι μάλιστα, οἰκοδομοῦνται
» δεσμοὶ αὐτῷ δι' ὅλου οἴκου πέντε ἐν πήχει
τὸ ὕψος, ἵνα ἡ ἀπὸ τῶν αἰσθητῶν ἐπὶ τὰς
καλουμένας θείας αἰσθήσεις ἄνοδος δηλωθῇ
ἐν ὕψει τυγχάνουσα, πρὸς κατανόησιν τῶν
νοητῶν.

ια. (4) Καὶ ἐγένετο λόγος Κυρίου
ιβ. πρὸς Σολομὼν, (5) λέγων, Ὁ οἶκος
οὗτος ὃν σὺ οἰκοδομεῖς, ἐὰν ὁδεύσῃς τοῖς
προστάγμασί μου, καὶ τὰ κρίματά μου
ποιῇς, καὶ φυλάσσῃς πάσας τὰς ἐν-
τολάς μου ἀναστρέφεσθαι ἐν αὐταῖς,
στήσω τὸν λόγον μου ὃν ἐλάλησα πρὸς
ιγ. Δαβὶδ τὸν πατέρα σου, Καὶ κατα-
σκηνώσω ἐν μέσῳ υἱῶν Ἰσραὴλ, καὶ οὐκ
ἐγκαταλείψω τὸν λαόν μου Ἰσραήλ.
ιδ. Καὶ ᾠκοδόμησε Σαλομὼν τὸν οἶκον
ιε. καὶ συνετέλεσεν αὐτόν. Καὶ ᾠκοδό-
μησε τοὺς τοίχους τοῦ οἴκου ἔσωθεν διὰ

A ξύλων κεδρίνων ἀπὸ τοῦ ἐδάφους τοῦ
οἴκου καὶ ἕως τῶν τοίχων καὶ ἕως τῶν
δοκῶν· ἐκοιλοστάθμησε συνεχόμενα
ξύλοις ἔσωθεν· καὶ περιεῖχε τὸ ἔσω
τοῦ τοίχου ἐν πλευραῖς πευκίναις.

ις. Καὶ ᾠκοδόμησε τοὺς εἴκοσι πή-
χεις ἀπ' ἄκρου τοῦ τοίχου τὸ πλευρὸν
τὸ ἓν ἀπὸ τοῦ ἐδάφους ἕως τῶν δοκῶν·
B καὶ ἐποίησεν αὐτὸ ἔσωθεν ἐκ τοῦ Δα-
ιζ. βὶρ εἰς τὰ ἅγια τῶν ἁγίων. Καὶ τεσ-
ιθ. σαράκοντα πηχῶν ἦν ὁ ναὸς (6) Κα-
τὰ πρόσωπον τοῦ Δαβὶρ ἐν μέσῳ τοῦ
οἴκου ἔσωθεν, δοῦναι ἐκεῖ τὴν κιβωτὸν
κ. διαθήκης Κυρίου. Εἴκοσι πήχεις μῆ-
κος, καὶ εἴκοσι πήχεις πλάτος, καὶ εἴκοσι
πήχεις τὸ ὕψος αὐτοῦ· καὶ περιεῖχεν αὐ-
τὸ χρυσίῳ συγκεκλεισμένῳ. καὶ ἐποίη-
Γ σε θυσιαστήριον κατὰ πρόσωπον τοῦ
Δαβὶρ, καὶ περιεῖχεν αὐτὸ χρυσίῳ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὅτι δὲ ἑξήκοντα
πήχεων ἦν ὁ νεὼς, ἐντεῦθέν ἐστι καταμα-
θεῖν [εὐπετές.] εἰρηκὼς γὰρ ἤδη, ὅτι τεσ-
σαράκοντα πήχεων ἦν τὸ μῆκος, μετὰ ταῦ-
» τα πάλιν ἐπήγαγε· καὶ ᾠκοδόμησε τοὺς
» εἴκοσι πήχεις, ἀπ' ἄκρου τοῦ τοίχου τὸ πλευ-
» ρὸν τὸ ἓν ἀπὸ ἐδάφους ἕως τῶν δοκῶν· καὶ
» ἐποίησεν ἕως τοῦ Δαβὶρ τὸν τοῖχον εἰς τὰ
Δ » ἅγια τῶν ἁγίων. καὶ τεσσαράκοντα πήχεων
» ἦν αὐτὸς ὁ ναὸς ὁ κατὰ πρόσωπον τοῦ Δα-
» βὶρ ἐν μέσῳ τοῦ οἴκου ἔσωθεν, τοῦ δοῦναι ἐκεῖ
» τὴν κιβωτὸν τῆς διαθήκης Κυρίου. εἴκοσι
» πήχεων τὸ μῆκος, καὶ εἴκοσι πήχεων τὸ
» πλάτος, καὶ εἴκοσι πήχεων τὸ ὕψος αὐτοῦ·
» καὶ περιεῖχεν αὐτὸ χρυσίῳ συγκεκλεισμέ-
νῳ. οὐκοῦν τεσσαράκοντα πήχεων μὲν ἦν τὰ
καλούμενα ἅγια, εἴκοσι δὲ τὰ ἅγια τῶν
ἁγίων. ταῦτα δὲ καὶ Δαβὶρ ὠνόμασε. τοῦ-
E το καὶ ἐν τοῖς ἑξῆς σαφέστερον ἴδοι τις ἄν.
» ἐποίησε γάρ φησι θυσιαστήριον κατὰ πρό-
» σωπον τοῦ Δαβίρ. τὸ γὰρ θυσιαστήριον τοῦ
θυμιάματος πρὸ τοῦ καταπετάσματος ἔκει-
το, ἔνθεν μὲν ἔχον τὴν τράπεζαν, ἔνθεν
δὲ τὴν λυχνίαν.

** ΩΡΙΓΕΝΟΥΣ. Μακαριωτέρων λί-
θων χωρίον ἔοικεν εἶναι τὸ καλούμενον Δα-
βεὶρ, ἔνθα ἡ κιβωτὸς τῆς διαθήκης τοῦ Κυ-
Z ρίου ἦν, ἵν' οὕτως εἴπω, τὸ χειρόγραφον
ἐτύγχανε τοῦ Θεοῦ, αἱ πλάκες γεγραμμέ-
ναι τῷ δακτύλῳ αὐτοῦ.

κα. Καὶ ὅλον τὸν οἶκον περιεῖχε
χρυσίῳ ἕως συντελείας παντὸς τοῦ
οἴκου. (7)

ΩΡΙΓΕ-

(1) Κοχλιώδη. ἡ αὐτ. (2) Συνεκάλυψεν. ἡ αὐτ. (3) Λίθων πήχεις. ταύταις, κτ. ἡ ἐν Χάλ. ἔκδ. ἀσαφῶς. (4) Τὰ ἑξῆς ἐδ. ἄχρι τοῦ ιε. ἐν ταῖς σημειώσ. κεῖται τῆς κατὰ τὴν ἐν Φρανεκ. ἔκδ. ὅπου καὶ τάδε· Σχόλιον. Ἐν τισι μέντοι τῶν ἀντιγράφων ταῦτα οὐ κεῖται· Καὶ ἐγένετο λόγος, καὶ τὰ ἑξῆς. οἷς οἶμαι καὶ Θεοδώριτον ἀκολουθοῦντα ταῦτα μὴ τεθεικέναι.

(5) Ἀνωτέρ. ἐν πολλοῖς, καὶ κατωτέρ. ὁμοίως, Σαλομών.

(6) ιη. Καὶ διὰ κέδρου πρὸς τὸν οἶκον ἔσω πλοκῆς ἐπαναστάσης, καὶ πέταλα καὶ ἀνάγλυφα πάντα κέδρινα· οὐκ ἐφαίνετο λίθος κατὰ πρόσωπον τοῦ Δαβίρ. τοῦτό ἐστι τὸ ιη. ἐδ. ἐν ταῖς εἰρημ. σημειώσ.

(7) Καὶ τεσσαράκοντα πηχῶν ἦν ὁ οἶκος· αὐτὸς ὁ ναὸς τῇ εὐχολίᾳ· καὶ κέδρου πρὸς τὸν οἶκον ἔνδον διατετορευμένα ξυστωτὰ καὶ περίγλυφα ἐκπίπτοντα, τὰ πάντα κέδρου· οὐκ ἦν λίθος βλεπόμενος. καὶ χρημα-

A ** ΩΡΙΓΕΝΟΥΣ. Ὁ δὲ οἶκος ὅλος
» χρυσοῦται. ὅλον γάρ φησι τὸν οἶκον περιέ-
» χρισε χρυσίῳ ἕως τῆς συντελείας παν-
» τὸς τοῦ οἴκου.

κγ. Καὶ ἐποίησεν ἐν τῷ Δαβὶρ
δύω Χερουβὶμ ξύλων κυπαρισσίνων·
δέκα πήχεων μέγεθος ἐσταθμωμένον·
κδ. Καὶ πέντε πήχεων πτερύγιον (1) αὐτοῦ
τὸ δεύτερον, δέκα ἐν πήχει ἀπὸ μέ-
B ρους πτερυγίου αὐτοῦ εἰς μέρος πτερυ-
κε. γίου αὐτοῦ. Καὶ οὕτω τῷ Χερουβὶμ τῷ
δευτέρῳ ἐν μέτρῳ ἑνὶ συντέλεια μία
κϛ. ἀμφοτέροις. Καὶ τὸ ὕψος τοῦ Χερου-
βὶμ τοῦ ἑνὸς δέκα ἐν πήχει· καὶ οὕτω
κζ. τὸ Χερουβὶμ τὸ δεύτερον. Καὶ ἔθη-
κεν ἀμφότερα τὰ Χερουβὶμ ἐν μέσῳ
τοῦ οἴκου τοῦ ἐσωτάτου. καὶ διεπέτασε
Γ τὰς πτέρυγας αὐτῶν, καὶ ἥπτετο πτέ-
ρυξ μία τοῦ (2) ἑνὸς τοῦ τοίχου τοῦ οἴκου,
καὶ πτέρυξ τοῦ Χερουβὶμ τοῦ δευτέρου
ἥπτετο τοῦ τοίχου τοῦ δευτέρου· καὶ πτέ-
ρυγες αὐτῶν ἐν μέσῳ τοῦ οἴκου ἥπτοντο
κη. πτέρυξ πτέρυγος. Καὶ περιέσχε τὰ
κθ. Χερουβὶμ χρυσίῳ. Καὶ πάντας τοὺς
τοίχους τοῦ οἴκου κύκλῳ ἐγκολαπτὰ
ἔγραψε γραφίδι Χερουβὶμ, καὶ φοί-
Δ νικας τῷ ἐσωτέρῳ καὶ τῷ ἐξωτέρῳ.
λ. Καὶ τὸ ἔδαφος τοῦ οἴκου περιέσχε χρυ-
σίῳ τοῦ ἐσωτάτου καὶ τοῦ ἐξωτάτου.

** ΙΩΣΗΠΟΥ. Ἀνέθηκεν εἰς τὸ ἄδυτον, εἴκοσι πηχῶν τὸ εὖρος τῶν δ' αὐτῶν καὶ τὸ μῆκος, δύω Χερουβεὶς ὁλοχρύσους, πηχῶν ἑκάτερον τὸ ὕψος πέντε. δύω δ' ἦσαν ἑκατέρῳ πτέρυγες ἐπὶ πέντε πήχεις ἐκτεταμέναι. διὸ οὐ μακρὰν ἀπ' ἀλλήλων αὐτὰς ἀνέστησεν, ἵνα τῶν πτερύγων τῇ μὲν ἅπτωνται τοῦ κατὰ νότον κειμένου τοίχου ἀδύτου, τῇ δὲ κατὰ βορρᾶν· αἱ δ' ἄλλαι πτέρυγες αὐταῖς συνάπτουσαι τεθείσῃ μεταξὺ αὐτῶν τῇ κιβωτῷ σκέπη τυγχάνωσι. τὰς δὲ Χερουβεὶς οὐδεὶς ὁποῖαί τινες ἦσαν εἰπεῖν, οὐδ' εἰκάσαι δύναται. κατέστρωσε δὲ καὶ τοῦ ναοῦ τὸ ἔδαφος ἐλάσμασι χρυσοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα πάλιν ἐδίδαξεν ἡμᾶς, ὡς Δαβὶρ τὰ ἅγια τῶν ἁγίων
» καλεῖ. ἐποίησε γάρ φησι τῷ Δαβὶρ δύω Χερουβίμ. τούτων δὲ ἕκαστος δεκάπηχυς ἦν, ὥστε θάτερον μὲν τῶν πτερῶν τοῖς τοίχοις πελάζειν, τὰς δὲ τῶν ἑτέρων ἀρχὰς ἀλλήλοις συνάπτεσθαι, καὶ συγκαλύπτειν τὴν κιβωτόν. πάντα μέντοι συνεκάλυπτεν (3) ὁ χρυσὸς, καὶ τὸν ὄροφον, καὶ τὸ ἔδαφος, καὶ τὰ Χερουβὶμ, καὶ τοὺς τοίχους, καὶ τὰς θύρας, ὥστε μηδεμίαν ἑτέραν ὕλην ἔνδον ὁρᾶσθαι. ὥσπερ δὲ τὰ ἔνδον διχῇ διῄρητο, οὕτω δὴ καὶ τὰ ὕπαιθρα. τούτων γὰρ τὰ μὲν ἦν βατὰ παντὶ τῷ λαῷ, τὰ δὲ τοῖς ἱερεῦσι καὶ τοῖς Λευΐταις. διεῖργε δὲ τούτοις ἀπ' ἐκείνων θριγκίον οὐχ ὑψηλὸν, ὥστε καὶ τοὺς
B ἀπεχοινισμένους τῶν ἔνδον, ἔξωθεν θεωρεῖν τὴν τῶν θυσιῶν ἱερουργίαν.

** ΩΡΙΓΕΝΟΥΣ. Τὰ δύω Χερουβεὶμ ἐν τῷ Δαβεὶρ ἦν, ὅπερ οὐ δεδύνηνται ἑρμηνεῦσαι κυρίως οἱ μεταλαμβάνοντες εἰς ἑλληνισμὸν τὰ Ἑβραίων. καταχρηστικώτερον δέ τινες ναὸν αὐτὸν εἰρήκασι, τοῦ ναοῦ τιμιώτερον τυγχάνοντα. πάντα μέντοι γε χρυσᾶ τὰ κατὰ τὸν οἶκον γεγένηται, εἰς σύμβολον τοῦ τελειουμένου πάντως νοῦ πρὸς
Γ τὴν τῶν νοητῶν ἀκριβῆ ἀπόταξιν. (4) ἐπεὶ δὲ παντάπασιν οὐκ ἔστι βατὰ καὶ γνωστὰ, οἰκοδομεῖται καταπέτασμα τῆς αὐλῆς, τοῖς πολλοῖς τῶν ἱερέων καὶ Λευΐτων οὐκ ἀποκαλυπτομένων τῶν ἐνδοτάτω.

λα. Καὶ τῷ θυρώματι τοῦ Δαβὶρ
ἐποίησε θύρας ξύλων ἀρκευθίνων, καὶ
λβ. φλιὰς πενταπλᾶς, (5) Καὶ δύω θύ-
ρας ξύλων πευκίνων· καὶ ἐγκολαπτὰ
Δ ἐπ' αὐτῶν ἐγκεκολαμμένα Χερουβὶμ,
καὶ φοίνικας, καὶ πέταλα διαπεπε-
τασμένα, καὶ περιέσχε χρυσίῳ, καὶ
κατέβαινεν ἐπὶ τὰ Χερουβὶμ καὶ ἐπὶ
λγ. τοὺς φοίνικας τὸ χρυσίον. Καὶ οὕτως
ἐποίησε τῷ πυλῶνι τοῦ ναοῦ· φλιαὶ
ξύλων ἀρκευθίνων, στοαὶ τετραπλῶς.
λδ. Καὶ ἐπ' ἀμφοτέραις ταῖς θύραις ξύ-
E λα πεύκινα· δύω πτυχαὶ ἡ θύρα ἡ
μία καὶ στροφεῖς αὐτῶν, καὶ δύω πτυχαὶ
λε. ἡ θύρα ἡ δευτέρα στρεφόμενα Ἐγκε-
κολαμμένα Χερουβὶμ, καὶ φοίνικες,
καὶ διαπεπετασμένα πέταλα, καὶ
περιεχόμενα χρυσίῳ καταγομένῳ (6)
λϛ. ἐπὶ τὴν ἐκτύπωσιν. Καὶ ᾠκοδόμησε
τὴν αὐλὴν τὴν ἐσωτάτην· τρεῖς στί-
χους ἀπελεκήτων, καὶ στίχος κατειρ-
Z γασμένης κέδρου κυκλόθεν. καὶ ᾠκο-
δόμησε τὴν αὐλὴν οἴκου Κυρίου τὴν
ἐσωτάτην τῷ αἰλὰμ (7) οἴκου τοῦ κα-
τὰ πρόσωπον τοῦ ναοῦ.

ΚΕΦ.

χρηματιστήριον ἐν μέσῳ τοῦ οἴκου ἔνδοθεν ἡτοίμασε, τοῦ δοθῆναι ἐκεῖ γλωσσόκομον συνθήκης Κυρίου. καὶ εἰς πρόσωπον τοῦ χρηματιστηρίου εἴκοσι πηχῶν μῆκος, καὶ εἴκοσι πηχῶν πλάτος, καὶ εἴκοσι πηχῶν ἀνάστημα αὐτοῦ· καὶ περιεπήλισεν αὐτὸ χρυσίῳ ἀποκλειστῷ. ταῦτα αὐτοῦ κεῖται ἀντὶ τοῦ κβ'. ἐδ. ὡς ἔοικε.

(1) Πτερύγιον Χερουβὶμ τοῦ ἑνὸς, καὶ πέντε πήχεων πτερύγιον αὐτοῦ τὸ δεύτ. αἱ εἰρημ. ἐκδόσ. ἃ δὴ γραφικῇ παραδρομῇ τῷ ἡμετέρῳ κώδ. οὐ κεῖται.

(2) Τοῦ τοίχου. αἱ αὐτ.

(3) Συνεκεκάλυπτο· καὶ ὁ ὄροφος, καὶ τὸ ἔδαφος, καὶ τὰ Χερουβὶμ, καὶ οἱ τοῖχοι καὶ αἱ θύραι· ὥστε μηδεμ. ἡ αὐτ.

(4) Ἴσ. κατάταξιν, ἢ σύνταξιν.

(5) Τὸ λβ. καὶ λγ. ἐδ. ἐν ταῖς σημειώσ. μόνον τῆς ἐν Φρανεκ. ἐκδόσ. κεῖται.

(6) Καταγαγομένῳ. αἱ εἰρημ. ἐκδόσ.

(7) Τοῦ οἴκου. αἱ αὐτ.

ΚΕΦ. Ζ.

ιγ. Καὶ ἀπέστειλεν ὁ βασιλεὺς
Σαλομὼν, καὶ ἔλαβε τὸν
ιδ. Χιρὰμ ἐκ Τύρου, Υἱὸν
γυναικὸς χήρας, καὶ οὗτος ἀπὸ τῆς
Φυλῆς τῆς Νεφθαλίμ· καὶ ὁ πατὴρ
αὐτοῦ ἀνὴρ Τύριος, τέκτων χαλκοῦ,
καὶ πεπληρωμένος τῆς τέχνης καὶ συνέσεως καὶ ἐπιγνώσεως τοῦ ποιεῖν πᾶν ἔργον ἐν χαλκῷ. καὶ εἰσήχθη πρὸς τὸν βασιλέα Σαλομών· καὶ ἐποίησε πάντα τὰ ἔργα.

** ΙΩΣΗΠΟΥ. Μεταπέμπεται ἐκ Τύρου Σολομὼν παρὰ Εἰράμου τεχνίτην, Χείραμον ὄνομα, μητρὸς μὲν ὄντα Νεφθαλίτιδος τὸ γένος· ἐκ γὰρ ταύτης ὑπῆρχε τῆς Φυλῆς· πατρὸς δὲ Οὐρίου, (1) γένος Ἰσραηλιτῶν. οὗτος ἁπάντος μὲν ἐπιστήμην εἶχεν ἔργου· μάλιστα δὲ τεχνίτης ἦν χρυσὸν ἐργάζεσθαι καὶ ἄργυρον καὶ χαλκόν· ὑφ᾽ οὗ δὴ καὶ πάντα κατὰ τὴν τοῦ βασιλέως βούλησιν τὰ περὶ τὸν ναὸν ἐξεμηχανήθη.

** ΩΡΙΓΕΝΟΥΣ. Ἄξιον ζητῆσαι, πῶς
ὡς μὲν βασιλεὺς Σολομὼν καὶ οἰκοδομεῖν τὸν
ναὸν λέγεται, ὡς δ᾽ ἀρχιτέκτων ὃν ἔλαβεν
» ἀποστείλας ὁ Σολομὼν Χειρὰμ ἐκ Τύρου, υἱὸν
» γυναικὸς χήρας, καὶ οὗτος ἀπὸ τῆς Φυλῆς
» Νεφθαλεὶμ, καὶ ὁ πατὴρ αὐτοῦ Τύριος,
» τέκτων χαλκοῦ, καὶ πεπληρωμένος τῆς συ-
» νέσεως καὶ ἐπιγνώσεως τοῦ ποιεῖν πᾶν ἔρ-
» γον ἐν χαλκῷ, ὃς εἰσήχθη πρὸς τὸν βασι-
» λέα Σολομὼν, καὶ ἐποίησε πάντα τὰ ἔργα.
ἐφίστημι δὲ μήποτε ὁ μὲν Σολομὼν εἰς τὸν
πρωτότοκον πάσης κτίσεως λαμβάνεσθαι
δύναται, ὁ δὲ Χειρὰμ εἰς ὃν ἀνείληφεν οὗτος
ἄνθρωπον ἀπὸ τῆς τῶν ἀνθρώπων συνο-
χῆς· Τύριοι γὰρ ἑρμηνεύονται συνέχον-
τες· τῇ φύσει τὸ γένος ἔχοντα, ὅστις πε-
πληρωμένος πάσης τέχνης καὶ συνέσεως
καὶ ἐπιγνώσεως, εἰσήχθη, συνεργῶν τῷ
πρωτοτόκῳ πάσης κτίσεως, ἵνα οἰκοδομήσῃ
3. Βασ. 6. 4. τὸν ναόν· ἐν ᾧ καὶ θυρίδες παρακυπτόμε-
» ναι κρυπταὶ κατασκευάζονται, πρὸς τὰς
ἐλλάμψεις τοῦ φωτὸς τοῦ Θεοῦ σωτηρίως δυ-
νηθῆναι χωρῆσαι· καὶ τί με δεῖ λέγειν καθ᾽
ἕκαστον; ἵνα εὑρεθῇ τὸ σῶμα Χριστοῦ ἡ Ἐκ-
κλησία τὸν λόγον ἔχουσα τοῦ πνευματικοῦ
οἴκου καὶ ναοῦ τοῦ Θεοῦ. ὡς γὰρ προεῖπον τῆς
ἐν μυστηρίῳ ἀποκεκρυμμένης δεόμεθα σο-
φίας χωρητῆς τυγχανούσης μόνῳ τῷ δυ-
1. Κορ. 2. 16. ναμένῳ εἰπεῖν· ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν·
ἵνα κατὰ τὸ βούλημα τοῦ οἰκονομήσαντος
ταῦτα γραφῆναι, πνευματικῶς ἐκλάβω-
μεν ἕκαστον τῶν εἰρημένων.

ιε. Καὶ ἐχώνευσε τοὺς δύω στύλους
τῷ αἰλὰμ τοῦ οἴκου· ὀκτωκαίδεκα πή-
χεις ὕψος τοῦ στύλου· καὶ περίμετρον
τεσσαρεσκαίδεκα πήχεις ἐκύκλουν αὐ-
τὸν, καὶ τὸ πάχος τοῦ στύλου· τεσσά-
B ρων δακτύλων τὰ κοιλώματα· καὶ
ις. οὕτος (2) ὁ στύλος ὁ δεύτερος. Καὶ δύω
ἐπιθέματα ἐποίησε δοῦναι ἐπὶ τὰς κε-
φαλὰς τῶν στύλων χωνευτὰ χαλκᾶ·
πέντε πήχεις τὸ ὕψος τοῦ ἐπιθέματος
τοῦ ἑνὸς, καὶ πέντε πήχεις τὸ ὕψος τοῦ
ιζ. ἐπιθέματος τοῦ δευτέρου. Καὶ ἐποίη-
σε δύω δίκτυα περικαλύψαι τὸ ἐπί-
θεμα τῶν στύλων· καὶ δίκτυον τῷ ἐπι-
Γ θέματι τῷ ἑνὶ, καὶ δίκτυον τῷ ἐπιθέ-
ιη. ματι τῷ δευτέρῳ. Καὶ ἔργον κρε-
μαστὸν, δύω στίχοι ῥοῶν χαλκῶν, δε-
δικτυωμένοι, ἔργον κρεμαστὸν, στίχος
ἐπὶ στίχων. (3) καὶ οὕτως ἐποίησε τῷ
ἐπιθέματι τῷ δευτέρῳ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Κατεσκεύασε δὲ καὶ
δύω στύλους ἐξ ὕλης χαλκοῦ, ἀξιοθέατον καὶ
εἶδος καὶ μέγεθος ἔχοντας. τὸ μὲν γὰρ
Δ ὕψος, δίχα τῶν κεφαλίδων, ὀκτωκαίδεκα
πήχεων ἦν, τεσσαρεσκαίδεκα δὲ εἶχεν ὁ
κύκλος. τούτοις καὶ κεφαλίδας ἐκ τῆς αὐ-
τῆς ὕλης ἐπέθηκε, καὶ κρίνα μέγιστα ταῖς
κεφαλίσι, καὶ δικτυοειδῆ τινὰ κόσμον ῥόας
ἐξηρτημένας ἔχοντα.

ιθ. (4) Καὶ ἐπιθέματα ἐπὶ τῶν
κεφαλῶν τῶν στύλων, ἔργον κρίνου,
κα. κατὰ τὸ αἰλάμ. Καὶ ἔστησε τοὺς στύ-
E λους τοῦ αἰλὰμ τοῦ ναοῦ. καὶ ἔστησε τὸν
στύλον τὸν ἕνα, καὶ ἐπεκάλεσε τὸ ὄνο-
μα αὐτοῦ Ἰακοὺμ· (5) καὶ ἔστησε τὸν
στύλων τὸν δεύτερον, καὶ ἐπεκάλεσε τὸ
ιθ. ὄνομα αὐτοῦ Βαολόαζ. (6) Καὶ (7) ἐπὶ
τῶν κεφαλῶν τῶν στύλων ἔργον κρίνου,
καὶ ἐτελειώθη τὸ ἔργων τῶν στύλων
κατὰ τὸ αἰλὰμ τεσσάρων πηχῶν·

κ. Καὶ μέλαθρον ἐπ᾽ ἀμφοτέρων
Z τῶν στύλων· καὶ ἐπάνωθεν τῶν πλευ-
ρῶν ἐπίθεμα τὸ μέλαθρον καὶ τῶν
ῥοῶν διακόσιοι στίχοι ἐπὶ τῆς κεφα-
λίδος τῆς δευτέρας.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐκόσμουν δὲ τὸ προπύλαιον οὗτοι, μέλαθρον φέροντες ἐκ τῆς αὐτῆς ὕλης πεποιημένον. μέλαθρον δὲ κέκληκε τὸ νῦν παρά τινων ἐπίστυλον ὀνομαζόμενον.

(1) Τυρίου πάντως ἀναγνωστ. ὡς καὶ ἐν ταῖς σημειώσ. ταῖς ἐν σελ. 424. τοῦ 3. κεφ. τοῦ 8. βιβλ. περὶ Ἰουδ. ἀρχ. τῆς ἐν Ἀμστελ. ἐκδόσ. (2) Οὕτως. αἱ αὐτ.

(3) Στίχον. αἱ αὐτ. (4) Ἐν ταῖς σημειώσ. τοῦτο οὕτω κεῖται τῆς ἐν Φρανεκ. ἐκδόσ.

(5) Ἰαχούμ. αἱ αὐτ. Ἰαχὶν, ὃ δηλοῖ στερέωσιν. ὁ Μουνστέρ. ἐν τῷ 2. Τόμ. τῶν καλουμέν. ἱερ. Κριτ.

(6) Βολώζ. αἱ αὐτ. Βοὰζ, ὃ σημαίνει, ἰσχὺς ἐν αὐτῷ. ὁ Αὐτ. αὐτ.

(7) Τοῦτό τε καὶ τὸ ἑξῆς κ΄. ἐδ, ιθ. εἰσὶν ἐν ταῖς εἰρημέν. ἐκδόσ. ἐν δὲ ταῖς σημειώσ. τὸ κ΄, διῄρηται.

ζόμενον. τȣ̃το δὲ καὶ ἡ ἱϛορία δεδήλωκεν, εἰπȣ̃σα, ἐπίθεμα τὸ μέλαθρον, ἐπ᾽ ἀμφοτέρων τῶν ϛύλων τῷ πάχει.

κγ. Καὶ ἐποίησε τὴν θάλασσαν
χυτὴν δέκα ἐν πήχει ἀπὸ τȣ̃ χείλȣς
αὐτῆς ἕως τȣ̃ χείλȣς αὐτῆς, ϛρογγύ-
λον κύκλῳ τὸ αὐτό· πέντε ἐν πήχει
τὸ ὕψος αὐτῆς· καὶ συνηγμένη τριά-
κοντα καὶ τρεῖς ἐν πήχει ἐκύκλȣν αὐ-
κδ. τήν. Καὶ ὑποϛηρίγματα ὑποκάτω-
θεν τȣ̃ χείλȣς αὐτῆς κυκλόθεν ἐκύ-
κλȣν αὐτὴν δέκα ἐν πήχει ἀνιϛῶν τὴν
κε. θάλασσαν κυκλόθεν. Καὶ δώδεκα
βόες ὑποκάτω τῆς θαλάσσης, οἱ τρεῖς
ἐπιβλέποντες βοῤῥᾶν, καὶ οἱ τρεῖς ἐπι-
βλέποντες θάλασσαν, καὶ οἱ τρεῖς
ἐπιβλέποντες νότον, καὶ οἱ τρεῖς ἐπι-
βλέποντες ἀνατολήν· καὶ πάντα τὰ
ὀπίσθια εἰς τὸν οἶκον, καὶ ἡ θάλασσα
κς. ἐπ᾽ αὐτῶν ἐπάνωθεν. (1) Καὶ τὸ χεῖ-
λος αὐτῆς ὡς ἔργον χείλȣς ποτηρίȣ
βλαϛὸς κρίνȣ· καὶ τὸ πάχος αὐτȣ̃
παλαιϛῆς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐποίησε δὲ καὶ λȣτῆρα χαλκȣ̃ν, ὃν διὰ τὸ μέγεθος ἐκάλεσε θάλασσαν. εἶχε μὲν γὰρ εἶδος ἡμισφαιρίȣ δέκα πήχεων τὴν διάμετρον. τρεῖς δὲ καὶ τριάκοντα πήχεις εἶχεν ὁ κύκλος· ἐπειδὴ σπιθαμῆς εἶχε μέτρον τὸ πάχος. τῶν γὰρ δύω σπιθαμῶν, τῆς ἐντεῦθεν φημὶ, καὶ τῆς ἐκεῖθεν, τῇ διαμέτρῳ συμμετρȣμένων, ἕνδεκα πήχεις εὑρίσκονται. τριπλασιαζόμενοι δὲ ȣ̃τοι, ποιȣ̃σι τρεῖς καὶ τριάκοντα. ταύτην ἔφερον δυωκαίδεκα μόσχοι, ἀνὰ τρεῖς πρὸς ἕκαϛον ἄνεμον ἀποβλέποντες. τȣ̃ δὲ λȣτῆρος τὸ χεῖλος ἐπικλινὲς εἰς τὸ ἔξω ἦν, τȣ̃ κρίνȣ τὰ φύλλα μιμȣ́μενον.

κζ. Καὶ ἐποίησε δέκα μεχωνὼθ χαλκᾶς· πέντε πήχεις τῆς μεχωνὼθ τῆς μιᾶς τὸ μῆκος, καὶ τέσσαρες πήχεις τὸ πλάτος αὐτῆς, καὶ ἓξ ἐν πήχει τὸ ὕψος αὐτῆς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὰς μεχωνὼθ δὲ τῶν Παραλειπομένων ἡ βίβλος λȣτῆρας ὠνόμασεν. ὁ δὲ Ἰώσηπος βάσεις εἶπε τὰς μεχωνώθ. (2)

κη. Καὶ τȣ̃το τὸ ἔργον τῶν μεχω-
νὼθ συγκλειϛὸν αὐτοῖς, καὶ συγκλει-
κθ. ϛὸν ἀναμέσον τῶν ἐξεχομένων. Καὶ
ἐπὶ τὰ συγκλείσματα αὐτῶν ἀναμέ-
σον (3) τῶν ἐχομένων λέοντες καὶ βόες
καὶ Χερȣβὶμ, καὶ ἐπὶ τῶν ἐξεχομέ-
νων, ȣ̃τω καὶ ἐπάνωθεν, καὶ ὑποκά-
A τωθεν τῶν λεόντων καὶ τῶν βοῶν χῶ-
λ. ραι, ἔργον καταβάσεως. Καὶ τέσ-
σαρες τροχοὶ χαλκοῖ τῇ μεχωνὼθ τῇ
μιᾷ, καὶ τὰ προσέχοντα χαλκᾶ καὶ
τέσσαρα μέρη αὐτῶν, ὠμίαι (4) αὐτῆς
λα. ὑποκάτωθεν τῶν λȣτήρων. Καὶ χεῖ-
ρες ἐν τοῖς τροχοῖς ἐν τῇ μεχωνώθ.
λβ. Καὶ τὸ ὕψος τȣ̃ τροχȣ̃ τȣ̃ ἑνὸς πήχεος
λγ. καὶ ἡμίσȣς. Καὶ τὸ ἔργον τῶν τρο-
B χῶν ἔργον τροχῶν ἅρματος. αἱ χεῖ-
ρες αὐτῶν καὶ οἱ αὐχένες αὐτῶν καὶ
οἱ νῶτοι αὐτῶν καὶ ἡ πραγματεία αὐ-
λδ. τῶν τὰ πάντα χωνευτά. Αἱ τέσσα-
ρες ὠμίαι ἐπὶ τῶν τεσσάρων γωνιῶν τῆς
μεχωνὼθ τῆς μιᾶς, ἐκ τῆς μεχωνὼθ
λε. οἱ ὦμοι αὐτῆς. Καὶ ἐπὶ τῆς κεφα-
λῆς τῆς μεχωνὼθ ἥμισυ τȣ̃ πήχεος
Γ τὸ μέγεθος ϛρογγύλον κύκλῳ ἐπὶ τῆς
κεφαλῆς τῆς μεχωνώθ· καὶ ἀρχὴ
χειρῶν αὐτῆς καὶ τὰ συγκλείσματα
αὐτῆς ἐξ αὐτῆς· καὶ ἠνοίγετο ἐπὶ τὰς
λς. ἀρχὰς τῶν χειρῶν αὐτῆς. Καὶ τὰ
συγκλείσματα αὐτῆς Χερȣβὶμ καὶ
λέοντες καὶ φοίνικες ἑϛῶτα, ἐχόμε-
νον ἕκαϛον κατὰ πρόσωπον αὐτȣ̃ ἔσω-
λζ. θεν (5) κυκλόθεν. Κατ᾽ αὐτὴν ἐποίη-
Δ σε τὰς δέκα μεχωνὼθ, τάξιν μίαν
καὶ μέτρον πάσαις ἕν.

** ΙΩΣΗΠΟΥ. Ἐποίησε καὶ λȣτήρων δέκα βάσεις χαλκᾶς τετραγώνων. τȣ́των ἑκάϛη μῆκος γεγόνει πήχεων πέντε, πλάτος τεσσάρων, ὕψος ἕξ. συνεκέκλειϛο δὲ τὸ ἔργον κατὰ μέρος τετορευμένον ȣ̃τως· τέσσαρες ἦσαν κιονίσκοι κατὰ γωνίαν ἑϛῶτες τετράγωνοι, τὰ πλευρὰ τῆς βάσεως E ἐξ ἑκατέρȣ μέρȣς ἐν αὐτοῖς ἔχοντες ἐξηρμοσμένα. ἦν δὲ ταῦτα τριχῆ διῃρημένα. ἑκάϛην δὲ χώραν ὅρος ἐπεῖχεν εἰς ὑπόβασιν κατεσκευασμένον· ἐφ᾽ οἷς ἐτετόρευτο πῆ μὲν λέων, πῆ δὲ ταῦρος καὶ ἀετός. ἐπὶ δὲ τῶν κιονίσκων ὁμοίως ἐξείργαϛο τοῖς κατὰ τὰ πλευρὰ τετορευμένοις. τὸ δὲ πᾶν ἔργον ἐπὶ τεσσάρων αἰωρȣ́μενον τροχῶν εἱϛήκει. χωνευτοὶ δ᾽ ἦσαν ȣ̃τοι, πλήμνας καὶ ἄντυγας πήχεος καὶ ἡμίσȣς ἔχοντες τὴν Z διάμετρον. ἐθαύμασεν ἄν τις τὰς ἀψίδας τῶν τροχῶν θεασάμενος, πῶς συντετορευμέναι, καὶ τοῖς πλευροῖς τῶν βάσεων προσηνωμέναι, ἁρμονίως ταῖς ἄντυξιν ἐνέκειντο. ἦσαν δ᾽ ὅμως ȣ̃τως ἔχȣσαι· τὰς δὲ γωνίας ἄνωθεν συνέκλειον ὦμοι χειρῶν ἀνατεταμένων· οἷς ἐπεκάθητο σπεῖρα κατὰ κοῖλον (6) ἐπικειμένη τὸν λȣτῆρα, ταῖς χερσὶν ἐπαναπαυόμενον ἀετȣ̃ καὶ λέοντος αὐταῖς ἐφηρμοσμένων, ὡς σύμφυτα ταῦτ᾽ εἶναι

(1) Τόδε τὸ ἐδ. συνήνωται τὸ κδ. ἐν ταῖς εἰρημ. ἐκδόσ. διῄρηται δ᾽ ȣ̃τως ἐν ταῖς σημειώσ. τῆς ἐν Φρανεκ. ἐκδόσ.
(2) Ὅρα σελ. 691.
(3) Ἀναμέσον ἐξεχομένων. αἱ εἰρημ. ἐκδόσ.
(4) Ὠμίαι ὑποκάτ.
(5) Ἔσω καὶ τὰ κυκλ. αἱ αὐτ.
(6) Κατὰ κλοιόν. ἡ ἐν Κολον. ἔκδ. ὀρθῶς.

εἶναι δοκεῖν τοῖς ὁρῶσι. μεταξὺ δὲ τούτων
Φοίνικες ἦσαν τετορευμένοι.

λη. Καὶ ἐποίησε δέκα χυθρογαύ-
λους χαλκοῦς, τεσσαράκοντα χοεῖς χω-
ροῦντα τὸν ἕνα χυθρόγαυλον μετρήσει
τεσσάρων πηχῶν· χυθρόγαυλος ὁ εἷς
τῇ μεχωνὼθ (1) τῆς μιᾶς ταῖς δέκα
λθ. μεχωνώθ. Καὶ ἔθετο τὰς δέκα με-
χωνὼθ πέντε ἀπὸ τῆς ὠμίας τοῦ οἴκου
ἐκ δεξιῶν, καὶ πέντε ἀπὸ τῆς ὠμίας τοῦ
οἴκου ἐξ ἀριστερῶν. καὶ ἡ θάλασσα ἀπὸ
τῆς ὠμίας τοῦ οἴκου ἐκ δεξιῶν κατὰ ἀνα-
τολὰς ἀπὸ τοῦ κλίματος (2) τοῦ νότου.

** ΙΩΣΗΠΟΥ. Προσεξειργάσατο καὶ
χυθρογαύλους, δέκα λουτῆρας στογγύλους
χαλκοῦς· ὧν ἕκαστος ἐχώρει τεσσαράκοντα
χόας. τὸ γὰρ ὕψος εἶχε τεσσάρων πηχῶν,
καὶ τοσούτοις ἀπ᾽ ἀλλήλων αὐτοῖς διειστήκει
τὰ χείλη. τίθησι δὲ τοὺς λουτῆρας τούτους
ἐπὶ τῶν δέκα βάσεων τῶν κληθεισῶν με-
χωνώθ. πέντε δὲ λουτῆρας ἵστησιν ἐξ ἀρι-
στεροῦ μέρους τοῦ ναοῦ· ἐτέτραπτο δὲ τοῦτο κα-
τὰ βορέαν ἄνεμον· καὶ τοσούτους ἐκ τοῦ δε-
ξιοῦ πρὸς νότον ἀφορῶντας εἰς τὴν ἀνατο-
λήν. κατὰ δὲ αὐτὸ καὶ τὴν θάλασσαν ἔθη-
κε. πληρώσας δὲ ὕδατος αὐτούς τε καὶ τὴν
θάλασσαν, τὴν μὲν θάλασσαν ἐπέδειξεν εἰς
τὸ νίπτειν τοὺς εἰς τὸν ναὸν εἰσιόντας ἱερεῖς
ἐν αὐτῇ τὰς χεῖρας καὶ τοὺς πόδας, μέλλον-
τας ἀναβαίνειν ἐπὶ τὸν βωμόν· τοὺς δὲ λου-
τῆρας, εἰς τὸ καθαίρειν τὰ ἐντὸς τῶν ὁλο-
καυτουμένων ζώων, καὶ τοὺς πόδας αὐτῶν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τοὺς δὲ χυτρογαύ-
λους, λουτῆρας ἐπικειμένους ταῖς βάσεσιν.
ἐν δὲ τούτοις ἔπλυνον τὰ ἱερεῖα, καὶ τὰ τού-
των ἐντὸς, καὶ τοὺς πόδας. τοῦτο γὰρ σα-
φῶς ἡ τῶν Παραλειπομένων ἐδίδαξε βί-
2.Παραλ.4.6. βλος. τοῦ πλύνειν γάρ φησιν ἐν αὐτοῖς τὰ
» ἔργα τῶν ὁλοκαυτωμάτων, καὶ ἐπικλύζειν
» ἐν αὐτοῖς, καὶ ἡ θάλασσα εἰς τὸ νίπτεσθαι
» τοὺς ἱερεῖς ἐν αὐτοῖς. τὰς δὲ τῶν λουτήρων
βάσεις, ἃς μεχωνὼθ προσηγόρευσε, τε-
τραγώνους εἶπε κατασκευασθῆναι, τροχοὺς
ἐχούσας ὑποκειμένους, ἁρματιαίοις τροχοῖς
ἐοικότας. εἶχον δὲ αὗται ἄνω χειρῶν ἐκτυ-
πώματα, στεφανοειδῆ φέροντα κύκλον, ᾧ
ὁ λουτὴρ ἐπετίθετο.

μ. Καὶ ἐποίησε Χιρὰμ τοὺς λέβη-
τας καὶ τὰς θερμάστρας (3) καὶ τὰς
φιάλας. καὶ συνετέλεσε Χιρὰμ ποιῶν
πάντα τὰ ἔργα ἃ ἐποίησε τῷ βασι-
λεῖ Σαλομὼν ἐν οἴκῳ Κυρίου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Θερμάστρας δὲ κέ-
κληκε τοὺς θερμαντῆρας, ἐν οἷς τὸ ὕδωρ
θερμαίνειν εἰώθαμεν.

μα. Στύλους δύω, καὶ τὰ στρεπτὰ
τῶν στύλων ἐπὶ τῶν κεφαλῶν τῶν στύ-
A λων δύω· καὶ τὰ δίκτυα δύω τοῦ καλύ-
πτειν ἀμφότερα τὰ στρεπτὰ τῶν γλυ-
μβ. φῶν τὰ ὄντα ἐπὶ τῶν στύλων. Τὰς
ῥοὰς τετρακοσίας ἀμφοτέροις τοῖς
δικτύοις, δύω στίχοι ῥοῶν τῷ δικτύῳ τῷ
ἑνὶ, περικαλύπτειν ἀμφότερα τὰ στρε-
πτὰ ἐπ᾽ ἀμφοτέροις τοῖς γλυπτοῖς. (4)
μγ. Καὶ τὰς μεχωνὼθ δέκα, καὶ τοὺς χυ-
B θρογαύλους δέκα ἐπὶ τῶν μεχωνώθ·
μδ. Καὶ τὴν θάλασσαν μίαν, καὶ τοὺς βόας
με. δώδεκα ὑποκάτω τῆς θαλάσσης· Καὶ
τοὺς λέβητας καὶ τὰς θερμαστρεῖς καὶ
τὰς φιάλας καὶ πάντα τὰ σκεύη, ἃ
ἐποίησε Χιρὰμ τῷ βασιλεῖ Σαλομὼν
τῷ οἴκῳ Κυρίου· καὶ οἱ στύλοι τεσσα-
ράκοντα καὶ ὀκτὼ τοῦ οἴκου τοῦ βασι-
λέως καὶ τοῦ οἴκου Κυρίου· πάντα τὰ
Γ ἔργα τοῦ βασιλέως ἐποίησε Χιρὰμ
μζ. χαλκᾶ ἄρδην. Οὐκ ἦν σταθμὸς τοῦ
χαλκοῦ οὗ ἐποίησε πάντα τὰ ἔργα
ταῦτα ἐκ πλήθους σφόδρα· οὐκ ἦν
μς. τέρμα τῶν σταθμῶν τοῦ χαλκοῦ. Ἐν
τῷ περιοίκῳ τοῦ Ἰορδάνου ἐχώνευσεν
αὐτὰ ὁ βασιλεὺς ἐν τῷ πάχει τῆς γῆς
ἀναμέσον Σοκχὼθ καὶ ἀναμέσον Σεϊ-
μη. ρά. (5) Καὶ ἔδωκεν ὁ βασιλεὺς Σα-
Δ λομὼν πάντα τὰ σκεύη ἐν οἴκῳ Κυ-
ρίου, τὸ θυσιαστήριον τὸ χρυσοῦν, καὶ
τὴν τράπεζαν ἐφ᾽ ἧς οἱ ἄρτοι τῆς
προσφορᾶς, χρυσῆν,

μθ. Καὶ τὰς λυχνίας πέντε ἐκ δε-
ξιῶν, καὶ πέντε ἐξ ἀριστερῶν κατὰ πρό-
σωπον τοῦ Δαβὶρ χρυσᾶς συγκεκλεισ-
μένας, καὶ τὰ λαμπάδια, καὶ τοὺς λύχ-
E νους, καὶ τὰς ἐπαρυστρίδας χρυσᾶς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Κατεσκεύασε δὲ καὶ
δέκα λυχνίας χρυσᾶς, ἃς ἐν τῷ ναῷ ἔθη-
κε κατὰ πρόσωπον τοῦ Δαβεὶρ, τουτέστι τοῦ
ἁγίου τῶν ἁγίων.

ν. Καὶ τὰ πρόθυρα, καὶ οἱ ἧλοι,
καὶ αἱ φιάλαι, καὶ τὰ τρυβλία, καὶ
αἱ θυΐσκαι χρυσαῖ, συγκλειστά. καὶ
τὰ θυρώματα τῶν θυρῶν τοῦ οἴκου τοῦ
Z ἐσωτάτου ἁγίου τῶν ἁγίων, καὶ τὰς
θύρας τοῦ οἴκου τοῦ ναοῦ χρυσᾶς.

να. Καὶ ἀνεπληρώθη πᾶν τὸ ἔρ-
γον ὃ ἐποίησε Σαλομὼν οἴκου Κυρίου.
καὶ εἰσήνεγκε Σαλομὼν τὰ ἅγια Δα-
βὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ πάντα τὰ
ἅγια Σαλομὼν, τὸ ἀργύριον καὶ τὸ
χρυσίον καὶ (6) πάντα τὰ σκεύη ἔδω-
H κεν εἰς τοὺς θησαυροὺς οἴκου Κυρίου.

ΘΕΟΔΩ-

(1) Ἐπὶ τῇ μεχωνὼθ τῇ μιᾷ. αἱ αὐτ. (2) Κλίτους. αἱ αὐτ.
(3) Θερμαστρεῖς. αἱ αὐτ. καὶ κατωτέρ. ἐδ. μέ. καὶ ὁ Θεοδώριτ. κατὰ τὴν ἐν Χάλ. ἔκδ.
(4) Τοῖς στύλοις. αἱ αὐτ. (5) Σειρά. αἱ αὐτ. (6) Καὶ τὰ σκεύη. αἱ αὐτ.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, εἰσήνεγκε Σολομὼν τὰ ἅγια Δαβὶδ τοῦ πατρὸς αὐτοῦ, καὶ πάντα τὰ ἅγια Σολομῶντος; Ἅγια καλεῖ (1) τὰ τῷ Θεῷ ἀνατεθέντα, καὶ τὰ ἐκ τῶν πολεμίων (2) ἀκροθίνια προσενεχθέντα· οἷον, ἀνεθεμάτισεν Ἰησοῦς ὁ τοῦ Ναυῆ τὴν Ἱεριχὼ, πάντα τὸν χρυσὸν καὶ τὸν ἄργυρον ἀνέθηκε τῷ Θεῷ. ἅγια τοίνυν κέκληκε τὰ ἀφοριθέντα τῷ τῶν ὅλων Θεῷ.

α. Καὶ τὸν οἶκον αὐτοῦ ᾠκοδόμησε Σαλομὼν τρισκαίδεκα ἔτεσι·

β. Καὶ ᾠκοδόμησε τὸν οἶκον δρυμῶν (3) τοῦ Λιβάνου· ἑκατὸν πήχεις μῆκος αὐτοῦ, καὶ πεντήκοντα πήχεις πλάτος αὐτοῦ, καὶ τριάκοντα πηχῶν ὕψος αὐτοῦ· καὶ τριῶν στίχων στύλων κεδρίνων, καὶ ὠμίαι κέδριναι τοῖς στύλοις.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνα καλεῖ οἶκον δρυμοῦ τοῦ Λιβάνου; Μέγιστον ἐν τοῖς βασιλείοις ᾠκοδόμησεν οἶκον, τοῦ δικαστηρίου πρόδρομον. (4) τούτου ἑκατὸν πήχεων ἦν τὸ μῆκος, πεντήκοντα δὲ τὸ εὖρος. εἶχε δὲ στύλους κεδρίνους πέντε καὶ τριάκοντα καὶ ἑκατόν. οἶμαι τοίνυν κληθῆναι αὐτὸν οἶκον δρυμοῦ τοῦ Λιβάνου, ἐπειδὴ πλῆθος εἶχε κιόνων κεδρίνων, μιμουμένων τοῦ Λιβάνου τὸ ἄλσος.

γ. Καὶ ἐφάτνωσε τὸν οἶκον ἄνωθεν ἐπὶ τῶν πλευρῶν τῶν στύλων· καὶ ἀριθμὸς τῶν στύλων τεσσαράκοντα καὶ πέντε.
δ. καὶ δέκα καὶ πέντε ὁ στίχος, Καὶ μέλαθρα τρία, καὶ χώρα ἐπὶ χώραν τρισσῶς.

» ** ΠΡΟΚΟΠΙΟΥ. Πέντε καὶ τεσσαράκοντα ὁ στίχος ὁ εἷς. Τρίστοον ἦν, ἐχούσης ἑκάστης στοᾶς πέντε καὶ τεσσαράκοντα κίονας. τὴν γὰρ τετάρτην στοὰν ἐπετέλει τοῦ δικαστηρίου τὰ προπύλαια, ἅπερ φησὶν αἰλάμ. αἱ δὲ στοαὶ ἀλλήλαις κατὰ τὰ ἄκρα συνήπτοντο δία . . χωρα . . ἐπιχωρα τρισσῶς. τὰς δὲ στοὰς ἐκάλεσε μέλαθρα.

ε. Καὶ πάντα τὰ θυρώματα, καὶ αἱ χῶραι τετράγωνοι μεμελαθρωμέναι· καὶ ἀπὸ τοῦ θυρώματος ἐπὶ θύραν τρισσῶς.

ς. Καὶ τὸ αἰλὰμ τῶν στύλων, πεντήκοντα πήχεων τὸ μῆκος, καὶ τριάκοντα ἐν πλάτει ἐζυγωμένα αἰλὰμ ἐπὶ πρόσωπον αὐτοῦ· καὶ στύλοι καὶ πάχος ἐπὶ πρόσωπον αὐτῆς τοῖς αἰ-
ζ. λαμίν. Καὶ τὸ αἰλὰμ τῶν θρόνων οὗ κρινεῖ ἐκεῖ, τὸ αἰλὰμ τοῦ κριτηρίου.
η. Καὶ ὁ οἶκος αὐτῶν ἐν ᾧ καθήσεται ἐκεῖ, αὐλὴ μία ἐξελισσομένη τούτοις κατὰ τὸ ἔργον τοῦτο. καὶ οἶκον τῇ θυγατρὶ Φαραὼ ἣν ἔλαβε Σαλομὼν,
θ. κατὰ τὸ αἰλὰμ τοῦτο. Ταῦτα πάντα ἐκ λίθων τιμίων κεκολαμμένα ἐκ διαστήματος ἔσωθεν καὶ ἐκ τῶν θεμελίων ἕως τῶν γεισῶν· καὶ ἔξωθεν εἰς τὴν αὐλὴν τὴν μεγάλην

* ΘΕΟΔΩΡΙΤΟΥ. Αἰλὰμ δὲ πάλιν τὸ προπύλαιον ὠνόμασεν· οὗ τὸ μῆκος ἰσόμετρον ἦν τῷ πλάτει τοῦ οἴκου· πεντήκοντα γὰρ πήχεων τὸ μῆκος, τριάκοντα δὲ τὸ εὖρος. ὅτι δὲ τῷ δικαστηρίῳ συνήρμοσται (5) οὗτος ὁ οἶκος, ἡ ἱστορία διδάσκει. καὶ τὸ Αἰ» λὰμ τῶν θρόνων, οὗ κρινεῖ ἐκεῖ. Αἰλὰμ τοῦ » κριτηρίου. καὶ ὁ οἶκος αὐτῶν, ἐν ᾧ καθή» σεται ἐκεῖ, καὶ τὰ ἑξῆς. ὅτι δὲ εἰς τὰς δὲ τὰς οἰκοδομὰς τοῖς τμητοῖς ἐχρήσατο λίθοις, (6) κἀντεῦθεν δῆλον. πάντα γὰρ » ταῦτα, φησὶν, ἐκ λίθων τμητῶν (7) κε» κολαμμένων, ἐκ διαστήματος ἔσωθεν, καὶ » ἐκ τῶν θεμελίων ἕως τῶν γεισῶν. (8)

ι. Τὴν τεθεμελιωμένην ἐν λίθοις τιμίοις μεγάλοις, λίθοις δεκαπήχεσι
ια. καὶ τοῖς ὀκταπήχεσι· Καὶ ἐπάνωθεν τιμίοις κατὰ τὸ μέτρον ἀπελεκήτων,
ιβ. καὶ κέδροις. Τῆς αὐλῆς τῆς μεγάλης κύκλῳ τρεῖς στίχοι ἀπελεκήτων, καὶ στίχος κεκολαμμένης κέδρου. καὶ συνετέλεσε Σαλομὼν ὅλον τὸν οἶκον αὐτοῦ.

ΚΕΦ. Η.

α. Καὶ ἐγένετο ἐν τῷ συντελέσαι Σαλομὼν τοῦ οἰκοδομῆσαι τὸν οἶκον Κυρίου καὶ τὸν οἶκον ἑαυτοῦ (9) μετὰ εἴκοσι ἔτη, τότε ἐξεκλησίασεν ὁ βασιλεὺς Σαλομὼν πάντας τοὺς πρεσβυτέρους Ἰσραὴλ ἐν Σιὼν, τοῦ ἀνενεγκεῖν τὴν κιβωτὸν διαθήκης Κυρίου ἐκ πόλεως
β. Δαβὶδ, αὕτη ἐστὶ Σιὼν, Ἐν μηνὶ Ἀ-
γ. θανίν. Καὶ ἦραν οἱ ἱερεῖς τὴν κιβω-
δ. τὸν Καὶ τὸ σκήνωμα τοῦ μαρτυρίου καὶ πάντα τὰ σκεύη τὰ ἅγια τὰ ἐν τῷ
ε. σκηνώματι τοῦ μαρτυρίου. Καὶ ὁ βασιλεὺς καὶ πᾶς Ἰσραὴλ ἔμπροσθεν

τῆς

(1) Κέκληκε. ἡ ἐν Χάλ. ἔκδ. (2) Πολέμων. ἡ αὐτ. (3) Δρυμῷ αἱ αὐτ.
(4) Πρόδομον. ἡ αὐτ. (5) Συνήρμοστο. ἡ αὐτ. (6) Καὶ τὰ ἑξῆς διδάσκει ταῦτα, κτ. ἡ αὐτ.
(7) Τιμίων. ἡ αὐτ. (8) Γεισὸν μὲν κατὰ τὴν ἐπιχώριον γλῶτταν, θριγκὸν δὲ παρ' Ἕλλησι λεγόμενον. Ἰώσηπ. ἐν κεφ. 3. τοῦ 8. περὶ Ἰουδ. ἀρχ. βιβλ. σελ. 427. τῆς ἐν Ἀμστελ. ἐκδόσ.
(9) Αὐτοῦ. αἱ αὐτ.

τῆς κιβωτοῦ θύοντες πρόβατα καὶ βόας,
ἀναρίθμητα.

ϛ. Καὶ εἰσφέρουσιν οἱ ἱερεῖς τὴν κι-
βωτὸν εἰς τὸν τόπον αὐτῆς εἰς τὸ Δα-
βὶρ τοῦ οἴκου εἰς τὰ ἅγια τῶν ἁγίων
ὑπὸ τὰς πτέρυγας τῶν Χερουβίμ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὅτι δὲ Δαβεὶρ τὰ ἅγια τῶν ἁγίων καλεῖ, σαφέστερον (1) μανθάνομεν ἐντεῦθεν. εἰπὼν γὰρ ὁ συγγραφεὺς, ὅτι τῆς οἰκοδομῆς τέλος λαβούσης, συνήγαγε τὸν λαὸν, ὥστε τῶν ἐγκαινίων ἐπι-
» τελέσαι τὴν ἑορτὴν, ἐπήγαγε· καὶ ἐκφέ-
» ρουσιν οἱ ἱερεῖς τὴν κιβωτὸν τῆς διαθήκης
» Κυρίου εἰς τὸν τόπον αὐτῆς, εἰς τὸ Δαβεὶρ
» τοῦ οἴκου, εἰς τὰ ἅγια τῶν ἁγίων ὑπὸ τὰς
» πτέρυγας τῶν Χερουβίμ.

ζ. Ὅτι τὰ Χερουβὶμ διαπεπετασ-
μένα ταῖς πτέρυξιν ἐπὶ τὸν τόπον τῆς
κιβωτοῦ· καὶ περιεκάλυπτον τὰ Χε-
ρουβὶμ ἐπὶ τὴν κιβωτὸν καὶ ἐπὶ τὰ
η. ἅγια αὐτῆς ἐπάνωθεν. Καὶ ὑπερεῖχε
τὰ ἡγιασμένα· καὶ ἐνεβλέποντο αἱ
κεφαλαὶ τῶν ἡγιασμένων ἐκ τῶν ἁ-
γίων εἰς πρόσωπον τοῦ Δαβὶρ, καὶ οὐκ
θ. ὠπτάνοντο ἔξω. Οὐκ ἦν ἐν τῇ κιβω-
τῷ πλὴν δύω πλάκες λίθιναι, πλά-
κες τῆς διαθήκης ἃς ἔθετο (2) ἐκεῖ
Μωϋσῆς ἐν Χωρὴβ, ἃς διέθετο Κύ-
ριος μετὰ τῶν υἱῶν Ἰσραὴλ ἐν τῷ ἐκ-
πορεύεσθαι αὐτοὺς ἐκ γῆς Αἰγύπτου.
ι. Καὶ ἐγένετο ὡς ἐξῆλθον οἱ ἱερεῖς ἐκ
τοῦ ἁγίου, καὶ ἡ νεφέλη ἔπλησε τὸν
ια. οἶκον. Καὶ οὐκ ἠδύναντο οἱ ἱερεῖς στῆναι
λειτουργεῖν ἀπὸ προσώπου τῆς νεφέ-
λης, ὅτι ἔπλησε δόξα Κυρίου τὸν οἶ-
ιδ. κον. (3) Καὶ ἀπέστρεψεν ὁ βασιλεὺς
τὸ πρόσωπον αὐτοῦ, καὶ εὐλόγησεν ὁ
βασιλεὺς τὸν πάντα (4) Ἰσραήλ· καὶ
ιε. πᾶσα ἡ ἐκκλησία (5) εἱστήκει. Καὶ
εἶπεν, εὐλογητὸς Κύριος ὁ Θεὸς Ἰσ-
ραὴλ σήμερον, ὃς ἐλάλησεν ἐν στόμα-
τι αὐτοῦ περὶ Δαβὶδ τοῦ πατρός μου
καὶ ἐν ταῖς χερσὶν αὐτοῦ ἐπλήρωσε,
ιϛ. λέγων, Ἀφ' ἧς ἡμέρας ἐξήγαγον
τὸν λαόν μου (6) Ἰσραὴλ ἐξ Αἰγύπτου,
οὐκ ἐξελεξάμην ἐν πόλει ἐν ἑνὶ σκή-
πτρῳ Ἰσραὴλ τοῦ οἰκοδομῆσαι οἶκον
τοῦ εἶναι τὸ ὄνομά μου ἐκεῖ. καὶ ἐξελε-
ξάμην ἐν Ἱερουσαλὴμ τοῦ εἶναι τὸ ὄνο-
μά μου ἐκεῖ. καὶ ἐξελεξάμην τὸν Δα-
βὶδ τοῦ εἶναι ἡγούμενον ἐπὶ τὸν λαόν μου
ιζ. Ἰσραήλ. Καὶ ἐγένετο ἐπὶ τῆς καρ-
δίας Δαβὶδ τοῦ πατρός μου οἰκοδομῆ-
σαι οἶκον τῷ ὀνόματι Κυρίου Θεοῦ Ἰσ-
ιη. ραήλ. Καὶ εἶπε Κύριος πρὸς Δαβὶδ
τὸν πατέρα μου, ἀνθ' ὧν ἦλθεν ἐπὶ
τὴν καρδίαν σου τοῦ οἰκοδομῆσαι οἶκον
τῷ ὀνόματί μου, καλῶς ἐποίησας ὅτι
ιθ. ἐγενήθη ἐπὶ τὴν καρδίαν σου. Πλὴν
B σὺ οὐκ οἰκοδομήσεις τὸν οἶκον, ἀλλ' ἢ
ὁ υἱός σου ὁ ἐξελθὼν ἐκ τῶν πλευρῶν
σου, οὗτος οἰκοδομήσει τὸν οἶκον τῷ ὀνό-
κ. ματί μου. Καὶ ἀνέστησε Κύριος τὸ ῥῆ-
μα αὐτοῦ ὃ ἐλάλησε· καὶ ἀνέστην ἀν-
τὶ Δαβὶδ τοῦ πατρός μου, καὶ ἐκά-
θισα ἐπὶ τοῦ θρόνου Ἰσραὴλ, καθὼς
ἐλάλησε Κύριος, καὶ ᾠκοδόμησα τὸν
οἶκον τῷ ὀνόματι Κυρίου Θεοῦ Ἰσραήλ.
κα. Καὶ ἐθέμην ἐκεῖ τόπον τῇ κιβωτῷ, ἐν
Γ ᾗ ἐστὶν ἐκεῖ διαθήκη Κυρίου ἣν διέθετο
Κύριος μετὰ τῶν πατέρων ἡμῶν ἐν
τῷ ἐξαγαγεῖν αὐτὸν αὐτοὺς ἐκ γῆς
κβ. Αἰγύπτου. Καὶ ἔστη Σαλομὼν κατὰ
πρόσωπον τοῦ θυσιαστηρίου Κυρίου ἐνώ-
πιον πάσης ἐκκλησίας Ἰσραήλ· καὶ
διεπέτασε τὰς χεῖρας αὐτοῦ εἰς τὸν
κγ. οὐρανὸν, Καὶ εἶπε, Κύριε ὁ Θεὸς Ἰσ-
Δ ραὴλ, οὐκ ἔστι Θεὸς ὡς σὺ ἐν τῷ οὐρα-
νῷ ἄνω καὶ ἐπὶ τῆς γῆς κάτω, φυ-
λάσσων διαθήκην καὶ ἔλεος τῷ δούλῳ
σου τῷ πορευομένῳ ἐνώπιόν σου ἐν ὅλῃ
καρδίᾳ αὐτοῦ,

κδ. Ἃ ἐφύλαξας τῷ δούλῳ σου
Δαβὶδ τῷ πατρί μου· καὶ ἐλάλησας
ἐν (7) στόματί σου, καὶ ἐν χερσί σου ἐπλή-
E ρωσας, ὡς ἡ ἡμέρα αὕτη.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, ἃ ἐλά-
» λησας ἐν τῷ ὀνόματί σου, καὶ ἐν ταῖς χερ-
» σί σου ἐπλήρωσας, ὡς ἡ ἡμέρα αὕτη; Διὰ τῆς γλώσσης λόγους προφέρομεν, διὰ δὲ τῶν χειρῶν ἐργαζόμεθα. ἀνθρωπίνως τοίνυν τοῖς λόγοις χρησάμενος εἴρηκεν, ὅτι οἷς εἶπας τὸ πέρας ἐπέθηκας. ἐπαγγειλάμενος γὰρ τῷ ἐμῷ πατρὶ, σῷ δὲ θεράποντι, καὶ βασιλέα χειροτονήσειν τὸν ἐξ
Z αὐτοῦ, καὶ δι' αὐτοῦ (8) τὸν σὸν οἰκοδομήσειν ναὸν, ἐδίδαξας (9) τὴν τῶν σῶν λόγων ἀλήθειαν.

κε. Καὶ νῦν Κύριε ὁ Θεὸς Ἰσραὴλ,
φύλαξον τῷ δούλῳ σου Δαβὶδ τῷ πα-
τρί μου ἃ ἐλάλησας αὐτῷ, λέγων, οὐκ
ἐξαρθήσεταί σου ἀνὴρ ἐκ προσώπου μου
καθή-

(1) Ἐκ τῆς ἱστορίας μανθάνομεν. εἰπὼν, κτ. ἡ αὐτ. (2) Ἔθηκε Μωϋσῆς. αἱ αὐτ.
(3) Τότε εἶπε Σαλωμὼν, Κύριος εἶπε τοῦ σκηνῶσαι ἐν γνόφῳ. Ὠκοδόμησα οἶκον κατοικητηρίου σοι ἕδρασμα τῆς καθέδρας σου . . αἰῶνας. ταῦτα ἐν ταῖς σημειώσ. ἀντὶ τοῦ ια καὶ ιβ ἐδ. ἃ δὴ καὶ ἐν τῇ Ἑβραϊκῇ ἐκδόσ. κεῖται. (4) Πάντα, ἄνδ. ἄρθρ. αἱ αὐτ. (5) Ἐκκλησία Ἰσραήλ. αἱ αὐτ.
(6) Τὸν Ἰσραήλ. αἱ αὐτ. ὁμοίως καὶ κατωτέρω. (7) Ἐν τῷ στόμ. αἱ αὐτ.
(8) Δι' αὐτόν. ἡ ἐν Χάλ. ἐκδ. ἐπισφαλῶς. (9) Ἔδειξας. ἡ αὐτ.

καθήμενος ἐπὶ θρόνου Ἰσραὴλ, πλὴν A
ἐὰν φυλάξωνται τὰ τέκνα σου τὰς
ὁδοὺς αὐτῶν τοῦ πορεύεσθαι ἐνώπιόν μου
κϛ. καθὼς ἐπορεύθης ἐνώπιον ἐμοῦ. Καὶ
νῦν Κύριε ὁ Θεὸς Ἰσραὴλ, πιστωθή-
τω δὴ τὸ ῥῆμά σου τῷ Δαβὶδ τῷ πα-
τρί μου.

κζ. Ὅτι εἰ ἀληθῶς κατοικήσει ὁ
Θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς; B
εἰ ὁ οὐρανὸς καὶ ὁ οὐρανὸς τῶν οὐρανῶν οὐκ
ἀρκέσουσί σοι, πλὴν καὶ ὁ οἶκος οὗτος
ὃν ᾠκοδόμησα τῷ ὀνόματί σου;

** ΚΛΗΜΕΝΤΟΣ. (1) Σολομὼν ὁ τοῦ
Δαβὶδ παῖς ἐν ταῖς Βασιλείαις ἐπιγραφο-
μέναις τὴν τοῦ ἀληθινοῦ νεὼ κατασκευὴν
συνεὶς, οὐ μόνον ἐπουράνιον εἶναι καὶ πνευ-
ματικὴν, ἤδη δὲ καὶ εἰς τὴν σάρκα διαφέ-
ρειν, ἣν ἔμελλεν οἰκοδομεῖν ὁ τοῦ Δαβὶδ υἱός-
τε καὶ Κύριος, εἴς τε τὴν αὐτοῦ παρουσίαν, Γ
ἔνθα καθιδρύεσθαι, καθάπερ τι ἄγαλμα
ἔμψυχον διεγνώκει, εἴς τε τὴν κατὰ σύνο-
δον πίστεως ἐγειρομένην Ἐκκλησίαν, κατὰ
» λέξιν λέγει· εἰ ἀληθῶς ἄρα κατοικήσει
» Θεὸς μετὰ ἀνθρώπων ἐπὶ τῆς γῆς. κα-
τοικεῖ δὲ ἐπὶ τῆς γῆς σάρκα περιβαλλό-
μενος, καὶ μετὰ ἀνθρώπων αὐτῷ κατοίκη-
σις γίνεται ἐν τῇ κατὰ τοὺς δικαίους συν-
θέσει τε καὶ ἁρμονίᾳ· νεὼν ἅγιον ἐργαζο-
μένῳ τε καὶ ἀνιστάντι. γῆ γὰρ οἱ δίκαιοι τὴν
γῆν ἔτι περικείμενοι, καὶ γῆ ὡς πρὸς τὸ
μέγεθος παραβαλλόμενοι τοῦ Κυρίου. ταῦ-
τά τοι καὶ ὁ μακάριος Πέτρος οὐκ ὀκνεῖ λέ-
1. Πέτρ. 2. 5. γειν· καὶ αὐτοὶ ὡς λίθοι ζῶντες οἰκοδομεῖ-
» σθε, οἶκος πνευματικὸς, ἱεράτευμα ἅγιον,
» ἀνενέγκαι πνευματικὰς θυσίας, τὰς προσ-
» δεκτὰς τῷ Θεῷ διὰ Ἰησοῦ Χριστοῦ. ἐπὶ δὲ τοῦ
σώματος, ὃ κατὰ περιγραφὴν τόπον ἔν-
θεον ἑαυτῷ καθιέρωσεν ἐπὶ γῆς ὁ Κύριος,
Ἰωάν. 2. 19, 20, 21. λύσατε, εἶπε, τὸν ναὸν τοῦτον, καὶ ἐν τρι-
» σὶν ἡμέραις ἐγερῶ αὐτόν. εἶπον οὖν οἱ Ἰου-
» δαῖοι· τεσσαράκοντα καὶ ἓξ ἔτεσιν ὁ ναὸς
» οὗτος ᾠκοδομήθη, καὶ σὺ τρισὶν ἡμέραις
» ἐγερεῖς αὐτόν; ἐκεῖνος δὲ ἔλεγε περὶ τοῦ
» ναοῦ τοῦ σώματος αὐτοῦ.

κη. Καὶ ἐπιβλέψῃ ἐπὶ τὴν δέη-
σίν μου Κύριε ὁ Θεὸς Ἰσραὴλ, ἀκούειν
τῆς τέρψεως καὶ τῆς προσευχῆς ἧς
ὁ δοῦλός σου προσεύχεται ἐνώπιόν σου Z
πρὸς σὲ σήμερον,

κθ. Τοῦ εἶναι τοὺς ὀφθαλμούς σου
ἀνεῳγμένους εἰς τὸν οἶκον τοῦτον ἡμέ-
ρας καὶ νυκτὸς, εἰς τὸν τόπον ὃν εἶπας,
ἔσται τὸ ὄνομά μου ἐκεῖ, τοῦ εἰσακούειν
τῆς προσευχῆς ἧς προσεύχεται ὁ δοῦ-
λός σου εἰς τὸν τόπον τοῦτον ἡμέρας
καὶ νυκτός.

* ΘΕΟΔΩΡΙΤΟΥ. Φύσιν γὰρ ἀπερί- H
ληπτον ἔχων, καὶ μήτε τῷ ὁρωμένῳ, μήτε
A τῷ ὑπερτέρῳ χωρούμενος (2) οὐρανῷ, χειρο-
ποίητον ναὸν σαυτῷ κατεσκεύασας, οὐκ ἐν
τούτῳ περιγραφόμενος, ἀλλ' ἐν τούτῳ τὴν
οἰκείαν ποιούμενος ἐπιφάνειαν. τοῦτο γὰρ
» ἔφη, τοῦ εἶναι τοὺς ὀφθαλμούς σου ἀνεῳγμέ-
» νους εἰς τὸν οἶκον τοῦτον ἡμέρας καὶ νυκτός·
ὥστε καὶ ἕνα καθ' ἑαυτὸν προσευχόμενον,
καὶ κοινῇ τὸν λαόν σου δεόμενον, τῶν αἰτή-
σεων ἀπολαύειν, καὶ μὴ τοὺς ἰθαγενεῖς μό-
νον, ἀλλὰ καὶ τοὺς ἄλλοθεν ἀφικνουμένους,
B καὶ τῆς σῆς ἀγαθότητος δεομένους, ταῖς
σαῖς ἐπικλύζεσθαι δωρεαῖς.

λ. Καὶ εἰσακούσῃ τῆς δεήσεως τοῦ
δούλου σου καὶ τοῦ λαοῦ σου Ἰσραὴλ ἃ
ἂν προσεύχωνται εἰς τὸν τόπον τοῦτον.
καὶ σὺ εἰσακούσῃ ἐν τῷ τόπῳ τῆς κα-
τοικήσεώς σου ἐν οὐρανῷ· καὶ ποιήσεις
καὶ ἔσῃ ἵλεως.

Γ » ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ εἰσακούσῃ ἐκ τοῦ
οὐρανοῦ. Σαφῶς διὰ τούτων ἁπάντων ἐφ'
ἑκάστῳ τὸν Θεὸν οὐκ ἐκ τοῦ οἴκου τοῦ ἐπὶ τῆς
γῆς, ἀλλ' ἐκ τοῦ οὐρανοῦ εἰσακούειν φησί. καὶ
ὁμολογεῖ οὐκ αὐτῷ τῷ Θεῷ, ἀλλὰ τῷ ὀνό-
ματι αὐτοῦ ᾠκοδομηκέναι τὸν ναόν. ἤδει γὰρ
αὐτὸν ἀχώρητον καὶ τὰ πάντα πληροῦντα.
» καὶ Ἡσαΐας δέ φησιν· οὕτω λέγει Κύριος, Ἡσ. 66. 1.
» ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον
» τῶν ποδῶν μου. ποῖον οἶκον οἰκοδομήσετέ
Δ » μοι λέγει Κύριος; ἢ τίς τόπος τῆς κατα-
» παύσεώς μου;

λα. Ὅσα ἂν ἁμάρτῃ ἕκαστος τῷ
πλησίον αὐτοῦ, καὶ ἐὰν λάβῃ ἐπ' αὐ-
τὸν ἀρὰν τοῦ ἀράσασθαι αὐτὸν, καὶ
ἔλθῃ καὶ ἐξαγορεύσῃ κατὰ πρόσω-
πον τοῦ θυσιαστηρίου σου ἐν τῷ οἴκῳ τού-
λβ. τῳ, Καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ
καὶ ποιήσεις· καὶ κρινεῖς τὸν λαόν σου
E Ἰσραὴλ, ἀνομηθῆναι ἄνομον, δοῦναι
τὴν ὁδὸν αὐτοῦ εἰς κεφαλὴν αὐτοῦ, καὶ
τοῦ δικαιῶσαι δίκαιον, δοῦναι αὐτῷ κα-
τὰ τὴν δικαιοσύνην αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἱκετεύω δὲ καὶ τοὺς
ἁμαρτάνοντας μὲν, μεταμελείᾳ δὲ κεχρη-
μένους, καὶ προσευχομένους ἐπιμελῶς, φει-
δοῦς ἀξιοῦσθαι, καὶ τοῦ σοῦ ἐλέους τοὺς κρουνοὺς
αὐτοῖς χορηγεῖσθαι.

λγ. Ἐν τῷ πταῖσαι τὸν λαόν σου
Ἰσραὴλ ἐνώπιον ἐχθρῶν, ὅτι ἁμαρ-
τήσονταί σοι, καὶ ἐπιστρέψουσι καὶ ἐξο-
μολογήσονται τῷ ὀνόματί σου, καὶ προ-
σεύξονται καὶ δεηθήσονται ἐν τῷ οἴκῳ
λδ. τούτῳ, Καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρα-
νοῦ, καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις τοῦ
λαοῦ σου Ἰσραὴλ, καὶ ἐπιστρέψεις αὐ-
τοὺς εἰς τὴν γῆν ἣν ἔδωκας τοῖς πα-
τράσιν αὐτῶν.

(1) Ἐκ τῶν ἐν τοῖς τοῦ Ἱππολύτου ἀποσπασμάτων ἐλήφθη τῶν ἐν σελ. 73. τῆς κατὰ τὸ Ἀμβούργ. ἐκδόσ.
(2) Χειρούμενος. ἡ ἐν Χάλ. ἔκδ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ δὲ καὶ ἡττηθεὶς ἐν πολέμῳ, διὰ τὰς τολμηθείσας παρανομίας δορυάλωτος ὁ λαός σου γένοιτο, εἶτα δουλεύων εἰς αἴσθησιν ἔλθοι τῶν ἐπταισμένων, καὶ οἴκτου τυχεῖν ἱκετεύσοι εἰς τοῦτον τὸν ναὸν ἀποβλέπων, ἐπίβλεψον οὐρανόθεν ἐξ ἐκείνου τοῦ ἀκηράτου ναοῦ σου, καὶ τὴν προγονικὴν αὐτοῖς ἐλευθερίαν προσδεξαμένοις ἀπόδος. ταῦτα καὶ περὶ πολέμων, καὶ περὶ τῶν ἄλλων θεηλάτων πληγῶν τὸν Φιλάνθρωπον Δεσπότην ἱκέτευσεν· ὥστε τοὺς μὲν ἐν τῇ πατρίδι διάγοντας, καὶ εἰς τὸν θεῖον ναὸν συνθέοντας, καὶ θερμῶς ἱκετεύοντας, συγγνώμης τυχεῖν· τοὺς δὲ πόῤῥω ὄντας, καὶ εἰς τὴν πρὸς τοῦτον φέρουσαν τρεπομένους ὁδὸν, καὶ τὸν Θεὸν ἀντιβολοῦντας, καὶ τῶν δυσχερῶν ἀπαλλάττεσθαι, καὶ τῶν καταθυμίων τυγχάνειν.

λε. Ἐν τῷ συσχεθῆναι τὸν οὐρανὸν
καὶ μὴ γενέσθαι ὑετὸν, ὅτι ἁμαρτή-
σονταί σοι, καὶ προσεύξονται εἰς τὸν
τόπον τοῦτον, καὶ ἐξομολογήσονται τῷ
ὀνόματί σου, καὶ ἀπὸ τῶν ἁμαρτιῶν
αὐτῶν ἐπιστρέψουσιν ὅταν ταπεινώσῃς
λς. αὐτοὺς, Καὶ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ,
καὶ ἵλεως ἔσῃ ταῖς ἁμαρτίαις τοῦ δού-
λου σου καὶ τοῦ λαοῦ σου Ἰσραήλ· ὅτι δη-
λώσεις αὐτοῖς τὴν ὁδὸν τὴν ἀγαθὴν
πορεύεσθαι ἐν αὐτῇ, καὶ δώσεις ὑετὸν
ἐπὶ τὴν γῆν σου ἣν ἔδωκας τῷ λαῷ
λζ. σου ἐν κληρονομίᾳ. Λιμὸς ἐὰν γένη-
ται, θάνατος ἐὰν γένηται, ὅτι (1) ἔσται
ἐμπυρισμὸς, βροῦχος, ἐρυσίβη ἐὰν γέ-
νηται, καὶ ἐὰν θλίψῃ αὐτὸν (2) ἐχθρὸς
αὐτοῦ ἐν μιᾷ τῶν πόλεων αὐτοῦ, πᾶν
λη. συνάντημα, πάντα πόνον, Πᾶσαν
προσευχὴν, πᾶσαν δέησιν ἐὰν γένη-
ται παντὶ ἀνθρώπῳ, ὡς ἂν γνῶσιν
ἕκαστος ἁφὴν καρδίας αὐτοῦ, καὶ δια-
πετάσῃ τὰς χεῖρας αὐτοῦ εἰς τὸν οἶκον
λθ. τοῦτον, Καὶ σὺ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ
ἐξ ἑτοίμου κατοικητηρίου σου, καὶ ἵλεως
ἔσῃ, καὶ ποιήσεις καὶ δώσεις ἀνδρὶ κατὰ
τὰς ὁδοὺς αὐτοῦ, καθὼς ἂν γνῷς τὴν
καρδίαν αὐτοῦ, ὅτι σὺ μονώτατος οἶ-
δας τὴν καρδίαν πάντων υἱῶν ἀνθρώ-
μ. πων, Ὅπως φοβῶνταί σε πάσας
τὰς ἡμέρας ἃς αὐτοὶ ζῶσιν ἐπὶ τῆς
γῆς, ἧς ἔδωκας τοῖς πατράσιν ἡμῶν.
μα. Καὶ τῷ ἀλλοτρίῳ ὃς οὐκ ἔστιν ἀπὸ τοῦ
μβ. λαοῦ σου οὗτος, Καὶ ἥξουσι καὶ προσεύ-
μγ. ξονται εἰς τὸν τόπον τοῦτον, Καὶ σὺ
εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ ἑτοίμου κα-
τοικητηρίου σου, καὶ ποιήσεις κατὰ πάν-
τα ὅσα ἂν ἐπικαλέσηταί σε ὁ ἀλλό-
τριος, ὅπως γνῶσι πάντες οἱ λαοὶ τῆς
A γῆς τὸ ὄνομά σου, καὶ φοβῶνταί σε,
καθὼς ὁ λαός σου Ἰσραὴλ, καὶ γνῶ-
σιν ὅτι τὸ ὄνομά σου ἐπικέκληται ἐπὶ
μδ. τὸν οἶκον τοῦτον ὃν ᾠκοδόμησα. Ὅτι
ἐξελεύσεται ὁ λαός σου εἰς πόλεμον
ἐπὶ τοὺς ἐχθροὺς αὐτοῦ ἐν ὁδῷ ᾗ ἀπο-
στρέψεις αὐτοὺς, καὶ προσεύξονται ἐν
ὀνόματι Κυρίου ὁδὸν τῆς πόλεως ἧς
B ἐξελέξω ἐν αὐτῇ, καὶ τοῦ οἴκου οὗ ᾠκο-
με. δόμησα τῷ ὀνόματί σου, Καὶ εἰσακού-
σῃ ἐκ τοῦ οὐρανοῦ τῆς δεήσεως αὐτῶν,
καὶ τῆς προσευχῆς αὐτῶν, καὶ ποιή-
μς. σεις τὸ δικαίωμα αὐτοῖς. Ὅτι ἁμαρ-
τήσονταί σοι, ὅτι οὐκ ἔστιν ἄνθρωπος
ὃς οὐχ ἁμαρτήσεται, καὶ ἐπάξεις ἐπ'
αὐτοὺς καὶ παραδώσεις αὐτοὺς ἐνώπιον
ἐχθρῶν, καὶ αἰχμαλωτιοῦσιν αὐτοὺς
Γ οἱ αἰχμαλωτίζοντες εἰς γῆν μακρὰν
μζ. ἢ ἐγγὺς, Καὶ ἐπιστρέψουσι καρδίας
αὐτῶν ἐν τῇ γῇ οὗ μετήχθησαν ἐκεῖ,
καὶ ἐπιστρέψωσι καὶ δεηθῶσί σου ἐν γῇ
μετοικίας αὐτῶν, λέγοντες, ἡμάρτο-
μη. μεν, ἠνομήσαμεν, ἠδικήσαμεν, Καὶ
ἐπιστρέψωσι πρὸς σὲ ἐν ὅλῃ καρδίᾳ
αὐτῶν καὶ ἐν ὅλῃ ψυχῇ αὐτῶν ἐν τῇ
γῇ ἐχθρῶν αὐτῶν οὗ μετήγαγες αὐ-
Δ τοὺς, καὶ προσεύξονται πρὸς σὲ ὁδὸν
γῆς αὐτῶν ἧς ἔδωκας τοῖς πατράσιν
αὐτῶν, καὶ τῆς πόλεως ἧς ἐξελέξω,
καὶ τοῦ οἴκου οὗ ᾠκοδόμησα τῷ ὀνόμα-
μθ. τί σου, Καὶ εἰσακούσῃ ἐκ τοῦ οὐρανοῦ ἐξ
ν. ἑτοίμου κατοικητηρίου σου, Καὶ ἵλεως
ἔσῃ ταῖς ἀδικίαις αὐτῶν αἷς ἥμαρτόν
σοι, καὶ κατὰ πάντα τὰ ἀθετήματα
E αὐτῶν ἃ ἠθέτησάν σε, (3) καὶ δώσεις
αὐτοὺς εἰς οἰκτιρμοὺς ἐνώπιον αἰχμαλω-
να. τευσάντων αὐτοὺς, Ὅτι λαός σου καὶ
κληρονομία σου, οὓς ἐξήγαγες ἐκ γῆς
Αἰγύπτου ἐκ μέσου χωνευτηρίου σιδηροῦ.
νβ. Καὶ ἔστωσαν οἱ ὀφθαλμοί σου καὶ τὰ
ὦτά σου ἠνεῳγμένα εἰς τὴν δέησιν τοῦ
δούλου σου, καὶ εἰς τὴν δέησιν τοῦ λαοῦ
σου Ἰσραὴλ, εἰσακούειν αὐτῶν ἐν πᾶ-
Z σιν οἷς ἂν ἐπικαλέσωνταί σε.

νγ. Ὅτι σὺ διέστειλας αὐτοὺς σεαυ-
τῷ εἰς κληρονομίαν ἐκ πάντων τῶν
λαῶν τῆς γῆς, καθὼς ἐλάλησας ἐν
χειρὶ δούλου σου Μωϋσῆ, ἐν τῷ ἐξαγα-
γεῖν σε τοὺς πατέρας ἡμῶν ἐκ γῆς Αἰ-
γύπτου, Κύριε Κύριε. τότε ἐλάλησε
Σαλομὼν ὑπὲρ τοῦ οἴκου, ὡς συνετέ-
λεσε τοῦ οἰκοδομῆσαι αὐτὸν, ἥλιον ἐγ-
H νώρισεν ἐν οὐρανῷ· Κύριος εἶπε τοῦ κα-
τοικεῖν ἐν γνόφῳ· οἰκοδόμησον οἶκόν
μου,

(1) Ὅτε. αὐτ. ἐν ταῖς σημ. (2) Ὁ ἐχθρ. αἱ αὐτ. (3) Σοι. αἱ αὐτ.

μου, οἶκον εὐπρεπῆ σεαυτῷ τοῦ καλοι-
κεῖν ἐπὶ καινότητος. οὐκ ἰδοὺ αὕτη γέ-
γραπλαι ἐν βίβλῳ τῆς ᾠδῆς;

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ,
» ἥλιον ἔστησεν ἐν οὐρανῷ Κύριος, καὶ εἶπε τοῦ
» καλοικεῖν ἐν γνόφῳ; Μελῳδῶν ὁ μακάριος
Ψαλ. 96. 2. ἔφη Δαβὶδ, νεφέλη καὶ γνόφος κύκλῳ
Ψαλ. 17. 9, 11. αὐτοῦ. καὶ ἀλλαχοῦ, καὶ ἔκλινεν οὐρανοὺς καὶ
» κατέβη, καὶ γνόφος ὑπὸ τοὺς πόδας αὐτοῦ. (1)
» εἶτα καὶ πάλιν, καὶ ἔθετο σκότος ἀποκρυ-
φὴν αὐτοῦ. σκότος δὲ καὶ γνόφος τῆς θείας
οὐσίας αἰνίτλεται τὸ ἀόρατον. ἔφη τοίνυν
ὁ Σολομὼν, [ὅτι] τὸν ἥλιον ἐν οὐρανῷ τε-
θεικὼς, ὥστε τοὺς ἀνθρώπους ἀπολαύειν τοῦ
φωτὸς, αὐτὸς εἶπε τοῦ κατοικεῖν ἐν γνόφῳ.
οἶμαι δὲ ἐνταῦθα τὸν νεὼν αἰνίτλεσθαι. φω-
ταγωγοὺς γὰρ εἶχεν ἄγαν σμικροτάτους,
ἐπειδὴ καὶ ἑτέρους οἰκίσκους κύκλῳ δεδομη-
μένους εἶχε. τοῦτο γὰρ ἐπήγαγεν· οἰκοδό-
» μησον οἶκόν μοι, οἶκον εὐπρεπῆ σεαυτῷ,
» τοῦ κατοικεῖν ἐπὶ καινότητος. οὐδὲ γὰρ αὐ-
τὸς ἐδεῖτο τῆς τοιαύτης οἰκοδομίας, ἀλλὰ
διὰ τὴν τῶν ἀνθρώπων χρείαν οἰκοδομη-
θῆναι προσέταξεν. ἰστέον μέντοι, ὡς τῆς
οἰκοδομῆς τὸ σκάριφον, καὶ τὰ μέτρα, καὶ
τὸν χρυσὸν, καὶ τὸν ἄργυρον, καὶ τὸν τῶν
ἱερῶν σκευῶν ἀριθμὸν ὁ θεῖος Δαβὶδ ἐδε-
δώκει τῷ Σολομῶντι. λέγει γὰρ ταῦτα καὶ
τῶν Παραλειπομένων ἡ βίβλος σαφῶς·
1. Παραλ. 28. Καὶ ἔδωκε Δαβὶδ Σολομῶντι τῷ υἱῷ αὐτοῦ
11-14. » τὸ παράδειγμα τοῦ ναοῦ καὶ τῶν οἴκων αὐτοῦ,
» καὶ τῶν ὑπερῴων αὐτοῦ, καὶ τῶν ταμείων
» τῶν ἐσωτέρων, καὶ τοῦ ἱλαστηρίου· καὶ τὸ
» παράδειγμα πάντων, ὧν ἦν ἐν πνεύματι
» μετ᾽ αὐτοῦ, καὶ τῶν αὐλῶν οἴκου Κυρίου, καὶ
» πάντων παστοφορίων τῶν κύκλῳ, τῶν εἰς
» τὰς ὑποθήκας (2) οἴκου Κυρίου, καὶ τῶν ἀπο-
» θηκῶν τῶν ἁγίων· καὶ τὰς διαιρέσεις τῶν
» ἐφημεριῶν τῶν ἱερέων καὶ τῶν Λευϊτῶν, εἰς
» πᾶσαν ἐργασίαν λειτουργίας οἴκου Κυρίου, καὶ
» τῶν ἀποθηκῶν τῶν λειτουργησίμων σκευῶν
» λατρείας οἴκου Κυρίου· ἧς τὸ χρυσίον καὶ τὸ
» σταθμὸν τῆς ὁλκῆς αὐτοῦ πᾶσι τοῖς σκεύεσι.
καὶ ἐφεξῆς καταλέγει καὶ τὰς λυχνίας,
καὶ τὰς τραπέζας, καὶ τὰ πυρεῖα, καὶ
τὰς κρεάγρας, καὶ τὰς φιάλας· καὶ ὅτι
ὑπέδειξεν αὐτῷ καὶ τὸ παράδειγμα τοῦ σχή-
ματος τῶν Χερουβὶμ τῶν διαπετομένων ἐν
ταῖς πλέρυξι, καὶ σκιαζόντων ἐπὶ τῆς κι-
1. Παραλ. 28. 19. βωτοῦ διαθήκης Κυρίου. πάντα ἐν γραφῇ
» ἐκ χειρὸς Κυρίου ἔδωκε Δαβὶδ τῷ Σολο-
μῶντι. δῆλον τοίνυν, ὅτι καθάπερ τῷ με-
γάλῳ Μωσῇ ἔδειξεν ὁ Θεὸς τῆς σκηνῆς τὸ
Ἐξόδ. 25. 40. παράδειγμα, καὶ ἔφη πρὸς αὐτὸν, ὅτι ποιή-
» σεις πάντα κατὰ τὸν τύπον τὸν δειχθέν-
» τα σοι ἐν τῷ ὄρει· οὕτω τὸν μακάριον Δα-
βὶδ ἐδίδαξεν ἡ χάρις τοῦ πνεύματος τῆς
οἰκοδομίας τὸ εἶδος· αὐτὸς δὲ τοῦτο ὑπέ-
δειξε τῷ παιδί. ἐπισημήνασθαι δὲ χρὴ, ὅτι
Κύριον τὸ πανάγιον ὠνόμασε πνεῦμα. εἰρη-

A κὼς γὰρ ὁ συγγραφεὺς, ὅτι ἔδειξεν (3) αὐ-
» τῷ τὸ παράδειγμα, (4) ἐπήγαγε, πάντων 1. Παραλ. 28. 19.
» ὧν ἦν ἐν πνεύματι μετ᾽ αὐτοῦ. μετ᾽ ὀλίγα,
» πάντα ἐν γραφῇ [ἐκ] χειρὸς Κυρίου ἔδωκε
» Δαβὶδ [τῷ Σολομῶντι.] ὡς δὲ ἡ τῶν Πα-
ραλειπομένων πάλιν ἐδίδαξε βίβλος, καὶ
μαρμάροις ὁ νεὼς ἐπεποίκιλτο. λίθους γὰρ 1. Παραλ. 29. 2.
» ὄνυχος, καὶ πληρώσεως, καὶ λίθους πολυ-
» τελεῖς, καὶ πάντα λίθον τίμιον, καὶ λί-
» θους Παρίους εἰς πλῆθος.

B » * ΤΟΥ ΑΥΤΟΥ. Τί ἐστιν, οὐκ ἰδοὺ αὕτη
» γέγραπλαι ἐπὶ βιβλίου τῆς ᾠδῆς; Πολλά-
κις ἔφην, ὅτι πολλὰ ἦν βιβλία προφη-
τικά· καὶ τοῦτο, σὺν Θεῷ φάναι, δηλώσο-
μεν ἀκριβέστερον, ἑρμηνεύοντες τῶν Παρα-
λειπομένων τὴν βίβλον.

νδ. Καὶ ἐγένετο ὡς συνετέλεσε
Σαλομὼν προσευχόμενος πρὸς Κύριον
ὅλην τὴν προσευχὴν καὶ τὴν δέησιν
Γ ταύτην, καὶ ἀνέστη ἀπὸ προσώπου τοῦ
θυσιαστηρίου Κυρίου ὀκλακὼς ἐπὶ τὰ
γόνατα αὐτοῦ, καὶ αἱ χεῖρες αὐτοῦ δια-
νε. πεπελασμέναι εἰς τὸν οὐρανόν. Καὶ ἔστη
καὶ εὐλόγησε πᾶσαν ἐκκλησίαν Ἰσ-
νς. ραὴλ φωνῇ μεγάλῃ, λέγων, Εὐλο-
γητὸς Κύριος σήμερον, ὃς ἔδωκε κα-
τάπαυσιν τῷ λαῷ αὐτοῦ Ἰσραὴλ, κα-
Δ τὰ πάντα ὅσα ἐλάλησεν. οὐ διεφώ-
νησε λόγος εἷς ἐν πᾶσι τοῖς λόγοις
αὐτοῦ τοῖς ἀγαθοῖς οἷς ἐλάλησεν ἐν
νζ. χειρὶ Μωϋσῇ δούλου αὐτοῦ. Γένοιτο Κύ-
ριος ὁ Θεὸς ἡμῶν μεθ᾽ ἡμῶν, καθὼς ἦν
μετὰ τῶν πατέρων ἡμῶν· μὴ ἐγκα-
ταλείποιτο ἡμᾶς μηδὲ ἀποστρέψοιτο
νη. ἡμᾶς, Ἐπικλῖναι καρδίας ἡμῶν πρὸς
αὐτὸν τοῦ πορεύεσθαι ἐν πάσαις ὁδοῖς
E αὐτοῦ, καὶ φυλάσσειν πάσας τὰς (5)
ἐντολὰς αὐτοῦ, καὶ τὰ προστάγματα
αὐτοῦ, ἃ ἐνετείλατο τοῖς πατράσιν
νθ. ἡμῶν. Καὶ ἔστωσαν οἱ λόγοι οὗτοι οὓς
δεδέημαι ἐνώπιον Κυρίου Θεοῦ ἡμῶν σή-
μερον, ἐγγίζοντες πρὸς Κύριον Θεὸν
ἡμῶν ἡμέρας καὶ νυκτὸς, τοῦ ποιεῖν τὸ
δικαίωμα τοῦ δούλου σου, καὶ τὸ δικαίω-
Z μα λαοῦ σου Ἰσραὴλ ῥῆμα ἡμέρας ἐν
ξ. ἡμέρᾳ ἐνιαυτοῦ. Ὅπως γνῶσι πάντες
οἱ λαοὶ τῆς γῆς, ὅτι Κύριος ὁ Θεὸς,
ξα. αὐτὸς Θεὸς, καὶ οὐκ ἔστιν ἔτι. Καὶ
ἔστωσαν αἱ καρδίαι ἡμῶν τέλειαι πρὸς
Κύριον Θεὸν ἡμῶν, καὶ ὁσίως πορεύε-
σθαι ἐν τοῖς προστάγμασιν αὐτοῦ, καὶ
φυλάσσειν ἐντολὰς αὐτοῦ, ὡς ἡ ἡμέρα
ξβ. αὕτη. Καὶ ὁ βασιλεὺς καὶ πάντες οἱ
H υἱοὶ Ἰσραὴλ ἔθυσαν θυσίαν ἐνώπιον
Κυρίου.

(1) Καὶ ἐπέβη ἐπὶ Χερουβὶμ, καὶ ἐπετάσθη· ἐπετάσθη ἐπὶ πλερύγων ἀνέμων. καὶ ἔθετο, κλ. ἡ ἐν Χάλ. ἔκδ.
(2) Ἀποθήκας. ἡ αὐτ. (3) Ἔδωκεν. ἡ αὐτ. (4) Παράδειγμα πάντων ὧν ἦν ἐν πνεύματι μετ᾽ αὐτοῦ, ἐπήγαγε μετ᾽ ὀλίγα, πάντα, κτ. ἡ αὐτ. (5) Πάσας ἐντολάς. αἱ αὐτ.

ξγ. Κυρίου. Καὶ ἔθυσεν ὁ βασιλεὺς Σα-
λομὼν τὰς θυσίας τῶν εἰρηνικῶν ἃς
ἔθυσε τῷ Κυρίῳ, βοῶν δύω καὶ εἴκοσι
χιλιάδας, προβάτων ἑκατὸν καὶ εἴκοσι
χιλιάδας. καὶ ἀνεκαίνισε (1) τὸν οἶκον
Κυρίου ὁ βασιλεὺς καὶ πάντες οἱ υἱοὶ
ξδ. Ἰσραήλ. Τῇ ἡμέρᾳ ἐκείνῃ ἡγίασεν
ὁ βασιλεὺς τὸ μέσον τῆς αὐλῆς τὸ
κατὰ πρόσωπον τοῦ οἴκου Κυρίου· ὅτι
ἐποίησεν ἐκεῖ τὴν ὁλοκαύτωσιν καὶ τὰς
θυσίας καὶ τὰ στέατα τῶν εἰρηνικῶν,
ὅτι τὸ θυσιαστήριον τὸ χαλκοῦν τὸ ἐνώ-
πιον Κυρίου μικρὸν τοῦ μὴ δύνασθαι δέ-
ξασθαι τὴν ὁλοκαύτωσιν καὶ τὸ δῶρον
καὶ τὰς θυσίας τῶν εἰρηνικῶν.

ξε. Καὶ ἐποίησε Σαλομὼν τὴν
ἑορτὴν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ, καὶ πᾶς
Ἰσραὴλ μετ᾽ αὐτοῦ, ἐκκλησία μεγά-
λη ἀπὸ τῆς εἰσόδου Ἡμὰθ ἕως ποτα-
μοῦ Αἰγύπτου, ἐνώπιον Κυρίου Θεοῦ ἡμῶν
A ἐν τῷ οἴκῳ ᾧ ᾠκοδόμησεν, ἐσθίων καὶ
πίνων καὶ εὐφραινόμενος ἐνώπιον Κυρίου
Θεοῦ ἡμῶν ἑπτὰ ἡμέρας, καὶ ἑπτὰ ἡμέ-
ξς. ρας· τεσσαρεσκαίδεκα ἡμέρας. Καὶ
ἐν τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξαπέστειλε τὸν
λαόν. καὶ εὐλόγησαν τὸν βασιλέα,
καὶ ἀπῆλθεν ἕκαστος εἰς τὰ σκηνώ-
ματα αὐτοῦ χαίροντες· καὶ ἀγαθὴ ἡ
καρδία ἐπὶ τοῖς ἀγαθοῖς οἷς ἐποίησε
B Κύριος τῷ Δαβὶδ δούλῳ αὐτοῦ, καὶ τῷ
Ἰσραὴλ λαῷ αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, εὐ-
„ φραινόμενος καὶ αἰνῶν ἐνώπιον τοῦ Θεοῦ ἑπτὰ
„ ἡμέρας, καὶ τεσσαρεσκαίδεκα ἡμέρας, καὶ
„ τῇ ἡμέρᾳ τῇ ὀγδόῃ ἐξαπέστειλε τὸν λαόν;
Ἐν τῇ τῆς σκηνοπηγίας ἑορτῇ συνεκάλεσε
τὸν λαόν. ἐπανηγύρισαν οὖν τεσσαρεσκαί-
δεκα ἡμέρας· ἑπτὰ μὲν τῶν ἐγκαινίων·
Γ ἑπτὰ δὲ τῆς σκηνοπηγίας. ὀγδόην τοίνυν
καλεῖ, τὴν μετὰ τὰς ἑπτὰ τὰς τελευ-
ταίας ἡμέραν.

Κ Ε Φ. Θ.

α. Καὶ ἐγενήθη ὡς συνετέλε-
σε Σαλομὼν οἰκοδομῆσαι
τὸν οἶκον Κυρίου, καὶ τὸν (2)
τοῦ βασιλέως, καὶ πᾶσαν τὴν πραγ-
ματείαν Σαλομὼν, ὅσα ἠθέλησε ποιῆ-
β. σαι, Καὶ ὤφθη Κύριος τῷ Σαλομὼν
δεύτερον, καθὼς ὤφθη ἐν Γαβαών.
γ. Καὶ εἶπε πρὸς αὐτὸν Κύριος, ἤκουσα
τῆς φωνῆς τῆς προσευχῆς σου, καὶ τῆς
δεήσεως ἧς ἐδεήθης ἐνώπιόν μου· πε-
ποίηκά σοι κατὰ πᾶσαν τὴν προσευ-
χήν σου· ἡγίακα τὸν οἶκον τοῦτον ὃν
ᾠκοδόμησας τοῦ θέσθαι τὸ ὄνομά μου
ἐκεῖ εἰς τὸν αἰῶνα, καὶ ἔσονται οἱ ὀφ-
θαλμοί μου ἐκεῖ καὶ ἡ καρδία μου πά-
δ. σας τὰς ἡμέρας. Καὶ σὺ ἐὰν πορευ-
θῇς ἐνώπιόν μου, καθὼς ἐπορεύθη Δα-
βὶδ ὁ πατήρ σου, ἐν ὁσιότητι καρδίας
καὶ ἐν εὐθύτητι, (3) τοῦ ποιεῖν κατὰ
πάντα ἃ ἐνετειλάμην αὐτῷ, καὶ τὰ
προστάγματά μου καὶ τὰς ἐντολάς μου
ε. φυλάξεις, Καὶ ἀναστήσω τὸν θρόνον
τῆς βασιλείας σου εἰς τὸν αἰῶνα ἐπὶ
Ἰσραὴλ, καθὼς ἐλάλησα τῷ Δαβὶδ
τῷ πατρί σου, λέγων, οὐκ ἐξαρθήσε-
ταί σοι ἀνὴρ ἡγούμενος ἐν Ἰσραήλ.

ς. Ἐὰν δὲ ἀποστραφέντες ἀποστρα-
φῆτε ὑμεῖς καὶ τὰ τέκνα ὑμῶν ἀπ᾽
ἐμοῦ, καὶ μὴ φυλάξητε τὰς ἐντολάς
μου καὶ τὰ προστάγματά μου ἃ δέδω-
κε (4) Μωϋσῆς ἐνώπιον ὑμῶν, καὶ πο-
Δ ρευθῆτε καὶ δουλεύσητε Θεοῖς ἑτέροις
ζ. καὶ προσκυνήσητε αὐτοῖς, Καὶ ἐξα-
ρῶ τὸν Ἰσραὴλ ἀπὸ τῆς γῆς ἧς ἔδωκα
αὐτοῖς, καὶ τὸν οἶκον τοῦτον ὃν ἡγία-
σα τῷ ὀνόματί μου ἀποῤῥίψω ἐκ προ-
σώπου μου· καὶ ἔσται Ἰσραὴλ εἰς ἀφα-
νισμὸν καὶ εἰς λάλημα εἰς πάντας
τοὺς λαούς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Μετὰ δὲ τὸ τέλος
τῆς ἑορτῆς ὑποτίθεται πάλιν ὁ δεσπότης
E Θεὸς τῷ Σολομῶντι τὰ τὴν σωτηρίαν πραγ-
ματευόμενα. ἵνα γὰρ μὴ τῆς φροντίδος
ἀπαλλαγεὶς, εἰς ῥαθυμίαν ἀποκλίνῃ, καὶ
τῶν νόμων αὐτῶν ἀναγκαίως ἀνέμνησε, καὶ
τὴν πρὸς τὸν πατέρα γεγενημένην ἐπαγ-
γελίαν ἐμπεδώσειν ὑπέσχετο, καὶ ὄλεθρον
ἠπείλησε παραβᾶσι τοὺς νόμους, καὶ τὸν
ἁγιασθέντα νεὼν ἔρημον δι᾽ αὐτοὺς καταλεί-
„ ψειν. ἐὰν γάρ φησιν ἀποστραφέντες ἀπο-
„ στραφῆτε ὑμεῖς καὶ τὰ τέκνα ὑμῶν ἀπ᾽ ἐμοῦ,
Z „ καὶ τὰ προστάγματά μου, ἃ ἔδωκε Μωσῆς
„ ἐνώπιον ὑμῶν, μὴ φυλάξητε, καὶ πορευ-
„ θῆτε καὶ δουλεύσητε Θεοῖς ἑτέροις, καὶ προ-
„ σκυνήσητε αὐτοῖς, καὶ ἐξαρῶ τὸν Ἰσραὴλ
„ ἀπὸ τῆς γῆς ἧς ἔδωκα αὐτοῖς, καὶ τὸν οἶκον
„ τοῦτον, ὃν ἡγίασα τῷ ὀνόματί μου, ἀποῤῥί-
„ ψω ἐκ προσώπου μου· καὶ ἔσται Ἱερουσαλὴμ
„ εἰς ἀφανισμὸν, καὶ εἰς λάλημα εἰς πάν-
„ τας τοὺς λαούς.

H η. Καὶ ὁ οἶκος οὗτος ὁ ὑψηλὸς, πᾶς
ὁ διαπορευόμενος δι᾽ αὐτοῦ ἐκστήσεται
καὶ συριεῖ, καὶ ἐροῦσιν, ἕνεκεν τίνος
ἐποίη-

(1) Ἐνεκαίν. αἱ αὐτ. (2) Τὸν οἶκον. αἱ αὐτ. (3) Καὶ τοῦ ποιεῖν. αἱ αὐτ. (4) Ἔδωκε. αἱ αὐτ.

ἐποίησεν οὕτω Κύριος τῇ γῇ ταύτῃ καὶ
θ. τῷ οἴκῳ τούτῳ; Καὶ ἐροῦσιν, ἀνθ' ὧν
ἐγκατέλιπον Κύριον Θεὸν αὐτῶν, ὃς
ἐξήγαγε τοὺς πατέρας αὐτῶν ἐξ Αἰ-
γύπτου ἐξ οἴκου δουλείας, καὶ ἀντελά-
βοντο Θεῶν ἀλλοτρίων καὶ προσεκύ-
νησαν αὐτοῖς καὶ ἐδούλευσαν αὐτοῖς, διὰ
τοῦτο ἐπήγαγε Κύριος ἐπ' αὐτοὺς τὴν
κακίαν ταύτην. τότε ἀνήγαγε Σαλο-
μὼν τὴν θυγατέρα Φαραὼ ἐκ πόλεως
Δαβὶδ εἰς οἶκον αὐτοῦ, ὃν ᾠκοδόμησεν
ἑαυτῷ ἐν ταῖς ἡμέραις ἐκείναις.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ὁ οἶκος οὗτος ὁ
» ὑψηλὸς, πᾶς πορευόμενος δι' αὐτοῦ ἐκστή-
» σεται καὶ συριεῖ, καὶ τὰ ἑξῆς· ἃ δηλοῖ τὴν
αἰτίαν τοῦ συριγμοῦ. πυνθανόμενοι γάρ φησι
τί δήποτε ταῦτα πέπονθεν Ἰσραὴλ, μα-
θήσονται ὡς διὰ τὸ καταλιπεῖν αὐτοὺς Κύ-
ριον τὸν Θεὸν, ὃς τῆς Αἰγυπτίων αὐτοὺς
ἐλευθερώσας δουλείας, ταύτην αὐτοῖς τὴν
γῆν ἐδωρήσατο.

ι. Εἴκοσι ἔτη ἐν οἷς ᾠκοδόμησε Σα-
λομὼν τοὺς δύω οἴκους, τὸν οἶκον Κυ-
ια. ρίου, καὶ τὸν οἶκον τοῦ βασιλέως, Χι-
ρὰμ βασιλεὺς Τύρου ἀντελάβετο τοῦ
Σαλομὼν ἐν ξύλοις κεδρίνοις, καὶ ἐν
ξύλοις πευκίνοις, καὶ ἐν χρυσίῳ, καὶ
ἐν παντὶ θελήματι αὐτοῦ. τότε ἔδω-
κεν ὁ βασιλεὺς (1) Σαλομὼν τῷ Χι-
ρὰμ εἴκοσι πόλεις ἐν τῇ γῇ τῆς Γαλι-
ιβ. λαίας. (2) Καὶ ἐξῆλθε Χιρὰμ ἐκ
Τύρου, καὶ ἐπορεύθη εἰς τὴν Γαλι-
λαίαν τοῦ ἰδεῖν τὰς πόλεις ἃς ἔδωκεν
αὐτῷ Σαλομών· καὶ οὐκ ἤρεσαν αὐτῷ.
ιγ. Καὶ εἶπε, τί αἱ πόλεις αὗται ἃς ἔδω-
κάς μοι ἀδελφέ; καὶ ἐκάλεσεν αὐ-
τὰς Ὅριον ἕως τῆς ἡμέρας ταύτης.

ιδ. Καὶ ἤνεγκε Χιρὰμ τῷ Σαλομὼν ἑκα-
τὸν καὶ εἴκοσι τάλαντα χρυσίου. (3)

** ΙΩΣΗΠΟΥ. Ταῦτα ὁ Σολομὼν εἰκο-
σαετίᾳ κατασκευάσας, ἐπεὶ πολὺν μὲν αὐ-
τῷ χρυσὸν, πλείω δ' ἄργυρον ὁ τῶν Τυ-
ρίων βασιλεὺς Εἴραμος εἰς τὴν οἰκοδομίαν
συνήνεγκεν, ἔτι καὶ ξύλα κέδρου καὶ πίτυος,
ἀντεδωρήσατο καὶ αὐτὸς μεγάλαις δωρεαῖς
τὸν Εἴραμον, σῖτόν τε κατ' ἔτος πέμπων
B αὐτῷ καὶ οἶνον καὶ ἔλαιον, ὧν μάλιστα διὰ
τὸ νῆσον οἰκεῖν, ὡς καὶ προειρήκαμεν ἤδη,
χρῄζων διετέλει. πρὸς τούτοις δὲ καὶ πόλεις
αὐτῷ τῆς Γαλιλαίας, εἴκοσι μὲν τὸν ἀριθ-
μὸν, οὐ πόῤῥω δὲ τῆς Τύρου κειμένας ἐχαρί-
σατο. ἃς ἐπελθὼν καὶ κατανοήσας Εἴρα-
μος, καὶ δυσαρεστήσας τῇ δωρεᾷ, πέμψας
πρὸς Σολομῶνα, μὴ δεῖσθαι τῶν πόλεων
ἔλεγε, καὶ ἔκτοτε προσηγορεύθησαν αὗ-
ται, Γαβαλὼν γῆ. μεθερμηνευόμενον γὰρ
Γ τὸ Γαβαλὼν, κατὰ Φοινίκων γλῶτταν, οὐκ
ἀρέσκον σημαίνει.

κς. Καὶ ναῦν ὑπὲρ οὗ ἐποίησεν ὁ
βασιλεὺς Σαλομὼν ἐν Γασιὼν (4) Γά-
βερ τὴν οὖσαν ἐχομένην Ἐλὰθ ἐπὶ
τοῦ χείλους τῆς θαλάσσης τῆς ἐσχάτης
ἐν γῇ Ἐδώμ.

** ΙΩΣΗΠΟΥ. Ἐναυπηγήσατο ὁ βα-
σιλεὺς ἐν τῷ αἰγυπτιακῷ κόλπῳ σκάφη
πολλὰ, τῆς ἐρυθρᾶς θαλάσσης ἔν τινι τό-
Δ πῳ λεγομένῳ Ἀσιωγγάβαρος. αὕτη γὰρ
Βερενίκη καλεῖται, οὐ πόῤῥω Αἰλανῆς πό-
λεως· ἡ χώρα τὸ πρὶν Ἰουδαίων ἦν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ποία ἐστὶν ἡ Γασιὼν
Γάβερ; Ὡς ὁ Ἰώσηπος ἔφη, ἡ νῦν καλου-
μένη Βερονίκη. ἔστι δὲ (5) πόλις Ἀθιόπων
παραλία τῶν πρὸς Αἴγυπτον.

κζ. Καὶ ἀπέστειλε Χιρὰμ ἐν τῇ νηῒ
τῶν παίδων αὐτοῦ ἄνδρας ναυτικοὺς
E ἐλαύνειν εἰδότας θάλασσαν μετὰ τῶν
παίδων Σαλομών.

ΙΩΣΗ-

(1) Ὁ βασιλεὺς τῷ Χιράμ. αἱ αὐτ. (2) Τῇ Γαλιλαίᾳ. αἱ αὐτ.

(3) ιε΄. Αὕτη ἡ πραγματεία τῆς προνομῆς, ἧς ἀνήνεγκεν ὁ βασιλεὺς Σαλωμὼν οἰκοδομῆσαι τὸν οἶκον Κυρίου, καὶ τὸν οἶκον τοῦ βασιλέως, καὶ σὺν τὴν Μελὼ, καὶ τὴν ἄκραν τοῦ περιφράξαι τὸν φραγμὸν τῆς πόλεως Δαβὶδ, καὶ τὴν Ἀσὲρ, καὶ τὴν Μεδὰν, καὶ τὸ τεῖχος Ἱερουσαλὴμ, καὶ τὴν Ἐσὲρ, καὶ τὴν Μαγδὼ, καὶ τὴν Γεζέρ. ιϛ΄. Φαραὼ βασιλεὺς Αἰγύπτου ἀνέβη, καὶ κατελάβετο τὴν Γεζὲρ, καὶ ἐνέπρησεν αὐτὴν ἐν πυρὶ, καὶ σὺν τὸν Χαναναῖον τὸν καθήμενον ἐν τῇ πόλει ἀπέκτεινε. καὶ ἔδωκεν αὐτὴν ἀποστολὰς τῇ θυγατρὶ αὐτοῦ γυναικὶ Σαλωμών. ιζ΄. Καὶ ᾠκοδόμησε Σαλωμὼν τὴν Γαζὲρ, καὶ τὴν Βαιθωρὼν τὴν κατωτάτην, ιη΄. Καὶ τὴν Βαλὰθ, καὶ τὴν Θερμὰθ ἐν τῇ ἐρήμῳ, ιθ΄. Καὶ ἐν τῇ γῇ πάσας τὰς πόλεις τῶν σκηνωμάτων, αἳ ἦσαν τῷ Σαλωμὼν, καὶ τὰς πόλεις τῶν ἁρμάτων, καὶ πάσας τὰς πόλεις τῶν ἱππέων, καὶ τὴν πραγματείαν Σαλωμὼν, ἣν ἐπραγματεύσατο οἰκοδομῆσαι ἐν Ἱερουσαλὴμ, καὶ ἐν τῷ Λιβάνῳ, καὶ ἐν πάσῃ τῇ γῇ τοῦ μὴ κατάρξαι αὐτοῦ. κ΄. Πάντα τὸν λαὸν τὸν ὑπολελειμμένον ὑπὸ τοῦ Ἀμοῤῥαίου, καὶ τοῦ Χετταίου, καὶ τοῦ Φερεζαίου, καὶ τοῦ Χαναναίου, καὶ τοῦ Εὐαίου, καὶ τοῦ Ἰεβουσαίου, καὶ τοῦ Γεργεσαίου τοῦ μὴ ἐκ τῶν υἱῶν Ἰσραὴλ ὄντων, κα΄. Τὰ τέκνα αὐτῶν τὰ ὑπολελειμμένα μετ' αὐτοὺς ἐν τῇ γῇ οὓς οὐκ ἠδύναντο οἱ υἱοὶ Ἰσραὴλ ἐξολοθρεῦσαι αὐτούς· καὶ ἀνήγαγεν αὐτοὺς Σαλωμὼν εἰς φόρον δουλείας ἕως τῆς ἡμέρας ταύτης. κβ΄. Καὶ ἐκ τῶν υἱῶν Ἰσραὴλ οὐκ ἔδωκε Σαλωμὼν εἰς πρᾶγμα, ὅτι αὐτοὶ ἦσαν ἄνδρες πολεμισταὶ, καὶ παῖδες αὐτοῦ, καὶ ἄρχοντες αὐτοῦ, καὶ τριστοὶ αὐτοῦ, καὶ ἄρχοντες αὐτοῦ τῶν ἁρμάτων, καὶ ἱππεῖς αὐτοῦ. κγ΄. Οὗτοι οἱ ἄρχοντες οἱ ἐστηλωμένοι οἱ ἐπὶ τοῦ ἔργου τοῦ Σαλωμὼν, πεντήκοντα καὶ πεντακόσιοι ἐπικρατοῦντες ἐν τῷ λαῷ οἱ ποιοῦντες ἐν τῷ ἔργῳ. κδ΄. Ἤδη ἡ θυγάτηρ Φαραὼ ἀνέβη ἐκ πόλεως Δαβὶδ πρὸς οἶκον αὐτῆς, ὃν ᾠκοδόμησε σὺν τὴν Μελώ. κε΄. Καὶ ἀνεβίβασε Σαλωμὼν τρεῖς καθόδους ἐν τῷ ἐνιαυτῷ ὁλοκαύτωμα καὶ εἰρηνικὰς ἐπὶ τοῦ θυσιαστηρίου . . . ὃν ᾠκοδόμησε τῷ Κυρίῳ, καὶ ἐθυμία αὐτὸς εἰς πρόσωπον Κυρίου· καὶ ἀπήρτισε σὺν τὸν οἶκον. Ταῦτα ἐν ταῖς σημειώσ. τῆς ἐν Φρανεκ. ἐκδόσ. κεῖται. ὁμοίως καὶ ἐν τῇ Ἑβραϊκ. πολλὰ δὲ τούτων περιέχεται ὑπὸ τοῦ 22. ἐδ. τοῦ ἑξῆς κεφ.

(4) Γασίαν Γαβέρ. αἱ αὐτ. καὶ ὁ Θεοδώριτ. ἐν τῇ κατὰ τὴν Χάλ. ἐκδόσ.

(5) Αὕτη παράλιος πόλις Αἰθιόπων τῶν πρὸς, κτ. ἡ αὐτ.

** ΙΩΣΗΠΟΥ. Ἔτυχε καὶ τῆς ἁρμοζέσης εἰς τὰς ναῦς δωρεᾶς παρὰ Εἰράμε τε Τυρίων βασιλέως. ἄνδρας γὰρ αὐτῷ κυβερνήτας, καὶ τῶν θαλασσίων ἐπιςήμονας ἔπεμψεν ἱκανὲς, οἷς ἐκέλευσε πλεύσαντας μετὰ καὶ τῶν ἰδίων οἰκονόμων, εἰς τὴν πάλαι μὲν Σωφίραν, νῦν δὲ χρυσῆν γῆν καλεμένην· τῆς Ἰνδικῆς ἐςὶν αὕτη· χρυσὸν αὐτῷ κομίσαι. A

κη. Καὶ ἦλθεν εἰς Σωφιρὰ, καὶ ἔλαβεν ἐκεῖθεν χρυσίον ἑκατὸν καὶ εἴκοσι τάλαντα, καὶ ἤνεγκαν τῷ βασιλεῖ Σαλομών.

* ΘΕΟΔΩΡΙΤΟΥ. Σοφιρὰ ποία ἐςί; Χώρα τίς ἐςι τῆς Ἰνδίας, ἣν οἱ Γεωγράφοι χρυσῆν ὀνομάζεσι γῆν.

ΚΕΦ. Ι.

α. Καὶ βασίλισσα Σαβὰ ἤκεσε τὸ ὄνομα Σαλομὼν καὶ τὸ ὄνομα Κυρίε, καὶ ἦλθε πειράσαι αὐτὸν ἐν αἰνίγμασι.

** ΕΥΣΕΒΙΟΥ ΚΑΙΣΑΡΕΙΑΣ. Κέκλητο ἡ χώρα καὶ τὸ ἔθνος Σαβὰ ἀπὸ προπάτορος τε Σαβὰ, ὃς ἀναγέγραπται υἱὸς γεγονὼς τε Χες. λέγει δ' ἐν ἡ Μωσέως γραφή. υἱοὶ δὲ Χες, Σαβὰ καὶ Εὐϊλὰ καὶ Σαβάθα. Χες δὲ ἑρμηνεύεται ὁ Αἰθίοψ. γένος ἐν Αἰθιοπικὸν ἔοικεν εἶναι τὸ Σαβὰ ἔθνος. Γ

Γεν. 10. 7.

** ΙΩΣΗΠΟΥ. Τὴν τῆς Αἰγύπτε καὶ Αἰθιοπίας τότε βασιλεύεσαν γυναῖκα, σοφίᾳ διαπεπονημένην, καὶ τἄλλα θαυμαςὴν, ἀκέεσαν τὴν Σολομῶνος ἀρετὴν καὶ φρόνησιν, ἐπιθυμία τῆς ὄψεως αὐτε, καὶ τῶν ὁσημέραι περὶ τῶν ἐκεῖ λεγομένων, πρὸς αὐτὸν ἤγαγε. πεισθῆναι γὰρ ὑπὸ τῆς πείρας, ἀλλ' ἐχ ὑπὸ τῆς ἀκοῆς· ἣν εἰκὸς ἐςὶ καὶ ψευδεῖ δόξῃ συγκατατίθεσθαι, καὶ μεταπεῖσαι πάλιν· ὅλη γὰρ ἐπὶ τοῖς ἐπαγγέλλεσι κεῖται· θέλεσα, πρὸς αὐτὸν ἐλθεῖν διέγνω, μάλιςα τῆς σοφίας αὐτε βελομένη λαβεῖν πεῖραν, αὐτὴ προτείνασα καὶ λῦσαι τὸ ἄπορον τῆς διανοίας δεηθεῖσα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Σαβὰ ποῖόν ἐςιν ἔθνος; Αἰθιοπικόν. ἐντεῦθεν δὲ αὐτὲς φασὶ κεῖσθαι τῆς θαλάσσης τῆς Ἰνδικῆς. ὀνομάζεσι δ' αὐτὲς Ὁμηρίτας. καταντικρὺ δὲ εἰσι τῶν Αὐξεμιτῶν· μέση δὲ τέτων κἀκείνων ἡ θάλασσα. τέτων ἐβασίλευσεν ἡ θαυμασία ἐκείνη γυνὴ, ἧς (1) τὴν σπεδὴν καὶ ὁ Κύριος ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις ἐπῄνεσεν. ἥτις κατ' ἔρωτα τῆς ἐν Σολομῶντι σοφίας τοσαύτην ὁδὸν ἀναμετρήσασα, καὶ διὰ τε Σολομῶντος τὸν τῆς σοφίας ἀνύμνησε χορηγόν. γένοιτο γὰρ ἔφη Κύριος ὁ Θεός σε εὐλογημένος, ὃς ἠθέλησεν ἐν σοὶ δεναί σε ἐπὶ θρόνον Ἰσραὴλ, τε ςῆσαι αὐτὸν εἰς τὸν αἰῶνα· καὶ ἔθετό σε εἰς βασιλέα ἐπ' αὐτὲς, τε ποιεῖν κρίμα ἐν δικαιοσύνῃ, καὶ ἐν κρίμασιν αὐτε. ἐγὼ δὲ τῆς ἀποςολικῆς ἀνεμνήσθην διδασκαλίας, ἣ τὲς δίχα νόμε, (2) τὰ τε νόμε ποιεντας ἐθαύμασεν. ὅταν γάρ φησι ἔθνη τὰ μὴ νόμον ἔχοντα, φύσει τὰ τε νόμε ποιῇ, ἔτοι νόμον μὴ ἔχοντες, ἑαυτοῖς εἰσὶ νόμος. καὶ αὕτη γὰρ ἀλλόφυλος ἐσα, καὶ μήτε νόμον δεξαμένη θεῖον, μήτε προφητικῆς ἀπολαύσασα γεωργίας, ἠρκέσθη τῷ τῆς φύσεως νόμῳ, καὶ τὴν δικαιοσύνην τεθαύμακε, καὶ τὴν δικαίαν κρίσιν εὐφήμησε, καὶ διὰ τε δεξαμένε τὸ τῆς σοφίας δῶρον, τὸν μεγαλόδωρον ὕμνησε. E

» ... ἔχοντα (quotation marks at line starts from «σε χορηγόν» to «σύνῃ» and «ἔχοντα»; «μὴ ἔχοντες»)

Ῥωμ. 2. 14.

β. Καὶ ἦλθεν εἰς Ἱερεσαλὴμ ἐν δυνάμει βαρείᾳ σφόδρα· καὶ κάμηλοι αἴρεσαι ἡδύσματα καὶ χρυσίον πολὺ σφόδρα καὶ λίθον τίμιον. καὶ εἰσῆλθε πρὸς Σαλομὼν, καὶ ἐλάλησεν αὐτῷ πάντα ὅσα ἦν ἐν τῇ καρδίᾳ αὐ-

γ. τῆς. Καὶ ἀπήγγειλεν αὐτῇ Σαλομὼν πάντας τὲς λόγες αὐτῆς· ἐκ ἦν λόγος παρεωραμένος ὑπὸ τε βασιλέως, ὃν ἐκ ἀπήγγειλεν αὐτῇ. Δ

** ΙΩΣΗΠΟΥ. Ἧκεν ἐν εἰς Ἱεροσόλυμα μετὰ πολλῆς δόξης καὶ πλέτε παρασκευῆς. ἐπηγάγετο γὰρ καμήλες χρυσίε μεςὰς, καὶ ἀρωμάτων ποικίλων, καὶ λίθων πολυτελῶν. ὡς δ' αὐτὴν ἀφικομένην ἡδέως ὁ βασιλεὺς προσεδέξατο, τά τε ἄλλα περὶ αὐτὴν φιλότιμος ἦν, καὶ τὰ προβαλλόμενα σοφίσματα ῥᾳδίως τῇ συνέσει καταλαμβανόμενος, θᾶττον ἢ προσεδόκα τις, ἐπελύετο.

δ. Καὶ εἶδε βασίλισσα Σαβὰ πᾶσαν τὴν φρόνησιν Σαλομὼν, καὶ τὸν

ε. οἶκον ὃν ᾠκοδόμησε, Καὶ τὰ βρώματα Σαλομὼν, καὶ τὴν καθέδραν παίδων αὐτε, καὶ τὴν ςάσιν λειτεργῶν αὐτε, καὶ τὸν ἱματισμὸν αὐτε, καὶ τὲς οἰνοχόες αὐτε, καὶ τὴν ὁλοκαύτωσιν αὐτε ἣν ἀνέφερεν ἐν οἴκῳ Κυρίε, καὶ ἐξ ἑαυτῆς ἐγένετο. Z

** ΙΩΣΗΠΟΥ. Ἤδ' ἐξεπλήσσετο μὲν καὶ τὴν σοφίαν τε Σολομῶνος ἔτως ὑπερβάλλεσαν αὐτὴν καὶ τῆς ἀκεομένης τῇ πείρᾳ κρείττω καταμαθεσα· μάλιςα δ' ἐθαύμαζε τὰ βασίλεια τέτε κάλλες καὶ τε μεγέθες, ἐχ ἧττον δὲ τῆς διατάξεως τῶν οἰκοδομη-

(1) Ἐπῄνεσε τὴν σπεδὴν ἐν τοῖς ἱεροῖς Εὐαγγελίοις ὁ δεσπότης Χριςός. ἀκέσασα γὰρ τὰ περὶ τῆς τε Σολομῶντος σοφίας θρυλλέμενα, ὁδὸν παμπόλλων ἐξήνυσεν ἡμερῶν, καὶ κέρδος τὸν πόνον ὑπέλαβε, καὶ τετον τῆς ἐν βασιλείοις τρυφῆς προτετίμηκε, καὶ διὰ τε Σολομ. ἡ αὐτ.

(2) Δικαιωθέντας ἐθαύμ. ἡ αὐτ.

A κοδομημάτων. καὶ γὰρ ἐν αὐτῇ πολλὴν τοῦ βασιλέως καθεώρα φρόνησιν. ὑπερεξέπληττε δ' αὐτὴν ὅ, τε οἶκος Δρυμῶν ἐπικαλούμενος Λιβάνου, καὶ ἡ τῶν καθ' ἡμέραν δείπνων πολυτέλεια, καὶ τὰ τῆς παρασκευῆς αὐτοῦ καὶ διακονίας, ἥ τε τῶν ὑπηρετούντων ἐσθὴς, καὶ τὸ μετ' ἐπιστήμης αὐτῶν περὶ τὴν διακονίαν εὐπρεπές. οὐχ ἥκιστα δὲ καὶ αἱ καθ' ἡμέραν ἐπιτελούμεναι τῷ Θεῷ θυσίαι, καὶ τὸ τῶν ἱερέων καὶ Λευϊτῶν περὶ αὐτὰς ἐπιμελές. ταῦθ' ὁρῶσα καθ' ἡμέραν ὑπερεθαύμαζε.

ς. Καὶ εἶπε πρὸς τὸν βασιλέα Σαλομὼν, ἀληθινὸς ὁ λόγος ὃν ἤκουσα ἐν τῇ γῇ μου περὶ τοῦ λόγου σου καὶ περὶ

ζ. τῆς φρονήσεώς σου. Καὶ οὐκ ἐπίστευσα τοῖς λαλοῦσί μοι, ἕως ὅτου παρεγενόμην καὶ ἑωράκασιν οἱ ὀφθαλμοί μου· καὶ ἰδοὺ οὐκ ἔστι τὸ ἥμισυ καθὼς ἀπήγγειλάν μοι· προσέθηκας (1) ἀγαθὰ πρὸς αὐτὰ ἐπὶ πᾶσαν τὴν ἀκοὴν ἣν

η. ἀκήκοα (2) ἐν τῇ γῇ μου. Μακάριαι αἱ γυναῖκές σου, μακάριοι οἱ παῖδές σου οὗτοι οἱ παρεστηκότες ἐνώπιόν σου δι' ὅλου, οἱ ἀκούοντες πᾶσαν τὴν φρόνη-

θ. σίν σου. Γένοιτο Κύριος ὁ Θεός σου εὐλογημένος, ὃς ἠθέλησεν ἐν σοὶ δοῦναί σε ἐπὶ θρόνου Ἰσραὴλ, διὰ τὸ ἀγαπᾷν Κύριον τὸν Ἰσραὴλ τοῦ στῆσαι εἰς τὸν αἰῶνα· καὶ ἔθετό σε βασιλέα ἐπ' αὐτοὺς, τοῦ ποιεῖν κρίμα ἐν δικαιοσύνῃ καὶ ἐν κρίμασιν αὐτῶν.

ι. Καὶ ἔδωκε τῷ Σαλομὼν εἴκοσι καὶ ἑκατὸν τάλαντα χρυσίου, καὶ ἡδύσματα πολλὰ σφόδρα, καὶ λίθον τίμιον. οὐκ ἐληλύθει κατὰ τὰ ἡδύσματα ἐκεῖνα ἔτι εἰς πλῆθος, ἃ ἔδωκε βασίλισσα Σαβὰ τῷ βασιλεῖ Σαλομών.

** ΙΩΣΗΠΟΥ. Παραστήσασα καὶ διὰ τῶν λόγων, πῶς αὐτὴν διέθηκεν ὁ βασιλεὺς, ἔτι καὶ τισι δωρεαῖς τὴν διάνοιαν αὐτῆς ἐποίησε φανεράν. εἴκοσι (3) μὲν γὰρ αὐτῷ τάλαντα ἔδωκε χρυσίου, ἀρωμάτων τε πλῆθος ἀσυλλόγιστον, καὶ λίθους πολυτελεῖς. λέγουσι δ' ὅτι καὶ τὴν τοῦ ὀποβαλσάμου ῥίζαν, ἣν ἔτι νῦν ἡμῶν ἡ χώρα φέρει, δούσης ταύτης τῆς γυναικὸς, ἔχομεν.

ια. Καὶ ἡ ναῦς Χιρὰμ ἡ αἴρουσα τὸ χρυσίον ἐκ Σουφὶρ, ἤνεγκε ξύλα ἀπελέκητα πολλὰ σφόδρα καὶ λίθον τίμιον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀπελέκητα ξύλα ποῖα καλεῖ; Οἶμαι ὅτι τὰ λεῖα, καὶ ὀρθὰ, καὶ ὄζων ἀπηλλαγμένα. ὁ δὲ Ἰώσηπος πεύκινα αὐτὰ εἴρηκεν, ἥκιστα τοῖς παρ' ἡμῖν ἐοικότα πευκίνοις. τοῦ συκίνου γὰρ ξύλου καὶ λευκότερα εἶναι, καὶ λειότερα, καὶ στρυφνότερα (5) εἴρηκε.

ιβ. Καὶ ἐποίησεν ὁ βασιλεὺς τὰ ξύλα τὰ ἀπελέκητα ὑποστηρίγματα τοῦ οἴκου Κυρίου καὶ τοῦ οἴκου τοῦ βασιλέως, καὶ νάβλας καὶ κινύρας τῆς ᾠδῆς. (4) οὐκ ἐληλύθει τοιαῦτα ξύλα B ἀπελέκητα ἐπὶ τῆς γῆς, οὐδὲ ὤφθησάν που ἕως τῆς ἡμέρας ταύτης.

** ΙΩΣΗΠΟΥ. Κατὰ τὸν αὐτὸν καιρὸν κομισθέντων ἀπὸ τῆς χρυσῆς καλουμένης γῆς λίθων πολυτελῶν τῷ βασιλεῖ, καὶ ξύλων πευκίνων, τοῖς ξύλοις εἰς ὑποστηρίγματα τοῦ τε ναοῦ καὶ τῶν βασιλείων κατεχρήσατο, καὶ πρὸς τὴν τῶν μουσικῶν ὀργάνων κατασκευὴν, κινύρας τε καὶ νάβλας, Γ ὅπως ὑμνῶσιν οἱ Λευῖται τὸν Θεόν. πάντων δὲ τῶν πώποτε κομισθέντων αὐτῷ τὰ κατ' ἐκείνην τὴν ἡμέραν ἐνεχθέντα καὶ μεγέθει καὶ κάλλει διέφερον. ὑπολάβῃ δὲ μηδεὶς ὅτι τὰ τῆς πεύκης ξύλα τοῖς νῦν εἶναι λεγομένοις, καὶ ταύτην ὑπὸ τῶν πιπρασκόντων τὴν προσηγορίαν ἐπὶ καταπλήξει τῶν ὠνουμένων λαμβάνουσιν, ἐστὶ παραπλήσια. ἐκεῖνα γὰρ τὴν μὲν ἰδέαν ἐμφερῆ τοῖς συκίνοις γίνεται, λευκότερα δέ ἐστι, καὶ στίλβει πλέον.

Δ * ΘΕΟΔΩΡΙΤΟΥ. (6) Ναύλας καὶ κινύρας τὶς τούτων ἡ διαφορά; Ἀνὰ δέκα μὲν φθόγγους ἔχει τούτων ἑκάτερον. Φασὶ δὲ τὴν μὲν ναύλαν δακτύλοις, τὴν δὲ κινύραν ἀνακρούεσθαι πλήκτρῳ.

ιγ. Καὶ ὁ βασιλεὺς Σαλομὼν ἔδωκε τῇ βασιλίσσῃ Σαβὰ πάντα ὅσα ἠθέλησε, καὶ ὅσα ᾐτήσατο, ἐκτὸς E πάντων ὧν ἐδεδώκει αὐτῇ διὰ χειρὸς Σαλομὼν τοῦ βασιλέως. καὶ ἀπεστράφη, καὶ ἦλθεν εἰς τὴν γῆν αὐτῆς αὐτὴ, καὶ πάντες οἱ παῖδες αὐτῆς.

** ΙΩΣΗΠΟΥ. Ἀντεδωρήσατο δ' αὐτὴν καὶ Σολομὼν πολλοῖς ἀγαθοῖς, καὶ μάλισθ' ὧν κατ' ἐπιθυμίαν ἐξελέξατο. οὐδὲν γὰρ ἦν ὅ, τι δεηθείσῃ λαβεῖν οὐ παρέσχεν· ἀλλ' ἑτοιμότερος ὢν αὐτὸς, κατὰ τὴν οἰκείαν ἐχαρίζετο προαίρεσιν, καὶ ἅπερ ἐκείνη τυχεῖν ἠξίου προϊέμενος, τὴν μεγαλοφροσύνην ἐπεδείκνυτο. καὶ ἡ μὲν τῶν Αἰγυπτίων καὶ τῆς Αἰθιοπίας βασίλισσα, ὧν προειρήκαμεν τυχοῦσα, καὶ μεταδοῦσα πάλιν τῷ βασιλεῖ τῶν παρ' αὐτῆς, εἰς τὴν οἰκίαν ὑπέστρεψε.

ιδ. Καὶ ἦν ὁ σταθμὸς τοῦ χρυσίου τοῦ ἐληλυθότος τῷ Σαλομὼν ἐν ἐνιαυτῷ ἑνὶ, ἑξακόσια καὶ ἑξήκοντα καὶ ἓξ τάλαν-

(1) Προσέθεικας. αἱ αὐτ. (2) Ἤκουσα. αἱ αὐτ.
(3) Ὀρθῶς ἐν ταῖς σημειώσ. (ταῖς ἐν βιβλ. 8. κεφ. 6. περὶ Ἰουδ. ἀρχ. σελ. 438. τῆς ἐν Ἀμστελ. ἐκδόσ.) εἴρηται, ρκ', δεῖν εἶναι. (4) Ὠδοῖς. αἱ αὐτ.
(5) Στιλπνότερα. στίλβει γάρ φησιν ὁ Ἰώσηπ. κατωτέρ. (6) Τίνα διαφορὰν ἡ ναύλα πρὸς τὴν κινύραν ἔχει; Ἀνὰ δέκα μὲν φθόγγους καὶ αὐτὴ κἀκείνη ἔχει. Φασὶ δὲ, κτ. ἡ ἐν Χάλ. ἐκδ.

ιε. τάλαντα χρυσίου, Χωρὶς τῶν φόρων
τῶν ὑποτεταγμένων καὶ τῶν ἐμπόρων
τῶν ῥωποπωλῶν καὶ πάντων τῶν βα-
σιλέων τῶν πέραν καὶ τῶν σατραπῶν
τῆς γῆς.

** ΙΩΣΗΠΟΥ. Ὁ τοῦ χρυσοῦ σταθμὸς τοῦ κομισθέντος αὐτῷ, τάλαντα ἑξακόσια καὶ ἑξήκοντα ἕξ· μὴ συγκαταριθμουμένου καὶ τοῦ ὑπὸ τῶν ἐμπόρων ὠνηθέντος, μηδ᾽ ὧν οἱ τῆς Ἀραβίας τοπάρχαι καὶ βασιλεῖς ἔπεμπον αὐτῷ δωρεῶν.

ις. Καὶ ἐποίησεν ὁ βασιλεὺς Σα-
λομὼν τριακόσια δόρατα χρυσᾶ ἐλα-
τά· τριακόσιοι χρυσοῖ ἐπῆσαν ἐπὶ
ιζ. τὸ δόρυ τὸ ἕν· Καὶ τριακόσια ὅπλα
χρυσᾶ ἐλατά· καὶ τρεῖς μναῖ χρυσίου
ἐνῆσαν ἐπὶ τὸ ὅπλον τὸ ἕν. καὶ ἔδω-
κεν αὐτὰ ὁ βασιλεὺς εἰς οἶκον δρυμοῦ
τοῦ Λιβάνου.

** ΙΩΣΗΠΟΥ. Ἐχώνευσε τὸν χρυσὸν εἰς διακοσίων κατασκευὴν θυρεῶν, ἀνὰ σίκλους ἀγόντων ἑξακοσίους. ἐποίησε δὲ καὶ ἀσπίδας τριακοσίας, ἀγούσης ἑκάστης μνᾶς χρυσίου τρεῖς. ἀνέθηκε δὲ ταῦτα φέρων εἰς τὸν οἶκον τὸν Δρυμῶνα Λιβάνου καλούμενον.

ιη. Καὶ ἐποίησεν ὁ βασιλεὺς θρό-
νον ἐλεφάντινον μέγαν, καὶ περιεχρύ-
ιθ. σωσεν αὐτὸν χρυσίῳ δοκίμῳ. Ἓξ
ἀναβαθμοὶ τῷ θρόνῳ, καὶ προτομαὶ
μόσχων τῷ θρόνῳ ἐκ τῶν ὀπίσω αὐτοῦ,
καὶ χεῖρες ἔνθεν καὶ ἔνθεν ἐπὶ τοῦ τό-
που τῆς καθέδρας, καὶ δύω λέοντες
κ. ἑστηκότες παρὰ τὰς χεῖρας, Καὶ δώ-
δεκα λέοντες ἑστῶτες ἐκεῖ ἐπὶ τῶν ἓξ
ἀναβαθμῶν ἔνθεν καὶ ἔνθεν. οὐκ ἐγέ-
νετο οὕτω πάσῃ βασιλείᾳ.

κα. Καὶ πάντα τὰ σκεύη τὰ ὑπὸ
τοῦ βασιλέως Σαλομὼν γεγονότα
χρυσᾶ, καὶ λουτῆρες χρυσοῖ, καὶ πάν-
τα τὰ σκεύη οἴκου δρυμοῦ τοῦ Λιβάνου
χρυσίῳ συγκεκλεισμένα. οὐκ ἦν ἀρ-
γύριον, ὅτι οὐκ ἦν λογιζόμενον ἐν ταῖς
ἡμέραις Σαλομών.

** ΙΩΣΗΠΟΥ. Καὶ τὰ ἐκπώματα διὰ χρυσοῦ καὶ λίθου τὰ πρὸς τὴν ἑστίασιν, ὡς ἐνὶ μάλιστα φιλοτέχνως κατεσκεύασε. καὶ τὴν ἄλλην τῶν σκευῶν δαψίλειαν χρυσέαν ἅπασαν ἐμηχανήσατο. οὐδὲν γὰρ ἦν ὅτις ἀργύρῳ ἐπίπρασκεν, ἢ πάλιν ἐωνεῖτο.

κβ. Ὅτι ναῦς Θαρσεῖς (1) τῷ βα-
σιλεῖ Σαλομὼν ἐν τῇ θαλάσσῃ μετὰ
τῶν νηῶν Χιράμ. μία διὰ τριῶν ἐτῶν
ἤρχετο τῷ βασιλεῖ ναῦς ἐκ Θαρσεῖς
χρυσίου καὶ ἀργυρίου καὶ λίθων τορευ-

A τῶν καὶ πελεκητῶν. αὕτη ἦν ἡ πραγ-
ματεία τῆς προνομῆς ἧς ἀνήνεγκεν ὁ
βασιλεὺς Σαλομὼν οἰκοδομῆσαι τὸν
οἶκον Κυρίου, καὶ τὸν οἶκον τοῦ βασι-
λέως, καὶ τὸ τεῖχος Ἱερουσαλὴμ, καὶ
τὴν ἄκραν, τοῦ περιφράξαι τὸν φραγ-
μὸν τῆς πόλεως Δαβὶδ, καὶ τὴν Ἀσ-
σοὺρ, καὶ τὴν Μαγδὰλ, καὶ τὴν Γά-
ζερ, (2) καὶ τὴν Βαιθωρὼν τῶν ἀνω-
B τέρων, (3) καὶ τὴν Ἰεθερμὰθ, καὶ πά-
σας τὰς πόλεις τῶν ἁρμάτων, καὶ πά-
σας τὰς πόλεις τῶν ἱππέων, καὶ τὴν
πραγματείαν Σαλομὼν, ἣν ἐπραγ-
ματεύσατο οἰκοδομῆσαι ἐν Ἱερουσα-
λὴμ, καὶ ἐν τῷ Λιβάνῳ, καὶ ἐν πάσῃ
τῇ γῇ, τοῦ μὴ κατάρξαι αὐτοῦ πάντα
τὸν λαὸν τὸν ὑπολελειμμένον ἀπὸ (4)
Γ τοῦ Χετταίου καὶ τοῦ Ἀμὸρ (5) τοῦ Γερ-
γεσαίου τῶν μὴ ἐκ τῶν υἱῶν Ἰσραὴλ ὄν-
των, τὰ τέκνα αὐτῶν τὰ ὑπολελειμ-
μένα μετ᾽ αὐτοὺς ἐν τῇ γῇ, οὓς οὐκ ἐδύ-
ναντο οἱ υἱοὶ Ἰσραὴλ ἐξολοθρεῦσαι αὐ-
τοὺς, καὶ ἀνήγαγεν αὐτοὺς Σαλομὼν
εἰς φόρον ἕως τῆς ἡμέρας ταύτης. καὶ
ἐκ τῶν υἱῶν Ἰσραὴλ οὐκ ἔδωκε Σαλο-
μὼν εἰς πρᾶγμα, ὅτι αὐτοὶ ἦσαν ἄν-
Δ δρες οἱ πολεμισταὶ, καὶ παῖδες αὐτοῦ
καὶ ἄρχοντες καὶ τριστοὶ αὐτοῦ, καὶ ἄρ-
χοντες τῶν ἁρμάτων αὐτοῦ, καὶ ἱπ-
πεῖς αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ποία πόλις ἐστὶν ἡ Θαρσίς; Ἐνταῦθα ἰνδικήν τινα χώραν οὕτως ὠνόμασεν. οἱ δὲ τὸν Ἰεζεκιὴλ ἑρμηνεύσαντες, τὴν Καρχηδόνα τὴν (6) τῆς Λιβύης προκαθημένην οὕτως ἐκάλεσαν.

E ** ΙΩΣΗΠΟΥ. Πολλαὶ ἦσαν νῆες, ἃς ὁ βασιλεὺς ἐν τῇ Ταρσικῇ λεγομένῃ θαλάττῃ καταστήσας, ἀπάγειν εἰς τὰ ἐνδοτέρω τῶν ἐθνῶν παντοίαν ἐμπορίαν προσέταξεν. ὧν ἐξεμπολουμένων, ἄργυρος καὶ χρυσὸς ἐκομίζετο τῷ βασιλεῖ, καὶ πολὺς ἐλέφας, Αἰθίοπές τε καὶ πίθηκοι. τὸν δὲ πλοῦν ἀπιοῦσαί τε καὶ ἐπανερχόμεναι τρισὶν ἔτεσιν ἤνυον.

Z κγ. Καὶ ἐμεγαλύνθη Σαλομὼν
ὑπὲρ πάντας τοὺς βασιλεῖς τῆς γῆς
κδ. πλούτῳ καὶ φρονήσει. Καὶ πάντες οἱ
βασιλεῖς τῆς γῆς ἐζήτουν τὸ πρόσωπον
Σαλομὼν, τοῦ ἀκοῦσαι τῆς φρονήσεως
αὐτοῦ ἧς ἔδωκε Κύριος ἐν τῇ καρδίᾳ
κε. αὐτοῦ. Καὶ αὐτοὶ ἔφερον ἕκαστος τὰ
δῶρα αὐτοῦ, σκεύη χρυσᾶ, καὶ ἱμα-
τισμὸν, στακτὴν, καὶ ἡδύσματα, καὶ
H ἵππους, καὶ ἡμιόνους τὸ κατ᾽ ἐνιαυτὸν
ἐνιαυ-

(1) Θαρσίς. αἱ αὐτ. (2) Γαζέρ. αἱ αὐτ. (3) Τὴν ἀνωτέρω. αἱ αὐτ. (4) Ὑπό. αἱ αὐτ.
(5) Ἀμορραίου καὶ τοῦ Φερεζαίου καὶ τοῦ Χαναναίου καὶ τοῦ Εὐαίου καὶ τοῦ Ἰεβουσαίου καὶ τοῦ Γεργεσ. αἱ αὐτ.
(6) Τῆς γῆς Λιβ. ἡ ἐν Χάλ. ἐκδ.

κς. ἐνιαυτόν. Καὶ ἦσαν τῷ Σαλομὼν
τεσσαράκοντα χιλιάδες θήλειαι ἵπ-
ποι εἰς ἅρματα, καὶ δώδεκα (1) ἵππων
χιλιάδες. καὶ ἔθετο αὐτὰς ἐν ταῖς
πόλεσι τῶν ἁρμάτων καὶ μετὰ τοῦ
βασιλέως ἐν Ἱερουσαλήμ. καὶ ἦν ἡγού-
μενος πάντων τῶν βασιλέων ἀπὸ τοῦ
ποταμοῦ καὶ ἕως γῆς ἀλλοφύλων καὶ
κζ. ἕως ὁρίων Αἰγύπτου. Καὶ ἔδωκεν ὁ βα-
σιλεὺς τὸ χρυσίον καὶ τὸ ἀργύριον ἐν
Ἱερουσαλὴμ ὡς λίθους, καὶ τὰς κέ-
δρους ἔδωκεν ὡς συκαμίνους τὰς ἐν τῇ
κη. πεδινῇ εἰς πλῆθος. Καὶ ἡ ἔξοδος τῶν
ἱππέων Σαλομὼν ἐξ Αἰγύπτου, καὶ
ἐκ Θεκουὲ ἔμποροι τοῦ βασιλέως· καὶ
ἐλάμβανον ἐκ Θεκουὲ ἐν ἀλλάγματι.
κθ. Καὶ ἀνέβαινεν ἡ ἔξοδος ἐξ Αἰγύπτου
ἅρμα ἀνθ' ἑκατὸν ἀργυρίου, καὶ ἵπ-
πος ἀντὶ πεντήκοντα ἀργυρίου. καὶ
B οὕτω πᾶσι τοῖς βασιλεῦσι Χετιὶμ, (2)
καὶ βασιλεῦσι Συρίας κατὰ θάλασ-
σαν ἐξεπορεύοντο.

ΚΕΦ. ΙΑ.

α. Καὶ ὁ βασιλεὺς Σαλομὼν ἦν
Φιλογύναιος. καὶ ἔλαβε
γυναῖκας ἀλλοτρίας, καὶ
τὴν θυγατέρα Φαραὼ, Μωαβίτι-
δας, Ἀμμανίτιδας, Σύρας, καὶ Ἰδου-
β. μαίας, Χετταίας, καὶ Ἀμοῤῥαίας, Ἐκ
τῶν ἐθνῶν ὧν ἀπεῖπε Κύριος τοῖς υἱοῖς
Ἰσραὴλ, οὐκ εἰσελεύσεσθε εἰς αὐτοὺς,
καὶ αὐτοὶ οὐκ εἰσελεύσονται εἰς ὑμᾶς,
ἵνα μὴ ἐκκλίνωσι τὰς καρδίας ὑμῶν
ὀπίσω (3) τῶν εἰδώλων αὐτῶν· εἰς αὐ-
τοὺς ἐκολλήθη Σαλομὼν τοῦ ἀγαπῆ-
γ. σαι. Καὶ ἦσαν αὐτῷ γυναῖκες ἄρ-
χουσαι ἑπτακόσιαι, καὶ παλλακαὶ τρια-
δ. κόσιαι. Καὶ ἐγενήθη ἐν τῷ (4) καιρῷ
γήρως Σαλομὼν, (5) καὶ ἐξέκλιναν αἱ
γυναῖκες αἱ ἀλλότριαι τὴν καρδίαν
αὐτοῦ ὀπίσω Θεῶν αὐτῶν, καὶ οὐκ ἦν
ἡ καρδία αὐτοῦ τελεία μετὰ Κυρίου
Θεοῦ αὐτοῦ, καθὼς ἡ καρδία Δαβὶδ
ε. τοῦ πατρὸς αὐτοῦ. Καὶ (6) ἐπορεύθη
Σαλομὼν ὀπίσω τῆς Ἀστάρτης βδε-
λύγματος Σιδωνίων, καὶ ὀπίσω τοῦ
βασιλέως αὐτῶν εἰδώλου υἱῶν Ἀμμών.
ς. Καὶ ἐποίησε Σαλομὼν τὸ πονηρὸν ἐνώ-
πιον Κυρίου· (7) καὶ οὐκ ἐπορεύθη ὀπί-
σω Κυρίου, ὡς Δαβὶδ ὁ πατὴρ αὐτοῦ.
ζ. Τότε ᾠκοδόμησε Σαλομὼν ὑψηλὸν
τῷ Χαμὼς εἰδώλῳ Μωὰβ, καὶ τῷ (8)
Μολλὸμ εἰδώλῳ υἱῶν Ἀμμὼν, καὶ τῇ
η. Ἀστάρτῃ βδελύγματι Σιδωνίων. Καὶ
οὕτως ἐποίησε πάσαις ταῖς γυναιξὶν
αὐτοῦ ταῖς ἀλλοτρίαις, αἳ ἐθυμίων
καὶ ἔθυον τοῖς εἰδώλοις αὐτῶν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Σολομὼν μέντοι ὁ
πολυθρύλλητος, [ὁ] τοσούτων παρὰ [τοῦ]
Θεοῦ δωρεῶν ἀξιωθεὶς, καὶ τοὺς βασιλεῖς
τοὺς πελάζοντας ὑποτελεῖς ἐσχηκὼς, καὶ
τοῖς ἀπὸ [τοῦ] Εὐφράτου μέχρι Νείλου δασ-
Γ μὸν ἐπιθεὶς, τῶν θείων δωρεῶν [ἐπελή-
σθη.] λαγνίστατος γὰρ γενόμενος, παμ-
πόλλαις μὲν ὡμίλησε γυναιξίν. οὐκ ἠρκέσθη
δὲ ταῖς ἐγχωρίοις, ἀλλὰ παρὰ τὸν νόμον
καὶ ἀλλοφύλους ἠγάγετο. πρῶτον μὲν τοῦ
Φαραὼ τὴν θυγατέρα, ἔπειτα δὲ Μωαβί-
τιδας, καὶ Σύρας, καὶ Ἰδουμαίας, καὶ Ἀμοῤ-
ῥαίας, ἐξ ὧν ἀπηγόρευσεν ὁ τῶν ὅλων Θεὸς
τὰς ἐπιγαμίας ποιεῖσθαι, ἵνα μὴ ὁ περὶ
ταύτας ἔρως δουλεῦσαι τοῖς τούτων ἀναγ-
Δ κάσῃ Θεοῖς. τοῦτο γὰρ καὶ αὐτὸς (9) ὑπέ-
„ μεινεν. ᾠκοδόμησε γὰρ ὑψηλὸν τόπον τῷ
„ Χαμὼς εἰδώλῳ Μωὰβ, καὶ τῷ Μελχὼλ εἰδώ-
„ λῳ υἱῶν Ἀμμὼν, καὶ τῇ Ἀστάρτῃ βδελύγ-
„ ματι Σιδωνίων· καὶ οὕτως ἐποίησε πάσαις
„ ταῖς γυναιξὶν αὐτοῦ ταῖς ἀλλοτρίαις. ἐθυ-
„ μία καὶ ἔθυεν ἐν τοῖς εἰδώλοις αὐτῶν. οἱ δὲ
„ ἄλλοι ἑρμηνευταὶ, ἐθυμίων καὶ ἔθυον, ἐκ-
δεδώκασι. δῆλος δὲ ὁ λόγος, ὅτι αὐτὸς μὲν
ᾠκοδόμησεν αὐταῖς τὰ τεμένη, ἐκεῖναι δὲ
E τοῖς εἰδώλοις ἐλάτρευον. ἀλλ' οὐδ' οὕτω τῆς
„ κατηγορίας ἦν ἐλεύθερος. ἐποίησε γάρ-
„ φησιν [ὁ Σολομὼν] τὸ πονηρὸν ἐνώπιον
„ Κυρίου, καὶ οὐκ ἐπορεύθη ὀπίσω Κυρίου, ὡς
„ Δαβὶδ ὁ πατὴρ αὐτοῦ.

θ. Καὶ ὠργίσθη Κύριος ἐπὶ Σα-
λομὼν, ὅτι ἐξέκλινε καρδίαν αὐτοῦ
ἀπὸ Κυρίου Θεοῦ Ἰσραὴλ, τοῦ ὀφθέν-
ι. τος αὐτῷ δὶς, Καὶ ἐντειλαμένου αὐ-
Z τῷ ὑπὲρ τοῦ λόγου τούτου, τὸ παράπαν
μὴ πορευθῆναι ὀπίσω Θεῶν ἑτέρων,
καὶ φυλάξαι καὶ ποιῆσαι ἃ ἐνετείλατο
αὐτῷ Κύριος ὁ Θεός· οὐδὲ ἦν ἡ καρδία
αὐτοῦ τελεία μετὰ Κυρίου, κατὰ τὴν
καρδίαν Δαβὶδ τοῦ πατρὸς αὐτοῦ.

„ * ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ὠργίσθη Κύριος
„ ἐπὶ Σολομῶντι, ὅτι ἐξέκλινε τὴν καρδίαν

ἀπὸ

(1) Δώδεκα χιλιάδες ἱππέων. αἱ αὐτ. (2) Χεττιίν. αἱ αὐτ. (3) Ὀπίσω εἰδώλ. αἱ αὐτ.
(4) Ἐν καιρῷ. αἱ αὐτ. (5) Καὶ ἐξέκλιναν αἱ γυναῖκες αἱ ἀλλότριαι τὴν καρδίαν αὐτοῦ ὀπίσω Θεῶν αὐτῶν. ταῦτα μέρος τοῦ 3. ἐδ. εἰσὶ παρὰ ταῖς εἰρημ. ἐκδόσ.
(6) Καὶ τῇ Ἀστάρτῃ βδελύγματι Σιδωνίων. ταῦτα ἀντὶ ἐ ἐδ. ἐν ταῖς αὐτ.
(7) Κυρίου· οὐκ ἐπορεύθ. αἱ αὐτ. (8) Τῷ βασιλεῖ αὐτῶν εἰδώλ. αἱ αὐτ. (9) Οὗτος. ἡ ἐν Χαλ. ἐκδ.

ἀπὸ Κυρίου Θεοῦ Ἰσραὴλ, τοῦ ὀφθέντος αὐτῷ δὶς, καὶ ἐντειλαμένου αὐτῷ περὶ τοῦ λόγου τούτου, τὸ παράπαν μὴ πορευθῆναι ὀπίσω Θεῶν ἀλλοτρίων, καὶ φυλάξαι καὶ ποιῆσαι ἃ ἐνετείλατο αὐτῷ Κύριος. οὐκ ἦν ἡ καρδία αὐτοῦ τελεία μετὰ Κυρίου, κατὰ τὴν καρδίαν Δαβὶδ τοῦ πατρὸς αὐτοῦ. εἰς ἐπίτασιν δὲ κατηγορίας, τῆς θείας ἀποκαλύψεως τῆς δὶς γεγενημένης (1) ἐμνήσθη. οὐδὲ γὰρ δι᾽ ἄλλου, φησὶ, Προφήτου τὸ πρακτέον αὐτῷ ὑπέδειξεν· ἀλλ᾽ αὐτὸς αὐτῷ πρὸ πάντων ἀπηγόρευσε τῶν ψευδωνύμων Θεῶν τὴν λατρείαν· εἶτα καὶ τοὺς ἄλλους νόμους φυλάττειν ἐκέλευσε.

ια. Καὶ εἶπε Κύριος πρὸς Σαλομὼν, ἀνθ᾽ ὧν ἐγένετο ταῦτα μετὰ σοῦ, καὶ οὐκ ἐφύλαξας τὰς ἐντολάς μου καὶ τὰ προστάγματά μου ἃ ἐνετειλάμην σοι, διαῤῥήσσων διαῤῥήξω τὴν βασιλείαν σου ἐκ χειρός σου, καὶ δώσω αὐ-
ιβ. τὴν τῷ δούλῳ σου. Πλὴν ἐν ταῖς ἡμέραις σου οὐ ποιήσω αὐτὰ διὰ Δαβὶδ τὸν πατέρα σου· ἐκ χειρὸς υἱοῦ σου λή-
ιγ. ψομαι αὐτήν. Πλὴν ὅλην τὴν βασιλείαν οὐ μὴ λάβω· σκῆπτρον ἓν δώσω τῷ υἱῷ σου διὰ Δαβὶδ τὸν δοῦλόν μου καὶ διὰ Ἱερουσαλὴμ τὴν πόλιν ἣν ἐξελεξάμην.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ δὲ διὰ τῆς ἀκολασίας ἀπέκλινεν εἰς ἀσέβειαν, καὶ γέγονεν ἡ λαγνεία τῆς τῶν εἰδώλων πρόξενος θεραπείας, τῆς οἰκείας αὐτὸν κηδεμονίας ἐγύμνωσε. διαῤῥήξω γὰρ ἔφη τὴν βασιλείαν ἐκ χειρός σου, καὶ δώσω αὐτὴν τῷ δούλῳ σου. εἶτα δείκνυσι τὴν ἄμετρον ἀγαθότητα· πλὴν ἐν ταῖς ἡμέραις σου οὐ ποιήσω ταῦτα διὰ Δαβὶδ τὸν πατέρα σου· ἐκ χειρὸς τοῦ υἱοῦ σου λήψομαι αὐτήν. σὺ μὲν γὰρ ἔχεις ἐπικουρίαν τὸν πατέρα, ἐκεῖνος δὲ πατρικῆς βοηθείας γεγύμνωται. πλὴν ὅλην τὴν βασιλείαν οὐ μὴ λάβω· ἓν σκῆπτρον δώσω τῷ υἱῷ σου, διὰ Δαβὶδ τὸν δοῦλόν μου, καὶ διὰ Ἱερουσαλὴμ τὴν πόλιν ἣν ἐξελεξάμην. προσθήσω, φησὶ, τὸν Βενιαμὶν τῇ τοῦ Ἰούδα φυλῇ. μάλα δὲ εἰκότως συνῆψε τὰς δύω φυλάς. τὸ μὲν γὰρ βασιλικὸν γένος εἶχεν ἡ τοῦ Ἰούδα φυλὴ, τὸν δὲ θεῖον ναὸν ἡ τοῦ Βενιαμίν. τῆς γὰρ Ἱερουσαλὴμ ὁ κλῆρος τῆς Βενιαμίτιδος ὑπῆρχε φυλῆς. ἐντεῦθεν δὲ λέγει τοὺς ἐπαναστάντας πολέμους τῷ Σολομῶντι, ὅτι ἕως μὲν τῆς θείας ἀπήλαυε προμηθείας, ἐν εἰρήνῃ καὶ γαλήνῃ διῆγε, πάντας ἔχων ὑποκειμένους, καὶ δασμὸν κομίζοντας ὅτι μάλιστα πλεῖστον. ἐπειδὴ δὲ ταύτης ἐγυμνώθη, τοῖς δυσμενέσιν εὐεπιχείρωτος γέγονε.

ιδ. Καὶ ἐξήγειρε Κύριος Σατὰν τῷ Σαλομὼν τὸν Ἄδερ τὸν Ἰδουμαῖον, καὶ ἤγειρε Κύριος τῷ Σαλομὼν Σατὰν τὸν Ναζρὼν (2) υἱὸν Ἐλιδαὲ τὸν Βαραμεὲθ, Ἀδαδέζερ βασιλέα Σαβὰ (3) κύριον αὐτοῦ. καὶ συνηθροίσθησαν ἐπ᾽ αὐτὸν ἄνδρες, καὶ ἦν ἄρχων συστρέμματος, καὶ προκατελάβετο τὴν Δαμεσάκ. (4) καὶ ἦν Σατὰν τῷ Ἰσραὴλ πάσας τὰς ἡμέρας Σαλομών. καὶ Ἄδερ ὁ Ἰδουμαῖος ἐκ τοῦ σπέρματος τῆς βασιλείας ἐν Ἰδουμαίᾳ.

** ΒΑΣΙΛΕΙΟΥ. Σατανᾶς διὰ τὸ ἀντικεῖσθαι τῷ ἀγαθῷ. οὕτω γὰρ σημαίνει ἡ φωνὴ τῶν Ἑβραίων ὡς ἐν ταῖς Βασιλείαις μεμαθήκαμεν· ἐξήγειρε γάρ φησι Κύριος τῷ Σολωμῶντι Σατᾶν, Ἄδερ τὸν βασιλέα τῶν Σύρων.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνα λέγει Σατᾶν; Τὸν ἀποστάτην, τὸν ἀνθιστάμενον, τὸν ἐναντιούμενον.

** ΙΩΣΗΠΟΥ. Πολέμιον ἐπ᾽ αὐτὸν εὐθὺς ἤγειρεν ὁ Θεὸς, Ἄδερον μὲν ὄνομα, τὴν δ᾽ αἰτίαν τῆς ἔχθρας λαβόντα τοιαύτην· παῖς οὗτος ἦν, Ἰδουμαῖος γένος, ἐκ βασιλικῶν σπερμάτων. καταστρεψαμένου δὲ τὴν Ἰδουμαίαν Ἰωάβου τοῦ Δαυίδου στρατηγοῦ, καὶ πάντας τοὺς ἐν ἀκμῇ φέρειν ὅπλα δυναμένους διαφθείραντος μησὶν ἕξ, φυγὼν ἧκε πρὸς τὸν Φαραῶνα τῶν Αἰγυπτίων βασιλέα. ὁ δὲ, φιλοφρόνως αὐτὸν ὑποδεξάμενος, οἶκόν τε αὐτῷ δίδωσι καὶ χώραν εἰς διατροφήν· καὶ γενόμενον ἐν ἡλικίᾳ λίαν ἠγάπα, ὡς καὶ τῆς αὐτοῦ γυναικὸς αὐτῷ δοῦναι πρὸς γάμον τὴν ἀδελφὴν, ὄνομα Θαφίνην. ἐξ ἧς υἱὸς αὐτῷ γενόμενος τοῖς τοῦ βασιλέως παισὶ συνανετράφη. ἀκούσας οὖν τὸν Δαυίδου θάνατον ἐν Αἰγύπτῳ καὶ τὸν Ἰωάβου, προσελθὼν ἐδεῖτο τοῦ Φαραῶνος ἐπιτρέπειν αὐτῷ βαδίζειν εἰς τὴν πατρίδα. τοῦ δὲ βασιλέως ἀνακρίναντος τίνος ἐνδεὴς ὢν, ἢ τί παθὼν ἐσπούδακε καταλιπεῖν αὐτὸν, ἐνοχλῶν πολλάκις καὶ παρακαλῶν, τότε μὲν οὐκ ἀφείθη. κατ᾽ ἐκεῖνον δὲ τὸν καιρὸν, καθ᾽ ὃν ἤδη Σολομῶνι τὰ πράγματα κακῶς ἔχειν ἤρχετο διὰ τὰς προειρημένας παρανομίας, καὶ τὴν ὀργὴν τὴν ἐπ᾽ αὐτοῖς τοῦ Θεοῦ, συγχωρήσαντος Φαραῶνος, ὁ Ἄδερος ἧκεν εἰς τὴν Ἰδουμαίαν. καὶ μὴ δυνηθεὶς αὐτὴν ἀποστῆσαι τοῦ Σολομῶνος, κατείχετο γὰρ φρουραῖς πολλαῖς, καὶ οὐκ ἦν ἐλεύθερος δι᾽ αὐτὰς, οὐδ᾽ ἐπ᾽ ἀδείας ὁ νεωτερισμὸς, ἄρας ἐκεῖθεν εἰς τὴν Συρίαν ἀφίκετο. συμβαλὼν δὲ ἐκεῖ τινὶ Ῥαάζαρῳ μὲν τοὔνομα, τὸν δὲ τῆς Σαφήνης ἀποδεδρακότι βασιλέα Ἀδράζαρον δεσπότην ὄντα, καὶ λῃστεύοντι τὴν χώραν, εἰς φιλίαν αὐτῷ συνάψας ἔχοντι περὶ αὐτὸν στῖφος λῃστρικὸν, ἀναβαίνει, καὶ κατασχὼν τὴν ἐκεῖ Συρίαν, βασιλεὺς αὐτῆς ἀποδείκνυται· καὶ κατατρέπων τὴν τῶν Ἰσραηλιτῶν γῆν, ἐποίει κακῶς καὶ διήρπαζε, Σολομῶνος ἔτι ζῶντος.

ιε. Καὶ

(1) Γενομένης. ἡ αὐτ.
(3) Σουβά. αἱ αὐτ.
(2) Ἐσρὼμ υἱὸν Ἐλιαδαέ. αἱ αὐτ.
(4) Δαμασέκ. αἱ αὐτ.

ιε. Καὶ ἐγένετο ἐν τῷ ἐξολοθρεῦ-
σαι Δαβὶδ τὸν Ἐδὼμ ἐν τῷ πορευ-
θῆναι Ἰωὰβ τὸν ἄρχοντα τῆς στρα-
τιᾶς θάπτειν τοὺς τραυματίας, καὶ
ἔκοψαν πᾶν ἀρσενικὸν ἐν τῇ Ἰδουμαίᾳ·
ις. Ὅτι ἓξ μῆνας ἐνεκάθητο ἐκεῖ Ἰωὰβ
καὶ πᾶς Ἰσραὴλ ἐν τῇ Ἰδουμαίᾳ, ἕως
ὅτου ἐξωλόθρευσαν πᾶν ἀρσενικὸν ἐκ
ιζ. τῆς Ἰδουμαίας. Καὶ ἀπέδρα Ἄδερ
αὐτὸς καὶ πάντες ἄνδρες Ἰδουμαῖοι τῶν
παίδων τοῦ πατρὸς αὐτοῦ μετ᾽ αὐτοῦ,
καὶ εἰσῆλθον εἰς Αἴγυπτον· καὶ Ἄδερ
ιη. παιδάριον μικρόν. Καὶ ἀνίστανται ἄν-
δρες ἐκ τῆς πόλεως Μαδιὰμ, καὶ ἔρ-
χονται εἰς Φαρὰν, καὶ λαμβάνουσιν
ἄνδρας μετ᾽ αὐτῶν, καὶ ἔρχονται πρὸς
Φαραὼ βασιλέα Αἰγύπτου. καὶ εἰσῆλ-
θεν Ἄδερ πρὸς Φαραὼ, καὶ ἔδωκεν
αὐτῷ οἶκον, καὶ ἄρτους διέταξεν αὐτῷ.
ιθ. Καὶ εὗρεν Ἄδερ χάριν ἐναντίον Φα-
ραὼ σφόδρα, καὶ ἔδωκεν αὐτῷ γυ-
ναῖκα ἀδελφὴν τῆς γυναικὸς αὐτοῦ,
ἀδελφὴν Θεκεμίνης (1) τῆς μείζω.
κ. Καὶ ἔτεκεν αὐτῷ ἡ ἀδελφὴ Θεκεμί-
νης τῷ Ἄδερ τὸν Γανηβὰθ υἱὸν αὐ-
τῆς· καὶ ἐξέθρεψεν αὐτὸν Θεκεμίνα
ἐν μέσῳ υἱῶν Φαραώ. καὶ ἦν Γανηβὰθ
κα. ἐν μέσῳ υἱῶν Φαραώ. Καὶ Ἄδερ ἤκου-
σεν ἐν Αἰγύπτῳ ὅτι κεκοίμηται Δα-
βὶδ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ὅτι
τέθνηκεν Ἰωὰβ ὁ ἄρχων τῆς στρατιᾶς,
καὶ εἶπεν Ἄδερ πρὸς Φαραὼ, ἐξαπό-
στειλόν με, καὶ ἀποστρέψω εἰς τὴν γῆν
κβ. μου. Καὶ εἶπε Φαραὼ τῷ Ἄδερ, τίνι
σὺ ἐλαττονῇ μετ᾽ ἐμοῦ; καὶ ἰδοὺ σὺ ζη-
τεῖς ἀπελθεῖν εἰς τὴν γῆν σου; καὶ εἶπεν
αὐτῷ Ἄδερ, ὅτι ἐξαποστέλλων ἐξαπο-
στελεῖς με. καὶ ἀνέστρεψεν Ἄδερ εἰς τὴν
γῆν αὐτοῦ. αὕτη ἡ κακία ἣν ἐποίησεν
Ἄδερ· καὶ ἐβαρυνώθη ἐπὶ Ἰσραὴλ, καὶ
ἐβασίλευσεν ἐν γῇ Ἐδώμ. (2)

κς. Καὶ Ἱεροβοὰμ υἱὸς Ναβὰτ ὁ
Ἐφραθὶ ἐκ τῆς Σαρίρα (3) υἱὸς γυ-
κζ. ναικὸς χήρας δοῦλος Σαλομών. Καὶ
τοῦτο τὸ πρᾶγμα ὡς ἐπήρατο χεῖρας
ἐπὶ βασιλέα Σαλομών. καὶ ὁ βασι-
λεὺς Σαλομὼν ᾠκοδόμησε τὴν ἄκραν,
καὶ συνέκλεισε τὸν φραγμὸν τῆς πό-
κη. λεως Δαβὶδ τοῦ πατρὸς αὐτοῦ. Καὶ
A ὁ ἄνθρωπος Ἱεροβοὰμ ἰσχυρὸς δυνά-
μει. καὶ εἶδε Σαλομὼν τὸ παιδάριον
ὅτι ἀνὴρ ἔργων ἐστὶ, καὶ κατέστησεν αὐ-
τὸν ἐπὶ τὰς ἄρσεις οἴκου Ἰωσήφ.

** ΙΩΣΗΠΟΥ. Ἐπιτίθεται Σολομῶνι
καὶ τῶν ὁμοφύλων τὶς Ἱεροβόαμος υἱὸς Να-
βαταίου, κατὰ προφητείαν πάλαι γενομέ-
νην αὐτῷ τοῖς πράγμασιν ἐπελπίσας. παῖ-
δα γὰρ αὐτὸν ὑπὸ τοῦ πατρὸς καταλειφ-
B θέντα, καὶ ὑπὸ τῇ μητρὶ παιδευόμενον, ὡς
εἶδε γενναῖον καὶ τολμηρὸν Σολομὼν ὄντα
τὸ φρόνημα, τῆς τῶν τειχῶν οἰκοδομίας
ἐπιμελητὴν κατέστησεν, ὅτε τοῖς Ἱεροσολύ-
μοις τὸν κύκλον περιέβαλεν. οὕτω δὲ τῶν
ἔργων προενόησεν, ὥστε ὁ βασιλεὺς αὐτὸν
ἀπεδέξατο, καὶ γέρας αὐτῷ στρατηγίαν ἐπὶ
τῆς Ἰωσήπου φυλῆς ἔδωκεν.

κθ. Καὶ ἐγενήθη ἐν τῷ καιρῷ ἐκεί-
Γ νῳ, καὶ Ἱεροβοὰμ ἐξῆλθεν ἐξ Ἱερου-
σαλὴμ, καὶ εὗρεν αὐτὸν Ἀχιὰ ὁ Ση-
λωνίτης ὁ προφήτης ἐν τῇ ὁδῷ, καὶ
ἀπέστησεν αὐτὸν ἐκ τῆς ὁδοῦ. καὶ Ἀχιὰ
περιβεβλημένος ἱματίῳ καινῷ, καὶ
λ. ἀμφότεροι μόνοι ἐν τῷ πεδίῳ. Καὶ
ἐπελάβετο Ἀχιὰ τοῦ ἱματίου αὐτοῦ
τοῦ καινοῦ τοῦ ἐπ᾽ αὐτῷ. καὶ διέρρηξεν
αὐτὸ δώδεκα ῥήγματα,
Δ
λα. Καὶ εἶπε τῷ Ἱεροβοὰμ, λά-
βε σεαυτῷ δέκα ῥήγματα, ὅτι τάδε
λέγει Κύριος ὁ Θεὸς Ἰσραὴλ, ἰδοὺ ἐγὼ
ῥήσσω τὴν βασιλείαν ἐκ χειρὸς Σαλο-
λβ. μὼν, καὶ δώσω σοι δέκα σκῆπτρα. Καὶ
δύω σκῆπτρα ἔσονται αὐτῷ, διὰ τὸν
δοῦλόν μου Δαβὶδ, καὶ διὰ Ἱερουσαλὴμ
τὴν πόλιν ἣν ἐξελεξάμην ἐν αὐτῇ ἐκ
λγ. πασῶν φυλῶν Ἰσραήλ. Ἀνθ᾽ ὧν κα-
E τέλειπέ με, καὶ ἐποίησε τῇ Ἀστάρτῃ
βδελύγματι Σιδωνίων, καὶ τῷ Χα-
μὼς, καὶ τοῖς εἰδώλοις Μωὰβ, καὶ τῷ
βασιλεῖ αὐτῶν προσοχθίσματι υἱῶν
Ἀμμὼν, καὶ οὐκ ἐπορεύθη ἐν ταῖς
ὁδοῖς μου τοῦ ποιῆσαι τὸ εὐθὲς ἐνώπιον
ἐμοῦ, ὡς Δαβὶδ ὁ πατὴρ αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὅτι δὲ δύω φυλὰς
Z τῇ δαβιτικῇ καταλέλοιπε βασιλείᾳ, τὰ
ἑξῆς δηλοῖ. Ἀχιὰ γὰρ ὁ προφήτης ὁ Σι-
λωνίτης διελὼν τὴν ἀμπεχόνην εἰς δυω-
καίδεκα μόρια, δέκα λαβεῖν προσέταξε τῷ
» Ἱεροβοάμ. εἶτα λύει τὸ αἴνιγμα· ἰδοὺ ἐγὼ
» ῥήσσω τὴν βασιλείαν ἐκ χειρὸς Σολομῶν-
» τος, καὶ δώσω σοι τὰ δέκα σκῆπτρα. καὶ
δύω

(1) Θεκεμίνας μείζω. αἱ αὐτ. (2) κγ'. Καὶ ἤγειρε Κύριος Σατὰν τῷ Σαλωμὼν τὸν Ῥαζὼν υἱὸν Ἐλιαδαὲ τὸν Βαραμεὲθ Ἀδαδέζερ βασιλέα Σουβὰ κύριον αὐτοῦ. κδ'. Καὶ συνηθροίσθησαν ἐπ᾽ αὐτὸν ἄνδρες, καὶ ἦν ἄρχων συστρέμματος, ἐν τῷ ἀποκτείνειν Δαυὶδ αὐτούς. καὶ ἐπορεύθησαν Δαμασκὸν, καὶ ἐκάθισαν ἐν αὐτῇ, καὶ ἐβασίλευσαν ἐν Δαμασκῷ. κε'. Καὶ ἐγένετο ἀντικείμενος τῷ Ἰσραὴλ πάσας τὰς ἡμέρας Σαλωμών· αὕτη ἡ κακία Ἄδερ. καὶ ἐβαρυθήμησε· Ταῦτα ἀντὶ τῶν λειπόντων ἐδ. ἐν ταῖς σημειώσ. τῆς ἐν Φρανεκ. ἐκδόσ. κατὰ τὴν τοῦ Ἑβραϊκ. διαίρεσιν. τὰ δὲ πλεῖστα τούτων τὸ ιδ. περιέχει ἐδ.

(3) Σαριρά. αἱ αὐτ.

» δύω σκῆπτρα δώσω αὐτῷ διὰ Δαβὶδ τὸν δοῦλόν μου, καὶ διὰ Ἱερουσαλὴμ τὴν πόλιν, ἣν ἐξελεξάμην ἐμαυτῷ ἐκ πασῶν φυλῶν Ἰσραήλ, ἀνθ' ὧν ἐγκατέλειπέ με, καὶ ἐδούλευσε τῇ Ἀστάρτῃ βδελύγματι Σιδωνίων, καὶ τῷ Χαμὼς εἰδώλῳ Μωὰβ, καὶ τῷ Μελχὸλ προσοχθίσματι υἱῶν Ἀμμών. ἐκ τούτων δῆλον, ὅτι καὶ αὐτὸς τοῖς εἰδώλοις ἐλάτρευσε.

λδ. Καὶ οὐ μὴ λάβω τὴν βασιλείαν ὅλην ἐκ χειρὸς αὐτοῦ, διότι ἀντιτασσόμενος ἀντιτάξομαι αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ, διὰ Δαβὶδ τὸν δοῦλόν μου ὃν ἐξελεξάμην
λε. αὐτόν. Καὶ λήψομαι τὴν βασιλείαν ἐκ χειρὸς τοῦ υἱοῦ αὐτοῦ, καὶ δώσω σοι τὰ δέκα σκῆπτρα.

λϛ. Τῷ δὲ υἱῷ αὐτοῦ δώσω τὰ δύω σκῆπτρα, ὅπως ᾖ θέσις (1) τῷ δούλῳ μου Δαβὶδ πάσας τὰς ἡμέρας ἐνώπιον ἐμοῦ ἐν τῇ (2) Ἱερουσαλὴμ τῇ πόλει, ἣν ἐξελεξάμην ἐμαυτῷ τοῦ θέσθαι τὸ ὄνομά μου ἐκεῖ.

» ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ὅπως ᾖ θέλησις Δαβὶδ τοῦ δούλου μου διαμένῃ (3) πάσας τὰς ἡμέρας ἐνώπιόν μου ἐν Ἱερουσαλὴμ τῇ πόλει, ἣν ἐξελεξάμην ἐμαυτῷ τοῦ θέσθαι τὸ ὄνομά μου ἐκεῖ; Ἄνωθέν φησι προϊδὼν τὴν τοῦ Δαβὶδ ἀρετὴν, ἐξελεξάμην αὐτὸν, καὶ εὐδόκησα ἐν αὐτῷ· τοῦτο γὰρ λέγει θέλημα· (4) καὶ ὥρισα καὶ αὐτὸν, καὶ τὸ γένος αὐτοῦ, βασιλεύειν τῆς Ἱερουσαλὴμ, ἐν ᾗ ἠβουλήθην τὸ ἐμὸν ὄνομα σέβεσθαι.

λζ. Καὶ σὲ λήψομαι, καὶ βασιλεύσεις ἐν οἷς ἐπιθυμεῖ ἡ ψυχή σου, καὶ σὺ ἔσῃ βασιλεὺς ἐπὶ τὸν Ἰσραήλ.
λη. Καὶ ἔσται ἐὰν φυλάξῃς πάντα ὅσα ἂν ἐντέλλωμαί σοι, καὶ πορευθῇς ἐν ταῖς ὁδοῖς μου, καὶ ποιήσῃς τὸ εὐθὲς ἐνώπιον ἐμοῦ, τοῦ φυλάξαι τὰ προστάγματά μου καὶ τὰς ἐντολάς μου, καθὼς ἐποίησε Δαβὶδ ὁ δοῦλός μου, καὶ ἔσομαι μετὰ σοῦ καὶ οἰκοδομήσω σοι οἶκον πιστὸν, καθὼς ᾠκοδόμησα τῷ Δαβίδ. (5)

μ. Καὶ ἐζήτησε Σαλομὼν θανατῶσαι τὸν Ἱεροβοάμ. καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς Αἴγυπτον πρὸς Σουσακὶμ βασιλέα Αἰγύπτου, καὶ ἦν ἐν Αἰγύπτῳ ἕως οὗ ἀπέθανε Σαλομών.

✱✱ ΙΩΣΗΠΟΥ. Ἐπαρθεὶς τοῖς τοῦ Προφήτου λόγοις ὁ Ἱεροβόαμος, φύσει θερμὸς ὢν νεανίας, καὶ μεγάλων ἐπιθυμητὴς πραγμάτων, οὐκ ἠρέμει. γενόμενος δὲ ἐν τῇ στρα-
A τηγίᾳ, καὶ μεμνημένος τῶν ὑπὸ Ἀχία δεδηλωμένων, ἀναπείθειν ἐπεχείρει τὸν λαὸν ἀφίστασθαι Σολομῶνος, καὶ κινεῖν καὶ πράττειν εἰς αὐτὸν τὴν ἡγεμονίαν. μαθὼν δὲ τὴν διάνοιαν αὐτοῦ καὶ τὴν ἐπιβουλὴν ὁ Σολομὼν, ἐζήτει συλλαβὼν αὐτὸν ἀνελεῖν. Φθάσας δὲ τοῦτο γνῶναι Ἱεροβόαμος, πρὸς Σούσακον φεύγει τῶν Αἰγυπτίων βασιλέα, καὶ μέχρι τῆς Σολομῶνος τελευτῆς ἐκεῖ μείνας, τό, τε μηδὲν ὑπ' αὐτοῦ παθεῖν ἐκέρ-
B δισε καὶ τὸ τῇ βασιλείᾳ φυλαχθῆναι.

μα. Καὶ τὰ λοιπὰ τῶν λόγων Σαλομὼν τὰ (6) πάντα ὅσα ἐποίησε καὶ πᾶσαν τὴν φρόνησιν αὐτοῦ, οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐν βιβλίῳ ῥημάτων Σαλομών;

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ ἱστοριογράφος τὰ κατὰ τὸν Σολομῶντα πεπληρωκὼς, ἐπήγαγε· καὶ τὰ λοιπὰ τῶν λόγων Σολομῶν-
Γ τος, καὶ πάντα ὅσα ἐποίησε, καὶ πᾶσα ἡ φρόνησις αὐτοῦ, οὐκ ἰδοὺ ταῦτα γέγραπται ἐν βίβλῳ λόγων τῶν ἡμερῶν Σολομῶντος; τοῦτο δὲ καὶ ἡ τῶν Παραλειπομένων βίβλος δηλοῖ, ἑτέραν εἶναι βίβλον ταῦτα σημαίνουσαν.

μβ. Καὶ αἱ ἡμέραι ἃς ἐβασίλευσε Σαλομὼν ἐν Ἱερουσαλὴμ ἐπὶ πάντα
μγ. Ἰσραὴλ τεσσαράκοντα ἔτη. Καὶ ἐκοι-
Δ μήθη Σαλομὼν μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν πόλει Δαβὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἐγενήθη ὡς ἤκουσεν Ἱεροβοὰμ υἱὸς Ναβὰτ, καὶ αὐτοῦ ἔτι ὄντος ἐν Αἰγύπτῳ ὡς ἔφυγεν ἐκ προσώπου (7) τοῦ βασιλέως Σαλομὼν, καὶ ἐκάθητο ἐν Αἰγύπτῳ, κατευθύνει καὶ ἔρχεται εἰς τὴν πόλιν
E αὐτοῦ εἰς τὴν γῆν Σαρίρα τὴν ἐν ὄρει
μδ. Ἐφραίμ. Καὶ ὁ βασιλεὺς Σαλομὼν ἐκοιμήθη μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσε Ῥοβοὰμ ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

✱✱ ΙΩΣΗΠΟΥ. Ἀποθνήσκει δὲ ὁ Σολομὼν ἤδη γηραιὸς ὢν, βασιλεύσας μὲν ὀγδοήκοντα ἔτη, ζήσας δὲ ἐνενήκοντα τέσσαρα. θάπτεται δὲ ἐν Ἱεροσολύμοις, ἅπαντας ὑπερβαλὼν εὐδαιμονίᾳ τε καὶ πλούτῳ
Z καὶ φρονήσει τοὺς βασιλεύσαντας, εἰ μὴ ὅσα πρὸς τὸ γῆρας ὑπὸ τῶν γυναικῶν ἀπατηθεὶς παρενόμησε.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ἐβασίλευσε δὲ κατὰ μὲν τὴν Γραφὴν τεσσαράκοντα ἔτη, κατὰ δὲ τὸν Ἰώσηπον ὀγδοήκοντα. ἐτελεύτησε δὲ, ὡς ἐκεῖνος ἔφησε, τεσσάρων καὶ ἐνενήκοντα ἐτῶν. τούτου δὲ τελευτήσαντος, τὴν βασιλείαν Ῥοβοὰμ ὁ υἱὸς αὐτοῦ ἐδέξατο.

ΚΕΦ.

(1) Λύχνος. κατὰ Ἀκύλ. καὶ Σύμμαχ. ἐν ταῖς σημειώσ. τῆς ἐν Χάλ. ἐκδόσ.
(2) Ἐν Ἱερουσ. αἱ εἰρημ. ἐκδόσ. (3) Διαμένῃ. ἐν τῇ αὐτ. (4) Θέλησις. ἐν τῇ αὐτ.
(5) λθʹ. Καὶ κακουχήσω τὸ σπέρμα Ἰσραὴλ (Δαβὶδ) διὰ ταύτην, (ταῦτα,) πλὴν οὐ πάσας τὰς ἡμέρας. Ταῦτα ἀντὶ τοῦ λείποντος ἐδ. ἐν ταῖς σημειώσ. τῆς ἐν Φραν. ἐκδόσ. ὁμοίως καὶ ἐν τῇ Ἑβραϊκ.
(6) Καὶ πάντα. αἱ αὐτ. (7) Ἐκ προσώπου Σαλομ. αἱ αὐτ.

ΚΕΦ. ΙΒ.

α. Καὶ πορεύεται βασιλεὺς Ῥο-
βοὰμ εἰς Σίκιμα, ὅτι εἰς
Σίκιμα ἤρχοντο πᾶς Ἰσ-
γ. ραὴλ βασιλεῦσαι αὐτόν. (1) Καὶ
ἐλάλησεν ὁ λαὸς πρὸς τὸν βασιλέα
δ. Ῥοβοὰμ, λέγοντες, Ὁ πατήρ σου
ἐβάρυνε τὸν κλοιὸν ἡμῶν, καὶ σὺ νῦν
κούφισον ἀπὸ τῆς δουλείας τοῦ πατρός-
σου τῆς σκληρᾶς, καὶ ἀπὸ τοῦ κλοιοῦ
αὐτοῦ τοῦ βαρέως, οὗ ἔδωκεν ἐφ᾽ ἡμᾶς,
ε. καὶ δουλεύσομέν σοι. Καὶ εἶπε πρὸς
αὐτοὺς, ἀπέλθετε ἕως ἡμερῶν τριῶν,
καὶ ἀναστρέψατε πρός με. καὶ ἀπῆλ-
ς. θον. Καὶ ἀπήγγειλεν ὁ βασιλεὺς Ῥο-
βοὰμ τοῖς πρεσβυτέροις, οἳ ἦσαν πα-
ρεστηκότες ἐνώπιον Σαλομὼν τοῦ πα-
τρὸς αὐτοῦ ἔτι ζῶντος αὐτοῦ, λέγων,
πῶς ὑμεῖς βουλεύεσθε καὶ ἀποκριθῶ
ζ. τῷ λαῷ τούτῳ λόγον; Καὶ ἐλάλησαν
πρὸς αὐτὸν, λέγοντες, εἰ ἐν τῇ ἡμέ-
ρᾳ ταύτῃ ἔσῃ δοῦλος τῷ λαῷ τούτῳ,
καὶ δουλεύσεις αὐτοῖς, καὶ λαλήσεις
πρὸς αὐτοὺς λόγους ἀγαθοὺς, καὶ ἔσον-
η. ταί σοι δοῦλοι πάσας τὰς ἡμέρας. Καὶ
ἐγκατέλιπε τὴν βουλὴν τῶν πρεσβυ-
τέρων ἃ συνεβούλευσαν (2) αὐτῷ, καὶ
συνεβουλεύσατο μετὰ τῶν παιδαρίων
τῶν ἐκτραφέντων μετ᾽ αὐτοῦ τῶν πα-
θ. ρεστηκότων πρὸ προσώπου αὐτοῦ. Καὶ
εἶπεν αὐτοῖς, τί ὑμεῖς συμβουλεύετε;
καὶ τί ἀποκριθῶ τῷ λαῷ τούτῳ τοῖς
λαλήσασι πρός με, λεγόντων, κού-
φισον ἀπὸ τοῦ κλοιοῦ οὗ ἔδωκεν ὁ πα-
τήρ σου ἐφ᾽ ἡμᾶς;

ι. Καὶ ἐλάλησαν πρὸς αὐτὸν τὰ
παιδάρια τὰ ἐκτραφέντα μετ᾽ αὐτοῦ
οἱ παρεστηκότες πρὸ προσώπου αὐτοῦ,
λέγοντες, τάδε λαλήσεις τῷ λαῷ τού-
τῳ τοῖς λαλήσασι πρὸς σὲ, λέγον-
τες, ὁ πατήρ σου ἐβάρυνε τὸν κλοιὸν
ὑμῶν, καὶ σὺ νῦν κούφισον ἀφ᾽ ὑμῶν,
τάδε λαλήσεις πρὸς αὐτοὺς, ἡ μι-
κρότης μου παχυτέρα τῆς ὀσφύος τοῦ
πατρός μου.

** ΙΩΣΗΠΟΥ. Καλέσας τὰ μειράκια τὰ συντεθραμμένα αὐτῷ, καὶ τὴν τῶν πρεσβυτέρων αὐτοῖς συμβουλίαν εἰπὼν, τί δοκεῖ ποιεῖν αὐτοῖς ἐκέλευε λέγειν. τὰ δέ· οὐδὲ γὰρ ἡ νεότης, οὔτε ὁ Θεὸς ἠφίει νοεῖν τὰ κρείττω· παρῄνεσαν ἀποκρίνεσθαι τῷ λαῷ·
„ τὸν βραχύτερον αὐτοῦ δάκτυλον τοῖς τοῦ
„ πατρὸς ὀσφύος εἶναι παχύτερον, καὶ εἰ
„ σκληρουχίας ἐπειράθησαν ἐκείνου, πολὺ
„ μᾶλλον αὐτοῦ λήψεσθαι πεῖραν δυσκόλου, καὶ
„ εἰ μάστιξιν αὐτοὺς ἐνουθέτει, σκορπίοις τοῦτο
„ ποιήσειν αὐτὸν προσδοκᾶν.

B „ * ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἡ σμικρό-
„ της μου παχυτέρα ἐστὶ τῆς ὀσφύος τοῦ πα-
τρός μου; Τῶν Παραλειπομένων ἡ βίβλος
„ σαφέστερον τοῦτο δηλοῖ. ὁ βραχύτερός μου, 2.Παραλ. 10. 10.
„ φησὶ, δάκτυλος, παχύτερος τῆς ὀσφύος
„ τοῦ πατρός μου ἐστίν. οὕτω δὲ καὶ ὁ Σύρος ἡρ-
μήνευσε, καὶ ὁ Ἰώσηπος ὡσαύτως.

ια. Καὶ νῦν ὁ πατήρ μου ἐπεσάσ-
σετο ὑμᾶς κλοιῷ βαρεῖ, κἀγὼ προ-
Γ σθήσω ἐπὶ τὸν κλοιὸν ὑμῶν· ὁ πατήρ
μου ἐπαίδευσεν ὑμᾶς ἐν μάστιξιν, ἐγὼ
ιβ. δὲ παιδεύσω ὑμᾶς ἐν σκορπίοις. Καὶ
παρεγένετο πᾶς Ἰσραὴλ πρὸς τὸν βα-
σιλέα Ῥοβοὰμ ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ,
καθότι ἐλάλησεν αὐτοῖς ὁ βασιλεὺς,
λέγων, ἀναστράφητε πρός με τῇ ἡμέ-
ιγ. ρᾳ τῇ τρίτῃ. Καὶ ἀπεκρίθη ὁ βασι-
λεὺς πρὸς τὸν λαὸν σκληρά. καὶ ἐγ-
Δ κατέλιπε Ῥοβοὰμ τὴν βουλὴν τῶν
πρεσβυτέρων ἃ συνεβουλεύσαντο αὐ-
ιδ. τῷ, Καὶ ἐλάλησε πρὸς αὐτοὺς κα-
τὰ τὴν βουλὴν τῶν παιδαρίων, λέ-
γων, ὁ πατήρ μου ἐβάρυνε τὸν κλοιὸν
ὑμῶν, κἀγὼ προσθήσω ἐπὶ τὸν κλοιὸν
ὑμῶν· ὁ πατήρ μου ἐπαίδευσεν ὑμᾶς
ἐν μάστιξι, καὶ ἐγὼ παιδεύσω ὑμᾶς ἐν
E σκορπίοις.

ιε. Καὶ οὐκ ἤκουσεν ὁ βασιλεὺς τοῦ
λαοῦ, ὅτι ἦν μεταστροφὴ παρὰ Κυ-
ρίου, ὅπως στήσῃ τὸ ῥῆμα αὐτοῦ ὃ ἐλά-
λησεν ἐν χειρὶ Ἀχιὰ τοῦ Σιλωνίτου πε-
ρὶ Ἱεροβοὰμ υἱοῦ Ναβάτ.

„ * ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, καὶ οὐκ
„ ἤκουσεν ὁ βασιλεὺς τοῦ λαοῦ, ὅτι παρὰ Κυρίου
„ ἦν ἡ μεταστροφὴ, καὶ ἑξῆς; Ὡς τὸ, ἐσκλή- Ἐξόδ. 9. 12.
Z „ ρυνε Κύριος τὴν καρδίαν Φαραώ. ὅταν
γάρ τινα ὁ Θεὸς καταλείπῃ, ὡς ἀκυβέρνη-
τον φέρεται σκάφος· ἀλλ᾽ ὅμως τοῖς ἀνοή-
τοις ἐκείνοις χρησάμενος λόγοις, πληρωθῆ-
ναι παρεσκεύασε τοῦ Θεοῦ τὴν ἀπόφασιν.

ις. Καὶ εἶδον πᾶς Ἰσραὴλ, ὅτι οὐκ
ἤκουσεν ὁ βασιλεὺς αὐτῶν· καὶ ἀπε-
κρίθησαν ὁ λαὸς τῷ βασιλεῖ, λέγον-
τες,

(1) β΄. Καὶ ἐγένετο ὡς ἤκουσεν Ἱεροβοὰμ υἱὸς Ναβὰτ, καὶ αὐτοῦ ἔτι ὄντος ἐν Αἰγύπτῳ ὡς ἔφυγεν ἐκ προσώπου τούτου (ἴσ. ἁμάρτημα γραφικὸν, ἀντὶ τοῦ, τοῦ) βασιλέως Σαλωμὼν, καὶ ἐπέστρεψεν Ἱεροβοὰμ ἐξ Αἰγύπτου. γ΄. Καὶ ἀπέστειλαν καὶ ἐκάλεσαν αὐτόν. καὶ ἦλθεν Ἱεροβοὰμ, καὶ πᾶσα ἡ ἐκκλησία Ἰσραήλ. καὶ ἐλάλ. ταῦτα ἀντὶ τῶν λειπόντων. ἐν ταῖς εἰρημ. σημειώσ. καὶ ἐν τῇ Ἑβραϊκ. ἐκδόσ. τούτων δὲ τὸ 2. ἐδ. ὑπὸ τοῦ μγ΄. ἐδ. τοῦ προλαβόντ. κεφ. περιέχεται.

(2) Συνεβουλεύσαντο. αἱ εἰρημ. ἐκδόσ.

τες, (1) τίς ἡμῖν μερὶς ἐν Δαβὶδ; καὶ
οὐκ ἔστι κληρονομία ἡμῖν ἐν υἱῷ Ἰεσσαί.
ἀπότρεχε Ἰσραὴλ εἰς τὰ σκηνώμα-
τά σου· νῦν βόσκε τὸν οἶκόν σου Δα-
βίδ. καὶ ἀπῆλθεν Ἰσραὴλ εἰς τὰ σκη-
ιη. νώματα αὐτοῦ. (2) Καὶ ἀπέστειλεν ὁ
βασιλεὺς τὸν Ἀδωνιρὰμ τὸν ἐπὶ τοῦ
Φόρου, καὶ ἐλιθοβόλησαν αὐτὸν πᾶς
Ἰσραὴλ ἐν λίθοις, καὶ ἀπέθανε. καὶ
ὁ βασιλεὺς Ῥοβοὰμ ἔφθασεν ἀνα-
βῆναι εἰς τὸ ἅρμα τοῦ φυγεῖν εἰς Ἰε-
ρουσαλήμ.

✱✱ ΙΩΣΗΠΟΥ. Πληγέντες ὑπὸ τῶν λόγων, ὡς ὑπὸ σιδήρου, καὶ ἀλγήσαντες ὡς ἐπὶ πείρᾳ τοῖς εἰρημένοις ἠγανάκτησαν, καὶ
» μέγα πάντες ἐκβοήσαντες, οὐκ ἔτι οὐδὲν αὐ-
» τοῖς εἶναι συγγενὲς πρὸς Δαυΐδην καὶ τοὺς
» ἀπ' αὐτοῦ μετ' ἐκείνην, ἔφασαν, τὴν ἡμέ-
» ραν· παραχωρεῖν δὲ αὐτῷ μόνον τὸν ναὸν,
» ὃν ὁ πατὴρ αὐτοῦ κατεσκεύασεν, εἰπόντες,
καταλείψειν ἠπείλησαν. οὕτω δ' ἔσχον πικρῶς καὶ τὴν ὀργὴν ἐτήρησαν, ὡς πέμψαντος αὐτοῦ τὸν ἐπὶ τῶν Φόρων Ἀδώραμον, ἵνα καταπραΰνῃ, καὶ συγγνόντας τοῖς εἰρημένοις, εἴ τι προπετὲς ὑπὸ νεότητος καὶ δύσκολον ἦν ἐν αὐτοῖς, ποιήσειε μαλακωτέρους, οὐχ ὑπέμειναν· ἀλλὰ βαλόντες αὐτὸν λίθοις ἀπέκτειναν. τοῦτ' ἰδὼν Ῥοβόαμος, καὶ νομίσας αὐτὸν βεβλῆσθαι τοῖς λίθοις, οἷς τὸν ὑπηρέτην ἀπέκτειναν αὐτοῦ τὸ πλῆθος, δείσας μὴ καὶ ἔργῳ πάθῃ τὸ δεινὸν, ἐπιβὰς εὐθὺς ἐπὶ ἅρματος, ἔφυγεν εἰς Ἱεροσόλυμα.

ιθ. Καὶ ἠθέτησεν Ἰσραὴλ εἰς τὸν
οἶκον Δαβὶδ ἕως τῆς ἡμέρας ταύτης.

κ. Καὶ ἐγένετο ὡς ἤκουσε πᾶς Ἰσ-
ραὴλ ὅτι ἀνέκαμψεν Ἱεροβοὰμ ἐξ
Αἰγύπτου, καὶ ἀπέστειλαν καὶ ἐκάλε-
σαν αὐτὸν εἰς τὴν συναγωγὴν, καὶ
ἐβασίλευσαν αὐτὸν ἐπὶ Ἰσραήλ· καὶ
οὐκ ἦν ὀπίσω οἴκου Δαβὶδ πάρεξ σκή-
πτρου Ἰούδα καὶ Βενιαμὶν μόνοι.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τούτων δὲ οὕτω ῥηθέντων, ἀφίστανται μὲν αἱ δέκα φυλαὶ, καὶ χειροτονοῦσι τὸν Ἱεροβοὰμ βασιλέα. μόνων δὲ τῶν δύο φυλῶν ὁ Ῥοβοὰμ ἐβασίλευσε, καὶ τῶν λοιπῶν ὅσοι τούτοις συνῴκουν, ἐκ τῶν ἄλλων [ὄντες] φυλῶν.

κα. Καὶ Ῥοβοὰμ εἰσῆλθεν εἰς Ἱε-
ρουσαλὴμ, καὶ ἐξεκκλησίασε τὴν συ-
ναγωγὴν Ἰούδα καὶ σκῆπτρον Βενιαμὶν
ἑκατὸν καὶ εἴκοσι χιλιάδας νεανιῶν

A ποιούντων πόλεμον, τοῦ πολεμεῖν πρὸς
οἶκον Ἰσραὴλ, ἐπιστρέψαι τὴν βασι-
κβ. λείαν Ῥοβοὰμ υἱῷ Σαλομών. (3) Καὶ
ἐγένετο λόγος Κυρίου πρὸς Σαμαίαν
κγ. ἄνθρωπον τοῦ Θεοῦ, λέγων, Εἶπον τῷ
Ῥοβοὰμ υἱῷ Σαλομὼν βασιλεῖ Ἰούδα,
καὶ πρὸς πάντα (4) τὸν λαὸν οἴκου Ἰού-
δα καὶ Βενιαμὶν, καὶ τῷ καταλοίπῳ
τοῦ λαοῦ, λέγων,

B κδ. Τάδε λέγει Κύριος, οὐκ ἀνα-
βήσεσθε, οὐδὲ πολεμήσετε μετὰ τῶν
ἀδελφῶν ὑμῶν υἱῶν Ἰσραήλ. ἀναστρε-
φέτω ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, (5)
ὅτι παρ' ἐμοῦ γέγονε τὸ ῥῆμα τοῦτο.
καὶ ἤκουσαν τοῦ λόγου Κυρίου, καὶ κα-
τέπαυσαν τοῦ πορευθῆναι κατὰ τὸ
ῥῆμα Κυρίου. (6)

Γ ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα βουληθέντα καταστρατεῦσαι κατὰ τῶν δέκα φυλῶν, διὰ Σαμαίου τοῦ προφήτου κεκώλυκεν. ἀναστρε-
» φέτω γὰρ ἔφη ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ,
» ὅτι ἐξ ἐμοῦ γέγονε τὸ ῥῆμα τοῦτο.

Καὶ ὁ βασιλεὺς Σαλωμὼν κοιμᾶται μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαβίδ. καὶ ἐβασίλευσε Ῥοβοὰμ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ ἐν Ἱερουσαλὴμ, υἱὸς ὢν ἑκκαίδεκα ἐτῶν ἐν τῷ
Δ βασιλεύειν αὐτὸν, καὶ δώδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Νααναὰν, θυγάτηρ Ἄνα υἱοῦ Ναὰς βασιλέως υἱῶν Ἀμμών. καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ οὐκ ἐπορεύθη ἐν ὁδῷ Δαβὶδ τοῦ πατρὸς αὐτοῦ.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Δηλοῖ δὲ ὁ ἱστοριογράφος καὶ τῆς μητρὸς τοῦ Ῥοβοὰμ τὸ γένος, εἰς ἔλεγχον τῆς
» τοῦ γεγεννηκότος παρανομίας. ὄνομα γὰρ [φησι]
» τῆς μητρὸς αὐτοῦ Νααναὰ, θυγάτηρ Ἀνὰν, υἱοῦ Ναὰς
E » βασιλέως υἱῶν Ἀμμών. ἱκανὸν δὲ τοῦτο καὶ τὴν Ἰουδαίων βδελυρίαν ἀντρέψαι, ὅτι ἐπ' εὐγενείᾳ βρενθύονται, καὶ τοὺς ἐξ ἐθνῶν πεπιστευκότας τῷ Σωτῆρι ἀλλογενεῖς ὀνομάζουσιν. εὑρίσκεται γὰρ αὐτῶν καὶ τὸ βασιλικὸν γένος ἀλλόφυλον. ὁ δὲ Ῥοβοὰμ τὴν τοῦ πατρὸς παρανομίαν ἐζήλωσε.

Καὶ ἦν ἄνθρωπος ἐξ ὄρους Ἐφραῒμ δοῦλος τῷ Σαλωμὼν, καὶ ὄνομα αὐτῷ Ἱεροβοὰμ, καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Σαριρὰ, γυνὴ πόρνη· καὶ ἔδωκεν αὐτὸν Σαλωμὼν
Z εἰς ἄρχοντα σκυτάλης ἐπὶ ἄρσεις οἴκου Ἰωσήφ. καὶ ᾠκοδόμησε τῷ Σαλωμὼν τὴν Σαριρὰ τὴν ἐν ὄρει Ἐφραΐμ. καὶ ἦσαν αὐτῷ τριακόσια ἅρματα ἵππων. οὗτος ᾠκοδόμησε τὴν ἄκραν ἐν ταῖς ἄρσεσιν οἴκου Ἐφραΐμ. οὗτος συνέκλεισε τὴν πόλιν Δαβὶδ, καὶ ἦν ἐπαιρόμενος ἐπὶ τὴν βασιλείαν. καὶ ἐζήτει Σαλωμὼν

(1) Λέγων. αἱ αὐτ. (2) ιζ'. Καὶ υἱῶν Ἰσραὴλ τῶν καθημένων ἐν πόλεσιν Ἰούδα. καὶ ἐβασίλευσεν ἐπ' αὐτῶν Ῥοβοάμ. τοῦτό ἐστι τὸ ἐλλεῖπον ἐδ. κείμενον ἐν ταῖς εἰρημ. σημειώσ. καὶ σύμφωνον τῇ ἑβραϊκ. ἐκδόσ. (3) Ἰστέον, ὅτι τὰ περὶ Σαμαίου τοῦ Ἐλαμίτου ἔν τισι μὲν τῶν ἁπλῶν ἀντιγράφων κεῖται· ἐν τῷ ἑξαπλῷ δὲ οὐ φέρεται. καὶ ταῦτα ἐν ταῖς εἰρημ. σημειώσ.

(4) Πάντα οἶκον. αἱ εἰρημ. ἐκδόσ. (5) Ἑαυτοῦ. αἱ αὐτ.

(6) Τὸ ἑξῆς κείμενον, ἄχρι τοῦ κέ. ἐδ. ὃ συλλογή τίς ἐστιν ἐκ τῶν ἄλλων κεφαλαίων, οὐδὲ ἡ Ἑβραϊκὴ ἔκδ. οὐδ' ὁ τοῦ Ἡγεμόνος κῶδιξ περιέχει. ἐλήφθη δὲ ἐκ τῶν ἐκδόσ. τῆς τε ἐν Φρανεκ. καὶ τῆς ἐν Κανταβριγ. τεθέντων καὶ τῶν τοῦ Θεοδωρίτου ὑπομνημάτων τῶν ὑπὸ τοῦ εἰρημ. κώδ. περιεχομένων.

A Σαλωμὼν θανατῶσαι αὐτόν. καὶ ἐφοβήθη, καὶ ἀπέδρα αὐτὸς πρὸς Σουσακὶμ βασιλέα Αἰγύπτου, καὶ ἦν μετ' αὐτοῦ ἕως ἀπέθανε Σαλωμών. καὶ ἤκουσεν Ἱεροβοὰμ ἐν Αἰγύπτῳ ὅτι τέθνηκε Σαλωμὼν, καὶ ἐλάλησεν εἰς τὰ ὦτα Σουσακὶμ βασιλέως Αἰγύπτου, λέγων, ἐξαπόστειλόν με, καὶ ἀπελεύσομαι ἐγὼ εἰς τὴν γῆν μου. καὶ εἶπεν αὐτῷ Σουσακὶμ, αἴτησαί τι αἴτημα, καὶ δώσω σοι. καὶ Σουσακὶμ ἔδωκε τῷ Ἱεροβοὰμ τὴν Ἀνὼ B ἀδελφὴν Θεκεμίνας τὴν πρεσβυτέραν τῆς γυναικὸς αὐτοῦ αὐτῷ εἰς γυναῖκα. αὕτη ἦν μεγάλη ἐν μέσῳ τῶν θυγατέρων τοῦ βασιλέως, καὶ ἔτεκε τῷ Ἱεροβοὰμ τὸν Ἀβιὰ υἱὸν αὐτοῦ. καὶ εἶπεν Ἱεροβοὰμ πρὸς Σουσακὶμ, ὄντως, ἐξαπόστειλόν με, καὶ ἀπελεύσομαι. καὶ ἐξῆλθεν Ἱεροβοὰμ ἐξ Αἰγύπτου, καὶ ἦλθεν εἰς γῆν Σαριρὰ τὴν ἐν ὄρει Ἐφραΐμ· καὶ συνάγεται ἐκεῖ πᾶν σκῆπτρον Ἐφραΐμ. καὶ ᾠκοδόμησεν ἐκεῖ Ἱεροβοὰμ Γ χάρακα. καὶ ἠῤῥώστησε τὸ παιδάριον αὐτοῦ ἀῤῥωστίᾳ κραταιᾷ σφόδρα. καὶ ἐπορεύθη Ἱεροβοὰμ ἐρωτῆσαι περὶ τοῦ παιδαρίου· καὶ εἶπε πρὸς Ἀνὼ τὴν γυναῖκα αὐτοῦ, ἀνάστηθι, πορεύου, ἐπερώτησον τὸν Θεὸν περὶ τοῦ παιδαρίου, εἰ ζήσεται ἐκ τῆς ἀῤῥωστίας αὐτοῦ. καὶ ἄνθρωπος ἦν ἐν Σηλὼμ, καὶ ὄνομα αὐτῷ Ἀχιὰ, καὶ οὗτος ἦν υἱὸς ἑξήκοντα ἐτῶν, καὶ ῥῆμα Κυρίου μετ' αὐτοῦ. καὶ εἶπεν Ἱεροβοὰμ πρὸς τὴν γυναῖκα αὐτοῦ, ἀνάστηθι, Δ καὶ λάβε εἰς τὴν χεῖρά σου τῷ ἀνθρώπῳ τοῦ Θεοῦ ἄρτους, καὶ κολλύρια τοῖς τέκνοις αὐτοῦ, καὶ σταφυλὴν, καὶ στάμνον μέλιτος. καὶ ἀνέστη ἡ γυνὴ, καὶ ἔλαβεν εἰς τὴν χεῖρα αὐτῆς ἄρτους, καὶ δύω κολλύρια, καὶ σταφυλὴν, καὶ στάμνον μέλιτος τῷ Ἀχιά. καὶ ὁ ἄνθρωπος πρεσβύτερος, καὶ οἱ ὀφθαλμοὶ αὐτοῦ ἠμβλυώπουν τοῦ ἰδεῖν. καὶ ἀνέστη ἐκ Σαριρὰ καὶ πορεύεται. καὶ ἐγένετο ἐλθούσης αὐτῆς εἰς τὴν πόλιν πρὸς E Ἀχιὰ τὸν Σιλωνίτην, καὶ εἶπεν Ἀχιὰ τῷ παιδαρίῳ αὐτοῦ, ἔξελθε δὴ εἰς ἀπαντὴν Ἀνὼ τῇ γυναικὶ Ἱεροβοὰμ, καὶ ἐρεῖς αὐτῇ, εἴσελθε, καὶ μὴ στῇς, ὅτι τάδε λέγει Κύριος, σκληρὰ ἐγὼ ἐπαποστέλλω ἐπὶ σέ. καὶ εἰσῆλθεν Ἀνὼ πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ, καὶ εἶπεν αὐτῇ Ἀχιὰ, ἵνα τί ἐνήνοχάς μοι ἄρτους, καὶ σταφυλὴν, καὶ κολλύρια, καὶ στάμνον μέλιτος;

Z Τάδε λέγει Κύριος, ἰδοὺ σὺ ἀπελεύσῃ ἀπ' ἐμοῦ, καὶ ἔσται εἰσελθούσης σου τὴν πόλιν εἰς Σαριρὰ, καὶ τὰ κοράσιά σου ἐξελεύσονταί σοι εἰς συνάντησιν, καὶ ἐροῦσί σοι, τὸ παιδάριον τέθνηκεν· ὅτι τάδε λέγει Κύριος, ἰδοὺ ἐγὼ ἐξολοθρεύσω τοῦ Ἱεροβοὰμ οὐροῦντα πρὸς τοῖχον, καὶ ἔσονται οἱ τεθνηκότες τοῦ Ἱεροβοὰμ ἐν τῇ πόλει, καταφάγονται οἱ κύνες, καὶ τὸν τεθνηκότα ἐν τῷ ἀγρῷ καταφάγονται τὰ πετεινὰ τοῦ οὐρανοῦ, καὶ τὸ παιδάριον κόψεται, οὐαὶ Κύριε, ὅτι εὑ- H ρέθη ἐν αὐτῷ ῥῆμα καλὸν περὶ τοῦ Κυρίου.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε καὶ δὶς τὰ αὐτὰ ὁ ἱστοριογράφος λέγει, καὶ πολλάκις τὰ ὕστερα πρότερα; καὶ γὰρ ἐνταῦθα τὴν κατὰ τοῦ παιδὸς A Ἱεροβοὰμ ἀπόφασιν προτέραν τῆς βασιλείας τέθεικε. Δὶς μὲν τὰ αὐτὰ καὶ πολλάκις ἀναγκάζεται λέγειν· ἐπειδὴ περὶ δύω βασιλειῶν διῃρημένων συγγράφει· καὶ ἔστιν ὅτε πολλὰ περὶ θατέρας τιθεὶς διηγήματα, εἶτα εἰς τὴν ἑτέραν διαβαίνων, ἀναγκάζεται ἀναλαβεῖν τὰ ἤδη προειρημένα, ὥστε τὴν ἀκολουθίαν φυλάξαι. ἡ δὲ τοῦ παιδὸς ἀῤῥωστία, καὶ ἡ κατ' αὐτοῦ γεγενημένη ἀπόφασις, δῆλον ὅτι μετὰ τὴν ἀσέβειαν γέγονε. προειπὼν γὰρ τὴν τοῦ παιδίου τελευτὴν ὁ Προφήτης, καὶ τὴν κατὰ παντὸς τοῦ γένους ἐξενήνοχε ψῆφον. ὁ μὲν γὰρ Ἱερο- B βοὰμ τὴν γυναῖκα μετὰ τῶν ξενίων πρὸς τὸν Προφήτην ἀπέστειλεν. ἀμβλυώττων δὲ ὁ πρεσβύτης ἔνδον καθήμενος, ᾔσθετο πόῤῥωθεν ἀφικνουμένης ἐκείνης, καὶ τὸν ὑπηρέτην ἀποστείλας, συντόμως ἐλθεῖν αὐτὴν ἐκέλευσεν, ὡς ἀλγεινὰ πευσομένην. καὶ » πρῶτον μὲν ἐπιμέμφεται τοῖς δώροις· ἵνα τί ἐνήνο- » χάς μοι ἄρτους, καὶ σταφυλὴν, καὶ κολλύρια, καὶ στάμνον μέλιτος; τὸ δὲ δηλῶσαι τὰ κομισθέντα πείθει τοῖς ῥηθησομένοις πιστεῦσαι. εἶτα τοῦ παιδὸς ἀπαγγείλας τὴν τελευτὴν, ἐπήγαγεν, ὅτι τάδε » λέγει Κύριος, ἰδοὺ ἐγὼ ἐξολοθρεύσω τοῦ Ἱεροβοὰμ » οὐροῦντα πρὸς τοῖχον. καὶ οὐ μόνον σφαγὴν αὐτοῖς Γ προηγόρευσεν, ἀλλὰ καὶ τὸ ἀτάφους μεῖναι μετὰ σφαγὴν, καὶ προτεθῆναι θοίνην καὶ βορὰν οἰωνοῖς καὶ » θηρίοις. ἔπειτα τὴν αἰτίαν ἐπάγει, ὅτι οὐχ εὑρέθη » ἐν αὐτῷ ῥῆμα καλὸν περὶ τοῦ Κυρίου. οὐροῦντα δὲ πρὸς τοῖχον λέγει τὸν ἀσθενῶς διακείμενον, καὶ στῆναι δίχα τοῦ ἐρείδεσθαι τῷ τοίχῳ παντελῶς μὴ δυνάμενον.

Καὶ ἀπῆλθεν ἡ γυνὴ, ὡς ἤκουσε. καὶ ἐγένετο ὡς εἰσῆλθεν εἰς τὴν Σαριρὰ, καὶ τὸ παιδάριον ἀπέθανε. καὶ ἐξῆλθεν ἡ κραυγὴ εἰς ἀπαντήν. καὶ ἐπορεύθη Ἱεροβοὰμ Δ εἰς Σίκιμα τὴν ἐν ὄρει Ἐφραΐμ, καὶ συνήθροισεν ἐκεῖ τὰς φυλὰς τοῦ Ἰσραὴλ, καὶ ἀνέβη ἐκεῖ Ῥοβοὰμ υἱὸς Σαλωμών.

Καὶ ἐγένετο λόγος Κυρίου πρὸς Σαμαίαν τὸν Ἐνλαμὶ, λέγων, λάβε σεαυτῷ ἱμάτιον καινὸν τὸ οὐκ εἰσεληλυθὸς εἰς ὕδωρ, καὶ ῥῆξον αὐτὸ δώδεκα ῥήγματα, καὶ δώσεις τῷ Ἱεροβοὰμ, καὶ ἐρεῖς αὐτῷ, τάδε λέγει Κύριος, λάβε σεαυτῷ δέκα ῥήγματα τοῦ περιβαλέσθαι σε. καὶ ἔλαβεν Ἱεροβοάμ. καὶ E εἶπε Σαμαίας, τάδε λέγει Κύριος ἐπὶ τὰς δέκα φυλὰς τοῦ Ἰσραήλ.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε ἄνω μὲν τὸν Ἀχιὰ τὸν Σιλωνίτην εἶπε ῥῆξαι τὸ περιβόλαιον, καὶ δοῦναι δέκα ῥήγματα τῷ Ἱεροβοὰμ, ἐνταῦθα δὲ Σαμαίαν τὸν Ἐλαμίτην; Δὶς ταῦτα γεγένηται. ὁ μὲν γὰρ Ἀχιὰ ζῶντος [ἔτι] τοῦ Σολομῶντος, καὶ τοῦ Ἱεροβοὰμ δουλεύοντος, τὴν ἀμπεχόνην διέῤῥηξεν. ὅθεν μετὰ χρηστῆς ἐλπίδος Ἱεροβοὰμ εἰς [τὴν] Αἴγυπτον ἔφυγε. Σαμαίας δὲ ὁ Ἐλαμίτης μετὰ τὴν τοῦ Σολομῶντος τελευτὴν, καὶ τοῦ Ἱεροβοὰμ τὴν ἐπάνοδον Z [ταυτὸ] τοῦτο πεποίηκεν. ἀναμιμνήσκει οὖν αὐτὸν τῆς θείας προῤῥήσεως, ὥστε μαθόντα θεόσδοτον εἶναι τὴν ἐξουσίαν, τοῖς θείοις κοσμῆσαι νόμοις τὴν βασιλείαν.

Καὶ εἶπεν ὁ λαὸς πρὸς Ῥοβοὰμ υἱὸν Σαλωμὼν, ὁ πατήρ σου ἐβάρυνε τὸν κλοιὸν αὐτοῦ ἐφ' ἡμᾶς, καὶ ἐβάρυνε τὰ βρώματα τῆς τραπέζης αὐτοῦ· καὶ νῦν κούφισον ἐφ' ἡμᾶς, καὶ δουλεύσομέν σοι. καὶ εἶπε Ῥοβοὰμ πρὸς τὸν λαὸν, ἔτι τριῶν ἡμερῶν καὶ ἀποκριθήσομαι ὑμῖν ῥῆμα. καὶ εἶπε Ῥοβοὰμ, εἰσα- H γάγετέ μοι τοὺς πρεσβυτέρους, καὶ συμβουλεύσομαι μετ' αὐτῶν τί ἀποκριθῶ τῷ λαῷ ῥῆμα ἐν τῇ ἡμέρᾳ τῇ τρίτῃ. καὶ ἐλάλησε Ῥοβοὰμ εἰς τὰ ὦτα αὐτῶν, καθὼς ἀπέ-

στειλεν ὁ λαὸς πρὸς αὐτόν. καὶ εἶπον οἱ πρεσβύτεροι τοῦ λαοῦ, οὕτως ἐλάλησε πρὸς σὲ ὁ λαός. (1) καὶ διεσκέδασε Ῥοβοὰμ τὴν βουλὴν αὐτῶν, καὶ οὐκ ἤρεσεν ἐνώπιον αὐτοῦ. καὶ ἀπέστειλε, καὶ εἰσήγαγε τοὺς συντρόφους αὐτοῦ, καὶ ἐλάλησεν αὐτοῖς, ταῦτα καὶ ταῦτα ἀπέσταλκεν ὁ λαὸς πρός με, λέγων. καὶ εἶπαν οἱ σύντροφοι αὐτοῦ, οὕτω λαλήσεις πρὸς τὸν λαὸν, λέγων, ἡ μικρότης μου παχυτέρα ὑπὲρ τὴν ὀσφὺν τοῦ πατρός μου· ὁ πατήρ μου ἐμαστίγου ὑμᾶς μάστιξιν, ἐγὼ δὲ κατάρξω ὑμᾶς ἐν σκορπίοις. καὶ ἤρεσε τὸ ῥῆμα ἐνώπιον Ῥοβοάμ. καὶ ἀπεκρίθη τῷ λαῷ, καθὼς συνεβούλευσαν αὐτῷ οἱ σύντροφοι αὐτοῦ τὰ παιδάρια. καὶ εἶπε πᾶς ὁ λαὸς ὡς ἀνὴρ εἷς ἕκαστος τῷ πλησίον αὐτοῦ, καὶ ἀνέκραξαν ἅπαντες, λέγοντες, οὐ μερὶς ἡμῖν ἐν Δαβὶδ, οὐδὲ κληρονομία ἐν υἱῷ Ἰεσσαί. ἕκαστος εἰς τὰ σκηνώματά σου Ἰσραὴλ, ὅτι ὁ ἄνθρωπος οὗτος οὐκ εἰς ἄρχοντα οὔτε εἰς ἡγούμενον. καὶ διεσπάρη πᾶς ὁ λαὸς ἐκ Σικίμων, καὶ ἀπῆλθον ἕκαστος εἰς τὸ σκήνωμα αὐτοῦ. καὶ κατεκράτησε Ῥοβοὰμ, καὶ ἀπῆλθε, καὶ ἀνέβη ἐπὶ τὸ ἅρμα αὐτοῦ, καὶ εἰσῆλθεν εἰς Ἱερουσαλήμ. καὶ πορεύονται ὀπίσω αὐτοῦ πᾶν σκῆπτρον Ἰούδα, καὶ πᾶν σκῆπτρον Βενιαμίν. καὶ ἐγένετο ἐνισταμένου τοῦ ἐνιαυτοῦ, καὶ συνήθροισε Ῥοβοὰμ πάντα ἄνδρα Ἰούδα καὶ Βενιαμὶν, καὶ ἀνέβη τοῦ πολεμεῖν πρὸς Ἱεροβοὰμ εἰς Σίκιμα. καὶ ἐγένετο ῥῆμα Κυρίου πρὸς Σαμαίαν ἄνθρωπον τοῦ Θεοῦ, λέγων, εἶπον τῷ Ῥοβοὰμ βασιλεῖ Ἰούδα, καὶ πρὸς πάντα οἶκον Ἰούδα καὶ Βενιαμὶν, καὶ πρὸς τὸ κατάλειμμα τοῦ λαοῦ λέγων, τάδε λέγει Κύριος, οὐκ ἀναβήσεσθε οὐδὲ πολεμήσετε πρὸς τοὺς ἀδελφοὺς ὑμῶν υἱοὺς Ἰσραὴλ, ἀναστρέφετε ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ, ὅτι παρ' ἐμοῦ γέγονε τὸ ῥῆμα τοῦτο. καὶ ἤκουσαν τοῦ λόγου Κυρίου, καὶ ἀνέσχον μὴ πορευθῆναι κατὰ τὸ ῥῆμα Κυρίου.

κε. Καὶ ᾠκοδόμησεν Ἱεροβοὰμ τὴν Σίκιμα τὴν ἐν ὄρει Ἐφραῒμ, καὶ κατῴκει ἐν αὐτῇ, καὶ ἐξῆλθεν ἐκεῖθεν καὶ ᾠκοδόμησε τὴν Φανουήλ.

κς. Καὶ εἶπεν Ἱεροβοὰμ ἐν τῇ καρ-
δίᾳ αὐτοῦ, ἰδοὺ νῦν ἐπιστρέψει ἡ βασι-
κζ. λεία εἰς οἶκον Δαβὶδ, Ἐὰν ἀναβῇ ὁ
λαὸς οὗτος ἀναφέρειν θυσίας ἐν οἴκῳ
Κυρίου εἰς Ἱερουσαλὴμ, καὶ ἐπιστραφή-
σεται ἡ καρδία τοῦ λαοῦ πρὸς Κύριον
καὶ κύριον αὐτῶν, πρὸς Ῥοβοὰμ βα-
κη. σιλέα Ἰούδα, καὶ ἀποκτενοῦσί με. Καὶ
ἐβουλεύσατο ὁ βασιλεὺς, καὶ ἐπο-
ρεύθη, καὶ ἐποίησε δύω δαμάλεις χρυ-
σᾶς, καὶ εἶπε πρὸς τὸν λαὸν, ἱκανού-
σθω ὑμῖν ἀναβαίνειν εἰς Ἱερουσαλήμ·
ἰδοὺ οἱ Θεοί σου Ἰσραὴλ οἱ ἀναγαγόν-
κθ. τές σε ἐκ γῆς Αἰγύπτου. Καὶ ἔθετο
τὴν μίαν ἐν Βαιθὴλ, καὶ τὴν μίαν
ἔθηκεν ἐν Δάν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλ' ὁ δείλαιος καὶ
τρισάθλιος θεόθεν τὴν δυναστείαν λαβὼν,
ἀνθρωπίναις αὐτὴν καὶ δυσσεβέσιν ἔχειν
ἐπεχείρησε μηχαναῖς. λογισάμενος γὰρ,
ὡς ὁ τῶν θυσιῶν νόμος δραμεῖν ἅπαντας
εἰς τὴν μητρόπολιν ἀναγκάζει, ἀνιόντες
B δὲ συνάπτονται (2) τοῖς ἄλλοις, καὶ πεισθή-
σονται τὸ ὑπὸ τὴν Δαβιτικὴν βασιλείαν
γενήσεσθαι, δύω δαμάλεις χρυσᾶς κατε-
σκεύασε, καὶ τοῖς ὁρίοις τῆς βασιλείας
ἐπέστησεν· ὡς ἂν οἱ μὲν πρὸς ταύτην, οἱ δὲ
πρὸς ἐκείνην ἀποτρέχοντες, καὶ διὰ τὸ πε-
λάζειν μὴ δυσχεραίνοντες, ἀσπαστῶς δέξοιν-
το τὸ μὴ τρέχειν εἰς τὴν μητρόπολιν. ὅριον
δὲ τῆς τῶν δέκα φυλῶν βασιλείας ἀπὸ νότου
μὲν, ἡ Βαιθήλ· ἀπὸ βοῤῥᾶ δὲ, ἡ Δάν. ἔδει δὲ
Γ συνιδεῖν τὸν ἐμβρόντητον, ὡς ὁ δωρησάμε-
νος τὴν βασιλείαν ἱκανὸς ταύτην κρατῦναι.

λ. Καὶ ἐγένετο ὁ λόγος οὗτος εἰς ἁμαρτίαν. καὶ ἐπορεύετο ὁ λαὸς πρὸ προσώπου τῆς μιάνσεως (3) Δὰν, καὶ εἴασαν τὸν οἶκον Κυρίου.

λα. Καὶ ἐποίησεν οἴκους ἐφ' ὑψη-
λῶν, καὶ ἐποίησεν ἱερεῖς μέρος τι ἐκ
τοῦ λαοῦ, οἳ οὐκ ἦσαν ἐκ τῶν υἱῶν Λευΐ.

Δ * ΘΕΟΔΩΡΙΤΟΥ. Ἐξήλασε δὲ καὶ τοὺς
ἱερέας, (4) ὃς ἐχειροτόνησεν ἑβδομήκοντα,
τοῦτο μόνον κατὰ λόγον πεποιηκώς. οὐ γὰρ
ἔδει τοῦ Θεοῦ τοὺς ἱερέας τοῖς οὐκ οὖσι λα-
τρεύειν Θεοῖς.

λβ. Καὶ ἐποίησεν Ἱεροβοὰμ ἑορ-
τὴν ἐν τῷ μηνὶ τῷ ὀγδόῳ ἐν τῇ πεν-
τεκαιδεκάτῃ ἡμέρᾳ τοῦ μηνὸς κατὰ
τὴν ἑορτὴν τὴν ἐν γῇ Ἰούδα, καὶ ἀνέ-
E βη ἐπὶ τὸ θυσιαστήριον ὃ ἐποίησεν ἐν
Βαιθὴλ τοῦ θύειν ταῖς δαμάλεσιν αἷς
ἐποίησε, καὶ παρέστησεν ἐν Βαιθὴλ
τοὺς ἱερεῖς τῶν ὑψηλῶν ὧν ἐποίησε.

λγ. Καὶ ἀνέβη ἐπὶ τὸ θυσιαστήριον
ὃ ἐποίησε, τῇ δεκάτῃ πέμπτῃ ἡμέρᾳ ἐν
τῷ μηνὶ τῷ ὀγδόῳ ἐν τῇ ἑορτῇ ᾗ ἐπλά-
σατο ἀπὸ καρδίας αὐτοῦ, καὶ ἐποίησεν
Z ἑορτὴν τοῖς υἱοῖς Ἰσραὴλ, καὶ ἀνέβη
ἐπὶ τὸ θυσιαστήριον τοῦ ἐπιθῦσαι.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἰ τὴν ἑορτὴν τοῦ Ἰούδα ἐποίησεν Ἱεροβοὰμ ἐν Βαιθὴλ, πῶς „ἔφη ὁ συγγραφεὺς, ἐν τῇ ἑορτῇ ᾗ ἐπλά„σατο ἀπὸ καρδίας αὐτοῦ; Τῇ πεντεκαιδεκάτῃ τοῦ ἑβδόμου μηνὸς ἐπιτελεῖται (5) ἡ τῆς σκηνοπηγίας ἑορτή. οὗτος δὲ τῇ πεντεκαιδεκάτῃ τοῦ ὀγδόου μηνὸς τῶν δαμάλεων ἐπετέλεσε τὴν πανήγυριν.

ΚΕΦ.

(1) Ὁ λαὸς, λαλήσεις πρὸς τὸν λαόν. καί. ἡ τοῦ Ἀλδ. ἔκδ. (2) Συναφθῆναι τοῖς ἄλλοις πεισθήσονται, καὶ ὑπὸ τὴν Δαβιδικὴν βασιλείαν γενήσονται, δύω, κτ. ἡ ἐν Χάλ. ἔκδ. (3) Τῆς μιᾶς ἕως. αἱ εἰρημ. ἐκδόσ.

(4) Καὶ τοὺς Λευΐτας, τοὺς ἐν ταῖς δέκα φυλαῖς οἰκοῦντας, καὶ τῶν δαμάλεων τοὺς τυχόντας ἱερέας ἐχειροτόνησε. τοῦτο, κτ. ἡ αὐτ. (5) Ἐπιτελεῖν εἰώθασι κατὰ τὸν νόμον τῆς σκηνοπηγίας τὴν ἑορτήν· οὗτος δὲ, κτ. ἡ αὐτ.

ΚΕΦ. ΙΓ.

α. Καὶ ἰδοὺ ἄνθρωπος τοῦ Θεοῦ (1)
ἀνέβη ἐξ Ἰούδα ἐν λόγῳ
Κυρίου εἰς Βαιθὴλ, καὶ Ἰε-
ροβοὰμ εἱστήκει ἐπὶ τὸ θυσιαστήριον αὐ-
β. τοῦ ἐπιθῦσαι. Καὶ ἐπεκάλεσε πρὸς
τὸ θυσιαστήριον ἐν λόγῳ Κυρίου, καὶ
εἶπε, θυσιαστήριον θυσιαστήριον, τάδε
λέγει Κύριος, ἰδοὺ υἱὸς τίκτεται τῷ οἴ-
κῳ Δαβὶδ, Ἰωσίας ὄνομα αὐτῷ, καὶ
θύσει ἐπὶ σὲ τοὺς ἱερεῖς τῶν ὑψηλῶν
τῶν ἐπιθυόντων ἐπὶ σὲ, καὶ ὀστᾶ ἀν-
θρώπων καύσει ἐπὶ σέ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλ' οὐδὲ οὕτω πλανώμενον αὐτὸν παρεῖδεν ὁ Φιλάνθρωπος Κύριος. ἀπέστειλε γὰρ Προφήτην. ἐντειλάμενος αὐτῷ, μηδὲν μὲν πρὸς ἐκεῖνον εἰπεῖν, τῷ ἀψύχῳ δὲ θυσιαστηρίῳ προσενεγκεῖν τὴν ἀπόφασιν· θυσιαστήριον, θυσιαστήριον, τάδε λέγει Κύριος, ἰδοὺ υἱὸς τίκτεται τῷ οἴκῳ Δαβὶδ, Ἰωσίας ὄνομα αὐτῷ, καὶ θύσει ἐπὶ σὲ τοὺς ἱερέας τῶν ὑψηλῶν, καὶ τοὺς θύοντας ἐπὶ σὲ, καὶ ὀστᾶ ἀνθρώπων κατακαύσει ἐπὶ σέ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐγένετό τις ποτὲ Προφήτης, καὶ βασιλέα ἀσεβοῦντα διήλεγχε, καὶ ἐλθὼν, φησί· θυσιαστήριον, θυσιαστήριον, ἄκουσον. ἐπειδὴ γὰρ ὁ βασιλεὺς Ἱεροβοὰμ εἱστήκει τοῖς εἰδώλοις ἀναφέρων θυσίαν, ἐλθὼν ὁ Προφήτης, τῷ θυσιαστηρίῳ διαλέγεται. τί ποιεῖς, ὦ Προφῆτα; τὸν ἄνθρωπον ἀφῆκας, καὶ τῷ θυσιαστηρίῳ διαλέγῃ; ναί φησι· διατί; ἐπειδὴ λίθου ἀναισθητότερος ὁ ἄνθρωπος ἐγένετο, ἐκεῖνον ἀφίημι, καὶ τούτῳ διαλέγομαι· ἵνα μάθῃς, ὅτι ὁ λίθος ἀκούει, καὶ ὁ ἄνθρωπος οὐκ ἀκούει. ἄκουσον, θυσιαστήριον, ἄκουσον, καὶ εὐθέως ἐῤῥάγη τὸ θυσιαστήριον. ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ὁ βασιλεὺς πιάσαι τὸν Προφήτην βουλόμενος, καὶ οὐκ ἠδύνατο συστεῖλαι αὐτήν. ὁρᾷς ὅτι μᾶλλον τὸ θυσιαστήριον ἤκουσεν, ἢ ὁ βασιλεύς; ὁρᾷς ὅτι τὸν λογικὸν ἀφῆκε, καὶ τῷ ἀλόγῳ διαλέγεται, ἵνα διὰ τῆς τούτου ὑπακοῆς τὴν ἐκείνου ἀναισθησίαν καὶ κακίαν διορθώσηται;

** ΤΟΥ ΑΥΤΟΥ. Βλέπει τὸν βασιλέα μαινόμενον, τὸ εἴδωλον θεραπευόμενον, τὸν Θεὸν ὑβριζόμενον, τοὺς ἄλλους ἅπαντας κατεπληχότας, καὶ λέγει· ἄκουσον, θυσιαστήριον, ἄκουσόν μου. λίθῳ διαλέγῃ; ναί· ἐπειδὴ λίθου ἀναισθητότερος ὁ βασιλεύς· ἄκουσόν μου, θυσιαστήριον, ἄκουσον· τάδε λέγει Κύριος, καὶ εὐθέως διεσχίσθη τὸ θυσιαστήριον. καὶ ὁ λίθος ἤκουσεν, ὁ λίθος ἐῤῥάγη, καὶ ἐξέχεε τὴν θυσίαν. πῶς οὐκ ἤκουσεν ὁ ἄνθρωπος;

γ. Καὶ ἔδωκεν ἐν τῇ ἡμέρᾳ ἐκείνῃ
τέρας, λέγων, τοῦτο τὸ ῥῆμα ὃ ἐλά-
λησε Κύριος, λέγων, ἰδοὺ τὸ θυσια-
στήριον ῥήγνυται, καὶ ἐκχυθήσεται ἡ
πιότης ἡ οὖσα ἐπ' αὐτῷ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Εἶτα δίδωσι τέρας (2) τῆς θαυματουργίας, δεικνὺς τῶν εἰρημένων τὸ ἀψευδές. καὶ ἰδοὺ γὰρ ἔφη B ῥαγήσεται τὸ θυσιαστήριον, καὶ ἐκχυθήσεται ἡ πιότης ἡ οὖσα ἐπ' αὐτῷ.

δ. Καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασι-
λεὺς Ἱεροβοὰμ τῶν λόγων τοῦ ἀνθρώ-
που τοῦ Θεοῦ τοῦ ἐπικαλεσαμένου ἐπὶ τὸ
θυσιαστήριον τὸ ἐν Βαιθὴλ, καὶ ἐξέτει-
νεν ὁ βασιλεὺς τὴν χεῖρα αὐτοῦ ἀπὸ
τοῦ θυσιαστηρίου, λέγων, συλλάβετε
αὐτόν. καὶ ἰδοὺ ἐξηράνθη ἡ χεὶρ αὐτοῦ,
Γ ἣν ἐξέτεινεν ἐπ' αὐτὸν, καὶ οὐκ ἠδυνή-
θη ἐπιστρέψαι αὐτὴν πρὸς αὐτόν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλ' ὁ παμπόνηρος ἐκεῖνος, δέον ἐκπλαγῆναι τὸ θαῦμα τοῦ Προφήτου, καὶ δεῖσαι τὸν πεπομφότα, ἐκτείνας τὴν χεῖρα συλληφθῆναι τὸν Προφήτην προσέταξεν· ἀλλ' ἔμεινε τὸ τῆς ἐκτάσεως σχῆμα ἔχουσα ἡ χεὶρ, τῶν μυῶν καὶ τῶν νεύρων διαταθέντων. καὶ τοῦ μὲν βωμοῦ Δ τὸ πάθος αὐτὸν οὐ κατέπληξε· τὸ δὲ τῆς χειρὸς ἄγαν ἠνίασε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ἁρπάσαι τὸν Προφήτην. καὶ τί ποιεῖ ὁ Θεός; ἐξήρανεν αὐτοῦ τὴν χεῖρα. βλέπε τί ἐποίησε. βλέπε φιλανθρωπίαν δεσπότου καὶ ἁμαρτίαν δούλου. διατὶ ἐξ ἀρχῆς οὐκ ἐξήρανεν αὐτοῦ τὴν χεῖρα; ἵνα τῷ πάθει τοῦ λίθου σωφρονέστερος γένηται. εἰ γὰρ μὴ ἐσχίσθη ὁ λίθος, ἐφειδόμην σου. ἐπειδὴ δὲ διεσχίσθη ὁ λίθος, καὶ σὺ οὐ διωρθώθης, E ἐπὶ σὲ φέρω τὴν ὀργήν. ἐξέτεινε τὴν χεῖρα ἁρπάσαι τὸν Προφήτην, καὶ ἐξηράνθη ἡ χείρ. εἱστήκει τὸ τρόπαιον. δορυφόροι τοσοῦτοι καὶ στρατηγοὶ, καὶ βοήθεια πολλὴ, καὶ τὴν χεῖρα αὐτοῦ συστεῖλαι οὐκ ἠδύναντο. ἀλλ' εἱστήκει ἡ χεὶρ φωνὴν ἀφιεῖσα τῆς ἀσεβείας τὴν ἧτταν, καὶ εὐσεβείας τὸ τρόπαιον· τοῦ Θεοῦ φιλανθρωπίαν, ἐκείνου τὴν ἀπόνοιαν. καὶ συστεῖλαι αὐτὴν οὐκ ἠδύναντο.

Z ** ΤΟΥ ΑΥΤΟΥ. Ἐξέτεινε τὴν χεῖρα ὁ βασιλεὺς λαβεῖν τὸν Προφήτην, καὶ εὐθέως ἐξηράνθη ἡ χεὶρ αὐτοῦ. ἐπειδὴ τῇ τιμωρίᾳ τοῦ θυσιαστηρίου οὐκ ἐγένετο βελτίων, τῇ οἰκείᾳ κολάσει παιδεύεται τοῦ Θεοῦ τὴν ὑπακοήν. ἐγὼ μὲν γὰρ σοῦ φειδόμενος, εἰς λίθον ἠθέλησα ἀφεῖναι τὴν ὀργήν· ἐπειδὴ δὲ οὐκ ἐγένετό σοι διδάσκαλος ὁ λίθος, λάμβανε σὺ τὴν τιμωρίαν. καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ, καὶ παραυτίκα ἐξη- H ράνθη. εἱστήκει λοιπὸν τὸ τρόπαιον τοῦ Προφήτου, καὶ συστεῖλαι αὐτὴν ὁ βασιλεὺς οὐκ ἠδύνατο. ποῦ τὸ διάδημα; ποῦ αἱ πορφυρίδες;

(1) Τοῦ Θεοῦ ἐξ Ἰούδα παρεγένετο. αἱ αὐτ.

(2) Πέρας. ἡ ἐν Χάλ. ἔκδ.

δες; ποῦ οἱ θώρακες; ποῦ αἱ ἀσπίδες; ποῦ τὸ στρατόπεδον; ποῦ τὰ δόρατα; ὁ Θεὸς ἐκέλευσε, καὶ πάντα ἐκεῖνα ἀπώλετο. παρειστήκεισαν οἱ σατράπαι βοηθῆσαι μὲν οὐ δυνάμενοι, θεωροὶ δὲ τῆς πληγῆς γενόμενοι
» μόνον. καὶ ἐξέτεινε τὴν χεῖρα αὐτοῦ ὁ βα-
» σιλεὺς, καὶ ἐξηράνθη. ὅτε ἐγένετο ξηρὰ, τότε καρπὸν ἤνεγκε. βλέπε μοι τὸ ὑπόδειγμα τὸ ἐπὶ τοῦ ξύλου τοῦ ἐν τῷ παραδείσῳ, καὶ τοῦ ξύλου τοῦ ἐν τῷ σταυρῷ. ὥσπερ γὰρ τὸ ξύλον ἐκεῖνο χλωρὸν ὂν, θάνατον ἔτεκε, τὸ δὲ ξύλον τοῦ σταυροῦ ξηρὸν ὂν, ζωὴν ἐγέννησεν· οὕτω καὶ ἐπὶ τῆς χειρὸς τοῦ βασιλέως ἐγένετο, ὅτε χλωρὰ ἦν, τότε ἀσέβειαν ἔτεκεν· ὅτε ξηρὰ ἐγένετο, τότε τὴν ὑπακοὴν προσήγαγεν. ἴδε τοῦ Θεοῦ τὰ παράδοξα πράγματα.

ε. Καὶ τὸ θυσιαστήριον ἐῤῥάγη, καὶ ἐξεχύθη ἡ πιότης (1) τοῦ θυσιαστηρίου, κατὰ τὸ τέρας ὃ ἔδωκεν ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐν λόγῳ Κυρίου.

ϛ. Καὶ εἶπεν ὁ βασιλεὺς Ἱεροβοὰμ τῷ ἀνθρώπῳ τοῦ Θεοῦ, δεήθητι τοῦ προσώπου Κυρίου τοῦ Θεοῦ σου, καὶ ἐπιστρεψάτω ἡ χείρ μου πρὸς ἐμέ. καὶ ἐδεήθη ὁ ἄνθρωπος τοῦ Θεοῦ τοῦ προσώπου Κυρίου, καὶ ἐπέστρεψε τὴν χεῖρα τοῦ βασιλέως πρὸς αὐτὸν, καὶ ἐγένετο καθὼς τὸ πρότερον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Λίαν δὲ ἠλίθιος ὢν, τὸν Προφήτην ἱκέτευσεν αἰτῆσαι αὐτῷ παρὰ τοῦ πεπομφότος, οὐ τῆς παρανομίας τὴν ἄφεσιν, ἀλλὰ τῆς χειρὸς τῆς ξηρανθείσης τὴν ἴασιν. ἔδειξε δὲ καὶ ὁ Προφήτης τὸ ἥμερον, καὶ ὁ Θεὸς τὸ φιλάνθρωπον. καὶ οὗτος γὰρ ᾔτησε· καὶ ὁ Θεὸς τὴν ἴασιν ἔδωκε.

ζ. Καὶ ἐλάλησεν ὁ βασιλεὺς πρὸς
τὸν ἄνθρωπον τοῦ Θεοῦ, εἴσελθε μετ᾽
ἐμοῦ εἰς οἶκον, καὶ ἀρίστησον, καὶ δώσω
η. σοι δόμα. Καὶ εἶπεν ὁ ἄνθρωπος τοῦ
Θεοῦ πρὸς τὸν βασιλέα, ἐὰν δῷς μοι
τὸ ἥμισυ τοῦ οἴκου σου, οὐκ εἰσελεύσο-
μαι μετὰ σοῦ, οὐδ᾽ οὐ (2) μὴ φάγω ἄρ-
τον, οὐδὲ μὴ πίω ὕδωρ ἐν τῷ τόπῳ τού-
θ. τῳ· Ὅτι οὕτως ἐντέταλταί μοι ἐν λό-
γῳ Κυρίου, (3) λέγων, μὴ φάγῃς ἄρ-
τον καὶ μὴ πίῃς ὕδωρ καὶ μὴ ἐπιστρέ-
ψῃς ἐν τῇ ὁδῷ ᾗ ἐπορεύθης ἐν αὐτῇ.
ι. Καὶ ἀπῆλθεν ἐν ὁδῷ ἄλλῃ, καὶ οὐκ
ἀνέστρεψεν ἐν τῇ ὁδῷ ᾗ ἦλθεν ἐν αὐτῇ
ια. εἰς Βαιθήλ. Καὶ Προφήτης εἷς πρεσ-
βύτης κατῴκει ἐν Βαιθὴλ, καὶ ἔρχον-
ται οἱ υἱοὶ αὐτοῦ καὶ διηγήσαντο αὐτῷ
πάντα τὰ ἔργα ἃ ἐποίησεν ὁ ἄνθρω-
πος τοῦ Θεοῦ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν Βαι-
θὴλ, καὶ τοὺς λόγους οὓς ἐλάλησε τῷ

A βασιλεῖ, καὶ ἐπέστρεψαν τὸ πρόσω-
ιβ. πον τοῦ πατρὸς αὐτῶν. Καὶ ἐλάλησε
πρὸς αὐτοὺς ὁ πατὴρ αὐτῶν, λέγων,
ποίᾳ ὁδῷ πεπόρευται; καὶ δεικνύουσιν
αὐτῷ οἱ υἱοὶ αὐτοῦ τὴν ὁδὸν ἐν ᾗ ἀπῆλ-
θεν ὁ ἄνθρωπος τοῦ Θεοῦ ὁ ἐλθὼν ἐξ
ιγ. Ἰούδα. Καὶ εἶπε τοῖς υἱοῖς αὐτοῦ, ἐπι-
σάξατέ μοι τὸν ὄνον. καὶ ἐπέσαξαν
B αὐτῷ τὸν ὄνον, καὶ ἐπέβη ἐπ᾽ αὐτόν.
ιδ. Καὶ ἐπορεύθη κατόπισθεν τοῦ ἀνθρώ-
που τοῦ Θεοῦ, καὶ εὗρεν αὐτὸν καθή-
μενον ὑπὸ δρῦν, καὶ εἶπεν αὐτῷ, εἰ
σὺ εἶ ὁ ἄνθρωπος τοῦ Θεοῦ ὁ ἐξεληλυ-
θὼς ἐξ Ἰούδα; καὶ εἶπεν αὐτῷ, ἐγώ.
ιε. Καὶ εἶπεν αὐτῷ, δεῦρο μετ᾽ ἐμοῦ, καὶ
ιϛ. φάγε ἄρτον. Καὶ εἶπεν, οὐ μὴ δύνω-
μαι τοῦ ἐπιστρέψαι μετὰ σοῦ, οὐδὲ φά-
Γ γομαι ἄρτον, οὐδὲ πίομαι ὕδωρ ἐν τῷ
ιζ. τόπῳ τούτῳ· Ὅτι οὕτως ἐντέταλταί
μοι ἐν λόγῳ Κύριος, λέγων, μὴ φά-
γῃς ἄρτον ἐκεῖ καὶ μὴ πίῃς ὕδωρ ἐκεῖ
καὶ μὴ ἐπιστρέψῃς ἐν τῇ ὁδῷ ᾗ ἐπορεύ-
ιη. θης ἐν αὐτῇ. Καὶ εἶπε πρὸς αὐτὸν,
κἀγὼ Προφήτης εἰμὶ καθὼς σὺ, καὶ
ὁ (4) Ἄγγελος ἐλάλησε πρός με ἐν
ῥήματι Κυρίου, λέγων, ἐπίστρεψον αὐ-
Δ τὸν πρὸς σεαυτὸν εἰς τὸν οἶκόν σου, καὶ
φαγέτω ἄρτον, καὶ πιέτω ὕδωρ· καὶ
ιθ. ἐψεύσατο αὐτῷ· Καὶ ἐπέστρεψεν αὐ-
τὸν, καὶ ἔφαγεν ἄρτον καὶ ἔπιεν ὕδωρ
κ. ἐν τῷ οἴκῳ αὐτοῦ. Καὶ ἐγένετο αὐτῶν
καθημένων ἐπὶ τῆς τραπέζης, καὶ ἐγέ-
νετο λόγος Κυρίου πρὸς τὸν Προφή-
κα. την τὸν ἐπιστρέψαντα αὐτόν. Καὶ
E εἶπε πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ τὸν
ἥκοντα ἐξ Ἰούδα, λέγων, τάδε λέγει
Κύριος, ἀνθ᾽ ὧν παρεπίκρανας τὸ ῥῆ-
μα Κυρίου, καὶ οὐκ ἐφύλαξας τὴν ἐντο-
λὴν ἣν ἐνετείλατό σοι Κύριος ὁ Θεός
κβ. σου, Καὶ ἐπέστρεψας, καὶ ἔφαγες ἄρ-
τον καὶ ἔπιες ὕδωρ ἐν τῷ τόπῳ τούτῳ
ᾧ ἐλάλησε πρὸς σὲ, λέγων, μὴ φά-
γῃς ἄρτον μηδὲ πίῃς ὕδωρ, οὐ μὴ εἰσέλ-
Z θῃ τὸ σῶμά σου εἰς τὸν τάφον τῶν πα-
κγ. τέρων σου. Καὶ ἐγένετο μετὰ τὸ φα-
γεῖν αὐτὸν ἄρτον καὶ πιεῖν ὕδωρ, καὶ
ἐπέσαξεν αὐτῷ τὸν ὄνον τῷ Προφήτῃ,
κδ. καὶ ἀπέστρεψε, (5) καὶ ἀπῆλθε. Καὶ
εὗρεν αὐτὸν λέων ἐν τῇ ὁδῷ, καὶ ἐθα-
νάτωσεν αὐτόν· καὶ ἦν τὸ σῶμα αὐτοῦ
ἐῤῥιμμένον ἐν τῇ ὁδῷ, καὶ ὁ ὄνος εἱστήκει
H παρ᾽ αὐτῷ, καὶ ὁ λέων εἱστήκει παρὰ
κε. τὸ σῶμα. Καὶ ἰδοὺ ἄνδρες παραπο-
ρευόμενοι

(1) Ἀπὸ τοῦ. αἱ αὐτ. (2) Οὐδέ. αἱ αὐτ. (3) Κύριος. αὐτ. ἐν ταῖς σημειώσ.
(4) Καὶ Ἄγγελος. αἱ αὐτ. (5) Ἐπέστρεψε. αἱ αὐτ.

ῥευόμενοι καὶ εἶδον τὸ θνησιμαῖον ἐῤ-
ῥιμμένον ἐν τῇ ὁδῷ, καὶ ὁ λέων εἱστήκει
ἐχόμενα τοῦ θνησιμαίου· καὶ εἰσῆλθον,
καὶ ἐλάλησαν ἐν τῇ πόλει οὗ ὁ Προ-
φήτης ὁ πρεσβύτης κατῴκει ἐν αὐτῇ.
κϛ. Καὶ ἤκουσεν ὁ ἐπιστρέψας αὐτὸν ἐκ τῆς
ὁδοῦ, καὶ εἶπεν, ὁ ἄνθρωπος τοῦ Θεοῦ
οὗτός ἐστιν ὃς παρεπίκρανε τὸ ῥῆμα Κυ-
ρίου. (1) καὶ ἔδωκεν αὐτὸν ὁ Κύριος τῷ
λέοντι, καὶ συνέτριψεν αὐτὸν καὶ ἐθα-
νάτωσεν αὐτὸν κατὰ τὸ ῥῆμα Κυρίου, ὃ
κζ. ἐλάλησεν αὐτῷ. Καὶ ἐλάλησε πρὸς
τοὺς υἱοὺς αὐτοῦ, τῷ λέγειν, (2) ἐπισά-
κη. ξατέ μοι τὸν ὄνον· καὶ ἐπέσαξαν. Καὶ
ἐπορεύθη καὶ εὗρε τὸ σῶμα αὐτοῦ ἐῤ-
ῥιμμένον ἐν τῇ ὁδῷ, καὶ ὁ ὄνος καὶ ὁ λέων
εἱστήκεισαν παρὰ τὸ σῶμα τοῦ (3) ἀν-
θρώπου τοῦ Θεοῦ· καὶ οὐκ ἔφαγεν ὁ
λέων τὸ σῶμα τοῦ ἀνθρώπου τοῦ Θεοῦ,
κθ. καὶ οὐ συνέτριψε τὸν ὄνον. Καὶ ἦρεν ὁ
Προφήτης τὸ σῶμα τοῦ ἀνθρώπου τοῦ
Θεοῦ, καὶ ἐπέθηκεν αὐτὸ ἐπὶ τὸν ὄνον,
καὶ ἐπέστρεψεν αὐτὸν καὶ ἦλθεν εἰς τὴν
πόλιν τοῦ Προφήτου τοῦ πρεσβυτέρου
λ. κόψασθαι, καὶ τοῦ θάψαι αὐτόν. Καὶ
ἀνέπαυσε τὸ νεκριμαῖον αὐτοῦ ὁ Προ-
φήτης τοῦ θάψαι αὐτὸν ἐν τῷ τάφῳ
αὐτοῦ, καὶ ἐκόψαντο αὐτὸν, οὐαὶ ἀδελ-
λα. φέ. Καὶ ἐγένετο μετὰ τὸ κόψασθαι
αὐτὸν, καὶ εἶπε τοῖς υἱοῖς αὐτοῦ, λέγων,
ἐὰν ἀποθάνω, θάψατέ με ἐν τῷ τά-
φῳ τούτῳ οὗ ὁ ἄνθρωπος τοῦ Θεοῦ τέ-
θαπται ἐν αὐτῷ, παρὰ τὰ ὀστᾶ αὐτοῦ
θέτε με, ἵνα σωθῶσι τὰ ὀστᾶ μου με-
λβ. τὰ τῶν ὀστῶν αὐτοῦ· Ὅτι γινόμενον
ἔσται τὸ ῥῆμα ὃ ἐλάλησεν ἐν λόγῳ
Κυρίου ἐπὶ τὸ θυσιαστήριον (4) Βαιθὴλ
καὶ ἐπὶ τοὺς οἴκους τοὺς ὑψηλοὺς τοὺς ἐν
Σαμαρείᾳ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ Προφήτης φενακισθεὶς ἀνιαροῖς περιέπεσεν. ὁ μὲν γὰρ βασιλεὺς αὐτὸν κοινωνῆσαι [οἱ] τραπέζης ἀξιώσας, οὐκ ἔπεισεν. ἔφη γὰρ τὸν πεπομφότα ἐντείλασθαι, μὴ τροφῆς, μὴ ποτοῦ γεύσασθαι (5) ἐν ἐκείνῃ τῇ γῇ. ἄλλος δέ τις Προφήτης, ὅν τινες (6) ψευδοπροφήτην νομίζουσι, λόγοις αὐτὸν ἐξαπατήσας μεταλαβεῖν σιτίων ἔπεισεν. ἐγὼ δὲ τοῦ Θεοῦ

A μὲν καὶ τὸν ἄλλον Προφήτην ὑπείληφα·
ψευδέσι δὲ λόγοις χρήσασθαι πρὸς τὸν ἄν-
θρωπον τοῦ Θεοῦ, οὐχ ἵνα αὐτὸν βλάψῃ,
ἀλλ' ἵνα μεταλάβῃ αὐτοῦ τῆς εὐλογίας. τοῦ-
το γὰρ ἡ ἱστορία διδάσκει. οὐ γὰρ ἁπλῶς
» εἶπεν, ὅτι Προφήτης καὶ πρεσβύτης κα-
» τῴκει ἐν Βαιθήλ· ἀλλὰ καὶ Προφήτης ἄλ-
» λος (7) κατῴκει ἐν Βαιθήλ. δηλοῖ δὲ αὐ-
τὸν Προφήτην ὄντα, καὶ οὐ ψευδοπροφή-
την, τὸ καὶ τὸν Θεὸν δι' αὐτοῦ προειπεῖν
B τῷ ἀνθρώπῳ τοῦ Θεοῦ τὸ ἐσόμενον πάθος,
καὶ πρὸς τούτοις τὸ πιστεῦσαι τοῖς περὶ τοῦ
Ἰωσίου προῤῥηθεῖσι, καὶ τοῖς υἱέσιν ἐντείλα-
σθαι, ὥστε (8) αὐτοῦ τελευτήσαντος, ἐκείνου
τῷ σώματι συνθάψαι. οὗτος τῶν υἱέων διη-
γουμένων ἀκούσας τὰ περὶ τὸν βωμὸν τῶν
δαμάλεων γεγενημένα, πρῶτον μὲν ἐπέ-
στρεψε τὸ πρόσωπον αὐτοῦ, ἐκπλαγεὶς τὰς
θείας θαυματουργίας· εἶτα μαθὼν διὰ ποίας
ὁδοῦ τὴν πορείαν πεποίηται, ἐπέσαξε τὸν
Γ ὄνον, καὶ τὴν ὁδὸν ἐξανύσας, τάχιστα κα-
τέλαβεν αὐτὸν ὑπὸ δρυὸς [σκιὰν] καθή-
μενον. καὶ πυθόμενος ὅστις εἴη, καὶ μαθὼν
τὸ ποθούμενον, ἱκέτευσεν ἀναστρέψαι, καὶ
σὺν αὐτῷ τροφῆς μεταλαβεῖν. πάλιν δὲ
ἐκείνου τὰ παρὰ τοῦ Θεοῦ κελευσθέντα προ-
βεβληκότος, [καὶ ὡς οὐχ οἷόν τε τὸν θεῖον
παραβῆναι νόμον· προσετάχθη γὰρ μὴ
τροφῆς, μὴ ποτοῦ μεταλαβεῖν ἐν ἐκείνῃ τῇ
» γῇ·] ὑπολαβὼν, ἔφη· κἀγὼ Προφήτης
Δ » εἰμὶ ὡς σὺ, καὶ Ἄγγελος ἐλάλησε πρός με
» ἐν λόγῳ Κυρίου, λέγων, ἐπίστρεψον αὐτὸν
» μετὰ σοῦ εἰς τὸν οἶκόν σου, καὶ φαγέτω ἄρ-
» τον, καὶ πιέτω ὕδωρ. εἶτα ὁ συγγραφεὺς (9)
» ἐπήγαγε· καὶ ἐψεύσατο αὐτῷ. (10) κατὰ
τοῦτο τὸ διαψεύσασθαι φαίην ἂν κἀγὼ τὸν
ἄνθρωπον ψευδοπροφήτην, ὡς ἀληθείας
φωνὰς διαπλάσαντα· οὐ μὴν ὡς Δαιμονίων
Προφήτην. ἐπειδὴ δὲ ἀνέστρεψε, καὶ σι-
» τίων μετέλαβεν, ἐγένετό φησι λόγος Κυ-
E » ρίου πρὸς τὸν Προφήτην τὸν ἐπιστρέψαντα
» αὐτὸν, καὶ εἶπε πρὸς τὸν ἄνθρωπον τοῦ
» Θεοῦ τὸν ἥκοντα ἐξ Ἰούδα· τάδε λέγει Κύ-
» ριος παντοκράτωρ· ἀνθ' ὧν παρεπίκρανας
» τὸ ῥῆμα Κυρίου, καὶ οὐκ ἐφύλαξας τὴν ἐν-
» τολὴν, ἣν ἐνετείλατό σοι Κύριος ὁ Θεός σου,
» καὶ ἐπέστρεψας, καὶ ἔφαγες ἄρτον, καὶ
» ἔπιες ὕδωρ ἐν τῷ τόπῳ τούτῳ, ἐν ᾧ ἐλάλησα
» πρὸς σὲ, λέγων, μὴ φάγῃς ἄρτον, καὶ μὴ
» πίῃς ὕδωρ, οὐ μὴ εἰσέλθῃ τὸ σῶμά σου εἰς
Z » τὸν τάφον τῶν πατέρων σου. τῆς θείας τοί-
νυν Γραφῆς καὶ Προφήτην αὐτὸν λεγού-
σης, (11) καὶ οὐ κακοηθείᾳ κατὰ τοῦ θείου Προ-
φήτου χρησάμενον· ἴσως γὰρ καὶ τὸν σκο-
πὸν

(1) Τὰ ἑπόμ. ἄχρι τοῦ κη'. ἐδ. οὐκ ἐν ταῖς εἰρημ. ἐκδόσ. ἀλλ' ἐν ταῖς εἰρημ. σημειώσ. κεῖται.
(2) Λέγων. αὐτ. (3) Τὸ σῶμα· καὶ οὐκ ἔφαγεν. αἱ εἰρημ. ἐκδόσ. (4) Ἐν Βαιθήλ. αἱ αὐτ.
(5) Μεταλαβεῖν. ἡ ἐν Χάλ. ἔκδ. (6) Ὁ Ἰώσηπ. ἐν βιβλ. 8. κεφ. 9. περὶ ἰουδ. ἀρχ.
(7) Τὸ, ἄλλος, μόνον ἡ Ἑβραϊκὴ ἔκδ. περιέχει. (8) Αὐτὸν τελευτήσαντα. ἡ αὐτ.
(9) Ὁ ἱστοριογράφος. ἡ αὐτ. (10) Τοῦτο ἔγωγε ἐν τούτοις ἡμαρτηκέναι τὸν πρεσβύτην φημὶ, καὶ κατὰ τοῦτο μόνον ψευδοπροφήτην εἶναι, ὡς θείας φωνὰς διαπλάσαντα. οὐ μὴν κακοηθείᾳ τινὶ χρήσασθαι ἡγοῦμαι τὸν ἄνθρωπον, ἀλλὰ μᾶλλον τῇ τῆς εὐλογίας ἐπιθυμίᾳ τῷ ψεύδει καταχρῶσαι τοὺς λόγους. ἐπειδὴ δὲ, κτ. ἡ αὐτ.
(11) Καλούσης, καὶ διδασκούσης, ὡς δι' αὐτοῦ τὴν κατὰ τοῦ ἑτέρου ψῆφον ἐξενήνοχεν ὁ Θεὸς, τολμηρὸν οἶμαι ψευδοπροφήτην ὀνομάζειν αὐτόν. τί δήποτε γὰρ αὐτὸν ὡς ἐκεῖνον οὐκ ἐκόλασεν ὁ Θεὸς, εἴ περ ἄρα
καὶ

πὸν αὐτοῦ καθορῶν ὁ Φιλάνθρωπος Θεὸς, A
καὶ τῷ ψεύδει συγγνώμην ἔνειμε. καὶ ἡμεῖς
οὕτω φαμὲν αὐτόν. ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος
εὐθὺς ἐκδημήσας, περιέπεσε λέοντι. (1)
ὑφ᾽ οὗ αὐτίκα μὲν ἀνῃρέθη, ἄψαυστον δὲ τὸ
σῶμα τροφῆς ἕνεκα διατηρούμενον ἔσχεν. οὗ
μηνυθέντος, ἔδραμε πάλιν ὁ Προφήτης.
δηλοῖ δὲ αὐτοῦ τὸ εὐσεβὲς καὶ τὰ ῥήματα.
» εἶπε γάρ φησιν ὁ ἄνθρωπος τοῦ Θεοῦ οὗτος,
» ὃς παρεπίκρανε τὸ ῥῆμα Κυρίου. εἶτα δρα-
μὼν, εὗρε τοῦ μὲν Προφήτου τὸ σῶμα νε- B
κρὸν, ἀλώβητον δὲ τὴν ὄνον, τὸν λέοντα
δὲ οἷόν τινα φύλακα παρεστῶτα· ὃς ἰδὼν
αὐτὸν ἀφιγμένον ὑπεχώρησεν, ὡς οὐκ ἔτι
φυλακῆς δεομένου τοῦ σώματος. ἔπειτα με-
τακομίσας, καὶ τῶν νομιζομένων ἀξιώσας,
ἐνετείλατο τοῖς υἱέσι μιᾷ θήκῃ ἀμφότερα
παραδοῦναι τὰ σώματα, ὡς τῆς θείας προῤ-
ῥήσεως δεξαμένης τὸ πέρας. ἐκ δὲ τούτου
Σοφ. 6. 6. » τοῦ διηγήματος διδασκόμεθα, ὡς δυνατοὶ
» δυνατῶς ἐτασθήσονται. οὐ γὰρ ἔδει τὸν τῆς Γ
θείας ἀκηκοότα φωνῆς, ἀνθρωπίνῃ πιστεῦ-
σαι τἀναντία λεγούσῃ, ἀλλ᾽ ἀναμεῖναι τὸν
προστεταχότα λῦσαι ὅπερ γενέσθαι προσέ-
ταξεν. ἐγὼ δὲ οἶμαι καὶ εἰς βεβαίωσιν τῆς
περὶ τοῦ θυσιαστηρίου προῤῥήσεως τήνδε γε-
νέσθαι τὴν τιμωρίαν. οὐ γὰρ οἷόν τε ἦν λα-
θεῖν ἄνδρας (2) τοσούτους τοιούτου διηγήμα-
τος. τοῖς δὲ ἀκούουσιν ἱκανὸν ἦν τοῦτο δέος
ἐνθεῖναι. εἰ γὰρ τροφῆς μετάληψις παρὰ
τὴν θείαν ἐντολὴν γενομένη, [καὶ οὐκ ἐξ Δ
ἡδονῆς, ἀλλ᾽ ἐξ ἀπάτης γεγενημένη] τοιαύ-
την (3) ἀνδρὶ δικαίῳ τιμωρίαν ἐπήνεγκεν,
ὁποίαις περιπεσοῦνται κολάσεσιν οἱ τὸν μὲν
πεποιηκότα καταλελοιπότες Θεὸν, τὰ δὲ
τῶν ἀλόγων προσκυνοῦντες ἰνδάλματα; τε-
τίμηκε δὲ αὐτὸν καὶ μετὰ τὴν τελευτὴν ὁ
A Θεός. ἐπήγαγε (4) γὰρ αὐτῷ φύλακα τὸν
φονέα· ταύτῃ μὲν τιμῶν ὡς Προφήτην,
ἐκείνῃ δὲ κολάζων ὡς παραβάτην. δεδιττό-
μενος δὲ καὶ τοὺς τηνικάδε, καὶ τοὺς νῦν,
ὥστε μηδὲ τῶν σμικρῶν τοῦ Θεοῦ καταφρο-
νεῖν ἐντολῶν. μηνύει δὲ τοῦ Προφήτου τὸ
πάθος τῶν νεκρῶν τὴν ἀνάστασιν. ὁ γὰρ
περιόντα μὲν ἐκδεδωκὼς τῷ θηρίῳ, τελευ-
τήσαντα δὲ ἀξιώσας τιμῆς, καὶ τιμήσας
οὐ τὴν ψυχὴν, ἀλλὰ τὸ σῶμα μόνον, δῆλον
B ὡς οὐ περιόψεται διαλυθὲν καὶ φθαρὲν, ἀλλ᾽
ἀναστήσει, καὶ τῇ ψυχῇ τὸ ὄργανον ἀπο-
δώσει, δι᾽ οὗ τὸν ποιητὴν τεθεράπευκεν. ἄν-
θρωπος μέντοι Θεοῦ οὐ πᾶς Προφήτης ὠνό-
μασται, ἀλλ᾽ οἱ τελείαν τὴν ἀρετὴν κεκτη-
μένοι, ὡς Μωσῆς καὶ Ἠλίας, καὶ εἴ τις
ἐκείνοις ὅμοιος. δεδήλωκε τοίνυν ἡ προση-
γορία, τοῦ πρεσβύτου, (5) ὡς προφήτου πολ-
λῷ τιμιώτερος ἦν.

λγ. Καὶ μετὰ τὸ ῥῆμα τοῦτο οὐκ
Γ ἐπέστρεψεν Ἱεροβοὰμ ἀπὸ τῆς κακίας
αὐτοῦ, καὶ ἐπέστρεψε καὶ ἐποίησεν ἐκ
μέρους τοῦ λαοῦ ἱερεῖς ὑψηλῶν· ὁ βου-
λόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ, καὶ
ἐγένετο ἱερεὺς εἰς τὰ ὑψηλά.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, (6) ὅτι
» ὁ βουλόμενος ἐπλήρου τὴν χεῖρα αὐτοῦ; Τὸ
ἐπαγόμενον δηλοῖ. καὶ ἐγένετο ἱερεὺς τῶν
Δ ὑψηλῶν, τουτέστιν ἱεράτευε, καὶ τὸ θυμία-
μα ταῖς χερσὶ προσέφερε.

λδ. Καὶ ἐγένετο τὸ ῥῆμα τοῦτο εἰς
ἁμαρτίαν τῷ οἴκῳ Ἱεροβοὰμ καὶ εἰς
ὄλεθρον καὶ εἰς ἀφανισμὸν ἀπὸ προ-
σώπου τῆς γῆς.

ΚΕΦ. ΙΔ.

α. (7) Ἐν τῷ καιρῷ ἐκείνῳ ἠῤῥώ-
στησεν Ἀβιὰ υἱὸς Ἱερο-
β. βοάμ. Καὶ τῇ γυναι-
κὶ αὐτοῦ εἶπεν Ἱεροβοὰμ, ἀνάστηθι, καὶ
ἀλλοιωθήσῃ, καὶ οὐ γνώσονται ὅτι σὺ
γυνὴ Ἱεροβοὰμ, καὶ πορευθήσῃ εἰς Ση-
λώ· ἰδοὺ ἐκεῖ Ἀχιὰ ὁ προφήτης. αὐ-
τὸς ἐλάλησεν ἐπ᾽ ἐμὲ τοῦ βασιλεῦσαι
γ. ἐπὶ τὸν λαὸν τοῦτον. Καὶ λάβε εἰς
τὴν χεῖρά σου τῷ ἀνθρώπῳ τοῦ Θεοῦ
ἄρτους, καὶ κολλύρια τοῖς τέκνοις αὐτοῦ,
καὶ σταφίδας, καὶ στάμνον μέλιτος, καὶ
ἐλεύσῃ πρὸς αὐτόν· αὐτὸς ἀναγγελεῖ-
δ. σοι τί ἔσται τῷ παιδίῳ. Καὶ ἐποίησεν
οὕτως ἡ γυνὴ Ἱεροβοάμ· καὶ ἀνέστη,
καὶ ἐπορεύθη εἰς Σηλὼ, καὶ εἰσῆλθεν
εἰς τὸν οἶκον Ἀχιά· καὶ ὁ ἄνθρωπος
πρεσβύτερος τοῦ ἰδεῖν, καὶ ἠμβλυώ-
πουν οἱ ὀφθαλμοὶ αὐτοῦ ἀπὸ γήρους
ε. αὐτοῦ. Καὶ εἶπε Κύριος πρὸς Ἀχιὰ,
Z ἰδοὺ γυνὴ Ἱεροβοὰμ εἰσέρχεται τοῦ ἐκ-
ζητῆσαι ῥῆμα παρὰ σοῦ ὑπὲρ υἱοῦ αὐ-
τῆς ὅτι ἄῤῥωστός ἐστι· κατὰ τοῦτο καὶ
κατὰ τοῦτο λαλήσεις πρὸς αὐτήν·
καὶ ἐγένετο ἐν τῷ εἰσέρχεσθαι αὐτὴν,
ς. καὶ αὐτὴ ἀπεξενοῦτο. Καὶ ἐγένετο ὡς
ἤκουσεν

καὶ ψευδοπροφήτην αὐτὸν ὄντα ᾔδει, καὶ κακοηθείᾳ κατὰ τοῦ θείου Προφήτου χρησάμενον; ἴσως γὰρ τὸν σκοπὸν αὐτοῦ καθορῶν ὁ Θεὸς, καὶ τῷ ψεύδει συγγνώμην ἀπένειμεν. ὁ δὲ τοῦ Θεοῦ ἄνθρωπος, κτ. ἡ αὐτ. πάνυ ὀρθῶς καὶ κατὰ σειράν. τὰ δὲ τοῦ ἡμετέρ. κώδ. κεκολοβωμένα καὶ κακοσύντακτα.

(1) Καὶ ἀνεῖλε μὲν αὐτὸν τὸ θηρίον, μεταλαβεῖν δὲ τοῦ σώματος οὐκ ἐτόλμησεν· ἀλλ᾽ εἱστήκει, καὶ τὴν ὄνον καὶ τὸ σῶμα φυλάττων, ὥστε μηδὲν ἄλλο θηρίον ἢ πτηνὸν τολμῆσαι λυμήνασθαι αὐτό. τούτου δὲ μηνυθέντος, κτ. ἡ αὐτ. (2) Ἀνδρὸς τοσούτου διήγημα. τοῖς δὲ, κτ. ἡ αὐτ. (3) Τοσαύτην. ἡ αὐτ.
(4) Ἐπέστησε. ἡ αὐτ. (5) Ὡς τοῦ πρεσβύτου προφήτου, πολ. ἡ αὐτ. (6) Νοητέον τὸ, ὁ βουλ. ἡ αὐτ.
(7) Τὰ ἑξῆς ἐδ. ἄχρι τοῦ 21. οὐ περιέχουσιν αἱ εἰρημ. ἐκδόσ. κεῖται δὲ ἐν ταῖς εἰρημ. σημειώσ.

ἤκουσεν Ἀχιὰ τὴν φωνὴν ποδῶν αὐ-
τῆς, εἰσερχομένης αὐτῆς ἐν τῷ ἀνοίγ-
ματι, καὶ εἶπεν, εἴσελθε γυνὴ Ἱερο-
βοὰμ, ἵνα τί τοῦτο σὺ ἀποξενοῦσαι;
καὶ ἐγώ εἰμι ἀπόστολος πρὸς σὲ σκλη-
ζ. ρός. Πορευθεῖσα εἶπον τῷ Ἱεροβοὰμ,
τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραὴλ,
ἀνθ' οὗ ὅσον ὕψωσά σε ἀπὸ μέσου τοῦ
λαοῦ, καὶ ἔδωκά σε ἡγούμενον ἐπὶ τὸν
η. λαόν μου Ἰσραὴλ, Καὶ ἔῤῥηξα τὸ βα-
σίλειον ἀπὸ οἴκου Δαβὶδ, καὶ ἔδωκα
αὐτό σοι, καὶ οὐκ ἐγένου ὡς ὁ δοῦλός μου
Δαβὶδ, ὃς ἐφύλαξεν (1) ἐντολάς μου,
καὶ ὃς ἐπορεύθη ὀπίσω μου ἐν πάσῃ
καρδίᾳ αὐτοῦ, τοῦ ποιῆσαι τὸ εὐθὲς ἐν
θ. ὀφθαλμοῖς μου, Καὶ ἐπονηρεύσω τοῦ
ποιῆσαι παρὰ πάντας ὅσοι ἐγένοντο
εἰς πρόσωπόν σου, καὶ ἐπορεύθης καὶ
ἐποίησας σεαυτῷ Θεοὺς ἑτέρους καὶ χω-
νευτὰ τοῦ παροργίσαι με, καὶ ἐμὲ ἔῤ-
ι. ῥιψας ὀπίσω σου. Διὰ τοῦτο ἰδοὺ ἐγὼ
ἄγω κακίαν πρὸς οἶκον Ἱεροβοὰμ,
ἐξολοθρεύσω Ἱεροβοὰμ οὐροῦντα πρὸς
τοῖχον, ἐπεχόμενον καὶ καταλελειμ-
μένον ἐν Ἰσραὴλ, καὶ ἐπιλέξω ἐπὶ οἴ-
κου Ἱεροβοὰμ, καθὼς ἐπιλέγεται ἡ
ια. κόπρος ἕως τελειωθῆναι αὐτόν. Τὸν
τεθνηκότα τοῦ Ἱεροβοὰμ ἐν τῇ πόλει
καταφάγονται οἱ κύνες, καὶ τὸν τεθ-
νηκότα ἐν τῷ ἀγρῷ καταφάγεται τὰ
πετεινὰ τοῦ οὐρανοῦ, ὅτι Κύριος ἐλά-
ιβ. λησε. Καὶ σὺ ἀναστᾶσα πορεύθητι
εἰς οἶκόν σου· ἐν τῷ εἰσέρχεσθαι πόδας
σου τὴν πόλιν, ἀποθανεῖται τὸ παι-
ιγ. δάριον· Καὶ κόψονται αὐτὸν πᾶς Ἰσ-
ραὴλ. καὶ θάψουσιν αὐτὸν, ὅτι οὗτος
μόνος εἰσελεύσεται τῷ Ἱεροβοὰμ πρὸς
τάφον, ὅτι εὑρέθη ἐν αὐτῷ ῥῆμα κα-
λὸν περὶ τοῦ Κυρίου Θεοῦ Ἰσραὴλ ἐν οἴ-
ιδ. κῳ Ἱεροβοάμ. Καὶ ἀναστήσει ἑαυτῷ
Κύριος βασιλέα ἐπὶ Ἰσραὴλ, ὃς πλή-
ξει τὸν οἶκον Ἱεροβοὰμ ταύτῃ τῇ ἡμέ-
ιε. ρᾳ καὶ ἔτι καί γε νῦν. Καὶ πλήξει
Κύριος τὸν Ἰσραὴλ καθὰ κινεῖται ὁ
κάλαμος ἐν τῷ ὕδατι· καὶ ἐκτιλεῖ τὸν
Ἰσραὴλ ἀπὸ ἄνω τῆς χθονὸς τῆς ἀ-
γαθῆς ταύτης, ἧς ἔδωκε τοῖς πατρά-
σιν αὐτῶν· καὶ λικμήσει αὐτοὺς ἀπὸ
πέραν τοῦ ποταμοῦ, ἀνθ' οὗ ὅσον ἐποίη-
σαν τὰ ἄλση αὐτῶν παροργίζοντες
ιϛ. τὸν Κύριον. Καὶ δώσει Κύριος τὸν Ἰσ-
ραὴλ χάριν ἁμαρτιῶν Ἱεροβοὰμ, ὃς
A ἥμαρτε καὶ ὃς ἐξήμαρτεν Ἰσραήλ.
ιζ. Καὶ ἀνέστη ἡ γυνὴ Ἱεροβοὰμ, καὶ ἐπο-
ρεύθη εἰς τὴν Σαρίρα. καὶ ἐγένετο ὡς
εἰσῆλθεν ἐν τῷ προθύρῳ τοῦ οἴκου, καὶ
ιη. τὸ παιδάριον ἀπέθανε. Καὶ ἔθαψαν
αὐτὸ, καὶ ἐκόψαντο αὐτὸ πᾶς Ἰσραὴλ,
κατὰ τὸ ῥῆμα Κυρίου ὃ ἐλάλησεν ἐν
χειρὶ δούλου αὐτοῦ Ἀχιὰ τοῦ προφήτου.
ιθ. Καὶ περισσὸν ῥῆμα (2) τῷ Ἱεροβοὰμ
B ὅσα ἐπολέμησε καὶ ὅσα ἐβασίλευσεν,
ἰδοὺ αὐτὰ γεγραμμένα ἐπὶ βιβλίου
ῥημάτων τῶν ἡμερῶν τῶν βασιλέων
κ. Ἰσραήλ. Καὶ αἱ ἡμέραι ἃς ἐβασί-
λευσεν Ἱεροβοὰμ, εἴκοσι καὶ δύο ἔτη·
καὶ ἐκοιμήθη μετὰ τῶν πατέρων αὐ-
τοῦ. καὶ ἐβασίλευσεν Ἀδὰδ (3) υἱὸς
κα. αὐτοῦ ἀντ' αὐτοῦ. Καὶ Ῥοβοὰμ υἱὸς
Γ Σαλωμὼν ἐβασίλευσεν ἐπὶ Ἰούδαν.
υἱὸς τεσσαράκοντα καὶ ἑνὸς ἐνιαυτοῦ (4)
Ῥοβοὰμ ἐν τῷ βασιλεύειν αὐτόν. καὶ
ἑπτακαίδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱε-
ρουσαλὴμ τῇ πόλει ἣν ἐξελέξατο Κύ-
ριος θέσθαι τὸ ὄνομα αὐτοῦ ἐκεῖ ἐκ πα-
σῶν φυλῶν Ἰσραήλ. καὶ τὸ ὄνομα τῆς
μητρὸς αὐτοῦ Νααμὰν (5) ἡ Ἀμμανί-
κβ. τις. Καὶ ἐποίησεν ὁ Ἰούδας τὸ πονη-
Δ ρὸν ἐνώπιον Κυρίου· καὶ παρεζήλωσεν
αὐτὸν ἐν πᾶσιν οἷς ἐποίησαν οἱ πατέ-
ρες αὐτῶν καὶ ἐν ταῖς ἁμαρτίαις αὐ-
τῶν αἷς ἥμαρτον.
κγ. Καὶ ᾠκοδόμησαν αὐτοὶ ἑαυ-
τοῖς ὑψηλὰ καὶ στήλας καὶ ἄλση ἐπὶ
πάντα βουνὸν ὑψηλὸν, καὶ ὑποκάτω
κδ. παντὸς ξύλου συσκίου. Καὶ σύνδεσ-
E μος ἐγενήθη ἐν τῇ γῇ, καὶ ἐποίησαν
ἀπὸ πάντων βδελυγμάτων τῶν ἐθ-
νῶν ὧν ἐξῆρε Κύριος ἀπὸ προσώπου
υἱῶν Ἰσραήλ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Προειδὼς ὁ Θεὸς, ὡς ἀσεβήσει ὁ λαὸς, τί δήποτε τὴν διαίρεσιν συνεχώρησε; Τί γὰρ τὸν Ἰούδαν καὶ τὸν Βενιαμὶν ὤνησε τὸ τὸν θεῖον ἔχειν ναόν; τὴν γὰρ αὐτὴν καὶ οὗτοι παρανομίαν ἐτόλμησαν.
Z „ ᾠκοδόμησαν γὰρ [φησιν] ἑαυτοῖς ὑψηλὰ
„ καὶ στήλας καὶ ἄλση ἐπὶ πάντα βουνὸν ὑψη-
„ λὸν, καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους.
„ καὶ σύνδεσμος ἐγένετο ἐν τῇ γῇ. τὸν δὲ σύνδεσμον ἀντὶ τῆς ἀποστάσεως τέθεικε. καὶ γὰρ Ἰεζάβελ (6) τοῦ Ἰωρὰμ μεμαθηκυῖα τὴν τελευτὴν, καὶ τὸν Ἰοῦ τῆς βασιλείας τὴν χειροτονίαν δεξάμενον, ἐβόησε· σύν- 4.Βασ. 11. 14.
„ δεσμος, σύνδεσμος, τουτέστιν ἀπόστασις (7) καὶ τυραννίς. τοῦτο γὰρ (8) καὶ τὰ ἑξῆς
H „ δηλοῖ. καὶ ἐποίησαν ἀπὸ πάντων βδελυγμάτων

(1) Ἐφύλαξε τὰς ἐντολ. αὐτ.
(2) Ῥημάτων Ἱεροβ. αὐτ.
(3) Ἀδάβ. αὐτ. Ναβάτ. αὐτ.
(4) Ἐνιαυτῶν· αἱ εἰρημ. ἐκδόσ.
(5) Νααμά. αἱ αὐτ.
(6) Τῆς Γοθολίας εἰσὶ τὰ ῥήματα· ὡς ἐκ τοῦ 11. κεφ. τῆς 4. τῶν Βασ. δῆλον.
(7) Ἀποστασία. ἡ ἐν Χάλ. ἐκδ.
(8) Δέ. ἡ αὐτ.

» μάτων τῶν ἐθνῶν ὧν ἐξώρισε Κύριος ἀπὸ A
» προσώπου τῶν υἱῶν Ἰσραήλ. οὐ τοίνυν διὰ τὴν αἵρεσιν (1) τῆς βασιλείας ἐξώκειλαν εἰς ἀσέβειαν αἱ δέκα φυλαί, ἀλλὰ διὰ τὴν οἰκείαν παρανομίαν. αὐτίκα γοῦν μείζους ποιοῦνται τῆς Ἰούδα φυλῆς οἱ Προφῆται κατηγορίας. καὶ γὰρ Ὡσηὲ πόρνην μὲν προσετάχθη λαβεῖν, εἰς ἔλεγχον τῆς προφανοῦς ἀσεβείας τῶν δώδεκα φυλῶν· προφανὴς γὰρ ἡ τῆς πόρνης ἀκολασία· μοιχεύτριαν δὲ εἰς τύπον τῆς Ἰουδαίας, ὅτι τῷ Θεῷ B διὰ τοῦ ναοῦ συνῆφθαι δοκοῦσα, λάθρα τοῖς εἰδώλοις ἐλάτρευσεν. (2) Ἱερεμίας δὲ ὁ
Ἱερ. 3. 11. » προφήτης φησίν· ἐδικαίωσεν αὐτὴν ἡ ἀπο-
» στροφὴ Ἰσραὴλ ἀπὸ τῆς ἀσυνθέτου Ἰούδα.
Ἰεζ. 16. 46. Ἰεζεκιὴλ δὲ ὁ προφήτης, οὐ τὴν Σαμάρειαν μόνην, ἀλλὰ καὶ τὰ Σόδομα τῆς Ἱερουσαλὴμ ἐκάλεσεν ἀδελφήν.

κε. Καὶ ἐγένετο ἐν τῷ ἐνιαυτῷ τῷ πρώτῳ (3) βασιλεύοντος Ῥοβοὰμ, Γ
ἀνέβη Σουσακὶμ βασιλεὺς Αἰγύπτου
κϛ. ἐπὶ Ἱερουσαλὴμ, Καὶ ἔλαβε πάντας τοὺς θησαυροὺς οἴκου Κυρίου καὶ τοὺς θησαυροὺς οἴκου τοῦ βασιλέως, καὶ τὰ δόρατα τὰ χρυσᾶ ἃ ἔλαβε Δαβὶδ ἐκ χειρὸς τῶν παίδων Ἀδραζὰρ (4) βασιλέως Σουβὰ, καὶ εἰσήνεγκεν αὐτὰ εἰς Ἱερουσαλὴμ τὰ πάντα ἃ ἔλαβε, Δ καὶ ἔλαβεν ὅπλα τὰ χρυσᾶ ὅσα ἐποίησε Σαλωμὼν, καὶ ἀπήνεγκεν αὐτὰ εἰς Αἴγυπτον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀποστάντες τῆς εὐσεβείας, τῆς θείας ἐγυμνώθησαν προμηθείας. Σουσακὶμ γὰρ τῶν Αἰγυπτίων ὁ βασιλεὺς πολλὰς μὲν τῶν Ἰουδαίων εἷλε πόλεις, ὡς ἡ τῶν Παραλειπομένων ἐδίδαξε βίβλος· ἐπέβη δὲ καὶ τῆς Ἱερουσαλὴμ, καὶ οὐ μόνον τοὺς βασιλικοὺς, ἀλλὰ καὶ τοὺς ὁσίους (5) E ἐσύλησε θησαυρούς. ἔλαβε δὲ καὶ τὰ ὅπλα [τὰ χρυσᾶ, καὶ] ἃ Δαβὶδ ὁ βασιλεὺς ἀπὸ τῶν Σύρων εἰλήφει, καὶ ἃ ὁ Σολομὼν ἐπεποιήκει.

** ΝΕΙΛΟΥ. Μὴ ἀμερίμνως, μηδὲ ἀναλγήτως διατεθῇς ἐν τοῖς συμβεβηκόσι σοι. ἐκ γὰρ τῆς σῆς ἀμελείας ἀνέβη πρὸς τὴν ψυχήν σου ὁ βασιλεὺς Αἰγύπτου, καὶ ἔλαβε τοὺς θησαυροὺς οἴκου Κυρίου, καὶ τὰ Z χρυσᾶ δόρατα, ἅπερ μετὰ πολλῶν ἀγώνων καὶ ἱδρώτων νόμῳ πολέμου πρώην ὁ Δαβὶδ ἔλαβεν ἀπὸ τῆς χειρὸς τῶν παίδων ἀλλοφύλου Ἀδρααζάρ. καὶ ὅμως αὐτὸς τέρπῃ ἐπὶ τούτοις, ἤπερ ἀλγῆσαι βούλει καὶ κατηφῆσαι.

κζ. Καὶ ἐποίησεν ὁ βασιλεὺς Ῥοβοὰμ ἀντ' αὐτῶν ὅπλα χαλκᾶ· καὶ ἐπέθεντο ἐπ' αὐτῶν οἱ ἡγούμενοι τῶν A παρατρεχόντων οἱ φυλάσσοντες τὸν πυλῶνα οἴκου βασιλέως.

** ΙΩΣΗΠΟΥ. Ἀναχωρήσαντος Σουσάκου, Ῥοβόαμος ὁ βασιλεὺς ἀντὶ μὲν τῶν χρυσέων θυρεῶν καὶ τῶν ἀσπίδων χάλκεα ποιήσας, τὸν αὐτὸν ἀριθμὸν, παρέδωκε τοῖς τῶν βασιλείων φύλαξι.

κη. Καὶ ἐγένετο ὅτε εἰσεπορεύετο ὁ βασιλεὺς εἰς οἶκον Κυρίου, καὶ ἦρον B αὐτὰ οἱ παρατρέχοντες, καὶ ἀπηρείδοντο αὐτὰ εἰς τὸ Θεὲ τῶν παρατρεχόντων.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Τίσιν ἀπηρείδοντο
» αὐτὰ εἰς τὸ Θεὲ (6) τῶν παρατρεχόντων; Ἐν μὲν τῇ τῶν ἑβραϊκῶν ὀνομάτων ἑρμηνείᾳ ἀντὶ τοῦ Θεὲ, Θεκουὲ κείμενον εὕρομεν, ἑρμηνευόμενον κρουσμὸς καὶ σαλπισμός. ἡ δὲ τῶν Παραλειπομένων βίβλος οὕτω ταῦ-
Γ » τα διδάσκει· καὶ ἐποίησε βασιλεὺς Ῥοβοὰμ 2. Παραλ. 12.
» ἀντ' αὐτῶν θυρεοὺς χαλκοῦς, καὶ κατέστη- 10, 11.
» σεν ἐπὶ χεῖρας ἀρχόντων τῶν παρατρε-
» χόντων, τῶν φυλασσόντων τὰς θύρας τοῦ
» οἴκου τοῦ βασιλέως. καὶ ἐγένετο ἀπὸ ἱκανοῦ,
» ἐν τῷ εἰσπορεύεσθαι τὸν βασιλέα εἰς τὸν οἶ-
» κον Κυρίου, εἰσεπορεύοντο οἱ φυλάσσοντες,
» καὶ οἱ παρατρέχοντες· καὶ οἱ ἐπιστρέφον-
» τες εἰς ἀπάντησιν τῶν παρατρεχόντων
» ἐλάμβανον τοὺς θυρεοὺς, καὶ ἀπεκαθίστων
Δ » εἰς τὴν τάξιν τῶν παρατρεχόντων. ἐδίδοτο, φησὶ, τοῖς δορυφόροις καὶ ἀσπιδοφόροις τοῖς περὶ τὸν βασιλέα, οἳ παρὰ τὰς θύρας τῶν βασιλείων ἑστῶτες τὰς εἰσόδους ἐφρούρουν. προϊόντος δὲ τοῦ βασιλέως, οἱ μὲν προηγοῦντο, οἱ δὲ παρέτρεχον. ἡνίκα δὲ εἰς τὸν νεὼν παρεγένετο, ἀπήντων οἱ ἐπιστρέφοντες (7) ἀπὸ τοῦ οἴκου, οἱ φύλακες, καὶ ἐδέχοντο ταῦτα παρ' αὐτῶν, καὶ αὐτοὶ ταῦτα κατέχοντες πρὸ τῆς πύλης εἱστήκεσαν E τοῦ νεώ. ἵνα τὰ μὲν ὅπλα μείνῃ πρὸ τῶν θυρῶν· οἱ δὲ ταῦτα κομίζοντες σὺν τῷ βασιλεῖ τὸν Θεὸν προσκυνήσωσιν. εἰκὸς δὲ καὶ οἶκον γενέσθαι πρὸ τῶν θυρῶν, ἵνα (8) τοῦ βασιλέως ἀφικνουμένου, οἱ ὁπλοφόροι ἐκεῖ τὰ ὅπλα ἀποτίθενται.

κθ. Καὶ τὰ λοιπὰ τῶν λόγων Ῥοβοὰμ καὶ πάντα ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων Z τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;

λ. Καὶ πόλεμος ἦν ἀναμέσον Ῥοβοὰμ καὶ ἀναμέσον Ἱεροβοὰμ πάσας
λα. τὰς ἡμέρας. Καὶ ἐκοιμήθη Ῥοβοὰμ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαβίδ· καὶ ὄνομα μητρὸς αὐτοῦ Νααμὰ ἡ Ἀμμανῖτις. καὶ ἐβασίλευσεν Ἀβιοὺ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

ΙΩΣΗ-

(1) Διαίρεσιν. ἡ αὐτ. ὀρθῶς. (2) Ἐλάτρευεν. ἡ αὐτ. (3) Τῷ πέμπτῳ. αἱ αὐτ. (4) Ἀδρααζαάρ. αἱ αὐτ. (5) Θείους. ἡ αὐτ. (6) Θεκουέ. ἡ αὐτ. ἐπισφαλῶς, ὡς ἐκ τῶν κατωτέρω δῆλον. (7) Οἱ ἐπιστρέφοντες, ἀντὶ τοῦ, οἱ τοῦ ναοῦ φύλακ. ἡ αὐτ. (8) Ὥστε.. τοὺς ὁπλοφόρους.. ἀποτίθεσθαι. ἡ αὐτ.

** ΙΩΣΗΠΟΥ. Ἐβασίλευσεν ἐν ἡσυχίᾳ πολλῇ καὶ δέει, πάντα τὸν χρόνον ἐχθρὸς ὢν Ἱεροβοάμῳ· ἐτελεύτησε δὲ, βιώσας ἔτη πεντήκοντα καὶ ἑπτὰ, βασιλεύσας δ' αὐτῶν ἑπτακαίδεκα. τὸν τρόπον ἀλαζὼν ἀνὴρ καὶ ἀνόητος, καὶ διὰ τὸ μὴ προσέχειν
A τοῖς πατρῴοις Φίλοις τὴν ἀρχὴν ἀπολέσας. ἐτάφη δ' ἐν Ἱεροσολύμοις ἐν ταῖς θήκαις τῶν βασιλέων. διεδέξατο δ' αὐτὸν τὴν βασιλείαν ὁ υἱὸς Ἀβίας, ὄγδοον ἤδη καὶ δέκατον ἔτος Ἱεροβοάμου τῶν δέκα Φυλῶν βασιλεύοντος.

ΚΕΦ. ΙΕ.

α. Καὶ ἐν τῷ ὀκτωκαιδεκάτῳ
ἔτει βασιλεύοντος Ἱεροβοὰμ υἱοῦ Ναβὰτ, βασι-
λεύει Ἀβιοὺ υἱὸς Ῥοβοὰμ ἐπὶ Ἰούδαν.
β. Καὶ δέκα καὶ ἓξ ἔτη ἐβασίλευσεν ἐπὶ
Ἱερουσαλήμ· καὶ ὄνομα τῆς μητρὸς
αὐτοῦ Μααχὰ θυγάτηρ Ἀβεσσαλώμ.
γ. Καὶ ἐπορεύθη ἐν πάσαις ἁμαρτίαις
τοῦ πατρὸς αὐτοῦ αἷς ἐποίησεν ἐνώπιον
αὐτοῦ, καὶ οὐκ ἦν ἡ καρδία αὐτοῦ τε-
λεία μετὰ Κυρίου τοῦ Θεοῦ αὐτοῦ, ὡς
ἡ καρδία Δαβὶδ τοῦ πατρὸς αὐτοῦ.
δ. Ὅτι διὰ Δαβὶδ ἔδωκεν αὐτῷ
Κύριος κατάλειμμα ἐν Ἱερουσαλὴμ,
ἵνα στήσῃ τὰ τέκνα αὐτοῦ μετ' αὐτὸν,
ε. καὶ στήσῃ τὴν Ἱερουσαλὴμ, Ὡς ἐποίη-
σε Δαβὶδ τὸ εὐθὲς ἐνώπιον Κυρίου,
οὐκ ἐξέκλινεν ἀπὸ πάντων ὧν ἐνετεί-
λατο αὐτῷ πάσας τὰς ἡμέρας τῆς
ζωῆς αὐτοῦ, ἐκτὸς ἐν ῥήματι Οὐρίου
τοῦ Χετταίου.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, ὅτι » διὰ Δαβὶδ ἔδωκεν αὐτῷ ὁ Θεὸς κατάλειμ- » μα, ἵνα στήσῃ τὰ τέκνα αὐτοῦ μετ' αὐτόν; Διηγησάμενος καὶ τοῦ Ῥοβοὰμ, καὶ τοῦ Ἀβιὰ τὴν ἀσέβειαν, τοῖς δὲ τοῖς λόγοις ἐχρήσατο, διδάσκων ὡς διὰ τὸν πρόγονον μέχρι πολλοῦ τῶν ἀπογόνων τὴν βασιλείαν ἐφύλαξεν. εἶτα ἐπαινέσας τὴν τοῦ Δαβὶδ ἀρετὴν, τῆς μιᾶς ἁμαρτίας ἐμνήσθη. ἐποίησε » γάρ φησι Δαβὶδ τὸ εὐθὲς ἐνώπιον Κυρίου, » καὶ οὐκ ἐξέκλινεν ἀπὸ πάντων ὧν ἐνετεί- » λατο αὐτῷ πάσας τὰς ἡμέρας τῆς ζωῆς » αὐτοῦ, ἐκτὸς ἐν ῥήματι Οὐρίου τοῦ Χετταίου.

ς. (1) Καὶ πόλεμος ἦν μεταξὺ
Ῥοβοὰμ καὶ μεταξὺ Ἱεροβοὰμ πά-
σας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.
ζ. Καὶ τὰ λοιπὰ τῶν λόγων Ἀ-
βιοὺ καὶ πάντα ἃ ἐποίησεν, οὐκ ἰδοὺ
ταῦτα γεγραμμένα ἐπὶ βιβλίου λό-
γων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰού-
δα; καὶ πόλεμος ἦν ἀναμέσον Ἀβιοὺ
η. καὶ ἀναμέσον Ἱεροβοάμ. Καὶ ἐκοι-
μήθη Ἀβιοὺ μετὰ τῶν πατέρων αὐτοῦ
ἐν τῷ εἰκοστῷ καὶ τετάρτῳ ἔτει τοῦ Ἱε-
ροβοὰμ, καὶ θάπτεται (2) ἐν πόλει
Δαβίδ. καὶ βασιλεύει Ἀσὰ ὁ υἱὸς
αὐτοῦ ἀντ' αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τοῦ δὲ Ἀβιὰ τὰ πρῶτα ἐπλούτησε τῶν Παραλειπομένων ἡ βίβλος· (3) τῶν δὲ τελευταίων ὁμοίως καὶ αὕτη κατηγόρησε. (4)

Γ θ. Καὶ ἐν ἔτει τετάρτῳ καὶ εἰκο-
στῷ τοῦ Ἱεροβοὰμ βασιλέως Ἰσραὴλ,
ι. βασιλεύει Ἀσὰ ἐπὶ Ἰούδαν· Καὶ τεσ-
σαράκοντα καὶ ἓν ἔτος βασιλεύει (5)
ἐν Ἱερουσαλήμ· καὶ ὄνομα τῆς μητρὸς
αὐτοῦ Μααχὰ θυγάτηρ Ἀβεσσαλώμ.
ια. Καὶ ἐποίησεν Ἀσὰ τὸ εὐθὲς
ἐνώπιον Κυρίου, ὡς Δαβὶδ ὁ πατὴρ
ιβ. αὐτοῦ. Καὶ ἀφεῖλε τὰς τελετὰς ἀπὸ
τῆς γῆς, καὶ ἐξαπέστειλε πάντα τὰ
ἐπιτηδεύματα ἃ ἐποίησαν οἱ πατέρες
ιγ. αὐτοῦ. Καὶ τὴν Μααχὰ τὴν μητέ-
ρα αὐτοῦ μετέστησε τοῦ μὴ εἶναι ἡγουμέ-
νην, καθὼς ἐποίησε σύνοδον ἐν τῷ
ἄλσει αὐτῆς. καὶ ἐξέκοψε τὰς κατα-
λύσεις (6) αὐτῆς, καὶ ἐνέπρησε πυρὶ
ιδ. ἐν τῷ χειμάῤῥῳ τῶν Κέδρων. Τὰ δὲ
E ὑψηλὰ οὐκ ἐξῆρε. πλὴν ἡ καρδία Ἀ-
σὰ ἦν τελεία μετὰ Κυρίου πάσας τὰς
ιε. ἡμέρας αὐτοῦ. Καὶ εἰσήνεγκε τοὺς κίο-
νας τοῦ πατρὸς αὐτοῦ, καὶ τοὺς κίονας
αὐτοῦ εἰσήνεγκεν εἰς τὸν οἶκον Κυρίου
ἀργυροῦς καὶ χρυσοῦς, καὶ σκεύη.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τοῦ δὲ Ἀσὰ τὰ πρῶτα ἐπῄνεσεν ἡ τῶν Βασιλειῶν βίβλος, κατὰ πάντα μιμητὴν ἀποκαλοῦσα τοῦ Δαβίδ. Z » ἐποίησε γάρ φησιν Ἀσὰ τὸ εὐθὲς ἐνώπιον » Κυρίου, ὡς ὁ Δαβὶδ ὁ πατὴρ αὐτοῦ. καὶ ἀφεῖ- » λε τὰς στήλας ἀπὸ τῆς γῆς, καὶ ἐξῆρε πάν- » τα τὰ ἐπιτηδεύματα ἃ ἐποίησαν οἱ πατέ- » ρες αὐτοῦ, καὶ τὴν Ἄνναν (7) τὴν μητέρα » αὐτοῦ μετέστη τοῦ μὴ εἶναι ἡγουμένην, καθό- » τι ἐποίησε σύνοδον ἐν τῷ ἄλσει αὐτῆς. καὶ » ἐξέκοψεν αὐτὰ Ἀσὰ, καὶ πάσας τὰς κα- » ταδύσεις αὐτῆς, καὶ ἐνέπρησεν ἐν πυρὶ ἐν τῷ

(1) Τὸ ἐδ. τοῦτο αἱ εἰρημ. ἐκδόσ. οὐ περιέχουσι· κεῖται δὲ ἔν τε ταῖς εἰρημ. σημειώσ. κἀν τῇ Ἑβραϊκ. ἐκδόσ. (2) Μετὰ τῶν πατέρων αὐτοῦ ἐν. αἱ εἰρημ. ἐκδόσ.

(3) Ἡ δευτέρα ἐν τῷ 13. κεφ. (4) Κατηγόρησε. σαφέστερον δὲ ταῦτα δηλώσομεν ἐκείνην ἑρμηνεύοντες, στὴν Θεῷ φάναι, τὴν βίβλον. ἡ ἐν Χάλ. ἐκδ. (5) Ἐβασίλευσεν. αἱ αὐτ.

(6) Καταδύσεις. αἱ αὐτ. καὶ ὁ Θεοδώριτ. (7) Ἀννάν. ἡ αὐτ.

» τῷ χειμάῤῥῳ Κέδρων. (1) πλὴν ὅτι τὰ A » ὑψηλὰ οὐκ ἐξῆρε. καὶ δηλοῖ ἐνταῦθα, ὡς τὰ μὲν τῶν εἰδώλων τεμένη κατέλυσε, καὶ πρόῤῥιζα τὰ ἄλση ἐξέκοψε· τὰ δὲ τῷ Θεῷ ἐν τοῖς ὑψηλοῖς ἀνακείμενα θυσιαστήρια καταλέλοιπεν. (2) ἔδειξε μέντοι καὶ τὸν ὑπὲρ τοῦ Θεοῦ ζῆλον, καὶ τὴν μητέρα τῆς ἐξουσίας γυμνώσας, διὰ τὴν σύνοδον καὶ τὴν ἑορτὴν, ἣν ἐπετέλεσεν ἐν τῷ ἄλσει, καὶ αὐτὸ ἐκκόψας, καὶ πάντας τοὺς εἰδωλικοὺς αὐτῆς καταλύσας τόπους, καὶ πυρὶ παρα- B δούς. προσέθηκε δὲ, ὅτι καὶ τοὺς κίονας, οὓς καὶ αὐτὸς καὶ ὁ πατὴρ αὐτοῦ ἐξ ὕλης ἀργύρου κατεσκεύασε καὶ χρυσίου, τῶν βασιλείων ἐξενεγκὼν ἀνέθηκε τῷ δεσπότῃ Θεῷ· καὶ ἄλλον πλεῖστον καὶ ἄργυρον καὶ χρυσὸν ἐπίσημόν τε καὶ ἄσημον, καὶ σκεύη ἱερὰ καὶ πολύτιμα. ἀτελῆ δὲ ὅμως αὐτὸν ὠνόμασεν. » ἔφη γὰρ, πλὴν ἡ καρδία Ἀσὰ οὐκ ἦν τε» λεία (3) μετὰ Κυρίου πάσας τὰς ἡμέρας αὐτοῦ. καὶ τοῦτο σαφέστερον ἡ τῶν Παραλει- Γ πομένων βίβλος διδάσκει. πιστῶς δὲ προσευξάμενος, τὰς ἑκατὸν τῶν Αἰθιόπων κατηγωνίσατο μυριάδας, καὶ ἄρδην κατηκόντισεν ἅπαντας. Βαασὰ δὲ τοῦ τῶν δέκα φυλῶν βασιλέως ἐπιθεμένου, καὶ τὴν Ῥαμὰ ἐπιτειχίσαι πειραθέντος, καταλιπὼν τὸν Θεὸν, τὴν τῶν Σύρων ᾐτήσατο συμμαχίαν.

ιϛ. Καὶ πόλεμος ἦν ἀναμέσον Ἀσὰ καὶ ἀναμέσον Βαασὰ βασιλέως Ἰσραὴλ πάσας τὰς ἡμέρας αὐτῶν.

ιζ. Καὶ ἀνέβη Βαασὰ βασιλεὺς Ἰσραὴλ ἐπὶ Ἰούδαν, καὶ ᾠκοδόμησε τὴν Ῥαμὰ, τοῦ μὴ εἶναι ἐκπορευόμενον καὶ εἰσπορευόμενον τῷ Ἀσὰ βασιλεῖ Ἰούδα.

** ΙΩΣΗΠΟΥ. Τὴν στρατιὰν παραλαβὼν, πάλιν ἐπῆλθε πόλει τινὶ τῶν οὐκ B ἀφανῶν, Ῥαμαθῶνι τοὔνομα, σταδίους ἀπεχούσῃ Ἱεροσολύμων τεσσαράκοντα· καὶ καταλαβόμενος αὐτὴν, ὠχύρου, προδιεγνωκὼς καταλιπεῖν ἐν αὐτῇ δύναμιν, ἵνα ἐκεῖθεν ὡρμημένοι, τὴν Ἀσάνου βασιλείαν κακώσωσι.

ιη. Καὶ ἔλαβεν Ἀσὰ σύμπαν τὸ ἀργύριον καὶ τὸ χρυσίον τὸ εὑρεθὲν ἐν θησαυροῖς οἴκου Κυρίου καὶ ἐν τοῖς Γ θησαυροῖς τοῦ οἴκου τοῦ βασιλέως, καὶ ἔδωκεν αὐτὰ εἰς χεῖρας παίδων αὐτοῦ· καὶ ἐξαπέστειλεν αὐτοὺς ὁ βασιλεὺς Ἀσὰ πρὸς υἱὸν Ἄδερ υἱὸν Ταβ ἐν Ῥαμμὰν (4) υἱοῦ Ἀζαὴλ βασιλέως Συρίας τοῦ κατοικοῦντος ἐν Δαμασκῷ, λέγων,
ιθ. Διάθου διαθήκην ἀναμέσον ἐμοῦ καὶ ἀναμέσον σοῦ, καὶ ἀναμέσον (5) πατρός μου καὶ τοῦ πατρός σου. ἰδοὺ ἐξαπέσταλ-

(1) Κέδρων, τὰ δὲ ὑψηλὰ οὐκ ἐξῆρε. πάλιν ἐνταῦθα δεδήλωκεν, ὡς, κτ. ἡ αὐτ.

(2) Καταλέλοιπε. καὶ τοῦτο τῆς θείας χάριτος συνεργούσης, σαφέστερον ἀποδείξομεν ἑρμηνεύοντες τὸ κατὰ τὸν Ἐζεκίαν διήγημα. ἔδειξε, κτ. ἡ αὐτ.

(3) Πόθεν ἄρα ὁ Θεοδώριτος τὸ, οὐκ ἦν τελεία, παρέλαβεν; οὐδὲ γὰρ ἐν τῇ Ἑβραϊκῇ, οὐδὲ ἐν ἄλλῃ τινὶ τὸ, οὐκ, κεῖται ἐκδόσει· ἀλλ' οὐδὲ γραφικόν τις ἂν σφάλμα τοῦτ' ἡγήσαιτο. καὶ γάρ φησιν, ἀτελῆ δὲ ὅμως αὐτὸν ὠνόμασε, τὴν θείαν Γραφὴν αἰνιττόμενος. Ὁ αὐτὸς ἐν τῇ εἰς τὴν β. τῶν Παραλειπομ. αὐτοῦ ἑρμηνείᾳ περὶ τοῦ Ἀσὰ τάδε φησίν· Ἀλλ' οὐκ ἐν ἅπασι τέλειος ἦν. πρῶτον μὲν γὰρ οὐκ ἅπαντα ἐξῆρε τὰ ὑψηλὰ, τουτέστι τοὺς ἐν τοῖς ὑψηλοῖς χωρίοις ἀνακειμένους τῷ Θεῷ τῶν ὅλων βωμούς. ἀπηγόρευτο γὰρ ἑτέρωσε θύειν. ἑνὶ γὰρ ἡ κατὰ νόμον λατρεία περιώριστο τόπῳ. ἔπειτα δὲ τοῦ Βαασᾶ στρατεύσαντος κατ' αὐτοῦ, καὶ τὴν Ῥαμὰ τοῖς Ἱεροσολύμοις ἐπιτειχίσαντος, δέον εἰς συμμαχίαν καλέσαι τὸν τοσούτων ἀγαθῶν αὐτῷ γενόμενον χορηγὸν, τὸν βασιλέα τῆς Συρίας εἰς συμμαχίαν ἐκάλεσεν· ἐκ τῶν βασιλικῶν θησαυρῶν, καὶ μέντοι καὶ τῶν θείων, χρυσὸν αὐτῷ πέμψας ὅτι μάλιστα πλεῖστον. ἀλλ' οὐκ εἴασεν αὐτὸν ἀνίατον ὁ φιλάνθρωπος Κύριος· Ἀνανὶ δὲ τὸν προφήτην ἀποστείλας, τὴν ἀπι» στίαν διήλεγξε, τάδε εἰπών· ἐν τῷ πεποιθέναι σε ἐπὶ βασιλέα Συρίας, καὶ μὴ πεποιθέναι ἐπὶ Κύριον τὸν » Θεόν σου, διὰ τοῦτο διεσώθη ἡ δύναμις βασιλέως Ἰσραήλ. ἡ σὴ, φησὶν, ἀπιστία προὐξένησεν ἐκείνοις τὴν σωτηρίαν. εἰ γὰρ συνήθως ἐπίστευσας, ἄρδην ἂν πάντας κατέκλεινας. ἀναμιμνήσκει δὲ αὐτὸν καὶ τῶν Αἰθιόπων, καὶ τῶν Λιβύων, καὶ τῶν ἵππων, καὶ τῶν ἁρμάτων, καὶ τῆς αὐτοῦ πίστεως, δι' ἣν αὐτοὺς κατηνά» λωσεν ἅπαντας· ὅτι ὀφθαλμοὶ Κυρίου, φησὶν, ἐπιβλέπουσιν ἐπὶ πᾶσαν τὴν γῆν, κατισχῦσαι ἐν πάσῃ καρδίᾳ πλήρει πρὸς αὐτόν. πᾶς γάρ φησι γνησίως αὐτὸν καλῶν, τεύξεται τῆς σωτηρίας. εἶτα σαφέστερον ἐλέγχει· » ἠγνόησας ἐπὶ τούτῳ. ἔπειτα προλέγει τὰ ἐσόμενα σκυθρωπά. ἀπὸ τοῦ νῦν γάρ φησιν ἔσται σοι πόλεμος. ἐντεῦθεν ἔστι μαθεῖν, ὡς ἡ Ἀμαζονεὶμ λιβυκόν ἐστιν ἔθνος. οὓς γὰρ ἄνω Ἀμαζονεὶμ ὠνόμασεν, ἐνταῦθα Λίβυας κέκληκεν. ὁ δὲ Ἀσὰ, δέον ἀλγῆσαι καὶ θρηνῆσαι, καὶ τὴν θείαν καλέσαι φιλανθρωπίαν, οὐ μόνον ὠργίσθη, ἀλλὰ καὶ δεσμωτηρίῳ τὸν Προφήτην παρέδωκε. συναπήλαυσε δὲ καὶ ὁ λαὸς τῆς τούτου πλημμελείας. ἐλυ» μήνατο γάρ φησιν Ἀσὰ ἐν τῷ λαῷ, ἐν τῷ καιρῷ ἐκείνῳ· ἐπιμέμφεται δὲ αὐτῷ, ὅτι ἀῤῥωστήσας, οὐ τὸν Κύριον ἐζήτησεν, ἀλλ' ἰατροὺς κτ. Ἐκ τούτων οὖν δῆλον, ὅτι ἀτελῆ τὸν Ἀσὰ δεῖξαι βουλόμενος, τὸ, οὐκ, προσέθηκεν· ἀλλὰ γὰρ οὐκ ἔδει αὐτὸν, εἰ μὴ πρωτοτύπῳ ἐνέτυχε τοῦτο περιέχοντι, τῷ τῆς θείας Γραφῆς ῥητῷ προ» θεῖναι, καὶ αὐτὴν φάναι ἀτελῆ αὐτὸν ὀνομάσαι. καὶ γὰρ ὧδε μὲν, πλὴν ἡ καρδία Ἀσὰ, φησὶν ἡ Γραφὴ, ἦν » τελεία μετὰ Κυρίου· ἐν δὲ τῇ β΄. τῶν παραλειπομ. (ἐν κεφ. 15. ἐδ. 17.) ἀλλ' ἡ καρδία Ἀσὰ, φησὶν, ἐγένετο » πλήρης· (κατὰ τὴν ἐν Φανεκ. ἐκδ.) ἢ, ἀλλ' ἡ καρδία Ἀσὰ τελεία ἦν πάσας τὰς ἡμέρας αὐτοῦ. (κατὰ τὴν ἐν Κομπλ. ἐκδ.) Ἀλλ' ἐρεῖ τὶς, πῶς τέλειος ἦν, τοσαῦτα ἔχων ἐλαττώματα, ὅσα ἐκ τῆς Γραφῆς ὁ Θεοδώριτος » συλλέξας παρέθηκεν; ἡ καρδία Ἀσὰ, φησὶν, ἦν τελεία. ἦν μὲν τέλειος ὁ Ἀσὰ τὴν εὐσέβειαν, ἐξ ὅλης καρδίας τῷ ἀληθινῷ πιστεύων Θεῷ· ἄλλως γὰρ οὐκ ἂν τὰς τελετὰς ἀφεῖλε, οὐδὲ τὰ ἐπιτηδεύματα ἃ ἐποίησαν οἱ πατέρες αὐτοῦ ἐξαπέστειλεν, οὐδὲ τὴν μητέρα τῆς ἀρχῆς μετέστησε, καὶ τὰς καταδύσεις αὐτῆς ἐξέκοψε, καὶ πυρὶ ἐνέπρησεν· ἀτελὴς δὲ τὸ ἦθος καὶ τὴν πρακτικὴν ἀρετὴν, οὐκ ἐκ δυσσεβείας ἀλλ' ἐξ ἀμελείας, ἢ ἀγνοίας τὰ ὑψηλὰ μὴ καθελών. ἅτε γὰρ θυσιαστήρια τοῦ ἀληθινοῦ ὄντα Θεοῦ, ἀρεστὰ αὐτῷ εἶναι ἐνόμιζεν, ἀγνοῶν τυχὸν ὅτι ἑνὶ μόνῳ τόπῳ ὁ νόμος θύειν τῷ Θεῷ διηγόρευσεν, ἢ ἐξ ἀμελείας τὴν τούτων ἀναβάλλων καθαίρεσιν.

(4) Ῥαμμά. ἐν ταῖς εἰρημ. σημειώσ.

(5) Τοῦ πατρ. ἡ αὐτ.

πέσταλκά σοι δῶρα ἀργύριον καὶ χρυσίον· δεῦρο, διασκέδασον τὴν διαθήκην σου τὴν πρὸς Βαασὰ βασιλέα Ἰσραὴλ, καὶ ἀναβήσεται ἀπ᾽ ἐμοῦ.

** ΙΩΣΗΠΟΥ. Φοβηθεὶς Ἄσανος τὴν ἐπιχείρησιν τοῦ πολεμίου, καὶ λογισάμενος ὡς πολλὰ διαθήσει κακὰ τὴν ὑπ᾽ αὐτῷ βασιλευομένην πᾶσαν ὁ καταλειφθεὶς ἐν Ῥαμαθῶνι στρατὸς, ἔπεμψε πρὸς τὸν Δαμασκηνῶν βασιλέα πρέσβεις, καὶ χρυσὸν καὶ ἄργυρον, παρακαλῶν συμμαχίαν, καὶ ὑπομιμνήσκων ὅτι καὶ πατρῴα φιλία πρὸς ἀλλήλους ἐστὶν αὐτοῖς.

κ. Καὶ ἤκουσεν υἱὸς Ἄδερ τοῦ βασιλέως Ἀσὰ, καὶ ἀπέστειλε τοὺς ἄρχοντας τῶν δυνάμεων αὐτοῦ ταῖς πόλεσι τοῦ Ἰσραὴλ, καὶ ἐπάταξε τὴν Ἀῒν, καὶ τὴν Δὰν, καὶ τὴν Ἄβελ οἴκου Μααχὰ, καὶ πᾶσαν τὴν Χεννὲθ, (1) ἕως πάσης τῆς γῆς Νεφθαλείμ. (2)

** ΙΩΣΗΠΟΥ. Ὁ δὲ τῶν χρημάτων τὸ πλῆθος ἀσμένως ἐδέξατο, καὶ συμμαχίαν ἐποιήσατο πρὸς αὐτὸν, διαλύσας τὴν πρὸς τὸν Βασάνην φιλίαν· καὶ πέμψας εἰς τὰς ὑπ᾽ αὐτοῦ βασιλευομένας τοὺς ἡγεμόνας τῆς ἰδίας δυνάμεως, ἐκέλευσε κακοῦν αὐτάς. οἱ δὲ τὰς μὲν ἐνεπίμπρασαν, τὰς δὲ διήρπασαν πορθοῦντες, τήν τε Ἀϊῶνα λεγομένην, καὶ Δάνα, καὶ Ἀβελάνην, καὶ ἄλλας πολλάς.

κα. Καὶ ἐγένετο ὡς ἤκουσε Βαασὰ, καὶ διέλειπε τοῦ οἰκοδομεῖν τὴν Ῥαμὰ, καὶ ἀνέστρεψεν εἰς Θερσά.

** ΙΩΣΗΠΟΥ. Ταῦτα ἀκούσας ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς, τοῦ μὲν οἰκοδομεῖν καὶ ὀχυροῦν τὴν Ῥαμαθῶνα ἐπαύσατο· μετὰ δὲ σπουδῆς ὡς βοηθήσων τοῖς οἰκείοις κακουμένοις ἀνέστρεψε.

κβ. Καὶ ὁ βασιλεὺς Ἀσὰ παρήγγειλε παντὶ Ἰούδα εἰς Ἐνακείμ, καὶ αἴρουσι τοὺς λίθους Ῥαμὰ, καὶ τὰ ξύλα αὐτῆς ἃ ᾠκοδόμησε Βαασά· καὶ ᾠκοδόμησεν ἐν αὐτοῖς ὁ βασιλεὺς Ἀσὰ πάντα βουνὸν Βενιαμὶν καὶ τὴν σκοπιάν.

** ΙΩΣΗΠΟΥ. Ἄσανος ἐκ τῆς παρεσκευασμένης ὑπ᾽ αὐτοῦ πρὸς τὴν οἰκοδομίαν ὕλης, πόλεις ἀνήγειρεν ἐν αὐτῷ τῷ τόπῳ δύω καρτεράς. ἡ μὲν Γαβὰ ἐκαλεῖτο, ἡ δὲ Μασφά.

κγ. Καὶ τὰ λοιπὰ τῶν λόγων Ἀσὰ, καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ καὶ πάντα ἃ ἐποίησε, καὶ τὰς πόλεις ἃς ᾠκοδόμησεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐστὶν ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; πλὴν ἐν

A τῷ καιρῷ τοῦ γήρως αὐτοῦ ἐπόνεσε τοὺς
πόδας αὐτοῦ.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, ἐν τῷ
» καιρῷ τοῦ γήρως (3) ἐποίησεν Ἀσὰ τὸ πο-
» νηρὸν, καὶ ἐπόνεσε τοὺς πόδας αὐτοῦ; Σα-
φέστερον καὶ τοῦτο τῶν Παραλειπομένων ἡ
» βίβλος ἐδίδαξεν. ἐν γὰρ τῇ ἀῤῥωστίᾳ αὐτοῦ, 2. Παραλ. ιϛ. 17.
» φησὶν, οὐκ ἐζήτησε τὸν Κύριον, ἀλλὰ τοὺς
ἰατρούς. ἐγὼ δὲ δυοῖν θάτερον ὑπολαμβά-
νω, ἢ τοὺς ἐπῳδαῖς κεχρημένους καὶ μαγγα-
B νείαις κληθῆναι ἰατροὺς, ἢ ὅτι μόνοις ἐπί-
στευσε τοῖς ἰατροῖς, τὴν εἰς τὸν Θεὸν οὐκ
ἔχων ἐλπίδα. οἱ γὰρ εὐσεβείᾳ κοσμούμενοι
κέχρηνται μὲν τοῖς ἰατροῖς, ὡς ὑπουργοῖς
τοῦ Θεοῦ, εἰδότες ὅτι καὶ τὴν ἰατρικὴν αὐ-
τὸς ἔδωκε τοῖς ἀνθρώποις, ὥσπερ δὴ καὶ
τὰς ἄλλας τέχνας, καὶ τὰς βοτάνας αὐτὸς
ἐκ τῆς γῆς βλαστῆσαι προσέταξεν. ἴσασι
δὲ ὅμως, φησὶν, (4) ὡς οὐδὲν ἰσχύει τῶν ἰα-
τρῶν ἡ τέχνη, μὴ βουλομένου Θεοῦ. ἀλλὰ
Γ τοσαῦτα δύναται, ὅσα αὐτὸς βούλεται.

κδ. Καὶ ἐκοιμήθη Ἀσὰ μετὰ τῶν
πατέρων αὐτοῦ, καὶ θάπτεται μετὰ
τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαβὶδ
πατρὸς αὐτοῦ. καὶ βασιλεύει Ἰωσα-
κε. φὰτ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ. Καὶ Να-
βὰτ υἱὸς Ἱεροβοὰμ βασιλεύει ἐπὶ Ἰσ-
ραὴλ ἐν ἔτει δευτέρῳ τοῦ Ἀσὰ βασι-
Δ λέως Ἰούδα, καὶ ἐβασίλευσεν ἐπὶ Ἰσ-
κϛ. ραὴλ ἔτη δύω. Καὶ ἐποίησε τὸ πο-
νηρὸν ἐνώπιον Κυρίου, καὶ ἐπορεύθη ἐν
ὁδῷ τοῦ πατρὸς αὐτοῦ, καὶ ἐν ταῖς ἁμαρ-
τίαις αὐτοῦ αἷς ἐξήμαρτε τὸν Ἰσραήλ.
κζ. Καὶ περιεκάθισεν αὐτὸν Βαασὰ υἱὸς
Ἀχιὰ ἐπὶ τὸν οἶκον Βεελὰν (5) υἱοῦ
Ἀχιὰ, καὶ ἐπάταξεν αὐτὸν ἐν Γαβα-
θὼν τῇ τῶν ἀλλοφύλων· καὶ Να-
E βὰτ καὶ πᾶς Ἰσραὴλ περιεκάθητο
κη. ἐπὶ Γαβαθών. Καὶ ἐθανάτωσεν αὐ-
τὸν Βαασὰ ἐν ἔτει τρίτῳ τοῦ Ἀσὰ υἱοῦ
Ἀβιὰ βασιλέως Ἰούδα, καὶ ἐβασίλευ-
σεν ἀντ᾽ αὐτοῦ.

κθ. Καὶ ἐγένετο ὡς ἐβασίλευσε,
καὶ ἐπάταξε σύμπαντα τὸν οἶκον Ἱε-
ροβοὰμ, καὶ οὐχ ὑπελείπετο πᾶσαν
Z πνοὴν τοῦ Ἱεροβοὰμ ἕως τοῦ ἐξολο-
θρεῦσαι αὐτὸν, κατὰ τὸ ῥῆμα Κυρίου
ὃ ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ Ἀχιὰ
λ. τοῦ Σηλωνίτου. Περὶ τῶν ἁμαρτιῶν
Ἱεροβοὰμ, ὃς ἐξήμαρτε τὸν Ἰσραὴλ,
καὶ ἐν τῷ παροργισμῷ αὐτοῦ ᾧ παρώρ-
γισε τὸν Κύριον Θεὸν τοῦ Ἰσραήλ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τοῦ δὲ Ἱεροβοὰμ ὁ
οἶκος τὴν πανωλεθρίαν ὑπέμεινε, κατὰ τὴν
H » πρόῤῥησιν Ἀχιὰ τοῦ Σιλωνίτου. ἐπάταξε

(1) Χαννερέθ. αἱ αὐτ. (2) Νεφθαλί. αἱ αὐτ.
(3) Τὸ, ἐποίησεν Ἀσὰ τὸ πονηρὸν, ἐν οὐδεμιᾷ ἐκδόσει κεῖται, ἀλλ᾽ οὐδὲ ἐν τῇ Ἑβραϊκῇ.
(4) Τὸ, φησὶν, ἀργὸν, οὐ κεῖται δὲ ἐν τῇ κατὰ τὴν Χάλ. ἐκδόσ. (5) Βελαάν. αἱ εἰρημ. ἐκδόσ.

» γάρ φησι Βαασὰ βασιλεὺς Ἰσραὴλ ὅλον
» τὸν οἶκον Ἱεροβοὰμ, καὶ οὐχ ὑπελείπετο
» πᾶσα πνοὴ ἐν τῷ Ἱεροβοὰμ, ἕως τοῦ ἐξο-
» λοθρεῦσαι αὐτὸν πάντας, κατὰ τὸ ῥῆμα
» Κυρίου ὃ ἐλάλησεν ἐν χειρὶ τοῦ δούλου αὐτοῦ
» Ἀχιὰ τοῦ Σιλωνίτου.

λα. Καὶ τὰ λοιπὰ τῶν λόγων
Ναβὰτ καὶ πάντα ὅσα ἐποίησεν, οὐκ
ἰδοὺ ταῦτα γεγραμμένα ἐν βίβλῳ B

A λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν
λγ. Ἰσραήλ; (1) Καὶ ἐν τῷ ἔτει τῷ τρίτῳ
τοῦ Ἀσὰ βασιλέως Ἰούδα βασιλεύει
Βαασὰ (2) ὁ υἱὸς Ἀχιὰ ἐπὶ πάντα
Ἰσραὴλ ἐν Θερσὰ εἴκοσι καὶ τέσσαρα
λδ. ἔτη. Καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον
Κυρίου, καὶ ἐπορεύθη ἐν ὁδῷ Ἱεροβοὰμ
υἱοῦ Ναβὰτ, καὶ ἐν ταῖς ἁμαρτίαις
αὐτοῦ ὡς ἐξήμαρτε τὸν Ἰσραήλ.

ΚΕΦ. ΙϚ.

α. Καὶ ἐγένετο λόγος Κυρίου ἐν
χειρὶ Ἰηοῦ (3) υἱοῦ Ἀνανὶ πρὸς
β. Βαασὰ, λέγων, Ἀνθ' ὧν
ὕψωσά σε ἀπὸ τῆς γῆς, καὶ ἔδωκά σε
ἡγούμενον ἐπὶ τὸν λαόν μου Ἰσραὴλ,
καὶ ἐπορεύθης ἐν τῇ ὁδῷ Ἱεροβοὰμ,
καὶ ἐξήμαρτες τὸν λαόν μου τὸν Ἰσ-
ραὴλ, τοῦ παροργίσαι με ἐν τοῖς μα-
γ. ταίοις αὐτῶν, Ἰδοὺ ἐγὼ ἐξεγερῶ (4)
ὀπίσω Βαασὰ καὶ ὄπισθεν τοῦ οἴκου αὐ-
τοῦ, καὶ δώσω τὸν οἶκόν σου ὡς τὸν οἶκον
δ. Ἱεροβοὰμ υἱοῦ Ναβάτ. Τὸν τεθνη-
κότα τοῦ Βαασὰ ἐν τῇ πόλει κατα-
φάγονται αὐτὸν οἱ κύνες, καὶ τὸν τεθ-
νηκότα αὐτοῦ ἐν τῷ πεδίῳ καταφά-
γονται αὐτὸν τὰ πετεινὰ τοῦ οὐρανοῦ.
ε. Καὶ τὰ λοιπὰ τῶν λόγων Βαασὰ καὶ
πάντα ἃ ἐποίησε, καὶ αἱ δυναστεῖαι
αὐτοῦ, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν
βιβλίῳ λόγων τῶν ἡμερῶν (5) τῶν βα-
ϛ. σιλέων Ἰσραήλ; Καὶ ἐκοιμήθη Βαα-
σὰ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θά-
πτεται ἐν Θερσὰ, καὶ βασιλεύει Ἠλὰ
υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ, ἐν ἔτει εἰκοστῷ
ζ. ὀγδόῳ τοῦ Ἀσὰ βασιλέως Ἰούδα. Καὶ
ἐν χειρὶ Ἰηοῦ Ἀνανὶ τοῦ προφήτου ἐλά-
λησε Κύριος ἐπὶ Βαασὰ καὶ ἐπὶ τὸν
οἶκον αὐτοῦ, πᾶσαν τὴν κακίαν ἣν
ἐποίησεν ἐνώπιον Κυρίου τοῦ παροργί-
σαι αὐτὸν ἐν τοῖς ἔργοις τῶν χειρῶν
αὐτοῦ, τοῦ εἶναι αὐτὸν καθὼς ὁ οἶκος Ἱε-
ροβοὰμ, καὶ ὑπὲρ τοῦ πατάξαι αὐτόν.

η. Καὶ Ἠλὰ υἱὸς Βαασὰ ἐβασί-
λευσεν ἐπὶ Ἰσραὴλ ἐν Θερσὰ δύω ἔτη.
θ. Καὶ συνέστρεψεν ἐφ' ἑαυτὸν τοὺς παῖ-
δας αὐτοῦ, καὶ Ζαμβρὶ ὁ ἄρχων τῆς
ἡμίσους τῆς ἵππου, καὶ αὐτὸς ἦν ἐν Θερ-
σὰ πίνων μεθύων ἐν τῷ οἴκῳ Ὡσὰ
ι. τοῦ οἰκονόμου ἐν Θερσά. Καὶ εἰσῆλ-
θε Ζαμβρὶ καὶ ἐπάταξεν αὐτὸν καὶ
ἐθανάτωσεν αὐτὸν, καὶ ἐβασίλευσεν
ια. ἀντ' αὐτοῦ. Καὶ ἐγενήθη ἐν τῷ βα-
Γ σιλεῦσαι αὐτὸν ἐν τῷ καθίσαι αὐτὸν
ιβ. ἐπὶ τοῦ θρόνου αὐτοῦ, Καὶ ἐπάταξεν
ὅλον τὸν οἶκον Βαασὰ, κατὰ τὸ ῥῆμα
ὃ ἐλάλησε Κύριος ἐπὶ τὸν οἶκον Βαα-
ιγ. σὰ, καὶ πρὸς Ἰηοῦ τὸν προφήτην Περὶ
πασῶν τῶν ἁμαρτιῶν Βαασὰ καὶ Ἠλὰ
τοῦ υἱοῦ αὐτοῦ, ὡς ἐξήμαρτε τὸν Ἰσ-
ραὴλ, τοῦ παροργίσαι τὸν Κύριον (6)
Θεὸν Ἰσραὴλ ἐν τοῖς ματαίοις αὐτῶν.

Δ ** ΙΩΣΗΠΟΥ. Παραλαμβάνει τὴν ἀρχὴν Ἤλανος. οὗτος ἄρξας ἐπ' ἔτη δύω, τελευτᾷ· φονεύσαντος αὐτὸν ἐξ ἐπιβουλῆς Ζαμάρου τοῦ ἱππάρχου τῆς ἡμισείας τάξεως. κατευωχηθέντα γὰρ αὐτὸν παρὰ τῷ οἰκονόμῳ αὐτοῦ Ὀρσᾷ τοὔνομα, πείσας ἐπιδραμεῖν τῶν ὑφ' αὐτὸν ἱππέων τινὰς, ἀπέκτεινε δι' αὐτῶν μεμονωμένον τῶν περὶ αὐτὸν ὁπλιτῶν καὶ ἡγεμόνων. οὗτοι γὰρ ἅπαντες περὶ τὴν πολιορκίαν τῆς Γαβαθώνης ἐγένοντο τῆς Παλαιστίνων. E φονεύσας δὲ τὸν Ἤλανον ὁ ἵππαρχος Ζαμάρης, αὐτὸς βασιλεύει, καὶ πᾶσαν τὴν Βασάνου γενεὰν, κατὰ τὴν Ἰηοῦ προφητείαν διαφθείρει. τῷ γὰρ αὐτῷ τρόπῳ συνέβη τὸν οἶκον αὐτοῦ πρόῤῥιζον ἀπολέσθαι διὰ τὴν ἀσέβειαν, ὡς καὶ τὸν Ἱεροβοάμου διαφθαρέντα γεγράφαμεν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὰ αὐτὰ δὲ καὶ Βαασὰ πέπονθε. τὴν αὐτὴν γὰρ καὶ αὐτὸς δυσσέβειαν καὶ παρανομίαν ἠσπάσατο. Z Κεϊλὰ (7) δὲ ὁ τούτου παῖς παρὰ Ζαμβρῆ ἐδέξατο τὴν σφαγήν. (8) οὗτος δὲ πάλιν κατὰ τὴν γεγενημένην πρόῤῥησιν, πάντα τὸν τοῦ Βαασὰ κατέλυσεν οἶκον.

ιδ. Καὶ τὰ λοιπὰ τῶν λόγων Ἠλὰ
καὶ πάντα ἃ ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα
γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν
ἡμερῶν τῶν βασιλέων Ἰσραήλ;

ιε. Καὶ

(1) Ἰσραήλ; Καὶ πόλεμος ἦν μεταξὺ Ἀσὰ καὶ μεταξὺ Βαασὰ βασιλέως Ἰσραὴλ πάσας τὰς ἡμέρας αὐτῶν. ταῦτα ἀντὶ τοῦ λβ' ἐδ. κεῖται ἐν ταῖς εἰρημ. σημ. ὡσαύτως καὶ ἐν τῇ Ἑβραϊκ. ἐκδόσ. ἔστι δὲ τὰ αὐτὰ τῷ ιϛ. τοῦ παρόντος κεφ. (2) Βαασὰ υἱός. αἱ αὐτ. (3) Ἰοῦ. αἱ αὐτ. (4) Ἐξεγείρω. αἱ αὐτ. (5) Ἡμερῶν βασιλ. αἱ αὐτ. (6) Κύριον τὸν Θεόν. αἱ αὐτ. (7) Ἴσ. καὶ Ἠλά. (8) Πληγήν. ἡ ἐν Χάλ. ἐκδ.

ιε. Καὶ Ζαμβρὶ ἐβασίλευσεν ἐν
Θερσὰ ἡμέρας ἑπτά. καὶ ἡ παρεμ-
βολὴ Ἰσραὴλ ἐπὶ Γαβαθὼν τὴν τῶν
ιϛ. ἀλλοφύλων. Καὶ ἤκουσεν ὁ λαὸς ἐν
τῇ παρεμβολῇ, λεγόντων, συνεστρά-
φη Ζαμβρὶ καὶ ἔπαισε τὸν βασιλέα.
καὶ ἐβασίλευσαν ἐν Ἱερουσαλὴμ τὸν
Ζαμβρὶ (1) τὸν ἡγούμενον τῆς στρατιᾶς
ἐπὶ Ἰσραὴλ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐν τῇ
ιζ. παρεμβολῇ. Καὶ ἀνέβη Ζαμβρὶ καὶ
πᾶς Ἰσραὴλ μετ' αὐτοῦ ἐκ Γαβαθὼν,
ιη. καὶ περιεκάθισεν ἐπὶ Θερσά. Καὶ
ἐγενήθη ὡς εἶδε Ζαμβρὶ ὅτι προκα-
τείληπται αὐτοῦ ἡ πόλις, καὶ εἰσπορεύε-
ται εἰς ἄντρον τοῦ οἴκου τοῦ βασιλέως
ιθ. ἐν πυρὶ, καὶ ἀπέθανεν Ὑπὲρ τῶν
ἁμαρτιῶν αὐτοῦ ὧν ἐποίησε, τοῦ ποιῆ-
σαι τὸ πονηρὸν ἐνώπιον Κυρίου πορευ-
θῆναι ἐν ὁδῷ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ,
καὶ ἐν (2) πάσαις ἁμαρτίαις αὐτοῦ ὡς
ἐξήμαρτε τὸν Ἰσραήλ.

✻✻ ΙΩΣΗΠΟΥ. Ἡ πολιορκοῦσα τὴν
Γαβαθώνην στρατιὰ, πυθομένη τὰ περὶ τὸν
βασιλέα, καὶ ὅτι Ζαμάρης ἀποκτείνας αὐ-
τὸν ἔχει τὴν βασιλείαν, καὶ αὐτὴ τὸν ἡγού-
μενον αὐτῆς Ἀμαρῖνον ἀπέδειξε βασιλέα·
ὃς ἀπὸ τῆς Γαβαθώνης ἀναστήσας τὸν στρα-
τὸν, εἰς Θαρσὴν παραγίνεται τὸ βασίλειον,
καὶ προσβαλὼν τῇ πόλει κατὰ κράτος αἱρεῖ.
Ζαμάρης δὲ τὴν πόλιν ἰδὼν ἠρημωμένην,
συνέφυγεν εἰς τὸ μυχαίτατον τῶν βασι-
λείων, καὶ ὑποπρήσας αὐτὸ συγκατέκαυ-
σεν αὐτὸν, βασιλεύσας ἡμέρας ἑπτά.

✻ ΘΕΟΔΩΡΙΤΟΥ. Τοῦ δὲ λαοῦ τὸν Ζαμ-
βρῆ χειροτονήσαντος βασιλέα, πολιορκού-
μενος ὁ Ζαμβρὶ τὸν οἶκον ἐν ᾧ διῆγεν ἐνέ-
πρησε, καὶ σὺν ἐκείνῳ καυθεὶς τετελεύ-
τηκε. διδασκόμεθα δὲ διὰ τούτων ἡμεῖς, ὡς
τοὺς πονηρίᾳ συζῶντας δι' ἀλλήλων ὁ δεσπό-
της κολάζει Θεὸς, καὶ τῷ πονηροτέρῳ τὸν
πονηρὸν παραδίδωσιν, οἷόν τισι δημίοις κε-
χρημένος αὐτοῖς.

κ. Καὶ τὰ λοιπὰ τῶν λόγων Ζαμ-
βρὶ καὶ τὰς συνάψεις αὐτοῦ ἃς συνῆ-
ψεν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν
βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βα-
σιλέων Ἰσραήλ;

κα. Τότε μερίζεται ὁ λαὸς Ἰσ-
ραήλ· καὶ τὸ ἥμισυ τοῦ λαοῦ γίνεται
ὀπίσω Θαμνὶ υἱοῦ Γωνὰθ τοῦ βασι-
λεῦσαι αὐτὸν, καὶ τὸ ἥμισυ τοῦ λαοῦ
κβ. γίνεται ὀπίσω Ζαμβρί. (3) Καὶ ὑπε-
ρίσχυσεν ὁ λαὸς ὁ ὢν ὀπίσω Θαμνὶ υἱοῦ
Γωνάθ. καὶ ἀπέθανε Θαμνὶ καὶ Ἰω-
ρὰμ ὁ ἀδελφὸς αὐτοῦ ἐν τῷ καιρῷ
ἐκείνῳ, καὶ ἐβασίλευσε Ζαμβρὶ μετὰ
κγ. Θαμνί. Ἐν τῷ ἔτει τῷ τριακοστῷ καὶ
πρώτῳ τοῦ βασιλέως Ἀσὰ βασιλεύει
Ζαμβρὶ ἐπὶ Ἰσραὴλ δώδεκα ἔτη· ἐν
Θερσὰ βασιλεύει ἓξ ἔτη.

✻✻ ΙΩΣΗΠΟΥ. Διέστη εὐθὺς ὁ τῶν Ἰσ-
ραηλιτῶν λαός· καὶ οἱ μὲν αὐτῶν Θαβναῖον
βασιλεύειν ἤθελον, οἱ δὲ τὸν Ἀμαρῖνον.
νικήσαντες δὲ οἱ τοῦτον ἄρχειν ἀξιοῦντες,
ἀποκτείνουσι τὸν Θαβναῖον, καὶ παντὸς βα-
σιλεύει ὁ Ἀμαρῖνος τοῦ ὄχλου· τριακοστῷ δὲ
ἔτει τῆς Ἀσάνου βασιλείας ἦρξεν ὁ Ἀμαρῖ-
νος ἔτη δώδεκα· τούτων τὰ μὲν ἓξ ἐν Θαρ-
σῇ πόλει, τὰ δὲ λοιπὰ ἐν Σεμαρεῶνι λεγο-
μένῃ πόλει, ὑπὸ δὲ Ἑλλήνων Σαμαρείᾳ κα-
λουμένῃ. προσηγόρευσε δ' αὐτὴν αὐτὸς Σε-
μαρεῶνα ἀπὸ τοῦ τὸ ὄρος ἀποδομένου αὐτῷ,
ἐφ' ᾧ κατεσκεύασε τὴν πόλιν Σεμάρου.

κδ. Καὶ ἐκτήσατο Ζαμβρὶ τὸ ὄρος
τὸ Σεμερὼν παρὰ Σεμὴρ τοῦ κυρίου τοῦ
ὄρους ἐν δύω ταλάντων ἀργυρίου. καὶ
ᾠκοδόμησε τὸ ὄρος, καὶ ἐπεκάλεσε
τὸ ὄνομα τοῦ ὄρους οὗ ᾠκοδόμησεν ἐπὶ
τῷ ὀνόματι Σεμὴρ τοῦ κυρίου τοῦ ὄρους
Σεμηρών.

✻ ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ δέ τινες ζη-
τοῦσι, πόθεν οἱ Σαμαρεῖται τὴν δε τὴν προ-
σηγορίαν ἐσχήκασιν, ἐκ τῆς προκειμένης
ἱστορίας τοῦτο καταμαθεῖν εὐπετές. ἐκτή-
» σατο γάρ φησι Ζαμβρὶ τὸ ὄρος τὸ Σομο-
» ρῶν (4) παρὰ Σεμμὴρ τοῦ κυρίου αὐτοῦ δύω
» ταλάντων ἀργυρίου, καὶ ᾠκοδόμησε τὸ ὄρος,
» καὶ ἐπεκάλεσε τὸ ὄνομα τοῦ ὄρους οὗ ᾠκοδό-
» μησεν, ἐπὶ τῷ ὀνόματι Σεμμὴρ τοῦ κυρίου
» τοῦ ὄρους Σομόρων. τοιγαροῦν ἀπὸ τοῦ Σεμ-
μὴρ τὸ ὄρος ὠνομάσθη Σομόρων, ἀπὸ δὲ τοῦ
ὄρους ἡ πόλις Σαμάρεια. Σαμάρεια δέ ἐστιν
ἡ νῦν Σεβαστὴ προσαγορευομένη. ἐν ταύτῃ
δὲ ἦν τῶν δέκα φυλῶν τὰ βασίλεια. ἐξαν-
δραποδισθεισῶν δὲ τῶν δέκα φυλῶν, καὶ τῆς
γῆς ἐκείνης ἐρήμου γεγενημένης, μετέστη-
σάν τινας ἐκ τῶν ἑῴων μερῶν εἰς ἐκείνας
τὰς πόλεις τῶν Ἀσσυρίων οἱ βασιλεῖς. οὗτοι
δὲ ἐκ τῆς Σαμαρείας ὠνομάσθησαν Σα-
μαρεῖται.

κε. Καὶ ἐποίησε Ζαμβρὶ τὸ πο-
νηρὸν ἐνώπιον Κυρίου, καὶ ἐπονηρεύσατο
ὑπὲρ πάντας τοὺς γενομένους ἔμπρο-
κϛ. σθεν αὐτοῦ. Καὶ ἐπορεύθη ἐν πάσῃ
ὁδῷ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ, καὶ ἐν ταῖς
ἁμαρτίαις αὐτοῦ αἷς ἐξήμαρτε τὸν Ἰσ-
ραὴλ, τοῦ παροργίσαι τὸν Κύριον Θεὸν
κζ. Ἰσραὴλ ἐν τοῖς ματαίοις αὐτῶν. Καὶ
τὰ λοιπὰ τῶν λόγων Ζαμβρὶ καὶ πάν-
τα ἃ ἐποίησε, καὶ πᾶσα ἡ δυναστεία
αὐτοῦ, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν
βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασι-
λέων

(1) Ἀμβρί. αἱ αὐτ.

(2) Ἐν ταῖς ἁμαρτ. αἱ αὐτ.

(3) Ὁ λαὸς ὁ ὢν ὀπίσω Ἀμβρὶ ὑπερεκράτησε τὸν λαὸν τὸν ὀπίσω Θαμνὶ υἱοῦ Γωνάθ. καὶ ἀπέθανε Θαμνὶ, κτ. αἱ εἰρημ. ἐκδόσ.

(4) Τῶν Σεμερῶν. ἡ ἐν Χάλ. ἐκδ.

κη. λέων Ἰσραήλ; Καὶ ἐκοιμήθη Ζαμβρὶ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται ἐν Σαμαρείᾳ, καὶ βασιλεύει Ἀχαὰβ ὁ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

✱✱ ΙΩΣΗΠΟΥ. Διέφερε οὐδὲν τῶν πρὸ αὐτοῦ βασιλευσάντων, ἢ τῷ χείρων αὐτῶν εἶναι. ἅπαντες γὰρ ἐζήτουν πῶς ἀποστήσωσιν ἀπὸ τοῦ Θεοῦ τὸν λαὸν τοῖς καθ᾽ ἡμέραν ἀσεβήμασι· καὶ διὰ τοῦτο δι᾽ ἀλλήλων αὐτοὺς ὁ Θεὸς ἐποίησεν ἑλεῖν, (1) καὶ μηδένα
B
τοῦ γένους ὑπολιπεῖν. ἐτελεύτησε δὲ καὶ οὗτος ἐν Σαμαρείᾳ· διαδέχεται δ᾽ αὐτὸν ὁ παῖς Ἄχαβος. μαθεῖν δ᾽ ἐστὶν ἐκ τούτων, ὅσην τὸ θεῖον ἐπιστροφὴν ἔχει τῶν ἀνθρωπίνων πραγμάτων· καὶ πῶς μὲν ἀγαπᾷ τοὺς ἀγαθοὺς, μισεῖ δὲ τοὺς μοχθηροὺς, καὶ προρρίζους ἀπόλλυσιν. οἱ μὲν γὰρ τῶν Ἰσραηλιτῶν βασιλεῖς, ἄλλος ἐπ᾽ ἄλλῳ διὰ τὴν παρανομίαν καὶ τὰς ἀδικίας ἐν ὀλίγῳ χρόνῳ πολλοὶ κακῶς διαφθαρέντες ἠρέθησαν, καὶ τὸ
Γ
γένος αὐτῶν. ὁ δὲ τῶν Ἱεροσολύμων καὶ τῶν δύω φυλῶν βασιλεὺς Ἄσανος δι᾽ εὐσέβειαν καὶ δικαιοσύνην εἰς μακρὸν καὶ εὔδαιμον ὑπὸ τοῦ Θεοῦ προήχθη γῆρας, καὶ τεσσαράκοντα καὶ ἓν ἄρξας ἔτος, εὐμοίρως ἀπέθανε. τελευτήσαντος δ᾽ αὐτοῦ, διεδέξατο τὴν ἡγεμονίαν ὁ υἱὸς Ἰωσαφάτης, ἐκ γυναικὸς Ἀβίδας τοὔνομα γεγεννημένος. τοῦτον μιμητὴν Δαβίδου τοῦ προπάππου κατά τε ἀνδρείαν καὶ εὐσέβειαν ἅπαντες ἐν τοῖς ἔργοις ὑπέλαβον.
Δ

(2) Καὶ ἐν τῷ ἐνιαυτῷ τῷ ἑνδεκάτῳ τοῦ Ζαμβρὶ βασιλεύει Ἰωσαφὰτ υἱὸς Ἀσὰ ἐτῶν τριάκοντα καὶ πέντε ἐν τῇ βασιλείᾳ αὐτοῦ, καὶ εἴκοσι καὶ πέντε ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ· καὶ ὄνομα τῆς μητρὸς αὐτοῦ Γαζουβὰ, θυγάτηρ Σελί. καὶ ἐπορεύθη ἐν τῇ ὁδῷ (3) τοῦ πατρὸς αὐτοῦ, καὶ οὐκ ἐξέκλινεν ἀπ᾽ αὐτῆς τοῦ ποιεῖν τὸ εὐθὲς ἐνώπιον Κυρίου, πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῆρεν· ἔθυον ἐν τοῖς ὑψηλοῖς, καὶ ἐθυμίων.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ταῦτα περὶ τοῦ Ζαμβρὶ εἰρηκὼς, ἐπὶ τὸν Ἰούδαν μετέβη. καὶ τεθαύμακε μὲν τὸν Ἰωσαφὰτ ἐν τοῖς ἄλλοις, καὶ ἔφη αὐτὸν τὸ εὐθὲς ἐνώπιον Κυρίου πεποιηκέναι. ἐπεμέμψατο δὲ, ὡς
Z
τὴν ἐν τοῖς ὑψηλοῖς λατρείαν μὴ παύσαντα· ἀλλὰ καὶ τοῦ Ἀχαὰβ τὴν συγγένειαν ἀσπασάμενον. ταῦτα δὲ σαφέστερον ἡ τῶν Παραλειπομένων βίβλος ἐδίδαξεν. οὗ δὴ χάριν καὶ ὁ τὴν ἱστορίαν συγγεγραφὼς, εἰς ἐκείνην ἡμᾶς παρέπεμψε.

Καὶ ἃ συνέθετο Ἰωσαφὰτ μετὰ βασιλέως Ἰσραὴλ, καὶ πᾶσα ἡ δυνα-

A
στεία αὐτοῦ ἣν καὶ (4) ἐποίησε, καὶ ὡς ἐπολέμησεν οὐκ ἰδοὺ ταῦτα γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν ἡμερῶν τῶν βασιλέων Ἰούδα;

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, οὐκ
„ ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων
„ τῶν ἡμερῶν τῶν βασιλέων Ἰούδα; Καὶ ἐντεῦθεν δῆλον, ὡς ἅπαντα συνεγράφη τὰ τηνικαῦτα γενόμενα, καὶ ἐξ ἐκείνων τῶν
B
βιβλίων, τὰς μὲν οὗτος ὁ συγγραφεὺς, τὰς δὲ οἱ τὰς Παραλειπομένας συγγεγραφότες, ἔλαβον τῆς ἱστορίας τὰς ἀφορμάς.

Καὶ τὰ λοιπὰ τῶν συμπλοκῶν ἃ ἦν ἐν ταῖς ἡμέραις Ἀσὰ τοῦ πατρὸς αὐτοῦ ἐξῆρεν ἀπὸ τῆς γῆς. καὶ βασιλεὺς οὐκ ἦν ἐν Συρίᾳ Νασίβ. καὶ ὁ βασιλεὺς Ἰωσαφὰτ ἐποίησε ναῦν εἰς Θαρσεῖς πορεύεσθαι εἰς Σωφηρὰ (5)
Γ
ἐπὶ τὸ χρυσίον· καὶ οὐκ ἐπορεύθη, ὅτι συνετρίβη ἡ ναῦς ἐν Γασιὼν Γαβέρ. τότε εἶπεν ὁ βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφὰτ, ἐξαποστελῶ τοὺς παῖδάς μου μετὰ τῶν παίδων σου ἐν τῇ νηΐ. καὶ οὐκ ἠβουλήθη Ἰωσαφάτ. καὶ ἐκοιμήθη Ἰωσαφὰτ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ θάπτεται μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαβίδ. καὶ ἐβασίλευσεν Ἰωρὰμ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.
Δ

κθ. Ἐν ἔτει δευτέρῳ τοῦ Ἰωσαφὰτ βασιλέως Ἰούδα, Ἀχαὰβ υἱὸς Ἀβ (6) υἱὸς Ζαμβρὶ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ
λ. ἐν Σαμαρείᾳ εἴκοσι καὶ δύω ἔτη. Καὶ ἐποίησεν Ἀχαὰβ τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ ἐπονηρεύσατο ὑπὲρ πάντας τοὺς ἔμπροσθεν αὐτοῦ.
E

✱✱ ΙΩΣΗΠΟΥ. Ὁ Ἄχαβος ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς κατῴκει μὲν ἐν Σαμαρείᾳ, τὴν δ᾽ ἀρχὴν κατέσχεν ἕως ἐτῶν εἴκοσι καὶ δύω· μηδὲν κινήσας τῶν πρὸ αὐτοῦ βασιλέων, εἰ μὴ ὅσα γε πρὸς τὸ χεῖρον καθ᾽ ὑπερβολὴν πονηρίας ἐπενόησεν· ἅπαντα δ᾽ αὐτῶν τὰ κακουργήματα καὶ τὴν πρὸς τὸ θεῖον ὕβριν ἐκμιμησάμενος, καὶ μάλιστα τὴν Ἱεροβοάμου ζηλώσας παρανομίαν. καὶ
Z
γὰρ οὗτος τὰς δαμάλεις τὰς ὑπ᾽ ἐκείνου κατασκευασθείσας προσεκύνησε. καὶ τούτοις ἄλλα παράδοξα προσεμηχανήσατο.

λα. Καὶ οὐκ ἦν αὐτῷ ἱκανὸν τοῦ πορεύεσθαι ἐν ταῖς ἁμαρτίαις Ἱεροβοὰμ υἱοῦ Ναβὰτ, καὶ ἔλαβε γυναῖκα τὴν Ἰεζάβελ θυγατέρα Ἰεθεβαὰλ βασιλέως Σιδωνίων· καὶ ἐπορεύθη καὶ ἐδούλευσε τῷ Βάαλ, καὶ προσεκύνησεν αὐτῷ.

(1) Ἀνελεῖν. καταλληλότερ.
(2) Σχόλιον. ἀπὸ τῶν κατὰ τὸν Ἀμβρὶ, τὰ περὶ Ἰωσαφὰτ οὐ κεῖται ἐν τῷ ἑξαπλῷ, ἀλλ᾽ εὐθὺς τὰ περὶ Ἀχαάβ. ἐν ταῖς σημ. τῆς ἐν Φραν. ἐκδόσ. ἰστέον δὲ, ὅτι οὐδὲ ἐν τῇ ἑβραϊκ. τὰ ἑξῆς τὰ ἄχρι τοῦ κθ΄. ἐδ. κεῖται.
(3) Ἀσὰ τοῦ πατρ. αἱ εἰρημ. ἐκδόσ.
(4) Τὸ, καὶ, οὐ κεῖται. αὐτ.
(5) Σωφίρ. αἱ αὐτ.
(6) Τὸ, υἱὸς Ἀβ, οὐ κεῖται. αὐτ.

λβ. αὐτῷ. Καὶ ἔστησε θυσιαστήριον τῷ
Βάαλ ἐν οἴκῳ τῶν προσοχθισμάτων
αὐτοῦ, ὃν ᾠκοδόμησεν ἐν Σαμαρείᾳ.
λγ. Καὶ ἐποίησεν Ἀχαὰβ ἄλσος, καὶ προσέθηκεν Ἀχαὰβ τοῦ ποιῆσαι παροργίσματα, τοῦ παροργίσαι τὸν Κύριον Θεὸν Ἰσραὴλ, ὑπὲρ πάντας τοὺς βασιλεῖς Ἰσραὴλ τοὺς γενομένους ἔμπροσθεν αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ἔγημε καὶ γυναῖκα θυγατέρα Ἰθοβάλου τοῦ Τυρίων καὶ Σιδωνίων βασιλέως, ᾗ Ἰεζαβέλη ἦν ὄνομα. ἀφ᾽ ἧς τοὺς ἰδίους αὐτῆς Θεοὺς προσκυνεῖν ἔμαθεν. ἦν δὲ τὸ γύναιον δραστήριόν τε καὶ τολμηρόν· εἰς τοσαύτην δ᾽ ἀσέλγειαν καὶ μανίαν προὔπεσεν, ὥστε καὶ ναὸν τῷ Τυρίων Θεῷ, ὃν Βῆλον προσαγορεύουσιν, ᾠκοδόμησε, καὶ ἄλσος παντοίων δένδρων κατεφύτευσε· κατέστησε δὲ καὶ ἱερεῖς καὶ ψευδοπροφήτας τούτῳ τῷ Θεῷ. καὶ αὐτὸς δ᾽ ὁ βασιλεὺς πολλοὺς τοιούτους περὶ αὐτὸν εἶχεν, ἀνοίᾳ καὶ πονηρίᾳ πάντας ὑπερβεβηκὼς τοὺς πρὸ αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνα δὲ λέγει τὸν Βαάλ; Ὡς Ἰώσηπος λέγει, Τυρίων ἦν οὗτος ὁ Θεός. ἡ δὲ Ἀστάρτη Σιδωνίων. τοῦτο δὲ (1) καὶ ἐν τοῖς ἔμπροσθεν ἐδίδαξε, τὰ περὶ τοῦ Σολομῶντος συγγράφων, ὅτι τέμενος ᾠκο- 3. Βασ. ιι. 7.
δόμησε τῇ Ἀστάρτῃ βδελύγματι Σιδωνίων. ταύτῃ καὶ τὰ ἄλση φυτεύοντες ἀνετίθεσαν. Ἀστάρτη δέ ἐστιν ἡ παρ᾽ Ἕλλησι προσαγορευομένη Ἀφροδίτη.

λδ. Ἐν ταῖς ἡμέραις αὐτοῦ ᾠκοδόμησεν Ἀχιὴλ ὁ Βαιθηλίτης τὴν Ἱεριχώ· ἐν τῷ Ἀβηρὼν τῷ πρωτοτόκῳ αὐτοῦ ἐθεμελίωσεν αὐτὴν, καὶ τῷ Γεσοὺβ (2) τῷ νεωτέρῳ αὐτοῦ ἐπέστησε θύρας αὐτῆς, κατὰ τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλησεν ἐν χειρὶ Ἰησοῦ υἱοῦ Ναυῆ.

ΚΕΦ. ΙΖ.

α. Καὶ εἶπεν Ἠλιοὺ ὁ Θεσβίτης ὁ προφήτης ὁ ἐκ Θεσβὰν τῆς Γαλαὰδ πρὸς Ἀχαὰβ, ζῇ Κύριος ὁ Θεὸς τῶν δυνάμεων ὁ Θεὸς Ἰσραὴλ, ᾧ παρέστην ἐνώπιον αὐτοῦ, εἰ ἔσται τὰ ἔτη ταῦτα δρόσος καὶ ὑετὸς, ὅτι εἰ μὴ διὰ στόματος λόγου μου.

** ΠΡΟΚΟΠΙΟΥ. Ὧ παρέστηκα ἐνώπιον αὐτοῦ σήμερον. Οὐ μετρεῖ τὸν παρόντα χρόνον, ἀλλ᾽ ὡς ἀεὶ καταβαλλόμενος ἀρχὴν, καθ᾽ ἡμέραν ἐσπούδαζεν εὐαρεστεῖν τῷ Θεῷ, καὶ παριστᾶν ἑαυτὸν καθαρὸν τὴν καρδίαν, ἕτοιμον ὑπακούειν τῷ βουλήματι τοῦ Θεοῦ.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ὁρῶν τὸν τῶν Ἰουδαίων λαὸν ὁ Προφήτης, τοῖς μὲν ἐξ οὐρανοῦ καὶ γῆς ἀγαθοῖς ὑπερτρυφῶντα, τὸν δὲ τῆς τροφῆς ἀγνοοῦντα παραίτιον, καὶ τὴν θείαν φιλανθρωπίαν ἀσεβείας ποιουμένους ὑπόθεσιν, καὶ τοῦ κτίστου τὸ σέβας μεταθέντας ἐπὶ τοὺς Δαίμονας· σύμμαχον εὐσεβείας τὸν θυμὸν προστησάμενος, ἀφῆκε φωνὴν, νόμον ἀβροχίας τιθεὶς οὐρανῷ, καὶ τὴν ἀπόφασιν ὅρκῳ σφίγξας, κλείθροις τὰς νεφέλας ὑπέβαλε· ζῇ Κύριος, οὐκ ἔσται εἰς τὰ ἔτη ταῦτα δρόσος, ἢ ὑετὸς ἐπὶ τῆς γῆς. ὢ θυμὸς εὐσεβείας· ὢ γλῶσσα χαλινὸς οὐρανοῦ· ὢ φιλανθρωπία Δεσπότου. ἐνδίδωσι τῷ οἰκέτῃ διοικῆσαι τὴν κτίσιν. ᾐδέσθη γὰρ τῆς εὐσεβείας τὸν ζῆλον, καὶ τὰς ἡνίας τῆς κτίσεως παρεχώρησε. ζῇ Κύριος. ὀμνύει κατὰ τοῦ κτίσαντος, ἵν᾽ αἰδουμένη τὸν ὅρκον ἡ κτίσις ἐπίσχῃ τὴν ἐνέργειαν. ζῇ Κύριος. ἐπειδὴ, φησὶν, Ἰουδαῖοι πρὸς τὴν τῶν εἰδώλων θρησκείαν νενεύκασιν, ἐπειδὴ τὸν ζωοποιὸν καταλείψαντες, τοῖς νεκροποιοῖς ἑαυτοὺς παραδεδώκασι Δαίμοσι· πάθεσιν οἰκείοις τὸν ζῶντα διδασκέσθωσαν· καὶ δι᾽ ὧν ἀποθνήσκουσι, τὸν θάνατον παιδευέσθωσαν· δεχέσθωσαν τὸν λιμὸν παιδαγωγὸν εὐσεβείας, μανθανέτω-
Δ σαν τῶν ὄμβρων τὸν χορηγὸν, ἀβροχίᾳ πληττόμενοι. Φοβοῦμαι δ᾽ ὅμως τὸ φιλάνθρωπον τοῦ Θεοῦ. οἶδα γὰρ δάκρυσι ταχέως αὐτὸν πειθόμενον, οἶδα ταῖς ἱκεσίαις καμπτόμενον, οἶδα μικρᾷ μετανοίᾳ τὰς τιμωρίας συστέλλοντα, μὴ πρόωρον ἐπαγάγῃ τῆς ἀβροχίας τὴν λύσιν, καὶ γένηται τῆς τιμωρίας τὸ φάρμακον ἄπρακτον, καὶ μείνῃ πάλιν ἀγνώμων λαὸς τῆς τοῦ Δεσπότου καταφρονῶν ἀγαθότητος. τί οὖν ἐργάσο-
Ε μαι; ὅρκῳ καὶ αὐτὴν τοῦ Θεοῦ φιλανθρωπίαν βιάσομαι. κἂν εἴπῃ πρός με Θεὸς παρ᾽ αὐτῶν ἱκετευόμενος, παράσχω τὸν ὑετὸν τοῖς ἀνθρώποις Ἠλία, φήσω πρὸς αὐτὸν, οὔ. ζῇ Κύριος, οὐκ ἔσται εἰς τὰ ἔτη ταῦτα δρόσος, ἢ ὑετὸς ἐπὶ τῆς γῆς, εἰ μὴ διὰ στόματός μου. μετρεῖ τῇ φύσει τὰ ῥήματα. ἔστω, τὸν οὐρανὸν ἐπέχεις, τί καὶ τὴν τοῦ Θεοῦ φιλανθρωπίαν κατέχεις; ἔστω, κατὰ τῶν ὁμοδούλων ἐκφέρεις ἀπόφασιν, τί καὶ
Ζ τοῦ Δεσπότου τὴν ἐξουσίαν ἁρπάζεις; ἐδέσμευσας σὺ τὰς νεφέλας, ἀλλὰ τῷ ποιητῇ κἂν τὸ λέγειν ἐπίτρεψον· οὔ· ζῇ Κύριος, εἰ μὴ διὰ στόματός μου. παιδαγωγόν με, φησὶ, τῷ λαῷ θεοσεβείας ἀπέστειλας, διδάσκαλον ἀσεβοῦντος πλήθους κατέστησας, δίδου καὶ τῆς τιμωρίας τὴν ἐξουσίαν. οἶδα κατ᾽ ἀξίαν ἐγὼ τοῖς ἀσεβοῦσι τῆς κολάσεως μέτρον. εἰ μὴ διὰ λόγου στόματός μου.

** ΒΑΣΙΛΕΙΟΥ ΤΟΥ ΜΕΓΑΛΟΥ.
Η Ἵνα μαλάξῃ τὴν ἀδάμαστον καρδίαν τῶν σκληροτραχήλων, εἵλετο καὶ ἑαυτὸν τῇ κακοπαθείᾳ συγκαταδικάσαι. διὰ τοῦτο, ζῇ Κύριος,

(1) Γάρ. ἡ ἐν Χάλ. ἔκδ.

(2) Σεγούβ. αἱ εἰρημ. ἐκδόσ.

Α Κύριος, ἔφη, εἰ ἔσται ὕδωρ ἐπὶ τῆς γῆς, εἰ μὴ διὰ στόματός μου. καὶ ἐπήγαγε παντὶ τῷ λαῷ νηστείαν διὰ τοῦ λιμοῦ, ὥστε τὴν ἐκ τῆς τρυφῆς καὶ τοῦ ἀνειμένου βίου κακίαν ἐπανορθώσασθαι.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ζῇ Κύριος, φησὶν, εἰ ἔσται ὑετὸς ἐπὶ τῆς γῆς, εἰ μὴ διὰ στόματός μου. Τί ποιεῖς Ἠλία; κἂν εὖξαι τὸν Δεσπότην, καὶ οὕτω πλήρωσον τὸν λόγον. ζῇ Κύριος, εἰ ἔσται ὑετὸς, εἰ μὴ διὰ Β στόματός μου. ποῦ εἰσὶν οἱ αἱρετικοὶ λέγοντες, ὅτι ὁ υἱὸς τοῦ Θεοῦ εὔχεται; ὁ δοῦλος κελεύει, καὶ ὁ Δεσπότης παρακαλεῖ; οὐδὲ ὡς τῷ Ἠλίᾳ χαρίζῃ αὐτῷ τὴν τιμήν; οὐ θέλεις ὡς δούλῳ τῷ Δεσπότῃ τὴν ἰσομοιρίαν χαρίσασθαι; οὐκ εὔχεται ἐκεῖνος, οὐδὲ παρακαλεῖ, ἀλλὰ λόγον ἀληθείας προέβαλε, καὶ τὸν οὐρανὸν ἔκλεισεν. εὖξαι πρῶτον Ἠλία. ἀλλὰ τί Ἠλίας; οἶδα τὸν ἐμὸν Δεσπότην ὅτι ὑπακούει μου. ἀπὸ γὰρ ζήλου τοῦτο Γ ποιῶ. ὢ καινῶν καὶ παραδόξων πραγμάτων· εἶδες Δεσπότην ὑπ' εὐνοίας δούλου νενικημένον. καὶ γὰρ ὁ Ἠλίας ἀπὸ ζήλου πολλοῦ τοῦτο ἐποίησεν. ἔβλεπε γὰρ πολλὰ ἄτοπα γινόμενα. Καὶ μετ' ὀλίγα. Ἀρετὴ ἐδιώκετο, καὶ κακία ἐνηβρύνετο. βουνοὶ, καὶ ὄροι, καὶ νάπαι, καὶ ὁδοὶ, καὶ ταμεῖα, καὶ ἀὴρ ἐμολύνετο· ἥλιος ἐκαπνίζετο· ἡ γῆ ἐμιαίνετο· ὁ οὐρανὸς ἐξουθενεῖτο· ἡ κτίσις πᾶσα ἐνόσει ἀπὸ εἰδωλολατρείας· ὡς ἐν νυκτὶ Δ πάντες περιεπάτουν, οὐδενὶ προσέχοντες τῶν κτισμάτων· λίθον ἔβλεπον, καὶ Θεὸν προσεκύνουν· ξύλον ἔβλεπον, καὶ τοῦτο ὁμοίως Θεὸν ἐνόμιζον· νὺξ αὐτοὺς εἶχε πυκνοτάτη· τὸν κτίστην ἔβλεπον, καὶ τοῖς κτίσμασι προσεκύνουν· Ἠλίας μόνος ἦν τὸν λύχνον ἔχων τῆς ἀρετῆς, καθάπερ ἐπὶ κορυφῆς ὄρους τῆς φιλοσοφίας καθεζόμενος καὶ ἀσκῶν, μόνος ἔχων τὸν λύχνον τῆς εὐσεβείας· οὐδένα ὠφελεῖ τὸ φώτισμα διὰ Ε τὸ κάρῳ αὐτοὺς κατακεῖσθαι, καὶ εἰδωλολατρείᾳ αὐτοὺς κατέχεσθαι. ἐμαίνετο οὖν ὁ Ἠλίας, ἐπρίζετο, ὠδύρετο, ῥήματα ἐλάλει, οὐδεὶς ἤκουε· παρεκάλει, οὐδεὶς ἠνείχετο. λοιπὸν ἀπὸ ζήλου προσαγαγεῖν αὐτοὺς θέλει καὶ παιδεῦσαι, ἵνα κἂν οὕτω τῷ λιμῷ τηκόμενοι ἐπὶ τὸν δημιουργὸν τῇ εὐχῇ φθάσωσιν, ἵνα ὁ λιμὸς αὐτοῖς ὑπόθεσις αὐτοῖς γένηται εὐσεβείας. ἀλλ' οὐδὲν δύναται αὐτοὺς, φησὶ, παιδεῦσαι ἢ λιμός. οὕτω γὰρ Ζ πανταχόθεν στενούμενοι ἐπὶ τὸν πάντων κτίστην χωρήσωσι. τί οὖν Ἠλίας; ζῇ, φησὶ, Κύριος, εἰ ἔσται ὑετὸς, εἰ μὴ διὰ στόματός μου.

** ΚΥΡΙΛΛΟΥ. Βεβασίλευκε κατὰ καιροὺς ὁ Ἀχαὰβ τῶν οὐσῶν ἐν Σαμαρείᾳ δέκα φυλῶν, ἀλογήσας δὲ ὁλοτρόπως τῆς εἰς Θεὸν αἰδοῦς καὶ ἀγάπης, τέθυκεν εἰδώλοις. ἐπειδὴ δὲ ἦν εὐπάροιστος ἡ ὑπ' αὐτῷ τε καὶ ἀγελαία πληθὺς, τὸν ἕνα καὶ φύσει καὶ ἀληθῶς ὄντα Θεὸν ἀτιμάσαντες, τὴν Η ἴσην εὐθὺς ἠῤῥωστήκασι τῷ κρατοῦντι μανίαν· καίτοι νόμον ἔχοντες τὸν ἐφεστηκότα, καὶ διὰ τῆς Μωσέως ἐντολῆς εὖ μάλα παιδαγωγούμενοι πρὸς τὸ ὅτι μάλιστα τελοῦν εἰς ὄνησιν αὐτοῖς. ἐπειδὴ δὲ καθά φησιν ὁ θεσπέσιος Δαβὶδ, πάντες ἐξέκλιναν Ψαλ. 13. 3. ἅμα ἠχρειώθησαν, παρελθὼν εἰς μέσον ὁ προφήτης Ἠλίας, συνηγανάκτει μὲν ὡς ἠτιμασμένῳ τῷ πάντων κρατοῦντι Θεῷ, ἠπείλησε δὲ λιμὸν καὶ ἀκαρπίαν, καὶ τοῖς ἄνωθεν εὐλογίας τὴν σπάνιν. ἔφη γὰρ, ζῇ Κύριος τῶν δυνάμεων ὁ Θεὸς Ἰσραὴλ, ᾧ παρέστην ἐνώπιον αὐτοῦ, καὶ εἰ ἔσται τὰ ἔτη ταῦτα δρόσος καὶ ὑετὸς, ὅτι εἰ μὴ διὰ στόματος λόγου μου· οὐ δὴ λέγοντος· οὐ γὰρ ὗσεν ἐπὶ τὴν γῆν ὁ τὰ ζωαρκῆ δωρούμενος· οὐκ ἦν ἀρόσαι τοὺς ἐν ἀγροῖς, οὐ συλλέξαι τι τῶν ἐν γηπονίαις, οὐ πόαις ἰδεῖν ἐν ὥρᾳ κομῶσαν τὴν γῆν· ἀλλὰ διψῶντα μὲν ὄρη, πεδία τὰ πρὶν εὐανθῆ τε καὶ γονιμώτατα μονονουχὶ θρηνοῦντα τὴν ἀκαρπίαν. καὶ τί τὸ ἐντεῦθεν; ἀφορήτοις ἐμβολαῖς λιμοῦ κατατρέχοντος ἀνάγκῃ, εἰς τοῦτο πεπτώκασι τῶν ἐν Σαμαρείᾳ τινὲς, ὥστε καὶ γυναῖκας τῶν ἰδίων ἅψασθαι τέκνων, καὶ τῶν τῆς φύσεως ἀλογῆσαι νόμων παντελῶς, καὶ τοὺς τῆς φιλοστοργίας πατῆσαι θεσμούς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Οὐ δοκεῖ τολμηρὸν εἶναι τὸ παρὰ (1) Ἠλιοῦ ῥηθὲν, εἰ ἔσται (2) ἐπὶ τὰ ἔτη ταῦτα δρόσος, ἢ ὑετὸς ἐπὶ τῆς γῆς, ἐὰν (3) μὴ διὰ λόγου στόματός μου; Τολμηρόν ἐστι τὸ κατὰ τῶν πνευματικῶν ἀνδρῶν τοιούτους εἰσδέχεσθαι λογισμούς. Προφήτης γὰρ ἦν, καὶ Προφητῶν κορυφαῖος, καὶ τῷ θείῳ πυρπολούμενος ζήλῳ· καὶ ταῦτα τοῦ θείου πνεύματος ἐνεργοῦντος εἴρηκεν. ὅθεν καὶ τὸ πέρας ἔλαβε.

β. Καὶ ἐγένετο ῥῆμα Κυρίου πρὸς
γ. Ἠλιοῦ, λέγων, Πορεύου ἐντεῦθεν κατὰ ἀνατολὰς, καὶ κρύβηθι ἐν τῷ χειμάῤῥῳ Χοῤῥὰθ τοῦ ἐπὶ προσώπου τοῦ Ἰορδάνου.

δ. Καὶ ἔσται ἐκ τοῦ χειμάῤῥου πίεσαι ὕδωρ, καὶ τοῖς κόραξιν ἐντελοῦμαι τοῦ διατρέφειν σε ἐκεῖ.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Δίδωσι συγχεθεὶς τὴν ἐξουσίαν τῷ Ἠλίᾳ Θεός· οἰκτείρων μὲν τοὺς ἀξίως κολαζομένους, ἐντρεπόμενος δὲ τοῦ Προφήτου τὸν ζῆλον· ὑφ' ἑκατέρων δὲ συνεχόμενος ὁ τῶν ὅλων Δεσπότης, τί ποιεῖ; σοφίας ἀγαθότητι μίξας τὴν χρείαν μεταχειρίζεται. δίδωσι γὰρ τῷ Προφήτῃ τῆς ἀβροχίας τὴν ἐξουσίαν, μαλάττων δὲ αὐτοῦ τὴν ὀργὴν, μεριστὴν αὐτὸν τῆς τιμωρίας ἐργάζεται, καὶ συγκαταδικάζει τῷ λαῷ τὸν Προφήτην, πείθων αὐτὸν καὶ ἄκοντα γενέσθαι ὁμοφύλοις φιλάνθρωπον. ἀλλ' ἵνα μὴ τοῖς ἀσεβέσιν ὁ εὐσεβὴς ἐπίσης λιμῷ διαφθείρηται, χορηγῶν αὐτῷ τὴν τροφὴν, λανθανόντως τὴν γνώμην βιάζεται. τρέφει γὰρ αὐτὸν διὰ κοράκων, ἵν' ὥσπερ ἀκαθάρτου ζώου τὴν τροφὴν μυσατ-

(1) Περὶ τοῦ Ἠλ. ἡ ἐν Χαλ. ἔκδ. οὐκ ὀρθῶς.
(2) Τὰ ἔτη. ἡ αὐτ.
(3) Εἰ μὴ διὰ στόματός μου. ἡ αὐτ.

μυσαττόμενος, λύσῃ τοῦ λιμοῦ τὴν ἀπόφα-
» σιν. ἐντελοῦμαι γάρ φησι τοῖς κόραξι τοῦ
» διατρέφειν σε. βλέπε μοι τὴν θείαν σοφίαν.
ὡς μισότεκνον τὸ ζῶον ὁ κόραξ παρὰ τῇ
Γραφῇ διαβέβληται. τίκτοντες γὰρ ἀρ-
νοῦνται τὴν γονήν, τῆς τῶν τέκνων τροφῆς
οὐ φροντίζοντες. ἀλλ' ἡ περὶ πᾶσαν τὴν κτί-
σιν θεία διήκουσα πρόνοια, καὶ τοῖς νεοσσοῖς
ἀποῤῥήτως διά τινων ζώων μικρῶν γεωργεῖ
τὴν τροφήν. καὶ ταύτην ἀνυμνῶν ὁ προφή-
Ψαλ. 146. 9. της Δαβὶδ μελῳδεῖ· καὶ τοῖς νεοσσοῖς τῶν
» κοράκων τοῖς ἐπικαλουμένοις αὐτόν. ἐντε-
» λοῦμαι, φησὶ, τοῖς κόραξι τοῦ διατρέφειν
σε. οἱ τῶν τέκνων προδόται, τῆς σῆς τρο-
φῆς γεωργοί. μὴ τοίνυν γενήσῃ χείρων
τῶν μισοτέκνων κοράκων, μὴ μιμήσῃ τὴν
τούτων περὶ τοὺς Ἰουδαίους μισοτεκνίαν. ἀλλὰ
μίμησαι τὴν τούτων περὶ σὲ θεραπείαν.
ἐνίκησαν οὗτοι τὴν φύσιν τῇ περὶ σὲ λει-
τουργίᾳ· νίκησον καὶ αὐτὸς φιλανθρωπίᾳ
τὴν Ἰουδαίων κακίαν· μὴ γένῃ τῶν κορά-
κων περὶ τοὺς ὁμοφύλους ἀπανθρωπότερος·
αἰδέσθητι πρεσβεύτας φιλανθρωπίας γινο-
μένους τοὺς κόρακας.

ε. Καὶ ἐπορεύθη, καὶ ἐποίησεν Ἠ-
λιοὺ κατὰ τὸ ῥῆμα Κυρίου, καὶ ἐπορεύ-
θη καὶ ἐκάθισεν ἐν τῷ χειμάῤῥῳ Χοῤ-
ῥὰθ τοῦ (1) ἐπὶ προσώπου Ἰορδάνου.

ς. Καὶ οἱ κόρακες ἔφερον αὐτῷ ἄρ-
ους τὸ πρωῒ, καὶ κρέας τὸ δείλης, καὶ
κ τοῦ χειμάῤῥου ἔπινεν ὕδωρ.

** ΙΣΙΔΩΡΟΥ. Τίνος ἡ ἔννοια τοῦ διὰ
κόρακος τρέφεσθαι τὸν Ἠλίαν; Ἴσθι, ὦ σο-
φὲ, ὅτι ἡ πηγὴ τῆς ἀγαθότητος τὴν δι-
καίαν τοῦ Προφήτου κατὰ Ἰουδαίων ἀγανάκ-
τησιν ἐκμάξαι (2) βουλομένη· λιμὸν γὰρ
ἐπήγαγεν, ἵνα τὸν κόρον ὠδίνοντα . . . σω-
φρονῆσαι· παρεσκεύασεν αὐτὸν διὰ κόρα-
κος τρέφεσθαι, μισοτέκνου μὲν, καὶ τίκ-
τοντος μὲν, οὐ τρέφοντος δέ. διὸ καὶ ὁ με-
λῳδός· καίτοι πάσης τῆς κτίσεως φυσικῷ
λόγῳ εἰς τὸν δημιουργὸν ἀποβλεπούσης· οἱ
Ψαλ. 144. 15. ὀφθαλμοὶ γὰρ πάντων, φησὶν, εἰς σὲ ἐλ-
» πίζουσι, καὶ σὺ δίδως τὴν τροφὴν αὐτῶν ἐν
εὐκαιρίᾳ· κοράκων ἐμνημόνευσε, λέγων·
Ψαλ. 146. 9. τῷ διδόντι τοῖς κτήνεσι τροφὴν αὐτῶν, καὶ
» τοῖς νεοσσοῖς τῶν κοράκων τοῖς ἐπικαλου-
μένοις αὐτόν. μάλιστα μὲν γὰρ πάντα ἡ
θεία πρόνοια τρέφει, φησὶ, διαφερόντως δὲ
τοὺς νεοσσοὺς τῶν κοράκων, τοὺς παρὰ τῶν
τεκόντων ἀμελουμένους. ζωΰφια γὰρ ταῖς
καλιαῖς περιΐπτάμενα. (3) τούτοις γὰρ μο-
νονουχὶ συνεβούλευσεν ὁ Θεὸς τῷ Ἠλίᾳ, μὴ
ἄγαν τῇ ἀγανακτήσει χρήσασθαι, μηδὲ
τοῖς τοῦ μισοτέκνου πλέον φιλανθρωπίας
ἀπάνθρωπον ὀφθῆναι μᾶλλον. τὸ μὲν γάρ-
σε διὰ τὴν ἐμὴν πρόσταξιν τρέφει· σὺ δὲ

A τῆς ἀγανακτήσεως ὅλος γενόμενος, τὰ τῆς
φιλανθρωπίας ὑπερεῖδες δίκαια.
** ΤΟΥ ΑΥΤΟΥ. Διὰ κόρακος ἀκα-
θάρτου πλὴν οὐ τὸν οὐρανοδρόμον ἔτρεφεν Ἠ-
λίαν. μὴ τοίνυν ἀμφίβαλλε, εἰ δι' ἱερέων
τινῶν ἁμαρτωλῶν· οὐδὲ γὰρ πάντων κατα-
ψηφίσασθαι χρὴ, οὐδὲ δίκαιον· τὰ θεῖα καὶ
ὑπερφυῆ δίδοται χαρίσματα.
* ΘΕΟΔΩΡΙΤΟΥ. Τὴν διὰ κοράκων
κομιζομένην αὐτῷ τροφὴν, πῶς ἅγιος ὢν,
B καὶ κατὰ νόμον πολιτευόμενος, ἤσθιεν; Αὐ-
τὸς ὁ νομοθέτης ταύτην αὐτῷ διὰ τῶν κο-
ράκων προσέφερεν. [αὐτὸς γὰρ αὐτῷ καὶ
προσέταξεν ἐν τῷ χειμάῤῥῳ διάγειν τῷ
Χοῤῥὰθ, ὑποσχόμενος πέμψειν αὐτῷ διὰ
κοράκων τροφὴν, καὶ πεπλήρωκε τὴν ὑπό-
σχεσιν.] προσέφερον γὰρ οἱ κόρακες ἄρ-
τους μὲν ἕωθεν, δείλης δὲ κρέα. διδάσκει δὲ
διὰ τούτων ἡμᾶς ὁ νομοθέτης, ὡς τῆς Ἰου-
δαίων ἀσθενείας ἕνεκα τοὺς τοιούτους τεθεί-
Γ κε (4) νόμους· οὓς ποτὲ μὲν αὐτὸς παραβῆ-
ναι προσέταττεν· ἐν σαββάτῳ γὰρ ἑπτά-
κις κυκλῶσαι τὴν Ἱεριχὼ Ἰησοῦν τὸν προ-
φήτην, καὶ Ἐλεάζαρ τὸν ἀρχιερέα, [καὶ
τοὺς σὺν αὐτῷ ἱερέας καὶ Λευΐτας] προσέ-
ταξε, καὶ ἅπαντα τὸν λαόν· [καὶ νῦν τὸν
μέγαν Ἠλίαν δέχεσθαι τὴν διὰ τῶν κορά-
κων κομιζομένην αὐτῷ τροφήν·] ποτὲ δὲ
τοῖς (5) παραβεβηκόσιν αὐτοὺς οὐκ ἐπεμέμ-
ψατο. καὶ γὰρ ὁ Σαμψὼν διὰ μὲν τὴν μέ-
Δ θην καὶ τὴν λαγνείαν, τῆς θείας ἐγυμνώ-
θη χάριτος· φαγὼν δὲ τὸ κηρίον τοῦ μέλι-
τος, ὅπερ ἐν νεκρῷ λέοντι ἐξύφηναν μέ-
λιτται, κατηγορίαν οὐδεμίαν ἐδέξατο.
** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πῶς ὁ Προφή-
της ἐτρέφετο ὑπὸ τοῦ ἀκαθάρτου κόρακος;
εἰ γὰρ ὁ νόμος ἀκάθαρτον τὸν κόρακα ἔλε-
γε, πάντως ὁ ἐκ τοῦ κόρακος τρεφόμενος
ἀκάθαρτος ἂν εἴη. Ἀλλὰ τοῦτο οὐκ ἦν· ἄπα-
γε, μὴ γένοιτο· ἀλλ' ὁ Ἠλίας ὑπὸ κόρακος
E ἐτρέφετο, οὐδὲν ἀκάθαρτον τῶν ὑπὸ Κυρίου
κτισθέντων νομίζων.
** ΠΡΟΚΟΠΙΟΥ. Καὶ τοῖς ἁγίοις δὲ
προσιόντες εἰς πάλην οἱ Δαίμονες, νοητῆς
τροφῆς αἴτιοι γίνονται, στηριζομένοις αὐ-
τοῖς τὴν καρδίαν, καὶ γυμναζομένοις τὴν
ἕξιν. ὧν ἐστὶν ἡ στερεὰ τροφὴ καὶ ἀθλητική.
ἥτις ἕξις ἡμῖν μετὰ πολλὰς ἐπιγίνεται πά-
λας τὸ δειλινόν.

Z ζ. Καὶ ἐγένετο μεθ' ἡμέρας, καὶ
ἐξηράνθη ὁ χείμαῤῥος, ὅτι οὐκ ἐγένε-
το ὑετὸς ἐπὶ τῆς γῆς.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἦν τοίνυν ἀ-
φόρητον κακόν. οὐδὲ γὰρ τὴν γαστέρα τῆς
γῆς ἄγονον ἐποίησε μόνον ἡ φοβερὰ τοῦ
Προφήτου φωνὴ, ἀλλὰ καὶ αὐτὰ τῶν ποτα-
μῶν τὰ ῥεῖθρα ἀνέστειλε, καὶ οἱ χείμαῤῥοι
τότε ἐξηραίνοντο πάντες. καὶ καθάπερ πυ-
ρετὸς λάβρος καὶ διακαὴς εἰς σώματος φύ-

σιν

(1) Χοῤῥὰθ ἐπὶ προσώπου τοῦ Ἰορ. ἐν εἰρημ. ἐκδόσ. (2) Ἴσ. ἐκμαλάξαι.

(3) Ἐλλειπές. ἐν δὲ τῇ ῥωμαϊκῇ μεταφράσει ταῦτα παρεντέθειται· Pabulum ipsis praebent, quoad volare possint· τουτέστι, τροφὴν αὐτοῖς παρέχουσιν, ἄχρις ἂν διϊπτῆσθαι δυνηθῶσιν.

(4) Ἐτεθείκει. ἡ ἐν Χάλ. ἔκδ. (5) Τοὺς τοιούτους παραβεβηκόσι νόμους οὐκ ἐμέμ. ἡ αὐτ.

A σιν ἐμπεσὼν, οὐχὶ τὴν ἐπιφάνειαν ξηραίνει μόνον, ἀλλὰ καὶ πρὸς αὐτὸ χωρήσας τὸ βάθος, αὐτὴν τῶν ὀστῶν καταφρύγει τὴν φύσιν· οὕτω καὶ ὁ τότε γενόμενος αὐχμὸς, οὐχὶ τὴν ὄψιν τῆς γῆς κατέκαυσε μόνον, ἀλλὰ καὶ πρὸς αὐτὰς τὰς λαγόνας ἐλθὼν, πᾶσαν κάτωθεν ἀνέσπασε τὴν νοτίδα.

η. Καὶ ἐγένετο ῥῆμα Κυρίου πρὸς
ϑ. Ἠλιοῦ, Ἀνάστηθι, καὶ πορεύου εἰς Σά-
ρεπτα τῆς Σιδωνίας, καὶ καθήσῃ ἐκεῖ·
B ἰδοὺ ἐντέταλμαι ἐκεῖ γυναικὶ χήρᾳ τοῦ
διατρέφειν σε.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἀλλ' ὡς εἶδεν ὁ Θεὸς τὸν Ἠλίαν ἀνένδοτον, παύει μὲν διακονοῦντας ἐκείνους, ἐπέχει δὲ τὴν τροφὴν, ἵνα τὴν γνώμην βιάσηται. καίτοι καὶ τοῦ Προφήτου χωρὶς εὐχερὴς τῷ Θεῷ τῶν ὄμβρων ἡ δόσις, ἀλλ' οὐκ ἐβούλετο λύειν οἰκέτου φιλοῦντος ἀπόφασιν, ἀλλ' ἐκείνους Γ κολαζομένους οἰκτείρων, τὸν Ἠλίαν οὐχ ὕβριζε. σοφῶς δὲ τὰ κατὰ τὸν Προφήτην ἐμεθώδευεν. ὡς γὰρ εἶδεν, ὃ ἔφην, οὐκ ἐνδιδόντα, νικῶντά τε τῆς πείνης τὴν βίαν τῷ τόνῳ τῆς γνώμης· μᾶλλον δὲ ὡς εἶδε τρυφῶντα τῇ τῶν ἀσεβῶν τιμωρίᾳ, τόπους αὐτὸν ἐκ τόπων ἀμείβειν παρακελεύεται, καὶ πρὸς Σάρεφθα βαδίζειν ἐπείγεται· καὶ πρὸς χήραν ἀποστέλλει γυναῖκα τὸν χήραν τὴν κτίσιν διὰ τῆς φωνῆς ἐργασάμενον· ἐντέ- Δ λαλμαι, φησὶ, γυναικὶ χήρᾳ τοῦ διατρέφειν σε· μονονουχὶ λέγων, εἰ μὴ αἰσχύνῃ τὴν τροφὴν, μὴ σβέσῃς τὴν ἀγανάκτησιν. χήραν καὶ πενιχρὰν, καὶ πρὸς τούτοις ἐθνικὴν ἐπιλέγεται· ἵνα ἢ τὴν πενίαν οἰκτείρῃ, ἢ ὡς ἐθνικῆς ἀπογραφῇ (1) τὴν τροφὴν, καὶ γένηται ἄκων φιλάνθρωπος, καὶ λύσῃ νεφέλας σιωπῇ δεδεμένας.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν πρὸς χήραν ἀλλόφυλον ἐκέλευσεν (2) ἀπελθεῖν E αὐτῷ; Καὶ τοῦτο πάλιν τῶν τοιούτων νόμων τὰς αἰτίας διδάσκει. εἰ γὰρ ᾔδει στεῤῥὸν τῶν Ἰουδαίων τὸ φρόνημα, καὶ τὴν πίστιν ἑδραίαν, οὐκ ἂν αὐτὸς (3) φυγεῖν τὴν τῶν ἀλλοφύλων ἐπιμιξίαν ἐκέλευσεν· ἀλλὰ τοὐναντίον καὶ συνδιάγειν αὐτοὺς προσέταξεν ἂν, καὶ κηρύττειν [αὐτοῖς] τὴν εὐσέβειαν. (4) διὸ καὶ κωλύσας τὴν ἐπιμιξίαν, ἐπάγει καὶ τὴν Ἐξόδ. 34. 16. αἰτίαν· ἵνα μὴ ἐκπορνεύσωσιν οἱ υἱοὶ αὐτῶν τὰς θυγατέρας ὑμῶν, καὶ αἱ θυγατέρες Z αὐτῶν τοὺς υἱοὺς ὑμῶν, ὀπίσω Κυρίου τοῦ Θεοῦ ὑμῶν. τὸν δέ γε Προφήτην, ὡς εὐεργετῆσαι δυνάμενον, οὐ μόνον οὐκ ἐκώλυσεν, ἀλλὰ καὶ προσέταξεν ἀπελθεῖν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶτα ἐκεῖθεν, ἐπειδὴ χρόνος διῆλθε, καὶ λοιπὸν ὁ ποταμὸς ἐξηράνθη, ἐγείρει τὸν Προφήτην εἰς τροφήν. ἄπελθε, φησὶν, εἰς Σάρεφθα τῆς Σιδωνίας, καὶ ἐντέλλομαι γυναικὶ χήρᾳ τοῦ διατρέφειν σε ἐκεῖ. τοῦτο δὲ κατά τινα οἰκονομίαν ὁ Θεὸς ἐποίει. ἐπειδὴ γὰρ οὐκ ᾔδει Ἠλίας τὰ γινόμενα· ἐν ἑνὶ γὰρ τόπῳ ἐκαθέζετο· οὐκ ἔβλεπε τὴν οἰκουμενικὴν συμφοράν· πῶς πάντα ἐξηράνθη, πῶς λίμναι, πῶς πηγαὶ, πῶς ποταμοὶ, πῶς τὰ φυτὰ, πῶς τὰ δένδρα, πῶς τὰ ἄωρα, πῶς τὰ ὥριμα, πῶς τὰ ἔγκαρπα, πῶς τὰ ἄκαρπα, πῶς τὰ παρὰ πηγαῖς, τὰ παρὰ λίμναις τῶν ὑδάτων, τὴν ἅλωσιν τῶν πλυνῶν, καὶ τῶν κρουνῶν τῶν ἄλλων ἁπάντων, τῶν B παιδίων τὸν θάνατον, τῶν μητέρων ὀλολυγμοὺς, τὴν οἰκουμενικὴν συμφοράν· ἐγείρει αὐτὸν ὁ Θεὸς, καὶ ποιεῖ αὐτὸν ἄπειρον γῆς (5) ὁδεῦσαι ἐκεῖθεν ἕως Σιδῶνος, ἵνα κἂν οὕτως ἰδὼν Ἠλίας τὰ γινόμενα, ἀξιώσῃ τὸν δεσπότην αὐτοῦ δοῦναι ὑετόν. πέμπει οὖν αὐτὸν διὰ τοῦτο τὴν μακρὰν ὁδὸν ἐκείνην, οὐχ ὡς μὴ δυνάμενος αὐτὸν ἐκεῖ τρέφειν ὁ Θεὸς, ἀλλ' ὡς θέλων ἐπιδεῖξαι τῷ Ἠλίᾳ τὴν συμφορὰν, ἵνα ἀξιώσῃ αὐτὸν περὶ βροχῆς. Γ ἠδύνατο μὲν καὶ αὐτὸς χωρὶς τούτου, ἀλλ' οὐκ ἠθέλησεν ὑβρίζειν τὸν ἴδιον οἰκέτην. τῶν μὲν κακῶν ἐκεῖνον ἐάσας εἶναι πρόξενον, τῶν δὲ ἀγαθῶν ἑαυτὸν, ἀλλ' ἐξεδέχετο τὴν τοῦ δούλου παράκλησιν.

** ΝΕΙΛΟΥ. Μὴ καταφρονήσωμεν τῶν ἀληθινῶν χηρῶν. πάνυ γὰρ μέλει τῷ Θεῷ περὶ αὐτῶν. τὸν γὰρ μέγαν Ἠλίαν πρὸς χήραν ἀπέσταλκε, καὶ τῆς ἐν Ναῒμ χήρας αὐτὸς δι' ἑαυτοῦ Ἰησοῦς ὁ δεσπότης τῶν ὅλων Δ σπογγίζει τὸ δάκρυον, κράξας αὐτῇ, μὴ κλαῖε. καὶ Ἰάκωβος κελεύει ἐπισκέπτεσθαι ὀρφανοὺς, καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν.

ι. Καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς Σά-
ρεπτα, καὶ ἦλθεν εἰς τὸν πυλῶνα τῆς
πόλεως· καὶ ἰδοὺ ἐκεῖ γυνὴ χήρα συ-
νέλεγε ξύλα. καὶ ἐβόησεν ὀπίσω αὐ-
τῆς Ἠλιοῦ, καὶ εἶπεν αὐτῇ, λάβε δή
E μοι ὀλίγον ὕδωρ εἰς ἄγγος, καὶ πίο-
ια. μαι. Καὶ ἐπορεύθη λαβεῖν, καὶ ἐβόη-
σεν ὀπίσω αὐτῆς Ἠλιοῦ, καὶ εἶπεν αὐ-
τῇ, λήψῃ δή μοι ψωμὸν ἄρτου ἐν τῇ
χειρί σου, καὶ φάγομαι.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Παρῆλθεν ὁ Ἠλίας τὴν ὁδὸν, καὶ ἦλθεν εἰς Σάρεφθα τῆς Σιδωνίας, καὶ εἶδε χήραν τινὰ ξυλευομένην. ἀλλ' ὅμως βλέπε τοῦ Ἠλία τὴν φιλοσοφίαν καὶ τὴν πίστιν. πάλιν ἄλλο πέλαγος διεδέ- Z ξατο αὐτοῦ ἀρετῆς· οὐκ εἶπε τῷ Θεῷ, πρὸς τίνα με πέμπεις; τοσούτους με ποιεῖς κινδύνους ὑπομεῖναι, καὶ πρὸς χήραν με πέμπεις εἰς ἔσχατον λιμόν; μὴ γὰρ οὐκ εἰσὶν ἄλλοι ἄνδρες εὐπορώτεροι δυνάμενοι τὴν πενίαν μου παραμυθήσασθαι· ἀλλὰ τοσαύτην γῆν βαδίζω, ἵνα πρὸς χήραν ἀπαντήσω εἰς αὐτὴν τὴν συμφορὰν τῶν κακῶν, καὶ οὐ μόνον χήραν, ἀλλὰ καὶ πενιχράν; ἐννόησον πῶς οὐδὲν τούτων εἶπεν ὁ θεράπων. ἐθάῤῥει γὰρ τῷ

(1) Ἀπογραφῇ. ἀνάγν. (2) Ἐκέλευσεν αὐτὸν ἀπελ. ἡ ἐν Χάλ. ἔκδ. (3) Αὐτοῖς. ἡ αὐτ. ὀρθότερ. (4) Εὐσέβειαν. τοῦτο γὰρ διδάσκει καὶ ἡ τοῦ νόμου αἰτία. εἰρηκὼς γὰρ, οὐ δώσεις τὰς θυγατέρας σου τοῖς υἱοῖς τῶν ἀλλοφύλων, τὰς θυγατέρας αὐτῶν τοῖς υἱοῖς σου, ἐπήγαγεν, ἵνα μὴ, κτ. ἡ αὐτ. (5) Γῆν, ὀρθῶς.

τῷ ἑαυτοῦ δεσπότῃ τῷ ἐκ τῶν ἀδυνάτων δυνατὰ ποιοῦντι. » ἄπελθε, φησὶν, εἰς Σαρεφθὰ τῆς Σιδῶνος, καὶ ἰδοὺ μία χήρα ξυλευομένη. « τί οὖν ἐπιβαίνεις ἔτι Ἠλία; τί δὲ προστρέχεις τῇ χήρᾳ; ἴδες τὰ προπύλαια τῆς πενίας, μὴ ἐρώτα τὰ βάθη τῆς μετριότητος· ἴδες τὴν εἴσοδον τῆς πενίας, μηδὲν ἐρώτα περὶ τῶν ἔνδον. πῶς εἰσέρχῃ Ἠλία; ἴδες ξυλευομένην, καὶ τραφῆναι ζητεῖς παρ' αὐτῆς; ἀλλ' ὅμως ἔχων ἐνέχυρον τοῦ δεσπότου τὸν λόγον, ἀπίῃ διαλεγόμενος τῇ χήρᾳ· καὶ τί φησι; » δός μοι μικρὸν ὕδωρ ἵνα πίω. « ὁρᾷς σοφίαν τοῦ Ἠλία; πῶς οὐκ εὐθέως ἐπὶ τὸ ἰσχυρότερον ἀπῆλθεν, ἀλλ' ἐπὶ τὸ εὐτελέστερον; οὐκ εἶπε, δός μοι ἄρτον, ἀλλὰ δός μοι ὕδωρ. πρῶτον ὕδωρ ζητεῖ, στοχαζόμενος ὅτι ἂν εὐπορήσῃ ὕδατος, δύναται καὶ ἄρτου εὐπορῆσαι. » δός μοι, φησὶ, μικρὸν ὕδωρ.

** ΕΦΡΑΙΜ. » Καὶ ἀναστὰς Ἠλίας, ἐπορεύθη εἰς Σαρεπτὰ τῆς Σιδῶνος. καὶ ἤγγισεν εἰς τὸν πυλῶνα τῆς πόλεως· καὶ ἰδοὺ χήρα γυνὴ συλλέγουσα ξύλα. καὶ ἐβόησεν ὀπίσω αὐτῆς Ἠλιοὺ, καὶ εἶπε· λήψη δή μοι ὀλίγον ὕδωρ εἰς ἄγγος, καὶ πίομαι. καὶ ἐπορεύθη λαβεῖν, καὶ ἐβόησεν ὀπίσω αὐτῆς Ἠλιοὺ, καὶ εἶπε· λήψη δή μοι καὶ ψωμὸν ἄρτου ἐν τῇ χειρί σου. « ὁρᾷς, ἀγαπητὲ, ἐν τίσιν ἐτρέφοντο οἱ ἅγιοι Προφῆται; ἐν ὀλίγῳ ὕδατι καὶ ψωμῷ ἄρτου, καὶ αὐτὸ μετὰ στενοχωρίας. εἶχον γὰρ τὴν πᾶσαν σπουδὴν εἰς τὰ ἀποκείμενα αὐτοῖς ἀγαθὰ ἐν τοῖς οὐρανοῖς.

ιβ. Καὶ εἶπεν ἡ γυνὴ, ζῇ Κύριος ὁ Θεός σου, εἰ ἔστι μοι ἐγκρυφίας, ἀλλ' ἢ ὅσον δρὰξ ἀλεύρου ἐν τῇ ὑδρίᾳ, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ· καὶ ἰδοὺ ἐγὼ συλλέγω δύο ξυλάρια, καὶ εἰσελεύσομαι καὶ ποιήσω αὐτὸ ἐμαυτῇ καὶ τοῖς τέκνοις μου, καὶ φαγόμεθα, καὶ ἀποθανούμεθα.

** ΙΩΣΗΠΟΥ. Ἀναξηρανθέντος δὲ τοῦ ποταμοῦ δι' ἀνομβρίαν, εἰς Σαρεφθὰ πόλιν οὐκ ἄπωθεν τῆς Σιδῶνος καὶ Τύρου· μεταξὺ γὰρ κεῖται· παραγίνεται, τοῦ Θεοῦ κελεύσαντος· εὑρήσειν γὰρ ἐκεῖ γυναῖκα χήραν, ἥτις αὐτῷ παρέξει τροφάς. ὢν δ' οὐ πόῤῥω τῆς πύλης, ὁρᾷ γυναῖκα χερνῆτιν ξυλιζομένην. τοῦ δὲ Θεοῦ δηλώσαντος ταύτην εἶναι τὴν μέλλουσαν αὐτὸν διατρέφειν, προσελθὼν ἠσπάσατο, καὶ κομίσαι ὕδωρ παρεκάλεσεν, ὅπως πίῃ· καὶ πορευομένης μετακαλεσάμενος, καὶ ἄρτον ἐνεγκεῖν ἐκέλευσε. τῆς δ' ὀμοσάσης μηδὲν ἔχειν ἔνδον, ἢ μίαν ἀλεύρου δράκα, καὶ ὀλίγον ἔλαιον, πορεύεσθαι δὲ συνειλεχυῖαν τὰ ξύλα, ἵνα φυράσασα ποιήσῃ αὐτῇ καὶ τῷ τέκνῳ ἄρτον, μεθ' ὃν ἀπολεῖσθαι λιμῷ δαπανηθέντα, μηκέτι μηδενὸς ὄντος, ἔλεγεν· ἀλλὰ θαρσοῦσα, εἶπεν, ἄπιθι, καὶ τὰ κρείσσω προσδοκῶσα, καὶ ποιήσασα, πρῶτον ἐμοὶ βραχύ τι κόμισον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Οἶμαι δὲ, ὅτι καὶ δεῖξαι βουλόμενος αὐτῷ δαπανωμένην τὴν τῶν ἀνθρώπων φύσιν τῷ λιμῷ, πρῶτον

A μὲν εἰς τὸν χειμάῤῥουν ἐπήγαγεν· εἶτα τοῦτον ξηράνας, πρὸς τὴν χήραν μετήγαγε γυναῖκα, οὐδὲν ἔχουσαν πλὴν ὀλίγης τροφῆς εἰς μίαν ἀποχρώσης ἡμέραν. » ζῇ γὰρ ἔφη Κύριος ὁ Θεός σου, εἰ ἔστι μοι ἐγκρυφίας, ἀλλ' ἢ ὅσον δρὰξ ἀλεύρου ἐν τῇ ὑδρίᾳ, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ, καὶ ἰδοὺ συλλέξω δύο ξυλάρια, καὶ εἰσελεύσομαι, καὶ ποιήσω αὐτὸ ἐμαυτῇ καὶ τοῖς τέκνοις μου, καὶ φαγόμεθα, καὶ ἀποθανούμεθα. « μόνην, B φησὶν, ἔχω τὴν τελευταίαν τροφὴν, μεθ' ἣν τὴν τοῦ λιμοῦ προσμένω πληγήν. ἐγὼ δὲ ἄγαμαι τῆς γυναικὸς τὸ πρᾶον τῆς ἀποκρίσεως. οὐ γὰρ ἐδυσχέρανεν, ὡς ἐν τηλικαύταις συμφοραῖς αἰτηθεῖσα τροφὴν, ἀλλὰ μόνην ἔδειξε τὴν ἐσχάτην πενίαν.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Οὐ παραιτεῖται βαδίζειν ὡς πρὸς τὴν χήραν Ἠλίας. ἡ δὲ τῷ σχήματι τὴν πενίαν ἐλέγχει. παρεσκεύασε γὰρ τὴν τροφὴν ὁμοῦ Γ καὶ ταφὴν, καὶ γίνεται τῆς χήρας προσαίτης ὁ τὰς οὐρανοῦ κλεῖς περιδήσας τοῖς χείλεσιν. ἡ δὲ τί φησι; » ζῇ Κύριος ὁ Θεός σου. « ὡς Προφήτην τιμᾷς ὃν προσαίτην ὁρᾷς; πόθεν ἔχεις τοῦ Προφήτου τὴν γνῶσιν; ὑπόμνησον σαυτὸν, ἀγαπητὲ, τῶν τοῦ Θεοῦ πρὸς τὸν Ἠλίαν ῥημάτων. » ἐντέλλομαι, φησὶ, γυναικὶ χήρᾳ τοῦ διατρέφειν σε. « καὶ δῆλόν ἐστιν, ὡς δι' ἀποκαλύψεως ἡ τοῦ Προφήτου παρουσία τῇ χήρᾳ κατεμηνύετο. καὶ ἦν ἡ Δ δι' ὀμμάτων θέα τῆς καθ' ὕπνους θέας ὑπόμνησις. ἐπιγνοῦσα τοίνυν τὴν τοῦ παρόντος ἀξίαν, τὴν πενίαν ὠδύρετο. » ζῇ Κύριος ὁ Θεός σου, φησὶν, οὐκ ἔστι μοι ἐγκρυφίας, ἀλλ' ἢ δρὰξ ἀλεύρου ἐν τῇ ὑδρίᾳ, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ· καὶ ἰδοὺ ἐγὼ συλλέγω δύο ξυλάρια, καὶ εἰσελεύσομαι, καὶ ποιήσω ἐμαυτῇ καὶ τοῖς τέκνοις μου. καὶ φαγόμεθα, καὶ ἀποθανούμεθα. « τὸ πέρας ἡμῖν τῆς τροφῆς, ἀρχὴ τελευτῆς. ταύτην τε- E λευταίαν παραθήσομαι τράπεζαν. μέτρον ἡμῖν τῆς ζωῆς ἡ δρὰξ τοῦ ἀλεύρου καθέστηκε· μίαν ἀναμένομεν προθεσμίαν τροφῆς καὶ θανάτου· μετὰ ταύτην τὴν βρῶσιν ἡμεῖς θανάτου βρῶσις ἐσόμεθα.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. » Ζῇ Κύριος ὁ Θεός σου, εἰ ἔστι μοι ἐγκρυφίας· ἀλλ' ἢ ὅσον δρὰξ ἀλεύρου. « Τίνος ἕνεκεν ὄμνυσιν; Ἄρτον ᾔτησεν ὁ Προφήτης, αὐτὴ δὲ ἄρτον οὐκ εἶχεν. ἔδεισεν οὖν, μήποτε πεπεισθεὶς αὐ- Z τῆς, ὀπτώσης, καὶ παρασκευαζούσης, εἶτα βραδυνούσης, οὐκ ἀναμείνας τὴν ἀναβολὴν ὁ Προφήτης ἀποπηδήσῃ, καὶ φύγῃ τῆς φιλοξενίας τὸ θήραμα. διὰ τοῦτο αὐτὸν ὅρκῳ προκατέλαβε, λέγουσα, οὐχ ὅτι οὐκ ἔστι μοι ἄλευρον, ἀλλ' ὅτι ἐγκρυφίας μὲν οὐκ ἔστιν, ἄλευρον δὲ ἔστι. καὶ οὐ διὰ τοῦ ὅρκου μόνον αὐτὸν πιστεῦται, ἀλλὰ καὶ δι' αὐτῆς τῶν πραγμάτων τῆς ἀποδείξεως. » ἰδοὺ γάρ φησι. δύο συλλέγω ξυλάρια, καὶ εἰσελεύσομαι, καὶ H ποιήσω αὐτὰ τοῖς τέκνοις μου, καὶ φαγόμεθα, καὶ ἀποθανούμεθα. « ἀκουέτωσαν οἱ τὰς λαμπρὰς οἰκίας οἰκοδομούμενοι, καὶ τοὺς πολυτελεῖς ἀγροὺς ὠνούμενοι, καὶ οἰκετῶν ἀγέλας ἐπὶ τῆς ἀγορᾶς περιφέροντες· μᾶλ-

A λον δὲ καὶ εὔποροι καὶ πένητες ἀκουέτωσαν πάντες. οὐδενὶ γὰρ μετὰ τὴν χήραν ταύτην ἀπολογία ἔσαι λοιπόν. τοσαῦτα ἦν αὐτῇ τὰ κωλύματα, ἀλλ᾽ ὅμως πάντα ἐκεῖνα διέκοψε καὶ ὑπερέβη. ἄκουε δὲ, ἀλλόφυλος ἦν· ἓν τοῦτο τὸ κώλυμα. Σιδωνία· δεύτερον κώλυμα. οὐδὲ γὰρ ἴσον ἀλλόφυλον εἶναι ἁπλῶς, καὶ Σιδώνιον τῆς πονηροτάτης πόλεως. ὡς γὰρ ἔσχατον κακίας ὑπόδειγμα τὴν πόλιν ἐκείνην ἐν τοῖς Εὐαγγελίοις παρήγαγεν ὁ Χριστός. B ἦν τοίνυν καὶ ἀλλόφυλος, καὶ Σιδωνία, καὶ γυνὴ, τὸ ἀσθενὲς γένος, καὶ πάντοθεν δεόμενον τῆς ἀντιλήψεως. προσῆν καὶ χηρεία, τέταρτον κώλυμα· πέμπτον, ἐκείνων ἁπάντων μεῖζον, παιδοτροφίας ἐπιμέλεια. ἀκουέτωσαν αἱ χῆραι καὶ παῖδας τρέφουσαι, ὡς οὐκ ἦν ἱκανὴ ἡ σκῆψις αὕτη πρὸς τὸ μὴ ποιεῖν ἐλεημοσύνην, μηδὲ ὑποδέχεσθαι ξένους. καὶ δρὰξ ἀλεύρου ὑπελέλειπτο μόνον, καὶ μετ᾽ ἐκείνην θάνατος προσεδοκᾶτο. Γ σὺ μὲν γὰρ, κἂν ἅπαντα κενώσῃς τὰ χρήματα, κἂν γυμνώσῃς τῆς περιουσίας σαυτὸν, δύνασαι πρὸς τὰς ἑτέρων θύρας ἀπελθεῖν, καὶ τυχεῖν παραμυθίας. τότε δὲ οὐδὲ ἐπαιτεῖν δυνατὸν ἦν, οὕτως ἅπαντας τοὺς λιμένας ἔχωσεν ὁ λιμός. ἀλλ᾽ οὐδὲν τούτων ἐκώλυσεν. εἴπω καὶ ἕβδομον κώλυμα, αὐτὸν τὸν μέλλοντα ἐπιξενίζεσθαι τῇ γυναικί. οὐδὲ γὰρ οἰκεῖος, οὐδὲ γνώριμος ἦν, ἀλλὰ ξένος καὶ ἀλλότριος, καὶ κατ᾽ αὐτὸν (1) τῆς εὐσεβείας Δ λόγον κεχωρισμένος αὐτῆς. οὐ μόνον δὲ ξένος, καὶ ἀλλότριος, ἀλλὰ καὶ αὐτὸς ἦν ὁ τὸν λιμὸν ἐπαγαγών.

** ΤΟΥ ΑΥΤΟΥ. Οὐκ ἔσι τῇ δούλῃ σου εἰ μὴ δρὰξ ἀλεύρου, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ, καὶ φαγόμεθα ἐγώ τε καὶ τὰ παιδία, καὶ ἀποθανούμεθα. Ἐλεεινὰ τὰ ῥήματα, καὶ αὐτὴν λιθίνην ψυχὴν ἱκανὰ ἐπικάμψαι. οὐδεμία λοιπὸν, φησὶν, ἔσαι ἐλπὶς σωτηρίας. E ἐπὶ θύραις τὰ τοῦ θανάτου. τοῦτο μόνον ἡμῖν ὑπολέλειπται πρὸς ζωὴν, ὃ μόλις ἀρκέσει ἐμοὶ καὶ τοῖς παιδίοις. ὅπερ ἦν μοι δυνατὸν πεποίηκα· τοῦ ὕδατος μετέδωκα.

** ΑΔΗΛΟΥ. (2) Ἡ δὲ, ὃ μὲν οὐκ εἶχεν, εἶπεν· ὃ δὲ εἶχεν, ὡμολόγησε. τί γάρ; ζῇ Κύριος, εἰ ἔσι μοι ἐγκρυφίας, ἀλλ᾽ ἢ ὅσον δρὰξ ἀλεύρου, καὶ ὀλίγον ἔλαιον ἐν τῷ καμψάκῃ. θαυμασὸν, ὅτι ἐν τοιαύτῃ σπάνει Z τροφῶν τὸ παρὸν αὐτῇ τῆς πενίας λείψανον οὐκ ἠρνήσατο. πόσοι νῦν χρυσὸν καὶ ἄργυρον ὡς πηλὸν ἔχοντες, παρακαλούμενοι, τὰς εὐεργεσίας τῶν φίλων ἀνανεύουσι, καὶ κολακευόμενοι ἀρνοῦνται τὸ ἔχειν; κἂν παρακλήσει καμφθῶσι πρὸς τὴν ἐπίδοσιν, γράμματα συντάττουσι σιδήρου ἰσχυρότερα, καὶ τὴν δεχομένην χεῖρα πρῶτον τοῖς γραμματείοις δεσμεύουσιν, ἱκανοδότας καὶ μεσίτας τοῦ χρυσίου λαμβάνοντες. ἐκείνη δὲ ἀπὸ μιᾶς φωνῆς οὐκ ἠρνήσατο τὴν δράκα τοῦ ἀλεύρου. H

A ιγ. Καὶ εἶπε πρὸς αὐτὴν Ἠλιοὺ, θάρσει, εἴσελθε καὶ ποίησον κατὰ τὸ ῥῆμά σου· ἀλλὰ ποίησόν μοι ἐκεῖθεν ἐγκρυφίαν μικρὸν ἐν πρώτοις, καὶ ἐξοίσεις μοι, σαυτῇ δὲ καὶ τοῖς τέκνοις σου ποιήσεις ἐπ᾽ ἐσχάτων.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἵνα μάθωμεν καὶ τῆς γυναικὸς τὸ φιλόξενον καὶ τοῦ δικαίου τὴν πολλὴν παῤῥησίαν, ὅρα τί γίνεται· B ἐπειδὴ ἔμαθεν ὁ Προφήτης πάντα μετὰ ἀκριβείας, ἵνα ἐκκαλύψῃ ἡμῖν τὴν ἀρετὴν τῆς γυναικός· ὁ γὰρ Θεὸς ὁ εἰπὼν, ὅτι ἐντέταλμαι γυναικὶ τοῦ διατρέφειν σε, αὐτὸς ἦν ὁ διὰ τοῦ Προφήτου ἐνεργῶν· καί φησι πρὸς αὐτήν· ποίησον ἐμοὶ πρῶτον καὶ φάγομαι· καὶ τότε τοῖς τέκνοις σου. ἀκούετε γυναῖκες αἱ πλούτῳ περιῤῥεόμεναι, καὶ εἰς μυρία ἀνόητα καταναλίσκουσαι τὴν Γ οἰκείαν περιουσίαν, καὶ οὐδὲ μετὰ τὴν οἰκείαν ἀπόλαυσιν πολλάκις καταδεχόμεναι ὀβολοὺς δύω προέσθαι τοῖς δεομένοις, ἢ ἀνδρί τινι τῶν ἐναρέτων διὰ τὸν Θεὸν πενομένῳ. αὕτη δὲ οὐδὲν ἕτερον κεκτημένη, ἢ τὴν δράκα τοῦ ἀλεύρου, καὶ μέλλουσα κατὰ μικρὸν, ὅσον κατὰ τὸν ἑαυτῆς λογισμὸν, τῶν παίδων τὸν θάνατον ὁρᾷν, ἀκούσασα παρὰ τοῦ Προφήτου, ὅτι ἐμοὶ πρῶτον ποίησον, καὶ τότε σοὶ καὶ τοῖς παιδίοις σου, οὐκ ἐδυσχέρανεν, οὐκ ἠμέλησεν, ἀλλ᾽ ἐποίει τὸ ἐπιταχ- Δ θὲν, παιδεύουσα πάντας ἡμᾶς προτιμᾷν τῆς οἰκείας ἀναπαύσεως τοὺς τοῦ Θεοῦ δούλους, καὶ μὴ ἁπλῶς παρατρέχειν τὰ τοιαῦτα κέρδη, ἀλλ᾽ εἰδέναι ὅτι πολλὴ ἡ ὑπὲρ τούτων ἡμῖν ἀντίδοσις ἔσαι.

** ΤΟΥ ΑΥΤΟΥ. Ἄπελθε, φησὶ, καὶ ποίησόν μοι ἐγκρυφίαν κατὰ μόνας, καὶ φάγω, καὶ οὕτω ποιήσεις τοῖς τέκνοις σου, καὶ φάγονται. Τί ποιεῖς Ἠλία; ἔσω· ἄρτον θέλεις· E τί καὶ κατὰ μόνας καὶ ἐν πρώτοις ζητεῖς; οὐ γὰρ ὀφείλεις εὐχαριστῆσαι, ἵνα μετὰ τῶν τέκνων φάγῃς; σὺ θέλεις φαγεῖν μόνος, καὶ λιμῷ τὰ τέκνα πνίξαι; οἶδα τὴν ἀφθονίαν τοῦ ἐμοῦ δεσπότου· ἀλλ᾽ ὅμως ἡ χήρα οὐκ ἐταράχθη, οὐδὲ ἐνενόησέ τι τοιοῦτον ἀτόπημα, οὔτε εἶπε, σὺ εἶ ὁ τὸν λιμὸν ποιήσας, καὶ ἐν τοῖς λειψάνοις τοῦ λιμοῦ διατραφῆναι θέλεις παρ᾽ ἐμοῦ; οὔτε εἶπεν, ὅτι τοσοῦτον κόσμον παρῆλθες, καὶ Z πρὸς ἐμὲ ἦλθες, λιμῷ καταφθεῖραι τὰ παιδία μου, αὐτὸς αἴτιος τοῦ λιμοῦ γενόμενος;

** ΑΔΗΛΟΥ. (3) Τί πρὸς αὐτὴν ὁ Προφήτης; σπεῦσον, καὶ ποίησόν μοι ἐγκρυφίας ἐν πρώτοις ἐμοὶ, ἐπ᾽ ἐσχάτῳ δὲ σεαυτῇ καὶ τοῖς τέκνοις σου. Πειρασμὸς ἦν τὸ ῥῆμα τοῦ Προφήτου, δοκιμὴ καρδίας, προαιρέσεως βάσανος. καὶ ἦν ὥσπερ ὑπὸ ζυγοῦ κειμένη ἡ καρδία τῆς μακαρίας ἐκείνης, καὶ δοκιμαζομένη. ποῦ ἄρα ῥέπει, πρὸς H τὴν τῶν τέκνων ἑαυτῆς εὔνοιαν, ἢ πρὸς τὴν

(1) Κατὰ τὸν, ὀρθότερ.

(2) Ἐκ τοῦ λόγου ἐσὶ τοῦ εἰς τὴν ἀποτομὴν τοῦ Προδρόμου καὶ εἰς τὴν Ἡρωδιάδα, τοῦ ἐν Τόμ. 8. τῶν τοῦ Χρυσοσ. κατὰ τὴν τοῦ Μοντφαυκ. ἔκδ. ὃν τοῖς τοῦ Χρυσοσ. νόθοις κατήλεξαν.

(3) Ἐκ τοῦ αὐτοῦ λόγου ἐσί. περὶ οὗ ἐν ταῖς σημειώσ. τῆς 226. σελ. εἰρήκαμέν τι.

τὴν τοῦ Προφήτου φιλοξενίαν; ἡ δὲ εἵλετο A
μᾶλλον αὐτὴν καὶ τὰ τέκνα αὐτῆς στενοχω-
ρῆσαι, καὶ τὸν Προφήτην ὑποδέξασθαι. ᾔδει
Ματθ. 10. 41, γὰρ, ὅτι ὁ δεχόμενος Προφήτην εἰς ὄνομα
42. „ Προφήτου, μισθὸν Προφήτου λήψεται· καὶ
„ ὁ ποτίζων ποτήριον ψυχροῦ εἰς ὄνομα μα-
„ θητοῦ, οὐ μὴ ἀπολέσῃ τὸν μισθὸν αὐτοῦ. τί
δέ ἐστιν ὃ εἶπεν ὁ Προφήτης, σπεῦσον; ἆρά-
γε τοσοῦτον ἐπείνα, ὡς δεῖσθαι σπουδῆς; οὐ
πάντως· ἀλλὰ τὸ τῆς εὐποιΐας σπουδαῖον καὶ
2. Κορ. 9. 7. ἱλαρὸν καὶ θερμόν· (1) μὴ μετὰ λύπης, ἢ B
„ μετὰ ἀνάγκης· ἱλαρὸν γὰρ δότην ἀγαπᾷ
„ ὁ Θεός· σπεῦσον καὶ ποίησον ἐν πρώτοις ἐμοί,
„ ἐπ' ἐσχάτῳ δὲ σεαυτῇ καὶ τοῖς τέκνοις σου.
σπεῦσον, ὡς Ἀβραὰμ ἐν τῇ τῶν Ἀγγέλων
ἐπιδημίᾳ ἔσπευσεν ἐπὶ τοὺς βόας, ἐπὶ τὸν
μόσχον, ἵνα λάβῃ τὸν ἀμνόν. καὶ ὡς Σάῤῥα
ἔσπευσεν ἐπὶ τοὺς ἐγκρυφίας, ἵνα λάβῃ τὸν
ἐν οὐρανοῖς κρυπτόμενον ἄρτον. σπεῦσον καὶ
ποίησον ὡς Ἀβραὰμ τὰς θυσίας τῷ Θεῷ·
μὴ πρότερον σαυτῇ, καὶ τότε ἐμοί, ὡς Γ
Κάϊν, καὶ Ὀφνεὶ καὶ Φινεὲς, υἱοὶ Ἠλεὶ
τοῦ ἱερέως. οἵτινες τὸν Θεὸν παρύβριζον
πρῶτοι τὰς ἀπαρχὰς λαμβάνοντες τῶν τῷ
Θεῷ προσφερομένων δώρων. ἡ δὲ τὸ προ-
στεταγμένον σπουδαίως ἐποίει.

ιδ. Ὅτι τάδε λέγει Κύριος ὁ Θεὸς
Ἰσραὴλ, ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐκ-
λείψει, καὶ ὁ καμψάκης τοῦ ἐλαίου οὐκ
ἐλαττονήσει ἕως ἡμέρας τοῦ δοῦναι Κύ- Δ
ριον ὑετὸν ἐπὶ τὴν γῆν.

✱✱ ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἐπα-
θέ τι πρὸς τὴν φωνὴν ὁ Προφήτης. οἰκτεί-
ρει μητέρα συλλιμώττουσαν τέκνοις, εἶδε
σπλάγχνα μητρὸς τῷ τῶν τέκνων λιμῷ
σπαραττόμενα, καὶ φωνὴν ἀφίησιν, ἰκμάδα
„ φιλανθρωπίας ἔχουσαν· τάδε λέγει Κύ-
„ ριος, ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ ἐκλείψει, καὶ
„ ὁ καμψάκης τοῦ ἐλαίου οὐκ ἐλαττονήσει ἕως
„ ἡμέρας τοῦ δοῦναι Κύριον ὑετὸν ἐπὶ τῆς γῆς. E
τέως τὸν ὑετὸν ἐπαγγέλλεται, εὐτρεπίζει
ταῖς ἐλπίσι τὰ νέφη, καὶ πηγὴν τῆς τρο-
φῆς τὴν ὑδρίαν ἐργάζεται.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλ' ὁ μέγας ἐκεῖ-
νος καὶ δίκαιος ἀνὴρ ὑπέσχετο μὲν τὰς τοῦ
ἀλεύρου καὶ ἐλαίου πηγάς· προσέταξε δὲ
αὐτῷ πρώτῳ ποιῆσαι καὶ κομίσαι τὸν ἄρ-
τον. ἡ δὲ πάλιν οὐκ ἐδυσφόρησεν, ὡς πε-
νίας, καὶ χηρείας, καὶ παιδοτροφίας τηκο- Z
μένη φροντίσιν· ἀλλὰ τὴν ἐπαγγελίαν δε-
ξαμένη πιστῶς, προσήνεγκε τὴν τροφήν.
καὶ ταῦτα οὐκ εἰδυῖα τὸν ἄνθρωπον· ἀλλό-
φυλος γὰρ ἦν· προφητικῆς δυνάμεως πεῖ-
ραν οὐ δεδεγμένη. οἶμαι δὲ ἐν ταύτῃ προ-
τυπωθῆναι τὴν ἐξ ἐθνῶν Ἐκκλησίαν. τὸν
γὰρ ὑπὸ τῶν Ἰσραηλιτῶν διωκόμενον, πι-
στῶς ὑπεδέξατο, καθάπερ καὶ ἡ Ἐκκλη-
σία τοὺς Ἀποστόλους ὑπ' αὐτῶν τούτων ἐξε-
λαθέντας.

A ιε. Καὶ ἐπορεύθη ἡ γυνὴ, καὶ ἐποίη-
σε, καὶ ἔδωκεν αὐτῷ, καὶ ἤσθιεν αὐτὴ
καὶ αὐτὸς καὶ τὰ τέκνα αὐτῆς.

✱✱ ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ὅση
τῆς ἡμέρας ἡ χρεία, τοσαύτη τῆς ὑδρίας
ἡ χορηγία· καθ' ἡμέραν, ἣν ἡ χήρα ἐβού-
λετο γεωργίαν ἐπὶ τῆς ὑδρίας ἐτρύγα.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀβραμιαία τις
γενομένη ἡ γυνὴ, εἰσελθοῦσα ἐποίησε κατὰ
B τὸ ῥῆμα τοῦ Προφήτου. καὶ ἦν ἰδεῖν τοῦ Ἀ-
βραὰμ μᾶλλον τὴν χήραν φιλοξενεστέραν.
ἐκεῖνος μὲν γὰρ εὔπορος ὢν, ἐξένισεν Ἀγ-
γέλους· αὕτη δὲ ἐκ λιμοῦ προσδοκῶσα θά-
νατον, ἐξένισε τὸν Προφήτην. καὶ ἦν ἰδεῖν
τὴν φύσιν καταφρονουμένην, καὶ φιλοξε-
νίαν τιμωμένην.

ις. Καὶ ἡ ὑδρία τοῦ ἀλεύρου οὐκ
ἐξέλειπε, καὶ ὁ καμψάκης τοῦ ἐλαίου
Γ οὐκ ἠλαττονήθη. (2)

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐγένετο ἡ δε-
ξιὰ τῆς χήρας ληνὸς, καὶ ἡ ἀριστερὰ ἅλων,
καὶ δράγματα ἐν ἀνάγκῃ, τὸν καρπὸν πα-
ρέχοντα, καὶ διὰ τοῦ λόγου τοῦ Προφήτου τὴν
χήραν διατρέφοντα. ληνὸς καὶ ἅλων ἐγέ-
νετο ἡ οἰκία τῆς χήρας· οὐ βροχὴ, οὐχ ὑε-
τὸς, οὐκ ἔαρ, οὐ μετόπωρον, οὐ θέρος, οὐ καῦ-
μα, οὐκ ἀνέμων ἀνάγκαι, οὐ καιρῶν ἀλλα-
γαὶ, ἀλλὰ μόνον εἷς λόγος προελθὼν, καὶ
Δ αὐτὸς ἀπὸ τῆς οἰκείας γνώμης ἐξενεχθεὶς,
χορηγεῖ τὴν ἀφθονίαν τῇ χήρᾳ.

ιζ. Καὶ ἐγένετο μετὰ ταῦτα, καὶ
ἠῤῥώστησεν ὁ υἱὸς τῆς γυναικός· (3) καὶ
ἦν ἡ ἀῤῥωστία αὐτοῦ κραταιὰ σφόδρα
ἕως οὐχ ὑπελείφθη ἐν αὐτῷ πνεῦμα.

✱✱ ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Τί
ποιεῖ τῆς φιλανθρωπίας ἡ πηγή; Τρίτῃ
περιβάλλει μηχανῇ τὸν Προφήτην, δι' ἧς
E ἡττηθεὶς ὁ Ἠλίας, καὶ ἄκων πρὸς φιλαν-
θρωπίαν καμφθῇ. νόσος γὰρ ἐν μέσῳ, καὶ
ὁ τῆς χήρας υἱὸς ἀνηρπάζετο· πρόσταγμα
Θεοῦ τὴν ψυχὴν ἐκ τοῦ σώματος μεταβαί-
νειν ἐκέλευε.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν τὸν
τῆς χήρας υἱὸν τελευτῆσαι συνεχώρησεν ὁ
Θεός; Ἀφθόνως ὁ Προφήτης ἀπολαύων
τροφῆς, τῆς τῶν ἄλλων ἀνθρώπων ἐπελά-
θετο συμφορᾶς. οὗ δὴ χάριν ὁ Δεσπότης
Z τὰς τῆς χήρας αὐτῷ ἐπεστράτευσεν οἰμω-
γάς. ἐπέγνω δὲ καὶ αὐτὸς τὴν αἰτίαν. οἴμοι
„ γὰρ φησὶ Κύριε, ὁ μάρτυς τῆς χήρας μεθ' ἧς
„ ἐγὼ οἰκῶ μετ' αὐτῆς, σὺ ἐκακοποίησας (4)
„ τοῦ θανατῶσαι τὸν υἱὸν αὐτῆς. ἀξιάγαστα δὲ
„ τῆς χήρας τὰ ῥήματα. εἰσῆλθες γὰρ, ἔφη,
„ πρός με τοῦ ἀναμνῆσαι τὰς ἁμαρτίας μου,
„ καὶ θανατῶσαι τὸν υἱόν μου. τῷ σῷ φωτὶ,
φησὶν, ἐγυμνώθη τὰ κεκρυμμένα μου πλημ-
μελήματα· καὶ οὐκ εἶπεν, οἷα δὴ ἀλλόφυλος
H οὖσα, οἰωνός μοι γέγονας πονηρὸς, (5) καὶ τὰ
τοιαῦ-

(1) Λείπει τὶ, ἴσ. τὸ, δοκιμάζων.

(2) Οὐκ ἠλαττονήθη, κατὰ τὸ ῥῆμα Κυρίου ὃ ἐλάλησεν ἐν χειρὶ Ἠλιού. αἱ εἰρημ. ἐκδόσ.

(3) Τῆς γυναικὸς τῆς κυρίας τοῦ οἴκου· καὶ ἦν. αἱ αὐτ.

(4) Ἐκάκωσας. ἡ ἐν Χάλ. ἐκδ.

(5) Πονηρὸς, πρόξενος κακῶν μοι ἡ σὴ γεγένηται παρουσία· ἀλλὰ, κτ. ἡ αὐτ.

τοιαῦτα· ἀλλὰ μᾶλλον ταῖς οἰκείαις ἁμαρτίαις τὸ συμβὰν ἀνέθηκε. τοσοῦτον ὤνησεν αὐτὴν ἡ τοῦ Προφήτου διδασκαλία. τοιγάρτοι καὶ δι' αὐτὴν γέγονεν ἡ τοῦ παιδὸς τελευτή· ἵνα θεασαμένη τὴν παρὰ φύσιν γεγενημένην ἀνάστασιν, βεβαίαν δέξηται τὴν εὐσέβειαν.

ιη. Καὶ εἶπε πρὸς Ἠλιοῦ, τί ἐμοὶ καὶ σοὶ ἄνθρωπε τοῦ Θεοῦ; εἰσῆλθες πρός με τοῦ ἀναμνῆσαι τὰς ἀδικίας μου, καὶ θανατῶσαι τὸν υἱόν μου;

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Περιΐσταται τῷ Προφήτῃ ἡ χήρα· τί ἐμοὶ καὶ
» σοὶ ἄνθρωπε τοῦ Θεοῦ; εἰσῆλθες πρός με
» ἀναμνῆσαι τὰς ἁμαρτίας μου, καὶ θανατῶ-
» σαι τὸν υἱόν μου; εἴθε, φησὶ, τῷ λιμῷ προαπολοίμην, εἴθε φθάσας ὁ θάνατος τῆς τοῦ τέκνου μου τελευτῆς προανήρπασε. νῦν δέ μοι χορηγῶν τὴν τροφὴν, πρὸς τοιαύτην με θέαν ἐτήρησας;

** ΦΙΛΩΝΟΣ ΕΒΡΑΙΟΥ. Χήρα ἐστὶν, οὐχ ἣν φαμὲν ἡμεῖς, ὅταν ἀνδρὸς ἐρήμη γένηται, ἀλλὰ τὸ χηρεύειν τῶν φθειρόντων καὶ λυμαινομένων τὴν διάνοιαν παθῶν. Καὶ μετ' ὀλίγα. Λέγει δὲ πρὸς τὸν Προφήτην πᾶσα διάνοια, χήρα καὶ ἐρήμου κακῶν μέλ-
» λουσα γίνεσθαι· ἄνθρωπε τοῦ Θεοῦ, εἰσῆλ-
» θες πρός με ἀναμνῆσαι τὸ ἀδίκημά μου καὶ τὸ ἁμάρτημά μου. εἰσελθὼν γὰρ εἰς τὴν ψυχὴν ὁ ἔνθους ἔρως καὶ κατεχημένος ἐξ ἔρωτος ὀλυμπίου, καὶ διηρεθισμένος τοῖς τῆς θεοφορήτου μανίας ἀκατασχέτοις οἴστροις, μνήμην ἀδικημάτων καὶ ἁμαρτημάτων ἀρχαίων ἐργάζεται· οὐχ ἵνα πάλιν αὐτοῖς χρήσηται, ἀλλ' ἵνα μέγα στενάξασα καὶ μέγα κλαύσασα τὴν παλαιὰν τροπὴν, τὰ μὲν ἐκείνης ἔγγονα μισήσασα ἀποστραφῇ, οἷς δ' ὑφηγεῖται ὁ ἑρμηνεὺς τοῦ Θεοῦ λόγος καὶ Προφήτης ἕπηται.

ιθ. Καὶ εἶπεν Ἠλιοῦ πρὸς τὴν γυναῖκα, δός μοι τὸν υἱόν σου. καὶ ἔλαβεν αὐτὸν ἐκ τοῦ κόλπου αὐτῆς, καὶ ἀνήνεγκεν αὐτὸν εἰς τὸ ὑπερῷον ἐν ᾧ αὐτὸς ἐκάθητο ἐκεῖ, καὶ ἐκοίμησεν αὐτὸν ἐπὶ τῆς κλίνης αὐτοῦ.

κ. Καὶ ἀνεβόησεν Ἠλιοῦ, καὶ εἶπεν, οἴμοι Κύριε, ὁ μάρτυς τῆς χήρας μεθ' ἧς ἐγὼ κατοικῶ μετ' αὐτῆς, σὺ κεκάκωκας τοῦ θανατῶσαι τὸν υἱὸν αὐτῆς.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Ἠπορεῖτο πρὸς τὸ συμβὰν ὁ Ἠλίας, καὶ τὴν φιλοξενίαν τοῦ γυναίου θαυμάζων, τῆς τοῦ τέκνου τελευτῆς τὴν αἰτίαν ἐζήτει· καὶ ζητῶν, εὗρεν οὖσαν τῶν καθ' ἑαυτὸν μηχανὴν

A παρὰ Θεοῦ τοῦ παιδίου τὸν θάνατον. καὶ τῷ Θεῷ προσπίπτει, καὶ ἐξαγγέλλει τὸ σόφισμα·
» οἴμοι Κύριε, ὁ μάρτυς τῆς χήρας, σὺ ἐκά-
» κωσας τοῦ θανατῶσαι τὸν υἱὸν αὐτῆς; ἔγνων σου τὴν κατ' ἐμοῦ μηχανήν· ᾔσθόμην οἷς παρὰ σοῦ περιβέβλημαι· ἀντίδοσιν ἀπαιτεῖς με φιλανθρωπίας, ἵν' ὅταν ἐγὼ περὶ τοῦ παιδίου τῆς χήρας ἱκετεύσω· λῦσον, ὦ κτίστα, τοῦ παιδίου τὸν θάνατον, ἀντεπαγάγῃς μοι καὶ αὐτός· λῦσον οὖν καὶ σὺ τὴν τοῦ
B παιδὸς μου τοῦ Ἰσραὴλ τῆς ἀβροχίας ἀπόφασιν. γίνομαι τοίνυν σου μαθητὴς τῆς φιλανθρωπίας, ὑπουργὸς ἡμερώτατος.

κα. Καὶ ἐνεφύσησε τῷ παιδαρίῳ τρὶς, καὶ ἐπεκαλέσατο τὸν Κύριον, καὶ εἶπε, Κύριε ὁ Θεός μου, ἐπιστραφήτω δὴ ἡ ψυχὴ τοῦ παιδαρίου τούτου
κβ. εἰς αὐτόν. Καὶ ἐγένετο οὕτω· καὶ ἀνεβόησε τὸ παιδάριον.

Γ * ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ Προφήτης [προσηύξατο πρὸς Κύριον περὶ τοῦ τεθνηκότος παιδαρίου·] μετὰ τὴν προσευχὴν [δὲ] τρὶς ἐμφυσήσας τῷ μειρακίῳ, εἰς ζωὴν ἐπανήγαγε. δηλοῖ δὲ ὁ μὲν ἀριθμὸς, τὴν προσκυνουμένην Τριάδα· τὸ δὲ ἐμφύσημα, τὴν ἐν ἀρχῇ τῆς ψυχῆς γεγενημένην δημιουργίαν. ἀλλ' ὁ μὲν (1) Προφήτης ἐμφυσήσας οὐκ ἄλλην ψυχὴν ἐδημιούργησεν, ἀλλὰ
Δ τὴν χωρισθεῖσαν τοῦ σώματος ἐπανήγαγε.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Δεῖξον, ὦ Δέσποτα, καὶ θάνατον πρὸς ἀνθρώπους ἡμερούμενον· μανθανέτω τὰ τῆς σῆς φιλανθρωπίας γνωρίσματα, φθανέτω καὶ ἄχρις ᾅδου τὰ τῆς σῆς ἀγαθότητος δόγματα· λυέσθω καὶ τῶν ζώντων ἡ τιμωρία, καὶ τῶν τεθνηκότων τὰ δεσμωτήρια. διεδέχετο τοῦ Προφήτου τὴν εὐχὴν ἡ τοῦ παιδίου ζωὴ, καὶ ὁ κατὰ ἀνθρώπων ἀήτ-
E τητος θάνατος, τὴν ἧτταν διὰ τὸν Ἠλίαν ἐμάνθανε, καὶ γλώττῃ τῇ προφητικῇ βιασθεὶς, ἐθριαμβεύθη. πρῶτος (2) γὰρ νεκρὸς ἐξ αὐτοῦ ἀποσπώμενος, ἀνθρωπίνως πενθεῖν ἐδιδάσκετο. τίς ἡ τῶν πραγμάτων, λέγων, αὕτη παρ' ἐλπίδας μεταβολή; νεκροὶ παλινδρομοῦσιν εἰς βίον, καὶ ψυχαὶ τοῖς ἑαυτῶν μετὰ θάνατον εἰσοικίζονται σώμασι.

Z κγ. Καὶ κατήγαγεν αὐτὸ ἀπὸ τοῦ ὑπερῴου εἰς τὸν οἶκον, καὶ ἔδωκεν αὐτὸ τῇ μητρὶ αὐτοῦ. καὶ εἶπεν Ἠλιοῦ, βλέ-
κδ. πε, ὁ υἱός σου ζῇ. Καὶ εἶπεν ἡ γυνὴ πρὸς Ἠλιοῦ, ἰδοὺ ἔγνωκα ὅτι ἄνθρωπος τοῦ Θεοῦ εἶ σὺ, καὶ ῥῆμα Κυρίου ἐν τῷ στόματί σου ἀληθινόν.



ΚΕΦ.

(1) Τὸ μὲν περιττόν. οὐ κεῖται δὲ ἐν τῇ κατὰ τὴν Χαλ. ἐκδόσ.

(2) Πρώτου γὰρ νεκροῦ ἐξ αὐτοῦ ἀποσπωμένου, οὕτως ἀνάγν. ἄλλως γὰρ ἡ μετοχὴ ἀνανταπόδοτος.

ΚΕΦ. ΙΗ.

α. Καὶ ἐγένετο μεθ' ἡμέρας
πολλὰς, καὶ ῥῆμα Κυρίου
ἐγένετο πρὸς Ἠλιοὺ ἐν τῷ
ἐνιαυτῷ τῷ τρίτῳ, λέγων, πορεύθη-
τι, καὶ ὄφθητι τῷ Ἀχαὰβ, καὶ δώ-
σω ὑετὸν ἐπὶ πρόσωπον τῆς γῆς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ φιλάνθρωπος [καὶ φιλοικτίρμων] Θεὸς ὁρῶν τῶν ἀνθρώπων τὸ γένος ὀλλύμενον, (1) καὶ τοῦ Προφήτου μὲν τὴν ψῆφον οὐκ ἐθέλων ἀτιμάσαι, οἰκτείρων δὲ τὸ γένος, ἐκεῖνον δὲ μὴ καμπτόμενον βλέπων ἐπὶ τὸ αἰτῆσαι τὸν ἔλεον, αὐτὸς ἔρχεται πρεσβευτὴς πρὸς τὸν οἰκέτην ὁ Δεσπότης, πρὸς τὸν πηλὸν ὁ δημιουργὸς, καὶ πείθει λῦσαι τῶν νεφῶν τὰς ὠδῖνας τὴν πεδήσασαν γλῶσσαν. ἐγένετο γάρ φησι
» μεθ' ἡμέρας πολλὰς, καὶ ῥῆμα Κυρίου ἐγένε-
» το πρὸς Ἠλίαν ἐν τῷ ἐνιαυτῷ τῷ τρίτῳ,
» λέγων, πορεύου, καὶ ὄφθητι τῷ Ἀχαὰβ,
» καὶ δώσω ὑετὸν ἐπὶ πρόσωπον τῆς γῆς.

β. Καὶ ἐπορεύθη Ἠλιοὺ τοῦ ὀφθῆ-
ναι τῷ Ἀχαὰβ, καὶ ἡ λιμὸς κραταιὰ
γ. ἐν Σαμαρείᾳ. Καὶ ἐκάλεσεν Ἀχαὰβ
τὸν Ἀβδιοὺ τὸν οἰκονόμον. καὶ Ἀβδιοὺ
ἦν φοβούμενος τὸν Κύριον σφόδρα.
Καὶ ἐγένετο ἐν τῷ τύπτειν τὴν Ἰεζά-
βελ τοὺς Προφήτας Κυρίου, καὶ ἔλα-
βεν Ἀβδιοὺ ἑκατὸν ἄνδρας Προφήτας
καὶ ἔκρυψεν αὐτοὺς ἀνὰ πεντήκοντα
ἐν δύω σπηλαίοις, καὶ διέτρεφεν αὐ-
ε. τοὺς ἐν ἄρτῳ καὶ ὕδατι. Καὶ εἶπεν
Ἀχαὰβ, δεῦρο, καὶ διέλθωμεν ἐπὶ
τὴν γῆν καὶ ἐπὶ τὰς πηγὰς τῶν ὑδά-
των καὶ ἐπὶ πάντας τοὺς χειμάῤῥους,
εἴπως (2) εὕρωμεν βοτάνην, καὶ περι-
ποιησόμεθα ἵππους καὶ ἡμιόνους, καὶ
οὐκ ἐξολοθρευθήσονται ἀπὸ τῶν κτη-
ϛ. νῶν. Καὶ ἐμέρισαν ἑαυτοῖς τὴν ὁδὸν
τοῦ διελθεῖν αὐτήν. Ἀχαὰβ ἐπορεύ-
θη ἐν ὁδῷ μιᾷ, καὶ Ἀβδιοὺ ἐπορεύθη
ἐν ὁδῷ ἄλλῃ μόνος.

** ΙΩΣΗΠΟΥ. Χρόνου ὀλίγου διελθόντος, παραγίνεται πρὸς Ἄχαβον τὸν βασιλέα κατὰ βούλησιν τοῦ Θεοῦ, δηλώσων αὐτῷ τὸν γενησόμενον ὑετόν. λιμὸς δὲ τότε κατεῖχε τὴν χώραν ἅπασαν, καὶ πολλὴ τῶν ἀναγκαίων ἀπορία, ὡς μὴ μόνον ἀνθρώπους αὐτῶν σπανίζειν, ἀλλὰ καὶ τὴν γῆν μηδ' ὅσα τοῖς ἵπποις καὶ τοῖς ἄλλοις κτήνεσι πρὸς νομὴν ἐστὶ χρήσιμα διὰ τὴν ἀνομβρίαν ἀναδιδόναι. τὸν οὖν ἐπιμελόμενον αὐτοῦ τῶν κτημάτων ὁ βασιλεὺς καλέσας Ὠβεδίαν, ἀπιέναι βούλεσθαι πρὸς αὐτὸν εἶπεν ἐπὶ τὰς πηγὰς τῶν ὑδάτων, καὶ τοὺς χειμάῤῥους, ἵν' εἴπου παρ' αὐτοῖς εὑρεθῇ πόα, ταύτην εἰς τροφὴν ἀμησάμενοι τοῖς κτήνεσιν ἔχωσι. καὶ περιπέμψας κατὰ πᾶσαν τὴν οἰκουμένην τοὺς ζητήσοντας τὸν προφήτην Ἠλίαν, οὐχ εὑρὼν, συνέπεσθαι ἐκέλευσε κἀκεῖνον
B αὐτῷ. δόξαν οὖν ἐξορμᾷν αὐτοῖς, μερισάμενοι τὰς ὁδοὺς, ὅ, τε Ὠβεδίας, καὶ ὁ βασιλεὺς ἀπῄεσαν ἕτερος ἑτέραν τῶν ὁδῶν. συνεβεβήκει δὲ, καθ' ὃν Ἰεζαβέλη ἡ βασίλισσα καιρὸν τοὺς Προφήτας ἀπέκτεινε, τοῦτον ἑκατὸν ἐν τοῖς ὑπογείοις σπηλαίοις κρύψαι Προφήτας, καὶ τρέφειν αὐτοὺς, ἄρτον χορηγοῦντα μόνον καὶ ὕδωρ.

ζ. Καὶ ἦν Ἀβδιοὺ ἐν τῇ ὁδῷ μόνος·
Γ καὶ ἦλθεν Ἠλιοὺ εἰς συνάντησιν αὐ-
τῷ, (3) καὶ Ἀβδιοὺ ἔσπευσε καὶ ἔπε-
σεν ἐπὶ πρόσωπον αὐτοῦ, καὶ εἶπεν, εἰ
η. σὺ εἶ αὐτὸς, κύριέ μου Ἠλιού; Καὶ εἶ-
πεν Ἠλιοὺ τῷ Ἀβδιοὺ, ἐγώ. πορεύου,
θ. λέγε τῷ κυρίῳ σου, ἰδοὺ Ἠλιού. Καὶ
εἶπεν Ἀβδιοὺ, τί ἡμάρτηκα, ὅτι πα-
ραδίδως (4) τὸν δοῦλόν σου εἰς χεῖρας Ἀ-
Δ χαὰβ τοῦ θανατῶσαί με;

ι. Ζῇ Κύριος ὁ Θεός σου, εἰ ἔστιν ἔθ-
νος ἢ βασιλεία, οὗ οὐκ ἀπέσταλκεν ὁ
κύριός μου ζητεῖν σε· καὶ εἶπον, οὐκ ἔστι,
καὶ ἐνέπρησε τὴν βασιλείαν καὶ τὰς
ια. χώρας αὐτῆς, ὅτι οὐχ εὕρηκέ σε. Καὶ
νῦν σὺ λέγεις, πορεύου, ἀνάγγελε τῷ
ιβ. κυρίῳ σου, ἰδοὺ Ἠλιού. Καὶ ἔσται ἐὰν
ἐγὼ ἀπέλθω ἀπὸ σοῦ, καὶ πνεῦμα Κυ-
E ρίου ἀρεῖ σε εἰς γῆν ἣν οὐκ οἶδα, καὶ εἰ-
σελεύσομαι ἀπαγγεῖλαι τῷ Ἀχαὰβ,
καὶ οὐχ εὑρήσει σε, καὶ ἀποκτενεῖ με.
καὶ ὁ δοῦλός σου ἐστὶ φοβούμενος τὸν Κύ-
ριον ἐκ νεότητος αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, εἰ ἔστιν
» ἔθνος ἢ βασιλεία, οὗ οὐκ ἀπέσταλκεν ὁ κύ-
» ριός μου ζητεῖν σε, καὶ εἶπον, οὐκ ἔστιν. Ἐπει- 3. Βασ. 17. 1.
δὴ ὁ Προφήτης εἰρήκει τῷ Ἀχαὰβ, ζῇ Κύ-
Z » ριος ὁ Θεός μου, εἰ ἔσται τὰ ἔτη ταῦτα ὑετὸς
» [ἢ δρόσος.] εἰ μὴ διὰ λόγου στόματός μου·
λαβὼν τῆς τῶν λόγων ἀληθείας τὴν πεῖραν ὁ Ἀχαὰβ, ἀναγκαίως ἐπεζήτει τὸν τῇ γλώττῃ τὰ νέφη καθείρξαντα, ἵνα δυοῖν θάτερον δράσῃ, ἢ ἀνοῖξαι πείσῃ, ἢ μὴ πειθόμενον διολέσῃ. ὁ δὲ Ἀβδιοὺ τῶν ἄγαν ἦν εὐσεβῶν. καὶ τοῦτο διδάσκει οὐ μόνον αὐτοῦ τὰ ῥήματα, ἀλλὰ καὶ τὰ πράγματα. πρῶτον μὲν γὰρ ἀναιρουμένους ὑπὸ τῆς Ἰεζάβελ τοὺς

(1) Διολλύμενον, καὶ τὸν Προφήτην αἰτῆσαι τὸν ἔλεον μὴ βουλόμενον, καὶ τοὺς μὲν οἰκτείρων, καὶ δεῖναι τὸν ἔλεον ἐπειγόμενος, τὸν δὲ γεραίρων, καὶ παρὰ τὴν αὐτοῦ γνώμην λῦσαι τὴν ἐξενεχθεῖσαν οὐκ ἀνεχόμενος ψῆφον, αὐτὸς ἔρχεται, κτ. ἡ ἐν Χαλ. ἔκδ.

(2) Ἐάν πως. αἱ εἰρημ. ἐκδόσ.

(3) Αὐτοῦ. αἱ αὐτ.

(4) Δίδως. αἱ αὐτ.

τὺς Προφήτας ὁρῶν, ὐ μόνον κατέκρυψεν, ἀλλὰ καὶ διέθρεψε, καὶ ὐ τρεῖς ἢ (1) τέσσαρας, ὐ πεντεκαίδεκα, ἀλλ᾽ ἑκατὸν, διχῇ διελών. καὶ ὐκ ἔδεισε τὴν τῦ κράτυς (2) μιαιφονίαν, ἀλλὰ πάντων προτετίμηκε τὴν εὐσέβειαν. ἔπειτα δὲ τὸν μέγαν Ἠλίαν ἰδὼν, ἔπεσεν ἐπὶ πρόσωπον αὐτῦ. καὶ εἶπεν, εἰ σὺ εἶ αὐτὸς ὁ κύριός μυ (3) Ἠλιῦ; καὶ τὰ ἑξῆς δὲ δείκνυσιν αὐτῦ τὴν εὐσέβειαν. ἔσαι γάρ φησιν ὅτε ἀπέλθω ἀπὸ σῦ, καὶ πνεῦμα Κυρίυ ἀρεῖ σε εἰς γῆν ἣν ὐκ οἶδα. ἀνδρὸς γὰρ ταῦτα μελετῶντος τὰ θεῖα, καὶ τῦ θείυ πνεύματος ἐπισαμένυ τὴν δύναμιν.

ιγ. Ἦ ὐκ ἀπηγγέλη σοι τῷ κυρίῳ μυ, οἷα πεποίηκα ἐν τῷ ἀποκτέ-
νειν Ἰεζάβελ τὺς Προφήτας Κυρίυ,
καὶ ἔλαβον ἀπὸ τῶν Προφητῶν Κυ-
ρίυ ἑκατὸν ἄνδρας, καὶ ἔκρυψα αὐ-
τὺς ἀνὰ πεντήκοντα ἐν σπηλαίοις, (4)
καὶ ἔθρεψα αὐτὺς ἐν ἄρτῳ καὶ ὕδατι;
ιδ. Καὶ νῦν σὺ λέγεις μοι, πορεύυ, λέγε
τῷ κυρίῳ συ, ἰδὺ Ἠλιῦ· καὶ ἀποκτε-
ιε. νεῖ με. Καὶ εἶπεν Ἠλιῦ, ζῇ Κύριος
τῶν δυνάμεων ᾧ παρέστην ἐνώπιον αὐ-
τῦ, ὅτι σήμερον ὀφθήσομαι αὐτῷ.
ιϛ. Καὶ ἐπορεύθη Ἀβδιῦ εἰς συνάντησιν
τῷ Ἀχαὰβ, καὶ ἀπήγγειλεν αὐτῷ.
καὶ ἐξέδραμεν Ἀχαὰβ, καὶ ἐπορεύθη
εἰς συνάντησιν Ἠλιῦ.

ιζ. Καὶ ἐγένετο ὡς εἶδεν Ἀχαὰβ
τὸν Ἠλιῦ, καὶ εἶπεν Ἀχαὰβ πρὸς Ἠ-
λιῦ, εἰ σὺ εἶ αὐτὸς ὁ διαστρέφων τὸν
ιη. Ἰσραήλ; Καὶ εἶπεν Ἠλιῦ, ὐ διαστρέ-
φω ἐγὼ τὸν Ἰσραὴλ, ὅτι ἀλλ᾽ ἢ σὺ
καὶ ὁ οἶκος τῦ πατρός συ, ἐν τῷ κα-
ταλιμπάνειν ὑμᾶς τὸν Κύριον Θεὸν
ὑμῶν, καὶ ἐπορεύθητε (5) ὀπίσω τῶν
Βααλίμ.

Παροιμ. 28. 1. ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Δίκαιος ὡς λέων πέποιθε. τοιῦτος ἦν ὁ Ἠλίας. εἶδε γῦν τὸν βασιλέα πρὸς αὐτὸν ἐρχόμενον, καὶ εἰπόντος ἐκείνυ, ἵνα τί διαστρέφεις τὸν Ἰσραήλ; ὐκ ἐγὼ διαστρέφω, φησὶν, ἀλλὰ σὺ καὶ ὁ οἶκος τῦ πατρός συ. ἀληθῶς, δίκαιος ὡς λέων πεποιθε. καθάπερ γὰρ λέων κυνιδίυ τινὸς εὐτελῦς κατεξανέστη τῦ βασιλέως. καίτοι πορφυρίδα εἶχεν ἐκεῖνος, ἀλλ᾽ εἶχε μηλωτὴν ὗτος, ἱμάτιον τῆς πορφυρίδος ἐκείνης σεμνότερον. ἡ μὲν γὰρ πορφυρὶς ἐκείνη τὸν λιμὸν ἔτεκε τὸν χαλεπὸν, ἡ μηλωτὴ δὲ αὕτη τὰ δεινὰ ἔλυσε.

ιθ. Καὶ νῦν ἀπόστειλον, καὶ συνάθροισον πρός με πάντα Ἰσραὴλ εἰς ὄρος τὸ Καρμήλιον, καὶ τὺς Προφήτας τῦ Βάαλ τετρακοσίυς καὶ πεντήκοντα, καὶ τὺς Προφήτας τῆς αἰσχύνης τετρακοσίυς καὶ πεντήκοντα, καὶ τὺς Προφήτης τῶν ἀλσῶν τετρακοσίυς ἐσθίοντας τράπεζαν Ἰεζάβελ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τῦ νόμυ διαγορεύοντος ἐν ἑνὶ τόπῳ λατρεύειν, ὁ Ἠλιῦ ἐν τῷ Καρμήλῳ θυσιαστήριον ᾠκοδόμησεν; Ὅτι τῷ δικαίῳ νόμος ὐ κεῖται, κατὰ τὸν θεῖον Ἀπόστολον, ἀνόμοις δὲ καὶ ἀνυποτάκτοις. (1. Τιμ. 1.) καὶ γὰρ τὸν Ἰσραὴλ διὰ τὴν δυσκολίαν (6) τῆς γνώμης ἐν ἑνὶ χωρίῳ λατρεύειν νενομοθέτηκεν, ἵνα μὴ λαβόντες ἄδειαν προσκυνήσωσι καὶ τοῖς ψευδωνύμοις Θεοῖς. ὁ δὲ Προφήτης δεῖξαι ἠβυλήθη τῶν μὲν λαοπλάνων Δαιμόνων τὸ ἀσθενὲς, τῦ δὲ Θεῦ τῶν ὅλων τὸ παντοδύναμον· ἀγαγεῖν δὲ αὐτὺς εἰς τὸν ἐν Ἱεροσολύμοις ναὸν ὐχ οἷόν τε ἦν, διχῇ τῆς βασιλείας διῃρημένης. ὅθεν αὐτὺς ἀνήγαγεν εἰς τὸν Κάρμηλον, ἔνθα τὰς πλείυς ἐποιεῖτο διατριβάς.

κ. Καὶ ἀπέστειλεν Ἀχαὰβ εἰς πάντα Ἰσραὴλ, καὶ ἐπισυνήγαγε πάντας τὺς Προφήτας εἰς τὸ ὄρος τὸ Καρμήλιον.

κα. Καὶ προσήγαγεν Ἠλιῦ πρὸς πάντα τὸν λαόν· καὶ εἶπεν αὐτοῖς Ἠλιῦ, ἕως πότε ὑμεῖς χωλανεῖτε ἐπ᾽ ἀμφοτέραις ταῖς ἰγνύαις; εἰ ἔστι Κύριος ὁ Θεὸς, πορεύεσθε ὀπίσω αὐτῦ· εἰ δὲ Βάαλ, πορεύεσθε ὀπίσω αὐτῦ. καὶ ὐκ ἀπεκρίθη ὁ λαὸς λόγον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, ἕως πότε χωλανεῖτε ἐπ᾽ ἀμφοτέραις ταῖς ἰγνύαις ὑμῶν; Καὶ τὸν Θεὸν προσεκύνυν, καὶ τοῖς εἰδώλοις ἐλάτρευον. ὅθεν ἐπήγαγεν, εἰ ἔστι Κύριος ὁ Θεὸς, δεῦτε καὶ πορευθῶμεν ὀπίσω αὐτῦ· εἰ δὲ ὁ Βάαλ ἐστὶ, πορεύεσθε ὀπίσω αὐτῦ. ὔτε ὁ Θεὸς βύλεται, φησὶ, τιμᾶσθαι τὺς ψευδωνύμυς Θεὺς, ὔτε αὐτοὶ τὸν ἀληθινὸν προσκυνεῖσθαι Θεόν. ὑμεῖς δὲ (7) καὶ ταῦτα κἀκεῖνα ποιῦντες, ὐδετέρῳ φυλάττετε [βεβαίαν] τὴν εὔνοιαν.

** ΩΡΙΓΕΝΟΥΣ. Πρόσχωμεν, μή ποτε κἂν δισταγμὸς, περὶ τῦ πότερόν ποτε ἀρνητέον, ἢ ὁμολογητέον, γένηται ἐν ἡμῖν· ἵνα μὴ καὶ πρὸς ἡμᾶς ὁ τῦ Ἠλιῦ λεχθῇ λόγος, ὕτως ἔχων· ἕως πότε ὑμεῖς χωλανεῖτε ἐπ᾽ ἀμφοτέραις ταῖς ἰγνύαις; εἰ ἔστι Κύριος ὁ Θεὸς, πορεύεσθε ὀπίσω αὐτῦ.

κβ. Καὶ εἶπε Ἠλιῦ πρὸς τὸν λαὸν,
ἐγὼ ὑπολέλειμμαι Προφήτης τῦ Κυ-
ρίυ μονώτατος· καὶ οἱ Προφῆται τῦ
Βάαλ τετρακόσιοι καὶ πεντήκοντα ἄν-
δρες, καὶ οἱ Προφῆται τῦ ἄλσυς τε-
κγ. τρακόσιοι· Δότωσαν ἡμῖν δύο βόας,
καὶ ἐκλεξάσθωσαν ἑαυτοῖς τὸν ἕνα,
καὶ

(1) Οὐδὲ τέσσαρας, ὐδὲ πέντε καὶ δέκα, ἀλλ᾽ ἑκ. ἡ ἐν Χάλ. ἔκδ. (2) Τῆς κρατύσης. ἡ αὐτ. (3) Κύριέ μυ Ἠλίας. ἡ αὐτ. (4) Σπηλαίῳ. αἱ αὐτ. (5) Ἐπορεύθης. αἱ αὐτ. (6) Εὐκολίαν. ἡ αὐτ. (7) Δὲ ταῦτα κἀκεῖνα ποιεῖτε, καὶ ὐδετ. ἡ αὐτ.

καὶ μελισάτωσαν, καὶ ἐπιθέτωσαν A
ἐπὶ τῶν ξύλων, καὶ πῦρ μὴ ἐπιθέτω-
σαν· κ᾽ ἐγὼ ποιήσω τὸν βοῦν τὸν ἄλ-
κδ. λον, καὶ πῦρ οὐ μὴ ἐπιθῶ. Καὶ βοᾶ-
τε ἐν ὀνόματι Θεῶν ὑμῶν, κ᾽ ἐγὼ ἐπι-
καλέσομαι ἐν τῷ ὀνόματι Κυρίου τοῦ
Θεοῦ μου· καὶ ἔσαι ὁ Θεὸς ὃς ἐὰν ἀκού-
σῃ ἐν πυρὶ, οὗτος Θεός. καὶ ἀπεκρί-
θησαν πᾶς ὁ λαὸς, καὶ εἶπαν, κα-
λὸν τὸ ῥῆμα ὃ ἐλάλησας.

κε. Καὶ εἶπεν Ἠλιοὺ τοῖς Προφή-
ταις τῆς αἰσχύνης, ἐκλέξασθε ἑαυ-
τοῖς τὸν μόσχον τὸν ἕνα, καὶ ποιήσατε
πρῶτοι, ὅτι πολλοὶ ὑμεῖς· καὶ ἐπικα-
λεῖσθε ἐν ὀνόματι Θεοῦ ὑμῶν, καὶ πῦρ
κϛ. μὴ ἐπιθῆτε. Καὶ ἔλαβον τὸν μόσχον
καὶ ἐποίησαν, καὶ ἐπεκαλοῦντο ἐν ὀνό-
ματι τοῦ Βάαλ ἐκ πρωΐας ἕως μεσημ- Γ
βρίας, καὶ εἶπαν, ἐπάκουσον ἡμῶν ὁ
Βάαλ, ἐπάκουσον ἡμῶν. κ᾽ οὐκ ἦν φω-
νὴ, καὶ οὐκ ἦν ἀκρόασις. καὶ διέτρε-
χον ἐπὶ τοῦ θυσιασηρίου οὗ ἐποίησαν.
κζ. Καὶ ἐγένετο μεσημβρία, καὶ ἐμυκτή-
ρισεν αὐτοὺς Ἠλιοὺ ὁ Θεσβίτης, καὶ
εἶπεν, ἐπικαλεῖσθε ἐν φωνῇ μεγάλῃ,
ὅτι Θεός ἐσιν, ὅτι ἀδολεσχία αὐτῷ ἐσὶ,
καὶ ἅμα μήποτε χρηματίζει αὐτὸς,
ἢ μήποτε καθεύδει αὐτὸς, καὶ ἐξα-
νασήσεται. Καὶ ἐπεκαλοῦντο ἐν φωνῇ
μεγάλῃ, καὶ κατετέμνοντο κατὰ τὸν
ἐθισμὸν αὐτῶν ἐν μαχαίραις, καὶ σει-
ρομάσαις ἕως ἐκχύσεως αἵματος, (1)
κθ. Καὶ προεφήτευον ἕως οὗ παρῆλθε τὸ
δειλινόν. καὶ ἐγένετο ὡς ὁ καιρὸς τοῦ
ἀναβῆναι τὴν θυσίαν, καὶ οὐκ ἦν φω- E
νὴ, καὶ οὐκ ἦν ἀκρόασις. καὶ ἐλάλη-
σεν Ἠλιοὺ ὁ Θεσβίτης πρὸς τοὺς Προ-
φήτας τῶν προσοχθισμάτων, λέγων,
μετάσητε ἀπὸ τοῦ νῦν, καὶ ἐγὼ ποιή-
σω τὸ ὁλοκαύτωμά μου. καὶ μετέση-
λ. σαν, καὶ ἀπῆλθον. Καὶ εἶπεν Ἠλιοὺ
πρὸς τὸν λαὸν, προσάγαγε (2) πρός-
με. κ᾽ προσήγαγε πᾶς ὁ λαὸς πρὸς
αὐτὸν, κ᾽ ἰάσατο τὸ θυσιασήριον Κυ- Z
λα. ρίου τὸ κατεσκαμμένον. Καὶ ἔλαβεν
Ἠλιοὺ δώδεκα λίθους κατὰ ἀριθμὸν
φυλῶν τοῦ Ἰσραὴλ, ὡς ἐλάλησε Κύ-
ριος πρὸς αὐτὸν, λέγων, Ἰσραὴλ ἔσαι
τὸ ὄνομά σου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκεν τοῖς ἱε-
ρεῦσι τοῦ Βάαλ τὸν πίονα βοῦν ἐκλέξασθαι,
καὶ πρώτοις ἐπιτελέσαι τὴν θυσίαν ἐπέ-
τρεψεν; (3) Ὁ ὄντως Θεὸς οὐδενὸς τούτων
A ἐνδεής ἐσιν. ἵνα τοίνυν καταισχυνθέντες οἱ
τοῦ ψεύδους ὑπηρέται, μὴ ἔπωσι χαλεπαί-
νειν τὸν Βάαλ, ὡς μὴ τὸ πρῶτον δεξάμε-
νον γέρας, τῶν πρωτείων αὐτοῖς παρεχώ-
ρησεν. ἐπεὶ δὲ κ᾽ τούτων γεγενημένων, οὐδὲν
» ἐπέραινον· [τὰ γὰρ εἴδωλα τῶν ἐθνῶν ἀρ- Ψαλ. 134. 15, 17.
» γύριον καὶ χρυσίον, ἔργα χειρῶν ἀνθρώ-
» πων, ὦτα ἔχουσι καὶ οὐκ ἀκούσονται·] ἐπι-
κερτομῶν αὐτοῖς ἔλεγεν ὁ Προφήτης· ἐπι-
» καλεῖσθε ἐν φωνῇ μεγάλῃ ἅμα, μήποτέ
B» τις ἀδολεσχία αὐτῷ ἐσί· μήποτε χρημα
» τίζει αὐτὸς, ἢ μήποτε καθεύδει, καὶ ἐξα-
νασήσεται. [εἰκὸς αὐτόν φησι καθεύδειν, ἢ
ἕτερά τινα πρυτανεύειν, ἢ περὶ ἄλλα σχο-
λάζειν, ὅθεν ἐνὸς οὐκ ἐπαΐει καλοῦντος. προ-
σήκει τοίνυν κοινῇ πάντας βοῆσαι, ἵνα τὸ
μέγα τῆς βοῆς ἐξελάσῃ τὸν ὕπνον.] ὑπήχ-
θησαν δὲ τοῖς λόγοις οἱ λίαν ἀσύνετοι, (4)
καὶ κοινὴν ἀφῆκαν βοὴν, καὶ κατέτεμνον
μαχαίραις καὶ σειρομάσαις ἑαυτοὺς ἕως ἐκ-
Γ χύσεως αἵματος. μιαιφόνοι γὰρ ὄντες οἱ
τῶν ἀνθρώπων ἀλάσορες τοῖς τῶν ἀνθρώ-
πων αἵμασιν ἐπιτέρπονται. οὗ δὴ χάριν, τοῦ-
τον αὐτοὺς τὸν τρόπον οἱ ἱερεῖς ἐθεράπευον.
καὶ τοῦτο δεδήλωκεν ὁ συγγραφεὺς εἰπὼν,
» κατετέμνοντο κατὰ τὸν ἐθισμὸν αὐτῶν.
τούτων οὕτω τὴν ἀπάτην γυμνώσας, καὶ τῷ
τῶν πρωτείων παραχωρῆσαι, καὶ τῷ πᾶ-
σαν αὐτοῖς σχεδὸν τὴν ἡμέραν ἐνδοῦναι, πε-
ρὶ αὐτὰς τὰς ἡλίου δυσμάς· τοῦτο γὰρ ἡ
Δ» ἱσορία δεδήλωκεν· ἐγένετο γὰρ [φησιν] ὡς
» ὁ καιρὸς τοῦ ἀναβῆναι τὴν θυσίαν· συνή-
θροισε μὲν πάντα τὸν λαὸν, ἰσαρίθμους
δὲ τῶν φυλῶν αὐτῶν, οὐ τῶν δέκα, ἀλλὰ
τῶν δυοκαίδεκα λίθους κομισθῆναι κελεύ-
σας, τὸ κατεσκαμμένον Θεοῦ θυσιασήριον
ᾠκοδόμησε, καὶ τὰ ξύλα συντεθεικὼς, τὸ
ἱερεῖον ἐπέθηκε.

λβ. Καὶ ᾠκοδόμησε τοὺς λίθους ἐν
E ὀνόματι Κυρίου· καὶ ἐποίησε θάλασ-
σαν χωροῦσαν δύω μετρητὰ (5) σπέρ-
ματος κυκλόθεν τοῦ θυσιασηρίου.

** ΙΩΣΗΠΟΥ. Λαβὼν δώδεκα λίθους,
κατὰ φυλὴν τοῦ λαοῦ τῶν Ἑβραίων, ἀνέση-
σεν ἐξ αὐτῶν θυσιασήριον, καὶ περὶ αὐτὸ
δεξαμενὴν ὤρυξε βαθυτάτην.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐν κύκλῳ δὲ ὀρύ-
ξας, δοχεῖον ἐποίησεν ὕδατος. τοῦτο ὁ μὲν
Ἑβραῖος θάλασσαν (6) προσηγόρευσεν, ὁ
Z δὲ Ἰώσηπος δεξαμενήν.

λγ. Καὶ ἐσοίβασε τὰς σχίδακας
ἐπὶ τὸ θυσιασήριον ὃ ἐποίησε, κ᾽ ἐμέ-
λισε τὸ ὁλοκαύτωμα κ᾽ ἐπέθηκεν ἐπὶ
τὰς σχίδακας, καὶ ἐσοίβασεν ἐπὶ τὸ
θυσιασήριον, κ᾽ εἶπε, λάβετέ μοι τέσ-
σαρας ὑδρίας ὕδατος, καὶ ἐπιχέετε
ἐπὶ τὸ ὁλοκαύτωμα καὶ ἐπὶ τὰς σχί-
λδ. δακας. καὶ ἐποίησαν οὕτω. Καὶ εἶπε,

(1) Αἵματος ἐπ᾽ αὐτοὺς, Καί. αἱ αὐτ.
(2) Προσαγάγετε. αἱ αὐτ.
(3) Προσέταξεν; ἡ αὐτ.
(4) Ἀνόητοι. ἡ αὐτ.
(5) Μετρητάς. αἱ εἰρημ. ἐκδόσ.
(6) Θααλά. ἡ αὐτ.

δευτερώσατε. καὶ ἐδευτέρωσαν. καὶ
εἶπε, τρισσεύσατε. καὶ ἐτρίσσευσαν.
λε. Καὶ διεπορεύετο τὸ ὕδωρ κύκλῳ τοῦ
θυσιαστηρίου, καὶ τὴν θάλασσαν ἔπλη-
σεν (1) ὕδατος. (2)

** ΙΩΣΗΠΟΥ. Σωθεὶς τὰς σχίζας ἐπὶ τοῦ βωμοῦ, καὶ κατ' αὐτῶν ἐπιθεὶς τὰ ἱερεῖα, τέσσαρας ἀπὸ τῆς κρήνης ὑδρίας προσέταξε πληρωθείσας ὕδατος κατασκεδάσαι τοῦ θυσιαστηρίου, ὡς ὑπερβαλεῖν αὐτὸ, καὶ τὴν δεξαμενὴν ἅπασαν ὕδατος γεμισθῆναι, πηγῆς ἀναδοθείσης.

* ΘΕΟΔΩΡΙΤΟΥ. Προσήνεγκε δὲ οὐ πῦρ, ἀλλ' ὕδωρ τοῖς ξύλοις. ἰσαρίθμους (3) γὰρ πάλιν τῶν φυλῶν ἀμφορέας ἐνεχθῆναι κελεύσας, καὶ τούτους ὕδατος ἐμπλήσας, ἐπέχεε τῇ θυσίᾳ. οὐχ ἅπαξ δὲ μόνον, οὐ (4) δὶς, ἀλλὰ τρὶς τοῦτο πεποίηκε, τῆς προσκυνουμένης πάλιν Τριάδος ἐμφαίνων τὸν ἀριθμόν.

** ΒΑΣΙΛΕΙΟΥ. Ἔδειξεν Ἠλίας τοῦ βαπτίσματος τὴν ἰσχὺν ἐπὶ τοῦ βωμοῦ τῶν ὁλοκαυτωμάτων, οὐ διὰ πυρὸς, ἀλλὰ δι' ὕδατος τὴν θυσίαν ὁλοκαυτώσας· ἄλλως μὲν οὖν ἡ τοῦ πυρὸς φύσις τῷ ὕδατι μάχεται. ἐπειδὴ δὲ μυστικῶς τὸ ὕδωρ τρίτον τότε τοῦ βωμοῦ κατεχέθη, ἀρχὴ ἐγένετο τῷ πυρὶ, καὶ ἐξῆψε τὴν φλόγα ὥσπερ ἔλαιον. λά-
» βετέ μοι, φησὶν, ὑδρίας, καὶ ἐπιχέετε ἐπὶ
» τὸ ὁλοκαύτωμα, καὶ ἐπὶ τὰς σχίδακας. καὶ
» εἶπε· δευτερώσατε, καὶ ἐδευτέρωσαν· τρισ-
» σώσατε, καὶ ἐτρίσσωσαν. δεικνύντος τοῦ λόγου, ὅτι διὰ τοῦ βαπτίσματος τῷ Θεῷ οἰκειοῦται ὁ προσαγόμενος, καὶ ὅτι φῶς καθαρὸν καὶ οὐράνιον ἐν ταῖς τῶν προσιόντων ψυχαῖς διὰ τῆς εἰς τὴν Τριάδα πίστεως ἀναλάμπει.

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ ἐποίησε
» θυσιαστήριον, καὶ ἐπέθηκε τὰ ξύλα, καὶ
» εἶπε· φέρετε ὕδωρ κύκλῳ τοῦ θυσιαστηρίου,
» καὶ ἔφερον· δισσώσατε, καὶ ἐδίσσωσαν· τρισ-
» σώσατε, καὶ ἐτρίσσωσαν. Ἀλλ' ὅρα καὶ τοῦτο διατὶ ποιεῖ ὁ Ἠλίας. ἐπειδὴ ἔθος τῇ πλάνῃ τῇ ἀληθείᾳ τὰ ἴδια προσάπτειν, ὅπερ αἱ γυναῖκες αἱ πόρναι ποιοῦσι, καὶ προλαμβάνουσι, καὶ τὰς ἐλευθέρας πόρνας καλοῦσιν, ἵνα μὴ ἔχωσιν ἐκεῖναι τὶ ἀνθυβρίσωσιν. ἀλλ' ὅμως Ἠλίας καὶ ἐν τούτῳ σοφίζεται· διὰ τί; ἀλλ' ὃ μέλλω λέγειν θεατὴς αὐτὸς γέγονα· ἐν τοῖς βωμοῖς τῶν εἰδώλων ὀπαί εἰσι κάτωθεν τοῦ θυσιαστηρίου, καὶ ἔστι τὶς λάκκος κάτωθεν ἀφανὴς, καὶ κατέρχονται οἱ τῆς πλάνης ἐργάται ἐν τῷ λάκκῳ, καὶ οὕτω ταῖς ὀπαῖς ἐκείναις κάτωθεν τὸ πῦρ ἄνωθεν ἐκφυσῶσιν εἰς τὴν θυσίαν, ὡς πολλοὺς ἀπατᾶσθαι, καὶ νομίζειν οὐράνιον εἶναι τὸ πῦρ. ἵνα οὖν μὴ καὶ ὁ Ἠλίας τοιοῦτόν τι ὑπονοηθῇ ποιεῖν, ἔπεμπε τὸ ὕδωρ·

A ἵνα τὴν ὀπὴν τὸ ὕδωρ ἐλέγξῃ. ἀνάγκη (5) γὰρ ὅπου ὀπὴν εὑρίσκει τὸ ὕδωρ οὐ στήκει, ἀλλὰ κατέρχεται.

λς. Καὶ ἀνεβόησεν Ἠλιοὺ εἰς τὸν
οὐρανὸν, καὶ εἶπε, Κύριε ὁ Θεὸς Ἀ-
βραὰμ καὶ Ἰσαὰκ καὶ Ἰσραὴλ, ἐπά-
κουσόν μου Κύριε, καὶ (6) ἐπάκουσόν μου
σήμερον ἐν πυρὶ, καὶ γνώτωσαν πᾶς
ὁ λαὸς οὗτος, ὅτι σὺ εἶ Κύριος ὁ Θεὸς
B Ἰσραὴλ, καὶ ἐγὼ δοῦλος σὸς, καὶ διὰ
λζ. σὲ πεποίηκα τὰ ἔργα ταῦτα. Ἐπά-
κουσόν μου Κύριε, ἐπάκουσον ἐν πυρὶ,
καὶ γνώτωσαν πᾶς ὁ λαὸς οὗτος, ὅτι
σὺ εἶ Κύριος ὁ Θεὸς, καὶ σὺ ἔστρεψας
λη. τὴν καρδίαν τοῦ λαοῦ τούτου ὀπίσω. Καὶ
ἔπεσε πῦρ παρὰ Κυρίου ἐκ τοῦ οὐρανοῦ,
καὶ κατέφαγε τὸ ὁλοκαύτωμα καὶ
Γ τὰς σχίδακας καὶ τοὺς λίθους καὶ τὸν
χοῦν καὶ τὸ ὕδωρ τὸ ἐν τῇ θαλάσσῃ ἐξέ-
λθ. λειξε τὸ πῦρ. Καὶ ἔπεσε πᾶς ὁ λαὸς
ἐπὶ πρόσωπον αὐτῶν, καὶ εἶπαν, ἀλη-
μ. θῶς Κύριός ἐστιν ὁ Θεός. Καὶ εἶπεν
Ἠλιοὺ πρὸς τὸν λαὸν, συλλάβετε
τοὺς Προφήτας τοῦ Βάαλ, μηδεὶς σω-
θήτω ἐξ αὐτῶν, καὶ συνέλαβον αὐ-
τοὺς, καὶ κατάγει αὐτοὺς Ἠλιοὺ εἰς
Δ τὸν χειμάῤῥουν Κισσῶν, καὶ ἔσφαξεν
αὐτοὺς ἐκεῖ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Βοῇ δὲ χρησάμενος, ἱκέτευσε τὸν τῶν πατέρων Θεὸν δεῖξαι τὸ διάφορον, καὶ τὸν ἐξηπατημένον ἐπιστρέψαι λαὸν, καὶ θεοσδότῳ πυρὶ τὴν θυσίαν ὁλοκαυτῶσαι· καὶ τῆς εὐχῆς μηδέπω δεξαμένης τὸ πέρας, κατηνέχθη τὸ πῦρ, καὶ κατηνάλωσεν οὐ μόνον τὰ ξύλα
E καὶ τὸ θῦμα, ἀλλὰ καὶ τὸν χοῦν, καὶ τὸ ὕδωρ, καὶ τοὺς λίθους· ὥστε μὴ καθυβρισθῆναι τὸ θεῖον θυσιαστήριον, τῶν δυσσεβῶν ἐν ἐκείνῳ προσφερόντων θυσίας τοῖς Δαίμοσι. τούτου γενομένου τοῦ θαύματος, προσέταξεν ἀναιρεθῆναι τοὺς τοῦ ψεύδους τεχνίτας, καὶ τότε τῶν νεφῶν ἔλυσε τὰς ὠδῖνας.

μα. Καὶ εἶπεν Ἠλιοὺ τῷ Ἀχαὰβ,
ἀνάβηθι, καὶ φάγε καὶ πίε, ὅτι φω-
μβ. νὴ τῶν ποδῶν τοῦ ὑετοῦ. Καὶ ἀνέβη
Z Ἀχαὰβ τοῦ φαγεῖν καὶ πιεῖν. καὶ Ἠ-
λιοὺ ἀνέβη ἐπὶ τὸν Κάρμηλον καὶ ἔκυ-
ψεν ἐπὶ τὴν γῆν, καὶ ἔθηκε τὸ πρό-
σωπον αὐτοῦ ἀναμέσον τῶν γονάτων
μγ. αὐτοῦ, Καὶ εἶπε τῷ παιδαρίῳ αὐτοῦ,
ἀνάβηθι, καὶ ἐπίβλεψον ὁδὸν τῆς θα-
λάσσης. καὶ ἀνέβη, καὶ ἐπέβλεψε τὸ
παιδά-

(1) Ἔπλησαν. αἱ αὐτ.
(2) Ὕδατος, καὶ ἐγένετο κατὰ ἀνάβασιν τὸ ὕδωρ. ἐν ταῖς εἰρημ. σημειώσ.
(3) Οὐκ ἰσάριθμοι ταῖς φυλαῖς αἱ ληφθεῖσαι ὑδρίαι. τέσσαρες γὰρ ἦσαν, κατά τε τοὺς Ἑβδομήκοντα, καὶ τὴν Ἑβραϊκὴν ἔκδ. καὶ τὸν Ἰώσηπον. οὐδεμία δὲ ἔκδοσις δώδεκα αὐτὰς ἐξέδωκε. μήτι γε οὖν διὰ τὸ τριπλασιασθῆναι τὴν τῶν τεσσάρων ἔκχυσιν, ἰσαρίθμους ἔφη τῶν φυλῶν.
(4) Οὐδέ. ἡ ἐν Χάλ. ἔκδ.
(5) Ἀνάγκη, πάντως ἀναγνωστ.
(6) Κύριε, ἐπάκουσόν μου. αἱ εἰρημ. ἐκδόσ.

παιδάριον, καὶ εἶπεν, οὐκ ἔστιν οὐδέν. καὶ
εἶπεν Ἠλιοὺ, καὶ σὺ ἐπίστρεψον ἑπτάκις.
μδ. Καὶ ἐπέστρεψε τὸ παιδάριον ἑπτάκις.
καὶ ἐγένετο ἐν τῷ ἑβδόμῳ, καὶ ἰδοὺ
νεφέλη μικρὰ ὡς ἴχνος ἀνδρὸς ἀνά-
γουσα ὕδωρ ἀπὸ θαλάσσης. καὶ εἶπεν,
ἀνάβηθι, καὶ εἶπον τῷ Ἀχαὰβ, ζεῦ-
ξον τὸ ἅρμα σου καὶ κατάβηθι, μὴ
με. καταλάβῃ σε ὁ ὑετός. Καὶ ἐγένετο
ἕως ὧδε καὶ ἕως ὧδε, καὶ ὁ οὐρανὸς συ-
νεσκότασε νεφέλαις καὶ πνεύματι,
καὶ ἐγένετο ὑετὸς μέγας. καὶ ἔκλαιε
καὶ ἐπορεύετο Ἀχαὰβ ἕως Ἰεζάβελ. (1)
μς. Καὶ χεὶρ Κυρίου ἐγένετο ἐπὶ τὸν Ἠλιοὺ,
καὶ συνέσφιγξε τὴν ὀσφὺν αὐτοῦ, καὶ
ἔτρεχεν ἔμπροσθεν Ἀχαὰβ ἕως τοῦ
ἐλθεῖν εἰς Ἰεζράελ.

** ΙΩΣΗΠΟΥ. Ἔφη τῷ βασιλεῖ πορεύεσθαι πρὸς ἄριστον, μηδὲν ἔτι φροντίσαντι· μετ' ὀλίγον γὰρ ὄψεσθαι τὸν Θεὸν
A ὕοντα. καὶ ὁ μὲν Ἄχαβος ἀπηλλάγη. Ἠλίας δὲ ἐπὶ τὸ ἀκρωτήριον τοῦ Καρμήλου ἀναβὰς ὄρους, καὶ καθίσας ἐπὶ τῆς γῆς, προσηρείσατο τοῖς γόνασι τὴν κεφαλὴν, καὶ τὸν θεράποντα ἐκέλευσεν ἀνελθόντα ἐπί τινα σκοπιὴν, εἰς τὴν θάλασσαν ἀποβλέπειν· κἂν ἴδῃ νεφέλην ἐγειρομένην ποθὲν, φράζειν αὐτῷ. μέχρι γὰρ τότε καθαρῷ εἶναι συνέβαινε τῷ ἀέρι. τοῦ δὲ ἀναβάντος, καὶ πολλάκις μηδὲν ὁρᾷν φήσαντος, B ἕβδομον ἤδη βαδίσας ἑωρακέναι μελαινόμενον, εἶπε, τι τοῦ ἀέρος, οὐ πλέον ἴχνους ἀνθρωπίνου. ὁ δ' Ἠλίας ταῦτ' ἀκούσας, πέμπει πρὸς τὸν Ἄχαβον, κελεύων αὐτὸν εἰς τὴν πόλιν ἀπέρχεσθαι πρὶν ἢ καταρραγῆναι τὸν ὄμβρον. καὶ ὁ μὲν εἰς Ἰεσράηλαν πόλιν παραγίνεται. μετ' οὐ πολὺ δὲ τοῦ ἀέρος ἀχλύσαντος, καὶ νέφεσι καλυφθέντος, πνεῦμά τε λάβρον ἐπιγίνεται, καὶ πολὺς ὄμβρος. ὁ δὲ Προφήτης Γ ἔνθεος γενόμενος, τῷ τοῦ βασιλέως ἅρματι μέχρι τῆς Ἰεσραήλας Ἰζάρου πόλεως συνέδραμε.

ΚΕΦ. ΙΘ.

α. Καὶ ἀνήγγειλεν Ἀχαὰβ τῇ
Ἰεζάβελ (2) τῇ γυναικὶ
αὐτοῦ πάντα ἃ ἐποίησεν
λιοὺ, καὶ ὡς ἀπέκτεινε τοὺς Προφή-
ας ἐν ῥομφαίᾳ.
β. Καὶ ἀπέστειλεν Ἰεζάβελ πρὸς
Ἠλιοὺ, καὶ εἶπε, (3) σὺ εἶ Ἠλιοὺ καὶ
ἐγὼ Ἰεζάβελ, τάδε ποιήσαισάν μοι
οἱ Θεοὶ καὶ τάδε προσθείησαν, ὅτι ταύ-
την τὴν ὥραν αὔριον θήσομαι τὴν ψυ-
χήν σου καθὼς ψυχὴν ἑνὸς ἐξ αὐτῶν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ τὴν λαμπάδα κατήνεγκεν ἐκείνην, καὶ τὴν νίκην ἤρατο, καὶ λαμπρὸν τὸ τρόπαιον ἔστησε, καὶ τὴν σφαγὴν τῶν ἱερέων εἰργάσατο, ἀπῄει χαίρων, καὶ μέγα φρονῶν ἐπὶ τοῖς γεγενημένοις. ἀπέστειλε πρὸς αὐτὸν ἡ γυνὴ τοῦ Ἀχαὰβ, πορνίδιον εὐτελὲς καὶ καταφρο- » νητὸν, λέγουσα· τάδε ποιήσειάν μοι οἱ Θεοὶ » καὶ τάδε προσθείησαν, ἐὰν μὴ θῶ τὴν ψυ- » χήν σου αὔριον ὡς ἑνὸς τῶν ἱερέων τούτων.

γ. Καὶ ἐφοβήθη Ἠλιοὺ, καὶ ἀνέστη
καὶ ἀπῆλθε κατὰ τὴν ψυχὴν αὐτοῦ,
καὶ ἔρχεται εἰς Βηρσαβεὲ γῆν Ἰούδα,
καὶ ἀφῆκε τὸ παιδάριον αὐτοῦ ἐκεῖ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος ἕνεκα τοσαύτην ἔχων δύναμιν, ἐφοβήθη μόνην τὴν Ἰεζάβελ; Ὅτι οὐ μόνον Προφήτης, ἀλλὰ καὶ ἄνθρωπος ἦν. ἄλλως τε δὲ καὶ τῆς θείας ἦν οἰκονομίας τὸ δέος. ἵνα γὰρ μὴ τῆς θαυματουργίας τὸ μέγεθος ἐπάρῃ τὸ φρόνημα, ἐνδέδωκεν ἡ χάρις φύσει τὴν δειλίαν εἰσδέξασθαι, ὡς ἂν ἐπιγνῷ τὴν οἰκείαν ἀσθένειαν. Δ τούτου χάριν καὶ μεμήνυκεν αὐτῷ ὁ Δεσπότης, ὅτι χιλιάδες ἑπτὰ διέμειναν τῆς ἀσεβείας ἀνώτεραι. (4)

» ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Καὶ ἐφοβήθη, » καὶ ἔφυγεν ὁδὸν ἡμερῶν τεσσαράκοντα. Τί οὖν; ἡ οὐρανομήκης ἐκείνη ψυχὴ, ὁ τοῦ κόσμου παντὸς ὑπερορῶν, ὁ λιμοῦ τοσούτου καταφρονήσας, καὶ βασιλέως οὕτω τυραννικοῦ κατεξαναστὰς, ὁ κλείσας τὸν οὐρανὸν καὶ ἀνοίξας, ὁ νῦν μὲν ὑετὸν, νῦν δὲ λαμπάδα E κατενεγκὼν, ὁ τὰς ἀνάγκας τῆς φύσεως καταπατήσας, ὁ ἀκατάληπτος, (5) ὁ πανταχοῦ θαρρῶν· οὗτος ἀθρόον μετὰ τοσαῦτα κατορθώματα, μετὰ τηλικαύτην παρρησίαν, μιᾶς κόρης πορνευομένης ἀπειλὴν οὐκ ἤνεγκε τὴν διὰ ῥημάτων, ἀλλὰ λοιπὸν φυγὰς καὶ ἄπολις γίνεται, καὶ δραπετεύει πρὸς τὴν ἔρημον, καὶ τεσσαράκοντα ἡμερῶν ὁδὸν ἀναχωρεῖ; τί ποτε ἄρα τὸ αἴτιον; ἐγύμνωσεν αὐτὸν ὁ Θεὸς τῆς χάριτος, καὶ Z ἐδείχθη τῆς φύσεως ἡ ἀσθένεια. ἔδειξε τὸν Προφήτην, ἔδειξε καὶ τὸν ἄνθρωπον, ἵνα μάθωσιν, ὅτι καὶ τὰ γενόμενα τότε, τῆς χάριτος γέγονεν ἔργον. ταῦτα δὲ ἐποίει συγγνωμονικόν τε αὐτὸν κατασκευάζων τοῖς πολλοῖς, καὶ τὴν ἐκ τῶν κατορθωμάτων ἐγγινομένην ἀπόνοιαν ὑποτεμνόμενος καὶ κωλύων.

** ΑΔΗΛΟΥ. (6) Οἴμοι· ὁ Προφήτης Ἠλίας ἐφοβήθη γυναῖκα, ὁ τὸν ὑετὸν H τῆς οἰκουμένης ἐν τῇ γλώττῃ βαστάζων, ὁ

(1) Ἰεζράελ. αἱ αὐτ. (2) Ἰεζάβελ γυναικί. αἱ αὐτ. (3) Εἶπεν, εἰ σύ. αἱ αὐτ.
(4) Ἐλεύθεραι. ἡ ἐν Χάλ. ἔκδ. (5) Ἀκατάπληκτος, ὀρθότερ.
(6) Ἐκ τοῦ λόγου ἐστὶ, περὶ οὗ ἐν σελ. 226. εἴρηται. κεῖται δὲ τὸ ἀποσπασμάτ. τοῦτο καὶ ἐν τοῖς τοῦ Δαμασκηνοῦ Παραλλ. ἐν σελ. 412. τοῦ 2. Τόμ. τῆς κατὰ τὸ Παρίσ. ἐκδόσ.

A πῦρ οὐρανόθεν κατενέγκας, καὶ δι' εὐχῆς νεκροὺς ἐγείρας, ἐφοβήθη γυναῖκα; ναὶ ἐφοβήθη. οὐδεμία γὰρ κακία συγκρίνεται γυναικὶ πονηρᾷ. μαρτυρεῖ δέ μου τῷ λόγῳ Ἐκκλ. 25.22. ἡ σοφία, λέγουσα· ὅτι οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλὴν ὄφεως, καὶ οὐκ ἔστι κακία ὑπὲρ κακίαν γυναικός.

δ. Καὶ αὐτὸς ἐπορεύθη ἐν τῇ ἐρήμῳ ὁδὸν ἡμέρας, καὶ ἦλθε καὶ ἐκάθισεν ὑποκάτω Ῥαθμὲν, B καὶ ᾐτήσατο τὴν ψυχὴν αὐτοῦ ἀποθανεῖν· καὶ εἶπεν, ἱκανούσθω νῦν, λάβε δὴ τὴν ψυχήν μου ἀπ' ἐμοῦ Κύριε, ὅτι οὐ κρείσσων εἰμὶ ἐγὼ ὑπὲρ τοὺς πατέρας μου.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πῶς Ἠλίας ὁ τοσοῦτος, καὶ τηλικοῦτος; σκοπὸς γάρ μοι δεῖξαι, ὅτι ἁμαρτίᾳ ὑπέπεσε. λέγω τὴν ἁμαρτίαν, οὐ κατηγορῶν τοῦ δικαίου, ἀλλ' Γ ὑπόθεσιν σωτηρίας πραγματευόμενος, ἵν' ὅταν ἴδῃς ἐκείνους ἁμαρτήσαντας, μὴ ἀπογνόντας δὲ ἑαυτῶν, ἀλλὰ τῆς τοῦ Θεοῦ φιλανθρωπίας τυχόντας, σὺ ἐὰν ἁμαρτήσῃς, περισσοτέραν ἐλπίζεις τὴν σωτηρίαν. ἐπειδὴ εἶπεν Ἰεζάβελ, τάδε ποιήσαιέν μοι οἱ Θεοὶ, καὶ τάδε προσθείησάν μοι, εἰ μὴ αὔριον θήσω τὴν ψυχήν σου ὡς τὴν ψυχὴν ἑνὸς ἐξ αὐτῶν· ἤκουσεν Ἠλίας, καὶ ἔφυγεν ὁδὸν ἡμερῶν τεσσαράκοντα. ὢ δειλίας Δ ὑπερβολή· γυναικὸς ἤκουσε ῥῆμα, καὶ τεσσαράκοντα ἡμέρας ὁδῷ βαδίζων ἔφυγεν· οὐ μίαν ἡμέραν, οὐ δευτέραν, οὐ τρίτην, ἀλλ' ἅμα τε ὁ λόγος τῆς γυναικὸς εἰσῆλθεν εἰς τὸν Προφήτην, καὶ ἀπὸ τῆς δειλίας οὐκ οἶδε τί ἔπραττε, τοσαύτην φυγὴν ἀπερχόμενος. τί ἐστί σοι Ἠλία; σὺ εἶ ὁ τὸν οὐρανὸν κλείσας, καὶ τὴν βροχὴν χαλινώσας· ὁ τῷ ἀέρι ἐπιτάξας, καὶ τὸ πῦρ ἄνωθεν καλέσας· ὁ σφάξας τοὺς ἱερεῖς· ὁ εἰπὼν τῷ 3. Βασ. 18. 18. καὶ 17. 1. E βασιλεῖ Ἀχαάβ· σὺ εἶ ὁ διαστρέφων τὸν Ἰσραὴλ, καὶ ὁ οἶκος τοῦ πατρός σου· ὁ εἰπὼν, ζῇ Κύριος, εἰ ἔσται ὑετὸς, εἰ μὴ διὰ στόματός μου· ὅτε τὸ πῦρ ἐκάλεσας, τοσαῦτα ἐποίησας, καὶ μιᾶς γυναικὸς λόγον οὐκ ἐβάστασας; ποῦ ἐστιν ὁ τόνος σου, ὅτε οὐκ ἤθελες τὸν σὸν Δεσπότην ἀξιῶσαι, ἵνα δῷ ὑετὸν ἐπὶ τῆς γῆς; ἔλεγε γάρ σοι δι' ἐναργῶν ἀποδείξεων, ἀξίωσόν με δυνάμενον καὶ ἄνευ σοῦ δοῦναι, ἀλλ' οὐκ ἠθέλησα, ἵνα ὥσπερ τῶν κακῶν ἐγένου πρόξενος, Z οὕτω καὶ τῶν ἀγαθῶν ἄρχων γένῃ· εἰργάσω γὰρ, Ἠλία, ἔργον ἀσπλαγχνίας μεστὸν, ὁ δὲ Θεὸς ἠλέει τὴν συμφορὰν, ὅτι πάντων αὐτὸς κτίστης, καὶ πάντων δημιουργός· ὁμοίως δὲ πάντων κηδεμὼν, καὶ ἠθέλησέ σου χαυνῶσαι τὴν ἀπανθρωπίαν, καὶ σὺ ἐπέμενες αὐτῷ. ἔλεγέ σοι, ἐγὼ οἶδα τὴν συμφορὰν τὴν γενομένην· οἶδα τοὺς κλαυθμοὺς τῶν μητέρων· οἶδα τῶν παιδίων τοὺς ὀλολυγμούς· βλέπω τὴν γῆν ἣν ἐποίησα ἀφανιζομένην, καὶ θέλω H φιλανθρωπεύσασθαι, ἀλλ' οὐ θέλω σε ὑβρίσαι, καὶ ἄνευ γνώμης σῆς ὑετὸν πέμψαι, ἵνα μὴ τῶν κακῶν μὲν σὺ αἴτιος ᾖς, τῶν δὲ καλῶν ξένος, ἀλλὰ τιμῶ σε. ὢ Δεσπότου φιλανθρωπία εὐνοίᾳ δούλου νενικημένη. ἀλλ' ὅμως πολλὴν αὐτὸς εἶχεν ἀπόνοιαν, ὡς ἀναμάρτητος· νῦν δὲ ἐδείχθη καὶ αὐτὸς ἁμαρτίᾳ ὑποπεπτωκὼς, τοῦ Θεοῦ συγχωρήσαντος καὶ ἐπινοοῦντος· ἵνα ἐξ ὧν αὐτὸς φιλανθρωπίας ἔτυχε, καὶ αὐτὸς ᾖ πρὸς τοὺς ἄλλους μὴ ἀπάνθρωπος· καὶ ἔφυγε, φησὶν, Ἠλίας ὁδὸν ἡμερῶν τεσσαράκοντα. ποῦ ἐστὶ τὰ ῥήματα ἐκεῖνα, ἃ πρὸς τοὺς πεντηκοντάρχους εἰπὼν, κατεβίβασε πῦρ, καὶ τούτους κατέκαυσε; θέλων οὖν δεῖξαι ὁ Θεὸς, ὅτι καὶ ὅτε ἐποίει τὰ θαύματα οὐκ αὐτὸς ἦν ὁ ἐργαζόμενος, ἀλλ' ἡ τοῦ Θεοῦ δύναμις, καὶ (1) βλέπε τί γίνεται. ὅτε ὁ Θεὸς ἐνήργει, καὶ βασιλεῖς ἔπιπτον, καὶ ἄρχοντες, καὶ δῆμοι· ὅτε Θεὸς ἀπέστη, καὶ γυνὴ φοβερὰ ἐπέστη· ἀπέστη ὁ Θεὸς, καὶ ἠλέγχθη ἡ φύσις.

** ΤΟΥ ΑΥΤΟΥ. Δραπέτης καὶ φυγὰς καὶ μετανάστης ἐγένετο, ἀπειλὴν μόνον δείσας πορνευομένης καὶ ἐναγοῦς γυναικός· καὶ ὁ τὸν οὐρανὸν ἀποκλείσας, καὶ τοσαῦτα θαύματα ἐργασάμενος, ῥημάτων φόβον οὐκ ἤνεγκεν· ἀλλ' οὕτω τὴν οὐρανομήκη ψυχὴν ἐκείνην κατέσεισεν ἡ ἀγωνία, ὡς καὶ πατρίδα καὶ δῆμον τοσοῦτον, δι' ὃν τοσαῦτα παρεκινδύνευσε, καταλιπεῖν ἀθρόον, καὶ μόνον τεσσαράκοντα ἡμερῶν ὁδεῦσαι ὁδὸ[ν], καὶ πρὸς τὴν ἐρημίαν μετοικισθῆναι, με[τὰ] τὴν παρρησίαν ἐκείνην, μετὰ τὴν τοσα[ύτην] ἐλευθεροστομίαν, μετὰ τὴν τοσαύτην τῆς ἀνδρείας ἐπίδειξιν. καὶ γὰρ φοβερὰ σφόδρα τοῦ πράγματος ἡ φύσις. διά τοι τοῦτο καθ' ἑκάστην ἡμέραν ἐπιοῦσα ἡμῶν τὸ γένος, οὕτω καθ' ἕκαστον ἡμᾶς ἐκπλήττει νεκρὸν καὶ συγχέει καὶ συστέλλει, ὡς ἀθρόον τότε φαινομένη. καὶ οὐδὲν ἴσχυσεν εἰς παραμυθίαν ἡ τοῦ χρόνου μελέτη, οὐδὲ τὸ καθ' ἑκάστην ἐν ταύτῃ γυμνάζεσθαι τῇ θεωρίᾳ· οὐδὲ ἐπαλαιώθη τῷ χρόνῳ τὰ τῆς ἀθυμίας καὶ τῆς ἐκπλήξεως ταύτης, ἀλλὰ καὶ νεάζει καὶ ἀκμάζει διηνεκῶς, καὶ τὸν φόβον ἀκραιφνῆ καὶ ἀνθοῦντα ἔρχεται καθ' ἑκάστην φέρουσα τὴν ἡμέραν· καὶ μάλα εἰκότως. Καὶ μεθ' ἕτερα. Ὁ δὲ Ἠλίας πάλιν ἐκεῖνος· οὐ γὰρ ἀποστήσομαι αὐτοῦ οὐδὲ νῦν· μετὰ τὴν φυγὴν καὶ τὴν ἀναχώρησιν τὴν ἀπὸ Παλαιστίνης, οὐ φέρων τῆς ἀθυμίας τὴν τυραννίδα· καὶ γὰρ σφόδρα ἠθύμει· τοῦτο γοῦν ὁ τὴν ἱστορίαν γράψας ἐδήλου, λέγων· ὅτι ἀπῆλθε κατὰ τὴν ψυχὴν αὐτοῦ· ἄκουσον τί φησιν εὐχόμενος· ἱκανούσθω τὰ νῦν, Κύριε. λάβε τὴν ψυχήν μου ἀπ' ἐμοῦ, ὅτι οὐ κρείττων ἐγώ εἰμι ὑπὲρ τοὺς πατέρας μου. καὶ τὸ φοβερώτερον ἐκεῖνο, τὸν κολοφῶνα τῆς τιμωρίας, τὸ κεφάλαιον τῶν κακῶν, τὸ πάσης ἁμαρτίας ἐπιτίμιον, τοῦτο ἐν εὐχῆς αἰτεῖ τάξει, καὶ ἐν χάριτος μέρει βούλεται λαβεῖν. οὕτω πολὺ θανάτου φοβερώτερον ἀθυμία. ἵνα γὰρ ἐκείνην διαφύγῃ, καταφεύγει ἐπὶ τοῦτον. ἐνταῦθα δέ σοι καὶ ζήτημα-

(1) Τὸ, καὶ, περιττόν.

τημά τι διαλῦσαι βȣ́λομαι. τί ποτ᾽ ȣ̓͂ν ἐςὶ
τὸ ζήτημα; εἰ θάνατον κȣφότερον ἀθυ-
μίας εἶναι ἐνόμιζε, διατὶ καὶ πατρίδα, καὶ
δῆμον, ἵνα μὴ θανάτῳ περιπέσῃ, κατα-
λιπὼν ἀπέδρα; καὶ τότε αὐτὸν φεύγων,
νυῦ αὐτὸν ἐπιζητεῖ; ἵνα εἴδῃς κ̀ ἐντεῦθεν
μάλιςα, πῶς χαλεπώτερον ἀθυμία θα-
νάτȣ. ὅτε μὲν γὰρ ἐκεῖνος ὁ φόβος κατέ-
σεισε μόνος, εἰκότως ἅπαντα ἔπραττεν, ὥςε
αὐτὸν ἐκφυγεῖν. ἐπειδὴ δὲ ἐγκαθημένη αὔ-
τη, τὴν οἰκείαν ἐπεδείξατο φύσιν, κατε-
σθίȣσα, δαπανῶσα, τοῖς ὀδȣ̃σιν αὐτὸν κα-
ταναλίσκȣσα, ἀφόρητος αὐτῷ γενομένη,
τότε δὴ λοιπὸν τὸ πάντων βαρύτερον, κȣ-
φότερον αὐτῆς εἶναι ἐνόμιζε.

ε. Καὶ ἐκοιμήθη καὶ ὕπνωσεν ἐκεῖ
ὑπὸ τὸ φυτόν. καὶ ἰδȣ̀ τις ἥψατο αὐ-
τȣ̃, κ̀ εἶπεν αὐτῷ, ἀνάςηθι κ̀ φάγε.
ς. Καὶ ἐπέβλεψεν Ἠλιȣ́· καὶ ἰδȣ̀ πρὸς
κεφαλῆς αὐτȣ̃ ἐγκρυφίας ὀλυρίτης
καὶ καμψάκης ὕδατος· καὶ ἀνέςη
καὶ ἔφαγε καὶ ἔπιε, καὶ ἐπιςρέψας
ἐκοιμήθη.

✱✱ ΝΕΙΛΟΥ. Ἠλίας ὁ Θεσβίτης ὑπὸ
φυτὸν καθευδήσας, κ̀ ἐγερθεὶς, ὁρᾷ πρὸς
κεφαλῆς αὐτȣ̃ ἐγκρυφίαν καὶ καμψάκην
ὕδατος. τὶς τοίνυν τηλικȣ̃τος, ὥςε εὑρεῖν
ἐγκρυφίαν πρὸς κεφαλῆς κείμενον, ἐν ᾗ
εφαλῇ ὑπάρχειν λέγει Σολομὼν τȣ̀ς ὀφ-
αλμȣ̀ς τȣ̃ σοφȣ̃ τȣ̀ς νοητȣ́ς· ἢ ἀπὸ σπȣδαί-
ς ζητήσεως, καὶ αἰτήσεως γνησίας τὸν
νευματικὸν ἄρτον τὸν τρέφοντα τὴν ψυ-
χὴν, κ̀ τὸ ὕδωρ ἀλλόμενον εἰς ζωὴν αἰώνιον;

ζ. Καὶ ἐπέςρεψεν ὁ Ἄγγελος Κυ-
ρίȣ ἐκ δευτέρȣ, καὶ ἥψατο αὐτȣ̃, καὶ
εἶπεν αὐτῷ, ἀνάςηθι, φάγε, ὅτι πολ-
η. λὴ ἀπὸ σȣ̃ ἡ ὁδός. Καὶ ἀνέςη, καὶ
ἔφαγε, καὶ ἔπιε· καὶ ἐπορεύθη ἐν
ἰσχύϊ τῆς βρώσεως ἐκείνης τεσσαράκον-
τα ἡμέρας καὶ τεσσαράκοντα νύκτας
ἕως ὄρȣς τȣ̃ Χωρήβ.

θ. Καὶ εἰσῆλθεν ἐκεῖ εἰς τὸ σπή-
λαιον, καὶ κατέλυσεν ἐκεῖ. καὶ ἰδȣ̀
ῥῆμα Κυρίȣ πρὸς αὐτὸν, καὶ εἶπε, τὶ
ι. σὺ ἐνταῦθα Ἠλιȣ́; Καὶ εἶπεν Ἠλιȣ̀,
ζηλῶν ἐζήλωκα τῷ Κυρίῳ παντοκρά-
τορι, ὅτι ἐγκατέλειπόν σε οἱ υἱοὶ Ἰσ-
ραήλ· τὰ θυσιαςήριά σȣ κατέσκα-
ψαν, καὶ τȣ̀ς Προφήτας σȣ ἀπέκτει-
ναν ἐν ῥομφαίᾳ, καὶ ὑπολέλειμμαι
ἐγὼ μονώτατος, καὶ ζητȣ̃σι τὴν ψυ-
χήν μȣ λαβεῖν αὐτήν.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅτι μεγάλα
περὶ ἑαυτȣ̃ ἐφρόνει, καὶ ἐφαντάζετο, καὶ
τῶν ἄλλων ἁπάντων κατεξανίςατο, αὐτὸν
ὑμῖν τȣ̃τον παρέξομαι μάρτυρα. ἐπειδὴ

A γὰρ ἦλθε πρὸς αὐτὸν ὁ Θεὸς, καὶ ἠρώτα
τὴν αἰτίαν τῆς αὐτόθι διατριβῆς, λέγων,
„ τίς σοι ὧδε Ἠλία; καὶ τί σοι ὧδε ἠρώτα,
ȣ̓ μαθεῖν θέλων, ἀλλ᾽ ὑμῖν (1) ἐκκαλύψαι
τὰ ἀπόῤῥητα τῆς διανοίας αὐτȣ̃ βȣλόμε-
νος· ἐπεὶ καὶ τὴν Χαναναίαν ὁ Χριςὸς ὅτε
ἠρώτα, ȣ̓χ ἵνα μάθῃ, ἀλλ᾽ ἵνα ἡμᾶς διδάξῃ
τὸν θησαυρὸν τὸν ἐναποκείμενον αὐτῇ τῆς
πίςεως· ἐρωτᾷ τοίνυν αὐτόν· τὶ δήποτε
ἀφιγμένος εἴη τοσαύτην ὁδὸν, καὶ κατα-
B λιπὼν πόλεις, κ̀ δήμȣς, τὴν ἔρημον ἀσπά-
ζεται· ȣ̓χ ἵνα αὐτὸς μάθῃ· πῶς γὰρ ὁ
πάντα εἰδώς; ἀλλ᾽ ἵνα ἡμᾶς διδάξῃ διὰ τῆς
ἀποκρίσεως ἐκείνȣ τὰ ἀπόῤῥητα τῆς δια-
νοίας αὐτȣ̃, καὶ ὅτι εἰκότως ἀφῆκεν αὐτὸν
ὑπὸ τȣ̃ φόβȣ διασεισθῆναι, καὶ εἰς δειλίαν
ἐμπεσεῖν ἀφῆκεν· ȣ̓κ ὤθησε· συνεχώρη-
σεν, ȣ̓κ ἐνήργησεν· ἀλλ᾽ ἐγύμνωσεν αὐτὸν
μόνον, καὶ ἠλέγχθη. ἐπειδὴ ȣ̓͂ν εἶπε, τί
„ σοι ὧδε Ἠλία; ἀκȣ́σωμεν τί φησι· τὰ θυ-
Γ„ σιαςήριά σȣ κατέσκαψαν, καὶ τȣ̀ς Προφή-
„ τας σȣ ἀπέκτειναν· κἀγὼ ὑπελείφθην μό-
„ νος, καὶ ζητȣ̃σι τὴν ψυχήν μȣ. ὁρᾷς ὅτι
πάντας ἐνόμιζεν ἀπολωλέναι, κ̀ μόνον αὐ-
τὸν ὑπολελεῖφθαι, καὶ μετ᾽ αὐτὸν ȣ̓δένα
εἶναι ἕτερον· ὅπερ αὐτὸν κατὰ μικρὸν εἰς
ἀπόνοιαν ἀγαγεῖν ἠδύνατο. διὰ δὴ τȣ̃το ὁ
Θεὸς τȣ̃τον ἐξαίρων αὐτȣ̃ τὸν λογισμὸν τὸν
„ πεπλανημένον, φησὶ, κατέλειπον ἐμαυ-
„ τῷ ἑπτακισχιλίȣς ἄνδρας, οἵτινες ȣ̓κ ἔκαμ-
Δ„ ψαν γόνυ τῷ Βάαλ. ἐπεὶ ȣ̓͂ν κ̀ τὴν ἱκανὰ τὸν
αὐχμὸν ἐπήγαγε, παρέμενεν ἐπιτείνων τὴν
κόλασιν, καὶ μετὰ ταῦτα περὶ ἑαυτȣ̃ με-
γάλα ἐφαντάζετο. ἅτε δὴ μόνος ὢν ἐπὶ
τῆς γῆς τοιȣ̃τος· ἀφίησιν αὐτὸν αἰσθέσθαι
τὴν οἰκείαν ἀσθένειαν, διδάσκων τὸ πλῆθος
τῶν διασωθέντων, δι᾽ ἀμφοτέρων τȣ́των κα-
θαιρῶν αὐτȣ̃ τὴν διάνοιαν, κ̀ πείθων, με-
τριάζειν πανταχȣ̃, καὶ συγγνωμικὸν εἶναι,
καὶ τῷ ζήλῳ κεραννύναι φιλανθρωπίαν.

E ια. Καὶ εἶπεν, ἐξελεύσῃ αὔριον,
καὶ ςήσῃ ἐνώπιον Κυρίȣ ἐν τῷ ὄρει· ἰδȣ̀
παρελεύσεται Κύριος. καὶ ἰδȣ̀ πνεῦ-
μα μέγα κραταιὸν διαλῦον ὄρη καὶ
συντρίβον πέτρας ἐνώπιον Κυρίȣ ἐν
τῷ ὄρει, ȣ̓κ ἐν τῷ πνεύματι Κύριος·
καὶ μετὰ τὸ πνεῦμα συσσεισμὸς, ȣ̓κ
ιβ. ἐν τῷ συσσεισμῷ Κύριος· Καὶ μετὰ
τὸν συσσεισμὸν πῦρ, ȣ̓κ ἐν τῷ πυρὶ
Z Κύριος· καὶ μετὰ τὸ πῦρ φωνὴ αὔ-
ρας λεπτῆς· κἀκεῖ Κύριος. (2)

✱✱ ΩΡΙΓΕΝΟΥΣ. Πλείονος συγγυμ-
νασίας δεόμεθα εἰς τὸ τελειωθέντας ἡμᾶς,
κ̀ τὰ λεγόμενα παρὰ τῷ Ἀποςόλῳ αἰσθη- Ἑβρ. ε. ιδ.
τήρια γεγυμνασμένα ἔχοντας, διακριτικȣ̀ς
γενέσθαι ἀγαθῶν τε καὶ κακῶν, ἀληθῶν τε
καὶ ψευδῶν, καὶ θεωρητικȣ̀ς νοητῶν, ἵνα
δυνηθῶμεν ἐπιμελέςερον καὶ θεοπρεπέςε-
H ρον κατὰ τὸ ἐνδεχόμενον ἀνθρωπίνῃ φύσει
νοῆσαι,

(1) Ἡμῖν, ἀνάγν.

(2) Τὸ, κἀκεῖ Κύριος, ȣ̓δὲ ἐν ταῖς εἰρημ. ἐκδόσ. ȣ̓δὲ ἐν τῇ Ἑβραϊκῇ κεῖται, ȣ̓δὲ ἐν τοῖς προκειμ. ὑπομνήμασ. ἀλλὰ ὁ Προκόπ. τȣ̃το ἀντίτεται. κεῖται δὲ καὶ ἐν ταῖς εἰρημ. σημειώσ.

νοῆσαι, πῶς ἐστὶν ὁ Θεὸς φῶς, καὶ πῦρ, καὶ πνεῦμα. καὶ τὸ γενόμενον δὲ πνεῦμα Κυρίου πρὸς Ἠλίαν τοιά δέ τινα ὑποβάλλει περὶ Θεοῦ· εἶπε γάρ, ἐξελεύσῃ αὔριον, καὶ στήσῃ ἔναντι Κυρίου ἐν τῷ ὄρει, ἰδοὺ παρελεύσεται Κύριος, καὶ πνεῦμα μέγα καὶ κραταιὸν, διαλύον ὄρη καὶ συντρίβον πέτρας ἐνώπιον Κυρίου· οὐκ ἐν τῷ πνεύματι Κύριος· (ἐν δὲ ἄλλοις εὕρομεν· ἐν τῷ πνεύματι Κυρίου·) μετὰ τὸ πνεῦμα συσσεισμὸς, οὐκ ἐν τῷ συσσεισμῷ Κύριος· καὶ μετὰ τὸν συσσεισμὸν πῦρ, οὐκ ἐν τῷ πυρὶ Κύριος· καὶ μετὰ τὸ πῦρ φωνὴ αὔρας λεπτῆς. καὶ τάχα γε ἐν ὅσοις δεήσει γίνεσθαι περὶ τῆς καταλήψεως τοῦ Κυρίου δηλοῦται διὰ τούτων, ἅπερ τοῦ παρόντος οὐκ ἂν εἴη καιροῦ διηγήσασθαι.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πρὸς δὲ τούτοις ἐδίδαξεν αὐτὸν, ὡς ἡμερότητι καὶ μακροθυμίᾳ πρυτανεύειν ἐδοκίμασε τῶν ἀνθρώπων τὸ γένος. καὶ ὅτι ῥᾴδιον ἦν αὐτῷ, καὶ κεραυνοὺς, καὶ σκηπτοὺς ἐπιπέμψαι τοῖς δυσσεβέσι, καὶ κλονῆσαι τὴν γῆν, καὶ τάφον αὐτοῖς αὐτοσχέδιον ἀποφῆναι, καὶ βιαίοις ἀνέμοις ἄρδην ἅπαντας ἀπολέσαι. τοῦτο γὰρ ἔφη· καὶ πνεῦμα μέγα κραταιὸν, διαλύον ὄρη, καὶ συντρίβον πέτρας ἐνώπιον Κυρίου. οὐκ ἐν τῷ πνεύματι Κύριος· καὶ μετὰ τὸ πνεῦμα συσσεισμὸς, οὐκ ἐν τῷ συσσεισμῷ Κύριος· καὶ μετὰ τὸν συσσεισμὸν πῦρ, οὐκ ἐν τῷ πυρὶ Κύριος· καὶ μετὰ τὸ πῦρ φωνὴ αὔρας λεπτῆς. διὰ δὲ τούτων ἔδειξεν, ὅτι μακροθυμία καὶ φιλανθρωπία μόνη φίλη Θεῷ. ἕκαστον δὲ τῶν ἄλλων ἡ πονηρία τῶν ἀνθρώπων ἐφέλκεται.

* ΠΡΟΚΟΠΙΟΥ. Ὅτι δὲ οὐ πῦρ ὁ τῆς παλαιᾶς Θεὸς, Ἠλίας διδάσκεται, καὶ δι' αὐτοῦ (1) ἡμεῖς· ἀλλ' οὐδὲ αὔρα λεπτὴ, δι' αὔρας δὲ λέγεται παρεῖναι λεπτῆς. ἐπεὶ γὰρ ἐν γνόφῳ καὶ πυρὶ τοῖς υἱοῖς Ἰσραὴλ ἐπεφάνη, τὸν Ἠλίαν εὑρὼν τῶν ὑψηλοτέρων χωρητικὸν, ἐπὶ τὴν τοῦ ἀσωμάτου τοῦτον ἀνήγαγεν ἔννοιαν, ἀπὸ σεισμοῦ καὶ πνεύματος καὶ πυρὸς ἐπὶ λεπτὴν αὔραν· ὅπερ ἐγγὺς ἂν εἴη τῆς τοῦ Σωτῆρος φωνῆς,
Ἰωάν. 4. 24. πνεῦμα ὁ Θεός.

ιγ. Καὶ ἐγένετο ὡς ἤκουσεν Ἠλιοὺ,
καὶ ἐπεκάλυψε τὸ πρόσωπον αὐτοῦ ἐν
τῇ μηλωτῇ αὐτοῦ, καὶ ἐξῆλθε καὶ ἔστη
ὑπὸ τὸ σπήλαιον· καὶ ἰδοὺ πρὸς αὐτὸν
φωνὴ, καὶ εἶπε, τί σὺ ἐνταῦθα Ἠλιοῦ;
ιδ. Καὶ εἶπεν Ἠλιοὺ, ζηλῶν ἐζήλωκα Κυ-
ρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπον
τὴν διαθήκην σου οἱ υἱοὶ Ἰσραήλ· καὶ
τὰ θυσιαστήριά σου καθεῖλον, καὶ τοὺς
Προφήτας σου ἀπέκτειναν ἐν ῥομφαίᾳ,
καὶ ὑπολέλειμαι ἐγὼ μονώτατος, καὶ
ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. (2) Δέησις μὲν λέγεται, ὅταν τὶς τὸν Θεὸν ἀξιοῖ εἰς πρᾶγμα· προσευχὴ δὲ, ὅταν ὑμνῇ τὸν Θεόν· εὐχαριστία δὲ, ὅτ' ἄν τις ὑπὲρ ὧν ἔπαθε, χάριν ἀνθομολογῇ τῷ Θεῷ· ἐντυχία δὲ, ὅταν τὶς κατὰ τῶν ἀδικούντων ἐντυγχάνῃ τῷ Θεῷ, προσκαλούμενος αὐτὸν εἰς ἐκδίκησιν. ὅτι δὲ τὸ ἐντυγχάνειν οὐκ ἔστι, φησὶν, ἱκετεύειν, ἀλλ' ἐρωτᾶν καὶ ἀπόκρισιν δέχεσθαι, λέγει ὁ Θεὸς πρὸς τὸν Ἠλίαν· τί σὺ ἐνταῦθα Ἠλία; ἀποκρίνεται ἐρωτηθεὶς ὁ Προφήτης· ζηλῶν ἐζήλωκα Κυρίῳ παντοκράτορι, ὅτι ἐγκατέλιπόν σε οἱ υἱοὶ Ἰσραὴλ, καὶ ἑξῆς. καὶ οὐκ ἔστιν ἐνταῦθα δέησις, ἀλλ' ἐρώτησις καὶ ἀπόκρισις· καὶ γέγονε τὸ ἐξ ἀμφοῖν ἔντευξις. καὶ πόθεν δῆλον; Παύλου λέγοντος ἄκουσον· οὐκ ἀνέγνωτε ἐν Ἠλίᾳ τῷ προφήτῃ τί λέγει ἡ Γραφή; ὡς ἐντυγχάνει τῷ Θεῷ κατὰ τοῦ Ἰσραήλ. ἐκεῖ οὖν ἡ ἐντυχία· οὐκ ἔστι δέησις. (3) Ῥωμ.

** ΤΟΥ ΑΥΤΟΥ. Μετὰ τὸ φυγεῖν Ἠλίαν ἡμέρας τεσσαράκοντα, ἦλθε καὶ ἐκάθευδεν ἐν τόπῳ τινὶ, καὶ ἔρχεται πρὸς αὐτὸν ὁ Θεός· ὁ Δεσπότης πρὸς τὸν δοῦλον, ὁ κηδεμὼν καὶ φιλάνθρωπος, καὶ τί φησιν; εἰδὼς μὲν διὰ τί ἦλθεν ἐκεῖ, ὅμως δὲ ἐρωτῶν. τί ὧδε Ἠλία; καὶ τί σὺ ὧδε; αἰνιττόμενος αὐτοῦ τὴν φυγὴν, ἀντὶ τοῦ, ἔφυγες. ποῦ ἐστὶν ἡ παῤῥησία ἐκείνη; ἵνα μάθῃς, μὴ σαυτῷ θαῤῥεῖν. τί ὧδε Ἠλία καὶ τί σὺ ὧδε; ἀλλ' ὅμως ὁ Ἠλίας ἀποκρίνεται, ἄλλα μὲν ἔχων ἐν τῇ γνώμῃ, ἄλλα δὲ λέγων. τί γὰρ ὁ Ἠλίας πρὸς ταῦτα· Κύριε τοὺς Προφήτας σου ἀπέκτειναν, τὰ θυσιαστήριά σου κατέσκαψαν, κἀγὼ ὑπελείφθην μόνος, καὶ ζητοῦσι τὴν ψυχήν μου λαβεῖν αὐτήν.

ιε. Καὶ εἶπε Κύριος πρὸς αὐτὸν,
πορεύου, καὶ ἀνάστρεφε εἰς τὴν ὁδόν σου,
καὶ ἥξεις εἰς τὴν ὁδὸν ἐρήμου Δαμασκοῦ·
καὶ χρίσεις τὸν Ἀζαὴλ εἰς βασιλέα
ιϛ. τῆς Συρίας· Καὶ τὸν Ἰηοῦ υἱὸν Ἀμεσ-
σὶ (4) χρίσεις εἰς βασιλέα ἐπὶ Ἰσ-
ραήλ· καὶ τὸν Ἐλισσαιὲ υἱὸν Σαφὰτ
ἀπὸ Ἀβελμαουλὰ χρίσεις εἰς Προ-
φήτην ἀντὶ σοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τὸν Ἀζαὴλ, καὶ τὸν Ἰηοῦ, (5) καὶ τὸν Ἐλισσαῖον χρίσαι προσταχθεὶς, μόνον τὸν Προφήτην ἔχρισεν; Εἰ τὸν Προφήτην ἔχρισε, καὶ τῆς πνευματικῆς αὐτῷ μετέδωκε χάριτος, ταύτῃ καὶ τοὺς ἄλλους ἔχρισε. καὶ γὰρ Ἐλισσαῖος δι' αὐτοῦ τὴν προφητικὴν δεξάμενος χάριν, προσήνεγκεν ἐκείνοις τὸ χρίσμα, καὶ τῆς βασιλικῆς αὐτοῖς μετέδωκε χάριτος.

ιζ. Καὶ ἔσται τὸν σωζόμενον ἐκ ῥομ-
φαίας Ἀζαὴλ, θανατώσει Ἰηοῦ· καὶ
τὸν

(1) Πάντες ἡμεῖς. ὁ τῆς Αὐγ. κώδ.

(2) Ἐκ τοῦ 277. κώδ. τοῦ Φωτίου ἐλήφθη.

(3) Ἀλλὰ ταῦτα μὲν ὁ Χρυσόστομος, φησὶν ὁ Φώτιος ἐν τῷ εἰρημ. κώδ. δεῖ δ' οὖν ἔτι λεπτομερέστερον τὰς διαφορὰς τῶν εἰρημένων ὀνομάτων διασκέψασθαι καὶ ἐπιθεωρῆσαι· ὥστε μὴ τῷ πλήθει μόνον ἱκανὰ εἶναι λέγεσθαι, ἀλλὰ καὶ τοῖς δεινότερον διακωδωνίζειν ταῦτα βουλομένοις, ἀνάλωτα καὶ ἀνεπηρέαστα διαμένειν.

(4) Ναμεσσί. αἱ εἰρημ. ἐκδόσ. καὶ ἡ ἐπιγραφή.

(5) Ἰε. ἡ ἐν Χάλ. ἐκδ.

A τὸν σωζόμενον ἐκ ῥομφαίας Ἰηὒ, θανατώσει Ἐλισσαιέ.

** ΙΩΣΗΠΟΥ. Προσέταξε ὑποςρέψαντα εἰς τὴν οἰκίαν, ἀποδεῖξαι τῶ πλήθους βασιλέα Ἰηοῦν τὸν Νεμεσσαίου παῖδα, ἐκ Δαμασκοῦ δὲ τὸν Σύρον Ἀζάηλον, ἀντ' αὐτοῦ δὲ προφήτην Ἐλισσαῖον ὑπ' αὐτοῦ γενήσεσθαι ἐκ πόλεως Ἀβελᾶς. διαφθερεῖ δὲ τοῦ ἀσεβοῦς ὄχλου τοὺς μὲν Ἀζάηλος, τοὺς δὲ Ἰηοῦς.

B ιη. Καὶ καταλείψεις ἐν Ἰσραὴλ ἑπτὰ χιλιάδας ἀνδρῶν, πάντα γόνατα ἃ οὐκ ὤκλασαν γόνυ τῷ Βάαλ, καὶ πᾶν ςόμα ὃ οὐ προσεκύνησεν αὐτῷ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί οὖν πρὸς αὐτὸν ὁ Θεός; εὐθὺς αὐτὸν ἐλέγχει. οὐ διὰ τοῦτο ἔφυγες, φησὶν, Ἠλία. οὐ γὰρ σὺ μόνος εἶ ὁ μὴ προσκυνήσας τῇ Βάαλ. εἶτα Γ ἐπάγει ἐλέγχων αὐτόν· κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ. ἤλεγξε τοίνυν αὐτὸν, ὅτι οὐ διὰ τοῦτο ἔφυγεν, ἀλλὰ διὰ (1) τὸν τῆς γυναικὸς φόβον ἀνεχόμενος· καὶ μία γυνὴ τὸν τοιοῦτον καὶ τηλικοῦτον ἄνδρα δραπέτην καὶ φυγάδα ἐποίησεν· ἵνα μάθῃς Ἠλία, ὅταν τὶ παράδοξον ποιῇς, μὴ σεαυτῷ ἐπίγραφε, ἀλλὰ τῇ τοῦ Θεοῦ δυνάμει. εἶδες πῶς ὅτε ἀπέστη ἡ χάρις, ἠλέγχθη ἡ φύσις;

Δ ** ΩΡΙΓΕΝΟΥΣ. Παρατηρητέον ἐκ τῆς πρὸς Ῥωμαίους τὸ, κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ, κείμενον ἐν τῇ τρίτῃ τῶν Βασιλειῶν, ὅτι ὁ Παῦλος εἴληφεν ἀντὶ τῶν κατ' ἐκλογὴν Ἰσραηλιτῶν, τῷ μὴ μόνον τὰ ἔθνη ὠφελεῖσθαι ὑπὸ τῆς Χριςοῦ ἐπιδημίας, ἀλλὰ καί τινας τῶν ἀπὸ τοῦ θείου γένους.

E ** ΙΟΥΣΤΙΝΟΥ. Ἠλίας πρὸς τὸν Θεὸν ἐντυγχάνων οὕτω λέγει· Κύριε τοὺς Προφήτας σου ἀπέκτειναν, καὶ τὰ θυσιαςήριά σου κατέσκαψαν· κἀγὼ ὑπελείφθην μόνον, καὶ ζητοῦσι τὴν ψυχήν μου. ἀποκρίνεται αὐτῷ, ἔτι εἰσί μοι ἑπτακισχίλιοι ἄνδρες, οἳ οὐκ ἔκαμψαν γόνυ τῇ Βααλ. ὃν οὖν τρόπον διὰ τοὺς ἑπτακισχιλίους ἐκείνους τὴν ὀργὴν οὐκ ἐπέφερε τότε ὁ Θεὸς, τὸν αὐτὸν τρόπον καὶ νῦν οὐδέπω τὴν κρίσιν ἐπήνεγκεν, ἢ ἐπάγει, γινώσκων ἔτι καθ' ἡμέραν Z τινὰς μαθητευομένους εἰς τὸ ὄνομα τοῦ Χριςοῦ αὐτοῦ, καὶ ἀπολείποντας τὴν ὁδὸν τῆς πλάνης· οἳ καὶ λαμβάνουσι δόματα ἕκαςος, ὡς ἄξιοί εἰσι, φωτιζόμενοι διὰ τοῦ ὀνόματος τοῦ Χριςοῦ τούτου.

A ** ΤΟΥ ΘΕΟΛΟΓΟΥ. Ἐκεῖνο δὲ πῶς νοεῖς, ὅτι ἐὰν γένηται ὁ ἀριθμὸς τῶν υἱῶν Ἰσραὴλ ὡς ἡ ἄμμος τῆς θαλάσσης, τὸ κατάλειμμα σωθήσεται; τί δαὶ τὸ, κατέλιπον ἐμαυτῷ ἑπτακισχιλίους ἄνδρας, οἵτινες οὐκ ἔκαμψαν γόνυ τῇ Βάαλ; Οὐκ ἔςι τοῦτο, οὐκ ἔςιν, οὐκ ἐν τοῖς πλείοσιν εὐδόκησεν ὁ Θεός. σὺ μὲν ἀριθμεῖς τὰς μυριάδας, Θεὸς δὲ τοὺς σωζομένους, καὶ σὺ μὲν τὸν ἀμέτρητον χοῦν, ἐγὼ δὲ τὰ σκεύη τῆς ἐκλογῆς. B οὐδὲν γὰρ οὕτω Θεῷ μεγαλοπρεπὲς, ὡς λόγος κεκαθαρμένος, καὶ ψυχὴ τελεία τοῖς τῆς ἀληθείας δόγμασι. [Ἡσ. 10. 22. Ῥωμ. 9. 27. Ῥωμ. 11. 4.]

ιθ. Καὶ ἀπῆλθεν ἐκεῖθεν καὶ εὑρίσκει τὸν Ἐλισσαιὲ υἱὸν Σαφὰτ, καὶ αὐτὸς ἠροτρία ἐν βουσί· δώδεκα ζεύγη βοῶν ἐνώπιον αὐτοῦ, καὶ αὐτὸς ἐν τοῖς δώδεκα. καὶ ἀπῆλθεν Ἠλίας ἐπ'
Γ αὐτὸν, καὶ ἐπέῤῥιψε τὴν μηλωτὴν
κ. αὐτοῦ ἐπ' αὐτόν. Καὶ κατέλιπεν Ἐλισσαιὲ τὰς βόας, καὶ ἔδραμεν ὀπίσω Ἠλιοὺ, καὶ εἶπε, καταφιλήσω τὸν πατέρα μου καὶ τὴν μητέρα μου, καὶ ἀκολουθήσω ὀπίσω σου. καὶ εἶπεν Ἠλιοὺ, πορεύου, ἀνάςρεφε, ὅτι πεποίη-
κα. κά σοι. Καὶ ἀνέςρεψεν ἐξ ὄπισθεν αὐτοῦ· καὶ ἔλαβε τὰ ζεύγη τῶν βοῶν,
Δ καὶ ἔθυσε καὶ ἥψησεν αὐτὰ ἐν τοῖς σκεύεσι τῶν βοῶν, καὶ ἔδωκε τῷ λαῷ, καὶ ἔφαγον. καὶ ἀνέςη καὶ ἐπορεύθη ὀπίσω αὐτοῦ, (2) καὶ ἐλειτούργει αὐτῷ.

** ΝΕΙΛΟΥ. Διὰ τοῦτο τοὺς βίους τῶν ἁγίων ἀνέγραψε τὸ πνεῦμα τὸ ἅγιον, ἵνα ἕκαςος τῶν ἡντιναοῦν ἐπιτηδευόντων ἀγωγὴν ἐξ ὁμοίων ὑποδειγμάτων προσαγάγηται τῇ ἀληθείᾳ. πῶς οὖν ὁ Ἐλισσαῖος συνταξόμενος τῷ διδασκάλῳ ἀπετάξατο τῷ E κόσμῳ; ἠροτρία, φησὶ, ἐν βουσὶ, καὶ δώδεκα ζεύγη βοῶν ἐνώπιον αὐτοῦ. καὶ ἔσφαξε τὰς βοῦς, καὶ ἥψησεν αὐτὰς ἐν τοῖς σκεύεσι τῶν βοῶν. τοῦτο δὲ τὸ θερμὸν τῆς προθυμίας αἰνίττεται. οὐ γὰρ εἶπε, πωλήσω τὰ ζεύγη τῶν βοῶν, καὶ καθηκόντως οἰκονομήσω, οὐδ' ὅτι πραθέντα ταῦτα, πλείονα χρείαν ὀνήσειν ἔμελλεν ἐλογίσατο. ὅλος δὲ τῆς ἐπιθυμίας γενόμενος τῆς ἐχούσης αὐτὸν πρὸς τὴν τοῦ διδασκάλου ἐπισπορίαν, Z κατεφρόνησε τῶν ὁρωμένων· καὶ μᾶλλον ὡς περισπώντων ἀπὸ τῆς ὀρθῆς προθέσεως ἀπαλλαγῆναι ἐσπούδαζεν, εἰδὼς τὴν ἀναβολὴν καὶ μεταμελείας αἰτίαν γενομένην πολλάκις.



ΚΕΦ.

(1) Ἡ διὰ περιττὴ, ἀλλὰ κἂν μένῃ, προσθετέον τὴν ἄρνησιν, εἴτουν, οὐκ ἀνεχόμενος.
(2) Ὀπίσω Ἠλιοῦ. αἱ εἰρημ. ἐκδόσ.

ΚΕΦ. Κ. (1)

α. Καὶ ἐγένετο μετὰ τὰ ῥήμα-
τα ταῦτα, καὶ Ἀμπελὼν
εἷς ἦν τῷ Ναβουθαὶ τῷ
Ἰεζραηλίτῃ παρὰ τῇ ἅλῳ Ἀχαὰβ
β. βασιλέως Σαμαρείας. Καὶ ἐλάλη-
σεν Ἀχαὰβ πρὸς Ναβουθαί, λέγων,
δός μοι τὸν ἀμπελῶνά σου, καὶ ἔσται B
μοι εἰς κῆπον λαχάνων, ὅτι ἐγγιῶν (2)
οὗτος τῷ οἴκῳ μου, καὶ δώσω σοι ἀμπε-
λῶνα ἄλλον ἀγαθὸν ὑπὲρ αὐτόν. εἰ
δὲ ἀρέσκει ἐνώπιόν σου, δώσω σοι ἀρ-
γύριον ἀντάλλαγμα τοῦ ἀμπελῶνός
σου τούτου, καὶ ἔσται μοι εἰς κῆπον λα-
γ. χάνων. Καὶ εἶπε Ναβουθαὶ πρὸς Ἀ-
χαάβ, μή μοι γένοιτο παρὰ Θεοῦ μου
δοῦναι κληρονομίαν πατέρων μου σοί. Γ
δ. Καὶ ἦλθεν Ἀχαὰβ πρὸς τὸν οἶκον
αὐτοῦ συγκεχυμένος, καὶ ἐκλελυμέ-
νος ἐπὶ τῷ λόγῳ, ᾧ ἐλάλησε πρὸς
αὐτὸν Ναβουθαὶ ὁ Ἰεζραηλίτης, καὶ
εἶπεν, οὐ δώσω τὴν κληρονομίαν πα-
τέρων μου σοί. καὶ ἐκοιμήθη ἐπὶ τῆς
κλίνης αὐτοῦ, καὶ συνεκάλυψε τὸ πρό-
σωπον αὐτοῦ, καὶ οὐκ ἔφαγεν ἄρτον. Δ
ε. Καὶ εἰσῆλθεν Ἰεζάβελ ἡ γυνὴ αὐτοῦ
πρὸς αὐτόν, καὶ ἐλάλησε πρὸς αὐ-
τόν, (3) λέγουσα, τί τὸ πνεῦμά σου
τεταραγμένον, καὶ οὐκ εἶ σὺ ἐσθίων ἄρ-
ϛ. τον; Καὶ εἶπε πρὸς αὐτήν, ὅτι ἐλά-
λησα πρὸς Ναβουθαὶ τὸν Ἰεζραηλί-
την, λέγων, δός μοι τὸν ἀμπελῶνά
σου ἀργυρίου. εἰ δὲ βούλῃ, δώσω σοι ἀμ-
πελῶνα ἄλλον ἀντ' αὐτοῦ· καὶ εἶπεν, E
οὐ δώσω σοι κληρονομίαν πατέρων μου.
ζ. Καὶ εἶπε πρὸς αὐτὸν Ἰεζάβελ, (4) σὺ
νῦν οὕτω ποιεῖς βασιλεὺς Ἰσραήλ;
ἀνάστηθι, φάγε ἄρτον καὶ σαυτοῦ γε-
νοῦ, ἐγὼ δὲ δώσω σοι τὸν ἀμπελῶνα
Ναβουθαὶ τοῦ Ἰεζραηλίτου.

η. Καὶ ἔγραψε βιβλίον ἐπὶ τῷ
ὀνόματι Ἀχαάβ, καὶ ἐσφραγίσατο Z
τῇ σφραγῖδι αὐτοῦ· καὶ ἀπέστειλε τὸ
βιβλίον πρὸς τοὺς πρεσβυτέρους καὶ
πρὸς τοὺς ἐλευθέρους τοὺς κατοικοῦντας
θ. μετὰ Ναβουθαί. Καὶ ἐγέγραπτο ἐν
τοῖς βιβλίοις, λέγων, νηστεύσατε νη-
στείαν, καὶ καθίσατε τὸν Ναβουθαὶ ἐν
ἀρχῇ τοῦ λαοῦ.

** ΙΩΣΗΠΟΥ. Παραχρῆμα πέμπει γράμματα πρὸς τοὺς ὑπερέχοντας τῶν Ἰσραηλιτῶν, ἐκ τοῦ Ἀχάβου ὀνόματος, νηστεῦσαί τε κελεύουσα, καὶ ποιησαμένους ἐκκλησίαν, προκαθίσαι μὲν αὐτῶν Νάβουθον· εἶναι γὰρ αὐτὸν γένους ἐπιφανοῦς· παρασκευασαμένους δὲ τρεῖς τολμηρούς τινας τοὺς καταμαρτυρήσοντας αὐτοῦ, ὡς τὸν Θεόν τε εἴη βλασφημήσας καὶ τὸν βασιλέα, καταλεῦσαι, καὶ τούτῳ διαχρήσασθαι τῷ τρόπῳ.

ι. Καὶ ἐγκαθίσατε δύω ἄνδρας υἱοὺς παρανόμων ἐξ ἐναντίας αὐτοῦ, καὶ καταμαρτυρησάτωσαν αὐτοῦ, λέγοντες, εὐλόγησας Θεὸν καὶ βασιλέα· καὶ ἐξαγαγέτωσαν αὐτόν, καὶ λιθοβολησάτωσαν αὐτόν, καὶ ἀποθανέτω.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Λαβοῦσα γράφει ἐπιστολὴν ἐκ προσώπου τοῦ βασιλέως πρὸς τοὺς πρεσβυτέρους, λέγουσα· κηρύξατε » νηστείαν, καὶ στήσατε ἄνδρας ψευδεῖς κα- » τὰ Ναβουθαί, ὅτι εὐλόγησε Θεὸν καὶ βασιλέα, τουτέστιν ἐβλασφήμησε. ὢ νηστεία ἐπιτεταμένης τῆς παρανομίας πεπληρωμένη. ἐκήρυξαν νηστείαν, ἵνα φόνον ποιήσωσι.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, εὐλόγησε » Ναβουθαὶ Θεὸν καὶ βασιλέα; Ἡ παμμιάρ[ος] Ἰεζάβελ τὴν συκοφαντίαν ἐξύφηνε· κ[αὶ] πρῶτον μὲν ἐκέλευσεν αὐτὸν τῆς συνήθ[ους] ἀξιωθῆναι τιμῆς, καὶ προεδρεύειν (5) τῶ[ν] ἄλλων· εἶτα τοὺς συκοφάντας εἰσελθεῖν, καὶ τὴν τῆς βλασφημίας γραφὴν προθέσθαι. εὐφήμως γὰρ τό, εὐλόγησε, τέθεικεν, ἀντὶ τοῦ, ἐβλασφήμησε. τὴν δὲ νηστείαν γενέσθαι προσέταξεν, ὥστε ταύτῃ δεῖξαι τοῦ φόνου τὸ δίκαιον.

ια. Καὶ ἐποίησαν οἱ ἄνδρες τῆς πό-
λεως αὐτοῦ οἱ πρεσβύτεροι καὶ οἱ ἐλεύ-
θεροι οἱ κατοικοῦντες ἐν τῇ πόλει αὐ-
τοῦ, καθὰ ἀπέστειλε πρὸς αὐτοὺς Ἰε-
ζάβελ, καθὰ γέγραπται ἐν τοῖς βι-
ιβ. βλίοις οἷς ἀπέστειλε πρὸς αὐτούς. Ἐ-
κάλεσαν νηστείαν, ἐκάθισαν τὸν Να-
ιγ. βουθαὶ ἐν ἀρχῇ τοῦ λαοῦ. Καὶ ἦλθον
δύω ἄνδρες υἱοὶ παρανόμων, καὶ ἐκά-
θισαν ἐξ ἐναντίας αὐτοῦ, καὶ κατε-
μαρτύρησαν αὐτοῦ ἄνδρες τῆς ἀποστα-
σίας τοῦ Ναβουθαὶ κατέναντι τοῦ λαοῦ,
λέγοντες, εὐλόγησε Θεὸν καὶ βασι-
λέα. καὶ ἐξήγαγον αὐτὸν ἔξω τῆς πό-
λεως, καὶ ἐλιθοβόλησαν αὐτὸν (6)
ιδ. λίθοις, καὶ ἀπέθανε. Καὶ ἀπέστει-
λαν πρὸς Ἰεζάβελ, λέγοντες, λελι-
θοβό-

(1) Ἰστέον ὅτι ἐν τῷ ἑξαπλῷ ἔμπαλιν κεῖται. πρῶτον μὲν τὰ κατὰ τὸν υἱὸν Ἄδερ βασιλέα Συρίας, ἔπειτα δὲ τὰ κατὰ τὸν Ναβουθαί. τὸ κόλ. τοῦτο κεῖται ἐν ταῖς εἰρημ. σημειώσ. ἐν τισι δὲ ἐκδόσεσιν, ὁμοίως καὶ ἐν τῇ Ἑβραϊκῇ τὸ προκείμενον κεφ. τὸ 21. ἐστί, τὸ δὲ ἑξῆς τὸ 20.

(2) Ἐγγίζων. αἱ εἰρημ. ἐκδόσ.

(3) Πρὸς αὐτόν, τί τὸ πνεῦμ. αἱ αὐτ.

(4) Ἡ γυνὴ αὐτοῦ, σύ. αἱ αὐτ.

(5) Προεδρεῦσαι. ἡ ἐν Χάλ. ἔκδ.

(6) Ἐν λίθ. αἱ αὐτ.

θοβόληται Ναβȣθαὶ, καὶ τέθνηκε.
ιε. Καὶ ἐγένετο ὡς ἤκȣσεν Ἰεζάβελ, καὶ
εἶπε πρὸς Ἀχαὰβ, ἀνάϛα, κληρο-
νόμει τὸν ἀμπελῶνα Ναβȣθαὶ τȣ͂ Ἰσ-
ραηλίτȣ, (1) ὃς ȣ̓κ ἔδωκέ σοι ἀργυ-
ρίȣ, ὅτι ȣ̓κ ἔϛι Ναβȣθαὶ ζῶν, ὅτι
τέθνηκε.

ις. Καὶ ἐγένετο ὡς ἤκȣσεν Ἀχαὰβ
ὅτι τέθνηκε Ναβȣθαὶ ὁ Ἰεζραεηλί-
της, (2) διέῤῥηξε τὰ ἱμάτια αὐτȣ͂, ϗ
περιεβάλετο σάκκον. ϗ ἐγένετο με-
τὰ ταῦτα, καὶ ἀνέϛη καὶ κατέβη Ἀ-
χαὰβ εἰς τὸν ἀμπελῶνα Ναβȣθαὶ
κληρονομῆσαι αὐτόν.

*ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς ὁ Ἀχαὰβ ὀρεχ-
θεὶς τȣ͂ ἀμπελῶνος, καὶ δυσχεράνας ὅτι δὴ
τȣ͂τον ȣ̓κ ἔλαβεν, ἤλγησεν ἐπὶ τῇ τȣ͂ Να-
βȣθαὶ τελευτῇ; Κȣ͂φος ἦν ὁ τρισάθλιος,
καὶ ῥᾳδίως τῇδε κᾀκεῖσε μεταφερόμενος.
ὅθεν αὐτὸν καὶ τὸ παμμίαρον (3) γύναιον
εἰς τὸ τῆς ἀσεβείας μεταβέβληκε (4) βά-
ραθρον. τȣ͂το γὰρ ἡ ἱϛορία διδάσκει. δω-
» ρεὰν γάρ φησιν Ἀχαὰβ ἐπράθη, τȣ͂ ποιῆ-
» σαι τὸ πονηρὸν ἐνώπιον Κυρίȣ, [ὡς μετέ-
» ϛησεν αὐτὸν Ἰεζάβελ ἡ γυνὴ αὐτȣ͂·] καὶ
» ἐβδελύχθη σφόδρα τȣ͂ πορευθῆναι ὀπίσω
τῶν βδελυγμάτων κατὰ πάντα ὅσα ἐποίη-
[σε]ν ὁ Ἀμοῤῥαῖος, ὃν ἐξωλόθρευσε Κύριος
[ἀπ]ὸ προσώπȣ τῶν υἱῶν Ἰσραήλ.

ιζ. Καὶ εἶπε Κύριος πρὸς Ἠλιȣ̀
[τ]ὸν Θεσβίτην, λέγων, Ἀνάϛηθι ϗ
κατάβηθι εἰς ἀπάντησιν Ἀχαὰβ βα-
σιλέως Ἰσραὴλ τȣ͂ ἐν Σαμαρείᾳ, ἰδȣ̀
ȣ̓͂τος ἐν ἀμπελῶνι Ναβȣθαὶ, ὅτι κα-
ταβέβηκεν ἐκεῖ κληρονομῆσαι αὐτόν.
ιθ. Καὶ λαλήσεις πρὸς αὐτὸν, λέγων,
τάδε λέγει Κύριος, ὡς σὺ ἐφόνευσας
καὶ ἐκληρονόμησας, διὰ τȣ͂το τάδε
λέγει Κύριος, ἐν τῷ τόπῳ ᾧ ἔλειξαν
αἱ ὕες ϗ οἱ κύνες τὸ αἷμα Ναβȣθαὶ,
ἐκεῖ λείξȣσιν οἱ κύνες τὸ αἷμά σȣ, ϗ
αἱ πόρναι λȣ́σονται ἐν τῷ αἵματί σȣ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Πέμπει πρὸς
αὐτὸν ὁ Θεὸς Ἠλίαν τὸν προφήτην, ἄπελ-
θε, φησὶν, εἰπεῖν τῷ Ἀχαὰβ, ἀνθ' ὧν ἐφό-
» νευσας καὶ ἐκληρονόμησας, ȣ̓́τως ἐκχυ-
» θήσεται τὸ αἷμά σȣ, καὶ αἱ πόρναι λȣ́σον-
» ται ἐν τῷ αἵματί σȣ. Θεήλατος ἡ ὀργὴ,
ἀπηρτισμένη ἡ ἀπόφασις, πεπληρωμένη
ἡ καταδίκη. καὶ ὅρα πȣ͂ πέμπει αὐτόν· εἰς
τὸν ἀμπελῶνα. ὅπȣ ἡ παρανομία, ἐκεῖ
καὶ ἡ τιμωρία.

κ. Καὶ εἶπεν Ἀχαὰβ πρὸς Ἠλιȣ̀,
εἰ εὕρηκάς με ὁ ἐχθρός μȣ; καὶ εἶπεν,
A εὕρηκα· διότι μάτην πέπρασαι ποιῆ-
σαι τὸ πονηρὸν ἐνώπιον Κυρίȣ, παροր-
γίσαι αὐτόν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἰδὼν αὐτὸν Ἀ-
» χαὰβ, λέγει· εὕρηκάς με ὁ ἐχθρός μȣ,
ἀντὶ τȣ͂, ὑπαίτιόν με ἔλαβες ὅτι ἡμάρτη-
κα. νῦν καιρὸν ἔχεις ἐπεμβῆναί μοι. εὕρη-
» κάς με ὁ ἐχθρός μȣ. ἐπειδὴ ἤλεγχεν ἀεὶ ὁ
Ἠλίας τὸν Ἀχαὰβ, ὁ Ἀχαὰβ εἰδὼς ὅτι
B ἥμαρτεν· ἀεὶ μὲν ἤλεγχές με, φησί· νῦν
δὲ εὐκαίρως μοι ἐπιβαίνεις. ᾔδει γὰρ ὅτι
ἡμάρτηκε. παραγινώσκει αὐτῷ τὴν ἀπό-
» φασιν· τάδε λέγει Κύριος, φησὶν, ἀνθ'
» ὧν ἐφόνευσας καὶ ἐκληρονόμησας, καὶ αἷ-
» μα ἀνδρὸς δικαίȣ ἐξέχεας, ȣ̓́τως ἐκχυθή-
» σεται τὸ αἷμά σȣ, ϗ οἱ κύνες λείξȣσιν αὐτὸ,
» καὶ αἱ πόρναι λȣ́σονται ἐν τῷ αἵματί σȣ.

** ΑΔΗΛΟΥ. (5) Θέλεις ἰδεῖν ἑαυτὸν
πωλȣ͂ντα ἄνθρωπον; Βλέπε τί φησιν Ἠ-
Γ λίας πρὸς Ἀχαὰβ, ὡς ἀπέϛειλεν αὐτὸν ὁ
Θεὸς ἐλέγξαι αὐτὸν διὰ τὸν ἀμπελῶνα,
ὃν ἀφείλετο τȣ͂ Ναβȣθαί. λέγει αὐτῷ Ἀ-
» χαὰβ, εὕρηκάς με ὁ ἐχθρός μȣ; λέγει αὐ-
» τῷ Ἠλίας· εὕρηκά σε, διότι ἐπράθης ποιῆ-
» σαι τὸ πονηρὸν ἐνώπιον Κυρίȣ. ἡ γὰρ πρᾶ-
σις ἡμῶν διὰ τῶν ἔργων τῆς πονηρίας. ἐγὼ Ῥωμ. 7. 14.
» δὲ σαρκικός εἰμι πεπραμένος ὑπὸ τὴν ἁ-
μαρτίαν. ὁ γὰρ τῇ κακῇ συνηθείᾳ προει-
λημμένος, ȣ̓δὲ ἂν θέλῃ, ἑαυτὸν εὐκόλως ἐκ-
Δ βάλλει τῆς δȣλείας. δευτέρα γὰρ φύσις ἡ
συνήθεια. ϗ ἡ φύσις κατὰ τῶν ἀνθρώπων.

κα. Τάδε λέγει Κύριος, ἰδȣ̀ ἐγὼ
ἐπάγω ἐπὶ σὲ κακά· καὶ ἐκκαύσω
ὀπίσω σȣ, καὶ ἐξολοθρεύσω τȣ͂ Ἀ-
χαὰβ ȣ̓ρȣ͂ντα πρὸς τοῖχον, καὶ συνε-
χόμενον ϗ ἐγκαταλελειμμένον ἐν Ἰσ-
κβ. ραήλ· Καὶ δώσω τὸν οἶκόν σȣ ὡς τὸν
οἶκον Ἱεροβοὰμ υἱȣ͂ Ναβὰτ, καὶ ὡς
E τὸν οἶκον Βαασὰ υἱȣ͂ Ἀχιὰ, περὶ τῶν
παροργισμάτων ὧν παρώργισας καὶ
κγ. ἐξήμαρτες τὸν Ἰσραήλ. Καὶ τῇ Ἰε-
ζάβελ ἐλάλησε Κύριος, λέγων, οἱ
κύνες καταφάγονται αὐτὴν ἐν τῷ
κδ. προτειχίσματι Ἰσραήλ. Τὸν τεθνη-
κότα τȣ͂ Ἀχαὰβ ἐν τῇ πόλει φάγον-
ται οἱ κύνες, καὶ τὸν τεθνηκότα αὐ-
Z τȣ͂ ἐν τῷ πεδίῳ φάγονται τὰ πετεινὰ
κε. τȣ͂ ȣ̓ρανȣ͂. Πλὴν ματαίως Ἀχαὰβ,
ὃς ἐπράθη ποιῆσαι τὸ πονηρὸν ἐνώ-
πιον Κυρίȣ, ὡς μετέθηκεν αὐτὸν Ἰε-
ζάβελ ἡ γυνὴ αὐτȣ͂.

** ΚΥΡΙΛΛΟΥ. Ἆρα ȣ̓͂ν ἐπὶ τίνος ταῦ-
τα πεπλήρωται, πῶς ȣ̓χὶ δίκαιον καλιδεῖν;
Οὐκȣ͂ν γέγονε μὲν ἐξ Ἀχαὰβ Ὀχοζίας, ὃς
ἐποίησε, φησὶ, τὸ πονηρὸν ἐναντίον Κυρίȣ,
καὶ ἐπορεύθη ἐν ὁδῷ τȣ͂ πατρὸς αὐτȣ͂ Ἀ-
χαὰβ,

(1) Ἀνωτέρω, Ἰεζραελίτȣ. Ἰσραηλίτȣ δὲ καὶ ἐν ταῖς εἰρημ. σημ.
(2) Καὶ διέῤ. αἱ εἰρημ. ἐκδόσ. (3) Παμπόνηρον. ἡ ἐν Χάλ. ἔκδ. (4) Ἐμβέβληκε. ἡ αὐτ.
(5) Ἐκ τȣ͂ λόγȣ ἐϛὶ τȣ͂ εἰς τὸ ῥητὸν, ȣ̓χ ὃ θέλω ποιῶ, τȣ͂ ἐν τοῖς νόθοις τȣ͂ Χρυσοϛόμȣ συνταγέν-
τος, κειμένȣ δὲ ἐν τῷ 2. μέρ. τȣ͂ 8. τόμ. τῆς τȣ͂ Μοντφ. ἐκδόσ.

Α χαὰβ, καὶ ἐν ὁδῷ Ἰεζάβελ τῆς μητρὸς αὐ-
τοῦ. ἀλλὰ καὶ ἐξ Ὀχοζίου γέγονε, Φησὶν,
Ἰωρὰμ, περὶ οὗ πάλιν γέγραπται, ὅτι ἐπο-
ρεύθη ἐν ταῖς ἁμαρτίαις οἴκου Ἱεροβοάμ.
ἀλλὰ καὶ ἐξ Ἰωρὰμ βεβασίλευκε τρίτος
Ὀχοζίας, περὶ οὗ πάλιν Φησὶν, ὅτι ἐποίησε
τὸ πονηρὸν ἐνώπιον Κυρίου, καθὼς ὁ οἶκος
Ἀχαάβ. ἐπειδὴ δὲ ἤδη παρῆν ὁ καιρὸς τοῦ
κολάζεσθαι δεῖν τὸν οἶκον Ἀχαὰβ, μέχρι
καὶ τετάρτων ἐγγόνων τῆς κατὰ Θεοῦ δυσ-
Β σεβείας οὐ καταλήξαντα, κέχρισαι λοιπὸν
ἐπὶ τὸν Ἰσραὴλ Ἰωσαφὰτ υἱὸς Ναμεσὶ, ὃς
ἀναιρεῖ μὲν τὸν Ὀχοζίαν, καὶ σὺν ἐκείνῳ
τὴν Ἰεζάβελ, ἀναιρεῖ δὲ τῷ Ἀχαὰβ καὶ
ἑτέρους υἱοὺς ἑβδομήκοντα, τὴν θείαν ὥσπερ
διεξάγων εἰς πέρας ὀργήν· ὡς καὶ τιμῆς
καὶ χάριτος ἐπὶ τούτῳ τυχεῖν. (1)

κς. Καὶ ἐβδελύχθη σφόδρα πο-
ρευθῆναι ὀπίσω τῶν βδελυγμάτων,
Γ κατὰ πάντα ἃ ἐποίησεν ὁ Ἀμοῤῥαῖος,
ὃν ἐξωλόθρευσε Κύριος ἀπὸ προσώπου
υἱῶν Ἰσραήλ.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τὸν δὲ Ἀμοῤῥαῖον
ἐνταῦθα οὐ τὸ ἔθνος λέγει, ἀλλὰ πάντας
τοὺς Χαναναίους. Ἀμοῤῥαῖος γὰρ τῇ Ἑ-
βραίων Φωνῇ καὶ ὁ κατοικῶν ὀνομάζεται.

κζ. Καὶ ὑπὲρ τοῦ λόγου ὡς κατενύ-
γη Ἀχαὰβ ἀπὸ προσώπου Κυρίου, καὶ
Δ ἐπορεύετο κλαίων, καὶ διέῤῥηξε τὸν
χιτῶνα αὐτοῦ, καὶ ἐζώσατο σάκκον
ἐπὶ τὸ σῶμα αὐτοῦ, καὶ ἐνήστευσε· καὶ
περιεβάλετο σάκκον (2) τῇ ἡμέρᾳ
ᾗ ἐπάταξε Ναβουθαὶ τὸν Ἰσραηλί-
κη. την. (3) Καὶ ἐγένετο ῥῆμα Κυρίου ἐν
χειρὶ δούλου αὐτοῦ Ἠλιοῦ περὶ Ἀχαὰβ,
κθ. καὶ εἶπε Κύριος, Ἑώρακας ὡς κατε-
νύγη Ἀχαὰβ ἀπὸ προσώπου μου; οὐκ
Ε ἐπάξω τὴν κακίαν ἐν ταῖς ἡμέραις
αὐτοῦ, ἀλλ᾽ ἐν ταῖς ἡμέραις τοῦ υἱοῦ αὐ-
τοῦ ἐπάξω τὴν κακίαν.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ἡ δὲ τῆς ἀγαθό-
τητος ἄβυσσος, ὁ δεσπότης Θεὸς, διὰ μὲν
τὴν μιαιφονίαν, τὴν πανωλεθρίαν ἠπείλη-
σε· διὰ δὲ τὸν ἐπὶ τῷ φόνῳ θρῆνον, τὴν
τῆς τιμωρίας ἀναβολὴν ἐχαρίσατο.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁ ἀσεβέστα-
Ζ τος βασιλεὺς ἐκεῖνος, ὁ γεγονὼς μὲν ἔκδο-
τος τοῖς ἁμαρτήμασιν ὑπὸ τῆς γυναικὸς,
ἐπειδὴ δὲ μόνον ἐπένθησε, καὶ σάκκον πε-
ριεβάλετο, καὶ κατέγνω τῶν πλημμελη-
θέντων αὐτῷ, οὕτως ἐπεσπάσατο τοῦ Θεοῦ τὸν
ἔλεον, ὡς πάντων αὐτὸν ἀπαλλάξαι τῶν
ἐπηρτημένων κακῶν. εἶπε γὰρ ὁ Θεὸς τῷ
» Ἠλίᾳ, ἑώρακας πῶς κατενύγη Ἀχαὰβ
» ἀπὸ προσώπου μου; οὐκ ἐπάξω τὴν κακίαν ἐν
» ταῖς ἡμέραις αὐτοῦ, ἀνθ᾽ ὧν ὅτι ἔκλαυσεν
» ἀπὸ προσώπου μου.

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Οὐκ ἔστιν ἄνθρωπον
καθ᾽ ὅλου οὕτως εἶναι δίκαιον, ὡς καθαρὸν
εἶναι ἀπὸ ἁμαρτίας· καὶ πάλιν, οὐκ ἔστιν ἄν-
θρωπον οὐδένα κακὸν εἶναι, ὡς μὴ ἔχειν τὶ,
κἂν μικρὸν ἀγαθόν. οἷον, τὶ λέγω· ὁ δεῖνα
ἁρπάζει καὶ πλεονεκτεῖ καὶ λυμαίνεται, ἀλλ᾽
ἐνίοτε ἐλεημοσύνην δίδωσιν, ἀλλ᾽ ἐνίοτε σώ-
φρων ἐστὶν, ἀλλ᾽ ἐνίοτε λόγον ἔχει χρηστὸν,
ἀλλ᾽ ἐνίοτε κἂν ἐνὶ ἀνδρὶ ἐβοήθησεν, ἀλλ᾽
ἐνίοτε ἔκλαυσεν, ἀλλ᾽ ἐνίοτε ἐστύγνασεν. οὔτε
οὖν δίκαιός ἐστι χωρὶς ἁμαρτίας, οὔτε ἐστὶν
ἁμαρτωλὸς καθόλου ἔρημος ἀγαθοῦ. τὶ τοῦ
Ἀχαὰβ χαλεπώτερον; ἥρπασε καὶ ἐφό-
νευσεν· ἀλλ᾽ ὅμως ἐπειδὴ ἐστύγνασε, λέγει
» τῷ Ἠλίᾳ ὁ Θεός· εἶδες πῶς κατενύγη Ἀ-
χαάβ; εἶδες ἐν τοσούτῳ βυθῷ κακῶν, πῶς
εὑρέθη τὶ μικρὸν ἀγαθόν;

✱✱ ΤΟΥ ΑΥΤΟΥ. Ἀχαὰβ ἦν σκυθρω-
πάζων καὶ πενθῶν ἐπὶ τῇ ἁμαρτίᾳ. συνέγνω
τὴν ἀδικίαν, καὶ ἔλυσε τὴν κατ᾽ αὐτοῦ ψῆ-
φον ὁ Θεός· ἀλλὰ πρῶτον ἀπελογήσατο ὁ
Θεὸς τῷ Ἠλίᾳ, ἵνα μὴ ὡς ψεύστης φανῇ
καὶ πάθῃ ὅπερ ἔπαθεν Ἰωνᾶς. Καὶ μεθ᾽ ἕτε[ρα]
Ἵν᾽ οὖν μὴ τοιοῦτον πάθῃ Ἠλίας οἷον καὶ [Ἰω]-
νᾶς, λέγει ὁ Θεὸς τὴν αἰτίαν, δι᾽ ἣν τῷ [Ἀ]-
χαὰβ συνεχώρησε. καὶ τί Φησιν ὁ Θεὸς
πρὸς τὸν Ἠλίαν; εἶδες πῶς ἐπορεύθη Ἀ-
χαὰβ πενθῶν καὶ σκυθρωπάζων ἐνώπιόν
» μου; οὐ μὴ ποιήσω κατὰ τὴν κακίαν αὐτοῦ.
βαβαὶ, Δεσπότης δούλου συνήγορος γίνεται,
καὶ ἀπολογεῖται Θεὸς ἀνθρώπῳ ὑπὲρ ἀν-
Ε θρώπου· μὴ νόμιζε, Φησὶν, ὅτι ἁπλῶς συ-
νεχώρησα αὐτῷ, μετεῤῥύθμισε τὸν τρό-
πον· καὶ μετέβαλον τὴν ὀργήν μου καὶ ἀνέ-
λυσα. καὶ ἵνα μὴ νομισθῇς σὺ ὡς ψευδοπρο-
φήτης· σὺ γὰρ ἀληθῶς εἶπας· εἰ μὴ με-
τέβαλε τὸν τρόπον, ὑπομεῖναι εἶχε τὰ τῆς
ἀποφάσεως· ἀλλ᾽ οὕτος μὲν μετέβαλε τὸν
τρόπον, κἀγὼ ἀνέλυσα τὴν ὀργήν μου. καί-
Φησιν ὁ Θεὸς πρὸς τὸν Ἠλίαν· εἶδες πῶς
ἐπορεύθη Ἀχαὰβ πενθῶν καὶ σκυθρωπά-
Ζ ζων; οὐ μὴ ποιήσω κατὰ τὴν ὀργήν μου. εἶ-
δες ὅτι τὸ πενθῆσαι ἐξαλείφει ἁμαρτίας;

ΚΕΦ. ΚΑ.

α. Καὶ υἱὸς Ἄδερ βασιλεὺς Συ-
ρίας συνήθροισε πᾶσαν
τὴν δύναμιν αὐτοῦ, καὶ ἀνέ-
βη καὶ περιεκάθισεν ἐπὶ Σαμάρειαν,
καὶ τριάκοντα καὶ δύω βασιλεῖς μετ᾽
αὐτοῦ, καὶ πᾶς ἵππος καὶ ἅρματα.
καὶ ἀνέβησαν καὶ περιεκάθισαν ἐπὶ
Σαμάρειαν, καὶ ἐπολέμησαν ἐπ᾽ αὐ-
β. τήν. Καὶ ἀπέστειλε πρὸς Ἀχαὰβ βα-
σιλέα Ἰσραὴλ εἰς τὴν πόλιν, καὶ εἶπε
πρὸς

(1) Τὰ περὶ τούτων τὸ 9, καὶ 10. κεφ. τῆς 4. τῶν Βασ. περιέχει.
(2) Ἐν τῇ. αἱ εἰρημ. ἐκδόσ.
(3) Καὶ ἐπορεύθη. Καὶ ἐγέν. αἱ αὐτ.

πρὸς αὐτὸν, τάδε λέγει υἱὸς Ἄδερ,
γ. Τὸ ἀργύριόν σου καὶ τὸ χρυσίον σου ἐμόν ἐστι, καὶ αἱ γυναῖκές σου καὶ τὰ τέκνα σου ἐμά ἐστι.

** ΙΩΣΗΠΟΥ. Ὁ τοῦ Ἀδάδου υἱὸς, βασιλεύων τῶν Σύρων καὶ Δαμασκοῦ, δύναμιν ἐξ ἁπάσης τῆς χώρας συναγαγὼν, συμμάχους τοὺς πέραν Εὐφράτου βασιλέας ποιησάμενος τριάκοντα καὶ δύο, ἐστράτευσεν ἐπὶ τὸν Ἄχαβον. ὁ δὲ οὐκ ὢν ὅμοιος αὐτῷ τῇ στρατιᾷ, πρὸς μάχην μὲν οὐ παρετάξατο, πάντα δ' εἰς τὰς ὀχυρωτάτας πόλεις ἐγκλείσας τὰ ἐν τῇ χώρᾳ, αὐτὸς μὲν ἔμεινεν ἐν Σαμαρείᾳ· τείχη γὰρ αὕτη λίαν ἰσχυρὰ περιεβέβλητο, καὶ τὰ ἄλλα δυσάλωτος ἐδόκει· ὁ δὲ Σύρος ἀναλαβὼν τὴν δύναμιν, ἧκεν ἐπὶ τὴν Σαμάρειαν, καὶ περικαθίσας αὐτῇ τὸν στρατὸν, ἐπολιόρκει· πέμψας δὲ κήρυκα πρὸς Ἄχαβον, ἠξίου πρεσβευτὰς δέξασθαι παρ' αὐτοῦ, δι' ὧν αὐτῷ δηλώσει τί βούλεται. τοῦ δὲ Ἰσραηλιτῶν βασιλέως πέμπειν ἐπιτρέψαντος, ἐλθόντες οἱ πρέσβεις ἔλεγον κατ' ἐντολὴν τοῦ βασιλέως, τὸν » Ἀχάβου πλοῦτον, καὶ τὰ τέκνα αὐτοῦ, καὶ » τὰς γυναῖκας, Ἀδάδου τυγχάνειν. ἂν δὲ » ὁμολογήσῃ, καὶ λαβεῖν αὐτῷ τούτων ὅσα » βούλεται συγχωρήσῃ, τὴν στρατιὰν ἀπάξει, » καὶ παύσεται πολιορκῶν.

δ. Καὶ ἀπεκρίθη βασιλεὺς Ἰσ[illegible]ὴλ, καὶ εἶπε, καθὼς ἐλάλησας [illegible]ριε βασιλεῦ, σός εἰμι καὶ πάντα τὰ [illegible]ά. Καὶ ἀνέστρεψαν οἱ ἄγγελοι, καὶ εἶπαν, τάδε λέγει (1) υἱὸς Ἄδερ, ἐγὼ ἀπέσταλκα πρὸς σὲ, λέγων, τὸ ἀργύριόν σου καὶ τὸ χρυσίον σου καὶ τὰς γυναῖκας καὶ τέκνα σου δώσεις ἐμοί.
ς. Ὅτι ταύτην τὴν ὥραν αὔριον ἀποστελῶ τοὺς παῖδάς μου πρὸς σὲ, καὶ ἐρευνήσουσι τὸν οἶκόν σου καὶ τοὺς οἴκους τῶν παίδων σου, καὶ ἔσται πάντα τὰ ἐπιθυμήματα τῶν ὀφθαλμῶν αὐτῶν ἐφ' ἃ ἂν ἐπιβάλωσι τὰς χεῖρας αὐτῶν, καὶ λήψονται.

** ΙΩΣΗΠΟΥ. Ὁ Ἄχαβος τοῖς πρέσβεσιν ἐκέλευσε πορευθεῖσι λέγειν αὐτῶν » τῷ βασιλεῖ, ὅτι καὶ αὐτὸς καὶ οἱ ἐκείνου πάν» τες κτήματά εἰσιν αὐτοῦ. ταῦτα δ' ἀπαγγειλάντων, πέμπει πάλιν πρὸς αὐτὸν, ἀξιῶν, ἀνωμολογηκότα εἶναι πάντα τὰ ἐκείνου, δέξασθαι τοὺς πεμφθησομένους εἰς τὴν ἐπιοῦσαν ὑπ' αὐτοῦ δούλους· οἷς ἐρευνήσασι τά τε βασίλεια καὶ τοὺς τῶν φίλων καὶ συγγενῶν οἴκους, ἐκέλευε διδόναι πᾶν ὅ,τι ἂν ἐν αὐτοῖς εὕρωσι κάλλιστον, τὰ δ' ἀπαρέσαντα οἱ καταλείψουσι.

ζ. Καὶ ἐκάλεσεν ὁ βασιλεὺς Ἰσραὴλ πάντας τοὺς πρεσβυτέρους τῆς γῆς, καὶ εἶπε, γνῶτε δὴ καὶ ἴδετε ὅτι

A κακίαν οὗτος ζητεῖ, ὅτι ἀπέσταλκε πρός με περὶ τῶν γυναικῶν μου καὶ περὶ τῶν υἱῶν μου καὶ περὶ τῶν θυγατέρων μου· τὸ ἀργύριόν μου καὶ τὸ χρυσίον
η. μου οὐκ ἀπεκώλυσα ἀπ' αὐτοῦ. Καὶ εἶπαν αὐτῷ οἱ πρεσβύτεροι καὶ πᾶς ὁ λαὸς, μὴ ἀκούσῃς, καὶ μὴ θελήσῃς.
θ. Καὶ εἶπε τοῖς ἀγγέλοις υἱοῦ Ἄδερ,
B λέγετε τῷ κυρίῳ ὑμῶν, πάντα ὅσα ἀπέσταλκας πρὸς τὸν δοῦλόν σου ἐν πρώτοις ποιήσω, τὸ δὲ ῥῆμα τοῦτο οὐ δυνήσομαι ποιῆσαι. καὶ ἀπῆραν οἱ ἄνδρες, καὶ ἀπέστρεψαν αὐτῷ λόγον.

** ΙΩΣΗΠΟΥ. Ἄχαβος ἀγασθεὶς ἐπὶ τῇ δευτέρᾳ πρεσβείᾳ τοῦ τῶν Σύρων βασιλέως, συναγαγὼν εἰς ἐκκλησίαν τὸ πλῆ» θος, ἔλεγεν· ὡς αὐτὸς μὲν ἔχει ἑτοίμως Γ» ὑπὲρ σωτηρίας αὐτῶν καὶ εἰρήνης, καὶ γυ» ναῖκας τὰς ἰδίας προέσθαι τῷ πολεμίῳ καὶ » τέκνα, καὶ πάσης παραχωρῆσαι κτήσεως. » ταῦτα γὰρ ἐπιζητῶν ἐπρεσβεύσατο πρῶ» τον ὁ Σύρος. νῦν δ' ἠξίωκε δούλους πέμψαι, » τάς τε πάντων οἰκίας ἐρευνῆσαι, καὶ μηδὲν » ἐν αὐταῖς καταλιπεῖν τῶν καλλίστων κτημά» των, πρόφασιν βουλόμενος πολέμου λαβεῖν· » εἰδὼς ὅτι τῶν μὲν ἐμαυτοῦ δι' ὑμᾶς οὐκ ἂν » φεισαίμην, ἀφορμὴν δὲ ἐκ τοῦ περὶ τῶν Δ» ἡμετέρων ἀηδοῦς πραγματευόμενος εἰς τὸ » πολεμεῖν. ποιήσω γε μὴν τὰ ὑμῖν δοκοῦντα. τὸ δὲ πλῆθος μηδὲν ὑπακούειν τῶν κατ' αὐτὸν συνεβούλευεν, ἀλλὰ καταφρονεῖν καὶ πρὸς τὸ πολεμεῖν ἑτοίμως ἔχειν. τοῖς οὖν πρεσβευταῖς ἀποκρινάμενος λέγειν ἀπελ» θοῦσιν· ὅτι τοῖς τὸ πρῶτον ἀξιωθεῖσιν ὑπ' » αὐτοῦ καὶ νῦν ἐμμένει τῆς τῶν πολιτῶν ἀσ» φαλείας ἕνεκα, πρὸς δὲ τὴν δευτέραν ἀξίω» σιν οὐχ ὑπακούει· ἀπέλυσεν αὐτούς.

E ι. Καὶ ἀνταπέστειλε πρὸς αὐτὸν υἱὸς Ἄδερ, λέγων, τάδε ποιήσαισάν μοι οἱ Θεοὶ καὶ τάδε προσθείησαν, εἰ ἐκποιήσει ὁ χοῦς (2) ὁ Σαμαρείας ταῖς δραξὶ παντὶ τῷ λαῷ τοῖς πεζοῖς μου.

** ΙΩΣΗΠΟΥ. Ὁ Ἄδαδος ἀκούσας ταῦτα καὶ δυσχεράνας, τρίτον ἔπεμψε πρὸς Ἄχαβον τοὺς πρέσβεις ἀπειλῶν, ὑψηλό» τερον τῶν τειχῶν, οἷς καταφρονεῖ, χῶ Ζ» μα τούτοις ἐπεγείρειν αὐτοῦ τὴν στρατιὰν, » κατὰ δράκα γῆν λαμβάνουσαν, ἐμφανίζων αὐτῷ τῆς δυνάμεως τὸ πλῆθος, καὶ καταπληττόμενος.

* ΘΕΟΔΩΡΙΤΟΥ. Αὐτίκα γοῦν τῶν Σύρων πολλὰς μυριάδας κατ' αὐτοῦ συνειληχότων, καὶ βρενθυομένων, καὶ λεγόντων, » εἰ ἐκποιήσει (3) Σαμάρεια ταῖς δραξὶ παν» τὶ τῷ λαῷ τοῖς πεζοῖς μου· ταῦτα δὲ ἔλεγον ἀπειλοῦντες τῆς πολιορκίας τὰ χώματα· H τὸν Προφήτην ἀποστείλας ὁ δεσπότης Θεὸς, διέλυσε τοῦ τρισαθλίου βασιλέως τὸ δέος, τοῖς δὲ τοῖς λόγοις χρησάμενος· ἑώρακας

(1) Ὁ υἱός. αἱ εἰρημ. ἐκδόσ. (2) Ὁ χοῦς Σαμαρ. αἱ αὐτ. (3) Ὁ χοῦς Σαμαρείας. ἡ ἐν Χάλ. ἐκδ.

ρακας πάντως τὸν ἦχον τὸν μέγαν τοῦτον. ἰδοὺ δίδωμι ἐγὼ αὐτὸν εἰς τὰς χεῖράς σου, καὶ γνώσῃ, ὅτι ἐγὼ Κύριος. μάλα δὲ ἁρμοδίως ἦχον ὠνόμασε τῶν ἀπειλητικῶν ῥημάτων τὸν ψόφον. διελύθη γὰρ συντόμως τῇ θείᾳ ῥοπῇ.

ια. Καὶ ἀπεκρίθη ὁ βασιλεὺς Ἰσ-
ραὴλ, καὶ εἶπεν, ἱκανούσθω· μὴ καυ-
ιβ. χάσθω ὁ κυρτὸς, ὡς ὁ ὀρθός. Καὶ
ἐγένετο ὅτε ἀπεκρίθη αὐτῷ τὸν λό-
γον τοῦτον, πίνων ἦν αὐτὸς καὶ πάν-
τες οἱ βασιλεῖς οἱ μετ' αὐτοῦ ἐν σκη-
ναῖς· καὶ εἶπε τοῖς παισὶν αὐτοῦ, οἰκο-
δομήσατε χάρακα· καὶ ἔθεντο χά-
ρακα ἐπὶ τὴν πόλιν.

** ΙΩΣΗΠΟΥ. Τοῦ Ἀχάβου, μὴ καυχᾶσθαι δεῖν ἀποκρινομένου, καθωπλισμένον, ἀλλὰ τῇ μάχῃ κρείττω γενόμενον, ἐλθόντες οἱ πρέσβεις, καὶ δειπνοῦντα καταλαβόντες τὸν βασιλέα μετὰ τριάκοντα καὶ δύω βασιλέων συμμάχων, ἐδήλωσαν αὐτῷ τὴν ἀπόκρισιν. ὁ δὲ εὐθέως τοῦτο προσέταξε, καὶ περιχαρακοῦν τὴν πόλιν καὶ χώματα βάλλεσθαι, καὶ μηδένα τρόπον ἀπολιπεῖν πολιορκίας.

ιγ. Καὶ ἰδοὺ Προφήτης εἷς προσῆλθε τῷ Ἀχαὰβ βασιλεῖ Ἰσραὴλ, καὶ εἶπε, τάδε λέγει Κύριος, ἑώρακας πάντα τὸν ὄχλον (1) τὸν μέγαν τοῦτον; ἰδοὺ ἐγὼ δίδωμι αὐτὸν σήμερον εἰς χεῖράς σου, καὶ γνώσῃ ὅτι ἐγὼ Κύριος.

** ΙΩΣΗΠΟΥ. Ἦν Ἄχαβος τούτων πραττομένων ἐν ἀγωνίᾳ δεινῇ, σὺν παντὶ τῷ λαῷ. θαῤῥεῖ δὲ καὶ τὸν φόβον ἀπολύεται, Προφήτου τινὸς αὐτῷ προσελθόντος, καὶ φήσαντος αὐτοῦ τὸν Θεὸν ὑπισχνεῖσθαι ποιήσειν τὰς τοσαύτας τῶν πολεμίων μυριάδας ὑποχειρίους.

ιδ. Καὶ εἶπεν Ἀχαὰβ ἐν τίνι; καὶ
εἶπε, τάδε λέγει Κύριος, ἐν τοῖς παι-
δαρίοις τῶν ἀρχόντων τῶν χωρῶν. καὶ
εἶπεν Ἀχαὰβ, τίς συνάψει τὸν πό-
ιε. λεμον; καὶ εἶπε σύ; Καὶ ἐπεσκέψατο
Ἀχαὰβ τοὺς ἄρχοντας τὰ παιδάρια
τῶν χωρῶν, καὶ ἐγένοντο διακόσια
τριάκοντα· (2) καὶ μετὰ ταῦτα ἐπε-
σκέψατο τὸν λαὸν πάντα υἱὸν δυνά-
μεως, ἑπτὰ χιλιάδας.

** ΙΩΣΗΠΟΥ. Πυθομένῳ διὰ τίνων ἂν ἡ νίκη γένοιτο, διὰ τῶν παίδων, εἶπε, τῶν ἡγεμόνων, ἡγουμένου σοῦ διὰ τὴν ἀπειρίαν τὴν ἐκείνων. καλέσας δὲ τοὺς τῶν ἡγεμόνων υἱοὺς, εὑρέθησαν δ' ὡς διακόσιοι καὶ τριάκοντα δύω, μαθὼν τὸν Σύρον πρὸς εὐωχίαν καὶ ἄνεσιν τετραμμένον, ἀνοίξας τὰς πύλας, ἐξέπεμψε τοὺς παῖδας.

A * ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, ἐν τοῖς παιδαρίοις τῶν ἀρχόντων τῶν χωρῶν; Οὐ χρῄζω πλήθους, φησὶν, ἐγώ. ἐν ὀλίγοις γὰρ μειρακίοις, [καὶ πολέμων ἀπείροις] τὴν παμπόλλην ταύτην στρατιὰν διολέσω. ἀριθμήσας γοῦν αὐτοὺς ὁ Ἀχαὰβ τριάκοντα (3) καὶ δύω εὗρε πρὸς τοῖς διακοσίοις. διὰ τούτων ὁ παντοδύναμος Κύριος τριάκοντα καὶ δύω βασιλέων διέλυσε στρατιάν.

B ις. Καὶ ἐξῆλθε μεσημβρίας. καὶ υἱὸς Ἄδερ πίνων μεθύων ἐν Σοκχὼθ αὐτὸς (4) καὶ οἱ τριάκοντα δύω βασιλεῖς συμβοηθοὶ μετ' αὐτοῦ.

ιζ. Καὶ ἐξῆλθον παιδάρια τῶν ἀρ-
χόντων τῶν χωρῶν ἐν πρώτοις. καὶ
ἀποστέλλουσι καὶ ἀναγγέλλουσι (5) τῷ
Γ βασιλεῖ Συρίας, λέγοντες, ἄνδρες
ιη. ἐξεληλύθασιν ἐκ Σαμαρείας. Καὶ
εἶπεν αὐτοῖς, εἰ εἰς εἰρήνην ἐκπορεύον-
ται, συλλάβετε αὐτοὺς ζῶντας· καὶ εἰ
εἰς πόλεμον ἐξῆλθον, ζῶντας συλλά-
ιθ. βετε αὐτούς. Καὶ μὴ ἐξελθέτωσαν
ἐκ τῆς πόλεως, καὶ ἐξῆλθον ἐκ τῆς πό-
λεως τὰ παιδάρια ἀρχόντων τῶν χω-
κ. ρῶν. καὶ ἡ δύναμις ὀπίσω αὐτῶν. Καὶ
ἐπάταξεν ἄνθρωπος τὸν παρ' αὐτοῦ·
Δ καὶ ἐδευτέρωσεν ἕκαστος τὸν παρ' αὐτοῦ
καὶ ἔφυγε Συρία· καὶ κατεδίωξεν α
τοὺς Ἰσραήλ. καὶ σώζεται υἱὸς Ἄδερ β
σιλεὺς Συρίας ἐφ' ἵππου σὺν ἱππεῦ
κα. τισί. Καὶ ἐξῆλθεν ὁ βασιλεὺς Ἰσ-
ραὴλ, καὶ ἔλαβε πάντας τοὺς ἵππους
καὶ τὰ ἅρματα, καὶ ἐπάταξε πληγὴν
μεγάλην ἐν Συρίᾳ.

** ΙΩΣΗΠΟΥ. Τῶν δὲ σκοπῶν δηλωσάντων τῷ Ἀδάδῳ, πέμπει τινὰς ὑπαντησομένους, ἐντειλάμενος ἂν μὲν εἰς μάχην ὦσι προσεληλυθότες, ἵνα δήσαντες ἀγάγωσι πρὸς αὐτὸν, ἂν δὲ εἰρηνικῶς, ὅπως ταὐτὸ ποιῶσιν. εἶχε δ' ἑτοίμην Ἄχαβος καὶ τὴν ἄλλην στρατιὰν ἐντὸς τῶν τειχῶν. οἱ δὲ παῖδες τῶν ἀρχόντων συμβαλόντες τοῖς φύλαξι, πολλοὺς αὐτῶν ἀποκτείνουσι, καὶ τοὺς ἄλλους ἄχρι τοῦ στρατοπέδου διώκουσιν. ἰδὼν δὲ τούτους νικῶντας ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς, ἐξαφίησι καὶ τὴν ἄλλην στρατιὰν ἅπασαν. ἡ δὲ αἰφνιδίως ἐπιπεσοῦσα τοῖς Σύροις, ἐκράτησεν αὐτῶν. οὐ γὰρ προσεδόκων αὐτοὺς ἐπεξελεύσεσθαι· καὶ διὰ τοῦτο γυμνοῖς καὶ μεθύουσι προσέβαλλον, ὥστε τὰς πανοπλίας ἐκ τῶν στρατοπέδων φεύγοντας καταλιπεῖν, καὶ τὸν βασιλέα διασωθῆναι μόλις ἐφ' ἵππου ποιησάμενον τὴν φυγήν. Ἄχαβος δὲ πολλὴν ὁδὸν διώκων τοὺς Σύρους ἤνυσε, ἀναιρῶν αὐτούς.

H κβ. Καὶ προσῆλθεν ὁ Προφήτης πρὸς βασιλέα Ἰσραὴλ, καὶ εἶπε, κραταιοῦ

(1) Ἦχον. ἐν ταῖς εἰρημ. σημειώσ.

(2) Καὶ δύω. αὐτ.

(3) Τριάκοντα καὶ διακοσίους εὗρε. διὰ, κτ. ἡ ἐν Χαλ. ἔκδ.

(4) Αὐτὸς καὶ οἱ βασιλεῖς, τριάκοντα καὶ δύω βασ. αἱ εἰρημ. ἐκδόσ.

(5) Ἀπαγγέλλουσι. αἱ αὐτ.

τοῦ καὶ γνῶθι καὶ ἴδε τί ποιήσεις,
ὅτι ἐπιστρέφοντος τοῦ ἐνιαυτοῦ (1) ὁ υἱὸς
Ἄδερ βασιλεὺς Συρίας ἀναβαίνει ἐπὶ
κγ. σέ. Καὶ οἱ παῖδες βασιλέως Συρίας
εἶπον πρὸς αὐτὸν, Θεὸς ὀρέων ὁ Θεὸς
Ἰσραὴλ καὶ οὐ Θεὸς κοιλάδων, διὰ
τοῦτο ἐκραταίωσεν ὑπὲρ ἡμᾶς· ἐὰν δὲ
πολεμήσωμεν αὐτοὺς κατ᾽ εὐθὺ, ἢ μὴν
κραταιώσομεν ὑπὲρ αὐτούς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τούτους δὲ κατὰ κράτος νενικηκότι προμηνύει τῶν Σύρων τὴν
» ἔφοδον τὴν ἐσομένην εἰς τὸ ἐπιόν. (2) ἐροῦσι
» γάρ φησιν οἱ Σύροι, Θεὸς ὀρέων ὁ Θεὸς Ἰσ-
» ραὴλ καὶ οὐ Θεὸς κοιλάδων· τουτέστιν ἐν τοῖς ὄρεσιν ἔχει τὴν δύναμιν, ἐν δὲ τοῖς πεδίοις ἡττᾶται. ἐπειδὴ γὰρ τοιούτους εἶναι τοὺς οἰκείους θεοὺς ὑπελάμβανον, ᾠήθησαν καὶ τὸν ἀληθινὸν τῶν ὅλων δημιουργὸν μερικὸν εἶναι Θεόν. ἀλλ᾽ ἔδειξε καὶ τοῖς οἰκείοις καὶ τοῖς ἀλλοτρίοις τὴν ἰδίαν ἰσχύν. τῆς γὰρ συμπλοκῆς ἐν πεδίῳ γεγενημένης, δυωκαίδεκα μυριάδας τῶν ἀντιπάλων ὁ Ἰσραὴλ κατηκόντισεν. ἵνα δὲ κἀκεῖνοι καὶ οὗτοι μάθωσιν, ὡς θεήλατος ἡ πληγὴ, τῶν [διαφυγόντων εἰς τὴν Ἀφηκὰ πόλιν] διαπεφευγότων καταπεσὸν τὸ τεῖχος ἑπτὰ καὶ εἴκοσι χιλιάδας κατέχωσε.

κδ. Καὶ τὸ ῥῆμα τοῦτο ποίησον·
...όστησον τοὺς βασιλεῖς ἕκαστον εἰς τὸν
...πον αὐτῶν, καὶ θοῦ ἀντ᾽ αὐτῶν σα-
...ράπας, Καὶ ἀλλάξομέν σοι δύνα-
μιν κατὰ τὴν δύναμιν τὴν πεσοῦσαν
ἀπὸ σοῦ, καὶ ἵππον κατὰ τὴν ἵππον,
καὶ ἅρματα κατὰ τὰ ἅρματα, καὶ
πολεμήσομεν πρὸς αὐτοὺς κατ᾽ εὐθὺ,
καὶ κραταιώσομεν ὑπὲρ αὐτούς. καὶ
ἤκουσε τῆς φωνῆς αὐτῶν, καὶ ἐποίησεν
κϛ. οὕτω. Καὶ ἐγένετο ἐπιστρέψαντος τοῦ
ἐνιαυτοῦ, καὶ ἐπεσκέψατο (3) ὁ υἱὸς
Ἄδερ τὴν Συρίαν, καὶ ἀνέβη εἰς Ἄ-
φεκκα (4) καὶ εἰς πόλεμον ἐπὶ Ἰσραήλ.
κζ. Καὶ οἱ υἱοὶ Ἰσραὴλ ἐπεσκέπησαν, καὶ
παρεγένοντο εἰς ἀπάντησιν αὐτῶν. καὶ
παρενέβαλον οἱ υἱοὶ Ἰσραὴλ ἐξ ἐναν-
τίας αὐτῶν ὡσεὶ δύο ποίμνια αἰγῶν·
κη. καὶ Συρία ἔπλησε τὴν γῆν. Καὶ προ-
σῆλθεν ὁ ἄνθρωπος τοῦ Θεοῦ, καὶ εἶπε
τῷ βασιλεῖ Ἰσραὴλ, τάδε λέγει Κύ-
ριος, ἀνθ᾽ ὧν εἶπε Συρία, Θεὸς ὀρέων
Κύριος ὁ Θεὸς Ἰσραὴλ καὶ οὐ Θεὸς κοι-
λάδων αὐτὸς, καὶ δώσω τὴν δύναμιν
τὴν μεγάλην ταύτην εἰς χεῖρα σὴν,
κθ. καὶ γνώσῃ ὅτι ἐγὼ Κύριος. Καὶ πα-
ρεμβάλλουσιν οὗτοι ἀπέναντι τούτων
ἑπτὰ ἡμέρας. καὶ ἐγένετο ἐν τῇ ἡμέρᾳ

A τῇ ἑβδόμῃ, καὶ προσήγαγεν ὁ πόλεμος,
καὶ ἐπάταξεν Ἰσραὴλ τὴν Συρίαν ἑκα-
τὸν χιλιάδας πεζῶν ἡμέρᾳ μιᾷ.
λ. Καὶ ἔφυγον οἱ κατάλοιποι εἰς
Ἄφεκκα εἰς τὴν πόλιν, καὶ ἔπεσε τὸ
τεῖχος ἐπὶ εἴκοσι καὶ ἑπτὰ χιλιάδας
ἀνδρῶν τῶν καταλοίπων. καὶ υἱὸς Ἄ-
δερ ἔφυγε καὶ εἰσῆλθεν εἰς τὸν οἶκον
λα. τοῦ κοιτῶνος, εἰς τὸ ταμιεῖον. Καὶ
B εἶπον πρὸς αὐτὸν οἱ παῖδες αὐτοῦ, ἰδὲ
δὴ οἴδαμεν ὅτι βασιλεῖς Ἰσραὴλ βασι-
λεῖς ἐλέους εἰσίν· ἐπιθώμεθα δὴ σάκ-
κους ἐπὶ τὰς ὀσφύας ἡμῶν, καὶ χοι-
νία ἐπὶ τὰς κεφαλὰς ἡμῶν, καὶ ἐξέλ-
θωμεν πρὸς βασιλέα Ἰσραὴλ, εἴπως
λβ. ζωογονήσει τὰς ψυχὰς ἡμῶν. Καὶ πε-
ριεζώσαντο σάκκους ἐπὶ τὰς ὀσφύας
Γ αὐτῶν, καὶ ἔθεντο χοινία ἐπὶ τὰς κε-
φαλὰς αὐτῶν, καὶ εἶπαν τῷ βασιλεῖ
Ἰσραὴλ, δοῦλός σου υἱὸς Ἄδερ λέγει,
ζησάτω δὴ ἡ ψυχή μου. καὶ εἶπεν, εἰ
ἔτι ζῇ, ἀδελφός μου ἐστί.

** ΙΩΣΗΠΟΥ. Ἴσχυσαν ὀλίγοι διαφυγεῖν εἰς τὴν Ἀφεκὰν πόλιν αὐτῶν. ἀπέθανον δὲ καὶ αὐτοὶ, τῶν τειχέων αὐτοῖς ἐπιπεσόντων, ὄντες δισμύριοι ἑπτακισχί-
Δ λιοι. διεφθάρησαν δὲ ἐν ἐκείνῃ τῇ μάχῃ ἄλλαι μυριάδες δέκα. ὁ δὲ βασιλεὺς τῶν Σύρων Ἄδαδος φεύγων μετά τινων πιστοτάτων οἰκετῶν, εἰς ὑπόγαιον οἶκον ἐκρύβη. τούτων δὲ φιλανθρώπους καὶ ἐλεήμονας εἶναι φησάντων αὐτῷ τοὺς τῶν Ἰσραηλιτῶν βασιλέας, καὶ δυνήσεσθαι τῷ συνήθει τρόπῳ τῆς ἱκετείας χρησαμένους τὴν σωτηρίαν αὐτῶν παρὰ Ἀχάβου λαβεῖν, εἰ συγχωρήσειεν αὐτοῖς πρὸς αὐτὸν ἀπελθεῖν, ἀφῆ-
Ε κεν. οἱ δὲ σάκκους ἐνδυσάμενοι, καὶ χοινία ταῖς κεφαλαῖς περιθέμενοι· οὕτω γὰρ τὸ παλαιὸν ἱκέτευον οἱ Σύροι· πρὸς Ἄχαβον παρεγένοντο, καὶ δεῖσθαι τὸν Ἄδαδον σώζειν αὐτὸν ἔλεγον, εἰς ἀεὶ δοῦλον αὐτοῦ τῆς χάριτος γενησόμενον. ὁ δὲ συνήδεσθαι φήσας αὐτῷ περιόντι, καὶ μηδὲν ἐν τῇ μάχῃ πεπονθότι, τιμὴν καὶ εὔνοιαν, ἣν ἄν τις ἀδελφῷ παράσχοι, κατεπηγγείλατο.

λγ. Καὶ οἱ ἄνδρες οἰωνίσαντο, καὶ
Z ἐσπεύσαντο· καὶ ἀνέλεξαν τὸν λόγον
ἐκ τοῦ στόματος αὐτοῦ, καὶ εἶπαν, ἀδελ-
φός σου υἱὸς Ἄδερ. καὶ εἶπεν, εἰσέλ-
θετε καὶ λάβετε αὐτόν. καὶ ἐξῆλθε
πρὸς αὐτὸν υἱὸς Ἄδερ, καὶ ἀναβιβά-
ζουσιν αὐτὸν πρὸς αὐτὸν ἐπὶ τὸ ἅρμα.
λδ. Καὶ εἶπε πρὸς αὐτὸν, τὰς πόλεις ἃς
ἔλαβεν ὁ πατήρ μου παρὰ τοῦ πα-
H τρός σου ἀποδώσω σοι· καὶ ἐξόδους θή-
σεις σεαυτῷ ἐν Δαμασκῷ, καθὼς
ἔθετο

(1) Τοῦ ἐνιαυτοῦ υἱός. αἱ αὐτ.
(2) Εἰς νέωτα. ἡ ἐν Χαλ. ἐκδ.
(3) Ἐπεσκέψατο υἱός. αἱ αὐτ.
(4) Ἀφεκὰ εἰς. αἱ αὐτ.

ἔθετο ὁ πατήρ μου ἐν Σαμαρείᾳ, καὶ ἐγὼ ἐν διαθήκῃ ἐξαποστελῶ σε. καὶ διέθετο αὐτῷ διαθήκην, καὶ ἐξαπέστειλεν αὐτόν.

** ΙΩΣΗΠΟΥ. Λαβόντες ὅρκους παρ' αὐτοῦ μηδὲν ἀδικήσειν φανέντα, προάγουσι πορευθέντες ἐκ τοῦ οἴκου ἐν ᾧ ἐκέκρυπτο, καὶ προσάγουσι τῷ Ἀχάβῳ ἐφ' ἅρματος καθεζομένῳ. ὁ δὲ προσεκύνησεν αὐτῷ. Ἄχαβος δ' ἐπιδοὺς αὐτῷ τὴν δεξιὰν, ἀνεβίβασεν ἐπὶ τὸ ἅρμα, καὶ καταφιλήσας θαῤῥεῖν ἐκέλευσε, καὶ μηδὲν τῶν ἀτόπων προσδοκᾷν. Ἄδαδος δ' ηὐχαρίστει, καὶ παρ' ὅλον τὸν τοῦ ζῆν χρόνον ἀπομνημονεύσειν τῆς εὐεργεσίας ὡμολόγει. καὶ τὰς πόλεις τῶν Ἰσραηλιτῶν, ἃς ἀπήνεγκαν οἱ πρὸ αὐτοῦ βασιλεῖς ἀποδώσειν ἐπηγγείλατο· καὶ Δαμασκὸν, ὥστε ἐξελαύνειν εἰς αὐτὴν, καθὼς καὶ οἱ πατέρες αὐτοῦ εἰς Σαμάρειαν εἶχον τοῦτο ποιεῖν, ἀνύσειν. γενομένων δ' αὐτοῖς ὅρκων καὶ συνθηκῶν, πολλὰ δωρησάμενος αὐτῷ Ἄχαβος, ἀπέπεμπεν εἰς τὴν ἰδίαν βασιλείαν.

λε. Καὶ ἄνθρωπος εἷς ἐκ τῶν υἱῶν
τῶν Προφητῶν εἶπε πρὸς τὸν πλη-
σίον αὐτοῦ ἐν λόγῳ Κυρίου, πάταξόν-
με δή. καὶ οὐκ ἠθέλησεν ὁ ἄνθρωπος
λς. πατάξαι αὐτόν. Καὶ εἶπε πρὸς αὐ-
τὸν, ἀνθ' ὧν οὐκ ἤκουσας τῆς φωνῆς
Κυρίου, ἰδοὺ σὺ ἀποτρέχεις ἀπ' ἐμοῦ,
καὶ πατάξει σε λέων. καὶ ἀπῆλθεν
ἀπ' αὐτοῦ, καὶ εὑρίσκει αὐτὸν λέων,
λζ. καὶ ἐπάταξεν αὐτόν. Καὶ εὑρίσκει
ἄνθρωπον ἄλλον, καὶ εἶπε, πάταξόν-
με δή. καὶ ἐπάταξεν αὐτὸν ὁ ἄνθρω-
πος, πατάξας καὶ συνέτριψε.

** ΙΩΣΗΠΟΥ. Προφήτης τις Μιχαίας τοὔνομα, προσελθὼν ἑνὶ τῶν Ἰσραηλιτῶν, ἐκέλευσεν αὐτὸν εἰς τὴν κεφαλὴν πλῆξαι. τοῦτο γὰρ ποιήσειν κατὰ βούλησιν τοῦ Θεοῦ. τοῦ δὲ μὴ πεισθέντος, προεῖπεν αὐτῷ παρακούσαντι τῶν τοῦ Θεοῦ προσταγμάτων, λέοντι περιτυχόντα διαφθαρήσεσθαι. συμβάντος δὲ τούτου τἀνθρώπῳ, πρόσεισιν ἑτέρῳ πάλιν ὁ Προφήτης, ταὐτὸ προστάσσων.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, πά-
» ταξόν με ἐν λόγῳ Κυρίου; Οὐκ ἐγώ σε, φησὶν, ἐπιτάσσω, ἀλλὰ τὸ ἐν ἐμοὶ πνεῦμα. διὸ δὴ τῷ ἀντειπόντι τὸν διὰ τοῦ λέοντος ἐπήνεγκεν ὄλεθρον. ἄλλος δὲ τοῦτο δρᾶσαι κελευσθεὶς, πιστῶς ὑπήκουσε, καὶ πατάξας συνέτριψε, τουτέστιν ἐτραυμάτισε.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί τούτου γένοιτ' ἂν παραδοξότερον; ὁ τυπτήσας τὸν Προφήτην ἐσώθη· καὶ ὁ φεισάμενος ἐκολάζετο· ἵνα μάθῃς, ὅτι Θεοῦ προστάττοντος, οὐ δεῖ περιεργάζεσθαι τὴν φύσιν τῶν γινομένων, ἀλλὰ πείθεσθαι μόνον. ἵνα γὰρ μὴ

A τὸν Προφήτην αἰδεσθεὶς φείσηται ὁ πρότε-
» ρος· οὐχ ἁπλῶς εἶπεν αὐτῷ, πάταξόν με·
» ἀλλ' ἐν λόγῳ Κυρίου. τουτέστιν, ὁ Θεὸς ἐπέταξε, μηδὲν περαιτέρω ζήτει· βασιλεύς ἐστιν ὁ νομοθετῶν· αἰδέσθητι τοῦ κελεύοντος τὸ ἀξίωμα, μετὰ πάσης ὑπήκουε τῆς προθυμίας. ἀλλ' οὐκ ἠνέσχετο. διὰ τοῦτο δίκην ἔδωκε τὴν ἐσχάτην, τοῖς μετὰ ταῦτα δι' ὧν ἔπαθε παραινῶν, ἅπερ ἂν ὁ Θεὸς ἐπιτάξῃ, πάντα εἴκειν καὶ πείθεσθαι.

B λη. Καὶ ἐπορεύθη ὁ Προφήτης
καὶ ἔστη τῷ βασιλεῖ Ἰσραὴλ ἐπὶ τῆς
ὁδοῦ, καὶ κατεδήσατο ἐν τελαμῶνι τοὺς
λθ. ὀφθαλμοὺς αὐτοῦ. Καὶ ἐγένετο ὡς
ὁ βασιλεὺς παρεπορεύετο, καὶ οὗτος
ἐβόα πρὸς τὸν βασιλέα, καὶ εἶπεν,
ὁ δοῦλός σου ἐξῆλθεν ἐπὶ τὴν στρατιὰν
τοῦ πολέμου, καὶ ἰδοὺ ἀνὴρ εἰσήγαγε
Γ πρός με ἄνδρα, καὶ εἶπε πρός με, φύ-
λαξον τοῦτον τὸν ἄνδρα· ἐὰν δὲ ἐκπη-
δῶν ἐκπηδήσῃ, καὶ ἔσται ἡ ψυχή σου ἀντὶ
τῆς ψυχῆς αὐτοῦ, ἢ τάλαντον ἀργυ-
μ. ρίου τίσεις. Καὶ ἐγενήθη ὡς περιε-
βλέψατο ὁ δοῦλός σου ὧδε καὶ ὧδε, καὶ
οὗτος οὐκ ἦν. καὶ εἶπε πρὸς αὐτὸν ὁ βα-
σιλεὺς Ἰσραὴλ, ἰδοὺ (1) καὶ τὰ ἔνεδρα
μα. παρ' ἐμοὶ ἐφόνευσας. Καὶ ἔσπευσε
Δ καὶ ἀφεῖλε τὸν τελαμῶνα ἀπὸ τ[ῶν]
ὀφθαλμῶν αὐτοῦ. καὶ ἐπέγνω αὐτ[ὸν]
ὁ βασιλεὺς Ἰσραὴλ, ὅτι ἐκ τῶν Προ-
φητῶν οὗτος.

** ΙΩΣΗΠΟΥ. Πλήξαντος ἐκείνου, καὶ θραύσαντος αὐτοῦ τὸ κρανίον, καταδησάμενος τὴν κεφαλὴν, προσῆλθε τῷ βασιλεῖ, λέγων, αὐτῷ συνεστρατεῦσθαι, καὶ παραλαβεῖν ἐπὶ φυλακὴν τινὰ τῶν αἰχμα-
E λώτων παρὰ τοῦ ταξιάρχου, φυγόντος δ' αὐτοῦ κινδυνεύειν ὑπὸ τοῦ παραδεδωκότος ἀποθανεῖν. ἀπειλῆσαι γὰρ αὐτὸν, εἰ διαφύγοι ὁ αἰχμάλωτος ἀποκτείνειν. δίκαιον δὲ φήσαντος Ἀχάβου τὸν θάνατον εἶναι, λύσας τὴν κεφαλὴν, ἐπιγινώσκεται ὑπ' αὐτοῦ Μιχαίας ὁ προφήτης ὤν. ἐκέχρητο δὲ σοφίσματι πρὸς αὐτὸν τῷ γενομένῳ πρὸς τοὺς μέλλοντας λόγους. εἶπε γὰρ ὡς ὁ Θεὸς ἀφέντα αὐτὸν διαδρᾶναι τὴν τιμωρίαν Ἄ-
Z δαδον τὸν βλασφημήσαντα, εἰς αὐτὸν μετελεύσεται, καὶ ποιήσει αὐτὸν μὲν ἀποθανεῖν ὑπ' ἐκείνου, τὸν δὲ λαὸν ὑπὸ τῆς στρατιᾶς αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ ἐπάταξεν αὐτὸν ὁ δεύτερος ἐκεῖνος καὶ συνέτριψε, περιέδησε τὴν κεφαλὴν αὐτοῦ τελαμῶνι, καὶ τοὺς ὀφθαλμοὺς ἀπέκρυψε, καὶ ἄδηλον ἑαυτὸν κατέστησε. τίνος οὖν ἕνεκεν τοῦτο ἐποίησεν; ἔμελλεν ἐλέγχειν τὸν βα-
H σιλέα, καὶ καταψηφίζεσθαι κατ' αὐτοῦ διὰ τὴν σωτηρίαν τοῦ Σύρων βασιλέως. ἐπεὶ οὖν ἀεὶ πρὸς τοὺς Προφήτας ἀπεχθῶς εἶχεν ἐκεῖνος,

(1) Δικαστὴς σὺ παρ'. ἐν τοῖς εἰρημ. σημειώσ.

ἐκεῖνος, ἀσεβὴς ὤν· ἵνα μὴ ἰδὼν αὐτὸν ἀπὸ A τῆς ὄψεως ἀπελάσῃ, εἶτα ἀπελάσας μὴ δέξηται τὴν διόρθωσιν· κρύπτει καὶ τὸ πρόσωπον ἑαυτοῦ, καὶ τὴν τοῦ πράγματος διήγησιν· ὥστε καὶ περιγενέσθαι λέγων. καὶ ἐν οἷς ἐβούλετο ἐκεῖνον συνομολογοῦντα λαβεῖν. ἐπειδὴ γὰρ ὁ βασιλεὺς παρεπορεύετο, » ἐβόησε πρὸς αὐτὸν, καὶ εἶπεν· ὁ δοῦλός σου » ἐξῆλθεν ἐπὶ τὴν στρατείαν τοῦ πολέμου, καὶ » ἰδοὺ ἀνὴρ εἰσήγαγεν ἄνδρα πρός με, καὶ εἶπέ » μοι, Φύλαξόν μοι τοῦτον· καὶ ἔσται ἐὰν ἐκ- B » πηδῶν ἐκπηδήσῃ, ἔσται ἡ ψυχή σου ἀντὶ τῆς » ψυχῆς αὐτοῦ, ἢ τάλαντον ἀργυρίου τίσῃ. » καὶ ἐγένετο ὡς ὁ δοῦλός σου περιεβλέπετο ὧδε » καὶ ὧδε, καὶ ἰδοὺ αὐτὸς οὐκ ἦν. καὶ εἶπε πρὸς » αὐτὸν ὁ βασιλεὺς Ἰσραὴλ, ἰδοὺ σὺ δικαστὴς » παρ' ἐμοί· ἐφόνευσας· καὶ ἔσπευσε καὶ ἀφεῖ» λε τὸν τελαμῶνα ἀπὸ τῶν ὀφθαλμῶν αὐ» τοῦ, καὶ ἐπέγνω αὐτὸν ὁ βασιλεὺς Ἰσραὴλ, » ὅτι ἀπὸ τῶν υἱῶν τῶν Προφητῶν οὗτος, καὶ » εἶπε πρὸς αὐτόν· τάδε λέγει Κύριος, ὅτι Γ » ἐξαπέστειλας σὺ ἄνδρα ὀλέθριον ἐκ τῆς χει» ρός σου· ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ, » καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ. ὁρᾷς πῶς οὐχ ὁ Θεὸς μόνον, ἀλλὰ καὶ οἱ ἄνθρωποι ταύτην ἔχουσι τὴν ψῆφον· οὐ τῇ φύσει τῶν πραγμάτων προσέχοντες, ἀλλὰ τῷ τέλει καὶ ταῖς αἰτίαις; ἰδοὺ γοῦν καὶ ὁ βασιλεὺς αὐτῷ φησί· δικαστὴς σὺ παρ' ἐμοί· ἐφόνευσας. ἀνδροφόνος εἶ, φησὶν, ἐπειδὴ τὸν πολέμιον ἀφῆκας. διὰ γὰρ τοῦτο καὶ ὁ Προφήτης τὸν τελαμῶνα περιεβάλετο, καὶ ὡς ἐπ' ἀλλοτρίου πράγματος τὴν δίκην εἰσήγαγεν· Δ ἵνα μετὰ γνώμης ὀρθῆς τὴν ἀπόφασιν ὁ βασιλεὺς ἐξενέγκῃ. ὅπερ οὖν καὶ ἐγένετο. ἐπειδὴ γὰρ κατεδίκασεν αὐτὸν, περιελὼν τὸν τελαμῶνα, φησὶν ὁ Προφήτης· » ὅτι ἐξαπέστειλας ἄνδρα ὀλέθριον ἐκ τῆς » χειρός σου, ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐ» τοῦ, καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ παραβολαῖς E οἱ Προφῆται κεχρημένοι τὰς θείας προῤῥήσεις προφέρουσιν; Ὡς (1) ἂν ἀγνοοῦντες οἱ τῶνδε τῶν λόγων ἀκούοντες, ὡς καθ' ἑαυτῶν τὴν ψῆφον ἐκφέρουσι, δικαίως ψηφίσωνται. ἄλλως γὰρ ἐν ἑαυτοῖς, καὶ ἄλλως ἐν ἑτέροις τὴν ἁμαρτίαν ὁρῶμεν. ταῦτα καὶ Νάθαν πεποίηκεν. οὐ γὰρ εὐθὺς τῷ Δαβὶδ τὸν ἔλεγχον προσενήνοχεν, ἀλλὰ πρότερον τοῦ πένητος τὴν συμφορὰν διηγήσατο· εἶτα δικαίαν τὴν ψῆφον ἰδὼν, τὸ Z τῆς κατηγορίας ἐγύμνωσε πρόσωπον. τοῦτο καὶ ἐνταῦθα πεποίηκεν ὁ Προφήτης. τελαμῶνι γὰρ τὸ μέτωπον (2) καὶ τὰς ὀφρῦς συγκαλύψας, τῷ Ἀχαὰβ προσελήλυθεν. εἶτα ἐδίδαξεν, ὡς ἐν τῷ πολέμῳ δορυάλωτος αὐτῷ παρεδόθη, φυλάξαι τοῦτον τοῦ παραδεδωκότος κελεύσαντος, καὶ προσαπειλήσαντος, ὡς εἰ φύγοι, θανάτῳ ζημιωθήσεται. ἐμοῦ δέ φησι τὴν παράταξιν θεωμένου, πέφευγε χώραν λαβών. τούτων ἀκούσας ὁ Ἀχαὰβ, ἀνδροφόνον αὐτὸν ἀπεκά» λεσεν. ἰδοὺ γάρ φησι δικαστὴς σὺ παρ' ἐμοὶ, » ἐφόνευσας. πολέμιον γὰρ ἀπέλυσας, ἵνα πολλοὺς ἐκεῖνος πάλιν ἐργάσηται φόνους. τότε λοιπὸν ὁ Προφήτης τὸν τελαμῶνα λύσας, ἔδειξεν ὅστις ἦν· (3) καὶ προσήνεγκε » τὴν θείαν ἀπόφασιν· τάδε λέγει Κύριος· » διότι ἐξαπέστειλας ἄνδρα ὀλέθριον ἐκ τῆς » χειρός σου, ἰδοὺ ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς B » αὐτοῦ, καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ.

μβ. Καὶ εἶπε πρὸς αὐτὸν, τάδε λέγει Κύριος, διότι ἐξήνεγκας σὺ ἄνδρα ὀλέθριον ἐκ τῆς χειρός σου, καὶ ἔσται ἡ ψυχή σου ἀντὶ τῆς ψυχῆς αὐτοῦ, καὶ ὁ λαός σου ἀντὶ τοῦ λαοῦ αὐτοῦ.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἶδες φιλανθρωπίας οἵαν ἔδωκε δίκην; καὶ ἀντὶ τῆς Γ φειδοῦς οἵαν ὑπέμεινε τιμωρίαν; καὶ οὗτος μὲν σώσας κολάζεται· ἕτερος δὲ φονεύσας, ηὐδοκίμησεν. ὁ γοῦν Φινεὲς δύω φόνους ἐργασάμενος ἐν μιᾷ καιροῦ ῥοπῇ, καὶ ἄνδρα μετὰ γυναικὸς ἀνελὼν, ἱερωσύνῃ τιμᾶται· οὗτος δὲ οὐ μόνον οὐκ ἐμόλυνε τὴν χεῖρα τῷ αἵματι, ἀλλὰ καὶ καθαρωτέραν εἰργάσατο. ὅταν οὖν ἴδῃς τὸν μὲν τυπτήσαντα τὸν Προφήτην, σωζόμενον· τὸν δὲ μὴ τυπτήσαντα, ἀπολλύμενον· καὶ τὸν μὲν φεισάμενον, κολαζόμενον· τὸν δὲ μὴ φεισάμενον, εὐδοκι- Δ μοῦντα· πανταχοῦ πρὸ τῆς φύσεως τῶν πραγμάτων, τοῦ Θεοῦ τὰς ψήφους ἐξέταζε· κἂν εὕρῃς τι κατὰ τὸ δοκοῦν ἐκείνῳ γινόμενον, ἐκεῖνο ἀποδέχου μόνον.

* ΘΕΟΔΩΡΙΤΟΥ. (4) Διατὶ φιλανθρωπίας ἀπῃτήθη δίκας; Ὅτι χρὴ τῇ φιλανθρωπίᾳ συγκιρνᾷν τὸ δίκαιον. οὗτος δὲ ὠμότητι χρησάμενος κατὰ τῶν Προφητῶν, καὶ πάντας ἄρδην βουληθεὶς διαφθεῖραι, E καὶ τοὺς ἁλόντας ἅπαντας ἀνελὼν, περὶ τὸν τοῦ Ἰσραὴλ πολέμιον τὸ ἥμερον ἔδειξε.

μγ. Καὶ ἀπῆλθε (5) βασιλεὺς Ἰσραὴλ συγκεχυμένος καὶ ἐκλελυμένος, καὶ ἔρχεται εἰς Σαμάρειαν.

** ΙΩΣΗΠΟΥ. Παροξυνθεὶς Ἄχαβος πρὸς τὸν Προφήτην, τὸν μὲν ἐγκλεισθέντα φυλάττεσθαι ἐκέλευσε· συγκεχυμένος δ' αὐτὸς ἐπὶ τοῖς Μιχαίου λόγοις, ἀνεχώρη- Z σεν εἰς τὴν οἰκίαν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὅτι δὲ (6) τὰ πλεῖστα ἐξήμαρτε διὰ τὴν εὐκολίαν τῆς συγγνώ» μης, (7) τὰ ἑξῆς μαρτυρεῖ. ἀπῆλθε γάρ » φησιν ὁ βασιλεὺς Ἰσραὴλ συνεχόμενος καὶ κλαίων. πεῖραν γὰρ τῶν θείων ἔχων προῤῥήσεων· δὶς γὰρ ἐνίκησε κατὰ τοὺς θείους χρησμούς· τὴν προσενεχθεῖσαν ἔδεισεν ἀπειλήν. ἀλλ' εὐθὺς πάλιν εἰς τὴν οἰκείαν ἐπανῆλθεν ἀσέβειαν.

ΚΕΦ.

(1) Ἵνα ἀγν. ἡ ἐν Χάλ. ἔκδ.
(2) Τὸ πρόσωπον. ἡ αὐτ.
(3) Ἐστί. ἡ αὐτ.
(4) Καὶ διατί. ἡ αὐτ.
(5) Ὁ βασιλεύς. αἱ εἰρημ. ἐκδόσ.
(6) Δὲ πλεῖστα. ἡ αὐτ. ὀρθῶς.
(7) Γνώμης. ἡ αὐτ. καλῶς.

ΚΕΦ. ΚΒ.

α. 
Καὶ ἐκάθισε τρία ἔτη, καὶ οὐκ
ἦν πόλεμος ἀναμέσον Συ-
ρίας καὶ ἀναμέσον Ἰσραήλ.
β. Καὶ ἐγενήθη ἐν τῷ ἐνιαυτῷ τῷ
τρίτῳ, καὶ κατέβη Ἰωσαφὰτ βασι-
λεὺς Ἰούδα πρὸς βασιλέα Ἰσραήλ.
γ. Καὶ εἶπε βασιλεὺς Ἰσραὴλ πρὸς τοὺς
παῖδας αὐτοῦ, εἰ οἴδατε ὅτι ἡμῖν Ῥεμ-
μὰθ Γαλαάδ, καὶ ἡμεῖς σιωπῶμεν
λαβεῖν αὐτὴν ἐκ χειρὸς βασιλέως Συ-
δ. ρίας; Καὶ εἶπε βασιλεὺς Ἰσραὴλ
πρὸς Ἰωσαφάτ, εἰ ἀναβήσῃ μεθ᾽ ἡμῶν
εἰς πόλεμον εἰς Ῥεμμὰθ Γαλαάδ;

** ΙΩΣΗΠΟΥ. Πορευθέντα αὐτὸν με-
τὰ χρόνον τινὰ εἰς Σαμάρειαν, φιλοφρό-
νως Ἄχαβος ὑπεδέξατο, καὶ τὸν ἀκολου-
θήσαντα στρατὸν ἐξένισε λαμπρῶς, σίτου-
τε καὶ οἴνου καὶ θυμάτων ἀφθονίᾳ· παρε-
κάλεσέ τε συμμαχῆσαι κατὰ τοῦ Σύρων βα-
σιλέως, ἵνα τὴν ἐν Γαλαδηνῇ πόλιν Ἀρα-
μαθὰν ἀφέληται. τοῦ γὰρ πατρὸς αὐτὴν
τοῦ αὐτοῦ πρῶτον τυγχάνουσαν, ἀφῃρεῖσθαι
τὸν ἐκείνου πατέρα.

ε. Καὶ εἶπεν Ἰωσαφάτ, καθὼς
ἐγὼ οὕτω καὶ σύ· καθὼς ὁ λαός μου,
ὁ λαός σου· καθὼς οἱ ἵπποι μου οἱ ἵπ-
ποι σου. καὶ εἶπεν Ἰωσαφὰτ βασιλεὺς
Ἰούδα πρὸς βασιλέα Ἰσραήλ, ἐπερω-
ϛ. τήσατε δὴ σήμερον τὸν Κύριον. Καὶ
συνήθροισεν ὁ βασιλεὺς Ἰσραὴλ πάν-
τας τοὺς Προφήτας ὡς τετρακοσίους
ἄνδρας, καὶ εἶπε πρὸς αὐτοὺς (1) ὁ βα-
σιλεύς, εἰ πορευθῶ εἰς Ῥεμμὰθ Γα-
λαὰδ εἰς πόλεμον, ἢ ἐπισχῶ; καὶ εἶ-
παν, ἀνάβαινε, καὶ διδοὺς δώσει Κύ-
ζ. ριος εἰς χεῖρας τοῦ βασιλέως. Καὶ
εἶπεν Ἰωσαφὰτ πρὸς βασιλέα Ἰσ-
ραήλ, οὐκ ἔστιν ὧδε Προφήτης τοῦ Κυ-
ρίου, καὶ ἐπερωτήσομεν τὸν Κύριον δι᾽
η. αὐτοῦ; Καὶ εἶπεν ὁ βασιλεὺς Ἰσραὴλ
πρὸς Ἰωσαφάτ, εἷς ἐστὶν ἀνὴρ εἰς τὸ
ἐπερωτῆσαι τὸν Κύριον δι᾽ αὐτοῦ, καὶ
ἐγὼ μεμίσηκα αὐτόν, ὅτι οὐ λαλεῖ
περὶ ἐμοῦ καλὰ ἀλλὰ κακά, Μιχαίας
υἱὸς Ἰεμβλαά. καὶ εἶπεν Ἰωσαφὰτ
βασιλεὺς Ἰούδα, μὴ λεγέτω ὁ βασι-
λεὺς οὕτω.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, κα-
» θὼς σύ, οὕτω κἀγώ· καὶ καθὼς ὁ λαός σου,
» οὕτω καὶ ὁ λαός μου; Παρακληθεὶς ὁ Ἰωσα-
φὰτ κοινωνῆσαι τῆς παρατάξεως, τοῦτο
δράσειν ὑπέσχετο. τὰ αὐτά σοι, φησί, δρά-
σω· ὡς παρατάττῃ παρατάττομαι· καὶ ὡς
ὁ λαός σου (2) πολεμεῖ, καὶ ὁ λαός μου πο-
λεμήσει. ἔδειξε δ᾽ ὅμως αὐτοῦ τὴν εὐσέβειαν.
πυθέσθαι γὰρ πρότερον τοῦ Θεοῦ τῶν ὅλων
» ἀναγκαῖον ὑπέλαβεν. εἶπε γάρ φησι πρὸς
» Ἀχαάβ, ἐρωτήσωμεν δὴ τὸν Κύριον. ἐκεί-
νου δὲ τοὺς Προφήτας τοῦ Βάαλ ἀθροίσαν-
B τος, πάλιν ὁ Ἰωσαφὰτ ἐκείνους μὲν ἐβδε-
λύξατο, θεῖον δὲ Προφήτην εὐσεβῶς ἐπε-
» ζήτησεν. οὐκ ἔστι γάρ φησιν ὧδε Προφήτης
» Κυρίου, καὶ ἐπερωτήσομεν τὸν Κύριον δι᾽ αὐ-
τοῦ; ἐκείνου δὲ εἰρηκότος εἶναι μέν, καὶ Μι-
χαίαν κεκλῆσθαι· ἐχθραίνειν δὲ αὐτῷ, ὡς
οὐ τὰ θυμήρη χρησμολογοῦντα, ὁ Ἰωσαφὰτ
» εὐσεβῶς ἀπεκρίνατο· μὴ λεγέτω οὕτως ὁ
βασιλεύς. ἀλλ᾽ ἐν τούτοις μὲν ἀξιέπαινος,
ἐλωβήσατο δὲ αὐτοῦ τὴν εὐσέβειαν ἡ φιλία,
Γ καὶ ἡ συγγένεια. τοῦτο γὰρ ἡ τῶν Παραλει-
πομένων ἱστόρησε βίβλος.

θ. Καὶ ἐκάλεσεν ὁ βασιλεὺς Ἰσ-
ραὴλ εὐνοῦχον ἕνα, καὶ εἶπε, τὸ τά-
ι. χος Μιχαίαν υἱὸν Ἰεμβλαά. Καὶ ὁ
βασιλεὺς Ἰσραὴλ καὶ Ἰωσαφὰτ βα-
σιλεὺς Ἰούδα ἐκάθηντο ἀνὴρ ἐπὶ τοῦ
θρόνου αὐτοῦ ἔνοπλοι ἐπὶ (3) ταῖς πύ-
λαις Σαμαρείας· καὶ πάντες οἱ Προ-
Δ φῆται προεφήτευον ἐνώπιον αὐτῶ[ν].
ια. Καὶ ἐποίησεν ἑαυτῷ Σεδεκίας υἱὸς Χ[α]-
ναὰν κέρατα σιδηρᾶ, καὶ εἶπε, τάδ[ε]
λέγει Κύριος, ἐν τούτοις κερατιεῖς τὴ[ν]
ιβ. Συρίαν ἕως συντελεσθῇ. Καὶ πάν-
τες οἱ Προφῆται προεφήτευον οὕτω,
λέγοντες, ἀνάβαινε εἰς Ῥεμμὰθ Γα-
λαάδ, καὶ εὐοδώσει καὶ δώσει Κύριος εἰς
E χεῖράς σου τὸν βασιλέα Συρίας.

ιγ. Καὶ ὁ ἄγγελος ὁ πορευθεὶς κα-
λέσαι τὸν Μιχαίαν, ἐλάλησεν αὐτῷ,
λέγων, ἰδοὺ δὴ πάντες οἱ Προφῆται ἐν
στόματι ἑνὶ λαλοῦσι καλὰ περὶ τοῦ βα-
σιλέως, γενοῦ δὴ καὶ σὺ εἰς λόγους σου
κατὰ τοὺς λόγους ἑνὸς τούτων, καὶ λά-
ιδ. λησον καλά. Καὶ εἶπε Μιχαίας, ζῇ
Z Κύριος, ὅτι ὃ ἂν εἴπῃ Κύριος πρός
με, τοῦτο λαλήσω.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ προφήτης Μι-
χαίας, καὶ τοῦ πρὸς αὐτὸν ἀποσταλέντος εὐ-
νούχου χρηστὰ ἀπαγγεῖλαι παρεγγυήσαν-
τος, οὐκ ἠνέσχετο χαρίσασθαι τὸ ψεῦδος τῷ
» βασιλεῖ. ζῇ γὰρ ἔφη ὁ Κύριος, ὅτι ἃ ἂν
» εἴπῃ Κύριος πρός με, ταῦτα λαλήσω.

ιε. Καὶ ἦλθε πρὸς τὸν βασιλέα.
H καὶ εἶπεν αὐτῷ ὁ βασιλεύς, Μιχαία,
εἰ ἀναβῶ εἰς Ῥεμμὰθ Γαλαὰδ εἰς πό-
λεμον,

(1) Αὐτοῖς. αἱ αὐτ.
(2) Καὶ ὡς ὁ λαός σου καὶ ὁ ἐμὸς πολεμήσει. ἡ αὐτ.
(3) Ἐν. αἱ αὐτ.

λεμον, ἢ ἐπισχῶ; καὶ εἶπεν, ἀνάβαινε,
καὶ εὐοδώσει Κύριος εἰς χεῖρας τοῦ
ιϛ. βασιλέως. Καὶ εἶπεν αὐτῷ ὁ βασι-
λεύς, ποσάκις ἐγὼ ὁρκίζω σε, ὅπως
λαλήσῃς πρός με ἀλήθειαν ἐν ὀνόμα-
ιζ. τι Κυρίου; Καὶ εἶπε Μιχαίας, οὐχ οὕ-
τως. ἑώρακα πάντα τὸν Ἰσραὴλ διε-
σπαρμένον ἐν τοῖς ὄρεσιν ὡς ποίμνιον,
ᾧ οὐκ ἔστι ποιμήν· καὶ εἶπε Κύριος, οὐ
Κύριος τούτοις εἰς Θεόν; ἀναστρεφέτω
ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ ἐν εἰρήνῃ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος οὖν ἕνεκεν ἐρωτηθεὶς ὑπὸ τοῦ Ἀχαάβ, ἵνα ἀναβῶ εἰς Ῥαμὼθ Γαλαάδ, ἔφη ἀνάβαινε, καὶ εὐοδώσει Κύριος ἐν χειρὶ τοῦ βασιλέως; Ἀνέμεινεν ὁρκωθῆναι, εἶθ' οὕτω φάναι τὸ ἀληθές. ἐπειδὴ γὰρ ὑπελάμβανεν Ἀχαὰβ διὰ μῖσος τὸν Προφήτην προλέγειν τὰ λυπηρά, πρότερον τὰ καταθύμια εἴρηκεν· εἶτα ὁρκωθείς, τὰ θεῖα μεμήνυκε. τοῦ γὰρ Ἀχαὰβ εἰρηκότος, ποσάκις ὁρκίζω σε ἐγώ, ὅπως λαλήσῃς πρός με ἀλήθειαν ἐν ὀνόματι Κυρίου; τὸ δέ, ποσάκις, ἀντὶ τοῦ, πολλάκις τέθεικεν· ἐπήγαγεν ὁ Μιχαίας· οὐχ οὕτως, ἀντὶ τοῦ, οὐκ ἀληθῶς (1) ἔφην ἐκεῖνα. ἑώρακα γὰρ πάντα τὸν Ἰσραὴλ διεσπαρμένον ἐν τοῖς ὄρεσιν, ὡς πρόβατα, οἷς οὐκ ἔστι ποιμήν. δηλοῖ δὲ διὰ τούτων, ὡς ἡ ἐκείνου πονηρία τὴν ἧτταν ἐργάζεται. εἰ [illegible]ρ ποιμένος ἔτυχον εὐσεβοῦς, κατὰ κρά[illegible]ς ἂν τοὺς πολεμίους ἐνίκησαν. εἶτα καὶ [illegible]όπον ἀποδείκνυσι σωτηρίας. εἶπε γάρ [illegible]ησι Κύριος· εἰ κυρίως αὐτοὶ πρὸς Θεόν, ἀποστραφήτω δὴ ἕκαστος εἰς τὸν οἶκον αὐτοῦ ἐν εἰρήνῃ. εἰ πιστεύοντες τῷ Θεῷ, μαθεῖν βούλεσθε παρ' αὐτοῦ τὸ πρακτέον, τὴν στρατιὰν διαλύσατε.

ιη. Καὶ εἶπε βασιλεὺς Ἰσραὴλ
πρὸς Ἰωσαφὰτ βασιλέα Ἰούδα, οὐκ
εἶπα πρὸς σέ, ὅτι οὐ προφητεύει οὗτός
ιθ. μοι καλά, διότι ἀλλ' ἢ κακά; Καὶ
εἶπε Μιχαίας, οὐχ οὕτως· οὐκ ἐγώ. ἄ-
κουε ῥῆμα Κυρίου. οὐχ οὕτως. εἶδον τὸν
Κύριον Θεὸν Ἰσραὴλ καθήμενον ἐπὶ
θρόνου αὐτοῦ, καὶ πᾶσα ἡ στρατιὰ τοῦ
οὐρανοῦ εἱστήκει περὶ αὐτὸν ἐκ δεξιῶν αὐ-
κ. τοῦ καὶ ἐξ εὐωνύμων αὐτοῦ. Καὶ εἶπε
Κύριος, τίς ἀπατήσει τὸν Ἀχαὰβ
βασιλέα Ἰσραήλ, καὶ ἀναβήσεται,
καὶ πεσεῖται ἐν Ῥεμμὰθ Γαλαάδ; καὶ
κα. εἶπεν οὗτος οὕτω, καὶ οὗτος οὕτω. Καὶ
ἐξῆλθε πνεῦμα καὶ ἔστη ἐνώπιον Κυ-
ρίου, καὶ εἶπε, ἐγὼ ἀπατήσω αὐτόν.
κβ. Καὶ εἶπε πρὸς αὐτὸν Κύριος, ἐν τίνι;
καὶ εἶπεν, ἐξελεύσομαι, καὶ ἔσομαι
πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν
A Προφητῶν αὐτοῦ. καὶ εἶπεν, ἀπατή-
σεις, καί γε δυνήσῃ· ἔξελθε καὶ ποίη-
κγ. σον οὕτω. Καὶ νῦν ἰδοὺ ἔδωκε Κύριος
πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν
Προφητῶν σου τούτων, καὶ Κύριος ἐλά-
λησεν ἐπὶ σὲ κακά.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τοῦ δὲ Ἀχαὰβ πρὸς τὸν Ἰωσαφὰτ εἰρηκότος, οὐκ εἶπόν σοι, ὅτι οὐ προφητεύει οὗτος ἐμοὶ καλά, ἀλλ' ἢ κα- B κά; εἶπεν ὁ Προφήτης, οὐκ ἐγώ. ἄκουσον τὸν λόγον Κυρίου. εἶδον Κύριον τὸν Θεὸν Ἰσραὴλ καθήμενον ἐπὶ θρόνου αὐτοῦ, καὶ πᾶσα ἡ στρατιὰ τοῦ οὐρανοῦ εἱστήκει περὶ αὐτὸν ἐκ δεξιῶν αὐτοῦ καὶ ἐξ εὐωνύμων αὐτοῦ. καὶ εἶπε, τίς ἀπατήσει τὸν Ἀχαὰβ βασιλέα Ἰσραήλ, καὶ ἀναβήσεται εἰς Ῥεμμὰ (2) Γαλαάδ, καὶ πεσεῖται ἐκεῖ; καὶ εἶπεν οὗτος οὕτως· καὶ οὗτος οὕτω· καὶ εἶπεν, οὐ δυνήσῃ. καὶ ἐξῆλθε πνεῦμα, καὶ ἔστη ἐνώπιον Κυ- Γ ρίου, καὶ εἶπεν, ἐγὼ ἀπατήσω αὐτόν. καὶ εἶπε Κύριος πρὸς αὐτόν, ἐν τίνι; καὶ εἶπεν, ἐξελεύσομαι, καὶ ἔσομαι πνεῦμα ψευδὲς ἐν στόματι πάντων τῶν Προφητῶν αὐτοῦ, καὶ ἀπατήσω αὐτόν. καὶ εἶπε δυνήσῃ· καὶ ἔξελθε καὶ ποίησον. ταῦτα δὲ προσωποποιΐα ἐστί τις, διδάσκουσα τὴν θείαν συγχώρησιν. οὐ γὰρ ὁ (3) ἀληθὴς Δεσπότης καὶ τῆς ἀληθείας διδάσκαλος προσέταττεν ἀπατηθῆναι τὸν Ἀχαάβ, ὁ διὰ τοῦ Προφήτου εἰπών, Δ εἰ κυρίως αὐτοὶ πρὸς Θεόν, ἀποστραφήτω (4) ἕκαστος εἰς τὸν ἑαυτοῦ οἶκον ἐν εἰρήνῃ. διὰ τούτων τοίνυν ὁ Προφήτης ἐδίδαξεν, ὡς τὸ πνεῦμα τῆς ἀπάτης, ὀργάνοις χρώμενον τοῖς δυσσεβέσιν ἀνθρώποις, ψευδῶς ὑπισχνεῖται τὴν νίκην. τοῦτο δὲ γίνεται, τοῦ Θεοῦ συγχωρήσαντος. κωλῦσαι γὰρ δυνάμενος, οὐκ ἐκώλυσεν. ἐπειδὴ (5) γὰρ ὁ Ἀχαὰβ τῆς θείας ἦν κηδεμονίας ὁ ἀνάξιος. ὁ δὲ Ἰώσηπος (6) τὸν Μιχαίαν ἔφησεν εἶ- E ναι τὸν ἤδη πρότερον τῷ τελαμῶνι χρησάμενον, καὶ τὰ λυπηρὰ [τῷ Ἀχαὰβ] προαγγείλαντα, τεκμαιρόμενος τῷ φάναι τὸν Ἀχαάβ, ὅτι μεμίσηκα αὐτόν, ὅτι οὐ λέγει περὶ ἐμοῦ καλά, ἀλλ' ἢ κακά.

** ΠΡΟΚΟΠΙΟΥ. Καὶ εἶπε Κύριος, τίς ἀπατήσει τὸν Ἀχαάβ; Τούτῳ δὲ ὅμοιον τὸ ὑπὸ Παύλου λεγόμενον, πέμψει ὁ Θεὸς ἐνέργειαν πλάνης (2. Θεσ. 2. 11.) τοῖς τὴν ἀλήθειαν παραδεξαμένοις. (7) ἀλλ' ἑρμηνεῖαι τῆς τοῦ Θεοῦ βου- Z λήσεως τυγχάνουσιν αἱ ὀπτασίαι, οὐχ ὅπερ ἐστὶν αὐτὸ δεικνύουσαι, σωματικοῖς δὲ σχήμασι καὶ ἀνθρωπίνοις λόγοις διατυποῦσαι τὰς τοῦ Θεοῦ οἰκονομίας, ὡς αὐτὸς ὁ Θεός φησιν· ἐγὼ ὁράσεις ἐπλήθυνα, καὶ ἐν χερσὶ Προφητῶν ὡμοιώθην. (Ὠσ. 12. 10.) οὐκ αὐτὸς φαίνεται, ἀλλ' ὁράσεις πληθύνει, καὶ ὁμοίωμα δείκνυσι τοῖς Προφήταις. βασιλείας μέν, ὅταν ἐπὶ θρόνου καθεζόμενον ὁρῶσι, καὶ περὶ αὐτὸν τὴν οὐράνιον στρατιάν· κρίσεως δέ, ὅταν H πολιὸν βλέπουσι λευκοῖς ἱματίοις κοσμούμε-

νον

(1) Οὐ καλῶς. ἡ αὐτ. (2) Ῥαμώθ. ἡ αὐτ. (3) Ὁ ἀληθῶς Θεὸς καί. ἡ αὐτ. (4) Ἀναστραφήτω δὴ ἕκ. ἡ αὐτ. (5) Ἐπείπερ ὁ Ἀχαὰβ τῆς θείας ἦν κηδεμονίας ἀνάξιος. ἡ αὐτ. ὀρθῶς. (6) Ὅρα τὰ ἐν σελ. 799. (7) Ἀνάγν. μὴ παραδεξαμένοις.

νον, διὰ τὸ τῆς κρίσεως σοφόν τε ἅμα καὶ
καθαρόν. ὁρᾷ καὶ Ζαχαρίας ἀνέμους ἀν-
θρωπίνῃ φωνῇ χρωμένους, καὶ περιοδεύ-
Ζαχ. 1. 11. σαμεν τὴν γῆν λέγοντας, καὶ ἰδοὺ πᾶσα ἡ
» γῆ κατοικεῖται. καθάπερ γὰρ ἐν εἰκόσιν
οἱ γραφεῖς πόλεμόν τε καὶ εἰρήνην, νίκην
καὶ φιλίαν, καὶ ὅσα ἄλλα σχηματίζουσιν εἰς
ἀνθρωπείων σωμάτων εἰκόνας, τοῖς τοιού-
τοις ὁμοιώμασι τὸ βούλημα δεικνύντες ἐναρ-
γέστερον· κατὰ τὰ αὐτὰ καὶ τὸ Πνεῦμα τὸ
ἅγιον Προφήταις τε καὶ Ἀποστόλοις τὸ θέ-
λημα τοῦ Θεοῦ, καὶ τὴν δόξαν, καὶ τὴν οἰκο-
νομίαν, καὶ τὴν ἀρὰν τὴν κατὰ τῶν ἐπιόρ-
κων, καὶ ἑτέρων τινῶν ἐμψύχων ἢ ἀψύχων.
καὶ ὅπερ βούλεται μὲν ὁ Θεὸς πληρῶσαι,
αἱ δὲ ἐξῆς Δυνάμεις πληροῦσιν· ἢ ὅσα τολ-
μᾷ μὲν ὁ Διάβολος ἐπιβουλεύειν, συγχωρεῖ
δὲ Θεὸς, ταῦτα τυποῖ διὰ τῶν ὀπτασιῶν, ὡς
ἐπὶ τοῦ Ἰώβ. αἱ γὰρ ὀπτασίαι, καὶ τὰ ἐν
ταῖς ὀπτασίαις ῥήματα μέρος ἐστὶ τῆς τοῦ
Θεοῦ συγκαταβάσεως. οὔτε γὰρ περιστερὰ
Ῥωμ. 8. 34. τὸ Πνεῦμα τὸ ἅγιον, οὔτε εἰς τὸ, ὅς ἐστιν ἐν
» δεξιᾷ τοῦ Θεοῦ, ὃς καὶ ἐντυγχάνει ὑπὲρ ἡμῶν,
οὕτως, ὡς εἴρηται, νοήσομεν· ὡς ἐν τόπῳ
μὲν ὄντος τοῦ Θεοῦ, δεομένου δὲ τῆς ὑπὲρ
ἡμῶν τοῦ μονογενοῦς ἐντυχίας. κατὰ τὸν
αὐτὸν λόγον οὐδὲ αἱ τῶν Προφητῶν ὀπτα-
σίαι καὶ αἱ φωναὶ τοῦτ' ἦσαν ὅπερ ἐδείκνυν-
το, τοῦ δὲ Θεοῦ τὴν βούλησιν ἐσήμαινον ἢ
τὴν συγχώρησιν, καὶ τὴν ὑπακοὴν τῶν ὑπα-
κουόντων, καὶ τὴν ἐπιχείρησιν τῶν τολμών-
των, ὥς που καὶ τὸ πνεῦμα τὸ ψευσάμενον
διὰ στόματος τῶν ψευδοπροφητῶν, Θεοῦ
συγχωρήσαντος. καὶ ὁ πειράσας δὲ τὸν Ἰὼβ
Διάβολος, Θεοῦ μὴ κωλύσαντος· δι' οὗπερ
ἐδίδαξεν ἡμᾶς ἡ Γραφὴ, ὡς τῆς τοῦ Θεοῦ
κλίσεώς ἐστι καὶ τῆς δεσποτείας, παρεστὼς
τῷ πάντων Δεσπότῃ, οὐ τῇ τῆς προθέσεως
ὑπακοῇ, ἀλλὰ τῇ τῆς γενετῆς φύσεως ἀκο-
λουθίᾳ, τὴν μὲν γνώμην ἀλλοτριωθεὶς, τὴν
δὲ οὐσίαν, τοῦ Θεοῦ τυγχάνων.

κδ. Καὶ προσῆλθε Σεδεκίας υἱὸς
Χαναὰν, καὶ ἐπάταξε τὸν Μιχαίαν
ἐπὶ τὴν σιαγόνα, καὶ εἶπε, ποῖον
πνεῦμα Κυρίου τὸ λαλῆσαν ἐν σοί;
κε. Καὶ εἶπε Μιχαίας, ἰδοὺ σὺ ὄψῃ ἐν τῇ
ἡμέρᾳ ἐκείνῃ, ὅταν εἰσέλθῃς εἰς τὸ
ταμιεῖον τοῦ ταμιείου σου τοῦ κρυβῆναι.

κϛ. Καὶ εἶπε βασιλεὺς Ἰσραὴλ,
λάβετε τὸν Μιχαίαν, καὶ ἀποστρέ-
ψατε αὐτὸν πρὸς Ἀμὼν τὸν ἄρχον-
τα τῆς πόλεως· καὶ πρὸς Ἰωὰς υἱὸν
κζ. τοῦ βασιλέως. Εἶπον θέσθαι τοῦτον
ἐν φυλακῇ, καὶ ἐσθίειν αὐτὸν ἄρτον
θλίψεως καὶ ὕδωρ θλίψεως ἕως τοῦ
κη. ἐπιστρέψαι με ἐν εἰρήνῃ. Καὶ εἶπε Μι-
χαίας, ἐὰν ἐπιστρέφων ἐπιστρέψῃς ἐν
εἰρήνῃ, οὐκ ἐλάλησε Κύριος ἐν ἐμοί.

A ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ νῦν δὲ αὐτὸν
εἰς τὸ δεσμωτήριον ἔπεμψε, τροφῆς αὐτὸν
ὀλίγης ἄγαν μεταλαμβάνειν προστεταχὼς,
ἣ μόνη κωλύειν ἔμελλε τὴν ἐκ λιμοῦ τελευτήν.
ἀλλ' (1) οὐχ ὁ Προφήτης ἐξέστη τῆς προρρή-
» σεως, ἀλλ' ἔφη βοῶν· ἐὰν ἐπιστρέφων ἐπιστρέ-
» ψῃς ἐν εἰρήνῃ, οὐκ ἐλάλησε (2) Κύριος ἐν ἐμοί.

κθ. Καὶ ἀνέβη βασιλεὺς Ἰσραὴλ
καὶ Ἰωσαφὰτ βασιλεὺς Ἰούδα μετ'
λ. αὐτοῦ εἰς Ῥεμμὰθ Γαλαάδ. Καὶ εἶπε
βασιλεὺς Ἰσραὴλ πρὸς Ἰωσαφὰτ
βασιλέα Ἰούδα, συγκάλυψόν με καὶ
εἰσελεύσομαι εἰς τὸν πόλεμον, καὶ σὺ
ἔνδυσαι τὸν ἱματισμόν μου. καὶ συνε-
καλύψατο ὁ βασιλεὺς Ἰσραὴλ, καὶ
λα. εἰσῆλθεν εἰς τὸν πόλεμον. Καὶ βα-
σιλεὺς Συρίας ἐνετείλατο τοῖς ἄρχου-
σι τῶν ἁρμάτων αὐτοῦ τριάκοντα καὶ
Γ δύω, λέγων, μὴ πολεμεῖτε μικρὸν
καὶ μέγαν, ἀλλ' ἢ τὸν βασιλέα Ἰσ-
λβ. ραὴλ μονώτατον. Καὶ ἐγένετο ὡς
εἶδον οἱ ἄρχοντες τῶν ἁρμάτων τὸν
Ἰωσαφὰτ βασιλέα Ἰούδα, καὶ αὐτοὶ
εἶπαν, Φαίνεται βασιλεὺς Ἰσραὴλ
οὗτος, καὶ ἐκύκλωσαν αὐτὸν πολεμῆ-
λγ. σαι. καὶ ἀνέκραξεν Ἰωσαφάτ. Καὶ
Δ ἐγένετο ὡς εἶδον οἱ ἄρχοντες τῶν ἁρ-
μάτων ὅτι οὐκ ἔστι βασιλεὺς Ἰσρα
λδ. οὗτος, καὶ ἀπέστρεψαν ἀπ' αὐτοῦ. Κ
ἐνέτεινεν εἷς τὸ τόξον εὐστόχως, καὶ ἐπ
ταξε τὸν βασιλέα Ἰσραὴλ ἀναμέσον
τοῦ πνεύμονος καὶ ἀναμέσον τοῦ θώρα-
κος. καὶ εἶπε τῷ ἡνιόχῳ αὐτοῦ, ἐπί-
στρεψον τὰς χεῖράς σου καὶ ἐξάγαγέ με
λε. ἐκ τοῦ πολέμου ὅτι τέτρωμαι. Καὶ
E ἐτροπώθη ὁ πόλεμος ἐν τῇ ἡμέρᾳ ἐκεί-
νῃ, καὶ ὁ βασιλεὺς ἦν ἑστηκὼς ἐπὶ τοῦ
ἅρματος ἐξ ἐναντίας Συρίας ἀπὸ
πρωῒ ἕως ἑσπέρας, καὶ ἀπέχυνε τὸ
αἷμα ἀπὸ τῆς πληγῆς εἰς τὸν κόλπον
τοῦ ἅρματος, καὶ ἀπέθανεν ἑσπέρας,
καὶ ἐξεπορεύετο τὸ αἷμα τῆς τροπῆς
λϛ. ἕως τοῦ κόλπου τοῦ ἅρματος. Καὶ ἔστη
Z ὁ στρατοκῆρυξ ἐν τῇ παρεμβολῇ δύ-
νοντος τοῦ ἡλίου, λέγων, ἕκαστος εἰς
τὴν ἑαυτοῦ πόλιν καὶ εἰς τὴν ἑαυτοῦ
λζ. γῆν, Ὅτι τέθνηκεν ὁ βασιλεύς. καὶ
ἦλθον εἰς Σαμάρειαν, καὶ ἔθαψαν
λη. τὸν βασιλέα ἐν Σαμαρείᾳ. Καὶ ἀπέ-
νιψαν τὸ ἅρμα ἐπὶ τὴν κρήνην Σα-
μαρείας, καὶ ἐξέλειξαν αἱ ὕες καὶ οἱ
κύνες τὸ αἷμα, καὶ αἱ πόρναι ἐλού-
H σαντο ἐν τῷ αἵματι, κατὰ τὸ ῥῆμα
Κυρίου ὃ ἐλάλησε.

ΘΕΟΔΩ-

(1) Ἀλλ' οὐδὲ οὕτως ὁ Προφήτης ἐξέστη τῆς παῤῥησίας, ἀλλ' ἔφη, κτ. ἡ αὐτ.
(2) Οὐ λελάληκε. ἡ αὐτ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ τούτων δὲ ἀκούσας τῶν λόγων ὥρμησεν εἰς τὸν πόλεμον· συνανῆρε δὲ αὐτῷ καὶ ὁ Ἰωσαφὰτ, τῆς οἰκείας εὐσεβείας ἀνάξια δεδρακώς. ἐπιζητήσας γὰρ Προφήτην, καὶ τοὺς ψευδοπροφήτας ἀποπεμψάμενος, καὶ τὸ πρακτέον παρὰ τοῦ Μιχαίου μεμαθηκὼς, τῆς εὐσεβείας προτετίμηκε τὴν φιλίαν· πλὴν διὰ τὴν ἄλλην αὐτοῦ ἀρετὴν τῆς θείας κηδεμονίας ἀπήλαυσε. τῶν γὰρ Σύρων ἐκ τῆς βασιλικῆς ἀμπεχόνης τοπασάντων αὐτὸν εἶναι τὸν βασιλέα τοῦ Ἰσραὴλ, καὶ κατ' αὐτοῦ χωρησάντων, ὁ μὲν τοῦ Θεοῦ τὴν ἐπικουρίαν ἐκάλεσεν· ὁ δὲ συντόμως αὐτῷ τὴν σωτηρίαν ἐπόρισεν. ἡ δὲ θεία πρόῤῥησις τὸ πέρας ἐδέξατο. τρωθεὶς γὰρ ὁ Ἀχαὰβ ἐπὶ πλεῖστον ἑστὼς ἐπὶ τοῦ ἅρματος διετέλεσεν, ἵνα μὴ τὴν τροπὴν ἐργάσηται τῇ φυγῇ· τὸ δὲ αἷμα φερόμενον ἐνεπάγη τῷ ἅρματι. τοῦτο παρὰ κρήνην τινὰ τῷ ἄστει πελάζουσαν ὁ ἡνίοχος ἔπλυνεν· οἱ δὲ κύνες ἐξέλειχον· αἱ δὲ πόρναι ὑπὸ τὴν ἕω κατὰ τὸ ἔθος ἐλούσαντο, οὐκ ἐξεπίτηδες εἰς τὸ αἷμα βουλόμεναι λούσασθαι, ἀλλ' εἰς τὸ πηγαῖον ὡς εἰώθεισαν ὕδωρ. τοῦτο δὲ ἦν κεχρωσμένον τῷ αἵματι.


» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ αἱ πόρναι ἐλού-
» σαντο ἐν τῷ αἵματι αὐτοῦ. Τινὲς δὲ θείας
ἀναγραφῆς ἀνάξιον τοῦτο νομίσαντες ἔφα-
σαν, ὅτι ὅσοι τῆς αὐτῆς πράξεως ἐκοινώνουν,
...σάμενοι ἐπαύσαντο λοιπὸν ὡς πρός τι,
... μὴ αὐτὴν τὴν ἕξιν ἀπέβαλον εὐθέως.
... κατὰ τοῦτο ἐλούσαντο ἂν τῷ αἵματι αὐ-
... τοῦ θανάτου τοῦ Ἀχαὰβ καθαρισμοῦ αὐ-
τῶν γενομένου. κωλυτικὸς γὰρ ὤφθη τῆς
...11. ἐκείνων ἀκολασίας. οὕτω καὶ τοῦ ἀκολάστου
» τιμωρουμένου, ὁ ἄκακος πανουργότερος γίνε-
ται, κατὰ τὸ ἐν ταῖς Παροιμίαις. οὕτω καὶ
Ψαλ. 57. 10. Δαβίδ· καὶ ὁ δίκαιος τὰς χεῖρας αὐτοῦ
» νίψεται ἐν τῷ αἵματι τοῦ ἁμαρτωλοῦ.

** ΙΣΙΔΩΡΟΥ. Ἐκ τῶν περὶ τὸν θάνατον τῷ βασιλεῖ Ἀχαὰβ συμβεβηκότων ἔστι θαυμάσαι, πῶς τὸ χρεὼν οὐδὲ προμηνυόμενον διαφυγεῖν οἷόν τε. ὑπέρχεται γὰρ τὰς ἀνθρωπίνας ψυχὰς ἐλπίσι θωπεῦον χρησαῖς, καὶ περιάγει αὐτὰς ἐκεῖσε ὅθεν αὐτῶν βεβαίως κρατήσει καὶ περιέσται.

λθ. Καὶ τὰ λοιπὰ τῶν λόγων Ἀχαὰβ, καὶ πάντα ἃ ἐποίησε, καὶ οἶκον ἐλεφάντινον ὃν ᾠκοδόμησε, καὶ πάσας τὰς πόλεις ἃς ἐποίησεν, οὐκ
A ἰδοὺ ταῦτα γεγραμμένα (1) ἐν βιβλίῳ
λόγων τῶν ἡμερῶν τῶν βασιλέων Ἰσ-
μ. ραήλ; Καὶ ἐκοιμήθη Ἀχαὰβ μετὰ
τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσεν
μα. Ὀχοζίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. Καὶ
Ἰωσαφὰτ υἱὸς Ἀσὰ ἐβασίλευσεν ἐπὶ
Ἰούδαν. ἐν ἔτει τετάρτῳ (2) βασιλέως
Ἀχαὰβ βασιλέως Ἰσραὴλ ἐβασί-
μβ. λευσεν Ἰωσαφὰτ, Υἱὸς (3) Ἀσὰ
B τριάκοντα καὶ πέντε ἐτῶν ἐν τῷ βα-
σιλεύειν αὐτόν· καὶ εἴκοσι καὶ πέντε
ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλὴμ, καὶ
ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀζοῦβα (4) θυ-
μγ. γάτηρ Σαλαΐ. (5) Καὶ ἐπορεύθη ἐν
πάσῃ ὁδῷ Ἀσὰ τοῦ πατρὸς αὐτοῦ, οὐκ
ἐξέκλινεν ἀπ' αὐτῆς τοῦ ποιῆσαι τὸ
μδ. εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου. Πλὴν
Γ τῶν ὑψηλῶν οὐκ ἐξῆρεν· ὅτι ὁ λαὸς
ἐθυσίαζε καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς.
με. Καὶ εἰρήνευσεν Ἰωσαφὰτ μετὰ βα-
μς. σιλέως Ἰσραήλ. Καὶ τὰ λοιπὰ τῶν
λόγων Ἰωσαφὰτ, καὶ αἱ δυναστεῖαι
αὐτοῦ ἃς ἐποίησεν, οὐκ ἰδοὺ ταῦτα
γεγραμμένα ἐν βιβλίῳ λόγων τῶν
να. ἡμερῶν τῶν βασιλέων Ἰούδα; (6) Καὶ
ἐκοιμήθη Ἰωσαφὰτ μετὰ τῶν πατέ-
Δ ρων αὐτοῦ, καὶ ἐτάφη παρὰ τοῖς πα-
τράσιν αὐτοῦ ἐν πόλει Δαβὶδ τοῦ πα-
τρὸς αὐτοῦ, καὶ ἐβασίλευσεν Ἰωρὰμ
νβ. υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. Καὶ Ὀχοζίας υἱὸς
Ἀχαὰβ ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ ἐν
Σαμαρείᾳ. ἐν ἔτει ἑπτακαιδεκάτῳ
Ἰωσαφὰτ βασιλέως Ἰούδα Ὀχοζίας
υἱὸς Ἀχαὰβ βασιλεύει (7) ἐπὶ Ἰσραὴλ
νγ. ἐν Σαμαρείᾳ δύω ἔτη. Καὶ ἐποίησε
E τὸ πονηρὸν ἐνώπιον Κυρίου, καὶ ἐπο-
ρεύθη ἐν ὁδῷ Ἀχαὰβ τοῦ πατρὸς αὐ-
τοῦ καὶ ἐν ὁδῷ Ἰεζάβελ τῆς μητρὸς
αὐτοῦ, καὶ ἐν ταῖς ἁμαρτίαις οἴκου Ἱε-
ροβοὰμ υἱοῦ Ναβὰτ ὃς ἐξήμαρτε τὸν
νδ. Ἰσραήλ. Καὶ ἐδούλευσε τοῖς Βαα-
λεὶμ καὶ προσεκύνησεν αὐτοῖς, καὶ
παρώργισε τὸν Κύριον Θεὸν Ἰσραὴλ,
Z κατὰ πάντα τὰ γενόμενα ἔμπρο-
σθεν αὐτοῦ.

ΤΕΛΟΣ ΤΗΣ ΤΡΙΤΗΣ ΤΩΝ ΒΑΣΙΛΕΙΩΝ.

(1) Γέγραπται. αἱ εἰρημ. ἐκδόσ. (2) Τοῦ Ἀχαὰβ βασιλέως Ἰσραήλ. αἱ αὐτ.
(3) Υἱὸς τριάκ. αἱ αὐτ. (4) Ἀζουβά. αἱ αὐτ. (5) Σαλαΐ. αἱ αὐτ.
(6) μζ. Καὶ τοὺς λοιποὺς τῶν τετελεσμένων τῶν καταλελειμμένων ἐν ταῖς ἡμέραις Ἀσὰ τοῦ πατρὸς αὐτοῦ ἀφεῖλεν ἀπὸ τῆς γῆς. μη. Καὶ βασιλεὺς οὐκ ἦν ἑστηκὼς ἐν Ἰδουμαίᾳ. μθ΄. Καὶ Ἰωσαφὰτ ἐποίησε νῆας Θαρσεῖς τοῦ πορεύεσθαι εἰς Ὀφὶρ ἕνεκεν τοῦ χρυσίου, καὶ οὐκ ἐπορεύοντο, ὅτι συνετρίβησαν αἱ νῆες ἐν Γασιὼν Γάβερ. ν. Τότε εἶπεν Ὀχοζίας υἱὸς Ἀχαὰβ πρὸς Ἰωσαφὰτ, πορευέσθωσαν οἱ δοῦλοί μου μετὰ τῶν δούλων σου, καὶ οὐκ ἠθέλησεν Ἰωσαφάτ. Ταῦτα ἀντὶ τῶν λειπόντων ἐδ. ἐν ταῖς εἰρημ. σημ. κεῖται δὲ καὶ ἐν τῇ Ἑβραϊκῇ ἐκδόσ. (7) Ἐβασίλευσεν ἐν Ἰσρ. αἱ αὐτ.



ΒΑΣΙΛΕΙΩΝ ΤΕΤΑΡΤΗΣ.

** ΑΘΑΝΑΣΙΟΥ. Ἐν δὲ τῇ τετάρτῃ βίβλῳ ἐστὶ, πῶς δύω πεντηκόνταρχοι τοῦ Ὀχοζίου πυρὶ ἀνηλώθησαν διὰ ῥήματα Ἠλίου τοῦ προφήτου, καὶ ὅτι ἀνελήφθη Ἠλίας, καὶ ἐπανεπαύσατο ἐπὶ Ἐλισσαιὲ τὸ πνεῦμα Ἠλίου, καὶ γέγονεν αὐτῷ διπλᾶ ἐν πνεύματι. καὶ πῶς ὁ Ἐλισσαῖος τὸν μὲν υἱὸν τῆς Σουναμίτιδος ἀποθανόντα ἤγειρεν εὐξάμενος, τὸν δὲ Νεεμὰν τὸν Σύρον ἐκαθάρισεν ἀπὸ τῆς λέπρας, τῆς τε γυναικὸς τοῦ Προφήτου πεπλήρωκε τὰ ἀγγεῖα ἐλαίου ἐν λόγῳ Κυρίου, καὶ ἐπὶ τὰ ὀστᾶ δὲ αὐτοῦ μετὰ θάνατον ἐῤῥίφη νεκρὸς μονόζωνος, καὶ ὡς ἥψατο τῶν ὀστέων τοῦ Προφήτου ἀνέζησε. καὶ τῇ μηλωτῇ Ἠλίου ἐπάταξε τὸν Ἰορδάνην, καὶ διῃρέθη ἔνθεν καὶ ἔνθεν τὸ ὕδωρ, καὶ διέβη πεζῇ καὶ αὐτός. ἔστι δὲ ἐν τούτῳ τῷ βιβλίῳ, καὶ πῶς ὁ μὲν Σενναχηρεὶμ καὶ Ῥαψάκης πολλὰ βλασφημήσαντες, ἐδιώχθησαν, καὶ χιλιάδες ἀνδρῶν αὐτῶν ρπέ ἐν μιᾷ νυκτί. (1) ὁ δὲ βασιλεὺς Ἰωσίας καθεῖλε πάντα τὰ εἴδωλα, καὶ τὰ ἄλση ἐξέκοψε, καὶ πεποίηκε τὸ πάσχα, ὡς γέγραπται νομίμως. περιέχει δὲ ἡ βίβλος καὶ πράξεις βασιλέων, καὶ ἔτη· τῶν μὲν ἐν Ἰουδαίᾳ, Ἰωρὰμ, καὶ Ὀχοζίου, καὶ Ἰωὰς, καὶ Ἀμεσσία, καὶ Ὀζίου, καὶ Ἰωάθαμ, καὶ Ἀχὰζ, καὶ Ἐζεκίου, καὶ Μανασσῆ, καὶ Ἀμὼς, καὶ Ἰωσία, καὶ Ἰωάχαζ, καὶ Ἐλιακεὶμ, καὶ Ἰωακ[illegible] καὶ Ματθανὰν τοῦ καὶ Σεδεκία· τῶν δὲ ἐν Σαμαρείᾳ, Ὀχοζίου, καὶ Ἰωρὰμ, καὶ Ἰοῦ, [illegible] Ἰωάχας, καὶ Ἰωὰς, καὶ Ἱεροβοὰμ, καὶ Ζαχαρίου, καὶ Σελλοὺμ, καὶ Μαναὴμ, καὶ Φακεσ[illegible] καὶ Φακὲς, καὶ Ὡσηέ. καὶ περὶ Προφητῶν, Ἠλίου, καὶ Ἐλισσαιὲ, καὶ Ἡσαΐου, καὶ Ἱερεμ[illegible] καὶ ὅτι ἡ μὲν βασιλεία Σαμαρείας πέπαυται ἐπὶ Ὡσηὲ, υἱῷ Ἠλᾶ, τῷ καὶ σφάξαντι τὸν Φακεὲ υἱὸν Ῥομελίου. ἡ δὲ τῆς Ἱερουσαλὴμ βασιλεία πέπαυται ἐπὶ Σεδεκία. καὶ αὐτὸς γὰρ ἀπήχθη εἰς Βαβυλῶνα, καὶ ἀφαιρεθέντων αὐτοῦ τῶν ὀφθαλμῶν, εἰς μύλωνα ἐβλήθη ἔτη κϛ΄. καὶ μετὰ ταῦτα ὕψωσεν αὐτὸν τὸν Ἰωακεὶμ βασιλεὺς Βαβυλῶνος, καὶ ἔδωκεν αὐτῷ τὸν θρόνον ἐπάνω τῶν ἐκεῖ βασιλέων, καὶ συνήσθιε, καὶ συνέπινε μετ᾽ αὐτοῦ, ἕως ἡμέρας ζωῆς αὐτοῦ. καὶ ἐπὶ τούτοις λήγει τὸ βιβλίον, αἰχμαλωτισθέντος τοῦ λαοῦ, καὶ τῆς πόλεως πάσης ἀλούσης.

ΚΕΦ. Α.

α. Καὶ ἠθέτησε Μωὰβ ἐν Ἰσραὴλ μετὰ τὸ ἀποθανεῖν Ἀχαάβ.

** ΙΩΣΗΠΟΥ. Ὁ Ἀχάβου παῖς Ὀχοζίας ἐβασίλευε τῶν Ἰσραηλιτῶν, ἐν Σαμαρείᾳ ποιούμενος τὴν δίαιταν, πονηρὸς ὢν, καὶ πάντα ὅμοιος τοῖς γονεῦσιν ἀμφοτέροις, καὶ Ἱεροβοάμῳ τῷ πρώτῳ παρανομήσαντι, καὶ τὸν λαὸν ἀπατᾶν ἀρξαμένῳ. τὴν δὲ βασιλείαν ἔτος ἤδη δεύτερον ἔχοντος, ὁ τῶν Μωαβιτῶν ἀφίσταται βασιλεὺς αὐτοῦ, καὶ τοὺς φόρους, οὓς ἔμπροσθεν ἐτέλει τῷ πατρὶ αὐτοῦ Ἀχάβῳ χορηγῶν, ἐπαύσατο.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, » ἠθέτησε Μωὰβ ἐν Ἰσραήλ; Δασμὸν ἔφε-

A

B

ρον οἱ Μωαβῖται τῷ Ἀχαὰβ, ὡς ὑπήκοοι. τελευτήσαντος δὲ ἐκείνου, κατεφρόνησαν τοῦ υἱοῦ αὐτοῦ, καὶ οὐκ ἠνέχοντο (2) ἄρχεσθαι.

β. Καὶ ἔπεσεν Ὀχοζίας ἀπὸ (3) τοῦ δικτυωτοῦ τοῦ ἐν τῷ ὑπερῴῳ αὐτοῦ τοῦ (4) ἐν Σαμαρείᾳ, καὶ ἠῤῥώστησε. καὶ ἀπέστειλεν ἀγγέλους, καὶ εἶπε πρὸς αὐτοὺς, πορεύθητε καὶ ἐπιζητήσατε ἐν τῷ Βάαλ μυῖαν Θεὸν Ἀκκαρὼν, εἰ ζήσομαι ἐκ τῆς ἀῤῥωστίας μου ταύτης. καὶ ἐπορεύθησαν ἐπερωτῆσαι δι᾽ αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Συνέβη τὸν Ὀχοζίαν καταβαίνοντα ἀπὸ τοῦ στέγους τῆς οἰκίας κατενεχθῆναι, καὶ νοσήσαντα πέμψαι πρὸς τὸν

(1) Λείπει τὸ, ἀνῃρέθησαν.
(3) Διά. αἱ εἰρημ. ἐκδόσ.
(2) Οὐκ ἠθέλησαν. ἡ ἐν Χάλ. ἐκδ.
(4) Τῷ. αἱ αὐτ.

A τὸν Ἀκκαρὼν Θεὸν μῦαν· τȣ̃το γὰρ τὸ
ὄνομα τῷ Θεῷ· πυνθάνεσθαι περὶ τῆς σω-
τηρίας.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὁποῖόν ἐστι τὸ δι-
κλυωτὸν ὑπερῷον; Οἶκος τὴν ὥραν θέρȣς ἐπι-
τήδειος, πολλὰς ἔχων φωταγωγȣ̀ς δικλυοει-
δῶς κατεσκευασμένας, ἃς διατρήτȣς ὀνο-
μάζȣσιν οἱ πολλοί.

** ΝΕΙΛΟΥ. Τάχα διὰ τȣ̃το Ὀχο-
ζίας ἠῤῥώστησεν, ἐπειδὴ ἀπὸ τȣ̃ δικλυωτȣ̃
B ἔπεσε. τὸ γὰρ τȣ̀ς τῆς ἀνταποδόσεως λό-
γȣς ἐν καιρῷ τῶν πειρασμῶν παραλογίσα-
σθαι κατενεχθέντα ἐπὶ τὰς ἡδονὰς, ἀπὸ
τȣ̃ δικλυωτȣ̃ πεσεῖν ἐστί. τὶ δὲ ταύτης τῆς
ἀῤῥωστίας ἐστὶ χαλεπώτερον; σώματος μὲν
γάρ ἐστιν ἀῤῥωστία τὸ παρὰ φύσιν ἔχειν τῆς
τῶν στοιχείων ἰσονομίας ἐκ τῆς τȣ̃ ἑνὸς ἐπι-
κρατείας εἰς τὸ παρὰ φύσιν ἐκτραπείσης·
ψυχῆς δὲ, τὸ ἐκκλῖναι τȣ̃ ὀρθȣ̃ λογισμȣ̃
τοῖς νοσοποιοῖς ἡττηθείσης πάθεσι. τοιαῦ-
Γ τα δίκτυα τῇ ὁράσει τȣ̃ ἀκȣ́ειν δυναμένȣ
Παροιμ. 23. 33. διέπλεκεν ὁ Σολομὼν, λέγων· οἱ ὀφθαλ-
» μοί σȣ ὅταν ἴδωσιν ἀλλοτρίαν, τὸ στόμα σȣ
» τότε λαλήσει σκολιά· σκολιὰ λέγων τὰ
μετὰ τὴν ἁμαρτίαν ἀπαντᾷν μέλλοντα ἐν
τῷ καιρῷ τῆς ἀνταποδόσεως. ταῦτα γὰρ
λογισθέντα μετὰ τῆς προσηκȣ́σης καταστά-
σεως ἀπείργει πᾶσαν ἐπικίνδυνον τῶν ὀφ-
θαλμῶν θεωρίαν.

Δ ** ΤΟΥ ΑΥΤΟΥ. Τὸ ἐν τῷ καιρῷ
προσβολῶν τȣ̃ ἐχθρȣ̃ χαυνȣ̃σθαι, καὶ
εἶσθαι, καὶ μὴ αὐστηρῷ φρονήματι μνη-
μονεύειν τῶν φοβερῶν κριμάτων τȣ̃ Κυρίȣ,
ἀλλ' ἐνδιδόναι ταῖς ἡδοναῖς, καὶ πρὸς τὸ
θέλημα τῆς σαρκὸς καταφέρεσθαι, τȣ̃το
ἂν εἴη τὸ πεσεῖν ἀπὸ τȣ̃ δικλυωτȣ̃, καὶ νο-
σεῖν νόσον χαλεπωτάτην ψυχῆς, πολὺ τῆς
σωματικῆς ἀῤῥωστίας ἀργαλεωτέραν. ἔπε-
σε γάρ φησιν Ὀζίας (1) ὁ βασιλεὺς ἀπὸ
E τȣ̃ δικλυωτȣ̃ καὶ ἠῤῥώστησεν ἀῤῥωστίαν θανα-
τηφόρον, τȣ̃ βασιλικωτάτȣ νοὸς δηλαδὴ
πεπτωκότος εἰς τὴν νοητὴν τελευτὴν τῆς
πρακτικῆς ἁμαρτίας.

α. Κορ. 6. 16. ** ΤΟΥ ΑΥΤΟΥ. Ναὸς Θεȣ̃ ὑμεῖς
ἐστὲ, φησὶν ὁ Ἀπόστολος. ὡς ἂν ȣ̃ν μηδὲν
εἰσέρπῃ τῶν ἀκαθάρτων μορφῶν εἰς τὴν
σὴν διάνοιαν, δίκτυα λογισμῶν τῆς μελλȣ́-
σης κρίσεως διάπλεξον ταῖς τȣ̃ σώματος
θυρίσι, ταῖς διὰ τῶν αἰσθήσεων εἰσερχομέ-
Z ναις εἰκόσιν ἀποτειχίζων τὴν ἔννοιαν. ἐὰν
δὲ ἐν τῷ καιρῷ τῶν πειρασμῶν παραλο-
γίσῃ τὸν φόβον τȣ̃ θείȣ δικαστηρίȣ, πέπτω-
κας πρὸς τὴν ἡδονὴν, καὶ νόμιζέ μοι τὸ
τȣ̃ Ὀχοζίȣ πεπονθέναι πεσόντος ἀπὸ τȣ̃
δικλυωτȣ̃, καὶ λίαν ἠῤῥωστηκότος μέχρι θα-
νάτȣ. ȣ̉δὲν δὲ χαλεπώτερον καὶ θανατικώ-
τερον τῆς κατὰ τὴν ἁμαρτίαν ἀῤῥωστίας.

A ** ΠΡΟΚΟΠΙΟΥ. Ἔστι μαθεῖν ἐξ ὧν
Εὐσέβιος ἐν ἀρχῇ τῆς εὐαγγελικῆς προπα-
ρασκευῆς (2) ἐκ τῶν Φίλωνος παρατίθε-
ται, ὡς Δαίμων τὶς ȣ̃τω λεγόμενος· μᾶλλον
δὲ γυνὴ παλαιά τις, ἣν ἐθεοποίησαν.

γ. Καὶ Ἄγγελος Κυρίȣ ἐλάλησε
πρὸς Ἠλιȣ̀ τὸν Θεσβίτην, λέγων,
ἀναστὰς δεῦρο εἰς συνάντησιν τῶν ἀγ-
γέλων Ὀχοζίȣ βασιλέως Σαμαρείας,
B καὶ λαλήσεις πρὸς αὐτȣ̀ς, εἰ παρὰ τὸ
μὴ εἶναι Θεὸν ἐν Ἰσραὴλ, ὑμεῖς πο-
ρεύεσθε ἐπιζητῆσαι ἐν τῇ (3) Βάαλ
μυῖαν Θεὸν Ἀκκαρών; καὶ ȣ̉χ ȣ̃τως·

* ΘΕΟΔΩΡΙΤΟΥ. Προσόχθισμα (4)
ποῖόν ἐστι; Καὶ προσόχθισμα καὶ βδέλυγ-
μα τὰ εἴδωλα προσαγορεύειν εἴωθεν ἡ θεία
Γραφή. καὶ γὰρ βδελυγμίας μεστὰ καὶ μί-
Γ σȣς ἄξια. τὸ γὰρ προσόχθισμα, μῖσος
δηλοῖ· ȣ̃τω γὰρ καὶ εἴρηκεν ὁ Ἰσαάκ· (5)
» προσώχθισα τῇ ψυχῇ μȣ διὰ τὰς θυγατέ- Γεν. 27. 46.
» ρας τῶν Χαναναίων, τȣτέστι μεμίσηκα. (6)
» Φησὶ γὰρ καὶ ὁ Δαβίδ· παρέστη πάσῃ ὁδῷ Ψαλ. 35. 4.
» ȣ̉κ ἀγαθῇ, κακίᾳ δὲ ȣ̉ προσώχθισε, τȣτέ-
στιν ȣ̉κ ἐμίσησε τὴν κακίαν. ἄξιον δὲ θρη-
νῆσαι τῶν δυσσεβῶν τὴν ἀλογίαν. ȣ̉ γὰρ
μόνον τὰ μέγιστα τῶν ζώων ἐθεοποίησαν,
ἀλλὰ καὶ τὰ σμικρότατα καὶ εὐτελέστατα,
Δ καὶ μύσȣς μεστά. τὶ γὰρ μυσαρώτερον μυίας;
ἀλλ' ὅμως καὶ τὴν εἰκόνα αὐτῆς Θεὸν ἀνη-
γόρευσαν, καὶ τὸν τῶν ὅλων καταλελοι-
πότες Θεὸν τὸ ταύτης (7) ἴνδαλμα περὶ
ζωῆς ἐπηρώτων· καὶ τὴν ζῶσαν ταῖς ῥιπί-
σιν ἐλαύνȣσι, ταύτης τὸν τύπον Θεὸν προ-
σηγόρευσαν.

δ. Ὅτι τάδε λέγει Κύριος, ἡ κλί-
νη ἐφ' ἧς ἀνέβης ἐκεῖ, ȣ̉ καταβήσῃ
E ἀπ' αὐτῆς, ὅτι θανάτῳ ἐκεῖ ἀποθανῇ.
καὶ ἐπορεύθη Ἠλιȣ̀, καὶ εἶπε πρὸς αὐ-
ε. τȣ́ς. Καὶ ἀπεστράφησαν οἱ ἄγγελοι
πρὸς αὐτόν· καὶ εἶπε πρὸς αὐτȣ̀ς, τὶ
ς. ὅτι ἐπεστρέψατε; Καὶ εἶπαν πρὸς αὐ-
τὸν, ἀνὴρ ἀνέβη εἰς συνάντησιν ἡμῶν,
καὶ εἶπε πρὸς ἡμᾶς, δεῦτε, ἐπιστράφη-
τε πρὸς τὸν βασιλέα τὸν ἀποστείλαν-
τα ὑμᾶς, καὶ λαλήσατε πρὸς αὐτὸν,
Z τάδε λέγει Κύριος, εἰ παρὰ τὸ μὴ
εἶναι Θεὸν ἐν Ἰσραὴλ, σὺ πορεύῃ ζη-
τῆσαι ἐν τῷ Βάαλ μυῖαν Θεὸν Ἀκκα-
ρών; ȣ̉χ ȣ̃τως. ἡ κλίνη ἐφ' ἧς ἀνέ-
βης, ȣ̉ καταβήσῃ ἀπ' αὐτῆς, ὅτι θα-
ζ. νάτῳ ἀποθανῇ. Καὶ ἐπιστρέψαντες
ἀπήγγειλαν τῷ βασιλεῖ καθὰ ἐλά-
λησεν

(1) Ὀχοζίας πάντως ἀναγνωστ. (2) Οὐδὲ ἐν τοῖς τȣ̃ Εὐσεβ. ȣ̉δὲ ἐν τοῖς τȣ̃ Φίλων. ἐκδεδομ. τοιȣ̃τόν τι εὕρηται. (3) Τῷ. αἱ αὐτ. καὶ κατωτέρ. (4) Προσοχθίσαι τί ἐστι; Καὶ προσοχθίσματα καὶ βδελύγματα τὰ εἴδωλα, κτ. ἡ ἐν Χάλ. ἐκδ. Τὸ δὲ προσοχθίζω ἐν τοῖς ἑξαπλοῖς κεῖται, ȣ̉κ ἐν τῷ δὲ τῷ τόπῳ, ἀλλ' ἐν 21. κεφ. ἐδ. 6. τῆς 1. τῶν Παραλειπ. παρὰ τῷ λεξικ. τῷ ἐν τῷ 2. Τόμ. τῆς συμφων. τῆς Γραφ. τῆς ὑπὸ Θρομίȣ ἐκδοθείσης. (5) Ἡ Ῥεβέκκα τȣ̃το εἴρηκε. (6) Καὶ ὁ μακάριος Δαβὶδ ἔφη· παρ. ἡ αὐτ. (7) Τὸ αὐτῆς ἴνδ. ἡ αὐτ.

λησεν Ἠλιού. καὶ ἐλάλησε πρὸς αὐτοὺς, (1) λέγων, τίς ἡ κρίσις τοῦ ἀνδρὸς τοῦ ἀναβάντος (2) πρὸς ὑμᾶς εἰς συνάντησιν ὑμῖν καὶ λαλήσαντος (3) τοὺς λόγους τούτους;

η. Καὶ εἶπαν πρὸς αὐτὸν, ἀνὴρ δασὺς, καὶ ζώνην δερματίνην περιεζωσμένος τὴν ὀσφὺν αὐτοῦ. καὶ εἶπεν, Ἠλιοὺ ὁ Θεσβίτης οὗτός ἐστι.

** ΚΛΗΜΕΝΤΟΣ. Μηλωτῇ ἐχρῆτο Ἠλίας ἐνδύματι, καὶ ζώνῃ τὴν μηλωτὴν κατέσφιγγεν ἐκ τριχῶν πεποιημένῃ. Ἡσαΐας δὲ, ἄλλος οὗτος προφήτης, γυμνός τε καὶ ἀνυπόδετος ἦν· πολλάκις δὲ καὶ σάκκον ἠμπίσχετο, ταπεινοφροσύνης ἔνδυμα. εἰ δὲ καὶ Ἱερεμίαν καλεῖς, λινοῦν οὗτος περίζωμα εἶχε μόνον. ὡς δὲ τὰ εὐτραφῆ τῶν σωμάτων γυμνούμενα φανερωτέραν δείκνυσι τὴν ἀκμὴν, οὕτω καὶ τῶν ἠθῶν τὸ κάλλος, μὴ ἐνειλούμενον ἀπειροκάλοις φλυαρίαις, τὸ μεγαλοπρεπὲς ἐνδείκνυται.

θ. Καὶ ἀπέστειλε πρὸς αὐτὸν πεντηκόνταρχον καὶ τοὺς πεντήκοντα αὐτοῦ, καὶ ἀνέβη καὶ ἦλθε πρὸς αὐτόν· καὶ ἰδοὺ Ἠλιοὺ ἐκάθητο ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους. καὶ ἐλάλησεν ὁ πεντηκόνταρχος πρὸς αὐτὸν, καὶ εἶπεν, ἄνθρωπε τοῦ Θεοῦ, ὁ βασιλεὺς ἐκάλε-
ι. σέ σε, κατάβηθι. Καὶ ἀπεκρίθη
Ἠλιοὺ, καὶ εἶπε πρὸς τὸν πεντηκόνταρχον, καὶ εἰ ἄνθρωπος τοῦ Θεοῦ ἐγὼ, καταβήσεται πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ καταφάγεταί σε καὶ τοὺς πεντήκοντά σου. καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτὸν καὶ τοὺς πεντή-
ια. κοντα αὐτοῦ. Καὶ προσέθηκεν ὁ βα-
σιλεὺς, καὶ ἀπέστειλε πρὸς αὐτὸν ἄλλον πεντηκόνταρχον καὶ τοὺς πεντήκοντα αὐτοῦ. καὶ ἀνέβη καὶ ἐλάλησεν ὁ πεντηκόνταρχος πρὸς αὐτὸν, καὶ εἶπεν, ἄνθρωπε τοῦ Θεοῦ, τάδε λέγει ὁ βα-
ιβ. σιλεὺς, ταχέως κατάβηθι. Καὶ ἀπε-
κρίθη Ἠλιοὺ καὶ ἐλάλησε πρὸς αὐτὸν, καὶ εἶπεν, εἰ ἄνθρωπος τοῦ Θεοῦ ἐγώ εἰμι, καταβήσεται πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ καταφάγεταί σε καὶ τοὺς πεντήκοντά σου. καὶ κατέβη πῦρ ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγεν αὐτὸν καὶ τοὺς πεντήκοντα αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Πέμψας ἐπ' αὐτὸν ταξίαρχον καὶ πεντήκοντα ὁπλίτας, ἀχθῆναι πρὸς αὐτὸν ἐκέλευσεν. εὑρὼν δὲ τὸν Ἠλίαν ὁ πεμφθεὶς ταξίαρχος ἐπὶ τῆς κορυφῆς τοῦ ὄρους καθεζόμενον, καταβάντα ἥκειν ἐκέλευε πρὸς τὸν βασιλέα· κελεύειν γὰρ τοῦτ' ἐκεῖνον· εἰ δὲ μὴ θελήσειεν, ἄκοντα βιάσασθαι. ὁ δ' εἰπὼν πρὸς αὐτὸν, ἐπὶ πεῖρα τοῦ Προφήτης ἀληθὴς ὑπάρχειν, εὔξασθαι, πῦρ ἀπ' οὐρανοῦ πεσὸν ἀπολέσαι τούς τε στρατιώτας καὶ αὐτὸν, εὔχεται, καὶ πρηστὴρ κατενεχθεὶς διαφθείρει τόν τε ταξίαρχον καὶ τοὺς σὺν αὐτῷ. τῆς δ' ἀπωλείας τῆς τούτων δηλωθείσης τῷ βασιλεῖ, παροξυνθεὶς ἄλλον πέμπει ταξίαρχον ἐπὶ τὸν Ἠλίαν σὺν ὁπλίταις τοσούτοις, ὅσοις καὶ τὸν πρότερον συναπέστειλε. ἀπειλήσαντος δὲ καὶ τούτου τῷ Προφήτῃ, βίᾳ λαβεῖν αὐτὸν, εἰ μὴ κατέλθοι βουλόμενος, εὐξαμένου κατ' αὐτοῦ, πῦρ διεχρήσατο καθὼς καὶ τὸν ἄλλον ταξίαρχον.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὅπερ οἱ παῖδες ὑπὸ τῶν ἄρκτων ἔπαθον διὰ τὸν Ἐλισσαῖον, τοῦτο διὰ τὸν τούτου διδάσκαλον ὑπὸ πυρὸς ἄνωθεν ἀφθέντος δὶς πεντήκοντα ἄνδρες ἅμα τοῖς προεστῶσιν αὐτῶν ὑπέμενον. ἐπειδὴ γὰρ κἀκεῖνοι μετὰ πολλῆς εἰρωνείας προσελθόντες ἐκάλουν τὸν δίκαιον, καὶ καταβαίνειν ἐκέλευον πρὸς αὐτοὺς, ἀντ' ἐκείνου πῦρ κατελθὸν ἅπαντας αὐτοὺς κατέφαγε τῶν θηρίων ἐκείνων οὐχ ἧττον. παιδείαν (4) τοῦ μὴ δεῖν κατασύρειν καὶ παίζειν δικαίους.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τινὲς ὠμότητα τ[οῦ] Προφήτου κατηγόρησαν, ὅτι δὴ τοὺς [...] πεντηκοντάρχους μετὰ τῶν ὑπηκόων [...]νίῳ πυρὶ παραδέδωκεν. Οἱ τοῦ Προφ[ήτου] κατηγοροῦντες, κατὰ τοῦ Θεοῦ τοῦ Προφη[...] κινοῦσι τὴν γλῶτταν. αὐτὸς γὰρ ἐπαφῆκε τὸ πῦρ. τολμηρὸν τοίνυν ἄγαν τὸ νεμεσῆσαι ταῖς θείαις οἰκονομίαις. χρὴ γὰρ εἰδέναι τῆς θείας προμηθείας τὸ δίκαιον, καὶ ὡς ἐνδίκως κολάζει τοὺς ἁμαρτάνοντας, καὶ εὐεργετεῖ τοὺς θεραπεύοντας. δῆλοι δὲ ἦσαν οἱ πεντηκόνταρχοι, καὶ οἱ τούτων ὑπήκοοι, συμβαίνοντες τῷ σκοπῷ τοῦ πεπομφότος. ὅθεν καὶ τὰς θεηλάτους τιμωρίας ὑπέμειναν. ὁ γὰρ τρίτος πεντηκόνταρχος, ἐπιεικείᾳ καὶ πίστει κοσμούμενος, καὶ τῇ πείρᾳ μαθὼν τοῦ Προφήτου τὴν δύναμιν, ἠπίοις λόγοις χρησάμενος, τὴν τιμωρίαν διέφυγε.

** ΠΡΟΚΟΠΙΟΥ. Τινές φασιν, ὡς μετὰ πολλῆς εἰρωνείας προσελθόντες ἐκάλουν τὸν δίκαιον, καὶ καταβαίνειν ἐκέλευον πρὸς αὐτούς. ὅθεν ἀντ' ἐκείνου πῦρ κατελθὸν, τοὺς ἀσεβοῦντας κατέφλεξεν, εἰς παιδείαν τοῦ μὴ δεῖν διασύρειν καὶ παίζειν δικαίους.

ιγ. Καὶ προσέθετο ὁ βασιλεὺς ἔτι ἀποστεῖλαι ἡγούμενον πεντηκόνταρχον τρίτον καὶ τοὺς πεντήκοντα αὐτοῦ. καὶ ἦλθε πρὸς αὐτὸν ὁ πεντηκόνταρχος ὁ τρίτος, καὶ ἔκαμψεν ἐπὶ τὰ γόνατα

(1) Πρὸς αὐτοὺς, τίς. αἱ εἰρημ. ἐκδόσ.

(2) Τοῦ ἀναβάντος εἰς συνάντ. αἱ αὐτ.

(3) Λαλήσαντος πρὸς ὑμᾶς τούς. αἱ αὐτ.

(4) Εἰς παιδείαν, ὀρθότερ. καθάπερ δὴ ἀναγινώσκει καὶ ὁ Προκόπ. ἐν τῷ ἑξῆς ὑπομνήμ. τὰ τοῦ Χρυσοσ. ἐκτιθέμενος ῥήματα. τὰ δὲ ἀπὸ τοῦ, παιδείαν ἄχρι τέλους, ἐν τῷ 1. Τόμ. σελ. 284. τῆς τοῦ Μοντφαυκ. ἐκδόσ. οὐ κεῖται. περιέχει δ' αὐτὰ ἡ κατὰ τὰς Ἐνετ. ἐν ἔτει 1741. γενομ. ἐκδ.

γόνατα αὐτοῦ κατέναντι Ἠλιοὺ, καὶ
ἐδεήθη αὐτοῦ, καὶ ἐλάλησε πρὸς αὐ-
τὸν, καὶ εἶπεν, ἄνθρωπε τοῦ Θεοῦ, ἐν-
τιμωθήτω δὴ ἡ ψυχή μου, καὶ ἡ ψυχὴ
τῶν δούλων σου τούτων τῶν πεντήκοντα
ιδ. ἐν ὀφθαλμοῖς σου. Ἰδοὺ κατέβη πῦρ
ἐκ τοῦ οὐρανοῦ, καὶ κατέφαγε τοὺς δύω
πεντηκοντάρχους τοὺς πρώτους καὶ τοὺς
πεντήκοντα αὐτῶν· καὶ νῦν ἐντιμω-
θήτω δὴ ἡ ψυχὴ τῶν δούλων σου ἐν ὀφ-
ιε. θαλμοῖς σου. Καὶ ἐλάλησεν Ἄγγε-
λος Κυρίου πρὸς Ἠλιοὺ, καὶ εἶπε, κα-
τάβηθι μετ᾽ αὐτοῦ, μὴ φοβηθῇς ἀπὸ
προσώπου αὐτῶν. καὶ ἀνέστη Ἠλιοὺ καὶ κα-
τέβη μετ᾽ αὐτῶν πρὸς τὸν βασιλέα.

** ΙΩΣΗΠΟΥ. Τρίτον ἐξέπεμψεν. ὁ δὲ φρόνιμος ὢν καὶ λίαν ἐπιεικὴς τὸ ἦθος, ἐλθὼν ἐπὶ τὸν τόπον οὗ συνέβαινεν εἶναι τὸν Ἠλίαν, φιλοφρόνως προσεῖπεν αὐτὸν, γινώσκειν δὲ ἔλεγεν, ὅτι μὴ βουλόμενος, βασιλέως διακονῶν προστάγματι παρείη πρὸς αὐτὸν, καὶ οἱ πρὸ αὐτοῦ πεμφθέντες, οὐχ ἑκόντες, ἀλλὰ κατὰ τὴν αὐτὴν αἰτίαν ἦλθον. ἐλεῆσαι τοιγαροῦν αὐτὸν ἠξίου τούς τε σὺν αὐτῷ παρόντας ὁπλίτας, καὶ καταβάντα ἕπεσθαι πρὸς τὸν βασιλέα. ἀποδεξάμενος δὲ τὴν δεξιότητα τῶν λόγων καὶ [ἀ]στεῖον τοῦ ἤθους ὁ Ἠλίας, καταβὰς ἠκο[λού]θησεν αὐτῷ.

** ΕΦΡΑΙΜ. Ὥσπερ ὕδωρ σβέννυσι [πῦ]ρ, οὕτω μετάνοια καθαρὰ σβέννυσι θυ[μ]ὸν, καὶ ὀργὴν ἀποστρέφει. καὶ πειθέτω σε ὁ ἐπὶ τοῦ Ἠλιοὺ πεντηκόνταρχος, ὃς διὰ τῆς ταπεινοφροσύνης ἐξευμενίσας τὸν Προφήτην, διεσώθη ἀπὸ τῆς ὀργῆς.

ις. Καὶ ἐλάλησε πρὸς αὐτὸν, καὶ
εἶπε, τάδε λέγει Κύριος, ἀνθ᾽ ὧν ἐξα-
πέστειλας ἀγγέλους ζητῆσαι (1) ἐν τῷ
Βάαλ μυῖαν Θεὸν Ἀκκαρών; οὐχ οὕτως.
ἡ κλίνη ἐφ᾽ ἧς ἀνέβης ἐπ᾽ αὐτῆς, οὐ κα-
ταβήσῃ ἀπ᾽ αὐτῆς, ὅτι θανάτῳ ἀπο-
ιζ. θανῇ. Καὶ ἀπέθανε κατὰ τὸ ῥῆμα
Κυρίου ὃ ἐλάλησεν (2) ἐν χειρὶ Ἠλιού.

** ΙΩΣΗΠΟΥ. Παραγενόμενος πρὸς τὸν βασιλέα προεφήτευσεν αὐτῷ, καὶ τὸν » Θεὸν ἐδήλου λέγειν· ἐπειδὴ κατέγνως αὐτοῦ » μὲν ὡς οὐκ ὄντος Θεοῦ, καὶ περὶ τῆς νόσου » οὐδὲν ἀληθὲς προειπεῖν δυναμένου, πρὸς δὲ » τὸν Ἀκκαρωνιτῶν ἔπεμπες, παρ᾽ αὐτοῦ πυν» θανόμενος ποδαπὸν ἔσται σοι τὸ τέλος τῆς » νόσου, γίνωσκε ὅτι τεθνήξῃ. καὶ ὁ μὲν, ὀλίγου σφόδρα χρόνου διελθόντος, καθὼς προεῖπεν Ἠλίας, ἀπέθανε.

ιη. Καὶ τὰ λοιπὰ τῶν λόγων (3)
ἡμερῶν Ὀχοζίου ὅσα ἐποίησεν, οὐκ ἰδοὺ
B ταῦτα γεγραμμμένα ἐπὶ βιβλίου λό-
γων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσ-
ραήλ; καὶ Ἰωρὰμ υἱὸς Ἀχαὰβ βασι-
λεύει ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ ἔτη
δώδεκα, ἐν ἔτει ὀκτωκαιδεκάτῳ Ἰω-
σαφὰτ βασιλέως Ἰούδα· καὶ ἐποίη-
σε τὸ πονηρὸν ἐνώπιον Κυρίου· πλὴν
οὐχ ὡς οἱ ἀδελφοὶ αὐτοῦ, οὐδὲ ὡς ἡ μή-
τηρ αὐτοῦ. καὶ ἀπέστησε τὰς στήλας
Γ τοῦ Βάαλ ἃς ἐποίησεν ὁ πατὴρ αὐτοῦ,
καὶ συνέτριψεν αὐτάς. πλὴν ἐν ταῖς
ἁμαρτίαις οἴκου Ἱεροβοὰμ υἱοῦ Ναβὰτ,
ὃς ἐξήμαρτε τὸν Ἰσραὴλ, ἐκολλήθη,
οὐκ ἀπέστη ἀπ᾽ αὐτῶν. καὶ ἐθυμώθη
ὀργῇ Κύριος εἰς τὸν οἶκον Ἀχαάβ.

** ΙΩΣΗΠΟΥ. Διαδέχεται αὐτοῦ τὴν βασιλείαν ὁ ἀδελφὸς Ἰώραμος· ἄπαις γὰρ Δ κατέστρεψε τὸν βίον· ὁ δὲ Ἰώραμος οὗτος τῷ πατρὶ τὴν πονηρίαν Ἀχάβῳ παραπλήσιος γενόμενος, ἐβασίλευσεν ἔτη δώδεκα, πάσῃ πονηρίᾳ χρησάμενος καὶ ἀσεβείᾳ πρὸς τὸν Θεόν. παρεὶς γὰρ τοῦτον θρησκεύειν, τοὺς ξενικοὺς ἐσέβετο. ἦν δὲ τ᾽ ἄλλα δραστήριος.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, τό» τε ἐβασίλευσεν ἐπὶ Ἰσραὴλ Ἰωρὰμ ἀδελ» φὸς Ὀχοζίου ἀντ᾽ αὐτοῦ, ὅτι οὐκ ἦν αὐτῷ E υἱός; Νόμος ἦν τῶν βασιλέων τοὺς παῖδας τὴν βασιλείαν κληρονομεῖν· παίδων δὲ οὐκ ὄντων, τὸν πρεσβύτατον ἀδελφὸν, ἢ τὸν ἐπιτηδειότατον. αὐτίκα γοῦν τὴν δαβιτικὴν βασιλείαν μέχρι τῆς αἰχμαλωσίας παῖς παρὰ πατρὸς παραλαμβάνοντες, διετέλεσαν οἰκονομοῦντες. τοῦ δὲ Ἰεχονίου πρὸ τῆς παιδογονίας δορυαλώτου ληφθέντος, Ματθανίας, ὁ καὶ Σεδεκίας, κατέσχε τὴν βασιλείαν, θεῖος αὐτοῦ ὢν πρὸς πατρός.

ΚΕΦ. Β.

α. Καὶ ἐγένετο ἐν τῷ ἀνάγειν
Κύριον τὸν Ἠλιοὺ ἐν σει-
σεισμῷ (4) ὡς εἰς τὸν οὐρα-
νὸν, καὶ ἐπορεύθη Ἠλιοὺ καὶ Ἐλισσαιὲ
β. ἐκ Γαλγάλων. Καὶ εἶπεν Ἠλιοὺ πρὸς
Ἐλισσαιὲ, κάθου δὴ ἐνταῦθα, ὅτι Κύ-
ριος ἀπέσταλκέ με ἕως Βαιθήλ. καὶ
εἶπεν Ἐλισσαιὲ, ζῇ Κύριος καὶ ζῇ ἡ
ψυχή σου, εἰ ἐγκαταλείψω σε. καὶ ἦλ-
θον εἰς Βαιθήλ.
γ. Καὶ ἦλθον οἱ υἱοὶ τῶν Προφη-
τῶν οἱ ἐν Βαιθὴλ πρὸς Ἐλισσαιὲ, καὶ
H εἶπον πρὸς αὐτὸν, εἰ ἔγνως, ὅτι Κύ-
ριος σήμερον λαμβάνει τὸν κύριόν σου
ἐπά-

(1) Ἐκζητῆσαι. αἱ εἰρημ. ἐκδόσ.
(2) Ἐλάλησεν Ἠλιού. αἱ αὐτ.
(3) Τῶν λόγων Ὀχοζ. αἱ αὐτ.
(4) Συσσεισμῷ εἰς τόν. ἐν ταῖς εἰρημ. σημ.

ἐπάνωθεν τῆς κεφαλῆς σου; καὶ εἶπε, A
δ. κἀγὼ ἔγνωκα, σιωπᾶτε. Καὶ εἶπεν
Ἠλιοὺ πρὸς Ἐλισσαιὲ, κάθου δὴ ἐνταῦ-
θα, ὅτι Κύριος ἀπέσταλκέ με εἰς Ἱε-
ριχώ. καὶ εἶπε, ζῇ Κύριος καὶ ζῇ ἡ ψυ-
χή σου, εἰ ἐγκαταλείψω σε. καὶ ἦλ-
ε. θον εἰς Ἱεριχώ. Καὶ ἤγγισαν οἱ υἱοὶ
τῶν Προφητῶν οἱ ἐν Ἱεριχὼ πρὸς Ἐ-
λισσαιὲ, καὶ εἶπον πρὸς αὐτὸν, εἰ ἔγνως, B
ὅτι σήμερον λαμβάνει ὁ Κύριος τὸν
κύριόν σου ἐπάνωθεν τῆς κεφαλῆς σου;
καὶ εἶπε, καί γε ἐγὼ ἔγνων, σιωπᾶτε.
ς. Καὶ εἶπεν αὐτῷ Ἠλιοὺ, κάθου δὴ ὧδε,
ὅτι Κύριος ἀπέσταλκέ με ἕως τοῦ Ἰορ-
δάνου. καὶ εἶπεν Ἐλισσαιὲ, ζῇ Κύριος
καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω-
ζ. σε. καὶ ἐπορεύθησαν ἀμφότεροι, Καὶ
πεντήκοντα ἄνδρες υἱοὶ τῶν Προφη- Γ
τῶν, καὶ ἔστησαν ἐξ ἐναντίας μακρό-
θεν· καὶ ἀμφότεροι ἔστησαν ἐπὶ τοῦ
Ἰορδάνου.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Τίνας υἱοὺς τῶν Προ-
φητῶν ἡ θεία προσαγορεύει Γραφή; Αὐ-
τοὺς τοὺς Προφήτας οὕτω καλεῖ, κατὰ τὸ
Ἑβραίων καὶ Σύρων ἰδίωμα. οὕτω γὰρ καὶ
Ψαλ. 4. 2. τοὺς ἀνθρώπους εἴωθεν ὀνομάζειν. υἱοὶ γάρ-
» φησιν ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; Δ
Ψαλ. 11. 8. καὶ, κατὰ τὸ ὕψος σου ἐπολυώρησας τοὺς
» υἱοὺς τῶν ἀνθρώπων. δηλοῖ δὲ καὶ αὐτὸς ὁ
λόγος πολλοὺς γεγενῆσθαι Προφήτας. καὶ
γὰρ οἱ τὴν Ἱεριχὼ καὶ τὴν Βαιθὴλ οἰκοῦν-
τες, καὶ προεγνώκεισαν καὶ προειρήκεισαν
τὴν τοῦ μεγάλου Ἠλιοὺ ἀνάληψιν. ἐγνώκει δὲ
τοῦτο (1) πρὸ τῶν ἄλλων Προφητῶν Ἐλισ-
σαῖος [ὁ πάνυ.] διὸ καὶ τούτοις ἔφη κἀκείνοις.
» καί γε ἐγὼ ἔγνωκα, σιωπᾶτε. τοσοῦτον δὲ
ἦν τῶν Προφητῶν τὸ πλῆθος, ὅτι πεντή-
κοντα μὲν αὐτοῖς πόῤῥωθεν ἠκολούθησαν.

η. Καὶ ἔλαβεν Ἠλιοὺ τὴν μηλω-
τὴν αὐτοῦ καὶ εἴλησε καὶ ἐπάταξε τὸ
ὕδωρ, καὶ διῃρέθη τὸ ὕδωρ ἔνθα καὶ ἔνθα·
καὶ διέβησαν ἀμφότεροι ἐν ἐρήμῳ.

∗∗ ΩΡΙΓΕΝΟΥΣ. Παρατηρητέον, ὅτι
μέλλων ἀναλαμβάνεσθαι Ἠλίας ἐν συσεισ-
» μῷ ὡς εἰς τὸν οὐρανὸν, λαβὼν τὴν μηλωτὴν
» αὐτοῦ, καὶ εἰλήσας ἐπάταξε τὸ ὕδωρ, ὅπερ
» διῃρέθη ἔνθα καὶ ἔνθα· καὶ διέβησαν ἀμ-
φότεροι, δηλονότι αὐτὸς καὶ ὁ Ἐλισσαῖος.
ἐπιτηδειότερος γὰρ πρὸς τὸ ἀναληφθῆναι
γεγένηται ἐν τῷ Ἰορδάνῃ βαπτισάμενος,
ἐπεὶ τὴν δι᾽ ὕδατος παραδοξοτέραν διάβα-
σιν βάπτισμα, ὡς προπαρεθέμεθα, ὠνό-
μασεν ὁ Παῦλος.

θ. Καὶ ἐγένετο ἐν τῷ διαβῆναι
αὐτοὺς, καὶ Ἠλιοὺ εἶπε πρὸς Ἐλισσαιὲ,
αἴτησαι τί ποιήσω σοι πρὶν ἢ ἀναληφ-
θῆναί με ἀπὸ σοῦ. καὶ εἶπεν Ἐλισσαιὲ,

A γενηθήτω δὴ διπλᾶ ἐν πνεύματί σου
ἐπ᾽ ἐμέ.

∗∗ ΙΟΥΣΤΙΝΟΥ. Εἰ διπλοῦν τὸ ἐν Ἠ-
λίᾳ χάρισμα λαβεῖν Ἐλισσαῖος ἠξιώθη, πῶς
οὔτε ἁπλᾶ, οὔτε διπλᾶ θαύματα ἐποίησεν;
οἷον, ὑετὸν ἐπέχειν, καὶ λιμῷ πιέζειν τὴν
γῆν, πυρὸς κατὰ θυσιῶν οὐρανίου φορὰν,
ἱερέων ἀνομούντων σφαγὰς, πεντηκοντάρ-
χων ὄλο . . . καὶ τὰ λοιπά; πόθεν οὖν Ἐ-
B λισσαῖος δειχθήσεται τὴν ἑαυτοῦ αἴτησιν,
καὶ τὴν τοῦ Ἠλία ὑπόσχεσιν κομισάμενος;
Οὐκ ᾐτήσατο Ἐλισσαῖος τὸ διπλοῦν τοῦ πνεύ-
ματος πρὸς ποίησιν τῶν αὐτῶν διπλῶν ἔρ-
γων, ἀλλὰ πρὸς τὸ ἰσχύειν ἁπλῶς ἐκτε-
λεῖν ὅσα ἦν χρεία τοῦ γενέσθαι ὑπ᾽ αὐτοῦ με-
τὰ μείζονος περιουσίας δυνάμεως. τῆς δὲ
αἰτήσεως ὅτι οὐκ ἀπέτυχε, μαρτυροῦσι τὰ
δι᾽ αὐτοῦ γεγονότα θαύματα· ὧν τινὰ μὲν
διπλᾶ, τινὰ δὲ ἁπλᾶ ἐξετέλεσε. τὸ γὰρ
Γ ἐγεῖραι δύω νεκροὺς, ἕνα μὲν ζῶντος αὐτοῦ,
ἕνα δὲ τελευτήσαντος, τὸ διπλοῦν ἐδήλου
τῆς ἐν τοῖς λοιποῖς θαύμασιν, εἰ ἐβούλετο,
περιουσίας τῆς ἐν αὐτῷ θείας τοῦ πνεύμα-
τος χάριτος. καὶ ἐπὶ μὲν τοῦ Ἠλία πρὸς
τὴν χρείαν ἐγίνετο τοῦ ἐλαίου ἡ ἐπίδοσις·
ἐπὶ δὲ τοῦ Ἐλισσαίου καὶ ὑπὲρ τὴν χρείαν. καὶ
ὁ μὲν Ἠλίας πῦρ κατήγαγεν ἐκ τοῦ οὐρανοῦ
πρὸς τὴν ἄμυναν τῶν ἐχθρῶν· ὁ δὲ Ἐλισ-
σαῖος ἵππους καὶ ἀναβάτας πυρὸς κατήγαγεν
Δ ἐκ τοῦ οὐρανοῦ πρὸς βοήθειαν τῷ Ἰσραήλ.

∗∗ ΩΡΙΓΕΝΟΥΣ. Διὰ τὸν αὐτὸ[ν]
τοῦτον Ἰορδάνην χωρεῖ ὃ βεβούληται χά[ρισ-]
μα διὰ Ἠλίου ὁ Ἐλισσαῖος λαβεῖν, εἰπὼ[ν]
» γενηθήτω δὴ διπλᾶ ἐν πνεύματί σου ἐπ᾽ ἐμέ·
καὶ τάχα διὰ τοῦτο διπλοῦν ἔλαβε τὸ χάρισ-
μα ἐν πνεύματι Ἠλίου ἐφ᾽ ἑαυτόν· ἐπεὶ δὶς
διῆλθε τὸν Ἰορδάνην, ἅπαξ μὲν μετὰ τοῦ
Ἠλίου, δεύτερον δὲ ὅτε λαβὼν τὴν μηλω-
» τὴν τοῦ Ἠλίου, ἐπάταξε τὸ ὕδωρ, καὶ εἶπε·
E » ποῦ ὁ Θεὸς Ἠλίου Ἀφφώ; καὶ ἐπάταξε τὰ
» ὕδατα, καὶ διεῖλεν ἔνθα καὶ ἔνθα.

ι. Καὶ εἶπεν Ἠλιοὺ, ἐσκλήρυνας
τοῦ αἰτήσασθαι. (2) καὶ εἶπεν, ἐὰν ἴδῃς
με ἀναλαμβανόμενον ἀπὸ σοῦ, καὶ ἔσται
σοι οὕτω· καὶ ἐὰν μὴ, οὐ μὴ γένηται.

∗∗ ΘΕΟΔΩΡΙΤΟΥ. Τὶ δήποτε τοῦ Ἐ-
λισσαίου διπλῆν τοῦ πνεύματος τὴν χάριν
αἰτησαμένου, ὁ μέγας εἶπεν Ἠλίας, ἐσκλή-
Z » ρυνας τοῦ αἰτῆσαι; Οὐ φθονῶν τῆς χάρι-
τος τῷ μαθητῇ τοῦτο ἔφη· ἀλλὰ τῶν ἄλ-
λων ἀνθρώπων κηδόμενος. ἐπειδὴ γὰρ τρι-
σὶν ἔτεσι καὶ μησὶν ἓξ λιμῷ δυσσεβοῦντας
ἀνθρώπους ἐπαίδευσεν· ἀνάγκη δὲ ἦν τὸν
τῆς διπλῆς κληρονομοῦντα χάριτος διπλά-
σια ἐργάσασθαι θαύματα· ἐν δὲ τούτων
ἦν ἡ διὰ τοῦ λιμοῦ τιμωρία· φειδοῖ κεχρη-
» μένος εἶπεν· ἐσκλήρυνας τοῦ αἰτῆσαι. τοῦ-
το δὲ καὶ ἐκ τῆς ἱστορίας μανθάνομεν.
H ἑπτὰ γὰρ ἔτεσιν ἐπιμηκύνθη τοῖς ἀνθρώ-
ποις ἡ τιμωρία.

ΧΡΥΣΟ-

(1) Καὶ ὁ τῶν ἄλλων πρωτεύων Ἐλισ. ἡ ἐν Χάλ. ἔκδ.
(2) Αἰτήσασθαι. ἐάν. αἱ αὐτ. Αἰτήσασθαι· πλὴν ἐάν. ἐν ταῖς εἰρημ. σημειώσ.

A ** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οὐ γάρ ἐστιν, οὐκ ἔστι χάριτος ἀπολαῦσαι μὴ νήφοντα. ἢ οὐχ ὁρᾷς τί φησι καὶ Ἠλίας πρὸς τὸν μαθητήν; » ἐὰν ἴδῃς με ἀναλαμβανόμενον, ἔσται σοι οὕτω, τουτέστι γενήσεταί σοι τοῦτο ὃ αἰτεῖς. καὶ ὁ Χριστὸς δὲ πανταχοῦ τοῖς προσιοῦσιν ἔλεγε· » πιστεύεις; ἐὰν γὰρ μὴ οἰκειωθῶμεν πρὸς τὸ διδόμενον, οὐδὲ τῆς εὐεργεσίας σφόδρα αἰσθανόμεθα.

ια. Καὶ ἐγένετο αὐτῶν πορευομένων, καὶ ἐπορεύοντο καὶ ἐλάλουν· καὶ B ἰδοὺ ἅρμα πυρὸς καὶ ἵπποι πυρὸς, καὶ διέστειλαν ἀναμέσον ἀμφοτέρων. καὶ ἀνελήφθη Ἠλιοὺ ἐν συσσεισμῷ (1) ὡς εἰς τὸν οὐρανόν.

** ΙΩΣΗΠΟΥ. Κατ' ἐκεῖνον τὸν καιρὸν Ἠλίας ἐξ ἀνθρώπων ἠφανίσθη· καὶ οὐδεὶς ἔγνω μέχρι τῆς σήμερον αὐτοῦ τὴν τελευτήν. μαθητὴν δ' Ἐλισσαῖον κατέλιπε. Γ περὶ μέντοιγε Ἠλία καὶ Ἐνώχου τοῦ γενομένου πρὸ τῆς ἐπομβρίας, ἐν ταῖς ἱεραῖς ἀναγέγραπται βίβλοις, ὅτι γεγόνασιν ἀφανεῖς. θάνατον δ' αὐτῶν οὐδεὶς οἶδε.

» ** ΕΠΙΦΑΝΙΟΥ. Καὶ ἀνελήφθη Ἠ- » λίας ἐν συσσεισμῷ ὡς εἰς τὸν οὐρανόν. τὸ δὲ, ὡς εἰς τὸν οὐρανὸν, ἀμφίβολον ἔχει τὴν ἔννοιαν. τὸ δὲ, εἰς τὸν οὐρανὸν, τρανὴν δείκνυσι τὴν ἀλήθειαν. ὅτι δὲ οὔτε Ἠλίας, οὔτε ...ρός τις ἀνέβη εἰς τὸν οὐρανὸν, εἰ μὴ μό- Δ ...ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς, ὁ μονογενὴς ...Θεοῦ υἱὸς, αὐτὸς περὶ ἑαυτοῦ πάντας πλη...φορῶν, λέγει· οὐδεὶς ἀναβέβηκεν εἰς τὸν ...ρανὸν, εἰ μὴ ὁ ἐκ τοῦ οὐρανοῦ καταβὰς ὁ » υἱὸς τοῦ ἀνθρώπου, ὁ ὢν ἐν τῷ οὐρανῷ.

** ΝΕΙΛΟΥ. Προσευχὴ τὸν Ἠλίαν θεϊκῇ ἀξίᾳ ἐτίμησεν, οὐ μόνον ὅτι πρὸς οὐρανὸν ἀνελήφθη τέτρωρον ἡνιοχῶν ἅρμα πυρὸς, ὡς οὐκ ἔτι τὴν γῆν ἔχων ἄξιον ἐνδιαίτημα, καὶ δίκαιος ὢν λοιπὸν, αἰθέρα, E καὶ αὐτὸν οἰκεῖν οὐρανὸν, ἀλλ' ὅτι καὶ λόγῳ στοιχείοις ἐπέταξε, τῷ λόγῳ παρὰ τοῦ δημιουργοῦ παραχθεῖσιν εἰς ὕπαρξιν.

** ΤΟΥ ΑΥΤΟΥ. Ἐμιμήσω τῇ ἀγνοίᾳ καὶ τῇ καθαρότητι τὸν θαυμαστὸν Ἠλίαν, ὅστις πάσης ἀσκήσεως ἀρχηγὸς γενόμενος, πρῶτος ἡμῖν τὴν σωφροσύνην καὶ τὴν ἰσάγγελον ἀγαμίαν ὑπέδειξε, δι' ἥνπερ καὶ πυρίνῳ ἅρματι ἀνηρπάγη.

Z ιβ. Καὶ Ἐλισσαιὲ ἑώρα, καὶ ἐβόα, πάτερ, πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ. καὶ οὐκ εἶδεν αὐτὸν οὐκ ἔτι. καὶ ἐπελάβετο τῶν ἱματίων αὐτοῦ, καὶ διέῤῥηξεν αὐτὰ εἰς δύω ῥήγματα.

** ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, πά- » τερ, πάτερ, ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ; Οἱ τῶν ἄλλων ἐθνῶν βασιλεῖς, ἵπποις κεχρημένοι καὶ ἅρμασι παρετάττοντο. τούτου χάριν τὸν μέγαν Ἠλίαν ἅρμα Ἰσραὴλ H καὶ ἱππέα προσηγόρευσεν· ὡς ἀποχρῶντα καὶ μόνον καταλῦσαι τοὺς πολεμίους, καὶ παρασχεῖν τοῖς ὁμοφύλοις τὴν νίκην.

ιγ. Καὶ ὕψωσε τὴν μηλωτὴν Ἠλιοὺ ἣ ἔπεσεν ἐπάνω Ἐλισσαιέ. καὶ ἐπέστρεψεν Ἐλισσαιὲ, καὶ ἔστη ἐπὶ τοῦ χείλους τοῦ Ἰορδάνου.

** ΝΕΙΛΟΥ. Ἠθέλησας μαθεῖν, τί ἄρα παραδηλοῖ τὸ δέρας τὸ ἐξ ὕψους παρὰ B τοῦ Ἠλιοὺ τῷ Ἐλισσαίῳ ἐπιῤῥιφέν. μάθε τοίνυν. ἡ γὰρ μηλωτὴ ἐκείνη νεκροποιὸς ὑπῆρχε παντοίας γεώδους φαντασίας, καὶ ἐξαφανίζουσα πᾶσαν ἔμφυτον κίνησιν τῶν μελῶν Ἐλισσαίου· δι' ἧς οὐ μόνον τὸ τηνικαῦτα αἰσθητῶς, ἀλλὰ καὶ νῦν νοητῶς ταῖς σαρκώδεσι ψυχαῖς, ὡς θανάτῳ ἁμαρτίας καὶ ἀσεβείας μεμεστωμέναις ἐν τῇ νοουμένῃ Ἱεριχῷ ἐπιβάλλει τοὺς ἅλας τῆς τοῦ Θεοῦ χάριτος, καὶ πρὸς θεοσέβειάν τε καὶ πρὸς τὸ Γ τεκνογονεῖν ἀρετὰς μεταῤῥυθμίζει πάντας τοὺς πιστεύοντας.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἰς τὸν οὐρανὸν ἀνιὼν, οὐδὲν ἕτερον, ἀλλ' ἢ τὴν μηλωτὴν τῷ μαθητῇ κατέλιπε. μετὰ ταύτης φησὶ τῷ Διαβόλῳ ἐπάλαισα, ταύτην καὶ σὺ λαβὼν ὁπλίζου κατ' ἐκείνου. ἰσχυρὸν γὰρ ὅπλον ἀκτημοσύνη, καὶ ἀκαταγώνιστον, καὶ πύργος ἀσάλευτος. ἐδέξατο καθάπερ μεγίστην κληρονομίαν τὴν μηλωτὴν ὁ Ἐλισ- Δ σαῖος. καὶ γὰρ ἦν ἀληθῶς μεγίστη κληρονομία, παντὸς χρυσίου τιμιωτέρα. καὶ ἦν διπλοῦς Ἠλίας ἐκεῖνος, καὶ ἦν ἄνω Ἠλίας, καὶ κάτω Ἠλίας. οἶδα ὅτι μακαρίζετε τὸν δίκαιον ἐκεῖνον, καὶ ἐβούλεσθε αὐτὸς ἕκαστος ἐκεῖνος εἶναι. τί οὖν ἂν ὑμῖν ὑποδείξω, ὅτι ἕτερόν τι πολλῷ μεῖζον ἐκείνου πάντες ἐλάβομεν οἱ μεμυσταγωγημένοι; ὁ μὲν γὰρ Ἠλίας μηλωτὴν ἀφῆκε τῷ μαθητῇ· ὁ δὲ υἱὸς τοῦ Θεοῦ ἀναβαίνων, τὴν σάρκα ἡμῖν κα- E τέλιπε τὴν ἑαυτοῦ· ἀλλ' ὁ μὲν Ἠλίας ἀποδυσάμενος· ὁ δὲ Χριστὸς καὶ ἡμῖν κατέλιπε, καὶ ἔχων αὐτὴν ἀνῆλθε.

ιδ. Καὶ ἔλαβε τὴν μηλωτὴν Ἠλιοὺ ἣ ἔπεσεν ἐπάνωθεν αὐτοῦ, καὶ ἐπάταξε τὸ ὕδωρ, καὶ οὐ διέστη, καὶ εἶπε, ποῦ Κύριος ὁ Θεὸς Ἠλιοὺ Ἀφφώ; καὶ ἐπάταξε τὰ ὕδατα, καὶ διεῤῥάγησαν ἔνθα καὶ ἔνθα· καὶ διέβη Ἐλισσαιέ.

Z ** ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, ποῦ ἐστὶν ὁ Θεὸς Ἠλιοὺ ἀφφώ; Διαβῆναι βουληθεὶς τὸν Ἰορδάνην ὁ Προφήτης ἐμιμήσατο τὸν διδάσκαλον, καὶ τῇ μηλωτῇ τὸ ὕδωρ ἐπάταξεν οὐδὲν εἰρηκὼς, ἀλλ' ἀποχρῆν νομίσας εἰς θαυματουργίαν τὴν μηλωτήν. ἐπειδὴ δὲ οὐχ ὑπήκουσε τῶν ὑδάτων ἡ φύσις, ἐκάλεσε τὸν τοῦ διδασκάλου Θεὸν, τὸν τοῖς ἀνθρώποις ἀόρατον καὶ ἀνέφικτον. ἀφφὼ γὰρ ὁ κρύφιος ἑρμηνεύεται κατὰ τὴν ἔκ- H δοσιν τῶν ἄλλων ἑρμηνευόντων. (1)

(1) Συσσεισμῷ εἰς τόν. ἐν ταῖς αὐτ. σημ.

(2) Οὐδ' ἡ τοῦ Ἀκύλ. οὐδ' ἡ τοῦ Συμμ. ἔκδοσις οὕτως ἑρμηνεύει. ἄδηλος οὖν ἡ παρὰ Θεοδωρίτ. μνημονευομ. ἡ δ' Ἑβραϊκὴ ἔκδ. σώζει ἐν τῷ Ἠλιοῦ. ἀντὶ δὲ τοῦ Ἀφφὼ ἔχει אף־הוא ὅπερ σημαίνει, καὶ αὐτός. ὥστε εἶναι,

A ** ΜΑΞΙΜΟΥ. Τί ἐστι τὸ ὑπὸ Ἐλισσαίου ἀναλαμβανόμενον τῷ Ἠλιοὺ ῥηθέν, ποῦ ὁ Θεὸς Ἀφφώ; Κατὰ τρεῖς ἐπιβολὰς ἑρμηνεύεται· ἤ, ποῦ ὁ Θεὸς τοῦ πατρός μου; ἤ, ποῦ ὁ Θεὸς τοῦ μεγάλου μου; ἤ, ποῦ ὁ Θεὸς τοῦ κρυβέντος;

** ΩΡΙΓΕΝΟΥΣ. Ἐγώ εἰμι Θεὸς Ἀβραάμ, καὶ Θεὸς Ἰσαάκ, καὶ Θεὸς Ἰακώβ, [Ματθ. 22. 32. Μάρκ. 12. 26. Λουκ. 20. 37.] καὶ οὕτως γε ἀνέγραψαν Ματθαῖος, καὶ Μάρκος, καὶ Λουκᾶς, ἵν' οἶμαι παραστήσωσι τοῖς προσέχουσι τῇ ἀναγνώσει, ὅτι καθ' B ἕκαστον αὐτῶν ὁ Θεός, Θεός ἐστι, τοῦτ' ἐξαίρετον αὐτοῖς χαριζόμενος. οὐ γὰρ ἦσαν ὅμοιοι τοῖς Ἑβραίοις, ἵνα συλληπτικῶς ὥσπερ ἐκείνων οὕτω καὶ τούτων ὁ Θεὸς λέγηται. ἐπ' ἐκείνων μὲν γὰρ γέγραπται. [Ἐξόδ. 7. 16.] ὁ Θεὸς τῶν Ἑβραίων ἀπέστειλέ με· ἐπεὶ δὲ τούτων κατὰ ἕνα, ἵνα παραστήσῃ ὁ λόγος, ὅτι εἷς Ἀβραὰμ ἰσότιμος ὅλῳ ἔθνει Ἑβραίων ἐστίν. οὐ γὰρ ἐπίσης ἐστὶν ὁ Θεός, Θεὸς Ἀβραάμ, καὶ Θεὸς Ἑβραίων; Γ τὸ δὲ ὅμοιον ἐρεῖς καὶ περὶ τοῦ Θεὸν αὐτὸν εἶναι τοῦ Ἰσαάκ, καὶ Θεὸν τοῦ Ἰακώβ, ὡς Θεὸν τῶν Ἑβραίων. τοιαύτης δὲ τιμῆς ἠξιῶσθαι νομίζω καὶ τὸν Ἠλίαν. διὸ ἀναγέγραπται ἐν τῇ τετάρτῃ τῶν Βασιλειῶν· ὁ Θεὸς Ἠλιοῦ.

** ΤΟΥ ΑΥΤΟΥ. Ἐὰν δέ τις προσκόπτῃ τῷ, ἐπάταξε τὸ ὕδωρ, διὰ τὰ παραδεδομένα ἡμῖν περὶ τοῦ Ἰορδάνου, ὃς τύπος ἦν τοῦ τὴν κατάβασιν ἡμῶν καταβάντος λόγου, λεκτέον ὅτι παρὰ τῷ Ἀποστόλῳ σαφῶς Δ [1. Κορ. 10. 4.] ἡ πέτρα Χριστὸς ἦν, ἥτις τῇ ῥάβδῳ δὶς πλήσσεται, ἵνα δυνηθῶσι πιεῖν ἀπὸ τῆς πνευματικῆς ἀκολουθούσης πέτρας. ἔστιν οὖν τις καὶ ἀγαπώντων πληγὴ ἐν τῇ ἐπαπορήσει, πρὶν μαθεῖν τὸ ζητούμενον, τὰ ἐναντία προφερομένων τῷ τοῦ λόγου συμπεράσματι, ὧν ἀπαλλάττων ἡμᾶς ὁ Θεός, ὅπου μὲν διψῶσι δίδωσι ποτόν· ὅπου δὲ τὸ ἄβατον ἡμῖν καὶ ἀχώρητον διὰ τὸ βάθος, διοδευτὸν τῇ διαιρέσει τοῦ λόγου παρασκευάζει, E τῶν πλείστων τῷ διαιρετικῷ λόγῳ ἡμῖν σαφηνιζομένων.

ιε. Καὶ εἶδον αὐτὸν οἱ υἱοὶ τῶν Προφητῶν οἱ ἐν Ἰεριχὼ ἐξ ἐναντίας, καὶ εἶπαν, ἐπαναπέπαυται τὸ πνεῦμα Ἠλιοὺ ἐπὶ Ἐλισσαιέ. καὶ ἦλθον εἰς συνάντησιν αὐτῷ, καὶ προσεκύνησαν αὐτῷ ἐπὶ τὴν γῆν.

Z ** ΩΡΙΓΕΝΟΥΣ. Τὸ πνεῦμα Ἠλίου ἀναπέπαυται ἐπὶ Ἐλισσαιέ. ζητητέον δὲ πότερον ταὐτόν ἐστι τὸ πνεῦμα τοῦ Ἠλίου τῷ ἐν Ἠλίᾳ πνεύματι Θεοῦ, ἢ ἕτερα ταῦτ' ἐστὶν ἀλλήλων· καὶ εἰ παράδοξόν τι τὸ πνεῦμα ἦν Ἠλίου τὸ ἐν αὐτῷ, παρὰ τὸ πνεῦμα τοῦ ἀνθρώπου ἑκάστου τὸ ἐν αὐτῷ. καὶ γὰρ σαφῶς ὁ Ἀπόστολος παρέστησεν ἕτερον εἶναι τὸ τοῦ Θεοῦ πνεῦμα, κἂν ἐν ἡμῖν ᾖ, παρὰ A τὸ πνεῦμα ἑκάστου ἀνθρώπου τὸ ἐν αὐτῷ, ὅπου μὲν λέγων· αὐτὸ τὸ πνεῦμα συμμαρτυρεῖ [Ῥωμ. 8. 16.] τῷ πνεύματι ἡμῶν, ὅτι ἐσμὲν τέκνα Θεοῦ· ὅπου δέ· οὐδεὶς οἶδεν ἀνθρώπων τὰ τοῦ ἀν- [1. Κορ. 2. 11.] θρώπου, εἰ μὴ τὸ πνεῦμα τοῦ ἀνθρώπου τὸ ἐν αὐτῷ· οὕτω καὶ τὰ τοῦ Θεοῦ οὐδεὶς οἶδεν, εἰ μὴ τὸ πνεῦμα τοῦ Θεοῦ. μὴ θαύμαζε δὲ τὸ περὶ τοῦ Ἠλίου, εἰ ὥσπερ ξένον τι ἀπήντησεν αὐτῷ παρὰ τοὺς ἀναγεγραμμένους πάντας ἁγίους, διὰ τὸ ἀναληφθῆναι ἐν συσσεισμῷ B εἰς τὸν οὐρανόν· οὕτως ἐξαίρετόν τι εἶχε τὸ πνεῦμα αὐτοῦ, ὡς οὐ μόνον ἐπαναπαύσασθαι τῷ Ἐλισσαίῳ, ἀλλὰ καὶ τῷ Ἰωάννῃ συγκαταβῆναι εἰς τὴν γένεσιν, καὶ τὸν Ἰωάννην ἰδίᾳ μὲν πνεύματος ἁγίου πεπληρῶσθαι [Λουκ. 1. 15, 17.] ἔτι ἐκ κοιλίας μητρὸς αὐτοῦ, ἰδίᾳ δὲ προεληλυθέναι ἐνώπιον τοῦ Χριστοῦ ἐν πνεύματι καὶ δυνάμει Ἠλίου. καὶ γὰρ δυνατὸν πλείονα πνεύματα εἶναι ἐν τῷ αὐτῷ, οὐ μόνον χείρονα, ἀλλὰ καὶ κρείττονα. αἰτεῖ γοῦν ὁ Γ Δαβὶδ στηριχθῆναι μὲν πνεύματι ἡγεμονι- [Ψαλ. 50. 12, 10.] κῷ, ἐγκαινισθῆναι δὲ ἐν τοῖς ἐγκάτοις αὐτοῦ πνεῦμα εὐθές. εἰ δὲ ἵνα μεταδῷ ἡμῖν ὁ Σωτὴρ πνεύματος σοφίας καὶ συνέσεως, [Ἡσ. 11. 2, 3.] πνεύματος βουλῆς καὶ ἰσχύος, πνεύματος γνώσεως καὶ εὐσεβείας, καὶ (1) ἐνεπλήσθη πνεύματος φόβου Θεοῦ· δυνατὸν καὶ ταῦτα νοεῖσθαι πλείονα ἐν τῷ αὐτῷ εἶναι κρείττονα πνεύματα.

ιϛ. Καὶ εἶπαν πρὸς αὐτόν, ἰδοὺ δ[illegible] Δ εἰσὶ μετὰ τῶν παίδων σου πεντήκο[illegible] ἄνδρες υἱοὶ δυνάμεως· πορευθέν[illegible] δὴ ζητησάτωσαν τὸν κύριόν σου, [illegible] ποτε ἦρεν αὐτὸν πνεῦμα Κυρίου, καὶ ἔρριψεν αὐτὸν ἐν τῷ Ἰορδάνῃ ἢ ἐφ' ἓν τῶν ὀρέων ἢ ἐφ' ἕνα τῶν βουνῶν. καὶ εἶπεν Ἐλισσαιέ, οὐκ ἀποστελεῖτε.

** ΠΡΟΚΟΠΙΟΥ. Υἱοὶ δυνάμεως, δυνατοί, εὔζωνοι.

E ** ΩΡΙΓΕΝΟΥΣ. Ἰδοὺ δὲ μετὰ τῶν παίδων σου ν' ἄνδρες υἱοὶ δυνάμεως. Χριστὸς δύναμις, ἡμέρας υἱοὺς ποιεῖ. καὶ εἴ τις ἐστὶν ἀνὴρ δυνάμεως, ἐστὶν υἱὸς Χριστοῦ. ποτὲ δὲ υἱοὺς ποιεῖν αἱ ὑπὸ Χριστὸν Δυνάμεις οὐ δύνανται· εἰ δὲ καὶ ποιοῦσιν, ἀλλὰ νηπίους.

ιζ. Καὶ παρεβιάσαντο αὐτόν, ἕως ὅτου ᾐσχύνετο· καὶ εἶπεν, ἀποστείλατε. καὶ ἀπέστειλαν πεντήκοντα ἄνδρας, καὶ Z ἐζήτησαν τρεῖς ἡμέρας, καὶ οὐχ εὗρον αὐτόν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Μετὰ δὲ τὴν Ἠλιοῦ τοῦ μεγάλου ἀνάληψιν, τὸν τῆς χάριτος κληρονόμον συναθροισθέντες ἔπεισαν ἀποστεῖλαί τινας εἰς ἐπιζήτησιν τοῦ κοινοῦ διδασκάλου. καὶ ἀπέστειλαν εὐζώνους πεντήκοντα. τοὺς γὰρ τοιούτους υἱοὺς δυνάμεως προσηγόρευσεν, ἀντὶ τοῦ, δυνατούς. ἐκ δὲ τῶν ἀποσταλέν-

εἶναι, ποῦ Κύριος ὁ Θεὸς Ἠλιού; καὶ αὐτός. παρ' Ἀμαμᾳ ἐν Τόμ. 11. τῶν καλουμένων ἱερῶν Κριτικ. ὁ αὐτὸς τὸ Ἑβραϊκὸν ἐκφράζει οὕτως· et percussit aquas, dicens, ubi est Dominus Deus Eliae? etiam ipse postea quam percussisset aquas divisae sunt aquae· τουτέστι, καὶ ἐπάταξε τὰ ὕδατα, λέγων, ποῦ ἐστὶ Κύριος ὁ Θεὸς Ἠλιού; καὶ αὐτὸς μετὰ τὸ πατάξαι τὰ ὕδατα, διηρέθη τὰ ὕδατα. διαφόρως δὲ τοῦτ' αὐτὸ οἱ αὐτοὶ Κριτικοὶ διερμηνεύουσιν ἐν Τόμ. 2. σελ. 2574.

(1) Τό, καί, περιττόν.

σταλέντων σκοπητέον τῶν ἀποσταλέντων A
τὸ πλῆθος.

ιη. Καὶ ἀνέστρεψαν πρὸς αὐτόν· καὶ
αὐτὸς ἐκάθητο ἐν Ἰεριχῷ. καὶ εἶπεν
Ἐλισσαιὲ, οὐκ εἶπον πρὸς ὑμᾶς, μὴ
πορευθῆτε;

ιθ. Καὶ εἶπον οἱ ἄνδρες τῆς πόλεως
πρὸς Ἐλισσαιὲ, ἰδοὺ ἡ κατοίκησις τῆς
πόλεως ἀγαθὴ, καθὼς ὁ κύριος βλέ- B
πει, καὶ τὰ ὕδατα πονηρὰ, καὶ ἡ γῆ
κ. ἀτεκνουμένη. Καὶ εἶπεν Ἐλισσαιὲ, λά-
βετέ μοι ὑδρίσκην καινὴν, καὶ θέτε
ἐκεῖ ἅλα. καὶ ἔλαβον, καὶ ἤνεγκαν
πρὸς αὐτόν.

** ΙΩΣΗΠΟΥ. Παρὰ τὴν Ἰεριχοῦντα
ἐστὶ πηγὴ δαψιλής τε καὶ πρὸς ἀρδείας λι-
παρωτάτη, παρὰ τὴν παλαιὰν ἀναβλύ-
ζουσα πόλιν, ἣν Ἰησοῦς ὁ Ναυῆ παῖς, στρα- Γ
τηγὸς Ἑβραίων, πρώτην εἷλε γῆς Χανα-
ναίων δορύκτητον. ταύτην τὴν πηγὴν, λό-
γος ἔχει, κατ' ἀρχὰς, οὐ μόνον γῆς καὶ δέν-
δρων καρποὺς ἀπαμβλίσκειν, ἀλλὰ καὶ γυναι-
κῶν γονὰς, καθόλου τε πᾶσαν εἶναι νοσώ-
δη τε καὶ φθαρτικήν· ἐξημερωθῆναι δὲ καὶ
γενέσθαι τοὐναντίον ὑγιεινοτάτην τε καὶ γονι-
μωτάτην ὑπὸ Ἐλισσαίου τοῦ προφήτου. γνώ-
ιμος δ' ἦν οὗτος Ἠλία καὶ διάδοχος, ὃς ἐπι-
ωθεὶς τοῖς κατὰ τὴν Ἰεριχοῦντα, περισ- Δ
δή τι φιλοφρονησαμένων αὐτὸν τῶν
θρώπων, αὐτούς τε ἀμείβεται καὶ τὴν
ώραν αἰωνίῳ χάριτι. προελθὼν γὰρ ἐπὶ
τὴν πηγὴν, καὶ καταβαλὼν εἰς τὸ ῥεῦμα
πλῆρες ἁλῶν ἀγγεῖον κεράμου, ἔπειτα εἰς
οὐρανὸν δεξιὰν ἀνατείνας δικαίαν, καὶ πηγῇ
σπονδὰς μειλικτηρίους χεόμενος, τὴν μὲν
ᾐτεῖτο μαλάξαι τὸ ῥεῦμα, καὶ γλυκυτέ-
ρας φλέβας ἀνοῖξαι· τὸν δὲ ἐγκεράσασθαι
τῷ ῥεύματι γονιμωτέρους ἀέρας, δοῦναί τε E
ἅμα καὶ καρπῶν εὐθηνίαν τοῖς ἐπιχωρίοις,
καὶ τέκνων διαδοχὴν, μηδὲ ἐπιλιπεῖν αὐ-
τοῖς τὸ τούτων γεννηματικὸν ὕδωρ, ἕως μέ-
νουσι δίκαιοι. ταύταις ταῖς εὐχαῖς πολλὰ
προσχειρουργήσας ἐξ ἐπιστήμης ἔτρεψε τὴν
πηγὴν, καὶ τὸ πρὶν ὀρφανίας αὐτοῖς καὶ
λιμοῦ παραίτιον ὕδωρ, ἐκ τότε εὐτεκνίας καὶ
κόρου χορηγὸν κατέστη. Καὶ μετ' ὀλίγα. Ἀπέ-
χει δὲ Ἱεροσολύμων μὲν σταδίους ἑκατὸν πεν-
τήκοντα, τοῦ δὲ Ἰορδάνου ἑξήκοντα. καὶ τὸ Z
μὲν μέχρι Ἱεροσολύμων αὐτῆς ἔρημον καὶ
πετρῶδες, τὸ δὲ μέχρι τοῦ Ἰορδάνου καὶ τῆς
ἀσφαλτίτιδος χθαμαλώτερον μὲν, ἔρημον
δὲ ὁμοίως καὶ ἄκαρπον.

κα. Καὶ ἐξῆλθεν Ἐλισσαιὲ εἰς τὴν
διέξοδον τῶν ὑδάτων, καὶ ἔῤῥιψεν ἐκεῖ
ἅλας, καὶ εἶπε, τάδε λέγει Κύριος,
ἴαμαι τὰ ὕδατα (1) ταῦτα, οὐκ ἔσται H
ἔτι ἐκεῖθεν θάνατος καὶ ἀτεκνουμένη.
κβ. Καὶ ἰάθησαν τὰ ὕδατα ἕως τῆς ἡμέ-
ρας ταύτης, κατὰ τὸ ῥῆμα Ἐλισ-
σαιὲ ὃ ἐλάλησε.

** ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν δι'
ἁλῶν τὴν πικρὰν τῶν ὑδάτων ἰάσατο φύ-
σιν; Μωσῆς ὁ μέγας ξύλον ἐμβαλὼν, τὴν
πικρὰν τῶν ὑδάτων ποιότητα εἰς γλυκεῖαν
μετέβαλεν. οὗτος δὲ τοῖς ἁλσὶ τῆς λυμαν-
τικῆς ἠλευθέρωσεν ἐνεργείας. ῥᾴδιον γὰρ
τῷ δεσπότῃ Θεῷ καὶ βουλήσει, καὶ λόγῳ,
καὶ δι' ὧν ἐθέλει, μεταβάλλειν τῶν στοι-
χείων τὴν φύσιν.

** ΙΣΙΔΩΡΟΥ. Τὶ σημαίνει τὸ, Ἐλισ-
σαῖον, ἅλατι μεταπεποιηκέναι ἀτεκνοῦντα
πάλαι τὰ ἱεριχούντια ῥεύματα; Ἅλατι
Ἐλισσαῖος τὰ ἱεριχούντια ῥεύματα ἀτεκ-
νοῦντα ἰάσατο, εὐαγγελικῶς κινηθεὶς πρὸς
τὴν ἴασιν, οἷα βλέπων τὰ ἔμπροσθεν. τύ-
πον γὰρ ἔφερε, τὰ μὲν ὕδατα, πάσης τῆς
ἀνθρωπότητος πρὸς ἀγονίαν ἀρετῶν καὶ
ἀκαρπίαν εὐσεβείας στερεωθέντα· οἱ ἅλες
δὲ, τῆς πάντα νοτιζούσης ποιότητος καὶ δυ-
νάμεως εἰς τὴν τοῦ Κυρίου διδαχὴν, καθὼς
αὐτὸς πρὸς τοὺς ἑαυτοῦ Ἀποστόλους φησίν·
„ ὑμεῖς ἐστὲ τὸ ἅλας τῆς γῆς· Ἐλισσαῖος δὲ, Ματθ. 5. 13.
αὐτοῦ τοῦ δημιουργοῦ καὶ Δεσπότου. οἱ γὰρ τὴν
εἰκόνα καθαρὰν φυλάττοντες τῷ ποιήσαν-
τι, καὶ συνθαυματουργεῖν αὐτῷ χάριν παρ'
αὐτοῦ ἐκομίσαντο.

κγ. Καὶ ἀνέβη ἐκεῖθεν εἰς Βαιθήλ.
καὶ ἀναβαίνοντος αὐτοῦ ἐν τῇ ὁδῷ καὶ
παιδάρια μικρὰ ἐξῆλθον ἐκ τῆς πό-
λεως καὶ κατέπαιζον αὐτοῦ, καὶ εἶπον
αὐτῷ, ἀνάβαινε φαλακρὲ, ἀνάβαινε.
κδ. Καὶ ἐξένευσεν ὀπίσω αὐτῶν, καὶ εἶδεν
αὐτὰ, καὶ κατηράσατο αὐτοῖς ἐν ὀνό-
ματι Κυρίου. καὶ ἰδοὺ ἐξῆλθον δύω ἄρ-
κοι ἐκ τοῦ δρυμοῦ, καὶ ἀνέῤῥηξαν ἀπ'
αὐτῶν τεσσαράκοντα καὶ δύω παῖδας.

** ΙΟΥΣΤΙΝΟΥ. Εἰ μακροθυμεῖν
ὑμᾶς πρὸς πάντας ἡ Γραφὴ διδάσκει, πῶς
οὐκ ἔπταισεν Ἐλισσαῖος θανατώσας δι' ἀρᾶς
τοὺς ὑβρίσαντας αὐτὸν παῖδας, καὶ μάλιστα
βρέφεσιν ἀπειροκάκοις μνησικακήσας, καὶ
τὸν διὰ τῶν θηρίων αὐτοῖς, ἀντὶ ψιλῆς τῆς
εἰς αὐτὸν ὕβρεως, ἐπήγαγε (2) θάνατον;
Ὅτε διὰ τῆς μακροθυμίας τῶν ὑβριζομέ-
νων οὐ γίνεται ἡ διόρθωσις, τότε ἡ ἀποτο-
μία τῆς μακροθυμίας τοῖς ἀδιορθώτοις μά-
λιστα ἐστὶ χρησιμωτέρα. οὐ χρὴ οὖν διαβάλ-
λειν τὸν Προφήτην ἐπὶ τῇ ἀποτομίᾳ. εὑρη-
κὼς γὰρ τὴν μακροθυμίαν μὴ παρέχουσαν
τοῖς ἁμαρτάνουσι τῆς ἁμαρτίας τὴν αἴσθη-
σιν· καὶ ἐπειδὴ τὰς φωνὰς ταύτας, ἃς
ἀτιμάζοντες τὸν Προφήτην ἔλεγον οἱ παῖ-
δες παρὰ τῶν γονέων αὐτῶν ἐδιδάχθησαν,
ἀεὶ πρὸς τοὺς Προφήτας ἀπεχθῶς ἐσχηκό-
„ των· τὸ γὰρ, ἀνάβαινε φαλακρὲ, πρὸς
διασυρμὸν ἔλεγον τῆς τοῦ Ἠλία ἀναλή-
ψεως, ὡσανεὶ τοῦτο λέγοντες, λαμβανέτω
καὶ σὲ πνεῦμα, καὶ ῥιψάτω σε εἰς ὄρος ἄβα-
τον,

(1) Τὰ ὕδατα, καὶ ἐκ. αἱ εἰρημ. ἐκδόσ.

(2) Ἐπαγαγών. τὸ γὰρ ἐπήγαγεν, ἀσύντακτον.

τον, ὡς κἀκεῖνον ἔῤῥιψεν, ἵν᾽ ἀπαλλαγῶμεν A
καὶ σοῦ, ὡς κἀκείνου ἀπηλλάγημεν· διὰ τοῦ-
το τῇ ἀναιρέσει τῶν παίδων ἐμαστίγωσε τοὺς
γονεῖς, ἵνα μάθωσι μὴ ἀτιμάζειν τοὺς Προ-
φήτας, καὶ δι᾽ αὐτῶν τὸν Θεόν.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Οἱ παῖδες ἐκεῖ-
νοι οἱ περὶ τὴν Βηθλεὲμ παίζοντες, ἵνα
πρὸς τὸν Ἐλισσαῖον τοῦτο μόνον εἴπωσιν,
» ἀνάβαινε Φαλακρέ· οὕτω παρώξυναν τὸν
Θεὸν, ὡς ἅμα τῷ λόγῳ τούτῳ ἄρκτους αὐ-
B τῶν ἐπαφεῖναι τῷ πλήθει· καὶ γὰρ τεσσα-
κοντα δύω ἦσαν· καὶ πάντες ἄρδην ὑπὸ
τῶν θηρίων ἐσπαράττοντο τότε ἐκεῖνοι· καὶ
οὔτε ἡλικία, οὔτε τὸ πλῆθος, οὔτε τὸ γλῶτ-
ταν εἰπεῖν προέστη τῶν μειρακίων· καὶ μά-
λα εἰκότως. εἰ γὰρ μέλλοιεν οἱ τοσοῦτους
ἀναδεχόμενοι πόνους, καὶ παρὰ παίδων καὶ
παρὰ ἀνδρῶν διασύρεσθαι, τίς τῶν ἀσθενε-
στέρων αἱρήσεται πόνους ἀναδέξασθαι γέλω-
Γ τας ἔχοντας καὶ χλευασίαν; τίς δὲ τῶν
πολλῶν ζηλώσει τὴν ἀρετὴν, οὕτω καταγέ-
λαστον αὐτὴν οὖσαν ὁρῶν; εἰ γὰρ νῦν πάν-
των αὐτὴν πανταχοῦ θαυμαζόντων, οὐ τῶν
μετιόντων μόνον, ἀλλὰ καὶ τῶν ἐκπεπλω-
κότων αὐτῆς, ὅμως ὀκνοῦσι καὶ ἀναδύονται
πρὸς τοὺς ἱδρῶτας ἐκείνους πολλοὶ, τίς ἂν
αὐτῆς ἐπιλαβέσθαι ταχέως ἠθέλησεν, εἰ
πρὸς τῷ μὴ θαυμάζεσθαι, καὶ διαβαλλο-
μένην ἑώρα παρὰ πάντων ἀνθρώπων; οἱ
Δ μὲν γὰρ ἰσχυροὶ λίαν, καὶ πρὸς τὸν οὐρανὸν
ἤδη μεταστάντες, οὐδὲν δέονται τῆς ἀπὸ τῶν
πολλῶν παραμυθίας, ἀλλ᾽ ἀρκεῖ πρὸς πᾶ-
σαν προθυμίαν αὐτοῖς ὁ παρὰ τοῦ Θεοῦ ἔπαι-
νος· οἱ δὲ ἀσθενέστερον διακείμενοι, καὶ ἄρτι
πρὸς τὸ πρᾶγμα χειραγωγούμενοι, οὐ μι-
κρὰν καὶ ἀπὸ τῆς τῶν πολλῶν δόξης δυνά-
μεως προσθήκην λαμβάνουσιν, ἕως ἂν παι-
δαγωγηθέντες πάντοθεν κατὰ μικρὸν εἰς
τὸ μηκέτι δεῖσθαι ταύτης τῆς χειραγω-
E γίας καταστήσωσιν ἑαυτούς. οὐκ ἐκείνων δὲ
μόνον ἕνεκεν, ἀλλὰ καὶ τῆς τῶν χλευαζόν-
των αὐτῶν σωτηρίας τοῦτο γίνεται· ὥστε
μὴ περαιτέρω προελθεῖν τῆς κακίας αὐ-
τοὺς, τῷ μηδεμίαν ὑπὲρ τῶν προτέρων δοῦ-
ναι δίκην.

** ΜΑΞΙΜΟΥ. Τίνος χάριν καταγε-
λωμένου Ἐλισσαίου τοῦ προφήτου ἐκ τῶν παί-
δων, ηὔξατο, καὶ ἐξῆλθον ἄρκοι, καὶ ἀνέῤ-

A ῥηξαν μβ´ παῖδας; Φασί τινες μὴ εἶναι Ἰσ-
ραηλίτας τοὺς παῖδας, ἀλλ᾽ ἐκ τῶν ἀλλο-
φύλων· καὶ οὐχὶ παῖδας τῇ ἡλικίᾳ, ἀλλὰ
τῇ φρονήσει. ἐπεὶ οὖν ἤκουον τὸν Προφήτην
πολλὰ σημεῖα ποιοῦντα, καὶ οὐκ ἐπίστευον,
ἀλλὰ κατεγέλων αὐτοῦ· παρῆσαν δέ τινες
μὴ κοινωνοῦντες τῆς ματαίας αὐτῶν γνώ-
μης· ἵνα οὖν μὴ οὗτοι βλάπτωνται, καὶ τὸ
βλάσφημον εἰς Θεὸν ἀνατρέχῃ, ἐπεξῆλ-
θεν αὐτοῖς ὁ Θεός. κατὰ δὲ τὴν θεωρίαν,
B πᾶς νοῦς κατὰ τὸν Ἐλισσαῖον φαλακρὸς,
τουτέστι καθαρὸς ὑλικῶν νοημάτων, ἐν τῇ
ἀναβάσει τῆς γνώσεως, πολλὰ ὑπὸ τῶν
λογισμῶν τῶν περὶ τὰ αἰσθητὰ, καὶ τὴν
ὕλην καὶ τὸ εἶδος, καταγελᾶται· τεσσα-
ράκοντα δηλοῦντος τὰ αἰσθητά· ὕλη δὲ καὶ
τὸ εἶδος προστιθέμενα, ἀποτελεῖ τὸν τεσσα-
ράκοντα δύω ἀριθμόν. σκόπτεται οὖν ἐκ τῶν
τοιούτων λογισμῶν ὁ νοῦς, πρὸς τὸ εἰς ὄκνον
Γ αὐτὸν ἐμβληθῆναι πρὸς τὴν ἀρετήν. τού-
τους οὖν δι᾽ εὐχῆς ἀναιρεῖ, καὶ διὰ τῶν ἄρ-
κων, τουτέστι δι᾽ ἡδονῆς καὶ ἐπιθυμίας. κατ᾽
ἀντιστροφὴν γὰρ ἐπὶ τὸ κρεῖττον μεταχει-
ριζόμενα τὰ τοιαῦτα πάθη ἀποκτείνουσι τοὺς
λογισμοὺς τοὺς ἐμπαικτάς.

» ** ΠΡΟΚΟΠΙΟΥ. Καὶ κατηράσατο
» ταῦτα ἐν ὀνόματι Κυρίου. Εὐεργέτης αὐ-
τῶν τε καὶ τῶν τεκόντων διὰ τῆς τιμωρίας
ἐγένετο. τῶν μὲν, παύσας αὐξανομένην
Δ τῷ χρόνῳ τὴν πονηρίαν· τοὺς δὲ, παιδ[...]
σας μὴ οὕτω τοὺς παῖδας ἀνάγειν, ἐν φό[...]
δὲ Θεοῦ καὶ τῇ τῶν δικαίων αἰδοῖ. καὶ [...]
ἄνδρας μειζόνως ἐπαίδευσεν ὁ μηδὲ παι[...]
φεισάμενος. τοῦ δὲ Θεοῦ πάντως ἡ κρίσι[...]
ἐκείνους ἀνεῖλεν ἐκ τῶν παίδων, οὓς ἔγνω
χείρους ἐσομένους, τῇ τούτων ἀναιρέσει τοὺς
μὴ τοιούτους παιδεύσασα. ὅτι δὲ τοὺς ἁγίους ὁ
Θεὸς ἐκδικεῖ, δεδήλωκεν ἐπ᾽ Ἀβραὰμ μὲν,
ἐν Αἰγύπτῳ· ἐπ᾽ Ἰσαὰκ δὲ, ἐν Γεράροις·
E ἵνα σιωπήσω τὸν Ἄβελ. καὶ Δαβὶδ δὲ περὶ
» τοῦ δικαίου φησίν· οἱ εὐλογοῦντες αὐτὸν κλη- Ψαλ. 36. 22.
» ρονομήσουσι γῆν, καὶ οἱ καταρώμενοι αὐτὸν
» ἐξολοθρευθήσονται. κἂν γὰρ πρὸς τὸ πα-
ρὸν ἐκφύγοιεν, ἀλλ᾽ οὐ τὴν μέλλουσαν δίκην.

κε. Καὶ ἐπορεύθη ἐκεῖθεν εἰς τὸ
ὄρος τὸ Καρμήλιον, κἀκεῖθεν ἐπέστρε-
ψεν εἰς Σαμάρειαν.

ΚΕΦ. Γ.

α. Καὶ Ἰωρὰμ υἱὸς Ἀχαὰβ ἐβα-
σίλευσεν ἐν Ἰσραὴλ ἐν ἔτει
ὀκτωκαιδεκάτῳ Ἰωσαφὰτ
βασιλέως Ἰούδα, καὶ ἐβασίλευσε δώ-
β. δεκα ἔτη. Καὶ ἐποίησε τὸ πονηρὸν ἐν
ὀφθαλμοῖς Κυρίου· πλὴν οὐχ ὡς ὁ
πατὴρ αὐτοῦ, οὐδ᾽ ὡς ἡ μήτηρ αὐτοῦ.
καὶ μετέστησε τὰς στήλας τοῦ Βάαλ,
γ. ἃς ἐποίησεν ὁ πατὴρ αὐτοῦ. Πλὴν
ἐν τῇ ἁμαρτίᾳ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ
ὃς ἐξήμαρτε τὸν Ἰσραὴλ, ἐκολλήθη,
οὐκ ἀπέστη ἀπ᾽ αὐτῆς.

δ. Καὶ Μωσὰ βασιλεὺς Μωὰβ
ἦν νωκὴδ, καὶ ἐπέστρεφε τῷ βασιλεῖ
Ἰσραὴλ ἐν τῇ ἐπαναστάσει ἑκατὸν χι-
λιάδας ἀρνῶν, καὶ ἑκατὸν χιλιάδας
κριῶν ἐπὶ πόκον. (1)

H ** ΙΩΣΗΠΟΥ. Ὑπολαβὼν τὴν βα-
σιλείαν Ἰώραμος, ἐπὶ τὸν Μωαβιτῶν ἔγνω
στρατεύειν βασιλέα, Μισᾶν ὄνομα. τοῦ γὰρ
ἀδελ-

(1) Πόκων. αἱ εἰρημ. ἐκδόσ.

ἀδελφοῦ αὐτοῦ, καθὼς προείπομεν, ἔτυχεν A
ἀποστὰς, φόρους τελῶν Ἀχάβῳ τῷ πατρὶ
αὐτοῦ, μυριάδας εἴκοσι προβάτων σὺν τοῖς
πόκοις.

» ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, καὶ Μωσὰ
» βασιλεὺς Μωὰβ ἦν νωκηδεί; (1) Οἱ ἄλλοι
ἑρμηνευταὶ τὸ νωκηδεὶ ἀρχιποίμενα ἡρμή-
» νευσαν. δηλοῖ δὲ καὶ τὰ ἑξῆς, καὶ ἦν φέ-
» ρων φόρον τῷ βασιλεῖ Ἰσραὴλ ἑκατὸν χι-
» λιάδας ἀρνῶν, καὶ ἑκατὸν χιλιάδας κριῶν
» ἐπιπόκων. B

ε. Καὶ ἐγένετο μετὰ τὸ ἀποθα-
νεῖν Ἀχαὰβ, καὶ ἠθέτησε βασιλεὺς
Μωὰβ ἐν βασιλεῖ Ἰσραήλ.

ϛ. Καὶ ἐξῆλθεν ὁ βασιλεὺς Ἰω-
ρὰμ ἐν τῇ ἡμέρᾳ ἐκείνῃ ἐκ Σαμαρείας,
ζ. καὶ ἐπεσκέψατο τὸν Ἰσραήλ. Καὶ
ἐπορεύθη καὶ ἐξαπέστειλε πρὸς Ἰωσα-
φὰτ βασιλέα Ἰούδα, λέγων, βασι-
λεὺς Μωὰβ ἠθέτησεν ἐν ἐμοί· εἰ πο-
ρεύσῃ μετ᾽ ἐμοῦ εἰς Μωὰβ εἰς πόλε-
μον; καὶ εἶπεν, ἀναβήσομαι· ὅμοιός-
μοι, ὅμοιός σοι· ὡς ὁ λαός μου, ὁ λαός-
η. σου· ὡς οἱ ἵπποι μου, οἱ ἵπποι σου. Καὶ
εἶπε, ποίᾳ ὁδῷ ἀναβῶ; καὶ εἶπεν, ὁδὸν
ἔρημον Ἐδώμ. Καὶ ἐπορεύθη ὁ βα-
...λεὺς Ἰσραὴλ καὶ ὁ βασιλεὺς Ἰούδα
...ὁ βασιλεὺς Ἐδὼμ, καὶ ἐκύκλω-
... ὁδὸν ἑπτὰ ἡμερῶν· καὶ οὐκ ἦν ὕδωρ
... παρεμβολῇ καὶ τοῖς κτήνεσι τοῖς
ἐν τοῖς ποσὶν αὐτῶν. Καὶ εἶπε τοῖς
παισὶν αὐτοῦ ὁ βασιλεὺς Ἰσραὴλ, ὢ,
ὅτι κέκληκεν (2) ὁ Κύριος τοὺς τρεῖς
βασιλεῖς παρερχομένους δοῦναι αὐτοὺς
ἐν χειρὶ Μωάβ

✱✱ ΙΩΣΗΠΟΥ. Συναθροίσας τὴν οἰ- E
κείαν δύναμιν ἔπεμψε καὶ πρὸς Ἰωσάφα-
τον παρακαλῶν αὐτὸν, ἐπεὶ φίλος ἀπ᾽ ἀρ-
χῆς ὑπῆρχεν αὐτοῦ τῷ πατρὶ, συμμαχῆ-
σαι πόλεμον ἐπὶ τοὺς Μωαβίτας ἐκφέρειν
μέλλοντι, ἀποστάντας αὐτοῦ τῆς βασιλείας.
ὁ δ᾽ οὐ μόνον αὐτὸς βοηθήσειν ὑπέσχετο, ἀλ-
λὰ καὶ τὸν Ἰδουμαίων βασιλέα συναναγκά-
ζειν, ὄντα ὑφ᾽ ἑαυτὸν, στρατεύεσθαι. Ἰώ-
ραμος δὲ τοιούτων αὐτῷ τῶν παρὰ Ἰωσα-
φάτου περὶ τῆς συμμαχίας κομισθέντων, Z
ἀναλαβὼν τὴν αὐτοῦ στρατιὰν, ἧκεν εἰς Ἱε-
ροσόλυμα, καὶ ξενισθεὶς λαμπρῶς ὑπὸ τοῦ
βασιλέως τῶν Ἱεροσολυμιτῶν, δόξαν αὐ-
τοῖς διὰ τῆς ἐρήμου τῆς Ἰδουμαίας ποιήσα-
σθαι τὴν ὁδοιπορίαν ἐπὶ τοὺς πολεμίους· οὐ
γὰρ προσδοκήσειν αὐτοὺς ταύτην ποιήσα-
σθαι τὴν ἔφοδον· ὥρμησαν οἱ τρεῖς βασι-
λεῖς ἐκ τῶν Ἱεροσολύμων, ὅ, τε τούτων αὐ-
τῶν, καὶ ὁ τῆς Σαμαρείας, καὶ ὁ τῆς Ἰδου-
μαίας. καὶ κυκλώσαντες ἑπτὰ ἡμερῶν ὁδὸν, H
εἰς ἀπορίαν ὕδατος τοῖς τε κτήνεσι καὶ τῇ

A στρατιᾷ περιέστησαν, πλανηθέντων τὰς ὁδοὺς
αὐτοῖς τῶν ἡγουμένων, ὡς ἀγωνιᾶν μὲν ἅ-
παντας, μάλιστα δὲ τὸν Ἰώραμον, καὶ ὑπὸ
λύπης ἐκβοῆσαι πρὸς τὸν Θεόν· τί κακὸν
αἰτιασάμενος ἀγάγοι τοὺς τρεῖς βασιλέας
ἀμαχητὶ παραδώσων αὐτοὺς τῷ τῶν Μωα-
βιτῶν βασιλεῖ.

ια. Καὶ εἶπεν Ἰωσαφὰτ πρὸς αὐ-
τὸν (3) ὁ βασιλεὺς Ἰούδα, οὐκ ἔστιν ὧδε
B Προφήτης τοῦ Κυρίου, καὶ ἐπιζητή-
σωμεν τὸν Κύριον παρ᾽ αὐτοῦ; καὶ ἀπε-
κρίθη εἷς τῶν παίδων βασιλέως Ἰσ-
ραὴλ, καὶ εἶπεν, ὧδε Ἐλισσαιὲ υἱὸς
Σαφὰτ, ὃς ἐπέχεεν ὕδωρ ἐπὶ χεῖρας
ιβ. Ἠλιού. Καὶ εἶπεν Ἰωσαφὰτ, ἔστιν αὐ-
τῷ ῥῆμα Κυρίου. καὶ κατέβη πρὸς αὐ-
τὸν βασιλεὺς Ἰσραὴλ καὶ Ἰωσαφὰτ
βασιλεὺς Ἰούδα καὶ βασιλεὺς Ἐδώμ.
ιγ. Καὶ εἶπεν Ἐλισσαιὲ πρὸς βασιλέα Ἰσ-
Γ ραὴλ, τί ἐμοὶ καὶ σοί; δεῦρο πρὸς τοὺς
Προφήτας τοῦ πατρός σου καὶ πρὸς τοὺς
Προφήτας τῆς μητρός σου. καὶ εἶπεν
αὐτῷ ὁ βασιλεὺς Ἰσραὴλ, μὴ ὅτι κέ-
κληκε Κύριος τοὺς τρεῖς βασιλεῖς τοῦ
παραδοῦναι αὐτοὺς εἰς χεῖρας Μωάβ;

✱✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ἀντὶ ἐγκωμίου
Δ μέντοι περὶ τοῦ Ἐλισσαίου εἰρήκασιν, ὅτι
» ἐπέχεεν ὕδωρ ἐπὶ χεῖρας Ἠλιού. τοσοῦτον
εἶχον θαῦμα τοῦ μεγάλου Προφήτου. ἡ δὲ
χρεία καὶ τοὺς δυσσεβοῦντας βασιλέας ἠνάγ-
κασε πρὸς τὸν πανεύφημον Ἐλισσαῖον δρα-
μεῖν. ὁ δὲ τῇ τοῦ διδασκάλου παρρησίᾳ χρη-
» σάμενος, τί ἐμοὶ καὶ σοὶ, ἔφη; δεῦρο πρὸς
» τοὺς Προφήτας τοῦ πατρός σου καὶ πρὸς τοὺς
» Προφήτας τῆς μητρός σου. ἡ δὲ ἀνάγκη
καὶ τοὺς θρασεῖς ἐπιεικεῖς ἀπεργάζεται. αὐ-
E τίκα γοῦν ὁ Ἰωρὰμ πρᾴως ὑπολαβὼν, ἔφη·
» μὴ ὅτι κέκληκε Κύριος τοὺς τρεῖς βασιλεῖς
» τούτους, τοῦ παραδοῦναι αὐτοὺς εἰς χεῖρας
Μωάβ; ἀλλ᾽ οὐδὲ οὕτως ἔπεισε τὸν Προφή-
την μὴ διελέγξαι αὐτοῦ τὴν ἀσέβειαν. ἔφη
» γάρ· ζῇ Κύριος τῶν δυνάμεων, ᾧ παρέστην
» ἐνώπιον αὐτοῦ, ὅτι εἰ μὴ πρόσωπον Ἰωσα-
» φὰτ βασιλέως Ἰούδα ἐγὼ λαμβάνω, εἰ ἐπέ-
» βλεψα πρὸς σὲ, καὶ εἶδόν σε. τῆς χρείας
οὖν κατεναγκάσης τῆς δυναστείας τὸν τῦφον,
Z εἰς καιρὸν ὁ ἔλεγχος προσεφέρετο.

ιδ. Καὶ εἶπεν Ἐλισσαιὲ, ζῇ Κύριος
τῶν δυνάμεων ᾧ παρέστην ἐνώπιον αὐ-
τοῦ, ὅτι εἰ μὴ πρόσωπον Ἰωσαφὰτ
βασιλέως Ἰούδα ἐγὼ λαμβάνω, εἰ
ἐπέβλεψα πρὸς σὲ, καὶ εἶδόν σε.

✱✱ ΙΩΣΗΠΟΥ. Ὀμόσας τὸν Θεὸν οὐκ
ἂν ἀποκριθῆναι αὐτῷ, εἰ μὴ δι᾽ Ἰωσάφα-
τον ὅσιον ὄντα καὶ δίκαιον, ἀχθέντος ἀν-
H θρώπου τινὸς ψάλλειν εἰδότος· ἐπεζήτησε
γὰρ αὐτός· πρὸς τὸν ψάλλοντα ἔνθεος
γενό-

(1) Νωκήδ. ἐν ταῖς σημ. τῆς ἐν Χάλ. ἐκδόσ.
(3) Ἰωσαφὰτ, οὐκ ἔστιν. αἱ αὐτ.
(2) Κέκληκε Κύρ. αἱ αὐτ.

γενόμενος, προσέταξε τοῖς βασιλεῦσιν ἐν
τῷ χειμάῤῥῳ πολλοὺς ὀρύξαι βόθρους.

** ΝΕΙΛΟΥ. Πῶς ὁ Ἐλισσαιὲ, συνηγ-
μένης ἐπὶ πόλεμον τῆς στρατιᾶς τῶν δύω
βασιλέων τοῦ Ἰσραὴλ καὶ τοῦ Ἰούδα, ἔλεγε τῷ
» Γιεζῇ, (1) ζῇ Κύριος τῶν δυνάμεων, ᾧ πα-
» ρέστην ἐνώπιον αὐτοῦ σήμερον, ὅτι εἰ μὴ πρό-
» σωπον Ἰωσαφὰτ ἐγὼ κατελάμβανον, εἰ
» ἐπέβλεψα, καὶ εἶδόν σε· οὔτε τὴν στρατιὰν
κεκινημένην φοβηθεὶς, οὔτε τὸν θυμὸν δεί-
σας τοῦ βασιλέως, ὃν περὶ καιρὸν τοῦ πο-
λέμου εἰκὸς χρήσασθαι, καὶ ἀλόγῳ ὁρμῇ
τοῦ λογισμοῦ δι' ἀγωνίαν συγκεχυμένου; Τί
γὰρ τοιοῦτον δύναται βασιλεία ἐπίγειος,
οἷον ἀρετή;

ιε. Καὶ νῦν ἴδε λάβε μοι ψάλλον-
τα. καὶ ἐγένετο ὡς ἔψαλλεν ὁ ψάλ-
λων, καὶ ἐγένετο ἐπ' αὐτὸν χεὶρ Κυ-
ιϛ. ρίου, Καὶ εἶπε, τάδε λέγει Κύριος,
ποιήσατε τὸν χειμάῤῥουν τοῦτον βοθύ-
νους βοθύνους,

** ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ,
» λάβετέ μοι ψάλλοντα; Ὁ θειότατος Δα-
βὶδ, καὶ βασιλικῆς καὶ προφητικῆς χάρι-
τος ἠξιωμένος, καὶ τὴν ἱερατικὴν σοφῶς
ἔταξε λειτουργίαν· καὶ τοὺς μὲν ἱερέας κα-
τὰ τὸν μωσαϊκὸν νόμον ταῖς σάλπιγξι κε-
χρῆσθαι προσέταξε, τοὺς δὲ Λευΐτας ταῖς
κινύραις, καὶ νάβλαις, καὶ κυμβάλοις, καὶ
τοῖς ἄλλοις ὀργάνοις. ἐχρῶντο δὲ οὗτοι τῇ
πνευματικῇ τοῦ Δαβὶδ μελῳδίᾳ. τούτων ἕνα
μετακληθῆναι προσέταξεν ὁ Προφήτης.
ἐκείνου δὲ ψάλλοντος, ἡ τοῦ πνεύματος χά-
ρις τὸ πρακτέον ἐσήμαινεν. ἐν γὰρ τῷ χει-
μάῤῥῳ βόθρους μεγίστους ὀρυγῆναι προσέ-
ταξεν· ἵνα τῆς χαράδρας πόῤῥωθεν ἐνεχ-
θείσης, πληρωθῶσιν οἱ βόθροι τοῦ ὕδατος,
καὶ τὴν χρείαν παράσχωσι τῷ στρατῷ. ἐπι-
σημαντέον δὲ, ὡς χεῖρα Κυρίου τὴν πνευ-
» ματικὴν ὠνόμασε χάριν. ἐγένετο γάρ φη-
» σιν ἐπ' αὐτὸν χεὶρ Κυρίου, καὶ εἶπε, τάδε
» λέγει Κύριος.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Ὁ μακάριος
Ἐλισσαῖος ὁ προφήτης παρακαλούμενος πα-
ρά τινων βασιλέων προφητεῦσαι τὰ μέλ-
» λοντα, λέγει· δότε μοι ἄνδρα εἰδότα ψάλ-
λειν. ἦλθεν ὁ τῆς μουσικῆς ἔμπειρος, καὶ
ἐν τῷ ψάλλειν, φησὶν, ἐκεῖνον, ἦλθε τὸ
πνεῦμα τὸ ἅγιον ἐπὶ Ἐλισσαῖον. τί οὖν; ἆρα
τὸ πνεῦμα τὸ ἅγιον φωναῖς θέλγεται, καὶ
ἐπῳδαῖς καθέλκεται, ἢ τῇ ψυχῇ ἐπανε-
παύετο τῇ προφητικῇ; ἤρκει ἡ καθαρό-
της τοῦ Προφήτου προσκαλέσασθαι τὸ πνεῦ-
» μα τὸ ἅγιον. διατί οὖν λέγει, δότε ἄνδρα
» εἰδότα ψάλλειν; οὐχ ἵνα τὸ πνεῦμα τερφθῇ
διὰ τῆς ψαλμῳδίας, ἀλλ' ἵνα, ἐκείνου ψάλ-
λοντος, ὁ νοῦς τοῦ Προφήτου ἀνακαινισθεὶς,
ἄξιος γένηται τῆς τοῦ ἁγίου πνεύματος ἐπι-
φοιτήσεως. διὰ τοῦτο τὸ πνεῦμα καλεῖ,
ἵνα δείξῃ, ὅτι οὐ τῇ ψαλμῳδίᾳ ἐθέλχθη,
ἀλλὰ τῇ ψυχῇ τῇ ὑπὸ τῆς ψαλμῳδίας διε-

A γερθείσῃ. οὐκ ἦλθεν ἐπὶ τὸν ψάλλοντα,
ἀλλ' ἐπὶ τὸν ἀκούοντα.

ιζ. Ὅτι τάδε λέγει Κύριος, οὐκ
ὄψεσθε πνεῦμα, καὶ οὐκ ὄψεσθε ὑετὸν,
καὶ ὁ χειμάῤῥους οὗτος πλησθήσεται
ὕδατος, καὶ πίεσθε ὑμεῖς καὶ αἱ κτή-
ιη. σεις ὑμῶν καὶ τὰ κτήνη ὑμῶν. Καὶ
κούφη αὕτη (1) ἐν ὀφθαλμοῖς Κυρίου·
B καὶ παραδώσω τὴν Μωὰβ ἐν χειρὶ
ιθ. ὑμῶν. Καὶ πατάξετε πᾶσαν πόλιν
ὀχυρὰν, καὶ πᾶν ξύλον ἀγαθὸν κα-
ταβαλεῖτε, καὶ πάσας πηγὰς ὕδα-
τος ἐμφράξετε, καὶ πᾶσαν μερίδα
ἀγαθὴν ἀχρειώσετε ἐν λίθοις.

κ. Καὶ ἐγένετο πρωῒ ἀναβαινού-
σης τῆς θυσίας, καὶ ἰδοὺ ὕδατα ἤρχον-
το ἐξ ὁδοῦ Ἐδὼμ, καὶ ἐπλήσθη ἡ γῆ
Γ ὕδατος.

** ΙΩΣΗΠΟΥ. Τῇ ἐπιούσῃ πρὶν ἥλιον
ἀνασχεῖν ὁ χείμαῤῥος πολὺς ἐῤῥύη. σφο-
δρῶς γὰρ ἀπὸ τριῶν ἡμερῶν ὁδοῦ ἐν τῇ
Ἰδουμαίᾳ τὸν Θεὸν ὗσαι συνέπεσεν· ὥστε
εὑρεῖν τὴν στρατιὰν καὶ τὰ ὑποζύγια πο-
τὸν ἄφθονον.

κα. Καὶ πᾶσα Μωὰβ ἤκουσαν ὅτι
ἀνέβησαν οἱ τρεῖς βασιλεῖς πολεμεῖν
Δ αὐτούς. καὶ ἀνέβησαν ἐκ παντὸς
ριεζωσμένου ζώνην· καὶ εἶπαν, ὦ
κβ. ἔστησαν ἐπὶ τοῦ ὁρίου. Καὶ ὤρθριο
τὸ πρωῒ, καὶ ὁ ἥλιος ἀνέτειλεν ἐπὶ τ
ὕδατα· καὶ εἶδε Μωὰβ ἐξ ἐναντίας
κγ. τὰ ὕδατα πυῤῥὰ ὡσεὶ αἷμα, Καὶ
εἶπαν, αἷμα τοῦτο τῆς ῥομφαίας· καὶ
ἐμαχέσαντο οἱ βασιλεῖς, καὶ ἐπά-
ταξαν ἀνὴρ τὸν πλησίον αὐτοῦ· καὶ
E νῦν ἐπὶ τὰ σκῦλα Μωάβ.

** ΙΩΣΗΠΟΥ. Ὡς ἤκουσαν οἱ Μωα-
βῖται τοὺς τρεῖς βασιλέας ἐπ' αὐτοὺς βαδί-
ζοντας, καὶ διὰ τῆς ἐρήμου ποιουμένους τὴν
ἔφοδον, ὁ βασιλεὺς αὐτῶν εὐθὺς συλλέξας
στρατιὰν, ἐκέλευσεν ἐπὶ τῶν ὀρῶν βάλλε-
σθαι τὸ στρατόπεδον, ἵνα αὐτοὺς μὴ λάθωσι
τὴν χώραν ἐμβαλόντες οἱ πολέμιοι. θεα-
σάμενοι δὲ ὑπὸ τὴν ἀνατολὴν τοῦ ἡλίου τὸ
Z ἐν τῷ χειμάῤῥῳ ὕδωρ· καὶ γὰρ οὐδὲ μακρὰν
ἦν τῆς Μωαβίτιδος· αἵματι τὴν χρόαν
ὅμοιον· τότε γὰρ μάλιστα πρὸς τὴν αὐγὴν
τὸ ὕδωρ ἐρυθραίνεται· ψευδῆ δόξαν περὶ
τῶν πολεμίων ἐλάμβανον, ὡς ἀπεκτονηκό-
των ἑαυτοὺς διὰ δίψος, καὶ τοῦ ποταμοῦ αἷμα
αὐτοῖς ῥέοντος. τοῦτο τοίνυν οὕτως ἔχειν
ὑπολαβόντες, ἠξίωσαν αὐτοὺς ἐπὶ διαρπα-
γὴν τῶν πολεμίων ἐκπέμψαι τὸν βασιλέα.

H κδ. Καὶ εἰσῆλθον εἰς τὴν παρεμ-
βολὴν Ἰσραήλ. καὶ Ἰσραὴλ ἀνέστη-
σαν καὶ ἐπάταξαν τὴν Μωὰβ, καὶ
ἔφυ-

(1) Οὐ τῷ Γιεζῇ, ἀλλὰ τῷ Ἰωράμ.
(2) Αὐτή. ἐν ταῖς εἰρημ. ἐκδόσ. ἐν δὲ ταῖς εἰρημ. σημ. κοῦφον τοῦτο ἐν ὀφθ.

ἔφυγον ἀπὸ προσώπου αὐτῶν. καὶ εἰ-
σῆλθον εἰσπορευόμενοι καὶ τύπτοντες
κε. τὴν Μωάβ, Καὶ τὰς πόλεις καθεῖ-
λον, καὶ πᾶσαν μερίδα ἀγαθὴν ἔῤῥι-
ψαν ἀνὴρ τὸν λίθον καὶ ἐνέπλησαν
αὐτήν, καὶ πᾶσαν πηγὴν ὕδατος ἐνέ-
φραξαν, καὶ πᾶν ξύλον ἀγαθὸν κα-
τέβαλον ἕως τοῦ καταλιπεῖν τοὺς λί-
θους τοῦ τοίχου καθῃρημένους· καὶ ἐκύ-
κλωσαν οἱ σφενδονῖται, καὶ ἐπάτα-
ξαν αὐτήν.

** ΙΩΣΗΠΟΥ. Πάντες ἐφορμήσαντες ὡς ἐπὶ ἑτοίμην ὠφέλειαν, ἦλθον εἰς τὸ τῶν ἐχθρῶν στρατόπεδον ὡς ἀπολωλότων. καὶ διαψεύδεται μὲν αὐτοὺς ἡ ἐλπὶς αὕτη· περιστάντων δὲ τῶν πολεμίων, οἱ μὲν αὐτῶν κατεκόπησαν, οἱ δὲ διεσπάρησαν εἰς τὴν ἰδίαν χώραν φεύγοντες. ἐμβαλόντες δὲ εἰς τὴν τῶν Μωαβιτῶν οἱ βασιλεῖς, τάς-
Γ τε πόλεις κατεστρέψαντο τὰς ἐν αὐτῇ, καὶ τοὺς ἀγροὺς αὐτῶν διήρπασαν, καὶ ἠφάνισαν πληροῦντες τῶν ἐκ τῶν χειμάῤῥων λίθων, καὶ τὰ κάλλιστα τῶν δένδρων ἐξέκοψαν, καὶ τὰς πηγὰς ἐνέφραξαν τῶν ὑδάτων, καὶ τὰ τείχη καθεῖλον ἕως ἐδάφους.

κς. Καὶ εἶδεν (1) αὐτὴν ὁ βασι-
λεὺς Μωὰβ ὅτι ἐκραταίωσεν ὑπὲρ
τὸν ὁ πόλεμος· καὶ ἔλαβε μεθ' ἑαυ-
ἑπτακοσίους ἄνδρας ἐσπασμένους
φαίαν διακόψαι πρὸς βασιλέα
δὼμ, καὶ οὐκ ἐδυνήθησαν.

** ΙΩΣΗΠΟΥ. Ὁ βασιλεὺς τῶν Μωαβιτῶν συνδιωκόμενος τῇ πολιορκίᾳ, καὶ τὴν
A πόλιν ὁρῶν κινδυνεύουσαν ἀναιρεθῆναι κατὰ κράτος, ὥρμησε, μεθ' ἑπτακοσίων ἐξελθὼν, διὰ τοῦ τῶν πολεμίων ἐξιππάσασθαι στρατοπέδου, καθ' ὃ μέρος αὐτοὺς ἐνόμιζε τὰς φυλακὰς ἀνεῖσθαι. καὶ πειραθεὶς, οὐκ ἠδυνήθη φυγεῖν. ἐπιτυγχάνει γὰρ ἐπιμελῶς φρουρουμένῳ τῷ τόπῳ.

κζ. Καὶ ἔλαβε τὸν υἱὸν αὐτοῦ τὸν
πρωτότοκον ὃν ἐβασίλευσεν ἀντ' αὐ-
B τοῦ, καὶ ἀνήνεγκεν αὐτὸν ὁλοκαύτω-
μα ἐπὶ τοῦ τείχους, καὶ ἐγένετο μετά-
μελος μέγας ἐπὶ Ἰσραήλ. καὶ ἀπῆραν
ἀπ' αὐτοῦ, καὶ ἐπέστρεψαν εἰς τὴν γῆν.

** ΙΩΣΗΠΟΥ. Ὑποστρέψας εἰς τὴν πόλιν, ἔργον ἀπογνώσεως καὶ δεινῆς ἀνάγκης διεπράξατο. τὸν υἱὸν τὸν πρεσβύτερον, ὃς μετ' αὐτὸν βασιλεύειν ἔμελλεν, ἀναγαγὼν ἐπὶ τὸ τεῖχος, ὥστε πᾶσι φανερὸν γε-
Γ νέσθαι τοῖς πολεμίοις, ἱερούργησεν εἰς ὁλοκαύτωσιν τῷ Θεῷ. θεασάμενοι δ' αὐτὸν οἱ βασιλεῖς, κατῴκτειραν τῆς ἀνάγκης, καὶ παθόντες ἀνθρώπινόν τι καὶ ἐλεεινὸν, διέλυσαν τὴν πολιορκίαν, καὶ ἕκαστος εἰς τὴν οἰκίαν ἀνέστρεψε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, καὶ
„ ἐγένετο μετάμελος μέγας ἐπὶ Ἰσραήλ; Τῶν Μωαβιτῶν ἄρδην ἀναιρουμένων, ἐπειράθη μὲν τούτων φυγεῖν ὁ βασιλεύς· ἐπει-
Δ δὴ δὲ τὸ στεῤῥὸν καὶ γενναῖον τῆς φάλαγγος οὐκ ἐνέδωκε, τὸν πρωτότοκον υἱὸν καὶ τῆς βασιλείας διάδοχον, ἐπί τινος ὡλοκαύτωσε πύργου. τοῦτο θεασάμενον τῶν πολεμίων τὸ πλῆθος, ᾤκτειρε τὸ πάθος, καὶ τὴν πολιορκίαν κατέλυσε.

ΚΕΦ. Δ.

α. Καὶ γυνὴ μία ἀπὸ τῶν υἱῶν
τῶν Προφητῶν ἐβόα πρὸς
τὸν Ἐλισσαιὲ, λέγουσα, ὁ
δοῦλός σου ὁ ἀνήρ μου ἀπέθανε, καὶ σὺ
ἔγνως, ὅτι δοῦλός σου ἦν φοβούμενος
τὸν Κύριον· καὶ ὁ δανειστὴς ἦλθε λα-
βεῖν τοὺς δύω υἱούς μου ἑαυτῷ εἰς δούλους.
β. Καὶ εἶπεν Ἐλισσαιὲ, τί ποιήσω σοι;
ἀνάγγειλόν μοι τί ἐστί σοι ἐν τῷ οἴκῳ;
ἡ δὲ εἶπεν, οὐκ ἔστι τῇ δούλῃ σου οὐδὲν ἐν
τῷ οἴκῳ, ὅτι ἀλλ' ἢ ὃ ἀλείψομαι ἔ-
γ. λαιον. Καὶ εἶπε πρὸς αὐτὴν, δεῦρο
αἴτησαι σεαυτῇ σκεύη ἔξωθεν παρὰ
πάντων τῶν γειτόνων σου (2) σκεύη κε-
δ. νὰ, μὴ ὀλιγώσῃς. Καὶ εἰσελεύσῃ
καὶ ἀποκλείσεις τὴν θύραν κατὰ σοῦ
καὶ κατὰ τῶν υἱῶν σου, καὶ ἀποχεεῖς
εἰς τὰ σκεύη ταῦτα, καὶ τὸ πληρω-
ε. θὲν ἀρεῖς. Καὶ ἀπῆλθεν ἀπ' αὐτοῦ,
καὶ ἐποίησεν οὕτω, καὶ ἀπέκλεισε τὴν
E θύραν καθ' ἑαυτῆς καὶ κατὰ τῶν υἱῶν
αὐτῆς· αὐτοὶ προσήγγιζον πρὸς αὐ-
τὴν, καὶ αὐτὴ ἐπέχεεν ἕως ἐπλήσθη (3)
ϛ. τὰ σκεύη. Καὶ εἶπε πρὸς τοὺς υἱοὺς αὐ-
τῆς, ἐγγίσατε πρός με ἔτι σκεῦος.
καὶ εἶπον αὐτῇ, οὐκ ἔστιν ἔτι σκεῦος.
ζ. καὶ ἔστη τὸ ἔλαιον. Καὶ ἦλθε καὶ ἀνήγ-
γειλε τῷ ἀνθρώπῳ τοῦ Θεοῦ. καὶ εἶ-
πεν Ἐλισσαιὲ, δεῦρο καὶ ἀπόδου τὸ
Z ἔλαιον, καὶ ἀποτίσεις τοὺς τόκους σου,
καὶ σὺ καὶ οἱ υἱοί σου ζήσεσθε ἐν τῷ ὑπο-
λοίπῳ ἐλαίῳ.

** ΙΩΣΗΠΟΥ. Προσελθοῦσαν αὐτῷ, φασὶ, τὴν Ὠβεδίου τοῦ Ἀχάβου οἰκονόμου γυναῖκα, εἰπεῖν, ὡς οὐκ ἀγνοεῖ πῶς ὁ ἀνὴρ αὐτῆς τοὺς Προφήτας περιέσωσεν, ὑπὸ τῆς Ἀχάβου γυναικὸς Ἰεζαβέλης ἀναιρουμένους. ἑκατὸν γὰρ, ἔλεγεν, ἀπ' αὐτοῦ δανεισαμένου
H τραφῆναι κεκρυμμένους· καὶ μετὰ τὴν τοῦ ἀνδρὸς τελευτὴν ἄγεσθαι νῦν ὑπὸ τῶν δανειστῶν αὐτήν τε καὶ τέκνα πρὸς δουλείαν· παρε-

(1) Εἶδεν ὁ βασ. αἱ αὐτ. (2) Γειτόνων σκεύη. αἱ αὐτ. (3) Ἐπλήσθησαν. αἱ αὐτ.

A παρεκάλει τε διὰ ταύτην τὴν ἐργασίαν τ' ἀνδρὸς ἐλεῆσαί τε καὶ παρασχεῖν τινὰ βοήθειαν. πυθομένῳ δ' αὐτῷ τί ἔχοι ἐπὶ τῆς οἰκίας, ἄλλο μὲν οὐδὲν, ἔφη, ἔλαιον δὲ βραχὺ λίαν ἐν κεραμίῳ· ὁ δὲ Προφήτης ἀπελθοῦσαν ἐκέλευσεν ἀγγεῖα χρήσασθαι πολλὰ παρὰ τῶν γειτόνων κενά· καὶ τὰς θύρας ἀποκλείσασαν τοῦ δωματίου, μεταχεῖν εἰς ἅπαντα τὸ ἔλαιον. τὸν γὰρ Θεὸν πληρώσειν ταῦτα. τῆς δὲ γυναικὸς τὰ κελευσθέν-
B τα ποιησάσης, καὶ τοῖς τέκνοις προσφέρειν ἕκαστον τῶν ἀγγείων προστατούσης, ἐπεὶ πάντα ἐπληρώθη, καὶ οὐδὲν ἦν κενὸν, ἐλθοῦσα πρὸς τὸν Προφήτην πάντα ἀπήγγειλεν. ὁ δὲ συμβουλεύει, τὸ ἔλαιον ἀπελθοῦσαν ἀποδόσθαι, καὶ τοῖς δανεισαῖς ἀποδοῦναι τὰ ὀφειλόμενα· γενήσεσθαι δέ τι καὶ περιοσσότερον ἐκ τῆς τιμῆς τοῦ ἐλαίου, ᾧ πρὸς διατροφὴν τὴν τῶν τέκνων καταχρήσεται.

** ΑΣΤΕΡΙΟΥ ΑΜΑΣΕΙΑΣ. Γυνή-
Γ τις ἀναγέγραπται χήρα, βαρυνομένη λίαν τῇ συμφορᾷ τῆς μονώσεως· ἐπολιόρκει δὲ αὐτὴν δανειστὴς φιλάργυρος καὶ μισάνθρωπος, ἐνέχυρον τοὺς υἱοὺς ἀφαιρούμενος, οὓς μόνους εἶχεν ἀντὶ πάντων ἡ μήτηρ. ἐπεὶ δὲ εἰς ἀμηχανίαν αὐτῇ περιΐστηκει τὸ πρᾶγμα, καὶ οὐδεὶς ἠλέει τῶν ἐχόντων χρυσίον, ἦλθε πρὸς τὸν ἔχοντα φιλανθρωπίαν καὶ πίστιν· Ἐλισσαῖος δὲ οὗτος ἦν ὁ προφήτης, ἀνὴρ ἀκτήμων τῶν γηΐνων ὑλῶν, καὶ περισ-
Δ σευόμενος τῆς ἀσωμάτου περιουσίας, φιλόσοφος ἐξ ἀροτήρων, ἄοικος, ἀνέστιος, μονοείμων, νεωστὶ μὲν κληρονομήσας, τὴν δὲ κληρονομίαν λαβὼν μηλωτὴν εὔωνον, καὶ εὐλογίαν ἀόρατον τοῦ πυρίνου ἅρματος ἐκπεσοῦσαν. οὐ μὴν ἄπρακτον τὴν ἱκέτιν ἀπέπεμψεν, οὐδὲ ἀπέγνω τῆς βοηθείας, ἐπειδὴ μὴ παρῆν τὸ ζητούμενον· οὐδὲ εἶπεν ἀγεννῆ τινὰ καὶ ἄπιστα ῥήματα, ὡς εἷς τῶν πολλῶν· καὶ πόθεν ἐμοὶ ἀργύριον, ὥστε διαλῦ-
E σαι τὸ ὄφλημα; ὥσπερ δὲ ἄριστος ἰατρὸς, καὶ φαρμάκων μὴ παρόντων, ἐξ ἐπινοιῶν παραδόξων εὗρε τῇ νόσῳ τὴν ἴασιν. καὶ τί-
» σοι, φησὶν, ἐπὶ τῆς οἰκίας, ὦ γύναι, μνημόνευσον, εἴ τε καὶ ὀλίγον ἔνδον τυγχάνει. οὐδεὶς γὰρ οὕτω πένης, ὡς καθάπαξ μηδενὸς κύριος εἶναι. ὡς δὲ εἶπεν, ὅτι κεράμιόν ἐστι, καὶ λείψανον ἐν αὐτῷ βραχὺ ἐλαίου· παρασκεύασόν μοι, εἶπε, πλῆθος ἀγγείων. καὶ ἡ μὲν ἡτοιμάσεν, ὁ δὲ δι' αὐτῆς ἐπλή-
Z ρωσε· καὶ τῷ δανειστῇ διελύθη τὸ ὄφλημα· ἡ δὲ γυνὴ ἀπῆλθεν, ἐξ ἀπόρων εὑροῦσα τὸν πόρον. τὸ γὰρ ὀλίγιστον ἔλαιον, ὃ εἶναι παρ' αὐτῇ εἶπε πρὸς τὸν Προφήτην, ἐπήγασεν ἐκ τοῦ παραδόξου, καὶ πάντας τοὺς εὐτρεπισθέντας ἀμφορίσκους ἐπλήρωσεν. ἔστη δὲ τότε τῆς ῥύσεως, ὅτε ἀγγεῖον οὐκ ἔτι ἦν τὸ δεχόμενον· καὶ τῇ χρείᾳ συνεμετρήθη ἡ χάρις. ἀληθῶς ἔλαιον ἐκεῖνο, ὃ φυτὸν οὐκ ἐκαρποφόρησεν, ἀλλ' οἱ τοῦ Θεοῦ οἰκτιρ-
H μοὶ ἐγεώργησαν. ταύτην ὀνήσασθε τὴν ἐπιστήμην, εἰ δύνασθε, οἱ ἀπὸ ἡλίου ἀνίσχοντος

A μέχρι καὶ δυομένου, βασιλεῖς, δυνάσται, πλούσιοι· οἱ σοφοὶ τῆς ἐγκοσμίου σοφίας, κλήσασθε τοῦ ἀπὸ ἀροτήρων Προφήτου τὸ χάρισμα, ὃ ἀναφαίρετον τῷ λαβόντι συνῆν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Περὶ τίνος ἔφησεν
» ἡ γυνὴ ὁ δοῦλός σου ἀνήρ μου τετελεύτηκε,
» καὶ σὺ οἶδας, ὅτι δοῦλος ἦν τοῦ Κυρίου; Τινές φασι (1) τὸν Ἀβδιοὺ εἶναι τὸν οἰκονόμον τοῦ Ἀχαὰβ, ὃς τοὺς ἑκατὸν ἄνδρας ἐν δυσὶ κατακρύψας σπηλαίοις, διέθρεψεν αὐτοὺς ἄρ-
B τῳ καὶ ὕδατι· καὶ τὸ χρέος διὰ τὴν ἐκείνων ἐπιμέλειαν γεγενῆσθαι. θαυμάσαι δὲ ἄξιον τῶν Προφητῶν τὴν δύναμιν, ὅτι τὰ ὄντα πηγάζειν παρασκευάζοντες, παρέχουσι τοῦ βίου τὰς ἀφορμάς. καὶ γὰρ ὁ μέγας Ἠλίας τὸ βραχύτατον ἄλευρόν τε καὶ ἔλαιον ἐπὶ πλεῖστον ἐξαρκέσαι πεποίηκε· καὶ ὁ διπλασίαν τὴν ἐκείνου χάριν δεξάμενος, τῆς ἑτέρας χήρας τὸ ὀλίγιστον ἔλαιον παμπόλλοις ἀγγείοις ἐμβληθῆναι κελεύ-
Γ σας, καὶ τοῦ ἀνδρὸς ἐξέτισε τὸ χρέος, καὶ αὐτὴν καὶ τοὺς παῖδας διέθρεψε. καὶ ἐντεῦθεν δὲ ῥᾴδιον γνῶναι, ὡς καὶ τοῦ λαοῦ παρανομοῦντος, καὶ δυσσεβούντων τῶν βασιλέων, ἦσάν τινες εὐσεβεῖς. ἐκ τούτων γὰρ ὁ Ἀβδιοὺ, καὶ οἱ ἑπτακισχίλιοι οἱ μὴ κάμψαντες γόνυ τῇ Βάαλ· καὶ ἡ θαυμασία Σωμανῖτις, ἣ πολλῆς θεραπείας τὸν Προφήτην ἠξίου.

η. Καὶ ἐγένετο ἡμέρα, καὶ διέβη
Δ Ἐλισσαιὲ εἰς Σουμὰν, (2) καὶ ἐκεῖ γυ
μεγάλη, καὶ ἐκράτησεν αὐτὸν
γεῖν ἄρτον. καὶ ἐγένετο ἀφ' ἱκανοῦ
εἰσπορεύεσθαι αὐτὸν, (3) καὶ ἀφ' ἱκα
τοῦ ἐκπορεύεσθαι αὐτὸν, καὶ ἐξέκλινε
θ. τοῦ ἐκεῖ φαγεῖν. Καὶ εἶπεν ἡ γυνὴ πρὸς τὸν ἄνδρα αὐτῆς, ἰδοὺ δὴ ἔγνων ὅτι ἄνθρωπος τοῦ Θεοῦ ἅγιος οὗτος διαπορεύεται ἐφ' ἡμᾶς διαπαντός.

E ι. Ποιήσωμεν δὴ αὐτῷ ὑπερῷον τόπον μικρὸν, καὶ θῶμεν αὐτῷ ἐκεῖ κλίνην, καὶ τράπεζαν, καὶ δίφρον, καὶ λυχνίαν· καὶ ἔσται ἐν τῷ εἰσπορεύεσθαι πρὸς ἡμᾶς, καὶ ἐκκλινεῖ ἐκεῖ.

** ΑΔΗΛΟΥ. (4) Γυνὴ ἀγαθὴ καὶ φιλόξενος ἦν ἡ μακαρία Σουμανῖτις, ἥτις τὸν ἄνδρα παρακαλέσασα, δωμάτιον ᾠκοδόμησε τῷ Ἐλισσαίῳ, ἵνα διερχόμενος ἀκωλύ-
Z τως ἔχῃ τὴν ἀνάπαυσιν, τεθεικυῖα αὐτῷ κλίνην καὶ λυχνίαν καὶ τράπεζαν· κλίνην οὐ κενὴν ἱματίων, ἀλλ' ἔχουσαν πρέποντα τῷ Προφήτῃ τὰ στρώματα· λυχνίαν οὐκ ἄνευ λύχνου, ἀλλὰ σὺν τῷ ἄρδοντι ἐλαίῳ τὸ φῶς· τράπεζαν οὐκ ἔρημον ἄρτων, ἀλλ' ἔγκαρπον ἐδεσμάτων.

** ΙΣΙΔΩΡΟΥ. Τὴν Ἐλισσαίου εὐτέλειαν ζήλου, ὑπερῴῳ καὶ λύχνῳ ἀρκούμενος· ἅπερ τὴν ὑψηλὴν καὶ πεφωτισμέ-
H νην τοῦ ἀνδρὸς ᾐνίσσετο πρᾶξιν· ἀλλὰ μὴ μεγάλαις οἰκοδομαῖς, ὡς Φαραὼ, προσηκόμενος

(1) Ὁ Ἰώσηπ. ἐν τῷ ἀντικρ. ὑπομν. (2) Σωμάν. αἱ αὐτ. (3) Αὐτὸν, ἐξέκλ. αἱ αὐτ.
(4) Ἐκ τοῦ λόγου ἐστὶ, περὶ οὗ ἐν ταῖς σημ. ταῖς ἐν σελ. 226, καὶ 778. εἰρήκαμεν.

κόμενος καὶ προσήκων αὐταῖς τοὺς μονάζον-
τας, τὴν ἀληθῆ ἐργασίαν κατάλυε.

ια. Καὶ ἐγένετο ἡμέρα, καὶ εἰσῆλ-
θεν ἐκεῖ, καὶ ἐξέκλινεν εἰς τὸ ὑπερῷον,
ιβ. καὶ ἐκοιμήθη ἐκεῖ. Καὶ εἶπε πρὸς
Γιεζὶ τὸ παιδάριον αὐτοῦ, κάλεσόν
μοι τὴν Σουμανίτιν ταύτην. καὶ ἐκά-
λεσεν αὐτὴν, καὶ ἔστη ἐνώπιον αὐτοῦ.

ιγ. Καὶ εἶπεν αὐτῷ, εἶπον δὴ πρὸς
αὐτὴν, ἰδοὺ ἐξέστησας ἡμᾶς πᾶσαν τὴν
ἔκστασιν ταύτην, τί δεῖ ποιῆσαί σοι;
εἰ ἔστι λόγος σοι πρὸς τὸν βασιλέα, ἢ
πρὸς τὸν ἄρχοντα τῆς δυνάμεως;
ἡ δὲ εἶπεν ἐν μέσῳ τοῦ λαοῦ μου ἐγώ
εἰμι οἰκῶ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἧσπερ τὴν ἐπιμέλειαν ὁ Προφήτης ἀμειβόμενος, ἤρετο εἰ ἐστὶν αὐτῇ λόγος λαλῆσαι πρὸς τὸν βασιλέα, ἢ πρὸς τὸν ἄρχοντα τῆς δυνάμεως· καὶ δυνάμενος αὐτῇ παρασχεῖν τὴν θείαν ἐπικουρίαν, καὶ τῆς ἀνθρωπίνης αὐτὴν ἀξιῶσαι βούλεται προμηθείας.

» * ΤΟΥ ΑΥΤΟΥ. Τί ἐστιν, ἐν μέσῳ τοῦ
» λαοῦ μου ἐγὼ κατοικῶ; Ἀπραγμοσύνῃ, φησὶ, χαίρω, καὶ εἰρηνικῶς διάγω, καὶ πρός τινα ἔχειν ἀμφισβήτησιν οὐκ ἀνέχομαι. (1) [...]τω καὶ ψυχὴν πᾶσαν, ἐπειδὰν τὰς κοσμι[...] ἀποκόψειε σχέσεις, τὸ πνεῦμα τὸ ἅγιον [...]ν οὖσαν, ἀπεργάζεται γόνιμον.

ιδ. Καὶ εἶπε πρὸς τὸν Γιεζὶ τὸ παι-
[...]άριον αὐτοῦ, τί δεῖ ποιῆσαι αὐτῇ; καὶ
εἶπε Γιεζὶ, καὶ μάλα υἱὸς οὐκ ἔστιν αὐτῇ,
καὶ ὁ ἀνὴρ αὐτῆς πρεσβύτης. Καὶ ἐκά-
λεσεν αὐτὴν, καὶ ἔστη παρὰ τὴν θύραν.

ις. Καὶ εἶπεν Ἐλισσαιὲ πρὸς αὐ-
τὴν, εἰς τὸν καιρὸν τοῦτον, ὡς ἡ ὥρα,
ζῶσα σὺ, περιειληφυῖα υἱόν. ἡ δὲ εἶπε,
μὴ κύριε ἄνθρωπε τοῦ Θεοῦ, μὴ δια-
ψεύσῃ τὴν δούλην σου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, τὸ,
» κατὰ τὸν καιρὸν τοῦτον, ὡς ἡ ὥρα αὕτη,
» ζῶσα σὺ, περιειληφυῖα υἱόν; Τοῦτο καὶ πρὸς
τὸν πατριάρχην Ἀβραὰμ ὁ τῶν ὅλων ἔφη
Γεν. 18. 10. Θεός. κατὰ τὸν καιρὸν τοῦτον ἐλεύσομαι,
» καὶ ἔσται τῇ Σάῤῥᾳ υἱός. δηλοῖ τοίνυν δι' ὧν
εἴρηκεν ὁ Προφήτης, ὡς αὐτὸς (2) ὁ τῶν
ὅλων Κύριος ἐλάλησεν. οὗ δὴ χάριν καὶ ἀπο-
φαντικῶς δέδωκε τὴν ὑπόσχεσιν. (3) οὕτω
δὲ ἀπεγνώκει τὴν παιδοποιΐαν ἡ γυνὴ, ὅτι
καὶ πρὸς τὸν Προφήτην ἔφη· μὴ ἐγγελάσῃς
τὴν δούλην σου. ἑώρα γὰρ ὑπόσχεσιν ὑπερ-
βαίνουσαν τῆς φύσεως τὴν ἀσθένειαν.

ιζ. Καὶ ἐν γαστρὶ ἔλαβεν ἡ γυνὴ,
καὶ ἔτεκεν υἱὸν εἰς τὸν καιρὸν τοῦτον ὡς
ἡ ὥρα, ζῶσα, ὡς ἐλάλησε πρὸς αὐ-
ιη. τὴν Ἐλισσαιέ. Καὶ ἡδρύνθη τὸ παι-
δάριον· καὶ ἐγένετο ἡνίκα ἐξῆλθε τὸ
παιδάριον πρὸς τὸν πατέρα αὐτοῦ πρὸς
ιθ. τοὺς θερίζοντας, Καὶ εἶπε πρὸς τὸν
πατέρα αὐτοῦ, τὴν κεφαλήν μου, τὴν
κεφαλήν μου. καὶ εἶπε τῷ παιδαρίῳ,
ἆρον αὐτὸν πρὸς τὴν μητέρα αὐτοῦ.
κ. Καὶ ἦρεν αὐτὸν πρὸς τὴν μητέρα αὐ-
B τοῦ, καὶ ἐκοιμήθη ἐπὶ τῶν γονάτων
αὐτῆς ἕως μεσημβρίας, καὶ ἀπέθανε.

κα. Καὶ ἀνήνεγκεν αὐτὸν, καὶ
ἐκοίμησεν αὐτὸν ἐπὶ τὴν κλίνην τοῦ
ἀνθρώπου τοῦ Θεοῦ· καὶ ἀπέκλεισε κατ'
κβ. αὐτοῦ, καὶ ἐξῆλθε, Καὶ ἐκάλεσε τὸν
ἄνδρα αὐτῆς, καὶ εἶπεν, ἀπόστειλον δή
μοι ἓν τῶν παιδαρίων καὶ μίαν τῶν
ὄνων, καὶ δραμοῦμαι ἕως τοῦ ἀνθρώπου
κγ. τοῦ Θεοῦ, καὶ ἐπιστρέψω. Καὶ εἶπε, τί
ὅτι σὺ πορεύῃ πρὸς αὐτὸν σήμερον;
οὐ νεομηνία οὐδὲ σάββατον. ἡ δὲ εἶ-
πεν, εἰρήνη.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τῇ μέντοι πείρᾳ μαθοῦσα τοῦ Προφήτου τὴν δύναμιν, καὶ τελευτῆσαν τὸ παιδίον ἤλπισεν ἀναστήσεσθαι. ἐν τῇ κλίνῃ γὰρ τοῦτο τοῦ Προφήτου νεκρὸν κατακλίνασα, καὶ τὴν θύραν ἀποκλείσασα,
Δ [βαδίζουσα,] πρὸς τὸν Προφήτην ἀφίκετο, οὐδὲ τῷ ἀνδρὶ τὴν αἰτίαν τῆς ἀποδημίας μηνύσασα. (4) αὐτίκα γοῦν ἐκεῖνος ἀγνοῶν,
» ἤρετο, τί ὅτι σὺ πορεύῃ σήμερον πρὸς αὐ-
» τόν; οὐ νουμηνία, οὐδὲ σάββατον. [καὶ ἐν τοῖς σάββασι,] καὶ ἐν ταῖς νουμηνίαις γὰρ ἑορτάζειν εἰώθεισαν. ἡ δὲ εἶπεν, εἰρήνη. προσειπεῖν αὐτὸν, φησὶ, βούλομαι.

κδ. Καὶ ἐπέσαξε τὴν ὄνον, καὶ εἶπε
πρὸς τὸ παιδάριον αὐτῆς, ἄγε, πο-
E ρεύου, μὴ ἐπισχῇς μοι τοῦ ἐπιβῆναι ὅτι
ἐὰν εἴπω σοι. δεῦρο καὶ πορεύσῃ καὶ
ἐλεύσῃ πρὸς τὸν ἄνθρωπον τοῦ Θεοῦ
κε. εἰς ὄρος τὸ Καρμήλιον. Καὶ ἐπορεύ-
θη καὶ ἦλθεν ἕως τοῦ ἀνθρώπου τοῦ Θεοῦ
εἰς τὸ ὄρος. καὶ ἐγένετο ὡς εἶδεν Ἐ-
λισσαιὲ ἐρχομένην αὐτὴν, καὶ εἶπε πρὸς
Γιεζὶ τὸ παιδάριον αὐτοῦ, ἴδε ἡ Σου-
Z μανίτις ἐκείνη.

κς. Νῦν δράμε δὴ εἰς ἀπάντησιν
αὐτῆς, καὶ ἐρεῖς, εἰ (5) εἰρήνη σοί; εἰ
εἰρήνη τῷ ἀνδρί σου; εἰ εἰρήνη τῷ παι-
δαρίῳ; ἡ δὲ εἶπεν εἰρήνη.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πόῤῥωθεν δὲ αὐτὴν ὁ Προφήτης ἰδὼν, ἤρετο διὰ τοῦ Γιεζὶ ὅπως ἔχουσι καὶ αὐτὴ, καὶ ὁ ἀνὴρ αὐτῆς, καὶ τὸ παιδίον αὐτῶν. τοῦτο γὰρ δηλοῖ τὸ, εἰρήνη
H » σοὶ, εἰρήνη τῷ ἀνδρί σου, εἰρήνη τῷ παιδα-

ρίῳ,

(1) Τὰ ἑπόμενα ἐν τῇ κατὰ τὴν Χάλ. ἐκδόσ. οὐ κεῖται. (2) Αὐτὸς ἐφθέγγετο δι' αὐτοῦ ὁ τῶν ὅλων Κύριος. οὗ δὴ, κτ. ἡ αὐτ. (3) Ὑπόσχεσιν ὑπερβαίνουσαν. τὰ δὲ μεταξὺ οὐ κεῖται ἐν τῇ αὐτῇ ἐκδόσ. (4) Ἐκεῖνος οὖν ἀγν. ἡ αὐτ. (5) Ἡ εἰρήνη. ὁμοίως καὶ ἑξῆς. αἱ αὐτ.

ρίω; ἀντὶ τοῦ καλῶς διάγετε, ὑγιαίνετε; A
» ἡ δὲ πρὸς μὲν τὸν Γιεζὶ εἶπεν, εἰρήνη, τῶν δὲ τοῦ Προφήτου ποδῶν ἐπιλαβομένη τὸ πάθος ἐμήνυσεν. ἐδείκνυ (1) δὲ τὴν ὀδύνην τὰ δάκρυα.

κζ. Καὶ ἦλθε πρὸς τὸν Ἐλισσαιὲ εἰς τὸ ὄρος, καὶ ἐπελάβετο τῶν ποδῶν αὐτοῦ. καὶ ἤγγισε (2) Γιεζὶ ἀπώσασθαι αὐτήν. καὶ εἶπεν Ἐλισσαιὲ, ἄφες αὐτὴν, ὅτι ἡ ψυχὴ αὐτῆς κατώδυνος αὐτῇ, καὶ Κύριος ἀπέκρυψεν ἀπ' ἐμοῦ καὶ οὐκ ἀνήγγειλέ μοι. B

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀναστῆσαι δὲ αὐτὴν πειρωμένου τοῦ Γιεζὶ, ὁ Προφήτης εἶ-
» πεν· ἄφες αὐτήν. ὅτι κατώδυνός ἐστιν ἡ ψυ-
» χὴ αὐτῆς, καὶ Κύριος ἀπέκρυψεν ἀπ' ἐμοῦ,
» καὶ οὐκ ἀνήγγειλέ μοι. δῆλον τοίνυν ἐντεῦθεν, ὡς οὐχ ἅπαντα προῄδεισαν οἱ Προφῆται, ἀλλὰ ἅπερ ἡ θεία χάρις αὐτοῖς ἀπεκάλυπτε. Γ

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Εἰ ὁ Προφήτης Ἐλισσαῖος ἄνθρωπος ὢν, προσιοῦσαν τὴν γυναῖκα, οὐκ ἀφίησι τὸν μαθητὴν ἀπώ-
» σασθαι, ἄφες, λέγων, αὐτὴν, ὅτι κατώ-
» δυνός ἐστιν ἡ ψυχὴ αὐτῆς· οὐδὲν ἕτερον ἐμφαίνων ἐκ τούτου, ἢ ὅτι ἀπολογίαν ἔχει μεγάλην, καὶ συνηγορίαν τὴν θλίψιν· πολλῷ μᾶλλον ὁ Θεὸς οὐ διακρούσεταί σε μετὰ κατωδύνου ψυχῆς προσιόντα. διὰ τοῦτο καὶ ὁ Χριστὸς μακαρίζει τοὺς πενθοῦντας, καὶ τοὺς γελῶντας ταλανίζει. Δ

** ΝΕΙΛΟΥ. Ἐὰν δυνηθῇ εἰς ἑαυτὴν ἐλθοῦσα ἡ ψυχὴ τοῦ ταῖς ἁμαρτίαις παγιδευθέντος στενάξαι πρὸς Θεὸν μετ' ὀδύνης καρδίας, καὶ περιπλακῆναι δι' εὐχῆς καὶ ἱκεσίας τοῖς ἀοράτοις τοῦ Δεσπότου ποσὶ, λέγει ὁ Κύριος τοῖς Ἀγγέλοις, ὥσπερ ὁ Ἐλισσαῖος περὶ τῆς Σωμανίτιδος, ἄφετε αὐτὴν προσιέναι μοι, καὶ μὴ ἀπώσησθε αὐτήν. E κἂν γὰρ μηδεμίαν κέκτηται ἀρετὴν καὶ παῤῥησίαν πρός με, ἀλλά γε διὰ τὸ κατώδυνον εἶναι αὐτῆς τὴν καρδίαν, καὶ ἀναιδῶς προσκυλινδεῖσθαί μοι μετὰ δακρύων καὶ θλίψεως, προσδέχομαι καὶ σώζω.

κη. Ἡ δὲ εἶπε, μὴ ᾐτησάμην υἱὸν παρὰ τοῦ κυρίου μου; ὅτι εἶπον, οὐ πλανήσεις μετ' ἐμοῦ;

κθ. Καὶ εἶπεν Ἐλισσαιὲ τῷ Γιεζὶ, ζῶσαι τὴν ὀσφύν σου, καὶ λάβε τὴν βακτηρίαν μου ἐν τῇ χειρί σου, καὶ δεῦρο, ὅτι ἐὰν εὕρῃς ἄνδρα οὐκ εὐλογήσεις αὐτὸν, καὶ ἐὰν εὐλογήσῃ σε ἀνὴρ οὐκ ἀποκριθήσῃ αὐτῷ· καὶ ἐπιθήσεις τὴν βακτηρίαν μου ἐπὶ πρόσωπον τοῦ παιδαρίου. Z

A * ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε εἰς τὴν ἀνάστασιν τοῦ παιδὸς ἀποστείλας τὸν Γιεζὶ, παρηγγύησεν αὐτῷ, ἐὰν (3) ἴδῃ ἐν τῇ ὁδῷ τινὰ, μὴ εὐλογῆσαι αὐτόν· καὶ εὐλογοῦντος αὐτὸν ἄλλου, μὴ ἀνταποκριθῆναι αὐτῷ; Ἤδει αὐτὸν φιλότιμον καὶ κενόδοξον, καὶ ὅτι τοῖς κατὰ τὴν ὁδὸν ἐντυγχάνουσι τοῦ δρόμου τὴν αἰτίαν ἐρεῖ. ἡ δὲ κενοδοξία τὴν θαυματουργίαν κωλύει.

B λ. Καὶ εἶπεν ἡ μήτηρ τοῦ παιδαρίου, ζῇ Κύριος καὶ ζῇ ἡ ψυχή σου, εἰ ἐγκαταλείψω σε. καὶ ἀνέστη Ἐλισσαιὲ, καὶ
λα. ἐπορεύθη ὀπίσω αὐτῆς. Καὶ Γιεζὶ διῆλθεν ἔμπροσθεν αὐτῆς, καὶ ἐπέθηκε τὴν βακτηρίαν ἐπὶ πρόσωπον τοῦ παιδαρίου· καὶ οὐκ ἦν φωνὴ καὶ οὐκ ἦν ἀκρόασις· καὶ ἐπέστρεψεν εἰς ἀπάντησιν αὐτοῦ, καὶ ἀπήγγειλεν αὐτῷ,
Γ λέγων, οὐκ ἐγήγερται τὸ παιδάριον.
λβ. Καὶ εἰσῆλθεν Ἐλισσαιὲ εἰς τὸν οἶκον, καὶ ἰδοὺ τὸ παιδάριον τεθνηκὸς κεκοι-
λγ. μισμένον ἐπὶ τὴν κλίνην αὐτοῦ· Καὶ εἰσῆλθεν Ἐλισσαιὲ εἰς τὸν οἶκον, καὶ ἀπέκλεισε τὴν θύραν κατὰ τῶν δύο αὐτῶν, καὶ προσηύξατο πρὸς Κύριον.

λδ. Καὶ ἀνέβη καὶ ἐκοιμήθη ἐπὶ
Δ τὸ παιδάριον· καὶ ἔθηκε τὸ στόμα [...] τοῦ ἐπὶ τὸ στόμα αὐτοῦ, καὶ τοὺς [...]θαλμοὺς αὐτοῦ ἐπὶ τοὺς ὀφθαλ[...] αὐτοῦ, καὶ τὰς χεῖρας αὐτοῦ ἐπὶ τ[...] χεῖρας αὐτοῦ· καὶ ἐνεφύσησεν εἰς αὐτὸν, καὶ διέκαμψεν ἐπ' αὐτὸν, καὶ διεθερμάνθη ἡ σὰρξ τοῦ παιδαρίου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δηλοῖ τὸ, ἐγλαδὲ (4) ἐπ' αὐτόν; Τοῦτο οἱ ἄλλοι ἑρμηνευταὶ
E ἐνεφύσησεν εἰρήκασιν. ὥσπερ γὰρ ὁ τῶν ὅλων ποιητὴς τοῦ Ἀδὰμ τὸ σῶμα δημιουργήσας, διὰ τοῦ ἐμφυσήματος ἐνεφύσησε τὴν ψυχήν· οὕτως ὁ Προφήτης ἐμφυσήσας ἀνέστησε τὸ μειράκιον. ἀλλ' ὁ μὲν δημιουργὸς ἐμφυσήσας ἐδημιούργησε τὴν οὐκ οὖσαν ψυχήν· ὁ δέ γε Προφήτης τὴν οὖσαν εἰς τὸ οἰκεῖον ἐπανήγαγε σῶμα. τὸ δὲ, ἐνέπνευσεν (5) ἐπ' αὐτὸν, συνεκάλυψεν οἱ Ἄλλοι εἰρήκασι. τὰ δὲ οἰκεῖα αἰσθητήρια
Z τοῖς ἐκείνου προσήρμοσεν, ὀφθαλμοὺς ὀφθαλμοῖς, στόμα στόματι, χεῖρας χερσὶν, ἵνα τῆς τοῦ ζῶντος ὁ τεθνηκὼς μεταλάβῃ ζωῆς, δηλονότι τῆς πνευματικῆς χάριτος τὴν ζωὴν χορηγούσης.

** ΒΑΣΙΛΕΙΟΥ ΣΕΛΕΥΚΕΙΑΣ. Διατί τὸν υἱὸν τῆς Σουναμίτιδος μὴ διὰ προσευχῆς, ὡς ὁ Πέτρος ἀνέστησε τὴν Δορκάδα· ἀλλὰ

(1) Ἐδήλου δέ. ἡ αὐτ. (2) Ἤγγιζε. αἱ αὐτ.
(3) Ἐὰν εὕρῃς τινὰ ἐν τῇ ὁδῷ, μὴ εὐλογήσῃς αὐτόν. καὶ ἐὰν εὐλογήσῃ σέ τις, μὴ ἀποκριθεὶς αὐτῷ; Ἤδει, κτ. ἡ αὐτ. (4) Τὸ Ἑβραϊκὸν, וַיִּגְהַר ὅπερ ὐγαὰρ, ἢ ἐγαὰδ ἀναγινώσκειν δεῖ, ὥς φησιν ὁ Δρούσιος. (ἐν Τόμ. 2. σελ. 2582. τῶν καλουμ. ἱερ. Κριτ.) σημαίνει δὲ τὸ διέκαμψε. τὸ δὲ, ἐνεφύσησεν, οὐδὲ ἐν ταῖς εἰρημ. ἐκδόσ. οὐδὲ ἐν τῇ Ἑβραϊκῇ κεῖται. (5) Ὁ Ἀκύλ. τὴν αὐτὴν φωνὴν ὐγαὰρ ἢ ἐγαὰδ οὕτως ἡρμήνευσεν ἐν τῷ ἑξῆς 35. ἐδ. ἐν ᾧ, συνέκαμψεν ἐστί.

ἀλλὰ τῷ νεκρῷ τοῦ παιδὸς ἑαυτὸν ἐφήπλω-
σε σώματι· τῷ γὰρ σώματι τοῦ παιδὸς ἐπέ-
θηκε τὸ ἑαυτοῦ σῶμα· τὸν δὲ μυκτῆρα τῷ
μυκτῆρι προσήρμοσε· καὶ τῷ μετώπῳ τὸ
μέτωπον ἐπεστήριξε· καὶ τοῖς ποσὶ συνεξέ-
τεινε τοὺς πόδας· καὶ τὸ στῆθος ἐπέκειτο
τῷ στήθει· καὶ ὀφθαλμοὶ τοῖς ὀφθαλμοῖς
ἐπλησίαζον· καὶ ἁπλῶς ἑκάστῳ μέλει τοῦ
παιδὸς ἐπιψαῦον τὸ τοῦ Προφήτου μέλος,
τὴν ζωὴν ἐχαρίζετο· διατί οὖν μὴ διὰ προ-
σευχῆς ἀνέστησε τὸν νεκρὸν, ἀλλ᾽ ἑαυτὸν
1. Κορ. 10. 11. ἐπέθηκε τῷ λειψάνῳ; Ταῦτα τύπος συνέ-
» βαινεν ἐκείνοις· ἐγράφη δὲ πρὸς νουθεσίαν
» ἡμῶν, εἰς οὓς τὰ τέλη τῶν αἰώνων κατήν-
τησαν. Ζητήσωμεν τίνος ἦν τύπος ὁ Ἐλισ-
σαῖος, καὶ τίνος ἡ Σουναμίτις, καὶ τίνος ὁ
υἱὸς τῆς Σουναμίτιδος ὁ τεθνηκώς. ὁ Ἐλισ-
σαῖος τύπον φέρει Χριστοῦ· (1) ὁ δὲ λαός ἐστιν
ὁ ἐξ ἐθνῶν· οὗτος ἦν νεκρωθεὶς ὑπὸ τῆς
ἁμαρτίας. ἦλθεν ὁ νοητὸς Ἐλισσαῖος, εὗ-
ρεν αὐτοῦ ὅλα τὰ μέλη νεκρὰ, τὸ σῶμα, τοὺς
ὀφθαλμοὺς, τὰς χεῖρας, τοὺς πόδας· καὶ
ἁπαξαπλῶς νεκρὸν ἦν τὸ σῶμα, (2) μὴ
ἀνοιγόμενον πρὸς δοξολογίαν Θεοῦ, ἀλλὰ
Ἱερ. 2. 27. τῷ ξύλῳ λέγων, πατήρ μου εἶ σύ· καὶ τῷ
λίθῳ, σύ με ἐγέννησας. νεκροὶ ἦσαν οἱ ὀφ-
θαλμοὶ εἰς τὸν τῶν ὅλων Θεὸν μὴ προσέ-
χοντες, ἀλλὰ τῇ κτίσει παρὰ τὸν κτίστην
λατρεύοντες· νεκραὶ ἦσαν αἱ χεῖρες, καρ-
[illegible]οφοροῦσαι τοῖς Δαίμοσι· νεκροὶ ἦσαν οἱ
[illegible]ες, εἰς προσκύνησιν τῷ Διαβόλῳ καμ-
[illegible]μενοι. ὅλον ἦν τὸ σῶμα σαθρόν. ἔχρῃ-
[illegible] ἰατροῦ δυνατοῦ, ἰατροῦ δυναμένου καὶ τοὺς
[illegible]κροὺς ἐγείρειν. ἦλθεν ὁ ζητούμενος ἰατρὸς,
[illegible] νοητὸς Ἐλισσαῖος, ὁ δεσπότης Χριστὸς, εὗ-
ρε τὸ σῶμα νεκρόν. τί ποιεῖ; ὅλον ἑαυτὸν
ἐπέθηκεν ὅλῳ τῷ σώματι. τί ἐστι τὸ λεγό-
μενον; ὅλον τὸ πλήρωμα τῆς Θεότητος,
ὅλον τὸν ἡμέτερον ἐφόρεσεν ἄνθρωπον. ὃν
Κολ. 2. 9. » κατῴκησεν, ὥς φησιν ὁ Ἀπόστολος, ὅλον τὸ
» πλήρωμα σωματικῶς τῆς Θεότητος. ὀφ-
θαλμοὺς εἶχεν ὡς ἄνθρωποι, χεῖρας ὁμοίως,
πόδας ὁμοίως. οὐκ ἦν φαντασία τὸ ὁρώμε-
Φιλιπ. 2. 6, 7. νον, ἀλλὰ ἀληθινὸν τὸ βλεπόμενον. οὐ γὰρ
» ἁρπαγμὸν ἡγήσατο τὸ εἶναι ἴσα Θεῷ, ἀλλ᾽
» ἑαυτὸν ἐκένωσε, μορφὴν δούλου λαβών· καὶ
ἡ ζωὴ τὸ νεκρὸν ἐφόρεσεν ἔνδυμα, ἵνα εἰς
τὴν ἰδίαν ἀφθαρσίαν μεταβάλῃ τὴν νέκρω-
σιν. κατελθούσης δὲ τῆς Θεότητος εἰς τὸ
σῶμα, ὅλα τὰ μέλη λοιπὸν ἡγιάζετο, καὶ
πρὸς τὴν ἀμείνονα μετεβάλλετο χρῆσιν.
Ψαλ. 50. 15. καὶ στόμα μὲν ἐδιδάσκετο λέγειν, Κύριε τὰ
» χείλη μου ἀνοίξεις, καὶ τὸ στόμα μου ἀναγγε-
» λεῖ τὴν αἴνεσίν σου. οἱ ὀφθαλμοὶ δὲ τὴν εἰς
Ψαλ. 144. 15. Θεὸν δοξολογίαν ἐμάνθανον· οἱ ὀφθαλ-
» μοὶ πάντων εἰς σὲ ἐλπίζουσι, καὶ σὺ δίδως
» τὴν τροφὴν αὐτῶν ἐν εὐκαιρίᾳ. αἱ χεῖρες
πρὸς τὸν Θεὸν ἐκτεινόμεναι, τὸν Κύριον
Ψαλ. 133. 1, 2. ἑαυτῶν εὐλογοῦσιν· ἐν ταῖς νυξὶν ἐπάρατε

A » τὰς χεῖρας ὑμῶν εἰς τὰ ἅγια, καὶ εὐλογεῖ-
» τε τὸν Κύριον· καὶ, ἔπαρσις τῶν χειρῶν- Ψαλ. 140. 2.
» μου θυσία ἑσπερινή. οἱ πόδες ἐν Ἐκκλησίᾳ
ἱστάμενοι, εὐχαριστίαν ἀναφέρουσι λέγοντες·
» ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν εἰς τὰ ἅγια. Ψαλ. 121. 2.
» καὶ πάλιν, ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν ἐν
» ταῖς αὐλαῖς σου Ἱερουσαλήμ. εἶπες τὴν τῶν
ἔξωθεν μελῶν δοξολογίαν· τί οὖν, τὰ ἔσω-
θεν ἀλειτούργητα μένει; οὐ μὲν οὖν. ἡ ψυχὴ
πάλιν μετὰ τῶν ἔσωθεν μελῶν πρὸς τὸν
B » Δεσπότην ἐβόα· εὐλόγει ἡ ψυχή μου τὸν Ψαλ. 102. 1.
» Κύριον, καὶ πάντα τὰ ἐντός μου τὸ ὄνομα
» τὸ ἅγιον αὐτοῦ.

λε. Καὶ ἐπέστρεψε, καὶ ἐπορεύθη
ἐν τῇ οἰκίᾳ ἔνθεν καὶ ἔνθεν. καὶ ἀνέ-
βη καὶ συνέκαμψεν ἐπὶ τὸ παιδάριον
ἕως ἑπτάκις· καὶ ἤνοιξε τὸ παιδάριον
λϛ. τοὺς ὀφθαλμοὺς αὐτοῦ. Καὶ ἐξεβόη-
σεν Ἐλισσαιὲ πρὸς Γιεζὶ, καὶ εἶπε,
Γ καλεσόν μοι τὴν Σουμανίτιν ταύτην.
καὶ ἐκάλεσε, καὶ εἰσῆλθε πρὸς αὐ-
τόν. καὶ εἶπεν Ἐλισσαιὲ, λάβε τὸν
λζ. υἱόν σου. Καὶ εἰσῆλθεν ἡ γυνὴ καὶ ἔπε-
σεν ἐπὶ τοὺς πόδας αὐτοῦ, καὶ προσε-
κύνησεν ἐπὶ τὴν γῆν· καὶ ἔλαβε τὸν
λη. υἱὸν αὐτῆς, καὶ ἐξῆλθε. Καὶ Ἐλισ-
σαιὲ ἐπέστρεψεν εἰς Γάλγαλα. καὶ ὁ
Δ λιμὸς ἐν τῇ γῇ, καὶ οἱ υἱοὶ τῶν Προ-
φητῶν ἐκάθηντο ἐνώπιον αὐτοῦ. καὶ
εἶπεν Ἐλισσαιὲ τῷ παιδαρίῳ αὐτοῦ,
ἐπίστησον τὸν λέβητα τὸν μέγαν, καὶ
ἕψε ἕψεμα τοῖς υἱοῖς τῶν Προφητῶν.

λθ. Καὶ ἐξῆλθεν εἰς τὸν ἀγρὸν
συλλέξαι ἀριώθ· καὶ εὗρεν ἄμπελον
ἐν τῷ ἀγρῷ, καὶ συνέλεξεν ἀπ᾽ αὐ-
τῆς τολύπην ἀγρίαν πλῆρες τὸ ἱμά-
E τιον αὐτοῦ, καὶ ἐνέβαλεν εἰς τὸν λέ-
βητα τοῦ ἑψέματος, ὅτι οὐκ ἔγνωσαν.
μ. Καὶ ἐνέχεε (3) τοῖς ἀνδράσι φαγεῖν.
καὶ ἐγένετο ἐν τῷ ἐσθίειν αὐτοὺς ἐκ τοῦ
ἑψέματος, καὶ ἰδοὺ ἀνεβόησαν, καὶ
εἶπαν, θάνατος ἐν τῷ λέβητι, ἄν-
θρωπε τοῦ Θεοῦ· καὶ οὐκ ἠδύναντο
μα. φαγεῖν. Καὶ εἶπε, λάβετε ἄλευ-
Z ρον, καὶ ἐγχέετε (4) εἰς τὸν λέβητα.
καὶ εἶπεν Ἐλισσαιὲ πρὸς Γιεζὶ τὸ παι-
δάριον αὐτοῦ, ἔγχει τῷ λαῷ καὶ ἐσθιέ-
τωσαν. καὶ οὐκ ἐγενήθη ἐκεῖ ῥῆμα πο-
νηρὸν ἐν τῷ λέβητι.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, συλλέξαι
ἀριώθ; Οἱ ἄλλοι ἀγριολάχανα ταῦτα ἡρ-
μήνευσαν. τούτοις τὴν τολύπην οἱ συλλέ-
γοντες

(1) Ἔλλειψίς ἐστιν· ἦν τυχὸν ἀναπληρωτέον οὕτως· ἡ δὲ Σουναμίτις, τῆς ἐξ ἐθνῶν ἐκκλησίας· ὁ δὲ υἱὸς αὐτῆς, ὁ λαός ἐστιν ὁ ἐξ ἐθνῶν, κτ.

(2) Παρόραμα γραφικὸν πάντως ἐστίν. ἀναγνωστέον δ᾽ οὕτω· καὶ ἁπαξαπλῶς νεκρὸν ἦν τὸ σῶμα· τὸ στόμα μὴ ἀνοιγόμ. ἢ οὕτω· καὶ ἁπαξαπλῶς νεκρὸς ἦν. τὸ στόμα μὴ ἀνοιγόμ.

(3) Ἐνέχει. αἱ εἰρημ. ἐκδόσ.

(4) Ἐμβάλετε. αἱ αὐτ.

γοντες ἀγνοοῦντες ἀνέμιξαν. ἀλλὰ τοῦ δη-
λητηρίου τὴν ἐνέργειαν ἤμβλυνεν ὁ Προ-
φήτης, ἄλευρον κελεύσας ἐπιβληθῆναι τῷ
λέβητι. ἤμβλυνε δὲ οὐχ ἡ τοῦ ἀλεύρου φύ-
σις, ἀλλ' ἡ τοῦ Προφήτου χάρις. οὕτω καὶ
τῶν ὑδάτων ἀγονίαν εἰς πολυγονίαν οὐχ οἱ
ἅλες μετέβαλον, ἀλλ' ἡ τοῦ προφητικοῦ
πνεύματος δύναμις.

** ΝΕΙΛΟΥ. Λέβητα πλήθη βοτα-
νῶν, ἔτι τοῦ λιμοῦ κρατοῦντος, ἑψεῖν τοῖς ὑπη-
ρέταις προστάξαντες, καὶ πικροῦ λίαν ἐκ τῆς
γεύσεως εὑρεθέντος ὕστερον τοῦ ἑψήματος,
δηλητηρίου πάντως ἐμμεμιγμένης βοτάνης
τῷ χύματι· τοῦτο γὰρ ὁ λέγων ἐδήλου, θά-
„ νατος ἐν τῷ λέβητι, ἄνθρωπε τοῦ Θεοῦ·
δράκα μίαν τῷ παντὶ κελεύουσιν ἐμβαλεῖν
ἀλεύρου, τὸ πρὸ μικροῦ διὰ τὴν πικρίαν
ἄχρηστον εἰς βρῶσιν τοῖς μοχθήσασι νομι-
σθὲν ποιήσαντες εἰς ἐδωδὴν ἐπιτήδειον, καὶ
τοῖς λιμώττουσιν εἰς παραμυθίαν τῆς ἐν-
δείας χρησιμώτατον. τούτοις καλῶς ὁ ὑμνο-
Ψαλ. 33. 10. γράφος ἐπεφώνει Δαβίδ· πλούσιοι, λέγων,
„ ἐπτώχευσαν, καὶ ἐπείνασαν, οἱ δὲ ἐκζητοῦν-
„ τες τὸν Κύριον, οὐκ ἐλαττωθήσονται παν-
τὸς ἀγαθοῦ· τῆς ἀληθείας τοῦ λόγου τὰ
προειρημένα μαρτυρίαν ἔχων ἀσφαλῆ καὶ
ἐχέγγυον.

μβ. Καὶ ἀνὴρ διῆλθεν ἐκ Βαιθ-
σαλισὰ, (1) καὶ ἤνεγκε πρὸς τὸν ἄν-
θρωπον τοῦ Θεοῦ πρωτογεννημάτων
ἄρτους κριθίνους εἴκοσι καὶ παλάθας·
A καὶ εἶπε, δότε τῷ λαῷ καὶ ἐσθιέτωσαν.
μγ. Καὶ εἶπεν ὁ λειτουργὸς αὐτοῦ, τίνι δῶ
ταῦτα ἐνώπιον ἑκατὸν ἀνδρῶν; καὶ
εἶπε, δὸς τῷ λαῷ καὶ ἐσθιέτωσαν, ὅτι
τάδε λέγει Κύριος, Φάγονται καὶ κα-
μδ. ταλείψουσι. Καὶ ἔφαγον καὶ κατέ-
λιπον, κατὰ τὸ ῥῆμα Κυρίου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τῶν μέντοι Προ-
B φητῶν τὸν ἀκτήμονα βίον ἡ ἱστορία διδάσκει.
ὁ γὰρ τούτων πρωτεύων νῦν μὲν ἀγρίοις αὐ-
τοὺς λαχάνοις εἱστίασε· νῦν δὲ κριθίνους εἴκο-
σι ἄρτους, εἴκοσι καὶ ἑκατὸν ἀνδράσι παρέ-
θηκε, καὶ τούτους ὑφ' ἑτέρων προσενεχθέν-
τας. τοσαύτης δὲ αὐτοῖς εὐλογίας μετέ-
δωκεν, ὡς καὶ τῶν ἑκατὸν πληρῶσαι τὴν
χρείαν, καὶ μετὰ τῶν ἐκείνων κόρον ἱκα-
νοὺς περιττεῦσαι.

** ΝΕΙΛΟΥ. Ἵνα μὴ λέγωσι τὸ τῶν
Γ πέντε ἄρτων παράδοξον, ἐξ ὧν ἐκορέσθη-
σαν οἱ πεντακισχίλιοι, ἀμήχανον, δέκα ἄρ-
τοις φθάσαντες ἑκατὸν ἐδεξιώσαντο ἄν-
δρας οἱ δοῦλοι· μικρῷ θαύματι τέως ἐγγυώ-
μενοι τὸ μεῖζον· καὶ τὸ ἅπαξ γενόμενον ἐν
ἐλάττονι δυνατὸν, καὶ ἐν μείζονι δεικνῦν-
τες δυνατόν· τῆς ὕλης, καὶ ὅταν ἐκ πλείο-
νος ὀλίγους, καὶ ὅταν ἐξ ἐλάττονος δέοι
τρέφεσθαι πλείονας, ὁμοίως ὑπακουούσης τῇ
πληθυνούσῃ χάριτι, καὶ τὴν ἐνέργειαν αὐ-
Δ τῆς, οὐ τῇ ποσότητι, τῇ δὲ δυνάμει π[…]
σης ἅπασι γνώριμον.

ΚΕΦ. Ε.

α. Καὶ Νεεμὰν (2) ὁ ἄρχων τῆς
δυνάμεως Συρίας ἦν ἀνὴρ
μέγας ἐνώπιον τοῦ κυρίου
αὐτοῦ, καὶ τεθαυμασμένος προσώπῳ,
ὅτι δι' αὐτοῦ ἔδωκε Κύριος σωτηρίαν
Συρίας· καὶ ὁ ἀνὴρ ἦν δυνατὸς ἰσχύϊ
β. λελεπρωμένος. Καὶ Συρία ἐξῆλθον
μονόζωνοι, πειρατήριον, καὶ ᾐχμαλώτευ-
σαν ἐκ γῆς Ἰσραὴλ νεάνιδα μικρὰν,
καὶ ἦν ἐνώπιον τῆς γυναικὸς Νεεμάν.
γ. Ἡ δὲ εἶπε τῇ κυρίᾳ αὐτῆς, ὄφελον
ὁ κύριός μου ἐνώπιον τοῦ Προφήτου τοῦ
Θεοῦ τοῦ ἐν Σαμαρείᾳ, τότε ἀποσυ-
νάξει αὐτὸν ἀπὸ τῆς λέπρας αὐτοῦ.
δ. Καὶ εἰσῆλθε καὶ ἀπήγγειλε τῷ κυρίῳ
αὐτῆς, καὶ εἶπεν, οὕτω καὶ οὕτως ἐλά-
ε. λησεν ἡ νεᾶνις ἡ ἐκ γῆς Ἰσραήλ. Καὶ
εἶπε βασιλεὺς Συρίας πρὸς Νεεμὰν,
δεῦρο, εἴσελθε καὶ ἐξαποστελῶ βιβλίον
πρὸς βασιλέα Ἰσραήλ. καὶ ἐπορεύ-
θη, καὶ ἔλαβεν ἐν τῇ χειρὶ αὐτοῦ δέκα
τάλαντα ἀργυρίου, καὶ ἑξακισχιλίους
χρυσοῦς, καὶ δέκα ἀλλασσομένας στο-
ϛ. λάς. Καὶ ἤνεγκε τὸ βιβλίον πρὸς
τὸν βασιλέα Ἰσραὴλ, λέγων, καὶ νῦν
ὡς ἂν ἔλθῃ τὸ βιβλίον τοῦτο πρὸς
E σὲ, ἰδοὺ ἀπέστειλα πρὸς σὲ Νεεμὰν τὸν
δοῦλόν μου, καὶ ἀποσυνάξεις αὐτὸν ἀπὸ
τῆς λέπρας αὐτοῦ.

ζ. Καὶ ἐγένετο ὡς ἀνέγνω βασι-
λεὺς Ἰσραὴλ τὸ βιβλίον, διέῤῥηξε
τὰ ἱμάτια αὐτοῦ, καὶ εἶπε, μὴ Θεὸς
ἐγὼ τοῦ θανατῶσαι καὶ ζωοποιῆσαι,
ὅτι οὗτος ἀποστέλλει πρός με ἀποσυ-
νάξαι ἄνδρα ἀπὸ τῆς λέπρας αὐτοῦ;
Z ὅτι πλὴν γνῶτε δὴ καὶ ἴδετε, ὅτι προ-
η. φασίζεται οὗτός με. Καὶ ἐγένετο ὡς
ἤκουσεν Ἐλισσαιὲ, ὅτι διέῤῥηξεν ὁ βα-
σιλεὺς Ἰσραὴλ τὰ ἱμάτια αὐτοῦ, καὶ
ἀπέστειλε πρὸς τὸν βασιλέα Ἰσραὴλ,
λέγων, ἵνα τί διέῤῥηξας τὰ ἱμάτιά
σου; ἐλθέτω δὴ πρός με Νεεμὰν, καὶ
γνώτω ὅτι ἐστὶ Προφήτης ἐν Ἰσραήλ.

H * ΘΕΟΔΩΡΙΤΟΥ. Τοσαύτη δὲ ἦν τῆς
πενίας ἐκείνης ἡ δύναμις, ὡς τὸν βασιλέα
τῶν Σύρων ἐκείνης δεηθῆναι τῆς χάριτος,
καὶ

(1) Βαιθαρισά. αἱ αὐτ.

(2) Ναιμάν. αἱ αὐτ.

καὶ Νεεμὰν ἀποστεῖλαι τὸν στρατηγὸν, ὥστε
αὐτὸν διὰ τῆς προφητικῆς χάριτος (1)
ἀπαλλαγῆναι τῆς λέπρας. καὶ ὁ μὲν βα-
σιλεὺς τοῦ Ἰσραὴλ τοῖς τοῦ Σύρου γράμμα-
σιν ἐντυχὼν, δι' ἀπορίαν τὴν ἐσθῆτα διέρ-
ρηξεν· ὁ δέ γε Προφήτης ὁ πένης αὐτῷ μὲν
ἐνεμέσησεν· ἀποσταλῆναι δὲ αὐτῷ τὸν Νεε-
μὰν παρηγγύησε.

θ. Καὶ ἦλθε Νεεμὰν ἐν ἵππῳ καὶ
ἅρματι, καὶ ἔστη ἐπὶ θύρας οἴκου Ἐλισ-
ι. σαιέ. Καὶ ἀπέστειλεν Ἐλισσαιὲ ἄγ-
γελον πρὸς αὐτὸν, λέγων, πορευθεὶς
λοῦσαι ἑπτάκις ἐν τῷ Ἰορδάνῃ, καὶ ἐπι-
στρέψει ἡ σάρξ σου σοὶ καὶ καθαρίσθητι.
ια. Καὶ ἐθυμώθη Νεεμὰν καὶ ἀπῆλθε,
καὶ εἶπεν, ἰδοὺ δὴ ἔλεγον, ὅτι ἐξελεύ-
σεται πρός με καὶ στήσεται, καὶ ἐπι-
καλέσεται ἐν ὀνόματι Θεοῦ αὐτοῦ, καὶ
ἐπιθήσει τὴν χεῖρα αὐτοῦ ἐπὶ τὸν τό-
ιβ. πον, καὶ ἀποσυνάξει τὸ λεπρόν. Οὐχὶ
ἀγαθοὶ Ἀβανὰ καὶ Φαρφὰρ ποτα-
μοὶ Δαμασκοῦ ὑπὲρ Ἰορδάνην καὶ πάν-
τα τὰ ὕδατα τοῦ Ἰσραήλ; οὐχὶ πο-
ρευθεὶς λούσομαι ἐν αὐτοῖς, καὶ κα-
θαρισθήσομαι; καὶ ἐξέκλινε καὶ ἀπῆλ-
θεν ἐν θυμῷ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ἰδεῖν μὲν αὐ-
[illegible] ὡς λεπρὸν οὐκ ἠνέχετο φυλάττων τὸν
[illegible], ὡς ὑπὸ τῷ νόμῳ πολιτευόμενος·
[illegible]άκις δὲ λούσασθαι ἐν τῷ Ἰορδάνῃ αὐτὸν
[illegible]οσέταξε ποταμῷ. σώματος δὲ ἦν ἡ λέ-
πρα· ἐκ δὲ τῶν τεσσάρων τοῦτο στοιχείων
συνέστηκεν· ἐν ἑπτὰ δὲ ἡμέραις ὁ παρὼν
βίος ἀνακυκλεῖται. τῆς δὲ ψυχῆς ἡ κά-
θαρσις κατὰ τὸν ἀριθμὸν τῆς ἁγίας ἀπο-
τελεῖται Τριάδος. ὁ δὲ Νεεμὰν τὸ πρῶτον
μὲν ἀντεῖπε, βελτίους εἶναι τοὺς Δαμασκοῦ
ποταμοὺς εἰρηκώς· τὴν εἰσήγησιν δὲ τῶν
οἰκείων δεξάμενος, ἀπελήλυθε, (2) καὶ ἐπα-
νῆκε καθαρός.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Νεαιμάν τις ἦν
Σύρος. οὗτος ὑπὸ λέπρας ἁλοὺς, καὶ αἰσχυ-
νόμενος τῷ πάθει, ὡς ὑπὲρ μεγίστων κινδύ-
νων, ἔρχεται εἰς τὴν Παλαιστίνην, λύσιν
βουλόμενος εὑρεῖν τοῦ κακοῦ παρὰ τοῦ Προ-
φήτου. ἐλθὼν τοίνυν καὶ πρὸς τῇ θύρᾳ τοῦ
ἀνδρὸς στὰς, ἐκάλει τὸν ἰατρόν· ὁ δὲ ὑπή-
κουσε μέν· οὐ μὴν ἐξῆλθεν· ἀλλ' ἀπέστειλε
πρὸς αὐτὸν κελεύων βαπτίζεσθαι ἐν τῷ Ἰορ-
δάνῃ ποταμῷ. ὁ δὲ ἐπειδὴ τὸ πρόσταγμα
ἦν κοῦφον, πολὺ τὸ αἰσθητὸν ἔχον, καὶ οὐχ
ὑψηλῆς δεόμενον διανοίας, οὐκ ἐπείσθη. ἀλ-
» λὰ τί φησιν; ἐγὼ ἔλεγον, ὅτι ἐξελεύσε-
» ται, καὶ ἐπιθήσει αὐτοῦ τὴν χεῖρα, καὶ ἐπι-
» καλέσεται τὸν Θεὸν αὐτοῦ, καὶ ἀποσυνάξει
τὴν λέπραν. ὁρᾷς τὴν ψυχὴν, πῶς αἰσθη-
τοῦ τινὸς ἐδεήθη σχήματος; τὸ γὰρ μὴ νο-
μίσαι τοῦ ἰατροῦ τὸ πρόσταγμα ἀρκεῖν, ἀλλὰ
δεηθῆναι χειρὸς, τῆς ἀσθενείας ἦν τοῦ θε-
ραπευομένου. πολλὰ δὲ καὶ ἕτερα ἐντεῦθεν

A ἡμῖν λύεται. διὰ τοῦτο καὶ ὁ Χριστὸς οὐ παν-
ταχοῦ λόγῳ ἰᾶται, ἀλλὰ καὶ τῇ χειρί. καὶ
γὰρ ἔβαλε τὴν χεῖρα εἰς τὸ στόμα καὶ εἰς
τὴν γλῶτταν. καὶ ἀλλαχοῦ μὲν λόγῳ μόνῳ,
ἀλλαχοῦ δὲ θελήματι πάντα ποιῶν, τοὺς προ-
σιόντας ἰᾶτο. τίνος οὖν ἕνεκεν τοῦτο ἐποίει;
διὰ τὴν ἀσθένειαν τῶν προσιόντων. καὶ ἵνα
μάθῃς, ὅτι διὰ τὴν ἀσθένειαν αὐτῶν τοῦτο
ἐγίνετο, τοὺς μὴ δεομένους τῶν τοιούτων ἐπῄ-
» νει. ἀμὴν γὰρ λέγω ὑμῖν, φησὶν, ὅτι οὐδὲ Ματθ. 8. 10.
B » ἐν τῷ Ἰσραὴλ τοσαύτην πίστιν εὗρον. ἐπει-
δήπερ αὐτὸν οὐχ εἵλκυσεν εἰς τὴν οἰκείαν
ὁ ἑκατόνταρχος, ἀλλ' ἔφησεν ἀρκεῖν αὐτῷ
τὸ πρόσταγμα.

** ΩΡΙΓΕΝΟΥΣ. Εἰς τὸ παραδέξα-
σθαι τὴν περὶ τοῦ ποτιμωτάτου καὶ χαρισι-
κωτάτου Ἰορδάνου ἑρμηνείαν, χρήσιμον πα-
ραθέσθαι τόν τε ἀπὸ τῆς λέπρας καθαρι-
ζόμενον Ναιμὰν τὸν Σύρον, καὶ τὰ λεγό-
μενα περὶ τῶν παρὰ τοῖς πολεμίοις τῆς
Γ θεοσεβείας ποταμῶν. περὶ μὲν οὖν Ναιμὰν
» γέγραπται, ὅτι ἦλθεν ἵππῳ, καὶ ἅρματι,
» καὶ ἔστη ἐπὶ θύραις οἴκου Ἐλισσαιὲ, καὶ ἀπέ-
» στειλεν Ἐλισσαιὲ ἄγγελον πρὸς αὐτὸν, λέ-
» γων· πορευθεὶς λοῦσαι ἑπτάκις ἐν τῷ Ἰορ-
» δάνῃ, καὶ ἐπιστρέψει ἡ σάρξ σου σοὶ καὶ κα-
θαρισθήσῃ. ὅτε καὶ θυμοῦται Ναιμὰν οὐ νοῶν
ὅτι ὁ Ἰορδάνης ἡμῶν ἐστὶν ὁ ἀπολύων τοὺς
διὰ τὴν λέπραν ἀκαθάρτους τῆς ἀκαθαρ-
σίας, καὶ ἰώμενος, οὐχὶ δὲ ὁ Προφήτης. Προ-
Δ φήτου γὰρ ἔργον πέμψαι ἐπὶ τὸ θερα-
πεῦον. μὴ συνιεὶς τοίνυν τὸ τοῦ Ἰορδάνου
» μέγα μυστήριον ὁ Ναιμὰν, φησίν· ἰδοὺ δὴ
» ἔλεγον ὅτι πάντως ἐξελεύσεται πρός με,
» καὶ στήσεται, καὶ ἐπικαλέσεται ἐν ὀνόματι
» Κυρίου Θεοῦ αὐτοῦ, καὶ ἐπιθήσει τὴν χεῖρα
» αὐτοῦ ἐπὶ τὸν τόπον, καὶ ἀποσυνάξει τὸ
λεπρόν. τὸ γὰρ ἐπιθεῖναι τὴν χεῖρα τῇ
λέπρᾳ καὶ καθαρίσαι μόνου τοῦ Κυρίου μου
Ἰησοῦ ἔργον ἦν, οὐ μόνον εἰπόντος τῷ μετὰ
E » πίστεως ἀξιώσαντι, ἐὰν θέλῃς, δύνασαί με Ματθ. 8. 2, 3.
» καθαρίσαι, τὸ, θέλω, καθαρίσθητι· πρὸς
γὰρ τῷ λόγῳ, καὶ ἥψατο αὐτοῦ, καὶ ἐκαθα-
ρίσθη ἀπὸ τῆς λέπρας αὐτοῦ. ἔτι δὴ πλα-
νώμενος ὁ Ναιμὰν, καὶ οὐχ ὁρῶν ὅσον ἀπο-
λείπονται οἱ ἕτεροι τοῦ Ἰορδάνου ποταμοὶ
πρὸς θεραπείαν τῶν πεπονθότων, ἐπαινεῖ
τοὺς τῆς Δαμασκοῦ ποταμοὺς Ἀβανὰ καὶ
» Φαρφὰ, λέγων· οὐχὶ ἀγαθὸς Ἀβανὰ καὶ
» Φαρφὰ ποταμοὶ Δαμασκοῦ ὑπὲρ πάντα τὰ
Z » ὕδατα Ἰσραήλ; οὐχὶ πορευθεὶς, λούσομαι ἐν
» αὐτοῖς, καὶ καθαρισθήσομαι; ὥσπερ γὰρ
» οὐδεὶς ἀγαθὸς, εἰ μὴ εἷς ὁ Θεὸς ὁ πατὴρ, Ματθ. 19. 17.
οὕτως ἐν ποταμοῖς οὐδεὶς ἀγαθὸς, εἰ μὴ ὁ
Ἰορδάνης, καὶ λέπρας ἀπαλλάξαι δυνάμε-
νος τὸν μετὰ πίστεως τὴν ψυχὴν λουόμενον
εἰς τὸν Ἰησοῦν. οἶμαι δὲ διὰ τοῦτον κλαίειν
ἀναγεγράφθαι πᾶσι τοῖς Βαβυλῶνος πο-
ταμοῖς καθεζομένους τοὺς μνησθέντας τῆς
Σιών. ἄλλων γὰρ ὑδάτων γευσάμενοι μετὰ
H τὸν ἅγιον Ἰορδάνην οἱ διὰ τὴν κακίαν αἰχ-
μαλωτευθέντες, εἰς ὑπόμνησιν καὶ πόθον
ἔρχονται τοῦ οἰκείου καὶ σωτηρίου ποταμοῦ.
διόπερ

(1) Προσευχῆς. ἡ ἐν Χάλ. ἔκδ. (2) Καὶ τοῦ πάθους ἀπαλλαγεὶς, προσελήλυθε τῷ Προφήτῃ. ἡ αὐτ.

Ψαλ. 136. 1 διόπερ ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος, φα-
» σὶν, ἐκεῖ ἐκαθίσαμεν· καὶ δῆλον ὅτι διὰ τὸ
» μὴ δύνασθαι στῆναι· καὶ ἐκλαύσαμεν.

** ΝΕΙΛΟΥ. Ἦλθε ποτὲ πρὸς Ἐλισσαιὲ ὁ τῆς Συρίας στρατηλάτης, πολλὰ κομίσας δῶρα μεθ' αὐτοῦ. τί οὖν ὁ Προφήτης, ἆρα ὑπηρέτησεν; ἆρα προσέδραμεν; οὐχὶ δι' ἑνὸς μειρακίου τὴν χρείαν αὐτῷ, ἐφ' ᾗ παρῆν, ἐδήλωσεν, οὐδὲ εἰς ὄψιν αὐτὸν δεξάμενος, ἵνα μὴ τῶν κομισθέντων ἕνεκα θεραπείαν παρέξαι νομισθῇ; ταῦτα δὲ εἴρηται, οὐχ ἵνα μάθωμεν ἀλαζονείαν, ἀλλ' ἵνα μὴ χρείας ἕνεκα σωματικῆς κολακεύωμεν τοὺς ἐκεῖνα περιέποντας, ὧν ἡμεῖς καταφρονεῖν ἐπηγγέλμεθα.

** ΤΟΥ ΑΥΤΟΥ. Ὅταν ἴδῃς ἄνθρωπον ἄπιστον καὶ φιλόκοσμον ἐγκαυχώμενον τῇ ματαιότητι τῆς προσκαίρου σοφίας, καὶ εὐτελίζοντα τὴν θεόπνευστον Γραφὴν, ὡς μὴ ἀττικίζουσαν, γίνωσκε τοῦτον Ναιμὰν ὑπάρχειν τὸν Σύρον, λελεπρωμένον ὅλον διὰ τῆς ἀπιστίας, πρὶν ἐπιγνῷ τὸν εὐεργέτην Θεὸν καὶ Κύριον τῶν ὅλων. ὅστις ἄγαν μὲν ἐθαύμαζε τοὺς μεγίστους τῆς Δαμασκοῦ ποταμοὺς, μηδαμῶς δυναμένους ἕνα λεπρὸν ἀπαλλάξαι τῆς κατεστίκτου λέπρας, ηὐτέλιζε δὲ τὸν ἐν τῇ γῇ τοῦ Ἰσραὴλ Ἰορδάνην. ἔχομεν γὰρ καὶ ἡμεῖς νοητοὶ Ἰσραηλῖται ὄντες τὰ τῆς θείας Γραφῆς ἰορδάνεια ῥεῖθρα, ἅπερ κατὰ μὲν τὴν προφορὰν τοῦ λόγου οὐδαμινά τε καὶ ἐλάχιστα φαίνεται, κατὰ δὲ τὰς δυνάμεις τῶν μυστηρίων τῶν κεκρυμμένων τοῖς Χριστοῦ διδάγμασιν, ὕδατι ἁλλομένῳ εἰς ζωὴν αἰώνιον, ἰατρεύοντί τε καὶ καθαίροντι καὶ φωτίζοντι πάντας τοὺς πιστεύοντας, ὑπερφυῆ τε τυγχάνει καὶ θαυμαστὰ, ἔνδοξά τε καὶ ὑπερυψούμενα εἰς αἰῶνας αἰῶνος.

ιγ. Καὶ ἤγγισαν οἱ παῖδες αὐτοῦ,
καὶ ἐλάλησαν πρὸς αὐτὸν, μέγαν λό-
γον ἐλάλησεν ὁ Προφήτης πρὸς σέ·
οὐχὶ ποιήσεις; (1) ὅτι εἶπε πρὸς σὲ, λοῦ-
ιδ. σαι καὶ καθαρίσθητι. Καὶ κατέβη
Νεεμὰν καὶ ἐβαπτίσατο ἐν τῷ Ἰορδάνῃ
ἑπτάκις κατὰ τὸ ῥῆμα Ἐλισσαιέ. καὶ
ἐπέστρεψεν ἡ σὰρξ αὐτοῦ ὡσεὶ σὰρξ
παιδαρίου μικροῦ, καὶ ἐκαθαρίσθη.

ιε. Καὶ ἐπέστρεψε πρὸς Ἐλισσαιὲ
αὐτὸς καὶ πᾶσα ἡ παρεμβολὴ αὐτοῦ.
καὶ ἦλθε καὶ ἔστη ἐνώπιον αὐτοῦ, καὶ
εἶπεν, ἰδοὺ δὴ ἔγνωκα ὅτι οὐκ ἔστι Θεὸς
ἐν πάσῃ τῇ γῇ, ὅτι ἀλλ' ἢ ἐν τῷ Ἰσ-
ραήλ. καὶ νῦν λάβε τὴν εὐλογίαν
ιϛ. παρὰ τοῦ δούλου σου. Καὶ εἶπεν Ἐλισ-
σαιὲ, ζῇ Κύριος ᾧ παρέστην ἐνώπιον
αὐτοῦ, εἰ λήψομαι. καὶ παρεβιάσατο
αὐτὸν λαβεῖν, καὶ ἠπείθησε.

A * ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ πρῶτον (2) τῷ Προφήτῃ ἐπανιὼν, πολύτιμα προσενήνοχε δῶρα. ὁ δὲ Προφήτης τὴν πολυπόθητον πενίαν παντὸς προτετίμηκε πλούτου, καὶ τὴν εὐαγγελικὴν νομοθεσίαν πρὸ τῆς νο-
» μοθεσίας πεπλήρωκε. δωρεὰν γάρ φησιν Ματθ. 10, 8.
» ἐλάβετε, δωρεὰν δότε.

ιζ. Καὶ εἶπε Νεεμὰν, καὶ εἰ μὴ,
δοθήτω δὴ τῷ δούλῳ σου γόμορ ζεύγους
B ἡμιόνων, (3) καὶ σύ μοι δώσεις ἐκ τῆς
γῆς τῆς σποράς, ὅτι οὐ ποιήσει ἔτι ὁ
δοῦλός σου ὁλοκαύτωμα (4) Θεοῖς ἑτέ-
ιη. ροις ἀλλ' ἢ τῷ Κυρίῳ μόνῳ. Καὶ ἱλά-
σεται (5) ὁ Κύριος τῷ δούλῳ σου ἐν τῷ
εἰσπορεύεσθαι τὸν κύριόν μου εἰς οἶκον
Ῥεμμὰν προσκυνῆσαι αὐτόν. καὶ ἐπα-
ναπαύσεται ἐπὶ τῆς χειρός μου, καὶ
προσκυνήσω ἐν οἴκῳ Ῥεμμὰν ἐν τῷ
Γ προσκυνεῖν αὐτὸν ἐν οἴκῳ Ῥεμμάν·
καὶ ἱλασθήσεται δὴ Κύριος τῷ δούλῳ
σου ἐν τῷ λόγῳ τούτῳ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ θαυμάσιος ἐκεῖνος ἀνὴρ, καὶ αὐτὴν τοῦ Ἰσραὴλ τὴν γῆν ἡγιάσθαι νομίζων, δύο γόμους ἡμιονικοὺς ἠξίωσεν ἐκ ταύτης λαβεῖν, ὥστε ἐπὶ ταύτης μόνῳ προσφέρειν τῷ [δεσπότῃ] Θεῷ
» τὰς νενομισμένας θυσίας. οὐ γὰρ ποιήσ[ει]
Δ » φησὶν, ὁ δοῦλός σου ὁλοκαυτώματα ἢ θυ[σίαν]
» Θεοῖς ἑτέροις, ἀλλ' ἢ τῷ Κυρίῳ μόνῳ[.]
» περὶ τοῦ λόγου τούτου ἱλάσεταί μοι Κύριο[ς]
» δούλῳ σου, καὶ ἐν τῷ εἰσπορεύεσθαι τὸν κύρ[ιον]
» μου εἰς οἶκον Ῥεμμὰν (6) προσκυνῆσαι ἐκεῖ[,]
» ὅτι αὐτὸς ἐπαναπέπαυται (7) ἐπὶ τῆς χει-
» ρός μου. [καὶ ἐν τῷ προσκυνεῖν αὐτὸν εἰς
» οἶκον Ῥεεμὰν, προσκυνήσω ἅμα αὐτῷ Κυ-
» ρίῳ τῷ Θεῷ. καὶ ἱλάσεται Κύριος τῷ δού-
» λῳ σου περὶ τοῦ λόγου τούτου.] ἀνάγκη μοι,
E φησὶ, συνεισιέναι τῷ βασιλεῖ τὸν ψευδώνυμον Θεὸν προσκυνεῖν βουλομένῳ· ἀλλ' εἰσιὼν ἐγὼ τὸν ἀληθινὸν προσκυνήσω Θεόν· συγγνώμης τυχεῖν ἱκετεύων, ὅτι δὴ διὰ τὴν βασιλικὴν ἀνάγκην εἰσελθεῖν πρὸς τὸν ψευδώνυμον Θεὸν ἀναγκάζομαι. τοῦτο γὰρ δε-
» δήλωκεν, εἰρηκὼς, ἱλάσεταί μοι Κύριος τῷ
» δούλῳ σου περὶ τοῦ λόγου τούτου. ταῦτα δὲ τὰ ῥήματα τῆς ἰουδαϊκῆς πληθύος κατηγορεῖ, ὅτι καὶ νόμον ἔχοντες, καὶ Προφή-
Z τας, καὶ ἱερέας, καὶ θαυματουργίας, καὶ θεοσημείας ὁρῶντες, τὴν τῶν εἰδώλων θεραπείαν τῆς τοῦ Θεοῦ τῶν ὅλων προτετιμήκασι λατρείας. (8)

ιθ. Καὶ εἶπεν Ἐλισσαιὲ πρὸς Νεε-
μὰν, δεῦρο εἰς εἰρήνην. καὶ ἀπῆλθεν
κ. ἀπ' αὐτοῦ εἰς Γαβραθὰ τῆς γῆς. Καὶ
εἶπε Γιεζὶ τὸ παιδάριον Ἐλισσαιὲ, ἰδοὺ
ἐφείσατο ὁ κύριός μου τοῦ Νεεμὰν τοῦ
H Σύρου τούτου, τοῦ μὴ λαβεῖν ἐκ χειρὸς
αὐτοῦ

(1) Καὶ ὅτι. αἱ αὐτ. (2) Πρῶτον αὐτῷ τὰ πολύτ. ἡ αὐτ. (3) Ἡμιόνων ὅτι. αἱ αὐτ.
(4) Ὁλοκαύτωμα καὶ θυσίασμα. αἱ αὐτ. (5) Ἱλάσεται Κύρ. αἱ αὐτ.
(6) Ῥεεμάν. ἡ ἐν Χαλ. ἐκδ. (7) Ἐπαναπαύεται. ἡ αὐτ. (8) Θεραπείας. ἡ αὐτ.

αὐτοῦ ὧν ἐνήνοχε· ζῇ Κύριος, ὅτι εἰ
μὴ δραμοῦμαι ὀπίσω αὐτοῦ, καὶ λήψο-
κα. μαι παρ' αὐτοῦ τί. Καὶ ἐδίωξε Γιεζὶ
ὀπίσω τοῦ Νεεμάν. καὶ εἶδεν αὐτὸν
Νεεμὰν τρέχοντα ὀπίσω αὐτοῦ, καὶ
ἐπέστρεψεν ἀπὸ τοῦ ἅρματος εἰς ἀπάν-
κβ. τησιν αὐτοῦ. Καὶ εἶπεν, εἰρήνη· ὁ κύ-
ριός μου ἀπέστειλέ με, λέγων, ἰδοὺ νῦν
ἦλθον πρός με δύω παιδάρια ἐξ ὄρους
Ἐφραὶμ ἀπὸ τῶν υἱῶν τῶν Προφη-
τῶν· δὸς δὴ αὐτοῖς τάλαντον ἀργυ-
ρίου, καὶ δύω ἀλλασσομένας στολάς.
κγ. Καὶ εἶπε Νεεμὰν, λάβε δὴ τάλαν-
τον (1) ἀργυρίου. καὶ ἔλαβε δύω τά-
λαντα ἀργυρίου ἐν δυσὶ θηλακίοις,
καὶ δύω ἀλλασσομένας στολὰς, καὶ ἔδω-
κεν ἐπὶ δύω παιδάρια αὐτοῦ, καὶ ἦραν
κδ. ἔμπροσθεν αὐτοῦ. Καὶ ἦλθεν εἰς τὸ
σκοτεινὸν, καὶ ἔλαβεν ἐκ τῶν χειρῶν
αὐτῶν, καὶ παρέθετο ἐν οἴκῳ, καὶ ἐξα-
κε. πέστειλε τοὺς ἄνδρας. Καὶ αὐτὸς εἰ-
σῆλθε, καὶ παρειστήκει πρὸς τὸν κύριον
αὐτοῦ. καὶ εἶπε πρὸς αὐτὸν Ἐλισσαιὲ,
πόθεν Γιεζί; καὶ εἶπε Γιεζὶ, οὐ πεπό-
ρευται ὁ δοῦλός σου ἔνθεν καὶ ἔνθεν. (2)
κϛ. Καὶ εἶπε πρὸς αὐτὸν Ἐλισσαιὲ,
ἡ καρδία μου ἐπορεύθη μετὰ σοῦ
ἐπέστρεψεν ὁ ἀνὴρ ἐκ (3) τοῦ ἅρμα-
τος εἰς συνάντησίν σοι; καὶ νῦν ἔλα-
βες τὸ ἀργύριον, καὶ ἔλαβες τὰ ἱμά-
τια, καὶ λήψῃ ἐν αὐτῷ κήπους καὶ
ἐλαιῶνα καὶ ἀμπελῶνα καὶ πρόβα-
τα καὶ βόας καὶ παῖδας καὶ παιδίσ-
κζ. κας. Καὶ ἡ λέπρα Νεεμὰν κολλη-
θήσεται ἐν σοὶ καὶ ἐν τῷ σπέρματί σου
εἰς τὸν αἰῶνα. καὶ ἐξῆλθεν ἐκ τοῦ προ-
σώπου αὐτοῦ λελεπρωμένος ὡσεὶ χιών.

** ΚΥΡΙΛΛΟΥ ΙΕΡΟΣΟΛΥΜΩΝ. Πό-
„ θεν Γιεζί; Οὐκ ἀγνοῶν τὸ πόθεν, ἀλλὰ
πενθῶν τὸ πόθεν· ἀπὸ σκότους ἦλθες, καὶ
A εἰς σκότος πορεύσῃ, πέπρακας τοῦ λεπροῦ
τὴν ἴασιν, καὶ κληρονομεῖς τὴν λέπραν· ἐπ-
λήρωσα, φησὶν, ἐγὼ τὸ κέλευσμα τοῦ εἰρη-
„ κότος μοι, δωρεὰν ἐλάβετε δωρεὰν δότε. Ματθ. 10. 8.
σὺ δὲ ἐπώλησας τὴν χάριν· ἀπόδεξαι τῆς
πράσεως τὴν ὑπόθεσιν. ἀλλὰ τί λέγει πρὸς
„ αὐτὸν ὁ Ἐλισσαῖος; οὐχὶ ἡ καρδία μου ἐπο-
„ ρεύθη μετὰ σοῦ; ὧδε ἤμην ἐγὼ περικε-
κλεισμένος τῷ σώματι, ἀλλὰ τὸ πνεῦμα τὸ
ὑπὸ τοῦ Θεοῦ μοι δοθὲν, ἔβλεπε καὶ τὰ μα-
B κρὰν, καὶ τὰ ἀλλαχοῦ γινόμενα σαφῶς ἐδείκ-
νυέ μοι. βλέπεις πῶς οὐ μόνον περιαιρεῖ τὴν
ἀγνωσίαν, ἀλλὰ καὶ γνῶσιν ἐντίθησι; βλέ-
πεις πῶς φωτίζει τὰς ψυχὰς τὸ Πνεῦμα
τὸ ἅγιον;

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τοῦτό ἐστι παρεῖ-
ναι τῷ πνεύματι, ὥσπερ ὁ Ἐλισσαῖος παρῆν
„ τῷ Γιεζὶ, καὶ ἔλεγεν, οὐχὶ ἡ καρδία μου ἦν
μετὰ σοῦ; βαβαὶ, πόση τοῦ χαρίσματος ἡ
δύναμις, ὅταν πάντας ὁμοῦ καὶ κατ' αὐτὸ
Γ εἶναι ποιῇ, καὶ τὰ πόῤῥωθεν εἰδέναι πα-
ρασκευάζῃ;

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἄξιον δὲ θαυμά-
σαι τοῦ Προφήτου καὶ τῆς χάριτος τὴν ἰσχὺν
καὶ τῆς ψήφου τὸ δίκαιον. καὶ γὰρ ἔγνω τοῦ
Γιεζὶ τὴν κλοπὴν, καὶ τὴν λέπραν αὐτῷ
„ τοῦ Νεεμὰν ἀπεκλήρωσεν. οὐχὶ ἡ καρδία μου,
„ φησὶν, ἦν μετὰ σοῦ, ὅτε κατεπήδησε Νεε-
„ μὰν ἀπὸ τοῦ ἅρματος αὐτοῦ εἰς συνάντησίν
„ σου; καὶ νῦν ἔλαβες τὸ ἀργύριον, καὶ τὰ
Δ „ ἱμάτια, καὶ λήψῃ σεαυτῷ (4) κήπους, καὶ
„ ἐλαιῶνας, καὶ ἀμπελῶνας, καὶ ποίμνια, καὶ
„ βουκόλια, καὶ δούλους, καὶ δούλας· καὶ ἡ λέ-
„ πρα ἡ Νεεμὰν κολληθήσεταί σοι, καὶ ἐν τῷ
„ σπέρματί σου ἕως αἰῶνος. ἀλλ' ἐκεῖνος μὲν
ἐραστὴς χρημάτων γεγονὼς, ἀπεφάνθη
λεπρός· ὁ δὲ τῶν Προφητῶν χορὸς τὴν
ἐσχάτην πενίαν ἠσπάσατο.

** ΑΣΤΕΡΙΟΥ ΑΜΑΣΕΙΑΣ. Συνδιαμ-
νημόνευσον εἴ τις φιλοΐστωρ καὶ τῶν κατορ-
E θωμάτων Ἐλισσαίου φιλήκοος, ὅπως μὲν ὁ
Σύρος Νεαιμὰν ἐκαθαρίσθη τῆς λέπρας ἐν
τῷ Ἰορδάνῃ λουσάμενος· ὅπως δὲ μετῆλθε
τὸ πάθος εἰς Γιεζὶ τὸ παιδάριον, νεανίσ-
κον πλεονέκτην καὶ ἀφιλόσοφον, πνευμα-
τικὸν πωλήσαντα χάρισμα, καὶ τὴν ἄμι-
σθον ἰατρείαν τοῦ διδασκάλου.

ΚΕΦ. Ϛ.

α. Καὶ εἶπον οἱ υἱοὶ τῶν Προφη-
τῶν πρὸς Ἐλισσαιὲ, ἰδοὺ δὴ
ὁ τόπος ἐν ᾧ ἡμεῖς κατοι-
κοῦμεν (5) ἐνώπιόν σου στενὸς ἀφ' ἡμῶν.
β. Πορευθῶμεν δὴ ἕως τοῦ Ἰορδάνου, καὶ
λάβωμεν ἐκεῖθεν ἀνὴρ εἷς δοκὸν μίαν,
καὶ ποιήσωμεν ἑαυτοῖς ἐκεῖ τοῦ οἰκεῖν
γ. ἐκεῖ. καὶ εἶπε, δεῦτε. Καὶ εἶπεν ὁ εἷς,
δεῦρο ἐπιεικῶς, δεῦρο μετὰ τῶν δού-
λων σου, καὶ εἶπεν, ἐγὼ πορεύσομαι.
δ. Καὶ ἐπορεύθη μετ' αὐτῶν, καὶ ἦλθον εἰς
τὸν Ἰορδάνην, καὶ ἔτεμον (6) τὰ ξύλα.
ε. Καὶ ἰδοὺ ὁ εἷς καταβάλλων τὴν
δοκὸν, καὶ τὸ σιδήριον ἐκπεσὸν ἐκ τοῦ στε-
λέχους, ἐξέπεσεν εἰς τὸ ὕδωρ, καὶ ἐβόη-
σεν, ὦ Κύριε, καὶ αὐτὸ κεκρυμμένον.

H * ΘΕΟΔΩΡΙΤΟΥ. Οὐδὲ οἰκίας εἶχον
οἱ υἱοὶ τῶν Προφητῶν, ἀλλὰ καλύβαις ἐχ-
ρῶντο.

(1) Διτάλαντον. αἱ αὐτ. (2) Ἔνθα καὶ ἔνθα. αἱ αὐτ. (3) Ἀπό. αἱ αὐτ.
(4) Ἐν αὐτῷ. ἡ αὐτ. (5) Οἰκοῦμεν. αἱ αὐτ. (6) Ἔτεμνον. αἱ αὐτ.

ρῶντο. διὸ τὸν μέγαν Προφήτην ἱκέτευ- A
σαν συναπελθεῖν αὐτοῖς ξύλα τέμνουσιν εἰς
τὴν τούτων κατασκευήν. τοσαύτῃ δὲ ἐχρῶν-
το πενίᾳ, ὡς μηδὲ ἀξίνην ἀνέχεσθαι κτή-
σασθαι. αὐτίκα γοῦν μιᾶς εἰς τὸν ποταμὸν
εἰσπεσούσης, εἴρηκεν ὁ ταύτῃ χρώμενος· ὦ
» δὴ Κύριε, καὶ αὐτὸ κεχρημένον. ἀλλὰ μη-
δεὶς ἡγείσθω βλάσφημον τὴν φωνήν· ἐπεὶ
καὶ ὁ προφήτης Δαβὶδ ἐν τῇ πνευματικῇ
Ψαλ. 117. 25. μελῳδίᾳ εἶπεν. ὦ Κύριε σῶσον δή, ὦ Κύ-
» ριε εὐόδωσον δή. B

ς. Καὶ εἶπεν ὁ ἄνθρωπος τοῦ Θεοῦ,
ποῦ ἔπεσε; καὶ ἔδειξεν αὐτῷ τὸν τόπον.
καὶ ἀπέκνισε ξύλον καὶ ἔῤῥιψεν ἐκεῖ,
ζ. καὶ ἐπεπόλασε τὸ σιδήριον. Καὶ εἶ-
πεν, ὕψωσον σεαυτῷ. καὶ ἐξέτεινε τὴν
χεῖρα αὐτοῦ, καὶ ἔλαβεν αὐτό.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Παραδόξως δὲ ἄ-
γαν ὁ Προφήτης ἀνήγαγε τὸ σιδήριον. ξύ-
λον γὰρ ἐμβαλὼν, παρεσκεύασεν ἐπιπο- Γ
λάσαι τὸ σιδήριον. τοῦτο δὲ πάλιν προετύ-
που τὴν τοῦ Θεοῦ καὶ σωτῆρος ἡμῶν οἰκονο-
μίαν. ὥσπερ γὰρ τὸ μὲν κουφότατον ξύλον
ὑποβρύχιον γέγονεν, ὁ δὲ βαρύτατος ἐπε-
πόλασε σίδηρος· οὕτω τῆς θείας φύσεως
ἐπραγματεύσατο ἡ κατάβασις τῆς ἀνθρω-
πίνης φύσεως τὴν ἀνάβασιν.

∗∗ ΙΟΥΣΤΙΝΟΥ. Ξύλον Ἐλισσαῖος
βαλὼν εἰς τὸν Ἰορδάνην ποταμὸν, ἀνήνεγ-
κε τὸν σίδηρον τῆς ἀξίνης, ἐν ᾗ πεπορευ- Δ
μένοι ἦσαν οἱ υἱοὶ τῶν Προφητῶν κόψαι ξύ-
λα εἰς οἰκοδομὴν τοῦ οἴκου· ἐν ᾧ τὸν νόμον
καὶ τὰ προστάγματα τοῦ Θεοῦ λέγειν καὶ με-
λετᾶν ἐβούλοντο· ὡς καὶ ἡμᾶς βεβαπτισμέ-
νους ταῖς βαρυτάταις ἁμαρτίαις, ἃς ἐπρά-
ξαμεν, διὰ τοῦ σταυρωθῆναι ἐπὶ τοῦ ξύλου,
καὶ δι' ὕδατος ἁγνίσαι, ὁ Χριστὸς ἡμῶν ἐλυ-
τρώσατο, καὶ οἶκον εὐχῆς καὶ προσκυνή- E
σεως ἐποίησεν.

» ∗∗ ΕΙΡΗΝΑΙΟΥ. Καὶ εἶπεν ὁ ἄνθρω-
» πος τοῦ Θεοῦ, ποῦ ἔπεσε; καὶ ἔδειξεν αὐτῷ
» τὸν τόπον· καὶ ἀπέκνισε ξύλον, καὶ ἔῤῥι-
» ψεν ἐκεῖ, καὶ ἐπεπόλασε τὸ σιδήριον. Ὅπερ
ἦν σημεῖον ἀναγωγῆς ψυχῶν διὰ ξύλου, ἐφ'
οὗ πέπονθεν ὁ ψυχὰς ἀνάγειν δυνάμενος,
ἀκολουθούσας ἀνόδῳ τῇ ἑαυτοῦ. οὗ καὶ ἐκεῖνο
γνώρισμα, τὸ ἀναβιῶναι ψυχὰς πολλὰς,
καὶ ἐν τοῖς σώμασιν ὀφθῆναι ἅμα τῇ κα-
θόδῳ τῆς ἁγίας ψυχῆς Χριστοῦ. ὡς γὰρ τὸ
κουφότατον ξύλον ὑποβρύχιον γέγονεν, ὁ Z
δὲ βαρύτατος ἐπεπόλασε σίδηρος· οὕτω τοῦ
Θεοῦ λόγου ἑνώσει, τῇ καθ' ὑπόστασιν φυσικῇ,
ἑνωθέντος τῇ σαρκὶ, τὸ βαρὺ καὶ γεῶδες
ὑπὸ τῆς θείας φύσεως εἰς οὐρανοὺς ἀνελήφ-
θη μετὰ τὴν ἀνάστασιν ἀφθαρτισθέν.

∗∗ ΝΕΙΛΟΥ. Τὶς τῶν τῷ Ἐλισσαίῳ
φοιτησάντων κόπτων ξύλον ἐν τῷ Ἰορδάνῃ,
καὶ τοῦ σιδηρίου εἰς τὸν ποταμὸν ἐκπεσόν-
τος, τὸν κίνδυνον ὑφορώμενος, πρὸς τὸν
» διδάσκαλον ἐβόα, λέγων· οἴμοι κύριε. καὶ
» αὐτὸ κεχρημένον. τοῦτο δὲ πάσχουσιν οἱ ἐκ

A παρακουσμάτων διδάσκειν ἐπιχειροῦντες, καὶ
πρὸς τὸ τέλειον ἐλθεῖν ἀδυνατοῦντες, διὰ
τὸ μὴ ἀπὸ οἰκείας ἕξεως λέγειν. ὅταν γὰρ
ἐν τῷ μεταξὺ ἐναντιοῦντι τῷ προκειμένῳ
φωραθῶσι λέγοντες, τότε τὴν ἄγνοιαν
ὁμολογοῦσιν ἐπὶ τῷ κεχρημένῳ λόγῳ κινδυ-
νεύοντες. διὸ καὶ ὁ μέγας Ἐλισσαῖος ξύλον
εἰς τὸν βυθὸν ἐμβαλὼν, ἐπιπολάσαι πα-
ρεσκεύασε τὸ σιδήριον, τὸ ἀποῤῥιφὲν πα-
ρὰ τοῦ μαθητοῦ καὶ ἐν βυθῷ κεκαλύφθαι
B νομισθὲν νόημα σαφηνίσας, καὶ ὑπ' ὄψιν
ἀγαγὼν τῶν ἀκουόντων. ἰδοὺ ὁ Ἰορδάνης τὸν
τῆς μετανοίας σημαίνει λόγον. ἐκεῖ γὰρ
ἐτελεῖτο παρὰ τοῦ Ἰωάννου τὸ βάπτισμα τῆς
μετανοίας. ὁ δὲ περὶ μετανοίας μὴ ἠκρι-
βωμένως εἰρηκὼς, ἀλλὰ διὰ τοῦ γυμνῶσαι
τὴν κεκρυμμένην χρηστότητα εἰς καταφρό-
νησιν ἐλθεῖν παρασκευάσας τοὺς ἀκροατὰς,
ἐν τῷ Ἰορδάνῃ κατέβαλε τὸ σιδήριον. εὔ-
δηλον (1) καὶ τὸ φανὲν ξύλον ἀναφέρειν
Γ ἐκ τοῦ βυθοῦ τὸ σιδήριον, καὶ ἐπιπολᾷν ἐμ-
ποιεῖ. πρὸ μὲν γὰρ τοῦ σταυροῦ ἐκέκρυπτο ὁ
περὶ μετανοίας λόγος. διὸ καὶ ὁ περὶ αὐ-
τῆς εἰπεῖν τὶ βουληθεὶς ἠλέγχθη προχεί-
ρως τολμήσας· μετὰ δὲ τὸν σταυρὸν φανε-
ρὸς πᾶσι γέγονεν ἐν τῷ οἰκείῳ καιρῷ διὰ
τοῦ ξύλου ἀναδειχθείς.

η. Καὶ ὁ βασιλεὺς Συρίας ἦν πο-
λεμῶν ἐν Ἰσραήλ. καὶ ἐβουλεύσατο
Δ πρὸς τοὺς παῖδας αὐτοῦ, λέγων, [illegible]
τὸν τόπον τὸν δέ τινα Ἑλμωνὶ [illegible]
ρεμβαλῶ.
» ∗ ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, εἰς τὸν το[illegible]
» τὸν Ἑλμωνί; (2) Ὡς ἄν τις εἴποι, εἰς τόν [illegible]
τὸν τόπον. τοῦτο γὰρ δηλοῖ τὸ Ἑλμωνί.

θ. Καὶ ἀπέστειλεν Ἐλισσαιὲ πρὸς
τὸν βασιλέα Ἰσραὴλ, λέγων, Φύ-
E λαξαι μὴ παρελθεῖν ἐν τῷ τόπῳ τού-
ι. τῳ, ὅτι ἐκεῖ Συρία κέκρυπται. Καὶ
ἀπέστειλεν ὁ βασιλεὺς Ἰσραὴλ εἰς τὸν
τόπον ὃν εἶπεν αὐτῷ Ἐλισσαιὲ, καὶ ἐφυ-
λάξατο ἐκεῖθεν οὐ μίαν οὐδὲ δύω.

∗∗ ΙΩΣΗΠΟΥ. Ἐλισσαῖος ταχέως
πρὸς Ἰώραμον ἐξαπέστειλε, φυλάττεσθαι
τὸν τόπον ἐκεῖνον αὐτῷ παραινῶν. εἶναι
γὰρ ἐν αὐτῷ Σύρους τινὰς τοὺς ἐκεῖ λοχῶν-
τας αὐτὸν ἀναιρεῖν. καὶ ὁ μὲν βασιλεὺς οὐκ
Z ἐπὶ τὴν θήραν ἐξώρμησε, τῷ Προφήτῃ
πειθόμενος· Ἄδαδος δὲ τῆς ἐπιβουλῆς δια-
μαρτὼν, ὡς τῶν ἰδίων αὐτοῦ καταμηνυσάν-
των τὴν ἐνέδραν πρὸς Ἰώραμον ὠργίζετο.

ια. Καὶ ἐξεκινήθη ἡ ψυχὴ βασι-
λέως Συρίας περὶ τοῦ λόγου τούτου· καὶ
ἐκάλεσε τοὺς παῖδας αὐτοῦ, καὶ εἶπε
πρὸς αὐτοὺς, οὐκ ἀπαγγελεῖτέ μοι τίς
ιβ. προδίδωσί με βασιλεῖ Ἰσραήλ; Καὶ
H εἶπεν εἷς τῶν παίδων αὐτοῦ, οὐχὶ κύριέ
μου βασιλεῦ, ὅτι ὁ προφήτης Ἐλισ-
σαιὲ

(1) Εὔδηλον, ὅτι τὸ φανὲν ξύλον ἀναφέρει. οὕτως ἀναγνωστ. ἄλλως γὰρ ἀσύντακτον.
(2) Φελμουνί. ἡ ἐν Χάλ. ἔκδ. Εἰς τὸν τόπον τὸν δεῖνα. ὁ Ἀκύλας. ἐν ταῖς σημειώσ. τῆς αὐτ. ἐκδόσ.

σαιὲ ὁ ἐν Ἰσραὴλ ἀναγγέλλει τῷ βα-
σιλεῖ Ἰσραὴλ πάντας τοὺς λόγους, οὓς
ἐὰν λαλήσῃς ἐν τῷ ταμείῳ τοῦ κοιτῶ-
ιγ. νός σου. Καὶ εἶπε, δεῦτε ἴδετε ποῦ αὐ-
τός, καὶ ἀποστείλας λήψομαι αὐτόν.
καὶ ἀπήγγειλαν αὐτῷ, λέγοντες, ἰδοὺ
ιδ. ἐν Δωθαΐν. (1) Καὶ ἀπέστειλεν ἐκεῖ
ἵππον καὶ ἅρμα καὶ δύναμιν βαρεῖαν,
καὶ ἦλθον νυκτὸς καὶ περιεκύκλωσαν
ιε. τὴν πόλιν. Καὶ ὤρθρισεν ὁ λειτουργὸς
Ἐλισσαιὲ ἀναστῆναι, καὶ ἐξῆλθε· καὶ ἰδοὺ
δύναμις κυκλοῦσα τὴν πόλιν, καὶ ἵπ-
πος καὶ ἅρμα. καὶ εἶπε τὸ παιδάριον πρὸς
αὐτόν, ὦ κύριε, πῶς ποιήσωμεν; (2)
ις. Καὶ εἶπεν Ἐλισσαιὲ, μὴ φοβοῦ, ὅτι
πλείους οἱ μεθ' ἡμῶν ὑπὲρ τοὺς μετ' αὐ-
ιζ. τῶν. Καὶ προσηύξατο Ἐλισσαιὲ, καὶ
εἶπε, Κύριε, διάνοιξον δὴ τοὺς ὀφθαλ-
μοὺς τοῦ παιδαρίου καὶ ἰδέτω. καὶ διήνοιξε
Κύριος τοὺς ὀφθαλμοὺς αὐτοῦ καὶ εἶδε·
καὶ ἰδοὺ τὸ ὄρος πλῆρες ἵππων, καὶ ἅρ-
μα πυρὸς περικύκλῳ Ἐλισσαιέ.

ιη. Καὶ κατέβησαν πρὸς αὐτόν·
καὶ προσηύξατο πρὸς Κύριον Ἐλισ-
σαιὲ, καὶ εἶπε, πάταξον δὴ τὸ ἔθνος τοῦ-
ἀορασίᾳ. καὶ ἐπάταξεν αὐτοὺς, (3)
ὰ τὸ ῥῆμα Ἐλισσαιέ. Καὶ εἶπε
ς αὐτοὺς Ἐλισσαιὲ, οὐχὶ αὕτη ἡ
λις καὶ αὕτη ἡ ὁδός. δεῦτε ὀπίσω
μου, καὶ ἀπάξω ὑμᾶς πρὸς τὸν ἄνδρα
ὃν ζητεῖτε. καὶ ἀπήγαγεν αὐτοὺς εἰς
κ. Σαμάρειαν. Καὶ ἐγένετο ὡς εἰσῆλ-
θον εἰς Σαμάρειαν, καὶ εἶπεν Ἐλισ-
σαιὲ, ἄνοιξον δὴ Κύριε τοὺς ὀφθαλ-
μοὺς αὐτῶν καὶ ἰδέτωσαν. καὶ διήνοιξε
Κύριος τοὺς ὀφθαλμοὺς αὐτῶν, καὶ εἶ-
δον. καὶ ἰδοὺ ἦσαν ἐν μέσῳ Σαμαρείας.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀξιάγαστον δὲ τοῦ Προφήτου καὶ τοῦτο. θηρούσει (4) γὰρ ἐθήρευσε τοὺς θηρεύσαντας, καὶ ἀχλὺν τοῖς τούτων ὀφθαλμοῖς ἐπαγαγὼν, εἰς τὴν βασιλεύουσαν αὐτοὺς εἰσήγαγε πόλιν. εἶτα τὴν ἀχλὺν ἀποσκεδάσαι τὸν Θεὸν ἱκετεύσας, γνῶναι παρεσκεύασεν, ὡς εἴσω τῶν ἀρκύων ἐλήφθησαν. καὶ ὅτι ζωγρῆσαι πειραθέντες, ἐζώγρηνται.

** ΝΕΙΛΟΥ. Προσευχῇ στρατὸν ὅλον Ἐλισσαῖος ἀορασίᾳ περιέβαλε, καὶ τοὺς ἐπὶ φθορᾷ παραγενομένους αὐτοῦ αἰχμαλώτους ἀπήγαγεν, οὐ μόνον ἐπιβουλεύειν οὐκ ἰσχύοντας, ὡς προέθεντο, ἀλλ' οὐδ' ἀρήγειν ἑαυτοὺς δυναμένους, τῆς ἀρηγούσης ἐν τῷ σώματι ὄψεως ἀργεῖν ποιησάσης ὁμοῦ καὶ ὅπλα καὶ χεῖρας. οὐδὲν γὰρ πηρώσεως ἀσθενέστερον, οὐδὲν ἀδικεῖν τὸν οὐχ ὁρώμενον δυναμένης, καὶ ἀδικουμένης εὐκόλως διὰ τὸ μὴ πάλιν ὁρᾶν τὸν ἐπιόντα πρὸς ἄμυναν. ὅθεν καὶ καλῶς ἀδυνάτους ἡ συνήθεια τοὺς ἐστερημένους ὀμμάτων ὠνόμασεν, οὐδενὶ πρὸς ἃ βούλονται δυναμένους χρήσασθαι τῶν μελῶν τοῦ σώματος, κἂν ἀλκῇ διαφέρωσι καὶ ῥώμῃ καὶ αὐτοὺς τοὺς ἠσκημένους τὰ τῶν γυμνικῶν ἀγώνων ἐπιμελῶς.

κα. Καὶ εἶπεν ὁ βασιλεὺς Ἰσραὴλ
πρὸς Ἐλισσαιὲ, ὡς εἶδεν αὐτοὺς, εἰ πα-
κβ. τάξας πατάξω, πάτερ; Καὶ εἶπεν,
οὐ πατάξεις, εἰ μὴ οὓς ᾐχμαλώτευσας
ἐν ῥομφαίᾳ σου καὶ τόξῳ σου σὺ τύπτεις.
παράθες ἄρτους καὶ ὕδωρ ἐνώπιον αὐ-
τῶν, καὶ φαγέτωσαν καὶ πιέτωσαν, καὶ
ἀπελθέτωσαν πρὸς τὸν κύριον αὐτῶν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀξιέπαινον δὲ αὐτοῦ κἀκεῖνο. τοῦ γὰρ βασιλέως ἀνελεῖν πειραθέντος, ἔφη· „οὐ πατάξεις, εἰ μὴ οὓς ᾐχμαλώτευσας ἐν ῥομφαίᾳ σου, καὶ τόξῳ σου. „παράθες αὐτοῖς ἄρτους καὶ ὕδωρ, καὶ φαγέτωσαν καὶ πιέτωσαν, καὶ ἀπελεύσονται „πρὸς τὸν κύριον αὐτῶν. εἰ σφαγήσονται, φησὶν, οὐ γνωσθήσεται τῆς θαυματουργίας τὸ μέγεθος· εἰ δὲ ὑγιεῖς ἀπέλθοιεν πρὸς τὸν ἀποστείλαντα αὐτοὺς, μαθήσεται κἀκεῖνος τοῦ Θεοῦ τοῦ ἡμετέρου τὴν δύναμιν.

κγ. Καὶ παρέθηκεν αὐτοῖς παρά-
θεσιν μεγάλην, καὶ ἔφαγον καὶ ἔπιον·
καὶ ἀπέστειλεν αὐτοὺς καὶ ἀπῆλθον πρὸς
τὸν κύριον αὐτῶν. καὶ οὐ προσέθεντο
ἔτι μονόζωνοι Συρίας τοῦ ἐλθεῖν εἰς
γῆν Ἰσραήλ.

κδ. Καὶ ἐγένετο μετὰ ταῦτα, καὶ
ἤθροισεν ὁ υἱὸς Ἄδερ βασιλεὺς Συρίας
πᾶσαν τὴν παρεμβολὴν αὐτοῦ, καὶ ἀνέ-
βη, καὶ περιεκάθισαν εἰς (5) Σαμάρειαν.

** ΙΩΣΗΠΟΥ. Θαυμάσας ὁ Ἄδαδος τὸ παράδοξον καὶ τὴν τοῦ Θεοῦ τῶν Ἰσραηλιτῶν ἐπιφάνειαν καὶ δύναμιν καὶ τὸν Προφήτην, ᾧ τὸ θεῖον οὕτως ἐναργῶς παρῆν, κρύφα μὲν οὐκ ἔτι διέγνω τῷ τῶν Ἰσραηλιτῶν ἐπιχειρεῖν βασιλεῖ, τὸν Ἐλισσαῖον δεδοικώς· φανερῶς δὲ πολεμεῖν ἔκρινε, τῷ πλήθει τῆς στρατιᾶς καὶ τῇ δυνάμει νομίζων περιέσεσθαι τῶν πολεμίων. καὶ στρατεύει μετὰ μεγάλης δυνάμεως ἐπὶ τὸν Ἰώραμον, ὃς οὐχ ἡγούμενος αὐτὸν ἀξιόμαχον εἶναι τοῖς Σύροις, ἐνέκλεισεν αὐτὸν εἰς τὴν Σαμάρειαν, θαῤῥῶν τῇ τῶν τειχῶν ὀχυρότητι. Ἄδαδος δὲ, λογισάμενος αἱρήσειν τὴν πόλιν, εἰ καὶ μὴ τοῖς μηχανήμασι, λιμῷ μέντοι καὶ σπάνει τῶν ἐπιτηδείων παραστήσασθαι τοὺς Σαμαρεῖς, προσβαλὼν ἐπολιόρκει τὴν πόλιν.

κε. Καὶ ἐγένετο λιμὸς μέγας ἐν
τῇ Σαμαρείᾳ· καὶ ἰδοὺ περιεκάθηντο
ἐπ'

Hhh 2

(1) Δωθαΐμ. αἱ αὐτ. (2) Ποιήσομεν; αἱ αὐτ. (3) Αὐτοὺς ἀορασίᾳ, κατά. ἡ αὐτ.
(4) Θηρευθείς. ἡ ἐν Χάλ. ἔκδ. ὀρθῶς. (5) Ἐπὶ αἱ αὐτ.

ἐπ' αὐτὴν ἕως ἐγενήθη κεφαλὴ ὄνου πεντήκοντα σίκλων ἀργυρίου, καὶ τέταρτον τοῦ κάβου κόπρου περιστερῶν πέντε σίκλων ἀργυρίου.

** ΙΩΣΗΠΟΥ. Οὕτω δ' ἐπέλιπε τὸν Ἰώραμον ἡ τῶν ἀναγκαίων εὐπορία, ὡς διὰ τὴν ὑπερβολὴν τῆς ἐνδείας ἐν τῇ Σαμαρείᾳ πραθῆναι ὀγδοήκοντα μὲν ἀργυρῶν νομίσματος κεφαλὴν ὄνου, πέντε δ' ἀργυρῶν νομίσματος, ξέστην κόπρου περιστερῶν ἀντὶ ἁλῶν ὠνεῖσθαι τοὺς Ἑβραίους.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἡ κόπρος τῶν περιστερῶν ποίαν χρείαν ἐπλήρου; Ἡ τῆς πολιορκίας ἀνάγκη, καὶ τοῦ λιμοῦ τὸ μέγεθος ἠνάγκασεν αὐτοὺς ἀντὶ ἁλῶν κεχρῆσθαι τῇ κόπρῳ.

** ΝΕΙΛΟΥ. Ὅτε ἐπέλιπε τὰ ἀναγκαῖα ἐν τῇ Σαμαρείᾳ, βασιλεύοντος Ἰωρὰμ τοῦ υἱοῦ Ἀχαὰβ διὰ τὸ ἐπιστρατεῦσαι τὸν βασιλέα τῶν Ἀσυρίων, καὶ ἐπράθη
» κεφαλὴ ὄνου πεντήκοντα σίκλων, καὶ τέ-
» ταρτον κάβου κόπρου περιστερῶν πέντε σί-
» κλων ἀργυρίου, προσδοκηθέντος θανάτου οἰκτίστου, τοσαύτη παρ' ἐλπίδας γέγονεν εὐθηνία, ὡς μέτρον σεμιδάλεως πραθῆναι σίκλου, καὶ δίμετρον κριθῆς ὁμοίως σίκλου.
Ψαλ. 32. 10, Κύριος γὰρ διασκεδάζει βουλὰς ἐθνῶν καὶ
11. » ἀρχόντων· ἡ δὲ βουλὴ τοῦ Κυρίου εἰς τὸν αἰῶνα μένει. μὴ τοίνυν ἀθυμήσωμεν, ἀλλὰ προσδοκήσωμεν ἐξ ἐνδείας εὐπορίαν, καὶ ἐκ θλίψεως ἄνεσιν,

κϛ. Καὶ ἦν ὁ βασιλεὺς Ἰσραὴλ
διαπορευόμενος διὰ τοῦ τείχους. καὶ γυ-
νὴ ἐβόησε πρὸς αὐτὸν, λέγουσα, σῶ-
κζ. σον κύριέ μου βασιλεῦ. Καὶ εἶπεν αὐ-
τῇ, μή σε σώσαι Κύριος· πόθεν σώ-
σω σε, μὴ ἀπὸ τῆς ἅλωνος ἢ ἀπὸ τῆς
κη. ληνοῦ; Καὶ εἶπεν αὐτῇ ὁ βασιλεὺς,
τί ἐστί σοι; καὶ εἶπεν ἡ γυνὴ, αὕτη εἶπε
πρός με, δὸς τὸν υἱόν σου καὶ φαγόμε-
θα αὐτὸν σήμερον, καὶ τὸν υἱόν μου φα-
κθ. γόμεθα αὐτὸν αὔριον. Καὶ ἡψήσαμεν
τὸν υἱόν μου καὶ ἐφάγομεν αὐτὸν, καὶ εἶ-
πον πρὸς αὐτὴν τῇ ἡμέρᾳ τῇ δευτέρᾳ,
δὸς τὸν υἱόν σου καὶ φάγωμεν αὐτόν·
καὶ ἔκρυψε τὸν υἱὸν αὐτῆς.

** ΙΩΣΗΠΟΥ. Ἦν ἐν φόβῳ μὴ διὰ τὸν λιμὸν προδῷ τὶς τοῖς ἐχθροῖς τὴν πόλιν ὁ Ἰώραμος, καὶ καθ' ἑκάστην ἡμέραν ἐκπεριήρχετο τὰ τείχη καὶ τοὺς φύλακας, μή τις ἔνδον εἴη παρ' αὐτῶν σκεπτόμενος· καὶ τὸ βλέπεσθαι καὶ φροντίζειν ἀφαιρούμενος, καὶ τὸ βούλεσθαί τι τοιοῦτον, καὶ τὸ ἔργον, εἰ ταύτην τὶς τὴν γνώμην ἤδη λαμβάνειν ἔφθασεν. ἀνακραγούσης δέ τινος γυναικὸς, δέσποτα ἐλέησον, νομίσας αἰτεῖν τὶ μέλλειν αὐτὴν τῶν πρὸς τροφὴν, ὀργισθεὶς ἐπηράσατο αὐτῇ τὸν Θεὸν, καὶ μὴ ἅλωας αὐτῷ μήτε ληνοὺς ὑπάρχειν ἔλεγεν,

A ὅθεν τὶ καὶ παράσχοιεν αὐτῇ δεομένῃ. τῆς δ' οὐδενὸς μὲν χρήζειν εἰπούσης τούτων, οὐδ' ἐνοχλεῖν τροφῆς ἕνεκα, κριθῆναι δ' ἀξιούσης πρὸς ἄλλην γυναῖκα, κελεύσαντος λέγειν καὶ διδάσκειν περὶ ὧν ἐπιζητεῖ, συν-
» θήκας, ἔφη, ποιήσασθαι μετὰ τῆς ἑτέρας
» γυναικὸς γειτνιώσης καὶ φίλης αὐτῇ τυγ-
» χανούσης, ὅπως, ἐπεὶ τὰ τοῦ λιμοῦ καὶ τῆς
» ἐνδείας ἦν ἀμήχανα, διαχρησάμεναι τὰ
» τέκνα· ἦν δ' ἄρρεν ἑκατέρᾳ παιδίον· ἀνὰ
B » μίαν ἡμέραν θρέψωμεν ἀλλήλας. κἀγὼ
» μέν φησι πρώτη τοὐμὸν κατέσφαξα, καὶ τὴν
» παρελθοῦσαν ἡμέραν τοὐμὸν ἐτράφημεν ἀμ-
» φότεραι. ἡ δ' οὐ βούλεται ταὐτὸν ποιεῖν,
» ἀλλὰ παραβαίνει τὴν συνθήκην, καὶ τὸν
» υἱὸν ἀφανῆ πεποίηκε.

λ. Καὶ ἐγένετο ὡς ἤκουσεν ὁ βασι-
λεὺς Ἰσραὴλ τοὺς λόγους τῆς γυναι-
κὸς, διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ
Γ αὐτὸς διεπορεύετο διὰ (1) τοῦ τείχους,
καὶ εἶδεν ὁ λαὸς τὸν σάκκον ἐπὶ τῆς
λα. σαρκὸς αὐτοῦ ἔσωθεν. Καὶ εἶπεν ὁ
βασιλεὺς, τάδε ποιήσαι μοι ὁ Θεὸς
καὶ τάδε προσθείη, εἰ στήσεται ἡ κε-
φαλὴ Ἐλισσαιὲ ἐπ' αὐτῷ σήμερον.

** ΙΩΣΗΠΟΥ. Τοῦτ' ἐλύπησε σφοδρῶς Ἰώραμον ἀκούσαντα· καὶ περιῤῥηξάμενος τὴν ἐσθῆτα, καὶ δεινὸν ἐκβοήσας, ἔπειτ
Δ ὀργῆς ἐπὶ τὸν Προφήτην Ἐλισσαῖον πλη θεὶς, ἀνελεῖν αὐτὸν ὥρμησεν, ὅτι μὴ δ τοῦ Θεοῦ πόρον αὐτοῖς καὶ διαφυγὴν τῶν ριεχόντων κακῶν δοῦναι· τόν τε ἀποτε τα αὐτοῦ τὴν κεφαλὴν εὐθὺς ἐξέπεμψε.

λβ. Καὶ Ἐλισσαιὲ ἐκάθητο ἐν τῷ
οἴκῳ αὐτοῦ, καὶ οἱ πρεσβύτεροι ἐκά-
θηντο μετ' αὐτοῦ. καὶ ἀπέστειλεν ἄν-
δρα πρὸ προσώπου αὐτοῦ πρὶν ἐλθεῖν
E τὸν ἄγγελον πρὸς αὐτὸν, καὶ αὐτὸς
εἶπε πρὸς τοὺς πρεσβυτέρους, μὴ οἴδα-
τε ὅτι ἀπέστειλεν ὁ υἱὸς τοῦ φονευτοῦ
οὗτος ἀφελεῖν τὴν κεφαλήν μου; ἴδε-
τε ὡς ἂν ἔλθῃ ὁ ἄγγελος, ἀποκλεί-
σατε τὴν θύραν, καὶ παραθλίψατε
αὐτὸν ἐν τῇ θύρᾳ· οὐχὶ φωνὴ τῶν πο-
δῶν τοῦ κυρίου αὐτοῦ κατόπισθεν αὐτοῦ;
λγ. Ἔτι αὐτοῦ λαλοῦντος μετ' αὐτῶν, καὶ
Z ἰδοὺ ἄγγελος κατέβη πρὸς αὐτὸν, καὶ
εἶπεν, ἰδοὺ αὕτη ἡ κακία παρὰ Κυρίου·
τὶ ὑπομείνω τῷ Κυρίῳ ἔτι;

** ΙΩΣΗΠΟΥ. Ὁ μὲν ἐπὶ τὴν ἀναίρεσιν ἠπείγετο τοῦ Προφήτου, τὸν δὲ Ἐλισσαῖον οὐκ ἔλαθεν ἡ τοῦ βασιλέως ὀργή· καθεζόμενος δ' οἴκαδε παρ' ἑαυτῷ σὺν τοῖς μαθηταῖς ἐμήνυσεν αὐτοῖς, ὅτι Ἰώραμος ὁ τοῦ φονέως υἱὸς πέμψειε τὸν ἀφαιρήσοντα
H αὐτοῦ τὴν κεφαλήν· ἀλλ' ὑμεῖς, φησὶν, ὅταν ὁ τοῦτο προσαχθεὶς ἀφίκηται, παραφυλάξαντες εἰσιέναι μέλλοντα, προσαποθλίψατε

τε

(1) Ἐπὶ. καὶ αὐτ.

τε τῇ θύρᾳ καὶ κατάσχετε· ἀκολουθήσει γὰρ αὐτῷ πρὸς ἐμὲ παραγινόμενος ὁ βασιλεὺς μεταβεβουλευμένος. καὶ οἱ μὲν τὸ κελευσθὲν, ὡς ἧκεν ὁ πεμφθεὶς ὑπὸ τοῦ βασιλέως ἐπὶ τὴν ἀναίρεσιν τοῦ Ἐλισσαίου, ἐποίησαν· Ἰώραμος δὲ καταγνοὺς τῆς ἐπὶ τὸν Προφήτην ὀργῆς, καὶ δείσας μὴ φθάσῃ κτείνας αὐτὸν ὁ τοῦτο προσαχθεὶς, ἔσπευσε κωλῦσαι γενέσθαι τὸν φόνον, καὶ διασῶσαι τὸν Προφήτην. ἀφικόμενος δὲ πρὸς αὐτὸν, ᾐτιᾶτο ὅτι μὴ παρὰ τοῦ Θεοῦ λύσιν αὐτοῖς τῶν παρόντων κακῶν αἰτεῖται, ἀλλ' οὕτως ὑπ' αὐτῶν φθειρομένους ὁρᾷ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε προσέταξεν ὁ Προφήτης τὴν θύραν ἀποκλεῖσαι, καὶ ἐπισχεθῆναι τὸν παρὰ τοῦ βασιλέως σταλέντα. Ὁ ἐμβρόντητος βασιλεὺς τοῦ πατρὸς καὶ τῆς μητρὸς τὴν μιαιφονίαν ἐζηλωκὼς, προσέταξεν ἀποτεμεῖν τοῦ Προφή-

A του τὴν κεφαλήν· καὶ ταῦτα σάκκον περι-
βεβλημένος, καὶ τὸν Θεὸν ἱκετεύων λῦσαι
καὶ σκεδάσαι τὸ συγνὸν ἐκεῖνο νέφος καὶ
τετρηγός· καὶ δέον ἱκετεῦσαι τὸν Προφή-
την, ὥστε τὴν ὑπὲρ αὐτοῦ πρεσβείαν προ-
σενεγκεῖν τῷ Θεῷ, τοῦτο μὲν οὐκ ἐποίησεν,
ἠπείλησε δὲ κατασφάττειν ὡς ἀμελοῦντα, ἢ
ὡς ἑκόντα παρορῶντα τῆς συμφορᾶς τὴν
ὑπερβολήν. ἀλλ' εὐθὺς μεταμεληθεὶς, ἔδ-
ραμεν ἐπέχων τὸν φόνον. τοῦτο γὰρ καὶ ὁ
B » Προφήτης δεδήλωκεν· εἰ ἑωράκατε γάρ-
» φησιν ὅτι ἀπέστειλεν ὁ υἱὸς τοῦ φονευτοῦ οὗτος
» ἀφελεῖν τὴν κεφαλήν μου; ἴδετε ὡς ἐὰν
» εἰσέλθῃ ὁ ἄγγελος, ἀποκλείσατε τὴν θύ-
» ραν, καὶ ἐκθλίψατε αὐτὸν ἐν τῇ θύρᾳ·
» οὐκ ἰδοὺ ἡ φωνὴ τῶν ποδῶν τοῦ κυρίου αὐτοῦ
» κατόπισθεν αὐτοῦ; ἀλλ' ὅμως καὶ ταῦτα πά-
σχων ὁ Προφήτης ἱκέτευσε τὸν Δεσπότην,
καὶ τὴν πολιορκίαν ἀθρόως διέλυσε.

ΚΕΦ. Ζ.

α. Καὶ εἶπεν Ἐλισσαιὲ, ἄκουσον
λόγον Κυρίου· τάδε λέ-
γει Κύριος, ὡς ἡ ὥρα αὕ-
τη, αὔριον μέτρον σεμιδάλεως σίκλου,
καὶ δίμετρον κριθῶν σίκλου ἐν ταῖς πύ-
[illegible]αις Σαμαρείας.

[illegible]* ΙΩΣΗΠΟΥ. Ἐλισσαῖος εἰς τὴν ἐπιοῦ-
[illegible]ἐπηγγέλλετο, κατ' ἐκείνην τὴν ὥραν,
[illegible]ὴν ὁ βασιλεὺς ἀφίκετο πρὸς αὐτὸν,
[illegible]αι πολλὴν εὐπορίαν τροφῆς· καὶ πρα-
[illegible]εσθαι μὲν ἐν τῇ ἀγορᾷ σίκλου δύο κρι-
[illegible] σάτα, ὠνήσεσθαι δὲ σεμιδάλεως σά-
τον σίκλου.

β. Καὶ ἀπεκρίθη ὁ τριστάτης ἐφ'
ὃν ὁ βασιλεὺς ἐπανεπαύετο ἐπὶ τὴν
χεῖρα αὐτοῦ πρὸς τὸν Ἐλισσαιὲ, καὶ
εἶπεν, ἰδοὺ ποιήσει Κύριος καταράκτας
ἐν οὐρανῷ, μὴ ἔσται τὸ ῥῆμα τοῦτο; καὶ
Ἐλισσαιὲ εἶπεν, ἰδοὺ σὺ ὄψῃ τοῖς ὀφ-
θαλμοῖς σου, καὶ ἐκεῖθεν οὐ φαγῇ. (1)

** ΙΩΣΗΠΟΥ. Ὁ τῆς τρίτης μοίρας
ἡγεμὼν, τῷ βασιλεῖ φίλος ὢν, καὶ τότε
φέρων αὐτὸν ἐπερηρεισμένον, ἄπιστα εἶπε,
» λέγεις, ὦ Προφῆτα· καὶ ὥσπερ ἀδύνατον
» ἐκχέε τὸν Θεὸν ἐξ οὐρανοῦ καταράκτας κρι-
» θῆς ἢ σεμιδάλεως, οὕτως ἀμήχανον καὶ τὰ
» ὑπὸ σοῦ νῦν εἰρημένα γενέσθαι. καὶ ὁ Προ-
φήτης πρὸς αὐτὸν, ταῦτα μὲν, εἶπεν, ὄψῃ
» τοῦτο λαμβάνοντα τὸ τέλος, οὐ μεταλήψῃ
» δ' οὐδενὸς τῶν ὑπαρξάντων.

γ. Καὶ τέσσαρες ἄνδρες ἦσαν λε-
προὶ παρὰ τὴν θύραν τῆς πόλεως,
καὶ εἶπεν ἀνὴρ πρὸς τὸν πλησίον αὐ-
τοῦ, τί ἡμεῖς καθήμεθα ἕως ἀποθά-
δ. νωμεν; Ἐὰν εἴπωμεν, εἰσέλθωμεν εἰς
τὴν πόλιν, καὶ ὁ λιμὸς ἐν τῇ πόλει,

καὶ ἀποθανούμεθα ἐκεῖ· καὶ ἐὰν κα-
θίσωμεν ὧδε, (2) ἀποθανούμεθα. καὶ
νῦν δεῦτε, καὶ ἐμπέσωμεν εἰς τὴν πα-
ρεμβολὴν Συρίας· ἐὰν ζωογονήσωσιν
ἡμᾶς, καὶ ζησόμεθα· καὶ ἐὰν θανατώ-
ε. σωσιν ἡμᾶς, καὶ ἀποθανούμεθα. Καὶ
Δ ἀνέστησαν ἐν τῷ σκότει εἰσελθεῖν εἰς
τὴν παρεμβολὴν Συρίας· καὶ εἰσῆλ-
θον εἰς μέσον παρεμβολῆς Συρίας,
καὶ ἰδοὺ οὐκ ἔστιν ἀνὴρ ἐκεῖ.

** ΙΩΣΗΠΟΥ. Ἐξέβη τοῦτον τὸν τρό-
πον τὰ ὑπὸ Ἐλισσαίου προειρημένα· νόμος
ἦν ἐν τῇ Σαμαρείᾳ τοὺς λέπραν ἔχοντας,
καὶ μὴ καθαροὺς ἀπὸ τῶν τοιούτων τὰ σώ-
ματα, μένειν ἔξω τῆς πόλεως. ἄνδρες οὖν
E τὸν ἀριθμὸν τέσσαρες, διὰ ταύτην τὴν αἰ-
τίαν πρὸ τῶν πυλῶν μένοντες, μηκέτι μη-
δενὸς αὐτοῖς διὰ τὴν ὑπερβολὴν τοῦ λιμοῦ
τροφὴν ἐκφέροντος, εἰσελθεῖν μὲν εἰς τὴν
πόλιν κεκωλυμένοι διὰ τὸν νόμον, κἂν ἐπι-
τραπῇ δὲ αὐτοῖς διαφθαρήσεσθαι κακῶς
ὑπὸ τοῦ λιμοῦ λογισάμενοι, τοῦτο δὲ πείσε-
σθαι, κἂν αὐτόθι μένωσιν ἀπορίᾳ τροφῆς,
παραδοῦναι τοῖς πολεμίοις αὐτοὺς ἔκριναν,
ὡς εἰ μὲν φείσαιντο αὐτῶν, ζησόμενοι, εἰ δ'
Z ἀναιρεθεῖεν, εὐθανατήσοντες. ταύτην κυ-
ρώσαντες τὴν βουλὴν, νυκτὸς ἧκον εἰς τὸ
στρατόπεδον τὸ τῶν πολεμίων.

ϛ. Καὶ Κύριος ἀκουστὴν ἐποίησε πα-
ρεμβολῇ Συρίας φωνὴν ἅρματος καὶ
φωνὴν ἵππου, (3) καὶ φωνὴν δυνάμεως
μεγάλης. καὶ εἶπεν ἀνὴρ πρὸς τὸν
ἀδελφὸν αὐτοῦ, νῦν ἐμισθώσατο ἐφ'
ἡμᾶς Ἰσραὴλ τοὺς βασιλεῖς τῶν Χετ-
H ταίων, καὶ τοὺς βασιλεῖς Αἰγύπτου (4)
ζ. ἐλθεῖν ἐφ' ἡμᾶς. Καὶ ἀνέστησαν καὶ

(1) Φάγῃ. αἱ αὐτ. (2) Ὧδε, καὶ ἀποθ. αἱ αὐτ. (3) Ἵππου, φωνήν. αἱ αὐτ. (4) Τοῦ ἐλθ. αἱ αὐτ.

ἀπέδρασαν ἐν τῷ σκότει καὶ ἐγκατέλιπον τὰς σκηνὰς αὐτῶν, καὶ τοὺς ἵππους αὐτῶν, καὶ τοὺς ὄνους αὐτῶν ἐν τῇ παρεμβολῇ ὡς ἦσαν, καὶ ἔφυγον πρὸς τὴν ψυχὴν αὐτῶν. (1)

** ΙΩΣΗΠΟΥ. Ἤρχετο ἤδη τοὺς Σύρους ἐκφοβεῖν καὶ ταράττειν ὁ Θεὸς, καὶ κτύπον ἁρμάτων καὶ ὅπλων, ὡς ἐπερχομένης στρατιᾶς, ταῖς ἀκοαῖς αὐτῶν ἐνηχεῖν, καὶ ταύτην ἐγγυτέρω προσφέρειν αὐτοῖς τὴν ὑπόνοιαν. ἀμέλει τοῦτον τὸν τρόπον ὑπ' αὐτῆς διετέθησαν, ὥστε τὰς σκηνὰς ἐκλιπόντες, συνέδραμον πρὸς τὸν Ἄδαδον, λέγοντες, ὡς Ἰώραμος ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς, μισθωσάμενος συμμάχους, τόν τε τῶν Αἰγυπτίων βασιλέα καὶ τὸν τῶν νήσων, ἐπ' αὐτοὺς ἄγει· προσιόντων γὰρ αὐτῶν, ἐπακούειν τοῦ κτύπου.

η. Καὶ εἰσῆλθον οἱ λεπροὶ οὗτοι ἕως μέρους τῆς παρεμβολῆς, καὶ εἰσῆλθον εἰς σκηνὴν μίαν, καὶ ἔφαγον, καὶ ἔπιον, καὶ ἦραν ἐκεῖθεν ἀργύριον, καὶ χρυσίον, καὶ ἱματισμόν· καὶ ἐπορεύθησαν, καὶ ἐπέστρεψαν, καὶ εἰσῆλθον εἰς σκηνὴν ἄλλην, καὶ ἔλαβον ἐκεῖθεν, καὶ ἐπορεύθησαν, καὶ κατέκρυ-
θ. ψαν. Καὶ εἶπεν ἀνὴρ πρὸς τὸν πλησίον αὐτοῦ, οὐχ οὕτως ἡμεῖς ποιοῦμεν. ἡ ἡμέρα αὕτη, ἡμέρα εὐαγγελίας ἐστὶ, καὶ ἡμεῖς σιωπῶμεν, καὶ μένομεν ἕως φωτὸς τοῦ πρωῒ, καὶ εὑρήσομεν ἀνομίαν· καὶ νῦν δεῦρο, καὶ εἰσέλθωμεν καὶ ἀναγγείλωμεν εἰς τὸν οἶκον τοῦ βα-
ι. σιλέως. Καὶ εἰσῆλθον καὶ ἐβόησαν πρὸς τὴν πύλην τῆς πόλεως, καὶ ἀνήγγειλαν αὐτοῖς, λέγοντες, (2) καὶ εἰσήλθομεν εἰς τὴν παρεμβολὴν Συρίας, καὶ ἰδοὺ οὐκ ἔστιν ἐκεῖ ἀνὴρ καὶ φωνὴ ἀνθρώπου, ὅτι εἰ μὴ ἵππος δεδεμένος καὶ
ια. ὄνος, καὶ αἱ σκηναὶ αὐτῶν ὡς εἰσί. Καὶ ἐβόησαν οἱ θυρωροὶ, καὶ ἀνήγγειλαν
ιβ. εἰς τὸν οἶκον τοῦ βασιλέως ἔσω. Καὶ ἀνέστη ὁ βασιλεὺς νυκτὸς, καὶ εἶπε πρὸς τοὺς παῖδας αὐτοῦ, ἀναγγελῶ δὴ ὑμῖν ἃ ἐποίησεν ἡμῖν Συρία. ἔγνωσαν ὅτι πεινῶμεν ἡμεῖς, καὶ ἐξῆλθον ἐκ τῆς παρεμβολῆς καὶ ἐκρύβησαν ἐν τῷ ἀγρῷ, λέγοντες, ὅτι ἐξελεύσονται ἐκ τῆς πόλεως, καὶ συλληψόμεθα αὐτοὺς ζῶντας, καὶ εἰς τὴν πόλιν εἰσελευσόμεθα.

ιγ. Καὶ ἀπεκρίθη εἷς τῶν παίδων αὐτοῦ καὶ εἶπε, λαβέτωσαν δὴ πέντε τῶν ἵππων τῶν ὑπολελειμμένων οἳ κατελείφθησαν ὧδε, ἰδού εἰσι πρὸς πᾶν τὸ πλῆθος Ἰσραὴλ τὸ ἐκλεῖπον, καὶ ἀποστελοῦμεν ἐκεῖ καὶ ὀψόμεθα.

** ΙΩΣΗΠΟΥ. Φήσαντος δέ τινος, ὡς ἄριστα μὲν καὶ συνετώτατα ὑπονοήσειε, πέμψαι γε μὴν συβουλεύσαντος δύο τῶν ἱππέων τοὺς τὴν ἄχρι Ἰορδάνου πᾶσαν ἐξερευνήσοντας, ἵν' εἰ ληφθέντες ὑπὸ λοχώντων τῶν πολεμίων διαφθαρεῖεν, φυλακὴ τῇ στρατιᾷ γένωνται, τοῦ μηδὲν ὅμοιον παθεῖν αὐτὴν ἀνυπόπτως προελθοῦσαν· προσαριθμήσεις δὲ, φησὶ, τοῖς ὑπὸ τοῦ λιμοῦ τεθνηκόσι τοὺς ἱππεῖς, κἂν ὑπὸ τῶν ἐχθρῶν ληφθέντες ἀπόλωνται.

ιδ. Καὶ ἔλαβον δύο ἐπιβάτας ἵππων· καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ἰσραὴλ ὀπίσω τοῦ βασιλέως Συρίας,
ιε. λέγων, δεῦτε. (3) Καὶ ἐπορεύθησαν ὀπίσω αὐτοῦ ἕως τοῦ Ἰορδάνου. καὶ ἰδοὺ πᾶσα ἡ ὁδὸς πλήρης ἱματίων καὶ σκευῶν ὧν ἔρριψε Συρία ἐν τῷ θαμβεῖσθαι αὐτούς. καὶ ἐπέστρεψαν οἱ ἄγγελοι καὶ ἀνήγγειλαν τῷ βασιλεῖ.
ις. Καὶ ἐξῆλθεν ὁ λαὸς καὶ διήρπασαν τὴν παρεμβολὴν Συρίας. καὶ ἐγένετο μέτρον σεμιδάλεως σίκλου, καὶ δίμετρον κριθῶν σίκλου κατὰ τὸ ῥῆμα
ιζ. Κυρίου. Καὶ ὁ βασιλεὺς κατέστη[illegible] τὸν τριστάτην ἐφ' ὃν ἀνεπαύσατο[illegible] ἐπὶ τῇ χειρὶ αὐτοῦ ἐπὶ τῆς πύλης[illegible] συνεπάτησεν αὐτὸν ὁ λαὸς ἐπὶ[illegible] πύλης, (5) καθὰ ἐλάλησεν ὁ ἄν[illegible] πος τοῦ Θεοῦ, ὃς ἐλάλησεν ἐν τῷ[illegible] ταβῆναι τὸν ἄγγελον πρὸς αὐτόν.

** ΙΩΣΗΠΟΥ. Τοὺς κατοψομένους ἔπεμψεν. οἱ δὲ καινὴν μὲν τὴν ὁδὸν πολεμίων ἴδωσαν, μεστὴν δὲ σιτίων καὶ ὅπλων εὗρον· ἃ διὰ τὸ κοῦφοι πρὸς τὸ φεύγειν εἶναι ῥίπτοντες κατέλιπον. ταῦτ' ἀκούσας ὁ βασιλεὺς, ἐπὶ διαρπαγὴν τῶν ἐν τῷ στρατοπέδῳ τὸ πλῆθος ἐξαφῆκεν. οὐτελὲς δ' οὐδὲν, οὐδ' ὀλίγον ὠφελοῦντο, ἀλλὰ πολὺν μὲν χρυσὸν, πολὺν δ' ἄργυρον, ἀγέλας δὲ παντοδαπῶν κτηνῶν ἐλάμβανον. ἔτι γε μὴν σίτου μυριάσι καὶ κριθῆς, αἷς οὐδ' ὄναρ ἤλπιζον, ἐπιτυχόντες, τῶν μὲν προτέρων κακῶν ἀπηλλάγησαν, ἀφθονίαν δ' εἶχον, ὡς ὠνεῖσθαι δύο μὲν σάτα κριθῆς σίκλου, σεμιδάλεως δὲ σάτον σίκλου, κατὰ τὴν Ἐλισσαίου προφητείαν. ἰσχύει δὲ τὸ σάτον μόδιον καὶ ἥμισυ ἰταλικόν. μόνος δὲ τούτων οὐκ ὤνατο τῶν ἀγαθῶν ὁ τῆς τρίτης μοίρας ἡγεμών. κατασταθεὶς γὰρ ὑπὸ τοῦ βασιλέως ἐπὶ τῆς πύλης, ἵνα τὸ πλῆθος ἐπέχῃ τῆς πολλῆς ὁρμῆς, καὶ μὴ κινδυνεύσωσιν ὑπ' ἀλλήλων ὠθούμενοι, συμπατηθέντες ἀπολέσθαι, τοῦτ' αὐτὸς ἔπαθε, καὶ τοῦτον ἀποθνήσκει τὸν τρόπον, τὴν τελευτὴν αὐτῷ προφητεύσαντος Ἐλισσαίου, ὅτε τοῖς ὑπ' αὐτοῦ περὶ τῆς

(1) Ἑαυτῶν. αἱ αὐτ. (2) Λέγοντες, εἰσήλθ. αἱ αὐτ. (3) Δεῦτε, καὶ ἴδετε. Καὶ. αἱ αὐτ. (4) Ἐπανεπαύετο. αἱ αὐτ. (5) Καὶ ἀπέθανε καθά. αἱ αὐτ.

τῆς ἐσομένης εὐπορίας τῶν ἐπιτηδείων λε- A
γομένοις μόνος ἐξ ἁπάντων ἐκ ἐπίςευσε.

ιη. Καὶ ἐγένετο καθὰ ἐλάλησεν
Ἐλισσαιὲ πρὸς τὸν βασιλέα, λέγων,
δίμετρον σίκλε κριθῶν κ̀ μέτρον σε-
μιδάλεως σίκλε ἔςαι ὡς ἡ ὥρα αὔριον
ιθ. ἐν τῇ πόλει (1) Σαμαρείας. Καὶ ἀπε-
κρίθη ὁ τριςάτης τῷ Ἐλισσαιὲ, καὶ
εἶπεν, ἰδὲ Κύριος ποιεῖ καταράκτας
ἐν τῷ ἐρανῷ, μὴ ἔςαι τὸ ῥῆμα τἕτο;
καὶ εἶπεν Ἐλισσαιὲ, ἰδὲ ὄψῃ τοῖς ὀφ-
κ. θαλμοῖς σε, κ̀ ἐκεῖθεν ἐ φαγῇ. Καὶ
ἐγένετο ἕτω, κ̀ συνεπάτησαν αὐτὸν
ἐν τῇ πύλῃ ὁ λαὸς, καὶ ἀπέθανε.

Κ Ε Φ. Η.

α. Καὶ Ἐλισσαιὲ ἐλάλησε πρὸς
τὴν γυναῖκα, ἧς ἐζωπύ-
ρησε τὸν υἱὸν, λέγων, ἀνά-
ςηθι καὶ δεῦρο σὺ καὶ ὁ οἶκός σε, καὶ
παροίκει ἕ ἐὰν παροικήσῃς, ὅτι κέ-
κληκε Κύριος λιμὸν ἐπὶ τὴν γῆν, καί-
γε ἦλθεν ἐπὶ τὴν γῆν ἑπτὰ ἔτη.

* ΘΕΟΔΩΡΙΤΟΥ. Μετὰ τἕτο τὸ διή-
γημα, ὁ τὴν ἱςορίαν συγγράψας ἐδίδαξεν
ἡμᾶς, ὡς τῇ Σωμανίτιδι προείρηκε τὸν ἐσό-
μενον λιμὸν ὁ Προφήτης· μεμήνυκε δὲ καὶ
» τὸν χρόνον. Κύριος γάρ φησιν ἐκάλεσε
» λιμὸν ἐπὶ τὴν γῆν, καὶ παρέςαι ἐπὶ τὴν
» γῆν ἑπτὰ ἔτη. αἰνίττεται δὲ ὁ λόγος, ὡς
ὁ Ἰσραὴλ τἕ λιμἕ τὴν τιμωρίαν ἐδέξατο.
ὸ δὴ τῇ Σωμανίτιδι παρεγγύησε, λέγων·
ςηθι καὶ πορεύε σὺ καὶ ὁ υἱός σε, καὶ ὁ
σε· καὶ παροίκει ἕ ἐὰν εὕρῃς ἐκεῖ. εἰ
ινὸς ἦν πάσης τῆς γῆς ὁ λιμὸς, ἐκ ἂν
ὴ ἑτέρωσε ἀπεςάλκει. δῆλον τοίνυν,
Ἰσραὴλ (2) μόνος τῷ λιμῷ ἐπαιδεύε-
ὡς μετὰ τοσαύτην ἐπιμέλειαν δυσσε-
ῶς πολιτευόμενος. μανθάνομεν δὲ καὶ ἐν-
τεῦθεν, ὡς διπλασίας τετύχηκε χάριτος
ὁ Προφήτης. τἕδε γὰρ τἕ λιμἕ ὁ χρόνος
διπλάσιος.

β. Καὶ ἀνέςη ἡ γυνὴ, καὶ ἐποίησε E
κατὰ τὸ ῥῆμα Ἐλισσαιὲ, καὶ ἐπορεύ-
θη αὐτὴ καὶ ὁ οἶκος αὐτῆς, κ̀ παρῴ-
γ. κει ἐν γῇ ἀλλοφύλων ἑπτὰ ἔτη. Καὶ
ἐγένετο μετὰ τὸ τέλος τῶν ἑπτὰ ἐτῶν,
καὶ ἀπέςρεψεν (3) ἡ γυνὴ ἐκ τῶν ἀλ-
λοφύλων, καὶ ἦλθε βοῆσαι πρὸς τὸν
βασιλέα περὶ τἕ οἴκε αὐτῆς κ̀ περὶ
δ. τῶν ἀγρῶν αὐτῆς. Καὶ ὁ βασιλεὺς Z
ἐλάλει πρὸς Γιεζὶ τὸ παιδάριον Ἐ-
λισσαιὲ τἕ ἀνθρώπε τἕ Θεἕ, λέγων,
διήγησαι δή μοι πάντα τὰ μεγαλεῖα
ε. ἃ ἐποίησεν Ἐλισσαιέ. Καὶ ἐγένετο
αὐτἕ ἐξηγεμένε τῷ βασιλεῖ, ὡς ἐζω-
πύρησεν υἱὸν τεθνηκότα. κ̀ ἰδὲ ἡ γυνὴ
ἧς ἐζωπύρησε τὸν υἱὸν αὐτῆς Ἐλισσαιὲ,
βοῶσα πρὸς τὸν βασιλέα περὶ τἕ οἴ-
κε αὐτῆς καὶ περὶ τῶν ἀγρῶν αὐτῆς. H
καὶ εἶπε Γιεζὶ, κύριε βασιλεῦ, αὕτη
ἡ γυνὴ, καὶ ἕτος ὁ υἱὸς αὐτῆς ὃν ἐζω-
ς. πύρησεν Ἐλισσαιέ. Καὶ ἐπηρώτησεν
ὁ βασιλεὺς τὴν γυναῖκα· καὶ διηγή-
σατο αὐτῷ. καὶ ἔδωκεν αὐτῇ ὁ βα-
σιλεὺς εὐνἕχον ἕνα, λέγων, ἐπίςρεψον
Γ πάντα τὰ αὐτῆς, κ̀ πάντα τὰ γεν-
νήματα τἕ ἀγρἕ αὐτῆς ἀπὸ τῆς ἡμέ-
ρας ἧς κατέλιπε τὴν γῆν ἕως τἕ νῦν.

ζ. Καὶ ἦλθεν Ἐλισσαιὲ εἰς Δαμα-
σκόν. κ̀ υἱὸς Ἄδερ βασιλεὺς Συρίας
ἠῤῥώςει. καὶ ἀνήγγειλαν αὐτῷ, λέ-
γοντες, ἥκει ὁ ἄνθρωπος τἕ Θεἕ ἕως
η. ὧδε. Καὶ εἶπεν ὁ βασιλεὺς πρὸς Ἀ-
ζαὴλ, λάβε ἐν τῇ χειρί σε μαναὰ,
Δ καὶ δεῦρο εἰς ἀπάντησιν τῷ ἀνθρώ-
πῳ (4) τἕ Θεἕ, καὶ ἐπιζήτησον τὸν
Κύριον δι' αὐτἕ, λέγων, εἰ ζήσομαι ἐκ
θ. τῆς ἀῤῥωςίας με ταύτης; Καὶ ἐπο-
ρεύθη Ἀζαὴλ εἰς ἀπάντησιν αὐτἕ,
καὶ ἔλαβε μαναὰ ἐν τῇ χειρὶ αὐτἕ,
κ̀ πάντα τὰ ἀγαθὰ Δαμασκἕ, ἄρ-
σιν τεσσαράκοντα καμήλων, κ̀ ἦλθε
E καὶ ἔςη ἐνώπιον αὐτἕ, καὶ εἶπε πρὸς
Ἐλισσαιὲ, υἱός σε υἱὸς Ἄδερ βασιλεὺς
Συρίας ἀπέςειλέ με πρὸς σὲ ἐπερω-
τῆσαι, λέγων, εἰ ζήσομαι ἐκ τῆς ἀῤ-
ῥωςίας με ταύτης;

** ΙΩΣΗΠΟΥ. Ὁ τῶν Σύρων βασι-
λεὺς Ἄδαδος διασωθεὶς εἰς Δαμασκὸν, καὶ
μαθὼν ὅτι τὸ θεῖον αὐτόν τε καὶ τὴν ςρα-
τιὰν αὐτἕ πᾶσαν εἰς τὸ δέος κ̀ τὴν ταρα-
Z χὴν ἐκείνην ἐνέβαλεν, ἀλλ' ἐκ ἐξ ἐφόδε
πολεμίων ἐγένετο, σφόδρα τῷ δυσμενῆ τὸν
Θεὸν ἔχειν ἀθυμήσας, εἰς νόσον κατέπε-
σεν. ἐκδημήσαντος δὲ κατ' ἐκεῖνον τὸν χρό-
νον εἰς Δαμασκὸν Ἐλισσαίε τἕ Προφήτε,
γνὲς ὁ Ἄδαδος, τὸν πιςότατον τῶν οἰκε-
τῶν Ἀζάηλον ἔπεμψεν ὑπαντησόμενον αὐ-
τῷ, κ̀ δῶρα κομίσοντα, κελεύσας ἔρεσθαι
περὶ τῆς νόσε, καὶ εἰ διαφεύξεται τὸν ἐξ
αὐτῆς κίνδυνον. Ἀζάηλος δὲ μετὰ καμή-
H λων τεσσαράκοντα τὸν ἀριθμὸν, αἳ τὰ κάλ-
λιςα

(1) Πύλῃ. αἱ αὐτ. καὶ ἡ Ἑβρ. ἔκδ. καὶ ἀνωτέρ. δὲ ἐν τῷ 1. ἐδ. ἐν ταῖς πύλαις. ἐξ ὧν δῆλον, ὅτι τὸ, πόλει, γραφικόν ἐςι παρόραμα. (2) Ἰσραὴλ ταῖς θεηλάτοις πληγαῖς ἐπαιδεύ. ἡ ἐν Χάλ. ἔκδ.
(3) Ἐπέςρεψαν. αἱ εἰρημ. ἐκδόσ. (4) Τἕ ἀνθρώπε. αἱ αὐτ.

λιστα καὶ τὰ τιμιώτατα τῶν ἐν Δαμασκῷ γινομένων καὶ ὄντων ἐν τῷ βασιλείῳ ἔφερον δῶρα, συμβαλὼν τῷ Ἐλισσαίῳ, καὶ προσαγορεύσας αὐτὸν φιλοφρόνως, ἔλεγεν, ὑπὸ Ἀδάδου τοῦ βασιλέως πεμφθέντα πρὸς αὐτὸν, δῶρά τε κομίσαι καὶ πυθέσθαι περὶ τῆς νόσου, εἰ ῥᾷον ἀπ' αὐτῆς ἔσοιτο.

ι. Καὶ εἶπε πρὸς αὐτὸν Ἐλισσαιὲ,
δεῦρο, εἶπον αὐτῷ, ζωῇ ζήσῃ, καὶ ἔδει-
ξέ μοι Κύριος ὅτι θανάτῳ ἀποθανεῖ-
ια. ται. Καὶ παρέστη τῷ προσώπῳ αὐ-
τοῦ, (1) καὶ ἔθηκεν ἕως αἰσχύνης. καὶ ἔκ-
ιβ. λαυσεν ὁ ἄνθρωπος τοῦ Θεοῦ. Καὶ εἶ-
πεν Ἀζαὴλ, τί ὅτι ὁ κύριός μου κλαίει;
καὶ εἶπεν, οἶδα ὅσα ποιήσεις τοῖς υἱοῖς
Ἰσραὴλ κακά· τὰ ὀχυρώματα αὐ-
τῶν ἐξαποστελεῖς ἐν πυρὶ, καὶ τοὺς ἐκ-
λεκτοὺς αὐτῶν ἐν ῥομφαίᾳ ἀποκτενεῖς,
καὶ τὰ νήπια αὐτῶν ἐνσείσεις, καὶ τὰς
ἐν γαστρὶ ἐχούσας αὐτῶν ἀναῤῥήξεις.

** ΙΩΣΗΠΟΥ. Ὁ Προφήτης, τὸν μὲν Ἀζάηλον ἐκέλευσε μηδὲν ἀπαγγέλλειν τῷ βασιλεῖ κακόν· ἔλεγε δ' ὅτι τεθνήξεται. καὶ ὁ μὲν οἰκέτης τοῦ βασιλέως ἐλυπεῖτο ταῦτα ἀκούσας· ὁ δὲ Ἐλισσαῖος ἔκλαιε, καὶ πολλοῖς ἐῤῥεῖτο δακρύοις, προορώμενος ἃ πάσχειν ὁ λαὸς ἔμελλε κακὰ, μετὰ τὴν Ἀδάδου τελευτήν. ἀνακρίναντος δ' αὐτὸν Ἀζαήλου τὴν αἰτίαν τῆς συγχύσεως, κλαίω, φησὶ, τὸ πλῆθος τῶν Ἰσραηλιτῶν ἐλεῶν, ὧν ἐκ σοῦ πείσονται δεινῶν. ἀποκτενεῖς γὰρ αὐτῶν τοὺς ἀρίστους, καὶ τὰς ὀχυρωτάτας πόλεις ἐμπρήσεις, καὶ παιδία μὲν ἀπολεῖς προσρηγνὺς πέτραις, τὰς δ' ἐγγύους ἀναῤῥήξεις γυναῖκας.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε τοῦ Βαραδὰδ (2) ὁ Προφήτης τὴν τελευτὴν προειπὼν τῷ Ἀζαὴλ, παρεκελεύσατο (3) εἰπεῖν αὐτῷ, ζωὴν (4) ζήσῃ; Ὁ τῶν ὅλων Θεὸς Ἠλίᾳ τῷ μεγάλῳ παρεκελεύσατο χρῖσαι (5) τὸν μὲν Ἐλισσαῖον προφήτην, τὸν δὲ Ἀζαὴλ εἰς βασιλέα Συρίας, καὶ τὸν Ἰηοῦ εἰς βασιλέα Ἰσραήλ. ἀλλὰ τὸν μὲν Ἐλισσαῖον, ὡς προσετάχθη, ἔχρισε, τοὺς δὲ βασιλεῖς οὐκ ἔχρισεν. ἔφθασε γὰρ ἀναληφθῆναι. [ὁ] Ἐλισσαῖος γὰρ (6) [διπλῆν τὴν ἐκείνου χάριν δεξάμενος,] πρῶτον εἰς τὴν Δαμασκὸν ἀπελήλυθεν, ὥστε χρῖσαι τὸν Ἀζαήλ. ὁ τοίνυν Βαραδὰδ· ἐν γάρ ἐστιν ὄνομα, υἱὸς Ἄδερ· μαθὼν τοῦ Προφήτου τὴν παρουσίαν, ἀπέστειλε τὸν Ἀζαὴλ, καὶ δῶρα πολυτελῆ καὶ φιλότιμα, ὥστε μαθεῖν εἰ τῆς ἀῤῥωστίας ἀπαλλαγήσεται. ἀφικομένῳ τοίνυν τῷ Ἀζαὴλ ὁ Προφήτης προεῖπε καὶ τὴν αὐτοῦ βασιλείαν, καὶ τοῦ πεπομφότος τὸν θάνατον. εἶπε δὲ αὐτῷ, μὴ μηνῦσαι τὸν θάνατον, ἵνα μὴ ἀθυμῶν ὑπεξέλθῃ τοῦ βίου. ἰδὼν μέντοι τὸν Ἀζαὴλ ὁ Προφήτης, τὰς τῶν δακρύων ἀφῆκε λιβάδας. προεώρα γὰρ τὰς ἐσομένας δι' αὐτοῦ τῷ Ἰσραὴλ συμφοράς. τοῦτο γὰρ καὶ αὐτῷ προμεμήνυκε.

ιγ. Καὶ εἶπεν Ἀζαὴλ, τίς ἐστιν ὁ
δοῦλός σου, ὁ κύων ὁ τεθνηκὼς, ὅτι
ποιήσει τὸ ῥῆμα τοῦτο; καὶ εἶπεν Ἐλισ-
σαιὲ, ἔδειξέ μοι Κύριός σε βασιλεύον-
ιδ. τα ἐπὶ Συρίαν. Καὶ ἀπῆλθεν ἀπὸ
Ἐλισσαιὲ, καὶ εἰσῆλθε πρὸς τὸν κύ-
ριον αὐτοῦ, καὶ εἶπεν αὐτῷ, εἶπον (7)
Ἐλισσαιὲ, καὶ εἴρηκέ μοι Ἐλισσαιὲ,
ζωῇ ζήσῃ.
ιε. Καὶ ἐγένετο τῇ ἐπαύριον, καὶ
ἔλαβε τὸ μαχμὰ (8) καὶ ἔβαψεν ἐν
τῷ ὕδατι, καὶ περιέβαλεν ἐπὶ τὸ πρό-
σωπον αὐτοῦ, καὶ ἀπέθανε. καὶ ἐβα-
σίλευσεν Ἀζαὴλ ἀντ' αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ἀζάηλος μὲν οὖν παραγενόμενος πρὸς τὸν Ἄδαδον, τῷ μὲν τὰ βελτίω περὶ τῆς νόσου κατήγγειλε· τῇ δ' ἐπιούσῃ δίκτυον ἐπιβαλὼν αὐτῷ διάβροχ[ον] τὸν μὲν στραγγάλῃ διέφθειρε, τὴν δ' ἀρ[χὴν] αὐτὸς παρέλαβε, δραστήριός τε ὢν [...] καὶ πολλὴν ἔχων παρὰ τῶν Σύρων εὔ[νοιαν] καὶ τοῦ δήμου τῶν Δαμασκηνῶν, ὑφ' οὗ μ[έχρι] νῦν αὐτός τε ὁ Ἄδαδος καὶ Ἀζάηλος ὁ [μετ'] αὐτὸν ἄρξας, ὡς Θεοὶ τιμῶνται διὰ [τὰς] εὐεργεσίας καὶ τὰς τῶν ναῶν οἰκοδομίας, οἷ[ς] ἐκόσμησαν τὴν τῶν Δαμασκηνῶν πόλιν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, » καὶ ἔλαβε τὸ στρῶμα, καὶ ἔβαψεν αὐτὸ » ὕδατι, καὶ ἔβαλεν (9) ἐπὶ τὸ πρόσωπον αὐ» τοῦ, καὶ ἀπέθανεν; Ὁ Ἰώσηπος τὸν Ἀζαὴλ εἴρηκε τοῦτο πεποιηκέναι, καὶ βιαίαν ἐπενεγκεῖν αὐτῷ τελευτήν. δυσσεβὴς γὰρ ἦν » καὶ μιαιφόνος. αὐτὸς γὰρ εἰρήκει, Θεὸς » ὀρέων ὁ Θεὸς Ἰσραὴλ, καὶ οὐ Θεὸς κοιλάδων. καὶ σωθεὶς ὑπὸ τοῦ Ἀχαὰβ, ἀχάριστος περὶ τὸν εὐεργέτην ἐγένετο. 3. Βασ. 21. 28.

ις. Ἐν ἔτει πέμπτῳ τῷ Ἰωρὰμ υἱῷ
Ἀχαὰβ βασιλεῖ Ἰσραὴλ, καὶ Ἰωσα-
φὰτ βασιλεῖ Ἰούδα, ἐβασίλευσεν Ἰω-
ρὰμ υἱὸς Ἰωσαφὰτ βασιλεὺς Ἰούδα.
ιζ. Υἱὸς τριάκοντα καὶ δύω ἐτῶν ἦν ἐν τῷ
βασιλεύειν αὐτὸν, καὶ ὀκτὼ ἔτη ἐβα-
ιη. σίλευσεν ἐπὶ (10) Ἱερουσαλήμ. Καὶ
ἐπο-

(1) Καὶ ἔκειντο τὰ δῶρα ἕως οὗ ἐσάπρησαν. (ἐσάπησαν, πάντως ἀναγνωστ.) ἐν ταῖς εἰρημ. σημειώσ. Ἑβραϊκῆς δὲ φράσεως ἰδιωτισμός ἐστι, φησὶν ὁ Μουστέρ. (ἐν σελ. 2594. τοῦ 2. Τόμ. τῶν καλουμ. ἱερ. Κριτ.) δηλῶν ὅτι ἀπέστρεψε τὸ πρόσωπον αὐτοῦ, ἐπικαλύψαι αὐτὸ βουλόμενος ὡς ὑπὸ τῶν δακρύων συγκεχυμένον. ἰστέον δὲ ὅτι ἐν τῇ ἑβραϊκῇ ἐκδόσ. κεῖται· וַיַּעֲמֵד אֶת־פָּנָיו, ὅπερ καὶ ἔστησε τὸ πρόσωπον αὐτοῦ.

(2) Βεναδάδ. ἡ ἑβραϊκὴ ἔκδ. ὃ οἱ Ἑβδομήκ. υἱὸς Ἄδερ. (3) Παρεσκεύασατο. ἡ ἐν Χάλ. ἔκδ.
(4) Ζωῇ. ἡ αὐτ. (5) Χρῖσαι μὲν τὸν Ἐλισσαῖον προφήτην, τὸν δὲ Ἀζ. ἡ αὐτ.
(6) Δέ. ἡ αὐτ. (7) Τί εἶπέ σοι Ἐλισσαιέ; αἱ αὐτ.
(8) Μαχβάρ. αἱ αὐτ. Ναβρά. ἐν ταῖς εἰρημ. σημειώσ. στρῶμα. ἐν τῇ κατὰ τὴν ἐν Κομπλ. αὐτ.
(9) Ἐπέβαλεν. ἡ ἐν Χάλ. ἔκδ. (10) Ἐν. αἱ αὐτ.

ἐπορεύθη ἐν ὁδῷ βασιλέων Ἰσραὴλ
καθὼς ἐποίησεν οἶκος Ἀχαὰβ, ὅτι
θυγάτηρ Ἀχαὰβ ἦν αὐτῷ εἰς γυ-
ναῖκα, καὶ ἐποίησε τὸ πονηρὸν ἐνώ-
πιον Κυρίȣ.

✻✻ ΙΩΣΗΠΟΥ. Ἰώραμος δὲ ὁ τῶν Ἱεροσολύμων βασιλεὺς· καὶ τȣ́τῳ γὰρ ἦν ταὐτὸ ὄνομα· παραλαβὼν τὴν ἀρχὴν, εὐθὺς ἐπὶ σφαγὴν (1) τῶν ἀδελφῶν αὐτȣ͂, καὶ τῶν πατρῴων φίλων, οἳ καὶ ἡγεμόνες ἦσαν, ἐχώρησεν, τὴν ἀρχὴν καὶ τὴν ἐπίδειξιν τῆς πονηρίας ἐντεῦθεν ποιησάμενος, καὶ μηδὲν διενεγκὼν τῶν τȣ͂ Ἰσραὴλ βασιλέων, οἳ πρῶτοι παρηνόμησαν εἰς τὰ πάτρια τῶν Ἑβραίων ἔθη, καὶ τὴν τȣ͂ Θεȣ͂ θρησκείαν. ἐδίδαξέ τε αὐτὸν τά τε ἄλλα εἶναι κακὸν, καὶ δὴ καὶ ξενικȣ̀ς Θεȣ̀ς προσκυνεῖν Γοθολία θυγάτηρ μὲν Ἀχάβȣ, συνοικήσασα δ' αὐτῷ.

✻ ΘΕΟΔΩΡΙΤΟΥ. Ἐδίδαξε δὲ ἡμᾶς ἡ ἱςορία τῆς κακῆς συγγενείας τὴν βλάβην. ὁ γὰρ ἕτερος Ἰωρὰμ ὁ τῆς Ἰȣ́δα φυλῆς βασιλεὺς ἔφυ μὲν ἐκ τȣ͂ Ἰωσαφὰτ ἀνδρὸς εὐσεβȣ͂ς· τοῖς δὲ τῆς ὁμοζύγȣ ὑπαχθεὶς λό-
» γοις, τῆς ἀσεβείας μετέλαχεν. ἐπορεύθη
» γάρ φησιν ἐν ὁδῷ τῶν βασιλέων Ἰσραὴλ
» καθὼς ἐποίησεν ὁ οἶκος Ἀχαὰβ, ὅτι θυ-
γάτηρ Ἀχαὰβ ἦν αὐτῷ εἰς γυναῖκα, καὶ
ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίȣ.

θ. Καὶ ȣ̓κ ἠθέλησε Κύριος διαφ-
αι τὸν Ἰȣ́δαν διὰ Δαβὶδ τὸν δȣ͂-
αὐτȣ͂, καθὼς εἶπε δȣ͂ναι αὐτῷ
χνον καὶ τοῖς υἱοῖς αὐτȣ͂ πάσας τὰς
έρας. Ἐν ταῖς ἡμέραις αὐτȣ͂ ἠθέ-
τησεν Ἐδὼμ ὑποκάτωθεν χειρὸς Ἰȣ́δα,
καὶ ἐβασίλευσεν ἐφ' ἑαυτῷ βασιλέα.

✻✻ ΙΩΣΗΠΟΥ. Ὁ μὲν Θεὸς διὰ τὴν πρὸς Δαβίδην ὁμολογίαν ȣ̓κ ἐβȣ́λετο τȣ́τȣ τὸ γένος ἐξαφανίσαι· Ἰώραμος δ' ȣ̓ διέλιπεν ἑκάςης ἡμέρας καινȣργῶν ἐπ' ἀσεβείᾳ καὶ λύμῃ τῶν ἐπιχωρίων ἐθισμῶν. ἀποςάντων δ' αὐτȣ͂ κατ' ἐκεῖνον τὸν καιρὸν τῶν Ἰδȣμαίων, καὶ τὸν μὲν πρότερον ἀποκτεινάντων βασιλέα, ὃς ὑπήκȣεν αὐτȣ͂ τῷ πατρὶ, ὃν δ' ἐβȣ́λοντο αὐτοὶ καταςησάντων, Ἰώραμος μετὰ τῶν περὶ αὐτὸν ἱππέων καὶ τῶν ἁρμάτων, νυκτὸς εἰς τὴν Ἰδȣμαίαν ἐνέβαλε.

κα. Καὶ ἀνέβη Ἰωρὰμ εἰς Σιὼρ,
καὶ πάντα τὰ ἅρματα τὰ μετ' αὐτȣ͂.
καὶ ἐγένετο αὐτȣ͂ ἀναςάντος, καὶ ἐπά-
ταξεν Ἐδὼμ (2) τὸν κυκλώσαντα αὐ-
τὸν, καὶ τȣ̀ς ἄρχοντας τῶν ἁρμάτων,
καὶ ἔφυγεν ὁ λαὸς εἰς τὰ σκηνώματα
κβ. αὐτῶν. Καὶ ἠθέτησεν Ἐδὼμ ὑποκά-
τωθεν χειρὸς Ἰȣ́δα ἕως τῆς ἡμέρας
ταύτης. τότε ἠθέτησε Λοβαρὰ (3)
ἐν τῷ καιρῷ ἐκείνῳ.

A ✻✻ ΙΩΣΗΠΟΥ. Τȣ̀ς μὲν πέριξ τῆς αὐτȣ͂ βασιλείας διέφθειρε, πορρωτέρω δ' ȣ̓ προῆλθεν. ὤνησε μέντοι τȣ͂το ποιήσας ȣ̓δέν. πάντες γὰρ ἀπέςησαν αὐτȣ͂, καὶ οἱ τὴν χώραν τὴν καλȣμένην Λαβίναν νεμόμενοι.

✻ ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ,
» ἐπάταξε τὸν Ἐδὼμ καὶ τὸν λαὸν τὸν κυ-
» κλȣ͂ντα αὐτὸν, καὶ τȣ̀ς ἄρχοντας μετὰ τῶν
» ἁρμάτων, καὶ ἔφυγεν ὁ λαὸς εἰς τὰ σκη-
B » νώματα αὐτȣ͂; Ἦρχε τῶν Ἰδȣμαίων ὁ τῆς
Ἰȣ́δα φυλῆς βασιλεύς. ἀλλὰ κατὰ τὴν
τȣ͂ (4) Προφήτȣ φωνὴν, τὴν τῆς δȣλείας
» ἀπεσείσαντο ζεύγλην. ἔςαι γάρ φησι και- Γεν. 27. 40.
» ρὸς, ἡνίκα ἂν καθέλῃς καὶ ἐκλύσῃς τὸν ζυ-
» γὸν αὐτȣ͂ ἀπὸ τȣ͂ τραχήλȣ σȣ. ςρατεύσαν-
τες τοίνυν κατ' αὐτῶν, ἐκείνȣς μὲν ἀνεῖλον,
καὶ εἰς τὴν οἰκείαν ἐπανῆλθον γῆν. οἱ δὲ
Ἰδȣμαῖοι καὶ νικηθέντες ἄρχεσθαι λοιπὸν
ȣ̓κ ἠνέχοντο.

Γ κγ. Καὶ τὰ λοιπὰ τῶν λόγων Ἰω-
ρὰμ καὶ πάντα ὅσα ἐποίησεν, ȣ̓κ ἰδȣ̀
γέγραπται ἐπὶ βιβλίȣ λόγων τῶν
κδ. ἡμερῶν τοῖς βασιλεῦσιν Ἰȣ́δα; Καὶ
ἐκοιμήθη Ἰωρὰμ μετὰ τῶν πατέρων
αὐτȣ͂, καὶ θάπτεται μετὰ τῶν πα-
τέρων αὐτȣ͂ ἐν πόλει Δαβὶδ τȣ͂ πα-
τρὸς αὐτȣ͂. καὶ ἐβασίλευσεν Ὀχοζίας
κε. υἱὸς αὐτȣ͂ ἀντ' αὐτȣ͂. Ἐν ἔτει δωδεκά-
Δ τῳ Ἰωρὰμ υἱῷ Ἀχαὰβ βασιλεῖ Ἰσ-
ραὴλ ἐβασίλευσεν Ὀχοζίας υἱὸς Ἰω-
κϛ. ράμ. Εἴκοσι καὶ δύω ἐτῶν Ὀχοζίας
ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ ἐνιαυτὸν
ἕνα ἐβασίλευσεν ἐν Ἱερȣσαλὴμ, καὶ
ὄνομα τῆς μητρὸς αὐτȣ͂ Γοθολία θυ-
γάτηρ Ζαμβρὶ βασιλέως Ἰσραήλ.
κζ. Καὶ ἐπορεύθη ἐν ὁδῷ οἴκȣ Ἀχαὰβ,
E καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίȣ
καθὼς ὁ οἶκος Ἀχαάβ.

κη. Καὶ ἐπορεύθη μετὰ Ἰωρὰμ
υἱȣ͂ Ἀχαὰβ εἰς πόλεμον μετὰ Ἀζαὴλ
βασιλέως ἀλλοφύλων ἐν Ῥαμὼθ Γα-
λαὰδ, καὶ ἐπάταξαν οἱ Σύροι τὸν
κθ. Ἰωράμ. Καὶ ἀπέςρεψεν ὁ βασιλεὺς
Ἰωρὰμ τȣ͂ ἰατρευθῆναι ἐν Ἰεζράελ
Z ἀπὸ τῶν πληγῶν ὧν ἐπάταξαν αὐ-
τὸν ἐν Ῥαμὼθ, ἐν τῷ πολεμεῖν αὐτὸν
μετὰ Ἀζαὴλ βασιλέως Συρίας. καὶ
Ὀχοζίας υἱὸς Ἰωρὰμ, βασιλεὺς Ἰȣ́-
δα κατέβη τȣ͂ ἰδεῖν τὸν Ἰωρὰμ υἱὸν Ἀ-
χαὰβ ἐν Ἰεζράελ, ὅτι ἠῤῥώςει αὐτός.

✻✻ ΙΩΣΗΠΟΥ. Ἰώραμος ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς μετὰ τὴν Ἀδάδȣ τελευτὴν ἐλπίσας Ἀραμάθην πόλιν τῆς Γα-
H λααδίτιδος ἀφαιρήσεσθαι τȣ̀ς Σύρȣς, ςρατεύει μὲν ἐπ' αὐτὴν μετὰ μεγάλης παρασκευῆς,

(1) Ὅρα τὸ 20. κεφ. τῆς 2. τῶν Παραλ. (2) Τὸν Ἐδώμ. αἱ αὐτ. (3) Λοβνά. αἱ αὐτ.
(4) Τȣ͂ πατριάρχȣ Ἰσαὰκ προφητείαν, τὴν, κτ. ἡ ἐν Χάλ. ἔκδ.

σκϑῆς· ἐν δὲ τῇ πολιορκίᾳ τοξευϑεὶς ὑπό τινος τῶν Σύρων ἐ καιρίως, ἀνεχώρησεν εἰς Ἰεσράελαν πόλιν, ἰαϑησόμενος ἐν αὐτῇ τὸ τραῦμα· καταλιπὼν ἐν τῇ Ἀραμάϑῃ τὴν στρατιὰν ἅπασαν, καὶ ἡγεμόνα τὸν Νεμεσσὶ παῖδα Ἰηοῦν. ἤδη γὰρ αὐτὴν ᾑρήκει κατὰ κράτος. προὔκειτο δ᾽ αὐτῷ

A μετὰ τὴν ϑεραπείαν πολεμεῖν τοῖς Σύροις. Καὶ μετ᾽ ὀλίγα. Ἔτυχε δὲ καὶ ὁ τῶν Ἱεροσολύμων βασιλεὺς Ὀχοζίας ἀφιγμένος πρὸς τὸν Ἰώραμον· υἱὸς γὰρ ἦν αὐτοῦ τῆς ἀδελφῆς, ὡς καὶ προειρήκαμεν· ἐπισκέψασϑαι δὲ πῶς ἔχει ἐκ τοῦ τραύματος, διὰ τὴν συγγένειαν ἐληλύϑει.

Κ Ε Φ. Θ.

α. Καὶ Ἐλισσαιὲ ὁ Προφήτης ἐκάλεσεν ἕνα τῶν υἱῶν τῶν Προφητῶν, καὶ εἶπεν αὐτῷ, ζῶσαι τὴν ὀσφύν σου, καὶ λάβε τὸν φακὸν τοῦ ἐλαίου τούτου ἐν τῇ χειρί σου, καὶ δεῦρο εἰς Ῥαμὼϑ Γαλαάδ.
β. Καὶ εἰσελεύσῃ ἐκεῖ, καὶ ὄψει ἐκεῖ Ἰηοῦ υἱὸν Ἰωσαφὰτ υἱὸν Ναμεσσί, καὶ εἰσελεύσῃ καὶ ἀναστήσεις αὐτὸν ἐκ μέσου τῶν ἀδελφῶν αὐτοῦ, καὶ εἰσάξεις αὐτὸν ἐν τῷ ταμιείῳ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν δι᾽ ἄλλου Προφήτου τὸν Ἰηοῦ κέχρικεν ὁ Ἐλισσαιέ; Λάϑρα τοῦτο γενέσϑαι συνέφερεν, ὥστε συλλόμως ἀναιρεϑῆναι τὸν Ἰωράμ. εἰ γὰρ προῄσϑετο, παρετάξατο ἄν· ἐν δὲ τῇ παρατάξει καὶ πολλοὺς ἦν ἀνάγκη πεσεῖν ἑκατέρωϑεν.

γ. Καὶ λήψῃ τὸν φακὸν τοῦ ἐλαίου, καὶ ἐπιχεεῖς ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ εἶπον, τάδε λέγει Κύριος, κέχρικά σε βασιλέα ἐπὶ Ἰσραήλ. καὶ ἀνοίξεις τὴν ϑύραν, καὶ φεύξῃ καὶ οὐ μενεῖς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ δὲ χρίσαντα φυγεῖν εὐϑὺς παρεγγύησεν; Ἵνα μὴ συλληφϑεὶς κινδυνεύσῃ. βούλεται γὰρ ἡμᾶς ὁ δεσπότης Θεὸς, καὶ ἀνϑρωπίναις οἰκονομίαις κεχρῆσϑαι. τοὺς [γὰρ] λόγῳ τιμηϑέντας εἰς δέον προσήκει κεχρῆσϑαι τῷ λόγῳ.

δ. Καὶ ἐπορεύϑη τὸ παιδάριον ὁ
ε. Προφήτης εἰς Ῥαμὼϑ Γαλαάδ, Καὶ εἰσῆλϑε· καὶ ἰδοὺ οἱ ἄρχοντες τῆς δυνάμεως ἐκάϑηντο, καὶ εἶπε, λόγος μοι πρὸς σὲ ὁ ἄρχων. καὶ εἶπεν Ἰηοῦ, πρὸς τίνα ἐκ πάντων ἡμῶν; καὶ εἶπε,
ϛ. πρὸς σὲ ὁ ἄρχων. Καὶ ἀνέστη καὶ εἰσῆλϑεν εἰς τὸν οἶκον, καὶ ἐπέχεε τὸ ἔλαιον ἐπὶ τὴν κεφαλὴν αὐτοῦ, καὶ εἶπεν αὐτῷ, τάδε λέγει Κύριος ὁ Θεὸς Ἰσραήλ, κέχρικά σε εἰς βασιλέα ἐπὶ
ζ. λαὸν Κυρίου ἐπὶ τὸν Ἰσραήλ. Καὶ ἐξολοϑρεύσεις τὸν οἶκον Ἀχαὰβ τοῦ κυρίου σου ἐκ προσώπου μου, καὶ ἐκδικήσεις τὰ αἵματα τῶν δούλων μου τῶν Προφητῶν, καὶ τὰ αἵματα πάντων τῶν δούλων Κυρίου ἐκ χειρὸς Ἰεζάβελ.
η. Καὶ ἐκ χειρὸς ὅλου τοῦ οἴκου Ἀχαάβ, καὶ ἐξολοϑρεύσεις τὸν (1) Ἀχαὰβ οὐροῦντα πρὸς τοῖχον, καὶ συνεχόμενον καὶ ἐγκαταλελειμμένον ἐν Ἰσραήλ.
ϑ. Καὶ ἐπιδοῦναι τὸν οἶκον Ἀχαὰβ ὡς τὸν οἶκον Ἱεροβοὰμ υἱοῦ Ναβάτ, καὶ ὡς
ι. τὸν οἶκον Βαασὰ υἱοῦ Ἀχιά. Καὶ τὴν
Γ Ἰεζάβελ καταφάγονται οἱ κύνες ἐν τῇ μερίδι Ἰεζράελ, καὶ οὐκ ἔστιν ὁ ϑάπτων. καὶ ἤνοιξε τὴν ϑύραν καὶ ἔφυγε.

ια. Καὶ Ἰηοῦ ἐξῆλϑε πρὸς τοὺς παῖδας τοῦ κυρίου αὐτοῦ, καὶ εἶπαν αὐτῷ, εἰρήνη; τί ὅτι εἰσῆλϑεν ὁ ἐπίληπτος οὗτος πρὸς σέ; καὶ εἶπεν αὐτοῖς, ὑμεῖς οἴδατε τὸν ἄνδρα καὶ τὴν ἀδολεσχία[ν]
ιβ. αὐτοῦ. Καὶ εἶπον, ἄδικον, εἰ οὐ κατ[α]
Δ γελᾷς ἡμῖν. καὶ εἶπεν Ἰηοῦ πρὸς αὐ[τούς], οὕτω καὶ οὕτως ἐλάλησε πρός με, [λέ]γων, τάδε λέγει Κύριος, κέχρικα [σε] εἰς βασιλέα ἐπὶ Ἰσραήλ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ ἐπίληπτον τὸν Προφήτην ἐκάλεσαν; Ὡς δυσσεβοῦντες ὕβριζον τοὺς ϑεράποντας τοῦ Θεοῦ· καὶ μαινομένους ἐκάλουν, ὡς παρρησίᾳ χρωμένους· ὁ δὲ Ἰηοῦ οὐχ ὡς παροινῶν ἀδολέσχην
E ὠνόμασεν, ἀλλὰ κρύψαι τὰ εἰρημένα βουλόμενος. ἐπεὶ δὲ εἶδεν ἐπικειμένους, ἐμήνυσε.

ιγ. Καὶ ἀκούσαντες ἔσπευσαν, καὶ ἔλαβον ἕκαστος τὸ ἱμάτιον αὐτοῦ, καὶ ἔϑηκαν ὑποκάτω αὐτοῦ. (2) ἐπὶ γὰρ ἕνα τῶν ἀναβαϑμῶν ἐκάϑητο· καὶ ἐσάλπισαν ἐν κερατίνῃ, καὶ εἶπον, ἐβασίλευσεν Ἰηοῦ.
Z

** ΙΩΣΗΠΟΥ. Ταῦτ᾽ εἰπόντος, ἕκαστος περιδύων αὐτὸν ἐπεστρώννυεν αὐτῷ τὸ ἱμάτιον· καὶ σαλπίζοντες τοῖς κέρασιν ἐσήμαινον Ἰηοῦν εἶναι βασιλέα.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, καὶ ἔλαβεν
» ἀνὴρ τὸ ἱμάτιον αὐτοῦ, καὶ ἔϑηκεν ὑποκά-
» τωϑεν Ἰηοῦ ἐφ᾽ ἓν τῶν Γαραμὶν; (3) Τὰ ἑξῆς ἑρμηνεύει τοῦ λόγου τὸ ἀσαφές, (4) ἐπήγαγεν ἐπὶ μίαν τῶν ἀναβαϑμίδων. γνόντες δὲ τὴν ϑείαν χειροτονίαν, ὡς βασιλεῖ
H προσήνεγκαν τὴν τιμήν.

ιδ. Καὶ

(1) Τῷ οἴκῳ Ἀχ. αἱ αὐτ. (2) Αὐτοῦ ἐπὶ τὸ γαρὲμ τῶν ἀναβάϑ. αἱ αὐτ.
(3) Γαρέμ. ἡ ἐν Χαλ. ἔκδ. (4) Τὸ ἐπήγαγε, κτ. οὐ ῥητὰ τῆς Γραφ. ἀλλ᾽ ἀνάπτυξις ἔοικε.

ιδ. Καὶ συνεστράφη Ἰοὺ υἱὸς Ἰω-
σαφὰτ υἱοῦ Ναμεσσὶ πρὸς Ἰωράμ. καὶ
Ἰωρὰμ αὐτὸς ἐφύλασσεν ἐν Ῥαμὼθ
Γαλαὰδ, αὐτὸς καὶ πᾶς Ἰσραὴλ ἀπὸ
προσώπου Ἀζαὴλ βασιλέως Συρίας.
ιε. Καὶ ἀπέστρεψεν Ἰωρὰμ ὁ βασιλεὺς ἰα-
τρευθῆναι ἐν Ἰεζράελ ἀπὸ τῶν πλη-
γῶν ὧν ἔπαισαν αὐτὸν οἱ Σύροι ἐν τῷ
πολεμεῖν αὐτὸν μετὰ Ἀζαὴλ βασι-
λέως Συρίας. καὶ εἶπεν Ἰοὺ, εἰ ἔστι
ψυχὴ ὑμῶν μετ᾽ ἐμοῦ, μὴ ἐξελθέτω
ἐκ τῆς πόλεως διαπεφευγὼς τοῦ πο-
ρευθῆναι καὶ ἀπαγγεῖλαι ἐν Ἰεζράελ.

ιϛ. Καὶ ἐσπεύσε καὶ ἐπορεύθη Ἰοὺ,
καὶ κατέβη εἰς Ἰεζράελ, ὅτι Ἰωρὰμ
βασιλεὺς Ἰσραὴλ ἐθεραπεύετο ἐν τῷ
Ἰεζράελ ἀπὸ τῶν τοξευμάτων, ὧν κα-
τετόξευσαν αὐτὸν οἱ Ῥαμαὶμ (1) ἐν
τῇ Ῥαμμὰθ ἐν τῷ πολέμῳ μετὰ
Ἀζαὴλ βασιλέως Συρίας, ὅτι αὐτὸς
δυνατὸς καὶ ἀνὴρ δυνάμεως ἐκοιμή-
θη ἐκεῖ. καὶ Ὀχοζίας βασιλεὺς Ἰούδα
κατέβη ἰδεῖν τὸν Ἰωράμ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Γαραμὶν (2) δὲ τοὺς
[illegible]ύρους ἐκάλεσε. Γαραμὰ (3) γὰρ οἱ Σύ-
[illegible] οὕτω δὲ καὶ οἱ ἄλλοι ἡρμηνεύκασαν.

[illegible]ζ. Καὶ ὁ σκοπὸς ἀνέβη ἐπὶ τὸν
[illegible]γον ἐν Ἰεζράελ, καὶ εἶδε τὸν κο-
[illegible]τὸν Ἰοὺ ἐν τῷ παραγίνεσθαι αὐ-
[illegible], καὶ εἶπε, κονιορτὸν ἐγὼ βλέπω.
[illegible] εἶπεν Ἰωρὰμ, λάβε ἐπιβάτην,
καὶ ἀπόστειλον ἔμπροσθεν αὐτῶν, καὶ
εἰπάτω, εἰ εἰρήνη;

ιη. Καὶ ἐπορεύθη ἐπιβάτης ἵππου
εἰς ἀπάντησιν αὐτῷ, καὶ εἶπε, τάδε
λέγει ὁ βασιλεὺς, εἰ εἰρήνη. καὶ εἶπεν
Ἰοὺ, τί σοι καὶ εἰρήνη; ἐπίστρεφε (4)
εἰς τὰ ὀπίσω. (5) καὶ ἀνήγγειλεν (6) ὁ
ὁ σκοπὸς, λέγων, ἦλθεν ὁ ἄγγελος
ιθ. ἕως αὐτῶν, καὶ οὐκ ἀνέστρεψε. Καὶ
ἀπέστειλεν ἐπιβάτην ἵππου δεύτερον,
καὶ ἦλθε μετ᾽ αὐτὸν καὶ εἶπε, τάδε
λέγει ὁ βασιλεὺς, εἰ εἰρήνη. καὶ εἶπεν
Ἰοὺ, τί σοι καὶ εἰρήνη; ἐπίστρεφε εἰς
τὰ ὀπίσω. (7)

** ΙΩΣΗΠΟΥ. Ἐλθὼν πρὸς τὸν Ἰοῦν
ὁ ἱππεὺς, ἐπηρώτα περὶ τῶν ἐν τῷ στρατο-
πέδῳ. πυνθάνεσθαι γὰρ ταῦτα τὸν βασι-
λέα. ὁ δὲ μηδὲν μὲν περὶ τούτων πολυ-
πραγμονεῖν ἐκέλευσεν, ἕπεσθαι δ᾽ αὐτῷ.
ταῦθ᾽ ὁ σκοπὸς ὁρῶν, ἀπήγγειλεν Ἰωρά-
μῳ, τὸν ἱππέα συγκαταμιγέντα τῷ πλή-
A θει τῶν προσιόντων, σὺν ἐκείνοις παραγί-
νεσθαι. πέμψαντος δὲ καὶ δεύτερον τοῦ βα-
σιλέως, ταυτὸ ποιεῖν προσέταξεν Ἰοῦς.

κ. Καὶ ἀπήγγειλεν ὁ σκοπὸς, λέ-
γων, ἦλθεν ἕως αὐτοῦ (8) καὶ οὐκ ἀνέ-
στρεψε, καὶ ὁ ἄγων ἦγε τὸν Ἰοὺ υἱὸν Να-
μεσσίου, ὅτι ἐν παραλλαγῇ ἐγένετο.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, καὶ ἡ
B » ἀγωγὴ, ἀγωγὴ Ἰοῦ υἱοῦ Ναμεσσί. διότι ἡ
» παραλλαγὴ ἦγε; Πόῤῥωθεν ὁ σκοπὸς θεα-
σάμενος, ὡς οἱ μὲν ἀποσταλέντες οὐκ ἀνέστρε-
ψαν, ὁ δὲ τοῦ πλήθους ἡγούμενος ἔοικεν (9)
εἶναι Ἰοῦ· τοῦτο γὰρ τὸ σχῆμα ἐδήλου· ἐμή-
νυσεν ὅπερ ἑώρακεν. ἔνια μέντοι τῶν ἀν-
» τιγράφων εἶχε, (10) καὶ ὁ ἄγων ἦγε τὸν
Ἰοῦ, τουτέστιν ὁ Θεός.

κα. Καὶ εἶπεν Ἰωρὰμ, ζεῦξον. καὶ
ἔζευξαν ἅρμα. καὶ ἐξῆλθεν Ἰωρὰμ
Γ βασιλεὺς Ἰσραὴλ, καὶ Ὀχοζίας βα-
σιλεὺς Ἰούδα, ἀνὴρ ἐν τῷ ἅρματι αὐ-
τοῦ, καὶ ἐξῆλθον εἰς ἀπάντησιν Ἰοὺ,
καὶ εὗρον αὐτὸν ἐν τῇ μερίδι Ναβουθαὶ
κβ. Ἰσραηλίτου. (11) Καὶ ἐγένετο ὡς εἶδεν
Ἰωρὰμ τὸν Ἰοὺ, καὶ εἶπεν εἰ (12) εἰρήνη
Ἰού; καὶ εἶπεν Ἰοὺ, τί σοι καὶ εἰρήνη;
ἔτι αἱ πορνεῖαι Ἰεζάβελ τῆς μητρός-
Δ σου καὶ τὰ φάρμακα αὐτῆς τὰ πολλά.
κγ. Καὶ ἐπέστρεψεν Ἰωρὰμ τὰς χεῖρας αὐ-
τοῦ τοῦ φυγεῖν· καὶ εἶπε πρὸς Ὀχοζίαν,
δόλος Ὀχοζία.

** ΙΩΣΗΠΟΥ. Τελευταῖον αὐτὸς ἐπι-
βὰς ἅρματος σὺν Ὀχοζίᾳ τῷ τῶν Ἱεροσο-
λύμων βασιλεῖ· παρῆν γὰρ αὐτὸς, ὡς ἔφη-
μεν ἔμπροσθεν, ὀψόμενος αὐτὸν, πῶς ἐκ τοῦ
τραύματος ἔχει, διὰ συγγένειαν· ἐξῆλθεν
ὑπαντησόμενος. σχολαίτερόν τε καὶ μετ᾽
E εὐταξίας ὥδευεν Ἰοῦς. καταλαβὼν δ᾽ ἐν
ἀγρῷ Ναβούθου τοῦτον Ἰώραμος, ἐπυνθάνε-
το εἰ πάντα ἔχει καλῶς τὰ κατὰ τὸ στρα-
τόπεδον. βλασφημήσαντος δὲ πικρῶς αὐ-
τὸν Ἰοῦ, ὡς καὶ τὴν μητέρα αὐτοῦ φαρμα-
κὸν καὶ πόρνην ἀποκαλέσαι, δείσας ὁ βα-
σιλεὺς τὴν διάνοιαν αὐτοῦ, καὶ μηδὲν ὑγιὲς
φρονεῖν αὐτὸν ὑπονοήσας, στρέψας ὡς εἶχε
τὸ ἅρμα, ἔφυγε, φήσας πρὸς Ὀχοζίαν,
ἐνέδρᾳ καὶ δόλῳ κατεστρατηγεῖσθαι.

Z
κδ. Καὶ ἔπλησεν Ἰοὺ τὴν χεῖρα
αὐτοῦ ἐν τῷ τόξῳ, καὶ ἐπάταξε τὸν
Ἰωρὰμ ἀναμέσον τῶν βραχιόνων αὐ-
τοῦ, καὶ ἐξῆλθε τὸ βέλος διὰ τῆς καρ-
δίας αὐτοῦ, καὶ ἔκαμψεν ἐπὶ τὰ γό-
νατα αὐτοῦ.

κε. Καὶ εἶπεν Ἰοὺ πρὸς Βαδεκὰρ
τὸν τριστάτην αὐτοῦ, ῥίψον αὐτὸν ἐν τῇ

 μερίδι

(1) Ἀραμίν. αἱ αὐτ. (2) Ἀραμέιν. ἡ ἐν Χάλ. ἔκδ. (3) Ἀραμά. ἡ αὐτ.
(4) Ἐπίστρεφε. αἱ αὐτ. (5) Εἰς τὰ ὀπίσω μου. αἱ αὐτ. (6) Ἀπήγ. αἱ αὐτ.
(7) Ὀπίσω μου. αἱ αὐτ. (8) Αὐτῶν. αἱ αὐτ. (9) Ἐῴκει. ἡ αὐτ. (10) Ἔχει. ἡ αὐτ.
(11) Ἰεζραηλίτου. αἱ αὐτ. καὶ Ἰζραηλίτου. ἐν τοῖς εἰρημ. σημ. ὁμοίως καὶ ἐν ἐδ. 25. (12) Ἡ. αἱ αὐτ.

μερίδι Ναβουθαὶ τοῦ Ἰσραηλίτου, ὅτι
μνημονεύω ἐγὼ καὶ σὺ ἐπιβεβηκότες
ἐπὶ ζεύγη ὀπίσω Ἀχαὰβ τοῦ πατρὸς
αὐτοῦ, καὶ Κύριος ἐλάλησεν ἐπ' αὐ-
κς. τὸν τὸ λῆμμα (1) τοῦτο· Εἰ μὴ μετὰ
τῶν αἱμάτων Ναβουθαὶ, καὶ τῶν υἱῶν
αὐτοῦ εἶδον ἐχθὲς, Φησὶ Κύριος, καὶ
ἀνταποδώσω αὐτῷ ἐν τῇ μερίδι ταύ-
τῃ, Φησὶ Κύριος. καὶ νῦν ἄρας δὴ
ῥίψον αὐτὸν ἐν τῇ μερίδι κατὰ τὸ
ῥῆμα Κυρίου.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστι, καὶ (2) ὁ Κύ-
» ριος ἔλαβεν ἐπ' αὐτὸν τὸ λῆμμα τοῦτο; Τὰς προφητικὰς ὁράσεις, καὶ λήμματα ἐκάλουν. οἱ μὲν γὰρ τῶν Προφητῶν, ἢ δι' ἐνυπνίων, ἢ ὕπαρ ἑώρων τινά· καὶ τοῦτο τὸ εἶδος ὅρασις ἐκαλεῖτο· τινὲς δὲ τοῦ θείου πνεύματος δι' αὐτῶν ἐνεργοῦντος ἐφθέγγοντο καὶ προὔλεγον τὰ ἐσόμενα. τοῦτο ἐκάλουν λῆμμα. ἀνεμιμνήσκετο (3) τοίνυν ὁ Ἰηοῦ τῆς Ἠλιοῦ τοῦ μεγάλου προῤῥήσεως, ὅτι ἔνθα τοῦ Ναβουθαὶ ἔλειξαν οἱ κύνες τὸ αἷμα, ἐκεῖ τὸ αἷμα τοῦ Ἀχαὰβ λείξουσιν. οὗ δὴ χάριν καὶ τοῦ Ἰωρὰμ ἐκεῖ τὸ σῶμα ῥιφῆναι προσέταξε.

κζ. Καὶ Ὀχοζίας βασιλεὺς Ἰούδα
εἶδε καὶ ἔφυγεν ὁδὸν Βαιθάν· (4) καὶ
ἐδίωξεν ὀπίσω αὐτοῦ Ἰηοῦ, καὶ εἶπε, καί-
γε αὐτόν. καὶ ἐπάταξεν αὐτὸν ἐν τῷ
ἅρματι πρὸς τὸ ἀναβαίνειν Γαΐ, ἥ
ἐστιν Ἰεβλαάμ· καὶ ἔφυγεν εἰς Μα-
κη. γεδδὼ, καὶ ἀπέθανεν ἐκεῖ. Καὶ ἐπε-
βίβασαν αὐτὸν οἱ παῖδες αὐτοῦ ἐπὶ
τὸ ἅρμα, καὶ ἤγαγον αὐτὸν εἰς Ἱερου-
σαλὴμ, καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τά-
κθ. φῳ αὐτοῦ ἐν πόλει Δαβίδ. Καὶ ἐν ἔτει
δεκάτῳ (5) Ἰωρὰμ βασιλέως Ἰσραὴλ
ἐβασίλευσεν Ὀχοζίας ἐπὶ Ἰούδαν.

** ΙΩΣΗΠΟΥ. Πεσόντος Ἰωράμου, δείσας περὶ τῆς ἑαυτοῦ σωτηρίας Ὀχοζίας, τὸ ἅρμα εἰς ἑτέραν ὁδὸν ἐξένευσε, λήσεσθαι τὸν Ἰηοῦν ὑπολαβών. ὁ δ' ἐπιδιώξας, καὶ καταλαβὼν ἔν τινι προσβάσει, τοξεύσας ἔτρωσε. καταλιπὼν δὲ τὸ ἅρμα, καὶ ἐπιβὰς ἵππῳ, φεύγει τὸν Ἰηοῦν εἰς Μαγεδδώ. κἀκεῖ θεραπευόμενος, μετ' ὀλίγον ἐκ τῆς πληγῆς τελευτᾷ. κομισθεὶς δ' εἰς Ἱεροσόλυμα, τῆς ἐκεῖ ταφῆς τυγχάνει, βασιλεύσας μὲν ἐνιαυτὸν ἕνα, πονηρὸς δὲ καὶ χείρων τοῦ πατρὸς αὐτοῦ γενόμενος.

λ. Καὶ ἦλθεν Ἰηοῦ εἰς Ἰεζράελ. καὶ
Ἰεζάβελ ἤκουσε, καὶ ἐστιμμίσατο (6)
τοὺς ὀφθαλμοὺς αὐτῆς, καὶ ἠγάθυνε
τὴν κεφαλὴν αὐτῆς, καὶ διέκυψε διὰ
λα. τῆς θυρίδος. Καὶ Ἰηοῦ εἰσεπορεύετο
ἐν τῇ πόλει, καὶ εἶπεν, εἰ εἰρήνη Ζαμ-
λβ. βρὶ ὁ φονευτὴς τοῦ κυρίου αὐτοῦ; Καὶ
ἐπῆρε τὸ πρόσωπον αὐτοῦ εἰς τὴν θυ-
ρίδα, καὶ εἶδεν αὐτὴν, καὶ εἶπε, τίς
εἶ σύ; κατάβηθι μετ' ἐμοῦ. καὶ κατέ-
λγ. κυψαν πρὸς αὐτὸν δύω εὐνοῦχοι. Καὶ
εἶπε, κυλίσατε αὐτήν. καὶ ἐκύλισαν
αὐτὴν, καὶ ἐῤῥαντίσθη τοῦ αἵματος
Β αὐτῆς πρὸς τὸν τοῖχον καὶ πρὸς τοὺς
ἵππους, καὶ συνεπάτησαν αὐτήν.

** ΙΩΣΗΠΟΥ. Τοῦ Ἰηοῦ ἐλθόντος εἰς Ἰεζράελαν, κοσμησαμένη ἡ Ἰεζαβέλα, καὶ
» στᾶσα ἐπὶ τοῦ πύργου, καλὸς, εἶπε, δοῦλος ὁ
» ἀποκτείνας τὸν δεσπότην. ὁ δ' ἀναβλέψας πρὸς αὐτὴν, ἐπυνθάνετο τίς εἴη, καὶ καταβᾶσαν ἥκειν πρὸς αὐτὸν ἐκέλευσε· καὶ τέλος τοῖς εὐνούχοις προσέταξεν αὐτὴν ἀπὸ
Γ τοῦ πύργου βαλεῖν. καταφερομένη δὲ τό, τε τεῖχος περιέῤῥανε τῷ αἵματι, καὶ συμπατηθεῖσα ὑπὸ τῶν ἵππων, οὕτως ἀπέθανε.

λδ. Καὶ εἰσῆλθεν Ἰηοῦ καὶ ἔφαγε
καὶ ἔπιε, καὶ εἶπεν, ἐπισκέψασθε δὴ
τὴν κατηραμένην ταύτην, καὶ θάψα-
τε αὐτὴν, ὅτι θυγάτηρ βασιλέως
λε. ἐστι. Καὶ ἐπορεύθησαν θάψαι αὐ-
τὴν, καὶ οὐχ εὗρον ἐν αὐτῇ ἄλλο τ
Δ τὸ κρανίον καὶ τὰ ἴχνη τῶν χε
καὶ οἱ πόδες.
λς. Καὶ ἐπέστρεψαν καὶ ἀνήγ
λαν αὐτῷ. καὶ εἶπε, λόγος Κυ
ὃν ἐλάλησεν ἐν χειρὶ (7) δούλου αυ
Ἠλιοῦ τοῦ Θεσβίτου, λέγων, ἐν τῇ
μερίδι Ἰσραὴλ (8) καταφάγονται οἱ
λζ. κύνες τὰς σάρκας Ἰεζάβελ. Καὶ
Ε ἔσται τὸ θνησιμαῖον Ἰεζάβελ ὡς κο-
πρία ἐπὶ προσώπου τοῦ ἀγροῦ ἐν τῇ
μερίδι Ἰεζράελ, ὥστε μὴ εἰπεῖν αὐτοὺς,
Ἰεζάβελ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ τῆς Ἰεζάβελ τὸ σῶμα μεμαθηκὼς ὑπὸ κυνῶν ἀνηλῶσθαι, ἐθαύμασεν ὁ Ἰηοῦ τὸ τῆς προῤῥήσεως ἀψευ-
» δές. ἐν τῇ μερίδι γὰρ ἔφη Ἰεζράελ κατα-
» φάγονται οἱ κύνες τὰς σάρκας Ἰεζάβελ,
Ζ καὶ τὰ ἑξῆς.

** ΙΣΙΔΩΡΟΥ. Ἀγνοεῖς μὲν τὴν ἀνταπόδοσιν, ὡς ἀβλεπτῶν πρὸς τὰ μέλλοντα. οὐ μόνον δὲ ἐν τῷ μέλλοντι κριτηρίῳ, ἀλλὰ καὶ ἐν τῷ παρόντι βίῳ [τὰς ἐπαξίους] τίνουσι δίκας οἱ βάσκανοι. καὶ πειθέτω σε ἡ τοῦ Ἀχαὰβ Ἰεζάβελ, ἐπιμανεῖσα τῷ τοῦ Ναβουθαὶ ἀμπελῶνι, καὶ νῦν μὲν βορὰ κυσὶ γενομένη, μετὰ ταῦτα δὲ τῷ αἰωνίῳ πυρὶ τηρουμένη.

ΚΕΦ.

(1) Ῥῆμα. ἐν ταῖς εἰρημ. σημ. καὶ ἐν τῇ Ἑβρ. ἐκδόσ. (2) Καὶ Κύριος ἐλάλησεν. ἡ ἐν Χάλ. ἔκδ. τὸ δὲ, ἐλάλησεν, ἡ τοῦ Ἀλδ. περιέχει. (3) Ἀνεμίμνησκε. ἡ αὐτ. (4) Βαιθγάν. αἱ αὐτ. (5) Ἐνδεκάτῳ. αἱ αὐτ. (6) Ἐστιβείσατο, καὶ ἐστιβάσατο. ἐν ταῖς εἰρημ. σημ. (7) Ἐν χειρὶ Ἠλιοῦ. αἱ αὐτ. (8) Ἰεζράελ. αἱ αὐτ.

ΚΕΦ. Ι.

α. Καὶ τῷ Ἀχαὰβ (1) οἱ ἑβδομήκοντα υἱοὶ ἐν Σαμαρείᾳ. καὶ ἔγραψεν Ἰηοὺ βιβλίον, καὶ ἀπέστειλεν ἐν Σαμαρείᾳ πρὸς τοὺς ἄρχοντας Σαμαρείας, καὶ πρὸς τοὺς πρεσβυτέρους, καὶ πρὸς τοὺς τιθηνοὺς
β. υἱῶν Ἀχαὰβ, λέγων, Καὶ νῦν ὡς ἂν ἔλθῃ τὸ βιβλίον τοῦτο πρὸς ὑμᾶς, μεθ' ὑμῶν οἱ υἱοὶ τοῦ κυρίου ὑμῶν, καὶ μεθ' ὑμῶν τὸ ἅρμα καὶ οἱ ἵπποι καὶ
γ. πόλεις ὀχυραὶ καὶ τὰ ὅπλα, Καὶ ὄψεσθε τὸν ἀγαθὸν καὶ τὸν εὐθῆ ἐν τοῖς υἱοῖς τοῦ κυρίου ὑμῶν, καὶ καταστήσετε αὐτὸν ἐπὶ τοῦ θρόνου (2) τοῦ πατρὸς αὐτοῦ, καὶ πολεμεῖτε ὑπὲρ τοῦ
δ. οἴκου τοῦ κυρίου ὑμῶν. Καὶ ἐφοβήθησαν σφόδρα, καὶ εἶπον, ἰδοὺ οἱ δύο βασιλεῖς οὐκ ἔστησαν κατὰ πρόσωπον αὐ-
ε. τοῦ, καὶ πῶς στησόμεθα ἡμεῖς; Καὶ ἀπέστειλαν οἱ ἐπὶ τοῦ οἴκου καὶ οἱ ἐπὶ τῆς πόλεως καὶ οἱ πρεσβύτεροι καὶ οἱ τιθηνοὶ πρὸς Ἰηοὺ, λέγοντες, παῖδές [illegible] (3) ἡμεῖς, καὶ ὅσα ἐὰν εἴπῃς πρὸς [illegible]ς ποιήσομεν. οὐ βασιλεύσομεν ἄν[illegible], τὸ ἀγαθὸν ἐν ὀφθαλμοῖς σου [illegible]σομεν. Καὶ ἔγραψε πρὸς αὐτοὺς [illegible] βιβλίον δεύτερον, λέγων, εἰ ἐμοὶ [illegible]εῖς, καὶ τῆς φωνῆς μου ὑμεῖς ἀκούετε, λάβετε τὴν κεφαλὴν ἀνδρῶν τῶν υἱῶν τοῦ κυρίου ὑμῶν, καὶ ἐνέγκατε πρός με, ὡς ἡ ὥρα αὔριον εἰς Ἰεζράελ. καὶ οἱ υἱοὶ τοῦ βασιλέως ἦσαν ἑβδομήκοντα ἄνδρες, οὗτοι (4) ἁδροὶ τῆς πόλεως ἐξέτρεφον αὐτούς.

** ΙΩΣΗΠΟΥ. Ὄντων Ἀχάβου παίδων ἑβδομήκοντα, τρεφομένων δ' ἐν Σαμαρείᾳ, πέμπει δύο ἐπιστολὰς Ἰηοῦς, τὴν μὲν τοῖς παιδαγωγοῖς, τὴν δ' ἑτέραν τοῖς ἄρχουσι τῶν Σαμαρέων, λέγων, τὸν ἀνδρειότατον τῶν Ἀχάβου παίδων ἀποδεῖξαι βασιλέα· καὶ γὰρ ἁρμάτων αὐτοῖς εἶναι πλῆθος καὶ ἵππων καὶ ὅπλων καὶ στρατιᾶς, καὶ πόλεις ὀχυρὰς ἔχειν· καὶ τοῦτο ποιήσαντας εἰσπράττεσθαι δίκην ὑπὲρ τοῦ δεσπότου. ταῦτα δ' ἐγεγράφει, διάπειραν βουλόμενος λαβεῖν τῆς τῶν Σαμαρέων διανοίας. ἀναγνόντες δὲ τὰ γράμματα οἵτε ἄρχοντες καὶ οἱ παιδαγωγοί, κατέδεισαν. καὶ λογισάμενοι μηδὲν δύνασθαι ποιεῖν πρὸς τοῦτον, ὃς δύο μεγίστων ἐκράτησε βασιλέων, ἀντέγραψαν ὁμολογοῦντες αὐτὸν ἔχειν δεσπότην, καὶ ποιήσειν ὃ ἂν κελεύῃ. ὁ δὲ πρὸς ταῦτα ἀντέγραψεν, αὐτῷ τε ὑπακούειν κελεύων, καὶ τῶν Ἀχάβου παίδων τὰς κεφαλὰς ἀποτεμόντας πέμψαι πρὸς αὐτόν.

ζ. Καὶ ἐγένετο ὡς ἦλθε τὸ βι-
B βλίον πρὸς αὐτοὺς, καὶ ἔλαβον τοὺς υἱοὺς τοῦ βασιλέως, καὶ ἔσφαξαν αὐτοὺς ἑβδομήκοντα ἄνδρας· καὶ ἔθηκαν τὰς κεφαλὰς αὐτῶν ἐν καρτάλλοις, καὶ ἀπέστειλαν αὐτὰς πρὸς αὐτὸν εἰς Ἰε-
η. ζράελ. Καὶ ἦλθεν ὁ ἄγγελος καὶ ἀπήγγειλε, λέγων, ἤνεγκαν τὰς κεφαλὰς τῶν υἱῶν τοῦ βασιλέως. καὶ εἶπε, θέτε αὐτὰς βουνοὺς δύο παρὰ
Γ τὴν θύραν τῆς πόλεως εἰς πρωΐ.

** ΙΩΣΗΠΟΥ. Οἱ ἄρχοντες μεταπεμψάμενοι τοὺς τροφεῖς τῶν παίδων, προσέταξαν ἀποκτείνασιν αὐτοὺς, τὰς κεφαλὰς ἀποτεμεῖν, καὶ πέμψαι πρὸς Ἰηοῦν. οἱ δ' οὐδὲν ὅλως φεισάμενοι, τοῦτο ἔπραξαν· καὶ συνθέντες εἴς τινα πλεκτὰ ἀγγεῖα τὰς κεφαλὰς, ἀπέπεμψαν εἰς Ἰεζράηλαν. κομισθεισῶν δὲ τούτων, ἀγγέλλεται δειπνοῦντι
Δ μετὰ τῶν φίλων τῷ Ἰηοῦ, ὅτι κομισθεῖεν αἱ τῶν Ἀχάβου παίδων κεφαλαί. ὁ δὲ πρὸ τῆς πύλης ἐξ ἑκατέρου μέρους ἐκέλευσεν ἐξ αὐτῶν ἀναστῆσαι βουνούς.

θ. Καὶ ἐγένετο ἐν πρωΐ· καὶ ἐξῆλθε καὶ ἔστη ἐν τῷ πυλῶνι τῆς πόλεως, καὶ εἶπε πρὸς πάντα τὸν λαὸν, δίκαιοι ὑμεῖς· ἰδοὺ ἐγώ εἰμι συνεστράφην ἐπὶ
E τὸν κύριόν μου, καὶ ἀπέκτεινα αὐτόν· καὶ
ι. τίς ἐπάταξε πάντας τούτους; Ἴδετε ἀφφὼ, (5) ὅτι οὐ πεσεῖται ἀπὸ τοῦ ῥήματος Κυρίου εἰς τὴν γῆν ὅτι ἐλάλησε Κύριος ἐπὶ τὸν οἶκον Ἀχαάβ. καὶ Κύριος ἐποίησεν ὅσα ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ Ἠλιού.

** ΙΩΣΗΠΟΥ. Ἅμα ἡμέρᾳ προϊὼν ὀψόμενος, καὶ θεασάμενος ἤρξατο πρὸς
Z τὸν παρόντα λαὸν λέγειν, ὡς αὐτὸς μὲν ἐπὶ τὸν δεσπότην τὸν αὐτοῦ στρατεύσαιτο, κἀκεῖνον ἀποκτείνειε· τούτους δὲ πάντας οὐκ αὐτὸς ἀνέλοι. γιγνώσκειν δὲ αὐτοὺς ἠξίου περὶ τῆς Ἀχάβου γενεᾶς, ὅτι πάντα κατὰ τὴν τοῦ Θεοῦ προφητείαν γέγονε, καὶ ὁ οἶκος αὐτοῦ, καθὼς Ἠλίας προεῖπεν, ἀπόλωλε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τῶν δὲ ἄλλων παίδων τοῦ Ἀχαὰβ ἀναιρεθέντων, (6) οὐχ ὑπ' αὐτοῦ,

(1) Ἀχαὰβ ἑβδομ. αἱ αὐτ. (2) Τὸν θρόνον. αἱ αὐτ. (3) Καὶ ἡμεῖς. αἱ αὐτ.
(4) Οὓς οἱ ἁδροί. ἐν ταῖς εἰρημ. σημ.
(5) Ἴδετε ἀφφώ· ὡς ἂν εἰ ἔλεγε, πάντως ὅλον τὸ ἄρτι γεγονὸς, κατὰ θείαν γέγονε θέλησιν. οὕτως (ἐν Τόμ. 2. σελ. 2601. τῶν καλεμ. ἱερ. Κριτ.) ἑρμηνεύει ὁ Οὐάταβλος.
(6) Ἀναιρεθέντων ὑπὸ τῶν θρεψαμένων, σοφῶς ἄγων πρὸς τὸν λαὸν ὁ Ἰηοῦ ἔφη, κτ. ἡ ἐν Χάλ. ἔκδ.

A αὐτοῦ, ἀλλ' ὑπὸ τῶν ἐν Σαμαρείᾳ, ἐκείνου μέντοι γνώμῃ, σοφῶς ὁ Ἰηοῦ πρὸς τὸν λαὸν » ἔφη· ἰδοὺ ἐγὼ συνεστράφην ἐπὶ τὸν ἐμαυτοῦ » κύριον, καὶ ἀπέκτεινα αὐτὸν, καὶ τούτους » πάντας τίς ἐπάταξεν; ἴδετε ἀφφὼ, ὅτι » οὐ πεσεῖται ἀπὸ τῶν λόγων Κυρίου ἐπὶ τὴν » γῆν ὧν ἐλάλησε κατὰ τοῦ οἴκου τοῦ Ἀχαάβ. ἐγώ φησιν ὡς τυραννῆσαι βουλόμενος ἀνεῖλον τὸν Ἰωράμ· καὶ τοὺς ἀδελφοὺς αὐτοῦ ἑβδομήκοντα ὄντας [τὸν ἀριθμὸν,] τίς ἀνεῖλεν; ἢ οὐχὶ ἡ θεήλατος ὀργὴ τοῖς οἰκειο- B τάτοις ὑπουργοῖς χρησαμένη; ἀψευδεῖς ἄρα τῶν Προφητῶν αἱ προῤῥήσεις.

ια. Καὶ ἐπάταξεν Ἰηοῦ πάντας τοὺς
καταλειφθέντας ἐν τῷ οἴκῳ Ἀχαὰβ
ἐν Ἰσραὴλ, (1) καὶ πάντας τοὺς ἁδροὺς
αὐτοῦ, καὶ τοὺς γνώστας αὐτοῦ, καὶ τοὺς
ἱερεῖς αὐτοῦ, ὥστε μὴ καταλιπεῖν αὐτοῦ
κατάλειμμα.

** ΙΩΣΗΠΟΥ. Προσδιαφθείρας καὶ Γ τοὺς παρὰ τοῖς Ἰσραηλίταις εὑρεθέντας ἐκ τῆς Ἀχάβου συγγενείας, εἰς Σαμάρειαν ἐπορεύετο.

* ΘΕΟΔΩΡΙΤΟΥ. Γνώστας τίνας καλεῖ; Τοὺς μάντεις, τοὺς οἰομένους εἰδέναι τὰ μέλλοντα. ὥσπερ γὰρ ὁρῶντας καὶ βλέποντας τοὺς Προφήτας ἐκάλουν, ὡς (2) καὶ γινώσκειν τὰ κεκρυμμένα δυναμένους, καὶ προγινώσκειν τὰ μηδέπω γεγενημένα· οὕτω καὶ γνώστας τοὺς μάντεις.

ιβ. Καὶ ἀνέστη καὶ ἐπορεύθη εἰς
Σαμάρειαν, αὐτὸς ἐν Βαιθακὰλ τῶν
ιγ. ποιμένων ἐν τῇ ὁδῷ. Καὶ Ἰηοῦ εὗρε
τοὺς ἀδελφοὺς Ὀχοζίου βασιλέως Ἰούδα,
καὶ εἶπε, τίνες ὑμεῖς; καὶ εἶπον,
οἱ ἀδελφοὶ Ὀχοζίου ἡμεῖς, καὶ κατέ-
βημεν εἰς εἰρήνην τῶν υἱῶν τοῦ βασι-
λέως, καὶ τῶν υἱῶν τῆς δυναστευούσης.
ιδ. Καὶ εἶπε, συλλάβετε αὐτοὺς ζῶντας.
καὶ ἔσφαξεν αὐτοὺς ἐν Βαιθακὰλ τεσ-
σαράκοντα καὶ δύω ἄνδρας· οὐ κατέ-
λιπεν ἄνδρα ἐξ αὐτῶν.

** ΙΩΣΗΠΟΥ. Κατὰ τὴν ὁδὸν τοῖς Ὀχοζία συμβαλὼν οἰκείοις τοῦ βασιλέως τῶν Ἱεροσολύμων, ἀνέκρινεν αὐτοὺς, τί δήποτε παρεγένοντο. οἱ δ' ἀσπασόμενοί τε Ἰώραμον καὶ τὸν αὐτῶν βασιλέα Ὀχοζίαν Z ἥκειν ἔφασκον· οὐ γὰρ ᾔδεσαν αὐτοὺς ἀμφοτέρους ὑπ' αὐτοῦ πεφονευμένους· Ἰηοῦς δὲ καὶ τούτους συλληφθέντας ἀναιρεθῆναι προσέταξεν, ὄντας τὸν ἀριθμὸν τεσσαράκοντα δύω.

ιε. Καὶ ἐπορεύθη ἐκεῖθεν καὶ εὗρε
τὸν Ἰωναδὰβ υἱὸν Ῥηχὰβ εἰς ἀπάντη-
σιν αὐτοῦ, καὶ εὐλόγησεν αὐτόν. καὶ
εἶπε πρὸς αὐτὸν Ἰηοῦ, εἰ ἔστι καρδία
A σου μετὰ καρδίας μου εὐθεῖα καθὼς ἡ
καρδία μου μετὰ τῆς καρδίας σου; καὶ
εἶπεν Ἰωναδὰβ, ἔστι. καὶ εἶπεν Ἰηοῦ, καὶ
εἰ ἔστι, δὸς τὴν χεῖρά σου. καὶ ἔδωκε
τὴν χεῖρα αὐτοῦ. καὶ ἀνεβίβασεν αὐ-
ις. τὸν πρὸς αὐτὸν ἐπὶ τὸ ἅρμα, Καὶ
εἶπε πρὸς αὐτὸν, δεῦρο μετ' ἐμοῦ καὶ
ἴδε ἐν τῷ ζηλῶσαί με τῷ Κυρίῳ Σα-
βαώθ. καὶ ἐπεκάθισεν αὐτὸν ἐν τῷ
B ἅρματι αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Συναντᾷ αὐτῷ ἀνὴρ ἀγαθὸς καὶ δίκαιος, Ἰωνάδαβος ὄνομα, φίλος αὐτῷ πάλαι γεγονώς. ὃς ἀσπασάμενος αὐτὸν, ἐπαινεῖν ἤρξατο τοῦ πάντα πεποιηκέναι κατὰ βούλησιν τοῦ Θεοῦ τὴν οἰκίαν ἐξαφανίσαντα τὴν Ἀχάβου. Ἰηοῦς δ' ἀναβάντα ἐπὶ τὸ ἅρμα συνεισελθεῖν αὐτὸν εἰς Σαμάρειαν παρεκάλει, λέγων, ἐπιδεῖξειν, Γ πῶς οὐδενὸς φείσεται πονηροῦ, ἀλλὰ καὶ τοὺς ψευδοπροφήτας, καὶ τοὺς ψευδιερεῖς, καὶ τοὺς ἐξαπατήσαντας τὸ πλῆθος, ὡς τὴν μὲν τοῦ μεγίστου Θεοῦ θρησκείαν ἐγκαταλιπεῖν, τοὺς δὲ ξενικοὺς προσκυνεῖν, τιμωρήσεται. κάλλιστον δ' εἶναι θεαμάτων καὶ ἥδιστον ἀνδρὶ χρηστῷ καὶ δικαίῳ, κολαζομένους πονηροὺς ἰδεῖν. τούτοις πεισθεὶς ὁ Ἰωνάδαβος, ἀναβὰς εἰς τὸ ἅρμα, εἰς Σαμάρειαν παραγίνεται.

Δ » * ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, Ἰωναδ[illegible] τοῦ Ῥηχάβ; Εὐσεβὴς ἀνὴρ ἦν καὶ α[illegible] καὶ τὸ γένος αὐτοῦ. ἐν σκηναῖς γὰρ δ[illegible] λεσαν κατοικοῦντες, καὶ τῆς τοῦ οἴνο[illegible] σεως ἀπεχόμενοι. τούτων καὶ ὁ Προφ[illegible] Ἱερεμίας σὺν ἐπαίνοις ἐμνήσθη. (3) καὶ [illegible] τῇ δὲ ἡ ἱστορία δηλοῖ αὐτῶν τὴν εὐσέβεια[illegible] πρῶτον μὲν γὰρ ἰδὼν αὐτὸν ὁ βασιλεὺς Ἰηοῦ, » εὐλόγησεν αὐτὸν, τουτέστι προσεῖπεν αὐτῷ· » εἶτα ἤρετο, εἰ ἔστιν εὐθεῖα ἡ καρδία σου με- E » τὰ τῆς καρδίας μου; τοῦ δὲ εἰρηκότος, ἐστὶν, » εἶπεν αὐτῷ Ἰηοῦ· εἰ ἔστι, δὸς τὴν χεῖρά σου. ἔπειτα σύνεδρον εἰς τὸ ἅρμα αὐτοῦ λαβὼν » ἔφη· δεῦρο μετ' ἐμοῦ, καὶ ἴδε ἐν τῷ ζηλῶσαί- » με τῷ Κυρίῳ. καὶ ἐπεκάθισεν αὐτὸν ἐν τῷ » ἅρματι αὐτοῦ. καὶ ἐντεῦθεν τοίνυν δῆλον, ὡς καὶ ἐν ταῖς δέκα φυλαῖς ἦσάν τινες εὐσεβείᾳ κεκοσμημένοι, (4) δι' οὓς καὶ τῶν ἄλλων ἐκήδετο (5) ὁ πρυτανεύων ἅπαντα σοφῶς.

ιζ. Καὶ εἰσῆλθεν εἰς Σαμάρειαν.
Z καὶ ἐπάταξε πάντας τοὺς καταλειφ-
θέντας τοῦ Ἀχαὰβ ἐν Σαμαρείᾳ ἕως
τοῦ ἀφανίσαι αὐτόν. (6)
ιη. Καὶ συνήθροισεν Ἰηοῦ πάντα
τὸν λαὸν, καὶ εἶπε πρὸς αὐτοὺς, Ἀ-
χαὰβ ἐδούλευσε τῷ Βάαλ ὀλίγα,
καί γε Ἰηοῦ δουλεύσει αὐτῷ πολλά.

** ΙΩΣΗΠΟΥ. Βουλόμενος μηδένα τῶν ψευδοπροφητῶν μηδ' ἱερέων τῶν Ἀχάβου

Θεῶν

(1) Ἐν Ἰεζραέλ. αἱ αὐτ. (2) Ὡς τὰ μέλλοντα προορῶντας· οὕτω καὶ τοὺς μάντεις γνώστας ἐκάλουν, ὡς καὶ γινώσκειν τὰ κεκρυμμένα οἰομένους, καὶ προγινώσκειν τὰ μηδέπω γεγενημένα. ἡ αὐτ.
(3) Ἐν κεφ. 35. (4) Κοσμέμενοι. ἡ αὐτ. (5) Ἠνείχετο. ἡ αὐτ.
(6) Αὐτὸν κατὰ τὸ ῥῆμα Κυρίου, ὃ ἐλάλησε πρὸς Ἠλιού. Καὶ, κτ. αἱ αὐτ.

Θεῶν τιμωρίαν διαφυγεῖν, ἀπάτῃ ϗ δόλῳ
πάντας αὐτὲς συνέλαβεν. ἀθροίσας γὰρ
τὸν λαὸν, ἔφη βέλεσθαι διπλασίονας ὧν
Ἄχαβος Θεῶν εἰσηγήσατο προσκυνεῖν, καὶ
τὲς ἐκείνων ἱερεῖς καὶ Προφήτας ἠξίε καὶ
δέλες αὐτῷ παρεῖναι.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὶ δήποτε μέλλων
κατασφάτlειν τῶν εἰδώλων τὲς ἱερεῖς ἐψεύ-
» σατο; ἔφη γὰρ, Ἀχαὰβ ἐδέλευσε τῷ Βάαλ
» ὀλίγα, καί γε ἐγὼ δελεύσω αὐτῷ πολλά.
Καὶ τῶν λόγων καὶ τῶν ἔργων τὸν σκοπὸν
ἐξετάζειν δεῖ. τῦτο κἀνταῦθα ποιητέον.
ϗ γὰρ ὁ Ἰηῦ μηδένα φυγεῖν βελόμενος τὴν
σφαγὴν, ἐκείνοις ἐχρήσατο τοῖς λόγοις, ἵνα
θαῤῥήσαντες ἅπαντες παραγένωνται.

ιθ. Καὶ νῦν πάντες οἱ Προφῆται
τῦ Βάαλ πάντας τὲς δέλες αὐτῦ
καὶ τὲς ἱερεῖς αὐτῦ καλέσατε πρός-
με, ἀνὴρ μὴ ἐπισκεπήτω, ὅτι θυσία-
μοι μεγάλη τῷ Βάαλ· πᾶς ὃς ἐὰν
ἐπισκεπῆ, ὐ ζήσεται. ϗ Ἰηῦ ἐποίησεν
ἐν πτερνισμῷ, ἵνα ἀπολέσῃ τὲς δέ-
κ. λες τῦ Βάαλ. Καὶ εἶπεν Ἰηῦ, ἁγιά-
σατε ἱερείαν τῷ Βάαλ ϗ θεραπείαν.
κα. καὶ ἐκήρυξε. Καὶ ἀπέστειλεν Ἰηῦ ἐν
παντὶ Ἰσραὴλ, λέγων, καὶ νῦν πάν-
ες οἱ δῦλοι, καὶ πάντες οἱ ἱερεῖς αὐ-
καὶ πάντες οἱ Προφῆται αὐτῦ,
ὶς ἀπολιπέσθω, ὅτι θυσίαν με-
λὴν ποιῶ· ὃς ἂν ἀπολειφθῆ, ὐ
ται. καὶ ἦλθον ἅπαντες οἱ δῦλοι
Βάαλ, καὶ πάντες οἱ Προφῆται
τῦ, καὶ πάντες οἱ ἱερεῖς αὐτῦ· ὐ
ατελείφθη ἀνὴρ ὃς ὐ παρεγένετο.
καὶ εἰσῆλθον εἰς τὸν οἶκον τῦ Βάαλ·
καὶ ἐπλήσθη ὁ οἶκος τῦ Βάαλ στόμα
κβ. εἰς στόμα. Καὶ εἶπεν Ἰηῦ τοῖς ἐπὶ τῦ
οἴκε μεσθάαλ, (1) ἐξαγάγετε ἐνδύ-
ματα πᾶσι τοῖς δέλοις τῦ Βάαλ.
καὶ ἐξήνεγκεν αὐτοῖς ὁ στολιστής.

κγ. Καὶ εἰσῆλθεν Ἰηῦ καὶ Ἰωνα-
δὰβ ὑιὸς Ῥηχὰβ εἰς οἶκον τῦ Βάαλ,
καὶ εἶπε τοῖς δέλοις τῦ Βάαλ, ἐρευ-
νήσατε ϗ ἴδετε, εἰ ἔστι μεθ᾽ ὑμῶν τῶν
δέλων (2) τῦ Κυρίε, ὅτι ἀλλ᾽ ἢ οἱ δῦ-
λοι τῦ Βάαλ μονώτατοι.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἵνα δὲ μηδεὶς τῶν
θείων ἱερέων μεταλάβῃ τῆς τιμωρίας, ὡς
ἀναξίες δῆθεν τῆς ἑορτῆς ἐξελαθῆναι προ-
σέταξεν· εἶθ᾽ ὕτω μόνες ἐκείνες κατηκόν-
τισεν ἅπαντας.

κδ. Καὶ εἰσῆλθε ϗ ἐποίησε (3) τὰ
θυμιάματα καὶ τὰ ὁλοκαυτώματα.
καὶ Ἰηῦ ἔστησεν ἑαυτῷ ἔξω ὀγδοήκον-

A τα ἄνδρας, καὶ εἶπεν, ἀνὴρ ὃς ἂν δια-
σωθῆ ἀπὸ τῶν ἀνδρῶν ὧν ἐγὼ ἀνάγω
ἐπὶ χεῖρας ὑμῶν, ἡ ψυχὴ αὐτῦ ἀντὶ
κε. τῆς ψυχῆς αὐτῦ. Καὶ ἐγένετο ὡς συ-
νετέλεσε ποιῶν τὴν ὁλοκαύτωσιν, καὶ
εἶπεν Ἰηῦ τοῖς παρατρέχεσι καὶ τοῖς
τριστάταις, εἰσελθόντες πατάξατε
αὐτὲς, ἀνὴρ μὴ ἐξελθέτω ἐξ αὐτῶν.
καὶ ἐπάταξεν αὐτὲς ἐν στόματι ῥομ-
B φαίας, καὶ ἔῤῥιψαν οἱ παρατρέχον-
τες καὶ οἱ τριστάται, καὶ ἐπορεύθησαν
ἕως πόλεως οἴκε τῦ Βάαλ.

κς. Καὶ ἐξήνεγκαν τὴν στήλην τῦ
κζ. Βάαλ, καὶ ἐνέπρησαν αὐτήν. Καὶ
κατέσπασαν τὰς στήλας τῦ Βάαλ,
καὶ ἔταξαν αὐτὸν λυτρῶνας (4) ἕως
κη. τῆς ἡμέρας ταύτης. Καὶ ἠφάνισεν
Γ Ἰηῦ τὸν οἶκον τῦ Βάαλ ἐξ Ἰσραήλ.
κθ. Πλὴν τῶν ἁμαρτιῶν Ἱεροβοὰμ ὑιῦ
Ναβὰτ ὃς ἐξήμαρτε τὸν Ἰσραὴλ, ὐκ
ἀπέστη Ἰηῦ ἀπὸ ὄπισθεν αὐτῶν· αἱ
δαμάλεις αἱ χρυσαῖ ἐν Βαιθὴλ, καὶ
ἐν Δάν.

** ΙΩΣΗΠΟΥ. Τὸν οἶκον τῦ Βαὰλ
ἐμπρήσαντες, ἐκάθηραν ὕτως ἀπὸ τῶν
ξενικῶν ἐθισμῶν τὴν Σαμάρειαν. ὗτος ὁ
Δ Βαὰλ Τυρίων ἦν Θεός. Ἄχαβος δὲ τῷ πεν-
θερῷ βελόμενος χαρίσασθαι Ἰοβάλῳ, Τυ-
ρίων ὄντι βασιλεῖ ϗ Σιδωνίων, ναόν τε αὐ-
τῷ κατεσκεύασεν ἐν Σαμαρείᾳ, καὶ Προ-
φήτας ἀπέδειξε, ϗ πάσης θρησκείας ἠξίε.
ἀφανισθέντος δὲ τύτε, τὰς χρυσᾶς δα-
μάλεις προσκυνεῖν τοῖς Ἰσραηλίταις Ἰηῦς
ἐπέτρεψε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ τῦ Βάαλ δὲ τὴν
στήλην ἐνέπρησε, καὶ τὰ ἄλση ἐξέκοψε, καὶ
E τῶν ἄλλων εἰδώλων πᾶσαν τὴν γῆν τῦ Ἰσ-
ραὴλ ἠλευθέρωσε. τὰς δέ γε χρυσᾶς δα-
μάλεις σέβων διετέλεσε. Βααλεὶμ δὲ τὸν
τῦ Βάαλ σηκὸν προσηγόρευσε.

λ. Καὶ εἶπε Κύριος πρὸς Ἰηῦ, ἀνθ᾽
ὧν ὅσα ἠγάθυνας ποιῆσαι τὸ εὐθὲς
ἐν ὀφθαλμοῖς με καὶ (5) πάντα ὅσα
ἐν τῇ καρδίᾳ με ἐποίησας τῷ οἴκῳ
Z Ἀχαὰβ, ὑιοὶ τέταρτοι καθήσονται-
λα. σοι ἐπὶ θρόνε Ἰσραήλ. Καὶ Ἰηῦ ὐκ
ἐφύλαξε πορεύεσθε ἐν νόμῳ Κυρίε
Θεῦ Ἰσραὴλ ἐν ὅλῃ καρδίᾳ αὐτῦ·
ὐκ ἀπέστη ἀπάνωθεν ἁμαρτιῶν Ἱερο-
βοὰμ ὑιῦ Ναβὰτ, ὃς ἐξήμαρτε τὸν
Ἰσραήλ.

λβ. Ἐν ταῖς ἡμέραις ἐκείναις ἤρξα-
το Κύριος συγκόπτειν ἐν παντὶ ὁρίῳ
H Ἰσραήλ. ϗ ἐπάταξεν αὐτὲς Ἀζαὴλ
ἐν

(1) Οἴκε μεσθάαλ, θήκην, ἢ ἀποθήκην, ἢ ὡς ἄλλοι φασὶν, ἱματίων κιβώτιον. ὁ Μενσέρ. ἐν σελ. 2601. τῦ εἰρημ. Τόμ. (2) Δέλων Κυρίε. αἱ εἰρημ. ἐκδόσ. (3) Τῦ ποιῆσαι. αἱ αὐτ.
(4) Εἰς κοπρῶνα. ἐν ταῖς εἰρημ. σημ. (5) Κατά. αἱ αὐτ.

λγ. ἐν παντὶ ὁρίῳ Ἰσραήλ, Ἀπὸ τοῦ Ἰορ-
δάνου κατ' ἀνατολὰς ἡλίου πᾶσαν τὴν
γῆν Γαλαὰδ τοῦ Γαδδί, καὶ τοῦ Ῥου-
βίμ, καὶ τοῦ Μανασσῆ, ἀπὸ Ἀροὴρ,
ἥ ἐστιν ἐπὶ τοῦ χείλους χειμάῤῥου Ἀρνῶν,
καὶ τὴν Γαλαὰδ καὶ τὴν Βασάν.

** ΙΩΣΗΠΟΥ. Ἀζάηλος ὁ τῶν Σύρων βασιλεὺς πολεμῶν τοῖς Ἰσραηλίταις καὶ τῷ βασιλεῖ αὐτῶν Ἰηοῦ, διέφθειρε τῆς πέραν Ἰορδάνου χώρας τὰ πρὸς τὴν ἀνατολὴν τῶν Ῥουβηνιτῶν, καὶ Γαδιτῶν, καὶ Μανασσητῶν· ἔτι δὲ καὶ τὴν Γαλααδίτην καὶ Βαταναίαν, πυρπολῶν πάντα καὶ διαρπάζων, καὶ τοῖς εἰς χεῖρας ἀπαντῶσι βίαν

A προσφέρων. οὐ γὰρ ἔφθη αὐτὸν Ἰηοῦ ἀμύ-
νασθαι κακοῦντα τὴν χώραν.

λδ. Καὶ τὰ λοιπὰ τῶν λόγων Ἰηοῦ
καὶ πάντα ἃ ἐποίησε, καὶ πᾶσα ἡ δυνα-
στεία αὐτοῦ, καὶ αἱ συνάψεις ἃς συνῆ-
ψεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βι-
βλίου τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσ-
λε. ραήλ; Καὶ ἐκοιμήθη Ἰηοῦ μετὰ τῶν
B πατέρων αὐτοῦ, καὶ ἔθαψαν αὐτὸν ἐν
Σαμαρείᾳ, καὶ ἐβασίλευσεν Ἰωάχαζ
λϛ. υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. Καὶ αἱ ἡμέραι
ἃς ἐβασίλευσεν Ἰηοῦ ἐπὶ Ἰσραήλ, εἰκο-
σιοκτὼ ἔτη ἐν Σαμαρείᾳ.

ΚΕΦ. ΙΑ.

α. Καὶ Γοθολία ἡ μήτηρ Ὀχο-
ζίου εἶδεν ὅτι ἀπέθανον οἱ
υἱοὶ αὐτῆς, καὶ ἀπώλεσε
β. πᾶν τὸ σπέρμα τῆς βασιλείας. Καὶ
ἔλαβεν Ἰωσαβεὲ θυγάτηρ τοῦ βα-
σιλέως Ἰωρὰμ ἀδελφὴ Ὀχοζίου τὸν
Ἰωὰς υἱὸν ἀδελφοῦ αὐτῆς, καὶ ἔκλε-
ψεν αὐτὸν ἐκ μέσου τῶν υἱῶν τοῦ βασι-
λέως τῶν θανατουμένων, αὐτὸν καὶ τὴν
τροφὸν αὐτοῦ ἐν τῷ ταμιείῳ τῶν κλι-
νῶν, καὶ ἔκρυψεν αὐτὸν ἀπὸ προσώ-
που Γοθολίας, καὶ οὐκ ἐθανατώθη.
γ. Καὶ ἦν μετ' αὐτῆς ἐν οἴκῳ Κυρίου κρυ-
βόμενος ἓξ ἔτη. καὶ Γοθολία βασι-
λεύουσα ἐπὶ τῆς γῆς.

** ΙΩΣΗΠΟΥ. Γοθολία ἡ Ἀχάβου θυγάτηρ, ἀκούσασα τήν τε Ἰωράμου τἀδελφοῦ τελευτὴν καὶ τὴν Ὀχοζίου τοῦ παιδὸς, καὶ τοῦ γένους τῶν βασιλέων ἀπώλειαν, ἐσπούδασε μηδένα τῶν ἐκ τοῦ Δαβίδου καταλιπεῖν οἴκου, πᾶν δ' ἐξαφανίσαι τὸ γένος, ὡς ἂν μηδὲ εἷς ἐξ αὐτοῦ βασιλεὺς ἔτι γένοιτο. καὶ τοῦθ' ὡς μὲν ᾤετο διεπράξατο· διεσώθη δὲ εἷς υἱὸς Ὀχοζίᾳ, τρόπῳ δὲ τοιούτῳ τὴν τελευτὴν διέφυγεν. ἦν Ὀχοζίᾳ ὁμοπάτριος ἀδελφὴ, Ἰσαβεθὴ ὄνομα. ταύτῃ συνῆν ὁ ἀρχιερεὺς Ἰώδαος. εἰσελθοῦσα δὲ εἰς τὸ βασίλειον, καὶ τοῖς ἀπεσφαγμένοις τὸν Ἰώασον, τοῦτο γὰρ προσηγορεύετο τὸ παιδίον ἐνιαύσιον, ἐγκεκρυμμένον εὑροῦσα μετὰ τῆς τρεφούσης, βαστάσασα μετ' αὐτῆς εἰς τὸ ταμιεῖον τῶν κλινῶν ἀπέκλεισε, καὶ λανθάνοντες ἀνέθρεψαν αὐτή τε καὶ ὁ ἀνὴρ αὐτῆς Ἰώδαος ἐν τῷ ἱερῷ ἔτεσιν ἓξ, οἷς ἐβασίλευσε Γοθολία τῶν Ἱεροσολύμων καὶ τῶν δύω φυλῶν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τίνος χάριν ἡ Γοθολία καὶ τοὺς ἐκγόνους ἀνεῖλεν; Ὡς δυσσεβὴς καὶ τυραννικὴ ἅπαν τοῦ Δαβὶδ τὸ γένος, ὡς εὐσεβὲς, ἐκκόψαι πρόῤῥιζον ἠβουλήθη· ἵνα ἐπειλημμένη τῆς δυναστείας, ἐκ-

Γ παιδεύσῃ τὸν λαὸν τὴν οἰκείαν ἀσέβειαν. ἀλλ' ὁ πάντα σοφῶς ἰθύνων Δεσπότης παρεσκεύασεν αὖθις τῇ βασιλικῇ τὴν ἱερατικὴν μιγῆναι φυλὴν, καὶ τὸν Ἰωδαὲ τὸν σοφώτατον ἱερέα γῆμαι τὴν Ἰωσαβεὲ τοῦ Ἰωρὰμ τὴν θυγατέρα, ἵνα φυλαχθῇ τοῦ βασιλικοῦ σπέρματος ὁ σπινθήρ. αὕτη γὰρ ὁρῶσα τὸ βασιλικὸν ἀναιρούμενον γένος, καὶ ἔκλεψε καὶ ἔκρυψε τὸν ἀδελφιδοῦν Ἰωὰς, καὶ διετέλεσεν ἔνδον ἐν τῷ ναῷ τρέφουσ[a] καὶ ἓξ μὲν ἔτη κατέσχε διέπουσα τὴν β
Δ λείαν ἡ μιαρωτάτη Γοθολία· τῷ ἑβ δὲ ἔτει ὁ πάνσοφος ἀρχιερεὺς τὴν λείαν εἰς τὸ βασιλικὸν ἐπανήγαγε γε

δ. Καὶ ἐν τῷ ἔτει τῷ ἑβδόμῳ ἀ
στειλεν Ἰωδαὲ ὁ ἱερεὺς, καὶ ἔλαβε
ἑκατοντάρχους τῶν Χοῤῥὶ καὶ τῶν Ῥα
σὶμ, καὶ ἀπήγαγεν αὐτοὺς πρὸς αὐ-
τὸν εἰς οἶκον Κυρίου, καὶ διέθετο αὐτοῖς
E διαθήκην Κυρίου, καὶ ὥρκισεν αὐτοὺς
ἐνώπιον Κυρίου· καὶ ἔδειξεν αὐτοῖς Ἰω-
ε. δαὲ τὸν υἱὸν τοῦ βασιλέως. Καὶ ἐνε-
τείλατο αὐτοῖς, λέγων, οὗτος ὁ λό-
ϛ. γος ὃν ποιήσετε· Τὸ τρίτον ἐξ ὑμῶν
εἰσελθέτω τὸ σάββατον, καὶ φυ-
λάξατε φυλακὴν οἴκου τοῦ βασιλέως
ἐν τῷ πυλῶνι, καὶ τὸ τρίτον ἐν τῇ πύ-
λῃ τῶν ὁδῶν, καὶ τὸ τρίτον τῆς πύ-
Z λης ὀπίσω τῶν παρατρεχόντων, καὶ
φυλάξατε τὴν φυλακὴν τοῦ οἴκου. (1)
ζ. Καὶ δύω χεῖρες ἐν ὑμῖν, πᾶς ὁ ἐκπο-
ρευόμενος τὸ σάββατον, καὶ φυλά-
ξουσι τὴν φυλακὴν οἴκου Κυρίου πρὸς
η. τὸν βασιλέα. Καὶ κυκλώσατε πε-
ρὶ (2) τὸν βασιλέα κύκλῳ ἀνὴρ καὶ τὸ
σκεῦος (3) ἐν χειρὶ αὐτοῦ, καὶ ὁ εἰσπο-
H ρευόμενος εἰς τὰς σαδηρὼθ, ἀποθα-
νεῖται. καὶ ἔσονται μετὰ τοῦ βασιλέως
ἐν τῷ ἐκπορεύεσθαι αὐτὸν καὶ ἐν τῷ
εἰσπο-

(1) Οἴκου Μεσσαέ. ἐν ταῖς εἰρημ. σημ.

(2) Ἐπὶ. αἱ αὐτ.

(3) Αὐτοῦ ἐν. αἱ αὐτ.

θ. εἰσπορεύεσθαι αὐτόν. Καὶ ἐποίησαν οἱ
ἑκατόνταρχοι πάντα ὅσα ἐνετείλατο
Ἰωδαὲ ὁ συνετός· καὶ ἔλαβεν ἀνὴρ
τοὺς ἄνδρας αὐτοῦ καὶ τοὺς εἰσπορευο-
μένους τὸ σάββατον μετὰ τῶν ἐκπο-
ρευομένων τὸ σάββατον, καὶ εἰσῆλ-
ι. θον πρὸς Ἰωδαὲ τὸν ἱερέα. Καὶ ἔδω-
κεν ὁ ἱερεὺς τοῖς ἑκατοντάρχοις τοὺς
σειρομάστας καὶ τοὺς τρισσοὺς τοῦ βασι-
ια. λέως Δαβὶδ τοὺς ἐν οἴκῳ Κυρίου. Καὶ
ἔστησαν οἱ παρατρέχοντες ἀνὴρ καὶ τὸ
σκεῦος αὐτοῦ ἐν χειρὶ αὐτοῦ ἀπὸ τῆς
ὠμίας τοῦ οἴκου τῆς δεξιᾶς ἕως τῆς
ὠμίας τοῦ οἴκου τῆς εὐωνύμου τοῦ θυ-
σιαστηρίου καὶ τοῦ οἴκου ἐπὶ τὸν βασι-
λέα κύκλῳ.

** ΙΩΣΗΠΟΥ. Τῷ ἑβδόμῳ ἔτει κοινολογησάμενός τισιν Ἰώδαος πέντε τὸν ἀριθμὸν ἑκατοντάρχαις, καὶ συμπείσας αὐτοὺς συνεπιθέσθαι μὲν τοῖς κατὰ τῆς Γοθολίας ἐγχειρουμένοις, τὴν δὲ βασιλείαν τῷ παιδὶ συμπεριποιῆσαι, καὶ λαβὼν ὅρκους, οἷς τὸ ἀδεὲς παρὰ τῶν συνεργούντων βεβαιοῦται, τὸ λοιπὸν ἐθάῤῥει ταῖς κατὰ τῆς Γοθολίας ἐλπίσιν. οἱ δ' ἄνδρες, οὓς ὁ ἱερεὺς Ἰώδαος οινωνοὺς τῆς πράξεως παρειλήφει, πορευτες εἰς ἅπασαν τὴν χώραν, τοὺς ἱερεῖς τοὺς Λευίτας ἐξ αὐτῆς ἀθροίσαντες καὶ τῶν φυλῶν προεστηκότας, ἧκον ἄγονἰς Ἱεροσόλυμα πρὸς τὸν ἀρχιερέα. ὁ σιν ᾔτησεν αὐτοὺς ἔνορκον, ἢ μὴν φυν ὅπερ ἂν μάθωσιν ἀπόῤῥητον παρ', σιωπῆς ἅμα καὶ συμπράξεως δεόν. ὡς δ' ἀσφαλὲς αὐτῷ λέγειν ὀμωμοτων ἐγένετο, παραγαγὼν ὃν ἐκ τοῦ Δαβίδου γένους ἔτρεφεν, οὗτος ἡμῖν, εἶπε, βασιλεὺς, ἐξ ἐκείνης τῆς οἰκίας, ἣν ἴστε τὸν Θεὸν ἡμῖν προφητεύσαντα βασιλεύειν ἄχρι τοῦ παντὸς χρόνου. παραινῶ δὲ τὴν τρίτην ὑμῶν μοῖραν φυλάττειν αὐτὸν ἐν τῷ ἱερῷ, τὴν δὲ τετάρτην ταῖς φυλακαῖς ἐφεστάναι τοῦ τεμένους ἁπάσαις, ἡ δὲ μετὰ ταύτην ἐχέτω τὴν τῆς ἀνοιγομένης καὶ φερούσης εἰς τὸ βασίλειον πύλης φυλακὴν, τὸ δ' ἄλλο πλῆθος ἄοπλον ἐν τῷ ἱερῷ τυγχανέτω· μηδένα δ' ὁπλίτην εἰσελθεῖν ἐάσητε, ἢ μόνον ἱερέα. προσδιέταξε δὲ τούτοις μέρος τι τῶν ἱερέων καὶ Λευίτας περὶ αὐτὸν εἶναι τὸν βασιλέα ταῖς μαχαίραις αὐτῶν ἐσπασμέναις δορυφοροῦντας, τὸν δὲ τολμήσαντα παρελθεῖν εἰς τὸ ἱερὸν ὡπλισμένον, ἀναιρεῖσθαι παραυτίκα· δείσαντας δὲ μηδένα, παραμεῖναι τῇ φυλακῇ τοῦ βασιλέως. καὶ οἱ μὲν, οἷς ὁ ἀρχιερεὺς συνεβούλευσε, τούτοις πεισθέντες, ἔργῳ τὴν προαίρεσιν ἐδήλουν. ἀνοίξας δὲ Ἰώδαος τὴν ἐν τῷ ἱερῷ ὁπλοθήκην, ἣν Δαβίδης κατεσκεύασε, διεμέρισε τοῖς ἑκατοντάρχαις ἅμα καὶ ἱερεῦσι καὶ Λευίταις ἅπανθ' ὅσα εὗρεν ἐν αὐτῇ δόρατά τε καὶ φαρέτρας, καὶ εἴ τι ἕτερον εἶδος ὅπλου κατέλαβε. καὶ καθωπλισμένους ἔστησεν ἐν κύκλῳ περὶ τὸ ἱερὸν, συναψαμένους τὴν χεῖρα, καὶ τὴν εἴσοδον τοῖς οὐ προσήκουσιν οὕτως ἀποτειχίσαντας.

* ΘΕΟΔΩΡΙΤΟΥ. Παρατρέχοντας τίνας καλεῖ; Τοὺς ἡγουμένους τοῦ βασιλέως. Χοῤῥὶ δὲ καὶ Ῥασὶμ ἀσπιδοφόρους καὶ δορυφόρους. τούτους τριχῇ διελὼν, τοὺς μὲν ἐκέλευσε φυλάσσειν τοῦ βασιλέως τὸν οἶκον, τοὺς δὲ τὴν εἴσοδον τοῦ θείου ναοῦ, τοὺς δὲ τὴν πύλην τὴν ἑτέραν.

* ΤΟΥ ΑΥΤΟΥ. Τί σημαίνει τὸ, Φυλάξατε τὴν φυλακὴν τοῦ οἴκου Μεσίας; (1) Τὸ μεσίας οἱ λοιποὶ ἑρμηνευταὶ, ἀπὸ διαφορᾶς (2) εἰρήκασι, τουτέστι μετὰ πάσης φυλακῆς, ὥστε μηδεμίαν γίνεσθαι βλάβην ἐν τῷ οἴκῳ τῷ θείῳ. τὸ δὲ, δύο χεῖρες ὑμῖν, ἀντὶ τοῦ, ἄρτιοί ἐστε καὶ ὑγιεῖς, καὶ ἱκανοὶ φυλάξαι καὶ τὸν οἶκον τοῦ Θεοῦ καὶ τὸν τοῦ βασιλέως. ἐκέλευσε δὲ τοὺς Λευίτας μαχαιροφόρους εἶναι, καὶ τὸν βασιλέα φρουρεῖν. τὸ δὲ, εἰσερχόμενος εἰς τὰ σαδηρὼθ ἀποθανεῖται, τῶν Παραλειπομένων ἡ βίβλος οὕτως ἔχει· εἰσπορευόμενος εἰς τὸν οἶκον ἀποθανεῖται. οὕτω δὲ καὶ ὁ Ἰώσηπος εἴρηκε. τὸ δὲ, ἀπὸ τῆς ὠμίας τοῦ οἴκου τῆς δεξιᾶς ἕως τῆς ὠμίας τοῦ οἴκου τῆς ἀριστερᾶς, δηλοῖ ὡς μηνοειδὲς σχῆμα οἱ Λευῖται πεποιηκότες, τὰ κέρατα εἶχον συνημμένα τῷ οἴκῳ, καὶ ἐν μέσῳ δὲ ὄντα τὸν βασιλέα ἐφρούρουν. ὁ δὲ στρατὸς ὁπλοφορῶν ἔξω εἱστήκει, τοὺς εἰσιέναι πειρωμένους ἐπέχων. 2. Παραλ. 23. 7.

ιβ. Καὶ ἐξαπέστειλε τὸν υἱὸν τοῦ βα-
σιλέως, καὶ ἔδωκεν ἐπ' αὐτὸν νεζὲρ (3)
καὶ τὸ μαρτύριον, καὶ ἐβασίλευσεν
αὐτὸν καὶ ἔχρισεν αὐτόν. καὶ ἐκρό-
τησαν τῇ χειρὶ, καὶ εἶπαν, ζήτω ὁ
βασιλεύς.

** ΙΩΣΗΠΟΥ. Συναγαγόντες τὸν παῖδα εἰς τὸ μέσον, ἐπέθηκαν αὐτῷ τὸν στέφανον τὸν βασιλικόν· καὶ τὸ ἐλαίῳ χρίσας Ἰώδαος, ἀπέδειξε βασιλέα. τὸ δὲ πλῆθος χαῖρον καὶ κροταλίζον, ἐβόα, σώζεσθαι τὸν βασιλέα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἔδωκεν ἐπ' αὐτὸν τὸ ἁγίασμα καὶ τὸ μαρτύριον; Ἡ βίβλος τῶν Παραλειπομένων οὕτως ἔχει· ἔδωκεν ἐπ' αὐτὸν τὸ βασίλειον καὶ τὸ μαρτύριον· καὶ ἐβασίλευσαν αὐτὸν, καὶ ἔχρισαν αὐτὸν Ἰωδαὲ καὶ οἱ υἱοὶ αὐτοῦ, καὶ εἶπον, ζήτω ὁ βασιλεύς. ὡς εἶναι δῆλον, ὅτι τὸ μὲν ἁγίασμα χρίσμα ἐκάλεσε· μαρτύριον δὲ, τὸν βασιλικὸν στέφανον, ὡς τῆς βασιλείας δηλωτικόν. 2. Παραλ. 23. 11.

ιγ. Καὶ ἤκουσε Γοθολία τὴν φω-
νὴν τῶν τρεχόντων τοῦ λαοῦ, καὶ εἰσῆλθε
πρὸς

(1) Μεσαέ; ἡ ἐν Χαλ. ἐκδ.

(2) Διαφθορᾶς. ἡ αὐτ.

(3) Τὸ ἁγίασμα. ἐν ταῖς εἰρημ. σημ. σημαίνει δὲ τὸ νεζὲρ, διάδημα, ὥς φησιν ὁ Οὐάταβλ. ἐν σελ. 2605. τοῦ προειρημ. Τόμ. καὶ ὁ Ἰώσηπ. καὶ ἐν τῷ προκειμ. ὑπομν.

ιδ. πρὸς τὸν λαὸν εἰς οἶκον Κυρίου. Καὶ Α
εἶδε, καὶ ἰδοὺ ὁ βασιλεὺς εἱστήκει ἐπὶ
τοῦ στύλου κατὰ τὸ κρίμα· καὶ οἱ ᾠδοὶ
καὶ αἱ σάλπιγγες πρὸς τὸν βασιλέα,
καὶ πᾶς ὁ λαὸς τῆς γῆς χαίρων καὶ
σαλπίζων ἐν σάλπιγξι. καὶ διέῤῥηξε
Γοθολία τὰ ἱμάτια ἑαυτῆς, καὶ ἐβόη-
σε, σύνδεσμος, σύνδεσμος.

** ΙΩΣΗΠΟΥ. Τοῦ θορύβου καὶ τῶν
ἐπαίνων Γοθολία παρ' ἐλπίδας ἀκούσασα B
τεταραγμένη σφόδρα τῇ διανοίᾳ μετὰ τῆς
ἰδίας ἐξεπήδησε στρατιᾶς ἐκ τοῦ βασιλείου.
καὶ παραγενομένην εἰς τὸ ἱερὸν αὐτὴν οἱ
μὲν ἱερεῖς εἰσδέχονται, τοὺς δὲ ἑπομένους
ὁπλίτας εἶρξαν εἰσελθεῖν οἱ περιεστῶτες ἐν
κύκλῳ τῶν ὑπὸ τοῦ ἀρχιερέως τοῦτο προστε-
ταγμένων. ἰδοῦσα δὲ Γοθολία τὸν παῖδα ἐπὶ
τῆς στήλης ἑστῶτα, καὶ τὸν βασιλικὸν περι-
κείμενον στέφανον, περιῤῥηξαμένη καὶ δει-
νὸν ἀνακράξασα, φονεύειν ἐκέλευε τὸν ἐπι- Γ
βουλεύσαντα αὐτῇ καὶ τὴν ἀρχὴν ἀφελέ-
σθαι σπουδάσαντα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Σύνδεσμον δὲ τὴν
τυραννίδα εἰώθασιν ὀνομάζειν. τοιαύτη δὲ
ἦν τῆς Γοθολίας ἡ πονηρία, ὅτι τὸν ἔκ-
γονον βεβασιλευκότα θεασαμένη, καὶ τὴν
» ἐσθῆτα διέῤῥηξε, καὶ ἐβόησε, σύνδεσμος,
» σύνδεσμος.

ιε. Καὶ ἐνετείλατο Ἰωδαὲ ὁ ἱερεὺς
τοῖς ἑκατοντάρχοις τοῖς ἐπισκόποις
τῆς δυνάμεως, καὶ εἶπε πρὸς αὐτοὺς,
ἐξαγάγετε αὐτὴν ἔσωθεν τῶν σαδη-
ρὼθ, καὶ ὁ εἰσπορευόμενος ὀπίσω αὐ-
τῆς θανάτῳ θανατωθήσεται ἐν ῥομ-
φαίᾳ· ὅτι εἶπεν ὁ ἱερεὺς, καὶ μὴ ἀπο-
ις. θάνῃ ἐν οἴκῳ Κυρίου. Καὶ ἐπέθηκαν
αὐτῇ χεῖρας, καὶ εἰσῆλθον ὁδὸν εἰσό-
δου τῶν ἵππων οἴκου τοῦ βασιλέως, καὶ
ἀπέθανεν ἐκεῖ.

** ΙΩΣΗΠΟΥ. Ἰώδαος καλέσας τοὺς
ἑκατοντάρχας ἐκέλευσεν αὐτοὺς ἀγαγόν-
τας τὴν Γοθολίαν εἰς τὴν φάραγγα τοῦ
Κεδρῶνος, ἀνελεῖν ἐκεῖ. μὴ γὰρ βούλεσθαι
μιᾶναι τὸ ἱερὸν, αὐτόθι τὴν ἀλιτήριον τι-
μωρησαμένων. προσέταξε δὲ, κἂν βοηθῶν
τὶς προσέλθοι, κἀκεῖνον ἀνελεῖν. λαβό-
μενοι τοίνυν τῆς Γοθολίας οἱ προστεταγμέ-
νοι τὴν ἀναίρεσιν αὐτῆς, ἐπὶ τὴν πύλην
τῶν ἡμιόνων τοῦ βασιλέως ἤγαγον, κἀκεῖ
διεχρήσαντο.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλὰ καὶ τοῖς ἑκα-
τοντάρχοις ἐκέλευσεν ὁ σοφώτατος ἱερεὺς
ἔξω τῶν ἱερῶν ἀνελεῖν αὐτὴν περιβόλων.
κἀνταῦθα δὲ ἡ μὲν τῶν Βασιλειῶν βίβλος
2. Παραλ. 23. ἔξωθεν τῶν σαδηρὼθ ἔχει, τῶν δὲ Παρα-
14. » λειπομένων, ἐκτὸς τοῦ οἴκου.

ιζ. Καὶ διέθετο Ἰωδαὲ διαθήκην Η
ἀναμέσον Κυρίου καὶ ἀναμέσον τοῦ βα-
Α σιλέως καὶ ἀναμέσον τοῦ λαοῦ, τοῦ εἶναι
εἰς λαὸν τῷ Κυρίῳ· καὶ ἀναμέσον τοῦ
βασιλέως καὶ ἀναμέσον τοῦ λαοῦ, (1)
τοῦ εἶναι εἰς λαὸν τῷ Κυρίῳ.

** ΙΩΣΗΠΟΥ. Συγκαλέσας τόν τε
δῆμον καὶ τοὺς ὁπλίτας Ἰώδαος εἰς τὸ ἱερὸν,
ἐξώρκισεν εὐνοεῖν τῷ βασιλεῖ, καὶ προνοεῖν
αὐτοῦ τῆς σωτηρίας καὶ τῆς ἐπὶ πλεῖον ἀρ-
χῆς. ἔπειτ' αὐτὸν τὸν βασιλέα τιμήσειν
Β τὸν Θεὸν καὶ μὴ παραβιῶναι τοὺς Μωϋσέως
νόμους δοῦναι πίστιν ἠνάγκασε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ,
» διέθετο Ἰωδαὲ ὁ ἱερεὺς διαθήκην ἀναμέσον
» Κυρίου καὶ ἀναμέσον τοῦ λαοῦ, τοῦ εἶναι εἰς
» λαὸν Κυρίου; Τὴν διαθήκην πανταχοῦ οἱ
ἄλλοι ἑρμηνευταὶ συνθήκην εἰρήκασι. τέ-
θεικε, φησὶ, καὶ ὅρους καὶ νόμους καὶ τῷ
βασιλεῖ καὶ τῷ λαῷ, ὥστε μόνῳ τῷ Κυρίῳ
δουλεύειν, καὶ κατὰ τοὺς αὐτοῦ πολιτεύε-
Γ σθαι νόμους.

ιη. Καὶ εἰσῆλθε πᾶς ὁ λαὸς εἰς
οἶκον τοῦ Βάαλ καὶ κατέσπασαν αὐτὸν,
καὶ τὰ θυσιαστήρια αὐτοῦ καὶ τὰς εἰκό-
νας αὐτοῦ συνέτριψαν ἀγαθῶς· καὶ
τὸν Ματθὰν τὸν ἱερέα τοῦ Βάαλ ἀπέ-
κτειναν κατὰ πρόσωπον τῶν θυσιαστη-
ρίων. καὶ ἔθηκεν ὁ ἱερεὺς ἐπισκόπ[ους]
ιθ. εἰς τὸν οἶκον Κυρίου. Καὶ ἔλαβε [τοὺς]
Δ ἑκατοντάρχους, καὶ τὸν Χοῤῥὶ, καὶ [τὸν]
Ῥασὶμ, καὶ πάντα τὸν λαὸν τῆς [γῆς,]
καὶ κατήγαγε τὸν βασιλέα ἐξ [οἴκου]
Κυρίου· καὶ εἰσῆλθεν ὁδὸν πύλης [τῶν]
παρατρεχόντων οἴκου τοῦ βασιλ[έως,]
καὶ ἐκάθισαν αὐτὸν ἐπὶ θρόνου τ[ῶν]
κ. βασιλέων. Καὶ ἐχάρη πᾶς ὁ λαὸς
τῆς γῆς, καὶ ἡ πόλις ἡσύχασε. καὶ
Ε τὴν Γοθολίαν ἐθανάτωσαν ἐν ῥομ-
φαίᾳ ἐν οἴκῳ τοῦ βασιλέως.

** ΙΩΣΗΠΟΥ. Μετὰ ταῦτα εἰσδρα-
μόντες τὸν τοῦ Βαὰλ οἶκον, ὃν ἡ Γοθολία
καὶ ὁ ἀνὴρ αὐτῆς Ἰώραμος κατεσκεύασεν,
ἐφ' ὕβρει μὲν τοῦ πατρῴου Θεοῦ, τιμῇ δὲ τοῦ
Ἀχάβου, κατέσκαψαν, καὶ τὸν ἔχοντα τὴν
ἱερωσύνην αὐτοῦ Μααθὰν ἀπέκτειναν. τὴν
δ' ἐπιμέλειαν καὶ φυλακὴν τοῦ ἱεροῦ τοῖς
Ζ ἱερεῦσι καὶ Λευΐταις ἐπέτρεψεν Ἰώδαος,
κατὰ τὴν Δαβίδου τοῦ βασιλέως διάταξιν.
Καὶ μετ' ὀλίγα. Μετὰ τῶν ἑκατοντάρχων καὶ
ἡγεμόνων καὶ τοῦ λαοῦ παντὸς ἐκ τοῦ ἱεροῦ
παραλαβὼν ἄγει τὸν Ἰώασον εἰς τὸ βασί-
λειον. καὶ καθίσαντος εἰς τὸν βασιλικὸν
θρόνον, ἐπηυφήμησέ τε τὸ πλῆθος καὶ πρὸς
εὐωχίαν τραπέντες, ἐπὶ πολλὰς ἑόρτασαν
ἡμέρας. ἡ μέντοι γε πόλις, ἐπὶ τῷ τὴν
Γοθολίαν ἀποθανεῖν, ἡσυχίαν ἤγαγεν.

Η κα. Υἱὸς ἑπτὰ ἐτῶν Ἰωὰς ἐν τῷ
βασιλεύειν αὐτόν.

ΚΕΦ.

(1) Τὰ ἑπόμεν. οὐ κεῖται ἐν ταῖς εἰρημ. ἐκδόσ.

ΚΕΦ. ΙΒ.

α. Ἐν ἔτει ἑβδόμῳ τῷ Ἰοὺ ἐβα-
σίλευσεν Ἰωὰς, καὶ τεσσα-
ράκοντα ἔτη ἐβασίλευ-
σεν ἐν Ἱερουσαλὴμ, καὶ ὄνομα τῆς μη-
τρὸς αὐτοῦ Σαβιὰ ἐκ τῆς Βηρσαβεέ.

β. Καὶ ἐποίησεν Ἰωὰς τὸ εὐθὲς
ἐνώπιον Κυρίου πάσας τὰς ἡμέρας ἃς
γ. ἐφώτισεν αὐτὸν Ἰωδαὲ ὁ ἱερεύς. Πλὴν
τῶν ὑψηλῶν οὐ μετεστάθησαν, καὶ ἐκεῖ
ἔτι ὁ λαὸς ἐθυσίαζε, καὶ ἐθυμίων ἐν
τοῖς ὑψηλοῖς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὅσον δὲ ὀνίνησι διδάσκαλος εὐσεβὴς, καὶ ἡ ἱστορία διδάσκει.
» ἐποίησε γάρ φησιν Ἰωὰς τὸ εὐθὲς ἐνώπιον
» Κυρίου πάσας τὰς ἡμέρας ἃς ἐφώτισεν αὐ-
» τὸν Ἰωδαὲ ὁ ἱερεύς. τὸ δὲ ἀτελὲς καὶ τοῦ δὲ
τοῦ βασιλέως, καὶ τοῦ λαοῦ, ὁ ἱστοριογράφος
» ἐδίδαξεν. ἐπήγαγε γὰρ, πλὴν τῶν ὑψη-
» λῶν οὐκ ἀπέστησαν· ἔτι ὁ λαὸς ἐθυσίαζον,
» καὶ ἐθυμίων ἐν τοῖς μετεώροις. οἶμαι δὲ
νῦν μὴ τῶν ψευδωνύμων αὐτοῖς Θεῶν ἐπιμέμφεσθαι λατρείαν, ἀλλὰ τὰς παρὰ τὸν
…ωσαϊκὸν νόμον ἔξω τοῦ θείου νεὼ γεγενη-
…ας θυσίας.

… Καὶ εἶπεν Ἰωὰς πρὸς τοὺς ἱερεῖς,
… τὸ ἀργύριον τῶν ἁγίων τὸ εἰσο-
…όμενον ἐν οἴκῳ Κυρίου ἀργύριον
… τιμήσεως, ἀνὴρ ἀργύριον λαβὼν
… τιμήσεως, (1) πᾶν ἀργύριον ὃ ἐὰν
…βῇ ἐπὶ καρδίαν ἀνδρὸς ἐνεγκεῖν ἐν
…ίκῳ Κυρίου, Λαβέτωσαν ἑαυτοῖς οἱ
ἱερεῖς ἀνὴρ ἀπὸ τῆς πράσεως αὐτῶν, καὶ
αὐτοὶ κρατήσουσι (2) τὸ βεδὲκ τοῦ οἴκου
εἰς πάντα οὗ ἐὰν εὑρεθῇ ἐκεῖ βεδέκ.

** ΙΩΣΗΠΟΥ. Τὸν τῶν Ἱεροσολύμων βασιλέα Ἰώασον ὁρμή τις ἔλαβε (3) τὸν ναὸν ἀνακαινίσαι τοῦ Θεοῦ· καὶ τὸν ἀρχιερέα καλέσας Ἰώδαον εἰς ἅπασαν ἐκέλευσε πέμψαι τὴν χώραν τοὺς Λευΐτας καὶ ἱερέας αἰτήσοντας ὑπὲρ ἑκάστης κεφαλῆς ἡμισίκλον ἀργύρου, εἰς ἐπισκευὴν καὶ ἀνανέωσιν τοῦ ναοῦ, καταλυθέντος ὑπὸ Ἰωράμου καὶ Γοθολίας καὶ τῶν παίδων αὐτῆς. ὁ δὲ ἀρ-
Z χιερεὺς τοῦτο οὐκ ἐποίησε, συνεὶς ὡς οὐδεὶς εὐγνωμόνως προήσεται τὸ ἀργύριον.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἀργύριον
» συντιμήσεως ἀνδρὸς, ἀργύριον συντιμήσεως
ψυχῶν; Τούτων τὸν νοῦν τὸ Δευτερονόμιον ἑρμηνεύοντες δεδηλώκαμεν. προσέταξε γὰρ ὁ Δεσπότης τοὺς ὑπισχνουμένους τὴν ὑπὲρ αὐτῶν τιμὴν προσφέρειν τῷ σωτῆρι Θεῷ πόσους σίκλους προσήκει διδόναι. ἐκέλευσε τοί-
H νυν ὁ βασιλεὺς Ἰωὰς ἅπαν τὸ προσφερόμενον ἀργύριον τοὺς ἱερέας κομίσασθαι, καὶ αὐτοὺς ποιεῖσθαι τὴν προσήκουσαν θεραπείαν
» τοῦ θείου νεώ. τοῦτο γὰρ λέγει, αὐτοὶ κρα-
» ταιώσουσι τὸ βεδὲκ οἴκου Κυρίου, εἰς πάντα
» οὗ ἐὰν εὑρεθῇ ἐκεῖ. βεδὲκ δὲ καλεῖ τῶν ἐφθαρμένων ξύλων ἢ λίθων τὴν θεραπείαν.
ἡ δὲ τῶν Παραλειπομένων βίβλος, ἀντὶ τοῦ
B » ποιῆσαι τὸ βεδὲκ, ἐπισκευάσαι τὸν οἶκον 2.Παραλ.24.
» Κυρίου λέγει· καὶ πάλιν, τοῦ θεραπεῦσαι 12.
» τὸν οἶκον Κυρίου.

ς. Καὶ ἐγενήθη ἐν τῷ εἰκοστῷ καὶ
τρίτῳ ἔτει τῷ βασιλεῖ Ἰωὰς οὐκ ἐκρα-
ταίωσαν οἱ ἱερεῖς τὸ βεδὲκ τοῦ οἴκου.
ζ. Καὶ ἐκάλεσεν ὁ βασιλεὺς Ἰωὰς Ἰω-
δαὲ τὸν ἱερέα καὶ τοὺς ἱερεῖς, καὶ εἶπε
Γ πρὸς αὐτοὺς, τί ὅτι οὐκ ἐκραταιοῦτε τὸ
βεδὲκ τοῦ οἴκου; καὶ νῦν μὴ λάβητε
ἀργύριον ἀπὸ τῶν πράσεων ὑμῶν, ὅτι
εἰς τὸ βεδὲκ τοῦ οἴκου δώσετε αὐτό.
η. Καὶ συνεφώνησαν οἱ ἱερεῖς τοῦ μὴ λα-
βεῖν ἀργύριον παρὰ τοῦ λαοῦ, καὶ τοῦ
θ. μὴ ἐνισχῦσαι τὸ βεδὲκ τοῦ οἴκου. Καὶ
ἔλαβεν Ἰωδαὲ ὁ ἱερεὺς κιβωτὸν μίαν,
καὶ ἔτρησε τρώγλην ἐπὶ τῆς σανίδος
Δ αὐτῆς, καὶ ἔδωκεν αὐτὴν παρὰ Ἀμα-
ζεϊβὶ (4) ἐν τῷ οἴκῳ ἀνδρὸς οἴκου Κυ-
ρίου· καὶ ἔδωκαν οἱ ἱερεῖς οἱ φυλάσσον-
τες τὸν σταθμὸν πᾶν τὸ ἀργύριον τὸ
ι. εὑρεθὲν ἐν οἴκῳ Κυρίου. Καὶ ἐγένετο
ὡς εἶδον ὅτι πολὺ τὸ ἀργύριον ἐν τῇ
κιβωτῷ, καὶ ἀνέβη ὁ γραμματεὺς τοῦ
βασιλέως καὶ ὁ ἱερεὺς ὁ μέγας, καὶ
ἔσφιγξαν καὶ ἠρίθμησαν τὸ ἀργύ-
E ριον τὸ εὑρεθὲν ἐν οἴκῳ Κυρίου.

** ΙΩΣΗΠΟΥ. Τρίτῳ καὶ εἰκοστῷ τῆς βασιλείας ἔτει, μεταπεμψαμένου τοῦ βασιλέως αὐτόν τε καὶ Λευΐτας, καὶ ὡς παρακούσαντας ὧν προσέταξεν αἰτιωμένου, καὶ κελεύσαντος εἰς τὸ μέλλον προνοεῖσθαι τῆς ἐπισκευῆς τοῦ ναοῦ, στρατηγήματι χρῆται πρὸς τὴν συλλογὴν τῶν χρημάτων ὁ Ἀρχιερεὺς, ᾧ τὸ πλῆθος ἡδέως ἔσχε, τοιοῦτο·
Z ξύλινον κατασκευάσας θησαυρὸν, καὶ κλείσας πανταχόθεν, ὀπὴν ἐν αὐτῷ μίαν ἤνοιξεν. ἔπειτα θεὶς εἰς τὸ ἱερὸν παρὰ τὸν βωμὸν ἐκέλευσεν ἕκαστον ὅσον βούλεται βάλλειν εἰς αὐτὸν διὰ τῆς ὀπῆς εἰς τὴν ἐπισκευὴν τοῦ ναοῦ. πρὸς τοῦτο πᾶς ὁ λαὸς εὖ διετέθη, καὶ πολὺν ἄργυρον καὶ χρυσὸν φιλοτιμούμενοι καὶ συνεισφέροντες ἤθροισαν. κενοῦντες δὲ τὸν θησαυρὸν, καὶ παρόντος τοῦ βασιλέως ἀριθμοῦντες τὸ συνειλεγ-
H μένον ὅ,τε γραμματεὺς καὶ ὁ ἱερεὺς τῶν

 γαζο-

(1) Συντιμήσεως ψυχῶν, πᾶν. ἐν ταῖς εἰρημ. σημ.
(2) Κραταιώσουσι. αὐτ. Τὸ δὲ βεδὲκ ὁ Μενστέρ. (ἐν σελ. 2608. τοῦ εἰρημ. Τόμ.) ἑρμηνεύει, συντριβὴ, ῥῆγμα, θλάσις. (3) Ὅρα τὸ 24. κεφ. τῆς 2. τῶν Παραλ. (4) Ἀμαζειβί. ἐν εἰρημ. ἐκδόσ.

γαζοφυλακίων, ἔπειτ' εἰς τὸν αὐτὸν ἐτίθε- Α
σαν τόπον. καὶ τοῦτο ἐποίουν ἑκάστης ἡμέρας.
ια. Καὶ ἔδωκαν τὸ ἀργύριον τὸ
ἑτοιμασθὲν ἐπὶ χεῖρας ποιούντων τὰ
ἔργα τῶν ἐπισκοπῶν οἴκου Κυρίου, καὶ
ἐξέδοσαν τοῖς τέκτοσι τῶν ξύλων, καὶ
τοῖς οἰκοδόμοις τοῖς ποιοῦσιν ἐν οἴκῳ
ιβ. Κυρίου, Καὶ τοῖς τειχισταῖς, καὶ τοῖς
τεχνίταις, καὶ τοῖς λατόμοις τῶν λί-
θων τοῦ κτήσασθαι ξύλα καὶ λίθους λα- Β
τομητοὺς τοῦ καταχεῖν τὸ βεδὲκ οἴκου
Κυρίου, εἰς πάντα ὅσα ἐξωδιάσθη ἐπὶ
ιγ. τὸν οἶκον τοῦ κραταιῶσαι. Πλὴν (1)
οὐ ποιηθήσονται οἴκου Θεοῦ θύραι
ἀργυραῖ, ἧλοι, Φιάλαι, καὶ σάλπιγ-
γες, πᾶν σκεῦος χρυσοῦν καὶ σκεῦος ἀρ-
γυροῦν, ἐκ τοῦ ἀργυρίου τοῦ εἰσενεχθέν-
ιδ. τος ἐν οἴκῳ Κυρίου, Ὅτι τοῖς ποιοῦσι Γ
τὰ ἔργα δώσουσιν αὐτά. καὶ ἐκραταίω-
σαν ἐν αὐτῷ τὸν οἶκον Κυρίου.

** ΙΩΣΗΠΟΥ. Ὡς ἀποχρόντως τὸ πλῆθος ἐδόκει βαλεῖν τῶν χρημάτων, ἔπεμψαν μισθούμενοι λατόμους καὶ οἰκοδόμους ὁ ἀρχιερεὺς Ἰώδαος καὶ ὁ βασιλεὺς Ἰώασος, καὶ ἔτι ξύλα μεγάλα καὶ τῆς καλλίστης ὕλης. ἐπισκευασθέντος δὲ τοῦ ναοῦ, τὸν ὑπολειφθέντα χρυσὸν καὶ ἄργυρον, οὐκ ὀλίγος δὲ ἦν, εἴς τε κρατῆρας καὶ οἰνοχόας καὶ ἐκπώματα καὶ τὰ λοιπὰ σκεύη κατεχρήσαντο.

ιε. Καὶ οὐκ ἐξελογίζοντο τοὺς ἄν-
δρας οἷς ἐδίδουν τὸ ἀργύριον ἐπὶ χεῖ-
ρας αὐτῶν δοῦναι τοῖς ποιοῦσι τὰ ἔργα,
ις. ὅτι ἐν πίστει αὐτῶν ποιοῦσιν. Ἀργύριον
περὶ ἁμαρτίας, καὶ ἀργύριον περὶ
πλημμελείας, ὅ, τι εἰσηνέχθη ἐν οἴ-
κῳ Κυρίου, τοῖς ἱερεῦσιν ἐγένετο.
ιζ. Τότε ἀνέβη Ἀζαὴλ βασιλεὺς
Συρίας, καὶ ἐπολέμησεν ἐπὶ Γέθ, καὶ

προκατελάβετο αὐτήν Ἀζαὴλ, καὶ
ἐπάταξεν αὐτήν, καὶ ἔταξεν Ἀζαὴλ
τὸ πρόσωπον αὐτοῦ ἀναβῆναι ἐπὶ Ἱε-
ιη. ρουσαλήμ. Καὶ ἔλαβεν Ἰωὰς βασι-
λεὺς Ἰούδα πάντα τὰ ἅγια ὅσα ἡγία-
σεν Ἰωσαφὰτ καὶ Ἰωρὰμ καὶ Ὀχο-
ζίας οἱ πατέρες αὐτοῦ καὶ βασιλεῖς
Ἰούδα, καὶ τὰ ἅγια αὐτοῦ, καὶ πᾶν
τὸ χρυσίον τὸ εὑρεθὲν ἐν θησαυροῖς
οἴκου Κυρίου καὶ οἴκου τοῦ βασιλέως,
καὶ ἀπέστειλε τῷ Ἀζαὴλ βασιλεῖ Συ-
ρίας, καὶ ἀνέβη ἀπὸ Ἱερουσαλήμ.

** ΙΩΣΗΠΟΥ. Ἔδωκεν οὐκ εἰς μακρὰν ὁ βασιλεὺς δίκην ὧν παρῳνόμησεν. ἐμβαλόντος γὰρ Ἀζαήλου τοῦ Σύρων βασιλέως εἰς τὴν χώραν αὐτοῦ, καὶ τήν τε Γίτταν καταστρεψαμένου καὶ λεηλατήσαντος, ἐπ' αὐτὸν στρατεύει εἰς Ἱεροσόλυμα. Φοβηθεὶς δ' ὁ Ἰώασος, πάντας κενώσας τοὺς τοῦ Θεοῦ θησαυροὺς καὶ τοὺς τῶν βασιλέων, καὶ τὰ ἀναθήματα καθελὼν, ἔπεμψε τῷ Σύρῳ, τούτοις ὠνούμενος τὸ μὴ πολιορκηθῆναι, μηδὲ κινδυνεύειν περὶ τῶν ὅλων. ὁ δὲ πεισθεὶς τῇ τῶν χρημάτων ὑπερβολῇ, τὴν στρατιὰν οὐκ ἐπήγαγεν ἐπὶ τὰ Ἱεροσόλυμα.

ιθ. Καὶ τὰ λοιπὰ τῶν λόγων
Ἰωὰς καὶ πάντα ὅσα ἐποίησεν, οὐκ
ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ Δ
τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰ
κ. Καὶ ἀνέστησαν οἱ δοῦλοι αὐτοῦ καὶ
σαν πάντα σύνδεσμον, καὶ ἐπ
ξαν (3) Ἰωὰς ἐν οἴκῳ Μαλλὼ τ
κα. Σελά. Καὶ Ἰεζιχὰρ υἱὸς Ἰεμ
καὶ Ἰεζεβοὺθ ὁ υἱὸς αὐτοῦ Σωμὴρ οἱ δοῦ-
λοι αὐτοῦ ἐπάταξαν αὐτὸν καὶ ἀπέ-
θανε, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν Ε
πατέρων (4) αὐτοῦ ἐν πόλει Δαβίδ.
καὶ ἐβασίλευσεν Ἀμεσσίας υἱὸς αὐτοῦ
ἀντ' αὐτοῦ.

ΚΕΦ. ΙΓ.

α. Ἐν ἔτει εἰκοστῷ καὶ τρίτῳ
Ἰωὰς (5) Ὀχοζίου βασι-
λέως Ἰούδα ἐβασίλευσεν
Ἰωάχαζ υἱὸς Ἰηοὺ ἐν Σαμαρείᾳ ἑπτα-
β. καίδεκα ἔτη. Καὶ ἐποίησε τὸ πονη-
ρὸν ἐν ὀφθαλμοῖς Κυρίου, καὶ ἐπορεύθη
ὀπίσω ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Να-
βὰτ ὃς ἐξήμαρτε τὸν Ἰσραὴλ, οὐκ
ἀπέστη ἀπ' αὐτῶν.

γ. Καὶ ὠργίσθη θυμῷ Κύριος ἐν
τῷ Ἰσραὴλ, καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ Ζ
Ἀζαὴλ βασιλέως Συρίας, καὶ ἐν χει-
ρὶ (6) Ἄδερ υἱοῦ Ἀζαὴλ πάσας τὰς
ἡμέρας.

** ΙΩΣΗΠΟΥ. Ἐταπείνωσεν αὐτὸν καὶ συνέστειλε ἐκ τῆς τοσαύτης δυνάμεως ὁ τῶν Σύρων βασιλεὺς εἰς ὁπλίτας μυρίους καὶ πεντήκοντα ἱππεῖς στρατεύσας ἐπ' αὐτὸν, πόλεις τε καὶ μεγάλας καὶ πολλὰς ἀπ'

(1) Πλὴν οὐ ποιηθήσονται οἴκῳ Κυρίου θύρ. αἱ αὐτ. (2) Λόγων τῶν. αἱ αὐτ. (3) Τὸν Ἰωάς. αἱ αὐτ.

(4) Τὸ, μετὰ τῶν πατέρων αὐτοῦ, οὐκ ἐν τῷ αὐτῷ νοητέον τάφῳ· καὶ γὰρ ἔθαψαν αὐτόν-
» Φησιν (ἐν κεφ. 24. ἐδ. 25. τῆς 2. τῶν Παραλ.) ἐν πόλει Δαβίδ, καὶ οὐκ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ τῶν βασιλέων· ἀλλ' ἐν τῇ αὐτῇ πόλει Δαβίδ, ἐν ᾗ καὶ οἱ πατέρες αὐτοῦ ἐτάφησαν.

(5) Τῷ Ἰωὰς υἱῷ Ὀχοζίου βασιλεῖ Ἰούδ. αἱ αὐτ. (6) Υἱοῦ Ἄδερ. αἱ αὐτ.

ἀπ' αὐτοῦ ἀφελόμενος, καὶ τὴν στρατιὰν αὐτοῦ διαφθείρας. ταῦτα δὲ ἔπαθεν ὁ τῶν Ἰσραηλιτῶν λαὸς, κατὰ τὴν Ἐλισσαίου προφητείαν, ὅτε Ἀζάηλον βασιλεύσειν προεῖπε τῶν Σύρων καὶ Δαμασκηνῶν ἀποκλείναντα τὸν δεσπότην.

δ. Καὶ ἐδεήθη Ἰωάχαζ τοῦ προ-
σώπου Κυρίου, καὶ ἐπήκουσεν αὐτοῦ Κύ-
ριος, ὅτι εἶδε τὴν θλίψιν Ἰσραὴλ,
ὅτι ἔθλιψεν αὐτοὺς βασιλεὺς Συρίας.
ε. Καὶ ἔδωκε Κύριος σωτηρίαν τῷ Ἰσ-
ραὴλ, καὶ ἐξῆλθεν ὑποκάτωθεν χει-
ρὸς Συρίας· καὶ ἐκάθισαν οἱ υἱοὶ Ἰσ-
ραὴλ ἐν τοῖς σκηνώμασιν αὐτῶν κα-
θὼς ἐχθὲς καὶ τρίτης.

** ΙΩΣΗΠΟΥ. Ὢν ἐν ἀπόροις οὕτω κακοῖς Ἰώαζος, ἐπὶ δέησιν καὶ ἱκετείαν τοῦ Θεοῦ κατέφυγε, ῥύσασθαι τῶν Ἀζαήλου χειρῶν αὐτὸν παρακαλῶν, καὶ μὴ περιϊδεῖν ὑπ' ἐκείνῳ γενόμενον. ὁ δὲ Θεὸς καὶ τὴν μετάνοιαν ὡς ἀρετὴν ἀποδεχόμενος, τελείως μὴ ἀπολλύναι δοκοῦν αὐτῷ, δίδωσιν αὐτῷ τὴν ἐκ τοῦ πολέμου καὶ τῶν κινδύνων ἄδειαν. εἰρήνης δ' ἡ χώρα λαβομένη ἀνέδραμέ τε πάλιν εἰς τὴν προτέραν κατάστασιν, καὶ ηὐθήνησε.

ϛ. Πλὴν οὐκ ἀπέστησαν ἀπὸ ἁμαρ-
ν οἴκου Ἱεροβοὰμ ὃς ἐξήμαρτε τὸν
αὴλ, ἐν αὐταῖς ἐπορεύθησαν. καί-
τὸ ἄλσος ἐστάθη ἐν Σαμαρείᾳ.
οὐχ ὑπελείφθη τῷ Ἰωάχαζ λαὸς,
ἢ πεντήκοντα ἱππεῖς καὶ δέκα ἅρ-
τα καὶ δέκα χιλιάδες πεζῶν, ὅτι
πώλεσεν αὐτοὺς βασιλεὺς Συρίας,
καὶ ἔθεντο αὐτοὺς ὡς χοῦν εἰς καταπά-
η. τησιν. Καὶ τὰ λοιπὰ τῶν λόγων
Ἰωάχαζ καὶ πάντα ὅσα ἐποίησε καὶ αἱ
δυναστεῖαι αὐτοῦ, οὐχὶ ταῦτα γεγραμ-
μένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν
θ. τοῖς βασιλεῦσιν Ἰσραήλ; Καὶ ἐκοι-
μήθη Ἰωάχαζ μετὰ τῶν πατέρων αὐ-
τοῦ, καὶ ἔθαψαν αὐτὸν μετὰ τῶν πα-
τέρων αὐτοῦ ἐν Σαμαρείᾳ. καὶ ἐβασί-
ι. λευσεν Ἰωὰς υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. Ἐν
ἔτει τριακοστῷ καὶ ἐννάτῳ (1) τῷ Ἰωὰς
βασιλεῖ Ἰούδα ἐβασίλευσεν Ἰωὰς υἱὸς
Ἰωάχαζ ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ ἓξ
ια. καὶ δέκα ἔτη. Καὶ ἐποίησε τὸ πονη-
ρὸν ἐν ὀφθαλμοῖς Κυρίου· οὐκ ἀπέστη
ἀπὸ πασῶν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ
Ναβὰτ, ὃς ἐξήμαρτε τὸν Ἰσραὴλ,
ιβ. ἐν αὐταῖς ἐπορεύθη. Καὶ τὰ λοιπὰ
τῶν λόγων Ἰωὰς καὶ πάντα ὅσα ἐποίη-
σε, καὶ αἱ δυναστεῖαι αὐτοῦ ἃς ἐποίησε
μετὰ Ἀμεσσίου βασιλέως Ἰούδα, οὐχὶ

A ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λό-
γων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσ-
ιγ. ραήλ; Καὶ ἐκοιμήθη Ἰωὰς μετὰ τῶν
πατέρων αὐτοῦ, καὶ Ἱεροβοὰμ ἐκάθι-
σεν ἐπὶ τοῦ θρόνου αὐτοῦ, καὶ ἐτάφη ἐν
Σαμαρείᾳ μετὰ τῶν υἱῶν Ἰσραήλ.

ιδ. Καὶ Ἐλισσαιὲ ἠῤῥώστησε τὴν
ἀῤῥωστίαν αὐτοῦ, δι' ἣν καὶ ἀπέθανε·
B καὶ κατέβη πρὸς αὐτὸν Ἰωὰς βασι-
λεὺς Ἰσραὴλ, καὶ ἔκλαυσεν ἐπὶ πρό-
σωπον αὐτοῦ, καὶ εἶπε, πάτερ πάτερ,
ἅρμα Ἰσραὴλ καὶ ἱππεὺς αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Κατ' ἐκεῖνον τὸν καιρὸν Ἐλισσαίου τοῦ προφήτου γηραιοῦ μὲν ἤδη τυγχάνοντος, εἰς δὲ νόσον ἐμπεπτωκότος, ἧκεν ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς πρὸς αὐτὸν ἐπισκεψόμενος. καταλαβὼν δ' αὐτὸν
Γ ἐν ἐσχάτοις ὄντα, κλαίειν ἤρξατο, βλέποντος αὐτοῦ, καὶ ποτνιᾶσθαι, καὶ πατέρα-
» τε ἀποκαλεῖν καὶ ὅπλον. δι' αὐτὸν γὰρ μη-
» δέποτε χρήσασθαι πρὸς τοὺς ἐχθροὺς ὅπ-
» λοις, ἀλλὰ ταῖς ἐκείνου προφητείαις ἀμα-
» χητὶ κρατεῖν τῶν πολεμίων· νῦν δ' ἀπι-
» έναι μὲν αὐτὸν ἐκ τοῦ ζῆν, καταλιπεῖν δ'
» ἐξωπλισμένοις τοῖς Σύροις καὶ τοῖς ὑπ' αὐ-
» τῶν πολεμίοις.

Δ ιε. Καὶ εἶπεν αὐτῷ Ἐλισσαιὲ, λά-
βε τόξον καὶ βέλη. καὶ ἔλαβε πρὸς
ιϛ. αὐτὸν τόξον καὶ βέλη. Καὶ εἶπε τῷ
βασιλεῖ, ἐπιβίβασον τὴν χεῖρά σου
ἐπὶ τὸ τόξον. καὶ ἐπεβίβασεν Ἰωὰς
τὴν χεῖρα αὐτοῦ· καὶ ἐπέθηκεν Ἐλισ-
σαιὲ τὰς χεῖρας αὐτοῦ ἐπὶ τὰς χεῖρας
ιζ. τοῦ βασιλέως, Καὶ εἶπεν, ἄνοιξον τὴν
θυρίδα κατ' ἀνατολάς. καὶ ἤνοιξε.
E καὶ εἶπεν Ἐλισσαιὲ, τόξευσον. καὶ ἐτό-
ξευσε. καὶ εἶπε, βέλος σωτηρίας τῷ
Κυρίῳ, καὶ βέλος σωτηρίας ἐν Συρίᾳ,
καὶ πατάξεις τὴν Συρίαν ἐν Ἀφὲκ ἕως
ιη. συντελείας. Καὶ εἶπεν αὐτῷ Ἐλισ-
σαιὲ, λάβε τόξα. καὶ ἔλαβε. καὶ
εἶπε τῷ βασιλεῖ Ἰσραὴλ, πάταξον
εἰς τὴν γῆν. καὶ ἐπάταξεν ὁ βασι-
ιθ. λεὺς τρὶς, καὶ ἔστη. Καὶ ἐλυπήθη
Z ἐπ' αὐτῷ ὁ ἄνθρωπος τοῦ Θεοῦ, καὶ
εἶπεν, εἰ ἐπάταξας πεντάκις ἢ ἑξά-
κις, τότε ἂν ἐπάταξας τὴν Συρίαν
ἕως συντελείας, καὶ νῦν τρὶς πατά-
ξεις τὴν Συρίαν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε μέλλων τελευτᾷν ὁ Προφήτης, Ἰωάχαζ τῷ τοῦ Ἰωὰς υἱῷ (2) διὰ τόξου καὶ βέλους τὴν ἐσομένην ἐμήνυσε νίκην; Οὐχ οὕτως ἐπίστευε τοῖς λό-
H γοις, ὡς ταῖς δι' ἔργων προῤῥήσεσιν. οὗ δὴ χάριν καὶ τόξον τεῖναι ἐκέλευσε, καὶ προσαρμό-

(1) Ἑβδόμῳ. αἱ αὐτ. καὶ ὁ Ἰώσηπ. ἐν βιβλ. 9. κεφ. 8. περὶ Ἰουδ. ἀρχ.
(2) Τὸ ἀνάπαλιν, Ἰωὰς τῷ τοῦ Ἰωάχαζ υἱῷ, ἀνάγν.

σαρμόσαι τούτῳ τὸ βέλος. ὑπολαβὼν δὲ ὡς A
αὐτομάτως ἀφήσει πολλά, ἔφη τοῦ πρώτου
» πεμφθέντος, βέλος σωτηρίας Κυρίῳ, καὶ
» βέλος σωτηρίας ἐν Ἰσραήλ, καὶ πατάξεις
» τὴν Συρίαν ἐν Ἀφὲκ ἕως συντελείας. ἐπειδὴ δὲ τρία μόνον ἐξέπεμψεν, ἠχθέσθη λίαν ὁ Προφήτης, ὡς τρὶς τῆς Συρίας μόνον ἡττωμένης, καὶ πανωλεθρίαν οὐ δεχομένης.

κ. Καὶ ἀπέθανεν Ἐλισσαιέ, καὶ ἔθαψαν αὐτόν. καὶ μονόζωνοι Μωὰβ ἦλθον ἐν τῇ γῇ, ἐλθόντος τοῦ ἐνιαυτοῦ.

** ΙΩΣΗΠΟΥ. Μετ' οὐ πολὺ καὶ ὁ Προφήτης ἀπέθανεν· ἀνὴρ ἐπὶ δικαιοσύνῃ διαβόητος, καὶ φανερῶς σπουδασθεὶς ὑπὸ τοῦ Θεοῦ. θαυμαστὰ γὰρ καὶ παράδοξα διὰ τῆς προφητείας ἐπεδείξατο ἔργα, καὶ μνήμης λαμπρᾶς παρὰ τοῖς Ἑβραίοις ἀξιωθέντα. (1) ἔτυχε δὲ καὶ ταφῆς μεγαλοπρεποῦς, καὶ οἵας εἰκὸς ἦν τὸν οὕτω θεοφιλῆ μεταλαβεῖν.

κα. Καὶ ἐγένετο αὐτῶν θαπτόντων τὸν ἄνδρα, καὶ ἰδοὺ εἶδον τὸν μονόζωνον, καὶ ἔρριψαν τὸν ἄνδρα ἐν τῷ τάφῳ Ἐλισσαιέ· καὶ ἐπορεύθη καὶ ἥψατο τῶν ὀστέων Ἐλισσαιέ, καὶ ἔζησε καὶ ἀνέστη ἐπὶ τοὺς πόδας αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Συνέβη τότε, λῃστῶν τινῶν ῥιψάντων εἰς τὸν Ἐλισσαίου τάφον ὃν ἦσαν ἀνῃρηκότες, τὸν νεκρὸν τῷ σώματι αὐτοῦ προσκολληθέντα ἀναζωπυρῆσαι.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ Προφήτης καὶ τελευτήσας τὸν νεκρὸν ἀνέστησε τὸν πελάσαντα· ἵνα καὶ τοῦτο μαρτυρῇ τὸ θαῦμα, ὡς διπλασίαν τὴν χάριν τοῦ διδασκάλου ἐδέξατο.

κβ. Καὶ Ἀζαὴλ ἐξέθλιψε τὸν Ἰσραὴλ πάσας τὰς ἡμέρας Ἰωάχαζ.

κγ. Καὶ ἠλέησε Κύριος αὐτούς, καὶ ᾠκτείρησεν αὐτούς, καὶ ἐπέβλεψεν ἐπ' αὐτοὺς διὰ τὴν διαθήκην αὐτοῦ τὴν μετὰ Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ, καὶ οὐκ ἠθέλησε Κύριος διαφθεῖραι αὐτούς, καὶ οὐκ ἀπέρριψεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον, καὶ
» μετεμελήθη (2) Κύριος, καὶ ᾤκτειρεν αὐ-
B » τοὺς διὰ τὴν διαθήκην αὐτοῦ πρὸς Ἀβραὰμ
» καὶ Ἰσαὰκ καὶ Ἰακώβ; Ἰωάχαζ ὁ τοῦ Ἰηοῦ υἱός, ὁ τῶν δέκα φυλῶν βασιλεύς, εἰς ἀσέβειαν ἀποκλίνας, κοινωνὸν ἔσχε τὸν λαὸν τῆς τῶν εἰδώλων λατρείας. δίκας τοίνυν αὐτοὺς ὁ Θεὸς εἰσπραττόμενος τῷ Ἀζαὴλ παρέδωκεν· ὃν χειροτονῶν βασιλέα Συρίας Ἐλισσαῖος ὁ μέγας πλεῖστα ἐξέχεε δάκρυα· ἅτε δὴ προβλέπων τὸν ὄλεθρον, ὃν ἔμελλε ποιεῖν ταῖς δώδεκα (3) φυλαῖς. οὕτω γὰρ
Γ αὐτοὺς ἀνήλωσεν, ὡς ἱππεῖς μὲν αὐτοῖς ὑπολειφθῆναι πεντήκοντα, ἅρματα δὲ δέκα, πεζοὺς δὲ μυρίους. πλείους δὲ πολλάκις τῶν ἑκατὸν ἐσχήκασι μυριάδων. ἀλλ' ᾤκτειρε πάλιν αὐτοὺς ὁ Θεός, καὶ τὰς οἰκείας αὐτοῖς ἀποδέδωκε πόλεις. ταύτην ἐκάλεσεν ὁ συγγραφεὺς μεταμέλειαν, τουτέστι τὴν ἀπὸ τῆς δυσκληρίας εἰς εὐκληρίαν μεταβολήν.

κδ. Καὶ ἀπέθανεν Ἀζαὴλ βα
Δ λεὺς Συρίας, καὶ ἐβασίλευσεν Ἄ
κε. υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ. Καὶ ἐπέστρ
Ἰωὰς υἱὸς Ἰωάχαζ, καὶ ἔλαβε
πόλεις ἐκ χειρὸς Ἄδερ υἱοῦ Ἀζαὴλ
ἔλαβεν ἐκ χειρὸς Ἰωάχαζ τοῦ πα
αὐτοῦ ἐν τῷ πολέμῳ. τρὶς ἐπάταξ
αὐτὸν Ἰωάς, καὶ ἐπέστρεψε τὰς πόλεις Ἰσραήλ.

ΚΕΦ. ΙΔ.

α. Ἐν ἔτει δευτέρῳ τῷ Ἰωὰς
υἱῷ Ἰωάχαζ βασιλεῖ Ἰσ-
ραήλ, καὶ ἐβασίλευσεν
Ἀμεσσίας υἱὸς Ἰωὰς βασιλεὺς Ἰούδα.
β. Υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν ἐν τῷ
βασιλεύειν αὐτόν, καὶ εἴκοσι καὶ ἐννέα
ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλήμ, καὶ
ὄνομα τῆς μητρὸς αὐτοῦ Ἰωαδὶμ ἐξ
γ. Ἱερουσαλήμ. Καὶ ἐποίησε τὸ εὐθὲς
ἐν ὀφθαλμοῖς Κυρίου, πλὴν οὐχ ὡς (4)
ὁ Δαβὶδ ὁ πατὴρ αὐτοῦ· κατὰ πάν-
τα ὅσα ἐποίησεν Ἰωὰς ὁ πατὴρ αὐτοῦ
δ. ἐποίησε. Πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆ-
ρεν· ἔτι ὁ λαὸς ἐθυσίαζε καὶ ἐθυμίων
ἐν τοῖς ὑψηλοῖς.

ε. Καὶ ἐγένετο ὅτε κατίσχυσεν ἡ
βασιλεία ἐν χειρὶ αὐτοῦ, καὶ ἐπάταξε
τοὺς δούλους αὐτοῦ τοὺς πατάξαντας τὸν
ϛ. πατέρα αὐτοῦ. Καὶ τοὺς υἱοὺς τῶν πα-
ταξάντων οὐκ ἐθανάτωσε, καθὼς γέ-
Z γραπται ἐν βιβλίῳ νόμων Μωϋσῆ, ὡς ἐνετείλατο Κύριος, λέγων, οὐκ ἀποθανοῦνται πατέρες ὑπὲρ υἱῶν, καὶ οἱ υἱοὶ οὐκ ἀποθανοῦνται ὑπὲρ πατέρων, ὅτι ἀλλ' ἢ ἕκαστος ἐν ταῖς ἁμαρτίαις αὐτοῦ ἀποθανεῖται.

** ΙΩΣΗΠΟΥ. Παρελθὼν ἐπὶ τὰ πράγματα καὶ τὴν ἀρχήν, ἔγνω δεῖν πρῶτον Ἰωάσῳ τιμωρῆσαι τῷ πατρί, καὶ τοὺς
H ἐπιθεμένους αὐτῷ φίλους κολάσαι. καὶ τούτους

(1) Ἀξιωθείς, ἢ, ἠξιώθη. τὸ γάρ, ἀξιωθέντα, σόλοικον.
(2) Τό, μετεμελήθη, ἐν οὐδεμιᾷ κεῖται ἐκδόσει, οὐδὲ ἐν τῇ Ἑβραϊκῇ.
(3) Ταῖς δέκα. ἡ ἐν Χαλ. ἐκδ.
(4) Οὐχ ὡς Δαβίδ. αἱ εἰρημ. ἐκδόσ.

τȣς μὲν συλλαβὼν ἅπαντας ἐφόνευσε· τȣς A
δὲ παῖδας αὐτῶν ȣδὲν εἰργάσατο δεινὸν,
ἀκόλȣθα ποιῶν τοῖς Μωϋσέως νόμοις, ὃς
ȣκ ἐδικαίωσε διὰ πατέρων ἁμαρτίας τέκ-
να κολάζειν.

ζ. Αὐτὸς ἐπάταξε τὸν Ἐδὼμ ἐν
Γέμελα (1) δέκα χιλιάδας, ϗ συνέ-
λαβε τὴν πέτραν ἐν τῷ πολέμῳ, καὶ
ἐκάλεσε τὸ ὄνομα αὐτῆς Ἰεθοὴλ ἕως
τῆς ἡμέρας ταύτης. B

✱✱ ΙΩΣΗΠΟΥ. Στρατιὰν ἐπιλέξας
ἐκ τῆς Ἰȣδα Φυλῆς καὶ Βενιαμίτιδος τῶν
ἐν ἀκμῇ ϗ περὶ εἴκοσι ἔτη γεγονότων, καὶ
συναθροίσας ὡς τριάκοντα μυριάδας, τȣ-
των ἑκατοντάρχȣς κατέστησε. Καὶ μετ᾽ ὀλίγα.
Διεγνώκει γὰρ τοῖς Ἀμαληκιτῶν ἔθνεσι,
καὶ Ἰδȣμαίων, καὶ Γαβαλιτῶν ἐπιστρατεύ-
σασθαι. Καὶ μετ᾽ ὀλίγα. Αὐτὸς δὲ μετὰ τῆς
οἰκείας δυνάμεως ἐπὶ τὰ προειρημένα τῶν
ἐθνῶν ἐστράτευσε. καὶ κρατήσας αὐτῶν τῇ Γ
μάχῃ, μυρίȣς μὲν ἀπέκτεινε, (2) τοσȣ́τȣς
δὲ ζῶντας ἔλαβεν, ȣ̔̀ς ἐπὶ τὴν μεγάλην
ἀγαγὼν πέτραν, (3) ἥπερ ἐστὶν ἐπὶ τὴν
Ἀραβίαν, ἀπ᾽ αὐτῆς κατεκρήμνισεν· ἀπή-
γαγέ τε λείαν πολλὴν ϗ πλȣ̃τον ἄφθονον
ἐκ τȣ́των ἐθνῶν. (4)

η. Τότε ἀπέστειλεν Ἀμεσίας ἀγ-
...ȣς πρὸς Ἰωὰς υἱὸν Ἰηȣ̀ βασιλέως
...ήλ, λέγων, δεῦρο ὀφθῶμεν προ- Δ
...ις.

Καὶ ἀπέστειλεν Ἰωὰς βασιλεὺς
...ὴλ πρὸς Ἀμεσσίαν βασιλέα Ἰȣ-
...λέγων, ὁ ἄκαν ὁ ἐν τῷ Λιβάνῳ
...στειλε πρὸς τὴν κέδρον τὴν ἐν τῷ
...βάνῳ, λέγων, δὸς τὴν θυγατέρα
σȣ τῷ υἱῷ μȣ εἰς γυναῖκα. καὶ διῆλ-
θον τὰ θηρία τȣ̃ ἀγρȣ̃ τὰ ἐν τῷ Λι-
βάνῳ, καὶ συνεπάτησαν τὴν ἄκανα. E
ι. Τύπτων ἐπάταξας τὴν Ἰδȣμαίαν, ϗ
ἐπῆρέ σε ἡ καρδία σȣ, ἐνδοξάσθητι
καθήμενος ἐν τῷ οἴκῳ σȣ, ἵνα τί ἐρί-
ζεις ἐν κακίᾳ σȣ; καὶ πεσῇ σὺ καὶ Ἰȣ-
ια. δας μετὰ σȣ̃. Καὶ ȣκ ἤκȣσεν Ἀμεσ-
σίας. καὶ ἀνέβη Ἰωὰς βασιλεὺς Ἰσ-
ραὴλ, ϗ ὤφθησαν προσώποις αὐτὸς
καὶ Ἀμεσσίας (5) ὁ βασιλεὺς Ἰȣδα ἐν
ιβ. Βαιθσαμὺς τῇ (6) Ἰȣδα. Καὶ ἔπται-
σεν Ἰȣδας ἀπὸ προσώπȣ Ἰσραὴλ, καὶ
ἔφυγεν ἀνὴρ εἰς τὸ σκήνωμα αὐτȣ̃.
ιγ. Καὶ τὸν Ἀμεσσίαν υἱὸν Ἰωὰς υἱὸν (7)
Ὀχοζίȣ βασιλέα Ἰȣδα συνέλαβεν
Ἰωὰς υἱὸς Ἰωάχαζ βασιλεὺς Ἰσραὴλ
ἐν Βαιθσαμύς· καὶ ἦλθεν εἰς Ἱερȣσα-

A λὴμ, καὶ διέκοψε τείχη Ἱερȣσαλὴμ ἐν
τῇ πύλῃ Ἐφραὶμ ἕως πύλης τῶν γω-
ιδ. νιῶν τετρακοσίȣς πήχεις. Καὶ ἔλα-
βε τὸ χρυσίον καὶ τὸ ἀργύριον, καὶ
πάντα τὰ σκεύη τὰ εὑρεθέντα ἐν οἴ-
κῳ Κυρίȣ, καὶ ἐν θησαυροῖς οἴκȣ τȣ̃
βασιλέως, ϗ τȣ̀ς υἱȣ̀ς τῶν συμμίξεων,
καὶ ἀπέστρεψεν εἰς Σαμάρειαν.

B ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τί δηλοῖ ἡ παρα-
βολὴ τȣ̃ ἄκαν καὶ τῆς κέδρȣ; Ὁ Ἀμεσσίας
τῶν Ἰδȣμαίων πολέμȣ νόμῳ κρατήσας, ἤλ-
πισε καὶ τὰς δέκα νικήσειν Φυλὰς, καὶ τὸν
ἐκεῖνον εἰς μάχην προȣκαλέσατο βασιλέα.
ἐκεῖνος δὲ ἀντεδήλωσεν, ὡς ὁ ἄκαν τῇ κέ-
δρῳ δεδήλωκε κατεγγυῆσαι τῷ παιδὶ τὴν
θυγατέρα. τῶν δὲ περὶ τȣ̃ γάμȣ γινομέ-
νων λόγων, τὰ θηρία διελθόντα, συνεπά-
τησε τὸν ἄκαν καὶ διέφθειρε. διὰ δὲ τȣ́-
Γ των τῶν λόγων ἀπείκασε μὲν ἑαυτὸν τῇ
κέδρῳ, τὸν δὲ Ἀμεσσίαν τῷ ἄκαν· τȣ̃το
» γὰρ δηλοῖ τὰ ἑξῆς. πατάξας γάρ φησιν
» ἐπάταξας τὴν Ἰδȣμαίαν, καὶ ἐπῆρέ σε ἡ
» καρδία σȣ ἡ βαρεῖα. ἐνδοξάσθητι καθήμε-
» νος ἐν τῷ οἴκῳ σȣ. καὶ διατὶ (8) ἐρίζεις ἐν
» κακίᾳ; καὶ πεσῇ σὺ καὶ Ἰȣδας μετὰ σȣ̃.
αὕτη δὲ ἡ παραίνεσις ἀλαζονικὴ μὲν, συμ-
φέρȣσα δὲ ὡς (9) τὸ τέλος ἔδειξε. μὴ πει-
σθεὶς γὰρ ὁ Ἀμεσσίας παρετάξατο μὲν, ἡτ-
Δ τηθεὶς δὲ, ϗ γενόμενος δοριάλωτος, εἰσα-
γαγεῖν τὸν πολέμιον εἰς τὴν πόλιν τὴν βα-
σιλικὴν ἠνάγκασαι. ὁ δὲ τῶν Ἱεροσολύμων
γενόμενος ἐγκρατὴς, τετρακοσίȣς πήχεις
τῶν περιβόλων κατέλυσε, καὶ τȣ̀ς θείȣς
θησαυρȣ̀ς, ϗ τȣ̀ς βασιλικȣ̀ς συλήσας ἀνέ-
στρεψεν. ἔλαβε δὲ καὶ τȣ̀ς υἱȣ̀ς τῶν συμ-
μίξεων τῶν βδελυγμάτων, τȣτέστι τȣ̀ς τῶν
ψευδωνύμων Θεῶν ἱερέας.

ιε. Καὶ τὰ λοιπὰ τῶν λόγων Ἰωὰς
E ὅσα ἐποίησεν ἐν δυναστείᾳ αὐτȣ̃, ἃ
ἐπολέμησε μετὰ Ἀμεσσίȣ βασιλέως
Ἰȣδα, ȣχὶ ταῦτα γεγραμμένα ἐπὶ
βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασι-
ις. λεῦσιν Ἰσραήλ; Καὶ ἐκοιμήθη Ἰωὰς
μετὰ τῶν πατέρων αὐτȣ̃, καὶ ἐτάφη
ἐν Σαμαρείᾳ μετὰ τῶν βασιλέων Ἰσ-
ραήλ. ϗ ἐβασίλευσεν Ἱεροβοὰμ υἱὸς
ιζ. αὐτȣ̃ ἀντ᾽ αὐτȣ̃. Καὶ ἔζησεν Ἀμεσ-
Z σίας υἱὸς Ἰωὰς βασιλεὺς Ἰȣδα μετὰ
τὸ ἀποθανεῖν Ἰωὰς υἱὸν Ἰωάχαζ βα-
σιλέα Ἰσραὴλ, πεντεκαίδεκα ἔτη.
ιη. Καὶ τὰ λοιπὰ τῶν λόγων Ἀμεσσίȣ ϗ
πάντα ὅσα ἐποίησεν, ȣχὶ ταῦτα γε-
γραμμένα ἐν τῷ βιβλίῳ λόγων τῶν
ἡμερῶν τοῖς βασιλεῦσιν Ἰȣδα;

ιθ. Καὶ

(1) Γεμελέθ. αἱ αὐτ. (2) Ὅρα τὸ 25. κεφ. τῆς 2. τῶν Παραλ.
(3) Ἐκ ταύτης τῆς Πέτρας, τὴν Πετραίαν φασὶν (ὁ Γρότιος καὶ ὁ Οὐδσόνιος. ἐν σελ. 495. τȣ̃ 1. Τόμ. τȣ̃ Ἰωσήπ. περὶ Ἰȣδαϊκ. ἀρχ.) προσαγορευθῆναι Ἀραβίαν. (4) Ἐλλειπές. ἀνάγν. δὲ ἐκ τȣ́των τῶν ἐθνῶν.
(5) Ἀμεσσίας βασ. αἱ αὐτ. (6) Τῇ τȣ̃ Ἰȣδα. αἱ αὐτ. (7) Υἱȣ̃. αἱ αὐτ.
(8) Ἵνα τί. ἡ ἐν Χάλ. ἔκδ. (9) Καὶ τὸ τέλος ἐδίδαξε. ἡ αὐτ.

ιθ. Καὶ συνεστράφησαν ἐπ᾽ αὐτὸν σύστρεμμα ἐν Ἱερουσαλὴμ, καὶ ἔφυγεν εἰς Λάχεις· (1) καὶ ἀπέστειλεν (2) εἰς Λάχεις καὶ ἐθανάτωσαν αὐτὸν ἐκεῖ.
κ. Καὶ ἦραν αὐτὸν ἐφ᾽ ἵππων, καὶ ἐτάφη ἐν Ἱερουσαλὴμ μετὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δαβίδ.

** ΙΩΣΗΠΟΥ. Μετὰ ταῦτα ἐπιβουλευθεὶς ὑπὸ τῶν φίλων, φεύγει μὲν εἰς Λάχισαν πόλιν, ἀναιρεῖται δὲ ὑπὸ τῶν ἐπιβούλων, πεμψάντων ἐκεῖ τοὺς ἀποκτενοῦντας αὐτόν. καὶ τὸ μὲν σῶμα κομίσαντες εἰς Ἱεροσόλυμα, βασιλικῶς ἐκήδευσαν. κατέστρεψε δὲ οὕτως Ἀμασίας τὸν βίον διὰ τὸν νεωτερισμὸν καὶ τὴν πρὸς τὸν Θεὸν ὀλιγωρίαν, βιώσας μὲν ἔτη τέσσαρα καὶ πεντήκοντα, βασιλεύσας δ᾽ ἐννέα καὶ εἴκοσι.

κα. Καὶ ἔλαβε πᾶς ὁ λαὸς Ἰούδα τὸν Ἀζαρίαν, καὶ αὐτὸς υἱὸς ἑκκαίδεκα ἐτῶν, καὶ ἐβασίλευσεν αὐτὸν ἀντὶ τοῦ πατρὸς αὐτοῦ Ἀμεσσίου.

κβ. Αὐτὸς ᾠκοδόμησε τὴν Αἰλὼθ, καὶ ἀπέστρεψεν (3) αὐτὴν τῷ Ἰούδα μετὰ τὸ κοιμηθῆναι (4) Ἀμεσσίαν τὸν βασιλέα μετὰ τῶν πατέρων αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ποία πόλις Αἰλώμ; (5) Ἣν νῦν ὀνομάζουσιν Ἀϊλά. (6) κεῖται δὲ ἐν τῷ στόματι τοῦ ἀραβικοῦ κόλπου, ὃν ἐρυθρὰν προσαγορεύουσι θάλασσαν.

κγ. Ἐν ἔτει πεντεκαιδεκάτῳ τοῦ Ἀμεσσίου υἱοῦ Ἰωὰς βασιλέως Ἰούδα ἐβασίλευσεν Ἱεροβοὰμ υἱὸς Ἰωὰς ἐπὶ Ἰσραὴλ ἐν Σαμαρείᾳ τεσσαράκοντα
κδ. καὶ ἓν ἔτος. Καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυρίου· οὐκ ἀπέστη ἀπὸ πασῶν τῶν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ Ναβὰτ ὃς ἐξήμαρτε τὸν Ἰσραήλ.

κε. Αὐτὸς ἀπέστησε τὸ ὅριον Ἰσραὴλ ἀπὸ εἰσόδου Ἡμὰθ (7) ἕως τῆς θαλάσσης τῆς Ἄραβα, κατὰ τὸ ῥῆμα Κυρίου Θεοῦ Ἰσραὴλ ὃς (8) ἐλάλησεν ἐν χειρὶ δούλου αὐτοῦ Ἰωνᾶ υἱοῦ Ἀμαθῆ (9) τοῦ προφήτου τοῦ ἐκ Γεθαχόφερ.

** ΙΩΣΗΠΟΥ. Οὗτος ὁ βασιλεὺς τὰ μὲν εἰς τὸν Θεὸν ὑβριστὴς καὶ παράνομος δεινὸς ἐγένετο, εἴδωλά τε σεβόμενος καὶ πολλοῖς ἀτόποις καὶ ξένοις ἐγχειρῶν ἔργοις· τῷ δὲ λαῷ τῶν Ἰσραηλιτῶν μυρίων κακῶν αἴτιος ὑπῆρχε. τούτῳ προεφήτευσέ τις Ἰωνᾶς, ὡς δεῖ πολεμήσαντα τοῖς Σύροις αὐτὸν κρατῆσαι τῆς ἐκείνων δυνάμεως, καὶ πλατῦναι τὴν αὐτοῦ βασιλείαν· τοῖς μὲν κατὰ τὴν ἄρκτον μέρεσιν ἕως Ἀμάθου πόλεως, τοῖς δὲ κατὰ τὴν μεσημβρίαν ἕως τῆς ἀσφαλτίτιδος λίμνης. τὸ γὰρ ἀρχαῖον οἱ ὅροι τῆς Χαναναίας ἦσαν οὗτοι, καθὼς ὁ στρατηγὸς Ἰησοῦς περιώρισε. στρατεύσας οὖν ἐπὶ τοὺς Σύρους ὁ Ἱεροβόαμος, καταστρέφεται πᾶσαν αὐτῶν τὴν χώραν, ὡς προεφήτευσεν Ἰωνᾶς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὴν ἐν ταῖς Βασιλείαις κειμένην προφητείαν [τοῦ Ἰωνᾶ] οὐχ εὕρομεν ἐν τῷ βιβλίῳ τοῦ Ἰωνᾶ. τὰ γὰρ κατὰ τὴν Νινευὴ ἐν ἐκείνῃ μόνῃ συνέγραψε. τούτου χάριν (10) οὐ συνέγραψε προφητείαν.

κς. Ὅτι εἶδε Κύριος τὴν ταπείνωσιν Ἰσραὴλ πικρὰν σφόδρα, καὶ ὀλιγοστοὺς συνεχομένους, καὶ ἐπανισαμέ[...]
νους (11) καὶ ἐγκαταλελειμμένους, [...]
κζ. οὐκ ἦν ὁ βοηθῶν Ἰσραήλ. Καὶ
ἐλάλησε Κύριος ἐξαλεῖψαι τὸ [...]
μα Ἰσραὴλ ὑποκάτωθεν τοῦ οὐρ[...]
καὶ ἔσωσεν αὐτοὺς διὰ χειρὸς Ἱερο[...]
κη. υἱοῦ Ἰωάς. Καὶ τὰ λοιπὰ τῶ[...]
γων Ἱεροβοὰμ καὶ πάντα ὅσα ἐπ[...]
σε, καὶ αἱ δυναστεῖαι αὐτοῦ, ὅσα ἐπ[...]
λέμησε, καὶ ὅσα ἐπέστρεψε τὴν Δαμασκὸν καὶ τὴν Αἰμὰθ τῷ Ἰούδα ἐν Ἰσραὴλ, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βα-
κθ. σιλεῦσιν ἐν Ἰσραήλ; Καὶ ἐκοιμήθη Ἱεροβοὰμ μετὰ τῶν πατέρων αὐτοῦ μετὰ βασιλέων Ἰσραὴλ, καὶ ἐβασίλευσεν Ἀζαρίας υἱὸς Ἀμεσσίου ἀντὶ τοῦ πατρὸς αὐτοῦ.

ΚΕΦ. ΙΕ.

α. Ἐν ἔτει εἰκοστῷ καὶ ἑβδόμῳ τῷ Ἱεροβοὰμ βασιλεῖ Ἰσραὴλ ἐβασίλευσεν Ἀζαρίας υἱὸς Ἀμεσσίου βασιλέως Ἰούδα.
β. Υἱὸς ἑξκαίδεκα ἐτῶν ἦν ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ πεντήκοντα δύω ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλὴμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἰεχελία ἐξ Ἱε-
γ. ρουσαλήμ. Καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφθαλμοῖς Κυρίου, κατὰ πάντα ὅσα ἐποίησεν Ἀμεσσίας ὁ πατὴρ αὐτοῦ.
δ. Πλὴν τῶν ὑψηλῶν οὐκ ἐξῆρεν, ἔτι ὁ λαὸς ἐθυσίαζε καὶ ἐθυμία ἐν τοῖς ὑψηλοῖς.

ε. Καὶ

(1) Λαχίς. αἱ εἰρημ. ἐκδόσ. (2) Ἀπέστειλαν. αἱ αὐτ. (3) Ἐπέστρεψαν. αἱ αὐτ.
(4) Κοιμηθῆναι τὸν Βασιλ. αἱ αὐτ. (5) Αἰλών. ἡ ἐν Χαλ. ἔκδ. (6) Αἰλάν. ἡ αὐτ.
(7) Αἰμάθ. αἱ αὐτ. (8) Ὁ ἐλάλ. αἱ αὐτ. (9) Ἀμαθί. αἱ αὐτ. καὶ κατωτέρ. ἐν ἐδ. 28.
(10) Χάριν ἑτέραν οὐ συνῆψε προφητείαν ἐκείνοις. ἡ αὐτ. (11) Ἐσπανισμένους. αἱ αὐτ.

ε. Καὶ ἥψατο Κύριος τοῦ βασι-
λέως, καὶ ἦν λελεπρωμένος ἕως ἡμέ-
ρας θανάτου αὐτοῦ· καὶ ἐβασίλευσεν
ἐν οἴκῳ ἀπφουσώθ. (1) καὶ Ἰωάθαν
υἱὸς τοῦ βασιλέως ἐπὶ τῷ οἴκῳ κρίνων
τὸν λαὸν τῆς γῆς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Διατὶ Ὀζίας (2) ὁ βασιλεὺς ἐλεπρώθη; Σαφέστερον τὰ κατὰ τοῦτον ἡ τῶν Παραλειπομένων ἐδίδαξε βίβλος. ἐκείνην τοίνυν ἑρμηνεύοντες, σὺν Θεῷ φάναι, τὴν αἰτίαν ἐροῦμεν. (3) τὸ δὲ, » ἐκάθητο ἐν οἴκῳ Ἀφφουσώθ, κρυφαίως οἱ Ἄλλοι (4) ἐκδεδώκασι· τουτέστιν ἔνδον ἐν θαλάμῳ ὑπὸ μηδενὸς ὁρώμενος. ἴθυνε δὲ τὴν βασιλείαν Ἰωαθὰμ ὁ υἱὸς αὐτοῦ. καὶ ταῦτα δύω καὶ πεντήκοντα τοῦ Ὀζίου βασιλεύοντος ἔτη. καὶ τοῦ πατρὸς δὲ τελευτήσαντος, αὐτὸς τῆς βασιλείας ἐγένετο κληρονόμος. καὶ τῆς μὲν ἄλλης ἀσεβείας τὸν λαὸν ἠλευθέρωσε, καὶ τοῦ θείου νεὼ τὴν πύλην τὴν ὑψηλὴν ᾠκοδόμησε. τελείαν δὲ οὐκ εἶχε τὴν εὐφημίαν. τὴν γὰρ ἐν τοῖς ὑψηλοῖς λατρείαν οὐκ ἔπαυσεν. Ἄχαζ δὲ ὁ τούτου υἱὸς τῇ τῆς ἀσεβείας ὑπερβολῇ τῶν ἄλλων ἀπέκρυψε τὴν ἀσέβειαν.

ς. Καὶ τὰ λοιπὰ τῶν λόγων Ἀζα-
[illegible]ίου καὶ πάντα ὅσα ἐποίησεν, οὐχὶ ταῦ-
[illegible] γεγραμμένα ἐπὶ βιβλίῳ λόγων
[illegible] ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;
[illegible] ἐκοιμήθη Ἀζαρίας μετὰ τῶν πα-
[illegible]ν αὐτοῦ ἐν πόλει Δαβὶδ, καὶ ἐβασί-
[illegible]εν Ἰωάθαμ υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.
[illegible] Ἐν ἔτει εἰκοστῷ (5) καὶ ὀγδόῳ τοῦ
[illegible]αρίου βασιλέως Ἰούδα ἐβασίλευ-
[illegible]εν Ἀζαρίας (6) υἱὸς Ἱεροβοὰμ ἐπὶ
θ. Ἰσραὴλ ἐν Σαμαρείᾳ ἑξάμηνον. Καὶ
ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυ-
ρίου καθὰ ἐποίησαν οἱ πατέρες αὐτοῦ·
οὐκ ἀπέστη ἀπὸ πασῶν τῶν ἁμαρτιῶν
Ἱεροβοὰμ υἱοῦ Ναβὰτ ὃς ἐξήμαρτε
ι. τὸν Ἰσραήλ. Καὶ συνεστράφησαν ἐπ᾽
αὐτὸν Σελλοὺμ υἱὸς Ἰάβεις καὶ Κεβ-
δαάμ· καὶ ἐπάταξαν αὐτὸν, καὶ ἐθα-
B νάτωσαν αὐτὸν, καὶ Σελλοὺμ ἐβασί-
λευσεν ἀντ᾽ αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ὁ τοῦ Ἱεροβοάμου παῖς Ζαχαρίας ἓξ μῆνας βασιλεύσας τῶν Ἰσραηλιτῶν, δολοφονηθεὶς ἀπέθανεν ὑπὸ φίλου τινὸς, Σελλούμου μὲν τοὔνομα, Ἰαβήσου δὲ υἱοῦ· ὃς καὶ τὴν βασιλείαν μετ᾽ αὐτὸν παραλαβὼν, οὐ πλείονα χρόνον ἡμερῶν αὐτὴν κατέσχε τριάκοντα.

Γ ια. Καὶ τὰ λοιπὰ τῶν λόγων Ἀ-
ζαρίου, ἰδοὺ ἐστι ταῦτα γεγραμμένα ἐπὶ
βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βα-
ιβ. σιλεῦσιν Ἰσραήλ. Ὁ λόγος Κυρίου
ὃν ἐλάλησε πρὸς Ἰοὺ, λέγων, υἱοὶ τέ-
ταρτοι καθήσονταί σοι ἐπὶ θρόνου Ἰσ-
ιγ. ραήλ· καὶ ἐγένετο οὕτω. Καὶ Σελ-
λοὺμ υἱὸς Ἰάβεις ἐβασίλευσεν. ἐν ἔτει
τριακοστῷ καὶ ἐννάτῳ τοῦ Ἀζαρίου βασι-
Δ λέως Ἰούδα ἐβασίλευσε Σελλοὺμ μῆ-
να ἡμερῶν ἐν Σαμαρείᾳ.
ιδ. Καὶ ἀνέβη Μαναὴμ υἱὸς Γαδδὶ
ἐκ Θερσηλὰ, (7) καὶ ἦλθεν εἰς Σα-
μάρειαν, καὶ ἐπάταξε τὸν Σελλοὺμ
υἱὸν Ἰάβεις ἐν Σαμαρείᾳ, καὶ ἐθανά-
ιε. τωσεν αὐτόν. Καὶ τὰ λοιπὰ τῶν
λόγων

(1) Ἀφφουσώθ. αἱ εἰρημ. ἐκδόσ. Ἀοφσὶφ, ἢ Ἀφουσώθ, Ἀκύλας, τῆς ἐλευθερίας. Ταῦτα ὁ Εὐσέβ. ἐν τῷ περὶ τοπικ. ὀνομ. σημαίνει δὲ ἡ λέξις κατὰ τὸν Μουνστέρ. (ἐν σελ. 2617. τοῦ προειρημ. Τόμ.) οἶκος ἐλευθέρας ἐνοικήσεως, ἢ μεμονωμένος. ὁ δὲ Ἰώσηπ. (ἐν Βιβλ. 9. κεφ. 10. περὶ Ἰουδ. ἀρχ.) φησί· καὶ χρόνον μέντινα διῆγεν ἔξω τῆς πόλεως, ἰδιώτην ἀποζῶν βίον. Τὸ δὲ, Ἰωάθαν, κατωτέρ. Ἰωάθαμ, γράφει.

(2) Ὀζίαν τὸν αὐτὸν Ἀζαρίαν καλεῖ ἡ δευτέρα τῶν Παραλειπ. βίβλ. (ἐν κεφ. 26. καὶ Ἡσαΐας ἐν κεφ. 1. καὶ 6.) ὁμοίως καὶ ὁ Ἰώσηπ. ἐν τῷ ἄρτι εἰρημ. τόπ. Φησὶ δὲ ὁ Γρότιος (ἐν σελ. 2619. τοῦ εἰρημ. Τόμ.) κατά τε μετάθεσιν καὶ παράλειψιν ἑβραϊκοῦ στοιχείου τὸν αὐτὸν καὶ Ἀζαρίαν καὶ Ὀζίαν λέγεσθαι. μήτι γε δὲ καὶ διώνυμος ἦν; καὶ κατωτέρ. δὲ ἐν ἐδ. 32. τὸν αὐτὸν καὶ Ὀχοζίαν καλεῖ.

(3) Ἀλαζονικῷ γὰρ φρονήματι χρησάμενος, ἔργον ἀρχιερατικὸν ἐπιτελέσαι τετόλμηκεν. ὡς γὰρ » κατίσχυσε, φησὶν, Ὀζίας, ὑψώθη ἡ καρδία αὐτοῦ τοῦ διαφθεῖραι, καὶ ἠδίκησεν ἐν Κυρίῳ Θεῷ αὐτοῦ, καὶ » εἰσῆλθεν εἰς τὸν ναὸν Κυρίου, τοῦ θυμιάσαι ἐπὶ τὸ θυσιαστήριον τῶν θυμιαμάτων. οὐ γὰρ ἐν τῷ βωμῷ τῶν ὁλοκαυτωμάτων τοῦτο δρᾶσαι τετόλμηκεν, ἀλλ᾽ ἔνδον ἐν τῷ ναῷ. ἀλλ᾽ οὐ παρεχώρησεν ὡς βασιλεῖ ὁ ἀρχιερεὺς, ἀλλ᾽ ἐν παῤῥησίᾳ διήλεγξεν. » εἰσῆλθε γάρ φησιν ὀπίσω αὐτοῦ Ζαχαρίας ὁ ἀρχιερεὺς, καὶ μετ᾽ αὐτοῦ » ὀγδοήκοντα ἱερεῖς, υἱοὶ δυνάμεως· καὶ ἐπέστησαν τὸν Ὀζίαν τὸν βασιλέα, καὶ εἶπον αὐτῷ· οὐ σὺ Ὀζία τοῦ » θυμιάσαι τῷ Κυρίῳ, ἀλλ᾽ ἢ τοῖς ἱερεῦσι τοῖς υἱοῖς Ἀαρὼν τοῖς ἡγιασμένοις τοῦ θυμιάσαι. ἔξελθε ἀπὸ τοῦ » ἁγιάσματος, ὅτι ἀπέστης ἀπὸ τοῦ Κυρίου· καὶ οὐκ ἔσται σοι εἰς δόξαν παρὰ Κυρίου τοῦ Θεοῦ. διώρισαι, φησὶ, παρὰ τοῦ Θεοῦ τὰ τοῖς βασιλεῦσι προσήκοντα, καὶ τὰ τοῖς ἱερεῦσιν ἁρμόττοντα. γενικὸν ἔχουσι τὸ γέρας οἱ ἱερεῖς. τί πατεῖς τὸν θεόσδοτον νόμον; τί παραβαίνεις τοὺς ὅρους; ἁρπάζων τὰ μὴ προσήκοντα, καὶ τὰ οἰκεῖα προσαπολέσεις. ἀλλ᾽ οὐ μόνον οὐκ εἶξεν, ἀλλὰ καὶ ἐχαλέπηνε πρὸς τοὺς λόγους, καὶ ἐπέμενε τῆς » ἱερουργίας κατατολμῶν. ἀλλ᾽ ἀντὶ τῆς δόξης ἀτιμίαν ἐδέξατο. ἀνέτειλε γάρ φησιν ἡ λέπρα ἐν τῷ μετώπῳ » αὐτοῦ, καὶ ἐν τῷ οἴκῳ Κυρίου ἐναντίον τῶν ἱερέων ἐπάνω τοῦ θυσιαστηρίου τῶν θυμιαμάτων. παραυτίκα δὲ οἱ ἱερεῖς τὴν θεήλατον πληγὴν θεασάμενοι, καὶ ἄκοντα αὐτὸν ἐξήλασαν τοῦ νεώ. καὶ τὰ αὐτὰ πέπονθεν Ἀδὰμ τῷ προπάτορι. καὶ γὰρ ἐκεῖνος ἐπιθυμήσας γενέσθαι Θεὸς, καὶ τὸ εἶναι εἰκὼν Θεοῦ προσαπώλεσε. καὶ οὗτος πειραθεὶς τὴν ἱερωσύνην ἁρπάσαι, καὶ τῆς βασιλείας ἐξέπεσεν. ἔνδον γὰρ ἐν τῷ θαλάμῳ ἐκάθητο τῆς ἐν τῷ μετώπῳ λέπρας τὴν ἐν τῷ πλήθει διατριβὴν καὶ παῤῥησίαν ἀπειργούσης. ἔφερε γὰρ ἐν τῷ μετώπῳ τῆς παρανομίας τὸν ἔλεγχον. Ταῦτά εἰσι τὰ τοῦ Θεοδωρίτ. εἰς τὴν 2. τῶν Παραλειπ. περὶ τοῦ Ὀζίου ὑπομνήμ.

(4) Οἱ λοιποί. ἡ ἐν Χάλ. ἔκδ.

(5) Τριακοστῷ. αἱ εἰρημ. ἐκδόσ.

(6) Ζαχαρίας. αἱ αὐτ. καὶ ὁ Ἰώσηπ. καὶ ἡ ἑβραϊκ. ἔκδ.

(7) Θαρσιλά. αἱ αὐτ.

λόγων Σελλοὺμ, καὶ ἡ συστροφὴ αὐτοῦ
ἣν συνεστράφη, ἰδοὺ εἰσι γεγραμμένα
ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς
ις. βασιλεῦσιν Ἰσραήλ. Τότε ἐπάταξε
Μαναὴμ τὴν Θερσὰ καὶ πάντα τὰ
ἐν αὐτῇ, καὶ τὰ ὅρια αὐτῆς ἀπὸ Θερ-
σιλὰ, ὅτι οὐκ ἤνοιξεν αὐτῷ, καὶ ἐπά-
ταξεν αὐτὴν, καὶ τὰς ἐν γαστρὶ ἐχού-
σας ἀνέῤῥηξεν.

** ΙΩΣΗΠΟΥ. Ὁ στρατηγὸς Μανάημος κατ᾽ ἐκεῖνον τὸν καιρὸν ὢν ἐν Θαρσῇ πόλει, καὶ τὰ περὶ τὸν Ζαχαρίαν ἀκούσας, ἄρας μετὰ πάσης τῆς στρατιᾶς ἧκεν εἰς Σαμάρειαν, καὶ συμβαλὼν εἰς μάχην ἀναιρεῖ τὸν Σέλλουμον· καὶ βασιλέα καταστήσας ἑαυτὸν, ἐκεῖθεν εἰς Θαψὰν παραγίνεται πόλιν. οἱ δ᾽ ἐν αὐτῇ τὰς πύλας μοχλῷ κλείσαντες, οὐκ εἰσεδέξαντο τὸν βασιλέα. ὁ δ᾽ ἀμυνόμενος αὐτοὺς, τὴν πέριξ ἐδῄωσε χώραν, καὶ τὴν πόλιν κατὰ κράτος λαμβάνει πολιορκίᾳ· φέρων τε χαλεπῶς ἐπὶ τοῖς ὑπὸ τῶν Θαψιατῶν πραχθεῖσι, πάντας αὐτοὺς διεχρήσατο, μηδὲ νηπίων φειδόμενος, ὠμότητος ὑπερβολὴν οὐ καταλιπὼν οὐδὲ ἀγριότητος. ἃ γὰρ οὐδὲ τῶν ἀλλοφύλων τινὰς συγγνωστὸν διαθεῖναι γενομένους ὑποχειρίους, ταῦτα τοὺς ὁμοφύλους οὗτος εἰργάσατο. βασιλεύσας οὖν τῷ τρόπῳ τούτῳ ὁ Μανάημος ἐπ᾽ ἔτη δέκα, σκαιὸς καὶ πάντων ὠμότατος διέμεινεν.

ιζ. Ἐν ἔτει τριακοστῷ καὶ ἐννάτῳ
τῷ Ἀζαρίᾳ βασιλεῖ Ἰούδα ἐβασίλευ-
σε Μαναὴμ υἱὸς Γαδδὶ ἐπὶ Ἰσραὴλ
ιη. δέκα ἔτη ἐν Σαμαρείᾳ. Καὶ ἐποίησε
τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου, οὐκ
ἀπέστη ἀπὸ πασῶν ἁμαρτιῶν Ἱερο-
βοὰμ υἱοῦ Ναβὰτ ὃς ἐξήμαρτε τὸν
Ἰσραήλ.

ιθ. Ἐν ταῖς ἡμέραις αὐτοῦ ἀνέβη
Φουὰ βασιλεὺς Ἀσσυρίων ἐπὶ τὴν γῆν,
καὶ Μαναὴμ ἔδωκε τῷ Φουὰ χίλια τά-
λαντα ἀργυρίου εἶναι τὴν χεῖρα αὐτοῦ
κ. σὺν αὐτῷ. Καὶ ἐξήνεγκε Μαναὴμ
τὸ ἀργύριον ἐπὶ τὸν Ἰσραὴλ ἐπὶ πάν-
τα δυνατὸν ἰσχύϊ, δοῦναι τῷ βασιλεῖ
τῶν Ἀσσυρίων, πεντήκοντα σίκλους τῷ
ἀνδρὶ τῷ ἑνί. καὶ ἀπέστρεψε βασιλεὺς
Ἀσσυρίων, καὶ οὐκ ἔστη ἐκεῖ ἐν τῇ γῇ.

** ΙΩΣΗΠΟΥ. Στρατεύσαντος ἐπ᾽ αὐτὸν Φούλλου τοῦ Ἀσσυρίων βασιλέων, εἰς μὲν ἀγῶνα καὶ μάχην οὐκ ἀπήντα τοῖς Ἀσσυρίοις· πείσας δὲ χίλια τάλαντα ἀργυρίου λαβόντα ἀναχωρῆσαι, διαλύεται τὸν πόλεμον. τὸ δὲ κεφάλαιον τοῦτο συνήνεγκε τὸ πλῆθος Μαναήμῳ, πραχθὲν κατὰ κεφαλὴν δραχμὰς πεντήκοντα. τελευτήσας
H δὲ μετὰ ταῦτα, κηδεύεται μὲν ἐν Σαμαρείᾳ· καταλείπει δὲ τῆς βασιλείας τὸν υἱὸν Φακείαν διάδοχον.

A κα. Καὶ τὰ λοιπὰ τῶν λόγων Μα-
ναὴμ καὶ πάντα ὅσα ἐποίησεν, οὐχὶ
ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λό-
γων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσ-
κβ. ραήλ; Καὶ ἐκοιμήθη Μαναὴμ μετὰ
τῶν πατέρων αὐτοῦ, καὶ ἐβασίλευσε
B Φακεσίας υἱὸς αὐτοῦ ἀντ᾽ αὐτοῦ.

κγ. Ἐν ἔτει πεντηκοστῷ τοῦ Ἀζα-
ρίου βασιλέως Ἰούδα ἐβασίλευσε Φα-
κεσίας υἱὸς Μαναὴμ ἐπὶ Ἰσραὴλ ἐν
κδ. Σαμαρείᾳ (1) δέκα δύω ἔτη. Καὶ
ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς
Κυρίου, οὐκ ἀπέστη ἀπὸ ἁμαρτιῶν Ἱε-
ροβοὰμ υἱοῦ Ναβὰτ ὃς ἐξήμαρτε τὸν
κε. Ἰσραήλ. Καὶ συνεστράφη ἐπ᾽ αὐτὸν
Γ Φακεὲ υἱὸς Ῥομελίου ὁ τριστάτης αὐτοῦ,
καὶ ἐπάταξεν αὐτὸν ἐν Σαμαρείᾳ ἐναν-
τίον οἴκου τοῦ βασιλέως μετὰ τοῦ Ἀρ-
γὸβ καὶ μετὰ τοῦ Ἀριὲ, καὶ μετ᾽ αὐτοῦ
πεντήκοντα ἄνδρες ἀπὸ τῶν Γαλαα-
διτῶν, καὶ ἐθανάτωσεν αὐτὸν, καὶ
ἐβασίλευσεν ἀντ᾽ αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Τῇ τοῦ πατρὸς κα[...]
Δ κολουθήσας ὠμότητι, δυσὶν ἔτεσι μόνοι[ς ...]
ξεν. ἔπειτα δολοφονηθεὶς ἐν συμποσί[ῳ ...]
τὰ φίλων ἀπέθανε, Φακεέ τινος, ὃς ἦ[ν χι-]
λίαρχος, ἐπιβουλεύσαντος αὐτῷ, π[...]
δὲ Ῥομελίου.

κς. Καὶ τὰ λοιπὰ τῶν λόγων [Φα-]
κεσίου καὶ πάντα ὅσα ἐποίησεν, ἰδοὺ εἰ[σι]
γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν
ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ.

E κζ. Ἐν ἔτει πεντηκοστῷ (2) δευτέρῳ
τοῦ Ἀζαρίου βασιλέως Ἰούδα ἐβασί-
λευσε Φακεὲ υἱὸς Ῥομελίου ἐν Σαμα-
κη. ρείᾳ εἴκοσι ἔτη. Καὶ ἐποίησε τὸ πο-
νηρὸν ἐν ὀφθαλμοῖς Κυρίου, οὐκ ἀπέστη
ἀπὸ πασῶν ἁμαρτιῶν Ἱεροβοὰμ υἱοῦ
κθ. Ναβὰτ ὃς ἐξήμαρτε τὸν Ἰσραήλ. Ἐν
ταῖς ἡμέραις Φακεὲ βασιλέως Ἰσ-
Z ραὴλ ἦλθε Θεγλαθφασὰρ (3) βασι-
λεὺς Ἀσσυρίων, καὶ ἔλαβε τὴν Ἀϊὰν (4)
καὶ τὴν Ἄβελ καὶ Θαμααχὰ καὶ τὴν
Ἀχὼρ καὶ τὴν Κένεζ καὶ τὴν Ἀσὼρ
καὶ τὴν Γαλαὰν καὶ τὴν Γαλιλαίαν
πᾶσαν γῆν Νεφθαλεὶμ, (5) καὶ ἀπώ-
κισεν αὐτοὺς εἰς Ἀσσυρίους.

** ΙΩΣΗΠΟΥ. Κατασχὼν ὁ Φακέας τὴν ἀρχὴν ἔτεσιν εἴκοσι, ἀσεβής τε ἦν καὶ
H παράνομος. ὁ δὲ τῶν Ἀσσυρίων βασιλεὺς, Θεγλα-

(1) Ἐν Σαμαρείᾳ δύω ἔτη. αἱ αὐτ. καὶ ὁ Ἰώσηπ. καὶ ἡ Ἑβρ. ἔκδ. (2) Πεντηκοστῷ καὶ δευτ. αἱ αὐτ.
(3) Θαλγαθφελλασάρ. αἱ αὐτ. Θεγλαθ Φαλλασάρ. ἐν ἐδ. ζ΄, καὶ ί. τοῦ ἑξῆς κεφ. καὶ ἐν ταῖς εἰρημ. σημ.
(4) Αἰν καὶ τὴν Ἀβὲλ καὶ τὴν Θαμααχὰ, καὶ τὴν Ἀνιὼχ καὶ τὴν Κενέζ. αἱ αὐτ. (5) Νεφθαλί. αἱ αὐτ.

Θεγλαφαλάσαρ τοὔνομα, ἐπιστρατευσάμενος τοῖς Ἰσραηλίταις καὶ τὴν Γαλααδῖτιν ἅπασαν καταστρεψάμενος, καὶ τὴν πέραν τοῦ Ἰορδάνου χώραν, καὶ τὴν πρὸς αὐτὴν τὴν Γαλιλαίαν καλουμένην, καὶ Κύδισαν καὶ Ἄσωρα, καὶ τοὺς οἰκήτορας αἰχμαλωτίσας, μετέστησεν εἰς τὴν αὐτοῦ βασιλείαν.

λ. Καὶ συνέστρεψε σύστρεμμα Ὠσηὲ υἱὸς Ἠλὰ ἐπὶ Φακεὲ υἱὸν Ῥομελίου, καὶ ἐπάταξεν αὐτὸν, καὶ ἐθανάτωσεν αὐτὸν, καὶ ἐβασίλευσεν ἀντ' αὐτοῦ ἐν ἔτει εἰκοστῷ Ἰωάθαμ υἱοῦ Ὀχοζίου.

** ΙΩΣΗΠΟΥ. Ἀπέθανεν ὑπὸ τὸν αὐτὸν καιρὸν καὶ ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς Φακέας, ἐπιβουλεύσαντος αὐτῷ φίλου τινὸς Ὠσήου τοὔνομα.

λα. Καὶ τὰ λοιπὰ τῶν λόγων Φακεὲ καὶ πάντα ὅσα ἐποίησεν, ἰδοὺ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰσραήλ.

λβ. Ἐν ἔτει δευτέρῳ Φακεὲ υἱοῦ Ῥομελίου βασιλεῖ (1) Ἰσραὴλ ἐβασίλευσεν Ἰωάθαμ υἱὸς Ὀχοζίου βασιλέως Ἰούδα. Υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν [illegible] τῷ βασιλεύειν αὐτὸν καὶ ἑξκαίδεκα [illegible] ἐβασίλευσεν ἐν Ἱερουσαλὴμ, καὶ [illegible]α τῇ μητρὶ αὐτοῦ Ἱεροὺς θυγάτηρ [illegible]ώκ. Καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφ[illegible]μοῖς Κυρίου, κατὰ πάντα ὅσα [illegible]ησεν Ἀζαρίας ὁ πατὴρ αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ἰώθαμος δὲ Ὀζία [illegible]ς ἐβασίλευσε τῆς Ἰούδα φυλῆς ἐν Ἱεροσολύμοις, ἐκ μητρὸς μὲν ἀστῆς γεγονὼς, καλουμένης δὲ Ἱεράσης. οὗτος ὁ βασιλεὺς οὐδεμιᾶς ἀρετῆς ἀπελείπετο, ἀλλ' εὐσεβὴς μὲν τὰ πρὸς τὸν Θεὸν, δίκαιος δὲ πρὸς ἀνθρώπους ὑπῆρξεν. (2) ἐπιμελητὴς δὲ τῶν κατὰ τὴν πόλιν· ὅσα γὰρ ἐπισκευῆς ἐδεῖτο καὶ κόσμου, ταῦτα φιλοτίμως ἐξειργάσατο· στοὰς μὲν τὰς ἐν τῷ ναῷ ἱδρύσας καὶ προπύλαια, τὰ δὲ καταπεπτωκότα τῶν τειχῶν ἀνέστησε, πύργους παμμεγέθεις καὶ δυσαλώτους οἰκοδομήσας. καὶ τῶν ἄλλων, εἴ τι κατὰ τὴν βασιλείαν ἠμέλητο πολλὴν ἐπιστροφὴν ἐποιεῖτο. στρατευσάμενος δὲ καὶ ἐπὶ τοὺς Ἀμμανίτας, καὶ κρατήσας αὐτῶν τῇ μάχῃ, προσέταξεν αὐτοῖς φόρους κατὰ πᾶν ἔτος αὐτῷ τελεῖν, ἑκατὸν τάλαντα, καὶ σίτου κόρους μυρίους, τοὺς αὐτοὺς δὲ καὶ κριθῆς. ηὔξησε δὲ οὗτος τὴν βασιλείαν, ὥστε ἀκαταφρόνητον μὲν αὐτὴν ἐκ τῶν πολεμίων εἶναι, τοῖς δ' οἰκείοις εὐδαίμονα.

λε. Πλὴν τὰ ὑψηλὰ οὐκ ἐξῆρεν,
ἔτι ὁ λαὸς ἐθυσίαζε καὶ ἐθυμία ἐν
τοῖς ὑψηλοῖς. αὐτὸς ᾠκοδόμησε τὴν
λϛ. πύλην οἴκου Κυρίου τὴν ἐπάνω. Καὶ
τὰ λοιπὰ τῶν λόγων Ἰωάθαμ καὶ
πάντα ὅσα ἐποίησεν, οὐχὶ ταῦτα γε-
γραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν
λζ. ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; Ἐν
ταῖς ἡμέραις ἐκείναις ἤρξατο Κύριος
ἐξαποστέλλειν ἐν Ἰούδα τὸν Ῥαασσὼν
βασιλέα Συρίας, καὶ τὸν Φακεὲ υἱὸν
λη. Ῥομελίου. Καὶ ἐκοιμήθη Ἰωάθαμ με-
τὰ τῶν πατέρων αὐτοῦ ἐν πόλει Δα-
βὶδ τοῦ πατρὸς αὐτοῦ. καὶ ἐβασίλευ-
σεν Ἄχαζ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

ΚΕΦ. ΙϚ.

α. Ἐν ἔτει ἑπτὰ καὶ δεκάτῳ Φα-
κεὲ υἱοῦ Ῥομελίου ἐβασί-
λευσεν Ἄχαζ υἱὸς Ἰωά-
β. θαμ βασιλέως Ἰούδα. Υἱὸς εἴκοσι
ἐτῶν ἦν Ἄχαζ ἐν τῷ βασιλεύειν αὐ-
τὸν, καὶ ἑξκαίδεκα ἔτη ἐβασίλευσεν
ἐν Ἱερουσαλήμ. καὶ οὐκ ἐποίησε τὸ εὐ-
θὲς ἐν ὀφθαλμοῖς Κυρίου τοῦ Θεοῦ αὐ-
τοῦ πιστῶς, ὡς Δαβὶδ ὁ πατὴρ αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ὁ Ἰώθαμος μετήλλαξεν, ἔτη βιώσας ἓν καὶ τεσσαράκοντα, βασιλεύσας δ' ἐξ αὐτῶν ἑκκαίδεκα. θάπτεται δ' ἐν ταῖς βασιλικαῖς θήκαις. ἔρχεται δ' εἰς τὸν υἱὸν αὐτοῦ Ἀχάζην ἡ βασιλεία· ὃς ἀσεβέστατος εἰς τὸν Θεὸν γενόμενος, καὶ τοὺς πατρίους παραβὰς νόμους, τοὺς Ἰσραηλιτῶν βασιλέας ἐμιμήσατο, βωμοὺς ἐν Ἱεροσολύμοις ἀναστήσας, καὶ θύων ἐπ' αὐτῶν τοῖς εἰδώλοις, οἷς καὶ ἴδιον ὡλοκαύτωσε παῖδα, κατὰ τὰ Χαναναίων ἔθη. καὶ τούτοις ἄλλα παραπλήσια διεπράσσετο.

γ. Καὶ ἐπορεύθη ἐν ὁδῷ Ἱεροβοὰμ υἱοῦ Ναβὰτ βασιλέως Ἰσραὴλ, καίγε τὸν υἱὸν αὐτοῦ διῆγεν ἐν πυρὶ, κατὰ τὰ βδελύγματα τῶν ἐθνῶν ὧν ἐξῆρε Κύριος ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, „διῆγε τοὺς υἱοὺς αὐτοῦ ἐν πυρί. Ὁ μὲν Ἰώσηπος ἔφη, καὶ τὸν (3) αὐτοῦ υἱὸν ὡλοκαύτωσε τῷ Βαάλ. ἐγὼ δὲ οἶμαι τὸ μέχρις ἡμῶν φθάσαν τῆς πλάνης ἔθος (4) τὸν λόγον αἰνίττεσθαι. εἶδον γὰρ ἐν ταῖς πόλεσιν ἅπαξ τοῦ ἔτους ἐν ταῖς πλατείαις ἁπτομένας πυρὰς, καὶ ταύτας τινὰς ὑπεραλλομένους, καὶ πηδῶντας, οὐ μόνον παῖδας, ἀλλὰ καὶ ἄνδρας

(1) Βασιλέως. ἐν ταῖς εἰρημ. σημειώσ. (2) Τὰ ἑπόμ. ἐν τῷ 27. κεφ. τῆς 2. τῶν Παραλειπ. κεῖται.
(3) Τὸν ἕνα αὐτῶν τῶν υἱέων ὁλοκαυτῶσαι τῷ Βά. ἡ ἐν Χάλ. ἔκδ. (4) Εἶδος. ἡ αὐτ.

A δρας. τὰ δέ γε βρέφη παρὰ τῶν μητέρων παραφερόμενα διὰ τῆς φλογός. ἐδόκει δὲ τοῦτο ἀποτροπιασμός τις εἶναι καὶ κάθαρσις. ταύτην οἶμαι γεγενῆσθαι καὶ τοῦ Ἄχαζ τὴν κατηγορίαν.

δ. Καὶ ἐθυσίαζε καὶ ἐθυμία ἐν τοῖς
ὑψηλοῖς, καὶ ἐπὶ τῶν βουνῶν, καὶ ὑπο-
κάτω παντὸς ξύλου ἀλσώδους.

ε. Τότε ἀνέβη Ῥαασσὼν βασιλεὺς
B Συρίας καὶ Φακεὲ υἱὸς Ῥομελίου βα-
σιλεὺς Ἰσραὴλ εἰς Ἱερουσαλὴμ εἰς πό-
λεμον, καὶ ἐπολιόρκουν ἐπὶ Ἄχαζ, καὶ
ϛ. οὐκ ἠδυνάντο πολεμεῖν. Ἐν τῷ καιρῷ
ἐκείνῳ ἐπέστρεψε Ῥαασσὼν βασιλεὺς
Συρίας τὴν Αἰλὰμ τῇ Συρίᾳ, καὶ ἐξέ-
βαλε τοὺς Ἰουδαίους ἐξ Αἰλὰμ, καὶ Ἰδου-
μαῖοι ἦλθον εἰς Αἰλὰμ, καὶ κατῴκη-
Γ σαν ἐκεῖ ἕως τῆς ἡμέρας ταύτης.

∗∗ ΙΩΣΗΠΟΥ. Ἐστράτευσεν ἐπ' αὐτὸν ὁ τῶν Σύρων καὶ Δαμασκηνῶν βασιλεὺς Ἀράσης, καὶ Φακέας ὁ τῶν Ἰσραηλιτῶν· φίλοι γὰρ ἦσαν· καὶ συνελάσαντες αὐτὸν εἰς Ἱεροσόλυμα, ἐπὶ πολὺν ἐπολιόρκουν χρόνον διὰ τὴν τῶν τειχῶν ὀχυρότητα μηδὲν ἀνύοντες, ὁ δὲ τῶν Σύρων βασιλεὺς λαβὼν τὴν πρὸς τῇ ἐρυθρᾷ θαλάσσῃ πόλιν Αἰλὰθ, καὶ τοὺς ἐνοικοῦντας
Δ ἀποκλείνας, ἐγκατῴκισεν αὐτῇ Σύρους.

ζ. Καὶ ἀπέστειλεν Ἄχαζ ἀγγέλους
πρὸς Θεγλὰθ Φαλλασὰρ βασιλέα
Ἀσσυρίων, λέγων, δοῦλός σου καὶ υἱός σου
ἐγὼ, ἀνάβηθι, καὶ σῶσόν με ἐκ χει-
ρὸς βασιλέως Συρίας, καὶ ἐκ χειρὸς
βασιλέως Ἰσραὴλ, τῶν ἐπανισταμέ-
η. νων ἐπ' ἐμέ. Καὶ ἔλαβεν Ἄχαζ τὸ
E ἀργύριον καὶ τὸ χρυσίον τὸ εὑρεθὲν
ἐν θησαυροῖς οἴκου Κυρίου καὶ οἴκου τοῦ
βασιλέως, καὶ ἀπέστειλε τῷ βασιλεῖ
θ. δῶρα. Καὶ ἤκουσεν αὐτοῦ βασιλεὺς
Ἀσσυρίων· καὶ ἀνέβη βασιλεὺς Ἀσ-
συρίων εἰς Δαμασκὸν, καὶ ἔλαβεν (1)
αὐτὴν, καὶ ἀπῴκισεν αὐτὴν, καὶ τὸν
Ῥαασσὼν ἐθανάτωσε.

∗∗ ΙΩΣΗΠΟΥ. Ἀχάζης ὁ βασιλεὺς
Z ταῦτα παθὼν ὑπὸ τῶν Ἰσραηλιτῶν, πέμψας πρὸς τὸν τῶν Ἀσσυρίων βασιλέα Θεγλαφαλασσάρην, συμμαχίαν αὐτῷ παρασχεῖν παρεκάλει πρὸς τὸν πόλεμον τὸν πρὸς τοὺς Ἰσραηλίτας καὶ Σύρους καὶ Δαμασκηνοὺς, χρήματα πολλὰ δώσειν ὑπισχνούμενος. ἔπεμψε δ' αὐτῷ καὶ λαμπρὰς δωρεάς. ὁ δὲ, τῶν πρέσβεων ἀφικομένων πρὸς αὐτὸν, ἧκε σύμμαχος Ἀχάζῃ. καὶ στρατεύσας ἐπὶ τοὺς Σύρους, τήν τε χώραν αὐτῶν ἐπόρθησε, καὶ τὴν Δαμασκὸν κατὰ κρά-

H

A τος εἷλε, καὶ τὸν βασιλέα Ἀράσην ἀπέκλεινε. τοὺς δὲ Δαμασκηνοὺς ἀπῴκισεν εἰς τὴν ἄνω Μηδείαν. καὶ ἐκ τῶν ἐθνῶν τῶν Ἀσσυρίων μεταστήσας τινὰς, εἰς τὴν Δαμασκὸν κατῴκισε.

ι. Καὶ ἐπορεύθη (2) Ἄχαζ εἰς ἀ-
πάντησιν τῷ Θεγλὰθ Φαλλασὰρ
βασιλεῖ Ἀσσυρίων εἰς Δαμασκόν. καὶ
εἶδε τὸ θυσιαστήριον ἐν Δαμασκῷ· καὶ
B ἀπέστειλεν ὁ βασιλεὺς Ἄχαζ πρὸς
Οὐρίαν τὸν ἱερέα τὸ ὁμοίωμα τοῦ θυ-
σιαστηρίου καὶ τὸν ῥυθμὸν αὐτοῦ εἰς πᾶ-
ια. σαν ποίησιν αὐτοῦ. Καὶ ᾠκοδόμησεν
Οὐρίας ὁ ἱερεὺς τὸ θυσιαστήριον, κα-
τὰ πάντα ὅσα ἀπέστειλεν ὁ βασιλεὺς
Ἄχαζ ἐκ Δαμασκοῦ.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Τίνι τὸ θυσιαστήριον ἐπέταξεν [ὁ] Ἄχαζ οἰκοδομηθῆναι ἐν τῷ
Γ θείῳ νεῷ; Οὐκ οἶμαι αὐτὸ τῷ τῶν ὅλων κατεσκευακέναι Θεῷ, ἀλλὰ τινὶ τῶν ψευδωνύμων Θεῶν. τοῦτο γὰρ ἡ τῶν Παραλειπομένων αἰνίττεται βίβλος. λέγει δὲ οὕτω·
» καὶ προσέθηκεν Ἄχαζ ἀποστῆναι ἀπὸ τοῦ 2. Παραλ. 28.
» Κυρίου, καὶ εἶπεν ὁ βασιλεὺς Ἄχαζ, ζητήσω 22, 23, 24.
» τοὺς Θεοὺς Δαμασκοῦ τοὺς τύπτοντάς με· καὶ
» εἶπεν, ὅτι Θεοὶ βασιλέως Συρίας κατισχύου-
» σιν αὐτούς. τοίνυν θύσω αὐτοῖς, καὶ ἀντ
» λήψονταί μου. καὶ ἐγένοντο αὐτῷ αὐτο
Δ » σκῶλον, καὶ παντὶ Ἰσραήλ. καὶ τὰ
» δὲ τοῦτο δηλοῖ. ἀπέστησεν Ἄχαζ τὰ
» οἴκου Κυρίου, καὶ κατέκοψεν αὐτὰ, καὶ
» κλεισε τὰς θύρας οἴκου Κυρίου, καὶ ἐπο
» ἑαυτῷ θυσιαστήριον ἐν πάσῃ γωνίᾳ
σαλήμ. ταῦτα καὶ τούτοις ἀκόλουθα
πράττετο. καὶ αὐτὴ δὲ ἡ τῶν Βασιλ
» βίβλος τοῦτο σημαίνει. ἐπορεύθη γὰρ φ
» σιν ὁ βασιλεὺς Ἄχαζ ἐπὶ συνάντησιν τῷ
» Θεγλαθφαλασὰρ βασιλεῖ Ἀσσυρίων εἰς
E » Δαμασκόν. καὶ εἶδε τὸ θυσιαστήριον τὸ ἐν
» Δαμασκῷ, καὶ ἀπέστειλεν ὁ βασιλεὺς Ἄχαζ
» πρὸς Οὐρίαν τὸν ἱερέα τὸ μέτρον, καὶ τὴν
» ὁμοίωσιν, καὶ τὸν ῥυθμὸν αὐτοῦ κατὰ πᾶ-
» σαν ποίησιν αὐτοῦ.

ιβ. Καὶ εἶδεν ὁ βασιλεὺς τὸ θυ-
ιγ. σιαστήριον, καὶ ἀνέβη ἐπ' αὐτὸ, Καὶ
ἐθυμίασε τὴν ὁλοκαύτωσιν αὐτοῦ, καὶ
τὴν θυσίαν αὐτοῦ, καὶ τὴν σπονδὴν
Z αὐτοῦ, καὶ προσέχεε τὸ αἷμα τῶν εἰρηνι-
κῶν τῶν αὐτοῦ ἐπὶ τὸ θυσιαστήριον (3)
ιδ. Τὸ χαλκοῦν τὸ ἀπέναντι Κυρίου. καὶ
προσήγαγε πρὸ προσώπου οἴκου Κυρίου
καὶ ἀπὸ τοῦ ἀναμέσον τοῦ θυσιαστηρίου
καὶ ἀπὸ τοῦ ἀναμέσον τοῦ οἴκου τοῦ Κυ-
ρίου· καὶ ἔθηκεν (4) αὐτὸ ἐπὶ μηρὸν τοῦ
θυσιαστηρίου κατὰ Βοῤῥᾶν.

∗ ΘΕΟΔΩΡΙΤΟΥ. Αὐτίκα γοῦν καὶ τὸ
H χαλκοῦν θυσιαστήριον, ὃ Σολομὼν κατεσκευάκει,

(1) Συνέλαβον. αἱ αὐτ.

(2) Βασιλεὺς Ἄχαζ. αἱ αὐτ.

(3) Θυσιαστήριον. Τὸ δὲ χαλκοῦν θυσιαστήριον ὃ ἦν ἐναντίον Κυρίου, προσήγαγεν αὐτό. ἡ ἐν Κομπλ. ἔκδ. συμφώνως τῇ Ἑβρ.

(4) Ἔδειξεν. αἱ εἰρημ. ἐκδόσ.

σκοῦάκει, μετέθηκε· τὸ δὲ νεοποίητον ἐν τῷ ἐκείνου ἔθηκε τόπῳ. A

ιε. Καὶ ἐνετείλατο ὁ βασιλεὺς Ἄχαζ τῷ Οὐρίᾳ τῷ ἱερεῖ, λέγων, ἐπὶ τὸ θυσιαστήριον τὸ μέγα πρόσφερε τὴν ὁλοκαύτωσιν τὴν πρωϊνὴν καὶ τὴν θυσίαν τὴν ἑσπερινὴν, καὶ τὴν ὁλοκαύτωσιν τοῦ βασιλέως καὶ τὴν θυσίαν αὐτοῦ, καὶ τὴν ὁλοκαύτωσιν παντὸς τοῦ λαοῦ, καὶ τὴν θυσίαν αὐτῶν καὶ τὴν σπονδὴν αὐτῶν, καὶ πᾶν αἷμα ὁλοκαυτώσεως, καὶ πᾶν αἷμα θυσίας ἐπ' αὐτῷ ἐκχεεῖς· καὶ τὸ θυσιαστήριον
ις. τὸ χαλκοῦν ἔσται μοι εἰς τὸ πρωΐ. Καὶ ἐποίησεν Οὐρίας ὁ ἱερεὺς κατὰ πάντα ὅσα ἐνετείλατο αὐτῷ Ἄχαζ.

ιζ. Καὶ συνέκοψεν ὁ βασιλεὺς Ἄχαζ τὰ συγκλείσματα τῶν μεχωνὼθ, καὶ μετῆρεν ἀπ' αὐτῶν τὸν λουτῆρα, καὶ τὴν θάλασσαν καθεῖλεν ἀπὸ τῶν βοῶν τῶν χαλκῶν (1) τῶν δώδεκα τῶν ὑποκάτω αὐτῆς, καὶ ἔδωκεν αὐτὴν ἐπὶ βάσιν λιθίνην. Γ

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὅτι δὲ καὶ αἱ με-...ὼθ βάσεις ἦσαν, τὰ ἑξῆς διδάσκει. ...κοψε γάρ φησιν ὁ βασιλεὺς Ἄχαζ τὰ ...λείσματα τῶν μεχωνὼθ, καὶ μετῆ-...τ' αὐτῶν τὸν λουτῆρα. Δ

ιη. Καὶ τὸν θεμέλιον τῆς καθέδρας (2) ᾠκοδόμησεν ἐν οἴκῳ Κυρίου, καὶ τὴν εἴσοδον τοῦ βασιλέως τὴν ἔξω ἐπέστρεψεν ἐν οἴκῳ Κυρίου ἀπὸ προσώπου βασιλέως Ἀσσυρίων.

» ** ΠΡΟΚΟΠΙΟΥ. Τῆς καθέδρας τῶν
» σαββάτων. Πρὸ τοῦ νεὼ τόπον εἶχον, ἔνθα πρὸ τοῦ καιροῦ τῶν θυσιῶν, ἢ καὶ μετὰ ταύτας ἐκαθέζετο. τοῦτον νῦν ἔνδον ἐποίησε
B τοῦ ναοῦ, καὶ τῶν βασιλείων τὴν θύραν μετέστησε, τὴν δίοδον διὰ τῶν ἱερῶν περιβόλων ποιούμενος. ὅπερ ἦν καὶ αὐτὸ ἀσεβές. τοῦτο δὲ πεποίηκε δῆθεν, ἵν' εἰ πολιορκοῖτο τὰ βασίλεια, δύναιτο ἐπ' ἀδείας εἰς τὸν νεὼν εἰσιέναι συνημμένην ἔχων τὴν εἴσοδον. ὃ δηλοῖ
» τὸ, ἀπὸ προσώπου βασιλέως Ἀσσυρίων.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἐτόλμησε δὲ καὶ ἑτέραν ἀσέβειαν. τῶν γὰρ βασιλείων τὴν θύραν ἔνδον ἐν τῷ θείῳ ναῷ μετέθηκε, τὴν
Γ δίοδον διὰ τῶν ἱερῶν περιβόλων ποιούμενος. καὶ τοῦτο δὲ ἡμᾶς ἡ ἱστορία διδάσκει, ὡς Ἀδραμέλεχ ὁ Αἰθίοψ ἐν Αἰγύπτῳ κατῴκει.

ιθ. Καὶ τὰ λοιπὰ τῶν λόγων Ἄχαζ ὅσα ἐποίησεν, οὐχὶ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν
κ. ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα; Καὶ ἐκοιμήθη Ἄχαζ μετὰ τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν πόλει Δαβὶδ,
Δ καὶ ἐβασίλευσεν Ἐζεκίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

ΚΕΦ. ΙΖ.

Ἐν ἔτει δωδεκάτῳ τῷ (3) Ἄχαζ βασιλεῖ Ἰούδα ἐβασίλευσεν Ὡσηὲ υἱὸς Ἠλὰ ἐν Σαμαρείᾳ ἐπὶ Ἰσραὴλ ἐννέα ἔτη. E
β. Καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου, πλὴν οὐχ ὡς οἱ βασιλεῖς Ἰσραὴλ οἳ ἦσαν ἔμπροσθεν αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Καταςχὼν τὴν βασιλείαν ἐπ' ἔτη ἐννέα, πονηρός τε ἦν καὶ τῶν πρὸς τὸν Θεὸν ὀλίγωρος.

γ. Ἐπ' αὐτὸν ἀνέβη Σαλμανασσὰρ βασιλεὺς Ἀσσυρίων, καὶ ἐγενήθη αὐτῷ Ὡσηὲ δοῦλος, καὶ ἐπέστρεψεν αὐτῷ μαναά.

** ΙΩΣΗΠΟΥ. Στρατεύει ἐπ' αὐτὸν ὁ τῶν Ἀσσυρίων βασιλεὺς Σαλμανασάρης, καὶ κρατήσας αὐτοῦ· τὸν Θεὸν γὰρ οὐκ εἶχεν ἴσως εὐμενῆ καὶ σύμμαχον· ὑπήκοον ἐποιήσατο, καὶ φόρους ἐπέταξεν αὐτῷ τελεῖν ὡρισμένους.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Μαναὰ δὲ τὰ δῶρα ἡρμήνευσαν οἱ λοιποί.

δ. Καὶ εὗρεν (4) αὐτὸν ὁ βασιλεὺς Ἀσσυρίων ἐν τῷ Ὡσηὲ ἀδικίαν, ὅτι ἀπέστειλεν ἀγγέλους πρὸς Σωβὰ (5) βασιλέα Αἰγύπτου, καὶ οὐκ ἤνεγκαν μαναὰ τῷ βασιλεῖ Ἀσσυρίων ἐν τῷ ἐνιαυτῷ ἐκείνῳ. καὶ ἐπολιόρκησεν αὐτὸν ὁ βασιλεὺς Ἀσσυρίων, καὶ ἔδη-
ε. σεν αὐτὸν ἐν οἴκῳ φυλακῆς. Καὶ ἀνέβη ὁ βασιλεὺς Ἀσσυρίων ἐν τῇ γῇ, καὶ ἀνέβη εἰς Σαμάρειαν, καὶ ἐπο-
ς. λιόρκησεν ἐπ' αὐτὴν τρία ἔτη. Ἐν ἔτει ἐννάτῳ Ὡσηὲ συνέλαβε βασιλεὺς
Z Ἀσσυρίων τὴν Σαμάρειαν, καὶ ἀπῴκισεν Ἰσραὴλ εἰς Ἀσσυρίους, καὶ κατῴκισεν αὐτοὺς ἐν Ἀλαὲ καὶ ἐν Ἀβὼρ ποταμοῖς Γωζὰν, καὶ ὄρη Μήδων.

** ΙΩΣΗΠΟΥ. Σαλμανασάρης ὁ τῶν Ἀσσυρίων βασιλεὺς, ἐπεὶ ἠγγέλη αὐτῷ ὁ τῶν Ἰσραηλιτῶν βασιλεὺς, ὡς εἴη πέμψας κρύφα πρὸς Σώαν τὸν τῶν Αἰγυπτίων βασιλέα, παρακαλῶν αὐτὸν ἐπὶ συμμαχίαν
H τὴν κατ' αὐτοῦ, παροξυνθεὶς ἐστράτευσεν ἐπὶ

(1) Τῶν χαλκῶν τῶν ὑποκ. αἱ αὐτ. καὶ ἡ Ἑβρ. ἡ ἐν Κομπλ. ἔκδ. (3) Τοῦ. αἱ αὐτ.

(2) Τῆς καθέδρας τῶν σαββάτων. (4) Εὗρεν ὁ βασιλ. αἱ αὐτ.

(5) Σηγώρ. αἱ αὐτ. Σουά. ἡ ἐν Κομπλ. ἔκδ. Σωά. ἐν ταῖς εἰρημ. σημ.

ἐπὶ τὴν Σαμάρειαν ἔτει ἑβδόμῳ τῆς Ὠσηὲ A
βασιλείας. οὐ δεξαμένου δ' αὐτὸν τοῦ βασι-
λέως, ἔτεσι πολιορκήσας τρισὶν, εἷλε κα-
τὰ κράτος τὴν Σαμάρειαν, ἔνατον μὲν
ἔτος Ὠσηὲ βασιλεύοντος, ἕβδομον δ' Ἐ-
ζεκίου τοῦ τῶν Ἱεροσολημιτῶν βασιλέως. καὶ
τὴν Ἰσραηλιτῶν ἡγεμονείαν ἄρδην ἠφάνι-
σε, καὶ πάντα τὸν λαὸν μετῴκισεν εἰς τὴν
Μηδίαν καὶ Περσίδα· ἐν οἷς καὶ τὸν βασι-
λέα Ὠσηὲν ζῶντα ἔλαβε. καὶ μεταστήσας
ἐκ ταύτης ἄλλα ἔθνη ἀπὸ Χούθου τόπου τι- B
νός· ἔστι γὰρ ἐν τῇ Περσίδι ποταμὸς, τοῦτ'
ἔχων τοὔνομα· κατῴκισεν εἰς τὴν Σαμά-
ρειαν καὶ τὴν τῶν Ἰσραηλιτῶν χώραν.

ζ. Καὶ ἐγένετο ὅτε ἥμαρτον οἱ υἱοὶ
Ἰσραὴλ τῷ Κυρίῳ Θεῷ αὐτῶν τῷ
ἀναγαγόντι αὐτοὺς ἐκ γῆς Αἰγύπτου
ὑποκάτωθεν χειρὸς Φαραὼ βασιλέως
Αἰγύπτου, καὶ ἐφοβήθησαν Θεοὺς ἑτέ-
η. ρους, Καὶ ἐπορεύθησαν τοῖς δικαιώ-
μασι τῶν ἐθνῶν ὧν ἐξῆρε Κύριος ἀπὸ
προσώπου υἱῶν Ἰσραὴλ, καὶ οἱ βασι-
λεῖς Ἰσραὴλ ὅσοι ἐποίησαν,

θ. Καὶ ὅσοι ἠμφιέσαντο οἱ υἱοὶ Ἰσ-
ραὴλ λόγους, οὐχ οὕτω κατὰ Κυρίου
Θεοῦ αὐτῶν· καὶ ᾠκοδόμησαν ἑαυτοῖς
ὑψηλὰ ἐν πάσαις ταῖς πόλεσιν αὐ-
τῶν ἀπὸ πύργου φυλασσόντων ἕως πό-
ι. λεως ὀχυρᾶς, Καὶ ἐστήλωσαν ἑαυτοῖς
στήλας καὶ ἄλση ἐπὶ παντὶ βουνῷ ὑψη-
λῷ (1) ὑποκάτω παντὸς ξύλου ἀλσώ-
ια. δους, Καὶ ἐθυμίασαν ἐκεῖ ἐν πᾶσιν
ὑψηλοῖς, καθὼς τὰ ἔθνη ἃ ἀπῴκισε
Κύριος ἐκ προσώπου αὐτῶν, καὶ ἐποίη-
σαν κοινωνοὺς, καὶ ἐχάραξαν τοῦ πα-
ιβ. ροργίσαι τὸν Κύριον, Καὶ ἐλάτρευ-
σαν τοῖς εἰδώλοις οἷς εἶπε Κύριος αὐ-
τοῖς, οὐ ποιήσετε τὸ ῥῆμα τοῦτο τῷ
Κυρίῳ.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, ἀπὸ πύργου
» φυλασσόντων, ἕως πόλεως ὀχυρᾶς; Ἐν
παντὶ τόπῳ, φησὶ, βωμοὺς τοῖς Δαίμοσιν
ᾠκοδόμησε, καὶ οὐ μόνον ἐν πόλεσι καὶ κώ-
μαις, ἀλλὰ καὶ ἐν τοῖς κατὰ τὴν ὁδὸν πύρ-
γοις, ἐν οἷς ὀλίγοι τινὲς εἰώθασι φρουρεῖν.
ἐνταῦθα δὲ τὰ ὑψηλὰ, τὰ τεμένη τῶν εἰ-
» δώλων ἐκάλεσεν. ᾠκοδόμησαν γάρ φησιν
» ἑαυτοῖς ὑψηλὰ ἐν πάσαις ταῖς πόλεσιν αὐ-
» τῶν· καὶ ἐστήλωσαν ἑαυτοῖς οἱ υἱοὶ Ἰσραὴλ
» στήλας, καὶ ἄλση, ἐν παντὶ βουνῷ ὑψηλῷ,
» καὶ ὑποκάτω παντὸς ξύλου ἀλσώδους. καὶ
» ἐθυμίων ἐκεῖ ἐν τοῖς ὑψηλοῖς, καθὼς τὰ
» ἔθνη ἃ ἀπῴκισε Κύριος ἐκ προσώπου αὐ-
τῶν. κοινωνοὺς δὲ οἶμαι εἰρῆσθαι τὴν πρὸς
τὰ ἔθνη συμφωνίαν, καὶ τοὺς ἐξ ἐκείνων
ὁρμωμένους, καὶ διδάξαντας τῆς ἀσεβείας
τοὺς νόμους. τοῦτο γὰρ αἰνίττεται τὰ ἑξῆς.

A » καὶ ἐποίησαν κοινωνοὺς, καὶ ἤρξαντο πα-
» ροργίσαι τὸν Κύριον, καὶ ἐλάτρευσαν τοῖς
» εἰδώλοις, οἷς εἶπε Κύριος αὐτοῖς, οὐ ποιή-
» σετε τὸ ῥῆμα τοῦτο. πανταχοῦ δὲ ἄλσος οἱ
λοιποὶ Ἀσαρὼθ ἑρμηνεύουσι. δηλοῖ δὲ τοῦτο
τὴν Ἀστάρτην, ἤγουν τὴν Ἀφροδίτην. τὸ
δὲ, ἐποίησαν ἐφοὺδ (2) καὶ θεραφίμ· τὸ
μὲν ἐφοὺδ κατὰ μίμησιν τοῦ ἱερατικοῦ ἐνδύ-
ματος· τὸ δὲ θεραφὶμ, ταῖς μαντικαῖς
ἦν ἁρμόττον προῤῥήσεσι.

B ιγ. Καὶ διεμαρτύρατο Κύριος ἐν
τῷ Ἰσραὴλ καὶ ἐν τῷ Ἰούδᾳ καὶ ἐν χειρὶ
πάντων τῶν Προφητῶν αὐτοῦ παντὸς
ὁρῶντος, λέγων, ἀποστράφητε ἀπὸ
τῶν ὁδῶν ὑμῶν τῶν πονηρῶν, καὶ φυ-
λάξατε τὰς ἐντολάς μου καὶ τὰ δι-
καιώματά μου, καὶ πάντα τὸν νόμον
ὃν ἐνετειλάμην τοῖς πατράσιν ὑμῶν,
Γ ὅσα ἀπέστειλα αὐτοῖς ἐν χειρὶ τῶν δού-
ιδ. λων μου τῶν Προφητῶν. Καὶ οὐκ ἤκου-
σαν, καὶ ἐσκλήρυναν τὸν νῶτον αὐ-
τῶν ὑπὲρ τὸν νῶτον τῶν πατέρων αὐ-
ιε. τῶν. Καὶ τὰ μαρτύρια αὐτοῦ ὅσα
διεμαρτύρατο αὐτοῖς οὐκ ἐφύλαξαν,
καὶ ἐπορεύθησαν ὀπίσω τῶν ματαίων,
καὶ ἐματαιώθησαν ὀπίσω ἐθνῶν τῶν
περικύκλῳ αὐτῶν, ὧν ἐνετείλατο
Δ τοῖς Κύριος τοῦ μὴ ποιῆσαι κατὰ τ[illegible]
ις. τα. Ἐγκατέλιπον τὰς ἐντολὰς [illegible]
ρίου Θεοῦ αὐτῶν, καὶ ἐποίησαν ἑαυ[illegible]
χώνευμα δύω δαμάλεις, καὶ ἐποί[illegible]
ἄλση, καὶ προσεκύνησαν πάσ[illegible]
στρατιᾷ τοῦ οὐρανοῦ, καὶ ἐλάτρευ[illegible]
ιζ. τῷ Βάαλ. Καὶ διῆγον τοὺς υἱοὺς α[illegible]
τῶν καὶ τὰς θυγατέρας αὐτῶν ἐν πυ-
E ρὶ, καὶ ἐμαντεύοντο μαντείας, καὶ
οἰωνίζοντο· καὶ ἐπράθησαν τοῦ ποιῆσαι
τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου (3)
τοῦ παροργίσαι αὐτόν. Καὶ ἐθυμώθη
ιη. Κύριος σφόδρα ἐν τῷ Ἰσραὴλ, καὶ
ἀπέστησεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ,
καὶ οὐχ ὑπελείφθη πλὴν φυλὴ Ἰούδα
μονωτάτη.

ιθ. Καίγε Ἰούδας οὐκ ἐφύλαξε τὰς
Z ἐντολὰς Κυρίου τοῦ Θεοῦ αὐτῶν. καὶ
ἐπορεύθησαν ἐν τοῖς δικαιώμασιν Ἰσ-
ραὴλ οἷς ἐποίησαν, καὶ ἀπώσαντο
τὸν Κύριον.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἵνα δὲ μή τις εἰς
ἀπολογίαν προφέρῃ τοῦ Ἰσραὴλ, τὸ τῆς
ἀσεβείας αἰτίαν γενέσθαι τὴν τῆς βασι-
λείας διαίρεσιν, καὶ τὸ πόῤῥω τῶν Ἱεροσο-
λύμων διάγειν, ἀναγκαίως τῆς Ἰούδα φυλῆς
H ἀπέδειξε τὴν ἀσέβειαν. ἔφη δὲ οὕτω· καί-
» γε καὶ Ἰούδας καὶ αὐτὸς οὐκ ἐφύλαξε τὰς ἐντο-
λὰς

(1) Καὶ ὑποκ. αἱ αὐτ.
(2) Ἐποίησαν ἐφοὺδ, κτ. ἐν τῷ προκειμέν. οὐ κεῖται κεφ.
(3) Κυρίου παροργ. αἱ αὐτ.

» λὰς Κυρίου τοῦ Θεοῦ αὐτοῦ. καὶ ἐπορεύθη ἐν
» τοῖς δικαιώμασι παντὸς Ἰσραὴλ οἷς ἐποίη-
» σαν, καὶ ἀπώσαντο τὸν Κύριον ἐξ αὐτῶν.

κ. Καὶ ἐθυμώθη Κύριος παντὶ
σπέρματι Ἰσραὴλ, καὶ ἐσάλευσεν αὐ-
τοὺς, καὶ ἔδωκεν αὐτοὺς ἐν χειρὶ διαρ-
παζόντων αὐτοὺς, ἕως οὗ ἀπέῤῥιψεν
κα. αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ. Ὅτι
πλὴν Ἰσραὴλ ἐπάνωθεν οἴκου Δαβὶδ,
ἐβασίλευσαν τὸν Ἱεροβοὰμ υἱὸν Να-
βάτ· καὶ ἐξέωσεν Ἱεροβοὰμ τὸν Ἰσ-
ραὴλ ἐξόπισθεν Κυρίου, καὶ ἐξήμαρ-
κβ. τεν αὐτοὺς ἁμαρτίαν μεγάλην. Καὶ
ἐπορεύθησαν οἱ υἱοὶ Ἰσραὴλ ἐν πάσῃ
ἁμαρτίᾳ Ἱεροβοὰμ ᾗ ἐποίησεν, οὐκ
ἀπέστησαν ἀπ᾽ αὐτῆς

κγ. Ἕως οὗ μετέστησε Κύριος τὸν
Ἰσραὴλ ἀπὸ προσώπου αὐτοῦ, καθὼς
ἐλάλησε Κύριος ἐν χειρὶ πάντων τῶν
δούλων αὐτοῦ τῶν Προφητῶν. καὶ ἀπῳ-
κίσθη Ἰσραὴλ ἐπάνω (1) τῆς γῆς αὐτοῦ
εἰς Ἀσσυρίους ἕως τῆς ἡμέρας ταύτης.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὅτι δὲ χρόνῳ ὕστε-
ρον τῶν Βασιλειῶν συνεγράφη ἡ βίβλος
τῶν ὑπὸ τῶν Προφητῶν καθ᾽ ἕκαστον
ραφέντων καιρὸν, καὶ τόδε τὸ χω-
δάσκει. ἀπῳκίσθη γάρ φησιν Ἰσραὴλ
ῆς γῆς αὐτοῦ εἰς Ἀσσυρίους ἕως τῆς
ς ταύτης. καὶ τοῦτο πολλάκις εἴρη-
τὴν ἱστορίαν συγγεγραφώς.

Καὶ ἤγαγε βασιλεὺς Ἀσσυ-
ἐκ Βαβυλῶνος τὸν ἐκ Χοῦθα, (2)
ἀπὸ Ἀϊὰ, καὶ ἀπὸ Αἱμὰθ, καὶ
αιφαρουὰμ, καὶ κατῳκίσθησαν ἐν
πόλεσι Σαμαρείας ἀντὶ τῶν υἱῶν Ἰσ-
ραὴλ, καὶ ἐκληρονόμησαν τὴν Σα-
μάρειαν, καὶ κατῴκησαν ἐν ταῖς πό-
κε. λεσιν αὐτοῖς. Καὶ ἐγένετο ἐν ἀρχῇ
τῆς καθέδρας αὐτῶν οὐκ ἐφοβήθησαν
τὸν Κύριον, καὶ ἀπέστειλε Κύριος ἐν
αὐτοῖς τοὺς λέοντας, καὶ ἦσαν ἀποκ-
κϛ. τένοντες ἐν αὐτοῖς. Καὶ εἶπαν τῷ βα-
σιλεῖ Ἀσσυρίων, λέγοντες, τὰ ἔθνη
ἃ ἀπῴκισας καὶ ἀντεκάθισας ἐν πό-
λεσι Σαμαρείας οὐκ ἔγνωσαν τὸ κρί-
μα τοῦ Θεοῦ τῆς γῆς, καὶ ἀπέστειλεν
εἰς αὐτοὺς τοὺς λέοντας, καὶ ἰδού εἰσι
θανατοῦντες αὐτοὺς, καθότι οὐκ οἴδασι
κζ. τὸ κρίμα τοῦ Θεοῦ τῆς γῆς. Καὶ ἐνε-
τείλατο ὁ βασιλεὺς Ἀσσυρίων, λέ-
γων, ἀπάρατε ἐκεῖθεν, καὶ πορευέ-
σθωσαν, καὶ κατοικείτωσαν ἐκεῖ, καὶ
φωτιοῦσιν αὐτοὺς τὸ κρίμα τοῦ Θεοῦ τῆς
κη. γῆς. Καὶ ἤγαγεν (3) ἕνα τῶν ἱερέων

A ὧν ἀπήγαγον ἀπὸ Σαμαρείας, καὶ
ἐκάθισεν ἐν Βαιθὴλ, καὶ ἦν φωτί-
ζων αὐτοὺς ὅπως φοβηθῶσι τὸν Κύ-
κθ. ριον. Καὶ ἦσαν ποιοῦντες ἔθνη Θεοὺς
αὐτῶν· καὶ ἔθηκαν ἐν οἴκῳ τῶν ὑψη-
λῶν ὧν ἐποίησαν οἱ Σαμαρεῖται, ἔθνη
ἐν ταῖς πόλεσιν αὐτῶν ἐν αἷς κατῴ-
λ. κουν ἐν αὐταῖς. Καὶ οἱ ἄνδρες Βαβυ-
λῶνος ἐποίησαν τὴν Σοκχὼθ Βαινὶθ,
B καὶ οἱ ἄνδρες Χοὺθ ἐποίησαν τὴν Νη-
ργὲλ, καὶ οἱ ἄνδρες Αἱμὰθ ἐποίη-
λα. σαν τὴν Ἀσιμὰθ, Καὶ οἱ Εὐαῖοι
ἐποίησαν τὴν Ἀβλαζὲρ καὶ τὴν Θαρ-
χὰθ, (4) καὶ τὴν Σεπφαρουαὶμ ἡνίκα
κατέκαιον τοὺς υἱοὺς αὐτῶν ἐν πυρὶ τῷ
Ἀδραμέλεχ καὶ Ἀνημέλεχ Θεοῖς Σεπ-
λβ. φαρουέμ. Καὶ ἦσαν φοβούμενοι τὸν
Γ Κύριον· καὶ κατῴκισαν τὰ βδελύγ-
ματα αὐτῶν ἐν τοῖς οἴκοις τῶν ὑψη-
λῶν ἃ ἐποίησαν ἐν Σαμαρείᾳ, ἔθ-
νος (5) ἐν πόλει ἐν ᾗ κατῴκουν ἐν αὐτῇ.
καὶ ἦσαν φοβούμενοι τὸν Κύριον· καὶ
ἐποίησαν ἑαυτοῖς ἱερεῖς τῶν ὑψηλῶν,
καὶ ἐποίησαν ἑαυτοῖς ἐν οἴκῳ τῶν ὑψη-
λγ. λῶν. Τὸν Κύριον ἐφοβοῦντο, καὶ τοῖς
Θεοῖς αὐτῶν ἐλάτρευον κατὰ τὸ κρί-
Δ μα τῶν ἐθνῶν, ὅθεν ἀπῴκισαν αὐτοὺς
λδ. ἐκεῖθεν. Ἕως τῆς ἡμέρας ταύτης αὐ-
τοὶ ἐποίουν κατὰ τὸ κρίμα αὐτῶν. αὐ-
τοὶ φοβοῦνται, καὶ αὐτοὶ ποιοῦσι τὰ
δικαιώματα αὐτῶν, καὶ κατὰ τὴν κρί-
σιν αὐτῶν, καὶ κατὰ τὸν νόμον, καὶ
κατὰ τὴν ἐντολὴν, ἣν ἐνετείλατο
Κύριος τοῖς υἱοῖς Ἰακὼβ οὗ ἔθηκε τὸ
ὄνομα αὐτοῦ Ἰσραήλ.

E * ΘΕΟΔΩΡΙΤΟΥ. Ἐδίδαξε δὲ καὶ [τὰ] κατὰ τοὺς νῦν καλουμένους Σαμαρείτας, ὅθεν τε μετῳκίσθησαν, καὶ ὅπως τὸν μωσαϊκὸν νόμον ἠναγκάσθησαν φυλάττειν. ὑπὸ γὰρ τῶν θηρίων ἀναλισκόμενοι, ἱκέτευσαν ἕνα τῶν ἰσραηλιτῶν αὐτοῖς ἱερέων ἀποσταλῆναι, ἵνα οὗτος ἐκπαιδεύων αὐτοὺς τοῦ Θεοῦ τῆς γῆς τὸν νόμον, τῆς ἐπικειμένης λώβης ἐλευθερώσῃ. ἐτόπαζον γὰρ μερικὸν εἶναι
Z τῶν ὅλων τὸν ποιητήν. ἀλλ᾽ ὅμως καὶ τοῦ ἱερέως ἀποσταλέντος, καὶ τὸν νόμον διδάσ-
» κοντος, τὸν Κύριον, φησὶν, αὐτοὶ ἐφοβοῦν-
» το, καὶ τοῖς Θεοῖς δὲ αὐτῶν ἐλάτρευον
» κατὰ τὸ κρίμα τῶν ἐθνῶν. ὅθεν ἀπῴκι-
» σεν αὐτοὺς ἐντεῦθεν ἕως τῆς ἡμέρας ταύ-
» της. οὕτως ἐποίουν κατὰ τὸ κρίμα αὐτῶν
» τὸ ἀπ᾽ ἀρχῆς.

** ΩΡΙΓΕΝΟΥΣ. Σωμὴρ Ἑβραῖοι λέγουσι τὸν φύλακα, οὕτω δὲ καὶ τοὺς Σαμα-
H ρεῖς πρῶτον ὠνομάσθαι παραδιδόασι διὰ τὸ ὑπὸ τοῦ Ἀσσυρίων βασιλέως φύλακας αὐ-
τοὺς

(1) Ἐπάνωθεν. αἱ αὐτ. (2) Χουθά. αἱ αὐτ. (3) Ἤγαγον. αἱ αὐτ.
(4) Θαρθάκ. αἱ αὐτ. (5) Ἔθνος ἔθνος. αἱ αὐτ.

τοὺς πεπέμφθαι τῆς γῆς τοῦ Ἰσραὴλ μετὰ
τὴν αἰχμαλωσίαν τοῦ ἑτέρου παρὰ τὸν Ἰού-
δαν Ἰσραὴλ, διὰ τὰς πολλὰς ἁμαρτίας
αἰχμαλωτευθέντος εἰς τοὺς Ἀσσυρίους.

λε. Καὶ διέθετο Κύριος μετ᾽ αὐ-
τῶν διαθήκην, καὶ ἐνετείλατο αὐτοῖς,
λέγων, οὐ φοβηθήσεσθε θεοὺς ἑτέρους,
καὶ οὐ προσκυνήσετε αὐτοῖς, καὶ οὐ
λατρεύσετε αὐτοῖς, καὶ οὐ θυσιάσετε
λς. αὐτοῖς· Ὅτι ἀλλ᾽ ἢ τῷ Κυρίῳ ὃς ἀνή-
γαγεν ὑμᾶς ἐκ γῆς Αἰγύπτου ἐν ἰσχύϊ
μεγάλῃ καὶ ἐν βραχίονι ὑψηλῷ, αὐ-
τὸν φοβηθήσεσθε, καὶ αὐτῷ προσκυ-
λζ. νήσετε, καὶ αὐτῷ θυσιάσετε. Καὶ
τὰ δικαιώματα αὐτοῦ καὶ τὰ κρίματα
αὐτοῦ καὶ τὸν νόμον καὶ τὰς ἐντολὰς,
A ἃς ἔγραψεν ὑμῖν, φυλάσσεσθε ποιεῖν
πάσας τὰς ἡμέρας, καὶ οὐ φοβηθή-
λη. σεσθε θεοὺς ἑτέρους. Καὶ τὴν διαθή-
κην ἣν διέθετο μεθ᾽ ὑμῶν οὐκ ἐπιλή-
σεσθε. καὶ οὐ φοβηθήσεσθε θεοὺς ἑτέ-
λθ. ρους· Ὅτι ἀλλ᾽ ἢ Κύριον τὸν Θεὸν
ὑμῶν φοβηθήσεσθε, καὶ αὐτὸς ἐξε-
λεῖται ὑμᾶς ἐκ πάντων τῶν ἐχθρῶν
μ. ὑμῶν. Καὶ οὐκ ἀκούσεσθε ἐπὶ τῷ κρί-
μα. ματι αὐτῶν, ὃ αὐτοὶ ποιοῦσι. Καὶ
ἦσαν τὰ ἔθνη ταῦτα φοβούμενα τὸν
Κύριον, καὶ τοῖς γλυπτοῖς αὐτῶν ἦσαν
δουλεύοντες· καί γε οἱ υἱοὶ καί γε υἱοὶ
τῶν υἱῶν αὐτῶν, καθὰ ἐποίησαν οἱ
πατέρες αὐτῶν, ποιοῦσιν ἕως τῆς ἡμέ-
ρας ταύτης.

ΚΕΦ. ΙΗ.

α. Καὶ ἐγένετο ἐν ἔτει τρίτῳ Ὠ-
σηὲ υἱῷ Ἠλὰ βασιλεῖ Ἰσ-
ραὴλ ἐβασίλευσεν Ἐζε-
κίας υἱὸς Ἄχαζ βασιλέως Ἰούδα.
β. Υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν ἦν ἐν τῷ
βασιλεύειν αὐτὸν, καὶ εἴκοσι καὶ ἐν-
νέα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλὴμ,
καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀβοὺθα θυ-
γάτηρ Ζαχαρίου.

γ. Καὶ ἐποίησε τὸ εὐθὲς ἐν ὀφ-
θαλμοῖς Κυρίου κατὰ πάντα ὅσα
δ. ἐποίησε Δαβὶδ ὁ πατὴρ αὐτοῦ. Αὐ-
τὸς ἐξῆρε τὰ ὑψηλὰ, καὶ συνέτριψε
πάσας τὰς στήλας, καὶ ἐξωλόθρευσε
τὰ ἄλση, καὶ τὸν ὄφιν τὸν χαλκοῦν
ὃν ἐποίησε Μωϋσῆς, ὅτι ἕως τῶν ἡμε-
ρῶν ἐκείνων ἦσαν οἱ υἱοὶ Ἰσραὴλ θυ-
μιῶντες αὐτῷ· καὶ ἐκάλεσεν αὐτὸν
Νεεσθάμ. (1)

* ΘΕΟΔΩΡΙΤΟΥ. Διεξελθὼν δὲ τὰ περὶ τῶν Σαμαρειτῶν, ἐπὶ τὴν Ἰούδα μετέβη φυλὴν, καὶ τὸν Ἐζεκίαν ἠγάσθη, ὡς τῷ Δαβὶδ παραπλησίως τὸν τῶν ὅλων τεθεραπευκότα Θεόν. οὐ γὰρ μόνον τὰς στήλας συνέτριψε, καὶ τὰ ἄλση συνέκοψεν, ἀλλὰ καὶ τὰ ὑψηλὰ ἐξῆρεν, ὅπερ οὐδεὶς τῶν πρὸ αὐτοῦ πεποίηκε. συνέτριψε δὲ καὶ τὸν χαλκοῦν ὄφιν, ὃν ὁ μέγας Μωσῆς κατεσκεύασεν, οὐχ᾽ ἵνα προσκυνῆται, ἀλλ᾽ ἵνα τὸ σωτήριον προτυπώσῃ πάθος. τούτῳ,
» φησὶν, ὁ λαὸς θυμιῶν διετέλεσε, καὶ ἐκάλε-
» σαν αὐτὸν Νεεσθάν. τοῦτο δὲ ἐν τῇ τῶν Ἑβραϊκῶν ὀνομάτων ἑρμηνείᾳ ἑρμηνευόμενον (2) εὗρον, χαλκὸς αὐλή. (3) οἱ δὲ λοιποὶ, τὸν Ἐσθὰν (4) ἡρμήνευσαν. ἐντεῦθεν οἶμαι καὶ τοὺς Ὀφίτας· αἵρεσις δὲ αὕτη δυσσεβεστάτη· Νεασθηνόμους (5) ὀνομάζεσθαι.

ε. Ἐν Κυρίῳ Θεῷ Ἰσραὴλ ἤλπι-
σε, καὶ μετ᾽ αὐτὸν οὐκ ἐγενήθη ὅμοιο[ς]
αὐτῷ ἐν βασιλεῦσιν Ἰούδα, καὶ ἐν
ς. γενομένοις ἔμπροσθεν αὐτοῦ. Κ[αὶ]
Δ κολλήθη τῷ Κυρίῳ, οὐκ ἀπέστ[η]
[ὄπι]σθεν αὐτοῦ, καὶ ἐφύλαξε τὰς [ἐντο-]
λὰς αὐτοῦ ὅσας ἐνετείλατο Μω[ϋσῇ.]
ζ. Καὶ ἦν Κύριος μετ᾽ αὐτοῦ, καὶ ἐ[ν πᾶ-]
σιν οἷς ἐποίει συνῆκε. καὶ ἠθέτ[ησεν]
ἐν τῷ βασιλεῖ Ἀσσυρίων, καὶ οὐκ ἐ[δού-]
η. λευσεν αὐτῷ. Αὐτὸς ἐπάταξε τοὺς
ἀλλοφύλους ἕως Γάζης, καὶ ἕως ὁρίου
E αὐτῆς ἀπὸ πύργου φυλασσόντων καὶ
θ. ἕως πόλεως ὀχυρᾶς. Καὶ ἐγένετο ἐν
τῷ ἔτει τῷ τετάρτῳ βασιλεῖ Ἐζεκίᾳ,
αὐτὸς ἐνιαυτὸς ὁ ἕβδομος τῷ Ὠσηὲ
υἱῷ Ἠλὰ βασιλεῖ Ἰσραὴλ, ἀνέβη
Σαλμανασσὰρ βασιλεὺς Ἀσσυρίων
ἐπὶ Σαμάρειαν, καὶ ἐπολιόρκει αὐτήν.

ι. Καὶ κατελάβετο αὐτὴν ἀπὸ
Z τέλους (6) τριῶν ἐτῶν ἐν ἔτει ἕκτῳ τῷ
Ἐζεκίᾳ, οὗτος ἐνιαυτὸς ἔννατος τῷ
Ὠσηὲ βασιλεῖ Ἰσραὴλ, καὶ συνελήφ-
θη Σαμάρεια.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Τί ἐστιν, εἰς τὸ τέ-
» λος τριῶν ἐτῶν; Τρία τέλεια, φησὶν, ἔτη ἐπὶ τῆς Σαμαρείας κατέσχεν ἡ πολιορκία.

ια. Καὶ ἀπῴκισε βασιλεὺς Ἀσσυ-
ρίων τὴν Σαμάρειαν εἰς Ἀσσυρίους, καὶ
ἔθηκεν

(1) Νεεσθάν. αἱ αὐτ. (2) Κείμενον. ἡ ἐν Χάλ. ἔκδ. (3) Αὕτη. ἡ αὐτ. Σημαίνει δὲ τὸ Νεεσθὰν κατὰ τὸν Μουσέρ. καὶ Οὐάταβλ. (ἐν σελ. 2623. τοῦ εἰρημ. Τόμ.) χαλκόν. (4) Τὸν Νεσθὰν Νάας. ἐντεῦθ. ἡ αὐτ. (5) Νaασηνούς. ἡ αὐτ. (6) Εἰς τὸ τέλος. ἡ ἐν Κομπλ.

ἔθηκεν αὐτοὺς ἐν Ἀλαὲ καὶ ἐν Ἀβὼρ
ιβ. ποταμοῖς Γωζὰν καὶ ὄρη Μήδων, Ὅτι
οὐκ ἤκουσαν φωνῆς (1) Κυρίου τοῦ Θεοῦ
αὐτῶν, καὶ παρέβησαν τὴν διαθήκην
αὐτοῦ πάντα ὅσα ἐνετείλατο Μωϋσῆς
ὁ δοῦλος Κυρίου, καὶ οὐκ ἤκουσαν καὶ οὐκ
ιγ. ἐποίησαν. Καὶ τῷ τεσσαρεσκαιδεκά-
τῳ ἔτει τοῦ βασιλέως Ἐζεκίου ἀνέβη
Σενναχειρὶμ (2) βασιλεὺς Ἀσσυρίων
ἐπὶ τὰς πόλεις Ἰούδα τὰς ὀχυρὰς, καὶ
συνέλαβεν αὐτάς.

ιδ. Καὶ ἀπέστειλεν Ἐζεκίας βασι-
λεὺς Ἰούδα ἀγγέλους πρὸς βασιλέα
Ἀσσυρίων εἰς Λάχεις, (3) λέγων, τὶ
ἡμάρτηκα; ἀποστράφηθι ἀπ' ἐμοῦ· ὃ
ἐὰν ἐπιθῇς ἐπ' ἐμὲ, βαστάσω. καὶ ἐπέ-
θηκεν ὁ βασιλεὺς Ἀσσυρίων ἐπὶ Ἐζε-
κίαν βασιλέα Ἰούδα τριακόσια τά-
λαντα ἀργυρίου, καὶ τριάκοντα τά-
λαντα χρυσίου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὶ δήποτε δῶρα δώ-
σειν τῷ Σεναχηρεὶμ ὁ Ἐζεκίας ὑπέσχετο;
Ὁ Ἄχαζ ὁ πατὴρ αὐτοῦ τὸν Θεγλαθφα-
λασὰρ εἰς συμμαχίαν κατὰ τῶν Σύρων κα-
λέσας, φόρον τελεῖν ὑπέσχετο. τοῦτον ἐκεῖ-
διετέλεσε παρέχων. ὁ δὲ Ἐζεκίας τὸν
ίμενον δασμὸν οὐκ ἐξέτισε· τὴν δὲ στρα-
θεασάμενος, δώσειν ὑπέσχετο. καὶ ἔδω-
ακόσια τάλαντα ἀργυρίου, καὶ τρια-
(4) τάλαντα χρυσίου. τοσοῦτον γὰρ
ύριος δασμὸν παρέχειν ἐκέλευσε.

. Καὶ ἔδωκεν Ἐζεκίας πᾶν τὸ ἀρ-
ιον τὸ εὑρεθὲν ἐν οἴκῳ Κυρίου, καὶ
θησαυροῖς οἴκου τοῦ βασιλέως. Ἐν
τῷ καιρῷ ἐκείνῳ συνέκοψεν Ἐζεκίας
βασιλεὺς Ἰούδα τὰς θύρας ναοῦ, καὶ
τὰ ἐστηριγμένα ἃ ἐχρύσωσεν Ἐζεκίας
βασιλεὺς Ἰούδα, καὶ ἔδωκεν αὐτὰ βα-
σιλεῖ Ἀσσυρίων.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὶ δήποτε τὸ θεῖον θεραπεύειν σπουδάζων, ἐκ τῶν ἱερῶν χρημάτων παρεῖχε (5) τὸν φόρον; Οὐκ ἀπήρκουν (6) οἱ βασιλικοὶ θησαυροί. ἔθος οὖν ἐν ταῖς τοιαύταις ἀνάγκαις, καὶ τοὺς ἱεροὺς θησαυροὺς δαπανᾷν, καὶ πάλιν αὐτοὺς ἐκ τῶν πολεμίων ἀναπληροῦν. ἡ ἀνάγκη δὲ παρεσκεύασε καὶ τὰς πύλας χωνεῦσαι τὰς χρυσᾶς, ἃς αὐτὸς κατεσκεύασε, καὶ τοὺς σταθμοὺς τῶν θυρῶν· τούτους γὰρ ἐστηριγμένα οἶμαι κληθῆναι· ἵνα μὴ πολέμῳ κρατήσας ὁ Σεναχηρεὶμ, καὶ τὸν ναὸν καὶ τὴν πόλιν ἐμπρήσῃ.

ιζ. Καὶ ἀπέστειλε βασιλεὺς Ἀσσυ-
ρίων τὸν Θαρθὰν καὶ τὸν Ῥαφαῒς (7)
A καὶ τὸν Ῥαψάκην ἐκ Λάχεις Ἱερουσα-
λὴμ πρὸς τὸν βασιλέα Ἐζεκίαν ἐν
δυνάμει βαρείᾳ σφόδρα. καὶ ἀνέβη-
σαν καὶ ἦλθον εἰς Ἱερουσαλὴμ, καὶ ἔστη-
σαν ἐν τῷ ὑδραγωγῷ τῆς κολυμβή-
θρας τῆς ἄνω, ἥ ἐστιν ἐν τῇ ὁδῷ τοῦ
ἀγροῦ τοῦ γναφέως.

** ΙΩΣΗΠΟΥ. Ἐζεκίου τοῦ τῶν δύω φυλῶν βασιλέως τέταρτον ἤδη καὶ δέκα-
B τον ἔτος τῆς ἡγεμονείας ἔχοντος, ὁ τῶν Ἀσσυρίων βασιλεὺς, Σεναχήριβος ὄνομα, στρατεύει μετὰ πολλῆς παρασκευῆς ἐπ' αὐτὸν, κατὰ κράτος τε ἁπάσας αἱρεῖ τὰς πόλεις τὰς τῆς Ἰούδα φυλῆς καὶ Βενιαμίτιδος. μέλλοντος δ' ἄγειν τὴν δύναμιν ἐπὶ Ἱεροσόλυμα, φθάνει πρεσβευσάμενος πρὸς αὐτὸν, καὶ ὑπακούσεσθαί τε καὶ φόρον, ὃν ἂν τάξῃ, τελέσειν ὑπισχνούμενος. Σεναχήριβος δὲ μαθὼν τὰ παρὰ τῶν πρέσβεων, ἔγ-
Γ νω μὴ πολεμεῖν, ἀλλὰ τὴν ἀξίωσιν προσδέχεται. καὶ ἀργυρίου μὲν τάλαντα τριακόσια, χρυσίου δὲ τριάκοντα λαβὼν, φίλος ἀναχωρεῖν ὡμολόγει, πίστεις δοὺς τοῖς πρεσβευταῖς ἐνόρκους, ἢ μὴν ἀδικήσας μηδὲν αὐτὸν οὕτως ἀναστρέψειν. ὁ δ' Ἐζεκίας πεισθεὶς, καὶ κενώσας τοὺς θησαυροὺς, πέμπει τὰ χρήματα, νομίζων ἀπαλλαγήσεσθαι τοῦ πολεμίου, καὶ τοῦ περὶ τῆς βασιλείας ἀγῶ-
Δ νος. ὁ δὲ Ἀσσύριος λαβὼν ταῦτα, τῶν μὲν ὡμολογημένων οὐδὲν ἐφρόντισεν, ἀλλ' αὐτὸς μὲν ἐστράτευσεν ἐπ' Αἰγυπτίους καὶ Αἰθίοπας, τὸν δὲ στρατηγὸν Ῥαψάκην μετὰ πολλῆς ἰσχύος σὺν καὶ δυσὶν ἄλλοις τῶν ἐν τέλει κατέλειπε, πορθήσοντας τὰ Ἱεροσόλυμα. τούτων δὲ τὰ ὀνόματα Θαρατὰ καὶ Ἀνάχαρις ἦν.

ιη. Καὶ ἐβόησαν πρὸς Ἐζεκίαν.
καὶ ἐξῆλθον πρὸς αὐτὸν Ἐλιακεὶμ υἱὸς
E Χελκίου ὁ οἰκονόμος, καὶ Σωμνὰς ὁ
γραμματεὺς, καὶ Ἰωὰς ὁ υἱὸς Σαφὰτ
ιθ. ὁ ἀναμιμνήσκων. Καὶ εἶπε πρὸς αὐ-
τοὺς Ῥαψάκης, εἴπατε δὴ πρὸς Ἐζε-
κίαν, τάδε λέγει ὁ βασιλεὺς ὁ μέ-
γας βασιλεὺς Ἀσσυρίων, τὶς ἡ πεποί-
κ. θησις αὕτη ἣν πέποιθας; Εἶπας,
πλὴν λόγοι χειλέων, βουλὴ καὶ δύνα-
Z μις εἰς πόλεμον. νῦν οὖν τίνι πεποιθὼς
κα. ἠθέτησας ἐν ἡμῖν; (8) Νῦν οὖν (9) πέ-
ποιθας σαυτῷ ἐπὶ τὴν ῥάβδον τὴν
καλαμίνην τὴν τεθλασμένην ταύ-
την, ἐπ' Αἴγυπτον; ὃς ἂν στηριχθῇ
ἀνὴρ ἐπ' αὐτὴν, καὶ εἰσελεύσεται εἰς
τὴν χεῖρα αὐτοῦ, καὶ τρήσει αὐτήν.
οὕτω Φαραὼ βασιλεὺς Αἰγύπτου πᾶσι
τοῖς πεποιθόσιν ἐπ' αὐτῷ.

ΙΩΣΗ-

(1) Τῆς φωνῆς Κυρίου Θεοῦ. αἱ αὐτ.
(2) Σεναχηρείμ. αἱ αὐτ. Σεναχηρείμ. ἐν ταῖς εἰρημ. σημ. κἀν τῇ ἐπιγραφῇ.
(3) Λαχὶς, λέγων, ἡμάρτηκα. αἱ αὐτ.
(4) Τὸ, τριακόσια, ἴσ. γραφικὸν ἁμάρτημ. ἀντὶ τοῦ, τριάκοντα. οὕτω γὰρ ἔχουσι πᾶσαι αἱ τῆς Γραφ. ἐκδόσ. καὶ ἡ ἑβρ. καὶ ὁ Ἰώσ. ἐν τῷ ἑξῆς ὑπομνήμ.
(5) Παρέσχε. ἡ ἐν Χάλ. ἔκδ.
(6) Ἀπέχρων. ἡ αὐτ.
(7) Ῥαφίς. αἱ αὐτ.
(8) Ἐν ἐμοί. αἱ αὐτ.
(9) Νῦν ἰδέ. αἱ αὐτ.

** ΙΩΣΗΠΟΥ. Ὡς ἐλθόντες πρὸ τῶν τειχῶν ἐστρατοπεδεύσαντο, πέμψαντες πρὸς τὸν Ἐζεκίαν, ἠξίουν αὐτὸν ἐλθεῖν εἰς λόγους. ὁ δὲ αὐτὸς μὲν ὑπὸ δειλίας οὐ πρόεισι· τρεῖς δὲ τοὺς ἀναγκαιοτάτους φίλους αὐτῷ ἐξέπεμψε, τὸν τῆς βασιλείας ἐπίτροπον, Ἐλιάκιμον ὄνομα, καὶ Σοβναῖον, καὶ Ἰώαχον τὸν ἐπὶ τῶν ὑπομνημάτων. οὗτοι μὲν οὖν προσελθόντες ἄντικρυς τῶν ἡγεμόνων τῆς στρατιᾶς τῶν Ἀσσυρίων ἔστησαν. θεασάμενος δ' αὐτοὺς ὁ στρατηγὸς Ῥαψάκης, ἐκέλευσεν ἀπελθόντας, Ἐζεκίᾳ λέγειν·
» ὅτι βασιλεὺς μέγας Σεναχήριβος πυνθά-
» νεται αὐτοῦ, τίνι θαῤῥῶν καὶ πεποιθὼς φεύ-
» γει δεσπότην αὐτοῦ, καὶ ἀκροᾶσθαι μὴ θέλει,
» καὶ τὴν στρατιὰν αὐτοῦ οὐ δέχεται τῇ πόλει;
» ἢ διὰ τοὺς Αἰγυπτίους τὴν ἑαυτοῦ στρατιὰν ἐλ-
» πίζων ὑπ' ἐκείνων αὐτῶν καταγωνίσασθαι;
» εἰ δὲ τοῦτο προσδοκᾷ, δηλοῦται αὐτῷ ὅτι
» ἀνόητός ἐστι, καὶ ὅμοιος ἀνθρώπῳ, ὃς κα-
» λάμῳ ἐπερειδόμενος τεθλασμένῳ, πρὸς τὸ
» καταπεσεῖν ἔτι καὶ τὴν χεῖρα διαπαρεὶς
» ᾔσθετο τῆς βλάβης. εἰδέναι δ' ὅτι καὶ βου-
» λήσει Θεοῦ τὴν ἐπ' αὐτὸν στρατιὰν πεποίη-
» ται, ὃς αὐτῷ καταστρέψασθαι καὶ τὴν τῶν
» Ἰσραηλιτῶν βασιλείαν δέδωκεν, ἵνα τὸν
» αὐτὸν τρόπον καὶ τοὺς ἀρχομένους ὑπ' αὐτοῦ
» διαφθείρῃ.

** ΘΕΟΔΩΡΙΤΟΥ. Δήλην ἡμῖν ποίησον τοῦ θράσους τὴν αἰτίαν. οὐ γὰρ χρεία νῦν βουλῆς, ἀλλὰ συμπλοκῆς· οὐκ ἔστιν ὁ καιρὸς λόγων, ἀλλ' ἔργων· οὐ πρεσβείας, ἀλλὰ παρατάξεως· ἀλλ' ἴσως τῇ Αἰγυπτίων ἐπικουρίᾳ θαῤῥεῖς. καλάμῳ ἐοίκασι, καὶ τούτῳ τεθλασμένῳ, καὶ τοὺς ἐπικειμένους οὐ μόνον οὐκ ἐρείδοντι, ἀλλὰ καὶ τὴν τούτων χεῖρα τιτρώσκοντι.

κβ. Καὶ ὅτι εἶπας πρός με, ἐπὶ Κύριον Θεὸν πεποίθαμεν· οὐχὶ αὐτὸς οὗτος οὗ ἀπέστησεν Ἐζεκίας τὰ ὑψηλὰ αὐτοῦ καὶ τὰ θυσιαστήρια αὐτοῦ, καὶ εἶπε τῷ Ἰούδᾳ καὶ τῇ Ἱερουσαλήμ, ἐνώπιον τοῦ θυσιαστηρίου τούτου προσκυνήσετε ἐν Ἱερουσαλήμ;

* ΘΕΟΔΩΡΙΤΟΥ. Κἀνταῦθα πάλιν δεδήλωκεν ὁ συγγραφεύς, ὅτι οὐ μόνον τὰ τεμένη τῶν εἰδώλων ὑψηλὰ ὀνομάζουσιν, ἀλλὰ καὶ τὰ τῷ Θεῷ τῶν ὅλων ἐν τοῖς ὑψηλοῖς τόποις δεδομημένα θυσιαστήρια. ἐὰν
» γὰρ εἴπητε, φησὶ, πρός με, ἐπὶ Κύριον τὸν
» Θεὸν ἡμῶν πεποίθαμεν, οὐχὶ αὐτὸς Ἐζε-
» κίας ἀπέστησε τὰ ὑψηλὰ αὐτοῦ, καὶ τὰ θυ-
» σιαστήρια αὐτοῦ, λέγων τῷ Ἰούδᾳ καὶ τῇ Ἱε-
» ρουσαλὴμ, ἐνώπιον τοῦ θυσιαστηρίου προσκυ-
» νήσατε ἐν Ἱερουσαλήμ; καὶ ταῦτα ἔλεγεν ὁ Ῥαψάκης, Ἑβραῖος ὢν οἶμαι, καὶ πρὸς ἐκείνους αὐτομολήσας, ἢ τοῖς ἐξανδραποδισθεῖσιν ἤδη συναπαχθεὶς, καὶ ὡς εὔνοιαν δείξας τοῖς Ἀσσυρίοις τὴν στρατηγίαν θαῤῥηθείς. τῇ γὰρ ἑβραΐδι φωνῇ χρώμενος ἐποιεῖτο τοὺς λόγους.

A κγ. Καὶ νῦν μίχθητι δὴ τῷ κυ-
ρίῳ μου βασιλεῖ Ἀσσυρίων, καὶ δώσω
σοι δισχιλίους ἵππους, εἰ δυνήσῃ δοῦναι
κδ. αὐτῷ ἐπιβάτας ἐπ' αὐτούς. Καὶ πῶς
ἀποστρέψεις τὸ πρόσωπον τοπάρχου
ἑνὸς τῶν δούλων τοῦ κυρίου μου τῶν ἐλα-
χίστων; καὶ ἤλπισας σαυτῷ ἐπ' Αἴ-
γυπτον εἰς ἅρματα καὶ ἱππεῖς.

κε. Νῦν οὖν μὴ ἄνευ Κυρίου ἀνέ-
B βημεν ἐπὶ τὸν τόπον τοῦτον τοῦ διαφ-
θεῖραι αὐτόν; Κύριος εἶπε πρός με,
ἀνάβηθι ἐπὶ τὴν γῆν ταύτην καὶ
διάφθειρον αὐτήν.

** ΘΕΟΔΩΡΙΤΟΥ. Δῆλός ἐστιν ὁ τρισάθλιος οὗτος Ἀμοῤῥαῖος ὢν, καὶ εἰδὼς ὅτι πολλάκις αὐτοὺς ὁ Θεὸς δίκας τῆς ἀσεβείας εἰσπραττόμενος, ἀλλοφύλοις παρέδωκεν ἔθνεσι, τούτοις τοῖς λόγοις ἐχρήσατο. καὶ
Γ δυοῖν θάτερον· ἢ αὐτομολήσας προσεχώρησεν ἐκείνοις, ἢ αἰχμάλωτος ἀπαχθεὶς, ἡνίκα τὰς δέκα φυλὰς καταλύσαντες ἠνδραπόδισαν.

κϛ. Καὶ εἶπεν Ἐλιακεὶμ υἱὸς Χελ-
κίου καὶ Σωμνὰς καὶ Ἰωὰς πρὸς Ῥα-
ψάκην, λάλησον δὴ πρὸς τοὺς παῖ-
δάς σου συριστὶ, ὅτι ἀκούομεν ἡμεῖς, κ[...]
οὐ λαλήσεις πρὸς ἡμᾶς ἰουδαϊστὶ, [...]
Δ ἵνα τί λαλεῖς ἐν τοῖς ὠσὶ τοῦ λα[...]
κζ. ἐπὶ τοῦ τείχους; Καὶ εἶπε πρὸς [...]
Ῥαψάκης, μὴ πρὸς τὸν κύριόν [...]
πρὸς σὲ ἀπέστειλέ με ὁ κύριός μου [...]
λῆσαι τοὺς λόγους τούτους; οὐχὶ ἐπὶ [...]
ἄνδρας τοὺς καθημένους ἐπὶ τοῦ τείχο[...]
τοῦ φαγεῖν τὴν κόπρον αὐτῶν, καὶ πιεῖ[...]
κη. τὸ οὖρον αὐτῶν μεθ' ὑμῶν ἅμα; Καὶ
E ἔστη Ῥαψάκης καὶ ἐβόησε φωνῇ με-
γάλῃ ἰουδαϊστὶ, καὶ ἐλάλησε καὶ εἶπεν,
ἀκούσατε τοὺς λόγους τοῦ μεγάλου βα-
σιλέως Ἀσσυρίων.

* ΘΕΟΔΩΡΙΤΟΥ. Αὐτίκα γοῦν καὶ οἱ ἄρχοντες διαλεχθῆναι συριστὶ παρεκάλεσαν, ὥστε μὴ γνῶναι τὸν λαὸν τὰ λεγόμενα. ἐκεῖνος δὲ μαθὼν ἀνιᾶν (1) ἐν τούτῳ τοὺς ἄρχοντας μᾶλλον τῇ Ἑβραίων φωνῇ
Z χρώμενος, τὰς δυσσεβεῖς ἐκείνας βλασφημίας ἐτόλμησε, τοῖς ψευδωνύμοις Θεοῖς τὸν ἀληθινὸν ἀπεικάσας Θεόν.

κθ. Τάδε λέγει ὁ βασιλεὺς, μὴ
ἐπαιρέτω ὑμᾶς Ἐζεκίας, ὅτι οὐ μὴ
δύνητε ὑμᾶς ἐξελέσθαι ἐκ χειρός μου.
λ. Καὶ μὴ ἐπελπιζέτω ὑμᾶς Ἐζεκίας
πρὸς Κύριον, λέγων, ἐξαιρούμενος ἐξε-
λεῖται ὑμᾶς (2) Κύριος, οὐ μὴ παρα-
H δοθῇ ἡ πόλις αὕτη ἐν χειρὶ βασιλέως
Ἀσσυρίων.

λα. Μὴ

(1) Ἀνιᾶν τοὺς ἄρχοντας τὸ τὸν λαὸν ἐπαΐειν τῶν λεγομένων, τῇ Ἑβρ. ἡ ἐν Χάλ. ἔκδ.
(2) Ἡμᾶς. ἡ ἐν Κομπλ. ἔκδ.

λα. Μὴ ἀκούετε Ἐζεκίου· ὅτι τά- A
δε λέγει ὁ βασιλεὺς Ἀσσυρίων, ποιή-
σατε μετ᾽ ἐμοῦ εὐλογίαν, καὶ ἐξέλ-
θετε πρός με, καὶ πίεται ἀνὴρ τὴν
ἄμπελον αὐτοῦ, καὶ ἀνὴρ τὴν συκῆν
αὐτοῦ φάγεται, καὶ πίεται ὕδωρ τοῦ
λβ. λάκκου αὐτοῦ, Ἕως ἔλθω καὶ λάβω
ὑμᾶς εἰς γῆν ὡς γῆ ὑμῶν, γῆ σίτου
καὶ οἴνου καὶ ἄρτων καὶ ἀμπελώνων, B
γῆ ἐλαίας ἐλαίου καὶ μέλιτος, καὶ
ζήσετε καὶ οὐ μὴ ἀποθάνητε. καὶ μὴ
ἀκούετε Ἐζεκίου, ὅτι ἀπατᾷ ὑμᾶς, λέ-
γων, Κύριος ῥύσεται ὑμᾶς.

** ΚΥΡΙΛΛΟΥ. Ῥαψάκης ὁ Βαβυ-
λώνιος τῶν Ἀσσυρίων στρατηγὸς, ἀριθμοῦ
κρείττονα δορυφόρων ποτὲ πληθὺν ἐπεσύ-
ρετο, ἧκέ τε πολιορκήσων, μᾶλλον δὲ καὶ
λίαν ἀμογητὶ, πᾶσαν ἐκ βάθρων αἱρήσειν Γ
ὑπειληφὼς τὴν ἁγίαν πόλιν. εἶτα προσε-
σάλευκε τῶν ὅπλων τὴν οὐκ ἀμελέτητον αὐ-
τῷ, κατειθισμένην δὲ σφόδρα κατὰ τοῦ Θεοῦ
γλωσσαλγίαν, μυρία δὲ ὅσα παλίμφημα
λέγων, προσεπεφώνει τὸ τελευταῖον τοῖς
» τὴν ἁγίαν οἰκοῦσι πόλιν· τάδε λέγει ὁ βα-
» σιλεὺς Ἀσσυρίων· εἰ βούλεσθε εὐλογηθῆναι,
πορεύεσθε πρός με. καὶ φάγεσθε ἕκαστος τὴν
[illegible]ελον αὐτοῦ, καὶ τὰς συκᾶς αὐτοῦ, καὶ
[illegible] ὕδωρ τοῦ λάκκου ὑμῶν, ἕως ἂν ἔλθω Δ
[illegible]έβω ὑμᾶς εἰς γῆν, ὡς ἡ γῆ ὑμῶν, γῆ
[illegible] καὶ οἴνου καὶ ἄρτων καὶ ἀμπελώνων.
[illegible] ὀλίγα. Ἀλλὰ τί ἂν βούλοιτο ταῦτα δη-
[illegible] εἰ πρὸς θεωρίαν ἄγοιτο τὴν πνευμα-
[illegible]; Κατὰ διττὸν οἶμαι τρόπον ἡ τῆς
[illegible]λότητος, ἐν ἡμῖν ἀποπεραίνεται δυνα-
[illegible]· ἢ γὰρ ταῖς θύραθεν ἡδοναῖς, ἢ ταῖς
[illegible]φύτοις καὶ ἐν ἡμῖν, ὑπό τε σφῶν αὐτῶν,
καὶ μὴν καὶ ἑτέρων ἐντρυφᾶν ἀναπειθό-
μενοι, πρὸς πᾶν ὁτιοῦν τῶν ἀπηχεστάτων,
διωλισθηκότες ἁλοῖεν ἂν οἱ πρὸς ἁμαρτίαν
εὔκολοι. ἐνδείξειε δ᾽ ἂν καὶ τοῦτο ἡμῖν, ὡς
ἐστὶν ἀληθὲς, τοῦ Σωτῆρος ὁ μαθητὴς, ὡδέ-
1. Ἰωάν. 2. 16. πη λέγων· ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ ἡ ἐπι-
» θυμία τῆς σαρκὸς, καὶ ἡ ἐπιθυμία τῶν
» ὀφθαλμῶν, καὶ ἡ ἀλαζονεία τοῦ βίου. ἔμφυ-
τος γὰρ καὶ ἐν ἡμῖν αὐτοῖς ἐῤῥιζωμένη καὶ
Ῥωμ. 7. 23. μένουσα τῆς σαρκὸς ἡ ἐπιθυμία· νόμον δὲ
» αὐτὴν ἁμαρτίας καὶ ὁ θεῖος ἡμῖν ὠνόμαζε
» Παῦλος, ἐνοικοῦντα τοῖς μέλεσι τῆς σαρ-
κός· τέρψεις δὲ καὶ ἡδοναὶ θύραθέν τε καὶ
εἰσπεποιημέναι, τὰ δι᾽ ὀμμάτων. θαυμάζε-
ται γὰρ τὰ ἐκ πλούτου δι᾽ ὀφθαλμῶν, καὶ
μὴν καὶ εὐιματίαι, καὶ τὰ οἷς ἂν προσκέοιν-
τό τινες, ὡς ἡδίστην ἔχοιεν τὴν ἀπόλαυσιν,
ψῆφον αὐτοῖς οὐκ ἀγεννῆ δωρούμενοι. οὐκοῦν

A ἄμπελος μὲν καὶ συκῆ, τῆς ἔξωθέν τε καὶ
εἰσπεποιημένης τέρψεώς τε καὶ τρυφῆς εἶεν
ἂν εἰς τύπον ὁμοῦ τῶν ἐν κόσμῳ πραγμάτων
τὸ πρόσκαιρόν τε καὶ εὐμάραντον ἀστείως
καταδεικνύουσαι, καὶ σὺν τῷδε τὸ γλυκὺ
μετὰ τοῦ σκοτοῦν εἰωθότος. τρυφὴ μὲν γὰρ
ἅπασα κοσμικὴ, γλυκεῖαν μὲν ἔχει τὴν
παραυτίκα μέθεξιν, σκοτεῖ δὲ δὴ λίαν καὶ
ἐκμεθύσκει δεινῶς τὸν εἰσδεδεγμένον αὐ-
τήν. εἰκὼν δὲ ὁ λάκκος τῶν ἐμφύτων τε
B καὶ ἐν ἡμῖν κινημάτων. οὐ γὰρ εἰσπεποίηται
ταυτὶ καθάπερ ἐκεῖνα, πηγάζει δὲ ὥσπερ
ἐν ἡμῖν. ἐξ αὐτῆς ἀναβρύοντα τῆς σαρκός.
τούτων οὖν ἁπάντων φυσικῶν τε καὶ ἐπακτῶν,
ἐλευθέραν ἡμῖν τὴν μέθεξιν, καὶ πλατεῖαν
κομιδῇ τὴν ἀπόλαυσιν, ἔσεσθαί φασιν αἱ
πονηραὶ δυνάμεις, εἰ καθάπερ ἁγίαν καὶ
ἀκατάσειστον καταλελοιπότες πόλιν, τὴν
ἐγκράτειαν, παραχωρήσαιμεν τῷ βασιλεῖ
Βαβυλῶνος, ὅς ἐστιν ἐν τύπῳ τοῦ Σατανᾶ.
Γ ἀλλ᾽ ὁ μὲν Ῥαψάκης τὸ παραυτίκα τερπνὸν
ἀνεῖναί τε αὐτοῖς καὶ ἐπιδώσεις ἐπηγγέλ-
λετο προσκεχωρηκόσι τοῖς Βαβυλωνίοις·
οἱ δὲ οὐκ ἐπείθοντο φρονοῦντες ὀρθῶς. ἔψε-
ται γὰρ πάντως τῷ θέλειν ἑλέσθαι τὰ κοσ-
μικὰ τὸ χρῆναι πεσεῖν εἰς ἀνεθέλητον δου-
λείαν, καὶ ἐν δορυκτήτων γενέσθαι τάξει.

** ΘΕΟΔΩΡΙΤΟΥ. Οὔτε οὗτος τῆς
λύττης, οὔτε ὁ δεσπότης Θεὸς μακροθυμίας
ὑπερβολὴν καταλέλοιπεν. οὗτος μὲν γὰρ πλήτ-
Δ τειν οὐ δυνάμενος ἔβαλεν· ὁ δὲ πάντα δυ-
νάμενος ἔφερε. δῆλος δέ ἐστιν ὁ Ῥαψάκης
ἄλλοις ἐπιστρατεῦσαι βουλόμενος. διὸ δὴ ἔφη,
» ἕως ἂν ἔλθω, καὶ λάβω ὑμᾶς.

λγ. Μὴ ῥυόμενοι ἐῤῥύσαντο οἱ
Θεοὶ τῶν ἐθνῶν ἕκαστος τὴν αὐτοῦ χώ-
ραν ἐκ χειρὸς βασιλέως Ἀσσυρίων;
λδ. Ποῦ ἐστιν ὁ Θεὸς Αἱμὰθ, καὶ Ἀρφάδ;
E ποῦ ἐστιν ὁ Θεὸς Σεπφαρουαὶμ, Ἀνὰ,
καὶ Ἀνὰ (1) μή τι ἐῤῥύσαντο (2) Σα-
λε. μάρειαν ἐκ χειρός μου; Τίς ἐν πᾶσι
τοῖς Θεοῖς τῶν γαιῶν, οἳ ἐξείλοντο
τὰς γαίας αὐτῶν ἐκ χειρός μου, ὅτι
ἐξελεῖται Κύριος τὴν Ἱερουσαλὴμ ἐκ
λϛ. χειρός μου; Καὶ ἐκώφευσαν καὶ οὐκ
ἀπεκρίθησαν αὐτῷ λόγον, ὅτι ἐντο-
Z λὴ τοῦ βασιλέως, λέγων, οὐκ ἀποκρι-
λζ. θήσεσθε αὐτῷ. Καὶ εἰσῆλθεν Ἐλια-
κεὶμ υἱὸς Χελκίου ὁ οἰκονόμος, καὶ Σομ-
νὰς ὁ γραμματεὺς, καὶ Ἰωὰς ὁ υἱὸς
Ἀσὰφ ὁ ἀναμιμνήσκων πρὸς Ἐζε-
κίαν διεῤῥηχότες τὰ ἱμάτια, καὶ ἀνήγ-
γειλαν αὐτῷ τοὺς λόγους Ῥαψάκου.



(1) Ἀβά. αἱ αὐτ. καὶ ἐν τῷ ιγ΄. ἐδ. τοῦ ἑξῆς κεφ. (2) Ἐξείλαντο. αἱ αὐτ.

ΚΕΦ. ΙΘ.

α. Καὶ ἐγένετο ὡς ἤκουσε (1) βα-
σιλεὺς Ἐζεκίας, καὶ διέῤ-
ῥηξε τὰ ἱμάτια αὐτοῦ, καὶ
περιεβάλετο σάκκον, καὶ εἰσῆλθεν
β. εἰς οἶκον Κυρίου. Καὶ ἀπέστειλεν Ἐλια-
κεὶμ τὸν οἰκονόμον, καὶ Σωμνὰν τὸν
γραμματέα, καὶ τοὺς πρεσβυτέρους
τῶν ἱερέων περιβεβλημένους σάκκους,
πρὸς Ἡσαΐαν υἱὸν Ἀμὼς τὸν προφή-
γ. την. Καὶ εἶπαν πρὸς αὐτὸν, τάδε
λέγει Ἐζεκίας, ἡμέρα θλίψεως καὶ
ἐλεγμοῦ καὶ παροργισμοῦ ἡ ἡμέρα αὕ-
τη· ὅτι ἦλγον (2) οἱ υἱοὶ ἕως ὠδίνων,
δ. καὶ ἰσχὺς οὐκ ἔστι τῇ τικτούσῃ. Εἴ πως
εἰσακούσεται Κύριος ὁ Θεός σου πάν-
τας τοὺς λόγους Ῥαψάκου, ὃν ἀπέστει-
λεν αὐτὸν βασιλεὺς Ἀσσυρίων ὁ κύ-
ριος αὐτοῦ ὀνειδίζειν Θεὸν ζῶντα, καὶ
βλασφημεῖν ἐν λόγοις οἷς ἤκουσε Κύ-
ριος ὁ Θεός σου, καὶ λήψῃ προσευχὴν
περὶ τοῦ λείμματος τοῦ εὑρισκομένου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλ' ὁ σοφώτατος
βασιλεὺς οὐχ ὅπλα ταῖς ἐκείνου βλασφη-
μίαις, ἀλλὰ προσευχὴν καὶ δάκρυα καὶ σάκ-
κον ἀντέταξε, καὶ τὸν προφήτην Ἡσαΐαν
γενέσθαι πρεσβευτὴν ἠντιβόλησεν. ἀξιά-
γαστα δὲ αὐτοῦ καὶ τὰ ῥήματα. ἡμέρα γὰρ
» ἔφη θλίψεως, καὶ ὀνειδισμοῦ, καὶ ἐλεγμοῦ,
» καὶ παροργισμοῦ ἡ ἡμέρα αὕτη, ὅτι ἦλθον
» οἱ υἱοὶ ἕως ὠδίνων, καὶ οὐκ ἔστιν ἰσχὺς τῇ τικ-
τούσῃ. ἐμπιπράμεθα, φησὶ, καὶ ἐξαπτόμε-
θα τῷ θυμῷ, τῶν ἀῤῥήτων ἐκείνων βλασ-
φημιῶν ἀκούσαντες, κολάσαι δὲ τοὺς ἄν-
δρας ἐκείνους τοὺς δυσσεβεῖς οὐ δυνάμεθα.
ὅθεν ἱκετεύομεν τὸν τῶν βλασφημιῶν ἐκεί-
νων ἀκηκοότα Δεσπότην διδάξαι τοὺς ἀνο-
σίους, ὡς οὐκ ἔστιν εἷς τῶν καλουμένων Θεῶν.

** ΤΟΥ ΑΥΤΟΥ. Ἔδραμε πρὸς τὸν
σὺν αὐτῷ πολεμούμενον τὸν τῶν ἁπάντων
δημιουργόν· μέτρα δὲ τῆς ἀρετῆς διακρί-
νειν εἰδὼς, οὐ μόνον ἱκετεύει τὸν τῶν ὅλων
Θεὸν, ἀλλὰ τὸν προφήτην Ἡσαΐαν εἰς ἐπι-
κουρίαν καλεῖ, καὶ πρεσβευτὴν γενέσθαι πα-
» ρακαλεῖ. τάδε λέγει Ἐζεκίας. ἐντεῦθεν
ἔστι καταμαθεῖν τὴν διαφορὰν τοῦ ῥήματος.
» ὁ μὲν γὰρ Ῥαψάκης ἔλεγε· τάδε λέγει ὁ
» βασιλεὺς ὁ μέγας ὁ βασιλεὺς Ἀσσυρίων.
οὗτοι δὲ τὸ μέτριον τοῦ πεπομφότος δηλοῦν-
τες καὶ δεικνύντες, οὔτε βασιλέα αὐτὸν ὀνο-
μάζουσιν, ἀλλὰ μόνου τοῦ ὀνόματος μέμνην-
» ται. Ὀνειδίζειν Θεὸν ζῶντα. Ὀνειδισμὸν
καλεῖ τὴν ἐκείνου βλασφημίαν. ἡμεῖς γὰρ
αἴτιοι τῆς βλασφημίας παρανόμως ποιοῦν-
τες, καὶ ἀξίους ἡμᾶς αὐτοὺς ἀποφαίνοντες
τῆς τιμωρίας. ἀλλ' ὅμως ὀργιζόμεθα μὲν
διὰ τὴν τῆς βλασφημίας ὑπερβολὴν, καὶ
κολάσαι τὸν ἀλιτήριον ἐφιέμεθα· ἐπιθεῖ-
ναι δὲ τῇ προθυμίᾳ τὸ πέρας οὐκ ἔτι δυνά-
μεθα· καὶ ἐοίκαμεν γυναικὶ κυούσῃ μὲν, καὶ
δεδεγμένῃ τῶν ὠδίνων τὴν προσβολὴν, τε-
κεῖν δὲ δι' ἀτονίαν οὐ δυναμένῃ. δηλοῖ δὲ καὶ
ταῦτα τοῦ βασιλέως τὴν ἀρετήν. ἐπαμύναι
Β γὰρ αὐτῷ τὸν Θεὸν ἱκετεύει, οὐ διὰ τὴν εὐ-
σέβειαν, ἧς πολλὴν ἐποιεῖτο φροντίδα·
ἀλλὰ διὰ τὴν τοῦ ἀλάστορος ἐκείνου μανιώδη
βλασφημίαν. τοῖς γὰρ οὐκ οὖσι Θεοῖς, φη-
σὶ, παραπλησίως τὸν ὄντα ὠνείδιζε. ἐπει-
δὴ δὲ τὰς δέκα φυλὰς ἠνδραπόδισε, καὶ
πλείστας τῆς Ἰουδαίας ἐπολιόρκει, εἰκότως
τοὺς εἰς τὴν Ἱερουσαλὴμ καταπεφευγότας
λείψανον ὀνομάζει.

ε. Καὶ ἦλθον οἱ παῖδες τοῦ βασι-
ς. λέως Ἐζεκίου πρὸς Ἡσαΐαν. Καὶ εἶ-
πεν αὐτοῖς Ἡσαΐας, τάδε ἐρεῖτε πρὸς
τὸν κύριον ὑμῶν, τάδε λέγει Κύριος,
μὴ φοβηθῇς ἀπὸ προσώπου τῶν λό-
γων ὧν ἤκουσας, ὧν ἐβλασφήμησαν
τὰ παιδάρια βασιλέως Ἀσσυρίων.

** ΘΕΟΔΩΡΙΤΟΥ. Ταῦτα ὁ μὲν Ἐζε-
κίας ἐδήλωσεν. οἱ δέ γε σταλέντες τὸν Προ-
φήτην ἐδίδαξαν· ὁ δὲ τοῦ προφήτου Θεὸ
Δ προλαμβάνει τοῦ Προφήτου ἱκετείαν
ἐπήκοος αὐτῷ γέγονε, κατὰ τὸ λεχθ
» λαλοῦντός σου ἐρῶ, ἐγὼ πάρειμι. μὴ
» θῇς ἀπὸ τῶν λόγων ὧν ἤκουσας. ἐ
ἐκοινώνησα τῆς λοιδορίας, ἐγώ σοι κ
νήσω τῆς μάχης· ἐγὼ τὴν βλασφ
ἀνεδεξάμην, ἐγὼ τὴν τιμωρίαν παρ

ζ. Ἰδοὺ ἐγὼ δίδωμι ἐν αὐτῷ πνε
μα, καὶ ἀκούσεται ἀγγελίαν, καὶ ἀπο-
Ε στραφήσεται εἰς τὴν γῆν αὐτοῦ· καὶ
καταβαλῶ αὐτὸν ἐν ῥομφαίᾳ ἐν τῇ
γῇ αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Παραυτίκα δὲ τὴν
ἱκετείαν δεξάμενος ὁ φιλάνθρωπος Θεὸς,
ἀπεσκέδασε τοῦ βασιλέως τὸ δέος. ἰδοὺ γὰρ
» ἔφη δίδωμι πνεῦμα ἐν αὐτῷ, καὶ ἀκούσεται
» ἀγγελίαν πονηρὰν, καὶ ἀποστραφήσεται
» εἰς τὴν χώραν αὐτοῦ· καὶ καταβαλῶ αὐτὸν
» ἐν ῥομφαίᾳ ἐν τῇ γῇ αὐτοῦ. τὸ δὲ, ἰδοὺ ἐγὼ
Ζ » δίδωμι πνεῦμα ἐν αὐτῷ, τὴν δειλίαν οἶμαι
δηλοῦν. καὶ γὰρ ὁ θεῖος Παῦλος οὕτω φησίν·
» οὐ γὰρ ἔδωκεν ἡμῖν πνεῦμα δειλίας. 2. Τιμ. 1. 7.

η. Καὶ ἀπέστρεψε Ῥαψάκης, καὶ
εὗρε τὸν βασιλέα Ἀσσυρίων πολεμοῦν-
τα ἐπὶ Λοβνὰ, ὅτι ἤκουσεν ὅτι ἀπῆ-
θ. ρεν ἀπὸ Λάχεις. Καὶ ἤκουσε περὶ
Θαρακὰ βασιλέως Αἰθιόπων, λέ-
γων, ἰδοὺ ἐξῆλθε πολεμεῖν μετὰ σοῦ·
Η καὶ ἐπέστρεψε καὶ ἀπέστειλεν ἀγγέλους
πρὸς Ἐζεκίαν, λέγων, οὕτως ἐρεῖτε
Ἐζεκίᾳ βασιλεῖ τῆς Ἰουδαίας,

ΘΕΟΔΩ-

(1) Ἤκουσαν ὁ βασ. αἱ αὐτ.

(2) Ἦλθον υἱοί. αἱ αὐτ.

** ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ἀπέστρεψε
Ῥαψάκης. Κατὰ τὴν θείαν πρόῤῥησιν ἀνε-
χώρησαν· οὐ μὴν τῆς λύπης ἐπαύσατο.

* ΤΟΥ ΑΥΤΟΥ. Ἡ δὲ τοῦ Θεοῦ πρόῤ-
ῥησις εὐθὺς τὸ τέλος ἐδέξατο. Φήμης γὰρ
θρυλληθείσης ὡς τῶν Αἰθιόπων ὁ βασιλεὺς
ἐπεστράτευσε, δείσας ὁ Σεναχηρεὶμ ὑπε-
χώρησε, τὴν πάσης δυσσεβείας μεστὴν ἀπο-
στείλας ἐπιστολήν.

ι. Μὴ ἐπαιρέτω σε ὁ Θεός σου ἐφ'
ᾧ σὺ πέποιθας ἐπ' αὐτῷ, λέγων, οὐ
μὴ παραδοθῇ Ἱερουσαλὴμ εἰς χεῖρας
ια. βασιλέως Ἀσσυρίων. Ἰδοὺ σὺ ἤκουσας
πάντα ὅσα ἐποίησαν βασιλεῖς Ἀσσυ-
ρίων πάσαις ταῖς γαίαις τοῦ ἀναθε-
ιβ. ματίσαι αὐτάς· καὶ σὺ ῥυσθήσῃ; Μὴ
ἐξείλοντο αὐτοὺς οἱ Θεοὶ τῶν ἐθνῶν,
οὓς διέφθειραν οἱ πατέρες μου, τήν τε
Γωζὰν, καὶ τὴν Χαῤῥὰν, καὶ τὴν Ῥα-
φὲς, καὶ υἱοὺς Ἐδὲμ τοὺς Θαλασσα-
ιγ. ρείμ; Ποῦ ἐστὶν ὁ βασιλεὺς Αἱμὰθ,
καὶ ὁ βασιλεὺς Ἀρφάδ; καὶ ποῦ ἐστὶν
ὁ βασιλεὺς τῆς πόλεως Σεπφαρουαὶμ
ιδ. Ἀνὰ, καὶ Ἀβά; Καὶ ἔλαβεν Ἐζε-
[illegible]ίας τὰ βιβλία ἐκ χειρὸς τῶν Ἀγγέ-
[illegible]ν καὶ ἀνέγνω αὐτά. καὶ ἀνέβη εἰς
[illegible] Κυρίου, καὶ ἀνέπτυξεν αὐτὰ Ἐ-
[illegible] ἐναντίον Κυρίου, Καὶ εἶπε, Κύ-
[illegible]θεὸς Ἰσραὴλ ὁ καθήμενος ἐπὶ
[illegible]ερουβὶμ, σὺ εἶ ὁ Θεὸς μόνος ἐν
[illegible] ταῖς βασιλείαις τῆς γῆς, σὺ
[illegible]σας τὸν οὐρανὸν καὶ τὴν γῆν.
[illegible]ον Κύριε τὸ οὖς σου καὶ ἄκουσον,
[illegible]οιξον Κύριε τοὺς ὀφθαλμούς σου καὶ
ἴδε, καὶ ἄκουσον τοὺς λόγους Σεναχη-
ρεὶμ οὓς ἀπέστειλεν ὀνειδίζειν Θεὸν ζῶν-
ιζ. τα. Ὅτι ἐν ἀληθείᾳ Κύριε ἠρήμω-
ιη. σαν βασιλεῖς Ἀσσυρίων τὰ ἔθνη, Καὶ
ἔδωκαν τοὺς Θεοὺς αὐτῶν εἰς πῦρ, ὅτι
οὐ Θεοί εἰσιν, ἀλλ' ἢ ἔργα χειρῶν ἀν-
θρώπων ξύλα καὶ λίθοι, καὶ ἀπώλε-
ιθ. σαν αὐτούς. Καὶ νῦν Κύριε ὁ Θεὸς
ἡμῶν, σῶσον ἡμᾶς ἐκ χειρὸς αὐτοῦ,
καὶ γνώσονται πᾶσαι αἱ βασιλεῖαι τῆς
γῆς, ὅτι σὺ εἶ Κύριος ὁ Θεὸς μόνος.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ἀλλὰ ταύτην ὁ σο-
φώτατος βασιλεὺς ἀναπτύξας ἐν τῷ ναῷ,
τὴν θαυμασίαν ἐκείνην προσενήνοχε φω-
νήν. Κύριε παντοκράτωρ ὁ Θεὸς Ἰσραὴλ ὁ
καθήμενος ἐπὶ τῶν Χερουβὶμ, σὺ εἶ ὁ Θεὸς
μόνος ἐπὶ πάσαις ταῖς βασιλείαις τῆς γῆς·
σὺ ἐποίησας τὸν οὐρανὸν καὶ τὴν γῆν. ἐκεῖ-
νοί σε, φησὶν, ἐπονομάζουσιν ἕνα τῶν πολ-
λῶν τῶν οὐκ ὄντων· ἐγὼ δέ σε μόνον οἶδα
Θεὸν ποιητὴν τῶν ἁπάντων. κλῖνον Κύριε
τὸ οὖς σου, καὶ ἐπάκουσον, ἄνοιξον τοὺς ὀφ-
A θαλμούς σου καὶ ἴδε· καὶ ἄκουσον τοὺς λόγους
Σεναχηρεὶμ βασιλέως Ἀσσυρίων, οὓς ἀπέ-
στειλεν ὀνειδίζειν Θεὸν ζῶντα. τὸ δὲ, κλῖνον
καὶ ἄκουσον, ἀνθρωπίνως τέθεικε, μετ' εὐ-
μενείας δεχθῆναι τὴν ἱκετείαν ἀντιβολῶν.
ἐπ' ἀληθείας γὰρ Κύριε ἠρήμωσαν βασι-
λεῖς Ἀσσυρίων καὶ τὰ ἔθνη, καὶ τὴν γῆν
αὐτῶν, καὶ ἔδωκαν τοὺς Θεοὺς αὐτῶν εἰς τὸ
πῦρ. οὐ γὰρ ἦσαν Θεοὶ, ἀλλ' ἔργα χειρῶν
ἀνθρώπων, ξύλα καὶ λίθοι, καὶ ἀπώλε-
B σαν αὐτούς. τοῦτό φησι τὸν ἀνόσιον τοῦτον
ἐκίνησεν εἰς ἀσέβειαν. ᾠήθη γάρ σε ὅμοιον
εἶναι τῶν οὐκ ὄντων Θεῶν. ἀλλὰ τῇ πείρᾳ
μαθέτω, Δέσποτα, πόσον τὸ διάφορον ἀλη-
θινοῦ Θεοῦ καὶ ψευδοῦς. ἀλλὰ γὰρ (1) οἶμαι
τὰ αὐτὰ λέγειν τὸν προφήτην Ἡσαΐαν.
ἐκεῖνον γὰρ ἑρμηνεύων ταῦτα ἀνέπτυξα.

** ΤΟΥ ΑΥΤΟΥ. Εἰπὼν δὲ, ἵνα γνῶ-
σι πᾶσαι αἱ βασιλεῖαι τῆς οἰκουμένης ὅτι
σὺ εἶ Θεὸς μόνος, δηλοῖ ὅτι πρόγνωσις θεο-
Γ σεβείας ἡ ἡμετέρα σωτηρία γενήσεται, ὅταν
τοὺς μὲν ἄλλους πάντας εἴδωσιν ἡττηθέντας,
ἡμᾶς δὲ μόνους κεκρατηκότας. ἰδόντες δὲ
τὸ διάφορον, καὶ μαθήσονται ὅτι σὺ μόνος
ὑπάρχεις Θεός.

κ. Καὶ ἀπέστειλεν Ἡσαΐας υἱὸς Ἀ-
μὼς πρὸς Ἐζεκίαν, λέγων, τάδε λέ-
γει Κύριος ὁ Θεὸς τῶν δυνάμεων (2)
ὁ Θεὸς Ἰσραὴλ, ἤκουσα ἃ προσηύξω
Δ πρός με περὶ Σεναχηρεὶμ βασιλέως
Ἀσσυρίων.

κα. Οὗτος ὁ λόγος ὃν ἐλάλησε Κύ-
ριος πρὸς αὐτὸν, ἐξουδένωσέ σε καὶ ἐμυκ-
τήρισέ σε παρθένος θυγάτηρ Σιὼν,
ἐπὶ σοὶ κεφαλὴν αὐτῆς ἐκίνησε θυ-
κβ. γάτηρ Ἱερουσαλήμ. Τίνα ὠνείδισας
καὶ ἐβλασφήμησας; καὶ ἐπὶ τίνα ὕψω-
E σας φωνὴν, καὶ ἦρας εἰς ὕψος τοὺς ὀφ-
θαλμούς σου; εἰς τὸν ἅγιον τοῦ Ἰσραήλ;

** ΘΕΟΔΩΡΙΤΟΥ. Θυγατέρα αὐ-
τὴν ὀνομάζει, τὴν οἰκειότητα δεικνύς· τὴν
αὐτὴν δὲ καλεῖ καὶ Σιὼν, καὶ Ἱερουσαλήμ.
εὐτελῆ σε, φησὶν, ἐνόμισε καὶ εὐχείρωτον,
ὡς οὐδὲ δισχιλίων εὐποροῦσαν ἱππέων, ἀλ-
λὰ τῆς Αἰγυπτίων δεομένην ἐπικουρίας, καὶ
ἀπειλῶν σοι τὸν ὄλεθρον ἐκίνει τὴν κεφα-
λήν. ἐνόμισας ἕνα με τῶν ἄλλων εἶναι τῶν
Z ψευδωνύμων Θεῶν· δέον εἰς τὸν οὐρανὸν
ἀναβλέψαι, καὶ τὴν ἐμὴν δεσποτείαν ἰδεῖν.
ἱκανὰ δὲ ἦν καὶ τὰ περὶ τὸν Ἰσραὴλ γεγε-
νημένα τὴν ἐμὴν διδάξαι δύναμιν· ἀλλὰ
τῇ ῥώμῃ καὶ τῇ δυναστείᾳ θαῤῥῶν, συνιδεῖν
οὐκ ἠθέλησε τὸ διάφορον.

κγ. Ἐν χειρὶ ἀγγέλων σου ὠνείδι-
σας Κύριον, καὶ εἶπας, ἐν τῷ πλήθει
τῶν ἁρμάτων μου ἐγὼ ἀναβήσομαι εἰς
H ὕψος ὀρέων μέρους (3) τοῦ Λιβάνου, καὶ
ἔκοψα τὸ μέγεθος τῆς κέδρου αὐτοῦ,

(1) Ἀλλὰ γὰρ περιττὸν οἶμαι ταυτολογεῖν. ταῦτα γὰρ τὸν προφήτην Ἡσαΐαν ἑρμην. ἡ ἐν Χαλ. ἐκδ.
(2) Δυνάμεων Θεός. αἱ αὐτ.
(3) Μηροὺς τοῦ Λιβάν. αἱ αὐτ.

τὰ ἐκλεκτὰ κυπαρίσσων αὐτȣ͂, καὶ
ἦλθον εἰς μέρος τέλȣς αὐτȣ͂ δρυμȣ͂
κδ. Καρμήλȣ αὐτȣ͂. Ἐγὼ ἐφύλαξα καὶ
ἔπιον ὕδατα ἀλλότρια, καὶ ἐξηρήμω-
σα τῷ ἴχνει τȣ͂ ποδός μȣ πάντας πο-
ταμȣ̀ς περιοχῆς.

✻✻ ΘΕΟΔΩΡΙΤΟΥ. Τροπικῶς ἅπαν-
τα εἴρηκε· κέδρȣς καὶ κυπαρίσσȣς, τȣ̀ς βα-
σιλέας καὶ τοπάρχας καλῶν· Λίβανον δὲ,
τὰ ἔθνη· Κάρμηλον δὲ, τὸν Ἰσραὴλ ὠνό-
μασεν. ὅθεν ἐπὶ μὲν τȣ͂ Λιβάνȣ, καὶ τὰ
ἔσχατα τέτȣ τέθεικεν· ἐπὶ δὲ τȣ͂ Καρμή-
λȣ, μέρος ἔφη· δεικνὺς, ὅτι τῶν μὲν ἐθ-
νῶν ἐκείνων ἁπάντων ἐκράτησαν, τȣ͂ δὲ
Ἰσραὴλ ȣ̓ παντός. διέμεινε γὰρ ἀχείρωτος
ἡ μητρόπολις. ὕδατα δὲ, τὰ πλήθη καλεῖ.

κε. Ἔπλασα αὐτὴν, καὶ ἤγαγον
αὐτήν. καὶ ἐγενήθη εἰς ἐπάρσεις ἀποι-
κεσιῶν μαχίμων πόλεις ὀχυράς.

κς. Καὶ οἱ ἐνοικȣ͂ντες ἐν αὐταῖς
ἠσθένησαν τῇ χειρὶ, ἔπτηξαν καὶ κα-
τῃσχύνθησαν· ἐγένοντο χόρτος ἀγρȣ͂,
ἢ χλωρὰ βοτάνη, ἢ χλόη δωμάτων,
καὶ πατήματα ἀπέναντι ἑστηκότος.

✻✻ ΘΕΟΔΩΡΙΤΟΥ. Ἤνθησαν, φησὶ,
καθ᾽ ὅσον ἠθέλησα χρόνον. εἶτα τῆς ἐμῆς
αὐτȣ̀ς κηδεμονίας ἐγύμνωσα, καὶ τὸ πρό-
τερον ἀπέβαλον ἄνθος.

κζ. Καὶ τὴν καθέδραν σȣ καὶ τὴν
ἔξοδόν σȣ καὶ τὴν εἴσοδόν σȣ ἔγνων,
καὶ τὸν θυμόν σȣ ἐπ᾽ ἐμέ.

κη. Διὰ τὸ ὀργισθῆναί σε ἐπ᾽ ἐμὲ,
καὶ τὸ στρῆνός σȣ ἀνέβη ἐν τοῖς ὠσί-
μȣ. καὶ θήσω τὰ ἄγκιστρά μȣ ἐν τοῖς
μυκτῆρσί σȣ, καὶ χαλινὸν ἐν τοῖς χεί-
λεσί σȣ, καὶ ἀποστρέψω σε ἐν τῇ ὁδῷ
ᾗ ἦλθες ἐν αὐτῇ.

✻✻ ΘΕΟΔΩΡΙΤΟΥ. Ὡς ἀλόγῳ κέ-
χρηται τῷ τὸ λογικὸν διαφθείραντι. ἐν
Ψαλ 31. 9. χαλινῷ γάρ φησι, καὶ κημῷ, τὰς σιαγόνας
αὐτῶν ἄγξεις, τῶν μὴ ἐγγιζόντων πρὸς
σέ. ἔδειξε δὲ αὐτὸν καὶ δȣλικὴν ἔχοντα
φύσιν. ἐπειδὴ γὰρ αὐτοὶ τοῖς οἰκέταις πε-
ριτιθέασι τȣ̀ς ἐκ δερμάτων κημȣ̀ς, εἰκό-
τως ὡς οἰκέτῃ πονηρῷ ὑπείλησεν αὐτῷ τὸν
κημὸν περιθήσειν.

κθ. Καὶ τȣ͂τό σοι τὸ σημεῖον· φά-
γῃ τȣ͂τον τὸν ἐνιαυτὸν αὐτόματα, καὶ
τῷ ἔτει τῷ δευτέρῳ τὰ ἀνατέλλοντα,
καὶ ἔτει τῷ τρίτῳ σπορὰ καὶ ἄμητος
καὶ φυτεία ἀμπελώνων, καὶ φάγεσθε
τὸν καρπὸν αὐτῶν.

✻✻ ΘΕΟΔΩΡΙΤΟΥ. Ἐπειδὴ γὰρ πο-
λιορκȣ́μενοι γεωργεῖν ȣ̓κ ἠδύναντο, αὐτο-
φυεῖς αὐτοῖς δέδωκε καρπȣ̀ς ὁ Θεός· καὶ
τῷ δευτέρῳ ἔτει ὡσαύτως, διὰ τὴν σπάνιν,
ὡς ἔοικε, τῶν σπερμάτων καὶ τῶν βοῶν· εἶτα

A τῷ τρίτῳ ἔτει παντοδαπῶν αὐτοῖς καρπῶν
ἀφθονίαν ὑπέσχετο.

λ. Καὶ προσθήσει τὸν διασεσωσ-
μένον οἴκȣ Ἰȣ́δα τὸ ὑπολειφθὲν ῥίζαν
κάτω, καὶ ποιήσει καρπὸν ἄνω.

λα. Ὅτι ἐξ Ἱερȣσαλὴμ ἐξελεύ-
σεται κατάλειμμα, καὶ ἀνασωζόμε-
νος ἐξ ὄρȣς Σιών. ὁ ζῆλος Κυρίȣ τῶν
B δυνάμεων ποιήσει τȣ͂το.

✻✻ ΘΕΟΔΩΡΙΤΟΥ. Οἱ ἀνασωζόμενοι
ἐξ ὄρȣς Σιών. Ἐκεῖ γὰρ τῆς οἰκȣμένης ἤν-
θησε σωτηρία. καὶ τὸ ἐκείνων κατάλειμ-
μα, τȣτέστιν οἱ θεῖοι Ἀπόστολοι, τὴν οἰκȣ-
μένην εἰς θεογνωσίαν ἐπέστρεψαν. τȣ́των
δὲ πάντων αἴτιος ὁ τῶν ὅλων Θεός. ὁ ζῆ-
λος Κυρίȣ Σαβαὼθ ἐποίησε ταῦτα. τȣτέ-
στιν ἐπὶ πλεῖστον αὐτῶν φυλάξω τὸ γένος.
ζηλώσας γὰρ διά τε τὸ ὄνειδος τῆς Ἱερȣ-
Γ σαλὴμ, καὶ διὰ τὴν βλασφημίαν, παρέξει
τὴν σωτηρίαν.

λβ. Οὐχ ȣ̔́τω; τάδε λέγει Κύ-
ριος πρὸς βασιλέα Ἀσσυρίων, ȣ̓κ εἰσε-
λεύσεται εἰς τὴν πόλιν ταύτην φησὶ
Κύριος, καὶ ȣ̓ τοξεύσει ἐκεῖ βέλος, καὶ
ȣ̓ προφθάσει ἐπ᾽ αὐτὴν θυρεὸς, καὶ
ȣ̓ μὴ ἐκχέῃ πρὸς αὐτὴν πρόσχωμ[α.]
λγ. Τῇ ὁδῷ ᾗ ἦλθεν, ἐν αὐτῇ ἀποσ[τραφή-]
Δ σεται, καὶ εἰς τὴν πόλιν ταύτ[ην ȣ̓ μὴ]
εἰσελεύσεται, λέγει Κύριος.

λδ. Καὶ ὑπερασπιῶ ὑπὲρ τ[ῆς πό-]
λεως ταύτης δι᾽ ἐμὲ καὶ διὰ Δ[αβὶδ]
τὸν δȣ͂λόν μȣ.

✻✻ ΘΕΟΔΩΡΙΤΟΥ. Ἔλεγχος τ[...]
τῶν τὴν πόλιν οἰκȣ́ντων. δι᾽ ἐμὲ γὰρ ἔφ[η,]
καὶ διὰ Δαβὶδ τὸν παῖδά μȣ τῆς πόλεως
E φροντιῶ, διὰ τὴν ἐμὴν ἀγαθότητα, καὶ
διὰ τὴν ἐκείνȣ μνήμην. οἰκιστὴς γὰρ ἐκεῖ-
νος τῆς πόλεως, καὶ γνήσιος θεράπων ἐμός.
ζητητέον δὲ τί δήποτε ȣ̓ τȣ͂ Ἐζεκίȣ, ἀλλὰ
τȣ͂ Δαβὶδ ἐμνημόνευσεν. ἔγωγε οἶμαι, ὅτι
τὸ φρόνημα κωλύων, ȣ̓κ αὐτῷ τὴν αἰτίαν
τῆς σωτηρίας, ἀλλὰ τῷ Δαβὶδ ἀνατέθει-
κεν. εἰ γὰρ καὶ τȣ́των ȣ̔́τως εἰρημένων, ἡ
ἱστορία φησὶν, ὅτι μετὰ ταῦτα ὑψώθη ἡ
καρδία Ἐζεκίȣ τȣ͂ βασιλέως, τί ȣ̓κ ἂν ἔπα-
Z θεν αὐτὸς τῆς σωτηρίας αἴτιος ὀνομασθείς;
τȣ́τȣ χάριν, ȣ̓δὲ τὸν Ἡσαΐαν, καίτοι προ-
φήτην ὄντα, καὶ προφήτην ἐπισημότα-
τον, ἀξιόχρεων ἐκάλεσε τῆς πόλεως σύμ-
μαχον· ἀλλὰ τȣ̀ς ὄντας καταλιπὼν εἰς ἀρε-
τὴν, μνήμην τῶν παρελθόντων ποιεῖται·
καὶ διδάσκει, ὡς ἀνθεῖ παρ᾽ αὐτῷ διηνεκῶς
τῶν δικαίων ἡ μνήμη.

✻✻ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐπειδὴ πολλὴ
τȣ͂ Δεσπότȣ ἡ ἀγαθότης, καὶ πολλάκις οἶδε
H δι᾽ ὀλίγȣς δικαίȣς τῶν πολλῶν χαρίζεσθαι
τὴν σωτηρίαν. καὶ τί λέγω δι᾽ ὀλίγȣς δι-
καίȣς; πολλάκις ὅταν μὴ εὑρεθῇ ἐν τῷ πα-
ρόντι βίῳ δίκαιος, διὰ τὴν τῶν τετελευ-
τηκότων ἀρετὴν τῶν ζώντων κήδεται, καὶ
βοᾷ,

Α βοᾷ, λέγων, ὑπερασπιῶ τῆς πόλεως ταύτης δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν παῖδά μου. εἰ καὶ αὐτοὶ, φησὶν, ἀνάξιοί εἰσι τοῦ σώζεσθαι, καὶ οὐδεμίαν ἀφορμὴν ἔχουσι σωτηρίας, ἀλλ' ἐπειδὴ τὸ φιλανθρωπεύεσθαι σύνηθες ἐμοὶ, καὶ περὶ τὸ ἐλεεῖν εἰμὶ ἕτοιμος, καὶ ἐξαρπάζειν τῶν δεινῶν, δι' ἐμαυτὸν ποιήσω καὶ διὰ τὸν παῖδά μου Δαβὶδ ὑπερασπισμόν. καὶ ὁ πρὸ τοσούτων ἐτῶν τοῦ βίου μεταστὰς, οὗτος αἴτιος τῆς σωτηρίας γίνεται τοῖς ὑπὸ
Β τῆς οἰκείας ῥαθυμίας προδεδομένοις. εἶδες φιλανθρωπίαν Δεσπότου, πῶς τιμᾷ τοὺς ἐν ἀρετῇ διαλάμποντας, πῶς αὐτοὺς προτίθησι, καὶ ἀνταξίους δείκνυσι παντὸς τοῦ πλήθους;

** ΝΕΙΛΟΥ. Ὑπερασπιῶ, φησὶν, ὁ Θεὸς, τῆς πόλεως ταύτης, δι' ἐμὲ, καὶ διὰ Δαβὶδ τὸν δοῦλόν μου. Πόλιν νῦν νοήσωμεν τὴν πιστοτάτην ψυχήν.

** ΙΣΙΔΩΡΟΥ. Θεῖόν ἐστι χρῆμα ἡ
Γ ἀρετὴ, ὦ μακάριε, καὶ θεοφιλὲς, καὶ μακάριον, καὶ ἀθάνατον, καὶ ὑπὸ λήθης μὴ ἡττώμενον. ἀοίδιμος μὲν γάρ ἐστι παρὰ ἀνθρώποις, παρὰ δὲ Θεῷ ἀείμνηστος, τῷ πο-
Ματθ. 22. 32. τὲ μὲν φράζοντι· ἐγὼ ὁ Θεὸς Ἀβραὰμ καὶ Ἰσαὰκ καὶ Ἰακώβ· ποτὲ [δὲ,] ὑπερασπιῶ τῆς πόλεως ταύτης τοῦ σῶσαι αὐτὴν, διὰ Δα[illegible]δ τὸν παῖδά μου. εἰς τοσοῦτον ἥκουσι τῷ [illegible] φροντίδος τε καὶ τιμῆς, καὶ τελευ[illegible]τες, οἷς ἀρετὴ περισπούδαστον. εἰ δὲ
Δ [illegible]α οὕτως αὐτοὺς ἀνακηρύττει, ποίαις [illegible]ψεται αὐτοὺς ἐκεῖσε δωρεαῖς;

Καὶ ἐγένετο ἕως νυκτὸς, καὶ [illegible]εν Ἄγγελος Κυρίου καὶ ἐπά[illegible] ἐν τῇ παρεμβολῇ τῶν Ἀσσυ[illegible]κατὸν ὀγδοήκοντα πέντε χιλιά[illegible]ς. καὶ ὤρθρισαν τὸ πρωῒ, καὶ ἰδοὺ πάντες σώματα νεκρά. Καὶ ἀπῆρε
Ε καὶ ἐπορεύθη καὶ ἀπέστρεψε Σενναχηρεὶμ βασιλεὺς Ἀσσυρίων, καὶ ᾤκησεν
λζ. ἐν Νινευῆ. Καὶ ἐγένετο αὐτοῦ προσκυνοῦντος ἐν οἴκῳ Νεσερὰχ (1) τοῦ Θεοῦ αὐτοῦ, καὶ Ἀδραμέλεχ καὶ Σαρασὰρ οἱ υἱοὶ αὐτοῦ ἐπάταξαν αὐτὸν ἐν μαχαίρᾳ· καὶ αὐτοὶ διεσώθησαν εἰς γῆν Ἀραράτ. καὶ ἐβασίλευσεν Ἀσορδὰμ (2) ὁ υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ὑποστρέψας ὁ Σεναχήριβος ἀπὸ τοῦ τῶν Αἰγυπτίων πολέμου εἰς τὰ Ἱεροσόλυμα κατέλαβεν ἐκεῖ τὴν ὑπὸ τῷ στρατηγῷ Ῥαψάκῃ δύναμιν διὰ λοιμοῦ κινδυνεύουσαν. καὶ γὰρ Θεοῦ λοιμικὴν ἐνσκήψαντος αὐτοῦ τῷ στρατῷ νόσον, κατὰ τὴν πρώτην τῆς πολιορκίας νύκτα διαφθείρονται μυριάδες ὀκτωκαίδεκα καὶ πεντακισχίλιοι σὺν ἡγεμόσι καὶ ταξιάρχαις. ὑπὸ ταύτης δὲ τῆς συμφορᾶς εἰς φόβον καὶ δει-
Β νὴν ἀγωνίαν καταστὰς, καὶ δείσας περὶ τῷ στρατῷ παντὶ, φεύγει μετὰ τῆς λοιπῆς δυνάμεως εἰς τὴν αὐτοῦ βασιλείαν εἰς τὴν Νίνου προσαγορευθεῖσαν. καὶ διατρίψας ἐν ταύτῃ ὀλίγον χρόνον, δολοφονηθεὶς ὑπὸ τῶν πρεσβυτέρων παίδων Ἀδραμελέχου καὶ Σαρασάρου, τελευτᾷ τὸν βίον, καὶ ἀνῃρέθη τῷ ἰδίῳ ναῷ Ἀράσκῃ λεγομένῳ. καὶ οἱ μὲν φυγαδευθέντες ἐπὶ τῷ φόνῳ τοῦ πατρὸς ὑπὸ τῶν πολιτῶν εἰς τὴν Ἀρμενίαν
Γ ἀπῆραν. διαδέχεται δὲ τὴν βασιλείαν Σεναχηρίβου Ἀσσαραχόδας.

* ΘΕΟΔΩΡΙΤΟΥ. Συντόμως τοίνυν ἐρῶ, ὡς τὴν ἱκετείαν ὁ Δεσπότης δεξάμενος, νύκτωρ ἐν ἀκαρεῖ ὀκτωκαίδεκα μυριάδας τῶν Ἀσσυρίων, καὶ πεντακισχιλίους, τῷ θανάτῳ παρέπεμψεν. ὁ δὲ Σενναχηρεὶμ τὸν θάνατον διέφυγεν, ἵνα πᾶσι μηνύσῃ ὅση τοῦ Θεοῦ τῶν Ἰουδαίων ἡ δύναμις. εὐθὺς δὲ παρὰ τῶν παίδων ἐδέξατο τὴν δικαίαν
Δ σφαγήν. ἐπειδὴ γὰρ κατὰ τοῦ πεποιηκότος ἐλύττησεν, ὑπὸ τῶν φύντων ὑπέμεινε τὴν ἀναίρεσιν. Ἀραρὰτ δὲ τὴν Ἀρμενίαν ἐκάλεσεν. ἡ γὰρ προφητεία τοῦ Ἡσαΐου ταύτην ἔχει τὴν ἑρμηνείαν. καὶ τὰ περὶ τῆς ἀῤῥωστίας δὲ ἐν τῇ τοῦ θεσπεσίου Ἡσαΐου προφητείᾳ δῆλα πεποιηκὼς, παρέλκον οἶμαι δὶς τὴν αὐτὴν ἑρμηνείαν ποιήσασθαι.

** ΙΣΙΔΩΡΟΥ. Ἐπειδὴ ὁ Σεναχειρὴμ
Ε ἀνθρωπίνης φύσεως καὶ δυνάμεως μείζονα ἠπείλησε τῷ Ἐζεκίᾳ, διὰ τοῦτο ἔγνω τῆς οἰκείας ἀσθενείας τὴν οὐδένειαν. ὁ γὰρ ἐξ ἐπιδρομῆς καὶ αὐτοβοεὶ προσδοκήσας ἑλεῖν τὴν Ἱερουσαλὴμ, πᾶσαν σχεδὸν τὴν στρατιὰν ἄνευ πολέμου καὶ μάχης ἀποβαλὼν, ἀγαπητὸν ἡγήσατο καὶ διασωθῆναι μόνον. διαφυγὼν δ' οἴκαδε, ὑπὸ τῶν οἰκείων ἀνῃρέθη, ἵν' ὁμοῦ καὶ τὴν οἰκείαν ἀσθένειαν γνοίη, καὶ μὴ διαφύγοι τὴν δίκην.

ΚΕΦ. Κ.

α. Ἐν ταῖς ἡμέραις ἐκείναις ἠῤῥώστησεν Ἐζεκίας εἰς θάνατον. καὶ εἰσῆλθε πρὸς αὐτὸν Ἡσαΐας υἱὸς Ἀμὼς ὁ προφήτης, καὶ εἶπε πρὸς αὐτὸν, τάδε λέγει Κύριος, ἔντειλαι τῷ οἴκῳ σου, ὅτι ἀποθνήσκεις σὺ καὶ οὐ ζήσῃ.

** ΙΣΙΔΩΡΟΥ. Ὅτε Ἐζεκίου βασιλεύοντος, πᾶσαν τὴν Περσίδα ἄγων ἐπῆλθε τῇ Ἱερουσαλὴμ ὁ βάρβαρος, καὶ τρόπαιον ἔστη θαυμαστὸν καὶ θεῖον καὶ τῶν πώποτε γενομένων ἐπισημότερον, τότε δὴ φυσηθέντι τῷ Ἐζεκίᾳ, καὶ ὑπὸ τῆς χαρᾶς μεῖζον ἢ κατὰ ἄνθρωπον φρονήσαντι, ἐπετέθη ὁ τῆς ἀῤῥωστίας χαλινὸς, τὸ φρόνημα αὐτοῦ καταστέλλων, καὶ τὴν ἀνθρωπίνην
Η ἐλέγχων φύσιν, καὶ τὴν ἐκ τῆς χαρᾶς ἐγγενομένην τῇ ψυχῇ νόσον ἰώμενος. ὅτι γὰρ ὑπὸ χαρᾶς μᾶλλον αἴρονται αἱ ψυχαὶ, ἔδειξαν

(1) Μεσαράχ. αἱ αὐτ.

(2) Ἀσορδάν. αἱ αὐτ.

ἔδειξαν οἱ Ἰȣδαῖοι. ὅτε γὰρ ἀπηλλάγησαν
τῶν Αἰγυπτίων, καὶ εἶδον τὸν βυθὸν τά-
φον αὐτῶν γεγενημένον, τότε εἰς εἰδωλο-
λατρείαν ἐτράπησαν. διαβάντες γὰρ τὴν
θάλασσαν, καὶ μηδὲν κινδυνῶδες ὑπομεί-
ναντες, ἐλθόντες εἰς τὴν γῆν ἐναυάγησαν.
ὅπερ Ἐπαμινώνδας ὁ Θηβαίων στρατηγὸς
ἄριστα συνιδὼν, Λακεδαιμονίȣς νικήσας, καὶ
τρόπαιον κατ᾽ αὐτῶν στήσας, τῇ ἑξῆς ὤφ-
θη τοῖς φίλοις κατηφὴς καὶ στυγνός. τῶν
δὲ ἐρωτησάντων, μήτι λυπηρὸν συνέβη,
» ȣ̓χὶ, φησὶν, ἀλλ᾽ ἐχθὲς ἠσθόμην ἐμαυτȣ̃,
» μεῖζον ἢ καλῶς ἔχει φρονήσαντος. διὸ σή-
» μερον κολάζω τὴν ἀμετρίαν τῆς χαρᾶς.
μὴ τοίνυν μηδ᾽ αὐτὸς ἄλυε, εἰ τοῖς τῆς
ψυχῆς κομῶν ἀγαθοῖς, ταῖς τȣ̃ σώματος
δαμάζῃ ἀῤῥωστίαις· ἀλλ᾽ ἐννόει ὅτι σοὶ τȣ̃-
το, ἢ στεφάνȣς ὠδίνει, ἢ τὸ φρόνημα κα-
ταστέλλει.

β. Καὶ ἀπέστρεψεν Ἐζεκίας τὸ
πρόσωπον αὐτȣ̃ πρὸς τὸν τοῖχον, καὶ
ηὔξατο πρὸς Κύριον, λέγων,

γ. Κύριε, μνήσθητι δὴ ὅσα περιε-
πάτησα ἐνώπιόν σȣ ἐν ἀληθείᾳ καὶ ἐν
καρδίᾳ πλήρει, καὶ τὸ ἀγαθὸν ἐν ὀφ-
θαλμοῖς σȣ ἐποίησα. καὶ ἔκλαυσεν
Ἐζεκίας κλαυθμῷ μεγάλῳ.

✱✱ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἐζεχίας ὅτε
ἐμαλακίσθη, ȣ̓ δόξης, ȣ̓ βασιλείας, ȣ̓ τρα-
πέζης πολυτελȣ̃ς ἐμνημόνευσεν, ἀλλὰ δι-
» καιοσύνης. μνήσθητι γάρ φησι Κύριε, ὡς
» ἐπορεύθην ἐνώπιόν σȣ ἐν ὁδῷ εὐθείᾳ.

✱✱ ΕΦΡΑΙΜ. Ὁ Ἐζεκίας μὴ ἀμελή-
σας ἐν τῇ ὑγείᾳ αὐτȣ̃ τȣ̃ ἔργȣ τῆς δικαιο-
σύνης, ἐν καιρῷ στενοχωρίας καὶ θανάτȣ
εὕρατο παράκλησιν παρὰ Κυρίȣ. ἡνίκα
γὰρ ἐδέξατο διὰ τȣ̃ Προφήτȣ ἀπόφασιν,
» ἀπέστρεψε τὸ πρόσωπον αὐτȣ̃ πρὸς τὸν
» τοῖχον, καὶ προσηύξατο πρὸς Κύριον, λέ-
» γων, μνήσθητι Κύριε, ὡς ἐπορεύθην ἐνώ-
» πιόν σȣ μετὰ ἀληθείας ἐν καρδίᾳ ἀληθινῇ,
» καὶ τὰ ἀρεστὰ ἐνώπιόν σȣ ἐποίησα. καὶ ἔκ-
» λαυσεν Ἐζεκίας κλαυθμῷ μεγάλῳ. καὶ τί
πρὸς αὐτὸν ὁ ἐλεήμων Κύριος; εὐθὺς καὶ
παραχρῆμα διὰ τȣ̃ Προφήτȣ ἀπέστειλε
» πρὸς αὐτὸν, λέγων, ἤκȣσα τῆς φωνῆς τῆς
» προσευχῆς σȣ, καὶ εἶδον τὰ δάκρυά σȣ, καὶ
» ἰδȣ̀ προστίθημι πρὸς τὸν χρόνον τῆς ζωῆς
» σȣ ἔτη δεκαπέντε, καὶ ἐκ χειρὸς βασι-
» λέως Ἀσσυρίων σώσω σε, καὶ τὰ ἑξῆς. ὁρᾷς
ὁποῖον ἀγαθόν ἐστι τὸ μὴ καταφρονητικῶς
ζῆν, ἀλλ᾽ ἔχειν ἀεὶ πρὸ ὀφθαλμῶν τὸν φό-
βον τȣ̃ Κυρίȣ;

δ. Καὶ ἦν Ἡσαΐας ἐν τῇ αὐλῇ τῇ
μέσῃ, καὶ ῥῆμα Κυρίȣ ἐγένετο πρὸς
ε. αὐτὸν, λέγων, Ἐπίστρεψον, καὶ ἐρεῖς
πρὸς Ἐζεκίαν τὸν ἡγȣ́μενον τȣ̃ λαȣ̃-
μȣ, τάδε λέγει Κύριος (1) ὁ Θεὸς ὁ
A Θεὸς Δαβὶδ τȣ̃ πατρός σȣ, ἤκȣσα
τῆς προσευχῆς σȣ, καὶ εἶδον τὰ δά-
κρυά σȣ· ἰδȣ̀ ἐγὼ ἰάσομαί σε· ἐν τῇ
ἡμέρᾳ τῇ τρίτῃ ἀναβήσῃ εἰς οἶκον Κυ-
ς. ρίȣ. Καὶ προσθήσω ἐπὶ τὰ ἔτη σȣ
πεντεκαίδεκα ἔτη· καὶ ἐκ χειρὸς Ἀσ-
συρίων σώσω σε καὶ τὴν πόλιν ταύ-
την, καὶ ὑπερασπιῶ ὑπὲρ τῆς πό-
λεως ταύτης δι᾽ ἐμὲ καὶ διὰ Δαβὶδ
B τὸν δȣ̃λόν μȣ.

ζ. Καὶ εἶπεν Ἡσαΐας, λαβέτω-
σαν παλάθην σύκων, καὶ ἐπιθέτω-
σαν ἐπὶ τὸ ἕλκος, καὶ ὑγιάσει.

✱✱ ΘΕΟΔΩΡΙΤΟΥ. Διδάσκει ἡμᾶς ὁ
λόγος τὴν ἰατρικὴν μὴ ἀποσείεσθαι τέχνην.
καὶ γὰρ αὕτη δῶρον Θεȣ̃. προσήκει δὲ μὴ
τῇ τέχνῃ θαῤῥεῖν, ἀλλὰ τῷ ταύτης δοτῆρι.
Γ τοσαῦτα γὰρ αὕτη δύναται, ὅσα ἂν ἐκεῖ-
νος βȣ́ληται. καὶ πολλάκις μὲν διὰ σμικρῶν
φαρμάκων μεγάλα τραύματα θεραπεύει·
πολλάκις δὲ διὰ μεγάλων ἐλέγχεται· ἵνα μὴ
ταύτῃ, τῷ δὲ ταύτην δεδωκότι θαῤῥῶμεν.

η. Καὶ εἶπεν Ἐζεκίας πρὸς Ἡσαΐαν,
τί τὸ σημεῖον ὅτι ἰάσεταί με Κύριος,
καὶ ἀναβήσομαι τῇ ἡμέρᾳ τῇ τρίτῃ ε[illegible]
θ. οἶκον Κυρίȣ; Καὶ εἶπεν Ἡσαΐας [illegible]
Δ το τὸ σημεῖον παρὰ Κυρίȣ, ὅτι π[illegible]
Κύριος τὸν λόγον ὃν ἐλάλησε [illegible]
ρεύσεται ἡ σκιὰ δέκα ἀναβα[illegible]
ι. ἐὰν ἐπιστρέφῃ (2) δέκα βαθμȣ̀[illegible]
εἶπεν Ἐζεκίας, κȣ̃φον τὴν σκια[illegible]
ναι δέκα βαθμȣ́ς· ȣ̓χὶ, ἀλλ᾽ ἐπ[illegible]
φήτω ἡ σκιὰ ἐν τοῖς ἀναβαθμοῖς [illegible]
ια. κα βαθμȣ̀ς εἰς τὰ ὀπίσω. Καὶ ἐβόη-
σεν Ἡσαΐας ὁ προφήτης πρὸς Κύριον,
E καὶ ἐπέστρεψεν ἡ σκιὰ ἐν τοῖς ἀναβαθ-
μοῖς οἷς κατέβη ἐν ἀναβαθμοῖς Ἄ-
χαζ τὰ ὀπίσω δέκα ἀναβαθμȣ́ς.

✱✱ ΙΩΣΗΠΟΥ. Ἐρωτήσαντος αὐτὸν,
τί βȣ́λεται σημεῖον γενέσθαι, τὸν ἥλιον
ἠξίωσεν, ἐπειδὴ σκιὰν ἐπὶ δέκα βαθμȣ̀ς
ἀποκλίνας ἤδη πεποίηκεν ἐν τῇ οἰκίᾳ, ἐπὶ
τὸν αὐτὸν ἀναστρέψαι τόπον ποιήσας αὐ-
τὴν πάλιν παρασχεῖν. τȣ̃ δὲ Προφήτȣ τὸν
Z Θεὸν παρακαλέσαντος, ὥστε τὸ σημεῖον τȣ̃-
το ἐπιδεῖξαι τῷ βασιλεῖ, ἰδὼν ὅπερ ἤθελεν,
εὐθὺς λυθεὶς τῆς νόσȣ, ἄνεισιν εἰς τὸ ἱερόν.
καὶ τῷ Θεῷ προσκυνήσας, εὐχὰς ἐποιήσατο.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ μέντοι κατὰ τὸν
ἥλιον θαῦμα εἰς πᾶσαν τὴν οἰκȣμένην διέ-
δραμε. πᾶσι γὰρ ἐγένετο γνώριμος ἀνα-
στρέψας ὁ ἥλιος. ȣ̃ δὴ χάριν τῶν Βαβυλω-
νίων ὁ βασιλεὺς, καὶ τὸν ὄλεθρον ἐγνωκὼς,
καὶ τὰ κατὰ τὸν ἥλιον παραδόξως γεγενη-
H μένα μεμαθηκὼς, πρέσβεις καὶ δῶρα ἀπέ-
στειλε τῷ τῶν Ἰȣδαίων βασιλεῖ. καὶ ὡς ἐξαν-
δραπο-

(1) Κύριος ὁ Θεὸς Δαβ. αἱ αὐτ.

(2) Ἐπιστρέψῃ. αἱ αὐτ. ἐπιστραφῇ ἡ τȣ̃ Ἀλδ. ἢ ἀναστρέψει. ἡ ἐν Κομπλ. ἐκδ.

δραποδίζειν εἰώθεισαν, τούτους ὡς κρείττους
ἐτίμησαν. οὕτως αὐτοὺς ἐπισήμους ὁ παρ' αὐ-
τῶν θεραπευθεὶς Δεσπότης (1) ἐποίησεν.

ιβ. Ἐν τῷ καιρῷ ἐκείνῳ ἀπέστειλε
Μαρωδὰχ Βαλαδὰν υἱὸς Βαλαδὰν
βασιλεὺς Βαβυλῶνος βιβλία καὶ μα-
ναὰ (2) πρὸς Ἐζεκίαν, ὅτι ἤκουσεν ὅτι
ιγ. ἠῤῥώστησεν Ἐζεκίας. Καὶ ἐχάρη ἐπ'
αὐτοῖς Ἐζεκίας, καὶ ἔδειξεν αὐτοῖς ὅλον
τὸν οἶκον τοῦ νεχωθὰ, τὸ ἀργύριον καὶ
τὸ χρυσίον, τὰ ἀρώματα καὶ τὸ ἔλαιον
τὸ ἀγαθὸν, καὶ τὸν οἶκον τῶν σκευῶν,
καὶ ὅσα εὑρέθη ἐν τοῖς θησαυροῖς αὐ-
τοῦ, οὐκ ἦν τόπος ὃν οὐκ ἔδειξεν αὐτοῖς
Ἐζεκίας ἐν τῷ οἴκῳ αὐτοῦ καὶ ἐν πά-
σῃ τῇ ἐξουσίᾳ αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ὁ τῶν Βαβυλωνίων
βασιλεὺς, Βαλάδας ὄνομα, πέμψας πρὸς
τὸν Ἐζεκίαν πρέσβεις δῶρα κομίσαντας,
σύμμαχόν τε αὐτὸν εἶναι παρεκάλει καὶ φί-
λον. ὁ δὲ τοὺς πρεσβευτὰς ἡδέως ἀποδεξά-
μενος καὶ ἑστιασάμενος, καὶ τοὺς θησαυροὺς
ἐπιδείξας αὐτοῖς, καὶ τὴν τῶν ὅπλων πα-
ρασκευὴν, καὶ τὴν ἄλλην πολυτέλειαν ὅσην
ἐν λίθοις εἶχε καὶ χρυσῷ, δῶρά τε δοὺς κο-
[illegible]ζειν τῷ Βαλάδᾳ, πρὸς αὐτὸν ἀπέλυσε.

[illegible]. Καὶ εἰσῆλθεν Ἡσαΐας ὁ προ-
[illegible] πρὸς τὸν βασιλέα Ἐζεκίαν,
[illegible]τε πρὸς αὐτὸν, τί ἐλάλησαν οἱ
[illegible] οὗτοι, καὶ πόθεν ἥκασι πρὸς
[illegible] εἶπεν Ἐζεκίας, ἐκ γῆς πόῤ-
[illegible] ἥκασι πρός με, ἐκ Βαβυλῶνος.
[illegible]εἶπε, τί εἶδον ἐν τῷ οἴκῳ σου; καὶ
[illegible]εν Ἐζεκίας, πάντα ὅσα ἐν τῷ οἴ-
κῳ μου, εἶδον· οὐκ ἦν ἐν τῷ οἴκῳ μου ὃ
οὐκ ἔδειξα αὐτοῖς, ἀλλὰ καὶ τὰ ἐν τοῖς
θησαυροῖς μου εἶδον.

ιϛ. Καὶ εἶπεν Ἡσαΐας πρὸς Ἐζε-
ιζ. κίαν, ἄκουσον λόγον Κυρίου, Ἰδοὺ ἡμέ-

A ραι ἔρχονται φησὶ Κύριος, καὶ ληφ-
θήσονται πάντα τὰ ἐν τῷ οἴκῳ σου,
καὶ ὅσα ἐθησαύρισαν οἱ πατέρες σου
ἕως τῆς ἡμέρας ταύτης, εἰς Βαβυλῶ-
να εἰσελεύσεται. καὶ οὐχ ὑπολειφθή-
ιη. σεται ῥῆμα ὃ εἶπε Κύριος. Καὶ οἱ
υἱοί σου οἳ ἐξελεύσονται ἐκ σοῦ οὓς ἐγέν-
νησας λήψονται, καὶ ἔσονται εὐνοῦχοι
ἐν τῷ οἴκῳ τοῦ βασιλέως Βαβυλῶνος.

B * ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε μέμψιν
ὑπέμεινεν Ἐζεκίας ὁ βασιλεὺς, τοὺς θη-
σαυροὺς τοῖς τῶν Βαβυλωνίων πρεσβευταῖς
ὑποδείξας; Ὅτι δέον τοῦ Θεοῦ διδάξαι τὴν
δύναμιν, καὶ τὴν κηδεμονίαν ἧς ἔτυχε, τὸν
πλοῦτον ὑπέδειξε, τὸν οὐδὲν ἔχοντα μόνιμον.

ιθ. Καὶ εἶπεν Ἐζεκίας πρὸς Ἡ-
σαΐαν, ἀγαθὸς ὁ λόγος Κυρίου ὃν ἐλά-
λησεν, ἔστω εἰρήνη ἐν ταῖς ἡμέραις μου.

Γ ** ΙΣΙΔΩΡΟΥ. Γενέσθω εἰρήνη ἐν ταῖς
„ ἡμέραις μου, ὁ θεοφιλέστατος ἔλεγεν Ἐζε-
κίας, οὐκ ἐνδιδοὺς τοῖς πολέμοις, (3) οὐκ
ἀφεστὼς τῆς πρεσβείας, ἀλλὰ τὴν μὲν Θεῷ
προσῆγεν ἱκέτιν, τοῖς δὲ ἐκεῖθεν τὴν ἧτ-
ταν ἐζήτει, αὐτοῖς δηλῶν τοῖς κατορθώ-
μασιν, ὡς φίλην κτησάμενος τὴν εἰρήνην,
μέχρι παντὸς ἔχειν αὐτὴν ἠντιβόλει. ὅθεν
Ἀγγέλου χειρὶ τὴν νίκην εἰργάσατο· εἰς
Δ βέλη μὲν οὐχ ὁρῶν, οὐδὲ εἰσκύρσεις ποιῶν,
εἰς δεήσεις δὲ καὶ λιτὰς τὰς πρὸς Θεὸν
ἀγρυπνῶν.

κ. Καὶ τὰ λοιπὰ τῶν λόγων Ἐ-
ζεκίου καὶ πᾶσα ἡ δυναστεία αὐτοῦ, καὶ
ὅσα ἐποίησε, τὴν κρήνην καὶ τὸν ὑδρα-
γωγὸν, καὶ εἰσήγαγε τὸ ὕδωρ εἰς τὴν
πόλιν, οὐκ ἰδοὺ ταῦτα γεγραμμένα
ἐπὶ βιβλίῳ λόγων τῶν ἡμερῶν τοῖς
κα. βασιλεῦσιν Ἰούδα; Καὶ ἐκοιμήθη Ἐ-
E ζεκίας μετὰ τῶν πατέρων αὐτοῦ, καὶ
ἐτάφη ἐν πόλει Δαβὶδ, καὶ ἐβασί-
λευσε Μανασσῆς υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

ΚΕΦ. ΚΑ.

α. Υἱὸς δώδεκα ἐτῶν Μανασ-
σῆς ἐν τῷ βασιλεύειν αὐ-
τὸν, καὶ πεντήκοντα καὶ πέν-
τε ἔτη ἐβασίλευσεν ἐν Ἱερουσαλὴμ,
καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ὀφσιβά. (4)
β. Καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς
Κυρίου, καὶ ἐπορεύθη κατὰ τὰ βδε-
λύγματα τῶν ἐθνῶν ὧν ἐξῆρε Κύριος
ἀπὸ προσώπου τῶν υἱῶν Ἰσραήλ.

γ. Καὶ ἐπέστρεψε καὶ ᾠκοδόμησε
Z τὰ ὑψηλὰ ἃ κατέσπασεν Ἐζεκίας ὁ
πατὴρ αὐτοῦ, καὶ ἀνέστησε θυσιαστή-
ριον τῇ Βάαλ, καὶ ἐποίησε τὰ ἄλση
καθὼς ἐποίησεν Ἀχαὰβ βασιλεὺς
Ἰσραὴλ, καὶ προσεκύνησε πάσῃ τῇ δυ-
νάμει τοῦ οὐρανοῦ, καὶ ἐδούλευσεν αὐτοῖς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὅτι δὲ οὐ φύσις, ἀλ-
λὰ γνώμη ἐν τοῖς ψυχικοῖς κρατεῖ, μαρ-
τυρεῖ

(1) Θεός. ἡ ἐν Χάλ. ἔκδ.

(2) Τὸ μὲν μαναὰ, δῶρα σημαίνει, ὡς ἐκ τῆς τοῦ Ἰωσήπ. ἑρμηνείας δῆλον. τὸ δὲ νεχωθὰ τῶν ἐπιθυμητῶν πραγμάτων, ἢ τοῦ θησαυροῦ αὐτοῦ. (παρὰ Μουστερ. ἐν σελ. 2636. τοῦ εἰρημ. Τόμ.) ἢ τῶν ἐπιθυμητῶν αὐτῷ. γαλλιστὶ, son cabinet. παρὰ Βατάβλ. αὐτ.

(3) Τοῖς πολεμίοις. ὀρθότερ.

(4) Ἀψιβά. αἱ αὐτ. Ὀφοβία. ἡ τοῦ Ἀλδ. Ἐψιβά. ἡ ἐν Κομπλ. Ὀφειβά. ἐν ταῖς εἰρημ. σημ.

τυρεῖ Μανασσῆς, τὴν εὐσεβῆ τοῦ πατρὸς
πολιτείαν καταλιπὼν, καὶ τὴν ἐναντίαν
» ὁδεύσας. ᾠκοδόμησε γάρ φησι τὰ ὑψηλὰ,
» ἃ κατέσκαψε καὶ κατέσπασεν Ἐζεκίας ὁ
» πατὴρ αὐτοῦ, καὶ ἀνέστησε θυσιαστήριον τῷ
» Βάαλ· καὶ ἐποίησεν ἄλση, καθὼς ἐποίη-
» σεν Ἀχαὰβ βασιλεὺς Ἰσραήλ· καὶ προ-
» σεκύνησε πάσῃ τῇ στρατιᾷ τοῦ οὐρανοῦ, καὶ
» ἐδούλευσεν αὐτοῖς. στρατιὰν δὲ λέγει τοῦ
οὐρανοῦ, τὸν ἥλιον, καὶ τὴν σελήνην, καὶ
τοὺς ἀστέρας.

δ. Καὶ ᾠκοδόμησε θυσιαστήριον ἐν
οἴκῳ Κυρίου, ὡς εἶπε (1) Κύριος, ἐν
ε. Ἱερουσαλὴμ θήσω τὸ ὄνομά μου. Καὶ
ᾠκοδόμησε θυσιαστήριον πάσῃ τῇ δυ-
νάμει τοῦ οὐρανοῦ ἐν πάσαις (2) αὐλαῖς
οἴκου Κυρίου.

* ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ τὸ πάντων
» δυσσεβέστατον, ᾠκοδόμησε θυσιαστήριον ἐν
» οἴκῳ Κυρίου, ἐν ᾧ εἶπεν, ἐν Ἱερουσαλὴμ θή-
» σω τὸ ὄνομά μου· καὶ οὐχ ἓν μόνον, ἀλλὰ
» πλεῖστα. πάσῃ γὰρ τῇ στρατιᾷ τοῦ οὐρανοῦ ἐν
» ταῖς δύω αὐλαῖς οἴκου Κυρίου ᾠκοδόμησε.

ς. Καὶ διῆγε τοὺς υἱοὺς αὐτοῦ ἐν πυρὶ,
καὶ ἐκληδονίζετο καὶ οἰωνίζετο, καὶ
ἐποίησε στήλην, (3) καὶ γνώστας ἐπλή-
θυνε τοῦ ποιεῖν τὸ πονηρὸν ἐν ὀφθαλ-
μοῖς Κυρίου παροργίσαι αὐτόν.

» * ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ ἐκληδονίζετο,
» καὶ οἰωνίζετο· καὶ ἐποίησεν ἐγγαστριμύθους,
» καὶ γνώστας ἐπλήθυνε. κληδὼν δέ ἐστιν ἡ
διὰ λόγων παρατήρησις· οἰώνισμα δὲ, ἡ
διὰ πτηνῶν. γνώστας δὲ οἶμαι τοὺς δι' ἥπα-
τος μαντευομένους κληθῆναι.

ζ. Καὶ ἔθηκε τὸ γλυπτὸν τοῦ ἄλ-
σους ἐν τῷ οἴκῳ, ᾧ εἶπε Κύριος πρὸς
Δαβὶδ καὶ πρὸς Σαλομὼν τὸν υἱὸν
αὐτοῦ, ἐν τῷ οἴκῳ τούτῳ καὶ ἐν Ἱερου-
σαλὴμ ἣ ἐξελεξάμην ἐκ πασῶν φυ-
λῶν τοῦ Ἰσραὴλ, καὶ θήσω τὸ ὄνομά
μου ἐκεῖ εἰς τὸν αἰῶνα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ δὲ πάντων ἀνο-
σιώτατον, καὶ ἐν τῷ θείῳ στῆσαι ναῷ [τὸ]
τῆς ἀκολάστου Δαίμονος ἄγαλμα. ἔθηκε
» γάρ φησι τὸ γλυπτὸν τοῦ ἄλσους ἐν τῷ οἴκῳ
Κυρίου. καὶ τὰ ἑξῆς διδάσκει τὴν τῆς ἀσε-
βείας ὑπερβολήν.

η. Καὶ οὐ προσθήσω τοῦ σαλεῦσαι
τὸν πόδα Ἰσραὴλ ἀπὸ τῆς γῆς ἧς ἔδω-
κα τοῖς πατράσιν αὐτῶν, οἵτινες φυ-
λάξουσι πάντα ὅσα ἐνετειλάμην, κα-
τὰ πᾶσαν τὴν ἐντολὴν ἣν ἐνετείλα-
θ. το αὐτοῖς ὁ δοῦλός μου Μωϋσῆς. Καὶ

A οὐκ ἤκουσαν, καὶ ἐπλάνησεν αὐτοὺς Μα-
νασσῆς τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφ-
θαλμοῖς Κυρίου ὑπὲρ τὰ ἔθνη, ἃ
ἠφάνισε Κύριος ἐκ προσώπου υἱῶν Ἰσ-
ι. ραήλ. Καὶ ἐλάλησε Κύριος ἐν χειρὶ
τῶν δούλων αὐτοῦ τῶν Προφητῶν, λέ-
ια. γων, Ἀνθ' ὧν ὅσα ἐποίησε Μανασ-
σῆς ὁ βασιλεὺς Ἰούδα τὰ βδελύγμα-
τα ταῦτα τὰ πονηρὰ ἀπὸ πάντων
B ὧν ἐποίησεν ὁ Ἀμοῤῥαῖος ὁ ἔμπροσθεν,
καὶ ἐξήμαρτε καί γε τὸν Ἰούδαν ἐν τοῖς
ιβ. εἰδώλοις αὐτῶν, Οὐχ οὕτω· τάδε λέ-
γει Κύριος ὁ Θεὸς Ἰσραὴλ, ἰδοὺ ἐγὼ
φέρω κακὰ ἐπὶ Ἰούδαν καὶ ἐπὶ Ἱερου-
σαλὴμ, ὥστε παντὸς ἀκούοντος ἠχή-
σαι ἀμφότερα τὰ ὦτα αὐτοῦ.

ιγ. Καὶ ἐκτενῶ ἐπὶ Ἱερουσαλὴμ
Γ τὸ μέτρον Σαμαρείας καὶ τὸ στάθμιον
οἴκου Ἀχαάβ· καὶ ἀπαλείψω τὴν
Ἱερουσαλὴμ, καθὼς ἀπαλείφεται ὁ
ἀλάβαστρος ἀπαλειφόμενος καὶ κα-
ταστρέφεται ἐπὶ πρόσωπον αὐτοῦ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Πῶς νοητέον τὸ, ἐκ-
» τενῶ ἐπὶ Ἱερουσαλὴμ τὸ μέτρον Σαμαρείας
Ταῖς αὐταῖς, φησὶ, περιβαλῶ καὶ τ…
συμφοραῖς. (4) ἐκείνων γὰρ τοὺς μὲν …
Δ μὸς, τοὺς δὲ ὁ πόλεμος ἐδαπάνησε, …
λοιποὺς ἐξανδραποδίσαντες εἰς ἑτέρ…
τέστησαν γῆν· οὕτω καὶ τοῖς Ἱερουσαλ…
οἰκοῦσι ποιήσω. καὶ ὥσπερ τοῦ Ἀχαα…
οἶκον πανωλεθρίᾳ παραδέδωκα· …
Ἱερουσαλὴμ τὴν ὑπερηφανίαν μετα…
εἰς συντέλειαν.

** ΑΔΗΛΟΥ. (5) Οὐδὲν παρ' αὐ…
ἄνευ μέτρου, οὐδὲν ἄνευ σταθμοῦ, οὐδὲν ἄνευ
ἀκολουθίας, ἀλλὰ καὶ δικαίῳ μέτρῳ τὴν δί-
E κην ἐκάλει, καὶ τιμωρούμενος σταθμῷ τὴν τι-
μωρίαν ἀνάλογον δίδωσι τῇ ἁμαρτίᾳ, οὐχ
ὑπερβαίνουσαν τὴν ἁμαρτίαν, ἀλλὰ σύμ-
μετρον. διὰ τοῦτο ἀπειλῶν ποτὲ ὁ Θεὸς τῇ
Ἰουδαίᾳ, προαναιρεθείσης τῆς Σαμαρείας,
» καὶ προαναλωθείσης, λέγει, καὶ ἐκτενῶ
» ἐπὶ τὴν Ἱερουσαλὴμ τὰ μέτρα Σαμαρείας,
» καὶ τὰ στάθμια τοῦ οἴκου Ἐφραΐμ· ἀντὶ τοῦ,
τὴν αὐτὴν ἐπιμετρῶ δίκην τούτοις, ἣν ἐπε-
μέτρησα ἐκείνοις. οὐ γὰρ ἄμετρος ἡ θεία
Z δίκη, ἀλλὰ μέτρῳ, καὶ κανόνι, καὶ σταθ-
μῷ κεκανόνισται, καθὼς ὁ Σωτὴρ ἔλεγεν
» ἐν τοῖς Εὐαγγελίοις· ᾧ μέτρῳ μετρεῖς, Ματθ. 7. 2.
» ἀντιμετρηθήσεται.

ιδ. Καὶ ἀπώσομαι τὸ ὑπόλειμμα
τῆς κληρονομίας μου, καὶ παραδώσω
αὐτοὺς εἰς χεῖρας ἐχθρῶν αὐτοῦ, (6)
καὶ ἔσονται εἰς διαρπαγὴν καὶ εἰς προνο-
μὴν

(1) Εἶπεν, ἐν Ἱερουσ. αἱ εἰρημ. ἐκδόσ. (2) Ἐν ταῖς δυσίν. αἱ αὐτ. καὶ ἡ Ἑβρ.
(3) Τεμένη. αἱ αὐτ. Ἐγγαστριμύθους. ἡ ἐν Κομπλ. ἐκδ. καὶ ἡ Ἑβρ. καὶ ὁ Θεοδώριτ.
(4) Καὶ ὥσπερ ἐκείνων τοὺς, κτ. ἡ ἐν Χάλ. ἐκδ. (5) Ἐκ τῆς ὁμιλίας τοῦ Χρυσοσ. ἐστὶ τῆς εἰς τὸν 95. Ψαλ. (τῆς ἐν Τόμ. 5. σελ. 633. κατὰ τὴν τοῦ Μοντφ. ἐκδ.) ἥτις τοῖς νόθοις κατήλεκται.
(6) Αὐτῶν. αἱ αὐτ.

ιε. μὴν πᾶσι τοῖς ἐχθροῖς αὐτῶν, Ἀνθ'
ὧν ὅσα ἐποίησαν τὸ πονηρὸν ἐν ὀφ-
θαλμοῖς μου, καὶ ἦσαν παροργίζον-
τές με ἀπὸ τῆς ἡμέρας ἧς ἐξήγαγον
τοὺς πατέρας αὐτῶν ἐξ Αἰγύπτου καὶ
ἕως τῆς ἡμέρας ταύτης.

ις. Καί γε αἷμα ἀθῶον ἐξέχεε Μα-
νασσῆς πολὺ σφόδρα ἕως οὗ ἔπλησε
τὴν Ἱερουσαλὴμ στόμα εἰς στόμα, πλὴν
τῶν ἁμαρτιῶν αὐτοῦ ὧν ἐξήμαρτε τὸν
Ἰούδαν τοῦ ποιῆσαι τὸ πονηρὸν ἐν ὀφ-
θαλμοῖς Κυρίου.

** ΙΩΣΗΠΟΥ. Ἀπὸ τῆς εἰς τὸν Θεὸν καταφρονήσεως ὁρμώμενος, πάντας ὠμῶς τοὺς δικαίους τοὺς ἐν τοῖς Ἑβραίοις ἀπέκτεινεν, ἀλλ' οὐδὲ τῶν Προφητῶν ἔσχε φειδῶ· καὶ τούτων δέ τινας καθ' ἡμέραν ἀπέσφαξεν, ὥστε αἵματι ῥεῖσθαι τὰ Ἱεροσόλυμα.

* ΘΕΟΔΩΡΙΤΟΥ. Οὐ γὰρ μόνον εἰς τὴν τῶν εἰδώλων ἐλύττησε πλάνην, ἀλλὰ
» καὶ αἷμα ἀθῶον ἐξέχεε Μανασσῆς σφόδρα,
» ἕως οὗ ἔπλησε τὴν Ἱερουσαλὴμ στόμα ἐπὶ στόμα. ἀνῄρει δὲ διαφερόντως τοὺς τῆς εὐσεβείας ἀντεχομένους, καὶ (1) τοὺς μηνύοντας τὴν θείαν ὀργήν. τοῦτόν φασι καὶ τὸν …οφήτην Ἡσαΐαν διαπρίσαι, ξύλῳ (2) …σάμενον πρίονι. ἀλλ' οὗτος μὲν, ὡς ἡ …αραλειπομένων (3) ἐδίδαξεν ἱστορία …ελείᾳ χρησάμενος ἀνακλήσεως (4) …ν. Ἀμμὼν δὲ ὁ τούτου υἱὸς, τὴν μὲν …τρὸς ἐμιμήσατο πονηρίαν, τὴν δὲ …έλειαν οὐκ ἐζήλωσεν. ὁ δὲ τούτου ἔκ… τὴν ἄκραν ἤσκησεν ἀρετὴν, καὶ τοῦ …όνου ἐκλήσατο τὴν εὐσέβειαν.

ιζ. Καὶ τὰ λοιπὰ τῶν λόγων Μα-
νασσῆ καὶ πάντα ὅσα ἐποίησε, καὶ ἡ
Α ἁμαρτία αὐτοῦ ἣν ἥμαρτεν, οὐχὶ ταῦ-
τα γεγραμμένα ἐπὶ βιβλίων (5) λό-
γων τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰού-
ιη. δα; Καὶ ἐκοιμήθη Μανασσῆς μετὰ
τῶν πατέρων αὐτοῦ, καὶ ἐτάφη ἐν τῷ
κήπῳ τοῦ οἴκου αὐτοῦ ἐν κήπῳ Ὀζά. καὶ
ἐβασίλευσεν Ἀμὼς υἱὸς αὐτοῦ ἀντ' αὐ-
ιθ. τοῦ. Υἱὸς εἴκοσι (6) καὶ πέντε ἐνιαυ-
Β τῶν Ἀμὼς ἐν τῷ βασιλεύειν αὐτὸν,
καὶ δύω ἔτη ἐβασίλευσεν ἐν Ἱερουσα-
λὴμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Με-
σολὰμ θυγάτηρ Ἀροὺς ἐξ Ἰετεβά.
κ. Καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς
Κυρίου, καθὼς ἐποίησε Μανασσῆς ὁ
κα. πατὴρ αὐτοῦ. Καὶ ἐπορεύθη ἐν πάσῃ
ὁδῷ ᾗ ἐπορεύθη ὁ πατὴρ αὐτοῦ, καὶ
ἐλάτρευσε τοῖς εἰδώλοις οἷς ἐλάτρευ-
Γ σεν ὁ πατὴρ αὐτοῦ, καὶ προσεκύνη-
κβ. σεν αὐτοῖς. Καὶ ἐγκατέλιπε τὸν Κύ-
ριον Θεὸν τῶν πατέρων αὐτοῦ, καὶ οὐκ
κγ. ἐπορεύθη ἐν ὁδῷ αὐτῶν. (7) Καὶ συ-
νεστράφησαν οἱ παῖδες (8) αὐτοῦ πρὸς
αὐτὸν, καὶ ἐθανάτωσαν τὸν βασιλέα
κδ. ἐν τῷ οἴκῳ αὐτοῦ. Καὶ ἐπάταξε πᾶς
ὁ λαὸς τῆς γῆς τοὺς συστραφέντας ἐπὶ
τὸν βασιλέα Ἀμὼς, καὶ ἐβασίλευ-
Δ σεν ὁ λαὸς τῆς γῆς Ἰωσίαν υἱὸν αὐτοῦ
κε. ἀντ' αὐτοῦ. Καὶ τὰ λοιπὰ τῶν λό-
γων Ἀμὼς ὅσα ἐποίησεν, οὐκ ἰδοὺ ταῦ-
τα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων
τῶν ἡμερῶν τοῖς βασιλεῦσιν Ἰούδα;
κς. Καὶ ἔθαψαν αὐτὸν ἐν τῷ τάφῳ αὐτοῦ
ἐν κήπῳ Ὀζὰ, καὶ ἐβασίλευσεν Ἰω-
σίας υἱὸς αὐτοῦ ἀντ' αὐτοῦ.

ΚΕΦ. ΚΒ.

α. Υἱὸς ὀκτὼ ἐτῶν Ἰωσίας ἐν τῷ
βασιλεύειν αὐτὸν, καὶ
τριάκοντα καὶ ἓν ἔτος ἐβα-
σίλευσεν ἐν Ἱερουσαλὴμ, καὶ ὄνομα
τῇ μητρὶ αὐτοῦ Ἰεδδία θυγάτηρ Ἐδεϊὰ
β. ἐκ Βασουρώθ. Καὶ ἐποίησε τὸ εὐθὲς
ἐν ὀφθαλμοῖς Κυρίου, καὶ ἐπορεύθη
ἐν πάσῃ ὁδῷ Δαβὶδ τοῦ πατρὸς αὐτοῦ,
γ. οὐκ ἀπέστη δεξιὰ ἢ ἀριστερά. Καὶ ἐγε-
νήθη ἐν τῷ ὀκτωκαιδεκάτῳ ἔτει τῷ
βασιλεῖ Ἰωσίᾳ, ἐν τῷ μηνὶ τῷ ἑβ-
δόμῳ ἀπέστειλεν ὁ βασιλεὺς Σαπ-
φὰν (9) υἱὸν Ἐζελίου υἱὸν Μεσολλὰμ
τὸν γραμματέα οἴκου Κυρίου, λέγων,
δ. Ἀνάβηθι πρὸς Χελκίαν τὸν ἱερέα
τὸν μέγαν, καὶ σφράγισον τὸ ἀργύ-
ριον τὸ εἰσενεχθὲν εἰς οἶκον Κυρίου, ὃ
συνήγαγον οἱ φυλάσσοντες τὸν σταθ-
ε. μὸν παρὰ τοῦ λαοῦ. Καὶ δότωσαν αὐ-
Ζ τὸ ἐπὶ χεῖρα ποιούντων τὰ ἔργα τῶν
καθεσταμένων ἐν οἴκῳ Κυρίου. καὶ ἔδω-
κεν αὐτὸ τοῖς ποιοῦσι τὰ ἔργα ἐν οἴκῳ
Κυρίου τοῦ κατισχῦσαι τὸ βεδὲκ τοῦ οἴκου,
ς. Τοῖς τέκτοσι καὶ τοῖς οἰκοδόμοις καὶ
τοῖς τειχισταῖς, καὶ τοῦ κτήσασθαι (10)
λίθους καὶ ξύλα τοῦ κραταιῶσαι τὸ
βεδὲκ

(1) Καὶ τὴν θείαν ὀργὴν αὐτοῖς σημαίνοντας. τοῦτόν φασι, κτ. ἡ ἐν Χάλ. ἔκδ.
(2) Ξυλίνῳ. ἡ αὐτ.
(3) Ἡ δευτέρα. ἐν κεφ. 33.
(4) Τῆς ἀφέσεως. ἡ αὐτ.
(5) Βιβλίῳ. αἱ αὐτ.
(6) Εἴκοσι καὶ δύω ἐτῶν. αἱ αὐτ. καὶ ἡ Ἑβρ. ἔκδ.
(7) Ἐν ὁδῷ Κυρίου. αἱ αὐτ. καὶ ἡ Ἑβρ. ἔκδ.
(8) Οἱ παῖδες Ἀμώς. αἱ αὐτ.
(9) Τὸν Σαπφάν. αἱ αὐτ.
(10) Ξύλα καὶ λίθους λατομητοὺς τοῦ κρατ. αἱ αὐτ.

ζ. βεδὲκ τοῦ οἴκου. Πλὴν οὐκ ἐξελογί-
ζοντο αὐτοὺς τὸ ἀργύριον τὸ διδόμενον
αὐτοῖς, ὅτι ἐν πίστει αὐτοὶ ποιοῦσι.

η. Καὶ εἶπε Χελκίας ὁ μέγας (1)
πρὸς Σαπφὰν τὸν γραμματέα, βι-
βλίον τοῦ νόμου εὗρον ἐν οἴκῳ Κυρίου.
καὶ ἔδωκε Χελκίας τῷ Σαπφὰν τὸ
θ. βιβλίον, καὶ ἀνέγνω αὐτό. Καὶ εἰσή-
νεγκε πρὸς τὸν βασιλέα Ἰωσίαν, καὶ
ἐπέστρεψε τῷ βασιλεῖ λόγον, καὶ εἶ-
πεν, ἐχώνευσαν τὸ ἀργύριον οἱ δοῦλοί
σου τὸ εὑρεθὲν ἐν οἴκῳ Κυρίου, καὶ ἔδω-
καν αὐτὸ ἐπὶ χεῖρα ποιούντων τὰ ἔρ-
γα τῶν καθεσταμένων ἐν οἴκῳ Κυρίου.
ι. Καὶ εἶπε Σαπφὰν ὁ γραμματεὺς πρὸς
τὸν βασιλέα, λέγων, βιβλίον (2)
τοῦ νόμου δέδωκέ μοι Χελκίας ὁ ἱερεύς.
καὶ ἀνέγνω αὐτὸ Σαπφὰν ἐνώπιον τοῦ
ια. βασιλέως. Καὶ ἐγένετο ὡς ἤκουσεν
ὁ βασιλεὺς τοὺς λόγους τοῦ βιβλίου τοῦ
νόμου, καὶ διέῤῥηξε τὰ ἱμάτια αὐτοῦ. (3)

** ΙΩΣΗΠΟΥ. Προκομίζων τὸν χρυσὸν ὁ ἀρχιερεὺς Ἐλιακίας, ἐντυγχάνει ταῖς ἱεραῖς βίβλοις ταῖς Μωϋσέως ἐν τῷ ναῷ κειμέναις, καὶ προκομίσας δίδωσι τῷ γραμματεῖ Σαφάν. ὁ δὲ ἀναγνοὺς, παραγίνεται πρὸς τὸν βασιλέα, καὶ πάντα ὅσα κελεύσειε γενέσθαι τέλος ἔχοντα ἐδήλου· παρανέγνω δὲ καὶ τὰς βίβλους αὐτῷ. ἀκούσας δὲ καὶ περιῤῥηξάμενος τὴν ἐσθῆτα, τὸν ἀρχιερέα καλέσας Ἐλιακίαν, καὶ αὐτὸν τὸν γραμματέα, καὶ τῶν ἀναγκαιοτάτων φίλων τινὰς, ἔπεμψε πρὸς τὴν προφῆτιν Ὀλδὰν, γυναῖκα δὲ Σαλλούμου τῶν ἐν δόξῃ τινὸς καὶ δι᾽ εὐγένειαν ἐπιφανοῦς.

* ΘΕΟΔΩΡΙΤΟΥ. Καὶ πρῶτον μὲν τὰ θεραπείας δεόμενα τοῦ θείου νεὼ πάσης ἐπιμελείας ἠξίωσεν· ἔπειτα τῶν θείων λογίων ἀκούσας, (4) καὶ τὴν ἐσθῆτα διέῤῥηξε, καὶ ἐπὶ πλέον (5) ἐθρήνησε, καὶ μαθεῖν τὸ πρακτέον περὶ τοῦ Θεοῦ τῶν ὅλων ἐζήτησεν. εἰς τοσαύτην δὲ τῶν θείων ἀμέλειαν ἐξώκειλαν ἅπαντες, ὡς μηδὲ τῶν θείων ἐπακούειν λογίων. τοῦτο γοῦν τὸ βιβλίον ἔν τινι τῶν ἱερῶν οἴκων Χελκίας ὁ ἀρχιερεὺς ἐῤῥιμμένον εὑρὼν, ἀπέστειλε τῷ βασιλεῖ.

ιβ. Καὶ ἐνετείλατο ὁ βασιλεὺς
τῷ Χελκίᾳ τῷ ἱερεῖ, καὶ τῷ Ἀχικὰμ
υἱῷ Σαπφὰν, καὶ τῷ Ἀχοβὼρ υἱῷ
Μιχαίου, καὶ τῷ Σαπφὰν τῷ γραμ-
ματεῖ, καὶ τῷ Ἀσαΐᾳ δούλῳ τοῦ βα-
ιγ. σιλέως, λέγων, Δεῦτε ἐκζητήσατε
τὸν Κύριον περὶ ἐμοῦ, καὶ περὶ παντὸς
τοῦ λαοῦ μου, καὶ περὶ παντὸς τοῦ Ἰού-

A δα, περὶ τῶν λόγων τοῦ βιβλίου τοῦ
εὑρεθέντος τούτου, ὅτι μεγάλη ἡ ὀρ-
γὴ Κυρίου ἡ ἐκκεκαυμένη ἐν ἡμῖν, ὑπὲρ
οὗ οὐκ ἤκουσαν οἱ πατέρες ἡμῶν τῶν λό-
γων τοῦ βιβλίου τούτου τοῦ ποιεῖν κατὰ
ιδ. τὰ γεγραμμένα καθ᾽ ἡμῶν. Καὶ ἐπο-
ρεύθη Χελκίας ὁ ἱερεὺς, καὶ Ἀχι-
κὰμ, καὶ Ἀχοβὼρ, καὶ Σαπφὰν,
B καὶ Ἀσαΐας πρὸς Ὀλδὰν τὴν προ-
φῆτιν γυναῖκα Σελλὴμ υἱοῦ Θεκουὲ υἱοῦ
Ἄρας τοῦ ἱματιοφύλακος· καὶ αὐτὴ
κατῴκει ἐν Ἱερουσαλὴμ ἐν τῇ Μασενᾶ·
καὶ ἐλάλησαν πρὸς αὐτὴν κατὰ ταῦ-
ιε. τα. Καὶ εἶπεν αὐτοῖς, τάδε λέγει
Κύριος ὁ Θεὸς Ἰσραὴλ, εἴπατε τῷ
ἀνδρὶ τῷ ἀποστείλαντι ὑμᾶς πρός με,
ις. Τάδε λέγει Κύριος, ἰδοὺ ἐγὼ ἐπάγω
Γ κακὰ ἐπὶ τὸν τόπον τοῦτον, καὶ ἐπὶ
τοὺς ἐνοικοῦντας αὐτὸν πάντας τοὺς λό-
γους τοῦ βιβλίου οὓς ἀνέγνω βασιλεὺς
ιζ. Ἰούδα, Ἀνθ᾽ ὧν ἐγκατέλιπόν με, καὶ
ἐθυμίων Θεοῖς ἑτέροις, ὅπως παροργίσωσί
με ἐν τοῖς ἔργοις τῶν χειρῶν
αὐτῶν, καὶ ἐκκαυθήσεται ὁ θυμός
μου ἐν τῷ τόπῳ τούτῳ, καὶ οὐ σβεσθή-
ιη. σεται. Καὶ πρὸς βασιλέα Ἰούδα [illegible]
Δ ἀποστείλαντα ὑμᾶς ζητῆσαι (6) [illegible]
Κύριον, τάδε ἐρεῖτε πρὸς αὐτὸν [illegible]
δε λέγει Κύριος ὁ Θεὸς Ἰσραὴλ [illegible]
ιθ. λόγοι οὓς ἤκουσας, Ἀνθ᾽ ὧν ὅτ[illegible]
λύνθη ἡ καρδία σου καὶ ἐνετράπης [illegible]
προσώπου μου, ὡς ἤκουσας ὅσα [illegible]
λησα ἐπὶ τὸν τόπον τοῦτον καὶ ἐπὶ τ[illegible]
ἐνοικοῦντας αὐτὸν, τοῦ εἶναι εἰς ἀφα-
E νισμὸν καὶ εἰς κατάραν, καὶ διέῤῥη-
ξας τὰ ἱμάτιά σου καὶ ἔκλαυσας ἐνώ-
πιόν μου, καί γε ἐγὼ ἤκουσα, λέγει
κ. Κύριος. Οὐχ οὕτως· ἰδοὺ προστίθημί
σε πρὸς τοὺς πατέρας σου, καὶ συναχ-
θήσῃ εἰς τὸν τάφον σου ἐν εἰρήνῃ, καὶ
οὐκ ὀφθήσεται ἐν τοῖς ὀφθαλμοῖς σου
ἐν πᾶσι τοῖς κακοῖς οἷς ἐγὼ ἐπάγω
ἐπὶ τὸν τόπον τοῦτον, καὶ ἐπὶ τοὺς κα-
Z τοικοῦντας αὐτόν.

* ΘΕΟΔΩΡΙΤΟΥ. Ὁ δὲ βασιλεὺς τὰ ἐγκείμενα ἀναγνοὺς, (7) καὶ τὸν ἀρχιερέα καὶ τοὺς ἄρχοντας πρὸς Ὀλδὰν ἀπέστειλε τὴν προφῆτιν. ὁ δὲ τῶν ὅλων Θεὸς κατὰ μὲν τοῦ λαοῦ, καὶ τοῦ ναοῦ, καὶ τῆς πόλεως, τὴν ψῆφον ἐξήνεγκε διὰ τὰς παρ᾽ αὐτῶν τολμηθείσας παρανομίας· τῷ δὲ εὐσεβεῖ » βασιλεῖ χρηστὰ προηγόρευσεν. ἀνθ᾽ ὧν γάρ φησιν

(1) Ὁ ἱερεὺς ὁ μέγας. αἱ αὐτ. καὶ ἡ Ἑβρ. ἔκδ. (2) Βιβλίον νόμου ἔδωκέ μοι. ἐν ταῖς εἰρημ. σημ.
(3) Ἑαυτοῦ. αἱ αὐτ. (4) Ἀκούσας, τῶν ἐν τῷ Δευτερονομίῳ κειμένων, καὶ τὴν ἐσθ. ἡ ἐν Χάλ. ἔκδ. (5) Πλεῖστον. ἡ αὐτ. (6) Ἐπιζητῆσαι. αἱ αὐτ.
(7) Γνοὺς, καὶ τοὺς ἀρχιερέας καὶ τοὺς ἄρχ. ἡ αὐτ.

» Φησὶν ἤκουσας τῶν λόγων μου, καὶ ἠπαλύνθη ἡ καρδία σου, καὶ ἐνετράπης ἀπὸ προσώπου, ὡς ἤκουσας ὅσα ἐλάλησα ἐπὶ τὸν τόπον τοῦτον, καὶ ἐπὶ τοὺς κατοικοῦντας ἐν αὐτῷ, τοῦ γενέσθαι εἰς ἀφανισμόν. καὶ διέῤῥηξας τὰ ἱμάτιά σου, καὶ ἔκλαυσας ἐνώπιόν μου· καίγε ἐγὼ ἤκουσα, Φησὶ Κύριος.

A » οὐχ οὕτως· ἰδοὺ ἐγὼ προστίθημί σε πρὸς τοὺς πατέρας σου, καὶ συναχθήσῃ εἰς τὸν τάφον σου ἐν εἰρήνῃ· καὶ οὐκ ὄψονται οἱ ὀφθαλμοί σου πάντα τὰ κακά, ἃ ἐπάγω ἐπὶ τὸν οἶκον τοῦτον, καὶ ἐπὶ τοὺς κατοικοῦντας αὐτόν. τοσοῦτον κατάνυξις καὶ δάκρυον τοὺς χρωμένους ὀνίνησι.

ΚΕΦ. ΚΓ.

α. Καὶ ἐπέστρεψαν τῷ βασιλεῖ τὸ ῥῆμα. καὶ ἀπέστειλεν ὁ βασιλεὺς, καὶ συνήγαγε πρὸς ἑαυτὸν πάντας τοὺς πρεσβυτέ-

β. ρους Ἰούδα καὶ Ἰερουσαλήμ. Καὶ ἀνέβη ὁ βασιλεὺς εἰς οἶκον Κυρίου, καὶ πᾶς ἀνὴρ Ἰούδα καὶ πάντες οἱ κατοικοῦντες Ἰερουσαλὴμ μετ' αὐτοῦ, καὶ οἱ ἱερεῖς, καὶ οἱ Προφῆται, καὶ πᾶς ὁ λαὸς ἀπὸ μικροῦ ἕως μεγάλου, καὶ ἀνέγνω ἐν ὠσὶν αὐτῶν πάντας τοὺς λόγους τοῦ βιβλίου τῆς διαθήκης τοῦ

γ. εὑρεθέντος ἐν οἴκῳ Κυρίου. Καὶ ἀνέστη ὁ βασιλεὺς πρὸς τὸν στύλον, καὶ [...]έθετο διαθήκην ἐνώπιον Κυρίου, τοῦ [...]εσθαι ὀπίσω Κυρίου, καὶ τοῦ φυ[...] τὰς ἐντολὰς αὐτοῦ, καὶ τὰ [...]ύρια αὐτοῦ, καὶ τὰ δικαιώματα [...]ἐν πάσῃ καρδίᾳ καὶ ἐν πάσῃ ψυ[...] ἀναστῆσαι τοὺς λόγους τῆς δια[...] ταύτης, τὰ γεγραμμένα ἐν τῷ [...]ίῳ τούτῳ. καὶ ἔστη πᾶς ὁ λαὸς [...]ῇ διαθήκῃ.

** ΙΩΣΗΠΟΥ. Οἱ μὲν, τῆς γυναικὸς προφητευσάσης, ἐλθόντες ἀπήγγειλαν τῷ βασιλεῖ. ὁ δὲ περιπέμψας πανταχοῦ τὸν λαὸν, ἐκέλευσε συνελθεῖν εἰς τὰ Ἱεροσόλυμα τοὺς ἱερεῖς καὶ τοὺς Λευΐτας, πᾶσάν τε ἡλικίαν προστάξας παρεῖναι. ἀθροισθέντων δὲ αὐτῶν, πρῶτον μὲν αὐτοῖς ἀνέγνω τὰς ἱερὰς βίβλους, ἔπειτα στὰς ἐπὶ τοῦ βήματος ἐν μέσῳ τῷ πλήθει, ὅρκους ποιήσασθαι καὶ πίστεις ἠνάγκασε, ἦ μὴν θρησκεῦσαι τὸν Θεὸν, καὶ φυλάξαι τοὺς Μωϋσέως νόμους. οἱ δὲ προθύμως τε ἐπῄνεσαν, καὶ τὰ παραινεθέντα ὑπὸ τοῦ βασιλέως ποιήσειν ὑπέσχοντο.

δ. Καὶ ἐνετείλατο ὁ βασιλεὺς τῷ Χελκίᾳ τῷ ἱερεῖ τῷ μεγάλῳ καὶ τοῖς ἱερεῦσι τῆς δευτερώσεως τοῖς φυλάσσουσι τὸν σταθμὸν, τοῦ ἐξαγαγεῖν ἐκ τοῦ ναοῦ Κυρίου πάντα τὰ σκεύη τὰ πεποιημένα τῷ Βάαλ καὶ τῷ ἄλσει καὶ πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ· καὶ κατέκαυσεν αὐτὰ ἔξω Ἰερουσαλὴμ ἐν σαδημὼθ (1) Κέδρων, καὶ ἔβαλε τὸν

ε. χοῦν αὐτῶν εἰς Βαιθήλ. Καὶ κατέκαυσε τοὺς Χωμαρὶμ οὓς ἔδωκαν βασιλεῖς Ἰούδα, καὶ ἐθυμίων ἐν τοῖς ὑψηλοῖς καὶ ἐν ταῖς πόλεσιν Ἰούδα καὶ ἐν

Γ τοῖς περικύκλῳ Ἰερουσαλὴμ, καὶ τοὺς θυμιῶντας τῷ Βάαλ, καὶ τῷ ἡλίῳ, καὶ τῇ σελήνῃ, καὶ τοῖς μαζουρὼθ, καὶ πάσῃ τῇ δυνάμει τοῦ οὐρανοῦ.

** ΙΩΣΗΠΟΥ. Τὸν ἀρχιερέα προσέταξεν, εἴ τι περισσὸν ὑπὸ τῶν προγόνων σκεῦος τοῖς εἰδώλοις καὶ ξενικοῖς Θεοῖς κατεσκευασθὲν ἦν ἐν τῷ ναῷ, τοῦτο ἐκβαλεῖν. συναθροισθέντων δὲ πολλῶν, καταπρήσας αὐ-

Δ τὰ, τὴν σποδὸν αὐτῶν διέσπειρε. καὶ τοὺς ἱερεῖς τῶν εἰδώλων, οὐκ ὄντας ἐκ τοῦ Ἀαρῶνος γένους ἀπέκτεινε.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τοσοῦτον εὐσεβὴς εὐεργετεῖ βασιλεὺς, ὅσον οἱ δυσσεβεῖς τοῖς ἀρχομένοις πημαίνονται. ὥσπερ γὰρ Ἀμὼς καὶ Μανασσῆς εἰς ἀσέβειαν ἐξέκλιναν τὸν λαὸν, καὶ ἄλση φυτεύσαντες, καὶ τεμένη τοῖς Δαίμοσιν ἀναστήσαντες· οὕτως Ἰωσίας ὁ εὐσεβὴς βασιλεὺς τὰ τῷ Βάαλ καὶ τῇ

E Ἀσαρὼθ (2) καὶ τοῖς ἄλλοις εἰδώλοις κατασκευασθέντα σκεύη ἐν τῷ χειμάῤῥῳ τῶν Κέδρων συνέτριψε καὶ ἐχώννυσεν· ἐν δὲ τῇ Βαιθὴλ τοὺς τῶν εἰδώλων ἱερέας (3) κατέκαυσε. τὸ δὲ μαζουρὼθ, ἀστέρος οἶμαι ὄνομα εἶναι, καὶ τοπάζω τὸν ἑωσφόρον οὕτως
» ὠνομάσθαι. ἔφη γὰρ οὕτω· καὶ ἐθυμίων
» τῷ Βάαλ, καὶ τῷ ἡλίῳ, καὶ τῇ σελήνῃ,
» καὶ τοῖς μαζουρὼθ, καὶ πάσῃ τῇ στρατιᾷ

Z » τοῦ οὐρανοῦ.

ς. Καὶ ἐξήνεγκε τὸ ἄλσος ἐξ οἴκου Κυρίου ἔξωθεν Ἰερουσαλὴμ εἰς τὸν χειμάῤῥουν Κέδρων, καὶ κατέκαυσεν αὐτὸν (4) ἐν τῷ χειμάῤῥῳ Κέδρων, καὶ ἐλέπτυνεν εἰς χοῦν· καὶ ἔῤῥιψε τὸν χοῦν αὐτοῦ εἰς τὸν τάφον τῶν υἱῶν τοῦ λαοῦ.

ζ. Καὶ

(1) Τὸ σαδημὼθ, ἀγρὸν, ἢ πεδιάδα σημαίνει, ὡς φησι Μουστέρ. ἐν σελ. 2643. τοῦ προειρημ. Τόμ.

(2) Ἀστάρτη. ἡ αὐτ. (3) Τοὺς χωμαρὶμ, εἰδώλων ἱερέας ἑρμηνεύει. χωμαρὶμ γὰρ εἰδώλων λάτρας σημαίνει, κατὰ τὸν Μουστέρ. (αὐτ.) οὕτω δ' αὐτοὺς κληθῆναι νομίζει ὁ Ἑβραῖος Κιμχὶ, (παρ' αὐτῷ τῷ Μουστ. αὐτ.) διὰ τὸ μέλασι περιβάλλεσθαι ἱματίοις τῷ Βάαλ ἱερατεύοντας. χωμαρὶμ δὲ καλοῦσιν οἱ καθ' ἡμᾶς Ἰουδαῖοι τοὺς Μοναχοὺς, ἅτε δὴ ὑπομέλασι περικεκαλυμμένους κουκουλίοις, τῷ πρὸς Χριστὸν μίσει τοῦ Βάαλ λάτρας αὐτοὺς ἡγούμενοι. τὸ δὲ μαζουρὼθ, ζώδιον, ἢ ζωδιακὸν κύκλον ὁ Δρούσιος (αὐτ.) διερμηνεύει.

(4) Αὐτά. ἐν ταῖς εἰρημ. σημ.

ζ. Καὶ καθεῖλε τὸν οἶκον τῶν καδησὶμ τῶν ἐν τῷ οἴκῳ Κυρίου, οὗ αἱ γυναῖκες ὕφαινον ἐκεῖ Χεττιὶν (1) τῷ ἄλσει.

» ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τίνας (2) λέγει Καδησὶμ, τῶν ἐν οἴκῳ Κυρίου; Ὁμωνύμως ἐκάλεσαν (3) ἁγίους τοὺς Δαίμονας. τὸ γὰρ Κάδης, ἅγιον (4) ἑρμηνεύεται. ἐν τούτῳ δὲ τῷ οἴκῳ ὕφαινον, φησὶν, αἱ γυναῖκες στολὰς τῷ ἄλσει. τὸ δὲ ἄλσος, ὡς ἔφην πολλάκις, οἱ ἄλλοι ἑρμηνεύουσι (5) καὶ Ἀσαρὼθ ὀνομάζουσιν. ὄνομα δὲ τοῦτο τῆς Ἀφροδίτης. αὐτὴν γὰρ καλοῦσιν Ἀστάρτην. ταύτης δὲ καὶ τὸ ξόανον ἔνδον ἔστησαν ἐν τῷ ναῷ τῷ θείῳ. ἀλλ᾽ ὁ ἀξιάγαστος βασιλεὺς καὶ τὸ ἄλσος ἐξέκοψε, καὶ τὸ ξόανον ἐξέβαλε, καὶ πυρὶ παραδέδωκεν. οἱ δὲ περὶ τὸν Ἀκύλαν τὸ καδησὶμ οὕτως ἡρμήνευσαν· οὗ ἐποίουν ἐνδύματα τοῖς ἐκπορνεύουσιν ἀπὸ Κυρίου.

η. Καὶ ἀνήνεγκε πάντας τοὺς ἱερεῖς ἐκ πόλεων Ἰούδα, καὶ ἐμίανε τὰ ὑψηλὰ οὗ ἐθυμίασαν ἐκεῖ οἱ ἱερεῖς ἀπὸ Δὰν καὶ ἕως Βηρσαβεέ· καὶ καθεῖλε τὸν οἶκον τῶν πυλῶν τὸν παρὰ τὴν θύραν τῆς πύλης Ἰησοῦ ἄρχοντος τῆς πύλης τῶν ἐξ ἀριστερῶν ἀνδρὸς ἐν τῇ πύλῃ τῆς πόλεως.

θ. Πλὴν οὐκ ἀνέβησαν οἱ ἱερεῖς τῶν ὑψηλῶν πρὸς τὸ θυσιαστήριον Κυρίου ἐν Ἱερουσαλὴμ, ὅτι εἰ μὴ ἔφαγον ἄζυμα ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν.

✱ ΘΕΟΔΩΡΙΤΟΥ. Ὅτι δὲ τὰ ὑψηλὰ οὐ μόνον οἱ τῶν εἰδώλων ἐκαλοῦντο βωμοὶ, ἀλλὰ καὶ τὰ ἐν τοῖς ὑψηλοῖς [χωρίοις] δομηθέντα τῷ Θεῷ θυσιαστήρια, πάλιν ἡ ἱστορία διδάσκει. λέγει γὰρ οὕτω· πλὴν οὐκ » ἀνέβησαν οἱ ἱερεῖς τῶν ὑψηλῶν πρὸς τὸ » θυσιαστήριον Κυρίου ἐν Ἱερουσαλὴμ, εἰ μὴ » ἔφαγον ἄζυμα ἐν μέσῳ τῶν ἀδελφῶν αὐτῶν. δῆλον δὲ, ὡς ἐκ τοῦ ἱερατικοῦ γένους ὑπῆρχον οὗτοι. εἰ δὲ τοῖς εἰδώλοις ἐλάτρευσαν, οὐκ ἂν αὐτοὺς ὁ εὐσεβὴς βασιλεὺς συγγνώμης ἠξίωσε.

ι. Καὶ ἐμίανε Ταφὲθ τὸν ἐν φάραγγι υἱοῦ Ἐννὸμ, τοῦ διάγειν ἄνδρα τὸν υἱὸν αὐτοῦ καὶ ἄνδρα τὴν θυγα-
ια. τέρα αὐτοῦ ἐν πυρὶ τῷ Μολόχ. Καὶ
κατέκαυσε τοὺς ἵππους οὓς ἔδωκε βασιλεὺς Ἰούδα τῷ ἡλίῳ ἐν τῇ εἰσόδῳ τῷ οἴκῳ (6) Κυρίου εἰς τὸ γαζοφυλάκιον Νάθαν βασιλέως τοῦ εὐνούχου ἐν Φαρουρείν. (7) καὶ τὸ ἅρμα τοῦ ἡλίου κατέκαυσε πυρὶ,

A ✱ ΘΕΟΔΩΡΙΤΟΥ. Τὸ Ταφὲθ τί δηλοῖ; Ἐν τῇ τῶν ἑβραϊκῶν ὀνομάτων ἑρμηνείᾳ, πλῶσιν εὗρον σημαῖνον τὸ ὄνομα. τόπος δὲ ἦν οὗτος, ἐν ᾧ διῆγον ἐν πυρὶ τὰ παιδία τῷ Μελχώλ· Ἀμμανιτῶν δὲ ἦν τοῦτο τὸ εἴδωλον. τοῦτο δὲ καὶ ἡ ἱστορία δεδήλωκεν. » ἐμίανε γάρ φησι τὸ Ταφὲθ τὸ ἐν φάραγγι υἱοῦ Ἐννὸμ, τοῦ μὴ διάγειν ἄνδρα τὸν υἱὸν αὐτοῦ ἐν πυρὶ τῷ Μελχώλ. τὸ δὲ Φαρουρὶ, τοῦ Φρουρίου οἱ περὶ τὸν Σύμμαχον B ἡρμήνευσαν. ὅπως δὲ τοῦτον ἐμίανεν ὁ εὐσεβὴς βασιλεὺς, ἡ ἱστορία διδάσκει. ἔπλησε » γάρ φησι τοὺς τόπους αὐτῶν ὀστέων ἀνθρώπων. καὶ πάλιν· καὶ ἀπέστειλε καὶ ἔλαβε » τὰ ὀστᾶ ἐκ τῶν τάφων, καὶ κατέκαυσεν » αὐτὰ ἐπὶ τὸ θυσιαστήριον, κατὰ τὸ ῥῆμα » Κυρίου, ὃ ἐλάλησεν [ὁ] ἄνθρωπος τοῦ Θεοῦ, » ἐν τῷ ἑστάναι Ἱεροβοὰμ ἐπὶ τὸ θυσιαστήριον ἐν τῇ ἑορτῇ.

Γ ιβ. Καὶ τὰ θυσιαστήρια τὰ ἐπὶ τοῦ δώματος τοῦ ὑπερῴου Ἄχαζ, ἃ ἐποίησαν βασιλεῖς Ἰούδα. καὶ τὰ θυσιαστήρια ἃ ἐποίησε Μανασσῆς ἐν ταῖς δυσὶν αὐλαῖς οἴκου Κυρίου καθεῖλεν ὁ βασιλεὺς καὶ κατέσπασεν ἐκεῖθεν, καὶ ἔρριψε τὸν χοῦν αὐτῶν εἰς τὸν χειμάρ[ρουν] Κέδρων.

ιγ. Καὶ τὸν οἶκον τὸν ἐπὶ πρ[ό]-
Δ πον Ἱερουσαλὴμ τὸν ἐκ δεξιῶν τ[οῦ] τοῦ Μοσοάθ, (8) ὃν ᾠκοδόμησε Σ[αλο]μὼν βασιλεὺς Ἰσραὴλ τῇ Ἀ[στάρτῃ] προσοχθίσματι Σιδωνίων, κ[αὶ] Χαμμὼς προσοχθίσματι Μωα[βίων], τῷ Μολχὸλ (9) βδελύγματι υἱῶν [Ἀμ]μὼν, ἐμίανεν ὁ βασιλεύς.

✱✱ ΠΡΟΚΟΠΙΟΥ. Ἀμεσοὰθ, ἀφανισμοῦ.

E ιδ. Καὶ συνέτριψε τὰς στήλας, καὶ ἐξωλόθρευσε τὰ ἄλση, καὶ ἔπλησε τοὺς τόπους αὐτῶν ὀστέων ἀνθρώπων.
ιε. Καί γε τὸ θυσιαστήριον τὸ ἐν Βαιθὴλ
τὸ ὑψηλὸν ὃ ἐποίησεν Ἱεροβοὰμ υἱὸς Ναβὰτ, ὃς ἐξήμαρτε τὸν Ἰσραὴλ, καί γε τὸ θυσιαστήριον ἐκεῖνο, καὶ τὸ ὑψηλὸν κατέσπασε, καὶ συνέτριψε
Z τοὺς λίθους αὐτοῦ καὶ ἐλέπτυνεν εἰς χοῦν,
ις. καὶ κατέκαυσε τὸ ἄλσος. Καὶ ἐξέ-
νευσεν Ἰωσίας καὶ εἶδε τοὺς τάφους τοὺς ἐκεῖ ὄντας ἐν τῇ πόλει, καὶ ἀπέστειλε, καὶ ἔλαβε τὰ ὀστᾶ ἐκ τῶν τάφων, καὶ κατέκαυσεν ἐπὶ τὸ θυσιαστήριον, καὶ ἐμίανεν αὐτὸ, κατὰ τὸ ῥῆμα (10) ὃ ἐλάλησεν ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐν τῷ ἑστάναι

(1) Χεττιίμ. αἱ αὐτ. στολάς. ἡ ἐν Κομπλ. ἔκδ.
(2) Τίνα λέγει τὸν οἶκον τῶν Καδησεὶμ, τῶν ἐν, κτ. ἡ ἐν Χάλ. ἔκδ.
(3) Ἐκάλεσεν. ἡ αὐτ. (4) Ἅγιος. ἡ αὐτ. (5) Ἢ ἀσηρὼθ, ἢ ἀσταρὼθ ὀνομάζ. ἡ αὐτ.
(6) Οἴκου. αἱ αὐτ. (7) Φαρουρείμ. αἱ αὐτ. καὶ ὁ Θεοδώριτ. ἐν τῇ κατὰ τὴν Χάλ. ἐκδόσ.
(8) Μοθαάθ. αἱ αὐτ. (9) Μολόχ. αἱ αὐτ. (10) Ῥῆμα Κυρίου ὃ. αἱ αὐτ.

ἐςᾶναι Ἱεροβοὰμ ἐν τῇ ἑορτῇ ἐπὶ τὸ θυσιαςήριον. καὶ ἐπιςρέψας ἦρε τοὺς ὀφθαλμοὺς αὐτοῦ ἐπὶ τὸν τάφον τοῦ ἀνθρώπου τοῦ Θεοῦ τοῦ λαλήσαντος τοὺς λόγους τούτους.

** ΙΩΣΗΠΟΥ. Ταῦτα ἐν τοῖς Ἱεροσολύμοις διαπραξάμενος, ἧκεν εἰς τὴν χώραν, καὶ τὰ κατασκευασθέντα ἐν αὐτῇ ὑπὸ Ἱεροβοάμου τοῦ βασιλέως εἰς τιμὴν τῶν ξενικῶν Θεῶν ἠφάνισε· καὶ τὰ ὀςᾶ τῶν ψευδοπροφητῶν ἐπὶ τοῦ βωμοῦ, ὃν κατεσκεύασε πρῶτος Ἱεροβόαμος, κατέκαυσε. ταῦτα δὲ τὸν προφήτην Ἀχίαν κατελθόντα πρὸς Ἱεροβόαμον, θυσιάζοντος αὐτοῦ καὶ παντὸς ἀκούοντος τοῦ λαοῦ, προκαταγγεῖλαι τὰ γενησόμενα, ὅτι τὶς ἐκ τοῦ Δαβίδου γένους Ἰωσίας τοὔνομα ποιήσει τὰ προειρημένα. συνέβη δὲ ταῦτα λαβεῖν τέλος μετὰ ἔτη τριακόσια καὶ ἑξήκοντα ἕν.

ιζ. Καὶ εἶπε, τί τὸ σκόπελον ἐκεῖνο ὃ ἐγὼ ὁρῶ; καὶ εἶπον αὐτῷ οἱ ἄνδρες τῆς πόλεως, ὁ ἄνθρωπος τοῦ Θεοῦ ἐςὶν ὁ ἐξεληλυθὼς ἐκ τοῦ Ἰούδα, καὶ ἐπικαλεσάμενος τοὺς λόγους τούτους οὓς ἐπεκαλέσατο ἐπὶ τοῦ θυσιαςηρίου ...θήλ.

... Καὶ εἶπεν, ἄφετε αὐτὸν, ἀνὴρ ...νησάτω τὰ ὀςᾶ αὐτοῦ. καὶ ἐῤῥύ...ν τὰ ὀςᾶ αὐτοῦ μετὰ τῶν ὀςῶν τοῦ ...ήτου τοῦ ἥκοντος ἐκ Σαμαρείας.

...ΕΟΔΩΡΙΤΟΥ. Ὅτι δὲ οὐ ψευδο...της ἦν ὁ τὸν ἄνθρωπον τοῦ Θεοῦ πα...σας τροφῆς μεταχεῖν παρ' αὐτῷ, κ...υθά (1) ἐςὶ καταμαθεῖν εὐπετές. διε...θη γάρ φησι τὰ ὀςᾶ τοῦ Προφήτου τοῦ πρεσβύτου (2) τοῦ κατοικοῦντος ἐν Βαιθὴλ,
» μετὰ τῶν ὀςῶν τοῦ ἀνθρώπου τοῦ Θεοῦ τοῦ
» ἥκοντος ἐξ Ἰούδα, καὶ λελαληκότος κατὰ (3)
» τὰ ἔργα ταῦτα, ἃ ἐποίησεν Ἰωσίας.

ιθ. Καί γε πάντας τοὺς οἴκους τῶν ὑψηλῶν τοὺς ἐν ταῖς πόλεσι Σαμαρείας, οὓς ἐποίησαν βασιλεῖς Ἰσραὴλ παροργίζειν Κύριον, ἀπέςησεν Ἰωσίας, καὶ ἀπέςησεν ἐν αὐτοῖς πάντα τὰ ἔρ-
κ. γα ἃ ἐποίησαν ἐν Βαιθήλ. Καὶ ἐθυσίασε πάντας τοὺς ἱερεῖς τῶν ὑψηλῶν τοὺς ὄντας ἐκεῖ ἐπὶ τῶν θυσιαςηρίων, καὶ κατέκαυσε τὰ ὀςᾶ τῶν ἀνθρώπων ἐπ' αὐτὰ, καὶ ἐπεςράφη εἰς Ἱερουσαλήμ.

κα. Καὶ ἐνετείλατο ὁ βασιλεὺς παντὶ τῷ λαῷ, λέγων, ποιήσατε (4) τὸ Πάσχα τῷ Κυρίῳ Θεῷ ἡμῶν, καθὼς γέγραπται ἐπὶ βιβλίου τῆς δια-
κβ. θήκης ταύτης. Ὅτι οὐκ ἐγενήθη τὸ Πάσχα τοῦτο ἀπὸ ἡμερῶν τῶν Κριτῶν οἳ ἔκρινον τὸν Ἰσραὴλ, καὶ πασῶν ἡμερῶν βασιλέων Ἰσραὴλ καὶ βασιλέων
κγ. Ἰούδα. Ὅτι ἀλλ' ἢ τῷ ὀκτωκαιδεκάτῳ ἔτει τοῦ βασιλέως Ἰωσίου ἐγενήθη τὸ Πάσχα τῷ Κυρίῳ ἐν Ἱερουσαλήμ.

** ΙΩΣΗΠΟΥ. Καθαρίσας οὕτω τὴν
Β χώραν ἅπασαν, εἰς Ἱεροσόλυμα τὸν λαὸν συνεκάλεσε, κἀκεῖ τὴν ἀζύμων ἑορτὴν, καὶ τὴν Πάσχα λεγομένην ἤγαγεν· ἐδωρήσατό τε τῷ λαῷ τὸ Πάσχα, νεογνοὺς ἐρίφους καὶ ἄρνας τρισμυρίους, (5) βοῦς δ' εἰς ὁλοκαυτώματα τρισχιλίους. παρεῖχον δὲ καὶ τῶν ἱερέων οἱ πρῶτοι διὰ τὸ Πάσχα τοῖς ἱερεῦσιν ἄρνας δισχιλίους ἑξακοσίους· καὶ τοῖς Λευΐταις πεντακισχιλίους ἄρνας ἔδωσαν οἱ προεςῶτες αὐτῶν, βοῦς δὲ πεντακοσίους. καὶ
Γ γενομένης οὕτως ἀφθόνου τῆς τῶν ἱερείων εὐπορίας, τὰς θυσίας ἐπετέλουν τοῖς Μωϋσέως νόμοις, ἑκάςου τῶν ἱερέων ἐξηγουμένου καὶ διακονουμένου τοῖς ὄχλοις. καὶ τοῦ μηδεμίαν ἄλλην οὕτως ἀχθῆναι τοῖς Ἑβραίοις ἑορτὴν ἀπὸ τῶν Σαμουήλου τοῦ προφήτου χρόνων αἴτιον ἦν, τὸ πάντα κατὰ νόμους καὶ κατὰ τὴν ἀρχαίαν παρατήρησιν τῆς πατρίου συνηθείας ἐπιτελεσθῆναι.

κδ. Καί γε τοὺς θελητὰς, (6) καὶ
Δ τοὺς γνώςας, καὶ τὰς (7) θεραφὶμ, καὶ τὰ εἴδωλα, καὶ πάντα τὰ προσοχθίσματα τὰ γεγονότα ἐν τῇ γῇ Ἰούδα καὶ ἐν Ἱερουσαλὴμ ἐξῆρεν ὁ βασιλεὺς (8) Ἰούδα, ἵνα ςήσῃ τοὺς λόγους τοῦ νόμου τοὺς γεγραμμένους ἐπὶ τοῦ βιβλίου, οὗ εὗρε Χελκίας ὁ ἱερεὺς ἐν οἴκῳ Κυρίου.

κε. Ὅμοιος αὐτῷ οὐκ ἐγενήθη ἔμ-
Ε προσθεν αὐτοῦ βασιλεὺς, ὃς ἐπέςρεψε πρὸς Κύριον ἐν ὅλῃ καρδίᾳ αὐτοῦ, καὶ ἐν ὅλῃ ψυχῇ αὐτοῦ, καὶ ἐν ὅλῃ ἰσχύϊ αὐτοῦ κατὰ πάντα τὸν νόμον Μωϋσέως, καὶ μετ' αὐτὸν (9) οὐκ ἀνέςη ὅμοιος αὐτῷ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τί δήποτε καὶ περὶ τοῦ Ἐζεκίου, καὶ περὶ τοῦ Ἰωσίου τὰ αὐτὰ ἔφη· ὅτι ὅμοιος αὐτῷ οὐκ ἐγένετο ἔμπροσθεν
Ζ » αὐτοῦ, καὶ μετ' αὐτὸν οὐκ ἀνέςη ὅμοιος αὐτῷ; Οὔτε ἐκεῖνον τούτῳ συνέκρισεν, [οὔτε τοῦτον ἐκείνῳ,] ἀλλὰ τοῖς ἄλλοις τοῖς δόξασιν εὐσεβεῖν, τῷ Ἀσὰ, καὶ τῷ Ἰωσαφὰτ, καὶ τῷ Ἰωάθαμ. καὶ τοῦτον κἀκεῖνον παρεξετάσας, τούτους κρείττους ἀπέφηνεν. ἐὰν δέ τις ψιλῷ προσέχῃ τῷ γράμματι, εὑρεθήσεται κἀκεῖνος καὶ οὗτος τοῦ Δαβὶδ ὑπερκείμενος. καὶ περὶ ἐκείνου γὰρ καὶ περὶ τούτου
» ἔφη· ὅτι ὅμοιος αὐτῷ οὐκ ἐγένετο βασιλεὺς ἔμπρο-

(1) Ἐντεῦθεν καταμαθ. ἡ ἐν Χάλ. ἔκδ. (2) Τοῦ πρεσβυτέρου. ἡ αὐτ. (3) Πάντα τὰ ἔργα, ἃ, κτ. ἡ αὐτ. (4) Ποιήσατε Πάσχα. αἱ αὐτ. (5) Ὅρα τὸ 35. κεφ. τῆς 2. τῶν Παραλειπ. (6) Ἐγγαςριμύθους. ἡ ἐν Κομπλ. ἔκδ. (7) Τὰ θεραφίν. αἱ εἰρημ. ἐκδόσ. (8) Ὁ βασιλεὺς Ἰωσίας. αἱ αὐτ. (9) Αὐτόν. αἱ αὐτ. καὶ ὁ Θεοδώρητ.

ἔμπροσθεν αὐτȣ̃. ἀλλὰ δῆλον, ὡς ὄτε τὸν
Ἐζεκίαν τȣ̃ Δαβὶδ πρȣ̈τέθεικεν, ὄτε τȣ̃
Ἐζεκίȣ τὸν Ἰωσίαν καὶ τȣ̃ Δαβὶδ ἀπέ-
φηνε κρείττονα· ἀλλὰ τοῖς ἄλλοις αὐτȣ̀ς
δυσσεβέσι συνέκρινεν. εἰ δέ τις ὑπείληφε
μεμφθῆναι τὸν Ἐζεκίαν, ὡς φρονήματι
χρησάμενον ὑψηλῷ, καὶ τοῖς τȣ̃ Βαβυ-
λωνίȣ πρεσβευταῖς τȣ̀ς θησαυρȣ̀ς ὑποδεί-
ξαντα, ὄψεται καὶ τὸν Ἰωσίαν ȣ̓ παντά-
πασιν αἰτίας ἐλεύθερον. ἡνίκα γὰρ Φα-
ραὼ Νεχαὼ κατὰ τῶν Ἀσσυρίων ἐστράτευ-
σε, (1) καὶ ἐπικȣρῆσαι τοῖς Ἀσσυρίοις ἐσπȣ́-
δασεν ὡς ἡ τῶν Παραλειπομένων βίβλος
2. Παραλ. 35. 21-23. ἐδίδαξεν, ἔφη πρὸς αὐτὸν Φαραώ· τί ἐμοὶ
„ καὶ σοί, βασιλεῦ Ἰȣ́δα; ȣ̓κ ἐπὶ σὲ ἥκω σή-
„ μερον ποιῆσαι πόλεμον, ἀλλ' ἢ ἐπὶ τὸν τό-
„ πον τȣ̃ πολέμȣ, καὶ ὁ Θεὸς εἶπε τȣ̃ κατα-
„ σπεῦσαί με. [πρόσεχε σὺ ἀπὸ τȣ̃ Θεȣ̃ τȣ̃
„ μετ' ἐμȣ̃, μὴ καταφθείρῃ σε. καὶ ȣ̓κ ἀπέ-
„ στρεψεν Ἰωσίας τὸ πρόσωπον αὐτȣ̃· ἀλλ'
„ ἐκραταιώθη τȣ̃ πολεμεῖν αὐτόν· καὶ ȣ̓κ ἤκȣ-
„ σεν Ἰωσίας τῶν λόγων Φαραὼ Νεχαὼ ἐκ
„ στόματος Κυρίȣ· καὶ ἦλθε τȣ̃ πολεμεῖν ἐν
„ τῷ πεδίῳ Μαγεδδώ. καὶ ἐτόξευσαν οἱ το-
„ ξόται Φαραὼ ἐπὶ τὸν βασιλέα Ἰωσίαν. καὶ
„ εἶπεν ὁ βασιλεὺς τοῖς παισὶν αὐτȣ̃, ἐξα-
„ γάγετέ με ὅτι ἐπόνεσα σφόδρα.] καὶ πά-
Ἐσδρ. 1. 26-28. λιν ὁ Ἔσδρας φησί· καὶ διεπέμψατο ὁ βα-
„ σιλεὺς Αἰγύπτȣ πρὸς Ἰωσίαν, λέγων, τί
„ ἐμοὶ καὶ σοί, βασιλεῦ τῆς Ἰȣδαίας; ȣ̓χὶ
„ πρὸς σὲ ἐξαπέσταλμαι ὑπὸ Κυρίȣ τȣ̃ Θεȣ̃.
„ ἐπὶ γὰρ τȣ̃ Εὐφράτȣ ὁ πόλεμος ἐστί. καὶ
„ νῦν Κύριος μετ' ἐμȣ̃ [ἐπισπεύδων] ἐστίν. ἀπό-
„ στηθι, καὶ μὴ ἐναντιȣ̃ τῷ Κυρίῳ. καὶ ȣ̓κ ἀπέ-
„ στρεψεν ἑαυτὸν Ἰωσίας ἐπὶ τὸ ἅρμα αὐτȣ̃·
„ ἀλλὰ πολεμεῖν αὐτὸν ἐπεχείρει, [ȣ̓] προ-
„ σέχων ῥήμασιν Ἱερεμίȣ τȣ̃ προφήτȣ ἐκ στό-
„ ματος Κυρίȣ· ἀλλὰ συνεστήσατο πρὸς αὐ-
„ τὸν πόλεμον ἐν τῷ πεδίῳ μετὰ ἀδίκȣ. ȣ̓
τοίνυν αὐτȣ̀ς ἀλλήλοις συγκρίνει, ȣ̓δὲ ἀλλή-
λων ὑπερτίθησι· τὸ γὰρ ȣ̈τω νοεῖν ἀνοίας
ἐστὶν ἐσχάτης· ἀλλὰ τοῖς ἄλλοις αὐτȣ̀ς πα-
ρεξήτασε βασιλεῦσι.

κϛ. Πλὴν ȣ̓κ ἀπεστράφη Κύριος
ἀπὸ θυμȣ̃ ὀργῆς αὐτȣ̃ τῆς μεγάλης
ȣ̃ ἐθυμώθη ὀργῇ αὐτȣ̃ ἐν τῷ Ἰȣ́δᾳ
ἐπὶ τȣ̀ς παροργισμȣ̀ς ȣ̀ς παρώργισεν
κζ. αὐτὸν Μανασσῆς. Καὶ εἶπε Κύριος,
καί γε τὸν Ἰȣ́δαν ἀποστήσω ἀπὸ τȣ̃
προσώπȣ μȣ, καθὼς ἀπέστησα τὸν
Ἰσραὴλ, καὶ ἀπώσομαι τὴν πόλιν
ταύτην ἣν ἐξελεξάμην τὴν Ἱερȣσα-
λὴμ, καὶ τὸν οἶκον ὃν εἶπον, ἔσται τὸ
κη. ὄνομά μȣ ἐκεῖ. Καὶ τὰ λοιπὰ τῶν
λόγων Ἰωσίȣ καὶ πάντα ὅσα ἐποίη-
σεν, ȣ̓χὶ ταῦτα γεγραμμένα ἐπὶ βι-
βλίῳ λόγων τῶν ἡμερῶν τοῖς βασι-
λεῦσιν Ἰȣ́δα;

A κθ. Ἐν δὲ ταῖς ἡμέραις αὐτȣ̃ ἀνέ-
βη Φαραὼ Νεχαὼ βασιλεὺς Αἰγύ-
πτȣ ἐπὶ βασιλέα Ἀσσυρίων ἐπὶ ποτα-
μὸν Εὐφράτην· καὶ ἐπορεύθη Ἰωσίας
εἰς ἀπάντησιν αὐτȣ̃, καὶ ἐθανάτωσεν
αὐτὸν Νεχαὼ ἐν Μαγεδδὼ ἐν τῷ ἰδεῖν
λ. αὐτόν. Καὶ ἐπεβίβασαν αὐτὸν οἱ
παῖδες αὐτȣ̃ νεκρὸν ἐν Μαγεδδὼ, καὶ
ἤγαγον αὐτὸν εἰς Ἱερȣσαλὴμ, καὶ ἔθα-
B ψαν αὐτὸν ἐν τῷ τάφῳ αὐτȣ̃. καὶ ἔλα-
βεν ὁ λαὸς τῆς γῆς τὸν Ἰωάχαζ υἱὸν
Ἰωσίȣ, καὶ ἔχρισαν αὐτὸν, καὶ ἐβασί-
λευσαν αὐτὸν ἀντὶ τȣ̃ πατρὸς αὐτȣ̃.

** ΙΩΣΗΠΟΥ. Νεχαὼ ὁ τῶν Αἰγυ-
πτίων βασιλεὺς ἐγείρας στρατιὰν, ἐπὶ τὸν
Εὐφράτην ἤλασε ποταμὸν, Μήδȣς πολε-
μήσων καὶ τȣ̀ς Βαβυλωνίȣς, οἳ τὴν Ἀσσυ-
ρίων κατέλυσαν ἀρχήν. τῆς γὰρ Ἀσίας
Γ βασιλεῦσαι πόθον εἶχε. γενομένȣ δ' αὐτȣ̃
κατὰ Μένδην πόλιν· ἣν δ' αὕτη τῆς Ἰωσίȣ
βασιλείας· μετὰ δυνάμεως εἶργεν αὐτὸν
διὰ τῆς ἰδίας ποιεῖσθαι χώρας τὴν ἐπὶ τȣ̀ς
Μήδȣς ἔλασιν. πέμψας δὲ κήρυκα πρὸς
αὐτὸν ὁ Νεχαὼ, ȣ̓κ ἐπ' αὐτὸν στρατεύειν
ἔλεγεν, ἀλλ' ἐπὶ τὸν Εὐφράτην ὡρμηκέναι·
μὴ παροξύνειν δ' αὐτὸν ἐκέλευσεν, ὥστε [illegible]
λεμεῖν αὐτῷ κωλύοντι βαδίζειν ἐφ' [illegible]
ἔγνωκεν. Ἰωσίας δὲ ȣ̓ προσίετο τὰ [illegible]
Δ τȣ̃ Νεχαὼ, ἀλλ' ȣ̈τως ἔσχεν, ὡς μ[illegible]
χωρεῖν αὐτῷ τὴν οἰκείαν διέρχεσθα[illegible]
πεπρωμένης ἀλαζονείας οἶμαι, εἰς τ[illegible]
τὸν παρορμησάσης, ἵνα λάβῃ πρ[illegible]
κατ' αὐτȣ̃. διατάσσοντος γὰρ αὐτȣ̃ τ[illegible]
ναμιν, καὶ ἐφ' ἅρματος ἀπὸ κέρως ἐ[illegible]
ρας ὀχȣμένȣ, τοξεύσας τὶς αὐτῶν τῶν [illegible]
γυπτίων, ἔπαυσε τῆς πρὸς τὴν μάχην σ[illegible]
δῆς. τῷ τραύματι γὰρ περιαλγὴς ὢν, ἐκέ-
λευσεν ἀνακληθῆναι τὸ στράτευμα, καὶ ὑπέ-
E στρεψεν εἰς Ἱεροσόλυμα. τελευτᾷ δ' ἐκ τῆς
πληγῆς ἐκείνης τὸν βίον, καὶ κηδεύεται
ἐν ταῖς πατρῴαις θήκαις μεγαλοπρεπῶς,
βιώσας μὲν ἔτη τριάκοντα ἐννέα, βασιλεύ-
σας δὲ τȣ́των ἓν καὶ τριάκοντα.

λα. Υἱὸς εἴκοσι καὶ τριῶν ἐτῶν ἦν
Ἰωάχαζ ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ
τρεῖς μῆνας ἐβασίλευσεν ἐν Ἱερȣσα-
λὴμ, καὶ ὄνομα τῇ μητρὶ αὐτȣ̃ Ἀμι-
Z τὰλ θυγάτηρ Ἱερεμίȣ ἐκ Λοβνά.
λβ. Καὶ ἐποίησε τὸ πονηρὸν ἐνώπιον Κυ-
ρίȣ, κατὰ πάντα ὅσα ἐποίησαν οἱ
πατέρες αὐτȣ̃.

λγ. Καὶ μετέστησεν αὐτὸν Φαραὼ
Νεχαὼ ἐν Ῥεβλαὰ ἐν γῇ Αἰθὰμ (2)
τȣ̃ μὴ βασιλεύειν ἐν Ἱερȣσαλὴμ, καὶ
ἔδωκε ζημίαν ἐπὶ τὴν γῆν ἑκατὸν τά-
H λαντα ἀργυρίȣ καὶ ἑκατὸν (3) τά-
λαντα

(1) Ἐστρατεύσατο, ἐπικȣρῆσαι τοῖς Ἀσσυρίοις ἐσπȣ́δασε· καὶ ὡς ἡ τῶν Παραλ. ἡ αὐτ.
(2) Ἐμάθ. αἱ αὐτ. Αἱμάθ. ἐν ταῖς εἰρημ. σημ.
(3) Δέκα. ἡ ἐν Κομπλ. ἔκδ. ἡ δὲ Ἑβραϊκ. τάλαντον χρυσίȣ. ὁμοίως καὶ ὁ Ἰώσηπ.

λδ. λαντα χρυσίȣ. Καὶ ἐβασίλευσε Φαραὼ (1) ἐπ᾽ αὐτȣ̃ς τὸν Ἐλιακεὶμ ὑὸν Ἰωσίȣ βασιλέως Ἰȣ̓δα ἀντὶ Ἰωσίȣ τȣ̃ πατρὸς αὐτȣ̃· καὶ ἐπέστρεψε τὸ ὄνομα αὐτȣ̃ Ἰωακείμ. καὶ τὸν Ἰωάχαζ ἔλαβε καὶ εἰσήνεγκεν εἰς Αἴγυπτον, καὶ
λε. ἀπέθανεν ἐκεῖ. Καὶ τὸ ἀργύριον καὶ τὸ χρυσίον ἔδωκεν Ἰωακεὶμ τῷ Φαραὼ, πλὴν ἐτιμογράφησε τὴν γῆν τȣ̃ δȣ̃ναι τὸ ἀργύριον ἐπὶ στόματος Φαραώ· ἀνὴρ κατὰ τὴν συντίμησιν αὐτȣ̃ ἔδωκαν τὸ ἀργύριον καὶ τὸ χρυσίον παρὰ τȣ̃ λαȣ̃ τῆς γῆς τȣ̃ δȣ̃ναι τῷ Φαραὼ Νεχαώ.

✱✱ ΙΩΣΗΠΟΥ. Ὁ τῶν Αἰγυπτίων βασιλεὺς ὑποστρέψας ἀπὸ τῆς μάχης, μεταπέμπεται τὸν Ἰωάχαζον πρὸς αὐτὸν εἰς Ἀμαθὰ καλȣμένην πόλιν, ἥτις ἐστὶ τῆς Συ-

A ρίας. καὶ τὸν μὲν ἐλθόντα ἔδησε, τῷ δὲ πρεσβυτέρῳ αὐτȣ̃ ἀδελφῷ, ὁμοπατρίῳ ὄντι, Ἐλιακίμῳ τȣ̃νομα, τὴν βασιλείαν παραδίδωσι, μετονομάσας αὐτὸν Ἰωάκιμον. τῇ δὲ χώρᾳ ἐπέταξεν ἑκατὸν ἀργυρίȣ τάλαντα, ἓν δὲ χρυσίȣ. καὶ τȣ̃το μὲν ἐτέλει ὁ Ἰωάκιμος τὸ πλῆθος τῶν χρημάτων· τὸν δὲ Ἰωάχαζον ἀπήγαγεν εἰς Αἴγυπτον, ὡς καὶ ἐτελεύτησεν ἐν αὐτῇ, βασιλεύσας μῆνας τρεῖς, ἡμέρας δέκα.

B

λς. Υἱὸς εἴκοσι καὶ πέντε ἐτῶν Ἰωακεὶμ ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερȣσαλήμ, καὶ ὄνομα τῇ μητρὶ αὐτȣ̃ Ἐλδὰφ (2)
λζ. θυγάτηρ Φαδαῒλ ἐκ Ῥȣμά. Καὶ ἐποίησε τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίȣ, κατὰ πάντα ὅσα ἐποίησαν οἱ πατέρες αὐτȣ̃.

ΚΕΦ. ΚΔ.

α. Ἐν ταῖς ἡμέραις αὐτȣ̃ ἀνέβη Ναβȣχοδονόσορ βασιλεὺς Βαβυλῶνος, καὶ [...]νήθη αὐτῷ Ἰωακεὶμ δȣ̃λος τρία [...] καὶ ἐπέστρεψε καὶ ἠθέτησεν ἐν αὐτῷ.

[...] ΙΩΣΗΠΟΥ. Ἔτος αὐτȣ̃ τῆς βασι[...] τέταρτον ἤδη ἔχοντος, τὴν Βαβυ[λων]ῶν ἀρχὴν παραλαμβάνει τις, Ναβȣ[χοδον]όσορος ὄνομα· ὃς ὑπὸ τὸν αὐτὸν και[ρὸν μ]ετὰ μεγάλης παρασκευῆς ἐπὶ Καρ[χαμ]ισὰν ἀναβαίνει πόλιν· ἔστι δ᾽ αὕτη πρὸς [τῷ] Εὐφράτῃ· πολεμεῖν διεγνωκὼς τῷ τῶν [Αἰ]γυπτίων Νεχαώ. ὑπὸ τȣ́τῳ γὰρ ἦν ἅπα[σ]α ἡ Συρία. μαθὼν δὲ τὴν τȣ̃ Βαβυλωνίȣ προαίρεσιν καὶ τὴν ἐπ᾽ αὐτὸν στρατείαν ὁ Νεχαὼς, ȣ̓δὲ αὐτὸς ὠλιγώρησεν, ἀλλὰ σὺν πολλῇ χειρὶ τὸν Ναβȣχοδονόσορον ἀμυνόμενος, ἐξώρμησεν ἐπὶ τὸν Εὐφράτην. συμβολῆς δὲ γενομένης ἡττήθη, καὶ πολλὰς ἀπέβαλε μυριάδας ἐν τῇ μάχῃ. διαβὰς δὲ τὸν Εὐφράτην ὁ Βαβυλώνιος, τὴν ἄχρι Πηλȣσίȣ παραλαμβάνει Συρίαν, παρὲξ τῆς Ἰȣδαίας. τέσσαρα δ᾽ ἔτι βασιλεύοντος ἤδη τȣ̃ Ναβȣχοδονοσόρȣ, ὄγδοον ἦν τῷ Ἰωακίμῳ τῷ τῶν Ἑβραίων ἔχοντι τὴν ἀρχὴν, καὶ στρατεύει μετὰ πολλῆς δυνάμεως ἐπὶ τȣ̃ς Ἰȣδαίȣς ὁ Βαβυλώνιος, φόρȣς αἰτῶν τὸν Ἰωάκιμον, ἢ πολεμήσειν ἀπειλῶν. ὁ δὲ δείσας τὴν ἀπειλὴν, καὶ τὴν εἰρήνην ἀντικαταλλαξάμενος τῶν χρημάτων, εἰσήνεγκεν αὐτῷ φόρȣς, ȣ̃ς ἔταξεν ἐπὶ ἔτη τρία. τῷ δὲ τρίτῳ, στρατεύειν τȣ̃ς Αἰγυπτίȣς ἀκȣ́σας ἐπὶ τὸν Βαβυλώνιον, καὶ τȣ̃ς φόρȣς αὐτῷ μὴ δȣ̃ς, διεψεύσθη τῆς ἐλπίδος. οἱ γὰρ Αἰγύπτιοι ποιήσασθαι τὴν στρατείαν ȣ̓κ ἐθάῤῥησαν.

β. Καὶ ἀπέστειλε Κύριος αὐτῷ τȣ̃ς μονοζώνȣς τῶν Χαλδαίων, καὶ τȣ̃ς μονοζώνȣς Συρίας, καὶ τȣ̃ς μονοζώνȣς Μωὰβ, καὶ τȣ̃ς μονοζώνȣς υἱῶν Ἀμμὼν, καὶ ἐξαπέστειλεν αὐτȣ̃ς ἐν
Δ τῇ γῇ Ἰȣ̓δα τȣ̃ κατισχῦσαι κατὰ τὸν λόγον Κυρίȣ, ὃν ἐλάλησεν ἐν χειρὶ τῶν
γ. δȣ́λων αὐτȣ̃ τῶν Προφητῶν. Πλὴν ἐπὶ τὸν θυμὸν Κυρίȣ, ἀποστῆσαι αὐτὸν ἀπὸ (3) αὐτȣ̃ ἐν ἁμαρτίαις Μα-
δ. νασσῆ κατὰ πάντα ὅσα ἐποίησε. Καίγε αἷμα ἀθῷον ἐξέχεε, καὶ ἔπλησε τὴν Ἱερȣσαλὴμ αἵματος ἀθώȣ, καὶ
ε. ȣ̓κ ἠθέλησε Κύριος ἱλασθῆναι. Καὶ
E τὰ λοιπὰ τῶν λόγων Ἰωακεὶμ καὶ πάντα ὅσα ἐποίησεν, ȣ̓κ ἰδȣ̀ ταῦτα γεγραμμένα ἐπὶ βιβλίῳ λόγων τῶν
ς. ἡμερῶν τοῖς βασιλεῦσιν Ἰȣ̓δα; Καὶ ἐκοιμήθη Ἰωακεὶμ μετὰ τῶν πατέρων αὐτȣ̃, καὶ ἐβασίλευσεν Ἰωαχὶμ υἱὸς αὐτȣ̃ ἀντ᾽ αὐτȣ̃.

✱✱ ΙΩΣΗΠΟΥ. Ταῦτα ὁ προφήτης
Z Ἱερεμίας (4) κατὰ πᾶσαν ἡμέραν προὔλεγεν, ὡς μάτην ταῖς παρὰ τῶν Αἰγυπτίων ἐλπίσι προσανέχȣσι, καὶ ὡς δεῖ τὴν πόλιν ὑπὸ τȣ̃ Βαβυλωνίων βασιλέως ἀνάστατον γενέσθαι, καὶ Ἰωάκιμον τὸν βασιλέα χειρωθῆναι ὑπ᾽ αὐτȣ̃. ἀλλὰ ταῦτ᾽ εἰς ȣ̓δὲν χρήσιμον, ȣ̓κ ὄντων τῶν σωθησομένων, ἐλέγετο. Καὶ μετ᾽ ὀλίγα. Μετ᾽ ȣ̓ πολὺν δὲ χρόνον στρατεύσαμενον ἐπ᾽ αὐτὸν τὸν τῶν Βαβυλωνίων βασιλέα δέχεται, κατὰ τὸ δέος τὸ παρὰ
H τῶν προειρημένων ὑπὸ τȣ̃ Προφήτȣ τȣ́τȣ, ȣ̓δὲν

(1) Φαραὼ Νεχαὼ ἐπ᾽. αἱ ἑρμη. ἐκδόσ. (2) Ἰελδάφ. αἱ αὐτ. (3) Ἀπὸ τȣ̃ προσώπȣ αὐτ. αἱ αὐτ.
(4) Ὅρα τὸ 22. τȣ̃ Ἱερεμ. κεφ. ὃ καὶ περὶ τῆς τȣ̃ Ἰωακεὶμ σφαγῆς διαλαμβάνει. περὶ ἧς καὶ ὁ Θεοδώρητος τὰ τȣ̃ Ἱερεμ. ἀναπτύσσων ῥήματα, φησί· ὁ γὰρ Ἰωακεὶμ ἐν τῇ Ἱερȣσαλὴμ κατεσφάγη.

οὐδὲν νομίζων πείσεσθαι δεινὸν μηδ᾽ ἀποκλείσας μηδὲ πολεμήσας. εἰσελθὼν δ᾽ εἰς αὐτὴν οὐκ ἐφύλαξε τὰς πίστεις· ἀλλὰ τοὺς ἀκμαιοτάτους καὶ κάλλει διαφέροντας τῶν Ἱεροσολυμιτῶν ἀπέκτεινε μετὰ τοῦ βασιλέως Ἰωακίμου, ὃν ἄταφον ἐκέλευσε ῥιφῆναι πρὸ τῶν τειχῶν, τὸν δὲ υἱὸν αὐτοῦ Ἰωάχιμον κατέστησε βασιλέα τῆς χώρας καὶ τῆς πόλεως. τοὺς δὲ ἐν ἀξιώματι τρισχιλίους ὄντας τὸν ἀριθμὸν, αὐτοὺς αἰχμαλώτους λαβὼν, ἀπήγαγεν εἰς τὴν Βαβυλῶνα. ἐν δὲ τούτοις ἦν καὶ ὁ προφήτης Ἰεζεκίηλος παῖς ὤν. καὶ τέλος μὲν τοιοῦτον Ἰωάκιμον τὸν βασιλέα κατέσχε, βιώσαντα μὲν ἔτη ἓξ καὶ τριάκοντα, βασιλεύσαντα δὲ τούτων ἕνδεκα. ὁ δὲ διαδεξάμενος αὐτοῦ τὴν βασιλείαν Ἰωάχιμος, ἐκ μητρὸς μὲν Νοσῆς ὄνομα, πολίτιδος δὲ, ἐβασίλευσε μῆνας τρεῖς ἡμέρας δέκα.

ζ. Καὶ οὐ προσέθετο ἔτι βασιλεὺς
Αἰγύπτου ἐξελθεῖν (1) ἕως Αἰγύπτου,
ὅτι ἔλαβε βασιλεὺς Βαβυλῶνος ἀπὸ
τοῦ χειμάῤῥου Αἰγύπτου ἕως τοῦ ποταμοῦ
Εὐφράτου πάντα ὅσα ἦν τοῦ βα-
η. σιλέως Αἰγύπτου. Υἱὸς ὀκτωκαίδεκα
ἐτῶν Ἰωαχεὶμ ἐν τῷ βασιλεύειν αὐ-
τὸν, καὶ τρίμηνον ἐβασίλευσεν ἐν Ἱε-
ρουσαλὴμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ
Νεσθᾶ (2) θυγάτηρ Ἐλλαναθὰν ἐν
θ. Ἱερουσαλήμ. Καὶ ἐποίησε τὸ πονη-
ρὸν ἐν ὀφθαλμοῖς Κυρίου, κατὰ πάν-
τα ὅσα ἐποίησεν ὁ πατὴρ αὐτοῦ.

ι. Καὶ ἐν τῷ καιρῷ ἐκείνῳ ἀνέβη
Ναβουχοδονόσορ βασιλεὺς Βαβυλῶ-
νος εἰς Ἱερουσαλὴμ, καὶ ἦλθεν ἡ πό-
ια. λις ἐν περιοχῇ. Καὶ εἰσῆλθε Ναβου-
χοδονόσορ βασιλεὺς Βαβυλῶνος εἰς
τὴν πόλιν, καὶ οἱ παῖδες αὐτοῦ ἐπο-
ιβ. λιόρκουν ἐπ᾽ αὐτήν. Καὶ ἐξῆλθεν Ἰω-
αχὶμ βασιλεὺς Ἰούδα ἐπὶ βασιλέα
Βαβυλῶνος, αὐτὸς καὶ οἱ παῖδες αὐ-
τοῦ, καὶ ἡ μήτηρ αὐτοῦ, καὶ οἱ ἄρχον-
τες αὐτοῦ, καὶ οἱ εὐνοῦχοι αὐτοῦ, καὶ
ἔλαβεν αὐτοὺς βασιλεὺς Βαβυλῶνος
ἐν τῷ ὀγδόῳ ἔτει τῆς βασιλείας αὐτοῦ.
ιγ. Καὶ ἐξήνεγκε πάντας τοὺς θησαυροὺς
οἴκου (3) τοῦ βασιλέως, καὶ συνέκοψε
πάντα τὰ σκεύη τὰ χρυσᾶ ἃ ἐποίη-
σε Σαλομὼν ὁ βασιλεὺς Ἰσραὴλ ἐν
τῷ ναῷ Κυρίου κατὰ τὸ ῥῆμα Κυρίου.
ιδ. Καὶ ἀπῴκισε τὴν Ἱερουσαλὴμ καὶ πάν-
τας τοὺς ἄρχοντας καὶ τοὺς δυνατοὺς
ἰσχύϊ αἰχμαλωσίας δέκα χιλιάδας
αἰχμαλωτίσας, καὶ πάντα τέκτονα
A καὶ (4) συγκλείοντα, καὶ οὐχ ὑπελείφ-
ιε. θη πλὴν οἱ πτωχοὶ τῆς γῆς. Καὶ
ἀπῴκισε τὸν Ἰωαχὶμ εἰς Βαβυλῶνα,
καὶ τὴν μητέρα τοῦ βασιλέως, καὶ (5)
τοὺς εὐνούχους αὐτοῦ, καὶ τοὺς ἰσχυροὺς
τῆς γῆς ἀπήγαγεν (6) ἀποικεσίαν
ις. ἀπὸ Ἱερουσαλὴμ εἰς Βαβυλῶνα· Καὶ
πάντας τοὺς ἄνδρας τῆς δυνάμεως
ἑπτακισχιλίους, καὶ τὸν τέκτονα καὶ
B τὸν συγκλείοντα χιλίους, πάντες δυ-
νατοὶ ποιοῦντες πόλεμον· καὶ ἤγαγεν
αὐτοὺς βασιλεὺς Βαβυλῶνος μετοι-
ιζ. κεσίαν εἰς Βαβυλῶνα. Καὶ ἐβασίλευ-
σε βασιλεὺς Βαβυλῶνος τὸν Ματ-
θανίαν υἱὸν αὐτοῦ ἀντ᾽ αὐτοῦ, καὶ ἐπέ-
θηκε τὸ ὄνομα αὐτοῦ Σεδεκίαν.

** ΙΩΣΗΠΟΥ. Τὸν δὲ τῶν Βαβυλωνίων βασιλέα δόντα τὴν βασιλείαν Ἰωαχίμῳ, παραχρῆμα ἔλαβε δέος. ἔδεισε γὰρ μὴ, μνησικακήσας αὐτῷ τῆς τοῦ πατρὸς ἀναιρέσεως, ἀποστήσῃ τὴν χώραν αὐτοῦ. πέμψας τοιγαροῦν δύναμιν ἐπολιόρκει τὸν Ἰωάχιμον ἐν τοῖς Ἱεροσολύμοις. ὁ δὲ φύσει χρηστὸς ὢν καὶ δίκαιος, οὐκ ἠξίου τὴν πόλιν κινδυνεύουσαν δι᾽ αὐτὸν περιορᾶν· ἀλ[…] ἐπάρας τὴν μητέρα καὶ τοὺς συγγενεῖς, [...]ραδίδωσι τοῖς πεμφθεῖσιν ὑπὸ τοῦ Βαβ[…]νίου στρατηγοῖς, ὅρκους παρ᾽ αὐτῶν λ[…] ὑπὲρ τοῦ μηδὲν μήτ᾽ αὐτοὺς παθεῖν μή[…] πόλιν. οἷς οὐδ᾽ ἐνιαυτὸν ἡ πίστις ἔμει[…] γὰρ ἐφύλαξεν αὐτὴν ὁ τῶν Βαβυ[…] βασιλεὺς, ἀλλὰ τοῖς στρατηγοῖς ἐπέσ[…] ἅπαντας τοὺς ἐν τῇ πόλει λαβόντας [...]μαλώτους, νέους τὴν ἡλικίαν καὶ τεχν[…] δεδεμένους ἄγειν πρὸς αὐτόν· ἦσαν δὲ οὗ[…] πάντες εἰς μυρίους ὀκτακοσίους τριάκοντ[…] δύω· καὶ τὸν Ἰωάχιμον μετὰ τῆς μητρὸς καὶ τῶν φίλων. τούτους δὴ κομισθέντας πρὸς αὐτὸν εἶχεν ἐν φυλακῇ. τὸν δὲ θεῖον τοῦ Ἰωαχίμου Σεδεκίαν ἀπέδειξε βασιλέα· ὅρκους παρ᾽ αὐτοῦ λαβὼν, ἦ μὴν φυλάξειν αὐτῷ τὴν χώραν, καὶ μηδὲν νεωτερίσειν, μηδὲ τοῖς Αἰγυπτίοις συνοήσειν.

ιη. Υἱὸς εἴκοσι καὶ ἑνὸς ἐνιαυτῶν
Σεδεκίας ἐν τῷ βασιλεύειν αὐτὸν, καὶ
ἕνδεκα ἔτη ἐβασίλευσεν ἐν Ἱερουσα-
Z λὴμ, καὶ ὄνομα τῇ μητρὶ αὐτοῦ Ἀμι-
ιθ. τὰλ θυγάτηρ Ἱερεμίου. Καὶ ἐποίησε
τὸ πονηρὸν ἐν ὀφθαλμοῖς Κυρίου, κα-
τὰ πάντα ὅσα ἐποίησεν Ἰωαχίμ. (7)
κ. Ὅτι ἐπὶ τὸν θυμὸν Κυρίου ἦν ἐπὶ Ἱε-
ρουσαλὴμ καὶ ἐν τῷ Ἰούδᾳ, ἕως ἀπέῤ-
ῥιψεν αὐτοὺς ἀπὸ προσώπου αὐτοῦ. καὶ
ἠθέτησε Σεδεκίας ἐν τῷ βασιλεῖ Βα-
βυλῶνος.

ΚΕΦ.

(1) Ἐξελθεῖν ἐκ τῆς γῆς αὐτοῦ, ὅτι, κτ. αἱ αὐτ. (2) Νέσθα θυγάτηρ Ἐλλαναθάμ. αἱ αὐτ.
(3) Οἴκου Κυρίου, καὶ τοὺς θησαυροὺς οἴκου τοῦ βασιλ. αἱ αὐτ. καὶ ἡ Ἑβρ. (4) Τὸν συγκλ. αἱ αὐτ.
(5) Τὰς γυναῖκας τοῦ βασιλέως, καὶ τοὺς εὐν. αἱ αὐτ. καὶ ἡ Ἑβρ.
(6) Εἰς ἀποικεσίαν ἐξ Ἱερ. αἱ αὐτ. (7) Ἰωακίμ. αἱ αὐτ.

ΚΕΦ. ΚΕ.

α. Καὶ ἐγένετο ἐν τῷ ἔτει τῷ ἐννάτῳ τῆς βασιλείας αὐτȣ̃ ἐν τῷ μίωὶ τῷ δωδεκάτῳ (1) ἦλθε Ναβȣχοδονόσορ, (2) καὶ πᾶσα ἡ δύναμις αὐτȣ̃ ἐπὶ Ἱερȣσαλὴμ· κ̀ παρενέβαλεν ἐπ' αὐτὴν, καὶ ᾠκοδόμησεν ἐπ' αὐτὴν περίτειχος κύκλῳ.

** ΙΩΣΗΠΟΥ. Ἔτει ἐννάτῳ τῆς Σεδεκίȣ βασιλείας, καὶ ἡμέρᾳ δεκάτῃ τȣ̃ δεκάτȣ μίωὸς, ςρατεύει τὸ δεύτερον ὁ τῶν Βαβυλωνίων βασιλεὺς ἐπὶ τὰ Ἱεροσόλυμα, καὶ προσκαθίσας αὐτῇ μίωᾶς ὀκτωκαίδεκα μετὰ πάσης ἐπολιόρκει φιλοτιμίας. Καὶ μεθ' ἕτερα. Τῆς δὲ πολυορκίας τῶν Ἱεροσολύμων ὁ Βαβυλώνιος ἐντεταμένως σφόδρα καὶ προθύμως εἴχετο· πύργȣς τε μεγάλων οἰκοδομήσας χωμάτων, ἀπ' αὐτῶν ἀνεῖργε τȣ̀ς τοῖς τείχεσιν ἐφεςῶτας. καὶ πολλὰ περὶ τὸν κύκλον ὅλον ἤγειρε χώματα, τοῖς τείχεσι τὸ ὕψος ἴσα.

β. Καὶ ἦλθεν ἡ πόλις ἐν περιοχῇ
ς τȣ̃ ἑνδεκάτȣ ἔτȣς τȣ̃ βασιλέως
εκίȣ ἐννάτῃ τȣ̃ μίωός. Καὶ ἐνί-
εν ὁ λιμὸς ἐν τῇ πόλει, κ̀ ȣ̓κ ἦσαν
τῷ λαῷ τῆς γῆς.

∗ ΙΩΣΗΠΟΥ. Σιωεπέθετο εἰς ταὐτὸ
οκȣμένοις τοῖς Ἱεροσολύμοις δύω τὰ
α τῶν παθῶν, λιμὸς καὶ φθορὰ λοι-
ἐνσκήψαντα σφοδρῶς.

∗ ΧΡΥΣΟΣΤΟΜΟΥ. Ἀπαραίτητός
ν ὁ Θεὸς, ὑβριζομένων ὅρκων. ȣ̓κ ἐκ τῆς
ολάσεως δὲ μόνης τῆς ἐπαχθείσης τῇ πόλει διὰ τὸν ὅρκον, τȣ̃τό ἐςιν ἰδεῖν, ἀλλὰ κ̀
E ἐκ τῆς μελλήσεως καὶ τῆς ἀναβολῆς, ὅσlω ποιεῖται ὁ Θεὸς σπȣδlω ὑπὲρ τȣ̃ μὴ καταπατεῖσθαι τȣ̀ς ὅρκȣς. Καὶ μετ' ὀλίγα. Ἠδιωάτο μὲν γὰρ ἐκ πρώτης εὐθέως αὐτȣ̀ς παραδȣ̃ναι τῆς ἡμέρας, καὶ ποιῆσαι τοῖς πολεμίοις ὑποχειρίȣς, ἀλλὰ διὰ τȣ̃το χρόνον ἐν μέσῳ τριῶν ἐτῶν τριβlωαι σιωεχώρησε, καὶ πολιορκίας αὐτȣ̀ς αἰσθέσθαι χαλεπωτάτης, ἵνα καὶ τῷ τῶν ςρατιωτῶν ἔξωθεν φόβῳ, καὶ τῷ σιωέχοντι τlω πόλιν ἔνδον
Z λιμῷ σωφρονιζόμενοι, κ̀ ἄκοντα τὸν βασιλέα καταναγκάσωσιν ὑποταγlωαι τῷ βαρβάρῳ, καὶ γενέσθαι τινὰ τῷ ἁμαρτήματι παραμυθίαν. καὶ ὅτι τȣ̃τό ἐςιν ἀληθὲς, κ̀ ȣ̓κ ἐμὸς ςοχασμὸς, ἄκȣσον τί διὰ τȣ̃ Προ-
Ἱερ.38.17-23. φήτȣ φησὶ πρὸς αὐτόν. ἐὰν ἐξέλθῃς πρὸς
» ἡγεμόνα βασιλέως Βαβυλῶνος, ζήσεται ἡ
» ψυχή σȣ, καὶ ἡ πόλις αὕτη ȣ̓ μὴ κατακαυ-
» θῇ ἐν πυρὶ, καὶ ζήσῃ σὺ καὶ ἡ οἰκία σȣ·
» ἐὰν δὲ μὴ ἐξέλθῃς σὺ πρὸς τȣ̀ς ἄρχοντας
H » βασιλέως Βαβυλῶνος, παραδοθήσεται ἡ
» πόλις αὕτη εἰς χεῖρας τῶν Χαλδαίων, καὶ
» κατακαύσȣσιν αὐτlω, καὶ σὺ ȣ̓ μὴ σωθήσῃ
» ἐκ χειρὸς αὐτῶν. καὶ εἶπεν ὁ βασιλεὺς,
» λόγον ἔχω τῶν Ἰȣδαίων τῶν πεφευγότων
» πρὸς τȣ̀ς Χαλδαίȣς, μὴ παραδῶσί με εἰς
» χεῖρας αὐτῶν, καὶ καταμωμήσονταί μȣ.
» καὶ εἶπεν Ἱερεμίας, ȣ̓ μὴ παραδώσȣσί σε·
» ἄκȣσον τὸν λόγον Κυρίȣ, ὃν ἐγὼ λαλῶ
B » πρὸς σέ· καὶ βέλτιον ἔςαι σοι, καὶ ζήσεται
» ἡ ψυχή σȣ· καὶ εἰ μὴ θελήσῃς ἐξελθεῖν,
» ȣ̃τος ὁ λόγος, ὃν ἔδειξέ μοι Κύριος, πᾶσαι
» αἱ γιωαῖκες αἱ καταλειφθεῖσαι ἐν οἴκῳ βα-
» σιλέως Ἰȣ́δα ἐξάγονται πρὸς τȣ̀ς ἄρχον-
» τας βασιλέως Βαβυλῶνος, καὶ αὗται λέ-
» γȣσιν, ἠπάτησάν σε, καὶ ἠδιωήθησάν σοι,
» ἄνδρες εἰρlωικοί σȣ κατισχύσȣσιν ἐν ὀλισθή-
» μασι πόδας σȣ· ἀπέςρεψαν ἀπὸ σȣ̃, καὶ
» πάσας τὰς γιωαῖκάς σȣ ἐξάξȣσι πρὸς τȣ̀ς
Γ » Χαλδαίȣς, καὶ ȣ̓ μὴ σωθήσῃ ἐκ χειρὸς αὐ-
» τῶν, ὅτι ἐν χειρὶ βασιλέως Βαβυλῶνος συλ-
» ληφθήσῃ, καὶ ἡ πόλις αὕτη κατακαήσεται πυρί. ἀλλ' ἐπειδὴ ȣ̓κ ἔπεισε ταῦτα λέγων, ἀλλ' ἔμεινεν ἐπὶ τῆς ἁμαρτίας κ̀ τῆς παρανομίας, μετὰ τρία ἔτη τlω πόλιν παρέδωκεν ὁ Θεὸς, καὶ τlω ἑαυτȣ̃ φιλανθρωπίαν ἐπιδείξας, καὶ τlω ἀγνωμοσιωlω τlω ἐκείνȣ.

Δ δ. Καὶ ἐῤῥάγη ἡ πόλις, καὶ πάντες οἱ ἄνδρες τȣ̃ πολέμȣ ἐξῆλθον νυκτὸς ὁδὸν πύλης τῆς ἀναμέσον τῶν τειχῶν, αὕτη ἐςὶ τȣ̃ κήπȣ τȣ̃ βασιλέως, καὶ οἱ Χαλδαῖοι ἐπὶ τlω πόλιν κύκλῳ. κ̀ ἐπορεύθησαν ὁδὸν τlω Ἄ-
ε. ραβα· Καὶ ἐδίωξεν ἡ δύναμις τῶν Χαλδαίων ὀπίσω τȣ̃ βασιλέως, καὶ κατέλαβον αὐτὸν ἐν Ἀραβὼθ Ἱερι-
E χὼ, καὶ πᾶσα ἡ δύναμις αὐτȣ̃ διεσπάρη ἐπάνωθεν αὐτȣ̃.

** ΙΩΣΗΠΟΥ. Ἡρέθη ἡ πόλις, ἑνδεκάτῳ ἔτει τῆς Σεδεκίȣ βασιλείας, τȣ̃ τετάρτȣ μίωὸς τῇ ἐννάτῃ ἡμέρᾳ. εἷλον γȣ̃ν οἱ ἡγεμόνες τῶν Βαβυλωνίων, οἷς ἐπίςευσε τlω πολιορκίαν ὁ Ναβȣχοδονόσορος. αὐτὸς γὰρ ἐν Ῥεβλαθᾷ διέτριβε πόλει. τὰ δὲ τῶν ἡγεμόνων ὀνόματα, εἴ τις ἐπιζητή-
Z σειε γνῶναι, οἵτινες τὰ Ἱεροσόλυμα πορθήσαντες ὑπέταξαν, ταῦτα lω· Νηργελέαρος, Ἀρέμμαντος, Σεμεγάρος, Ναβώσαρις, Ἐχαραμψαρίς. ἁλȣ́σης δὲ τῆς πόλεως περὶ μέσlω νύκτα, καὶ τῶν ἡγεμόνων τῶν πολεμίων εἰσελθόντων εἰς τὸ ἱερὸν, γνȣ̀ς ὁ Σεδεκίας ὁ βασιλεὺς, παραλαβὼν τὰς γιωαῖκας καὶ τὰ τέκνα κ̀ τȣ̀ς ἡγεμόνας καὶ τȣ̀ς φίλȣς, φεύγει μετ' αὐτῶν ἐκ τῆς πόλεως διὰ τῆς καρτερᾶς φά-
H ραγγος καὶ διὰ τῆς ἐρήμȣ. Φρασάντων δὲ τȣ̃το τινῶν αὐτομόλων τοῖς Βαβυλωνίοις,

ὑπὸ

(1) Δεκάτῳ. αἱ αὐτ. καὶ ἡ Ἑβρ. ἐκδ.
(2) Ὁ βασιλεὺς Βαβυλῶνος, καί. αἱ αὐτ. καὶ ἡ Ἑβρ. ἐκδ.

ὑπὸ τὸν ὄρθρον ὥρμησαν διώκειν αὐτόν·
καταλαβόντες δὲ οὐκ ἄπωθεν Ἱεριχοῦντος,
ἐκύκλωσαν αὐτόν. οἱ δὲ φίλοι καὶ οἱ ἡγε-
μόνες οἱ συμφυγόντες τῷ Σεδεκίᾳ, ἐπεὶ
τοὺς πολεμίους ἐγγὺς ὄντας εἶδον, καταλι-
πόντες αὐτὸν διεσπάρησαν, ἄλλος ἀλλαχό-
σε, καὶ σώζειν ἑαυτὸν ἕκαστος ἔγνω.

ς. Καὶ συνέλαβον τὸν βασιλέα,
καὶ ἤγαγον αὐτὸν πρὸς βασιλέα Βα-
βυλῶνος εἰς Δεβλαθά· (1) καὶ ἐλά-
ζ. λησε μετ' αὐτοῦ κρίσιν. Καὶ τοὺς υἱοὺς
Σεδεκίου ἔσφαξε κατ' ὀφθαλμοὺς αὐ-
τοῦ, καὶ τοὺς ὀφθαλμοὺς Σεδεκίου ἐξε-
τύφλωσε, καὶ ἔδησεν αὐτὸν ἐν πέ-
δαις, καὶ ἤγαγεν εἰς Βαβυλῶνα.

** ΙΩΣΗΠΟΥ. Περιληφθέντα αὐτὸν
σὺν ὀλίγοις, ζωγρήσαντες οἱ πολέμιοι με-
τὰ τῶν τέκνων καὶ τῶν γυναικῶν ἤγαγον
πρὸς τὸν βασιλέα. παραγενόμενον δὲ αὐ-
τὸν ὁ Ναβουχοδονόσορος ἀσεβῆ καὶ παρά-
σπονδον ἀποκαλεῖν ἤρξατο, καὶ ἀμνήμονα
τῶν πρόσω λόγων, οὓς ἐποιήσατο, σώζειν
αὐτῷ τὴν χώραν ὑποσχόμενος. ὠνείδιζε δὲ
καὶ ἀχαριστίαν παρ' αὐτοῦ μὲν λαβόντι τὴν
βασιλείαν· Ἰωαχίμου γὰρ αὐτὴν οὖσαν ἀ-
φελόμενον ἐκείνῳ δοῦναι· χρησαμένῳ δὲ τῇ
δυνάμει κατὰ τοῦ παρασχόντος. ἀλλὰ μέ-
γας, εἶπεν, ὁ Θεὸς, ὃς μισήσας σου τὸν τρό-
πον, ὑποχείριον ἡμῖν ἔθηκε. χρησάμενος
δὲ τούτοις πρὸς Σεδεκίαν τοῖς λόγοις, τοὺς
υἱοὺς ἐκέλευσε παραχρῆμα, καὶ τοὺς φίλους
θύσαι, αὐτοῦ τε Σεδεκίου καὶ τῶν ἄλλων αἰχ-
μαλώτων βλεπόντων. ἔπειτα τοὺς ὀφθαλ-
μοὺς ἐκκόψας τοῦ Σεδεκίου, δήσας ἤγαγεν
εἰς Βαβυλῶνα. καὶ ταῦτα αὐτῷ συνέβη,
ἃ Ἱερεμίας τε καὶ Ἰεζεκίηλος προεφήτευ-
σαν αὐτῷ· ὅτι συλληφθεὶς ἀχθήσεται πρὸς
Ἱερ. 32. 4. τὸν Βαβυλώνιον, καὶ λαλήσει αὐτῷ κατὰ
» στόμα, καὶ ὄψεται τοῖς ὀφθαλμοῖς τοὺς ὀφ-
» θαλμοὺς αὐτοῦ. καὶ ταῦτα μὲν Ἱερεμίας εἶπε·
τυφλωθεὶς δὲ καὶ ἀχθεὶς εἰς Βαβυλῶνα,
Ἰεζ. 12. 13. ταύτην οὐκ εἶδε καθὼς Ἰεζεκίηλος προεῖπε.
Καὶ μετ' ὀλίγα. Οἱ μὲν οὖν ἐκ τοῦ Δαυΐδου γένους
βασιλεύσαντες οὕτω κατέστρεψαν τὸν βίον,
εἴκοσι μὲν καὶ εἷς γενόμενοι μέχρι τοῦ τε-
λευταίου βασιλέως, ἔτη δὲ πάντες βασι-
λεύσαντες πεντακόσια καὶ δεκατέσσαρα καὶ
μῆνας ἓξ καὶ ἡμέρας δέκα· ἐξ ὧν εἴκοσι
τὴν ἀρχὴν κατέσχεν ὁ πρῶτος αὐτῶν βα-
σιλεὺς Σαοῦλος, οὐκ ἐκ τῆς αὐτῆς φυλῆς
ὑπάρχων.

** ΧΡΥΣΟΣΤΟΜΟΥ. Τί ἐστιν, ἐλάλη-
» σε μετ' αὐτοῦ κρίσιν; Ἀπήτησεν αὐτὸν εὐ-
θύνας, ἐδικάσατο μετ' αὐτοῦ. καὶ πρῶτον
τοὺς υἱοὺς αὐτοῦ κατέσφαξεν, ἵνα θεωρὸς γέ-
νηται τῆς οἰκείας συμφορᾶς, καὶ τὴν τρα-
γῳδίαν ἐκείνην εἶδε τὴν ἐλεεινὴν, καὶ τότε
αὐτὸν ἐξετύφλωσε. τίνος ἕνεκεν τοῦτο πά-
λιν γίνεται; ἵνα διδάσκαλος τοῖς βαρβά-
ροις ἀπέλθῃ, καὶ τοῖς ἐκεῖ κατοικοῦσιν Ἰου-
δαίοις· καὶ ἵνα μάθωσιν οἱ βλέποντες διὰ

A τοῦ πεπηρωμένου, πόσον κακὸν ὁ ὅρκος, οὐκ
ἐκεῖνοι δὲ μόνον, ἀλλὰ καὶ οἱ παρὰ τὴν ὁδὸν
πάντες οἰκοῦντες δεδεμένον καὶ πεπηρωμέ-
νον ὁρῶντες μανθάνωσι διὰ τῆς συμφορᾶς
τῆς ἁμαρτίας τὸ μέγεθος. διὰ τοῦτο ὁ μὲν
» τῶν Προφητῶν, φησὶν, οὐκ ὄψεται Βαβυ- Ἰεζ. 12. 13.
» λῶνα, ὁ δὲ λέγει, ὅτι εἰς Βαβυλῶνα ἀπαχ-
θήσεται. καὶ δοκεῖ μὲν ἐναντία εἶναι ἡ προ- Ἱερ. 32. 4.
φητεία· οὐκ ἔστι δὲ, ἀλλ' ἀμφότερα ταῦτα
ἀληθῆ. καὶ γὰρ Βαβυλῶνα οὐκ εἶδε, καὶ εἰς
B Βαβυλῶνα ἀπήχθη. πῶς οὖν Βαβυλῶνα οὐκ
εἶδεν; ὅτι ἐν τῇ Ἰ[illegible]αίᾳ τὴν πήρωσιν ὑπέ-
στη. ἔνθα γὰρ ὁ ὅρκος ἠθετήθη, ἐκεῖ καὶ
ἐξεδικεῖτο, καὶ τὴν τιμωρίαν αὐτὸς ὑπέμεινε.
πῶς δὲ ἀπήχθη εἰς Βαβυλῶνα; αἰχμάλω-
τος γενόμενος. ἐπειδὴ γὰρ δύο ἦσαν αἱ τι-
μωρίαι, πήρωσις, καὶ αἰχμαλωσία, διε-
νείμαντο αὐτὰς οἱ Προφῆται· καὶ ὁ μὲν
» οὐκ ὄψεταί φησι Βαβυλῶνα, τὴν πήρωσιν
» αὐτοῦ λέγων· ὁ δέ φησιν εἰς Βαβυλῶνα
Γ ἀπαχθήσεται, τὴν αἰχμαλωσίαν αὐτοῦ αἰ-
νιττόμενος.

** ΝΕΙΛΟΥ. Εἰσί τινες καταστάσεις
καὶ ἕξεις ἐν ἀνθρώποις καθαραὶ, ὥστε τὸν
μὲν ἡλίου ἐπέχειν τόπον, τὸν δὲ σελήνης,
τὸν δὲ ἀστέρος· καὶ ἴδοις ἄν τινα ἄνθρωπον
ὑπὲρ τὸν Σολομῶντα πολλάκις δεδοξασμέ-
νον τῇ ἄνωθεν φρονήσει, ὕστερον δὲ δια[illegible]
ἀπονυστάξαι καὶ χαυνωθῆναι τῆς π[illegible]
χῆς, ἐγκαταλειφθέντα ὑπὸ Θεοῦ, καὶ [illegible]
Δ δυσάμενον τήν τε εὐλάβειαν καὶ το[illegible]
βον τοῦ κρείττονος, καὶ καταπεπτωκό[illegible]
ἀσέβειαν καὶ ἁμαρτίας μεγάλας, ὥστε [illegible]
σθαί σε λέγειν, ὅτι διετράπη ὁ ἥλιο[illegible]
σὼν παρ' ἐλπίδα εἰς ἀθεμιτουργίας. [illegible]
ται γὰρ τοιαῦτα πολλάκις, καὶ τοῖς [illegible]
δαίοις ὕστερόν ποτε διὰ τῆς ἀμελείας [illegible]
γυμνωμένοις τῆς φρουρᾶς τοῦ ἁγίου πνεύμ[illegible]
τος, ἀναβαίνοντος τοῦ Ναβουχοδονόσορ ἐπ[illegible]
αὐτοὺς ἐν πολέμῳ, καὶ τὴν μὲν πόλιν ῥηγ-
E νύντος διὰ μηχανημάτων σατανικῶν, τὸν
δὲ βασιλέα, τὸν νοῦν φημὶ, ἐκτυφλοῦντος
ὥσπερ τὸν Σεδεκίαν, καὶ παῖδας δεσμοῦν-
τος, καὶ εἰς Βαβυλῶνα τὴν ἀλληγορουμένην
ἀπάγοντος, τὰ δὲ ἅγια Δαβὶδ καὶ Σολο-
μῶντος καὶ τῶν ἑξῆς βασιλέων λαμβάνον-
τος, τὰ ἐν τοῖς θησαυροῖς τῆς καρδίας,
καὶ τὰ ἑξῆς, τὰ πολλοῖς χρόνοις μετὰ κα-
μάτου καὶ σπουδῆς πορισθέντα, καὶ συγκομι-
σθέντα, καὶ κατασκευασθέντα, ἐμπυρίζον-
Z τος τὸν ναὸν τοῦ Κυρίου, καὶ παρασκευάζον-
τος ὑπὸ βεβήλων πατεῖσθαι ποδῶν. καὶ
ἤκουσα τοῦ ψαλμῳδοῦ διὰ τοῦτο βοῶντος ἐν
» ὀδυρμοῖς· ἐλέησόν με, ὅτι πολλοὶ οἱ πολε- Ψαλ. 55. 2.
» μοῦντές με ἀπὸ ὕψους Δαίμονες, καὶ κατα-
» πατοῦντές με ὅλην τὴν ἡμέραν, διότι ἐπε-
» βίβασας τοὺς ἐχθρούς μου ἐπὶ τὴν κεφαλήν
» μου· καὶ τοῦ Ἱερεμίου θρηνοῦντος, ὅτι ἄρχουσα Θρ. 1. 1.
πρώην διὰ κατορθωμάτων ψυχὴ, νῦν νό-
μῳ πολέμου ληφθεῖσα ἐγενήθη εἰς φόρον
H τῷ Διαβόλῳ, λειτουργοῦσα ἐν τοῖς ἁμαρτή-
μασι. πλὴν ὅτι ὁ τοῖς τοιούτοις κακοῖς περι-
πεπτωκὼς, ἐὰν μὴ ἀπὸ μικροψυχίας ἀπευ-
δοκήσῃ

(1) Ῥεβλαθά. αἱ αὐτ. Δεβλαθά. ἡ ἐν Κομπλ. ἐκδ.

δοκήσῃ εἰς τέλος, ἀλλὰ μεταμεληθεὶς ἐπι-
στρέψῃ πρὸς Κύριον, καὶ νεαροποιήσῃ τὰς
ἀρχαίας ἐμφιλοσόφους πράξεις, ἐπανέρ-
χεται πάλιν πρὸς αὐτὸν ἡ δεσποτικὴ χά-
ρις, καὶ φράσει καὶ περὶ τούτου τὸ προφη-
Ἀμ. 9. 11. » τικὸν λόγιον, ὅτι ἀναστρέψω, καὶ ἀνοικο-
» δομήσω τὴν σκηνὴν Δαβὶδ τὴν πεπτωκυῖαν,
» καὶ τὰ κατεσκαμμένα αὐτοῖς κατορθώμα-
τα καὶ θεῖα δωρήματα καὶ γνῶσιν τὴν ἐσω-
τέραν, καὶ ἀνορθώσω, καὶ ἀνοικοδομήσω.
Ἀγγ. 2. 10. καὶ ἔσται ἡ δόξα ἡ ἐσχάτη ὑπὲρ τὴν πρώ-
» την, λέγει Κύριος παντοκράτωρ.

η. Καὶ ἐν τῷ μηνὶ τῷ πέμπτῳ
ἑβδόμῃ τοῦ μηνὸς, αὐτὸς ἐνιαυτὸς ἐν-
νεακαιδέκατος τῷ Ναβουχοδονόσορ
βασιλεῖ Βαβυλῶνος, ἦλθε Ναβου-
ζαρδὰν ὁ ἀρχιμάγειρος ἑστὼς ἐνώπιον
τοῦ βασιλέως Βαβυλῶνος εἰς Ἱερουσα-
θ. λήμ· Καὶ ἐνέπρησε τὸν οἶκον Κυρίου,
καὶ τὸν οἶκον τοῦ βασιλέως, καὶ πάν-
τας τοὺς οἴκους Ἱερουσαλὴμ, καὶ πάντα
ι. οἶκον ἐνέπρησεν ὁ ἀρχιμάγειρος. Καὶ
τὸ τεῖχος Ἱερουσαλὴμ κυκλόθεν κα-
τέσπασε δύναμις Χαλδαίων. Καὶ τὸ
[illegible]σσὸν τοῦ λαοῦ τὸ καταλειφθὲν ἐν
[illegible]λει, καὶ τοὺς ἐμπεπτωκότας οἳ
[illegible]ον πρὸς βασιλέα (1) Βαβυλῶ-
[illegible] τὸ λοιπὸν τοῦ στηρίγματος με-
[illegible]Ναβουζαρδὰν ὁ ἀρχιμάγειρος.
[illegible]ὸ τῶν πτωχῶν τῆς γῆς ὑπέλι-
[illegible]ἀρχιμάγειρος εἰς ἀμπελουργοὺς
[illegible]γαβίν. (2) Καὶ τοὺς στύλους τοὺς
[illegible]ς τοὺς ἐν οἴκῳ Κυρίου, καὶ τὰς
[illegible]ὼθ, καὶ τὴν θάλασσαν τὴν
[illegible]ῆν τὴν ἐν οἴκῳ Κυρίου συνέτρι-
[illegible]ν οἱ Χαλδαῖοι, καὶ ἦραν τὸν χαλ-
ιδ. κὸν αὐτῶν εἰς Βαβυλῶνα. Καὶ τοὺς
λέβητας, καὶ τὰ ἰαμὶν, (3) καὶ τὰς
φιάλας, καὶ τὰς θυΐσκας, καὶ πάν-
τα (4) σκεύη τὰ χαλκᾶ ἐν οἷς λει-
ιε. τουργοῦσιν ἐν αὐτοῖς, ἔλαβε· Καὶ τὰ
πυρεῖα, καὶ τὰς φιάλας τὰς χρυ-
σᾶς καὶ τὰς ἀργυρᾶς ἔλαβεν ὁ ἀρχι-
ις. μάγειρος, Στύλους δύω, καὶ τὴν θά-
λασσαν μίαν, καὶ τὰς μεχωνὼθ ἃς
ἐποίησε Σαλομὼν τῷ οἴκῳ Κυρίου. οὐκ
ἦν σταθμὸς τοῦ χαλκοῦ πάντων τῶν
σκευῶν.

** ΙΩΣΗΠΟΥ. Ὁ Βαβυλώνιος πέμ-
πει τὸν αὐτοῦ στρατηγὸν Ναβουζαρδάνην εἰς
Ἱεροσόλυμα, συλήσοντα τὸν ναόν· προ-
στάξας ἅμα καὶ καταπρῆσαι αὐτόν τε καὶ

A τὰ βασίλεια, τήν τε πόλιν εἰς ἔδαφος κα-
θελεῖν, καὶ τὸν λαὸν εἰς τὴν Βαβυλωνίαν
μεταστῆσαι. ὃς γενόμενος ἐν τοῖς Ἱεροσο-
λύμοις ἑνδεκάτῳ ἔτει τῆς Σεδεκίου βασι-
λείας, συλᾶται τὸν ναὸν, καὶ βαστάζει τὰ
σκεύη τοῦ Θεοῦ χρυσᾶ τε καὶ ἀργυρᾶ, καὶ
δὴ καὶ τὸν μέγαν λουτῆρα, ὃν Σολομὼν ἀνέ-
θηκεν· ἔτι γε μὴν τοὺς στύλους τοὺς χαλκοῦς,
καὶ τὰς κεφαλὰς αὐτῶν, τάς τε χρυσᾶς
τραπέζας καὶ τὰς λυχνίας. βαστάσας δὴ
B ταῦτα, ἀνῆψε τὸν ναὸν μηνὶ πέμπτῳ, τῇ
νουμηνίᾳ, ἑνδεκάτῳ ἔτει τῆς Σεδεκίου βα-
σιλείας, ὀκτωκαιδεκάτῳ δὲ τῆς Ναβουχο-
δονοσόρου. ἐνέπρησε δὲ καὶ τὰ βασίλεια,
καὶ τὴν πόλιν κατέστρεψεν. ἐνεπρήσθη δὲ ὁ
ναὸς μετὰ τετρακόσια ἔτη καὶ ἑβδομήκον-
τα καὶ μῆνας ἓξ καὶ δέκα ἡμέρας ἀφ' οὗ
κατεσκευάσθη.

ιζ. Ὀκτωκαίδεκα πηχῶν ὕψος τοῦ
Γ στύλου τοῦ ἑνὸς, καὶ τὸ χωθαρὰθ (5)
ἐπ' αὐτοῦ τὸ χαλκοῦν· καὶ τὸ ὕψος τοῦ
χωθαρὰθ τριῶν πήχεων· σαβαχὰ,
καὶ ῥοαὶ ἐπὶ τοῦ χωθαρὰθ κύκλῳ τὰ
πάντα χαλκᾶ, καὶ κατὰ ταῦτα τῷ
στύλῳ τῷ δευτέρῳ ἐπὶ τῷ σαβαχά.

ιη. Καὶ ἔλαβεν ὁ ἀρχιμάγειρος
τὸν Σαρέα τὸν ἱερέα τὸν πρῶτον, καὶ
τὸν Σοφονίαν υἱὸν τῆς δευτερώσεως,
Δ καὶ τοὺς τρεῖς τοὺς φυλάσσοντας τὸν
ιθ. σταθμόν. Καὶ ἐκ τῆς πόλεως ἔλαβεν
εὐνοῦχον ἕνα, ὃς ἦν ἐπιστάτης τῶν ἀν-
δρῶν τῶν πολεμιστῶν, καὶ πέντε ἄν-
δρας τῶν ὁρώντων τὸ πρόσωπον τοῦ
βασιλέως τοὺς εὑρεθέντας ἐν τῇ πό-
λει, καὶ τὸν γραμματέα τοῦ ἄρχον-
τος τῆς δυνάμεως τῆς γῆς, καὶ ἑξή-
E κοντα ἄνδρας ἀπὸ τοῦ λαοῦ τῆς γῆς
κ. τοὺς εὑρεθέντας ἐν τῇ πόλει. Καὶ
ἔλαβεν αὐτοὺς Ναβουζαρδὰν ὁ ἀρχι-
μάγειρος, καὶ ἀπήγαγεν αὐτοὺς πρὸς
τὸν βασιλέα Βαβυλῶνος εἰς Δαβλα-
κα. θά. Καὶ ἔπαισεν αὐτοὺς βασιλεὺς
Βαβυλῶνος, καὶ ἐθανάτωσεν αὐτοὺς
ἐν Δαβλαθὰ ἐν γῇ Αἱμάθ. καὶ ἀπῳ-
κίσθη Ἰούδας (6) καὶ ἐπάνωθεν τῆς γῆς
Z αὐτοῦ.

** ΙΩΣΗΠΟΥ. Ὁ στρατηγὸς τοῦ Βα-
βυλωνίων βασιλέως κατασκάψας τὰ Ἱε-
ροσόλυμα, καὶ τὸν λαὸν μεταναστήσας, ἔλα-
βεν αἰχμαλώτους τὸν Ἀρχιερέα Σαρέαν,
καὶ τὸν μετ' αὐτοῦ ἱερέα Σοφονίαν, καὶ τοὺς
φυλάσσοντας τὸ ἱερὸν ἡγεμόνας· τρεῖς δὲ
ἦσαν οὗτοι· καὶ τὸν ἐπὶ τῶν ὁπλιτῶν εὐνοῦ-
χον,

(1) Τὸν βασιλ. αἱ αὐτ.
(2) Γεωργούς. ἡ ἐν Κομπλ. ἐκδ.
(3) Τὰς κρεάγρας. ἡ αὐτ.
(4) Τὰ σκεύη. ἡ αὐτ.
(5) Χωθάρ. αἱ αὐτ. τὰ ἐπιθέματα χαλκᾶ τῶν στύλων. τριῶν πήχεων τὸ ὕψος τοῦ ἐπιθέματος τοῦ ἑνὸς, καὶ δίκτυον, καὶ ῥοαὶ αἱ ἐπὶ τὰ ἐπιθέματα κύκλῳ. ἡ ἐν Κομπλ. ἐκδ.
(6) Ἰούδας ἐπάνωθεν. αἱ αὐτ.

χον, καὶ τοὺς φίλους τοῦ Σεδεκίου ἑπτὰ, καὶ
τὸν γραμματέα αὐτοῦ, καὶ ἄλλους ἡγεμόνας
ἑξήκοντα· οὓς ἅπαντας μεθ' ὧν ἐσύλησε
σκευῶν ἐκόμισε πρὸς τὸν βασιλέα εἰς Ῥεβ-
λαθὰν πόλιν τῆς Συρίας. ὁ δὲ βασιλεὺς,
τοῦ μὲν ἀρχιερέως καὶ τῶν ἡγεμόνων ἐκέ-
λευσεν ἐκεῖ τὰς κεφαλὰς ἀποτεμεῖν· αὐ-
τὸς δὲ πάντας τοὺς αἰχμαλώτους καὶ τὸν
Σεδεκίαν ἤγαγεν εἰς Βαβυλῶνα.

κβ. Καὶ ὁ λαὸς ὁ καταλειφθεὶς
ἐν γῇ Ἰούδα οὓς κατέλειπεν ὁ Ναβου-
χοδονόσορ βασιλεὺς Βαβυλῶνος, καὶ
κατέστησεν ἐπ' αὐτῶν τὸν Γοθολίαν
υἱὸν Ἀχικὰμ υἱοῦ Σαπφάν. (1)

** ΙΩΣΗΠΟΥ. Ὁ στρατηγὸς Ναβου-
ζαρδάνης αἰχμαλωτίσας τὸν τῶν Ἰουδαίων
λαὸν, τοὺς πένητας καὶ αὐτομόλους ἐκεῖ κα-
τέλιπεν, ἀποδείξας αὐτῶν ἡγεμόνα Γοδο-
λίαν ὄνομα, Ἀικάμου παῖδα τῶν εὖ γεγο-
νότων, ἐπιεικῆ καὶ δίκαιον.

κγ. Καὶ ἤκουσαν πάντες οἱ ἄρχον-
τες τῆς δυνάμεως αὐτοὶ καὶ οἱ ἄν-
δρες αὐτῶν, ὅτι κατέστησε βασιλεὺς
Βαβυλῶνος τὸν Γοθολίαν, καὶ ἦλθον
πρὸς Γοθολίαν ἕως (2) ΜασσηΦὰ, καὶ
Ἰσμαὴλ υἱὸς Ναθανίου, καὶ Ἰωνὰ υἱὸς
Καρὴθ, καὶ Σαραΐας υἱὸς Θαναι-
μὰθ (3) ὁ Νετωφαθίτης, καὶ Ἰεζο-
νίας υἱὸς τοῦ Μαχαθὶ, αὐτοὶ καὶ οἱ
κδ. ἄνδρες αὐτῶν. Καὶ ὤμοσε Γοθολίας
αὐτοῖς καὶ τοῖς ἀνδράσιν αὐτῶν, καὶ
εἶπεν αὐτοῖς, μὴ φοβεῖσθε πάροδον
Χαλδαίων, καθίσατε ἐν τῇ γῇ, καὶ
δουλεύσατε τῷ βασιλεῖ Βαβυλῶνος,
καὶ καλῶς ἔσται ὑμῖν.

** ΙΩΣΗΠΟΥ. Ἐπειδὴ τοὺς Βαβυλω-
νίους ἤκουσαν ἀνακεχωρηκότας, καὶ λείψα-
νά τινα καταλελοιπότας ἐν τῇ τῶν Ἱεροσο-
λύμων γῇ, καὶ τοὺς ταύτην ἐργαζομένους,
συλλεχθέντες πανταχόθεν, ἧκον πρὸς τὸν
Γοδολίαν εἰς Μασφαθάν. ἡγεμόνες δὲ ἦσαν
ἐπ' αὐτοῖς, Ἰωάννης υἱὸς Καρέου, καὶ Ἰεζα-
νίας, καὶ Σαρέας, καὶ ἕτεροι πρὸς τούτοις.
ἐκ δὲ τοῦ βασιλικοῦ γένους ἦν τὶς Ἰσμαῆλος,
πονηρὸς ἀνὴρ καὶ δολιώτατος, ὃς πολυορ-
κουμένων τῶν Ἱεροσολύμων, ἔφυγε πρὸς
τὸν Ἀμμανιτῶν βασιλέα Βααλεὶμ, καὶ συν-
διῆγεν αὐτῷ τὸν χρόνον ἐκεῖνον. τούτους
τοίνυν γενομένους αὐτοῦ Γοδολίας ἔπεισε
μένειν αὐτίκα, μηδὲν δεδιότας τοὺς Βαβυ-
λωνίους. γεωργοῦντας γὰρ τὴν χώραν, οὐδὲν
πείσεσθαι δεινόν.

A κε. Καὶ ἐγενήθη ἐν τῷ μηνὶ τῷ
ἑβδόμῳ ἦλθεν Ἰσμαὴλ υἱὸς Ναθα-
νίου (4) Ἐλισαμὰ ἐκ τοῦ σπέρματος
τῶν βασιλέων, καὶ δέκα ἄνδρες μετ'
αὐτοῦ, καὶ ἐπάταξε τὸν Γοθολίαν καὶ
ἀπέθανε, καὶ τοὺς Ἰουδαίους καὶ τοὺς
Χαλδαίους, οἳ ἦσαν μετ' αὐτοῦ ἐν Μασ-
κς. σηφά. Καὶ ἀνέστη πᾶς ὁ λαὸς ἀπὸ
μικροῦ ἕως μεγάλου καὶ οἱ ἄρχοντες
B τῆς δυνάμεως, καὶ εἰσῆλθον εἰς Αἴ-
γυπτον, ὅτι ἐφοβήθησαν ἀπὸ προ-
σώπου τῶν Χαλδαίων.

** ΙΩΣΗΠΟΥ. Παραγίνεται πρὸς
Γοδολίαν εἰς Μασφαθὰν πόλιν Ἰσμαῆλος
μετ' ἀνδρῶν δέκα, οὓς λαμπρᾷ τραπέζῃ καὶ
ξενίοις ὑποδεξάμενος εἰς μέθην προήχθη,
φιλοφρονούμενος τὸν Ἰσμαῆλον καὶ τοὺς σὺν
αὐτῷ. θεασάμενος δὲ οὕτως αὐτὸν ἔχοντα,
Γ καὶ βεβαπτισμένον εἰς ἀναισθησίαν καὶ ὕπνον
ὑπὸ τῆς μέθης ὁ Ἰσμαῆλος, ἀναπηδήσας
μετὰ τῶν δέκα φίλων, ἀποσφάττει τὸν Γο-
δολίαν καὶ τοὺς σὺν αὐτῷ κατακειμένους ἐν
τῷ συμποσίῳ. καὶ μετὰ τὴν τούτων ἀναίρε-
σιν, ἐξελθὼν νυκτὸς ἅπαντας φονεύει τοὺς
ἐν τῇ πόλει Ἰουδαίους, καὶ τοὺς ὑπὸ τῶν Β[...]
βυλωνίων καταλειφθέντας ἐν αὐτῇ [...]
στρατιωτῶν. Καὶ μετ' ὀλίγα. Διεγνώκει[...]
ἐκεῖθεν ἄραντες εἰς Αἴγυπτον ἐλθε[...]
Δ βούμενοι μὴ κλείνωσιν αὐτοὺς οἱ Βαβ[...]
μείναντας ἐν τῇ χώρᾳ ὑπὲρ Γοδο[...]
κατασταθέντος ὑπ' αὐτῶν ἡγεμόνο[...]
θέντες πεφονευμένου.

κζ. Καὶ ἐγενήθη ἐν τῷ τρι[...]
καὶ ἑβδόμῳ ἔτει τῆς ἀποικεσί[...]
Ἰωαχὶμ βασιλέως Ἰούδα ἐν τῷ [...]
κάτῳ μηνὶ ἑβδόμῃ καὶ εἰκάδι τοῦ [...]
E νὸς, ὕψωσεν Εὐιαδ Μαρωδὰχ (6) βα-
σιλεὺς Βαβυλῶνος ἐν τῷ ἐνιαυτῷ τῆς
βασιλείας αὐτοῦ τὴν κεφαλὴν Ἰωα-
χὶμ βασιλέως Ἰούδα, καὶ ἐξήγαγεν
κη. αὐτὸν ἐξ οἴκου φυλακῆς αὐτοῦ. Καὶ
ἐλάλησε μετ' αὐτοῦ ἀγαθὰ, καὶ ἔδω-
κε τὸν θρόνον αὐτοῦ ἐπάνω τῶν θρόνων
Z τῶν βασιλέων τῶν μετ' αὐτοῦ ἐν Βα-
κθ. βυλῶνι. Καὶ ἠλλοίωσε τὰ ἱμάτια
τῆς φυλακῆς αὐτοῦ, καὶ ἤσθιεν ἄρτον
λ. διαπαντὸς ἐνώπιον αὐτοῦ. (7) Καὶ ἡ
ἑστιατορία αὐτοῦ (8) πάσας τὰς ἡμέ-
ρας ἐδόθη αὐτῷ ἐξ οἴκου τοῦ βασι-
λέως, λόγον ἡμέρας ἐν ἡμέρᾳ αὐτοῦ,
πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ.

ΙΩΣΗ-

(1) Σαφάν. αἱ αὐτ.
(2) Εἰς. αἱ αὐτ.
(3) Θαναμάθ. αἱ αὐτ.
(4) Υἱοῦ Ἐλ. αἱ αὐτ.
(5) Τοῦ Ἰωαχ. αἱ αὐτ.
(6) Εὐιαλμαρωδέκ. αἱ αὐτ.
(7) Αὐτοῦ πάσας τὰς ἡμέρας τῆς ζωῆς αὐτοῦ. Καί. αἱ αὐτ.
(8) Αὐτοῦ ἑστιατορία διαπαντὸς ἐδόθη, κτ. αἱ αὐτ.

** ΙΩΣΗΠΟΥ. Μετὰ τὴν Ναβουχοδο-
νοσόρου τελευτὴν Ἀβιλαμαράδαχος ὁ παῖς
αὐτοῦ τὴν βασιλείαν παραλαμβάνει· ὃς εὐ-
θὺς τῶν Ἱεροσολύμων βασιλέα Ἰεχονίαν
τῶν δεσμῶν ἀφεὶς ἐν τοῖς ἀναγκαιοτάτοις
φίλοις εἶχε, πολλὰς αὐτῷ δωρεὰς δοὺς, καὶ
ποιήσας αὐτὸν ἔντιμον ἐπὶ τῶν ἐν τῇ Βα-
βυλῶνι βασιλέων. ὁ γὰρ πατὴρ αὐτοῦ τὴν
πίστιν οὐκ ἐφύλαξε τῷ Ἰεχονίᾳ παραδόντι
μετὰ γυναικῶν καὶ τέκνων καὶ τῆς συγ-
γενείας ὅλης ἑκουσίως ἑαυτὸν ὑπὲρ τῆς πα-
τρίδος, ὡς ἂν μὴ κατασκαφείη ληφθεῖσα
τῇ πολυορκίᾳ.

* ΘΕΟΔΩΡΙΤΟΥ. Τὰ δὲ κατὰ τὸν
Ἰωαχὶμ, καὶ Ἰωακεὶμ, καὶ Ἰεχονίαν, καὶ
Σεδεκίαν, πλατύτερον ὁ θεῖος Ἱερεμίας
συνέγραψε. κἀκείνην δὲ τὴν βίβλον διὰ
τῆς θείας χάριτος πᾶσαν ἡρμηνεύσαμεν.
παρέλκον τοίνυν ὑπολαμβάνω δὶς τοὺς αὐ-
τοὺς ἀνελίττειν λόγους. τὸν δὲ Ἰωαχὶμ, τὸν
τοῦ Ἰωακεὶμ υἱὸν, ὁ θεῖος Ἱερεμίας Ἰεχο-
νίαν καλεῖ· ἡ δὲ τῶν Παραλειπομένων βί-
βλος Ἰωακείμ. τοῦτον ὁ Εὐιλὰτ Μαρωδὰχ
τῆς εἱρκτῆς ἀπαλλάξας ὁμοδίαιτον εἶχε καὶ
ὁμοτράπεζον. ὁ τύπτων γὰρ καὶ ἰώμενος
τοῖς πολεμίοις ἐκδεδωκὼς, πάλιν αὐτὸν
[...]θερίας ἠξίωσεν.

[...] ΙΠΠΟΛΥΤΟΥ. Τὴν ἀκρίβειαν τῶν
[...] τῆς γεγενημένης αἰχμαλωσίας τοῖς
[...]ραὴλ ἐν Βαβυλῶνι ἐπιδείξασθαι βου-
[...]ς, καὶ τὰς τοῦ μακαρίου Δανιὴλ τῶν
[...]των προφητείας· τὴν τούτου ἐν Βα-
[...] ἐκ παιδὸς ἀναστροφὴν, πρόσειμι καὶ
[...]μαρτυρήσων ὁσίῳ καὶ δικαίῳ ἀνδρὶ
[...]τῃ καὶ μάρτυρι Χριστοῦ γεγενημένῳ·
[...]όνον τὰ τοῦ βασιλέως Ναβουχοδονό-
[...]άματα τοῖς τότε καιροῖς ἀπεκάλυ-
[...] ἀλλὰ καὶ ὁμοίους αὐτῷ παῖδας ἐκδι-
[...]ξας, μάρτυρας πιστοὺς ἐν κόσμῳ προή-
γαγεν. οὗτος τοίνυν γίνεται κατὰ τοὺς χρό-
νους τῆς προφητείας τοῦ μακαρίου Ἱερεμίου,
τῆς δὲ βασιλείας Ἰωακεὶμ τοῦ Ἐλιακείμ·
ὃς ἅμα τοῖς λοιποῖς αἰχμαλώτοις ληφθεὶς,
ἄγεται μετ' αὐτῶν εἰς Βαβυλῶνα. πέντε
γὰρ οὗτοι υἱοὶ γίνονται τοῦ μακαρίου Ἰωσίου,
Ἰωάχας, Ἐλιακεὶμ, καὶ Ἰωάνναν, Σεδεκίας
ὁ καὶ Ἰεχονίας, καὶ Σαδούμ. καὶ ὁ μὲν Ἰωά-
χας μετὰ τὴν τελευτὴν τοῦ πατρὸς αὐτοῦ
χρίεται ὑπὸ τοῦ λαοῦ εἰς βασιλέα, ὢν ἐτῶν
κγ΄. ἐπὶ τοῦτον ἀναβαίνει Φαραὼ Νεχαὼ,
ἐν τῷ μηνὶ τῷ τρίτῳ τῆς βασιλείας αὐτοῦ·
καὶ λαβὼν αὐτὸν δέσμιον, ἄγει εἰς Αἴγυ-
πτον· καὶ ἐπιτίθησι φόρον τῇ γῇ, ἑκατὸν
τάλαντα ἀργυρίου, καὶ δέκα τάλαντα χρυ-
σίου· καὶ καθιστᾷ ἀντ' αὐτοῦ Ἐλιακεὶμ τὸν
ἀδελφὸν αὐτοῦ βασιλέα ἐπὶ τῆς γῆς, ὃν
μετωνόμασεν Ἰωακεὶμ, ἐπὶ ἔτη ἕνδεκα. ἐπὶ

A τοῦτον (1) ἀνέβη Ναβουχοδονόσορ βασιλεὺς
Βαβυλῶνος, καὶ λαβὼν αὐτὸν δέσμιον, ἄγει
εἰς Βαβυλῶνα, καὶ μέρος τι τῶν σκευῶν
οἴκου τῶν ἐν Ἱερουσαλήμ. οὗτος κατάκλειστος
γενόμενος, ὡς φίλος τοῦ Φαραὼ, καὶ ὑπ' αὐ-
τοῦ βασιλεὺς κατασταθεὶς, ἐν τῷ λζ΄ ἔτει
ἐξάγεται ὑπὸ Εὐϊλὰτ Μαρωδὰχ βασιλέως
Βαβυλῶνος, καὶ ἐκείρεν αὐτοῦ τὴν κεφα-
λὴν, καὶ ἦν αὐτοῦ σύμβουλος, καὶ ἤσθιεν ἐν
τῇ τραπέζῃ αὐτοῦ ἕως τῆς ἡμέρας ἧς ἀπέ-
B θανε. τούτου οὖν μεταχθέντος, βασιλεύει ὁ
υἱὸς αὐτοῦ Ἰωακεὶμ, (2) ἔτη τρία. καὶ ἐπὶ
τοῦτον ἀνέβη Ναβουχοδονόσορ, καὶ μετοικίζει
αὐτόν τε καὶ τοῦ λαοῦ δέκα χιλιάδας ἀνδρῶν
εἰς Βαβυλῶνα· καὶ καθιστᾷ ἀντ' αὐτοῦ τὸν
ἀδελφὸν τοῦ πατρὸς αὐτοῦ, ὃν καὶ μετωνό-
μασε Σεδεκίαν· μεθ' οὗ ὅρκια καὶ συνθή-
κας ποιησάμενος, ἄπεισιν εἰς Βαβυλῶνα·
οὗτος βασιλεύσας ἔτη ια΄, ἀπέστη ἀπ' αὐτοῦ,
καὶ ἔδωκεν ἑαυτὸν πρὸς Φαραὼ βασιλέα
Γ Αἰγύπτου· ἐν δὲ τῷ δεκάτῳ ἔτει ἦλθεν ἐπ'
αὐτὸν Ναβουχοδονόσορ ἐκ γῆς Χαλδαίων,
καὶ περιεχαράκωσε τὴν πόλιν, καὶ περιεκά-
θισεν αὐτὴν κύκλωθεν, καὶ συνεῖχεν αὐτὴν
πάντοθεν. ὅθεν οἱ πλείονες αὐτῶν διεφθά-
ρησαν· οἱ δὲ ἐν ῥομφαίᾳ ἀπώλοντο· τινὲς
δὲ αὐτῶν αἰχμάλωτοι ἐλήφθησαν· ἡ δὲ πό-
λις ἐνεπυρίσθη ἐν πυρί· καὶ ὁ ναὸς καὶ τὸ
τεῖχος καθῃρέθη. καὶ πάντας τοὺς θησαυ-
ροὺς τοὺς εὑρεθέντας ἐν οἴκῳ Κυρίου ἔλαβεν
Δ ἡ δύναμις τῶν Χαλδαίων, καὶ πάντα τὰ
σκεύη τά τε χρυσᾶ καὶ ἀργυρᾶ· καὶ πάν-
τα χαλκὸν ἐξέκοψε Ναβουζαρδὰν ὁ ἀρχι-
μάγειρος, καὶ ἤνεγκεν αὐτὰ εἰς Βαβυλῶνα.
αὐτὸν δὲ τὸν Σεδεκίαν διὰ νυκτὸς φεύγον-
τα μετὰ ἀνδρῶν ἑπτακοσίων κατεδίωξεν
ἡ δύναμις τῶν Χαλδαίων, καὶ κατέλαβον
αὐτὸν ἐν Ἱεριχῷ, καὶ ἤγαγον αὐτὸν πρὸς
βασιλέα Βαβυλῶνος εἰς Ῥεβλαθά. καὶ ἐκρί-
θη μετ' αὐτοῦ ὁ βασιλεὺς ἐν θυμῷ, ἐν τῷ
E παραβεβηκέναι αὐτὸν τὸν ὅρκον Κυρίου, καὶ
τὴν διαθήκην ἣν διέθετο πρὸς αὐτόν. καὶ
τοὺς υἱοὺς αὐτοῦ ἔσφαξεν ἔμπροσθεν αὐτοῦ, καὶ
τοὺς ὀφθαλμοὺς Σεδεκίου ἐξετύφλωσε, καὶ
ἔδωκεν αὐτὸν ἐν πέδαις σιδηραῖς, καὶ ἤγα-
γεν αὐτὸν εἰς Βαβυλῶνα· καὶ ἦν ἀλήθων
ἐν τῷ μύλωνι ἕως τῆς ἡμέρας, ἧς ἀπέ-
θανε. καὶ ἐν τῷ ἀποθανεῖν αὐτὸν, λαβόν-
τες τὸ σῶμα αὐτοῦ, ἔρριψαν ὀπίσω τοῦ τεί-
χους Νινευΐ. ἐπὶ τούτου πληροῦται ἡ προφη-
Z „ τεία Ἱερεμίου, λέγοντος· ζῶ ἐγὼ, λέγει Ἱερ. 22. 24-30.
„ Κύριος, ἐὰν γενόμενος γένηται Ἰεχονίας
„ υἱὸς Ἰωακεὶμ βασιλεὺς Ἰούδα ἀποσφράγισ-
„ μα ἐπὶ τῆς χειρός μου τῆς δεξιᾶς, ἐκεῖθεν
„ ἐκσπάσω σε, καὶ δώσω σε εἰς χεῖρας τῶν
„ ζητούντων τὴν ψυχήν σου. ὧν σὺ εὐλαβῇ
„ ἀπὸ προσώπου αὐτῶν, εἰς χεῖρας τῶν Χαλ-
„ δαίων. καὶ ἀπορρίψω σε καὶ τὴν μητέρα σου
τὴν

(1) Τὸν Ἰωαχὶμ νοητέον. ὁ γὰρ Ἐλιακεὶμ ὁ μετονομασθεὶς Ἰωακεὶμ ἐν Ἱερουσαλὴμ σφαγεὶς ἀπέθανεν· ὁ δὲ Ἰωαχὶμ ὁ τούτου υἱὸς εἰς Βαβυλῶνα μετακομισθεὶς τῆς τοῦ Εὐιαδ Μαρωδὰχ ἐπιεικείας ἔτυχεν. ὅρα τὰ 2-6. ἐδ. τοῦ 24. κεφ. καὶ τὰ ἐν αὐτοῖς ὑπομνήμ. ἔτι δὲ καὶ τὰ τοῦ παρόντος κεφ. ἔχ. ἐδ.

(2) Τριμηνιαῖον. ἐν ταῖς σημ. ταῖς ἐν σελ. 278. τοῦ 1. μέρ. τῶν τοῦ Ἱππολ. τῆς ἐν Ἀμβούρ. ἐκδόσ.

» τὴν τεκοῦσάν σε εἰς γῆν οὗ οὐκ ἐτέχθης ἐκεῖ· κἀκεῖ ἀποθανεῖσθε. εἰς δὲ τὴν γῆν ἣν αὐ-
» τοὶ εὔχονται ταῖς ψυχαῖς αὐτῶν, οὐ μὴ ἐπιστρέψω σε. ἠτιμώθη Ἰεχονίας εἰς σκεῦος
» ἄχρηστον, οὗ οὐκ ἔστι χρεία· διότι ἐξεῤῥίφη καὶ ἐξεβλήθη εἰς γῆν ἣν οὐκ ἤδει. γῆ ἄκουε
» λόγον Κυρίου. γράψον τὸν ἄνδρα τοῦτον ἐκκήρυκτον ἄνθρωπον. ὅτι οὐ μὴ αὐξηθῇ ἐκ τοῦ
» σπέρματος αὐτοῦ καθήμενος ἐπὶ θρόνου Δαβὶδ ἄρχων ἔτι ἐν τῷ Ἰούδᾳ. γεγένηται οὖν ἡ
αἰχμαλωσία αὐτοῖς εἰς Βαβυλῶνα μετὰ τὴν ἔξοδον τὴν ἐξ Αἰγύπτου. τοῦ οὖν λαοῦ
παντὸς μετοικισθέντος, καὶ τῆς πόλεως ἐρημωθείσης, τοῦ τε ἁγιάσματος
καθῃρημένου εἰς τὸ πληρωθῆναι τὸν λόγον Κυρίου, ὃν ἐλάλησε
διὰ στόματος τοῦ Ἰερεμίου τοῦ προφήτου, λέγοντος· ὅτι
» ἔρημον ἔσται τὸ ἁγίασμα ἑβδομήκοντα ἔτη· *Ἱερ. 25. 11.
εὑρίσκομεν τὸν μακάριον Δανιὴλ ἐν
Βαβυλῶνι προφητεύσαντα,
καὶ ἔκδικον τῆς Σωσάν-
νης γενόμενον.

ΤΕΛΟΣ.



ΠΙΝΑΞ

ΠΙΝΑΞ

ΤΩΝ ΥΠΟ ΤΗΣΔΕ ΤΗΣ ΒΙΒΛΟΥ ΠΕΡΙΕΧΟΜΕΝΩΝ ΤΗΣ ΠΑΛΑΙΑΣ ΤΕ ΚΑΙ ΝΕΑΣ ΓΡΑΦΗΣ ΡΗΣΕΩΝ ΤΩΝ ΜΗ ΚΑΘ' ΑΥΤΟ ΔΙΕΡΜΗΝΕΥΟΜΕΝΩΝ.

ΓΕΝΕΣΕΩΣ.

Κεφ. 2. ἐδ. 24. Ἀντὶ τούτου καταλείψει ἄνθρωπος. σελ. 500
Κεφ. 3. ἐδ. 5. Ἀνοιχθήσονται ὑμῶν οἱ ὀφθαλμοί. 201
8. Ἤκουσε τοῦ Θεοῦ περιπατοῦντος. 612
12. Ἡ γυνὴ ἣν δέδωκάς μοι. 378
15. Σὺ τηρήσεις πτέρναν. 156
ἐδ. 25. Ἐπικατάρατος Χάμ. 56, καὶ 58
7. Υἱοὶ δὲ Χοῦς, Σαβὰ καὶ Εὐϊλά. 707
Ποιήσω τὸ σπέρμα σου. 636
Κατὰ τὸν καιρὸν τοῦτον. 837
Ἤδει ὁ Θεὸς ὅτι συντάξει. 133
Οὗτος πατὴρ Μωαβιτῶν. 84
Γίνου Κύριος τοῦ ἀδελφοῦ σου. 537, καὶ 538
Ἔσται καιρὸς, ἡνίκα ἄν. 866
Προσώχθισα τῇ ψυχῇ μου. 814
πάντων ὧν ἐάν μοι δῷς. 99
βουνὸς μάρτυς. 115
Καὶ αὐτὸ θαυμαστόν. 209
Ἐταπείνωσεν αὐτήν. 81
Ἐφραὶμ καὶ Μανασσῆς. 600
Ἣν ἔλαβον τῷ τόξῳ μου. 556
9. Ἀναπεσὼν ἐκοιμήθη. 658
27. Βενιαμὶν λύκος ἅρπαξ. 253

ΕΞΟΔΟΥ.

Κεφ. 3. ἐδ. 14. Ἐγώ εἰμι ὁ ὤν. 303
Κεφ. 7. ἐδ. 16. Ὁ Θεὸς τῶν Ἑβραίων. 823
Κεφ. 8. ἐδ. 20. Στῆθι ἐναντίον Φαραώ. 612
Κεφ. 9. ἐδ. 10. Ἐσκλήρυνε Κύριος. 722
16. Εἰς αὐτὸ τοῦτο ἐξήγειρά σε. 15
Κεφ. 12. ἐδ. 11. Μετὰ σπουδῆς ἔδεσθε. 24
Κεφ. 14. ἐδ. 15. Τί βοᾷς πρός με; 285
Κεφ. 15. ἐδ. 1. Ἄσωμεν τῷ Κυρίῳ. 145
15. Ἐτάκησαν πάντες. 26, καὶ 146
Κεφ. 20. ἐδ. 13. Οὐ μοιχεύσεις. 38, καὶ 577
14. Οὐ φονεύσεις. 577
Κεφ. 23. ἐδ. 20. Ἰδοὺ ἀποστέλλω τὸν Ἄγγελόν μου. 33
21. Πρόσεχε σεαυτῷ. αὐτ.
28. Ἀποστελῶ τὰς σφηκίας. 133
Κεφ. 25. ἐδ. 40. Ποιήσεις πάντα κατὰ τὸν τύπον. 701
Κεφ. 32. ἐδ. 4. Οὗτοι οἱ Θεοί σου. 12
6. Ἀνέστησαν παίζειν. 205
32. Εἰ μὲν ἀφίης αὐτοῖς. 354
Κεφ. 33. ἐδ. 2. Ἀποστελῶ τὸν Ἄγγελόν μου. 33
3. Οὐ γὰρ μὴ συναναβῶ. αὐτ.
12. Ἀνάγαγε τὸν λαὸν τοῦτον. αὐτ.
15. Μή με ἀναγάγῃς ἐνθένδε. αὐτ.
21. Σὺ δὲ αὐτοῦ στῆθι. 150
Κεφ. 34. ἐδ. 16. Ἵνα μὴ ἐκπορνεύσωσιν. 759

ΑΡΙΘΜΩΝ.

Κεφ. 9. ἐδ. 14. Εἷς νόμος ἔσται. 41
Κεφ. 11. ἐδ. 16. Ἔκλεξαι σεαυτῷ. 69
Κεφ. 28. ἐδ. 2. Τὰ δῶρά μου δόματά μου. 283

ΔΕΥΤΕΡΟΝΟΜΙΟΥ.

Κεφ. 6. ἐδ. 4. Κύριος ὁ Θεός σου. 11
Κεφ. 11. ἐδ. 22. Ἐὰν φυλάξητε τὰς ἐντολάς μου. 4
Κεφ. 17. ἐδ. 16. Οὐ πληθυνεῖς σεαυτῷ ἵππον. 66
Κεφ. 18. ἐδ. 9-12. Ἐὰν εἰσέλθῃς εἰς τὴν γῆν. 467. (8)
Κεφ. 19. ἐδ. 21. Ὀφθαλμὸν ἀντὶ ὀφθαλμοῦ. 410
Κεφ. 20. ἐδ. 1. Ἐὰν ἴδῃς πλῆθος πολεμίων. 148
Κεφ. 23. ἐδ. 3. Οὐκ εἰσελεύσεται Ἀμμανίτης. 264
Κεφ. 31. ἐδ. 10. Μετὰ ἑπτὰ ἔτη. 78
11. Ἀναγνώσῃ τὸν νόμον τοῦτον. αὐτ.
20. Κύριος ὁ Θεός σου. αὐτ.
Κεφ. 32. ἐδ. 1. Πρόσεχε οὐρανέ. 145
8. Ὅτε διεμέριζεν ἔθνη. 90, καὶ 217
30. Πῶς διώξεται εἷς χιλίους. 221

ΙΗΣΟΥ.

Κεφ. 1. ἐδ. 5. Ὡς ἐγενόμην μετὰ Μωϋσῆ. 34
Κεφ. 3. ἐδ. 15. Θερισμῶν πυρῶν. 26
Κεφ. 5. ἐδ. 11. Ἔφαγον ἀπὸ τοῦ καρποῦ τῆς γῆς. 124
12. Ἐξέλειπε τὸ μάννα. αὐτ.
Κεφ. 10. ἐδ. 12. Στήτω ὁ ἥλιος. 446
Κεφ. 11. ἐδ. 13. Καὶ ἡ γῆ κατέπαυσε πολεμουμένη. 70
Κεφ. 13. ἐδ. 14. Κύριος ὁ Θεὸς κληρονομία αὐτῶν. 75
Κεφ. 15. ἐδ. 19. Καὶ δώσεις μοι λύτρωσιν ὕδατος. 123
Κεφ. 16. ἐδ. 10. Καὶ οὐκ ἀπώλεσεν Ἐφραίμ. 84
Κεφ. 17. ἐδ. 13. Ἐπεὶ κατίσχυσαν οἱ υἱοὶ Ἰσραήλ. 86
Κεφ. 19. ἐδ. 1. Ἐγενήθη ἡ κληρονομία αὐτοῦ. 78
8. Αὕτη ἡ κληρονομία φυλῆς. αὐτ.
9. Καὶ ἐκληρονόμησαν. αὐτ.

ΚΡΙΤΩΝ.

Κεφ. 1. ἐδ. 35. Ἤρξατο ὁ Ἀμοῤῥαῖος κατοικεῖν. 216
Κεφ. 2. ἐδ. 1-3. Ἀνέβη Ἄγγελος Κυρίου. 127
6-10. Καὶ ἐξαπέστειλεν Ἰησοῦς. 128
16-19. Ἤγειρεν αὐτοῖς Κύριος. αὐτ.
Κεφ. 3. ἐδ. 27. Ἐσάλπισε κερατίνῃ. 151
Κεφ. 5. ἐδ. 7. Ἐξέλιπον οἱ κρατοῦντες. 142
Κεφ. 11. ἐδ. 30. Καὶ ηὔξατο Ἰεφθάε. 282
Κεφ. 13. ἐδ. 25. Ἤρξατο πνεῦμα Κυρίου. 212
Κεφ. 14. ἐδ. 4. Καὶ ὁ πατὴρ αὐτοῦ καὶ ἡ μήτηρ αὐτοῦ. 210

ΡΟΥΘ.

Κεφ. 1. ἐδ. 11-13. Ἐπιστράφητε δὴ θυγατέρες μου. 258
16. Μή μοι γένοιτο τοῦ καταλιπεῖν σε. αὐτ.
17. Καὶ οὗ ἐὰν ἀποθάνῃς. αὐτ.

Κεφ. 2. ἐδ. 8. Μὴ πορευθῇς ἐν ἀγρῷ. 258
11. Ἀπαγγελίᾳ ἀπηγγέλη μοι. αὐτ.
12. Ἀποτίσαι σοι Κύριος. 259
19. Εἴη ὁ ἐπιγνούς σε εὐλογημένος. αὐτ.
20. Ὅτι ἐγγίζει ἡμῖν ὁ ἀνήρ. 269
21. Καί γε ὅτι εἶπε μετὰ τῶν κορασίων με. αὐτ.

ΒΑΣΙΛΕΙΩΝ Α.

Κεφ. 1. ἐδ. 8. Οὐκ ἀγαθός σοι ἐγώ; 500
Κεφ. 2. ἐδ. 10. Καὶ δώσει ἰσχὺν τοῖς βασιλεῦσι. 610
18. Καὶ τὸ Σαμουὴλ παιδάριον. 180
Κεφ. 3. ἐδ. 13. Οὐκ ἐνουθέτει τοὺς υἱοὺς αὐτοῦ. 300
Κεφ. 7. ἐδ. 1. Ἡγίασε τὸν υἱὸν αὐτοῦ Ἐλεάζαρ. 523
Κεφ. 8. ἐδ. 7. Οὐ σὲ ἐξουθενώκασιν. 353
Κεφ. 9. ἐδ. 21. Οὐχὶ υἱὸς ἀνδρὸς Ἰεμιναίου; 340, καὶ 378
Κεφ. 12. ἐδ. 3. Μόσχον τίνος ὑμῶν εἴληφα; 334
Κεφ. 14. ἐδ. 19. Συνάγαγε τὸ Ἐφούδ. 180
Κεφ. 18. ἐδ. 16. Καὶ πᾶς Ἰσραὴλ καὶ Ἰούδας. 410
28. Εἶδεν, ὡς Κύριος ἦν μετὰ Δαβίδ. αὐτ.
Κεφ. 19. ἐδ. 6. Ὤμοσε Σαοὺλ, λέγων. 408
Κεφ. 31. ἐδ. 4. Καὶ εἶπε Σαοὺλ πρὸς τὸν αἴροντα. 426

ΒΑΣΙΛΕΙΩΝ Β.

Κεφ. 1. ἐδ. 1. Ἐγένετο μετὰ τὸ ἀποθανεῖν Σαούλ. 470
2. Καὶ ἐγένετο ἐν τῇ τρίτῃ ἡμέρᾳ. αὐτ.
26. Ἔπεσεν ἐπ' ἐμὲ ἡ ἀγάπησίς σου. 401
Κεφ. 3. ἐδ. 39. Υἱοὶ Σαρουίας σκληρότεροί με. 657
Κεφ. 7. ἐδ. 2. Ἰδοὺ ἐγὼ κατοικῶ ἐν οἴκῳ κεδρίνῳ. 679
12-13. Οὐ σὺ οἰκοδομήσεις μοι. 651
Κεφ. 15. ἐδ. 28. Καὶ διέρρηξε Κύριος. 478
Κεφ. 23. ἐδ. 37. Γελωρεὶ ὁ Βηρωθαῖος. 426
Κεφ. 24. ἐδ. 17. Γενέσθω ἡ χείρ σου ἐπ' ἐμέ. 354

ΒΑΣΙΛΕΙΩΝ Γ.

Κεφ. 4. ἐδ. 30. Ἐσοφίσατο Σολομῶν. 562
Κεφ. 6. ἐδ. 4. Θυρίδες παρακυπτόμεναι. 687
Κεφ. 11. ἐδ. 7. Τῇ Ἀστάρτῃ βδελύγματι Σιδωνίων. 754
Κεφ. 18. ἐδ. 18. Σὺ εἶ ὁ διαστρέφων τὸν Ἰσραήλ. 770, καὶ 779
Κεφ. 19. ἐδ. 5. Ἀνάστα φάγε. 7
Κεφ. 20. ἐδ. 28. Ὀρέων ἐστὶν ὁ Θεὸς τοῦ Ἰσραήλ. 13
Κεφ. 21. ἐδ. 28. Θεὸς ὀρέων ὁ Θεὸς Ἰσραήλ. 864
Κεφ. 22. ἐδ. 23. Πνεῦμα ψευδές. 472

ΒΑΣΙΛΕΙΩΝ Δ.

Κεφ. 4. ἐδ. 27. Ἄφες αὐτήν, ὅτι κατώδυνος. 528
Κεφ. 11. ἐδ. 14. Σύνδεσμος, Σύνδεσμος. 738

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Α.

Κεφ. 10. ἐδ. 13. Καὶ ἀπέθανε Σαούλ. 468
14. Ἐπηρώτησε Σαοὺλ ἐν τῇ ἐγγαστριμύθῳ. αὐτ.
Κεφ. 15. ἐδ. 15. Ἦραν τὴν κιβωτόν. 523
Κεφ. 21. ἐδ. 1. Ἐπέσεισε τὸν Δαβίδ. 633, καὶ 635

ΠΑΡΑΛΕΙΠΟΜΕΝΩΝ Β.

Κεφ. 4. ἐδ. 6. Τοῦ πλύνειν ἐν αὐτῇ τὰ ἔργα. 691
Κεφ. 10. ἐδ. 10. Ὁ βραχύτερός με δάκτυλος. 722
Κεφ. 12. ἐδ. 10. Ἐποίησε βασιλεὺς Ῥοβοάμ. 740
11. Καὶ ἐγένετο ἐν τῷ εἰσελθεῖν τὸν βασιλέα. αὐτ.
Κεφ. 16. ἐδ. 17. Ἐν τῇ ἀῤῥωστίᾳ αὐτοῦ οὐκ ἐζήτησε. 746
Κεφ. 23. ἐδ. 7. Εἰσπορευόμενος εἰς τὸν οἶκον ἀποθανεῖται. 882
11. Ἔδωκαν ἐπ' αὐτόν. αὐτ.
14. Ἔξω τοῦ οἴκου. 883
Κεφ. 24. ἐδ. 12. Ἐπισκευάσαι τὸν οἶκον Κυρίου. 886
Κεφ. 28. ἐδ. 11-14. Καὶ ἔδωκε Δαβὶδ Σολομῶντι. 701
15. Καὶ κατέστησαν αὐτοὺς εἰς Ἱεριχώ. 124
19. Πάντα ἐν γραφῇ. 701, καὶ 702
22-24. Καὶ προσέθηκεν Ἄχαζ. 904
Κεφ. 29. ἐδ. 2. Λίθους ὄνυχος, καὶ πληρώσεως. 702
Κεφ. 35. ἐδ. 21-23. Τί ἐμοὶ καὶ σοὶ βασιλεῦ Ἰούδα; 943

ΝΕΕΜΙΟΥ.

Κεφ. 4. ἐδ. 3. Μὴ θύσουσιν ἢ φάγονται. 217

ΨΑΛΜΟΙ.

Ψαλ. 1. ἐδ. 3. Καὶ πάντα ὅσα ἂν ποιῇ. 6
Ψαλ. 2. ἐδ. 6. Ἐγὼ δὲ κατεστάθην βασιλεύς. 516
7. Διαγγέλλων τὸ πρόσταγμα Κυρίου. αὐτ.
8. Αἴτησαι παρ' ἐμοῦ, καὶ δώσω σοι ἔθνη. 120
Ψαλ. 3. ἐδ. 5. Ἐγὼ ἐκοιμήθην καὶ ὕπνωσα. 658
6. Οὐ φοβηθήσομαι ἀπὸ μυριάδων λαοῦ. 149
7. Ἀνάστα Κύριε, σῶσόν με ὁ Θεός με. αὐτ.
Ψαλ. 4. ἐδ. 1. Ἐν θλίψει ἐπλάτυνάς με. 618
2. Υἱοὶ ἀνθρώπων ἕως πότε βαρυκάρδιοι; 819
6. Ἐσημειώθη ἐφ' ἡμᾶς. 147
Ψαλ. 7. ἐδ. 4. Εἰ ἀνταπέδωκα τοῖς ἀνταποδιδοῦσί μοι. 453
14. Ἰδοὺ ὠδίνησεν ἀδικίαν. 585
15. Λάκκον ὤρυξεν. αὐτ.
Ψαλ. 9. ἐδ. 6. Τοῦ ἐχθροῦ ἐξέλειπον αἱ ῥομφαῖαι. 42
16. Ἐν τοῖς ἔργοις τῶν χειρῶν αὐτοῦ. 400
Ψαλ. 11. ἐδ. 8. Κατὰ τὸ ὕψος σου ἐπολυώρησας. 819
Ψαλ. 13. ἐδ. 3. Πάντες ἐξέκλιναν ἅμα ἠχρειώθησαν. 756
Ψαλ. 14. ἐδ. 4. Περιέσχον με ὠδῖνες θανάτου. 612
Ψαλ. 15. ἐδ. 10. Οὐκ ἐγκαταλείψεις τὴν ψυχήν με. 229
Ψαλ. 17. ἐδ. 2. Ὑπερασπιστής με καὶ κέρας σωτηρίας με. 35
9. Ἔκλινεν οὐρανούς. 701
11. Καὶ ἔθετο σκότος ἀποκρυφὴν αὐτοῦ. αὐτ.
19. Ῥύσεταί με, ὅτι ἠθέλησέ με. 618
22. Πάντα τὰ κρίματα αὐτοῦ ἐνώπιόν με. 619
28. Ὅτι σὺ φωτιεῖς λύχνον με. [illegible]
39. Πεσοῦνται ὑπὸ τοὺς πόδας με. [illegible]
42. Ὡς πηλὸν πλατειῶν. [illegible]
45. Υἱοὶ ἀλλότριοι ἐψεύσαντό [illegible]
Ψαλ. 21. ἐδ. 1. Μακρὰν ἀπὸ τῆς σωτηρί[illegible]
Ψαλ. 22. ἐδ. 4. Ἡ ῥάβδος σου καὶ ἡ βακτ[illegible]
Ψαλ. 26. ἐδ. 13. Πιστεύω τοῦ ἰδεῖν τὰ ἀγα[illegible]
Ψαλ. 27. ἐδ. 5. Καθελεῖς αὐτούς. [illegible]
Ψαλ. 29. ἐδ. 6. Ἐγὼ δὲ εἶπον ἐν τῇ εὐθη[illegible]
7. Κύριε ἐν τῷ θελήματι σ[illegible]
Ψαλ. 31. ἐδ. 4. Ἐστράφην εἰς ταλαιπω[illegible]
7. Σύ με εἶ καταφυγή. [illegible]
9. Ἐν κημῷ καὶ χαλινῷ. [illegible]
Ψαλ. 32. ἐδ. 16. Οὐ σώζεται βασιλεὺς δ[illegible]
17. Ψευδὴς ἵππος εἰς σωτηρ[illegible]
Ψαλ. 33. ἐδ. 10. Πλούσιοι ἐπτώχευσαν. [illegible]
Ψαλ. 34. ἐδ. 1. Δίκασον Κύριε. [illegible]
Ψαλ. 35. ἐδ. 4. Παρέστη πάσῃ ὁδῷ οὐκ ἀγαθῇ. 814
12. Ἐκεῖ ἔπεσον πάντες. 149
Ψαλ. 36. ἐδ. 22. Οἱ εὐλογοῦντες αὐτόν. 828
35. Εἶδον τὸν ἀσεβῆ ὑπερυψούμενον. 591
Ψαλ. 38. ἐδ. 12. Πάροικός εἰμι ἐγώ. 147
Ψαλ. 39. ἐδ. 2. Ἔστησας ἐπὶ πέτραν. 21, καὶ 150
Ψαλ. 43. ἐδ. 5. Ἐν σοὶ τοὺς ἐχθροὺς ἡμῶν. 35
Ψαλ. 44. ἐδ. 10. Ἄκουσον θύγατερ. 265, καὶ 266
11. Καὶ ἐπιθυμήσει ὁ βασιλεύς. 265
Ψαλ. 45. ἐδ. 3. Οὐ φοβηθησόμεθα. 36
Ψαλ. 46. ἐδ. 3. Καὶ ἔθνη ὑπὸ τοὺς πόδας ἡμῶν. 62
Ψαλ. 49. ἐδ. 18. Εἰ ἐθεώρεις κλέπτην. 562
Ψαλ. 50. ἐδ. 5. Ἰδοὺ γὰρ ἐν ἀνομίαις. 611
10. Πνεῦμα εὐθὲς ἐγκαίνισον. 824
11. Τὸ πνεῦμά σου τὸ ἅγιον. 385
12. Πνεύματι ἡγεμονικῷ. 824
15. Κύριε τὰ χείλη με ἀνοίξεις. 841
Ψαλ. 55. ἐδ. 2. Ὅτι πολλοὶ οἱ πολεμοῦντές με. 952
Ψαλ. 57. ἐδ. 10. Ὁ δίκαιος τὰς χεῖρας αὐτοῦ. 809
Ψαλ. 58. ἐδ. 1. Ἐξελοῦ με ἐκ τῶν ἐχθρῶν με. 408
Ψαλ. 59. ἐδ. 8. Ἐπὶ τὴν Ἰδουμαίαν ἐκτενῶ. 34
12. Ἐν τῷ Θεῷ ποιήσομεν δύναμιν. 149
Ψαλ. 52. ἐδ. 9. Αὐτοὶ δὲ εἰς μάτην ἐζήτησαν. 217
10. Μερίδες ἀλωπέκων ἔσονται. αὐτ.
Ψαλ. 67. ἐδ. 7. Ὁ Θεὸς ἐν τῷ ἐκπορεύεσθαί σε. 146
8. Γῆ ἐσείσθη. αὐτ.
21. Συνθλάσει κεφαλάς. 42
34. Ἐπὶ τὸν Ἰσραὴλ ἡ μεγαλοπρέπεια. 149
Ψαλ.

Ψαλ. 67. ἐδ. 35. Θαυμαστὸς ὁ Θεός. 150, καὶ 158
Ψαλ. 68. ἐδ. 5. Σὺ ἔγνως τὴν ἀφροσύνην με. 533
9. Ὁ ζῆλος τοῦ οἴκου σε. αὐτ.
Ψαλ. 71. ἐδ. 7. Ἀνατελεῖ ἐν ταῖς ἡμέραις αὐτοῦ. 42
Ψαλ. 73. ἐδ. 14. Σὺ συνέθλασας τὰς κεφαλάς. αὐτ.
Ψαλ. 74. ἐδ. 2. Ὅταν λάβω καιρὸν ἐγώ. 247
Ψαλ. 76. ἐδ. 6. Καταβήσεται ὡς ὑετός. 168
Ψαλ. 86. ἐδ. 3. Δεδοξασμένα ἐλαλήθη περὶ σοῦ. 640
7. Ἔνθα πάντων εὐφραινομένων. 149
Ψαλ. 88. ἐδ. 3. Ὤμοσα Δαβὶδ τῷ δούλῳ με. 388
4. Ἕως τοῦ αἰῶνος ἑτοιμάσω. αὐτ.
36. Τὸ σπέρμα αὐτοῦ εἰς τὸν αἰῶνα. αὐτ.
Ψαλ. 90. ἐδ. 4. Ὅπλῳ κυκλώσει σε. 622
13. Ἐπὶ ἀσπίδα καὶ βασιλίσκον. 62, καὶ 156
Ψαλ. 96. ἐδ. 2. Νεφέλη καὶ γνόφος κύκλῳ αὐτοῦ. 701
Ψαλ. 98. ἐδ. 6. Μωϋσῆς καὶ Ἀαρὼν ἐν τοῖς ἱερεῦσιν. 226
Ψαλ. 102. ἐδ. 1. Εὐλόγει ἡ ψυχή με τὸν Κύριον. 842
Ψαλ. 105. ἐδ. 37. Καὶ ἔθυσαν τοὺς υἱοὺς αὐτῶν. 201
38. Καὶ ἐξέχεαν αἷμα ἀθῷον. αὐτ.
Ψαλ. 107. ἐδ. 2. Ἑτοίμη ἡ καρδία με ὁ Θεός. 34
Ψαλ. 113. ἐδ. 9. Μὴ ἡμῖν, ἀλλ' ἢ τῷ ὀνόματί σε. 45
Ψαλ. 115. ἐδ. 16. Σὺ διέῤῥηξας τοὺς δεσμούς με. 612
Ψαλ. 117. ἐδ. 13. Ὠσθεὶς ἀνετράπην τοῦ πεσεῖν. 618
14. Ἰσχύς με καὶ ὕμνησίς με ὁ Κύριος. 150
22. Λίθον ὃν ἀπεδοκίμασαν. 398
25. Ὦ Κύριε σῶσον δή. 851
Ψαλ. 118. ἐδ. 105. Λύχνος τοῖς ποσί με ὁ νόμος σε. 6
137. Εὐθεῖς αἱ κρίσεις σε. 44
[illegible]20. ἐδ. 1. Ἦρα τοὺς ὀφθαλμούς με. 13
[illegible]2. Ἑστῶτες ἦσαν οἱ πόδες ἡμῶν. 150, καὶ 842
[illegible]. Εἰ μὴ ὅτι Κύριος ἦν ἐν ἡμῖν. 151
[illegible] Ἄρα ζῶντας ἂν κατέπιον ἡμᾶς. αὐτ.
[illegible] Ἐπὶ τὸν νῶτόν με ἐτέκταινον. 624
[illegible] Ἐκ βαθέων ἐκέκραξά σοι. 135
[illegible] Μνήσθητι Κύριε τοῦ Δαβίδ. 462
[illegible] Ἐξανατελῶ κέρας τῷ Δαβίδ. 621
[illegible] Ἐν ταῖς νυξὶν ἐπάρατε. 841
[illegible]αὶ ὁ Κύριος ἡμῶν παρὰ πάντας. 471
[illegible] Ἐξάγων ἀνέμους. 614
[illegible] Τὰ εἴδωλα τῶν ἐθνῶν. 774
[illegible] Ὦτα ἔχουσι, καὶ οὐκ ἀκούσονται. αὐτ.
[illegible] Ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος. 847
[illegible]. Πεσοῦνται ἐπ' αὐτοὺς ἄνθρακες. 613
[illegible]1. Κύριε ἐκέκραξα πρὸς σέ. 135
[illegible]2. Ἔπαρσις τῶν χειρῶν με. 619, καὶ 842
Ψαλ. 144. ἐδ. 15. Οἱ ὀφθαλμοὶ πάντων. 757, καὶ 841
Ψαλ. 146. ἐδ. 9. Καὶ τοῖς νεοσσοῖς τῶν κοράκων. 757
Ψαλ. 148. ἐδ. 14. Ὑψώσει κέρας. 291

ΠΑΡΟΙΜΙΩΝ.

Κεφ. 1. ἐδ. 3. Κρίμα κατευθύνειν. 619
Κεφ. 3. ἐδ. 9. Τίμα τὸν Κύριον ἀπὸ σῶν. 643
Κεφ. 10. ἐδ. 13. Ῥάβδῳ τύπτει ἄνδρα ἀκάρδιον. 165
Κεφ. 15. ἐδ. 1. Λόγος ἀντιπίπτων. 176
Κεφ. 18. ἐδ. 17. Δίκαιος ἑαυτοῦ κατήγορος. 641
18. Ἀντιλογίας παύει κλῆρος. 90
Κεφ. 21. ἐδ. 11. Ὁ ἄκακος πανεργότερος γίνεται. 809
22. Πόλεις ὀχυρὰς ἐπέβη σοφός. 77
Κεφ. 23. ἐδ. 33. Οἱ ὀφθαλμοί σε ὅταν ἴδωσιν ἀλλοτρίαν. 813
Κεφ. 25. ἐδ. 1. Αὗται αἱ Παροιμίαι. 674
Κεφ. 28. ἐδ. 1. Δίκαιος ὡς λέων πέποιθε. 771

ᾌΣΜΑΤΟΣ.

Κεφ. 2. ἐδ. 5. Στοιβάσατέ με ἐν βίβλοις. 269
15. Πιάσατε ἡμῖν ἀλώπεκας. 217
Κεφ. 4. ἐδ. 16. Ἐξεγέρθητι Βοῤῥᾶ, καὶ ἔρχου νότε. 82
Κεφ. 5. ἐδ. 3. Ἐνιψάμην τοὺς πόδας. 20

ΕΚΚΛΗΣΙΑΣΤΟΥ.

Κεφ. 2. ἐδ. 24. Τοῦ σοφοῦ οἱ ὀφθαλμοὶ αὐτοῦ. 781
Κεφ. 10. ἐδ. 14. Τίς ἀναγγελεῖ τῷ ἀνθρώπῳ; 448
Κεφ. 25. ἐδ. 22. Οὐκ ἔστι κεφαλὴ ὑπὲρ κεφαλήν. 779

ΗΣΑΪΟΥ.

Κεφ. 1. ἐδ. 13. Τὰ σάββατα ὑμῶν μισεῖ ἡ ψυχή με. 121
22. Μητρόπολις πιστὴ Σιών. 81
Κεφ. 3. ἐδ. 14. Αὐτὸς ὁ Κύριος εἰς κρίσιν ἥξει. 70
Κεφ. 5. ἐδ. 2. Ἀντὶ σταφυλῆς ἐποίησεν ἀκάνθας. 183
11. Οὐαὶ οἱ ἐγειρόμενοι τὸ πρωΐ. 214
Κεφ. 6. ἐδ. 6. Καὶ ἀπεστάλη ἓν τῶν Σεραφίμ. 613
Κεφ. 7. ἐδ. 9. Ἐὰν γὰρ μὴ πιστεύσητε, οὐδ' οὐ μὴ συνῆτε. 6
15. Βούτυρον καὶ μέλι φάγεται. 158
Κεφ. 9. ἐδ. 4. Τὴν ῥάβδον τῶν ἀπαιτούντων. 170
Κεφ. 10. ἐδ. 14. Τὰ πάντα καταλήψομαι. 120
22. Ἐὰν γένηται ὁ ἀριθμός. 786
Κεφ. 11. ἐδ. 2. Σοφίας καὶ συνέσεως. 824
3. Φόβου Θεοῦ. αὐτ.
10. Ἔσται ἡ ῥίζα τοῦ Ἰεσσαί. 628
Κεφ. 14. ἐδ. 13. Σὺ δὲ εἶπας ἐν τῇ καρδίᾳ σε. 474
14. Ἔσομαι ὅμοιος τῷ ὑψίστῳ. αὐτ.
Κεφ. 26. ἐδ. 16. Ἐν θλίψει μικρᾷ ἡ παιδεία σε. 119
Κεφ. 32. ἐδ. 16. Ἐν τῷ Καρμήλῳ. 4
Κεφ. 35. ἐδ. 1. Εὐφράνθητι ἔρημος ἡ διψῶσα. 4, καὶ 5
Κεφ. 40. ἐδ. 9. Ἐπ' ὄρος ὑψηλὸν ἀνάβηθι. 13
15. Πάντα τὰ ἔθνη ὡς σταγών. 158
Κεφ. 41. ἐδ. 18. Τὴν ἔρημον εἰς ἕλη. 4
Κεφ. 42. ἐδ. 11. Εὐφράνθητι ἔρημος καὶ αἱ κῶμαι. 4
Κεφ. 43. ἐδ. 2. Ἐὰν γὰρ διέλθῃς διὰ πυρός. 20
26. Λέγε σὺ τὰς ἀνομίας σε. 556
Κεφ. 50. ἐδ. 4. Προσέθηκέ μοι ὠτίον. 626
Κεφ. 52. ἐδ. 7. Ὡς ὡραῖοι οἱ πόδες. 157
13. Ἰδοὺ συνήσει ὁ παῖς με. 6
Κεφ. 53. ἐδ. 4. Τὰς ἀσθενείας ἡμῶν φέρει. 533, καὶ 642
Κεφ. 54. ἐδ. 1. Πολλὰ τὰ τέκνα τῆς ἐρήμε. 5, καὶ 294
Κεφ. 58. ἐδ. 1. Ὕψωσον τὴν φωνήν σε. 35
9. Ἔτι λαλοῦντός σε, ἐρῶ. 920
Κεφ. 63. ἐδ. 1. Τίς οὗτος ὁ παραγενόμενος; 146
Κεφ. 64. ἐδ. 1. Ἐὰν ἀνοίξῃς τὸν οὐρανόν. 36
Κεφ. 66. ἐδ. 1. Οὕτω λέγει Κύριος. 698
2. Ἐπὶ τίνα ἐπιβλέψω; 156

ΙΕΡΕΜΙΟΥ.

Κεφ. 2. ἐδ. 18. Καὶ τῇ γῇ Αἰγύπτε; 653
22. Πῶς ἐστράφης μοι εἰς πικρίαν; 626
27. Πατήρ με εἶ σύ. 841
Κεφ. 3. ἐδ. 1. Ἐὰν ἀπολύσῃ ἀνὴρ τὴν γυναῖκα. 508
11. Ἐδικαίωσεν αὐτὴν ἡ ἀποστροφή. 739
Κεφ. 4. ἐδ. 10. Ὁ ὢν Δέσποτα. 203
22. Σοφοί εἰσι τοῦ κακοποιῆσαι. 561
Κεφ. 6. ἐδ. 7. Πόνοις καὶ μάστιξι. 132
8. Παιδεύθητι Ἱερουσαλήμ. αὐτ.
17. Ἀκούσατε τῆς φωνῆς τῆς σάλπιγγος. 35
Κεφ. 9. ἐδ. 21. Διὰ τῶν θυρίδων ἀνέβη ὁ θάνατος. 546
Κεφ. 15. ἐδ. 1. Ἐὰν στῇ Μωϋσῆς καὶ Σαμουήλ. 226
Κεφ. 22. ἐδ. 24-30. Ζῶ ἐγώ. 958
Κεφ. 25. ἐδ. 11. Ὅτι ἔρημον ἔσαι. 960
Κεφ. 32. ἐδ. 4. Καὶ λαλήσει αὐτῷ. 951, καὶ 953
Κεφ. 38. ἐδ. 17-23. Ἐὰν ἐξέλθῃς πρὸς ἡγεμόνα. 949
Κεφ. 48. ἐδ. 10. Ἐπικατάρατος ὁ ποιῶν. 24

ΘΡΗΝΩΝ.

Κεφ. 1. ἐδ. 1. Ἄρχουσα πρώην. 952

ΙΕΖΕΚΙΗΛ.

Κεφ. 2. ἐδ. 6. Ὁ δὲ δίκαιος ἐν μέσῳ σκορπίων. 79
Κεφ. 12. ἐδ. 13. Οὐκ ὄψεται Βαβυλῶνα. 951, καὶ 952
Κεφ. 16. ἐδ. 20. Καὶ ἔλαβε τοὺς υἱούς σε. 201
22. Οὐκ ἐνεθυμήθης. αὐτ.
46. Ἡ ἀδελφὴ ὑμῶν ἡ πρεσβυτέρα. 739
Κεφ. 17. ἐδ. 3. Ὁ ἀετὸς ὁ μεγαλοπτέρυγος. 5
4. Καὶ ἀπέκνισεν. αὐτ.
Κεφ. 18. ἐδ. 4. Ψυχὴ ἡ ἁμαρτάνεσα. 44
Κεφ. 34. ἐδ. 24. Καὶ Δαβὶδ ὁ βασιλεύς. 628
Κεφ. 37. ἐδ. 24. Δώσω αὐτοῖς Δαβὶδ τὸν βασιλέα. αὐτ.

ΔΑΝΙΗΛ.

Κεφ. 10. ἐδ. 21. Ἄρχων. 33
Κεφ. 12. ἐδ. 2. Ἀναστήσονται οὗτοι εἰς ζωὴν αἰώνιον. 303

ΩΣΗΕ.

Κεφ. 4. ἐδ. 11. Οἶνον καὶ μέθυσμα. 205
Κεφ. 5. ἐδ. 4. Ἡμέρας πολλὰς καθήσονται. 533
Κεφ. 12. ἐδ. 10. Ἐγὼ ὁράσεις ἐπλήθυνα. 806

ΑΜΩΣ.

Κεφ. 7. ἐδ. 7. Ἰδοὺ Ἀμὼς ἀνὴρ ἑστηκὼς ἐπὶ τοίχους. 682
Κεφ. 9. ἐδ. 11. Ἀναστρέψω καὶ ἀνοικοδομήσω. 953

ΜΙΧΑΙΟΥ.

Κεφ. 3. ἐδ. 11. Καὶ οἱ Προφῆται αὐτοῖς. 334
Κεφ. 4. ἐδ. 4. Καὶ ἀναπαύσεται ἕκαστος. 71
Κεφ. 5. ἐδ. 2. Οὐδαμῶς ἐλαχίστη εἶ. 275
Κεφ. 7. ἐδ. 5. Ἀπὸ τῆς συγκοίτου σου φύλαξαι. 226

ΑΓΓΑΙΟΥ.

Κεφ. 2. ἐδ. 10. Καὶ ἔσται ἡ δόξα ἡ ἐσχάτη. 953

ΖΑΧΑΡΙΟΥ.

Κεφ. 1. ἐδ. 11. Περιωδεύσαμεν τὴν γῆν. 807
Κεφ. 9. ἐδ. 16. Λίθοι ἅγιοι κυλίονται. 24
Κεφ. 14. ἐδ. 7. Ἵνα τί ὑμῖν τὴν ἡμέραν Κυρίου ζητεῖν; 63

ΜΑΛΑΧΙΟΥ.

Κεφ. 2. ἐδ. 7. Χείλη ἱερέως φυλάξεται κρίσιν. 158
Κεφ. 4. ἐδ. 2. Τοῖς φοβουμένοις τὸ ὄνομά μου. 80

ΕΣΔΡΑ.

Κεφ. 1. ἐδ. 26-28. Καὶ διεπέμψατο ὁ Βασιλεύς. 943

ΣΟΦΙΑΣ.

Κεφ. 6. ἐδ. 6. Δυνατοὶ δυνατῶς ἐτασθήσονται. 735

ΣΕΙΡΑΧ.

Κεφ. 3. ἐδ. 18. Ταπείνου σεαυτὸν ἔναντι Κυρίου. 96
Κεφ. 27. ἐδ. 11. Ἄφρων ὡς σελήνη ἀλλοιοῦται. 42
Κεφ. 35. ἐδ. 1. Ἡγέμονόν σε κατέστησαν. 96

ΒΑΡΟΥΧ.

Κεφ. 3. ἐδ. 10. Τί ἐστί σοι Ἰσραήλ; 154

ΜΑΤΘΑΙΟΥ.

Κεφ. 1. ἐδ. 1. Βίβλος γενέσεως Ἰησοῦ Χριστοῦ. 628
Κεφ. 2. ἐδ. 2. Ποῦ ἐστὶν ὁ τεχθεὶς Βασιλεύς; 263
Κεφ. 3. ἐδ. 17. Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. 18
Κεφ. 4. ἐδ. 9. Ταῦτα πάντα σοὶ δώσω. 476
10. Καὶ τῷ Θεῷ σου προσκυνήσεις. 475
Κεφ. 5. ἐδ. 2. Μετανοήσατε. ἤγγικε γάρ. 35
13. Ὑμεῖς ἐστὲ τὸ ἅλας τῆς γῆς. 826
18. Ἰῶτα ἓν, ἢ μία κεραία. 6, καὶ 7
19. Πᾶς ὅστις ποιήσει κατὰ μίαν. 6
41. Ἐάν τίς σε ἀγγαρεύσῃ μίλιον ἕν. 408
Κεφ. 6. ἐδ. 21. Ὅπου ὁ θησαυρός. 293
23. Εἰ ἐν τὸ φῶς τὸ ἐν σοὶ σκότος. 621
33. Αἰτεῖτε τὴν βασιλείαν τοῦ Θεοῦ. 669
Κεφ. 7. ἐδ. 2. Ὧ μέτρῳ. 932
5. Ὑποκριτὰ ἔκβαλε πρῶτον. 247
Κεφ. 8. ἐδ. 2. Ἐὰν θέλῃς, δύνασαί με καθαρίσαι. 846
3. Θέλω, καθαρίσθητι. αὐτ.
10. Οὐδὲ ἐν τῷ Ἰσραὴλ τοσαύτην. αὐτ.
19. Ἀκολουθήσω σοι. 217
20. Ὁ υἱὸς τοῦ ἀνθρώπου οὐκ ἔχει. 96, καὶ 217
Κεφ. 9. ἐδ. 37. Ὁ μὲν θερισμὸς πολύς. 26, καὶ 644
38. Δεήθητε οὖν τοῦ Κυρίου. 644
Κεφ. 10. ἐδ. 8. Δωρεὰν ἐλάβετε, δωρεὰν δότε. 848, καὶ 850
10. Ῥάβδον μηδὲ πήραν. 34
41. Ὁ δεχόμενος προφήτην. 765
42. Ποτήριον ψυχροῦ μόνον. αὐτ.
Κεφ. 11. ἐδ. 12. Ἀπὸ δὲ τῶν ἡμερῶν Ἰωάννου. 2
13. Ὁ νόμος καὶ οἱ Προφῆται. αὐτ.
29. Μάθετε ἀπ' ἐμοῦ. 81, 96, καὶ 147
Κεφ. 12. ἐδ. 3. Οὐκ ἀνέγνωτε τί ἐποίησε Δαβίδ. 423
4. Ὡς εἰσῆλθεν εἰς τὸν οἶκον τοῦ Θεοῦ. αὐτ.
Κεφ. 14. ἐδ. 9. Διὰ τοὺς ὅρκους καὶ τοὺς συνανακειμένους. 578
Κεφ. 15. ἐδ. 14. Τυφλοί εἰσιν ὁδηγοὶ τυφλῶν. 517
Κεφ. 16. ἐδ. 16. Σὺ εἶ ὁ Χριστὸς ὁ υἱὸς τοῦ Θεοῦ. 515
17. Οὐχ αἷμα καὶ σάρξ. 615
Κεφ. 17. ἐδ. 5. Οὗτός ἐστιν ὁ υἱός μου ὁ ἀγαπητός. 615
20. Ἐὰν ἔχητε πίστιν. 147
Κεφ. 19. ἐδ. 16. Διδάσκαλε ἀγαθέ. 208
17. Τί με λέγεις ἀγαθόν; 208, καὶ 846
19. Ἀγαπήσεις τὸν πλησίον σου. 418
28. Καθήσεσθε ἐπὶ θρόνους δώδεκα. 75
Κεφ. 21. ἐδ. 31. Οἱ τελῶναι καὶ πόρναι. 14, καὶ 38
43. Ἀρθήσεται ἀφ' ὑμῶν ἡ βασιλεία. 82
Κεφ. 22. ἐδ. 32. Ἐγώ εἰμι Θεὸς Ἀβραάμ. 823, καὶ 825
Κεφ. 23. ἐδ. 37. Ἱερουσαλὴμ, Ἱερουσαλήμ. 498
38. Ἰδοὺ, ἀφίεται ὁ οἶκος ὑμῶν ἔρημος. 264, καὶ 498
Κεφ. 28. ἐδ. 20. Ἰδοὺ ἐγὼ μεθ' ὑμῶν εἰμί. 5

ΜΑΡΚΟΥ.

Κεφ. 2. ἐδ. 25. Οὐδέ ποτε ἀνέγνωτε.
26. Πῶς εἰσῆλθεν εἰς τὸν οἰκ
Κεφ. 12. ἐδ. 26. Ἐγώ εἰμι Θεὸς Ἀβραά

ΛΟΥΚΑ.

Κεφ. 1. ἐδ. 15. Πνεύματος ἁγίου πλη
17. Ἐν πνεύματι καὶ δυ
Κεφ. 3. ἐδ. 16. Ἔρχεται ὁ ἰσχυρότερός
17. Οὗ τὸ πτύον ἐν τῇ χει
Κεφ. 7. ἐδ. 13. Μὴ κλαῖε.
Κεφ. 10. ἐδ. 19. Ἐπάνω ὄφεων καὶ σκορπ
Κεφ. 12. ἐδ. 49. Πῦρ ἦλθον βαλεῖν.
Κεφ. 13. ἐδ. 32. Εἴπατε τῇ ἀλώπεκι ταύτῃ. 217
Κεφ. 14. ἐδ. 11. Ὁ ταπεινῶν ἑαυτὸν, ὑψωθήσεται. 81
Κεφ. 16. ἐδ. 29. Ἔχουσι Μωϋσῆν καὶ τοὺς Προφήτας. 2, καὶ 3
Κεφ. 20. ἐδ. 37. Ἐγώ εἰμι Θεὸς Ἀβραάμ. 823
Κεφ. 23. ἐδ. 34. Πάτερ ἄφες αὐτοῖς. 354, καὶ 453
Κεφ. 24. ἐδ. 5. Τί ζητεῖτε τὸν ζῶντα; 413
6. Οὐκ ἔστιν ὧδε. αὐτ.
32. Οὐχὶ ἡ καρδία ἡμῶν; 622
49. Καθίσατε εἰς Ἱερουσαλήμ. 272

ΙΩΑΝΝΟΥ.

Κεφ. 1. ἐδ. 14. Ὁ λόγος σάρξ. 325
16. Καὶ ἐκ τοῦ πληρώματος αὐτοῦ. 399
29. Ἴδε ὁ ἀμνὸς τοῦ Θεοῦ. 326
49. Σὺ εἶ ὁ υἱὸς τοῦ Θεοῦ. 516
Κεφ. 2. ἐδ. 18. Τί σημεῖον δεικνύεις; 531
19. Λύσατε τὸν ναὸν τοῦτον. αὐτ.
20. Τεσσαράκοντα καὶ ἓξ ἔτεσιν. 679
21. Αὐτὸς δὲ ἔλεγε περὶ τοῦ ναοῦ. 531
22. Καὶ ὅτε ἠγέρθη ἐκ νεκρῶν. αὐτ.
Κεφ. 3. ἐδ. 5. Ἐὰν μή τις ἀναγεννηθῇ. 3
13. Οὐδεὶς ἀναβέβηκεν εἰς τὸν οὐρανόν. 821
Κεφ. 4. ἐδ. 24. Πνεῦμα ὁ Θεός. 783
34. Ἐμὸν ἐστι βρῶμα. 7
35. Ἐπάρατε τοὺς ὀφθαλμοὺς ὑμῶν. 25, 352, καὶ 644
36. Ὁ θερίζων μισθὸν λαμβάνει. 264, 352, καὶ 644
Κεφ. 5. ἐδ. 46. Εἰ ἐπιστεύετε Μωσῇ. 3, καὶ 272

ΠΙΝΑΞ ΤΩΝ ΤΗΣ ΓΡΑΦΗΣ ΡΗΣΕΩΝ.

Κεφ. 7. ἐδ. 11. Ποῦ ἐστὶν ἐκεῖνος. 420
Κεφ. 8. ἐδ. 24. Ἐὰν μὴ πιστεύσητε. 10
46. Τίς ἐξ ὑμῶν ἐλέγχει με; 212
Κεφ. 10. ἐδ. 16. Καὶ ἄλλα πρόβατα ἔχω. 41
Κεφ. 12. ἐδ. 24. Ὁ τοῦ σίτου κόκκος. 264
34. Ἡμεῖς ἠκούσαμεν ἐκ τοῦ νόμου. 532
35. Ἐν ὅσῳ τὸ φῶς ἔχετε. 63
Κεφ. 13. ἐδ. 10. Ὁ λελουμένος οὐ χρείαν ἔχει. 20
Κεφ. 14. ἐδ. 6. Ἐγώ εἰμι ἡ ὁδός. 13, καὶ 622
Κεφ. 17. ἐδ. 5. Πάτερ δόξασόν με. 18
Κεφ. 19. ἐδ. 15. Ἆρον, Ἆρον. 626
19-21. Λύσατε τὸν ναὸν τοῦτον. 697
Κεφ. 20. ἐδ. 22. Λάβετε Πνεῦμα ἅγιον. 339

ΠΡΑΞΕΩΝ.

Κεφ. 1. ἐδ. 1. Ὧν ἤρξατο ποιεῖν τε καὶ διδάσκειν. 6
Κεφ. 2. ἐδ. 22. Πιστεύσατε, καὶ βαπτίσθητε. 27
30. Ὤμοσε τῷ Δαβὶδ ὁ Θεός. 388
Κεφ. 7. ἐδ. 59. Κύριε μὴ στήσῃς αὐτοῖς. 354
Κεφ. 9. ἐδ. 24. Παρετηροῦντο τὰς πύλας. 13
25. Λαβόντες δὲ αὐτὸν οἱ μαθηταί. αὐτ.
Κεφ. 13. ἐδ. 22. Εὗρον Δαβὶδ τὸν τοῦ Ἰεσσαί. 357
Κεφ. 14. ἐδ. 17. Ἤνοιξε τοῖς ἔθνεσι θύραν. 16
Κεφ. 16. ἐδ. 17. Δοῦλοι τοῦ Θεοῦ τοῦ ὑψίστου εἰσί. 404
Κεφ. 17. ἐδ. 30. Τοὺς χρόνους τῆς ἀγνοίας. 10
Κεφ. 20. ἐδ. 26. Διὸ μαρτύρομαι ὑμῖν. 16

ΠΡΟΣ ΡΩΜΑΙΟΥΣ.

1. ἐδ. 26. Παρέδωκεν αὐτοὺς ὁ Θεός. 556
1-6. Ἐν ᾧ γὰρ κατακρίνεις. 248
4. Ὅταν γὰρ ἔθνη τὰ μὴ νόμον ἔχοντα. 707
Καὶ κρινεῖ ἡ ἐκ πίστεως ἀκροβυστία. 606
Περιτομὴ καρδίας. 27
Ὧν τὸ κρῖμα ἔνδικόν ἐστιν. 619
Ἐβασίλευσεν ὁ θάνατος. 413
Ἐν τῷ θνητῷ σώματι. αὐτ.
Ἄρα οὖν ζῶντος τοῦ ἀνδρός. 508, καὶ 601
Ἐγὼ δὲ σαρκικός εἰμι. 790
Νόμος ἁμαρτίας. 917
Τὸ γὰρ τῆς σαρκὸς φρόνημα. 619
Τὸ Πνεῦμα συμμαρτυρεῖ. 824
Ὅς ἐστιν ἐν δεξιᾷ τοῦ Θεοῦ. 807
Ἐὰν γένηται ὁ ἀριθμός. 786
Τέλος γὰρ νόμου Χριστός. 2
2. Οὐκ ἀνέγνωτε ἐν Ἡλίᾳ. 784
4. Κατέλιπον ἐμαυτῷ. 785, καὶ 786
24. Ἀγριέλαιον. 41
Κεφ. 12. ἐδ. 11. Πνεύματι ζέοντες. 622
17. Προνοούμενοι καλά. 287
20. Ἐὰν πεινᾷ ὁ ἐχθρός σου. 613
Κεφ. 13. ἐδ. 13. Μὴ κώμοις καὶ μέθαις. 7
Κεφ. 14. ἐδ. 9. Χριστὸς ἀπέθανε καὶ ἀνέστη. 268
17. Οὐ γάρ ἐστιν ἡ βασιλεία τῶν οὐρανῶν. 7
Κεφ. 15. ἐδ. 8. Λέγω δὲ Ἰησοῦν Χριστὸν διάκονον. 2

ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Α.

Κεφ. 1. ἐδ. 27. Τὰ μωρὰ τοῦ κόσμου ἐξελέξατο ὁ Θεός. 561
30. Ὃς ἐγενήθη ἡμῖν σοφία. 75
Κεφ. 2. ἐδ. 11. Οὐδεὶς οἶδεν ἀνθρώπων. 824
16. Ἡμεῖς δὲ νοῦν Χριστοῦ ἔχομεν. 688
Κεφ. 3. ἐδ. 10. Ἐγὼ ὡς σοφὸς ἀρχιτέκτων. 20
12. Ξύλα, χόρτον, καλάμην. 613
18. Εἴ τις ἐστὶν ἐν ὑμῖν σοφός. 43
19. Ἡ γὰρ σοφία τοῦ κόσμου τούτου. αὐτ.
Κεφ. 5. ἐδ. 7. Τὸ γὰρ πάσχα ἡμῶν. 32
13. Ἐξάρατε τὸν πονηρὸν ἐξ ὑμῶν. 49
Κεφ. 6. ἐδ. 9. Μὴ πλανᾶσθε, οὔτε πόρνοι. 15
10. Οὔτε πλεονέκται. αὐτ.
11. Καὶ ταῦτά τινες ἦτε. αὐτ.
Κεφ. 10. ἐδ. 4. Ἔπινον ἐκ πνευματικῆς. 28, 164, καὶ 823
11. Ταῦτα δὲ πάντα τύποι. 1, καὶ 841
Κεφ. 12. ἐδ. 7. Ὑμεῖς ἐστὲ σῶμα Χριστοῦ. 228
Κεφ. 13. ἐδ. 5. Ἡ ἀγάπη οὐκ ἀσχημονεῖ. 421
Κεφ. 14. ἐδ. 40. Πάντα εὐσχημόνως γινέσθω. 7
Κεφ. 15. ἐδ. 15. Δεῖ γὰρ αὐτὸν βασιλεύειν. 72
57. Χάρις δὲ τῷ Θεῷ. 121

ΠΡΟΣ ΚΟΡΙΝΘΙΟΥΣ Β.

Κεφ. 1. ἐδ. 9. Ἵνα μὴ ὦμεν ἐφ' ἑαυτοῖς πεποιθότες. 296
Κεφ. 3. ἐδ. 15. Ἡνίκα ἀναγινώσκεται Μωϋσῆς. 2
Κεφ. 4. ἐδ. 4. Ὁ Θεὸς τοῦ αἰῶνος τούτου. 633
Κεφ. 5. ἐδ. 5. Τῷ Σατανᾷ εἰς ὄλεθρον τῆς σαρκός. 217
7. Διὰ πίστεως γὰρ περιπατοῦμεν. 383
Κεφ. 6. ἐδ. 11. Ἡ ἐμὴ καρδία πεπλάτυνται. 9
12. Μὴ στενοχωρεῖσθε. αὐτ.
16. Ναὸς Θεοῦ ὑμεῖς ἐστέ. 813
Κεφ. 8. ἐδ. 13. Τὸ ὑμῶν περίσσευμα. 75
14. Ἵνα καὶ τὸ αὐτῶν περίσσευμα. αὐτ.
Κεφ. 9. ἐδ. 7. Μὴ ἐκ λύπης ἢ ἀνάγκης. 765
Κεφ. 10. ἐδ. 4. Τὰ γὰρ ὅπλα ἡμῶν οὐ σαρκικά. 36
5. Κατὰ τῆς γνώσεως τοῦ Θεοῦ. 77, καὶ 150
Κεφ. 11. ἐδ. 2. Παρθένον ἁγνήν. 9
14. Ὁ Σατανᾶς μετασχηματίζεται. 473
33. Διὰ τῆς θυρίδος ἐν σαργάνῃ. 13
Κεφ. 12. ἐδ. 7. Ἐδόθη μοι σκόλοψ τῇ σαρκί. 383

ΠΡΟΣ ΓΑΛΑΤΑΣ.

Κεφ. 3. ἐδ. 13. Γενόμενος ὑπὲρ ἡμῶν κατάρα. 642
28. Ἐν Χριστῷ Ἰησοῦ οὐκ ἔνι ἄρσεν καὶ θῆλυ. 142
Κεφ. 4. ἐδ. 4. Ὅτε δὲ ἦλθε τὸ πλήρωμα τοῦ χρόνου. 3
5. Ἵνα τοὺς ὑπὸ νόμον ἐξαγοράσῃ. 6
8. Ἀλλὰ τότε μὲν οὐκ εἰδότες τὸν Θεόν. 15
22. Ἀβραὰμ δύο υἱοὺς ἔσχε. 1
23. Ἀλλ' ὁ μὲν ἐκ τῆς παιδίσκης. αὐτ.
24. Ἅτινά ἐστιν ἀλληγορούμενα. αὐτ.
Κεφ. 5. ἐδ. 10. Ἐγὼ πέποιθα εἰς ὑμᾶς. 443

ΠΡΟΣ ΕΦΕΣΙΟΥΣ.

Κεφ. 1. ἐδ. 11. Ἐν ᾧ ἐκληρώθημεν. 9
12. Εἰς τὸ εἶναι ἡμᾶς εἰς ἔπαινον. αὐτ.
Κεφ. 2. ἐδ. 14. Αὐτὸς ἐστιν ἡ εἰρήνη ἡμῶν. 165, καὶ 646
20. Οἰκοδομηθέντες ἐπὶ τῷ θεμελίῳ. 20
Κεφ. 4. ἐδ. 14. Τὰ τοῦ νηπίου καταργήσαντες. 9, καὶ 614
Κεφ. 5. ἐδ. 8. Ἦτε γάρ ποτε σκότος. 15, καὶ 533
Κεφ. 6. ἐδ. 10. Ἐνδυναμοῦσθε ἐν Κυρίῳ. 62
11. Ἐνδύσασθε τὴν πανοπλίαν τοῦ Θεοῦ. 63
12. Οὐ πρὸς αἷμα καὶ σάρκα. 36, 63, καὶ 147

ΠΡΟΣ ΦΙΛΙΠΠΗΣΙΟΥΣ.

Κεφ. 2. ἐδ. 6. Ἐν μορφῇ Θεοῦ ὑπάρχων. 614, καὶ 841
7. Μορφὴν δούλου λαβών. 614
8. Ὑπήκοος μέχρι θανάτου. 193, καὶ 614
9. Διὸ καὶ ὁ Θεὸς αὐτὸν ὑπερύψωσεν. 18
10. Ἵνα ἐν τῷ ὀνόματι Ἰησοῦ. αὐτ.
11. Καὶ πᾶσα γλῶσσα ἐξομολογήσηται. 19
14. Πάντα ποιεῖτε χωρὶς γογγυσμοῦ. 62
Κεφ. 4. ἐδ. 2. Μετὰ Κλήμεντος καὶ τῶν λοιπῶν. 199
13. Πάντα ἰσχύω ἐν τῷ ἐνδυναμοῦντι. 24, καὶ 150
16. Δὶς εἰς τὴν χρείαν μοι ἐπέμψατε. 334

ΠΡΟΣ ΚΟΛΑΣΣΑΕΙΣ.

Κεφ. 1. ἐδ. 12. Εὐχαριστοῦντες τῷ πατρί. 90
Κεφ. 2. ἐδ. 9. Τὸ πλήρωμα τῆς Θεότητος. 841
11. Ἀχειροποιήτῳ περιτομῇ. 27, καὶ 29
15. Τὰς ἀρχὰς καὶ ἐξουσίας. 533

ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Α.

Κεφ. 2. ἐδ. 7. Ὡς ἂν τροφὸς θάλπῃ. 276
Κεφ. 4. ἐδ. 16. Αὐτὸς ὁ Κύριος ἐν κελεύσματι. 37
17. Ἁρπαγησόμεθα ἐν νεφέλαις. 20

ΠΙΝΑΞ ΤΩΝ ΤΗΣ ΓΡΑΦΗΣ ΡΗΣΕΩΝ.

ΠΡΟΣ ΘΕΣΣΑΛΟΝΙΚΕΙΣ Β.

Κεφ. 2. ἐδ. 3. Ὁ ἄνθρωπος τῆς ἁμαρτίας. 212
4. Ὁ ἀντικείμενος ϗ ὑπεραιρόμενος. 120, ϗ 212
11. Πέμψει ὁ Θεὸς ἐνέργειαν πλάνης. 806

ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Α.

Κεφ. 1. ἐδ. 9. Δικαίῳ νόμος ἐ κεῖται. 260, καὶ 772

ΠΡΟΣ ΤΙΜΟΘΕΟΝ Β.

Κεφ. 1. ἐδ. 7. Οὐ γὰρ ἔδωκεν ἡμῖν. 920
Κεφ. 2. ἐδ. 2. Ἃ ἤκουσας παρ' ἐμοῦ. 16

ΠΡΟΣ ΤΙΤΟΝ.

Κεφ. 3. ἐδ. 3. Ἦμεν γάρ ποτε καὶ ἡμεῖς. 11, καὶ 14

ΠΡΟΣ ΕΒΡΑΙΟΥΣ.

Κεφ. 1. ἐδ. 5. Ἐγὼ ἔσομαι αὐτῷ εἰς πατέρα. 532, ϗ 533
Κεφ. 2. ἐδ. 8. Οὔπω αὐτῷ ὁρῶμεν. 72
Κεφ. 3. ἐδ. 6. Χριστὸς ὡς υἱὸς ἐπὶ τὸν οἶκον αὐτοῦ. 531
Κεφ. 4. ἐδ. 12. Ὑπὲρ πᾶσαν μάχαιραν. 27, 28, ϗ 645
14. Ἔχοντες ἀρχιερέα. 304
15. Οὐ γὰρ ἔχομεν ἀρχιερέα. 304, καὶ 619
Κεφ. 5. ἐδ. 15. Τὰ αἰσθητήρια γεγυμνασμένα. 782
Κεφ. 6. ἐδ. 20. Ὅπου πρόδρομος ὑπὲρ ἡμῶν. 772
Κεφ. 7. ἐδ. 14. Πρόδηλον γὰρ ὡς ἐξ Ἰούδα. 79
19. Οὐδὲν ἐτελείωσεν ὁ νόμος. 279
Κεφ. 11. ἐδ. 31. Πίστει Ῥαὰβ ἡ πόρνη. 13
32. Ἐπιλείψει γάρ με διηγούμενον. 118
33. Οἳ διὰ πίστεως κατηγωνίσαντο. αὐτ.
40. Τοῦ Θεοῦ κρεῖττόν τι περὶ ἡμῶν. 8
Κεφ. 12. ἐδ. 12. Διὸ τὰς παρειμένας χεῖρας. 525
Κεφ. 13. ἐδ. 4. Τίμιος ὁ γάμος. 553
14. Οὐκ ἔχομεν ὧδε μένουσαν πόλιν. 147
Κεφ. 18. ἐδ. 22. Σιὼν ὄρει, καὶ πόλει Θεοῦ ζῶντος. 90

ΠΕΤΡΟΥ Α.

Κεφ. 2. ἐδ. 5. Ὡς λίθοι ζῶντες. 24, καὶ 697
Κεφ. 3. ἐδ. 19. Τοῖς ἐν φυλακῇ πνεύμασι πορευθείς. 229
20. Ὅτε ἀπεξεδέχετο. αὐτ.
Κεφ. 5. ἐδ. 6. Ταπεινώθητε οὖν. 81

ΠΕΤΡΟΥ Β.

Κεφ. 2. ἐδ. 4. Εἰ γὰρ ὁ Θεὸς Ἀγγέλων ἁμαρτησάντων. 62

ΙΩΑΝΝΟΥ Α.

Κεφ. 2. ἐδ. 16. Ὅτι πᾶν τὸ ἐν τῷ κόσμῳ. 917

ΙΑΚΩΒΟΥ.

Κεφ. 1. ἐδ. 27. Καὶ χήρας ἐν τῇ θλίψει αὐτῶν. 760

ΤΕΛΟΣ.



Ο ΤΩΝ



Ο ΤΩΝ

ΑΞΙΟΜΝΗΜΟΝΕΥΤΩΝ ΠΙΝΑΞ.



Ἀαρὼν ἐκ τῆς βασιλικῆς φυλῆς γυναῖκα ἔγημε. σελ. 240. α. Τὸ γένος αὐτοῦ μόνον ἱερατεύειν διηγορεύεται. 239. α.
Ἀβδιοὺ τῶν ἄγαν εὐσεβῶν. 770. ζ.
Ἀβεννὴρ δραστήριος καὶ ἀγαθός. 501. ζ. Ἀνδρεῖος καὶ ἴσος. 511. α.
Ἀβεσσαλὼμ δίκας εἰσπραξάμενος. 403. ζ. καὶ 641. η. Διατὶ ταῖς τοῦ πατρὸς παλλακαῖς ἐμίγη. 507. β. Αὐθάδης καὶ θρασύς. 565. δ. Ἡ μήτηρ αὐτοῦ τίνος θυγάτηρ. 568. α. κακοῦργος. 573. ζ. Τὴν τοῦ πατρὸς αὐτοῦ σφαγὴν ἐμελέτησεν. 574. γ. Αὐτοῦ τε καὶ τῶν [illegible] θεάτροις θηρίων παράθεσις. 590. δ. Διατὶ μέ[illegible] καὶ γῆς ἐκρεμάσθη. αὐτ. ζ, η.
[illegible]ώνυμος. 423. ζ, καὶ 424. ε.
[illegible] Ἰσαὰκ προσάγων, πίστεως παράδειγμα. [illegible]τὶ τὸν υἱὸν αὐτοῦ ἱερεῦσαι προσετάγη; [illegible]ὰ τὴν αὐτοῦ ὑπόληψιν τοὺς ὀφθέντας [illegible] Ἀγγέλους ὠνόμασε. 471. γ. Τὸ σπέρ[illegible] Χαναναίων εὐλογίας ἐδεήθη. 606. γ.
[illegible]εδρεύει δαιμονικὴ δύναμις. 314. ζ.
[illegible]τἰ ἐστιν αἰσχύνη. 421. ε. Τί τὸ θαυμα[illegible]τ. δ. Ἡ τῶν γυναικῶν πάσης τυραννίδος [illegible]. 500. δ.
[illegible] τῶν ἐθνῶν καὶ τῆς ψυχῆς ἑκάστου ἐπιμέ[illegible]το. 90. δ. Εὔνοες περὶ τὸν Θεόν. 208. γ. [illegible]αν αὐτοῖς ἐπιτελεῖν. αὐτ. ε.
Ἀγ[illegible] ὁ τῷ Ναυῇ φανεὶς τίνα ἐνέφαινε, καὶ τίς ἦν. 33. δ. Διατὶ ἐν τῇ δρυῒ παραγέγονεν. 162. δ. Ἱερέως χρείαν ἐπλήρωσεν. 165. α.
Ἄγγελος ὁ τῆς Ἐκκλησίας προεστηκὼς ἐρωτᾶται περὶ αὐτῆς. 265. α.
Ἄγγελος οὐ δεῖται ἐν τοῖς ἔργοις χρόνου. 639. γ.
Ἅγιοι λίθοι λεγόμενοι. 24. ε. Οὐ λατρεύουσι τῇ κτίσει. 34. α. Κηρύττουσιν ἁμαρτιῶν ἄφεσιν. 35. δ. καὶ 37. β. Ἐπευφραίνονται διηγούμενοι τὰ τοῦ Θεοῦ μεγαλεῖα. 40. α. Τίς οὐ μίγνυται αὐτοῖς. αὐτ. ε. Διατὶ ἐν αὐτοῖς ἡ φύσις ἀναλλοίωτος. 60. δ. Ὁποίοις παρεδίδοντο ἄρχουσι. 66. γ. Διδόασι δύναμιν. 150. ε. Ἡ ἐκλογὴ αὐτῶν παρὰ τίνος σημαίνεται. 162. ε. Εἰς τὸν μέλλοντα αἰῶνα ἀπόκειται αὐτοῖς ἡ ἐπαγγελία. 231. α. Ἡ συμφωνία αὐτῶν ἀγαθῶν πρόξενος. 268. γ. Καὶ τιμὴ καὶ γέρας αὐτοῖς ἀπονέμεται. 303. β. Σφαλερώτατον τὸ μὴ τιμᾶν αὐτούς. 330. δ. Πότε τὰ ἑαυτῶν λέγουσι κατορθώματα. 351. ε. Διατὶ οὐ πάντα αὐτοῖς ἀποκαλύπτεται. 383. γ. Ὁ κολλώμενος αὐτοῖς ἅγιος. 416. β. Διατὶ πρὶν ἢ πεσεῖν ἀνίστανται. 440. δ. Τῆς φωνῆς αὐτῶν ὁποία ἡ δύναμις. 446. γ, δ. Διατὶ ἐγκαταλείπονται. 453. ε. Ἐλάφοις ἀπεικάζονται. 623. δ. Τοὺς βίους αὐτῶν τίνος ἕνεκα ἀνέγραψε τὸ πνεῦμα τὸ ἅγιον. 786. δ. Θεὸς αὐτοὺς ἐκδικεῖ. 828. δ, ε.
Ἅγιον τὸ ἀφωρισμένον. 226. α.
Ἅγιος ἰσχύει ἐν παλαιοῖς καὶ καινοῖς μυστηρίοις. 77. α. Ἰσχύει ἐν τῷ παλαιῷ ϗ καινῷ νόμῳ. αὐτ. Μέγα ἐφόδιον. 144. ζ. Ὡς ἅγια νομίζει καὶ τὰ βιωτικώτερα. 227. α. Τεῖχος ἀδαμάντινον. 682. ε.
Ἀγχιστεία τί. 274. γ, δ.
Ἀγχιστεὺς τίς. 270. β.
Ἀγχὼ τίς. 129. δ.
Ἀγὼν ὁ πρὸς τοὺς πολεμίους πότε. 33. ε.
Ἀδὰμ διατὶ τὴν κεφαλὴν τοῦ ὄφεως τηρεῖν προσετάχθη. 42. δ. Εἰς γυμνασίαν τοῦ λογικοῦ αὐτῷ ἡ ἐντολὴ δέδοται. 133. ζ. Γυμνὸς καὶ φυγάς. 270. α.
Ἀδελφοῖς πολεμεῖν μεταμέλον ἔχει. 505. β.
Ἀδραμέλεχ ὁ Αἰθίοψ ποῦ κατῴκει. 906. γ.
Ἀδωνίας διατὶ ἀνῄρηται. 507. β. Διώνυμος. 440. β. καὶ 650. α. Εὐειδής. αὐτ. β.
Ἀδωνιβεζὲκ τί σημαίνει. 120. ε.
Ἄθεοι οὐδὲν καταλιμπάνουσιν ἀνύβριστον. 373. α.
Ἀθυμία θανάτου φοβερωτέρα. 780. η.
Αἰγὸς χρήσεις ἱεραί. 413. ε, ζ.
Αἰγύπτιοι παρὰ πᾶσι σοφοὶ δοκοῦντες. 663. γ.
Αἰθὰμ πότε ἤκμασε. 673. ζ. Ψαλμῳδός. αὐτ. Τίνες αὐτῷ πρόγονοι. 674. α.
Αἰλὰμ τί σημαίνει. 680. ζ, καὶ 694. γ.
Αἰλὼμ ποία. 895. γ.
Αἰμὰν πότε ἤκμασε. 673. ζ. Ψαλμῳδός. αὐτ. Τίνος παῖς. 674. α.
Αἵμασιν ἀνθρώπων τίνες ἐπιτέρπονται. 774. γ.
Αἵματος καὶ σώματος δεσποτικοῦ οὐ μόνον οἱ ἱερεῖς μεταλαμβάνουσι. 426. ζ. Κοινῇ πάντες οἱ πιστοὶ μετέχουσιν. αὐτ. ζ.
Αἰνέσεις τίνων ἐκ εὐπρόσδεκτοι. 303. δ.
Αἱρέσεων ἄρξαντες ὁποῖοι. 47. α. Οἱ τὰ δόγματα αὐτῶν θρησκεύοντες τίνος προσηγορίας ἄξιοι. 72. γ.
Αἱρετικοὶ οἱ γελῶντες τὴν ἐν θριξὶ χάριν ἐλέγχονται. 226. γ. Τοὺς ἁπλουστέρους ἀπατᾶν ἐπιχειροῦσι. 270. ε. Οἱ λέγοντες, ὅτι ὁ υἱὸς τοῦ Θεοῦ εὔχεται ἐλέγχονται. 755. β.
Αἴσθησις κατὰ τί σκότος. 621. ζ. Ὁ δουλεύων αὐτῇ οὐκ ἔρχεται πρὸς τὴν τοῦ ὄντος κατάληψιν. 344. γ, δ, κτ.
Αἰχμαλωσίας Ἰουδαίων τῆς Βαβυλωνικῆς ὁποῖον τὸ αἴτιον. 41. ε.
Ἀκραβὶμ τί σημαίνει. 79. β. Τίνος ὅριον. 130. δ.
Ἀκτημοσύνη τί. 822. γ.
Ἅλες οὐδὲν φύσει. 188. β.
Ἀλήθεια οὐκ ἐν ἀκαθάρτοις πνεύμασιν. 479. β. Ἔστιν ὅτε κατηγορουμένη. 578. ε.
Ἀλωπέκων μερίδες τίνες. 217. δ.
Ἀμαλὴκ διατὶ ἀνεθεματίσθη. 377. ζ.
Ἁμαρτάνειν τίνων. 445. δ.
Ἁμαρτήματα δημοσιευόμενα ἀναισχύντους ποιεῖ. 551. β. Ἐν ταῖς ἀκμαῖς αὐτῶν ἡ ψυχὴ τυφλώττει. 558. γ.
Ἁμαρτήσαντας ἐλπίζειν δεῖ σωτηρίας. 779. γ.

Ἁμαρτία

Ἁμαρτία λύμη. 45. α. Ἀτιμοποιός. 303. β. Διαφόρως παρ᾽ ἡμῶν θεωρουμένη. 549. ζ. Μετὰ τὴν τελευτὴν ἀνίατος. 594. η. Ἄλλως ἐν ἑαυτοῖς καὶ ἄλλως ἐν ἑτέροις αὐτὴν ὁρῶμεν. 801. ε.
Ἁμαρτίας μιᾶς διατὶ μεγάλη ἡ εἴσπραξις. 44. ζ, η, κτ. Τὸ πένθος αὐτὴν ἐξαλείφει. 792. ζ.
Ἁμαρτιῶν τινὲς ἀνίατοι, τινὲς ταχέως παραμυθούμεναι. 300. ζ.
Ἁμαρτωλῷ πολεμεῖ πᾶσα κτίσις. 20. α. Νὺξ αὐτῷ ὁ μέλλων αἰών. 63. β.
Ἁμαρτωλῶν ἄνεσις κατὰ ἐγκατάλειψιν. 5. ε.
Ἀματταρὶ ἑρμηνεύεται κατὰ διαφόρους διαλέκτους. 418. ε, ζ. καὶ 419. α.
Ἀμέλεια ἀπωλείας παραίτιον. 739. ε. Πτώσεως πρόξενος. 952. δ.
Ἀμεσοὰθ τὶ δηλοῖ. 940. ε.
Ἀμοῤῥαῖος τὶ σημαίνει. 95. δ.
Ἄμπελος τίνος τύπος. 918. α.
Ἀμώμους τὶ τὸ φυλάττον. 619. ε.
Ἀνάγκη τοὺς θρασεῖς ἐπιεικεῖς ἀπεργάζεται. 830. δ.
Ἀνὰθ τὶ δηλοῖ. 147. ε.
Ἀνάθεμα τί. 39. γ. Τὶ σημαίνει. αὐτ. ζ.
Ἀναξαγόρας θεολογίαν καὶ φυσιολογίαν παρὰ τίνων ἔμαθε. 663. γ.
Ἀναρχία λυμαίνεται. 128. ε. Ἐπιβλαβής. 233. α.
Ἀνάστασις νεκρῶν προμηνυομένη. 736. α.
Ἀνδρῶν καὶ Γυναικῶν μία φύσις. 142. γ.
Ἄνθρακες παρὰ τῇ Γραφῇ τὶ σημαίνουσι. 613. γ.
Ἄνθρωποι ὁποῖοι περὶ τὰς ἀποφάσεις. 553. δ.
Ἄνθρωπος λίθου ἀναισθητότερος. 729. δ. Ὁ τοῦ Θεοῦ τίς. 736. β. Οὐδεὶς καθαρὸς ἀπὸ ἁμαρτίας, καὶ οὐδεὶς ὁ μὴ ποιήσας μικρὸν ἀγαθόν. 792. β.
Ἀνθρώπων υἱοὺς τίνας ἡ Γραφὴ καλεῖ. 819. γ, δ. Αἱ καταστάσεις καὶ ἕξεις αὐτῶν διάφοροι. 952. γ.
Ἄννα ἡ τοῦ Σαμουὴλ μήτηρ τῇ προσευχῇ τὴν μήτραν θεραπεύσασα. 280. γ. Διατὶ ἡ αὐτῆς μήτρα ἀπεκλείσθη. 281. β. Μῆκος χρόνου τὴν αὐτῆς φιλοσοφίαν οὐκ ἤλεγξεν. αὐτ. δ. Διατὶ ἐζήτει παιδίον. αὐτ. ζ. καὶ 283. δ. Εὐχῆς καιρὸν ἐποίει τὸν τῆς ἀνέσεως. αὐτ. η. Χήρα ἀπροστατεύτῳ καὶ τοῖς γράφουσι δεήσεις τοῖς βασιλεῦσι παραβάλλεται. 282. α, καὶ 283. β. Διατὶ τὰ τῆς προσευχῆς αὐτῆς ῥήματα εἰς τὴν ἑλλάδα φωνὴν οὐ μετηνέχθη. 283. α. Τίνος χάριν μέχρι τῆς σήμερον ἡ δέησις αὐτῆς ἔμεινεν. αὐτ. γ. Καρτερικὴ ἐν ταῖς εὐχαῖς καὶ γρηγοροῦσα τῇ διανοίᾳ. 284. β. Διατὶ εἰσηκούσθη. 285. γ. Πόθεν τὰ ῥήματα τῆς προσευχῆς αὐτῆς ἱστόρηται. αὐτ. δ. Πόθεν τὴν φιλοσοφίαν αὐτῆς ἔστιν ἰδεῖν. αὐτ. η. Διατὶ τὸν Θεὸν εἰς εὔνοιαν ἐπεσπάσατο. 286. γ. Τὸν ἀποστολικὸν ἐπλήρου νόμον. 287. ζ. Συνήγορον εἰργάσατο τὸν κατήγορον. 288. β. Μετριότητα ἠθῶν θαυμαστὴν ἔχεν. αὐτ. γ. Μετὰ πολλῆς ηὔξατο τῆς σφοδρότητος. αὐτ. ε. Τοὔνομα αὐτῆς τὶ σημαίνει. 289. γ, καὶ 294. β. Μιμητὴς τοῦ Ἀβραάμ. 290. η. Καὶ ἑαυτὴν μετὰ τοῦ παιδὸς ἀνετίθη. 292. α. Ἐλάλησε κατὰ τὴν τοῦ δόγματος ἀκρίβειαν. 296. ε. Ἀξιάγαστος ἡ αὐτῆς ὑμνῳδία. αὐτ. Προφητεύει μετὰ τὸν τόκον. αὐτ. ζ.
Ἀνταποδόσεως μελλούσης λογισμὸς ἀπείργει ἐπικινδύνου θεωρίας. 813. γ.
Ἀντιλίβανος τὶ σημαίνει. 5. β.
Ἀπαιδία ταῖς γυναιξὶν ἀφόρητον. 280. ε.
Ἀπάτη τίνος καρπός. 57. β.
Ἀπειθῶν παιδεία ὁποία. 48. α.
Ἀποκαλύπτεται τὰ ἐσόμενα οὐχ ὅτε καὶ οἷς οὐ χρή. 479. β.
Ἀπόστολοι τίνων ἐκράτησαν τόπων. 4. δ. Διὰ τίνος αἰωνίων ἀγαθῶν τὴν Ἐκκλησίαν ἠξίωσαν. 14. ζ. Θεμέλιον ἱερέων καὶ ἀρχόντων. 20. γ. Τύπος αὐτῶν τίς. αὐτ. δ. καὶ 21. ζ. Τὴν πνευματικὴν προσήγαγον περιτομήν. 27. ε. Ἄρχοντες τίνος. 75. β. Διατὶ μόνον τοὺς πόδας αὐτῶν ἔνιψεν ὁ Κύριος. 156. ζ. Καταλύσαντες τοῦ Διαβόλου τὸν πόλεμον, εἰρήνην ἐβράβευσαν. 157. α. Τοῖς τοῦ Γεδεὼν παραβάλλονται στρατιώταις. 170. γ, ε. Ἐπὶ δώδεκα θρόνους καθεσθῆναι μέλλουσι. 295. ζ, καὶ 296. α. Χριστοί. 304. ε. Τὴν οἰκουμένην εἰς θεογνωσίαν ἐπέστρεψαν. 924. β.
Ἀποτομία πότε τῆς μακροθυμίας χρησιμωτέρα. 826. ζ.
Ἀπφουσὼθ τὶ σημαίνει. 897. (1)
Ἄραβες ἀνατολικώτεροι. 161. δ.
Ἀραβία ἡ πετραία πόθεν ὠνομάσθη. 893. (3)
Ἀραβικὸς κόλπος τίς. 895. δ.
Ἀρὰδ τίνων πόλις, καὶ ποῦ κεῖται. 124. δ.
Ἀραφὼθ τὶ σημαίνει. 586. δ.
Ἀργύριον τίνος τύπος. 39. ε, καὶ 46. ζ.
Ἀρετὴ ἡ τῆς ψυχῆς λαμπρὸν ποιεῖ. 420. ζ. Περιφανεστέρα προγονικῆς εὐγενείας. 606. δ. Διασυρομένη οὐ ζηλοῦται. 827. γ. Βασιλείας ἐπιγείου ἰσχυροτέρα. 831. β. ἡ τῶν τετελευτηκότων σώζει τοὺς ζῶντας. 924. η. Χρῆμα θεῖον. 925. γ.
Ἀρετὴν τὰ περιέχοντα βέβαια. 172. δ. Τὴν καλουμένην πολιτικὴν ἀσκοῦσι τινές. 660. β.
Ἀρετῆς ἡ ὁδὸς τίνι δύσβατος. 287. β. Τὰ διαβήματα ἐν τῇ ἀρχῇ ἐπίπονα. 624. α. Ἡ ἕξις πότε ἐπιγίνεται. 758. ε.
Ἀριθμὸς ὁ ἕβδομος τελειότητος σύμβολον. 38. α. Τοῦ πλήθους δηλωτικός. 294. β.
Ἀριστοκρατία θείους τοὺς αὐτῇ χρωμένους ποιεῖ. 329. [...]
Ἀριὼθ τί. 842. ζ.
Ἀῤῥωστία σώματος τί. 813. β. Ἡ τῆς [...] λεπωτάτη. αὐτ. ζ. Τὰ αὐτῆς ἀποτελέ[...]
Ἀρτεμίσιον Ἑβραῖοι πῶς καλοῦσι. 67[...]
Ἄρτοι οἱ τῆς προθέσεως τὶ ἐσήμαινον. [...]
Ἄρτος καρδίας στήριγμα. 148. β. [...] τατος. αὐτ. Ὁ τοῦ πυρίνου προτιμώ[...] χειλῶν καὶ ἀνόητος. αὐτ. γ, δ.
Ἀρχῆς ἕνεκα πολλὰ τολμῶσιν οἱ ἄνθ[...]
Ἀρχιερεῖς οἱ ἐν νόμῳ ἐκ τίνος πατριᾶς[...]
Ἀρχιερέως ψυχὴ περιέχει ὅσα καὶ ἡ[...]
Ἄρχοντας φροντίζειν δεῖ τῆς τῶν ὑπ[...] 96. γ.
Ἄρχοντος ὑπερηφανευομένου ἐλαττοῦτ[...] 640. α.
Ἄρχων ὁ εὐσεβὴς ὀνίνησι. 115. δ, καὶ 128. ε. Ὁποῖον δεῖ αὐτὸν εἶναι. 641. ζ.
Ἀσαὴλ ἵππον νικήσας τῇ ὠκύτητι. 504. α. Τοῖς ὀξυτάτοις ἐν τοῖς ποσὶν ἡμιλλᾶτο ζώοις. αὐτ. γ.
Ἀσδὼδ τίς. 68. ζ.
Ἀσσύριοι πάσης Ἀσίας ἦρχον. 135. γ.
Ἀστάρτη ἡ Ἀφροδίτη. 490. ε.
Ἀσταρὼθ τὶ δηλοῖ. 908. α, καὶ 939. β.
Ἀσὼρ τὶ σημαίνει. 65. γ. Τῶν ἄλλων βασιλειῶν προκαθεζομένη. 000
Αὐξουμῖται τίνας ἔχουσι κατάντικρυ. 707. ε.
Ἀφροδίτη πόθεν ὠνομάσθη Ἀστάρτη. 324. ε. Θεὸς Σιδωνίων. 754. α.
Ἀφφὼ τὶ δηλοῖ. 822. η, καὶ 823. α.
Ἀχαὰβ διατὶ πνεῦμα ψευδὲς ἐπέμφθη. 472. ε. Κοῦφος. 789. γ. Τὸν τοῦ Θεοῦ ἐπεσπάσατο ἔλεον. 792. α. Πόθεν τὰ πλεῖστα ἐξήμαρτε. 802. ζ. Τίνι χαριζόμενος ναὸν τῷ Βάαλ κατεσκεύασεν. 878. δ.
Ἄχαζ τὸν ἴδιον υἱὸν ὡλοκαύτωσε. 902. δ, ζ. Διὰ πυρᾶς ἀποτροπιασμοὺς ἐποίει. 903. α. Τίνι ἐπέταξεν οἰκοδομηθῆναι τὸ θυσιαστήριον. 904. β.
Ἄχαρ διατὶ πανοικεὶ ἐτιμωρήθη. 47. δ, καὶ 48. β. Διατὶ λιθόλευστος γέγονεν. αὐτ. Οὐ μόνον ἑαυτόν, ἀλλὰ καὶ τὴν Συναγωγὴν ἔβλαψε. 50. α.
Ἀχὴφ τὶ δηλοῖ. 65. γ.

Ἀχιμὰν τὶ σημαίνει. 81. ε.
Ἀχιτόφελ ὁποῖος. 584. α. Διατὶ τὸν Δαβὶδ ἀποκτεῖναι ἠπείγετο. αὐτ. β. Διατὶ ἀπήγξατο. 587. α, β.
Ἀχὼρ τίς. 47. γ. Ποῦ κεῖται. αὐτ. ε, καὶ 48. α. Τὶ σημαίνει. αὐτ.

Β.

Βάαλ Θεὸς Τυρίων. 878. δ.
Βααλεὶμ τὶ δηλοῖ. 131. ζ, καὶ 878. ε.
Βαβυλῶνος ὁ βασιλεὺς τίνος τύπος. 918. β.
Βάδος τὶ σημαίνει. 677. β.
Βὰθ τὶ δηλοῖ. 677. β.
Βαθὼρ ὄρος ποῦ. 142. β.
Βαιθὴλ ποῦ. 50. β.
Βαλαγὰδ ποῦ κεῖται. 67. ζ.
Βανέας ἀδελφιδοῦς Δαβίδ. 633. α.
Βαπτισθησομένους πῶς δεῖ ἑτοιμάζεσθαι. 7. δ, η. Πότε καὶ πῶς οὕτοι τὸ πάλαι προκατηχοῦντο. αὐτ. ε.
Βάπτισμα τὸ τοῦ Κυρίου διὰ τίνος ἐδηλοῦτο. 19. γ. Τίσι σωτήριον καὶ τίσι μάταιον. 21. γ, δ, κτ. Ἡ δι᾽ αὐτοῦ ἄφεσις ὑπὸ τίνος ἐσημαίνετο. 123. δ.
Βαπτίσματι ἕπεται ἡ τοῦ ἀμνοῦ μετάληψις. 21. γ. Ἀναιροῦνται Δαίμονες. 514. η.
Βαπτίσματος θαυμάσια τίνα. 18. β. Δι᾽ αὐτοῦ γινώσκομεν, ὅτι Θεὸς ἐν ἡμῖν. 19. β. Δι᾽ αὐτοῦ αἱ ἀντικείμεναι ἀπολοῦνται Δυνάμεις. αὐτ. η. Τοὺς δι᾽ αὐτοῦ μὴ [...]όντας οὐκ ἔστι τοῦ ἀληθινοῦ μεταλαβεῖν ἀμνοῦ. [...]ρὸ αὐτοῦ ἀτελὴς ἡ γνῶσις. 73. ζ. Τὴν ἰσχὺν [...]ας ἔδειξε. 775. γ. Δι᾽ αὐτοῦ οἰκειοῦται ὁ τῷ [...]ανος. αὐτ. δ.
[...]ει. 141. ζ, καὶ 145. γ. Τίνος πρόσω[...] ε.
[...]οῦ παιδευθέντες. 616. δ.
[...]οντες δεήσεις πολλὰ ἐντιθέασιν ὀνόματα.
[...]βιτικήν, μέχρι τίνος παῖς παρὰ πα[...]νε. 818. ε.
[...]τί. 338. γ, δ.
[...]ων ποῦ ἐθάπτοντο. 658. δ.
[...] Ἰσραὴλ διαίρεσις διατὶ συγκεχώρηται.
[...] τοῦ Ἰσραὴλ διατὶ ἡμιόνῳ καθέζεσθαι προσετα[...]53. δ. Ὁ εὐσεβὴς τοσοῦτον εὐεργετεῖ, ὅσον ὁ δυσσεβὴς πημαίνεται. 938. δ.
Βάσκανοι τίνουσι δίκας ἐν τῷ παρόντι κἂν τῷ μέλλοντι βίῳ. 872. ζ.
Βέβηλον τί. 426. γ, δ.
Βεδὲκ τὶ σημαίνει. 886. β.
Βενιαμιτῶν κατὰ ὁ πόλεμος πότε ἐγένετο. 250. α.
Βερενίκη τίς, καὶ ποῦ κεῖται, 766. δ.
Βὴθ καὶ Χὰφ ὅμοια παρ᾽ Ἑβραίοις. 423. δ.
Βηθὼρ τίς. 56. γ.
Βὴλ καὶ Βάαλ Τυρίων Θεός. 753. β, καὶ 754. α.
Βιβλία τὰ ἀπὸ Ἰησοῦ τοῦ Ναυῆ μέχρι τοῦ Ἔσδρα, οὐκ ἐκείνων πάντα συγγραφαί, οἷς ἐπιγέγραπται. 1. στίχ. 3.
Βιβλίον Εὐθοῦς ποῖον. 497. β.
Βιβλίον ἑρμηνείας Ἑβραϊκῶν ὀνομάτων μνημονευόμενον. 158. β, 418. δ, 427. β, 454. ζ, 740. β, 911. ζ, καὶ 940. α.
Βίβλος ἡ τοῦ Ἰησοῦ τοῦ Ναυῆ διατὶ οὕτως ἐπιγέγραπται, καὶ τὶ περιέχει. 1. στίχ. 6, καὶ 7. Μεταγενέστερος αὐτὴν συνέγραψε. 61. α.
Βίβλος Κριτῶν, διατὶ οὕτω καλεῖται. 118. στίχ. 1, 5, καὶ 15. Τὶ περιέχει. αὐτ. στίχ. 3. Ἡ ἀρχὴ αὐτῆς ἀνακεφαλαίωσις τῶν τοῦ Ἰησοῦ κατορθωμάτων. αὐτ. στίχ. 9. Τίσιν ἀνόνητος δοκεῖ. αὐτ. στίχ. 19. Λίαν ὠφελῆσαι δύναται. αὐτ. στίχ. 21. Μηδεὶς ὡς ἀνόνητον αὐτὴν παρατρεχέτω. αὐτ. στίχ. 26. Τὴν τοῦ Θεοῦ διδάσκει πρόνοιαν. αὐτ. στίχ. 29. Πάσης ὠφελείας πεπλήρωται. αὐτ. στίχ. 32. Ὕστερον ἐγράφη. 121. ζ. Ἡ ἐν αὐτῇ ἱστορία συνημμένη τῇ τοῦ Ναυῆ. 122. β.
Βίβλος ἡ τῆς Ῥοὺθ διατὶ οὕτω λέγεται. 258. στίχ. 1. Διατὶ συνεγράφη. αὐτ. στίχ. 7.
Βίβλος ἡ τῶν Βασιλειῶν διατὶ οὕτω καλεῖται. 277. στίχ. 1. Τίνες οἱ ταύτην συγγράψαντες. αὐτ. στίχ. 3, καὶ 36. Τίς ἡ ἐν αὐταῖς ὑπόθεσις. αὐτ. στίχ. 25. Ἐκ πολλῶν βίβλων συνεγράφη. 497. β. Οἱ αὐτὴν συγγεγραφότες πόθεν ἔλαβον τῆς ἱστορίας τὰς ἀφορμάς. 752. α. Τὴν α΄ καὶ β΄ μίαν ὁ Ἀκύλας πεποίηκε. 492. β. Ὑπὸ τίνων συνεγράφη. 909. γ. Ἡ πρώτη τὶ περιέχει. 277. στίχ. 5. Πῶς ὀνομάζεται. αὐτ. στίχ. 29. Ἡ δευτέρα τὶ περιέχει. 493. στίχ. 1, 2, κτ. Ποῦ λήγει. αὐτ. Ἡ τρίτη τὶ περιέχει. 647. στίχ. 1, 2, κτ. Ποῦ λήγει. αὐτ. στίχ. 32. Ἡ τετάρτη τὶ περιέχει. 811. στίχ. 1, 2, κτ.
Βίβλος ἡ τῶν Παραλειπομένων διατὶ οὕτως ὠνομάσθη. 277. στίχ. 38. Οἱ αὐτὴν συγγεγραφότες πόθεν τὰς ἀφορμὰς ἔσχον. 752. β.
Βίβλους ἱστορικὰς καὶ ἰατρικὰς οἱ γεγραφότες πόθεν ἠρανίσαντο. 674. ζ.
Βίοι ἀνθρώπων διάφοροι. 660. β.
Βίους ἀκριβῶς ὁποῖος. 226. ε, ζ.
Βλέπειν ἀνέγκλητον καὶ ἐγκληματικόν. 546. γ.
Βοὰζ τὶ σημαίνει. 687. (6)
Βοὸζ τοῦ νοητοῦ τίνες αἱ παιδίσκαι. 266. δ. Οὐ προέδωκε τὴν σωφροσύνην. 269. γ, καὶ 271. γ. Οὐκ ἠράσθη τῆς Ῥούθ. 270. η. Δύω ἔσχε γυναῖκας. 275. β, δ. Οὐκ ἄτοπον ἐποίησεν ἀλλόφυλον λαβὼν γυναῖκα. αὐτ. ε.
Βύσσος πόθεν γίνεται. 11. β. Ἐξ αὐτῆς τὸ ἱερατικὸν ἔνδυμα. αὐτ.
Βωμὸς ὁ Ἰουδαίων τὸ ἀληθινὸν προετύπου θυσιαστήριον. 106. β.
Βωμοῦ τοῦ τῶν εἰδώλων περιγραφή. 775. ζ.

Γ.

Γαβαὰ τὶ σημαίνει. 241. ε. Τὶς ἦν. 357. ζ.
Γαβαλὼν τὶ δηλοῖ. 706. γ.
Γαβαὼν ἡ περιγραφή. 56. β. Ἡ ἀλληγορία. 60. γ. Ἡ σημασία. 607. γ.
Γαβαωνῖται ὁποῖοι. 56. ζ. Διατὶ ξυλοφόροι καὶ ὑδροφόροι γεγόνασι. 58. γ.
Γάζα διατὶ οὐ διεκδίκηται. 124. ζ. Διατὶ οὐκ ἐλήφθη. 125. α.
Γαζὲρ τὶ σημαίνει. 86. δ.
Γαλαὰδ ποῦ κεῖται. 154. β, καὶ 189. η.
Γαλααδίτης πόθεν ὠνομάσθη. 154. β.
Γαλγὰλ ἡ τοποθεσία. 50. ζ. Ἡ σημασία. 31. γ, δ, κτ.
Γάλγαλα ποῦ πελάζει. 138. δ.
Γάμος τὸ μόνον μακάριον τοῖς ὑπὸ νόμον. 271. α. Οὐ δεῖ αὐτῷ θαῤῥεῖν. 280. β. Γεωργίᾳ παραβαλλόμενος. αὐτ.
Γαραμὰ τὶ δηλοῖ. 869. γ.
Γασιὼν Γάβερ ποία. 706. δ.
Γεδδοὺρ τὶ σημαίνει. 485. β.
Γεδεὼν διατὶ ἐν ληνῷ ἐῤῥάβδιζε. 162. γ. καὶ διατὶ ῥάβδῳ καὶ κρυφῇ. αὐτ. ε. Χιλίαρχος ἦν. 164. α, β. Οὐκ ἠπίστει ταῖς θείαις ὑποσχέσεσι. 167. ε. Τὸ τῆς Συναγωγῆς ᾠκειώσατο πρόσωπον. αὐτ. ζ. Διατὶ λέγεται Ἱεροβάαλ. 168. ζ. Ὅλον τὸ ἐπ᾽ αὐτῷ πρόσταγμα τύπος τοῦ κατὰ Χριστὸν μυστηρίου. 173. ζ, η. Τὴν ἀρετὴν ἄκρος. 175. ε. Βιασθεὶς, τὴν ἀρχὴν κατεῖχε. 179. δ.
Γεισὼν τί. 694. (8)
Γεωμέτρας τὴν γῆν ἐκμετρησομένους ὁ Ναυῆ ἀπέστειλε. 91. α.

Γηρσὼμ διατὶ ἔλαβε τὸν δεύτερον κλῆρον. 102. β.
Γηὼν τίς. 653. γ.
Γίγαντας τίνας ὠνόμαζον. 609. γ, καὶ 610. β.
Γίγαντες θέαμα παράδοξον. 122. γ. Ὅσα τούτων δείκνυται. αὐτ.
Γιεζὶ πλεονέκτης καὶ ἀφιλόσοφος. 850. ε.
Γινώσκω ἡ σημασία παρὰ τῇ Γραφῇ. 649. ζ, καὶ 875. γ.
Γνώμη ἐν τοῖς ψυχικοῖς κρατεῖ. 930. ζ.
Γνῶσαι τίνες. 466. ζ, 875. γ, καὶ 931. δ. Δυμεῶνες ἔχθιστοι. 467. α.
Γοδολίας ἐπιεικὴς καὶ δίκαιος. 955. γ.
Γοθολία διατὶ τοὺς τοῦ Δαβὶδ ἀνεῖλεν ἐκγόνους. 879. ε, ζ, κτ. Ἓξ ἔτη ἐβασίλευσεν. αὐτ.
Γοθονιὴλ τί σημαίνει. 81. η, καὶ 82. γ.
Γολιὰθ ἡ περιγραφή. 389. γ, δ. Ἐγέλασε τὸν Δαβὶδ ἰδών. 396. ε. Οὐκ εἶχε πίστεως ὀφθαλμόν. αὐτ. Λάφυρον πίστεως. 399. δ. Τῆς ἔξωθεν ὁπλοφορίας οὐδὲν ἀπώνατο. 401. α. Πόθεν κατήγετο. 520. β.
Γόμορ τίνι μέτρῳ ἴσον. 452. ζ.
Γραμματεῖς τίνες. 7. β.
Γραμμάτων πόλις τί σημαίνει. 81. ζ. Τίς ἦν. 122. δ. Οἱ ἐν αὐτῇ οὐ γράμματα, ἀλλὰ ψήφους ἠπίσταντο. αὐτ.
Γραφὴ ἡ θεία τίνας καλεῖ θαλάσσας. 5. δ. Ἰδίωμα αὐτῆς. 130. ζ. Τῆς ἐν αὐτῇ ἀσαφείας τίς ἡ αἰτία. 277. στίχ. 21. Πολλὰ τὰ διὰ τῆς ἀναγνώσεως αὐτῆς εὑρισκόμενα ἀγαθά. 345. ζ. Γραφικὸν ἁμάρτημα ἐν αὐτῇ ποῦ. 540. β. Τίς τὸν σωματικὸν αὐτῆς νοῦν ἐξαφανίζει. 607. ζ, η. Ἡ τοῦ Μωϋσέως τί. 617. β. Ὁ ἐξευτελίζων αὐτὴν ὡς μὴ ἀτιμάζουσαν τίνι ὅμοιος. 847. β, γ, κτ. Κατὰ τὴν τοῦ λόγου προφορὰν οὐδαμινὴ φαίνεται, κατὰ δὲ τὰς δυνάμεις θαυμαστὴ καὶ ἔνδοξος. αὐτ. δ.
Γυναικὶ πονηρᾷ οὐδεμία συγκρίνεται κακία. 779. α.
Γυναικῶν ὁμιλίαι φευκτέαι. 546. δ. Πότε καὶ πῶς χρὴ αὐταῖς διαλέγεσθαι. αὐτ. Μνήμη ἀλλοφύλων ἐν εὐαγγελίοις διατί; 257. στίχ. 9, καὶ 262. γ.

Δ.

Δαβὶδ πόθεν κατάγει τὸ γένος. 275. γ. Ἡ προσωπογραφία καὶ ἠθογραφία αὐτοῦ. 384. ε. Διατὶ ἐκ τῆς τῶν προβάτων ἐξελέχθη ποίμνης. 385. α. Τῆς βασιλείας αὐτοῦ ἀνατελλούσης, ἡ τοῦ Σαοὺλ ἐσβέννυτο. αὐτ. ε. Μουσικῆς εὑρετής. 386. ζ. Σὺν τῇ βασιλείᾳ καὶ τὸ κατὰ Δαιμόνων κράτος ἐδέξατο. 388. β. Χριστοῦ πατήρ. αὐτ. Μετὰ τὸν Ἀβραὰμ αὐτῷ ἡ ἔνσαρκος οἰκονομία εὐηγγελίζετο. αὐτ. γ. Τὴν χάριν τοῦ Πνεύματος ἐδέδεκτο. αὐτ. δ. Παντὸς τοῦ Ἰσραὴλ εὐεργέτης. 389. γ. Ἐφθονήθη ὑπὸ τῶν ἀδελφῶν αὐτοῦ. 392. δ, ε. Καὶ ἐν τῇ εὐημερίᾳ τὴν δουλείαν ὁμολογεῖ. 393. β. Θεραπεύει τὴν τοῦ Σαοὺλ ψυχήν. αὐτ. γ. Ἡ τῶν αὐτοῦ κατορθωμάτων χρονολογία. αὐτ. δ, ε. Διατὶ στολῇ ποιμενικῇ θωρακίζεται. 396. β. Ὀξεῖς οἱ ὀφθαλμοὶ αὐτοῦ. αὐτ. ζ. Τὸ ὄνομα αὐτοῦ τί δηλοῖ. αὐτ. Παράθεσις αὐτοῦ τε καὶ τοῦ υἱοῦ τοῦ Θεοῦ. αὐτ. καὶ 400. α. Εὐγνώμων. 397. ζ. Προφητεύει παρατατόμενος. 398. ε. Διατὶ λίθῳ τὸν ἀλλόφυλον ἀναιρεῖ. 399. δ. Οὐκ ἐπεθύμει τῆς βασιλείας. 402. ε. Διατὶ προσπαλαίειν τῷ Σαοὺλ συγκεχώρηται. 404. α. Τὸν τοῦ Σαοὺλ Δαίμονα κατέπαυε, τὸν δὲ φθόνον οὔ. αὐτ. γ. Χάριτος ἠξιωμένος. 405. ζ. Τὸν γάμον τῆς Σαοὺλ θυγατρὸς τίνος χάριν διεκρούετο. 407. α, β, κτ. Πότε τὸν νθ ᾖσε ψαλμόν. 408. γ. Ἡρεῖτο ταλαιπωρεῖσθαι ἢ τὸν Σαοὺλ δικαίως ἀποκτεῖναι. 410. γ. Τὰ κενοτάφια αὐτοῦ προφητεία τῆς ἐνσάρκου οἰκονομίας. 412. γ. Ὁποία τὰ αὐτοῦ σκεύη. 426. δ. Πῶς ἠνέσχετο τῶν ἀφιερωμένων μεταχεῖν ἄρτων. αὐτ. ε. Διατὶ τὴν ἐπιληψίαν ὑπεκρίνατο. 428. δ. Διατὶ πᾶς κατώδυνος πρὸς αὐτὸν συνήγετο. 429. β. Ἡ εὐσέβεια αὐτοῦ πόθεν δήλη. 434. β. Οὐκ εἶχεν ὅποι καταφύγοι. 436. β. Ἡ τοῦ Θεοῦ κηδεμονία ἐπ' αὐτὸν δέδεικται. 437. γ. Οὐδὲ Θεοῦ μνήμη πρὸς φόνον αὐτὸν ἀνέστησε. 439. δ. Στάδιον ἦν αὐτῷ τὸ σπήλαιον. αὐτ. ε. Διατὶ αὐτῷ ὁ Σαοὺλ παραδέδοται. 440. α. Ἐθυμώθη, ἀλλὰ τὸν θυμὸν κατέστειλεν. αὐτ. β, δ. Ὡς περὶ υἱοῦ τοῦ πολεμίου διελέγετο. αὐτ. η. Συνετῶς καὶ σοφῶς τὴν ὑπὲρ τοῦ ἐχθροῦ συνέθετο ἀπολογίαν. 441. α. Πότε τὴν οἰκείαν ἐγύμνωσε φιλοσοφίαν. αὐτ. Σωματοφύλαξ τοῦ ἐχθροῦ αὐτοῦ. αὐτ. ε. Διατὶ καὶ μετὰ τὴν εὐεργεσίαν ἐμετρίαζεν. 442. γ. Ἐδίδου τῷ Σαοὺλ ἐξουσίαν ἀποκρύψασθαι τὴν πονηρίαν. αὐτ. η. Αὐτοῦ τε καὶ τοῦ Ἀποστόλου Παύλου παράθεσις. 443. β, γ. Θαυμαστὴ ἡ ἀρετὴ αὐτοῦ. αὐτ. η. Τὴν τοῦ Σαοὺλ χειροτονίαν καὶ λυθεῖσαν ᾐσχύνετο. 444. α. Ἐκ τοῦ πρὸς ὀργὴν αὐτὸν κινηθῆναι, ἀγαθὸν προήχθη. αὐτ. γ. Θαυμαστὸς τῆς μεγαλοψυχίας. αὐτ. ε. Πάσης ἐπιβουλῆς καθαρός. 445. β. Τὴν μετριότητα ἄμετρος. αὐτ. δ. Τῆς φωνῆς αὐτοῦ ὁποία ἡ ἰσχύς. 446. β. Τὸν Σαοὺλ ἔκγονον περιεποιήσατο. 448. η. Διατὶ τὸν Νάβαλ ἀνελεῖν ἐπειράθη. 451. δ. Οἰκονομίᾳ Θεοῦ ἐσκεπάζετο. 452. δ. Διατὶ τὴν Ἀβιγαίαν ἔλαβεν εἰς γυναῖκα. 455. ζ. Τί δήποτε παρέβη τὸν ὅρκον; 456. ζ. Κρεῖττον ἐκρινε κακοπαθεῖν ἢ ἐκπλῆσαι θυμόν. 459. ζ. Διατὶ τὸ τοῦ Σαοὺλ δόρυ ἔλαβε. 460, ζ, καὶ 461. ζ. Δοῦλον ἑαυτὸν ὠνόμαζε. 462. β. Πρᾴως ἐπιμέμφεται. αὐτ. γ. Πολλὴν εἶχε τὴν ἀρετήν. αὐτ. ε. Τίνι τὴν οἰκείαν ἀνέθηκε κρίσιν. 464. α. Θείας οἰκονομίας τὸ μὴ συμπαραταχθῆναι αὐτὸν τοῖς ἀλλοφύλοις. 474. α, καὶ 484. β. Ἐφύλαξε τὸ σχῆμα τῆς πρὸς ἀλλοφύλους εὐνοίας. 482. η. Διατὶ αἱ γυναῖκες αὐτοῦ ἠνδραποδίσθησαν. 483 [illegible] λὴ ἡ ἐν αὐτῷ ζάλη καὶ ὁ θόρυβος. 484. ζ [illegible] Σαοὺλ ἐπένθησε. 495. ε, ζ. Οὐ μεμπ[illegible] μηνύσαντα τὸν τοῦ Σαοὺλ θάνατον. 49[illegible] τοῖς ὄρεσιν ἐπηράσατο. 498. α, β. [illegible] προσηγορίαις περιπλέκεται. αὐτ. ε. [illegible] Σαοὺλ καὶ τὸν Ἰωνάθαν. 499. δ, κ[illegible] Ἰούδα φυλῆς ἦν. αὐτ. δ. Τὴν φυλ[illegible] ἄλλων ἠγάπα. αὐτ. ζ. Διὰ παιδοπ[illegible] ναῖκας. 506. ε, ζ. Πῶς ἠνέσχετο τ[illegible] βεῖν. 507. η. Διατὶ οὐκ ἀνεῖλε [illegible] Διατὶ τρίτον ἐχρίσθη. 516. δ. Φι[illegible] νων οἱ Ἰεβουσαῖοι. 518. β. Διατὶ εἰς[illegible] κιβωτὸν οὐκ εἰσενήνοχε. 523. ε. Ὀ[illegible] ἐδημοσίευε διάθεσιν. 526. α. Μισθὸ[illegible] πολυτεκνία. αὐτ. Διατὶ οὐ συγκεχώρη[illegible] χῆς κατασκευάσαι. 529. ε, ζ. Διατ[illegible] προείλετο. αὐτ. Διατὶ κατὰ τὴν καρδίαν [illegible] λέγεται. 530. α. Διατὶ τὰ πλεῖστα τῶν Σύρων ἅρματα διέλυσε. 536. δ. Τοῦ πατριάρχου Ἰσαὰκ πεπλήρωκε τὴν εὐλογίαν. 537. β. Ἐκ περιστάσεως τὸ αὐτοῦ πλημμέλημα. 539. α. Περὶ τοὺς ἐχθροὺς φιλάνθρωπος, καὶ τῶν φίλων μνήμων. αὐτ. γ. Διωκόμενος ἐφιλοσόφει, ἀνακωχῆς τυχών, ὠλίσθησε. 545. ε. Πολὺς ὁ ἐπ' αὐτῷ πόλεμος. αὐτ. ζ. Σφοδρὸν εἶχε τῆς ἐπιθυμίας τὸ πάθος. αὐτ. Τίνα τὰ προξενήσαντα αὐτῷ τὰ ἁμαρτήματα. 547. β. Οὐκ ἔμεινεν ἀτιμώρητος. 550. δ. Διατὶ κριτὴς τῆς ἰδίας ὡρίσθη ἁμαρτίας. 551. γ, ε. Ἐν τοῖς κακοῖς οὐκ εἶχε συνήθειαν. 552. ε, ζ. Ἐκ ῥᾳθυμίας οὐκ ἐκ κακοηθείας ἡ αὐτοῦ ἁμαρτία. αὐτ. ζ. Καὶ πεσών, Δαβὶδ ἦν. 553. δ. Πλέον ἐπὶ τῷ γάμῳ ἢ ἐπὶ τῇ προτέρᾳ μοιχείᾳ ἐχαλέπαινεν αὐτῷ ὁ Θεός. 555. δ, ε. Διατὶ ἐτιμωρήθη. 556. α. Διπλοῦν ὤφειλε θάνατον. αὐτ. ε. Συνέγνω τὴν ἁμαρτίαν. αὐτ. ζ. Διατὶ μετὰ τὴν ἁμαρτίαν εὐθὺς οὐ διώρθωται. 557. γ. Πόθεν ἡ φιλοσοφία αὐτοῦ δήλη. αὐτ. δ. Παντοδαπαῖς ὑπεβλήθη παιδείαις. 558. γ. Διατὶ τὸ παιδάριον αὐτοῦ τέθνηκε. 559. α, β. Πολὺς ὁ τῆς μετανοίας αὐτοῦ καρπός. αὐτ. β. Στέφανον διαπαντὸς ἐπὶ τῆς κεφαλῆς ἐφόρει. 561. α. Πότε ἐχρίσθη, καὶ ποσάκις ἀνηγορεύθη. αὐτ. β. Τινὲς ἀπίστευσαν αὐτοῦ κατηγοροῦσιν. 562. β. Οὐκ ὠμότητος ἔργον ἐποίησεν. αὐτ. γ. Τίς ἡ ἀρχὴ τῶν τῆς οἰκίας αὐτοῦ συμφορῶν. 565. γ. Θαυμαστὴ ἡ αὐτοῦ πρᾳότης. 576. β. Διατὶ τοὺς ἱερεῖς καὶ τὴν κιβωτὸν ἀκολουθεῖν αὐτῷ κεκώλυκε. 577. β. Διατὶ ἐδεδίει τὸν Ἀχιτόφελ. αὐτ. ζ. Προσεκύνησεν ὅπου ὁ Χριστὸς ἀνελήφθη. 578. β. Μέμφονταί τινες αὐτῷ, ὡς τοῦ Σιβὰ δεξαμένῳ τοὺς λόγους. 579. δ. Ἀξιάγαστα τὰ πρὸς τὸν Σεμεῒ αὐτοῦ ῥήματα. 581. α. Πρᾳότατος. αὐτ. β. Ἡ οἰκία αὐτοῦ τῆς θείας ἐγυμνώθη προνοίας. αὐτ. Πόθεν αὐτῷ ἡ φιλοσοφία. αὐτ. Οὐκ ἐδίδου καιρὸν τῇ ὀργῇ κινηθῆναι. 582. β. Πῶς ἐχρῆτο συμβούλῳ τῷ Ἀχιτόφελ. 583. β, καὶ 584. α. Τοῖς τοῦ δρυμοῦ ξύλοις συμμάχοις ἐχρήσατο. 589. ζ. Διατὶ τὸν Ἀβεσσαλὼμ ἐθρήνησε. 594. ζ. Διατὶ τῷ Ἀβεσσᾷ τὴν στρατηγίαν ἐπηγγείλατο. 596. ε, ζ, κτ. Διατὶ τὰς παλλακὰς αὐτοῦ καθεῖρξε. 601. γ. Πόθεν ἐξελύθη παρατατόμενος. 609. β, γ, κτ. Ἐπινίκιον ᾠδὴν συντέθεικεν. αὐτ. ε. Πῶς αὐτὸς φῶς ἐθνῶν; 625. γ. Οὐκ ἐβασίλευσε τῶν ἐθνῶν. αὐτ. δ. Ψάλλει ἐν πᾶσι τοῖς ἔθνεσι. 628. α. Μέχρι τῆς αἰχμαλωσίας ἐβασίλευσεν. αὐτ. β. Προφήτης μέγιστος. αὐτ. Ἡ παιδεία αὐτὸν ὤνησε. 631. β. Καὶ αἱ μὴ κεκωλυμέναι ἐπιθυμίαι αὐτὸν κατέπληττον. αὐτ. δ. Τῶν Μωσέως ἐντολῶν ἐπελάθετο. 636. γ. Διατὶ ἐτιμωρήθη ὁ ὑπ' αὐτοῦ ἀριθμηθεὶς λαός. 638. δ. Λόγοις ἀληθοῦς ἐχρήσατο ποιμένος. 641. β. Ἐβούλετο εὐκλεῶς τεθνάναι ἢ ἀκλεῶς ζῆν. 642. γ. Τί συνεβούλευσαν αὐτῷ οἱ ἰατροί. 649. β. Ὑπὸ γήρως ἀσθενὴς πρὸς τὰ ἀφροδίσια. αὐτ. Διατὶ τὸν Ἰωὰβ τῷ παιδὶ κολάσαι προσέταξε, 657. γ, καὶ τὸν Σεμεῒ ὁμοίως; 658. β. Ποῦ τέθαπται. αὐτ. δ. Πάντα τὰ πρὸς τὴν τοῦ ναοῦ κατασκευὴν τῷ Σολομῶντι δέδωκε. 701. γ. Ὡς [illegible] Μωϋσῇ τὸ τῆς σκηνῆς παράδειγμα, οὕτως αὐτῷ ὁ [illegible] τύπος δέδοται. αὐτ. ζ. Ποῦ ὠνόμασε τὸ πανά[illegible]μα. αὐτ. η. Τὴν ἱερατικὴν ἔταξε λειτουργίαν. [illegible] Οἱ ἐξ αὐτοῦ βασιλεῖς πόσοι, καὶ πόσα ἔτη [illegible] 951. ε.
[illegible] τίς. 518. ε.
[illegible] β.
[illegible]όματος τοῦ Κυρίου λεγομένου, διαλύονται. [illegible]σι διὰ τῶν πέντε αἰσθήσεων. 62. α. Τίς [illegible]τῶν. 155. δ. Διὰ τίνων καταλέλυνται. [illegible]άζονται ὁμολογεῖν τὴν ἀλήθειαν. 404. ε. [illegible]σίαν πνευμάτων ἢ ψυχῶν. 473. γ. Οὐ[illegible]νάγουσιν. αὐτ. ζ. Ὑπὸ τίνων ἐλαύνον[illegible]εταχηματίζονται. αὐτ. η. Τίνες οἱ αὐ[illegible]ντες. 476. ε. Τὰ μέλλοντα ἐξ εἰκασίας [illegible]ευόμενοι. 480. β, γ. Τοῖς ἁγίοις νοητῆς [illegible] γίνονται. 758. ε.
[illegible]οποιεῖν εἴωθεν ἑαυτόν. 474. δ. Διὰ γυναικὸς ἠπάτησε τὸν Σαούλ. 476. γ. Εἰς τὸ τοῦ Σαμουὴλ σῶμα ἑαυτὸν ἤμειψεν. αὐτ. δ.
Δαλιδὰ τί σημαίνει. 229. γ.
Δανιὴλ ὁ Προφήτης ὅσιος, δίκαιος, καὶ μάρτυς. 957. δ. Ἤχθη εἰς Βαβυλῶνα. αὐτ. ε. Ἐν τίσιν ἤκμασε χρόνοις. αὐτ. Πόσα ἔτη προεφήτευσε. 959.
Δέησις δικαίου πότε ἀνωφελής. 379. ζ. Τί ἐστι. 784. α.
Δέον οἱ μὴ βουλόμενοι γνῶναι ἀπολοῦνται. 40. β.
Δῆλοι τί. 469. γ.
Διάβολος τῆς ἀσεβείας οἰκοδόμος. 42. γ. Τίσιν ὑποτέτακται. 62. ζ. Ὑπὸ Χριστοῦ ἐξωνειδίσθη. 120. ζ. Τίνι λόγῳ τὸν Ἀδὰμ ἠπάτησεν. 201. δ. Αἴτιον τοῦ ἁμαρτεῖν. 365. ε. Σφῦρα. 682. δ. Πῶς τῷ πάντων Δεσπότῃ παρίσταται. 807. δ.
Διάθεσις εἰλικρινὴς τί ποιεῖ. 500. β. Ἡ τοῦ ἀνδρὸς πρὸς τὴν γυναῖκα ὁποία. αὐτ.
Διαθήκη καὶ ἡ συνθήκη λέγεται. 884. β.
Διακριτικὸν γενέσθαι πολλῆς γυμνασίας δέεται. 782. ζ.
Διάνοια θυρωρός. 514. α.
Διδάσκαλος ὁ εὐσεβὴς ὀνίνησι. 885. β.
Διδάσκοντες ἐκ παρακουσμάτων τί πάσχουσι. 852. α.
Διακάζομεν διαφόρως. 570. ε.
Δίκαιοι ἐν ταπεινοφροσύνῃ τῷ Κυρίῳ δουλεύοντες. 581. α. Οὐ δεῖ ἐμπαίζειν αὐτούς. 816. γ. Ἡ μνήμη αὐτῶν διηνεκῶς ἀνθεῖ. 924. ζ.
Δικαιοσύνη τί. 618. η, καὶ 619. α. Οἱ ὀρεγόμενοι αὐτῆς ὁποῖοι γίνονται. 293. δ, ε.
Δικτυωτὸν ὑπερῷον τί, καὶ τί τὸ ἀπ' αὐτοῦ πεσεῖν. 813. α, β, δ.
Διωγμοὶ οἱ τῆς Ἐκκλησίας διὰ τίνων σημαίνονται. 65. δ.
Δοῦλοι οἱ τοῦ Θεοῦ τῆς οἰκείας ἀναπαύσεως προτιμητέοι. 764.
Δοῦλον Θεοῦ ὀνομασθῆναι ἄκρα τιμή. 529. β.
Δυνάμεις αἱ ἀντικείμεναι πότε καταπλήττουσι. 26. ζ. Πῶς δεῖ αὐταῖς ἀνθίστασθαι. 36. ε, καὶ 37. δ. Πόσον ἰσχύουσιν. 95. ε. Αἱ μοχθηραὶ εἰς μὲν πρόσωπον ἐρχόμεναι βλάπτουσιν, εἰς δὲ νῶτον οὐδὲν δύνανται. 624. ζ.
Δύναμις ἡ ἄνευ συνέσεως ἀπολύει. 583. ζ.
Δυνάμεων χειρόνων πέρι οἱ πλείονες λαλοῦσι. 95. δ.
Δυσσεβείᾳ ὁ συζῶν οὐδὲν θηρίου διενήνοχε. 394. δ.
Δὼρ τίνων μεθόριον. 129. δ.
Δωρεᾶς θείας τίνος χάριν καὶ οἱ ἀνάξιοι μετέχουσιν. 210. ε, ζ, κτ.

Ε.

Ἑβραῖοι πότε ἀριστοκρατούμενοι διετέλουν, πότε ἀναρχία αὐτοὺς κατεῖχε, καὶ πότε κριταὶ καὶ Βασιλεία. 348. ε.
Ἑβραίων αἱ φυλαὶ διαφορὰν εἶχον ἐν τῇ φωνῇ. 204. α. Βραχύτητι παρήλλαττον ἐν τῇ προφορᾷ. αὐτ. β.
Ἐγγαστρίμυθος τί σημαίνει. 468. β. Τίνα ἀνήνεγκεν ἐπὶ Σαούλ. αὐτ. Οὐδὲ μύρμηκα οὐδὲ ψύλλαν ἀνάξαι δύναται. 473. γ. Πόθεν τὸν Σαοὺλ ἐπέγνω. αὐτ. η.
Ἐγκράτεια ὡς πόλις ἄσειστος. 918. β.
Ἕδνα γυναικῶν δῶρα. 407. δ.
Ἐζεκίας ἧκεν εἰς τελειότητα. 667. ε. Βασιλεὺς σοφώτατος. 919. β. Τὸν Ἡσαΐαν πρεσβευτὴν γενέσθαι παρακαλεῖ. αὐτ. ζ. Ὑπὸ τῆς χαρᾶς ἐφυσήθη. 926. ε. Μαλακισθεὶς, δικαιοσύνης μόνης ἐμνήσθη. 927. δ. Διατὶ μέμψιν ὑπέμεινε τοὺς θησαυροὺς δείξας. 930. β. Εἰρήνην καὶ πρεσβείαν φίλας ἐκτήσατο. αὐτ. γ.
Ἔθνη ἄνευ περιτομῆς σωθέντα. 27. β. Αὐτῶν καὶ τῶν αἱρέσεων τῶν μεταξὺ τῶν πιστῶν τί τὸ σημεῖον. 68. ε. Πρῶτα Χριστῷ ὑποταγήσεται. 71. β. Τὰ Χριστῷ πεπιστευκότα ὁποῖον ἔχουσι σύμβολον. 72. ε. Διατὶ ἡ πρὸς αὐτὰ ἐπιγαμία κεκώλυται. 109. ε.
Ἐθνικοὶ σφάγια ὑπὲρ τοῦ κοινοῦ ἑαυτοὺς παραδόντες. 199. β.
Εἴδωλα βδελυγμίας μεστά. 814. β.
Εἰκονογραφίας ἀνάγκη. 23. ε.
Ἐκεῖ σημασίαι παρὰ τῇ Γραφῇ. 149. ζ.
Ἐκκλησία καὶ ἡ Συναγωγὴ διὰ τίνος συνήφθησαν. 263. α. Κατὰ πάντα σύμφωνοι, πλὴν τοῦ σωτηρίου πάθους. αὐτ. Ὁμολογοῦσι τὸ τῆς ἐνανθρωπήσεως μυστήριον. αὐτ. β.
Ἐκκλησία ποθεῖ τῆς εὐαγγελικῆς διδασκαλίας. 263. ζ. Ἐντρυφᾷ τοῖς ἀποστολικοῖς διδάγμασι. 266. ζ. Τῆς Συναγωγῆς διδάσκαλος. 267. δ. Ποία ἡ αὐτῆς ἀνάπαυσις. αὐτ. ζ. Πότε τῷ Χριστῷ ἐγνώσθη. 268. ζ. Εὐλογιῶν μεταλαμβάνει. 270. γ. Πρῶτον καὶ ἔσχατον αὐτῆς ἔλεος ὁποῖον. αὐτ. δ, ε. Ἀγαθὴ τῇ Συναγωγῇ. 276. γ. Ἡ τῶν ἐθνῶν πότε ἔτεκεν ἐπὶ τὰ τέλεια νοήματα. 394. α. Ὑπὸ τίνων ἐγήγερται. 519. γ. Πόλις ἁγία τοὺς ἁγίους ἔχουσα οἰκήτορας. 640. ε. Οἶκος Χριστοῦ καὶ ἄλλως. 644. δ. Εὑρίσκεται. 646. β. Σῶμα Χριστοῦ. 687. ζ.
Ἐκκλησίας οἱ ἐκτὸς οὐκ ἀπολαύουσι τῆς αἰωνίου ζωῆς. 15. ζ. Ὁ ἐξιὼν αὐτῆς ἔνοχος ἑαυτῷ. 16. α. Πότε οἱ αὐτῆς διδάσκαλοι ἀδικοῦνται. αὐτ. β. Οὐ μόνον ἅγιοι, ἀλλὰ καὶ ἁμαρτωλοὶ ἐν αὐτῇ. 84. δ. Τί τὸ τὸν διωγμὸν αὐτῆς ἐμφαῖνον. 219. α. Οὐδὲν αὐτῆς γέννημα ἀσθενές. 276. α.
Ἔλαφος καταπατεῖ τὰ ἰοβόλα θηρία. 623. γ, δ. Ὀρειβατὲς ζῷον καὶ δρομικόν. αὐτ.
Ἐλεάζαρ τίνος τύπος. 75. γ. Πότε τέθνηκεν. 250. α.
Ἐλισάβετ μετέλαβε τῆς Ἰωάννου χάριτος. 296. ζ.

Ἐλισσαῖος σφάζων καὶ ἕψων τοὺς βόας τί ἠνίσσετο. 786. ε. Τίνος χάριν δι' ἁλῶν τὰ ὕδατα ἰάσατο. 826. α, β. Τίνος τύπος αὐτὸς οἱ ἅλες καὶ τὰ ὕδατα. αὐτ. γ. Πῶς οὐκ ἔπλαισε θανατώσας τοὺς ὑβρίσαντας. αὐτ. ε. Τίνος χάριν τοὺς παῖδας κατηράσατο; 828. α. Τίνος τύπος. αὐτ. β. καὶ 841. β. Πόθεν δειχθήσεται, ὅτι διπλῆν ἔλαβε τοῦ Ἠλιοῦ τὴν χάριν. 820. α, β, γ, 861. δ. καὶ 891. δ. Διατὶ διπλοῦν ἔλαβε τὸ χάρισμα. αὐτ. δ. Τὸ ὑπερῷον καὶ ὁ λύχνος οἷς ἐχρῆτο τί ἐδήλουν. 836. η. Διατὶ ἐμφυσήσας, ἀνέστησε τὸ μειράκιον. 840. ε. Διατὶ τὰ οἰκεῖα αἰσθητήρια τοῖς τοῦ μειρακίου προσήρμοσεν, αὐτ. ζ. καὶ διατὶ οὐ διὰ προσευχῆς αὐτὸ ἀνέστησεν. αὐτ. καὶ 841. α, β, κτ. Διατὶ ἰδεῖν τὸν Νεεμὰν οὐκ ἠνέσχετο. 845. δ, καὶ 847. β. Τὴν πενίαν παντὸς προτετίμηκε πλούτου. 848. α. Διατὶ διὰ τόξου καὶ βέλους τὴν ἐσομένην ἐμήνυσε νίκην. 890. ζ, η. Διαβόητος ὤν, καὶ λαμπρᾶς ἔτυχε ταφῆς. 891. β.

Ἐλκανὰ ἀγαπῶν τὴν Ἄνναν. 279. β, καὶ 281. η. Τίνος ἀπόγονος. 279. γ, καὶ 297. δ. Πῶς Ἐφραθαῖος ὀνομάζεται. 279. γ. Διατὶ δύο εἶχε γυναῖκας. αὐτ. ε.

Ἑλλήνων γλῶσσα καὶ παίδευσις ὁποία. 46. ζ.

Ἐλμονὶ τί σημαίνει. 852. δ.

Ἐλὰμ τί δηλοῖ. 95. ε.

Ἐνακὶμ τίς. 68. δ. Τί σημαίνει. 81. δ.

Ἐντολὴ καὶ ἡ συγχώρησις. 635. γ.

Ἐντολῶν Θεοῦ μηδὲ τῶν σμικρῶν καταφρονητέον. 736. α.

Ἐντυχία τί. 784. α.

Ἐξετάζειν ἕκαστον πῶς δεῖ. 660. β.

Ἑορτὴ ἡ τῆς Σκηνοπηγίας πότε ἐπιτελεῖται. 728. ζ.

Ἐπαμινώνδας ὀφθεὶς τοῖς φίλοις κατηφής. 927. α. Ἀπόφθεγμα αὐτοῦ. αὐτ. β.

Ἐπιθυμία ἡ κακὴ διατὶ ὁδοιπόρος. 552. ζ.

Ἐπιθυμίας ὁ πόλεμος τῆς ἐν πολέμοις παρατάξεως ἰσχυρότερος. 227. η. Ὁ σπινθὴρ αὐτῆς πότε ὑποτύφεται. 545. ζ.

Ἐπιορκοῦντας οἱ συνειδότες τῶν ἐγκλημάτων κοινωνοῦσι. 366. α.

Ἐπιπλήξεως τρόπος ὁ τοῦ Νάθαν χρήσιμος. 551. ε.

Ἐπιφυλλίδες τίνες. 176. δ, ε.

Ἔρως ἐμφωλεύει τῇ φύσει. 500. δ.

Ἔσδρας τίνα ἔγραψε βιβλία. 41. ζ.

Ἐσεὺβ τί σημαίνει. 391. α.

Ἐσταυρωμένων ἡ προαίρεσις μοχθηρά. 52. ε. Διατὶ οὔτοι ταφῆς ἀξιοῦνται; αὐτ. ζ.

Εὐεργεσίας πότε λέγειν ἔξεστιν. 447. β.

Εὐεργετοῦντας μὴ φυσηθῆναι, οὐ τῶν τυχόντων. 442. β.

Εὐλόγησεν ἀντὶ τοῦ, ἐβλασφήμησεν. 788. γ, δ.

Εὐλογία διττῶς λέγεται. 145. ε.

Εὐλογίας τῆς μυστικῆς τίς ὁ τύπος. 32. β.

Εὔνους βεβαίως οὐδείς. 342. ε.

Εὐχαριστία τί. 784. α.

Εὐχὴ ἡ κατ' ἐξοχὴν τίς. 284. ζ. Πόση ἡ δύναμις αὐτῆς. 352. γ, δ, κτ, καὶ 398. α.

Εὐχόμενος ἐνώπιον Κυρίου τίς. 284. γ.

Ἐφοὺδ τί. 180. β, γ, κτ, 232, γ, δ, κτ, 236, ζ, 299, α, καὶ 908. α. Μόνοις τοῖς ἱερεῦσιν ἐξῆν κεχρῆσθαι. 180. ε. Τῷ Θεῷ ἀνέκειτο. 377. α.

Ἐφραὶμ τί σημαίνει. 84. ε, καὶ 86. δ.

Ἐχθροὺς ἀγαθοποιεῖν μυρίων ἀγαθῶν πρόξενον. 447. ε. Οἱ κατευχόμενοι αὐτῶν ἀσύγγνωστοι. 354. γ. Πότε κατ' αὐτῶν ὁπλιζόμεθα. 612. δ.

Ἐχιδνῶν σάρκες ἀλεξιφάρμακον. 675. α.

Ἑωσφόρος τῆς Ἀφροδίτης εἶναι μυθεύεται. 324. ε.

Ζ.

Ζεβὲκ τίνος πόλις. 120. ε. Τί δηλοῖ. αὐτ. ζ.

Ζηλωτὴν τί ἀποφαίνει. 400. ζ.

Ζῶα καὶ σμικρότατα θεοποιούμενα. 814. γ.

Ζῶον ὅπλον τί. 35. γ.

Ζώων μόρια ἀλεξιφάρμακα τίνα. 673. α.

Η.

Ἡγεμονεία ἡ τῶν πονηρῶν λυμαίνεται. 128. ε.

Ἡγεμόνες λαῶν οἱ ἀπατῶντες μόλις σωθήσονται. 57. β. Ὁ Κύριος αὐτοὺς καθίστησι, κἂν κρύπτωνται. 344. ζ.

Ἤθους κάλλος πῶς ἐνδείκνυται. 815. γ.

Ἠλὶ ἐκ τίνος πατριᾶς, καὶ διατὶ τῆς ἱερατικῆς γεγύμνωται τιμῆς. 279. γ, καὶ 282. γ. Οἱ υἱοὶ αὐτοῦ διατὶ οὐκ ἐγίνωσκον τὸν Κύριον. 297. ε, ζ. καὶ πρὸς ἀνθρώπους ὑβρισταὶ καὶ πρὸς τὸν Κύριον ἀσεβεῖς. 298. β. Τίνα τὰ τῶν υἱῶν αὐτοῦ ἐγκλήματα. αὐτ. ζ, καὶ 300. α. Οὐ σφοδρῶς τοὺς υἱοὺς ἤλεγχε. 300. γ. Διατὶ σὺν τοῖς υἱέσιν ἀπώλετο. αὐτ. ε. Διατὶ δίκας ὑπὲρ τῶν παίδων ἔτισεν. 302. α, β, κτ, καὶ 307. γ, δ. Οἱ υἱοὶ αὐτοῦ καὶ τοὺς ἄλλους παρανομεῖν ἐδίδασκον. 304. β. Οὐκ αὐτὸς τοσοῦτον ὅσον οἱ παῖδες αὐτοῦ δίκην ἔδοσαν. 307. δ. Πλὴν τῆς τῶν παίδων ῥαθυμίας οὐδὲν ἕτερον εἶχεν ἔγκλημα. 308. β. Οἰκείοις ἐκοσμεῖτο κατορθώμασιν. αὐτ. δ. Τὴν τῶν υἱῶν αὐτοῦ σφαγὴν, ῥᾷον ἤνεγκε τῆς αἰχμαλωσίας τῆς κιβωτοῦ. αὐτ. ε. Ὡς εὐγνώμων οἰκέτης τὴν παιδείαν ἐδέξατο. αὐτ. η. Πόθεν ἡ ἀρετὴ αὐτοῦ δήλη. 312. γ, δ. κτ. Πῶς οἱ υἱοὶ αὐτοῦ τὸν Θεὸν παρύβριζον. 765. γ.

Ἠλίας καθ' ἡμέραν τῷ Θεῷ εὐαρεστεῖν ἐσπούδαζε 753. δ. Διατὶ ὀμνύει. αὐτ. ζ, η. Εἵλετο καὶ ἑαυτὸν συγκαταδικάσαι. 754. η. Διατὶ νηστείαν ἐπήγαγε. 755. α. Πολλὰ ἔβλεπεν ἄτοπα. αὐτ. γ, δ, κτ. Προφήτ[illegible] φαῖος. 750. δ. Διατὶ διὰ κόρακος ἐτρέφετ[illegible] Πῶς τὴν δι' ἀκαθάρτων κοράκων τροφὴ[illegible] β, δ. Διατὶ τόπους ἀμείβειν ἐκελεύε[illegible] Διατὶ πρὸς χήραν ἐπέμφθη ἀλλόφυλο[illegible] Φιλοσοφία καὶ πίστις ἐν αὐτῷ. 760. [illegible] σῆσαι τῷ νεκρῷ καὶ αὐτὸ τὸ ἐμφύσημα [illegible] Ὡς λέων πεποιθώς. 771. ε. Ἡ μηλ[illegible] χαὰβ πορφυρίδος σεμνοτέρα. αὐτ. ζ. [illegible] μήλῳ θυσιαστήριον ᾠκοδόμησε. 772. α. [illegible] βήθη τὴν Ἰεζάβελ; 777. ζ. Ὁποῖ[illegible] τὸ αἴτιον. 778. ε, ζ. Ἁμαρτία ὑπέπ[illegible] τῆς δειλίας οὐκ οἶδε τί ἔπραττεν. αὐτ[illegible] ἀλλ' ἡ τοῦ Θεοῦ δύναμις ἐποίει τὰ θα[illegible] Μεγάλα περὶ ἑαυτοῦ ἐφρόνει. 781. ζ. [illegible] κείαν ἀθανατίσαι ἀθανασίαν. 782. δ[illegible] ἀσωμάτων ἤχθη συνουσίαν. 783. ε. Τινὲς [illegible] κατηγοροῦσιν. 816. δ. Ἀφανὴς μὲν γέγονε, [illegible] οὐκ οἶδεν. 821. γ. Οὐκ ἀνέβη εἰς τὸν οὐρανόν. αὐτ. δ. Δίκαιον οἰκεῖν τὸν οὐρανόν. αὐτ. ε. Πρῶτος τὴν ἀγαμίαν ὑπέδειξεν. αὐτ. Αὐτοῦ τε καὶ τοῦ Χριστοῦ παράθεσις. αὐτ. 822. ε. Ξένον τί αὐτῷ συμβέβηκε παρὰ πάντας τοὺς ἁγίους. 824. α. Ἐξαίρετόν τι εἶχε τὸ πνεῦμα αὐτοῦ. αὐτ. β. Διατὶ ἐν τῷ Ἰορδάνῃ βαπτισάμενος ἐπιτηδειότερος γέγονε πρὸς τὸ ἀναληφθῆναι. 819. ζ. Μεγάλως αὐτὸν ἐθαύμαζον. 830. δ.

Ἥλιος τίνος σύμβολον. 60. δ. Ἡ ἐπὶ Ἐζεκίου στάσις αὐτοῦ θαυμασιωτέρα τῆς ἐπὶ τοῦ Ναυῆ. αὐτ. α. Ἐπέσχε τὰς ἀκτῖνας σταυρουμένου τοῦ Σωτῆρος. 61. α.

Ἡλιούπολις τίς. 80. β, γ.

Ἠμὰθ τί δηλοῖ. 537. δ.

Ἡμίονος κατὰ τὸν ἐπαινούμενον λόγον τί. 653. δ.

Ἧπαρ τὸ τῶν αἰγῶν κινεῖται μέχρι πολλοῦ. 411. ε. Αἵματος πηγὴ καὶ ἐργαστήριον. 413. δ.

Ἡσαΐας προφήτης ἐπισημότατος. 924. ζ. Τίς ὁ αὐτὸν διαπρίσας. 933. γ.

Ἡσαῦ, Ἐδὼμ παρὰ τῇ Γραφῇ. 146. ε. Τίνος σύμβολον. αὐτ. Τὴν ἐξ ἁμαρτίας ἔχων νεκρότητα. 384. η.

Θ.

Θαλαμὶν τί σημαίνει. 81. ζ.

Θάμαρ διατὶ τῷ Ἰούδᾳ συνήφθη. 257. στίχ. 15, καὶ 262. γ.

Θάνατος ἄχρι τίνος ἐβασίλευσεν. 413. α. Ὁ κατὰ φύσιν πόθεν γίνεται. 460. δ. Ὁ ἐν πολέμῳ, βίαιος. αὐτ. Πότε κατήργηται. 639. ε. Διὰ τὸν Ἠλίαν τὴν ἧτταν ἐμάνθανε. 768. ε. Φοβερός. 780. δ, ε. Τίσιν. αὐτ. ζ.

Θανάτου πληγὴ ἡ μετὰ ἰσχύος κουφοτέρα. 179. γ. Ἐξ αὐτοῦ ἐξῆλθε γλυκύ. 216. α. Τίς ὁ πατὴρ αὐτοῦ. 413. α. Οὐχ ὥρισται ἡ ἡμέρα αὐτοῦ. 460. γ.

Θαρσὶς πόλις ποία. 712. δ.

Θαῦμα τὸ τῶν πέντε ἄρτων προβεβαιούμενον. 844. γ.

Θαυμάσια τὰ τοῦ Θεοῦ τοὺς θεωρήσοντας προκαθαίρεσθαι δεῖ. 17. η.

Θεὲ ἢ Θεκουὲ τί δηλοῖ. 740. β.

Θεννὰχ τίς. 155. δ.

Θεοδώριτος τίνας ἡρμήνευσε βίβλους. 277. στίχ. 17. Ἑρμηνείας ἑβραϊκῶν ὀνομάτων μέμνηται. 418. δ, 427. β, 454. ζ, 740. β, 911. ζ, καὶ 940. α.

Θεοὶ πῶς κατασκευάζονται. 622. ζ.

Θεὸς διατὶ οὐκ ἐπλήρωσε τὴν πρὸς Ἰσραηλίτας ὑπόσχεσιν. 4. γ, ζ. Τοῖς ὅλοις δεσμοὺς περιῆψε. 5. η. Πόθεν δῆλος γέγονεν. 15. δ. Ὁ Αὐτὸς παλαιᾶς τε καὶ καινῆς διαθήκης. 19. β. Τοὺς αὐτῷ λειτουργοῦντας πῶς δεῖ παρασκευάζεσθαι. 34. β. Αὐτοῦ ἐνεργοῦντος, ὑπολύεται ὁ ὄφις. αὐτ. ζ. Αὐτοῦ ἡ δόξα, ἡ λαμπρότης, ὁ πλοῦτος, ἡ σοφία, ἡ δύναμις. 43. γ. Ὁ παρ' αὐτοῦ πλουτίζων περίοπτος. αὐτ. Καὶ ταῖς ἀνθρωπίναις ἐπινοίαις διδάσκει χρῆσθαι. αὐτ. ζ. καὶ 867. ε. Διὰ τίνων προτρέπεται. 48. α. Αἱ οἰκονομίαι, καὶ ἡ ἀγαθότης αὐτοῦ θαυμασταί. 49. α. Διατὶ οὐκ ἀτιμία τὸ διακονεῖν αὐτῷ. [illegible]δ. Σταθμῷ καὶ μέτρῳ πάντα πρυτανεύει. 68. γ. [illegible]ρον τῆς αὐτοῦ δυνάμεως καὶ δι' εὐτελῶν διαφαί[illegible]ων. 112. ζ. Ὁ ζῶν ἐν αὐτῷ, χαρισμάτων [illegible]3. α. Οὐ μόνον εὐεργετεῖ, ἀλλὰ καὶ κο[illegible]δ. Καὶ τὰ ἄψυχα αὐτοῦ ἀκούει. αὐτ. ζ. [illegible] παιδεύει, ἀθυμοῦντας παρακαλεῖ. 129. ζ. [illegible] 133. ζ. Πότε δοξάζεται. 145. δ. καὶ [illegible]ξ αὐτοῦ πᾶσα ἀρχή. αὐτ. Πῶς βοη[illegible] 158. δ. Τοῖς ἀλλοτρίοις τίνι λόγῳ τὰ [illegible]. 173. β. Μεγάλαι αἱ κρίσεις αὐτοῦ [illegible] 199. β. Κατηγορεῖ τὸ τοὺς υἱοὺς καὶ [illegible] θύειν. 201. α. καὶ ἐπὶ ταῖς τοιαύταις [illegible]ς. 202. ζ. Ἐπ' ἀγαθῷ ἡ ὅρασις αὐτοῦ. [illegible] ἀναξίων ἀνέχεται. 226. β. Κριτὴς κρι[illegible]οἶδε πότε δεῖ λῦσαι τὴν ἀθυμίαν. 281. α. [illegible] τῷ εὐχαριστητέον. 283. η. Τίνων ἀκούει. [illegible]ὶ τίνας μεγαλόδωρος. 290. β. Ἄληπτος [illegible]τοῦ. 292. ε. Πηγὴ τῆς ἁγιότητος. αὐτ. ε. Ἡ [illegible] αὐτὸν πραγματεία ὁποία. 293. ζ. Ὁποῖον αὐτοῦ τὸ ἔργον. 302. ζ. Τὸ ὄντως τίμιον, καὶ τιμῆς παρεκτικόν. 303. β. Τίς ὁ παρ' αὐτοῦ δεδοξασμένος. αὐτ. γ. Ἡ αὐτοῦ φύσις ἐν ἰδίοις ἀγαθοῖς ἐρήρεισται. 325. δ. Τίς καλέσειεν αὐτὸν μάρτυρα. 350. δ. Χεὶρ αὐτοῦ, ὀφθαλμὸς, θυμὸς, καὶ μεταμέλεια τί σημαίνουσι. 373. ζ, καὶ 374. α. Σταγὼν τῆς φιλανθρωπίας αὐτοῦ νικᾷ πᾶσαν τὴν τῶν ἀνθρώπων ἀγαθότητα. 374. β, καὶ 377. δ. Καὶ τῶν μικρῶν καὶ τῶν μεγάλων δημιουργός. 374. γ. Πότε καταφρονεῖται. 376. β. Τίσιν ἐπιτρέπεται. αὐτ. γ. Τὸ ἀπειθεῖν αὐτῷ ἴσον τῇ ἀσεβείᾳ. αὐτ. ε. Τί τὸ αὐτὸν θεραπεῦον. 377. α. Τὸ παρ' αὐτοῦ κελευόμενον εὐσεβές. 380. α. Οὐ διδάσκει ψεύδεσθαι. 381. ζ. Αὐτοῦ μόνου ἡ πάντων γνῶσις. 382. α. Ὀφθαλμοὶ αὐτοῦ τίνες. 397. α. Θάνατον οὐκ ἐποίησε. 413. α. Διάφορα τὰ αὐτοῦ θήρατρα. 415. α, καὶ 416. α. Ὁ ἔχων αὐτὸν πάντων ἰσχυρότερος. 448. α. Ἴδιον αὐτοῦ τί. 476. β. Οὐ δεῖται οἴκου αἰσθητοῦ. 529. δ. Βραδὺς εἰς τιμωρίαν, ταχὺς εἰς σωτηρίαν. 557. β. Οὐδένα περιορᾷ ἀδικούμενον. 558. ε. Κἂν μὴ αὐτίκα, ἀλλ' ὕστερον δίκας εἰσπράττεται. 605. ζ. Γένους οὐκ οἶδε διαφοράν. 608. ζ. Τίνι ἕστηκε, καὶ τίνι σαλεύεται. 612. ζ. Ἀπερίγραπτος, πανταχοῦ παρὼν, καὶ περιέχων τὰ πάντα. 613. ε. Διαφόρως τοῖς ἀνθρώποις φαίνεται. αὐτ. ζ. Φωτίζει, καὶ κολάζει. 615. ε. Πότε καὶ πῶς ἐβρόντησεν. αὐτ. ε, ζ. Τίσιν ἐξαποστέλλει βέλη. 616. γ. Ἡ ἐπιτίμησις αὐτοῦ θεραπεία. αὐτ. ζ. Οὐ παραυτίκα κολάζει. 617. α. Τίνας ἀντιστηρίζει. 618. γ, δ. Πάντα ἐφορᾷ. 620. α. Πρὸς τὰς γνώμας ἁρμόττει τὰς ἀντιδόσεις. αὐτ. γ. Πῶς γίνεταί τις ἐν αὐτῷ. 622. α. Κατὰ τί λέγεται ζῆν. 626. ζ. Πῶς ὑψοῦται. αὐτ. η. Τίνας ἐμποδίζει λογισμούς. 634. ε. Ἐλάττους τῶν ἀπειλῶν ἐπιφέρει τὰς τιμωρίας. 639. β. Ποσαχῶς κατοικεῖ ἐπὶ τῆς γῆς. 697. γ, δ. Ἀπερίληπτον ἔχει φύσιν. αὐτ. η. Ἀχώρητος καὶ τὰ πάντα πληρῶν. 698. γ. Ὁ ὑπ' αὐτοῦ ἐγκαταλελειμμένος τίνι ὅμοιος. 722. ζ. Δι' ἀλλήλων τοὺς πονηροὺς κολάζει. 749. ε. Ἀγαπᾷ μὲν τοὺς ἀγαθοὺς, μισεῖ δὲ τοὺς μοχθηρούς. 751. β. Μικρᾷ μετανοίᾳ τὰς τιμωρίας συστέλλει. 754. δ. Φῶς, πῦρ, πνεῦμα, πῶς ἔξον αὐτὸν νοῆσαι. 783. α. Μακροθυμία καὶ φιλανθρωπία αὐτῷ φίλαι. αὐτ. δ. Διατὶ δι' αὔρας λεπτῆς παρεῖναι λέγεται. αὐτ. Τοὺς σωζομένους ἀριθμεῖ, οὐχὶ τὰς μυριάδας. 786. α. Τί τὸ μεγαλοπρεπὲς αὐτῷ. αὐτ. β. Ἄβυσσος ἀγαθότητος. 791. ε. Αὐτοῦ προστάσσοντος, οὐ δεῖ τὰ γινόμενα ἐξετάζειν. 799. η. Ἐνδίκως κολάζει καὶ εὐεργετεῖ. 816. δ. Θεὸς Ἀβραὰμ, Ἰσαὰκ, Ἰακὼβ, καὶ Ἠλιοῦ τί ἐμφαίνει. 823. β, γ. Δι' ὀλίγους δικαίους πολλοῖς σωτηρίαν χαρίζεται. 924. η. Μέτρῳ τῇ ἁμαρτίᾳ ἀναλόγῳ κολάζει 932. ε. Ἀπαραίτητος, ὑβριζομένων ὅρκων. 949. δ.

Θεότης ἐν τῷ σταυρῷ καὶ τοῖς ἥλοις οὐ γίνεται. 412. ζ. Τὸ σκότος αἰνίττεται τὸ αὐτῆς ἀόρατον. 701. β.

Θεοφορήτων ψυχὴ καὶ σῶμα ὁποῖον. 285. ε.

Θεραφεὶν τί. 232. δ, ε. 236. ζ, καὶ 908. α.

Θερμάστρα τί. 691. ζ.

Θησαυροὺς ἱεροὺς πότε ἐδαπάνων, καὶ πόθεν πάλιν ἀνεπλήρουν. 913. ε, ζ.

Θλίψις ὀνίνησιν. 545. δ. Ἐν αὐτῇ ἐπικλητέον τὸν Κύριον. 612. γ. Φῶς ἡ αὐτῆς ἀπαλλαγή. 621. γ.

Θριωδοὺς πῶς καλεῖ ἡ Γραφή. 159. ε.

Θυμικὸν καὶ ἐπιθυμητικὸν, ἄλογα. 621. δ.

Θυμὸς τί. 554. δ. Ὁ τοῦ Θεοῦ πῶς παρὰ τῆς Γραφῆς ἐκλαμβάνεται. 191. β.

Θυσία ἡψεῖτο. 164. δ.

Θυσίαι αἱ παλαιαὶ τῶν ἀληθινῶν τύπος. 107. γ.

Θυσιαστήριον ποῖον τὸ ἐμφαῖνον τὸ ἀληθές. 53. δ. Διατί ἦν ἔνθα αἱ κατάραι. αὐτ. Αὐτό τε καὶ τὰ ἐν αὐτῷ θυόμενα τίνος τύπος. 54. δ. Τὸ τοῦ θυμιάματος ποῦ ἔκειτο. 684. ε.

Ι.

Ἰαβεὶμ τί σημαίνει. 65. γ. Πόθεν ὥρμητο. 140. ζ.

Ἰαβιοσὸς πόλις ἀλκίμους φέρουσα. 491. α.

Ἰαὴλ τί σημαίνει. 142. ε, καὶ 147. ε.

Ἰακὼβ τὸ τῶν υἱῶν ἔργον οἰκειούμενος. 556. β.

Ἰατρικὴν οὐ δεῖ ἀποσείεσθαι. 928. β.

Ἰατροὶ ἐκ τῶν τοῦ Σολομῶντος συγγεγραφότες βιβλίων. 675. α. Τίνι λόγῳ αὐτοῖς κέχρηνται οἱ εὐσεβεῖς. 746. β. Οὐδὲν ἰσχύουσι, Θεοῦ μὴ βουλομένου. αὐτ. γ.

Ἰατροῦ καὶ Προφήτου παράθεσις. 928. β.

Ἰαχὶν τί. 687. (5)

Ἰδουμαία τί σημαίνει. 74. ζ.

Ἰδουμαίων ἔθνος ὁποῖον. 130. γ.

Ἰεβοὺς τί δηλοῖ. 120. β.

Ἰεβουσαῖοι ὁποῖον γένος. 517. β. Μέχρι τίνος τὴν Ἱερουσαλὴμ κατεῖχον. 518. α.

Ἰεβουθὲ ἡ ἱστορία τί ἡμᾶς παιδεύει. 513. δ.

Ἰεζάβελ τολμηρὰ καὶ δραστήριος. 753. β.

Ἰεζεκιὴλ παῖς ὢν εἰς Βαβυλῶνα ἄγεται. 947. β.

Ἰεμενεὶ τί σημαίνει. 583. ζ.

Ἱερεῖς Ἄγγελοι καλοῦνται. 158. α. Οἱ ἐν νόμῳ οὐ περὶ πάντων τῶν ἁμαρτημάτων θυσίας προσφέρουσι. 301. α. Οἱ τοῖς Ἀποστόλοις ὡμοιωμένοι ἴσασι περὶ ὧν χρὴ προσφέρειν. αὐτ. β. Οὐ δεῖ αὐτοὺς ὑπὸ τῶν ἀρχομένων διορθοῦσθαι. 524. β, γ. Καὶ οἱ ἁμαρτωλοὶ τὰ θεῖα μεταδιδόασι χαρίσματα. 758. α. Οἱ τῶν εἰδώλων τίνος χάριν αἵμασι τοὺς αὐτῶν θεοὺς ἐθεράπευον. 774. γ.

Ἱερεῖς καὶ οἱ Λευῖται ἴδιον οὐκ εἶχον κλῆρον. 233. α.

Ἱερεμίας τὴν τῆς Ἱερουσαλὴμ ἅλωσιν προεφήτευσεν. 946. ζ.
Ἱερεὺς διατὶ παροικεῖ. 76. α. Ἰσότητα ὀφείλει. 432. ζ.
Ἱεριμοὺθ τίς. 58. ε.
Ἱεριχὼ τίνος τύπος. 35. ζ, καὶ 40. γ. Διατὶ ἐν ἑπτὰ ἡμέραις καθαιρεῖται. 36. β, γ. Τίς ὁ ἐν αὐτῇ κηρύξας μετάνοιαν. αὐτ. γ, δ. Διατὶ ἀνεθεματίσθη. 38. δ. Ὑπὸ Ῥωμαίων ἐκ τρίτου συνέστη. 42. β. Τὶ σημαίνει. αὐτ. γ. Αὕτη ἡ τῶν Φοινίκων πόλις. 136. η.
Ἱεροβοὰμ θερμὸς καὶ ἐπιθυμητὴς μεγάλων πραγμάτων. 719. ζ. Διατὶ ἡ χεὶρ αὐτοῦ ἐξ ἀρχῆς ἐκ ἐξηράνθη. 730. δ. Τῆς χειρὸς αὐτοῦ καὶ τῶν ξύλων, τοῦ σταυροῦ καὶ τοῦ ἐν τῷ παραδείσῳ, παράθεσις. 731. α, β.
Ἱεροσυλία τί. 48. β.
Ἱερουσαλὴμ δύω προσηγορίας ἔχει. 121. δ. Ἐμπρησθεῖσα ἀνωκοδόμηται. αὐτ. ε. Ὕστερον ἔτως ὠνομάσθη. αὐτ. ζ. Τῶν Βενιαμιτῶν ἦν. 125. ζ. Ἐπὶ Σαοὺλ τίνες αὐτὴν κατῴκουν. 400. ε. Πότε ᾑρέθη. 950. ε. Τὰ τῶν πορθησάντων αὐτὴν ὀνόματα. αὐτ. ζ.
Ἱεροσύνη κρατείωμα. 303. ζ, καὶ 304. α.
Ἰεφθάε εἰκὼν Χριστοῦ. 193. β. Οὔτε γένεσιν ἔχων ἐπαινετὴν οὔτε βίον. 196. γ. Παγὶς ἐτέθη αὐτῷ ὑπὸ τοῦ Διαβόλου. αὐτ. ε. Τὴν εὐχὴν τῆς θυγατρὸς προτετίμηκεν. αὐτ. ζ. καὶ τὴν εὐσέβειαν τῆς φύσεως. 197. β. Διατὶ ἐν τῷ τῶν δικαίων καταλόγῳ κεῖται. αὐτ. α. Οὐδὲν τῆς εὐχῆς αὐτοῦ ἀσεβέστερον. αὐτ. δ. Αὐτοῦ τε καὶ τοῦ Ἀβραὰμ παράθεσις. αὐτ. ε. Πάντα ἀλλότρια τῆς εὐσεβείας ἐπεδείξατο. 198. ε. Οὔτε νόμιμον, οὔτε Θεῷ κεχαρισμένην θυσίαν ἐπετέλεσε. 199. ζ. Τίνος ἀξία ἡ αὐτοῦ θυγάτηρ. αὐτ. η. Αὐτός τε καὶ ἡ θυγάτηρ αὐτοῦ τίνος παράδειγμα. 200. α. Διατὶ τὴν τῆς θυγατρὸς αὐτοῦ σφαγὴν ὁ Θεὸς οὐκ ἐκώλυσεν. 200. α, 201. δ, καὶ 202. α. Οὔτε ᾔτησεν, οὔτε ἐδέξατο τὴν θυσίαν αὐτοῦ ὁ Θεός. 200. β. Διατὶ ἐνίκησεν. αὐτ. Ἡ προσφορὰ αὐτοῦ τύπος τοῦ πάθους Χριστοῦ. αὐτ. γ. καὶ τῆς ἐξ ἐθνῶν Ἐκκλησίας. αὐτ. δ, ε. καὶ τῆς σωτηρίου θυσίας. 202. β. Ἀνόητος ἡ αὐτοῦ ὑπόσχεσις. αὐτ. ζ. Πολλῷ ἀμείνων αὐτοῦ ἡ θυγάτηρ. 201. γ. Τῆς ἀπάτης αὐτοῦ καὶ τῆς τοῦ Ἀδὰμ παράθεσις. αὐτ. δ. Ἡ τῆς θυσίας αὐτοῦ συγχώρησις τίνος δεῖγμα. 202. α. Διατὶ ἡ θυγάτηρ αὐτοῦ ἐξητήσατο τὴν παρθενίαν πενθῆσαι. αὐτ. δ. Μετ' αὐτὸν οὐδεὶς τοιαύτην εὐχὴν ηὔξατο. αὐτ. ε.
Ἰεφοννὴ τὶ σημαίνει. 76. γ. Διώνυμος. 135. ε.
Ἰησοῦς ὁ τοῦ Ναυῆ ἔγραψε τὴν βίβλον αὐτοῦ. 1. στίχ. 1. Εἰσήγαγε τὸν λαὸν εἰς τὴν ἐπηγγελμένην γῆν. 2. β, καὶ 3. δ. Τύπος τῆς ἀληθείας. 3. γ. καὶ τοῦ Χριστοῦ. αὐτ. δ, 10. α, καὶ 68. η. Διατὶ ἐννέα καὶ ἥμισυ φυλὰς ἐκληροδότησε. 8. ε. Διατὶ οὕτως ὠνομάσθη. 10. α. Παρεδόθη τῷ ἀρχιστρατήγῳ Μιχαήλ. 33. γ. Δύναμις ὑπερμαχοῦσα αὐτῷ ἐδείχθη. αὐτ. ζ. Θάρσος αὐτῷ ἐδόθη. 34. δ. Εἰκὼν τοῦ Κυρίου Ἰησοῦ. 38. ζ, καὶ 57. α. Αὐτὸς μὲν τὰ ἐπ' αὐτοῦ γεγονότα, ἕτερος δὲ ἔνια τῶν ἐν τῇ αὐτοῦ βίβλῳ ἔγραψεν. 42. δ. Ὁ κατηγορῶν αὐτοῦ ὠμότητα, τὸν Θεὸν κατηγορεῖ. 52. γ. Μέσος ἐντολῆς καὶ ὅρκου ἀπελήφθη. 58. γ. Εἰκὼν τοῦ τῆς κλήσεως ποιητοῦ. 60. β. Διατὶ τοῖς μὲν αὐτός, τοῖς δὲ Μωϋσῆς τοὺς κλήρους διανέμει. 71. ζ. Μιμητὴς τῆς τοῦ Δεσπότου μετριότητος. 96. β. Τῆς τοῦ Σωτῆρος ἐπωνυμίας ἐπάξιος. αὐτ. γ. Πρᾶος καὶ ἐπιεικής. 103. α. Φιλόσοφος ὁ περὶ τοῦ θανάτου αὐτοῦ λόγος. 110. δ. Εἴκοσι καὶ ἐννέα βασιλεῖς κατηκόντισεν. 134. γ.
Ἱματίων ἀποτέλεσμα. 649. γ.
Ἰοθὼρ διαφόροις καλούμενος ὀνόμασιν. 124. α, β.
Ἰορδάνης πάνυ πλησίον τῆς Ἱεριχώ. 16. δ. Ἡ δι' αὐτοῦ διάβασις πρὸ τοῦ Πάσχα. 21. β. Ὁ μυστικὸς πότε αὔξει. 25. ε. Τοὺς τὸν μυστικὸν μὴ παρελθόντας οὐκ ἔστι μεταλαβεῖν τοῦ ἀμνοῦ. 32. γ. Τύπος Χριστοῦ. 823. γ. Ποτιμώτατος καὶ χαριστικώτατος. 846. β. Αὐτός ἐστιν ὁ καθαίρων καὶ ἰώμενος. αὐτ. γ. Τίνα τῆς λέπρας καθαίρει. αὐτ. ζ. Δι' αὐτὸν ἔκλαιον οἱ ἐπὶ τῶν ποταμῶν Βαβυλῶνος. αὐτ. Σημαίνει τὸν τῆς μετανοίας λόγον. 852. β.
Ἰουδαία ἀκαρπίαν νοσεῖ. 294. γ.
Ἰουδαῖοι πεπιστευκότες τῆς τῶν ἐθνῶν ἡγήσαντο σωτηρίας. 8. δ. Καὶ περιτμηθέντες ἀπώλοντο. 27. β. Ἀξιοθρήνητοι. αὐτ. η. Ὁποίων ἀγαθῶν ἐξέπεσον. 28. α. Διατὶ περιτέτμηνται, καὶ διατὶ πετρίναις μαχαίραις. αὐτ. γ, δ. Διατὶ πολλοὶ τῶν ἐν Αἰγύπτῳ τεχθέντων οὐ περιετμήθησαν. αὐτ. ε. Οἱ ἐν ἐρήμῳ φύντες πλὴν ὀλίγων ἀπερίτμητοι ἅπαντες. αὐτ. ζ. Πότε οὐκ ἐκλαιόμενοι, ἀλλ' ἀνδρωθέντες καὶ γεγηρακότες περιετέμνοντο. 29. β. Διατὶ ἔληξε παρ' αὐτοῖς ἡ εὐαγγελικὴ βρῶσις. 32. ζ. Πόσα ἔτη ἐν τῇ ἐρήμῳ διετέλεσαν. 77. ζ. Οἱ πρὸ τῆς παρουσίας Χριστοῦ ὁποῖοι. 107. γ. Διατὶ πᾶσαν τὴν ἐπηγγελμένην γῆν οὐκ ἔλαβον. 119. δ, ε, καὶ 127. δ, ε, κτ. Μετὰ τὴν Ἰοθὼρ συμβουλὴν ἔμειναν εἰς χιλιάρχους καὶ ἑκατοντάρχους διῃρημένοι. 164. α. Ἀπέπτη ἀπ' αὐτῶν ἡ χάρις. 168. ζ. Διατὶ ἐξυρῶντο τὴν κεφαλήν. 206. γ. Πάντων ἔρημοι ἐξ οὗ Χριστὸς ἐσταυρώθη. 302. ζ. Τίσιν ἐδούλευσαν ἐν τοῖς τῶν Κριτῶν καιροῖς. 530. ζ. Καὶ τὸ βασιλικὸν αὐτῶν γένος ἀλλόφυλον. 704. ε.
Ἰουδαίων καὶ Ἑλλήνων τῶν ἡμῖν συνοικούντων τίς ὁ τύπος. 72. β.
Ἰσμαῆλος ἐκ βασιλικοῦ γένους πονηρὸς καὶ δολιώτατος καὶ φυγάς. 955. ζ.
Ἰσραὴλ ποτὲ μὲν ἦν συκῆ, ἄμπελος, καὶ ἐλαία, ποτὲ δὲ ῥάμνος. 183. δ.
Ἰσραηλῖται πόθεν ἔπαθον. 135. α. Ἐφραὶμ πολλάκις καλούμενοι. 151. γ. Ἅπαξ καὶ δὶς ὑπὸ τῶν [...] τῶν ἡττήθησαν. 247. ε, ζ, 248. α, β, ε, κ[...] Θαύματος ἄξιοι. 249. δ. Ἡ τῆς βασιλεί[ας ...] οὐ γέγονεν αὐτοῖς ἀσεβείας αἴτιον. 908. [...]
Ἱστορία διατὶ πολλάκις μίγνυται τὰ παρ[...]
Ἰσχυρὸς πεσών, ταχέως ἀνίσταται. 55[...]
Ἰωὰβ γονεῖς τίνες. 588. β. Οὐκ αἰτια[...] βὶδ παρακούσας. 592. δ, ε.
Ἰωάθαμ διατὶ παραβολῇ κέχρηται. 1[...]
Ἰωάθαμ ὁ βασιλεὺς οὐδεμιᾶς ὑπολειπόμ[...] Ηὔξησε τὴν βασιλείαν. αὐτ. β.
Ἰωάννης ὁ Βαπτιστὴς ὑπὸ τίνων προτε[...] Ἱερεύς. αὐτ.
Ἰωβὰβ τὶ σημαίνει. 65. γ.
Ἰωνᾶ ἡ προφητεία οὐ περιέχει τὴν ἐν [...] προφητείαν αὐτοῦ. 896. γ.
Ἰωνάθαν ἀληθὴς τοῦ Δαβὶδ φίλος. 401. δ, [...] 421. γ. Οὐ πατραλοίας. αὐτ. ε. Διατὶ διὰ τῶν βελῶν τῷ Δαβὶδ τὰς τοῦ πατρὸς αὐτοῦ ἐμήνυσε βουλάς. 419. δ. Θερμότερον περὶ τὸν Δαβὶδ διέκειτο. 436. δ.
Ἰωσὴφ τὶ σημαίνει. 86. ζ.
Ἰωσίας ἧκεν εἰς τελειότητα. 667. ε.
Ἰταλῶν φωνὴ εἰς τὴν ἑλλάδα μετενεχθεῖσα ἀσαφής. 277. στίχ. 23.

K.

Καὰθ τίνες ἐγένοντο παῖδες. 297. γ.
Κάδης Βαρνὴ τίς. 95. α. Τὶ σημαίνει. 79. γ.
Καδημὶμ τὶ δηλοῖ. 156. γ.
Κάδης καὶ Καδησὶμ τὶ δηλοῖ. 939. α.
Καθαρότης ἰσοτίμους ἱερεῦσι ποιεῖ. 425. ε. Τίς ἂν ἔχοι αὐτήν. 619. β.
Κακίας λάτρης τίς. 131. ζ. Τὰ συνέχοντα αὐτὴν τ[...] 172. δ.
Κάλλος νόθον τοῦ ψυχικοῦ πολλῷ ἔλαττον. 383. ε.
Καπνὸς τίνος σύμβολον. 613. β.
Κάρδαλα τίς. 673. δ.
Κάρμηλος κώμη. 449. ε.
Καρχαμησὰν πόλις ποῦ. 945. δ.
Κατηχουμένου προκοπαὶ ὁποῖαι. 86. γ. Τοῦ παλινδρομοῦντος εἰς πλάνην ὁποῖον τὸ σύμβολον. 262. α.
Κενὲζ τὶ δηλοῖ. 82. α.

Κενδοξία

Ο ΤΩΝ ΑΞΙΟΜΝΗΜΟΝΕΥΤΩΝ ΠΙΝΑΞ.

Κενοδοξία κωλύει τὴν θαυματουργίαν. 840. α.
Κενόδοξος οὐδὲ γνῶσιν, οὐδὲ ταπείνωσιν ἔχει. 591. δ.
Κενοτάφια ἀποτροπιασμοὺς θανάτου νομιζόμενα. 412. β. Τὰ τοῦ Δαβὶδ τὶ σημαίνει. 413. β.
Κέρας παρὰ τῇ Γραφῇ τὶ σημαίνει. 291. γ. Ὅπλον καὶ δόξα τῶν ζώων. αὐτ. δ. Ποσαχῶς λέγεται. 610. ζ.
Κιβωτὸς τὶ περιεῖχε. 22. γ. Τὶ προετύπου. 38. α. Διατὶ δορυάλωτος γέγονε. 311. α. Σταθεῖσα ἐπὶ τὸν Ὠσηὲ οἶκον, τὶ ἐνέφαινε. 321. ε. Τὶ σημαίνει. 525. δ. Ποῦ ἔκειτο καὶ τὶ ἦν. 684. ε, ζ.
Κιναῖοι τίνες. 143. γ.
Κινύρας καὶ νάβλας τίς ἡ διαφορά. 710. δ.
Κιοσὼν τὶ σημαίνει. 156. γ.
Κλαυθμὼν πόθεν ὠνομάσθη. 128. γ, καὶ 522. α.
Κληδὼν τί. 931. δ.
Κλῆρος ἐν τῇ Γραφῇ οὐ συντυχικός. 89. ζ. Καὶ ἐθνικοὶ τούτῳ χρῶνται καὶ ἡ διαθήκη ἡ καινή. 90. β.
Κλήρων ποικιλία τὴν μνήμην νικῶσα τίς. 102. ε.
Κλίματα δ' ἐπὶ τῶν ὁρίων Ἰούδα. 77. η.
Κνήμη διάφορα σημαίνει πράγματα. 338. α. Εἰκὼν βασιλείας. αὐτ. γ.
Κοιλὰς ἡ τῶν Γιγάντων ποῦ. 520. α. Ἡ τῶν Τιτάνων τίς. αὐτ.
Κοινότητι χαρακτηρίζειν ἐπίμεμπτον. 673. γ.
Κολασθήσονται οὐκ ἐπίσης πάντες. 554. η.
[...] μισότεκνος. 757. α. Τὰ αὐτοῦ τέκνα πόθεν τὴν [...] πορίζονται. αὐτ.
[...] ἔκγονος. 297. δ.
[...] ὁ λαμβάνων βδελυρός. 43. γ. Ἡ συν[...] πότε. 230. η.
[...]γεται. 619. β.
[...]θνος καὶ ἐπὶ τοὺς κατὰ μέρος. 380. γ.
[...]μένη τὶ ποιεῖ. 813. ζ.
[...]ον. 118. στίχ. 15.
[...] αἰτίαν ἔχει. 173. ε.

Λ.

[...]λατρείας πρόξενος. 715. δ.
[...] ε, ζ. Πῶς ὀνομάζεται. 238. β, δ.
[...]εἰκών. 918. β.
[...] 458. ζ, καὶ 459. α.
[...]άλαι χωρὶς ἡμῶν τῶν ἐπαγγελιῶν οὐ τυγχάνει. 8. η. Οὐ παντελῶς ἐγκατελείφθη. 453. ζ.
Λατρεία διατὶ ἐνὶ τόπῳ τοῖς πάλαι ὥρισται. 772. β.
Λάχεις τίς. 58. ζ, καὶ 63. η.
Λεπροὶ πολιτείας κεχωρισμένοι. 510. δ.
Λευῒ τριῶν παίδων πατήρ. 297. γ.
Λευῖται τίνι ἀρκοῦνται κληρονομίᾳ. 97. ζ. Δεκάτας καὶ ἐκ τῶν πόλεων ἔλαβον. 99. β. Διατὶ διεσπαρμένοι ταῖς φυλαῖς ἦσαν. 233. α. Κεκωλυμένον ἦν αὐτοὺς ἱερᾶσθαι. αὐτ. δ.
Λέων ὁ πρῶτος καὶ ὁ ἔσχατος τίς. 212. ζ. Δυσωδέστατον ἔχει τὸ στόμα. 213. α.
Λῆμμα τί. 871. β.
Λίβανος τὶ σημαίνει. 5. α, β, γ.
Λίθοι οἱ ἐκ τοῦ Ἰορδάνου ληφθέντες τίνος τύπος. 21. ζ. Οἱ παρὰ τὴν διάβασιν τεθέντες τίνος σύμβολον. 24. α. Διατὶ δώδεκα ὑπὸ τοῦ Ἰησοῦ ἵστανται. 26. δ, ε. Καὶ φωνὴν ἀφήσειν δύνανται. 115. β.
Λίθος εἰς ἔλεγχον τῶν ἐμψύχων. 115. α.
Λιμῷ τῷ ἐπὶ Ἠλὶ γυναῖκες τῶν τέκνων ἥψαντο. 756. γ.
Λοβδὰ τίς. 63. η.
Λογισμὸς ὁ πονηρός, διατὶ ξένος. 552. ε.
Λογισμῶν τὰ τέλη δεῖ συνδέειν. 218. γ.
Λόγος ὁ θεῖος ἀπαλλάττει ἀκαθαρσίας. 27. δ. Ὁ ὑπ' ἀσεβείας δημιουργούμενος πότε καθαιρεῖται. 177. ε.
Λόγος Θεὸς διατὶ υἱὸς ἀνθρώπου ὀνομάζεται. 217. ε.
Λόγῳ τιμηθέντας κεχρῆσθαι δεῖ τῷ λόγῳ. 867. ε.
Λοιδορίας φέρειν ἀρχὴ εὐδοκιμήσεως. 581. α.
Λουζὰ τίς. 125. ε.
Λύχνος ὁ ἱερὸς πότε ἥπτετο. 365. δ.

M.

Μαγικὴ τέχνη ψυχὴν παρενεγκεῖν οὐ δύναται. 473. δ. Καταγοητεύει τὰ Δαιμόνια, καὶ σκιὰς καθυποφαίνει. αὐτ. δ.
Μάγιστρος παρὰ Ῥωμαίοις τίς. 604. ζ.
Μαγεδὼ τίς, καὶ τίνος γέγονε φυλῆς. 127. β.
Μαδαρὼθ τὶ σημαίνει. 153. δ.
Μαδιὰμ τίς ὁ παραταττόμενος. 170. ζ.
Μαδιανῖται τίνος σύμβολον. 172. γ.
Μαζουρὼθ τί. 938. ε.
Μακαριότης Θεοῦ ὁποίαν ἔχει ἐπαγγελίαν. 82. β.
Μακεδὰ ποῦ. 61. η.
Μαναὰ τὶ σημαίνει. 905. η.
Μαναὴμ σκαιὸς καὶ ὠμότατος. 899. δ.
Μαναῒ τὶ δηλοῖ. 587. γ.
Μανδύας τί. 395. γ, καὶ 541. ζ.
Μάννα ἐκλελοιπὸς τὶ ἐμφαίνει. 7. ζ.
Μάντεις ἐπὶ πλουσίων θύρας τὶ ποιοῦσι. 178. δ, ε. Τὰ ἐσόμενα αὐτοῖς ἀποκαλύπτεται κακά. 479. γ.
Μανωὲ εὐσεβέστατος, ὡσαύτως καὶ ἡ γυνὴ αὐτοῦ. 207. β. Ἐζηλοτύπησε τὴν ἑαυτοῦ γυναῖκα. αὐτ. γ. Ἀσθενὴς καὶ ἀτελής. 209. δ. Ἡ γυνὴ αὐτοῦ τελειοτέρα. 210. α.
Μαρία ἡ Θεοτόκος μετέλαβε τῆς Ἰησοῦ χάριτος. 296. ζ.
Μαῤῥὼμ τὶ σημαίνει. 65. γ.
Μαρτύρων πέρι τὰ προστεταγμένα ἀπέμφασιν ἔχει. 199. γ.
Μαρὼζ τί. 158. α. Ὡς πόλις ληφθεῖσα οὐχ εὑρίσκεται. αὐτ. β.
Μασσηφὰ τίς, καὶ ποῦ κεῖται. 66. ε, ζ.
Μασσηφὰθ τὶ σημαίνει. 324. ζ.
Μάχαιρα τὸν Κύριον καὶ τοὺς λόγους αὐτοῦ δηλοῦσα. 29. β.
Μαχεὶρ τὶ σημαίνει. 677. β.
Μεθύοντες φρονήσεως ἄγευστοι. 285. ζ.
Μέλαθρα τὶ δηλοῖ. 681. α.
Μέλαθρον τί. 688. ζ.
Μέλισσαι αἱ ἐν τῷ τοῦ λέοντος στόματι συναχθεῖσαι τὶ σημαίνουσι. 212. ζ.
Μελχὸλ φίλανδρος. 410. η. Σοφή. 411. β. Τὶ σημαίνει. 413. β. Τὴν ἀτεκνίαν μισθὸν τῆς ἀπιστίας λαβοῦσα. 526. α. Διατὶ κατεγέλασε τοῦ Δαβίδ. 527. γ. Διατὶ στεῖρα. 528. β.
Μεραρὶ διατὶ τὸν τρίτον λαμβάνει κλῆρον. 102. γ.
Μερὼμ τίς. 65. ζ.
Μεσίας ἡ Μεσσαιὲ τὶ σημαίνει. 882. β.
Μεταμέλεια ἡ τοῦ Θεοῦ οὐκ ἔχει συγγένειαν τῇ τῶν μεταμελουμένων. 373. γ. Τὶ εἰργάσατο. αὐτ. δ. Τί ἐστι. 374. α, γ, καὶ 892. γ.
Μετανοήσας τίς ἐκ τῆς τοῦ Διαβόλου κοιλίας ἐξέρχεται. 612. α.
Μετάνοια λύει πᾶν ἁμάρτημα. 228. β. Αὐτή τε καὶ ἡ ἄφεσις ἅμα. 557. γ. Ἡ αὐτῆς ἐνέργεια ὅση. αὐτ. ζ. Σβέννυσι θυμόν, καὶ ἀποστρέφει ὀργήν. 817. δ. Ὁ λόγος αὐτῆς μετὰ τὸν σταυρὸν πεφανέρωται. 852. γ. Ἐπανακαλεῖ τὴν χάριν. 953. α.
Μετανοοῦντας πῶς χρὴ παραδέχεσθαι. 558. α, β.
Μεχωνὼθ τὶ σημαίνει. 689. ζ, 691. γ, καὶ 905. γ.
Μηλωτὴ ἡ τοῦ Ἠλιοῦ τὶ δηλοῖ. 822. β. Παντὸς χρυσίου τιμιωτέρα. αὐτ. δ.
Μιωίσκοι τί. 179. η.
Μιχαίας ἦν ὁ τελαμῶνι χρησάμενος. 806. ε.
Μιχὰς εἰδωλολάτρης. 234. γ.
Μοιχία τί. 553. α.
Μονὰς ἑβδομάδι ἡ αὐτὴ πῶς; 294. δ.

Μαναχὺς

Μαναχοὺς πῶς καλοῦσιν οἱ καθ' ἡμᾶς Ἰουδαῖοι. 938. (3)
Μορφῆς διάκρισις ἐν φίλοις καὶ πολεμίοις οὐκ ἔστι. 407. ζ.
Μουσικὴ ἀνακαινίζει τὸν νοῦν. 831. ζ.
Μουσικῆς λατρείας τίς ὁ εὑρετής. 386. ζ. Τῆς πνευματικῆς πόση ἡ δύναμις. 522. δ, ε.
Μόσου ἐτυμολογία. 185. ζ.
Μοφαδὲμ τί σημαίνει. 153. δ.
Μυῖα ὁ Θεὸς Ἀκκαρὼν τί. 814. α. Τὴν εἰκόνα αὐτῆς Θεὸν ἀνηγόρευσαν. αὐτ. δ.
Μυστήριον ἐν τῇ Ἐκκλησίᾳ διὰ τὰ ἔθνη κρυφῇ τελούμενον. 162. ζ. Τὸ τοῦ Χριστοῦ πόθεν δῆλον. 216. α.
Μωαβιτῶν κατὰ ἡ ἀπόφασις πότε λύσιν ἔλαβε. 274. δ.
Μωϋσῆς ἔγραψε τὴν πεντάβιβλον. 1. στίχ. 1. Τύπος τοῦ νόμου. 3. γ, ε. Οὐκ ἰδίᾳ δυνάμει τοὺς ἐχθροὺς ἐτροπώσατο. 5. ε. Διατὶ δύο ἥμισυ φυλὰς ἐκληροδότησε. 8. δ. Διὰ θαλάττης ἄγων, οὐδεμίαν ἔσωζε τάξιν. 17. ε. Διατὶ οὐκ ἐκώλυσε τῶν Αἰγυπτίων τοὺς συναπάραι αὐτῷ θελήσαντας. 41. α. Οὐκ ἔδειξε σημεῖον οὐράνιον. 61. β. Διατὶ τοῖς μὲν αὐτός, τοῖς δὲ ὁ Ναυὴ τοὺς κλήρους διανέμει. 71. ζ. Οἱ ὑπ' αὐτὸν πότε τῶν ἐπαγγελιῶν ἀπολαύουσι. 103. ε. Διατὶ οἱ ἐξ αὐτοῦ φύντες τοῖς Λευΐταις συνετάγησαν. 239. β, καὶ 240. α. Ἱερέως εἰδώλων ἠγάγετο θυγατέρα. 240. β. Οἱ πρὸ αὐτοῦ προφητεύσαντες τίνες. 673. δ. Διατὶ ὄφιν χαλκοῦν κατεσκεύασε. 911. ζ.

N.

Ναὰς τί σημαίνει. 345. ζ, καὶ 346. δ. Διατὶ τοὺς δεξιοὺς ὀφθαλμοὺς τῶν ἐν Γαλαὰδ ἐζήτει ἐξορύξαι. αὐτ. ε.
Νάβαλ διατὶ ὑπὸ Θεοῦ ἀνῄρηται. 403. ζ. Τί σημαίνει. 454. ε.
Νάβλας καὶ κινύρας τίς ἡ διαφορά. 710. δ.
Ναζιραῖον τί σημαίνει. 205. η.
Νάθαν πῶς ἠγνόησε τὸ τοῦ Θεοῦ βούλημα. 527. ζ. Τίνος ἕνεκα τὸ δρᾶμα συντέθεικε. 550. ε. Διατὶ οὐκ ἐπὶ πολὺ τὴν τοῦ Δαβὶδ πληγὴν ἐμάλαξε. 554. β. Μέμφονταί τινες αὐτῷ. 651. α. Οὐκ εὐθὺς τὸν ἔλεγχον τῷ Δαβὶδ προσενήνοχε. 801. ε.
Ναὸς ὁ τοῦ Σολομῶντος πῶς μς' ἔτεσιν ᾠκοδομήθη. 679. β. Ἡ ἐν τρισὶν ἔτεσιν ἑτοιμασία τῆς ὕλης αὐτοῦ τί δηλοῖ. αὐτ. δ, ε. Ἔκφρασις τῆς αὐτοῦ οἰκοδομῆς. 680. γ, δ, κτ. Διατὶ οὐ πρὸς ἕω ἐτέτραπτο. αὐτ. Ἐξ αὐτοφυῶν ᾠκοδόμηται λίθων. 681. ε. Αὐτοῦ τε καὶ τῆς ἁγίας Παρθένου παράθεσις. αὐτ. ζ, η, κτ. Διατὶ χωρὶς σιδήρου ᾠκοδομήθη σκευῶν. 682. β. Οἱ λίθοι αὐτοῦ πῶς λελατόμηνται. αὐτ. γ. Τὴν Ἐκκλησίαν τυποῖ. αὐτ. δ. Ὑπερῷα εἶχεν. αὐτ. η. Διατὶ ἑλικοειδὴς ἡ ἐν αὐτῷ ἀνάβασις. 683. β. Οἱ ἐν αὐτῷ πέντε δεσμοὶ τί δηλοῦσι. αὐτ. δ. Τὸ πάντα χρυσᾶ εἶναι ἐν αὐτῷ τίνος σύμβολον. 686. β. Τρίστοος. 693. δ. Φωταγωγοὺς εἶχε σμικροτάτους. 701. β. Διατὶ ᾠκοδομήθη. αὐτ. γ. Ἡ τοῦ Βενιαμὶν φυλὴ αὐτὸν εἶχε. 715. ζ. Πρὸ αὐτοῦ τόπος ἦν, ἐν ᾧ ὁ βασιλεὺς ἐκαθέζετο. 906. α. Πόσα ἔτη μετὰ τὸ κατασκευασθῆναι ἐνεπρήσθη. 954. β.
Νεαθινόμοι τίνες. 912. α.
Νεεμὰν ἡ κάθαρσις τί ἐδήλου. 845. δ. Διατὶ οὐκ εὐθὺς ἐπείσθη ἐν τῷ Ἰορδάνῃ λούσασθαι. αὐτ. ζ. Καὶ τὴν γῆν τοῦ Ἰσραὴλ ἡγιάσθαι ἐνόμιζε. 848. γ.
Νεεσθὰν τί δηλοῖ. 911. ζ.
Νεζὲρ τί σημαίνει. 882. ε, ζ.
Νεότης ὁποία, πολιᾶς ἀμείνων. 206. ζ.
Νεσσάραν τί δηλοῖ. 427. β.
Νεφέλαι τοὺς Προφήτας σημαίνουσαι. 615. β.
Νεχαὼ πόθον ἔχων βασιλεῦσαι τῆς Ἀσίας. 944. γ.
Νηστείας καὶ προσευχῆς κατόρθωμα. 227. α, β, κτ.
Νικόλαος μέμνηται Ἀδάδου καὶ Δαβίδ. 537. α.
Νοήματα τὰ ἐμπαθῆ ἐμφανιστέον. 23. α.
Νομικὴ πολιτεία γῆς ἐδεῖτο στενωτάτης. 129. α.
Νόμος τίνι μετρεῖται δυνάμει. 279. ε. Ὁ τοῦ Δαβὶδ περὶ τῶν σκευοφόρων. 488. α, β. Ὁ τῶν βασιλέων περὶ τῆς διαδοχῆς τῆς βασιλείας. 818. ε.
Νόμος ὁ τοῦ Μωϋσέως Μωϋσῆς ὠνόμασται. 2. α. Ἄχρι προθύρων ἤγαγεν. 3. δ, ε. Ἀντίκειται πρὸς τὴν πίστιν, καὶ πρὸς τὰς ἄνω μονὰς ἀνάγειν οὐ δύναται. αὐτ. ε. Ὁποῖαι τοῖς αὐτὸν φυλάσσουσιν αἱ ὑποσχέσεις. αὐτ. η. Τίνων χρῄζει ὁ τοῦτον ἀναγινώσκων. 6. ζ. Δι' αὐτοῦ πολλοὶ ἐτελειώθησαν. 8. δ. Οἱ μετὰ τὴν χάριν αὐτὸν εἰσηγούμενοι τίσιν ἐοίκασιν. αὐτ. ζ. Τίνες ἔφερον τῶν δι' αὐτοῦ δικαιωθέντων τὸ πρόσωπον. 72. ε. Οἱ ἐν αὐτῷ σκιᾷ τῶν ἐπουρανίων ἐλάτρευον. 89. δ. Τρὶς τοῦ ἔτους ἑορτάζειν ἐκέλευσε. 129. α. Παιδαγωγός. 271. α. Προπαιδαγωγηθέντες καὶ μὴ δι' αὐτοῦ εἰσῆλθον εἰς τὸ μυστήριον. αὐτ. δ. Οὐ δύναται σώζειν. 273. γ. Οὔτε ἐκώλυσεν, οὔτε προσέταξε πολλαῖς ὁμιλεῖν γυναιξί. 279. ε. Βουθυτεῖν ἐκέλευσε. 325. α. Τῷ γράμματι αὐτοῦ παραπέπηγε τὸ πνεῦμα. 378. ε. Τῶν σωματικῶν αὐτοῦ παραγγελμάτων οἱ ἐπιστήμονες οὐκ ἐφρόντιζον. 425. δ. Οὐ κολάζει τέκνα δι' ἁμαρτίας πατέρων. 893. α.
Νόμος ὁ τῆς φύσεως πείθει τὴν σάρκα ὑποταγῆναι τῷ πνεύματι. 60. δ.
Νόμους τινὰς τῆς ἀσθενείας ἕνεκεν τῶν Ἰουδαίων τέθεικεν ὁ Θεός. 758. γ. Τούτους ποτὲ μὲν ὁ Θεὸς παραβαίνειν ἐκέλευε, ποτὲ δὲ τοὺς παραβαίνοντας οὐκ ἐπαίδευεν. αὐτ.
Νόμων τίνων οὐκ ἀναγκαία ἡ χρεία. 262. η.
Νοῦς βασιλεύς. 514. α. Λύχνος ψυχῆς. 621. δ. Οὐ κατ' οὐσίαν φῶς. αὐτ.
Νυμφαγωγὸς ποῖος. 216. δ.
Νῶε ἡ προφητεία εἰς πέρας ἀχθεῖσα. 55. ζ, καὶ 58. δ.
Νωκηδεὶ ἢ νωκὴδ τί σημαίνει. 829. α.

Ξ.

Ξύλον δίδυμον τί. 52. β. Τὸ ἐν Ἰορδά[illegible] τύπος καὶ σημεῖον. 851. δ, ε.
Ξύλου τοῦ παραδείσου καὶ τοῦ σταυροῦ παρά[illegible]

O.

Ὀζὰ διατὶ ἀπέθανε. 522. ζ. Προπετ[illegible] 523. α. Τῆς Λευϊτικῆς ἦν φυλῆς. [illegible] προπέτειαν τὴν τιμωρίαν ἐδέξατο. αὐ[illegible] γήσατο τὸ ἐφ' ἁμάξης βαλεῖν τὴν κ[illegible] Ἀνάξιος. αὐτ.
Ὀζίας διατὶ ἐλεπρώθη. 897. (3) Ὁμ[illegible] πάτορι πέπονθεν. αὐτ.
Οἶκος ὁ τοῦ Θεοῦ τί. 531. γ. Ὁ τοῦ Δρυμ[illegible] τίς. 693. γ.
Οἶφι τί. 452. ζ.
Οἰώνισμα τί. 931. δ.
Ὁμηρῖται τίνες. 707. ε.
Ὀμμάτων οἱ ἐστερημένοι καλῶς ἀδύνατοι καλεῖσθαι. 854. α.
Ὁμόρρων τί σημαίνει. 65. γ.
Ὁμώνυμα τίνα. 373. γ.
Ὄνομα τὸ τοῦ Ἐμμανουὴλ ἰατικόν. 209. α. Τὸ τῶν λελυπηκότων οἱ μισοῦντες μνησθῆναι οὐκ ἀνέχονται. 420. δ.
Ὀνομάτων ἑβραϊκῶν ἑρμηνείας μέμνηται ὁ Θεοδώριτος. 418. δ, 427. β, 454. ζ, 740. β, 911. ζ, καὶ 940. α.
Ὄνος ἀκάθαρτος. 213. δ.
Ὀποβάλσαμον ἐν τῇ Παλαιστίνῃ πόθεν. 709. ζ.
Ὀπτασίαι τί. 806. ζ, καὶ 807. γ. Τί ἐσήμαινον. αὐτ.
Ὅρασις τί. 871. β.
Ὁράσεων προφητικῶν ἀνάπτυξις. 806. ζ, η.
Ὀργὴ Θεοῦ τί. 635. δ.
Ὅρκος πόσον κακόν. 952. α.
Ὅρκου οἰκονομία. 256. α.
Ὅρκους παραβαίνειν οὐ δεῖ. 606. ζ.
Ὁρμίσκου ἐτυμολογία. 180. α.
Ὄρχησις πότε ὠνειδίζετο. 526. α.
Οὐρανὸν οἱ λέγοντες σφαιροειδῆ ἐλέγχονται. 59. ζ.
Οὐρίας προσήλυτος. 5[illegible]
Ὀφιτῶν αἵρεσις πόθεν. 912. α.

Π.

Πάθη ἀτιμάζει, 303. γ. Πῶς μεταχειριζόμενα τοὺς ἐμπαικτὰς ἀποκλείει λογισμούς. 828. γ.
Παθῶν ἄγνωστος ὁ τῆς νίκης τρόπος. 22. ζ.
Παίδων προνοητέον. 307. β. Οἱ μὴ προϊστάμενοι δικασθήσονται. 312. ε.
Παλαιὰ τύπος τῆς καινῆς. 1. β.
Παλλακίσι τῶν βασιλέων τίσιν ἐξῆν συγγίνεσθαι. 507. β.
Παμπόνηροι πότε κρύπτουσι, καὶ πότε γυμνοῦσι τὴν αὐτῶν πονηρίαν. 584. α.
Πανουργία καλή τίς. 54. ζ.
Παραβολὴ τί. 214. δ.
Παράνομος οὐ διαφεύξεται δίκην. 662. β.
Παρατρέχοντες τίνες. 882. α.
Παρθενίας τελειότης οὐκ ἦν τοῖς ὑπὸ νόμον. 271. α.
Παρθένοι ἀρχαῖαι ὁποίους ἐφόρουν χιτῶνας. 564. ζ.
Πάσχα τὸ μυστικὸν κατέπαυσε τὸ νομικόν. 32. ε.
Πατέρες τί ποιοῦσι τοὺς υἱοὺς προπέμψαντες. 498. γ.
Πατέρων προσηγορίας πολλοὶ ἐσχήκασιν. 141. β. Ἔθος καὶ λόγοι τῶν τοὺς διεφθαρμένους υἱοὺς νουθετέντων. 443. α.
Πατὴρ οὐ ζηλοτυπεῖ παῖδα. 655. γ.
Παῦλος εἷς τῆς Συναγωγῆς. 276. δ.
Πενθερίδες τίνες καλοῦνται. 124. β.
Πένητες πότε μειζόνως ὀδυνῶνται. 280. ε.
Περιστάσεων πικρῶν πῶς ἄν τις ῥυσθείη. 622. α.
[illegible]ρῶν κόπρῳ ἀντὶ ἁλῶν τίνες ἐχρήσαντο. 855. β.
[illegible]θῆναι δὶς τὴν σάρκα ἀδύνατον. 27. ζ.
[illegible] διὰ λίθου ἀνώδυνος. 27. α. Εἰκὼν τοῦ βαπ[illegible]ὐτ. β. Ἡ ἀχειροποίητος τίς. αὐτ. ε. Οὐκ [illegible] 28. α. Σημείου χάριν δέδοται. 29. α, β. [illegible]ματος τίς ὁ τύπος. αὐτ. δ. Μετὰ τρεῖς [illegible] αὐτῆς ἐπιτείνεται. 31. α. Ἀνάγει πρὸς [illegible]ματος μυστήριον. αὐτ. Ἡ πνευματικὴ [illegible]κῶν. αὐτ. β. καὶ ἀποτίθησι τῆς ἁμαρ[illegible] αὐτ. δ. Τὸν Ἰσραὴλ τῶν ἀλλοφύλων [illegible]8. α, β.
[illegible] παιδευθέντες. 616. δ.
[illegible] πηγάσασα δὶς πληθυνομένη, τί ἐμφαίνει.
[illegible]ρὰ τὴν Ἱεριχὼ ἰαθεῖσα. 825. δ. Πόσον [illegible] Ἱερουσαλὴμ καὶ τοῦ Ἰορδάνου. αὐτ. ε, ζ.
[illegible] οὐδὲν ἀσθενέστερον. 853. η.
Πίσ[illegible] ἀρνεῖσθαι ἢ ὁμολογεῖν οὐδὲ διστάζειν δεῖ. 772. ε.
Πιστοὶ ἐν ἀναπαύσει καὶ λαμπρότητι ἔσονται. 295. ζ, καὶ 296. α.
Πλάτων θεολογίαν καὶ φυσιολογίαν ὑπὸ τίνων ἔμαθε. 663. γ.
Πλεονεξία δυναστειῶν ὀπαδός. 43. δ. Αὐτῆς ἕνεκα πολλὰ τολμῶσιν οἱ ἄνθρωποι. 509. ζ.
Πλινθίον τί. 604. ζ.
Πνεῦμα τὸ ἅγιον πῶς τοῖς σώμασι συνοικεῖ. 211. α, καὶ 221. β. Κύριος παντοκράτωρ καλούμενον. 515. ζ. Πῶς τὸ τοῦ Θεοῦ θέλημα δείκνυσι. 807. α. Φωτίζει τὰς ψυχάς. 850. β. Τὰ πόρρωθεν εἰδέναι παρασκευάζει. αὐτ. γ.
Πνεύματα πλείονα δυνατὸν εἶναι ἐν τῷ αὐτῷ. 824. β.
Πνεύματα πονηρὰ κατ' οὐδενὸς ἐξουσίαν ἔχει δίχα τῆς θείας συγχωρήσεως. 386. β.
Πνεύματος ἁγίου διάφοροι οἱ τοῦ φθέγγεσθαι τρόποι. 29. ε. Ἡ αὐθεντία αὐτοῦ προτέτακται ἐν πᾶσι τοῖς ἐν τῇ Γραφῇ στρατηγήμασι. 221. ε.
Πόκος ὁ τοῦ Γεδεὼν τίνος σύμβολον. 168. β, γ, κτ.
Πόλεις ἐν τῇ ἄνω κληροδοσίᾳ πολλαί. 81. γ. αἱ τοῦ Ἰσραὴλ τίνες. 150. β.
Πόλεμον τὸν ἐν αὐτῷ ὁ καταλύσας παρὰ τίνι κληρονομεῖ. 78. ζ.
Πόλεμος μεταβολὰς ἔχει [illegible] 5. γ. Ὁ ἐμφύλιος παρὰ τοῖς Ἑβραίοις πότε ἤρξατο. αὐτ. ε.
Πόλις Δαβὶδ τίς. 658. δ.
Πολιτείαν εὐαγγελικὴν οἱ ἐν νόμῳ πληροῦν οὐκ ἠδύναντο. 17. δ.
Πολιτευομένων ἀγάπῃ Θεοῦ καὶ φόβῳ τίς ἡ διαφορά. 53. ζ.
Πορνείας πάθη τί τὸ καταλῦον. 172. γ. Τέλος ὁποῖον. 218. δ. Ὁποῖον τὸ ἁμάρτημα. 221. α.
Πορνῶν γυναικῶν ἔθος. 775. ε.
Πρᾳότης μέγα καλόν. 288. β.
Πρεσβύτεροι παρὰ τῇ Γραφῇ τίνες. 69. ζ. Οἱ ἑβδομήκοντα πρὸς καιρὸν προεφήτευσαν. 342. β.
Πρεσβύτερος καὶ Πρεσβύτης εἰ διαφέρει. 647. α.
Προβάτου καὶ ἀρνὸς διαφορά. 650. ζ.
Πρόνοια ἀναπληροῖ τὰ τῶν ἁγίων ἐλλείμματα. 453. δ. Χωρὶς αὐτῆς οὐδὲν γίνεται. 633. ε. Πάντα τρέφει. 757. ζ.
Πρόνοιαν τίνας δεῖ ἀναμένειν. 281. α.
Προσεύχεσθαι δυνατὸν πᾶν ὁτιοῦν ποιοῦντας. 285. α.
Προσευχὴ τί. 784. α. Κατορθώματα αὐτῆς. 327. α, β, κτ, 821. δ, καὶ 853. ζ.
Προσεύχομαι καὶ τοῦ εὔχομαι διαφορά. 282. ε, ζ.
Προσευχομένῳ ὡς δεῖ, πάντα δυνατά. 285. γ.
Προσόχθισμα τί δηλοῖ. 814. γ.
Προφῆται ἢ οὐκ ἐλάμβανον, ἢ παρὰ δικαίων ἐλάμβανον ἀργύριον. 334. ε. Πῶς ἐκαλοῦντο τὸ πάλαι. αὐτ. ζ. Διατὶ ὁρῶντες ὠνομάζοντο. 335. α, β. Τίνες αὐτοῖς οὐκ ἐπίστευον. 344. α. Οὐ μόνον τὰ σκυθρωπά, ἀλλὰ καὶ τὰ εὔθυμα αὐτοῖς ἀπεκαλύπτετο. 479. γ. Οὐ πάντα προῄδεσαν. 527. η, 579. δ, καὶ 839. γ. Ἐν τίνι ἐτρέφοντο. 761. γ. Ἐν οὐρανῷ πᾶσα ἡ σπουδὴ αὐτῶν. αὐτ. δ. Διατὶ παραβολαῖς τὰς θείας προφέρουσι προρρήσεις. 801. ε. Τίσιν ἱματίοις περιεβέβληντο. 815. β. Ἀκτήμονες. 844. β. Καλύβαις ἐχρῶντο. 850. η. Πενίᾳ συνέζων. 851. α. Διατὶ ἐπιλήπτους αὐτοὺς ἐκάλουν. 868. δ.
Προφητεία πότε ἐσπάνισε. 365. β.
Προφήτου ἔργον ὁποῖον. 846. δ.
Προφητῶν λόγοις τίνες παρακολουθεῖν οὐ δύνανται. 29. ζ. Τινῶν αἱ μὲν προσηγορίαι δῆλαι, τὰ δὲ βιβλία οὔ. 277. στίχ. 26. Τὰ ὑπ' αὐτῶν γραφέντα ἄλλοι συνήγαγον. 335. γ.
Προφητῶν υἱοὺς τίνας ἡ Γραφὴ καλεῖ. 819. γ.
Πρωτότοκοι Αἰγυπτίων τίνες. 42. ζ.
Πυθαγόρας θεολογίαν ὑπὸ τίνων ἐπαιδεύθη καὶ φυσιολογίαν. 663. γ.
Πῦρ τίνος σύμβολον. 26. α. Ὕδατι μάχεται. 775. γ.
Πυρᾶς κατ' ἔτος ἁπτομένης ὑπερήλλοντό τινες. 902. η.

Ρ.

Ῥαὰβ τί σημαίνει. 9. ε, η. Πανδοκεύτρια. αὐτ. Τίνος εἰκὼν καὶ σύμβολον. αὐτ. ζ, η, καὶ 12. γ. Πόθεν σώζεται. 10. δ. Πολλὴ ἡ σοφία αὐτῆς. αὐτ. ζ. Τίνος τύπος. 11. β. Προφῆτις ἐγένετο. αὐτ. ε. Ὃ μὴ δι' ἀκοῆς παρέλαβε, διὰ πίστεως ἥρπασε. 12. β. Ἀξία παντὸς ἐπαίνου. αὐτ. δ. Ἐν τῷ τείχει ὁ οἶκος αὐτῆς. αὐτ. η, καὶ 13. β. Ἄξια τοῦ θείου συνεβούλευε Πνεύματος. αὐτ. γ. Τοῖς ἁγίοις συνηρίθμηται. αὐτ. δ. Πόρνη τὸ πρότερον. 15. β. Ἐπίστευσε τῷ τῶν Ἑβραίων Θεῷ. αὐτ. Ἀπὸ τῆς πίστεως τὴν σωτηρίαν καρποῦται. 38. η. Τὰ αὐτῆς κατορθώματα ἡ Γραφὴ διηγεῖται. 39. α. Ἀξία τῆς τοῦ Ἰσραὴλ εἰρήνης. 40. η. Ἡ μετὰ τοῦ Ἰσραὴλ κατοίκησις αὐτῆς τίνος τύπος. αὐτ.
Ῥάμνος ἀκανθώδης καὶ πλήττουσα. 184. β. Πῦρ παρέχουσα. αὐτ.
Ῥασὶμ τί. 882. α.
Ῥαφαῒν τί δηλοῖ. 86. ε.
Ῥαψάκης Ἑβραῖος. 915. ζ. Ἀμορραῖος. 916. β.
Ῥημάτων τῶν θείων οἱ μεταλαμβάνοντες βλέπουσι τὰ ἀθέατα. 365. ε.
Ῥιχὰβ τίνος φυλῆς, καὶ τίς ἡ συμβουλὴ αὐτοῦ. 125. γ, δ.

Ῥοβοὰμ ἀλαζὼν καὶ ἀνόητος. 341. α.
Ῥὲθ ὁποία. 257. ςίχ. 2. Πῶς ἐξ αὐτῆς ὁ Δαβὶδ γενεαλογεῖται. αὐτ. Διατὶ τὸ κατ᾽ αὐτὴν συνεγράφη διήγημα. αὐτ. Ἡ κατ᾽ αὐτὴν ἱςορία ὠφέλιμος. αὐτ. Πρόγονος τῆς ἐθνῶν εὐλογίας. 259. ςίχ. 3. Τίνος τύπος. 260. δ. καὶ 274. ε. Ἐξ αὐτῆς ὁ Δαβὶδ καὶ ὁ Χριςός. 264. β. Τὰ ἐπ᾽ αὐτῇ γενόμενα ἐοικότα τοῖς ἐπὶ Χριςῷ πραχθεῖσι. 265. γ. Διατὶ μήτηρ βασιλέων ἐγένετο. αὐτ. ε. Τὸ δοθὲν αὐτῇ ὄξος τὶ σημαίνει. 266. ε. Ἐπιμέμφονταί τινες αὐτῇ τε καὶ τῇ πενθερᾷ αὐτῆς. 268. ζ. Ἐξευγενίσθη. 275. ε.
Ῥῶς τὶ σημαίνει. 578. β.

Σ.

Σαβὰ γυνὴ, τίνων ἐβασίλευσε. 707. ε.
Σαβὰ ἔθνος ὁποῖον. 707. γ, ε.
Σαδημὼθ τὶ δηλοῖ. 938. (1)
Σαδηρὼθ τὶ σημαίνει. 882. γ.
Σαλὴμ τὶ ἐμφαίνει. 95. ε.
Σαλμανάσαρ πῦ μετῴκισε τοὺς Σαμαρείτας. 907. α.
Σαλομὼν οὐκ ἔφθασεν εἰς τὸ τοῦ πατρὸς γῆρας. 532. ε. Ποῦ τὸν ναὸν ᾠκοδόμησε. 644. α. Οὐδὲ προφητικὴν, οὐδ᾽ ἀποςολικὴν τελειότητα ἀπ᾽ αὐτοῦ ἀπαιτητέον. 660. β. Διατὶ τὸν ἀδελφὸν ἀπέκτεινεν. αὐτ. γ. Διατὶ τὸν Ἀβιάθαρ τῆς ἀρχιερωσύνης ἐγύμνωσεν. αὐτ. ε. Διατὶ τὸν Ἰωὰβ ἀπέκτεινε. 661. ε. Πρῶτος ἔλαβε τὴν θυγατέρα Φαραὼ εἰς γυναῖκα. 663. ε. Ἀξιάγαςα τὰ τῆς προσευχῆς αὐτοῦ ῥήματα. 668. ζ. Διὰ τῆς αὐτοῦ προσευχῆς πόσα ἐπέδειξε. 669. α. Διὰ τὶ ἐν τῷ τετάρτῳ τῆς βασιλείας αὐτοῦ ἔτει τῆς τοῦ ναοῦ ἤρξατο οἰκοδομίας. 678. ε. Πόσα τὰ αὐτῷ ἀναφερόμενα βιβλία. 674. β. καὶ τίνα αὐτῶν, καὶ ὑπὸ τίνος, καὶ διατὶ ἀφανῆ γέγονεν. αὐτ. δ, ε. Αἱ πρὸς τοὺς Τυρίους ἐπιςολαὶ αὐτοῦ ἄχρι τίνος ἐσώζοντο. 676. ε, ζ. Εἰς τὸν πρωτότοκον πάσης κτίσεως λαμβανόμενος. 687. δ. Τῶν θείων ἐπλήσθη δωρεῶν. 714. γ. Λαγνίςατος. αὐτ. Οὐκ αὐτὸς, ἀλλ᾽ αἱ γυναῖκες αὐτοῦ τοῖς εἰδώλοις ἐλάτρευον. αὐτ. ε. Πόσα ἔτη ἔζησέ τε καὶ ἐβασίλευσε. 720. ε, ζ.
Σάλπιγγες αἱ τοῦ Ἰωβὴλ τὶ ἐδήλουν. 35. δ. Αἱ περὶ τὴν Ἱεριχὼ σαλπίσασαι τίνος σύμβολον. 37. β.
Σαμάρεια πόθεν ὠνόμαςαι. 750. β, δ. Ἐν αὐτῇ τῶν δέκα φυλῶν τὰ βασίλεια. αὐτ. ε.
Σαμαρεῖται τίνες, καὶ πόθεν ὠνομάσθησαν. 750. ε. Πόθεν μετῳκίσθησαν, καὶ ὅπως τὸν μωσαϊκὸν νόμον φυλάττειν ἠναγκάσθησαν. 910. ε. Πῶς τὸ πρότερον ἐκαλοῦντο. αὐτ. η.
Σαμεγὰρ ἄδηλος. 147. δ. Τὶ σημαίνει. αὐτ. ε.
Σαμουὴλ ὁποῖος. 284. α. Τὶ σημαίνει. 289. β. Πέμπτος καὶ δέκατος ἀπὸ Λευὶ καὶ τῆς Καὰθ πατριᾶς. 297. δ. Λευίτης ὢν, τὶ δήποτε τῷ ἐφοὺδ ἐκέχρητο. 299. β. Διατὶ πρὸς Ἠλὶ ἀπῄει ὑπὸ Θεοῦ καλούμενος. 305. ζ. Διατὶ νέῳ ὄντι ὤφθη ὁ Θεός. 306. δ. Κριτὴς καὶ ἀρχιερεύς. αὐτ. ζ. Ἔγνω τῆς ἐνανθρωπήσεως τὸ μυςήριον. 325. β. καὶ τὸν τύπον αὐτοῦ ἐπλήρου. 326. γ. Πῶς ὑπὲρ τῶν παίδων οὐκ ἔτισε δίκας. 329. β, γ. Διατὶ ἐλυπήθη, ὅτε βασιλέα ἐζήτησαν. αὐτ. ζ, καὶ 330. α. Παρεμυθεῖτο ὑπὸ τοῦ Θεοῦ. 330. γ. Ἀδωροδόκητος. 334. α, ε. Μισθὸν οὐκ ἐλάμβανεν. αὐτ. γ. Διατὶ κλήρους βαλεῖν ἐκέλευσε. 344. α. Διατὶ τὸν Σαοὺλ κατεφίλησε. 339. ζ. καὶ διατὶ πολλὰ δέδωκεν αὐτῷ σημεῖα. 340. ε, ζ. Πότε ἠναγκάσθη τὰ αὐτοῦ διεξελθεῖν ἐγκώμια. 349. β. Διατὶ πρὸς τὸν λαὸν δικάζεται. αὐτ. γ, δ. Ἐν ἀπολογίας προσχήματι δύο τινὰ κατώρθωσεν. αὐτ. ε. Καὶ λημμάτων ἐκράτει καὶ ὀργῆς. 350. α. Ἁμαρτίαν ἐνόμισε τὸ μὴ ὑπὲρ τῶν ἐχθρῶν προσεύχεσθαι. 353. γ. Ἤτησε παρὰ τοῦ Σαοὺλ παῤῥησίαν λαλῆσαι αὐτῷ. 375. γ. Ἐπετιμήθη. 379. ζ. Διατὶ οὐκ ἴσχυσεν ὑπὲρ τοῦ Σαοὺλ τὸν Θεὸν ἱλεώσασθαι. αὐτ. η. Διατὶ ἔσφαξε τὸν Ἀγαγ. 380. α. Διατὶ ἔδεισε, τὸν Δαβὶδ χρίσαι κελευσθείς. 381. δ, ζ. Διατὶ τὸν ψηφισθέντα Δαβὶδ ἠγνόησε. 382. α, ζ. Διατὶ δὶς τῆς αὐτοῦ τελευτῆς ἡ Γραφὴ ἐμνημόνευσε. 406. ε. Δίκαιος, χρηςὸς, Θεῷ φίλος. 449. γ. Πόσα ἔτη μόνος, καὶ πόσα σὺν τῷ Σαοὺλ ἦρξεν. αὐτ.
Σαμψὼν εἰς τὸν Ἰουδαϊκὸν ἀναφέρεται λαόν. 205. ε. Τὶ σημαίνει. 210. δ. Πῶς Πνεῦμα ἅγιον ἦν ἐπ᾽ αὐτόν. αὐτ. Οὐκ ὠνόμαςαι Προφήτης. 211. α. Τὶς ἀρχὴ αὐτῷ παραβάσεως. αὐτ. γ. Διατὶ ἔφαγε τὰ ἐν τῷ ςόματι τοῦ λέοντος κηρία. 213. γ. Πόθεν τὰς τ᾽ ἤγρευσεν ἀλώπεκας, καὶ διατὶ τὰς κέρκους αὐτῶν συνέδησε. 216. ζ, η. καὶ τίνες αἱ τοιαῦται ἀλώπεκες. 217. α, β, κτ. Τὸ δεθῆναι αὐτὸν καὶ λυθῆναι τὶ σημαίνει. 220. δ. Μετὰ τὴν πορνείαν οὐκ ἔτι Πνεῦμα ἐπ᾽ αὐτόν. 221. α. Διατὶ οἴνου καὶ ςαφίδος ἀπέχειν προσετάγη. αὐτ. γ. Τῷ Θεῷ πάντα προσεμαρτύρει. 222. β. Διατὶ ἐδίψησεν. αὐτ. Αἱ τρίχες περιεποίουν αὐτῷ τὴν ἰσχύν. 226. α, δ. Οὐκ ἦν ἅγιος. αὐτ. Πόθεν εἶχε τὴν δύναμιν. αὐτ. Πόθεν ἡ γυνὴ αὐτοῦ κλίχυσεν. αὐτ. γ. Διατὶ ἡ κόμη αὐτοῦ τιμία. 227. β. Τῆς ἐπταφώτου χάριτος ἔφερε τὴν εἰκόνα. αὐτ. Πῶς οὐκ ἀφίςατο ἀπ᾽ αὐτοῦ τὸ Πνεῦμα. 228. δ. Τίνος τύπος. αὐτ. ε, ζ. Τὰ κατ᾽ αὐτὸν εἰς Χριςὸν λαμβανόμενα. 229. β. Τὸ παιδάριον αὐτοῦ, καὶ ὁ τῶν ἀλλοφύλων οἶκος, καὶ οἱ ςῦλοι τὶ σημαίνουσιν. 230. β, γ. Οὐ παντελῶς ἐγκαταλέλειπται. αὐτ. ζ. Κατὰ τὶ θαυμαςός. 232. α. Διατὶ τῆς θείας γεγύμνωται χάριτος. 758. δ.
Σαοὺλ τὴν μορφὴν ἄριςος. 332. ζ. Πῶς ὠνόμαςαι ἀγαθός. αὐτ. Διατὶ πρῶτος βασιλεύει. 339. ε. Ἄγροικος. 341. β. Τὶ δεῖ περὶ αὐτοῦ ὑπολαμβάνειν. αὐτ. Μάχη ἐν αὐτῷ σαρκὸς καὶ πνεύματος. αὐτ. [...] διηνεκὲς ἔχε τῆς προφητείας τὸ χάρισμα. 34[...] διατὶ αὐτὸ ἔλαβεν. αὐτ. Διατὶ ἐκρύβη [...] 344. β. Βασιλικώτατος τὸ ὕψος. 345. α. [...]τητος δύο ἔτη ἐβασίλευσεν. αὐτ. ε. Πρ[...] Θυμώδης καὶ ἐπιμανής. αὐτ. δ. Τρίτ[...] 369. δ. Διατὶ τὸν Ἀγαγ ἔσωσε. 37[...] σιλεὺς κεχειροτόνηται. 374. γ. Διατ[...] γεγύμνωται. 377. γ, δ, κτ. Τοῖς τοῦ [...] ῥήμασι. 378. β. Μετανέςη ἐξ αὐτοῦ [...] Τὴν ψυχὴν αὐτοῦ σκύλλει ὁ Δαίμων [...] Ἀντειςήχθη αὐτῷ ὁ Διάβολος. 386. [...]θη καὶ Δαιμόνια αὐτὸν περιήχετο. [...] τοῦ Δαβὶδ ἐγένετο. 387. β. Διατὶ ἀπ[...] βὶδ τῆς μονομαχίας. 393. δ. Δύο ἔτη [...] λευσεν. αὐτ. ε. Πῶς τὸν Δαβὶδ ἠγνόησεν [...] θίως ἐπὶ ταῖς τοῦ Δαβὶδ εὐφημίαις ἐδυχέρ[...] Τὸν εὐεργέτην ὡς πολέμιον ἑώρα. αὐτ. ε. [...] τῆς χάριτος. 404. γ. Τίνι προεφήτευε πνεύματι. αὐτ. δ. Πονηρὸς καθ᾽ ὑπερβολήν. 405. α. Τίνος ἕνεκα τὴν θυγατέρα τῷ Δαβὶδ κατεγγύησε. 406. β, γ. Διατὶ ἀκροβυςίας ἤτησε. 407. ζ, καὶ 408. α, κτ. Τὶ τὸ αἴτιον τῆς κατὰ τὸν Δαβὶδ ἐπιβουλῆς αὐτοῦ. 410. δ. Πνεῦμα φθόνου αὐτὸν ἔπνιγεν. αὐτ. ε. Ἀνάξιος τῆς χάριτος. 415. β, καὶ 416. β. Ὕβρισε τὸ θεῖον Πνεῦμα. αὐτ. Πολλὰ τὸν Δαβὶδ ἠδίκησε. 420. δ. Διατὶ οὐ διὰ τοῦ οἰκείου ὀνόματος τὸν Δαβὶδ ἐκάλει. αὐτ. ε. Τίνος φέρει τύπον. 430. β. Τὶς ἡ πασῶν τῶν ἁμαρτιῶν αὐτοῦ δυσσεβεςέρα. 432. γ, ε. Ἀξιέπαινοι οἱ αὐτοῦ δορυφόροι. αὐτ. δ. Οἴκοθεν πονηρός. 442. ζ. Πάθος ἐκβαλὼν, πάθος ἐδέξατο. 446. β. Πόθεν ἔγνω, ὅτι ὁ Δαβὶδ βασιλεύσει. 447. η, καὶ 448. α. Ἐπίτροπον τὸν πολέμιον καταλιμπάνει. αὐτ. ε. Παλίμβολος, καὶ παμπόνηρος. 462. α. Τίνι χαριζόμενος, τοὺς μάντεις ἐδίωκε. 466. ζ. Διατὶ ὁ Θεὸς οὐκ ἀπεκρίνατο αὐτῷ. 467. δ. Τὸ μετασχηματισθῆναι τὶ ἐδήλου. 471. ε. Διατὶ τὸν Δαβὶδ ἀνελεῖν ἐμηχανᾶτο. 472. β. Διατὶ τὰς ἐγγαςριμύθους ἀνεῖλεν. αὐτ. Διατὶ τῶν ἐγγαςριμύθων ἐπεδεήθη. αὐτ. γ. Ἔνδοθεν ὑπὸ τοῦ Δαίμονος διεπολιορκεῖτο. 475. γ. Οὐδαμοῦ τῷ Σαμουὴλ ζῶντι προσκυνήσας φαίνεται. αὐτ. δ. Ἐτύφλωττε τὸν νοῦν. αὐτ. ζ. Διατὶ ἐκολάζετο. 477. γ. Γενναίως κατὰ τῶν ἀλλοφύλων ἠγωνίσατο. 488. ζ.
Σαπφὼθ τὶ σημαίνει. 588. δ.
Σαρεφθὰ ποῦ κεῖται. 761. ε.

Σαρεφθία ἀγαςὴ τὸ πρᾶον. 762. β. Πόθεν ἔγνω τὸν Προφήτην. αὐτ. γ. Τίνος ἕνεκεν ὄμνυσιν. αὐτ. ε. Μετ᾽ αὐτὴν οὐδενὶ τῶν ἀνελεημόνων ἀπολογία. 763. α. Πόσα πρὸς τὸ ἐλεῆσαι εἶχε τὰ κωλύματα. αὐτ. Τῷ Ἀβραὰμ καὶ τῇ Σάῤῥᾳ παραβάλλεται. 765, β, καὶ 766. β. Τίνα προτυποῖ. 765. ζ. Ἀξιάγαςα τὰ ἐπὶ τῆς τελευτῆς τοῦ υἱοῦ αὐτῆς ῥήματα. 766. ζ. Δι᾽ αὐτὴν ἡ τοῦ παιδὸς τελευτὴ γέγονε. 767. α.
Σαρκὸς δοῦλος τοὺς τοῦ Θεοῦ ἐξουθενεῖ λόγους. 211. δ.
Σατὰν τὶ δηλοῖ. 635. α, καὶ 716. β.
Σεδεκίας πῶς εἰς Βαβυλῶνα ἀπήχθη, καὶ αὐτὴν οὐκ εἶδε. 951. δ, ε, καὶ 952. α, β. Τῶν κατ᾽ αὐτὸν σύντομος ἱςορία. 958. β, γ, κτ.
Σελήνη τίνος σύμβολον. 60. δ.
Σιδὼν τὶ σημαίνει. 65. γ. Πόλις ἐπίσημος. 190. η. Πονηροτάτη. 763. α.
Σιδώνιοι τὶ σημαίνει. 71. ε. Τὰ κατ᾽ αὐτοὺς διατὶ ἀδιακόσμητα. 83. δ. Ἐν ὑπερβαλλούσῃ ἐτύγχανον ἀνέσει. 235. ζ.
Σικιμῖται ποῦ κατοικοῦσι. 371. ζ. Συγγενεῖς τοῦ πενθεροῦ Μωϋσέως. αὐτ.
Σίκλοι σ᾽ εἰσὶ μναῖ πέντε. 572. α.
Σίκλος πόσον ἔχει βάρος. 179. ζ, καὶ 359. α.
Σιλοὰμ διατὶ Γηὼν ὠνομάσθη. 653. γ.
Σὶν τὶ σημαίνει. 78. ζ.
Σινὰ διατὶ καπνιζόμενον. 612. ζ.
[...] ἡ τοῦ Θεοῦ ποῦ ἐπεπήγει. 279. η. Ἐν αὐτῇ ὅπλα [...]ειτο. 427. ε. Τὴν Ἐκκλησίαν δηλοῖ. 615. γ.
[...]τακτέον. 877. ζ.
[...]ὺ ἐξ Ἱερουσαλὴμ ἐξεφόρησε πλοῦτον. 537. ε.
[...]81. ε.
[...] τίνα ἔχει ὀπαδόν. 43. δ.
[...]08. α.
[...]ύπτου δυσσεβεῖς. 562. γ.
[...] λέγεται. 344. ε. Τὰ λανθάνοντα δείκ[...]
[...]ἐπαισχύνεσθαι παίδευμα. 526. α.
[...]λεξιφάρμακον. 675. α.
[...]λα. 60. α.
[...]ανοῦ τίς. 931. β.
[...] παραπέφυκεν ἡ πλεονεξία. 46. ζ.
[...]κακὴ ἐπιβλαβής. 865. γ.
Συ[...]ς τύπος. 918. α.
Συμεὼν τὶ σημαίνει. 120. β.
Συμμίξεων υἱοὶ τίνες. 894. δ.
Συμφορὰς ὑπομένουσί τινες διὰ ςεφάνους. 582. β.
Συναγωγὴ περιπτώματι περιπεσοῦσα. 264. ε. Τίνας ἐμφαίνει. 276. γ. Τὶς ὁ τύπος αὐτῆς. 453. ζ.
Σύνδεσμος τὶ δηλοῖ. 738. ζ, καὶ 883. γ.
Σύνεσις ἰσχυροτέρα δυνάμεως. 583. ζ.
Συνήθεια δευτέρα φύσις. 790. δ.
Σύροι πῶς ἱκέτευον τὸ παλαιόν. 798. ε.
Σύρων φωνῇ τίνες χρῶνται. 203. ζ.
Σωζομένων ἔνεςι διαφορά. 9. α.
Σῶμα ἐκ τῶν τεσσάρων ςοιχείων. 845. δ.
Σωματικῶν κρατούντων, πάντα ὕπνοι. 513. ε.
Σωμὴρ τὶ σημαίνει. 910. ζ.
Σώφρονι ὕβρις τί. 553. β.

Τ.

Ταπεινώσεις δύο. 81. δ.
Ταπείνωσις τί. 147. ε.
Ταφὲθ τὶ δηλοῖ. 940. α.
Τιτᾶνες τίνες. 520. α.
Τετρὰς ἐπὶ κακώσεων κειμένη. 24. η.
Τόποι ἐπουράνιοι διάφοροι. 90. ε.
Τόπος ἅπας εἰς Θεοῦ λατρείαν ἁρμόδιος. 328. δ.
Τριάδος τῆς ἁγίας οἱ πρότεροι καθαρῶς οὐχ ἥψαντο. 8. ε. Τίνα τὰ τρία ξύλα τὰ ἐπ᾽ αὐτὴν ἀναφερόμενα. 183. γ. Ἐν τίνι αὐτὴ θεωρεῖται. 616. ε. Ὁ ἀριθμὸς αὐτῆς ἐπὶ Ἠλιοῦ ἐμφαινόμενος. 775. γ.
Τροφὴ αὐτάρκης καὶ περιττὴ τίς. 526. δ. Ἡ παρὰ τὴν ἐντολὴν μετάληψις αὐτῆς, τιμωρίας αἴτιον. 735. δ.
Τρυφῆς τῆς κοσμικῆς ὁποῖα τὰ ἀποτελέσματα. 918. α.
Τύπος ὁ τῆς ἀληθείας σώζειν δύναται. 325. γ.
Τύριοι τὶ σημαίνουσι. 687. ε.

Υ.

Ὕδωρ θυόμενον τίνος σύμβολον. 325. δ.
Ὑπεροχαῖς καὶ φίλοι βάσκανοι. 342. ε.
Ὑπόδημα ἀντὶ τοῦ ποδὸς παρὰ τῇ Γραφῇ λαμβανόμενον. 34. δ.
Ὑρκανὸς τρισχίλια εὑρίσκει τάλαντα ἐν τῷ τοῦ Δαβὶδ μνημείῳ. 658. ε.
Ὑψηλὰ καὶ τὰ τοῦ Θεοῦ ἐκάλουν θυσιαςήρια. 915. ε, καὶ 939. δ.

Φ.

Φακέας ἀσεβὴς καὶ παράνομος. 900. η.
Φαραζὰν τὶ δηλοῖ. 147. δ.
Φαρισαῖοι διατὶ οὐκ ᾔδεσαν τὸν πατέρα. 297. ζ.
Φαυλότης διττῶς ἀποπεραίνεται. 917. δ.
Φερεζαῖοι τὶ δηλοῖ. 86. ε, καὶ 120. ε.
Φερεκύδης θεολογίαν καὶ φυσιολογίαν παρὰ τίνων ἔμαθε. 663. γ.
Φθόνος μισόκαλον. 403. β. Ἀτόπων ἐργάτης. αὐτ. γ.
Φιλανθρωπίᾳ χρὴ συγκιρνᾷν τὸ δίκαιον. 802. δ.
Φιληδονία πλούτου ὀπαδός. 43. δ.
Φίλος ἐν τίσι βάσκανος. 342. ε. Ὁ ἀληθὴς τίς. 401. γ. Ἐᾷν οὐ χρὴ αὐτὸν δυσπραγοῦντα. 576. γ.
Φιλοσόφου εἰ ἴδιον τὸ θρηνεῖν, καὶ τίνας δεῖ θρηνεῖν. 496. η.
Φιλοσόφων τῇ δοκήσει ὁποία ἡ περὶ τὸν φόνον διάθεσις. 441. ε. Ἴδιον τὸ φέρειν. 445. δ.
Φινεὲς δύο φόνους ἐργασάμενος, ἱερωσύνῃ τιμᾶται. 802. γ.
Φόβος ὁ τοῦ Θεοῦ τί. 611. δ.
Φοινίκων πόλις ποία. 124. β, καὶ 137. α. Διατὶ οὕτω προσηγόρευται. αὐτ. β.
Φόνος Θεοῦ δῶρον οὐ γίνεται. 439. δ.
Φρόνιμος παρὰ τῇ Γραφῇ οὐκ ἀεὶ ἔπαινον συνεισάγει. 561. ζ.
Φυλαὶ αἱ δέκα πότε Ἰσραὴλ ἐκλήθησαν. 68. ε, καὶ αἱ δύο πότε Ἰούδας. αὐτ. δ.
Φυλὴ ἡ τοῦ Ἰούδα πρώτη ἀκληρωτεὶ λαμβάνει τὸν κλῆρον. 102. α. Διατὶ εὐδοκιμεῖ. 120. α, β. Τρισμυρίους ἔχουσα ςρατιώτας. 371. γ. Ἡ βασιλικὴ τῇ ἱερατικῇ συνάπτεσθαι ἔμελλεν. 425. α. καὶ πότε συνεμίγη. 880. γ. Ἡ Βενιαμῖτις τῇ τοῦ Ἰούδα πότε συνήφθη 600. δ. καὶ εἰκότως συνήφθη. 715. ε.
Φυλῶν Ἰούδα καὶ Λευὶ ἡ ἐπιμιξία διατὶ συγκεχώρηται. 98. η. Ἡ βασιλικὴ καὶ ἡ ἱερατικὴ ἐπεμίγησαν ἀλλήλαις. 233. γ. Τῶν δέκα τίνα τὰ ὅρια. 728. β.
Φύσει τῇ τῶν πραγμάτων οὔτε Θεὸς οὔτε ἄνθρωποι προσέχουσι. 801. γ. Πρὸ αὐτῆς τὰς τοῦ Θεοῦ ψήφους ἐξεταςέον. 802. δ.
Φωνῆς ἁγίων θαυμάσια. 446. γ, δ.

Χ.

Χαλοὺ τὶ σημαίνει. 76. γ. Ὁποῖα ὄρη καθαιρεῖν ἐπαγγέλλεται. 77. δ. Διατὶ τὴν Χεβρὼν ᾔτησεν. αὐτ.
Χαλκᾶς τίς. 673. δ.
Χαλκὸς τίνος τύπος. 39. ε.
Χαναναίας γῆς ἡ φύσις ὁποία. 91. α. Ὅροι αὐτῆς ἀρχαῖοι τίνες. 896. β.
Χαναναίου ἀλληγορία. 86. β, γ, καὶ 88. ζ. Ἡ σημασία τίς. 120. β.

Χαρὰ αἴρει ψυχάς. 926. η.

Χάρις χεὶρ Κυρίου λέγεται. 831. ε.

Χάριτος ἄνευ οὐ λειποτακτεῖ τὰ θνητά. 289. γ. Ἀποστάσης, ἐλέγχεται ἡ φύσις. 785. δ. Ὁ μὴ νήφων αὐτῆς οὐκ ἀπολαύει. 821. α.

Χεβρὼν τίς. 58. ε. Ἐν αὐτῇ ᾤκησαν καὶ ἐτάφησαν οἱ Πατριάρχαι. 77. ε, καὶ 500. δ. Τί σημαίνει. 78. γ, δ, καὶ 516. ζ. Τίνες τῶν Πατριαρχῶν ἐν αὐτῇ κατὰ συζυγίαν κεῖνται. αὐτ. δ, ε. Μητρόπολις τῆς Ἰούδα φυλῆς. 500. δ.

Χειρὰμ εἰς ὃν ἀνείληφεν ὁ Χριστὸς ἄνθρωπον λαμβανόμενος. 687. ε.

Χεροὺβ τί σημαίνει. 6τ4. ε.

Χερουβεὶμ οὐκ ἠδυνήθησαν ἑλληνιστὶ ἑρμηνεῦσαι. 686. β. Καταχρηστικώτερον τί σημαίνουσιν. αὐτ.

Χετιεὶμ ἡ Κύπρος. 126. ε.

Χῆραι ἀληθεῖς οὐ καταφρονητέαι. 760. γ.

Χήρα τίς. 762. γ.

Χιτὼν καρπωτὸς τί. 564. η.

Χελιδὼν τί. 495. γ, καὶ 537. δ.

Χορρὶ τί. 882. α.

Χοῦθος ποταμὸς Περσίδος. 907. β.

Χρεὼν διαφυγεῖν οὐχ οἷόν τε. 809. ε.

Χρίσεις αἱ χειροτονίαι. 516. δ, καὶ 675. δ. Αἱ ἀναῤῥήσεις. 561. β.

Χριστιανὸς πόθεν. 274. ε, καὶ 675. α.

Χριστὸς τὴν οὐράνιον ἤνοιξε βασιλείαν. 2. β. Πῶς αὐτῷ ἁρμόττει τὸ τῆς ὑπουργίας ὄνομα. αὐτ. γ. Ἀποκαθίστησιν εἰς τὴν ἀληθεστέραν κατάπαυσιν. 3. δ, ε. Διαβιβάζει τὸν Ἰορδάνην. αὐτ. ζ. Πρόδρομος ἡμῶν εἰς τὸν οὐρανὸν εἰσῆλθεν. 4. β. Ὁποία ἔρημος αὐτῷ ὑπετάγη. 5. α. Δίδωσι τὰ οὐράνια ἀγαθά. 6. β. Πᾶσαν ἐπλήρωσε δικαιοσύνην. αὐτ. δ. Μόνος τῶν ἐπὶ γῆς ἐπλήρωσε τὸν νόμον. αὐτ. η. Δωρεῖται τὴν ἄνω κληρονομίαν. 10. β. Πότε αὐτὸν ξενίσαι διωξόμεθα. 11. γ. Τοῦ αἵματος αὐτοῦ ποῖον τὸ σύμβολον. 14. β, γ. Τῶν ἐτῶν τῆς ἐλεύσεως αὐτοῦ τίς ὁ τύπος. 17. ζ. Αὐτοῦ τε καὶ τοῦ Ναυῆ παράθεσις. 18. ε, ζ. Τὸ μυστήριον τῆς τοῦ πατρὸς αὐτοῦ οἰκονομίας διὰ τίνος ἐμφαίνεται. αὐτ. η. Δι' αὐτοῦ ἡ ἀνθρώπινος φύσις τῷ πατρικῷ κεκάθικε θρόνῳ. 23. ζ. Εἰς τὸν οὐρανὸν ἡμᾶς εἰσάγει. 24. β. Πέτρα. 27. β, 28. δ, καὶ 164. ζ. Μάχαιρα. αὐτ. Αὐτός ἐστιν ὁ περικαθαίρων. 30. ζ. Πότε τὸν ἄρτον τῆς εὐχαριστίας καὶ τὸ ποτήριον εὐλόγησε. 32. ε. Τῇ αὐτοῦ προσαγῇ τῶν ἐχθρῶν καταστρατευόμεθα. 36. ζ. Τοὺς τὰ αὐτοῦ φρονοῦντας μηδενὸς κοσμικοῦ δεῖ ἐφίεσθαι. 39. α. Τὴν Ἱεριχὼ τῆς αὐτοῦ ἠξίωσε παρουσίας. 42. β. Ἔστησε τὸν ἥλιον. 61. β, γ. Νικῶσιν οἱ ὑπ' αὐτοῦ στρατηγέμενοι. 62. β. Κράτησις γῆς ὑπ' αὐτοῦ ἡ προτέρα τίς. 70. ζ. καὶ τίς ἡ δευτέρα. 71. α. Τὴν ἀληθῆ δίδωσι κληροδοσίαν. 75. β. Ὑπ' αὐτοῦ τὸ ἱερατικὸν διανέμεται τάγμα. αὐτ. ε. Αὐτὸς ἀξία ἡ κρείττων. αὐτ. ζ. Οὐδεὶς ὡς αὐτὸς οἶδε τὸν νόμον. 76. δ. Θεοῦ εἰρήνη. 84. ζ. Τὴν ἀληθῆ παρέχει λατρείαν. 89. δ. Βασιλεὺς καὶ ἀρχιερεύς. 99. α. Μεταξὺ τίνων ζώντων καὶ τεθνηκότων ἔστη. 107. δ, ε. Τῷ θανάτῳ αὐτοῦ τῆς πνευματικῆς περιτομῆς παραπέπηγεν ἡ χάρις. 116. γ. Οὐ μόνον διὰ τὸν Ἰσραὴλ ἦλθεν. 120. ε. Αὐτῷ προσανέκειον τὰς χάριτας. 165. γ. Τὰς δαιμονικὰς καθεῖλε θυσίας. αὐτ. ζ. Ὁ τοῦ πάθους αὐτοῦ τύπος. αὐτ. Ἡ κατὰ σάρκα αὐτοῦ σύλληψις καὶ ἡ γέννησις ἡσύχως καὶ μυστικῶς γέγονε. 168. δ. Τοῦ κατ' αὐτὸν μυστηρίου ὁ τύπος τίς. 173. ζ, η, καὶ 851. γ. Φθόνῳ κατεκρίθη. 212. δ. Ὁ θάνατος αὐτοῦ μέλι ποιεῖ. 213. ε. Τίς ὁ τοῦ σώματος αὐτοῦ τύπος. 219. β. Τοῖς ἐν φυλακῇ πνεύμασιν ἐπορεύθη. 229. β. Ἐγνωρίζετο τῇ Συναγωγῇ. 263. ε. Οἱ πρὸ καὶ μετὰ τὴν παρουσίαν αὐτοῦ τίνι ὅμοιοι. 264. γ. Ἐξ Ἰουδαίων. 268. β. Ὑπὲρ ζώντων καὶ νεκρῶν ἀπέθανε. 269. δ. Δέδωκε τῇ Ἐκκλησίᾳ τὴν νέαν διαθήκην. αὐτ. ε. Ποῦ ἀναπαύσεται. αὐτ. ζ. Διὰ τῆς αὐτοῦ χάριτος ἐσκεπάσθημεν. 270. α. Ἀληθινὸς ἀγχιστεύς. 271. δ. Ἡ χάρις αὐτοῦ τὴν Ἐκκλησίαν περιέζωσε. 272. β. Πόθεν κατάγει τὸ γένος. 275. γ. Ἀληθεῖς ἐπαγγελίας δέδωκεν. αὐτ. δ. Τίνος ἕνεκα Ναζωραῖος ἐχρημάτισε. 279. δ. Τὰς τῶν ἁγίων ψυχὰς εἰς ἑτέρους μετέστησε τόπους. 295. δ. Ἀρχιερεὺς ἡμῶν. 304. δ. Τὸν Διάβολον ἐτροπώσατο. 315. β. Οὐχ ὑπέμεινε τροπήν. 325. δ. Θεότης καὶ ἀνθρωπότης ἐπ' αὐτῷ συνδεδραμήκασιν. αὐτ. ε. Τῷ αἵματι αὐτοῦ σεσώσμεθα. 320. ε. Ἐκ τοῦ Δαβὶδ τὸ κατὰ σάρκα. 381. α. Τῇ δειλίᾳ τὴν ἀνθρωπίνην ἔδειξε φύσιν. αὐτ. ε. Ὅπου μνήμη αὐτοῦ, ἐκεῖ Δαιμόνων ἀπώλεια. 388. β. Τί τὸ τῆς ἀναστάσεως αὐτοῦ σύμβολον. 413. γ. Οἱ πάσχοντες πρὸς αὐτὸν προσέχοντες παρηγοροῦνται. 429. γ, δ. Μακροθυμίᾳ κατεδίκασε τὸν ἀλάστορα. 476. β. Ὁ τοῦ θριάμβου αὐτοῦ περὶ τοῦ πρώτου λαοῦ τύπος. 497. ζ. Δαβὶδ ὑπὸ τῶν Γραφῶν καλούμενος. 515. γ, καὶ 625. δ, ε, καὶ διατί. 628. δ. Οἱ πιστεύσαντες αὐτῷ πῶς ὀστᾶ καὶ σάρκες αὐτοῦ. αὐτ. ε. Καὶ πρὸ τῆς ἐνανθρωπήσεως κατὰ πάντων εἶχε τὸ κράτος. αὐτ. Θεὸς φύσει. 516. β, καὶ 622. ζ. Διατί κεχειροτονῆσθαι λέγεται βασιλεύς. αὐτ. ε. Ἐν αὐτῷ τὰ πάντα ἐν γεγόνασιν. αὐτ. ζ. Τίσιν ἀπαράδεκτος. 517. δ. Πῶς τὰς ἀδικίας ἡμῶν φέρειν λέγεται. 533. γ, δ. Οἱ αὐτὸν ἐσταυρωκότες τῆς προγονικῆς ἐξέπεσον εὐγενείας. 606. δ. Κέρας σωτηρίας. 610. α. Ὠδίνας ἔτεκεν αὐτῷ ὁ θάνατος. 611. ε. Πότε ἐπὶ Χερουβὶμ ἐπέβη. 614. ζ. Πῶς νοητέον πυρετὸν, θάλασσαν, καὶ ἄνεμον ὑπ' αὐτοῦ ἐπιτιμώμενα. 616. ζ. Λύχνος. 621. β. Ὁδὸς ἄμωμος. 622. γ. Πεπυρωμένα εἶχε λόγια. αὐτ. Διατί μονογενής. αὐτ. ζ. Ποιητὴς Θεῶν. αὐτ. Φῶς ἐθνῶν. 625. γ. Βασιλεύει πάντων τῶν ἐθνῶν. αὐτ. δ, ε. Κεφαλὴ τῆς Ἐκκλησίας [illegible] Πάντα οἶδεν. αὐτ. ζ. Παράκλητος. 642. ε. Δι[illegible] ναναίαν ἠρώτα. 782. α. Τίνες οἱ ἐκ τῆς ἐπ[illegible] ὠφελούμενοι. 785. δ. Καθ' ἡμέραν τινὲς αὐτ[illegible] αὐτ. ζ. Κατέλιπεν ἡμῖν τὴν σάρκα, καὶ ἔχ[illegible] θεν. 822. ε. Ἡμέρας υἱοὺς ποιεῖ. 824. [illegible] αὐτ. Αἱ ὑπ' αὐτὸν Δυνάμεις οὐχ υἱοὺς, [illegible] σιν. αὐτ. Ὅλον ἐφόρεσε τὸν ἄνθρωπον [illegible] πανταχοῦ λόγῳ ἰᾶτο. 846. α. Ἐλυτρώ[illegible]

Χρίω ἀντὶ τοῦ χειροτονῶ. 501. β.

Χρονολογία Κριτῶν. 259. β, γ, κτ. [illegible]

Χρυσὸς τίνος τύπος. 39. ε.

Χωμαρὶμ τί σημαίνει. 938. (3)

Ψ.

Ψευδοπροφῆται τοῖς κορυβαντιῶσιν ἐο[illegible] Προφῆται ὀνομαζόμενοι. αὐτ. γ.

Ψεῦδος ἄκρατον ἀπίθανον. 10. ζ. Τὸ τοῦ Χ[illegible] ἐπαινοῦσι. 578. ε. Αἱρετώτερον τῆς σφαγῆς. αὐτ. ζ.

Ψυχαὶ αἱ ὀδυνώμεναι πῶς διάκεινται πρὸς τὰς λοιδορίας. 286. α.

Ψυχαὶ αἱ τῶν Ἁγίων ὁποῖαι. 292. δ. Τῶν δεσμῶν ἀπολυθεῖσαι, καὶ εἰς ἑτέρους μεταβᾶσαι τόπους. 295. δ. Ποῦ διάγουσι. 468. γ.

Ψυχὴ ἐν τῷ δε τῷ βίῳ οὐ καθαρά. 84. ζ. Πῶς διορθοῦται. 132. γ. Ἡ δυνατὴ καταπατεῖ τοὺς πολεμίους. αὐτ. ε. Τίς ἡ ἔχουσα παῤῥησίαν. 287. β. Ἡ θεοφιλὴς ὁποία. 294. δ. Πότε ἐξασθενεῖ. αὐτ. ζ. Τίς ἡ εὐτοκίᾳ χρωμένη. 295. α, β. Τίς ἡ πιστοτάτη πόλις. 925. β. Τί τὸ σκότος αὐτῆς. 621. δ. Τίς ἡ ἀῤῥωστία αὐτῆς. 813. β.

Ψυχὴν ἐασθῆναι ἀχαλίνωτον, παγχάλεπον. 5. ζ. Πότε γόνιμον τὸ Πνεῦμα τὸ ἅγιον ἀπεργάζεται. 837. δ. Τίνα καὶ πότε ὁ Θεὸς προσδέχεται. 839. δ, ε.

Ω.

Ὠβὴδ τί σημαίνει. 276. ε.

Ὠδαὶ ἐν τῇ θείᾳ Γραφῇ ὁπόσαι καὶ ὁποῖαι. 145. β.


Ὠδίνων καὶ κινδύνων παράθεσις. 611. ε.

Ὠριγένους τολμηρά τις ἀπόφανσις. 475. ε. Βούλεται τὸν Σαμουὴλ ἀνῆχθαι. 477. ε.

Ὠσηὲ διατί πόρνην καὶ μοιχεύτριαν λαβεῖν προσετάχθη. 739. α.

Τ Ε Λ Ο Σ.

ΠΕΡΙ



ΠΕΡΙ

ΣΤΑΘΜΩΝ ΚΑΙ ΜΕΤΡΩΝ.

Τῶν παλαιῶν σταθμῶν καὶ μέτρων διὰ τῶν ἐν τοῖς καθ' ἡμᾶς καιροῖς ἐν χρήσει ὄντων, οὐ μόνον Ἰατροῖς καὶ Γεωγράφοις καὶ Ἀρχιτέκτοσιν, ἀλλά γε δὴ καὶ τοῖς τὰς θείας ἐκμελετῶσι Γραφὰς, ἀναγκαία καθέστηκεν ἀναμφιλέκτως ἡ γνῶσις. ταύτῃ τοι πολλοὶ [α] τὰ ὑπὸ τοῦ χρόνου ἐγκαταλειφθέντα παλαιὰ καταμετρήσαντες μέτρα, καὶ σταθμήσαντες τὰ νομίσματα, τίνι τῶν νῦν ἕκαστον τούτων ἴσον ἀκριβῶς ἐνέφηναν. ἐπωφελὲς οὖν ἡμῖν ἔδοξε τοὺς προκειμένους ἐκδοῦναι πίνακας [β], ἐξ ὧν, ὁποῖα τὰ ἀρχαῖα τοῖς τήμερον παραβαλλόμενα, κατιδεῖν πάνυ ῥᾴδιον. καὶ ἐξήρκουν μὲν πρὸς τὴν τῶν σταθμῶν καὶ μέτρων κατά[illegible], τῶν περιεχομένων ὑπὸ τῶν δύω τῆσδε τῆς σειρᾶς τόμων, οἱ περὶ τῶν ἑβραϊκῶν μόνον [illegible]βάνοντες πίνακες. ἐπεὶ δὲ οἱ Ἑλληνικοὶ, οὐ μόνον ἔνια τῶν ἐν τῇ νέᾳ Διαθήκῃ, ἀλλὰ καὶ [illegible]άλαι ἀναπτύσσουσιν Ἑλλήνων, καὶ τούτους προσθεῖναι ἔγνωμεν.

[illegible]ΣΤΑΘΜΑ ΕΒΡΑΪΚΑ ΑΛΛΗΛΟΙΣ ΠΑΡΑΤΕΘΕΝΤΑ.

Τάλαντον	1.			
Μνᾶ	50. [γ]	1.		
Σίκλος	3000.	60.	1.	
Ὀβολὸς	6000.	1200.	20.	1.

[illegible]ΤΑ ΑΥΤΑ ΤΟΙΣ ΚΑΤΑ ΤΗΝ ΣΗΜΕΡΟΝ ΠΑΡΑΤΕΘΕΝΤΑ.

	Σταθμ. Παρισ. [δ]				Σταθμ. Ἰατρικ. ἤτοι Ἐνετ.				
[illegible]κ.	Λίτρ.	Οὐγγ.	Γρόσ.	Κόκ.	Λίτρ.	Οὐγγ.	Δραχμ.	Σκρόπ.	Κόκ.
[illegible]ντον	87	3	6	48, 00	119	2	4	2	9, 89
[illegible]ᾶ	1	11	7	24, 00	2	4	4	2	13, 80
Σίκλος	—	—	3	52, 00	—	—	3	2	8, 90
Ὀβολὸς	—	—	—	13, 40	—	—	—	—	11, 44

ΜΕΤΡΑ ΤΩΝ ΥΓΡΩΝ ΕΒΡΑΪΚΑ ΑΛΛΗΛΟΙΣ ΠΑΡΑΤΕΘΕΝΤΑ.

Βαὴθ [ε], ἢ Βάτος	1.			
Ἶν	6.	1.		
Λόγ [ζ], ἢ τέταρτον Κάβου, ἢ Κοτύλη	72.	12.	1.	
Ῥαβίνων Ὠὸν	432.	72.	6.	1.

TA

(α) Ὁ Λαββαῖος τεῦχος ὅλον πεπλήρωκε τούτους καταλέξας.

(β) Ἐκ τῶν τοῦ Σκιοππίου Πινάκων τούτους συνηρανισάμεθα, τοὺς ἐν τῷ περὶ μέτρ. καὶ σταθμ. ἐγχειρίδ. Ἰωάν. Κασπ. Εἰσενχμιδίου, τῷ ἐν ἔτει 1737. κατὰ τὸ Ἀργεντοράτ. ἐκδοθέντι.

(γ) Ὁ 50 ἐν πεντηκοστημόριον ἐμφαίνει τῆς τὸ τάλαντον δηλούσης μονάδος· ὡσαύτως καὶ ὁ 3000, $\frac{1}{3000}$ καὶ ὁ 6000, $\frac{1}{60000}$ τῆς αὐτῆς μονάδος. τὸ αὐτὸ δὲ νοητέον καὶ περὶ τῶν ἑξῆς ἀριθμῶν, δι' ὧν ἀλλήλοις τὰ σταθμὰ καὶ μέτρα παρατίθενται.

(δ) Ἡ μὲν τοῦ Παρισίου Λίτρα, οὐγγίας περιέχει 16, ἡ δὲ οὐγγία γρόσους 8, ὁ δὲ γρόσ. κόκκους 72. Πάλιν ἡ μὲν λίτρα ἡ ἰατρικὴ, εἴτουν ἡ τῶν Ἐνετῶν περιέχει οὐγγίας 12, ἡ δὲ οὐγγία δραχμὰς 8, ἡ δὲ δραχμὴ σκρούπουλα 3, τὸ δὲ σκρούπουλ. κόκκους 20. Ἰστέον δὲ ὅτι οἱ προσκείμενοι τοῖς κόκκοις μετὰ τὸ κόμμα ἀριθμοὶ τὰ δεκατημόρια καὶ ἑκατοστημόρια τῶν αὐτῶν κόκκων δηλοῦσιν. Ἐμφαίνει ἄρα ὁ πίναξ, ὅτι τὸ τάλαντον ἰσοβαρές ἐστι λίτρ. 87, καὶ οὐγγ. 3, καὶ γρόσ. 6, καὶ κόκκοις 48 τοῦ Παρισ. Λίτρ. δὲ 119. καὶ οὐγγ. 2, καὶ δραχμ. 4, καὶ σκρουπ. 2, καὶ κόκ. 9 καὶ 8 δεκατημορίοις, καὶ 9 τοῦ κόκκου ἑκατοστημορίοις, κατὰ τὰ τῶν Ἐνετ. βάρ.

(ε) Ἡ 3. τῶν Βασ. ἐν κεφ. 5. ἐδ. 11. ὁ δὲ Λουκ. ἐν κεφ. 16. ἐδ. 6. Βάτος.

(ζ) Τὸ λόγ, τὸ μὴ παρὰ τοῖς Ἑβδομήκοντα κείμενον, τὸ τέταρτον τοῦ Κάβου εἶναι τὸ ἐν κεφ. 6. ἐδ. 25. τῆς 4. τῶν Βασιλ. καὶ τὴν Κοτύλην, τὴν ἐν κεφ. 14. ἐδ. 10. τοῦ Λευΐτ. ἐπιβεβαιοῖ ὁ Καλμέτ. ἐν τῷ τῆς Γραφ. Λεξικ.

ΤΑ ΑΥΤΑ ΤΟΙΣ ΤΟΥ ΠΑΡΙΣΙΟΥ ΚΑΙ ΤΗΣ ΡΩΜΗΣ ΠΑΡΑΤΕΘΕΝΤΑ.

Μέτρ. Ἑβραϊκ.	Δακ̓τυλ. κύβ.[α] Παρισ.	Δακ̓τυλ. κύβ. Ῥώμ.
Βάτος	2022	2592
Ἶν	337	432
Λὸγ	$28\frac{1}{12}$	36
Ὠὸν	$4\frac{49}{72}$	6

ΜΕΤΡΑ ΤΩΝ ΞΗΡΩΝ ΕΒΡΑΪΚΑ ΑΛΛΗΛΟΙΣ ΠΑΡΑΤΕΘΕΝΤΑ.

Κόρος	1.						
Νέβελ	2.	1.					
Οἴφι	10.	5.	1.				
Σάτον	30.	15.	3.	1.			
Γόμορ	100.	50.	10.	$3\frac{1}{3}$.	1.		
Κάβος	180.	90.	18.	6.	$1\frac{4}{5}$.	1.	
Ῥαβίνων Ὠὸν	4320.	2160.	432.	144.	$43\frac{1}{5}$.	24.	1.

ΤΑ ΑΥΤΑ ΤΟΙΣ ΤΟΥ ΠΑΡΙΣΙΟΥ ΚΑΙ ΤΗΣ ΡΩΜΗΣ ΠΑΡΑΤΕΘΕΝΤΑ.

Μέτρ. Ἑβραϊκ.	Δακ̓τυλ. κύβ. Παρισ.	Δακ̓τυλ. κύβ. Ῥώμ.
Κόρος	20220	25920
Νέβελ	10110	12960
Οἴφι	2022	2592
Σάτον	674	864
Γόμορ	$202\frac{2}{3}$	$259\frac{1}{5}$
Κάβος	$112\frac{1}{3}$	144
Ὠὸν	$4\frac{49}{72}$	6

ΜΕΤΡΑ ΕΒΡΑΪΚΩΝ ΔΙΑΣΤΗΜΑΤΩΝ ΑΛΛΗΛΟΙΣ ΠΑΡΑΤΕΘΕ[ΝΤΑ.]

Ὁδὸς Σαββάτȣ	1.					
Κάλαμος	$333\frac{1}{3}$.	1.				
Πῆχυς	2000.	6.	1.			
Σπιθαμὴ	4000.	12.	2.	1.		
Παλαιστὴς	12000.	36.	6.	3.	1.	
Δάκ̓τυλος	48000.	144.	24.	12.	4.	1.

ΤΑ ΑΥΤΑ ΤΟΙΣ ΤΟΥ ΠΑΡΙΣΙΟΥ ΚΑΙ ΡΙΝΛΑΝΔ[β] ΠΑΡΑΤΕΘΕ[ΝΤΑ.]

Μέτρ. Ἑβρ.	Μέτ. Τόσ.[γ]	Παρισ. Πόδ.	Μέτρ. Πέρτικ.	Ῥινλαν. Πόδ.
Ὁδὸς Σαββάτȣ	551	5, 160	283	11, 278
Κάλαμος	1	3, 1134	—	10, 281
Πῆχυς	—	1, 944	—	1, 714
Σπιθαμὴ	—	0, 1192	—	0, 857
Παλαιστὴς	—	0, 397	—	0, 286
Δάκ̓τυλος	—	0, 99	—	0, 71

ΣΤΑΘΜΑ ΑΤΤΙΚΑ ΑΛΛΗΛΟΙΣ ΠΑΡΑΤΕΘΕΝΤΑ.

Τάλαντον	1.				
Μνᾶ	60.	1.			
Δραχμὴ	6000.	100.	1.		
Ὀβολὸς	36000.	600.	6.	1.	
Κεράτιον	108000.	1800.	18.	3.	1.

(α) Διαιρεῖται ὁ πȣ̃ς εἰς μέρη δώδεκα, δακ̓τύλȣς λεγόμενα. ὁ δὲ ἐκ δακ̓τύλȣ κατασκευαζόμενος κύβος, δακ̓τυλικὸς κύβος λέγεται. τοσȣ̃τος δὲ τὸ μέγεθος ὁ τȣ̃ Παρισίȣ, ὥστε χωρεῖν δύνασθαι ἐν καιρῷ μὲν θέρȣς ἐγγ. 7. γρόσ. 1. κόκ. 66. ὑδραργύρȣ, ἐν δὲ χειμῶνι ἐγγ. 7. γρόσ. 2. κόκ. 14. ἰστέον δὲ, ὅτι ὁ τȣ̃ Παρισ. πȣ̃ς πρὸς τὸν τῆς Ῥωμ. λόγον ἔχει ὃν 1440 πρὸς 1320, (ὁ Οὐόλφ. ἐν τῷ 26. τῆς Γεωμετρ. παραγρ.) εἴτȣν ὃν $1\frac{1}{11}$: 1. Ὁ αὐτὸς δὲ πρὸς μὲν τὸν τȣ̃ Ῥενάνȣ λόγον ἔχει ὃν 1440 πρὸς $1391\frac{3}{10}$, ἤτοι $1\frac{487}{13911}$ πρὸς 1. πρὸς δὲ τὸν τῆς Κωνσταντινȣπόλεως ὃν 1440 πρὸς 3140, εἴτȣν ὃν 1 πρὸς $2\frac{2}{7}\frac{1}{2}$. Πρὸς δὲ τὸν τῶν Ἐνετῶν ὃν 1440 πρὸς 1540, τȣτέστι 1 πρὸς $1\frac{5}{72}$.

(β) Ῥινλάνδ μέρος τῆς Ὀλλανδίας τὸ κατὰ μεσημβρίαν, ȣ̃ τινος ἄρχȣσα πόλις ἡ Λέιδα. (Ὁ Οὐόσγιων. ἐν τῷ Γεωγραφ. λεξ.) τὸ αὐτὸ δὲ καὶ Ῥενάνȣμ.

(γ) Ἡ μὲν Τόσα σύγκειται ἐκ ποδ. 6. τȣ̃ Παρισ. ἡ δὲ Πέρτικα ἐκ 12. Ῥινλανδ. καὶ τὸ μὲν τȣ̃ Παρισίȣ μίλιον ἴσον 2000 Τόσ. τὸ δὲ μέσον τὸ τῆς Γαλλίας, περὶ πȣ 2282· τὸ δὲ θαλάσσιον, 2853. τὸ δὲ τῆς Φλορεντίας ἴσον 3000 βραχίοσιν. ὅρα σελ. 82. τȣ̃ πονήμ. τȣ̃ Πικάρδ. καὶ Μαȣπερτ. ȣ̃ ὁ τίτλος· Degré du meridien determinè par Picard e Maupertuis.

ΤΑ ΑΥΤΑ ΤΟΙΣ ΚΑΤΑ ΤΗΝ ΣΗΜΕΡΟΝ ΠΑΡΑΤΕΘΕΝΤΑ.

Σταθμ. Ἀττικ.	Λίτρ.	Σταθμ. Οὐγγ.	Παρισ. Γρόσ.	Κόκ.	Λίτρ.	Οὐγγ.	Σταθμ. Δραχμ.	Ἐνετ. Σκρȣ̃π.	Κόκ.
Τάλαντον	54	2	5	20, 00	74	0	2	0	2, 99
Μνᾶ	—	14	3	40, 00	1	2	6	1	6, 05
Τετράδραχμον	—	—	4	44, 80	—	—	4	2	4, 24
Δίδραχμον	—	—	2	22, 40	—	—	2	1	2, 12
Δραχμὴ	—	—	1	11, 20	—	—	1	0	11, 06
Ὀβολὸς	—	—	—	13, 83	—	—	—	—	11, 84
Κεράτιον	—	—	—	4, 62	—	—	—	—	3, 95

ΜΕΤΡΑ ΤΩΝ ΥΓΡΩΝ ΑΤΤΙΚΑ ΑΛΛΗΛΟΙΣ ΠΑΡΑΤΕΘΕΝΤΑ.

Μετρητὴς	1.										
Χȣ̃ς	12.	1.									
Ξέστης	72.	6.	1.								
Κοτύλη	144.	12.	2.	1.							
Τέταρτον	288.	24.	4.	2.	1.						
Ὀξύβαφον	576.	48.	8.	4.	2.	1.					
Κύαθος	864.	72.	12.	6.	3.	$1\frac{1}{3}$.	1.				
Κόγχη	1728.	144.	24.	12.	6.	3.	2.	1.			
Μύστρον	3456.	288.	48.	24.	12.	6.	4.	2.	1.		
Χήμη	4320.	360.	60.	30.	15.	$7\frac{1}{2}$.	5.	$2\frac{1}{2}$.	$1\frac{1}{4}$.	1.	
Κοχλιάριον	8640.	720.	120.	60.	30.	15.	10.	5.	$2\frac{1}{2}$.	2.	1.

[Τ]Α ΑΥΤΑ ΤΟΙΣ ΤΟΥ ΠΑΡΙΣΙΟΥ ΚΑΙ ΤΗΣ ΡΩΜΗΣ ΠΑΡΑΤΕΘΕΝΤΑ.

Μέτρ. Ἀττικ.	Δακ̓τυλ. κύβ. Παρισ.	Δακ̓τυλ. κύβ. Ῥώμ.
Μετρητὴς	2022	2592
Χȣ̃ς	$168\frac{1}{2}$	216
Ξέστης	$28\frac{1}{12}$	36
Κοτύλη	$14\frac{1}{24}$	18
Τέταρτον	$7\frac{1}{48}$	9
Ὀξύβαφον	$3\frac{49}{96}$	4ʻ
Κύαθος	$2\frac{49}{144}$	3
Κόγχη	$1\frac{49}{288}$	$1\frac{1}{2}$
Μύστρον	$0\frac{337}{576}$	$0\frac{3}{4}$
Χήμη	$0\frac{337}{720}$	$0\frac{3}{5}$
Κοχλιάριον	$0\frac{337}{1440}$	$0\frac{3}{10}$

ΜΕΤΡΑ ΤΩΝ ΞΗΡΩΝ ΑΤΤΙΚΑ ΑΛΛΗΛΟΙΣ ΠΑΡΑΤΕΘΕΝΤΑ.

Μέδιμνος	1.								
Ἑκτεὺς	6.	1.							
Ἡμίεκτον	12.	2.	1.						
Χοῖνιξ	48.	8.	4.	1.					
Ξέστης	96.	16.	8.	2.	1.				
Κοτύλη	192.	32.	16.	4.	2.	1.			
Ὀξύβαφον	768.	128.	64.	16.	8.	4.	1.		
Κύαθος	1152.	192.	96.	24.	12.	6.	$1\frac{1}{2}$.	1.	
Κοχλιάριον	11520.	1920.	960.	240.	120.	60.	15.	10.	1.

ΤΑ ΑΥΤΑ ΤΟΙΣ ΤΟΥ ΠΑΡΙΣΙΟΥ ΚΑΙ ΤΗΣ ΡΩΜΗΣ ΠΑΡΑΤΕΘΕΝΤΑ.

Μέτρ. Ἀττικ.	Δακ̓τυλ. κύβ. Παρισ.	Δακ̓τυλ. κύβ. Ῥώμ.
Μέδιμνος	2696	3456
Ἑκτεὺς	$449\frac{1}{3}$	576
Ἡμίεκτον	$224\frac{2}{3}$	288
Χοῖνιξ	$56\frac{1}{6}$	72
Ξέστης	$28\frac{1}{12}$	36
Κοτύλη	$14\frac{1}{24}$	18
Ὀξύβαφον	$3\frac{49}{96}$	$4\frac{1}{2}$
Κύαθος	$2\frac{49}{144}$	3
Κοχλιάριον	$0\frac{337}{1440}$	$0\frac{3}{10}$

ΜΕΤΡΑ ΔΙΑΣΤΗΜΑΤΩΝ ΕΛΛΗΝΙΚΑ ΑΛΛΗΛΟΙΣ ΠΑΡΑΤΕΘΕΝΤΑ.

Μίλιον	1.								
Ἱππικὸν	2.	1.							
Στάδιον	8.	4.	1.						
Πλέθρον	48.	24.	6.	1.					
Ὀργυϊὰ	800.	400.	100.	16⅔.	1.				
Πῆχυς	3200.	1600.	400.	66⅔.	4.	1.			
Πȣ̃ς	4800.	2400.	600.	100.	6.	1½.	1.		
Παλαιϛὴ	19200.	9600.	2400.	400.	24.	6.	4.	1.	
Δάκτυλος	76800.	38400.	9600.	1600.	96.	24.	16.	4.	1.

ΤΑ ΑΥΤΑ ΤΟΙΣ ΚΑΤΑ ΤΗΝ ΣΗΜΕΡΟΝ ΠΑΡΑΤΕΘΕΝΤΑ.

Μέτρ. Ἑλλην.	Μέτρ. Τόσ.	Παρισ. Πόδ.	Μέτρ. Πέρτικ.	Ῥινλαν. Πόδ.
Μίλιον	766	2, 1380, 0	397	7, 922, 0
Ἱππικὸν	385	1, 690, 0	198	3, 961, 0
Στάδιον	95	4, 1252, 5	49	6, 990, 2
Πλέθρον	15	5, 1168, 7	8	3, 165, 0
Ὀργυϊὰ	—	5, 1078, 1	—	5, 949, 9
Πῆχυς	—	1, 629, 5	—	1, 487, 5
Πȣ̃ς	—	0, 1379, 7	—	0, 991, 6
Παλαιϛὴ	—	0, 344, 9	—	0, 247, 9
Δάκτυλος	—	0, 86, 2	—	0, 62, 0

ΤΕΛΟΣ.

Ἡ τῶν παροραμάτων διόρθωσις.

Σελ. 22. ζ. καθ' αὑτȣ̀ς. γρ. καθ' αὑτȣ̀ς. σελ. 32. α. ἑϛιᾶ. γρ. ἑϛιᾷ. σελ. 127. ε. αἰσθάνοντ
σελ. 144. εϛὶν. γρ. ἐϛὶν. σελ. 225. δ. ἀπολέσειν. γρ. ἀπολέσειν, σελ. 391. γ. ἠλάλλαξαν. γρ. ἠλάλ
βασιλείας. γρ. βασιλείαν. σελ. 449. β. πολλὼ. γρ. πολωὼ. σελ. 686. γ. πανταπλὰς. γρ. παντα π
ἔργων. γρ. ἔργον. σελ. 758. γ. τεθεικε. γρ. τέθεικε. σελ. 762. α. χήρα. γρ. χήραν. σελ. 767.
σελ. 827. β. τεσσάκοντα. γρ. τεσσαράκοντα. σελ. 843. α. πλήθη. γρ. πλήρη. σελ. 863. γ. συσήσε
σελ. 870. ζ. κατεϛρατηγεῖσθαι. γρ. καταϛρατηγεῖσθαι. σελ. 920. β. ὠνείδιζε. γρ. ὠνείδειζεν.





